ΙΠΠΟΚΡΑΤΟΥΣ

ΚΩΟΥ ΙΑΤΡΟΥ ΠΑΛΑΙΟΤΑ-
του, πάντων ἄλλων κορυφαίου, βι-
βλία ἅπαντα.

Le Vignon Med.
paris

HIPPOCRATIS COI MEDICI

VETVSTISSIMI, ET OMNIVM ALIORVM PRIN-
cipis, libri omnes, ad uetustos Codices summo
studio collati & restaurati.

edent. Cornario







FRO BEN



BASILEAE

M D XXXVIII


CLARISS. AC MAGNIFICO VIRO D. MATTHIAE HELT, SACRATISS. CAESAREAE ac Imperatoriæ maieſtatis Cancellario ſummo, Ianus Cornarius medicus Northuſenſium, S. D.

VIRGILIVS Maro poëtarum latinorũ longe princeps, & græcorũ in ipſorum etiã arena uictor, aut certe nulli ex iſtis, quos æmulatus uidetur, inferior, quũ audiret in ſe reprehendi, quod eminentiſs. Græciæ poetam Homerũ nimio ſtudio æmularetur, adeò ut nõ parum multos illius uerſus pro ſuis uſurparet: reſpondit præclarum omnino factum eſſe, ſi quis Ioui fulmen eripiat, uel Herculi clauam extorqueat. ſubindicans nimirum per horum facinorum difficultatem, non minus rem factu arduam eſſe Homero ſubtrahere uerſum, ꝙ uel Ioui omnipotenti à poetis prędicato, & qui ſolo uertice dum annuit totum concutit olympum, fulmen eripere, uel Herculi monſtrorũ omnium domatori uictricem clauam de manu extorquere. Ego uero Hippocratis Coi, Medicorum omnium citra controuerſiã principis, tam arduo loco ſita eſſe uideo ſcripta, ut nõ ſolum magnificũ facinus putandum ſit, & cum quouis prædictorum cõferendũ, ſi quis pręclaram inde ſubtractã ſententiam pro ſua uſurpet, ſed ſi ſublimiſſima dicta eius uiri uel intellectu ſaltẽ quis adſequatur, glorioſum etiam factũ iactari debeat. Imò tantæ doctrinæ uiri admiratorem ſolũ eſſe & ſtudioſum, digna laude nõ caret. Atq; Ioui quidẽ impotentes amores, uxorq; zelotypa Iuno, non ſemel fulmen eripuerunt. Herculem uero Omphale Lydium famoſiſſimũ ſcortum & claua priuauit, leoninaq; inſuper exuit. Homerum autem ſuis uerſibus Maro adeò potẽter ſpoliauit, eiq; ablatos ſuos fecit, ut non paruo diſcrimine præſtantiſſimi Gręcię poetarum, fontiſq; omnis doctrinæ, uictor in Latio appareat, & à doctiſs. quibuſq; uiris ſit iudicatus. At uero tãtum abeſt ut Hippocratem uſq; in hunc diem quiſquam ſuis donis ac eminentiſſimis uirtutibus ſpoliarit, aut eius ſummæ doctrinæ uictor euaſerit, ut pleraq; eius ſcripta ne intellecta quidem ad plenum ab ullo aliquo ſint, quum tamen tot præclariſſima ingenia huc omnibus uiribus incubuerint, atque ex hoc uno ſolidam laudem ſperauerint, ſi aliquam ſummi illius uiri ſcriptorũ partem intelligentia ſaltem adſequerẽtur, & ex his omnibus unus haud dubie omnium doctiſs. Galenus, toto pectore uelut adiuratus aſſecla, Hippocratem magiſtrum & imitari, & defendere anniſus, nihilominus in eius ſententijs ac obſcuriſſimis dictis explicandis ſubinde hæreat. quo minus mirandum, neminem extitiſſe hactenus, qui difficilima grauiſſimi autoris ſcripta, latina facere ſe poſſe ſperauerit, aut feliciter tentauerit, quæ mihi ille uir partim dedita opera obſcuraſſe uidetur, quo uidelicet oraculorum quadam ſimilitudine edita, diuinitatis aliquem fulgorem mortalium oculis offunderent: partim uero nos ipſi hanc difficultatem afferimus, qui imbecillitatem uirium noſtrarum allegamus, & deſidiã noſtram difficultatis prætextu uelamus. Quanꝙ ſi omnino uerum fateri uolumus, non temere de difficultate conqueruntur qui etiam omni uirium molimine, totaq; mentis acie doctiſſima Hippocratis ſcripta perſequi contendunt, quum ab hominũ ſanè memoria nullius græci aut latini ſcriptoris opera extent, quæ ſic ex æquo omnium oculos animoſq; perſtringant, maxime uero huius ſeculi, quo dictionis deſuetudo & uetuſtas amplior ꝙ ullo aliquo antea ſeculo, ad reliquam operoſitatem acceſſit. Cæterum etiam ut ſic ſe res habeat, tamẽ citra ſummũ obprobrium

hic segnibus esse non licet, præsertim his qui sacratiss. arti Medicæ nomina dederunt. Si enim in magnis & uoluisse sat est, ut ille inquit, Certe qui se ad Hippocratis ęmulationem contulerint, pro pulcherrimo conatu laudem non exiguam cõsequentur, etiam si successus rei non pro uoto contingat. Quare Hippocratis studiosi Ciceronis illud dictum, quo oratorem suum sibi instigandũ putauit, semper animo suo secũ uersent. Par est omnes : inquit: omnia experiri, quod si quem illa ingenij felicitas deficiat, honestum est in secundis tertijsq; consistere, cui prima negata sunt. Equidem non uideo quomodo impetrari possit, ut quis pro medico habeatur, qui nõ se totum Hippocrati formandũ concredidit. Quo magis mirũ est, esse qui asini nõ lyræ, quod est in prouerbio, sed Hippocratis scriptorũ, tamen leonina induti se pro medicis gerere audeant, & habeantur quoq;, maxime apud Cumanos, & si qui alij leonem uerum non nouerunt, ut in his uerissimum illud ab Hippocrate ipso dictum appareat, ἀγνοέουσιν οἱ πολλοί, καὶ ἐκρδιαίνουσιν ὅτι ἀγνοέουσι. πείθουσι γὰρ τοὺς πέλας. Porrò quum aliquot retro annis, non solum obscuritas & difficultas obstiterit, quo minus Hippocrates studiosorũ manibus tereretur, sed etiã penuria exemplariũ, eorundemq; corruptio temporum iniuria inuecta : uisum est mihi hac parte rei medicæ studiosos iuuare, quo Hippocratis copiam uberem, eamq; q̃ castigatissimã expositam haberent. Atq; hic nõ tam meum beneficium apud studiosos iactare uolo, q̃ Hieronymi Frobenij & Nicolai Episcopij studiũ et sedulitatem, imò incõparabilem erga bona studia iuuãda animi propensionẽ, qui nulla impensæ parsimonia, curarũt ut Hippocrates ad tria uetustissima exemplaria (quorũ unũ insignis medicus Adolphus Occo Augustanus, alterũ Io. Dalburgij bibliotheca, postremũ Hieronymus Gemusæus, cuius etiam opera in eo conferendo Frobenij non parum fuerunt adiuti, Parisijs cõmodato acceptum ab excellenti medico Nicolao Copo Gulielmi illius Basiliensis, pridem Galliarum regis archiatri filio, exhibuere) à nobis correctus, adhibito ad hoc etiam Galeno, ex ipsorum officina q̃ castigatissimus prodiret, pluribus quater mille locis redintegratis, qui in priore Veneta æditione aut defuerunt ex toto, aut uitiati habebantur. atq; hoc ea tamen religione à me factum est, ut nihil temere sit mutatum, nisi palàm mendosum, ita ut in ambiguis quoq; lectionibus, eas potissimum sequutus sim, quas ipsum Galenum recepisse deprehendi. Idipsum opus & illorum, & meo nomine, tibi clariss. Helte dedicandum putaui, tum quod illustri tua doctrina, qua in iuris prudentia cõsultissimus haberis, nõ paruum ornamentũ Hippocrati es additurus, quo studiosos magis ad se inuitet, tum quia splendidiss. loco, & summi Cancellarij officio in Imperatoria Cæsaris Caroli aula fungens, non parum potens es id ipsum opus asserere ac defendere, si quis tamen tantum facinus ausus fuerit, ut tam sanctum opus impetere non erubescat, cui præterea generosissimæ familiæ tuæ nomen merito terrorem incutiet, quo profiteris & bonorum patronum, & malorum acerrimum hostem, oppressorem, ac planè Herculem ἀλεξίκακον. Me uero planè beatum, si beneficio tuo, Imperatoriæ maiestati de dicato & inscripto illi Aetio medico græco à nobis cõuerso, & alijs eidem à me destinatis, commendatior fiam. Bene uale uir magnifice. Northusæ XXVI Martij. M D XXXVI.

ΠΙΝΑΞ ΤΩΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΒΙΒΛΙΩΝ

INDEX LIBRORVM Hippocratis.



ΙΠΠΟΚΡΑΤΟΥΣ ΓΕΝΟΣ ΚΑΙ ΒΙΟΣ ΚΑΤΑ ΣΩΡΑΝΟΝ

Ἱπποκράτης γένει μὲν ἦν Κῷος, υἱὸς Ἡρακλείδου καὶ Φαιναρέτης, εἰς Ἡρακλέα καὶ Ἀσκληπιὸν τὸ γένος ἀναφέρων. ἀφ' οὗ μὲν εἰκοστός. ἀφ' οὗ δὲ ἐννεακαιδέκατος. μνημονεύει δὲ τῆς γενεαλογίας αὐτοῦ Ἐρατοσθένης, καὶ Φερεκύδης, καὶ Ἀπολλόδωρος, καὶ Ἄρειος ὁ Ταρσεύς. μαθητὴς δὲ γέγονεν Ἡρακλείδου τοῦ ἰδίου πατρός. εἶτα Ἡροδίκου. κατὰ δέ τινας καὶ Γοργίου τοῦ Λεοντίνου ῥήτορος. φιλοσόφου δὲ Δημοκρίτου Ἀβδηρίτου. κατὰ δὲ τοὺς πελοποννησιακοὺς ἤκμασε χρόνους. γεννηθείς, ὥς φησιν Ἰσόμαχος ἐν τῷ πρώτῳ περὶ τῆς Ἱπποκράτους αἱρέσεως, κατὰ τὸ πρῶτον ἔτος τῆς ὀγδοηκοστῆς ὀλυμπιάδος. ὡς δὲ Σωρανὸς ὁ Κῷος ἐρευνήσας τὰ ἐν Κῷ γραμματοφυλακεῖα προστίθησι, μοναρχοῦντος Ἀβειάδα μηνὸς ἀγριανοῦ ἕκτῃ καὶ εἰκοστῇ, παρ' ὃ καὶ ἐναγίζειν ἐν αὐτῇ μέχρι νῦν Ἱπποκράτει φησὶ τοὺς Κῴους. συνασκηθεὶς δὲ ἐν τῇ ἰατρικῇ καὶ τοῖς ἐγκυκλίοις μαθήμασι τῶν γονέων αὐτοῦ τελευτησάντων, μετέστη τῆς ἰδίας πατρίδος. ὡς μὲν κακοήθως Ἀνδρέας φησὶν ἐν τῷ περὶ τῆς ἰατρικῆς γενεαλογίας, διὰ τὸ ἐμπρῆσαι τὸ ἐν Κνίδῳ γραμματοφυλακεῖον. ἄλλοι δὲ φασὶν ὅτι προθέσει τοῦ τὰ κατὰ τόπους ἀρτελούμενα θεάσασθαι, καὶ συγγυμνάσασθαι ποικιλώτερον. ὡς δὲ Σωρανὸς ὁ Κῷος ἱστορεῖ, ὄνειρος αὐτῷ παρέστη κελεύων τὴν Θεσσαλῶν γῆν κατοικεῖν. τὴν δὲ σύμπασαν Ἑλλάδα θεραπεύων ἐθαυμάσθη. ὥστε καὶ ὑπὸ Περδίκκα τοῦ Μακεδόνων βασιλέως φθισικοῦ νομισθέντος προκληθέντα δημοσίᾳ πρὸς αὐτὸν ἐλθεῖν μετ' Εὐρυφῶντος. ὃς καθ' ἡλικίαν πρεσβύτερος ἦν αὐτοῦ. καὶ σημειώσασθαι ψυχῆς εἶναι τὸ πάθος. ἤρα γὰρ μετὰ τὸν τοῦ πατρὸς Ἀλεξάνδρου θάνατον Φίλας τῆς παλλακίδος αὐτοῦ, πρὸς ἣν δηλώσαντα τὸ γεγονός, ἐπειδὴ παρεφύλαξεν ταύτης βλεπομένης παντελῶς ἐκεῖνον τρέπεσθαι, λῦσαι μὲν τὴν νόσον, ἀνακτήσασθαι δὲ τὸν βασιλέα. προσεκλήθη δὲ ὑπὸ τῶν Ἀβδηριτῶν, πρὸς αὐτοὺς ἀπελθεῖν, καὶ Δημόκριτον μὲν ὡς ἐν μανίᾳ θεραπεῦσαι, ῥύσασθαι δὲ λοιμοῦ τὴν πόλιν ὅλην. ἀλλὰ καὶ εἰς τὴν Ἰλλυριῶν καὶ Παιόνων βαρβάρων γῆν λοιμοῦ κατασκήψαντος, καὶ δεομένων τῶν ἐκεῖ βασιλέων πρὸς αὐτοὺς ἐλθεῖν, παρὰ τῶν πρέσβεων, τίνα ἦν ἐκεῖ τὰ πολλὰ τῶν πνευμάτων μαθών, ἐκείνους μὲν ἀπράκτους ἀπέπεμψε. συλλογισάμενος δὲ τὴν νόσον ἐπὶ τὴν Ἀττικὴν ἥξειν, προειπὼν τὸ γενησόμενον, καὶ τῶν πόλεων καὶ τῶν μαθητῶν ἐπεμελήθη. τοσοῦτον δὲ φιλέλλην ὑπῆρχεν, ὥστε τῆς δόξης αὐτοῦ μέχρι Περσῶν διαπύστου γενομένης, καὶ διὰ τοῦτο καὶ τοῦ Ἀρταξέρξου διὰ Ἱστάνιδος τοῦ Ἑλλησποντίων ὑπάρχου ἐπὶ μεγάλαις δωρεαῖς δεομένου πρὸς αὐτὸν ἐλθεῖν, διὰ τὸ σεμνὸν καὶ ἀφιλάργυρον καὶ φιλοίκειον ἀρνήσασθαι. ὡς καὶ τοὺς διὰ τῆς πρὸς αὐτὸν ἐπιστολῆς δηλοῦται. ἐρρύσατο δὲ τὴν ἑαυτοῦ πατρίδα, πολεμεῖσθαι μέλλουσαν ὑπὸ Ἀθηναίων, Θεσσαλῶν δεηθεὶς ἐπιβοηθῆσαι. διὸ καὶ λαμπρῶν ἔτυχε τιμῶν παρὰ Κῴοις. ἀλλὰ καὶ Θεσσαλοῖς καὶ Ἀργείοις καὶ Ἀθηναίοις, οἵτινες καὶ δεύτερον αὐτὸν ἀφ' Ἡρακλέους δημοσίᾳ τοῖς Ἐλευσινίοις ἐμύησαν, καὶ πολίτην ἔγραψαν, καὶ τὴν ἐν πρυτανείῳ σίτησιν ἔδοσαν εἰς ἐκγόνους. ἀφθόνως δὲ τοὺς ἐπιτηδείους ἐδίδασκε τὴν τέχνην μετὰ τοῦ προσήκοντος ὅρκου. ἐτελεύτα δὲ παρὰ Λαρισαίοις, ὅτε καὶ Δημόκριτος φέρεται τελευτῆσαι. καὶ οἱ μὲν ἐνενήκοντα ἐτῶν. οἱ δὲ πε' φασίν. ἄλλοι ρδ', τινὲς ρθ'. τέθαπται δὲ μεταξὺ Γυρτῶνος καὶ Λαρίσσης. καὶ δείκνυται ἄχρι δεῦρο τὸ μνῆμα ἐν ᾧ μέχρι πολλοῦ σμῆνος ἦν ἐργαζομένων μέλι. ἀφ' οὗ τὰ ἀφθώδη παιδάρια χρίουσαι παρὰ τῷ τάφῳ ῥᾳδίως ἀπήλλαττον αἱ τίτθαι. ἐν δὲ ταῖς πολλαῖς εἰκόσιν ἐσκεπασμένος τὴν κεφαλὴν αὐτοῦ γράφεται. ὡς μὲν τινὲς λέγουσιν, ἐν πίλῳ, παράσημον εὐγενείας, καθάπερ Ὀδυσσεύς. ἄλλοι δὲ τῷ ἱματίῳ. καὶ τούτων οἱ μὲν δι' εὐπρέπειαν, ἐπεὶ φαλακρὸς ἦν. οἱ δὲ διὰ τὸ ἀσθενὲς τῆς κεφαλῆς. οἱ δὲ διὰ ἔμφασιν τοῦ δεῖν τὸ τοῦ ἡγεμονικοῦ χωρίον φρουρεῖν. οἱ δὲ τοῦ φιλαποδήμου τεκμήριον. οἱ δὲ τῆς ἐν τοῖς συγγράμμασιν ἀσαφείας. οἱ δὲ πρὸς παράστασιν τοῦ δεῖν καὶ ἐν τῷ ὑγιαίνειν φυλάσσεσθαι τὰ βλάπτοντα. τινὲς δὲ ὅτι χωρίζων πρὸς τὸ τῶν χειρῶν ἀπερίσπαστον, συμπεριλαμβάνων τὸ τοῦ ἱματίου περικεχυμένον ἐπετίθει τῇ κεφαλῇ. περὶ δὲ τῶν συγγραμμάτων αὐτοῦ, πολλὴ γέγονε διαφωνία, ἄλλων ἄλλα δεξαμένων. ὅθεν οὐκ εὐμαρὲς τὸ περὶ αὐτῶν ἀποφήνασθαι, διὰ τὸ πολλὰς αἰτίας ἐπισκοτεῖν τῇ κρίσει. πρῶτον τὴν ἐπωνυμίαν. δεύτερον

τὸ δύνασθαι

τὸ δύνασθαι τὸν χαρακτῆρα τῆς φράσεως τηρῆσαι. τρίτον διὰ τὸ ζῆν καὶ τὸν αὐτόν, ποτὲ μὲν ῥωμαλεώτερον, ἄλλοτε ἀσθενέστερον διὰ τὴν ἡλικίαν συγγράφειν. καὶ ἄλλας δὲ μετὰ τούτων αἰτίας ἔστιν εἰπεῖν. ἀφιλάργυρος δέ, καὶ τρόποις σεμνός, καὶ φιλέλλην ὑπῆρχεν, ὅτι καὶ τοὺς ὁμοεθνεῖς ἐθεράπευε συμπάσῃ σπουδῇ, ὡς καὶ λοιμῶν ὅλας ῥύεσθαι πόλεις καθάπερ εἴρηται. ὅθεν καὶ λαμπρῶν ἔτυχε τιμῶν. οὐ παρὰ Κῴοις μόνον. ἀλλὰ καὶ Ἀργείοις καὶ Ἀθηναίοις. παῖδας δὲ κατέλιπε θανὼν δύο. Θεσσαλὸν καὶ Δράκοντα. καὶ μαθητὰς παμπληθεῖς. ὑπερφανεστάτους δὲ τοὺς ἑαυτοῦ παῖδας λέγεται καταλιπών.

ἹΠΠΟΚΡΑΤΟΥΣ ὉΡΚΟΣ.

Μνυμι Ἀπόλλωνα ἰητρόν. καὶ Ἀσκληπιόν. καὶ Ὑγείαν. καὶ Πανάκειαν. καὶ θεοὺς πάντας καὶ πάσας, ἵστορας ποιεύμενος, ἐπιτελέα ποιήσειν κατὰ δύναμιν καὶ κρίσιν ἐμὴν, ὅρκον τόνδε καὶ ξυγγραφὴν τήνδε. ἡγήσασθαι μὲν τὸν διδάξαντά με τὴν τέχνην ταύτην, ἴσα γενέτῃσιν ἐμοῖσιν, καὶ βίου κοινώσασθαι. καὶ χρεῶν χρηΐζοντι μετάδοσιν ποιήσασθαι. καὶ γένος τὸ ἐξ ἑωυτέου, ἀδελφοῖς ἴσον ἐπικρινέειν ἄῤῥεσι. καὶ διδάξειν τὴν τέχνην ταύτην, ἢν χρηΐζωσι μανθάνειν, ἄνευ μισθοῦ καὶ ξυγγραφῆς. παραγγελίης τε καὶ ἀκροήσιος, καὶ τῆς λοιπῆς ἁπάσης μαθήσιος, μετάδοσιν ποιήσασθαι υἱοῖσί τε ἐμοῖσι, καὶ τοῖσι τοῦ ἐμὲ διδάξαντος. καὶ μαθηταῖσι συγγεγραμμένοις τε, καὶ ὡρκισμένοις νόμῳ ἰητρικῷ. ἄλλῳ δὲ οὐδενί. διαιτήμασί τε χρήσομαι, ἐπ' ὠφελείῃ καμνόντων κατὰ δύναμιν καὶ κρίσιν ἐμήν. ἐπὶ δηλήσει δὲ καὶ ἀδικίῃ εἴρξειν. οὐ δώσω δὲ οὐδὲ φάρμακον οὐδενὶ αἰτηθεὶς, θανάσιμον. οὐδὲ ὑφηγήσομαι ξυμβουλίην τοιήνδε. ὁμοίως δὲ οὐδὲ γυναικὶ πεσσὸν φθόριον δώσω. ἁγνῶς δὲ καὶ ὁσίως διατηρήσω βίον τὸν ἐμὸν, καὶ τέχνην τὴν ἐμήν. οὐ τεμέω δὲ οὐδὲ μὴν λιθιῶντας. ἐκχωρήσω δὲ ἐργάτῃσιν ἀνδράσι πρήξιος τῆσδε. εἰς οἰκίας δὲ ὁκόσας ἂν ἐσίω, ἐσελεύσομαι ἐπ' ὠφελείῃ καμνόντων, ἐκτὸς ἐὼν πάσης ἀδικίης ἑκουσίης καὶ φθορίης τῆς τε ἄλλης καὶ ἀφροδισίων ἔργων, ἐπί τε γυναικείων σωμάτων καὶ ἀνδρώων, ἐλευθέρων τε καὶ δούλων. ἃ δ' ἂν ἐν θεραπείῃ ἢ ἴδω, ἢ ἀκούσω, ἢ καὶ ἄνευ θεραπείης κατὰ βίον ἀνθρώπων, ἃ μὴ χρή ποτε ἐκλαλέεσθαι ἔξω, σιγήσομαι, ἄῤῥητα ἡγεύμενος εἶναι τὰ τοιαῦτα. Ὅρκον μὲν οὖν μοι τόνδε ἐπιτελέα ποιέοντι, καὶ μὴ ξυγχέοντι, εἴη ἐπαύρασθαι καὶ βίου καὶ τέχνης, δοξαζομένῳ παρὰ πᾶσιν ἀνθρώποις, εἰς τὸν ἀεὶ χρόνον. παραβαίνοντι δὲ καὶ ἐπιορκοῦντι, τἀναντία τούτων.

Εἰσί τινες, οἳ τέχνην πεποίηνται, τὸ τὰς τέχνας αἰσχροποιεῖν. ὡς μὲν οἴονται, οὐ τοῦτο διαπρησσόμενοι, ὃ ἐγὼ λέγω, ἀλλ' ἱστορίης οἰκείης ἐπίδειξιν ποιεύμενοι. ἐμοὶ δὲ τὸ μέν τι τῶν μὴ εὑρημένων ἐξευρίσκειν, ὅ, τι καὶ εὑρεθὲν κρέσσον B ἢ ἀνεξεύρετον, ξυνέσιος δοκεῖ ἐπιθύμημά τε καὶ ἔργον εἶναι. καὶ τὸ τὰ ἡμίεργα ἐς τέλος ἐξεργάζεσθαι ὡσαύτως. τὸ δὲ λόγων οὐ καλῶν τέχνῃ τὰ τοῖς ἄλλοις εὑρημένα αἰσχύνειν προθυμέεσθαι, ἐπανορθοῦντα μὲν μηδὲν, διαβάλλοντα δὲ τὰ τῶν εἰδότων πρὸς τοὺς μὴ εἰδότας ἐξευρήματα, οὐκέτι δοκεῖ ξυνέσιος ἐπιθύμημά τε καὶ ἔργον εἶναι, ἀλλὰ καταγγελίη μᾶλλον φύσιος, ἢ ἀτεχνίη. μούνοισι γὰρ τοῖσιν ἀτέχνοισιν, ἡ ἐργασίη αὕτη ἁρμόζει, φιλοτιμουμένων μὲν, οὐδαμᾶ δὲ δυναμένων κακίῃ ὑπουργεῖν, ἐς τὸ τὰ τῶν πέλας ἔργα, ἢ ὀρθὰ ἐόντα διαβάλλειν, ἢ οὐκ ὀρθὰ μωμέεσθαι. τοὺς μὲν οὖν εἰς τὰς ἄλλας τέχνας τούτῳ τῷ τρόπῳ ἐμπίπτοντας, οἷσι μέλει τε, καὶ ἐν οἷς μέλει, οἱ δυνάμενοι κωλυόντων. ὁ δὲ παρεὼν λόγος, τοῖς ἐς ἰητρικὴν οὕτως ἐμπορευομένοις, ἐναντιώσεται, θρασυνόμενος μὲν, διὰ τούτους οὓς ψέγει, εὐπορέων δὲ διὰ τὴν τέχνην ᾗ βοηθεῖ, δυνάμενος δὲ, διὰ σοφίην, ᾗ πεπαίδευται. δοκεῖ δή μοι τὸ μὲν σύμπαν τέχνη εἶναι οὐδεμία οὐκ ἐοῦσα. καὶ γὰρ ἄλογον τῶν ἐόντων τι ἡγεῖσθαι μὴ ἐόν. ἐπεὶ τῶν γε μὴ ἐόντων, τίνα ἄν τις οὐσίην θεασάμενος, ἀπαγγείλειεν ὡς ἔστιν. εἰ γὰρ δή ἐστιν ἰδεῖν τὰ μὴ ἐόντα, ὥσπερ τὰ ἐόντα, οὐκ οἶδ' ὅπως ἄν τις αὐτὰ νομίσειε μὴ ἐόντα. ὥσπερ τὰ ἐόντα, ἅ γε εἴη καὶ ὀφθαλμοῖσιν ἰδεῖν, καὶ γνώμῃ νοῆσαι ὡς ἔστιν, ἀλλ' ὅπως μὴ οὐκ ᾖ τοῦτο τοιοῦτον. ἀλλὰ τὰ μὲν ἐόντα, αἰεὶ ὁρᾶταί τε καὶ γινώσκεται. τὰ δὲ μὴ ἐόντα, οὔτε ὁρᾶται, οὔτε γινώσκεται. γινώσκεται τοίνυν δεδειγμένων ἤδη τῶν τεχνέων, καὶ οὐδεμία ἐστὶν ἥ γε ἔκ τινος εἴδεος οὐχ ὁρᾶται. οἶμαι δ' ἔγωγε καὶ τὰ ὀνόματα αὐτῶν, διὰ τὰ εἴδεα λαβεῖν. ἄλογον γὰρ ἀπὸ τῶν ὀνομάτων τὰ εἴδεα ἡγεῖσθαι βλαστάνειν καὶ ἀδύνατον. τὰ μὲν γὰρ ὀνόματα, φύσιος νομοθετήματά ἐστι. τὰ δὲ εἴδεα, οὐ νομοθετήματα, ἀλλὰ βλαστήματα. περὶ μὲν οὖν τούτων εἴ γέ τις μὴ ἱκανῶς ἐκ τῶν εἰρημένων ξυνίησιν, ἐν ἄλλοις ἂν λόγοις σαφέστερον διδαχθείη. περὶ δὲ ἰητρικῆς, ἐς ταύτην γὰρ ὁ λόγος, ταύτης οὖν τὴν ἀπόδειξιν ποιήσομαι. καὶ πρῶτόν γε διοριοῦμαι, ὃ νομίζω, ἰητρικὴν εἶναι, τὸ δὴ πάμπαν ἀπαλλάσσειν τῶν νοσεόντων τοὺς καμάτους. καὶ τῶν νοσημάτων τὰς σφοδρότητας ἀμβλύνειν. καὶ τὸ μὴ ἐγχειρέειν τοῖσι κεκρατημένοισιν ὑπὸ τῶν νοσημάτων, εἰδότας ὅτι ταῦτα οὐ δύναται ἰητρική. ὡς οὖν ποιεῖ τε ταῦτα, καὶ οἵη τέ ἐστι διὰ παντὸς ποιέειν, περὶ τούτου μοι δὴ ὁ λοιπὸς ἔσται λόγος. ἐν δὲ τῇ τῆς τέχνης ἀποδείξει, ἅμα καὶ τοὺς λόγους τῶν αἰσχύνειν αὐτὴν οἰομένων ἀναιρήσω, ᾗ ἂν ἕκαστος αὐτῶν πρήσσειν τι οἰόμενος τυγχάνῃ. ἔστιν οὖν μοι ἀρχὴ τοῦ λόγου, ἣ καὶ ὁμολογηθήσεται παρὰ πᾶσιν. ὅτι μὲν ἔνιοι ἐξυγιαίνονται τῶν θεραπευομένων ὑπὸ ἰητρικῆς, ὁμολογέεται. ὅτι δὲ οὐ πάντες, ἐν τούτῳ ἤδη ψέγεται ἡ τέχνη. καί φασιν οἱ τὰ χείρω λέγοντες, διὰ τοὺς ἁλισκομένους ὑπὸ τῶν νοσημάτων, καὶ τοὺς ἀποφεύγοντας αὐτὰ, τύχῃ ἀποφεύγειν, καὶ οὐ διὰ τὴν τέχνην. ἐγὼ δὲ οὐκ ἀποστερέω μὲν οὐδ' αὐτὸς τὴν τύχην ἔργου οὐδενός. ἡγεῦμαι δὲ, τοῖσι μὲν κακῶς θεραπευομένοισι νοσήμασι, τὰ πολλὰ τὴν ἀτυχίην ἕπεσθαι. τοῖσι δὲ εὖ, τὴν εὐτυχίην. ἔπειτα δὲ καὶ πῶς οἷόν τέ ἐστι τοῖς ὑγιανθεῖσιν ἄλλο τι αἰτιήσασθαι ἢ τὴν τέχνην, εἴπερ χρώμενοι αὐτῇ καὶ ὑπουργέοντες, ὑγιάνθησαν. τὸ μὲν γὰρ τῆς τύχης εἶδος ψιλὸν, οὐκ ἠβουλήθησαν θεήσασθαι, ἐν ᾧ τῇ τέχνῃ ἐπέτρεψαν σφᾶς αὐτούς. ὥστε τῆς μὲν ἐς τὴν τύχην ἀναφορῆς, ἀπηλλαγμένοι εἰσί. τῆς μέντοι ἐς τὴν τέχνην, οὐκ ἀπηλλαγμένοι. ἐν ᾧ γὰρ ἐπέτρεψαν καὶ ἐπίστευσαν αὐτῇ σφᾶς αὐτοὺς, ἐν τούτῳ αὐτῆς καὶ τὸ εἶδος ἐσκέψαντο, καὶ τὴν δύναμιν περαινομένου τοῦ ἔργου ἔγνωσαν. ἐρεῖ δὴ ἐν τούτῳ ὁ τἀναντία λέγων, ὅτι πολλοὶ ἤδη καὶ οὐ χρησάμενοι ἰητρῷ νοσέοντες ὑγιάνθησαν. καὶ ἐγὼ τῷ λόγῳ οὐκ ἀπιστέω. δοκεῖ δέ μοι οἷόν τε εἶναι καὶ ἰητρῷ μὴ χρωμένους ἰητρικῇ περιτυχεῖν. οὐ μὴν ὥστε εἰδέναι ὅτι ὀρθὸν ἐν αὐτῇ ἔνεστι, καὶ ὅτι μὴ ὀρθόν. ἀλλ' ὥστ' ἂν ἐπιτύχοιεν τοιαῦτα θεραπεύσαντες ἑωυτοὺς ὁποῖα περ ἂν ἐθεραπεύθησαν, εἰ καὶ ἰητροῖσιν ἐχρῶντο. καὶ τοῦτό γε τέως τεκμήριον μέγα τῇ οὐσίῃ τῆς τέχνης, ὅτι ἐοῦσά τέ ἐστι καὶ μεγάλη, ὅπου γε φαίνονται καὶ οἱ μὴ νομίζοντες αὐτὴν εἶναι, σωζόμενοι δι' αὐτήν. πολλὴ γὰρ ἀνάγκη καὶ τοὺς μὴ χρωμένους ἰητροῖσιν, νοσήσαντας δὲ καὶ ὑγιασθέντας, εἰδέναι, ὅτι ἢ δρῶντές τι, ἢ μὴ δρῶντες, ὑγιάνθησαν. ἢ γὰρ ἀσιτίῃ, ἢ πολυφαγίῃ, ἢ ποτῷ πλέονι, ἢ δίψῃ,

ἢ λουτροῖσιν, ἢ ἀλουσίῃ, ἢ πόνοισιν, ἢ ἡσυχίῃ, ἢ ὕπνοισιν, ἢ ἀγρυπνίῃ, ἢ τῇ ἁπάντων τούτων ταραχῇ χρώμενοι, ὑγιάνθησαν. καὶ ὑπὸ τοῦ ὠφελεῖσθαι πολλὴ ἀνάγκη αὐτοὺς ἐστὶν ἐγνωκέναι, ὅ, τι ἦν τὸ ὠφελῆσαν. καὶ ἔτι τ' ἐβλάβησαν, καὶ τὸ βλαβῆναι. καὶ ὅ, τι ἦν τὸ βλάψαν. τὰ γὰρ τοῦ ὠφελεῖσθαι καὶ τὰ τοῦ βεβλάφθαι ὡρισμένα, οὐ πᾶς ἱκανὸς γνῶναι. εἰ τοίνυν ἐπιστήσεται, ἢ ἐπαινέειν, ἢ ψέγειν ὁ νοσήσας τῶν διαιτημάτων τι οἷσιν ὑγιάνθη, πάντα ταῦτα τῆς ἰητρικῆς ὄντα εὑρήσει. καὶ ἔστιν οὐδὲν ἧσσον τὰ ἁμαρτηθέντα τῶν ὠφελησάντων μαρτύρια τῇ τέχνῃ, ἐς τὸ εἶναι. τὰ μὲν γὰρ ὠφελήσαντα, τῷ ὀρθῶς προσενεχθῆναι ὠφέλησαν. τὰ δὲ βλάψαντα, τῷ μηκέτι ὀρθῶς προσενεχθῆναι, ἔβλαψαν. καίτοι ὅπου τὸ ὀρθόν, καὶ τὸ μὴ ὀρθὸν ὅρον ἔχει ἑκάτερον, πῶς τοῦτο οὐκ ἂν τέχνη εἴη; τοῦτο γὰρ ἔγωγέ φημι ἀτεχνίην εἶναι, ὅπου μήτε ὀρθὸν ἔνι μηδέν, μήτε οὐκ ὀρθόν. ὅπου δὲ τούτων ἔνεστιν ἑκάτερον, πῶς τοῦτο οὐκ ἂν τέχνης ἔργον, ἀλλ' ἀτεχνίης εἴη; ἔτι τοίνυν εἰ μὲν ὑπὸ φαρμάκων τῶν τε καθαιρόντων καὶ τῶν ἱστάντων ἡ ἴησις τῆς τε ἰητρικῆς καὶ τοῖς ἰητροῖσι μοῦνον ἐγένετο, ἀσθενὴς ἦν ἂν ὁ ἐμὸς λόγος. Νῦν δὲ δὴ φαίνονται τῶν ἰητρῶν οἱ μάλιστα ἐπαινεόμενοι, καὶ διαιτήμασιν ἰώμενοι, καὶ ἄλλοισί τε εἴδεσιν, ἃ οὐκ ἄν τις φαίη, μὴ ὅτι ἰητρός, ἀλλ' οὐδὲ ἰδιώτης ἀνεπιστήμων ἀκούσας, μὴ οὐ τῆς τέχνης εἶναι. ὅπου οὖν οὐδὲν οὔτε ἐν τοῖς ἀγαθοῖσι τῶν ἰητρῶν, οὔτε ἐν τῇ ἰητρικῇ αὐτῇ ἀχρεῖόν ἐστιν, ἀλλ' ἐν τοῖς πλείστοισι τῶν τε φυομένων καὶ τῶν ποιευμένων, ἔνεστι τὰ εἴδεα τῶν θεραπειῶν καὶ τῶν φαρμάκων, οὐκ ἔστιν ἔτι οὐδενὶ τῶν ἄνευ ἰητροῦ ὑγιαζομένων, τὸ αὐτόματον αἰτιάσασθαι ὀρθῷ λόγῳ. τὸ μὲν γὰρ αὐτόματον, οὐδὲν φαίνεται ἐὸν ἐλεγχόμενον. πᾶν γὰρ τὸ γινόμενον, διά τι εὑρίσκοιτ' ἂν γινόμενον, καὶ ἐν τῷ διά τι. τὸ δὲ αὐτόματον, οὐ φαίνεται οὐσίην ἔχον οὐδεμίην, ἀλλ' ἢ ὄνομα μοῦνον. ἡ δὲ ἰητρική, καὶ ἐν τοῖς διά τι προνοουμένοισι φαίνεταί τε καὶ φανεῖται ἔτι οὐσίην ἔχουσα. τοῖσι μὲν οὖν τῇ τύχῃ τὴν ὑγιείην προστιθεῖσι, τῆς δὲ τέχνης ἀφαιρέουσι, τοιαῦτ' ἄν τις λέγοι. τοὺς δ' ἐν τῇσι τῶν ἀποθνησκόντων συμφορῇσι τὴν τέχνην ἀφανίζοντας θαυμάζω ὅτεῳ ἐπαιρεόμενοι ἀξιοχρέῳ λόγῳ, τὴν μὲν τῶν ἀποθνησκόντων ἀκρασίην, οὐκ αἰτίην καθιστᾶσι, τὴν δὲ τῶν ἰητρικὴν μελετησάντων σύνεσιν, αἰτίην. ὡς τοῖσι μὲν ἰητροῖσιν ἔνεστι τὰ μὴ δέοντα ἐπιτάξαι. τοῖσι δὲ νοσέουσιν, οὐκ ἔστι τὰ προσταχθέντα παραβῆναι. καὶ μὴν πολύ γε εὐλογώτερον τοῖσι κάμνουσιν ἀδυνατέειν τὰ προστασσόμενα ὑπουργέειν, ἢ τοῖσιν ἰητροῖσι τὰ μὴ δέοντα ἐπιτάσσειν. οἱ μὲν γὰρ ὑγιαινούσῃ γνώμῃ, μεθ' ὑγιαίνοντος σώματος ἐγχειρέουσι, λογισάμενοι τά τε παρεόντα, τῶν τε παροιχομένων τὰ ὁμοίως διατεθέντα τοῖσι παρεοῦσιν. ὥστε ποτὲ θεραπευθέντα εἰπεῖν, ὅτι ἀπήλλαξαν. οἱ δὲ οὔτε ἃ κάμνουσιν, οὔτε δι' ἃ κάμνουσιν, οὔθ' ὅ, τι ἐκ τῶν παρεόντων ἔσται, οὔθ' ὅ, τι οὖν ἐκ τῶν τούτοισιν ὁμοίων γίνεται εἰδότες ἐπιτάσσονται. ἀλγέοντες μὲν τῷ παρεόντι, φοβεύμενοι δὲ τὸ μέλλον. καὶ πλήρεις μὲν τῆς νόσου, κενοὶ δὲ σιτίων. ἐθέλοντες τὰ πρὸς τὴν νόσον ἡδέα μᾶλλον, ἢ τὰ πρὸς ὑγιείην προσδέχεσθαι. οὐκ ἀποθανεῖν ἐρῶντες, ἀλλὰ καρτερέειν ἀδυνατέοντες. οὕτω δὲ διακειμένους, πότερον εἰκὸς τούτους τὰ ὑπὸ τῶν ἰητρῶν ἐπιτασσόμενα ποιέειν, ἢ ἄλλα ποιέειν, ἃ οὐκ ἐπετάχθησαν. ἢ τοὺς ἰητροὺς τοὺς ἐκείνως διακειμένους, ὡς ὁ πρόσθεν λόγος ἡρμήνευσεν, ἐπιτάσσειν τὰ μὴ δέοντα. ἆρ' οὐ πολὺ μᾶλλον, τοὺς μὲν, δεόντως ἐπιτάσσειν. τοὺς δὲ, εἰκότως ἀδυνατέειν πείθεσθαι; μὴ πειθομένους δὲ περιπίπτειν τοῖσι θανάτοισιν, ὧν οἱ μὴ ὀρθῶς λογιζόμενοι, τὰς αἰτίας τοῖς οὐδὲν αἰτίοις ἀνατιθέασι, τοὺς αἰτίους ἐλευθεροῦντες.

Εἰσὶ δέ τινες, οἳ καὶ διὰ τοὺς μὴ ἐθέλοντας ἐγχειρέειν τοῖσι κεκρατημένοισιν ὑπὸ τῶν νοσημάτων, μέμφονται τὴν ἰητρικήν. λέγοντες, ὡς ταῦτα μὲν καὶ αὐτὰ ὑφ' αὑτῶν ἂν ἐξυγιάζοιτο, ἃ ἐγχειρέουσιν ἰᾶσθαι. ἃ δ' ἐπικουρίης δέεται, οὐχ ἅπτονται. δεῖν δὲ εἴπερ ἦν ἡ τέχνη, πάνθ' ὁμοίως ἰᾶσθαι. οἱ μὲν οὖν ταῦτα λέγοντες, εἰ ἐμέμφοντο τοῖς ἰητροῖς, ὅτι αὐτέων τοιαῦτα λεγόντων, οὐκ ἐπιμελοῦνται ὡς παραφρονεύντων, εἰκότως ἂν ἐμέμφοντο μᾶλλον, ἢ ἐκεῖνα μεμφόμενοι. εἰ γάρ τις τέχνην, ἐς ἃ μὴ τέχνη, ἢ φύσιν, ἐς ἃ μὴ πέφυκεν, ἀξιώσειε δύνασθαι, ἀγνοεῖ μανίην ἁρμόζουσαν ἀγνοίῃ μᾶλλον, ἢ ἀμαθίῃ. ὧν γάρ ἐστιν ἡμῖν, τοῖσί τε τῶν φύσεων, τοῖσί τε τῶν τεχνέων ὀργάνοις ἐπικρατέειν, τούτων ἔστιν ἡμῖν δημιουργοῖς εἶναι. ἄλλων δὲ οὐκ ἔστιν. ὅταν οὖν τι πάθῃ ἄνθρωπος κακόν, ὃ κρέσσόν ἐστι τῶν ἐν τῇ ἰητρικῇ ὀργάνων, οὐδὲ προσδοκᾶσθαι δεῖ ὑπὸ ἰητρικῆς κρατηθῆναι ἄν. αὐτίκα γὰρ τῶν ἐν ἰητρικῇ καιόντων, πῦρ ἐσχάτως καίει. τούτου δὲ ἧσσον, καὶ ἄλλα πολλά. τῶν μὲν οὖν ἡσσόνων, τὰ κρέσσω οὔπω δῆλον

ὅτι καὶ ἀνίητα. τῶν δὲ κρατίστων, τὰ κρέσσω πῶς οὐ δηλονότι ἀνίητα; ἃ γὰρ πῦρ οὐ δημιουργέει, πῶς οὐ τὰ τούτῳ μὴ ἁλισκόμενα δηλοῖ, ὅτι ἄλλης δέεται τέχνης, καὶ οὐ ταύτης, ἧς ἐν ᾗ τὸ πῦρ ὄργανον; ωὑτὸς δέ μοι λόγος καὶ ὑπὲρ τῶν ἄλλων, ὅσα τῇ ἰητρικῇ ξυνεργεῖ, ὧν ἁπάντων φημὶ δεῖν ἑκάστου μὴ κατατυχόντα τὸν ἰητρὸν τὴν δύναμιν αἰτιᾶσθαι τοῦ πάθεος, μὴ τὴν τέχνην. οἱ μὲν οὖν μεμφόμενοι τοῖσι τοῖς κεκρατημένοισι μὴ ἐγχειρέουσι, παρακελεύονται καὶ ὧν μὴ προσήκει ἅπτεσθαι οὐδὲν ἧσσον, ἢ ὧν προσήκει. παρακελευόμενοι δὲ ταῦτα, ὑπὸ μὲν τῶν περὶ ὀνόματι ἰητρῶν, θαυμάζονται. ὑπὸ δὲ τῶν καὶ τέχνῃ, καταγελῶνται. οὐ μὴν οὕτως ἀφρόνων οἱ ταύτης τῆς δημιουργίας ἔμπειροι, οὔτε μωμητῶν, οὔτ' αἰνετῶν δέονται. ἀλλὰ λελογισμένων, πρὸς ὅ, τι ἂν αἱ ἐργασίαι τῶν δημιουργῶν τελευτώμεναι, πλήρεις εἰσί. καὶ ὅτευ ὑπολειπόμεναι ἐνδεεῖς. ἔτι τε τῶν ἐνδειῶν, ἅς τε τοῖς δημιουργοῦσιν ἀναθετέον, ἅς τε τοῖσι δημιουργουμένοισι. τὰ μὲν οὖν περὶ τὰς ἄλλας τέχνας, ἄλλος χρόνος μετ' ἄλλου λόγου δείξει. τὰ δὲ περὶ τὴν ἰητρικὴν, οἷά τέ ἐστιν, ὥστε κριτέα. τὰ μὲν, ὁ παρῳχημένος. τὰ δὲ, ὁ παρὼν διδάξει λόγος. ἔστι γὰρ τοῖσι ταύτην τὴν τέχνην ἱκανῶς εἰδόσι, τὰ μὲν τῶν νοσημάτων, οὐκ ἐν δυσόπτῳ κείμενα, καὶ οὐ πολλά. τὰ δ' οὐκ ἐν εὐδήλῳ, καὶ πολλά ἐστι. τὰ μὲν γὰρ πρὸς τὰ ἐντὸς τετραμμένα ἐν δυσόπτῳ. τὰ δ' ἐξανθεῦντα εἰς τὴν χροιὴν, ἢ οἰδαίνοντα, ἐν εὐδήλῳ. παρέχει γὰρ ἑωυτῶν τῇ τε ὄψει, τῷ τε ψαῦσαι, τὴν στερεότητα, καὶ τὴν ὑγρότητα αἰσθάνεσθαι. καὶ ἅ τε αὐτῶν θερμὰ, ἅ τε ψυχρά. ὧν τε ἑκάστου, ἢ παρουσίῃ, ἢ ἀπουσίῃ, τοιαύτη ἐστί. τῶν μὲν δὴ τοιούτων πάντων ἐν ἅπασι τὰς ἀκέσιας, ἀναμαρτήτους δεῖ εἶναι. οὐχ ὡς ῥηϊδίας. ἀλλ' ὅτι ἐξεύρηνται. ἐξεύρηνταί γε μὴν οὐ τοῖσι βουληθεῖσιν, ἀλλὰ τούτων τοῖσι δυνηθεῖσι. δύνανται δὲ, οἷσι τά τε τῆς παιδείης μὴ ἐκποδὼν, τά τε τῆς φύσιος μὴ ταλαίπωρα. πρὸς μὲν οὖν τὰ φανερὰ τῶν νοσημάτων, οὕτω δεῖ εὐπορέειν τὴν τέχνην. Δεῖ γε μὴν αὐτὴν, μὴ δὲ πρὸς τὰ ἧσσον φανερὰ ἀπορέειν. ἔστι δὲ ταῦτα, ἃ πρός τε τὰ ὀστέα τέτραπται καὶ τὴν νηδύν. ἔχει δὲ τὸ σῶμα, οὐ μίαν, ἀλλὰ πλείους. δύο μὲν γὰρ αἱ τὸν σῖτον δεχόμεναί τε καὶ ἀφιεῖσαι. ἄλλαι δὲ τουτέων πλείους. ἃς ἴσασιν, οἷσι τουτέων ἐμέλησεν. ὅσα γὰρ τῶν μελέων ἔχει σάρκα περιφερέα, ἣν μῦν καλέουσι, πάντα νηδὺν ἔχει. πᾶν γὰρ τὸ ἀσύμφυτον, ἤν τε δέρματι, ἤν τε σαρκὶ καλύπτηται, κοῖλόν ἐστι. πληροῦταί τε ὑγιαῖνον μὲν, πνεύματος. ἀσθενῆσαν δὲ, ἰχῶρος. ἔχουσι μὲν τοίνυν οἱ βραχίονες, σάρκα τοιαύτην. ἔχουσι δ' οἱ μηροί. ἔχουσι δ' αἱ κνῆμαι. ἔτι δὲ καὶ ἐν τοῖς ἀσάρκοισι, τοιαύτη ἔνεστιν, οἵη καὶ ἐν τοῖσιν εὐσάρκοισιν εἶναι δέδεικται. ὅ, τε γὰρ θώρηξ καλεόμενος, ἐν ᾧ τὸ ἧπαρ στεγάζεται. ὅ, τε τῆς κεφαλῆς κύκλος, ἐν ᾧ ὁ ἐγκέφαλος. τό, τε νῶτον, πρὸς ὃ ὁ πνεύμων, τούτων οὐδὲν ὅ, τι οὐ καὶ αὐτὸ κενόν ἐστι, πολλῶν διαφύσιων μεστόν. οἷσιν οὐδὲν ἀπέχει πολλῶν ἀγγεῖα εἶναι. τῶν μέν τοι βλαπτόντων, τὸν κεκτημένον. τῶν δὲ, καὶ ὠφελούντων. ἔτι δὲ πρὸς τούτοισι, καὶ φλέβες πολλαὶ, καὶ νεῦρα, οὐκ ἐν τῇ σαρκὶ μετέωρα, ἀλλὰ πρὸς τοῖς ὀστέοισι προστεταμένα, σύνδεσμός ἐστι τῶν ἄρθρων. καὶ αὐτὰ τὰ ἄρθρα, ἐν οἷσιν αἱ συμβολαὶ τῶν κινεομένων ὀστέων ἐγκυκλέονται. καὶ τούτων οὐδὲν, ὅ, τι οὐχ ὑπαφρόν ἐστι, καὶ ἔχον περὶ αὑτὸ θαλάμας, ἃς καταγγέλλει ἰχὼρ, ὃς ἐκ διοιγομένων αὐτέων, πολύς τε καὶ πολλοὺς λυπήσας ἐξέρχεται. οὐ γὰρ δὴ ὀφθαλμοῖσί γε ἰδόντι τούτων τῶν εἰρημένων, οὐδενὶ οὐδέν ἐστιν εἰδέναι. διὸ καὶ ἄδηλα ἐμοί τε ὠνόμασται, καὶ τῇ τέχνῃ κέκριται εἶναι, οὐ μὴν ὅτι ἄδηλα κεκράτηκεν, ἀλλ' ᾗ δυνατὸν κεκράτηται. δυνατὸν δὲ, ὅσον αἵ τε τῶν νοσεόντων φύσιες ἐς τὸ σκεφθῆναι παρέχουσιν, αἵ τε τῶν ἐρευνησόντων ἐς τὴν ἔρευναν πεφύκασι. μετὰ πλείονος μὲν γὰρ πόνου, καὶ οὐ μετ' ἐλάσσονος χρόνου τοῖσιν ὀφθαλμοῖσιν ὁρᾶταί τε καὶ γινώσκεται. ὅσα γὰρ τὴν τῶν ὀμμάτων ὄψιν ἐκφεύγει, ταῦτα τῇ τῆς γνώμης ὄψει κεκράτηται. ὅσα δὲ ἐν τῷ μὴ ταχὺ ὀφθῆναι οἱ νοσέοντες πάσχουσιν, οὐχ οἱ θεραπεύοντες αὐτοὺς αἴτιοι, ἀλλ' ἡ φύσις ἥ τε τοῦ νοσέοντος, ἥ τε τοῦ νοσήματος. ὁ μὲν γὰρ ἐπεὶ οὐκ ἦν αὐτῷ ὄψει ἰδεῖν τὸ μοχθέον, οὐδ' ἀκοῇ πυθέσθαι, λογισμῷ μετήει. καὶ γὰρ δὴ καὶ ἃ πειρῶνται οἱ τὰ ἀφανέα νοσέοντες ἀπαγγέλλειν περὶ τῶν νοσημάτων τοῖσι θεραπεύουσιν, δοξάζοντες μᾶλλον ἢ εἰδότες ἀπαγγέλλουσιν. εἰ γὰρ ἠπίσταντο, οὐκ ἂν περιέπιπτον αὐτοῖς. τῆς γὰρ αὐτῆς ξυνέσιός ἐστιν, ἧσπερ τὸ εἰδέναι, τῶν νούσων τὰ αἴτια, καὶ τὸ θεραπεύειν αὐτὰς ἐπίστασθαι, πάσῃσι τῇσι θεραπείῃσιν, αἳ κωλύουσι τὰ νοσήματα μεγαλύνεσθαι. ὅτε οὖν οὐδὲ ἐκ τῶν ἐπαγγελλομένων ἐστὶ τὴν ἀναμάρτητον σαφηνείην ἀκοῦσαι, προσοπτέον τί καὶ ἄλλο τῷ θεραπεύοντι. ταύτης οὖν τῆς βραδυτῆτος

οὐχ ἡ τέχνη, ἀλλ' ἡ φύσις, αἰτίη ἡ τῶν σωμάτων. ἡ μὲν γὰρ αἰσθανομένη, ἀξιοῖ θεραπεύειν, σκοποῦσα ὅπως μὴ τόλμῃ μᾶλλον ἢ γνώμῃ, καὶ ῥαστώνῃ μᾶλλον ἢ βίῃ θεραπεύῃ. ἡ δ' ἢν μὲν ἀρκέσῃ πρὸς τὸ ὀφθῆναι, ἐξαρκέσει καὶ πρὸς τὸ ἰαθῆναι. ἢν δ' ἐν ᾧ τοῦτο ὁρᾶται, κρατηθῇ, διὰ τὸ βραδέως αὐτὴν ὑπὸ τὸν θεραπεύοντα ἐλθεῖν, ἢ διὰ τὸ τοῦ νοσήματος τάχος, οἰχήσεται. ἐξ ἴσου μὲν γὰρ ὁρμώμενον τῇ θεραπείῃ, οὐκ ἔστι θᾶσσον. προλαβὸν δὲ, θᾶσσον. προλαμβάνει δὲ, διά τε τὴν τῶν σωμάτων στεγνότητα, ἐν ᾗ οὐκ ἐν εὐόπτῳ οἰκέουσιν αἱ νοῦσοι. διά τε τὴν τῶν καμνόντων ὀλιγωρίην. οὐ πιθέονται γὰρ, λαμβανόμενοι δὲ ὑπὸ τῶν νοσημάτων, ἐθέλουσι θεραπεύεσθαι. ἐπεὶ τήν γε τέχνης τὴν δύναμιν, ὁπόταν τινὰ τῶν τὰ ἄδηλα νοσεύντων ἀναστήσῃ, θαυμάζειν ἀξιώτερον, ἢ ὁπόταν ἐγχειρέοι τοῖς ἀδυνάτοις. οὔκουν ἐν ἄλλῃ δημιουργίῃ τῶν ἤδη εὑρημένων οὐδεμίη ἔνεστιν οὐδὲν τοιοῦτον. ἀλλ' αὐτέων ὅσαι πυρὶ δημιουργεῦνται, τούτου μὴ παρεόντος ἀεργοί εἰσι. μετὰ δὲ τοῦ τούτου ἀφθῆναι εὔεργοι. καὶ ὅσαι καὶ τοῖσιν εὐεπανορθώτοισι σώμασι δημιουργεῦνται, αἱ μὲν, μετὰ ξύλων. αἱ δὲ, μετὰ σκυτέων. αἱ δὲ, γραφῇ, χαλκῷ τε καὶ σιδήρῳ, καὶ τοῖσι τούτων ὁμοίοισιν αἱ πλεῖσται. τὰ δ' ἐκ τούτων καὶ μετὰ τούτων δημιουργεύμενα, καὶ εὐεπανόρθωτα, ὅμως οὐ τῷ τάχει μᾶλλον, ἢ τῷ ὡς δεῖ δημιουργεῖται, οὐδ' ὑπερβατῶς. ἀλλ' ἢν ἀπῇ τι τῶν ὀργάνων, ἐλλινύει. καίτοι κἀκείνοις τὸ βραδὺ πρὸς τὸ λυσιτελέστερον ἀσύμφορον. ἀλλ' ὅμως προτιμᾶται.

Ἰητρικὴ δὲ, τοῦτο μὲν, τῶν ἐμπύων, τοῦτο δὲ, τὸ ἧπαρ ἢ τοὺς νεφροὺς, τοῦτο δὲ, τῶν ξυμπάντων ἐν τῇ νηδύϊ νοσεύντων, ἀποστερημένη τῇ διανοίῃ τὰ πάντα πάντων ἱκανωτάτως ὁρᾶσιν, ὅμως ἄλλας εὐπορίας συνεργοὺς ἐφεῦρε. φωνῆς τε γὰρ λαμπρότητα καὶ βραδυτῆτα καὶ ῥεύματα, ἃ διαρρεῖν εἴωθεν ἑκάστοισι, δι' ὧν ἔξοδοι δέδονται. ὧν τὰ μὲν, ὀδμῇσι. τὰ δὲ, χροιῇσι. τὰ δὲ, λεπτότητι καὶ παχύτητι διασταθμωμένη τεκμαίρεται. ὧν τε σημεῖα ταῦτα, ἅ τε πεπονθότων, ἅ τε παθεῖν δυναμένων. ὅταν δὲ ταῦτα μηνύωνται, μηδ' αὐτὴ ἡ φύσις ἑκοῦσα ἀφίῃ, ἀναγκὰς εὕρηκεν, ᾗσιν ἡ φύσις ἀζήμιος βιασθεῖσα μεθίησιν. ἀνεθεῖσα δὲ δηλοῖ τοῖσι τὰ περὶ τέχνης εἰδόσιν, ἃ ποιητέα. βιάζεται δὲ τοῦτο μὲν πῦρ τὸ σύντροφον φλέγμα διαχεῖν, σιτίων δριμύτητι, καὶ πομάτων. ὅπως τεκμαρῆται τι ὀφθὲν περὶ ἐκείνων, ὧν αὐτῇ ἐν ἀμηχάνῳ ὀφθῆναι. τοῦτο δ' αὖ πνεῦμα ὧν κατήγορον, ὁδοῖσί τε προσάντεσι, καὶ δρόμοις ἐκβιᾶται κατηγορεῖν. ἱδρῶτάς τε τούτοισι τοῖσι προειρημένοισιν ἄγουσα, ὑδάτων θερμῶν ἀποπνοίῃσι τεκμαίρεται. ἔστι δὲ ἃ καὶ διὰ τῆς κύστιος διελθόντα, ἱκανώτερα τὴν νοῦσον δηλῶσαί ἐστιν, ἢ διὰ τῆς σαρκὸς ἐξιόντα. ἐξεύρηκεν οὖν καὶ τοιαῦτα πόματα καὶ βρώματα, ἃ τῶν θερμαινόντων θερμότερα γιγνόμενα, τήκει τε ἐκεῖνα, καὶ διαρρεῖν ποιέει. ἃ οὐκ ἂν διερρύη, μὴ τοῦτο παθόντα. ἕτερα μὲν οὖν πρὸς ἑτέρων, καὶ ἄλλα δι' ἄλλων ἐστὶ, τά τε διιόντα, τά τ' ἐξαγγέλλοντα. ὥστ' οὐ θαυμάσιον αὐτῶν, τάς τε πίστιας, χρονιωτέρας γίνεσθαι, τάς τ' ἐγχειρείσιας, βραχυτέρας, οὕτω δι' ἀλλοτρίων ἑρμηνειῶν πρὸς τὴν θεραπεύουσαν σύνεσιν ἑρμηνευομένων. ὅτι μὲν οὖν καὶ λόγους ἐν ἑωυτῇ εὐπόρους εἰς τὰς ἐπικουρείας ἔχει ἡ ἰητρική, καὶ οὐκ εὐδιορθώτοισι δικαίως οὐκ ἂν ἐγχειρέοι τῇσι νούσοισιν, ἢ ἐγχειρευμένας, ἀναμαρτήτους ἂν παρέχῃ, οἵ τε νῦν λεγόμενοι λόγοι δηλοῦσιν, αἵ τε τῶν εἰδότων τὴν τέχνην ἐπιδείξιες, ἃς ἐκ τῶν ἔργων ἥδιον, ἢ ἐκ τῶν λόγων ἐπιδεικνύουσιν. οὐ τὸ λέγειν καταμελετήσαντες, ἀλλὰ τὴν πίστιν τῷ πλήθει ἐξ ὧν ἂν ἴδωσιν οἰκειοτέρην ἡγεύμενοι, ἢ ἐξ ὧν ἀκούσωσι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΑΡΧΑΙΗΣ ΙΗΤΡΙΚΗΣ.

Κόσοι ἐπεχείρησαν περὶ ἰητρικῆς λέγειν ἢ γράφειν, ὑπόθεσιν σφίσιν αὐτέοισιν ὑποθέμενοι τῷ λόγῳ, θερμὸν, ἢ ψυχρὸν, ἢ ὑγρὸν, ἢ ξηρὸν, ἢ ἄλλ' ὅ, τι ἂν ἐθέλωσιν, ἐς βραχὺ ἄγοντες τὴν ἀρχὴν τῆς αἰτίης τοῖσιν ἀνθρώποισι τῶν νούσων τε καὶ τοῦ θανάτου, καὶ πᾶσι τὴν αὐτὴν, ἓν ἢ δύο προθέμενοι, ἐν πολλοῖσι μὲν καὶ οἷσι λέγουσι καταφανέες εἰσὶν ἁμαρτάνοντες. μᾶλλον δὲ ἄξιον μέμψασθαι ἀμφὶ τέχνης ἐούσης, ᾗ χρῶνταί τε πάντες ἐπὶ τοῖσι μεγίστοισι, καὶ τιμῶσι μάλιστα τοὺς ἀγαθοὺς χειροτέχνας. εἰσὶ δὲ δημιουργοὶ, οἱ μὲν, φλαῦροι. οἱ δὲ, πολὺ διαφέροντες. ὅπερ εἰ μὴ ἦν ἰητρικὴ ὅλως, μηδ' ἐν αὐτῇ ἔσκεπτο, μηδ' εὕροιτο μηδὲν, οὐκ ἂν ἦν, ἀλλὰ πάντες ἂν ὁμοίως αὐτῆς ἄπειροί τε καὶ ἀνεπιστήμονες ἦσαν, καὶ τύχῃ πάντα τὰ τῶν καμνόντων διοικεῖτο. νῦν δ' οὐχ οὕτως ἔχει, ἀλλ' ὥσπερ καὶ τῶν ἄλλων τεχνέων πασέων οἱ δημιουργοὶ πολλὸν ἀλλήλων διαφέρουσι κατὰ χεῖρα καὶ κατὰ

γνώμην

γνώμην, ὅπω δὴ καὶ περὶ ἰητρικῆς. διὸ οὐκ ἠξίουν ἔγωγε κεινῆς αὐτὴν ὑποθέσιος δέεσθαι ὥσπερ τὰ ἀφανέα τε καὶ ἀπορεόμενα. περὶ ὧν ἀνάγκη ἤν τις ἐπιχειροίη λέγειν ὑποθέσει χρῆσθαι. οἷον περὶ τῶν μετεώρων ἢ τῶν ὑπὸ γῆν, ἃ εἰ λέγοι τις καὶ γινώσκοι ὡς ἔχει, οὔτ' ἂν αὐτῷ τῷ λέγοντι, οὔτε τοῖς ἀκούουσι δῆλα ἂν εἴη, εἴτε ἀληθέα ἐστὶν, εἴτε μή. οὐ γάρ ἐστι πρὸς ὅ, τι χρὴ ἐπανενέγκαντα εἰδέναι τὸ σαφές. ἰητρικῇ δὲ πάντα πάλαι ὑπάρχει, καὶ ἀρχὴ καὶ ὁδὸς εὑρημένη, καθ' ἣν καὶ τὰ εὑρημένα πολλά τε καὶ καλῶς ἔχοντα εὕρηται, ἐν πολλῷ χρόνῳ. καὶ τὰ λοιπὰ εὑρεθήσεται, ἤν τις ἱκανός τε ὢν, καὶ τὰ εὑρημένα εἰδὼς, ἐκ τούτων ὁρμώμενος ζητέῃ. ὅστις δὲ ταῦτα ἀποβαλὼν καὶ ἀποδοκιμάσας πάντα, ἑτέρῃ ὁδῷ, καὶ ἑτέρῳ σχήματι ἐπιχειρέει ζητέειν, καί φησί τι εὑρηκέναι, ἐξηπάτηται, καὶ ἐξαπατᾶται. ἀδύνατον γὰρ, δι' ἃς δὲ ἀνάγκας ἀδύνατον, ἐγὼ πειράσομαι ἐπιδεῖξαι. λέγων καὶ δεικνὺς, τὴν τέχνην ὅ, τι ἐστίν. ἐκ δὲ τούτου καταφανὲς ἔσται ἀδύνατα ἐόντα ἄλλως πως εὑρίσκεσθαι. μάλιστα δέ μοι δοκέει περὶ ταύτης δεῖν λέγοντα τῆς τέχνης, γνωστὰ λέγειν τοῖσιν δημότῃσιν. οὐ γὰρ περὶ ἄλλου τινὸς, οὔτε ζητέειν προσήκει, οὔτε λέγειν, ἢ περὶ τῶν παθημάτων ὧν αὐτοὶ οὗτοι νοσέουσιν. αὐτοὺς μὲν οὖν τὰ σφέων αὐτῶν παθήματα καταμαθεῖν ὥστε γίνεται καὶ παύεται, καὶ δι' οἵας προφάσιας αὔξεταί τε καὶ φθίνει, ἰδιώτας ἐόντας, οὐ ῥᾴδιον. ὑπ' ἄλλου δ' εὑρημένα καὶ λεγόμενα, εὐπετές. οὐδὲν γὰρ ἕτερον ἀναμιμνήσκεται ἕκαστος ἀκούων τῶν ἑωυτῷ ξυμβαινόντων. εἰ δέ τις τῆς τῶν ἰδιωτέων γνώμης ἀποτεύξεται, καὶ μὴ διαθήσει τοὺς ἀκούοντας, οὗτος τοῦ ἐόντος ἀποτεύξεται. καὶ διὰ ταῦτα οὖν οὐδὲν δεῖται ὑποθέσιος. τὴν γὰρ ἀρχὴν οὔτ' ἂν εὑρέθη τέχνη ἡ ἰητρικὴ, οὔτ' ἂν ἐζητήθη. οὐδὲν γὰρ αὐτῆς ἔδει τοῖσι κάμνουσι τῶν ἀνθρώπων, τὰ αὐτὰ διαιτωμένοισί τε καὶ προσφερομένοισιν, ἅπερ ὑγιαίνοντες ἐσθίουσι καὶ πίνουσι, καὶ κατ' ἄλλα διαιτωμένοις ξυνέφερε, εἰ μὴ ἦν ἕτερα τουτέων βελτίω. νῦν δ' αὐτὴ ἡ ἀνάγκη ἰητρικὴν ἐποίησε ζητεῖσθαί τε καὶ εὑρεθῆναι ἀνθρώποισιν. ὅτι τοῖσι κάμνουσιν τὰ αὐτὰ προσφερομένοισιν, ἅπερ οἱ ὑγιαίνοντες, οὐ ξυνέφερεν. ὡς οὐδὲ νῦν ξυμφέρει. ἔτι δ' ἄνωθεν ἔγωγε ἀξιῶ, οὐδ' ἂν τὴν τῶν ὑγιαινόντων δίαιτάν τε καὶ τροφὴν ᾗ νῦν χρέονται εὑρεθῆναι, εἰ ἐξήρκει τῷ ἀνθρώπῳ ταυτὰ ἐσθίοντι καὶ πίνοντι, βοΐ τε καὶ ἵππῳ, καὶ πᾶσιν ἐκτὸς ἀνθρώπου. οἷον τὰ ἐκ τῆς γῆς φυόμενα καρπούς τε καὶ ὕλην, καὶ χόρτον. οἱ ἀπὸ τουτέων τε καὶ τρέφονται, καὶ αὔξονται, καὶ ἄπονοι διάγουσιν, οὐδὲν προσδεόμενοι ἄλλης διαίτης. καί τοι τήν γε ἀρχὴν ἔγωγε ἀξιῶ, καὶ τὸν ἄνθρωπον τοιαύτῃ τροφῇ κεχρῆσθαι. τὰ δέ γε νῦν διαιτήματα εὑρημένα, τετεχνημένα ἐν πολλῷ χρόνῳ γεγενῆσθαί μοι δοκέει. ὡς γὰρ ἔπασχον πολλά τε καὶ δεινὰ, ἀπὸ ἰσχυρῆς τε καὶ θηριώδεος διαίτης ὠμά τε, καὶ ἄκρητα, καὶ μεγάλας δυνάμιας ἔχοντα ἐσφερόμενοι, οἷάπερ ἂν καὶ νῦν ὑπ' αὐτέων πάσχοιεν, πόνοισί τε ἰσχυροῖσι καὶ νούσοισι περιπίπτοντες, καὶ διὰ τάχεος θανάτοισιν. ἧσσον μὲν οὖν ταῦτα τότε εἰκὸς ἦν πάσχειν, διὰ τὴν συνήθειαν. ἰσχυρῶς δὲ καὶ τότε, καὶ τοὺς μὲν πλείστους τε καὶ ἀσθενεστέρην φύσιν ἔχοντας, ἀπόλλυσθαι εἰκός. τοὺς δὲ τουτέων ὑπερέχοντας, πλείω χρόνον ἀντέχειν. ὥσπερ καὶ νῦν ἐκ τῶν ἰσχυρῶν βρωμάτων, οἱ μὲν γὰρ, ῥηιδίως ἀπαλλάσσονται. οἱ δὲ, μετὰ πολλῶν πόνων τε καὶ κακῶν. διὰ δὴ ταύτην τὴν χρείην, καὶ οὗτοί μοι δοκέουσι ζητῆσαι τροφὴν ἁρμόζουσαν τῇ φύσει, καὶ εὑρεῖν ταύτην, ᾗ νῦν χρώμεθα. ἐκ μὲν οὖν τῶν πυρῶν βρέξαντες καὶ πτίσαντες πάντα, καὶ καταλέσαντες, καὶ διασήσαντες, καὶ φορύξαντες, καὶ ὀπτήσαντες, ἀπετέλεσαν ἄρτον. ἐκ δέ γε τῶν κριθέων μάζαν, ἄλλα τε συχνὰ περὶ ταύτην πραγματευσάμενοι, ἥψησάν τε καὶ ὤπτησαν, καὶ ἔμιξαν, καὶ ἐκέρασαν ἰσχυρά τε καὶ ἄκρητα τοῖσιν ἀσθενεστέροις, πλάσσοντες πάντα πρὸς τὴν τοῦ ἀνθρώπου φύσιν τε καὶ δύναμιν. ἡγεύμενοι, ὅσα μὲν ἰσχυρότερα ᾖ, οὐ δυνήσεται κρατέειν ἡ φύσις, ἢν ἐμβάληται. ἀπὸ τούτων δ' αὐτῶν, πόνους τε καὶ νούσους, καὶ θανάτους ἔσεσθαι. ὅσων δ' ἂν δύνηται ἐπικρατέειν, ἀπὸ τουτέων τροφήν τε καὶ αὔξησιν, καὶ ὑγιείην. τῷ δ' εὑρήματι, τί ἂν οὖν ὄνομα δικαιότερον ἄν τις προσῆκον μᾶλλον θεῖτο, ἢ ἰητρικήν; ὅτι εὕρηται ἐπὶ τῇ τοῦ ἀνθρώπου ὑγιείῃ τε καὶ τροφῇ καὶ σωτηρίῃ, ἄλλαγμα κείνης τῆς διαίτης, ἐξ ἧς οἱ πόνοι καὶ νοῦσοι γίνονται. εἰ δὲ μὴ τέχνη αὐτὴ νομίζεται εἶναι, οὐκ ἀπεικός. ἧς γὰρ μηδείς ἐστιν ἰδιώτης, ἀλλὰ πάντες ἐπιστήμονες διὰ τὴν χρῆσίν τε καὶ ἀνάγκην, οὐ προσήκει ταύτης οὐδένα τεχνίτην καλέεσθαι. ἐπεὶ τό γε εὕρημα καὶ μέγα, καὶ πολλῆς τέχνης τε καὶ σκέψιος. ἔτι γοῦν καὶ νῦν οἱ τῶν γυμνασίων τε καὶ ἀνακτήσιων ἐπιμελούμενοι, αἰεί τι προσεξευρίσκουσι. κατὰ τὴν αὐτὴν ὁδὸν ζητέοντες, ὅ, τι ἔδων τε καὶ πίνων, ἐπικρατήσει τε αὐτέων

μάλιστα, καὶ ἰσχυρότερος ἑωυτοῦ ἔσται. Σκεψώμεθα γοῦν, καὶ τὴν ὁμολογουμένως ἰητρικὴν, τὴν ἀμφὶ τοὺς κάμνοντας εὑρημένην, ᾗ καὶ ὄνομα καὶ τεχνίτας ἔχει, καὶ κρατεῖν καὶ αὐτὴ τῶν αὐτέων ἐθέλοι. καὶ ὁπόθεν ποτὲ ἤρκται. ἐμοὶ μὲν γὰρ ὅπερ ἐν ἀρχῇ εἶπον, οὐδ᾽ ἂν ζητῆσαι δοκέει ἰητρικὴν οὐδεὶς, εἰ ταὐτὰ διαιτήματα τοῖσί τε κάμνουσι, καὶ τοῖσιν ὑγιαίνουσιν ἥρμοζεν. ἔτι γοῦν καὶ νῦν, ὅσοι ἰητρικῇ μὴ χρέονται, οἵ τε βάρβαροι καὶ τῶν ἑλλήνων ὅμοροι, τὸν αὐτὸν τρόπον ὅνπερ ὑγιαίνοντες διαιτέονται, πρὸς ἡδονήν. καὶ οὔτ᾽ ἂν ἀπόσχοιντο οὐδενὸς ὧν ἐπιθυμέουσιν, οὐδὲ στέλλοιντο. οἱ δὲ ζητήσαντές τε καὶ εὑρόντες ἰητρικὴν, τὴν αὐτὴν κείνοισι διάνοιαν ἔχοντες περὶ ὧν μοι ὁ πρότερος λόγος εἴρηται, πρῶτον μὲν οἶμαι, ὑφεῖλον τοῦ πλήθεος τῶν σιτίων αὐτέων τουτέων, καὶ ἀντὶ πλεόνων ὀλίγα ἐποίησαν. ἐπεὶ δ᾽ αὐτέοισι τοῦτο ἔστι μὲν ὅτε πρός τινας τῶν καμνόντων ἤρκεσε, καὶ φανερὸν ἐγένετο ὠφελῆσαν, οὐ μέντοι πᾶσί γε, ἀλλ᾽ ἦσάν τινες οὕτως ἔχοντες, ὡς μηδ᾽ ὀλίγων σιτίων δύνασθαι ἐπικρατέειν, ἀσθενεστέρου δή τινος ἐδόκεον οἱ τοιοῦτοι δέεσθαι, εὗρον ῥοφήματα μίξαντες ὀλίγα τῶν ἰσχυρῶν πολλῷ τῷ ὕδατι, καὶ ἀφαιρεόμενοι τὸ ἰσχυρὸν τῇ κρήσει τε καὶ ἑψήσει. ὁκόσοι δὲ μηδὲ τῶν ῥοφημάτων ἐδύναντο ἐπικρατέειν, ἀφεῖλον καὶ ταῦτα. καὶ ἀφίκοντο ἐς πόματα, καὶ ταῦτα τῇσί τε κρήσεσι, καὶ τῷ πλήθει διαφυλάσσοντες ὡς μετρίως ἔχῃ, μήτε πλείω τῶν δεόντων, μήτε ἀκρητέστερα προσφερόμενοι, μὴ δ᾽ ἐνδεέστερα. εὖ δὲ χρὴ εἰδέναι τοῦτο, οἷσι τὰ ῥοφήματα ἐν τῇσι νούσοισιν οὐ ξυμφέρει, ἀλλ᾽ ἄντικρυς ὅταν τοῦτο ποιήσωσι παροξύνονται τοῖσιν οἵ, τε πυρετοὶ καὶ τὰ ἀλγήματα. καὶ δῆλον τὸ προσενεχθὲν, τῇ μὲν νούσῳ, τροφή τε καὶ αὔξησις γινόμενον, τῷ δὲ σώματι φθίσις τε καὶ ἀῤῥωστίη. ὁκόσοι δ᾽ ἂν τῶν ἀνθρώπων, ἐν ταύτῃ τῇ διαθέσει ἐόντες, προσενέγκωνται ξηρὸν σιτίον, ἢ μάζαν, ἢ ἄρτον, καὶ ἢν πάνυ σμικρὸν, δεκαπλασίως ἂν μᾶλλον καὶ ἐπιφανέστερον κακωθεῖεν, ἢ ῥοφέοντες, δι᾽ οὐδὲν ἄλλο, ἢ διὰ τὴν ἰσχὺν τοῦ βρώματος πρὸς τὴν διάθεσιν. καὶ ᾧ γε ῥοφεῖν συμφέρει, ἐσθίειν δ᾽ οὔ. εἰ γὰρ πλέω φάγοι, πολὺ ἂν ἔτι κακωθείη. κἢν εἰ ὀλίγα, πονήσειεν ἄν. πάντα δὴ τὰ αἴτια τοῦ πόνου, ἐς τὸ αὐτὸ ἄγεται, τὰ ἰσχυρότατα μάλιστά γε καὶ ἐπιφανέστατα, λυμαίνεσθαι τὸν ἄνθρωπον, καὶ τὸν ὑγιέα ἐόντα, καὶ τὸν νοσέοντα. τί οὖν φαίνεται ἑτεροῖον διανοηθεὶς, ὁ καλεύμενος ἰητρὸς, καὶ ὁμολογημένως χειροτέχνης, ὃς ἐξεῦρε τὴν ἀμφὶ τοὺς κάμνοντας, δίαιτάν τε καὶ τροφὴν, ἢ κεῖνος ὁ ἀπ᾽ ἀρχῆς τοῖσι πᾶσιν ἀνθρώποισι τροφὴν, ἣ νῦν χρεόμεθα ἐξ ἐκείνης τῆς ἀγρίης καὶ θηριώδεος, εὑρών τε καὶ παρασκευάσας διαίτης; ἐμοὶ μὲν γὰρ φαίνεται ωὑτὸς τρόπος, καὶ ἕν τι καὶ ὅμοιον τὸ εὕρημα. ὁ μὲν, ὅσων μὴ ἠδύνατο ἡ φύσις ἡ ἀνθρωπίνη ἐπικρατέειν ὑγιαίνουσα, ἐμπιπτόντων διὰ τὴν ἀγριότητά τε καὶ ἀκρησίην. ὁ δὲ, ὅσων ἡ διάθεσις ἐν οἵῃ ἂν ἑκάστοτε ἕκαστος τύχῃ διακείμενος, μὴ ἦν δυνατὸς ἐπικρατέειν, ταῦτα ἐζήτησεν ἀφελεῖν. τί δὴ τοῦτο ἐκείνου διαφέρει; ἀλλ᾽ ἢ πλέον τό, τε εἶδος, καὶ ὅτι ποικιλώτερον καὶ πλείονος πραγματείης. ἀρχὴ δὲ κείνη, ἡ πρότερον γινομένη. εἰ δέ τις σκέπτοιτο τὴν τῶν καμνόντων δίαιτα πρὸς τὴν τῶν ὑγιαινόντων, εὕροι ἂν βλαβερωτέρην, ἤπερ τὴν ἤ τις τῶν καμνόντων θηρίων τε καὶ τῶν ἄλλων ζώων. ἀνὴρ γὰρ κάμνων νοσήματι, μήτε τῶν χαλεπῶν τε καὶ ἀφόρων, μήτ᾽ αὖ παντάπασιν εὐηθέων, ἀλλ᾽ οὔτε αὐτέῳ ἁμαρτάνοντι μέλλει ἐπίδηλον ἔσεσθαι, εἰ ἐθέλει καταφαγεῖν ἄρτον, κρέα, ἢ ἄλλό τι ὧν ὑγιαίνοντες ἐσθίοντες ὠφελέονται, μὴ πολὺ, ἀλλὰ πολλῷ ἂν ἔλασσω ἢ ὑγιαίνων ἠδύνατο. ἄλλος τε τῶν ὑγιαινόντων φύσιν ἔχων μήτε παντάπασιν ἀσθενέα, μήτ᾽ αὖ ἰσχυρὴν, φαγὼν τί ὧν βοῦς ἢ ἵππος φαγὼν, ὠφελοῖτό τε καὶ ἐσθίει ὀρόβους, ἢ κριθὰς, ἢ ἄλλό τι τῶν τοιουτέων μὴ πολὺ, ἀλλὰ πολλῷ μεῖον, ἢ δύναιτο. κἂν ἧσσον ὑγιαίνων τοῦτο ποιήσας πονήσειέ τε καὶ κινδυνεύσειε, κείνου τοῦ νοσέοντος, ὃς τὸν ἄρτον ἢ τὴν μάζαν ἀκαίρως προσενέγκατο. ταῦτα δὴ πάντα τεκμήρια, ὅτι ταύτῃ ἡ τέχνη ἡ ἰητρικὴ τῇ ὁδῷ ζητεομένη, εὑρίσκοιτο ἄν. καὶ εἰ μὲν ἦν ἁπλῶς ὥσπερ ὑφηγεῖται, ὅσα μὲν ἦν ἰσχυρότερα, ἔβλαπτεν. ὅσα δ᾽ ἦν ἀσθενέστερα, ὠφέλει τε καὶ ἔτρεφε τὸν κάμνοντα καὶ τὸν ὑγιαίνοντα, εὐπετὲς ἂν ἦν τὸ χρῆμα. πολλὸν γὰρ τοῦ ἀσφαλέος ἂν ἔδει περιλαμβάνοντας, ἄγειν ἐπὶ τὸ ἀσθενέστατον. νῦν δὲ οὐκ ἔλασσον ἁμάρτημα, οὐδὲ ἧσσον λυμαίνεται τὸν ἄνθρωπον ἢν ἐλάσσονα καὶ ἐνδεέστερα τῶν ἱκανῶν προσφέρηται. τὸ γὰρ τοῦ λιμοῦ μένος, δύναται ἰσχυρῶς ἐν τῇ φύσει τοῦ ἀνθρώπου, καὶ ὑγιῶσαι καὶ ἀσθενέα ποιῆσαι, καὶ ἀποκτεῖναι. πολλὰ δὲ καὶ ἄλλα κακὰ ἑτεροῖα μὲν τῶν ἀπὸ πληρώσιος, οὐχ ἧσσον δὲ ἅμα δεινὰ κενώσιος. διὸ

ὧν πολλὸν ποικιλωτέρη τε, καὶ διὰ πλέονος ἀκριβείης ἐστί. δεῖ γὰρ μέτρου τινὸς στοχάσασθαι. μέ-
τρον δὲ, οὐδὲ σταθμὸν, οὐδὲ ἀριθμὸν οὐδένα ἄλλον πρὸς ὃ ἀναφέρων εἴσῃ τὸ ἀκριβὲς, οὐκ ἂν εὕροις
ἄλλο ἢ τοῦ σώματος τὴν αἴσθησιν. διὸ ἔργον οὕτω καταμαθεῖν ἀκριβῶς, ὥστε μικρὰ ἁμαρτάνειν
ἔνθα ἢ ἔνθα. κἂν ἐγὼ τοῦτον τὸν ἰητρὸν ἰσχυρῶς ἐπαινέοιμι, τὸν σμικρὰ ἁμαρτάνοντα. τὸ δ' ἀ-
κριβὲς ὀλιγάκις ἐστὶ κατιδεῖν. ἐπεὶ οἱ πολλοί γε τῶν ἰητρῶν, ταὐτά μοι δοκέουσι τοῖσι κακοῖσι
κυβερνήτῃσι πάσχειν. καὶ γὰρ ἐκεῖνοι ὅταν ἐν γαλήνῃ κυβερνῶντες ἁμαρτάνωσιν, οὐ καταφα-
νέες εἰσίν. ὅταν δὲ αὐτοὺς κατάσχῃ ἄνεμός τε μέγας, καὶ χειμὼν, φανερῶς ἤδη πᾶσιν ἀνθρώ-
ποισι δι' ἀγνωσίην καὶ ἁμαρτίην δῆλοί εἰσιν ἀπολέσαντες τὴν ναῦν. οὕτω δὴ καὶ οἱ κακοί τε καὶ
πλεῖστοι ἰητροί. ὅταν μὲν θεραπεύωσιν ἀνθρώπους μηδὲν δεινὸν ἔχοντας, ὧν οὓς ἄν τις καὶ τὰ
μέγιστα ἁμαρτάνων, οὐδὲν δεινὸν ἐργάσαιτο (πολλὰ δὲ τὰ τοιαῦτα νοσήματα, καὶ πολὺ πλέον
τῶν δεινῶν ἀνθρώποισι συμβαίνει) ἐν μὲν δὴ τοῖσι τοιούτοισιν ἁμαρτάνοντες, οὐ καταφανέες
εἰσὶ τοῖσιν ἰδιώτῃσιν. ὁκόταν δὲ τύχωσι μεγάλῳ τε καὶ ἰσχυρῷ καὶ ἐπισφαλεῖ νοσήματι, τότε
σφέων τὰ ἁμαρτήματα καὶ ἡ τέχνη πᾶσι καταφανής ἐστιν. οὐ γὰρ ἐς μακρὸν αὐτέων ἑκάστου
αἱ τιμωρίαι, ἀλλὰ διὰ ταχέος πάρεισιν. ὅτι δὲ οὐδὲν ἐλάσσους ἀπὸ κενώσιος ἀκαίρου κακοπά-
θειαι γίνονται τῷ ἀνθρώπῳ, ἢ καὶ ἀπὸ πληρώσιος, καταμανθάνειν καλῶς ἔχει, ἐπαναφέρον-
τας ἐπὶ τοὺς ὑγιαίνοντας. ἔστι γὰρ οἷσιν αὐτέων ξυμφέρει, μονοσιτέειν. καὶ τοῦτο διὰ τὸ ξυμφέρον
τοῖσιν αὐτοῖσιν ἐτάξαντο. ἄλλοισί τε ἀριστᾶν, διὰ τὴν αὐτὴν ἀνάγκην. οὕτω γὰρ αὐτοῖς ξυμφέ-
ρει, καὶ μὴ τούτοισιν οἱ δι' ἡδονὴν ἢ δι' ἄλλην τινὰ συγκυρίην, ἐπετήδευσαν ὁπότερον αὐτέων.
τοῖσι μὲν γὰρ πλείστοισι τῶν ἀνθρώπων, οὐδὲν διαφέρει πότερον ἂν ἐπιτηδεύσωσιν, εἴτε μονο-
σιτέειν, εἴτε ἀριστᾶν, τούτῳ τῷ ἔθει χρῆσθαι. εἰσὶ δέ τινες οἳ οὐκ ἂν δύναιντο ἔξω τοῦ συμφέροντος
ποιέοντες, ῥηϊδίως ἀπαλλάσσειν. ἀλλὰ ξυμβαίνει αὐτέων ἑκατέροισι, παρ' ἡμέρην μίην καὶ
ταύτην οὐχ ὅλην μεταβάλλουσιν, ὑπερφυὴς κακοπαθίη. οἱ μὲν γὰρ ἢν ἀριστήσωσι μὴ ξυμφέρον-
τος αὐτέοισιν, εὐθὺς βαρέες, καὶ νωθροὶ τὸ σῶμα, καὶ τὴν γνώμην, χάσμης τε καὶ νυσταγμοῦ
καὶ δίψης πλήρεες. ἢν δὲ ἐπιδειπνήσωσι, καὶ φῦσα, καὶ στρόφος, καὶ ἡ κοιλίη καταρρήγνυται. καὶ
πολλοῖσιν ἀρχὴ νόσου αὕτη μεγάλης ἐγένετο, ἢν τὰ αὐτὰ σιτία ἃ μεμαθήκει ἅπαξ ἀναλί-
σκειν, δὶς προσενέγκηται καὶ μηδὲν ἔτι πλέον. τοῦτο δὲ εἰ ἀριστᾶν μεμαθηκώς τις, καὶ οὕτως αὐτέῳ
ξυμφέρον, μὴ ἀριστήσῃ, ὅταν τάχιστα παρέλθῃ ἡ ὥρη, εὐθὺς ἀδυναμίη δεινὴ, τρόμος, ἀψυχίη.
ἐπὶ τούτοισιν, ὀφθαλμοὶ χλωρότεροι. οὖρον παχὺ καὶ θερμόν. στόμα πικρόν. καὶ τὰ σπλάγχνα
οἱ δοκεῖ κρεμᾶσθαι. σκοτοδινίη. δυσοργίη. δυσθυμίη. ταῦτα δὲ πάντα, ὅταν δειπνεῖν ἐπιχει-
ρέῃ. ἀναλίσκειν δὲ οὐ δυνατὸς ὁ ἀριστιζόμενος, ἃ πρότερον ἐδείπνει. ταῦτα δὲ αὐτὰ μετὰ στρό-
φου τε καὶ ψόφου καταβαίνοντα συγκαίει τὴν κοιλίην. δυσκοιτέουσί τε καὶ ἐνυπνιάζονται τετα-
ραγμένα καὶ θορυβώδεα. πολλοῖσι δὲ καὶ τουτέων, αὕτη ἀρχὴ νόσου ἐγένετο. σκέψασθαι δὲ χρὴ διὰ
τινας προφάσιας αὐτέοισι ταῦτα ξυνέβη. τῷ μὲν οἶμαι μεμαθηκότι μονοσιτέειν, ὅτι οὐκ ἀνέ-
μεινε τὸν χρόνον τὸν ἱκανὸν μέχρις αὐτέου ἡ κοιλίη, τῶν τῇ προτεραίῃ προσενηνεγμένων σιτίων
ἀπολαύσῃ τελέως, καὶ ἐπικρατήσῃ, καὶ λαπαχθῇ τε καὶ ἡσυχάσῃ. ἀλλ' ἐπιζεουσάν τε καὶ ἐζυ-
μωμένην, καινὰ ἐπεσηνέγκατο. αἱ δὲ τοιαῦται κοιλίαι, πολλῷ τε βραδύτερον πέσσουσι,
καὶ πλέονος δέονται ἀναπαύσιός τε καὶ ἡσυχίης. ὁ δὲ μεμαθηκὼς ἀριστίζεσθαι, ὅτι οὐκ ἐπει-
δὴ τάχιστα ἐδεήθη τροφῆς τὸ σῶμα, καὶ τὰ πρότερα κατανάλωτο, καὶ οὐκ ἔχει οὐδεμίαν
ἀπόλαυσιν, εὐθέως αὐτέῳ παρεγένετο καινὴ τροφή. φθίνει δὲ καὶ συντήκεται ὑπὸ λιμοῦ.
πάντα γὰρ, ἃ λέγω πάσχειν τὸν τοιοῦτον ἄνθρωπον, λιμῷ ἀνατίθημι. φημὶ δὲ καὶ τοὺς ἄλλους
ἀνθρώπους ἅπαντας, οἵ τινες ἂν ἄσιτοι δύο ἢ τρεῖς ἡμέρας γένωνται, ταῦτα πείσεσθαι, οἷα
περὶ τῶν ἀναρίστων γενομένων εἴρηκα. τὰς δὲ τοιαύτας φύσιας ἔγωγέ φημι, ταχέως τε καὶ ἰσχυ-
ρῶς τῶν ἁμαρτημάτων ἀπολαυούσας, ἀσθενεστέρας εἶναι τῶν ἑτέρων. ἐγγύτατα δὲ τοῦ ἀσθενέοντος
ἐστιν ὁ ἀσθενής. ἔστι δὲ ἀσθενέστερος ὁ ἀσθενέων, καὶ μᾶλλον αὐτῷ προσήκει, ὅ, τι ἂν τοῦ καιροῦ ἀπο-
τυγχάνῃ πονέειν. χαλεπὸν δὲ τοιαύτης ἀκριβείης ἐούσης περὶ τὴν τέχνην, τυγχάνειν αἰεὶ τοῦ
ἀτρεκεστάτου. πολλὰ δὲ εἴδεα κατ' ἰητρικὴν ἐς τοσαύτην ἀκριβείην ἥκει, περὶ ὧν εἰρήσεται.
οὔ φημι δὴ διὰ τοῦτο δεῖν τὴν τέχνην ὡς οὐκ ἐοῦσαν, οὐδὲ καλῶς ζητεομένην τὴν ἀρχαίην
ἀποβαλέσθαι, εἰ μὴ ἔχει περὶ πάντα ἀκριβείην. ἀλλὰ πολὺ μᾶλλον διὰ τὸ ἐγγὺς εἶναι τοῦ

ἀτρεκέστατα ὅμως δύνασθαι ἥκειν λογισμῷ, ἐκ πολλῆς ἀγνωσίης, θαυμάζειν τὰ ἐξευρημένα, ὡς καλῶς καὶ ὀρθῶς ἐξεύρηται, καὶ οὐκ ἀπὸ τύχης. ἐπὶ δὲ τῶν τὸν καινὸν τρόπον τὴν τέχνην ἐξ ὑποθέσιος ζητεόντων λόγον ἐπανελθεῖν βούλομαι. εἰ γάρ ἐστι θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρὸν, τὸ λυμαινόμενον τὸν ἄνθρωπον, καὶ δεῖ τὸν ὀρθῶς ἰητρεύοντα βοηθεῖν, τῷ μὲν θερμῷ, ἐπὶ τὸ ψυχρόν. τῷ δὲ ψυχρῷ, ἐπὶ τὸ θερμόν. τῷ δὲ ξηρῷ, ἐπὶ τὸ ὑγρόν. τῷ δ' ὑγρῷ, ἐπὶ τὸ ξηρόν, ἔστω μοι ἄνθρωπος, μὴ τῶν ἰσχυρῶν φύσει, ἀλλὰ τῶν ἀσθενεστέρων. οὗτος δὲ πυροὺς ἐσθιέτω οὓς ἂν ἀπὸ τῆς ἅλω ἀνέλῃ, ὠμοὺς καὶ ἀργούς. καὶ κρέα ὠμά. καὶ πινέτω ὕδωρ. ταύτῃ χρώμενος τῇ διαίτῃ, εὖ οἶδ' ὅτι πείσεται πολλὰ καὶ δεινά. καὶ γὰρ πόνους πονήσει. καὶ τὸ σῶμα ἀσθενὲς ἔσται. καὶ ἡ κοιλίη φθαρήσεται. καὶ ζῆν πολὺν χρόνον οὐ δυνήσεται. τί δεῖ τοι γὰρ οὖν βοήθημα παρασκευάζεσθαι ὧδ' ἔχοντι; θερμὸν ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρόν. ἁπλῶς γὰρ ὅτι τούτων τι. εἰ γὰρ τὸ λυμαινόμενον αὐτῶν ἐστι τούτων τὸ ἕτερον, τὸ ὑπεναντίον προσήκει λῦσαι, ὡς ὁ ἐκείνων λόγος ἔχει. τὸ μὲν γὰρ βεβαιότατόν τε καὶ προφανέστατον φάρμακον, ἀφελόντα τὰ διαιτήματα, οἷσιν ἐχρῆτο. ἀντὶ μὲν τῶν πυρῶν, ἄρτον διδόναι. ἀντὶ δὲ τῶν ὠμῶν κρεῶν, ἑφθά. πιεῖν τε ἐπὶ τούτοισιν οἶνον. ταῦτα μεταβάλλοντα οὐχ οἷόν τε μὴ ὑγιέα γενέσθαι, ἤν γε μὴ παντάπασιν ἦ διεφθαρμένος ὑπὸ χρόνου τε καὶ τῆς διαίτης. τί δὴ φήσομεν; πότερον αὐτέῳ ὑπὸ ψυχροῦ κακοπαθέοντι θερμὰ ταῦτα προσενέγκαντες ὠφέλησαν, ἢ τἀναντία; οἶμαι γοῦν ἔγωγε πολλὴν ἀπορίην ἐρωτηθέντι παρασχεῖν. ὁ γὰρ τὸν ἄρτον σκευάζων τῶν πυρῶν, τὸ θερμὸν, ἢ τὸ ψυχρὸν, ἢ τὸ ξηρὸν, ἢ τὸ ὑγρὸν ἀφεῖλεν. ὁ γοῦν καὶ πυρὶ καὶ ὕδατι δέδοται καὶ πολλοῖσιν ἄλλοισιν εἴργασται, ὧν ἕκαστον ἰδίην δύναμιν καὶ φύσιν ἔχει. καὶ τὰ μὲν τῶν ὑπαρχόντων ἀποβέβληκεν. ἄλλοισι δὲ κέκρηται καὶ μέμικται. οἶδα μὲν γὰρ καὶ τάδε δήπου, ὅτι διαφέρει εἰς τὸ σῶμα τοῦ ἀνθρώπου, καθαρὸς ἄρτος ἢ συγκομιστός. ἢ ἀπτίστων πυρῶν, ἢ ἐπτισμένων, ἢ πολλῷ ὕδατι πεφυρημένος, ἢ ἀφύρητος. ἢ ἐξοπτὸς, ἢ ὠμός. ἄλλα τε πρὸς τουτέοισι μυρία. ὡς δ' αὕτως καὶ περὶ μάζης. καὶ αἱ δυνάμιες δὲ μεγάλαι τε ἑκάστου, καὶ οὐδὲν ἡ ἑτέρη τῇ ἑτέρῃ ἐοικυῖα. ὅστις δὲ ταῦτα μὴ σκεπτόμενος, οὐκ οἶδε, πῶς ἄν τι οὗτος δύναιτο τῶν περὶ τὸν ἄνθρωπον παθημάτων εἰδέναι; ὑπὸ γὰρ ἑνὸς ἑκάστου τουτέων, πάσχει τε καὶ ἑτεροιοῦται ὥνθρωπος, ἢ τοῖον, ἢ τοῖον. καὶ διὰ τουτέων πᾶς ὁ βίος καὶ ὑγιαίνοντι καὶ ἐκ νόσου ἀνατρεφομένῳ καὶ κάμνοντι. οὐκ ἂν οὖν ἕτερα τουτέων χρησιμώτερα, οὐδ' ἀναγκαιότερα εἴη εἰδέναι δήπου. ὡς δὲ καλῶς καὶ λογισμῷ προσήκοντι ζητήσαντες, πρὸς τὴν τοῦ ἀνθρώπου φύσιν εὗρον αὐτά, οἱ πρῶτοι εὑρόντες. καὶ ᾠήθησαν ἀξίην τὴν τέχνην θεῷ προσθεῖναι, ὡς καὶ νομίζεται. οὐ γοῦν τὸ ξηρόν. οὐδὲ τὸ ὑγρόν. οὐδὲ τὸ θερμόν. οὐδὲ τὸ ψυχρὸν, οὐδ' ἄλλο τουτέων οὐδὲν ἡγησάμενοι, οὔτε λυμαίνεσθαι, οὔτε προσδέεσθαι οὐδενὸς τουτέων τὸν ἄνθρωπον. ἀλλ' ὅ, τι ἰσχυρὸν ἑκάστου, καὶ τὸ κρέσσον τῆς φύσιος τῆς ἀνθρωπίνης, οὗ μὴ ἠδύνατο κρατέειν, τοῦτο βλάπτειν ἡγήσαντο. καὶ τοῦτο ἐζήτησαν ἀφελέειν. ἰσχυρότατον δέ ἐστι, τοῦ μὲν γλυκέος, τὸ γλυκύτατον. τοῦ δὲ πικροῦ, τὸ πικρότατον. τοῦ δὲ ὀξέος, τὸ ὀξύτατον. ἑκάστου δὲ πάντων τῶν ἐόντων, ἡ ἀκμή. ταῦτα γοῦν ἑώρων καὶ τῷ ἀνθρώπῳ συνεόντα, καὶ λυμαινόμενα τὸν ἄνθρωπον. ἔνι γοῦν ἐν ἀνθρώπῳ, καὶ πικρὸν. καὶ ἁλμυρὸν. καὶ γλυκύ. καὶ ὀξύ. καὶ στρυφνόν. καὶ πλαδαρόν. καὶ ἄλλα μυρία παντοίας δυνάμιας ἔχοντα, πλῆθός τε καὶ ἰσχύν. ταῦτα μὲν μεμιγμένα καὶ κεκρημένα ἀλλήλοισιν, οὔτε φανερά ἐστιν, οὔτε λυπεῖ τὸν ἄνθρωπον. ὅταν δέ τι τουτέων ἀποκριθῇ καὶ αὐτὸ ἐφ' ἑωυτοῦ γένηται, τότε καὶ φανερόν ἐστι, καὶ λυπεῖ τὸν ἄνθρωπον. τοῦτο δὲ τῶν βρωμάτων ὅσα, ἡμῖν ἀνεπιτήδειά ἐστι καὶ λυμαίνεται τὸν ἄνθρωπον ἐμπεσόντα, τουτέων ἕκαστον, ἢ πικρόν τι καὶ ἄκρητόν ἐστιν. ἢ ἁλμυρόν. ἢ ὀξύ. ἢ ἄλλο τι ἄκρητόν τε καὶ ἰσχυρόν. καὶ διὰ τοῦτο ταρασσόμεθα ὑπ' αὐτέων. ὥσπερ καὶ ὑπὸ τῶν ἐκ τοῦ σώματος ἀποκρινομένων. πάντα δὲ ὅσα ἄνθρωπος ἐσθίει ἢ πίνει, τὰ τοιαῦτα βρώματα ἥκιστα τουτέου χυμοῦ ἀκρήτου τε καὶ διαφέροντος, δῆλα ἐστι μετέχοντα. οἷον ἄρτος τε καὶ μάζα, καὶ τὰ ἑπόμενα τουτέοισιν, οἷσιν εἴθισται ὥνθρωπος πλείστοισί τε καὶ αἰεὶ χρέεσθαι. ἔξω τῶν πρὸς ἡδονήν τε καὶ κόρον, ἠρτυμένων τε καὶ ἐσκευασμένων. καὶ ἀπὸ τουτέων πλείστων εἰσιόντων εἰς τὸν ἄνθρωπον, ταραχή τε καὶ ἀπόκρισις τῆς ἀμφὶ τὸ σῶμα δυνάμιος, ἥκιστα γίνεται. ἰσχύς τε καὶ αὔξησις, καὶ τροφὴ μάλιστα δι' οὐδὲν ἕτερον γίνεται, ἢ ὅτι εὖ τε συγκέκρηται, καὶ οὐδὲν ἔχει ἄκρητον, οὐδὲ ἰσχυρόν. ἀλλ' ὅλον ἕν τε γέγονε, καὶ ἁπλόον, καὶ ἰσχυρόν. ἀπορέω δ' ἔγωγε, οἱ τὸν λόγον ἐκεῖνον λέγοντες, καὶ ἀπάγοντες ἐκ ταύτης τῆς ὁδοῦ ἐπὶ ὑπόθεσιν τὴν τέχνην, τίνα ποτὲ τρόπον θεραπεύσουσι τοὺς ἀνθρώπους, ὥσπερ ὑποτίθενται. οὐ γάρ ἐστιν

αὐτέοισι

αὐτέοισι, ὡς ἐγὼ οἶμαι, δεῖ εὑρημένον αὐτό τι ἐφ' ἑωυτοῦ θερμὸν, ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρὸν, μηδενὶ ἄλλῳ εἴδει κοινωνέον. ἀλλ' οἶμαι ἔγωγε ταῦτα πόματα καὶ βρώματα αὐτέοισιν ὑπάρχειν, οἷσι πάντες χρώμεθα. προσθήσει δὲ τῷ μὲν, εἶναι θερμῷ. τῷ δὲ, ψυχρῷ. τῷ δὲ, ξηρῷ. τῷ δὲ, ὑγρῷ. ἐπεὶ ἐκεῖνό γε ἄπορον προστάξαι τῷ κάμνοντι, θερμόν τι προσενέγκασθαι. εὐθὺς γὰρ ἐρωτήσει τί ἐστιν, ὥστε λῆρεῖν ἀνάγκη, ἢ ἐν τουτέων τί τῶν γινομένων καταφυγεῖν. εἰ δὲ δὴ τυγχάνει τὸ μὲν θερμὸν ἐὸν στρυφνὸν. ἄλλο δὲ θερμὸν, πλαδαρόν. ἄλλο δὲ θερμὸν, ἄραδον ἔχον. ἔστι γὰρ καὶ ἄλλα τε θερμὰ, καὶ ἄλλας δυνάμιας ὑπεναντίας ἑωυτοῖσιν ἔχοντα, δεήσει δέ τι αὐτέων προσενεγκεῖν, ἢ τὸ θερμὸν καὶ στρυφνόν. ἢ τὸ θερμὸν καὶ πλαδαρόν. ἢ ἅμα τὸ ψυχρὸν καὶ στρυφνόν. ἔστι γὰρ καὶ τοῦτο καὶ τὸ ψυχρόν τε καὶ πλαδαρόν. ὡς μὲν γὰρ ἔγωγε οἶδα, πᾶν τοὐναντίον ἐφ' ἑκατέρου αὐτέων ἀποβαίνει. καὶ οὐ μόνον ἐν ἀνθρώπῳ, ἀλλὰ καὶ ἐν σκύτει, καὶ ἐν ξύλῳ, καὶ ἐν ἄλλοισι πολλοῖσιν, ἅ ἐστιν ἀνθρώπου ἀναισθητότερα. οὐ γὰρ τὸ θερμόν ἐστι τὸ τὴν μεγάλην δύναμιν ἔχον, ἀλλὰ τὸ στρυφνὸν καὶ πλαδαρὸν, καὶ τἄλλα ὅσα μοι εἴρηται, καὶ ἐν τῷ ἀνθρώπῳ, καὶ ἔξω τοῦ ἀνθρώπου, καὶ ἐσθιόμενα καὶ πινόμενα, καὶ ἔξωθεν ἐπιχριόμενά τε καὶ προσπλασσόμενα. ψυχρότητα δ' ἔγωγε καὶ θερμότητα πασέων ἥκιστα τῶν δυναμίων νομίζω δυναστεύειν ἐν τῷ σώματι, διὰ τάσδε τὰς προφάσιας. ὃν μὲν ἂν χρόνον μεμιγμένα αὐτὰ αὐτέοισιν ἅμα τὸ ψυχρὸν καὶ θερμὸν ᾖ, οὐ λυπέει. κρῆσις γὰρ καὶ μετριότης, τῷ μὲν ψυχρῷ, γίνεται ἀπὸ τοῦ θερμοῦ. τῷ δὲ θερμῷ, ἀπὸ τοῦ ψυχροῦ. ὅταν δὲ ἀποκριθῇ χωρὶς ἑκάτερον, τότε λυπέει. ἐν δὲ δὴ τουτέῳ τῷ καιρῷ, ὅταν τὸ ψυχρὸν ἐγγένηται, καὶ λυπήσῃ τὸν ἄνθρωπον διὰ τάχεος, πρῶτον δι' αὐτὸ τοῦτο πάρεστι τὸ θερμὸν αὐτόθεν ἐκ τοῦ ἀνθρώπου, οὐδεμιῆς βοηθείης, οὐδὲ παρασκευῆς δεόμενον. καὶ ταῦτα καὶ ἐν ὑγιαίνουσι τοῖσιν ἀνθρώποισιν ἀπεργάζεται καὶ ἐν κάμνουσιν. τοῦτο μὲν, εἴ τις θέλει ὑγιαίνων χειμῶνος διαψύξαι τὸ σῶμα, ἢ λουσάμενος ψυχρῷ, ἢ ἄλλῳ τῷ τρόπῳ, ὅσῳ ἂν αὐτὸ ἐπὶ πλέον ποιήσῃ. καὶ ἦν γε μὴ παντάπασι παγῇ τὸ σῶμα, ὅταν εἵματα λάβῃ καὶ ἔλθῃ ἐς τὴν σκέπην, μᾶλλον καὶ ἐπὶ πλέον θερμαίνεται τὸ σῶμα. τοῦτο δὲ εἰ ἐθέλοι ἐκθερμανθῆναι στερεῶς, ἢ λουτρῷ θερμῷ, ἢ πολλῷ πυρί. ἐκ δὲ τουτέου, τὸ ωὐτὸ εἷμα ἔχων ἐν τῷ αὐτέῳ χωρίῳ τὴν διατριβὴν ποιέεσθαι. ὥσπερ ὁ διεψυγμένος πολὺ φανεῖται καὶ ψυχρότερος, καὶ ἄλλως φρικαλεώτερος, ἢ ῥιπιζόμενός τις ὑπὸ πνίγεος καὶ παρασκευάζων αὐτὸς ἑωυτῷ ψῦχος ἐκ τουτέου τοῦ τρόπου διαπαύσαι. τῷ τοῦτο ποιέοντι δεκαπλάσιον πάρεστι τὸ καῦμα καὶ τὸ πνῖγος, ἢ τῷ μηδὲν τουτέων ποιέοντι. τάδε δὴ καὶ πουλὺ μείζω, ὅσοι ἂν διὰ χιόνος ἢ ἄλλης ψύξιος βαδίσαντες, ῥιγώσωσι διαφερόντως, πόδας, ἢ χεῖρας, ἢ κεφαλὴν, οἷα πάσχουσιν ἐς τὴν νύκτα, ὅταν περισταλέωσί τε, καὶ ἐν ἀλέῃ γένωνται ὑπὸ καύματος καὶ κνησμοῦ, καὶ ἔστιν οἷσι φλυκταῖναι ἀνίστανται ὡς ἀπὸ πυρὸς κατακεκαυμένοισι. καὶ οὐ πρότερον τοῦτο πάσχουσι, πρὶν ἢ θερμανθῶσιν. οὕτως ἑτοίμως ἑκάτερον αὐτέων ἐπὶ θάτερα παραγίνεται. μυρία δ' ἂν καὶ ἕτερα ἔχοιμι εἰπεῖν. τὰ δὲ κατὰ τοὺς νοσέοντας, οὐχ οἷσιν ἂν ῥῖγος γένηται τουτέοισιν ὀξύτατος ὁ πυρετὸς ἐκλάμπει. καὶ οὐχ οὕτως ἰσχυρῶς, ἀλλὰ καὶ παυόμενος δι' ὀλίγου, καὶ ἄλλως τὰ πολλὰ ἀσινὴς, καὶ ὅσον ἂν χρόνον παρῇ διάθερμος, καὶ διεξιὼν διὰ παντὸς τελευτάων ἐς τοὺς πόδας μάλιστα, ὅπερ τὸ ῥῖγος καὶ ἡ ψύξις νεηνικωτάτη, καὶ ἐπὶ πλέον ἐγχρονίσει. πάλιν δὲ ὅταν ἱδρώσῃ καὶ ἀπαλλαγῇ ὁ πυρετὸς, πολὺ μᾶλλον ἐψύχθη, ἢ εἰ μὴ ἔλαβε τὴν ἀρχήν. ᾧ οὖν διὰ ταχέος οὕτω παραγίνεται τὸ ἐναντιώτατόν τε καὶ ἀφελόμενον τὴν δύναμιν ἀπὸ ταυτομάτου, τί ἂν ἀπὸ τουτέου μέγα ἢ δεινὸν γένοιτο; ἢ τίνος δεῖ πολλῆς ἐπὶ τουτέῳ βοηθείας; εἴποιμ' ἄν τις. ἀλλ' οἱ πυρεταίνοντες τοῖσι καύσοισί τε καὶ περιπλευμονίῃσι, καὶ ἄλλοισιν ἰσχυροῖσι νουσήμασιν, οὐ ταχέως ἐκ τῆς θέρμης ἀπαλλάσσονται. οὐδὲ πάρεστιν ἐνταῦθα τὸ θερμὸν ἐπὶ τὸ ψυχρόν. ἐγὼ δὲ τοῦτό μοι μέγιστον τεκμήριον ἡγεῦμαι εἶναι, ὅτι οὐ διὰ τὸ θερμὸν ἁπλῶς πυρεταίνουσιν οἱ ἄνθρωποι, οὐδὲ τοῦτ' εἴη τὸ αἴτιον τῆς κακώσιος μοῦνον. ἀλλ' ἔστι καὶ πικρὸν, καὶ θερμὸν τὸ αὐτό. καὶ θερμὸν καὶ ὀξύ. καὶ ἁλμυρὸν καὶ θερμόν. καὶ ἄλλα μυρία. καὶ πάλιν γε ψυχρὸν μετὰ δυναμίων ἑτέρων. τὰ μὲν οὖν λυμαινόμενα, ταῦτ' ἐστί. συμπάρεστι δὲ καὶ τὸ θερμὸν, ῥώμης μετέχον. ὡς ἂν τὸ ἡγεύμενον, καὶ παροξυνόμενον, καὶ αὐξανόμενον ἅμα κείνῳ. δύναμιν δὲ οὐδεμίην πλείω τῆς προσηκούσης δηλαδή. ταῦτ' ὧδε ἔχει. ἐπὶ τῶνδε τῶν σημείων, πρῶτον μὲν ἐστὶ φανερώτατα, ὧν πάντες ἔμπειροι πολλάκις ἤδη ἐσμέν τε καὶ γενόμεθα. τοῦτο μὲν ὅσοισιν ἂν ἡμέων κόρυζα ἐγγένηται, καὶ ῥεῦμα κινηθῇ διὰ τῶν

ῥινέων

ῥινέων, ὅταν ὡς πολὺ δριμύτερον τοῦ πρότερον γινόμενόν τε καὶ ἰόντος, ἐκ τῶν ῥινέων καθ' ἑκάστην ἡμέρην, καὶ οἰδέειν μὲν ποιέει τὴν ῥῖνα, καὶ συγκαίει θερμήν τε καὶ διάπυρον ἐσχάτως. ἢν δὲ τὴν χεῖρα προσφέρῃς, καὶ πλέω χρόνον παρῇ, καὶ τὸ ἐξελκοῦται τὸ χωρίον, ἄσαρκόν τε καὶ σκληρὸν ἐόν. παύεται δέ πως τό γε καῦμα ἐκ τῆς ῥινὸς, οὐχ ὅταν τὸ ῥεῦμα γίνηται, καὶ ἡ φλεγμονὴ ᾖ. ἀλλ' ἐπειδὰν παχύτερόν τε καὶ ἧσσον δριμὺ, πέπον τε καὶ μεμιγμένον μᾶλλον, τοῦ πρότερον γινόμενον, τότ' ἤδη καὶ τὸ καῦμα πέπαυται. ἀλλ' οἷσι δὲ ὑπὸ ψύχεος, φανερῶς αὐτοῦ μούνου γίνεται, μηδενὸς ἄλλου ξυμπαραγινομένου. πᾶσιν δὲ αὕτη ἡ ἀπαλλαγὴ, ἐκ μὲν τοῦ ψύχεος διαθερμανθῆναι. ἐκ δὲ τοῦ καύματος, διαψυχθῆναι. καὶ ταῦτα ταχέως παραγίνεται. καὶ πέψιος οὐδεμιῆς προσδεῖται. τὰ δ' ἄλλα πάντα ὅσα διὰ χυμῶν δριμύτητας καὶ ἀκρησίας φημὶ ἔγωγε γίνεσθαι, τὸν αὐτὸν τρόπον ἀποκαθίσταταί τε κρηθέντα, καὶ πεφθέντα, οἷα τε αὖ ἤδη τῶν ὀφθαλμοὺς τρέπεται τῶν ῥευμάτων, ὡς ἰσχυρὰς καὶ παντοίας δριμύτητας ἔχοντα. ἑλκοῖ μὲν, βλέφαρα. κατεσθίει δὲ, ἐνίων γνάθους τε, καὶ τὰ ὑπὸ τοῖσιν ὀφθαλμοῖς, ἐφ' ὅ, τι ἂν ἐπιῤῥυῇ, ῥήγνυσί τε καὶ διεσθίει τὸν ἀμφὶ τὴν ὄψιν χιτῶνα. ὀδύναι δὲ καὶ καῦμα καὶ φλογμὸς ἔσχατος κατέχει μέχρι τινὸς, μέχρις ἂν τὰ ῥεύματα πεφθῇ, καὶ γένηται παχύτερα, καὶ λήμη ἀπ' αὐτέων ἔῃ. τὸ δὲ πεφθῆναι γίνεται, ἐκ τοῦ μιχθῆναι, κρηθῆναί τε ἀλλήλοισι, καὶ συνεψηθῆναι. ὅταν δ' ὅσα ἐς τὴν φάρυγγα, ἀφ' ὧν βράγχοι γίνονται. κυνάγχαι. ἐρυσιπέλατα. περιπλευμονίαι. πάντα ταῦτα τὸ μὲν πρῶτον ἁλμυρά τε καὶ ὑγρὰ, καὶ δριμέα ἀφίει. καὶ ἐν τοῖσι τοιούτοισιν, ἔῤῥωται τὰ νοσήματα. ὅταν δὲ παχύτερα καὶ πεπαίτερα γένηται, καὶ πάσης δριμύτητος ἀπηλλαγμένα, τότ' ἤδη καὶ οἱ πυρετοὶ λύονται, καὶ τἄλλα τὰ λυπέοντα τὸν ἄνθρωπον. δεῖ δὲ δήπου ταῦτα αἴτια ἑκάστου ἡγεῖσθαι. ὧν παρεόντων μὲν, τοιοῦτον τρόπον ἀνάγκη γίνεσθαι. μεταβαλλόντων δὲ ἐς ἄλλην κρῆσιν, παύεσθαι. ὁπόταν οὖν ἀπ' αὐτῆς τῆς θέρμης εἰλικρινέος ἢ ψύξιος γίνηται, καὶ μὴ μετέχῃ ἄλλης δυνάμιος μηδεμιῆς, οὕτω παύοιτ' ἂν, ὅταν μεταβάλλῃ ἐκ τοῦ ψυχροῦ, ἐς τὸ θερμὸν. καὶ ἐκ τοῦ θερμοῦ, ἐς τὸ ψυχρόν. μεταβάλλει δ' ὅν μοι προείρηται τρόπον. ἔτι τοίνυν τἄλλα ὅσα κακοπαθέει ἄνθρωπος, πάντα ἀπὸ δυναμίων γίνεται. ὅταν μὲν, ὅταν πικρότης τις ἀποχυθῇ, ἣν δὴ χολὴν ξανθὴν καλέομεν, οἷαι ἄσαι. καὶ καῦμα καὶ ἀδυναμίαι κατέχουσιν. ἀπαλλασσόμενοί τε τούτου ἐνίοτε, καὶ καθαιρόμενοι, ἢ αὐτόματοι, ἢ ὑπὸ φαρμάκου, ἢν ἐν καιρῷ τι αὐτέων γένηται, φανερῶς καὶ τῶν πόνων καὶ τῆς θέρμης ἀπαλλάσσονται. ὅσον δ' ἂν χρόνον ταῦτα μετέωρα ᾖ καὶ ἄπεπτα καὶ ἄκρητα, μηχανὴ οὐδεμίη, οὔτε τῶν πόνων παύσασθαι, οὔτε τῶν πυρετῶν. καὶ οἷσι μὲν ὀξύτητες προσίστανται δριμεῖαί τε καὶ ἰώδεες, οἷαι λύσσαι, καὶ δήξιες σπλάγχνων καὶ θώρηκος καὶ ἀπορίη, οὐ παύεται τούτου πρότερον πρὶν ἀποκαθαρθῇ τε καὶ καταστορεσθῇ, καὶ μιχθῇ τοῖσιν ἄλλοισι. πέσσεσθαι δὲ, καὶ μεταβάλλειν, καὶ λεπτύνεσθαι καὶ παχύνεσθαι ἐς χυμῶν εἶδος, διὰ πολλῶν εἰδέων καὶ παντοίων. διὸ καὶ αἱ κρίσιες καὶ οἱ ἀριθμοὶ τῶν χρόνων, ἐν τοῖσι τοιούτοισι μέγα δύνανται. πάντων δὴ τουτέων, ἥκιστα προσήκει θερμῷ ἢ ψυχρῷ πάσχειν. οὔτε γὰρ ἂν τοῦτό γε σαπῇ, οὔτε παχυνθῇ. τί δ' ἂν αὐτὸ φαίημεν εἶναι; κρήσιας τε αὐτέων οὔσας, πλὴν πρὸς ἄλληλα ἔχουσα δύναμιν. ἐπεὶ ἄλλῳ γε οὐδενὶ τὸ θερμὸν μιχθὲν παύσεται τῆς θέρμης, ἢ τῷ ψυχρῷ. οὐδ' ἔγε πάλιν τὸ ψυχρὸν, ἢ τῷ θερμῷ. τὰ δ' ἄλλα περὶ τὸν ἄνθρωπον, ὅσῳ ἂν πλέοσι μίσγηται, τοσούτῳ ἠπιώτερα καὶ βελτίονα. πάντων δὲ ἄριστα διάκειται ὤνθρωπος ὅταν πέσσηται καὶ ἐν ἡσυχίῃ ᾖ, μηδεμίην δύναμιν ἰδίην ἀποδεικνύμενος. περὶ μὲν οὖν τουτέων, ἱκανῶς μοι ἡγεῦμαι ἐπιδεδεῖχθαι. λέγουσι δέ τινες καὶ ἰητροὶ, καὶ σοφισταὶ, ὡς οὐκ ἔνι δυνατὸν ἰητρικὴν εἰδέναι, ὅστις μὴ οἶδεν ὅ, τί ἐστιν ἄνθρωπος καὶ ὅπως ἐγένετο πρῶτον. καὶ ὅπως συνεπάγη. ἐγὼ δὲ τουτέων μὲν ὅσα τινὶ εἴρηται σοφιστῇ, ἢ ἰητρῷ, ἢ γέγραπται περὶ φύσιος, ἧσσον νομίζω τῇ ἰητρικῇ τέχνῃ προσήκειν, ἢ τῇ γραφικῇ. νομίζω δὲ ὅτι περὶ φύσιος γνῶναί τι σαφὲς, οὐδαμόθεν ἄλλοθεν εἶναι, ἢ ἐξ ἰητρικῆς. τοῦτο δὲ οἷόν τε καταμαθεῖν, ὅταν αὐτήν τις τὴν ἰητρικὴν, ὀρθῶς πᾶσαν περιλάβῃ. μέχρι δὲ τουτέου πολλοῦ μοι δοκέει δεῖν. λέγω δὲ τὴν ἱστορίην ταύτην εἰδέναι, ἄνθρωπος τί ἐστι, καὶ δι' οἵας αἰτίας γίνεται, καὶ τἄλλα ἀκριβέως. ἐπεί τοι γέ μοι δοκέει ἀναγκαῖον εἶναι παντὶ ἰητρῷ, περὶ φύσιος εἰδέναι. καὶ πάνυ σπουδάσαι ὡς εἴσεται, εἴπερ τι μέλλει τῶν δεόντων ποιήσειν. ὅ, τί ἐστιν ἄνθρωπος πρὸς τὰ ἐσθιόμενα καὶ πινόμενα. καὶ ὅ, τι ἀφ' ἑκάστου ἑκάστῳ συμβήσεται, καὶ μὴ ἁπλῶς οὕτω δοκέειν, ὅτι πονηρὸν βρῶμα τυρός. πόνον γὰρ φέρει τῷ πλησθέντι

ἐξογκοῦται

αὐτέου

αὐτέου. ἀλλὰ τίνα τε πόνον, καὶ διὰ τί, καὶ τίνι τῶν ἀνθρώπων ἐνεόντων ἀνεπιτήδειον. ἔστι γὰρ καὶ ἄλλα πολλὰ βρώματα καὶ πόματα φύσει πονηρὰ, καὶ διατίθησι τὸν ἄνθρωπον, οὐ τὸν αὐτὸν τρόπον. οὕτως οὖν μοι ἔστω ὁ λόγος· οἷον οἶνος ἄκρητος πολὺς ποθεὶς, διατίθησί πως τὸν ἄνθρωπον, ἀσθενέα. καὶ ἅπαντες ἂν ἰδόντες, τοῦτο γνοίησαν. ὅτι αὕτη ἡ δύναμις οἴνου, καὶ αὐτὸς αἴτιός ἐστιν. καὶ οἷσί γε τῶν ἐν τῷ ἀνθρώπῳ τοῦτο μάλιστά γε δύναται, οἴδαμεν. τοιαύτην δὴ βούλομαι ἀληθείην καὶ περὶ τῶν ἄλλων φανῆναι. τυρὸς γὰρ, ἐπειδὴ τούτῳ σημείῳ ἐχρησάμην, οὐ πάντας ἀνθρώπους λυμαίνεται. ἀλλ' εἰσὶν οἵτινες αὐτοῦ πληρεύμενοι, οὐδ' ὁτιοῦν βλάπτονται. ἀλλὰ καὶ τοῖς ἰσχύουσιν ἂν ξυμφέρειν θαυμασίως παρέχεται. εἰσὶ δὲ οἳ χαλεπῶς ἀπαλλάσσουσι. διαφέρουσι δὲ τουτέων αἱ φύσιες. διαφέρουσι δὲ κατὰ τοῦτο, ὅπερ ἐν τῷ σώματι ἔνεστι πολέμιον τυρῷ, ὑπὸ τοιούτου ἐγείρεταί τε καὶ κινέεται. οἷσιν ὁ τοιοῦτος χυμὸς τυγχάνει πλέον ἐνεὼν, καὶ μᾶλλον ἐνδυναστεύων ἐν τῷ σώματι, τούτους μᾶλλον καὶ κακοπαθέειν εἰκός. εἰ δὲ πάσῃ τῇ ἀνθρωπίνῃ φύσει ἦν κακὸν, πάντας ἂν ἐλυμαίνετο. ταῦτα δὲ εἴ τις εἰδείη, οὐκ ἂν πάσχοι. τὰ δ' ἐν τῇσιν ἀνακομιδῇσι, τῇσιν ἐκ τῶν νούσων, ἔτι δὲ καὶ ἐν τῇσι νούσοισι τῇσι μακρῇσι, γίνονται πολλαὶ συνταράξιες. αἱ μὲν, ἀπὸ ταὐτομάτου. αἱ δὲ, καὶ ἀπὸ τῶν προσενεχθέντων τῶν τυχόντων. οἶδα δὲ τοὺς ἰητροὺς τοὺς πολλοὺς, ὡς τοὺς ἰδιώτας, ἢν τύχωσι περὶ τὴν ἡμέρην ταύτην τι κεκαινουργηκότες, ὡς λουσάμενοι, ἢ περιπατήσαντες, ἢ φαγόντες τι ἑτεροῖον, ταῦτα δὲ πάντα βελτίω προσενηνεγμένα ἢ μὴ, οὐδὲν ἧσσον τὴν αἰτίην τουτέων, τινὶ ἀνατιθέντας. τὸ μὲν αἴτιον, ἀγνοεῦντας. τὸ δὲ συμφορώτατον, ἢν οὕτως τύχωσιν, ἀφανίσαντας. δεῖ δὲ οὔ, ἀλλ' εἰδέναι τί λουτρὸν ἀκαίρως προσγενόμενον ἐργάζεται, καὶ τί κόπος. οὐδέποτε γὰρ ἡ αὐτὴ κακοπαθείη τουτέων, οὐδ' ἑτέρου, οὐδέ γε ἀπὸ πληρώσιος, οὐδέ γε ἀπὸ βρώματος, τοίου ἢ τοίου. ὅστις οὖν ταῦτα μὴ εἴσεται, ὡς ἕκαστα ἔχει πρὸς τὸν ἄνθρωπον, οὔτε γινώσκειν τὰ γινόμενα ἀπ' αὐτέων δυνήσεται, οὔτε χρέεσθαι ὀρθῶς. δεῖν δέ μοι δοκέει καὶ ταῦτ' εἰδέναι, ὅσα τῷ ἀνθρώπῳ παθήματα ἀπὸ δυναμίων ἔρχεται, καὶ ὅσα ἀπὸ σχημάτων. λέγω δὲ τί τοῦτο. δύναμιν μὲν εἶναι, τῶν χυμῶν εἰδέναι, τὰς ἀκρότητάς τε καὶ ἰσχύς. σχήματα δὲ λέγω, ὅσα ἔνεστιν ἐν τῷ ἀνθρώπῳ. τὰ μὲν γὰρ, κοῖλά τε καὶ ἐξ εὐρέος εἰς στενὸν ἐστὶ συνηγμένα. τὰ δὲ, καὶ ἐκπεπταμένα. τὰ δὲ, στερεά τε καὶ στρογγύλα. τὰ δὲ, πλατέα καὶ ἐπικρεμάμενα. τὰ δὲ, διατεταμένα. τὰ δὲ, μακρά. τὰ δὲ, πυκνά. τὰ δὲ, μανά τε καὶ τεθηλότα. τὰ δὲ, σπογγοειδέα, καὶ ἀραιά. τοῦτο μὲν ἑλκῦσαι ἐφ' ἑωυτὸ, καὶ ἐπισπάσασθαι ὑγρότητα ἐκ τοῦ ἄλλου σώματος, πότερον τὰ κοῖλά τε καὶ ἐκπεπταμένα, ἢ τὰ στερεά τε καὶ στρογγύλα, ἢ τὰ κοῖλά τε καὶ ἐς στενὸν ἐξ εὐρέος συνηγμένα, δύναιτ' ἂν μάλιστα. οἶμαι μέντοι τὰ τοιαῦτα ἐς στενὸν συνηγμένα, ἐκ κοίλου τε καὶ εὐρέος. καταμανθάνειν δὲ δεῖ αὐτὰ ἔξωθεν ἐκ τῶν φανερῶν. τοῦτο μὲν γὰρ, τῷ στόματι κεχηνὼς, ὑγρὸν οὐδὲν ἀνασπάσαις. προμυλλήνας δὲ καὶ συστείλας, πιέσας τε τὰ χείλεα. ἔτι τε αὐλὸν προσθέμενος, ῥηϊδίως ἀνασπάσαις ἂν, ὅτι θέλεις. τοῦτο δὲ, αἱ σικύαι προσβαλλόμεναι ἐξ εὐρέος ἐς στενώτερον ἐστενωμέναι, πρὸς τοῦτο τεχνέαται, πρὸς τὸ ἕλκειν ἀπὸ τῆς σαρκὸς, καὶ ἐπισπᾶσθαι, ἄλλά τε πολλὰ τοιουτότροπα. τῶν δ' ἔσω τοῦ ἀνθρώπου, φύσις καὶ σχῆμα τοιοῦτον. κύστις τε καὶ κεφαλὴ, καὶ ὑστέρα γυναιξί. καὶ φανερῶς ταῦτα μάλιστα ἕλκει. καὶ πλήρεά ἐστιν ἐπάκτου ὑγρότητος αἰεί. τὰ δὲ κοῖλα καὶ ἐκπεπταμένα, ἐπιρρυεῖσαν μὲν ἂν ὑγρότητα μάλιστα δέξαιτο πάντων. ἐπισπάσαιτο δ' ἂν, οὐχ ὁμοίως. τὰ δέ γε στερεὰ καὶ στρογγύλα, οὔτ' ἂν ἐπισπάσαιτο, οὔτ' ἂν ἐπιρρυεῖσαν ἐδέξατο. περιολισθάνοι τε γὰρ ἂν, καὶ οὐκ ἔχοι ἕδρην, ἐφ' ἧς μένει. τὰ δὲ σπογγοειδέα τε καὶ ἀραιὰ, οἷον σπλὴν, πνεύμων, καὶ μαζοὶ προσκαθεζόμενα μάλιστα ἀναπίοι, καὶ σκληρυνθείη καὶ αὐξηθείη ὑγρότητος προσγενομένης ταῦτα μάλιστα. οὐ γὰρ ἂν ἦν ἐν κοιλίῃ ἐνῇ τὸ ὑγρὸν, ἔξω τε περιέχει, αὐτέη ἡ κοιλίη τὸ ὑγρὸν, καὶ ἐξαγγίζοιτ' ἂν καθ' ἑκάστην ἡμέρην. ἀλλ' ὅταν πίῃ καὶ δέξηται αὐτὸς ἐς ἑωυτὸν τὸ ὑγρὸν τὰ κενὰ καὶ ἀραιὰ καὶ τὰ σμικρὰ πάντη. καὶ ἀντὶ ἀραιοῦ τε καὶ μαλθακοῦ, σκληρός τε καὶ πυκνὸς ἐγένετο. καὶ οὔτ' ἐκπέσσει, οὔτ' ἀφίησι. ταῦτα δὲ πάσχει διὰ τὴν φύσιν τοῦ σχήματος. ὅσα δὲ φύσας τε καὶ ἀνειλήματα ἐνεργάζονται ἐν τῷ σώματι, προσήκει ἐν μὲν τοῖσι κοίλοισί τε καὶ εὐρυχωρέεσσιν. οἷον κοιλίῃ τε καὶ θώρηκι, ψόφον τε, καὶ πάταγον ἐμποιέειν. ὅτι γὰρ ἂν μὴ ἀποπληρώσῃ οὕτως ὥστε στῆναι, ἀλλ' ἔχει μεταβολάς τε καὶ κινήσεις, ἀνάγκη ὑπ' αὐτέων καὶ ψόφον καὶ καταφανέας κινήσιας

γίνεσθαι

γίνεσθαι. ὅσα δὲ, σαρκώδεά τε καὶ μαλθακὰ, ἐν τοῖσι τοιούτοισι νάρκαι τε καὶ πληρώματα, οἷα ἐν τοῖσιν ἀποσφαγεῖσι γίνεται. ὅταν δ' ἐγκύρσῃ πλατεῖ τε καὶ ἀντικειμένῳ, καί τι πρὸς αὐτὸ ἀντιπέσῃ, καὶ φύσει τοῦτο τύχῃ, μήτε ἰσχυρὸν ἐὸν, ὥστε δύνασθαι ἀντέχεσθαι τῇ βίῃ, καὶ μηδὲν κακὸν παθεῖν. μήτε μαλθακόν τε καὶ ἀραιὸν, ὥστ' ἐκδέξασθαί τε καὶ ὑπεῖξαι, ἁπαλόν τε καὶ τεθηλὸς, καὶ ἔναιμον καὶ πυκνόν. οἷον ἧπαρ, διὰ μὲν τὴν πυκνότητα καὶ πλατύτητα, ἀνθέστηκέ τε καὶ οὐχ ὑπείκει. φῦσα δὲ ὑποδεχομένη, αὔξεταί τε καὶ ἰσχυροτέρη γίνεται. καὶ ὁρμᾷ μάλιστα πρὸς τὸ ἀντιπῖπτον. διὰ δὲ τὴν ἁπαλότητα καὶ τὴν ἐναιμότητα, οὐ δύναται ἄνευ πόνων εἶναι. καὶ διὰ ταύτας τὰς προφάσιας, ὀδύναι τε ὀξύταται καὶ πυκνόταται πρὸς τοῦτο τὸ χωρίον γίνονται ἐκπυήματά τε καὶ φύματα πλεῖστα. γίνεται δὲ καὶ ὑπὸ φρένας ἰσχυρῶς. ἧσσον δὲ πολλόν. διάτασις μὲν γὰρ φρενῶν πλατείη καὶ ἀντικειμένη. φύσις δὲ νευρωδεστέρη τε καὶ ἰσχυροτέρη. διὸ ἧσσον ἐπώδυνά ἐστι. γίνονται δὲ καὶ περὶ ταῦτα, καὶ πόνοι καὶ φύματα. πολλὰ δὲ καὶ ἄλλα καὶ ἔσω καὶ ἔξω τοῦ σώματος εἴδεα σχημάτων, ἃ μεγάλα ἀλλήλων διαφέρει πρὸς τὰ παθήματα καὶ νοσέοντι καὶ ὑγιαίνοντι. οἷον κεφαλαὶ σμικραὶ ἢ μεγάλαι. τράχηλοι λεπτοὶ ἢ παχέες. μακροὶ ἢ βραχέες. κοιλίαι μακραὶ ἢ στρογγύλαι. θώρηκος καὶ πλευρέων πλατύτητες ἢ στενότητες. καὶ ἄλλα μυρία, ἃ δεῖ πάντα εἰδέναι ἧ διαφέρει. ὅπως τὰ αἴτια ἑκάστων εἰδὼς, ὀρθῶς τηροίης. περὶ δὲ δυναμίων χυμῶν, αὐτέων τε ἕκαστος ὅ, τι δύναται ποιέειν τὸν ἄνθρωπον ἐσκέφθαι, ὥσπερ καὶ πρότερον εἴρηται τὰς ξυγγενείας ὡς ἔχουσι πρὸς ἀλλήλους. λέγω δὲ τὸ τοιοῦτον. εἰ γλυκὺς χυμὸς μεταβάλλοι ἐς ἄλλο εἶδος, μὴ ἀπὸ ξυγκρήσιος, ἀλλ' αὐτὸς ἐξιστάμενος, ποῖός τις πρῶτος γένοιτο. πικρός. ἢ ἁλμυρός. ἢ στρυφνός. ἢ ὀξύς. ἆρα ὀξὺς χυμὸς ἀνεπιτήδειος προσφόρων ἂν τῶν λοιπῶν μάλιστα εἴη. εἴπερ ὁ γλυκύς γε πάντων ἐπιτηδειότατος. οὕτως εἴ τις δύναιτο ζητέων ἔξωθεν ἐπιτυγχάνειν, δύναιτ' ἂν πάντων ἐκλέγεσθαι αἰεὶ τὸ βέλτιον. βέλτιστον δέ ἐστι, τὸ προσωτάτω τοῦ ἀνεπιτηδείου ἀπέχον.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΙΗΤΡΟΥ.

Τ

Ο μὲν γράμμα ἐστὶν ἰητροῦ προστασίη καὶ παράγγελμα πῶς χρὴ κατασκευάζειν ἰητρεῖον. ἰητροῦ μὲν εἶναι προστασίην, ὁρῆν εὔχρως τε καὶ εὔσαρκος ἔσται πρὸς τὴν ὑπάρχουσαν αὐτῷ φύσιν. ἀξιοῦνται γὰρ ὑπὸ τῶν πολλῶν, οἱ μὴ εὖ διακείμενοι τὸ σῶμα οὕτως, ὡς οὐδ' ἂν ἑτέρων ἐπιμεληθῆναι καλῶς. ἔπειτα περὶ αὐτὸν καθαρείως ἔχειν ἐσθῆτι χρηστῇ, καὶ χρίσμασιν εὐόδμοις. ὀδμὴν ἔχουσιν ἀνυπόπτως πρὸς ἅπαντα. τοῦτο γὰρ ἡδέως ἔχειν ξυμβαίνει τοὺς νοσέοντας. δεῖ δὲ τοῦτον σκοπέειν τάδε περὶ τὴν ψυχὴν σώφρονα. μὴ μόνον τὸ σιγᾶν. ἀλλὰ καὶ περὶ τὸν βίον πάνυ εὔτακτον. μέγιστα γὰρ ἔχει πρὸς δόξαν ἀγαθά. τὸ δὲ ἦθος εἶναι καλὸν καὶ ἀγαθόν. τοιοῦτον δ' ὄντα πᾶσι καὶ σεμνὸν καὶ φιλάνθρωπον. τὸ γὰρ προπετὲς καὶ τὸ πρόχειρον καταφρονεῖται, κἂν πάνυ χρήσιμον ᾖ. σκοπὸν δὲ ἐπὶ τῆς ἐξουσίης. τὰ γὰρ αὐτὰ παρὰ τοῖς αὐτέοις σπανίως ἔχουσιν, ἀγαπᾶται. σχήμασι δὲ ἀπὸ μὲν προσώπου, συννοῦν μὴ πικρῶς. αὐθάδης γὰρ δοκεῖ εἶναι καὶ μισάνθρωπος. ὁ δὲ εἰς γέλωτα ἀνιέμενος καὶ λίην ἱλαρὸς, φορτικὸς ὑπολαμβάνεται. φυλακτέον δὲ τὸ τοιοῦτον, οὐχ ἥκιστα. δίκαιον δὲ, πρὸς πᾶσαν ὁμιλίην εἶναι. χρὴ γὰρ πολλὰ ἐπικουρέειν δικαιοσύνην. πρὸς δὲ ἰητρὸν, οὐ μικρὰ συναλλάγματα τοῖσι νοσοῦσίν ἐστιν. καὶ γὰρ αὐτοὺς ὑποχειρίους ποιέουσι τοῖς ἰητροῖς. καὶ πᾶσαν ὥρην ἐντυγχάνουσι γυναιξὶν, παρθένοις, καὶ τοῖς ἀξίοις πλείστου κτήμασιν. ἐγκρατέως οὖν δεῖ πρὸς ἅπαντα ἔχειν ταῦτα. τὴν μὲν οὖν ψυχὴν καὶ τὸ σῶμα, οὕτω διακεῖσθαι. τὰ δὲ εἰς τὴν ἰητρικὴν τέχνην παραγγέλματα, δι' ὧν ἐστιν εἶναι τεχνικὸν, ἀπ' ἀρχῆς συνοπτέον, ἀφ' ὧν καὶ μανθάνειν ἄνθρωπος ἄρξαιτο. τὰ τοίνυν ἐν ἰητρείῳ θεραπευόμενα, σχεδὸν μανθανόντων ἐστίν. δεῖ δὲ πρῶτον μὲν, τόπον ἔχειν τῆς οἰκίης. ἔσται δὲ τοῦτο ἐὰν μήτε πνεῦμα εἰς αὐτὸν τὸ γινόμενον ἐνοχλῇ, μήθ' ἥλιος ἢ αὐγὴ λυπέῃ. φῶς δὲ τηλαυγὲς τοῖς μὲν θεραπεύουσι ἄλυπον, οὐχ ὁμοίως δὲ τοῖς θεραπευομένοις ὑπάρχει. πάντως μὲν οὖν τοιαύτην τὴν αὐγὴν μάλιστα φευκτέον, δι' ἣν ξυμβαίνει τοὺς ὀφθαλμοὺς νοσέειν. τὸ μὲν οὖν φῶς, τοιοῦτον εἶναι παρήγγελται. τούτου δὲ ὅπως μηδαμῶς ἐναντίως ἔχει τῷ προσώπῳ τὰς αὐγάς. προσενοχλεῖ γὰρ τὴν ὄψιν ἀσθενέως ἔχουσαν. πᾶσα δ' ἱκανὴ πρόφασις, ἀσθενέοντας ὀφθαλ-

μοὺς

μους ἐπιταράξαι. περὶ μὲν οὖν φωτὸς, τοῦτον τὸν τρόπον χρηστέον ἐστίν. τοὺς δὲ δίφρους, ὁμαλοὺς εἶναι τοῖς ὕψεσιν ὅτι μάλιστα, ὅπως κατ' αὐτοὺς ὦσιν. χαλκώμασι δὲ, πλὴν τῶν ὀργάνων, μηδενὶ χρῆσθαι. καλλωπισμὸς γάρ τις εἶναί μοι δοκεῖ φορτικὸς, σκεύεσι τοιουτέοισι χρῆσθαι. τὸ δ' ὕδωρ παρέχειν δεῖ πότιμον τοῖς θεραπευομένοις, καὶ καθαρόν. τοῖς δὲ ἀπομάγμασιν, καθαροῖς καὶ μαλθακοῖς χρῆσθαι. πρὸς μὲν τοὺς ὀφθαλμοὺς, ὀθονίοις. πρὸς δὲ τὰ τραύματα, σπόγγοις. αὐτόματα γὰρ ταῦτα βοηθεῖν δοκεῖ καλῶς. τὰ δ' ὄργανα πάντα εὔχρηστα πρὸς τὴν χρείαν ὑπάρχειν δεῖ μεγέθει, καὶ βάρει, καὶ λεπτότητι. τὰ δὲ προσφερόμενα ἅπαντα μὲν χρὴ συνορᾷν ὅπως συνοίσει. μάλιστα δὲ πλεῖστον, εἰ ὁμιλεῖν μέλλει περὶ νοσοῦντι μέρει. ταῦτα δέ ἐστιν ἐπιδέσματα, καὶ φάρμακα. καὶ τὰ περὶ τὸ ἕλκος ὀθόνια, καὶ τὰ καταπλάσματα. πλεῖστον γὰρ χρόνον ταῦτα περὶ τοὺς νοσέοντάς ἐστι τόπους. ἡ δὲ μετὰ ταῦτα, ἀφαίρεσις τούτων. ἀνάψυξίς τε καὶ περικάθαρσις. καὶ τῶν ὑδάτων κατάντλησις, ὀλίγου τινός ἐστι χρόνου. καὶ τί ποιῆσαι, ὅπου χρὴ μᾶλλόν τε καὶ ἧσσον ἐσκέφθαι δεῖ. τούτων γὰρ ἀμφοτέρων ἡ χρῆσις εὔκαιρός τε, καὶ μὴ γινομένων, μεγάλην ἔχει διαφορήν. ἔστι δὲ οἰκείη ἐπίδεσις τῆς ἰητρικῆς, ἀφ' ἧς ὠφελεῖσθαι τὸν θεραπευόμενον. μέγιστα δὲ ὠφελεῖ δύο ταῦτα, οἷς ἐστι χρηστέον, πιέσαι ὅκου δεῖ, καὶ ἀνειμένως ἐπιδῆσαι. πρὸς δὲ τοὺς χρόνους τῆς ὥρης, πότε δεῖ σκεπαστικῶς καὶ μὴ, συνορᾷν ὅκως μὴ δὲ ἀσθενὴς λεληθὼς ποτέρῳ τούτων ἐνίοτε χρηστέον. εὐρύθμους δὲ ἐπιδέσιας καὶ θεατρικὰς μηδὲν ὠφελούσας, ἀπογινώσκειν. φορτικὸν γὰρ τὸ τοιοῦτον καὶ παντελῶς ἀλαζονικόν. πολλάκις τε βλάβην οἴσει περὶ θεραπευομένῳ. ζητεῖται ὁ νοσέων, οὐ καλλωπισμὸν, ἀλλὰ τὸ συμφέρον. ἐπὶ δὲ τῶν χειρουργιῶν ὅσαι διὰ τομῆς εἰσὶν ἢ καύσιος τὸ ταχέως ἢ βραδέως ὁμοίως ἐπαινεῖται. χρῆσις γάρ ἐστιν ἀμφοτέρων. ἐν οἷς μὲν γάρ ἐστι διὰ μιῆς τομῆς ἡ χειρουργία, χρὴ ποιέεσθαι ταχεῖαν τὴν διαίρεσιν. ἐπεὶ γὰρ συμβαίνει τοὺς τεμνομένους πονέειν μὲν τὸ λυπέον, ὡς ἐλάχιστον χρόνον δεῖ παρεῖναι. τοῦτο δὲ ἔσται, ταχείης τῆς τομῆς γινομένης. ὅπου δὲ πολλὰς ἀναγκαῖον γίνεσθαι τὰς τομὰς, βραδείῃ χρηστέον τῇ χειρουργίᾳ. ὁ μὲν γὰρ ταχὺς, ξυνεχῆ ποιεῖ τὸν πόνον καὶ πουλύν. ὁ δὲ, διαλιπὼν, ἀνάπαυσιν ἔχει τινὰ τούτων τοῖς θεραπευομένοις. τὸ δ' αὐτὸ ἐπὶ τῶν ὀργάνων λέγοιτ' ἄν. τοῖς δὲ μαχαιρίοις, ὀξέσι δεῖ χρῆσθαι καὶ πλατέσιν οὐκ ἐπὶ πάντων ὁμοίως παραγγέλλομεν. μέρη γάρ τινά ἐστιν τοῦ σώματος, ἃ ἐν τάχει μὲν ἔχει τὴν ῥύμην τοῦ αἵματος, ἣν κατασχεῖν ἐστιν οὐ ῥηΐδιον. ταῦτα δέ ἐστιν, οἵ τε κιρσοὶ, καί τινες ἄλλαι φλέβες. τὰς μὲν τομὰς χρὴ εἶναι τῶν τοιουτέων στενάς. οὐ γὰρ οἷόν τε τὴν ῥύσιν γίνεσθαι κατακορῆ. ξυμφέρει δέ ποτε ἀπὸ τῶν τοιουτέων, αἵματος ἀφαίρεσιν ποιέεσθαι. πρὸς δὲ τοὺς ἀκινδύνους τόπους, καὶ περὶ οὓς μὴ λεπτόν ἐστι τὸ αἷμα, πλατυτέροις χρῆσθαι τοῖς μαχαιρίοισι. τὸ γὰρ αἷμα, πορεύοιτ' ἄν. ἄλλως δὲ, οὐδαμῶς. πάνυ δ' ἔστιν αἰσχρῶς μὴ ξυμβαίνειν ἀπὸ τῆς χειρουργίης ὅτι θέλει. σικύων δὴ δύο τρόπους εἶναι χρησίμους. ὅτε μὲν γὰρ ῥεῦμα ξυνεστηκὸς πόῤῥω τῆς ἐπιφαινομένης σαρκὸς, τὸν μὲν κύκλον αὐτῆς εἶναι δεῖ βραχὺν. αὐτὴν δὲ μὴ γαστρώδη. προμήκη τὸ πρὸς τὴν χεῖρα μέρος, μὴ βαρεῖαν. τοιαύτην γὰρ οὖσαν, ἕλκειν εἰς ἰθὺ ξυμβαίνει, καὶ τοὺς ἀφεστῶτας ἰχῶρας καλῶς ἀνεσπάσθαι πρὸς τὴν σάρκα. τοῦ δὲ πόνου πλείονος κατεσκεδασμένου τῆς σαρκός. τὰ μὲν ἄλλα παραπλησίην. τὸν δὲ κύκλον μέγαν. οὕτω γὰρ ἐκ πλείστων μερῶν εὑρήσεις ἄγουσαν εἰς ὃν δεῖ τὸ λυποῦν τόπον. οὐ γὰρ οἷόν τε μέγαν εἶναι τὸν κύκλον, μὴ συναγομένης τῆς σαρκὸς ἐκ πλείονος τόπου. βαρεῖα δ' οὖσα ῥέπει καὶ εἰς τοὺς ἄνω τόπους. κάτω δὲ μᾶλλον τὴν ἀφαίρεσιν. καὶ πολλάκις ὑπολείπεσθαι τὰς νόσους. τοῖσι μὲν οὖν ἐφεστῶσι ῥεύμασιν καὶ μακρὰν ἀπέχουσιν ἀπὸ τῶν ἄνω τόπων, οἱ πλατεῖς κύκλοι, πολλὰ ξυνεπισπῶνται παρὰ τῆς ἄλλης σαρκός. ἐπιπροσθεῖν οὖν ξυμβαίνει τὴν ἐντεῦθεν εἱλκυσμένην νοτίδα περὶ ξυναγομένῳ κάτωθεν ἰχῶρι. καὶ τὰ μὲν ἐνοχλέοντα, ὑπολείπεσθαι. τὰ δ' οὐδὲν λυπέοντα, ἀφαιρεῖσθαι. μέγεθος δὲ σικύης τί χρήσιμον στοχάζεσθαι χρὴ πρὸς τὰ μέρη τοῦ σώματος, οἷς ἂν δέῃ προσβάλλειν. ὅταν δὲ κατακρούειν κάτωθεν δέχεσθαι. τὸ γὰρ αἷμα φανερὸν εἶναι δεῖ τῶν χειρουργουμένων τόπων. ἄλλως δὲ οὐδὲ τὸν κύκλον τὸν ἑλκυσθέντα χρὴ κατακρούειν. εὐτονωτέρη γάρ ἐστιν ἡ σὰρξ τοῦ πονήσαντος. μαχαιρίοις δὲ τοῖς καμπύλοις ἐξ ἄκρου μὴ λίην στενοῖς. ἐνίοτε γὰρ ἰχῶρες ἔρχονται γλίσχροι καὶ παχεῖς. κίνδυνος οὖν ἐστιν ὑπολείπεσθαι τῇσι τομῇσιν, ὅταν στεναὶ τμηθέωσιν. τὰς δ' ἐπὶ τῶν βραχιόνων φλέβας τῇσι καταλήψεσιν χρὴ φυλάσσειν. ἡ γὰρ καλύπτουσα σὰρξ πολλοῖς οὐ καλῶς συνήρμοσται τῇ φλεβί. τῆς γὰρ σαρκὸς ὀλισθηρῆς οὔσης, οὐ καθ' ἑαυτὰς ξυμβαίνει τὰς τομὰς ἀμφοτέρων

γίνεσθαι. τὴν γὰρ φλέβα ἐκφυσᾶσθαι ξυμβαίνει καλυφθεῖσαν, καὶ τὴν ῥύσιν τοῦ αἵματος κωλύεσθαι. πολλοῖσι δὲ καὶ πῦον διὰ τοῦτο ξυνίστασθαι. δοκεῖ δὲ δύο βλάβας φέρειν ἡ τοιαύτη χειρουργίη. τῷ μὲν τμηθέντι, πόνον. τῷ δὲ τέμνοντι, πολλὴν ἀδοξίην. τὸ δ' αὐτὸ καὶ ἐπὶ πασέων παραγγέλλεται γίνεσθαι. τὰ μὲν οὖν κατ' ἰητρεῖον ἀναγκαῖα ὄργανα, καὶ περὶ ἃ δεῖ τεχνικὸν εἶναι τὸν μανθάνοντα, ταῦτ' ἐστίν. ὀδοντάγραι γὰρ καὶ σταφυλάγραι χρῆσθαι τοῦ τυχόντος ἐστίν. ἁπλῆ γοῦν ἡ χρῆσις αὐτέων εἶναι δοκεῖ. περὶ δὲ φυμάτων καὶ ἑλκέων ὁκόσα μεζόνων ἐστὶ νοσημάτων. τὰ μὲν φύματα, τεχνικώτατον ὑπειληφέναι καὶ δύνασθαι διαλύειν. καὶ τὰς συστάσεις αὐτῶν κωλύειν. ἐχόμενον δὲ τουτέων στέλλειν εἰς τὸν ἐπιφανῆ τόπον, ὡς εἰς βραχύτατον. καὶ τὴν σύστασιν ὁμαλῶς διὰ παντὸς ποιεῖσθαι τοῦ φύματος. ἀνωμάλως γὰρ ἔχοντος αὐτοῦ, ῥαγῆναί τε καὶ δυσθεράπευτον τὸ ἕλκος κίνδυνός ἐστι γενέσθαι, ἐξομαλίζειν τε χρὴ πέσσοντα πανομοίως. καὶ μήτε διαιρεῖν πρότερον, μήτε αὐτόματον ἐᾷν ῥαγῆναι. τὰ δὲ ἐκπέψαι δυνάμενα ὁμαλῶς ἐν ἑτέροις εἴρηται. τὰ δὲ ἕλκεα δοκεῖ πορείας ἔχειν τέσσαρας. μίαν μὲν εἰς βάθος. τούτων δ' ἐστὶ τὰ συριγγώδεα. καὶ ὅσα ὕπουλά ἐστι. καὶ ἐν τοῖσιν κεκοιλασμένα. ἡ δ' ἑτέρη, εἰς ὕψος, τὰ ὑπερσαρκέοντα. τρίτη δέ ἐστιν εἰς πλάτος. ταῦτα δέ ἐστι τὰ καλεόμενα ἑρπυστικά. τετάρτη ὁδός ἐστιν. αὕτη δὲ μόνη κατὰ φύσιν εἶναι δοκέει κίνησις. αὗται μὲν οὖν ξυμφοραὶ τοιαῦται σαρκός εἰσιν. πᾶσαι δὲ κοιναὶ τοῦ ξυμφέροντος. καὶ τὰ μὲν τούτων, ἐν ἑτέροις σημεῖα δεδήλωται. καὶ ἡ χρηστέον ἐστὶν ἐπιμελείᾳ. δι' ὧν δὲ τὸ ξυμφυόμενον, διαλυθήσεται. καὶ τὸ πληρούμενον, ἢ κοιλὸν γενόμενον, ἢ τὴν εἰς πλάτος πορείαν ποιούμενον, προσηκόντως περὶ τουτέων ἐν ἄλλοις εἴρηται σημεῖα. περὶ δὲ καταπλασμάτων ὧδε. τῶν ἐπιτιθεμένων ὀθονίων ὅκου ἂν ἡ χρῆσις κατὰ τοῦ νοσήματος ἀκριβὴς εἶναι δοκέῃ, καὶ περὶ ἕλκει ἁρμόζον τὸ ἐπιτιθέμενον ὀθόνιον. τῷ δὲ καταπλάσματι πρὸς τὸν κύκλῳ τόπον τοῦ ἕλκεος χρέο. χρῆσις γὰρ αὕτη καταπλάσματος ἔντεχνός τε καὶ πλεῖστα ὠφελεῖν δυναμένη. ἐδόκει γὰρ περὶ μὲν ἕλκει βοηθεῖν ἡ τῶν περιτιθεμένων δύναμις. τὸ δ' ὀθόνιον, φυλάσσειν. τὰ δ' ἔξω μὲν τοῦ ἕλκεος, τὸ κατάπλασμα ὠφελέει. τὴν μὲν οὖν χρῆσιν αὐτέων, εἶναι δεῖ τοιαύτην. περὶ δὲ καιρῶν, ὁκότε τούτοις ἑκάστοις χρηστέον ἐστί. καὶ τὰς δυνάμιας ὡς χρὴ τῶν γεγραμμένων καταμανθάνειν. παραλέλειπται δὲ τὰ τοιαῦτα ἐπεὶ πλεῖον προήκται τῆς κατ' ἰητρικὴν ἐπιμελείας. καὶ πόῤῥω τῆς τέχνης ἤδη προεληλυθότος ἐστίν. ἐχόμενον δὲ τούτων ἐστὶ καὶ κατὰ στρατιὴν γινομένων τρωμάτων χειρουργίη περὶ τὴν ἐξαίρεσιν τῶν βελέων. ἐν τῇσι κατὰ πόλιν διατριβῇσι βραχεῖα τίς ἐστιν τουτέων ἡ χρῆσις. ὀλιγάκις γὰρ ἐν παντὶ τῷ χρόνῳ γίνονται πολιτικαὶ στρατιαὶ καὶ πολεμικαί. ξυμβαίνει δὲ τὰ τοιαῦτα, πλειστάκις καὶ ξυνεχέστατα περὶ τὰς ξενικὰς στρατιὰς γίνεσθαι. τὸν μὲν οὖν μέλλοντα χειρουργεῖν, στρατεύεσθαι δεῖ καὶ παρηκολουθηκέναι στρατεύμασι ξενικοῖς. οὕτω γὰρ ἂν εἴη γεγυμνασμένος πρὸς ταύτην τὴν χρείαν. ὃ δὲ εἶναι δοκεῖ περὶ ταῦτα τεχνικώτερον, εἰρῆσθαι. τῶν γὰρ ὅπλων ἐνόντων καὶ σημεῖα πεποιῆσθαι, τέχνης ἐστὶ πλεῖστον μέρος καὶ τῆς πρὸς ταῦτα χειρουργίης. τούτου γὰρ ὑπάρξαντος, οὐκ ἂν παραλίποι τρωματίας ἀγνοηθείς, ὅταν χειρουργῆται μὴ προσηκόντως. μόνος δ' ἂν ὁ τῶν σημείων ἔμπειρος εἰκότως ἐπιχειρέῃ. περὶ δὲ τουτέων ἁπάντων ἐν ἑτέροις γεγραμμένον ἐστίν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΕΥΣΧΗΜΟΣΥΝΗΣ.

Οὐκ ἀλόγως, οἱ προβαλλόμενοι τὴν σοφίην πρὸς πολλὰ εἶναι χρησίμην, ταύτην δ' ἡ τὴν ἐν τῷ βίῳ. αἱ γὰρ πολλαί, πρὸς περιεργίην φαίνονται γεγενημέναι. λέγω δὲ αὐτάς, αἳ μηδὲν χρέος, τῶν πρὸς ἃ διαλέγονται. ληφθείη δ' ἂν τουτέων μέρεα τὰ ἐκεῖνα. ἢ ὅτι οὐκ ἀργέῃ, οὐδὲ μὴν κακίῃ. τὸ γοῦν σχολάζον καὶ ἄπρηκτον, ζητέει ἐς κακίην καὶ ἀφέλκεται. τὸ δ' ἐγρηγορὸς καὶ πρός τι τὴν διάνοιαν ἐντετακὸς, ἐφελκύσατό τε τῶν πρὸς καλλονὴν βίον τεινόντων ἑαυτοῦ. τουτέων τὰς μηδὲν ἐς χρέος πιπτούσας διαλέξιας. χαριεστέρη γὰρ καὶ πρὸς ἕτερον μέν τι ἐς τέχνην πεποιημένη. τέχνην δὲ πρὸς εὐσχημοσύνην καὶ δόξαν. πᾶσαι γὰρ αἱ μὴ μετ' αἰσχροκερδείης καὶ ἀσχημοσύνης, κἀκείνοισι μέθοδός τις ἐοῦσα τεχνικὴ ἐργάζεται. ἀλλ' ἤγε μὴ πρὸς ἀναιτίην δημεύονται. νέοι τε γὰρ αὐτέοισιν ἐμπίπτουσιν. ἀκμάζοντες δὲ δι' ἐνζωπίην, ἱδρῶτας τίθενται βλέποντες, πρεσβύ

ται δὲ

ται δὲ, διὰ πικρίην, νομοθεσίην τίθενται ἀναίρεσιν ἐκ τῶν πόλεων. καὶ γὰρ ἀγορὴν ἐργαζόμενοι οὗτοι, μετὰ βαναυσίης ἀπατέοντες. καὶ ἐν πόλεσιν ἀνακυκλέοντες οἱ αὐτοί. ἴδοι δέ τις κἢν ἐπ' ἐσθῆτος, καὶ τῇσιν ἄλλῃσι περιγραφῇσι. κἢν γὰρ ἔωσιν ὑπερηφανέως κεκοσμημένοι, πολὺ μᾶλλον φευκτέοι, καὶ μισητέοι τοῖσι θεωμένοισίν εἰσι. τὴν δὲ ἐναντίην χρειῶδες σκοπέειν οἷς οὐ διδακτὴ κατασκευὴ, οὐδὲ περιεργίη. ἔκ τε γὰρ περιβολῆς καὶ τῆς ἐν ταύτῃ εὐσχημοσύνης, καὶ ἀφελίης, οὐ πρὸς περιεργίην πεφυκυίης. ἀλλὰ μᾶλλον πρὸς εὐδοξίην, τό, τε σύννουν, καὶ τὸ ἐν νῷ πρὸς ἑωυτοὺς διακεῖσθαι, πρός τε τὴν πορείην, εἴτε ἑκάστῳ σχήματι οὗτοι. ἀδιάχυτοι. ἀπερίεργοι. πικροὶ πρὸς τὰς συναντήσιας. εὔθετοι πρὸς τὰς ἀποκρίσιας. χαλεποὶ πρὸς τὰς ἀντιπτώσιας. πρὸς τὰς ὁμοιότητας εὔστοχοι καὶ ὁμιλητικοί. εὔκρητοι πρὸς ἅπαντας. πρὸς τὰς ἀναστάσιας σιγητικοί. πρὸς τὰς ἀποσιγήσιας ἐνθυμηματικοὶ καὶ καρτερικοί. πρὸς τὸν καιρὸν, εὔθετοι καὶ λημματικοί. πρὸς τὰς τροφὰς, εὔχρηστοι καὶ αὐτάρκεες. ὑπομονητικοὶ πρὸς καιρὸν πρὸς ὑπομονήν. πρὸς λόγους ἀνυστοί. πᾶν τὸ ὑποδειχθὲν ἐκφέροντες. εὐεπίῃ χρώμενοι. χάριτι διατιθέμενοι. δόξῃ τῇ ἐκ τουτέων διϊσχυριζόμενοι. εὖ ἀλήθειαν πρὸς τὸ ὑποδειχθὲν, ἀποτελματιζόμενοι. ἡγεμονικώτατον μὲν οὖν τουτέων ἁπάντων τῶν προειρημένων, ἡ φύσις. καὶ γὰρ οἱ ἐν τέχνῃσιν ἢν προσῇ αὐτέοισι τοῦτο, διὰ πάντων τουτέων προσπορεύωνται τῶν προειρημένων. ἀδίδακτον γὰρ τὸ χρέος ἔν τε σοφίῃ, καὶ ἐν τῇ τέχνῃ. προσθεμένη διδαχθῇ, εἰς τὸ ἀρχὴν λαβεῖν. ἡ δὲ φύσις κατερρύη καὶ κέχυται. τῇ δὲ σοφίῃ, εὖ τὸ εἰδῆσαι τὰ ἀπ' αὐτέης τῆς φύσιος ποιεύμενα. καὶ γὰρ ἐν ἀμφοτέροισι λόγοισι πολλοὶ κρατηθέντες, οὐδαμῆ σὺν ἀμφοτέροισιν ἐχρήσαντο τοῖσι πραγμασιν εὖ δεῖξιν. ἐπὴν οὖν τις αὐτέων ἐξετάζῃ τε πρὸς ἀλήθειαν τῶν ἐν ῥήσει τιθεμένων, οὐδαμῆ τὰ πρὸς φύσιν αὐτέοισι χωρήσει. εὑρίσκοντες γοῦν οὗτοι παρὰ πλησίην ὁδὸν ἐκείνοισι πεπορευμένοι. διόπερ ἀπογυμνούμενοι, τὴν πᾶσαν ἀμφιέννυνται κακίην καὶ ἀτιμίην. καλὸν γὰρ ἐκ τοῦ διδαχθέντος ἔργου λόγος. πᾶν γὰρ τὸ ποιηθὲν τεχνικῶς, ἐκ λόγου ἀνηνέχθη. τὸ δὲ ῥηθὲν τεχνικῶς, μὴ ποιηθὲν δὲ, μεθόδου ἀτέχνου δεικτικὸν ἐγνώθη. τὸ γὰρ οἴεσθαι μὲν, μὴ πρήσσειν δὲ, ἀμαθίης καὶ ἀτεχνίης σημεῖόν ἐστιν. οἴησις γὰρ μάλιστα ἐν ἰητρικῇ αἰτίην μὲν τοῖσι κεχρημένοισιν ὄλεθρον δὲ τοῖσι χρεομένοισιν ἐπιφέρει. καὶ γὰρ ἢν ἑωυτοὺς ἐν λόγοισι πείσαντες, οἴονται εἰδέναι ἔργον τὸ ἐκ μαθήσιος, καθάπερ χρυσὸς φαῦλος ἐν τῷ ἐνκειθὲς, τοιούτους αὐτοὺς ἀπέδειξε. καίτοι γε τοιαύτη ἡ πρόρρησις· ἀπαρηγόρητον εἰς σύνεσιν ὁμολογέεσιν ὡς ἔστιν εὐθὺ τὸ πέρας ἐδήλωσε γνῶσις. τὴν δ' ὁ χρόνος, καὶ τὴν τέχνην εὐοδέα κατέστησεν, ἢ τοῖσιν ἐς τὴν παραπλησίην οἶμον ἐμπίπτουσιν τὰς ἀφορμὰς δήλους ἐποίησε. διὸ δεῖ ἀναλαμβάνοντα τουτέων τῶν προειρημένων ἕκαστα, μετάγειν τὴν σοφίην ἐς τὴν ἰητρικήν. καὶ τὴν ἰητρικὴν, ἐς τὴν σοφίην. ἰητρὸς γὰρ φιλόσοφος, ἰσόθεος. πολλὴ γὰρ διαφορὴ ἐπὶ τὰ ἕτερα. καὶ γὰρ ἔνι τὰ πρὸς σοφίην, ἐν ἰητρικῇ πάντα. ἀφιλαργυρείη. ἐντροπή. ἐρυθρίησις. καταστολή. δόξα. κρίσις. ἡσυχίη. ἀπάντησις. καθαριότης. γνωμολογίη. εἴδησις τῶν πρὸς βίον χρηστῶν καὶ ἀναγκαίων καθαρσίων. ἀπεμπόλησις. ἀδεισιδαιμονίη. ὑπεροχὴ θεία. ἔχουσι γὰρ ἃ ἔχουσι πρὸς ἀκολασίην, πρὸς βαναυσίην. πρὸς ἀπληστίην. πρὸς ἐπιθυμίην. πρὸς ἀφαίρεσιν. πρὸς ἀναιδείην ἐνιδεῖν. αὕτη γὰρ γνῶσις τῶν προσιόντων, καὶ χρῆσις τῆς πρὸς φιλίην, καὶ ὡς ὁκοίως τε, πρὸς τέκνα, πρὸς χρήματα. ταύτῃ μὲν οὖν ἐπὶ κοινωνὸς, σοφίη τίς· ὅτι καὶ ταῦτα τὰ πλεῖστα ὁ ἰητρὸς ἔχει. καὶ γὰρ μάλιστα ἡ περὶ θεῶν εἴδησις ἐν νόῳ αὐτῇ ἐμπλέκεται. ἐν γὰρ τοῖσιν ἄλλοισι πάθεσι καὶ ἐν συμπτώμασιν εὑρίσκεται τὰ πολλὰ πρὸς θεὸν ἐντίμως κειμένη ἡ ἰητρική. οἱ δὲ ἰητροὶ θεοῖσι παρακεχωρήκασιν. οὐ γὰρ ἔνι περιττὸν ἐν αὐτέῃ τὸ δυναστεῦον. καὶ γὰρ οὗτοι πολλὰ μὲν μεταχειρέονται, πολλὰ δὲ καὶ κεκράτηται αὐτέοισι δι' ἑωυτέων. ἃ δὲ καταπλεονεκτεῖ νῦν ἡ ἰητρικὴ, ἐντεῦθεν παρέξει. τίς γὰρ ὁ δόλος ἐστὶν ἐν σοφίῃ, ὧδε. καὶ γὰρ αὐτέοισιν ἐκείνοισιν, οὕτω δ' οὐκ οἴονται ὁμολογέουσιν ὧδε, τὰ περὶ σώματα παραγινόμενα. ἃ δὴ διὰ πάσης αὐτῆς πεπόρευται, μετασχηματιζόμενα ἢ μεταποιούμενα· ἃ δὲ, μετὰ χειρουργίης ἰώμενα. ἃ δὲ, βοηθούμενα, θεραπευόμενα ἢ διαιτώμενα. τὸ δὲ κεφαλαιωδέστατον ἔστω, εἰς τὴν τουτέων εἴδησιν. ὄντων οὖν τοιουτέων, τῶν προειρημένων ἁπάντων, χρὴ τὸν ἰητρὸν, ἔχειν τινὰ εὐτραπελίην παρακειμένην. τὸ γὰρ αὐστηρὸν, δυσπρόσιτον καὶ τοῖσιν ὑγιαίνουσι, καὶ τοῖσι νοσέουσι. τηρεῖν δὲ χρὴ ἑωυτὸν ὅτι μάλιστα, μὴ πολλὰ φαίνοντα τῶν τοῦ σώματος μερέων· μὴ δὲ πολλὰ λεσχηνευόμενον τοῖσιν ἰδιώτῃσιν. ἀλλ' ἀτ' ἀναγκαῖα. νομίζει γὰρ τοῦτο βίη, ἐὰν ἐς πρό-

σκλήσιν θεραπείης. ποιέειν δὲ κάρτα μηδὲν περιέργως αὐτέων, μηδὲ μετὰ φαντασίης. εὐκέφθω δὲ ταῦτα πάντα ὅκως ᾖ σοι προκατηρτισμένα ἐς τὴν εὐπορίην, ὡς δέοι. εἰ δὲ μὴ, ἐπὶ τοῦ χρέους, ἀπορίη ἀεὶ δή. μελετᾶν δὲ χρὴ ἐν ἰητρικῇ ταῦτα, μετὰ πάσης καταστολῆς. περὶ ψηλαφίης, καὶ ἐγχείσιος, καὶ ἐγκαταντλήσιος πρὸς τὴν εὐρυθμίην τῶν χειρέων. περὶ τιλμάτων. περὶ σπλήνων. περὶ ἐπιδέσμων. περὶ τῶν ἐκ καταστάσιος. περὶ φαρμάκων, ἐς τραύματα, καὶ ὀφθαλμικά. καὶ τουτέων τὰ πρὸς τὰ γένεα. ἵν' ᾖ σοι προκατηρτισμένα, ὄργανά τε καὶ μηχαναὶ, καὶ σίδηρος ὁ ἑξῆς. ἡ γὰρ ἐν τουτέοισιν ἀπορίη, ἀμηχανίη καὶ βλάβη ἐστίν. ἔστω δέ σοι ἑτέρη παρέξοδος ἡ λιτοτέρη πρὸς τὰς ἀποδημίας, ἡ διὰ χειρέων. ἡ δ' εὐχρηστάτη, διὰ μεθόδων. οὐ γὰρ οἷόν τε διέρχεσθαι πάντα τὸν ἰητρόν. ἔστω δέ σοι εὐμνημόνευτα, φαρμακά τε δυνάμιες ἁπλαῖ, καὶ ἀναγεγραμμέναι, εἴπερ ἄρα ἐστὶν ἐν νόῳ καὶ τὰ περὶ νούσων ἰήσιος, καὶ οἱ τουτέων τρόποι, ὁσαχῶς, καὶ ὃν τρόπον περὶ ἑκάστων ἔχουσιν. αὕτη γὰρ ἀρχὴ ἐν ἰητρικῇ, καὶ μέσα, καὶ τέλος. προκατασκευάσθω δέ σοι, καὶ μαλαγμάτων γένεα, πρὸς τὰς ἑκάστων χρήσιας. ποτήματα τέμνειν δυνάμενα, ἐξ ἀναγραφῆς ἐσκευασμένα πρὸς τὰ γένεα. προητοιμάσθω δὲ καὶ τὰ πρὸς φαρμακείην ἐς τὰς καθάρσιας εἰλημμένα, ἀπὸ τόπων τῶν καθηκόντων ἐσκευασμένα, ἐς ὃν δὴ τρόπον πρὸς τὰ γένεα καὶ τὰ μεγέθεα ἐς παλαίωσιν μεμελετημένα. τὰ δὲ πρόσφατα ὑπὸ τὸν καιρὸν, καὶ τἄλλα κατὰ λόγον. ἐπὴν δὲ ἐσίῃς πρὸς τὸν νοσέοντα, τουτέων σοι ἀπηρτισμένων, ἵνα μὴ ἀπορῇς εὐθέτως ἔχων ἕκαστα πρὸς τὸ ποιησόμενον. ἴσθι δὲ γινώσκων, ὃ χρὴ ποιέειν πρὶν ἐσελθεῖν. πολλὰ γὰρ οὐδὲ συλλογισμοῦ, ἀλλὰ βοηθείης δέεται τῶν πρηγμάτων. προδιασέλλεσθαι οὖν χρὴ τὸ ἐκβησόμενον ἐκ τῆς ἐμπειρίης. ἔνδοξον γὰρ καὶ εὐμαθές. ἐν δὲ εἰσόδῳ μεμνῆσθαι καὶ καθέδρης. καὶ καταστολῆς. περιστολῆς. ἀνακυριώσεως. βραχυλογίης. ἀταρακτοποιησίης. προσεδρίης. ἐπιμελείης. ἀντιλέξιος πρὸς τὰ ἀπαντώμενα. πρὸς τοὺς ὄχλους, τοὺς ἐπιγινομένους, εὐσταθίης τῆς ἐν ἑωυτῷ. πρὸς τοὺς θορύβους ἐπιπλήξιος. πρὸς τὰς ὑπουργίας, ἑτοιμασίης. ἐπὶ τουτέοισι μέμνησο παρασκευῆς τῆς πρώτης. εἰ δὲ μὴ, τὰ κατ' ἄλλα ἀδιαπτώτως. ἐξ ὧν παραγγέλλεται ἐς ἑτοιμασίην. ἔσοδον χρέο πυκνῶς. ἐπισκέπτεο ἐπιμελέστερον, τοῖσιν ἀπατεομένοισιν ἐπὶ τὰς μεταβολὰς ἀπαντῶν. ῥᾷον γὰρ εἴσῃ. ἅμα δὲ καὶ εὐμαρέστερος ἔσῃ. ἄστατα γὰρ τὰ ἐν ὑγροῖσι. διὸ καὶ εὐμετάποιητα ὑπὸ φύσιος καὶ ὑπὸ τύχης. ἀβλεπτηθέντα γὰρ τὰ κατὰ τὸν καιρὸν τῆς ὑπουργίης, ἔφθησαν ὁρμήσαντα καὶ ἀνελόντα. οὐ γὰρ ἦν τὸ ἐπικουρῆσον. πολλὰ γὰρ ἅμα τὰ ποιέοντά τι χαλεπόν. τὸ γὰρ καθ' ἓν κατ' ἐπακολούθησιν εὐθετώτερον καὶ ἐμπειρότερον. ἐπιτηρεῖν δὲ δεῖ καὶ τὰς ἁμαρτίας τῶν καμνόντων, δι' ὧν πολλοὶ πολλάκις διεψεύσαντο, ἐν τοῖσι προσάρμασι τῶν προσφερομένων. ἐπεὶ τὰ μισητὰ ποτήματα λαμβάνοντες, ἢ φαρμακευόμενοι, ἢ θεραπευόμενοι, ἀπηνέχθησαν. καὶ αὐτῶν μὲν οὐχ ὡς ὁμολογίαν τρέπεται τὸ ποιηθέν. τῷ δὲ ἰητρῷ τὴν αἰτίην προσῆψαν. ἐσκέφθαι δὲ χρὴ, καὶ τὰ περὶ ἀνακλίσεων. ἃ μὲν αὐτέων πρὸς τὴν ὥρην, ἃ δὲ καὶ πρὸς τὰ γένεα. οἱ μὲν γὰρ αὐτέων, ἐς θρόνους. οἱ δὲ, ἐς καταγείους καὶ σκοτεινοὺς τόπους. τά τε ἀπὸ ψόφων καὶ ὀσμῶν, μάλιστα δ' ἀπὸ οἴνου. χειριστοτέρη γὰρ αὕτη. φυγεῖν δὲ καὶ μετατιθέναι. πρήσσειν δ' ἅπαντα ταῦτα, ἡσύχως. εὐσταλέως. μεθ' ὑπουργίης τὰ πολλὰ τὸν νοσέοντα ὑποκρυπτόμενον ὧδε χρὴ, παρακελευόμενα ἱλαρῶς καὶ εὐδιεινῶς. σφετέρα δὲ ἀποτρεπόμενον. ἅμα μὲν ἐπιπλήσσειν μετὰ πικρίης καὶ ἐντάσεως, ἅμα δὲ παραμυθέεσθαι μετ' ἐπιστροφῆς καὶ ὑποδέξιος, μηδὲν ὑποδεικνύντα τῶν ἐσομένων, ἢ ἐνεστώτων αὐτέοισι. πολλοὶ γὰρ δι' αἰτίην ταύτην, ἐφ' ἑκάτερα ἀπεώσθησαν, διὰ τὴν πρόρρησιν τὴν προειρημένην τῶν ἐνεστώτων, ἢ ἐπεσομένων. τῶν δὲ μανθανόντων, ἔστω τις ὁ ἐφεστὼς, ὅκως τοῖσι παραγγέλμασιν οὐ πικρῶς χρήσηται. ποιήσῃ δὲ ὑπουργίην τὸ προσταχθέν. ἐκλέγεσθαι δὲ ἀπ' αὐτέων ἤδη, τοὺς ἐς τὰ τῆς τέχνης εἰλημμένους προσδοῦναί τι τῶν ἐς τὸ χρέος, ἢ ἀσφαλέως προσενεγκεῖν. ὅκως τε ἐν διαστήμασι μηδέν λανθάνῃ σε. ἐπιτροπὴν δὲ τοῖσιν ἰδιώτῃσι μηδέποτε διδοὺς περὶ μηδενός. εἰ δὲ μὴ, τὸ κακῶς πρηχθὲν, ἐς σὲ χωρήσει τοῦ ψόγου ἐὰν μήποτ' ἀμφιβόλως ἔχῃ. ἐξ ὧν τὸ μεθοδευθὲν χωρήσει, καὶ οὐ σοὶ τὸν ψόγον περιάψει, καὶ τευχθὲν δὲ, πρὸς τὸ γένος ἔσται. πρόλεγε οὖν ταῦτα πάντα, ἐπὶ τῶν ποιευμένων, οἷς καὶ τὸ ἐπεγνῶσθαι πρόκειται. τουτέων δὲ ἐόντων, τῶν πρὸς εὐδοξίην καὶ εὐσχημοσύνην, τῶν ἐν τῇ σοφίῃ καὶ ἰητρικῇ, καὶ ἐν τῇσιν ἄλλῃσι τέχνῃσι, χρὴ τὸν ἰητρὸν διειληφότα τὰ μόρια περὶ ὧν εἰρήκαμεν,

περιεννύμενον

προεγνωσμένον πάντοτε τὴν ἑτέρην διατηρέοντα φυλάσσειν, καὶ παραδιδόντα ποιέεσθαι. εὐκλέα γὰρ ἐόντα πᾶσιν ἀνθρώποισιν, διαφυλάσσεται. οἵτε δ' αὐτέων διελθόντες, δόξαι σοί, περὶ γονέων καὶ τέκνων. ἢν τινες αὐτέων μὴ πολλὰ γινώσκωσιν, ὑπ' αὐτέων τῶν πρηγμάτων ἐς σύνεσιν καθίστανται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΑΡΑΓΓΕΛΙΑΙ.

Χρόνος ἐστὶν, ἐν ᾧ καιρὸς, καὶ καιρὸς, ἐν ᾧ χρόνος οὐ πολύς. ἄκεσις χρόνῳ. ἔστι δὲ ἡνίκα καὶ καιρῷ. δεῖ γε μὴν ταῦτα εἰδότα, μὴ λογισμῷ πρότερον πιθανῷ προσέχοντα ἰητρεύειν. ἀλλὰ τριβῇ μετὰ λόγου. ὁ γὰρ λογισμὸς, μνήμη τίς ἐστι ξυνθετικὴ τῶν μετ' αἰσθήσεως ληφθέντων. ἐφαντασιώθη γὰρ ἐναργέως. ἥτε αἴσθησις προπαθὴς καὶ ἀναπομπὸς ἐοῦσα ἐς διάνοιαν τῶν ὑποκειμένων. ἡ δὲ παραδεξαμένη πολλάκις, οἷς, ὅτε καὶ ὁκοίως, ταῦτα τηρήσασα καὶ ἐς ἑωυτὴν καταθεμένη, ἐμνημόνευσε. ξυγκατανέω μὲν οὖν καὶ τὸν λογισμὸν, ἤνπερ ἐκ περιπτώσιος ποιῆται τὴν ἀρχὴν, καὶ τὴν καταφορὴν ἐκ τῶν φαινομένων μεθοδεύῃ. ἐκ γὰρ τῶν ἐναργέως ἐπιτελεομένων, ἢν τὴν ἀρχὴν ποιήσηται ὁ λογισμὸς, ἐν διανοίῃ δυνάμει ὑπάρχων εὑρίσκεται, παραδεχομένης αὐτῆς ἕκαστα παρ' ἄλλων. ὑποληπτέον οὖν τὴν φύσιν ὑπὸ τῶν πολλῶν καὶ παντοίων πρηγμάτων, κινηθῆναί τε καὶ διδαχθῆναι, βίης ὑπεούσης. ἡ δὲ διάνοια παρ' αὐτῆς λαβοῦσα ὡς προεῖπον, ὕστερον ἐς ἀλήθειαν ἤγαγεν. εἰ δὲ μὴ ἐξ ἐναργέος ἐφόδου, ἐκ δὲ πιθανῆς ἀναπλάσιος λόγου, πολλάκις βαρείην καὶ ἀνιαρὴν ἐπήνεγκε διάθεσιν. οὗτοι δὲ ἀνοδίην χωρέουσι. τί γὰρ ἂν ἦν κακὸν, ἢν τὰ ἐπίχειρα ἐκομίζοντο, οἱ τὰ τῆς ἰητρικῆς ἔργα κακῶς δημιουργέοντες; νῦν δὲ τοῖσιν ἀναιτίοισιν ἐοῦσι τῶν καμνόντων, ὁκόσοισιν οὐχ ἱκανὴ ἐφαίνετο ἐοῦσα τοῦ νοσέειν βίη, εἰ μὴ ξυνέλθοι τῇ τοῦ ἰητροῦ ἀπειρίῃ. περὶ μὲν οὖν τουτέων, ἅλις ἔσω διειλεγμένα. τῶν δ' ὡς λόγου μόνου ξυμπεραινομένων, μὴ ἔτι ἐπαύρασθαι. τῶν δὲ ὡς ἔργου ἐνδείξιος. σφαλερὴ γὰρ καὶ εὐόλισθος ἡ μετ' ἀδολεσχίης ἰσχύρισις. διὸ καὶ καθόλου δεῖ ἔχεσθαι τῶν γινομένων. καὶ περὶ ταῦτα μὴ ἐλαχίστως γίγνεσθαι, ἢν μέλλῃ ἕξειν ῥηϊδίην καὶ ἀναμάρτητον ἕξιν, ἣν δὴ ἰητρικὴν προσαγορεύομεν. κάρτα γὰρ μεγάλην ὠφελίην περιποιήσει τοῖσί γε νοσέουσι, καὶ τοῖσι τουτέων δημιουργοῖσιν. μὴ ὀκνέειν δὲ καὶ παρὰ ἰδιωτέων ἱστορέειν, ἤν τι δοκέῃ ξυμφέρον, ἐς καιρὸν θεραπείης. οὕτω γὰρ δοκέω τὴν ξύμπασαν τέχνην ἀναδειχθῆναι, διὰ τὸ ἐξ ἑκάστου τοῦ τέλους τηρηθῆναι, καὶ ἐς ταὐτὰ ξυναλισθῆναι. προσέχειν οὖν δεῖ περιπτώσει τε τῇ ὡς ἐπὶ τὸ πολύ. καὶ μετ' ὠφελίης καὶ ἠρεμαιότητος μᾶλλον, ἢ ἐπαγγελίης καὶ ἀπολογίης, τῆς μετὰ πρήξιος. χρήσιμος δὲ καὶ ποικίλος, τῶν προσφερομένων τῷ νοσέοντι, καὶ ὁ προοιμιασμός. ὅτι μόνον τι προσενεχθὲν ὠφελήσει. οὐ γὰρ ἰσχυρήσιος δεῖ. πάντα γὰρ τὰ πάθη διὰ πολλὰς περιστάσιας καὶ μεταβολὰς μονῇ τινὶ προσκαθίζει. παραινέσιος δ' ἂν καὶ τόδε ἐπιδεηθείη τῆς θεωρίης. εἰ γὰρ ἄρξαιο περὶ μισθαρνίων, ξυμβάλλῃ γάρ τι καὶ τῷ ξύμπαντι, τῷ μὲν ἀλγέοντι τοιαύτην διανόησιν ἐμποιήσεις, τὴν ὅτι οὐκ ἀπολιπὼν αὐτὸν πορεύσῃ, μὴ ξυνθέμενος. καὶ ὅτι ἀμελήσεις, καὶ οὐχ ὑποθήσεις τινὰ τῷ παρεόντι. ἐπιμελέεσθαι δεῖ οὖν περὶ στάσιος μισθοῦ. ἄχρηστον γὰρ ἡγεύμεθα ἐνθύμησιν ὀχλεομένου τὴν τοιαύτην. πολὺ δὲ μᾶλλον, ἐν ὀξεῖ νοσήματι. νόσου γὰρ ταχύτης καιρὸν μὴ διδοῦσα ἐς ἀναστροφὴν, οὐκ ἐποτρύνει τὸν καλῶς ἰητρεύοντα, ζητέειν τὸ λυσιτελές. ἔχεσθαι δὲ δόξης μᾶλλον. κρέσσον οὖν σωζομένοισιν ὀνειδίζειν, ἢ ὀλεθρίως ἔχοντας προμύσσειν. καίτοι ἔνιοι νοσέοντες ἀξιοῦσι τὸ ξενοπρεπὲς καὶ τὸ ἄδηλον προκρίνοντες, ἄξιοι μὲν ἀμελίης. οὐ μέντοι γε κολάσιος προκρίνοντες. διὸ τουτέοισιν ἀντιτάξῃ εἰκότως μεταβολῆς ὑπὸ σάλου πορευομένοισι. τίς γὰρ ὦ πρὸς Διὸς, ἀδελφισμένως ἰητρὸς, ἰητρεύει πιστῇ ἢ ἀτραμνίῃ; ὥστ' ἐν ἀρχῇ ἀνακρινέοντας τὸ πάθος, μὴ ὑποθέσθαι τινα ξυμφέροντα ἐς θεραπείην. ἀπεθεραπεῦσαί τε τὸν νοσέοντα καὶ μὴ παριδεῖν. τῆς δ' ἐπικαρπίης μὴ ἄνευ τῆς ἐπισκευαζούσης πρὸς μάθησιν ἐπιθυμίης. παρακελεύομαι δὲ, μὴ λίην ἀπανθρωπίην ἐσάγειν. ἀλλ' ἀποβλέπειν ἔς τε περιουσίην καὶ οὐσίην. ὁτὲ δὲ προῖκα, ἀναφέρων μνήμην εὐχαριστίης προτέρην, ἢ παρεοῦσαν εὐδοκιμίην. ἢν δὲ καιρὸς εἴη χορηγίης, ξένῳ τε ἐόντι καὶ ἀπορέοντι, μάλιστα ἐπαρκέειν τοῖσι τοιουτέοισιν. ἢν γὰρ παρῇ φιλανθρωπίη, πάρεστι καὶ φιλοτεχνίη. ἔνιοι γὰρ νοσέοντες, ᾐσθημένοι τὸ περὶ ἑωυτοὺς πάθος μὴ ἐὸν ἐν ἀσφαλείῃ,

καὶ τῇ τοῦ ἰητροῦ ἐπιεικέῃ, εὐδοκιμέουσι μεταλλάσσοντες ἐς ὑγιείην. εὖ δ' ἔχει νοσεόντων μὲν, ἐπιστατέειν, εἵνεκεν ὑγιείης· ὑγιαινόντων δὲ, φροντίζειν, εἵνεκεν ἀνοσίης. φροντίζειν καὶ ὑγιαινόντων, εἵνεκεν εὐσχημοσύνης. οἱ μὲν οὖν ἐόντες ἐν βυθῷ ἀτεχνίης, τῶν προλελεγμένων οὐκ ἂν αἰσθάνοιντο. καὶ γὰρ οὗτοι ἀνίητροι ἐόντες, ἔλεγχοι ἐκ ποδὸς ὑψούμενοι. τύχης γε μὴν δεόμενοι τῶν τινων εὐπόρων καὶ στεγνῶν ἐνδόσιν ἀναλαμβάνονται. ἑκάτεροι ἐπιτεύχεσιν εὐδοκιμέοντες καὶ διαπίπτοντες ἐπὶ τὸ χεῖρον, καταγλιδῶσι καταμεμεληκότες τὰ περὶ τέχνης ἀνυπεύθυνα. ἐφ' οἷς ἂν ἰητρὸς ἀγαθὸς ἀκμάζοι ὁμότεχνος καλεόμενος. ὁ δὲ τὰς ἀκέσιας ἀναμαρτήτους ῥηϊδίως ἐπιτελέων, οὐδὲν τουτέων παραβαίη, οὐ παντὶ ἀπανθεῖ τοῦ δύνασθαι. οὐ γὰρ ἄπιστός ἐστιν ὡς ἐν ἀδικίᾳ. πρὸς γὰρ θεραπείην οὐ γίνονται σκεπτέοντες διάθεσιν. φθεγγώμεθα φυλασσόμενοι, ἑτέρων ἰητρῶν ἐπεισαγωγήν. ἀνοσιώτερον ἐν μασσοπονηρίῃ βοηθήσιος. οἵ τε νοσέοντες ἀνιώμενοι, νήχονται ἐπὶ ἑκατέρῃ μοχθηρίῃ, μὴ ἐγκεχειρηκότες ἑωυτοὺς ἕως τέλεος τῇ ἐν τῇ τέχνῃ πλείονι θεραπείῃ. ἄνεσις γὰρ νούσου τινὸς κάμνοντι παρέχει μεγάλην ἀλεωρήν. διὸ δεόμενοι τὴν ὑγιεινὴν διάθεσιν, οὐκ ἐθέλουσι τὴν αὐτὴν χρῆσιν αἰεὶ προσδέχεσθαι, ὁμοιοῦντες ἰητρῶν ποικιλίῃ. πολυτελέης γὰρ ἀπορέουσιν οἱ νοσέοντες, κατοπτροπίῃ προσκυνεῦντες καὶ ἀχαριστέοντες. ξυντυχεῖν δυνατοὶ δ' ἐόντες, εὐπορέειν διαντλίζονται. περὶ μισθαρίων ἀτρεκέως ἐθέλοντες ὑγιέες εἶναι, εἵνεκεν ἐργασίης τόκων, ἢ γεωργίης ἀφροντιστέοντες περὶ αὐτέων λαμβάνειν. παρασημασίης τοιαύτης ἅλις ἔστω. ἄνεσις γὰρ καὶ ἐπίτασις νοσέοντος, ἐπινέμησιν ἰητρικὴν κέκτηνται. οὐκ ἀσχήμων δὲ, οὐδ' ἤν τις ἰητρὸς στενοχωρέων τῷ παρεόντι ἐπί τινι νοσέοντι καὶ ἐπισκοτεόμενος τῇ ἀπειρίῃ κελεύῃ, καὶ ἑτέρους εἰσάγειν εἵνεκα τοῦ ἐκ κοινολογίης, ἱστορῆσαι τὰ περὶ τὸν νοσέοντα. καὶ συνεργοὺς γενέσθαι ἐς εὐπορίην βοηθήσιος. εἰ γὰρ κακοπαθίης παρεδρίης, ἐπιτείνοντος τοῦ πάθεος δι' ἀπορίην τὰ πλεῖστα, ἐκκλίνουσι τῷ παρεόντι. θαρρητέον οὖν ἐν καιρῷ τοιουτέῳ. οὐδέποτε γὰρ ἐγὼ τὸ τοιοῦτο ὁρίζομαι, ὅτι ἡ τέχνη κέκριται περὶ τουτέου μηδέποτε φιλονικέειν, προσκυρέοντας ἑωυτοῖσι κατασιλλαίνειν. ὃ γὰρ ἂν μεθ' ὅρκου ἐρέω, οὐδέποτε ἰητροῦ λογισμὸς φθονήσειεν ἂν ἑτέρῳ. ἀκιδνὸς γὰρ ἂν φανείη. ἀλλὰ μᾶλλον οἱ ἀγχιστεύοντες, ἀγοραίης ἐργασίης πρήσσουσι ταῦτα εὐμαρέως. καίτοι γε οὐδὲ ψευδέως κατανενόηται. πάσῃ γὰρ εὐπορίῃ, ἀρχὴ ἔνεστι. μετὰ τουτέων δὲ πάντων, μέγα ἂν τεκμήριον φανείη σὺν τῇ οὐσίῃ τῆς τέχνης. εἴ τις καλῶς ἰητρεύων, προσαγορεύοιτο. τοιαύτης μὴ ἀρεστείῃ. κελεύων τοῖσιν νοσέουσι, μηδὲν ὀχλέεσθαι κατὰ διάνοιαν, ἐν τῷ σπεύδειν ἀφικέσθαι εἰς καιρὸν σωτηρίης. ἡγεύμεθα γὰρ ἀρχὴν, καὶ προστασσόμενος γε οὐ διαμαρτήσει. αὐτοὶ μὲν γὰρ οἱ νοσέοντες διὰ τὴν ἀλγεινὴν διάθεσιν ἀπαυδέοντες, ἑωυτούς τε μεταλλάσσουσι περὶ ζωῆς. ὁ δ' ἐγκεχειρισμένος τὸν νοσέοντα, ἐὰν ἀποδείξῃ τὰ τῆς τέχνης εὑρέματα, σώζων οὐκ ἀλλοίην φύσιν, ἀφαιρέει τὴν παρεοῦσαν ἐπικαρπίην, ἢ τὴν παραυτίκα ἀπιστίην. ἡ γὰρ τοῦ ἀνθρώπου εὐεξίη, φύσις τίς ἐστι φύσει περιπεποιημένη, κίνησιν οὐκ ἀλλοτρίην. ἀλλὰ λίην τε εὐαρμοστεῦσα πνεύματί τε καὶ θερμασίῃ, καὶ χυμῶν κατεργασίῃ. πάντῃ τε καὶ πάσῃ διαίτῃ καὶ τοῖσι ξύμπασι δεδημιουργημένη. ἤν μή τις ἐκ γενετῆς ἢ ἀπ' ἀρχῆς, ἔλλειμμα ἢ ἣν δ' ἂν γένηταί τε ἐξιτήλου ἐόντος, πειρᾶσθαι ἐξομοιοῦν τῇ ὑποκειμένῃ. παρὰ γὰρ φύσιν τὸ μινύθημα καὶ διὰ χρόνου. φευκτέη δὲ καὶ τρίψις ἐπικρατίδων, διὰ προσκύρησιν ἀκέσιος. ὁ δὲ μή τε περίεργος. διὰ γὰρ ἱκανὴν ἀξιωσίην, διαβολὴν κέκτησαι. διὰ δὲ τὴν ὀλίγην, εὐσχημοσύνην. ἐν γὰρ μέρει, πόνος ὀλίγος. ἐν πάσῃ, ἱκανός. εὐχαριστίην δὲ οὐ περιεργέω. ἀξίη γὰρ ἰητρικῆς προστασίης. προσθέσιος δὲ δι' ὀργάνων, καὶ σημαντικῶν ἐπιδέξιος, καὶ τῶν τοιουτοτρόπων μνήμην παρῆκα. ἢν δὲ καὶ εἵνεκα ὁμίλου θέλῃς ἀκρόασιν ποιήσασθαι, οὐκ ἀγακλεῶς ἐπιθυμέεις. μὴ μέντοι γε μετὰ μαρτυρίης ποιητικῆς. ἀδυναμίην γὰρ ἐμφαίνει φιλοπονίης. ἀπαγορεύομαι γὰρ εἰς χρῆσιν, ἑτέρην φιλοπονίην μετὰ πόνου ἱστορευμένην. διὸ ἐν ἑωυτῇ μούνῃ, αἵρεσιν εὖσαν χαρίεσσαν. περιποιήσῃ γὰρ κηφῆνος μετὰ παραπομπῆς ἐπιμονοπίην. εὐκτέη δὲ καὶ διάθεσις, ἐκτὸς ἐοῦσα ὀψιμαθίης. παρεόντων μὲν, οὐδὲν ἐπιτελές. ἀπεόντων δὲ, μνήμη ἀνεκτή. γίνεται τοίνυν πάμμαχος ἀτυχίη, μετὰ λοιμέης νεαρῆς, ἀφροντιστεῦσα εὐπρεπίης, ὁρισμοῖς τε καὶ ἐπαγγελίῃ. ὅρκοις τε παμμεγέθεσι θεῶν εἵνεκεν ἰητροῦ προστατέοντος νόσου, ἀναγνώσιος ξυνεχέης. κατηχήσιός τε ἰδιωτέων φυλαλυτέων λόγους ἐκ μεταφορῆς, διαζηλευόμενον, καὶ πρηγὴ νούσῳ κατὰ πορέων ξυνηθροισμένοι. τῶν μὲν

ἐν τοιουτέων ὅποι ἂν καὶ ἐπιστήσαιμι, οὐκ ἂν ἐπὶ θεραπείης ξυλλόγου. αἰτήσαιμι δ' ἂν θαρσαλέως βούλησιν. ἱστορίης γὰρ εὐσχήμονος σώζεις ἐν τουτέοισι διεσπαρμένης. τουτέων οὖν δὲ ἀναλήψει ἀξυνέτων ἐόντων, παρακελεύομαι χρησίμην εἶναι τὴν τριβὴν μεθ' ὑστέρησιν δογμάτων ἱστορίης. τίς γὰρ ἐπιθυμεῖ δογμάτων μὲν πολυχεδίην, ἀτρεκέως ἐθέλειν ἱστορέειν, μήτε χειροβιβείης ἀτρεμεότητι. διὸ παραινέω τουτέοισι, λέγουσι μὲν, προσέχειν. ποιέουσι δὲ, ἐγκόπτειν ξυνεσταλμένης διαίτης, μὴ μακρὴν ἐγχειρέειν, τοῦ κάμνοντος χρονίην ἐπιθυμίην ἀνίστησι. καὶ ξυγχωρείη ἐγχρονίη νούσου. ἤν τις προσέχῃ τυφλοῦ τὸ δέον ὡς μέγας φόβος φυλακτέος. καὶ χάριν δὲ ἧς ἑνότης ἠέρος αἰφνιδίη ταραχῆ φυλακτέη. ἀκμὴ ἡλικίης, πάντα ἔχει χαρίεντα. ἀπόληξις δὲ, τοὐναντίον. ἀσαφείη δὲ γλώσσης γίνεται, ἢ διὰ πάθος, ἢ διὰ τὰ ὦτα. πρίν τε πρότερα διαγγεῖλαι, ἕτερα ἐπιβαλεῖν. ἢ πρὶν τὸ διανενοημένον εἰπεῖν, ἕτερα ἐπιδιανοεῖσθαι. τὸ μὲν ἄνευ παθέος ὁρατοῦ λελεγμένης μάλιστα ξυμβαίνει, φιλοτεχνοῦσιν. ἡλικίη σμικροῦ ἐόντος τοῦ ὑποκειμένου, δύναμις ἐνίοτε πάμπολυς. νούσου ἀταραξίη, μῆκος σημαίνει. κρίσις δὲ, ἀπόλυσις νούσου. μεγάλη αἰτίη, ἄκεσιν λύεται. ἢν μή τι περὶ τόπον καίριον πάθη. διότι ξυμπάθειαν ἀπὸ λύπης ἐοῦσα ὀχλέει, ἐξ ἑτέρου συμπαθέης τινὲς ὀχλέονται. κατάδυσις λυπέει φιλοπονίης κρατοῦντος ὕπο. παραίτησις ἀλυώδης, τόπος ὀνησιφόρος.

ΝΟΜΟΣ ΙΠΠΟΚΡΑΤΟΥΣ.

Ἠτρικὴ, τεχνέων μὲν πασέων ἐστὶν ἐπιφανεστάτη. διὰ δὲ ἀμαθίην τῶν τε χρεωμένων αὐτῇ, καὶ τῶν εἰκῇ τοὺς τοιούσδε κρινόντων, πολύ τι πασέων ἤδη τῶν τεχνέων ἀπολείπεται. ἡ δὲ τῶνδε ἁμαρτὰς, τὰ μάλιστά μοι δοκέει ἔχειν αἰτίην τοιήνδε. πρόστιμον γὰρ ἰητρικῆς μούνης ἐν τῇσι πόλεσιν οὐδὲν ὥρισται, πλὴν ἀδοξίης. αὕτη δὲ οὐ τιτρώσκει τοὺς ἐξ αὐτέης συγκειμένους. ὁμοιότατοι γάρ εἰσιν οἱ τοιοίδε, τοῖσι παρεισαγομένοισι προσώποισιν ἐν τῇσι τραγῳδίῃσιν. ὡς γὰρ ἐκεῖνοι σχῆμα μὲν, καὶ στολὴν, καὶ πρόσωπον ὑποκριτοῦ ἔχουσιν, οὐκ εἰσὶ δὲ ὑποκριταὶ, οὕτω καὶ οἱ ἰητροί. φήμῃ μὲν, πολλοί. ἔργῳ δὲ, πάγχυ βαιοί. χρὴ γὰρ ὅστις μέλλει ἰητρικῆς ξύνεσιν ἀτρεκέως ἁρμόζεσθαι, τῶνδέ μιν ἐπήβολον γενέσθαι. φύσιος. διδασκαλίης. τρόπου εὐφυέος. παιδομαθίης. φιλοπονίης. χρόνου. πρῶτον μὲν οὖν πάντων δεῖ φύσιος. φύσιος γὰρ ἀντιπρησσούσης, κενεὰ πάντα. φύσιος δὲ ἐς τὸ ἄριστον ὁδηγεούσης, διδασκαλίη τέχνης γίνεται. ἣν μετὰ φρονήσιος δεῖ περιποιήσασθαι, παιδομαθέα γενόμενον ἐν τρόπῳ, ὁκοῖος εὐφυὴς πρὸς μάθησιν ἔσται. ἔτι δὲ φιλοπονίην προσενέγκασθαι ἐς χρόνον πουλὺν, ὅκως ἡ μάθησις ἐμφυσιωθεῖσα, δεξιῶς τε καὶ εὐαλδέως τοὺς καρποὺς ἐξενέγκηται. ὁκοίη γὰρ τῶν ἐν τῇ γῇ φυομένων θεωρίη, τοιήδε καὶ τῆς ἰητρικῆς ἡ μάθησις. ἡ μὲν γὰρ φύσις ἡμέων, ὁκοῖον ἡ χώρη. τὰ δὲ δόγματα τῶν διδασκόντων, ὁκοῖον τὰ σπέρματα. ἡ δὲ παιδομαθίη, τὸ καθ' ὥρην αὐτὰ πεσεῖν ἐς τὴν ἄρουραν. ὁ δὲ τόπος ἐν ᾧ ἡ μάθησις, ὁκοῖον ἐκ τοῦ περιέχοντος ἠέρος τροφὴ γινομένη τοῖσι φυομένοισιν. ἡ δὲ φιλοπονίη, ἐργασίη. ὁ δὲ χρόνος, ταῦτα ἐνισχύει πάντα, ὡς τραφῆναι τελέως. ταῦτα ὦν χρὴ, ἐς τὴν ἰητρικὴν τέχνην ἐνεγκαμένους, καὶ ἀτρεκέως αὐτέης γνῶσιν λαβόντας, οὕτως ἀνὰ τὰς πόλιας φοιτεῶντας, μὴ λόγῳ μοῦνον, ἀλλὰ καὶ ἔργῳ ἰητροὺς νομίζεσθαι. ἡ δὲ ἀπειρίη, κακὸς θησαυρὸς, καὶ κακὸν κειμήλιον τοῖσιν ἔχουσιν αὐτὴν, καὶ ὄναρ καὶ ὕπαρ. εὐθυμίης τε καὶ εὐφροσύνης ἄμοιρος, δειλίης τε καὶ θρασύτητος τιθήνη. δειλίη μὲν γὰρ ἀδυναμίην σημαίνει. θρασύτης δὲ, ἀτεχνίην. δύο γὰρ ἐπιστήμη τε, καὶ δόξα. ὧν τὸ μὲν, ἐπίστασθαι ποιέει. τὸ δὲ, ἀγνοεῖν. ἡ μὲν οὖν ἐπιστήμη ποιέει τὸ ἐπίστασθαι, ἡ δὲ δόξα τὸ ἀγνοεῖν. τὰ δὲ ἱερὰ ἐόντα πρήγματα, ἱεροῖσιν ἀνθρώποισι δείκνυται. βεβήλοισι δὲ, οὐ θέμις, πρὶν ἢ τελεσθῶσιν ὀργίοισιν ἐπιστήμης.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΦΥΣΙΟΣ ΑΝΘΡΩΠΟΥ.

Στις μὲν εἴωθεν ἀκούειν λεγόντων, ἀμφὶ τῆς φύσιος τῆς ἀνθρωπίνης, προσωτέρω ἢ ὁκόσον αὐτέης ἐς ἰητρικὴν ἀφήκει, τουτέῳ μὲν οὐκ ἐπιτήδειος ὅδε ὁ λόγος ἀκούειν. οὔτε γὰρ τὸ πάμπαν ἠέρα λέγω τὸν ἄνθρωπον εἶναι, οὔτε πῦρ, οὔτε ὕδωρ, οὔτε γῆν, οὔτ' ἄλλο οὐδὲν ὅ τι μὴ φανερόν ἐστιν ἐνεὸν ἐν τῷ ἀνθρώπῳ. ἀλλὰ τοῖσι βουλομένοισι ταῦτα λέγειν παρίημι. δοκέουσι δέ μοι οὐκ ὀρθῶς

γινώσκειν οἱ τὰ τοιαῦτα λέγοντες. γνώμῃ μὲν γὰρ τῇ αὐτέῃ, πάντες χρέονται. λέγουσι δὲ, οὐ ταυτά. ἀλλὰ τὸν μὲν γνώμης τὸν ἐπίλογον, τὸν αὐτὸν ποιέονται. φασὶ γὰρ ἕν τι εἶναι, ὅ, τί ἐστι. καὶ τοῦτ' εἶναι τὸ ἕν τε καὶ τὸ πᾶν. κατὰ δὲ τὰ οὐνόματα, οὐχ ὁμολογέουσι. λέγει δ' αὐτέων ὁ μέν τις φάσκων, ἠέρα τοῦτ' εἶναι, τὸ ἕν τε καὶ τὸ πᾶν. ὁ δὲ, πῦρ. ὁ δὲ, ὕδωρ. ὁ δὲ, γῆν. καὶ ἐπιλέγει ἕκαστος τῷ ἑωυτοῦ λόγῳ, μαρτύριά τε καὶ τεκμήρια ἅγε ἐστὶν οὐδέν. ὅτι μὲν γὰρ τῇ αὐτέῃ γνώμῃ πάντες προσχρέονται, λέγουσι δ' οὐ τὰ αὐτὰ, δῆλον ὅτι οὐδὲ γινώσκουσιν αὐτά. γνοίη δ' ἂν τῷ δέ τις μάλιστα, παραγενόμενος αὐτέοισιν ἀντιλέγουσι. πρὸς γὰρ ἀλλήλους ἀντιλέγοντες οἱ αὐτοὶ ἄνδρες, τῶν αὐτέων ἐναντίον ἀκροατέων, οὐδέποτε τρὶς ἐφεξῆς ὁ αὐτὸς ἄνθρωπος περιγίνεται, ἐν τῷ αὐτῷ λόγῳ. ἀλλὰ ποτὲ μὲν, οὗτος ἐπικρατέει, ποτὲ δὲ, οὗτος. ποτὲ δὲ, ᾧ ἂν τύχῃ μάλιστα ἡ γλῶσσα ῥυεῖσα πρὸς τὸν ὄχλον. καίτοι δίκαιόν ἐστι τὸν φάντα ὀρθῶς γινώσκειν ἀμφὶ τῶν πρηγμάτων, παρέχειν αἰεὶ ἐπικρατοῦντα τὸν λόγον τὸν ἑωυτοῦ, εἴπερ ἐόντα γινώσκει, καὶ ὀρθῶς ἀποφαίνεται. ἀλλ' ἔμοιγε δοκέουσιν οἱ τοιοῦτοι ἄνθρωποι, σφᾶς αὐτοὺς καταβάλλειν ἐν τοῖσιν ὀνόμασι τῶν λόγων αὐτέων, ὑπὸ ἀσυνεσίης. τὸν δὲ Μελίσσου λόγον ὀρθοῦν. περὶ μὲν οὖν τουτέων, ἀρκεῖ μοι τὰ εἰρημένα. τῶν δὲ ἰητρῶν οἱ μέν τινες λέγουσιν, ὡς ὁ ἄνθρωπος, αἷμα μοῦνον ἐστίν. οἱ δ' αὐτέων, χολήν φασιν εἶναι τὸν ἄνθρωπον. ἔνιοι δέ τινες, φλέγμα. ἐπίλογον δὲ ποιεῦνται καὶ αὐτοὶ πάντες τὸν αὐτόν. ἓν γάρ τι εἶναι φασίν, ὅ, τι ἕκαστος ἠθέλησεν ὀνομάσαι αὐτέων. καὶ τοῦτ' ἓν ἐὸν, μεταλλάσσειν τὴν ἰδέην καὶ τὴν δύναμιν. ἀναγκαζόμενον ὑπό τε τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ, καὶ γίνεσθαι καὶ γλυκὺ. καὶ πικρὸν. καὶ λευκόν. καὶ μέλαν. καὶ παντοῖόν τι ἄλλο. ἐμοὶ δὲ οὐδὲ ταῦτα δοκεῖ ὧδε ἔχειν. οἱ μὲν οὖν πλεῖστοι τοιαῦτά τινα, καὶ ἔτι ἐγγύτατα τουτέων, ἀποφαίνονται. ἐγὼ δὲ φημὶ εἰ ἓν ἦν ὁ ἄνθρωπος, οὐδέποτ' ἂν ἤλγεεν. οὐδὲ γὰρ ἂν ἦν ὑπὸ του ἀλγήσειεν ἓν ἐόν. εἰ δ' οὖν καὶ ἀλγήσει, ἀνάγκη καὶ τὸ ἰώμενον, ἓν εἶναι. νυνὶ δὲ, πολλά. πολλὰ γάρ εἰσιν ἐν τῷ σώματι ἐνεόντα. ἃ ὁκόταν ὑπ' ἀλλήλων παρὰ φύσιν θερμαίνηταί τε καὶ ψύχηται, καὶ ξηραίνηταί τε καὶ ὑγραίνηται, νούσους τίκτει. ὥστε πολλαὶ μὲν ἰδέαι τῶν νοσημάτων, πολλὴ δὲ καὶ ἡ ἴησις αὐτέων ἐστίν. ἀξιῶ δὲ ἔγωγε τὸν φάσκοντα αἷμα εἶναι μοῦνον τὸν ἄνθρωπον καὶ ἄλλο μηδὲν, δεικνύναι αὐτὸν μὴ μεταλλάσσοντα τὴν ἰδέην, μηδὲ γίνεσθαι παντοῖον. ἀλλ' ἢ ὥρην τινὰ τοῦ ἐνιαυτοῦ, ἢ τῆς ἡλικίης τοῦ ἀνθρώπου, ἐν ᾗ αἷμα ἐνεὸν φαίνεται μοῦνον ἐν τῷ ἀνθρώπῳ. εἰκὸς γὰρ εἶναι μίαν τινὰ ὥρην, ἐν ᾗ φαίνεται αὐτὸ ἐν ἑωυτῷ ἓν ἐόν. τὰ αὐτὰ δὲ λέγω καὶ περὶ τοῦ φάσκοντος φλέγμα εἶναι καὶ περὶ τοῦ χολὴν φάσκοντος. ἐγὼ μὲν γὰρ ἀποδείξω ἃ ἂν φήσω τὸν ἄνθρωπον εἶναι καὶ κατὰ τὸν νόμον καὶ κατὰ τὴν φύσιν, αἰεὶ ταῦτα ἐόντα ὅμοια, καὶ νέου ἐόντος, καὶ γέροντος, καὶ τῆς ὥρης ἐούσης, καὶ ψυχρῆς καὶ θερμῆς. καὶ τεκμήρια παρέξω, καὶ ἀνάγκας ἀποφανῶ, δι' ἃς ἕκαστον αὔξεταί τε καὶ φθίνει ἐν τῷ σώματι. πρῶτον μὲν οὖν, ἀνάγκη τὴν γένεσιν γίνεσθαι, μὴ ἀφ' ἑνός. πῶς γὰρ ἂν ἕν γ' ἐὸν, τι γεννήσειεν, εἰ μή τινι μιχθείη; ἔπειτα οὐδὲ ἂν μὴ ὁμόφυλα ἐόντα μίσγηται, καὶ τὴν αὐτὴν ἔχοντα δύναμιν γεννᾷ. οὐδ' ἂν ταῦτα ἡμῖν συντελέοιτο. καὶ πάλιν, εἰ μὴ τὸ θερμὸν τῷ ψυχρῷ, καὶ τὸ ξηρὸν τῷ ὑγρῷ μετρίως πρὸς ἄλληλα ἕξει καὶ ἴσως, ἀλλὰ θάτερον θατέρου πολὺ προέξει, καὶ τὸ ἰσχυρότερον τοῦ ἀσθενεστέρου, ἡ γένεσις οὐκ ἂν γένοιτο. ὥστε πῶς εἰκὸς ἀπὸ ἑνός τι γεννηθῆναι; ὅτε γε οὐδ' ἀπὸ τῶν πλειόνων γεννᾶται, ἢν μὴ τύχῃ καλῶς ἔχοντα τῆς κρήσιος τὰ πρὸς ἄλληλα. ἀνάγκη τοίνυν τῆς φύσιος τοιαύτης ὑπαρχούσης, καὶ τῶν ἄλλων ἁπάντων, καὶ τῆς τοῦ ἀνθρώπου, μὴ ἓν εἶναι τὸν ἄνθρωπον, ἀλλ' ἕκαστον τῶν ξυμβαλλομένων ἐς τὴν γένεσιν, ἔχειν τινὰ δύναμιν ἐν τῷ σώματι, οἵην περ ξυνεβάλλετο. καὶ πάλιν γε ἀνάγκη ἀποχωρέειν ἐς τὴν ἑωυτοῦ φύσιν ἕκαστον, τελευτῶντος ἀνθρώπου τό, τε ὑγρὸν, πρὸς τὸ ὑγρὸν, καὶ τὸ ξηρὸν, πρὸς τὸ ξηρὸν, καὶ τὸ θερμὸν, πρὸς τὸ θερμὸν, καὶ τὸ ψυχρὸν, πρὸς τὸ ψυχρόν. τοιαύτη δὲ καὶ τῶν ζώων ἐστὶν ἡ φύσις, καὶ τῶν ἄλλων πάντων. γίνεταί τε ὁμοίως πάντα, καὶ τελευτᾷ ὁμοίως πάντα. ξυνίσταται γὰρ αὐτέων ἡ φύσις, ἀπὸ τουτέων τῶν προειρημένων πάντων. καὶ τελευτᾷ κατὰ τὰ εἰρημένα, ἐς τὸ ἑωυτό. ὅθεν περ ξυνέστη ἕκαστον, ἐνταῦθα οὖν καὶ ἀπεχώρησε. τὸ δὲ σῶμα τοῦ ἀνθρώπου, ἔχει ἐν ἑωυτῷ αἷμα καὶ φλέγμα, καὶ χολὴν διπλῆν, ἤγουν ξανθήν τε καὶ μέλαιναν. καὶ ταῦτ' ἐστὶν αὐτέῳ ἡ φύσις τοῦ σώματος, καὶ διὰ ταῦτα ἀλγέει καὶ ὑγιαίνει. ὑγιαίνει μὲν οὖν μάλιστα, ὁκόταν μετρίως ἔχῃ ταῦτα τῆς

πρὸς

πρὸς ἄλληλα κρήσιος καὶ δυνάμιος καὶ τοῦ πλήθεος. καὶ μάλιστα ἢν μεμιγμένα ᾖ. ἀλγέει δὲ, ὁκόταν τι τουτέων, ἔλασσον ἢ πλέον ἔῃ. ἢ χωρισθῇ ἐν τῷ σώματι καὶ μὴ κεκρημένον ᾖ τοῖσι ξύμπασιν. ἀνάγκη γὰρ ὁκόταν τι τουτέων χωρισθῇ καὶ ἐφ' ἑωυτῷ στῇ, ἔνθεν τε ἐξέστηκεν, οὐ μόνον τοῦτο τὸ χωρίον νοσερὸν γίνεται, ἀλλὰ καὶ ἔνθα ἐπιχυθῇ, ὑπερπιμπλάμενον, ὀδύνην τε καὶ πόνον παρέχειν. καὶ γὰρ ὅταν τι τουτέων ἔξω τοῦ σώματος ἐκρυῇ πλέον τοῦ ἐπιπολάζοντος, ὀδύνην παρέχει ἡ κένωσις. ἢν ταῦτα πάλιν ποιήσηται ἔσω τὴν κένωσιν, καὶ τὴν μετάστασιν, καὶ τὴν ἀπόκρισιν ἀπὸ τῶν ἄλλων, πολλὴ αὐτέῳ ἀνάγκη διπλῆν τὴν ὀδύνην παρέχειν κατὰ τὰ εἰρημένα, ἔνθεν τε ἐξέστη καὶ ἔνθα ὑπερέβαλεν. εἶπον δὴ ἃ ἂν φήσω τὸν ἄνθρωπον εἶναι ἀποφαίνειν ἀεὶ, ταῦτα ἐόντα καὶ κατὰ νόμον καὶ κατὰ φύσιν. φημὶ δὴ εἶναι αἷμα. καὶ φλέγμα, καὶ χολὴν, ξανθήν τε καὶ μέλαιναν. καὶ τουτέων πρῶτον μὲν κατὰ τὸν νόμον τὰ οὐνόματα διωρίσθαί φημι, καὶ οὐδενὶ αὐτέων, τὸ αὐτὸ ὄνομα εἶναι. ἔπειτα τὰς ἰδέας κατὰ φύσιν κεχωρίσθαι, καὶ οὔτε τὸ φλέγμα οὐδὲν ἐοικέναι τῷ αἵματι, οὔτε τὸ αἷμα, τῇ χολῇ, οὔτε τὴν χολὴν, τῷ φλέγματι. πῶς γὰρ ἂν ἐοικότα εἴη ταῦτα ἀλλήλοισιν, ὧν οὔτε τὰ χρώματα ὅμοια φαίνεται προσορώμενα, οὔτε τῇ χειρὶ ψαύοντι, ὅμοια δοκέει εἶναι. οὔτε γὰρ θερμὰ ὁμοίως ἐστίν. οὔτε ψυχρά. οὔτε ξηρὰ, οὔτε ὑγρά. ἀνάγκη τοίνυν ὅτι τοσοῦτον διήλλακται ἀλλήλων τὴν ἰδέην τε καὶ τὴν δύναμιν, μὴ ἓν αὐτὰ εἶναι. εἴπερ μὴ πῦρ τε καὶ ὕδωρ ταὐτόν ἐστι. γνοίης δ' ἂν τοῖσδε, ὅτι οὐχ ἓν ταῦτα πάντα ἐστὶν, ἀλλ' ἕκαστον αὐτέων ἔχει δύναμίν τε καὶ φύσιν τὴν ἑωυτέου. ἢν γάρ τινι διδῷς ἀνθρώπῳ φάρμακον, ὅτι φλέγμα ἄγει, ἐμέεταί σοι φλέγμα. καὶ ἢν διδῷς φάρμακον, ὅτι χολὴν ἄγει, ἐμέεταί σοι χολή. κατὰ ταὐτὰ δὲ καὶ χολὴ μέλαινα καθαίρεται, ἢν διδῷς φάρμακον, ὅ, τι χολὴν μέλαιναν ἄγει. καὶ ἢν τρώσῃς αὐτέῳ τοῦ σώματος μέρος τι, ὥστε τραῦμα γενέσθαι, ῥυήσεται αὐτέῳ αἷμα. καὶ ταῦτα ποιήσει σοι πάντα πᾶσαν ἡμέρην καὶ νύκτα, καὶ χειμῶνος, καὶ θέρεος, μέχρις ἂν δυνατὸς ᾖ τὸ πνεῦμα ἕλκειν εἰς ἑωυτὸν, καὶ πάλιν μεθιέναι, δυνατὸς δὲ ἔσται, ἐς ἂν τινὸς τουτέων στερηθῇ τῶν ξυγγεγονότων. ξυγγέγονε δὲ ταῦτα τὰ εἰρημένα. πῶς γὰρ οὐ ξυγγέγονε; πρῶτον μὲν φανερόν ἐστιν ὁ ἄνθρωπος ἔχων ἐν ἑωυτῷ ταῦτα πάντα ἀεὶ, ἕως ἂν ζῇ. ἔπειτα γέγονεν ἐξ ἀνθρώπου, ταῦτα πάντα ἔχοντος. ἔπειτα τέθραπται ἐν ἀνθρώπῳ, ταῦτα πάντα ἔχοντι, ὁκόσα ἐγώ γε νῦν φημί τε καὶ ἀποδείκνυμι. οἱ δὲ λέγοντες ὡς ἕν ἐστιν ἄνθρωπος, δοκέουσί μοι ταύτῃ τῇ γνώμῃ κεχρῆσθαι. ὁρέοντες τοὺς πίνοντας τὰ φάρμακα, καὶ ἀπολλυμένους ἐν τῇσιν ὑπερκαθάρσεσι. τοὺς μὲν χολὴν ἐμέοντας. τοὺς δέ τινας, φλέγμα. τοῦτο ἕκαστον αὐτέων ἐνόμισαν εἶναι τὸν ἄνθρωπον, ὅ, τι καθαιρόμενον εἶδον αὐτὸν ἀποθανόντα. καὶ οἱ τὸ αἷμα φάντες εἶναι τὸν ἄνθρωπον, τῇ αὐτέῃ γνώμῃ χρέονται. ὁρέοντες ἀποσφαζομένους τοὺς ἀνθρώπους, καὶ τὸ αἷμα ῥέον ἐκ τοῦ σώματος, τοῦτο νομίζουσιν εἶναι τὴν ψυχὴν ἐν τῷ ἀνθρώπῳ. καὶ μαρτυρίοισι τουτέοισι πάντες χρέονται ἐν τοῖσι λόγοισι. καίτοι πρῶτον μὲν ἐν τῇσιν ὑπερκαθάρσεσιν οὐδείς πω ἀπέθανε χολὴν μόνον καθαρθείς. ἀλλ' ὁκόταν τις πίῃ φάρμακον, ὅ, τι χολὴν ἄγει, πρῶτον μὲν χολὴν ἐμέει. ἔπειτα δὲ φλέγμα. ἔπειτα δὲ ἐπὶ τῇ χολῇ, ἐμέουσι χολὴν μέλαιναν ἀναγκαζόμενοι. τελευτῶντες δὲ καὶ αἷμα ἐμέουσι καθαρόν. τὰ αὐτὰ δὲ πάσχουσιν καὶ ὑπὸ τῶν φαρμάκων τῶν τὸ φλέγμα ἀγόντων. πρῶτον μὲν γὰρ φλέγμα ἐμέουσιν. ἔπειτα χολὴν ξανθὴν, ἔπειτα μέλαιναν, τελευτῶντες δὲ αἷμα καθαρὸν, καὶ ἐν τῷδε ἀποθνήσκουσιν. τὸ γὰρ φάρμακον, ὁκόταν ἐσέλθῃ ἐς τὸ σῶμα, πρῶτον μὲν ἄγει, ὃ ἂν αὐτέῳ κατὰ φύσιν μάλιστα ᾖ, τῶν ἐν τῷ σώματι ἐνεόντων. ἔπειτα δὲ καὶ τἄλλα ἕλκει τε καὶ καθαίρει. ὥσπερ τὰ φυόμενά τε καὶ σπειρόμενα, ὁκόταν ἐς τὴν γῆν ἔλθῃ, ἕλκει ἕκαστον τὸ κατὰ φύσιν ἑωυτῷ ἐνεὸν ἐν τῇ γῇ. ἔνι δὲ καὶ ὀξύ. καὶ πικρὸν, καὶ γλυκύ. καὶ ἁλμυρὸν καὶ παντοῖον. πρῶτον μὲν οὖν πλεῖστον τουτέου εἵλκυσεν εἰς ἑωυτὸ, ὅ, τι ἂν ᾖ ἑωυτέῳ κατὰ φύσιν. ἔπειτα δὲ ἕλκει καὶ τ' ἄλλα. τοιοῦτον δέ τι καὶ τὰ φάρμακα ποιέει ἐν τῷ σώματι, ὁκόσα ἂν χολὴν ἄγῃ πρῶτον ἀκρητεστάτην ἐκάθηρε χολήν. ἔπειτα δὲ μεμιγμένην. καὶ πάλιν τὰ τοῦ φλέγματος φάρμακα, πρῶτον μὲν ἀκρητέστατον τὸ φλέγμα ἄγει. ἔπειτα δὲ μεμιγμένον. καὶ τοῖσιν ἀποσφαζομένοισιν, πρῶτον μὲν τὸ αἷμα ῥέει, θερμότατόν τε καὶ ἐρυθρότατον. ἔπειτα δὲ ῥέει φλεγματωδέστερον καὶ χολωδέστερον. αὔξεται δὲ ἐν τῷ ἀνθρώπῳ, τὸ μὲν φλέγμα χειμῶνος. τοῦτο γὰρ τῷ χειμῶνι κατὰ φύσιν μάλιστα τῶν ἐν τῷ σώματι ἐνεόντων, ψυχρότατον γάρ ἐστι. τεκμήρια δὲ τουτέων, ὅτι τὸ μὲν φλέγμα

ψυχρότατον

ψυχρότατον. εἰ ἐθέλεις ψαῦσαι φλέγματος καὶ χολῆς, καὶ αἵματος, τὸ φλέγμα εὑρήσεις ψυχρότατον ἐόν, καίτοι γλισχρότατόν ἐστι καὶ βίῃ μάλιστα ἄγεται μετὰ χολὴν μέλαιναν. ὁκόσα δὲ βίῃ ἔρχεται, θερμότερα γίνεται, ἀναγκαζόμενα ὑπὸ τῆς βίης. ἀλλ' ὅμως καὶ πρὸς πάντα ταῦτα ψυχρότατον ἐὸν τὸ φλέγμα φαίνεται ὑπὸ τῆς φύσιος τῆς ἑωυτοῦ. ὅτι δὲ ὁ χειμὼν πληροῖ τὸ σῶμα φλέγματος, γνοίης ἂν τοῖσδε. οἱ ἄνθρωποι πτύουσί τε καὶ ἀπομύσσονται φλεγματωδέστατον τοῦ χειμῶνος. καὶ τὰ οἰδήματα, λευκότατα γίνεται μάλιστα ταύτην τὴν ὥρην. καὶ τ' ἄλλα νοσήματα φλεγματώδεα. τοῦ δὲ ἦρος, τὸ φλέγμα, ἔτι μὲν ἰσχυρότερον ἐν τῷ σώματι, καὶ τὸ αἷμα αὔξεται. τά τε γὰρ ψύχεα ἐξανίει, καὶ τὰ ὕδατα ἐπιγίνεται. τὸ δὲ αἷμα κατὰ ταῦτα αὔξεται, ὑπό τε τῶν ὄμβρων, καὶ τῶν θερμημεριῶν. κατὰ φύσιν γὰρ αὐτέων ταῦτα ἐστὶ μάλιστα τοῦ ἐνιαυτοῦ. ὑγρόν τε γάρ ἐστι καὶ θερμόν. γνοίης δ' ἂν τοῖσδε. οἱ ἄνθρωποι τοῦ ἦρος καὶ τοῦ θέρεος, μάλιστα ὑπό τε τῶν δυσεντεριῶν ἁλίσκονται, καὶ ἐκ τῶν ῥινέων αἷμα ῥεῖ αὐτέοισι. καὶ θερμότατοί εἰσι καὶ ἐρυθροί. τοῦ δὲ θέρεος, τό, τε αἷμα ἰσχύει ἔτι. καὶ ἡ χολὴ ἀείρεται ἐν τῷ σώματι, καὶ παρατείνει ἐς τὸ φθινόπωρον. ἐν δὲ τῷ φθινοπώρῳ, τὸ μὲν αἷμα ὀλίγον γίνεται, ἐναντίον γὰρ αὐτέου τὸ φθινόπωρον τῇ φύσει ἐστίν. ἡ δὲ χολή, τὴν θερίην κατέχει τὸ σῶμα, καὶ τὸ φθινόπωρον. γνοίης δ' ἂν τοῖσδε. οἱ ἄνθρωποι αὐτόματοι ταύτην τὴν ὥρην χολὴν ἐμέουσι, καὶ ἐν τῇσι φαρμακοποσίῃσι χολωδέστερα καθαίρονται. δῆλον δὲ καὶ τοῖσι πυρετοῖσι, καὶ τοῖσι χρώμασι τῶν ἀνθρώπων. τὸ δὲ φλέγμα τῆς θερίης, ἀσθενέστατόν ἐστιν αὐτὸ ἑωυτοῦ. ἐναντίη γὰρ αὐτέου ἐστὶ τῇ φύσει, ἡ ὥρη. ξηρή τε γάρ ἐστι καὶ θερμή. τὸ δὲ αἷμα τοῦ φθινοπώρου, ἐλάχιστον γίνεται ἐν τῷ ἀνθρώπῳ. ξηρόν τε γάρ ἐστι τὸ φθινόπωρον. καὶ ψύχειν ἤδη ἄρχεται τὸν ἄνθρωπον. ἡ δὲ μέλαινα χολή, τοῦ φθινοπώρου πλείστη τε καὶ ἰσχυροτάτη ἐστίν. ὁκόταν δὲ ὁ χειμὼν καταλαμβάνῃ, ἥ τε χολὴ ψυχομένη, ὀλίγη γίνεται. καὶ τὸ φλέγμα αὔξεται πάλιν, ἀπό τε τῶν ὑετῶν τοῦ πλήθεος, καὶ ὑπὸ τοῦ μήκεος τῶν νυκτῶν. ἔχει μὲν οὖν ταῦτα πάντα αἰεὶ τὸ σῶμα τοῦ ἀνθρώπου, ὑπὸ δὲ τῆς περιισταμένης ὥρης, ποτὲ μέν, πλείω γίνεται σφῶν αὐτὰ ἑωυτέων, ποτὲ δέ, ἐλάσσω ἕκαστα κατὰ μέρος καὶ κατὰ φύσιν. ὥσπερ ὁ ἐνιαυτὸς μετέχει μὲν πᾶς πάντων, καὶ τῶν θερμῶν καὶ τῶν ψυχρῶν. καὶ τῶν ξηρῶν καὶ τῶν ὑγρῶν. οὐ γὰρ ἂν μείνειεν τουτέων οὐδέν, οὐδ' ἕνα χρόνον, ἄνευ πάντων τῶν ἐνεόντων ἐν τῷδε τῷ κόσμῳ, ἀλλ' εἰ ἕν τι ἐκλίποι, πάντ' ἂν ἀφανισθείη. ἀπὸ γὰρ τῆς αὐτέης ἀνάγκης, πάντα ξυνέστηκέ τε καὶ τρέφεται ὑπ' ἀλλήλων. οὕτω δὲ καὶ εἴ τι ἐκ τοῦ ἀνθρώπου ἐκλίποι τουτέων τῶν ξυγγεγονότων, οὐκ ἂν δύναιτο ζῆν ὁ ἄνθρωπος. ἰσχύει δὲ ἐν τῷ ἐνιαυτῷ, τοτὲ μέν, ὁ χειμὼν μάλιστα, τοτὲ δέ, τὸ ἔαρ. τοτὲ δέ, τὸ θέρος. τοτὲ δέ, τὸ φθινόπωρον. οὕτω δὲ καὶ ἐν τῷ ἀνθρώπῳ. τοτὲ μέν, τὸ φλέγμα ἰσχύει. τοτὲ δέ, τὸ αἷμα. τοτὲ δέ, ἡ χολὴ πρῶτον μὲν ἡ ξανθή. ἔπειτα δ' ἡ μέλαινα καλεομένη. μαρτύριον δὲ σαφέστερον, εἰ ἐθέλεις τῷ αὐτέῳ ἀνθρώπῳ δοῦναι τὸ αὐτὸ φάρμακον τετράκις τοῦ ἐνιαυτοῦ, ἐμέεταί σοι τοῦ μὲν χειμῶνος, φλεγματωδέστατα. τοῦ δὲ ἦρος, ὑγρότατα. τοῦ δὲ θέρεος, χολωδέστατα. τοῦ δὲ φθινοπώρου, μελάντατα. ὀφείλει οὖν τουτέων ὧδε ἐχόντων, ὁκόσα μὲν τῶν νοσημάτων τοῦ χειμῶνος αὔξεται, θέρεος λήγειν. ὁκόσα δὲ θέρεος αὔξεται, χειμῶνος λήγειν. ὁκόσα μὴ αὐτέων, ἐν περιόδῳ ἡμερέων ἀπαλλάσσεται. τὴν δὲ περίοδον αὖθις φράσω, τὴν τῶν ἡμερέων. ὁκόσα δὲ ἦρος γίνεται νουσήματα, προσδέχεσθαι χρὴ φθινοπώρου τὴν ἀπαλλαγήν. ὁκόσα δὲ φθινοπωρινὰ νουσήματα, τουτέων τοῦ ἦρος ἀνάγκη τὴν ἀπάλλαξιν γενέσθαι. ὅτι δ' ἂν τὰς ὥρας ταύτας ὑπερβάλλῃ νόσημα, εἰδέναι χρὴ ὡς ἐνιαύσιον αὐτὸ ἐσόμενον. καὶ τὸν ἰητρὸν οὕτω χρὴ ἰῆσθαι τὰ νοσήματα, ὡς ἑκάστου τουτέων ἰσχύοντος ἐν τῷ σώματι κατὰ τὴν ὥρην τὴν ἑωυτῷ κατὰ φύσιν οὖσαν μάλιστα.

Ταῦτα γνήσια οὐκ ἐστίν, ἀλλὰ προσκείμενα τῷ περὶ φύσιος ἀνθρώπου βιβλίῳ, ὡς Γαληνός φησι.

Εἰδέναι δὲ χρὴ καὶ τάδε, πρὸς ἐκείνοισιν. ὅτι ὁκόσα πλησμονὴ τίκτει νοσήματα, κένωσις ἰῆται. ὁκόσα δὲ ἀπὸ κενώσιος γίνεται νοσήματα, πλησμονὴ ἰῆται. ὁκόσα δὲ ἀπὸ ταλαιπωρίης γίνεται, ἀνάπαυσις ἰῆται. ὁκόσα δ' ὑπὸ ἀργίης τίκτεται, ταλαιπωρίη ἰῆται. τὸ δὲ ξύμπαν γνῶναι δεῖ τὸν ἰητρόν, ἐναντίον ἵστασθαι τοῖσι καθεστῶσι καὶ νοσήμασι, καὶ εἴδεσι, καὶ ὥρῃσι, καὶ ἡλικίῃσι, καὶ τὰ συντείνοντα λύειν, καὶ τὰ λελυμένα συντείνειν. οὕτω γὰρ ἂν μάλιστα τὸ κάμνον ἀναπαύοιτο. ἥτε ἴησις, τοῦτό μοι δοκεῖ εἶναι. Αἱ δὲ νοῦσοι γίνονται, αἱ μέν, ἀπὸ τῶν διαιτημάτων. αἱ δέ, ἀπὸ

τοῦ πνεύματος

τοῦ πνεύματος, ὃ ἀναπνέοντες ζῶμεν. τὴν δὲ διάγνωσιν χρὴ ἑκατέρων, ὧδε ποιέεσθαι. ὁκόταν μὲν ὑπὸ νοσήματος ἑνὸς πολλοὶ ἄνθρωποι ἁλίσκωνται κατὰ τὸν αὐτὸν χρόνον, τὴν αἰτίην χρὴ ἀνατιθέναι τουτέῳ, ὅ, τι κοινότατόν ἐστι, καὶ μάλιστα αὐτέῳ πάντες χρεώμεθα. ἔστι δὲ τοῦτο ὃ ἀναπνέομεν. φανερὸν γὰρ ἤδη, ὅτι τὰ διαιτήματα ἑκάστου ἡμῶν, οὐκ αἴτια ἐστιν, ὅτε ἅπτεται πάντων ἡ νοῦσος ἑξῆς, καὶ τῶν νεωτέρων, καὶ τῶν πρεσβυτέρων, καὶ γυναικῶν καὶ ἀνδρῶν ὁμοίως. καὶ τῶν θωρησσομένων καὶ τῶν ὑδροποτεόντων. καὶ τῶν μᾶζαν ἐσθιόντων, καὶ τῶν ἄρτω σιτεόντων. καὶ τῶν πολλὰ ταλαιπωρούντων, καὶ τῶν ὀλίγα. οὐκ ἂν οὖν τά γε διαιτήματα αἴτια εἴη, ὁκόταν διαιτεύμενοι πάντας τρόπους οἱ ἄνθρωποι ἁλίσκωνται ὑπὸ τῆς αὐτέης νούσου. ὁκόταν δὲ αἱ νοῦσοι γίνωνται παντοδαπαὶ κατὰ τὸν αὐτὸν χρόνον, δῆλον ὅτι τὰ διαιτήματα ἐστὶν αἴτια ἕκαστα ἑκάστοισι. καὶ τὴν θεραπείην χρὴ ποιέεσθαι ἐναντιούμενον τῇ προφάσει τῆς νούσου, ὥσπερ μοι πέφρασται καὶ ἑτέρωθι, καὶ ἐκ τῶν διαιτημάτων μεταβάλλειν. δῆλον γὰρ ὅτι οἷσί γε χρῆσθαι εἴωθεν ὁ ἄνθρωπος διαιτήμασιν, οὐκ ἐπιτήδεια οἱ ἐστὶν, ἢ πάντα, ἢ τὰ πλείω, ἢ ἕν γέ τι αὐτέων. ἃ δεῖ καταμαθόντα μεταβάλλειν. καὶ σκεψάμενον τοῦ ἀνθρώπου τὴν φύσιν, τήν τε ἡλικίην, καὶ τὸ εἶδος, καὶ τὴν ὥρην τοῦ ἔτεος, καὶ τῆς νούσου τὸν τρόπον, τὴν θεραπείαν ποιέεσθαι. ποτὲ μὲν, ἀφαιρέοντα. ποτὲ δὲ, προστιθέντα. ὥσπερ μοι καὶ πάλαι εἴρηται πρὸς ἑκάστας τῶν ἡλικιέων, καὶ τῶν ὡρέων, καὶ τῶν ἰδεῶν, καὶ τῶν νόσων, ἔν τε τῇσι φαρμακίῃσι προτρέπεσθαι καὶ ἐν τοῖσι διαιτήμασιν. ὁκόταν δὲ νοσήματος ἑνὸς ἐπιδημίη καθεστήκῃ, δηλονότι οὐ τὰ διαιτήματα αἴτιά ἐστιν, ἀλλ' ὃ ἀναπνέομεν τοῦτο αἴτιόν ἐστι. καὶ δῆλον ὅτι τοῦτο νοσηρήν τινα ἀπόκρισιν ἔχον ἂν εἴη. τοῦτον χρὴ τὸν χρόνον τὰς παραινέσιας ποιέεσθαι τοῖσιν ἀνθρώποισι, τοιάσδε. τὰ μὲν διαιτήματα μὴ μεταβάλλειν, ὅτι γε οὐκ αἴτια ἐστὶ τῆς νούσου. τὸ δὲ σῶμα ὁρᾶν, ὅκως ἔσται ὡς ἀογκότατον καὶ ἀσθενέστατον. τῶν σιτίων τε ἀφαιρέοντα, καὶ τῶν ποτῶν, οἷσιν εἰώθει χρέεσθαι κατ' ὀλίγον. ἢν γὰρ μεταβάλλῃ ταχέως τὴν δίαιταν, κίνδυνος καὶ ἀπὸ τῆς μεταβολῆς νεώτερόν τι γίνεσθαι ἐν τῷ σώματι. ἀλλὰ χρὴ τοῖσι μὲν διαιτήμασιν οὕτω χρέεσθαι, ὅτε γε φαίνονται μηδὲν ἀδικέοντα τὸν ἄνθρωπον. τοῦ δὲ πνεύματος, ὅκως ἐλαχίστη ἡ ῥύσις ἐς τὸ σῶμα ἐσίοι, καὶ ὡς ξενωτάτη ἔσται προμηθέεσθαι. τῶν τε χωρίων τοὺς τόπους μεταβάλλοντα ἐς δύναμιν, ἐν οἷσιν ἂν ἡ νοῦσος καθεστήκῃ, καὶ τὰ σώματα λεπτύνοντα. οὕτω γὰρ ἂν ἥκιστα πολλοῦ τε καὶ πυκνοῦ πνεύματος χρῄζοιεν οἱ ἄνθρωποι. ὁκόσα δὲ τῶν νοσημάτων ἀπὸ τοῦ σώματος γίνεται τῶν μελέων τοῦ ἰσχυροτάτου, ταῦτα δεινότατά ἐστι. καὶ γὰρ ἢν αὐτοῦ μένῃ ἔνθα ἂν ἄρξηται, ἀνάγκη τοῦ ἰσχυροτάτου τῶν μελέων πονεομένου, ἅπαν τὸ σῶμα πονέεσθαι. κἂν ἐπί τι τῶν ἀσθενεστέρων ἀφίκηται ἀπὸ τοῦ ἰσχυροτέρου, χαλεπαὶ αἱ ἀπολύσιες γίνονται. ὁκόσα δ' ἂν ἀπὸ τῶν ἀσθενεστέρων ἐπὶ τὰ ἰσχυρότερα ἔλθοι, εὐλυτώτερά ἐστιν. ὑπὸ γὰρ τῆς ἰσχύος ἀπαλλάσσεται ῥηϊδίως τὰ ἐπιρρέοντα. αἱ παχύταται δὲ τῶν φλεβῶν, ὧδε πεφύκασι.

Τέσσαρα ζεύγεά ἐστιν ἐν τῷ σώματι. καὶ ἓν μὲν αὐτέων, ἀπὸ τῆς κεφαλῆς ὄπισθεν διὰ τοῦ αὐχένος, ἔξωθεν ἐπὶ τὴν ῥάχιν, ἔνθεν τε καὶ ἔνθεν παρὰ τὰ ἰσχία ἀφικνέεται, καὶ ἐς τὰ σκέλεα. ἔπειτα διὰ τῶν κνημέων καὶ τῶν σφυρῶν τὰ ἔξω καὶ ἐς τοὺς πόδας διήκει. δεῖ οὖν τὰς φλεβοτομίας τὰς ἐπὶ τῶν ἀλγημάτων τῶν ἐν τῷ νώτῳ καὶ τοῖσιν ἰσχίοισιν, ἀπὸ τῶν ἰγνύων ποιέεσθαι καὶ ἀπὸ τῶν σφυρῶν ἔξωθεν. αἱ δ' ἕτεραι φλέβες ἔχουσιν ἐκ τῆς κεφαλῆς παρὰ τὰ οὖατα, διὰ τοῦ αὐχένος, αἱ σφαγίτιδες καλεόμεναι, ἔσωθεν παρὰ τὴν ῥάχιν ἑκατέρωθεν φέρονται παρὰ τὰς ψόας ἐς τοὺς ὄρχιας καὶ ἐς τοὺς μηρούς. καὶ διὰ τῶν ἰγνύων, ἐκ τοῦ ἔσωθεν μέρεος. ἔπειτα διὰ τῶν κνημέων παρὰ τὰ σφυρὰ ἔσωθεν, καὶ ἐς τοὺς πόδας. δεῖ οὖν τὰς φλεβοτομίας, πρὸς τὰς ὀδύνας ποιέεσθαι, τὰς ἀπὸ τῶν ψοῶν καὶ τῶν ὀρχίων, ἀπὸ τῶν ἰγνύων καὶ ἀπὸ τῶν σφυρῶν ἔσωθεν. αἱ δὲ τρίται φλέβες, ἐκ τῶν κροτάφων διὰ τοῦ αὐχένος, ὑπὸ τὰς ὠμοπλάτας. ἔπειτα συμφέρονται ἐς τὸν πλεύμονα, καὶ ἀφικνέονται. ἡ μὲν ἀπὸ τῶν δεξιῶν, ἐς τὰ ἀριστερά. ἡ δὲ, ἀπὸ τῶν ἀριστερῶν, ἐς τὰ δεξιά. καὶ ἡ μὲν δεξιὴ, ἀφικνέεται ἐκ τοῦ πλεύμονος ὑπὸ τὸν μαζὸν, καὶ ἐς τὸν σπλῆνα, καὶ ἐς τὸν νεφρόν. ἡ δὲ ἀπὸ τῶν ἀριστερῶν, ἐς τὰ δεξιὰ, ἐκ τοῦ πλεύμονος, ὑπὸ τὸν μαζόν. καὶ ἐς τὸ ἧπαρ, καὶ τὸν νεφρόν. τελευτῶσι δὲ ἐς τὸν ἀρχόν, αὗται ἑκάτεραι. αἱ δὲ τέταρται φλέβες, ἀπὸ τοῦ ἔμπροσθεν τῆς κεφαλῆς καὶ τῶν ὀφθαλμῶν, ὑπὸ τὸν αὐχένα καὶ τὰς κληῖδας. ἔπειτα ὑπὲρ τῶν βραχιόνων, ἄνωθεν εἰς τὰς ξυγκαμπάς. ἔπειτα δὲ διὰ τῶν πηχέων καὶ τῶν χειρῶν ἄνωθεν, καὶ ἐπὶ τοὺς καρποὺς καὶ τοὺς δακτύλους. ἔπειτα ἀπὸ τῶν δακτύλων πάλιν διὰ τῶν πήχεων καὶ τῶν χειρῶν

ἄνωθεν εἰς τὰς ξυγκαμπάς. καὶ διὰ τῶν βραχιόνων τοῦ κάτωθεν μέρεος, εἰς τὰς μασχάλας. καὶ ἀπὸ τῶν πλευρέων ἄνωθεν, ἡ μὲν, εἰς τὸν σπλῆνα ἀφικνέεται. ἡ δὲ, εἰς τὸ ἧπαρ. ἔπειτα ὑπὲρ τῆς γαστρὸς ἐς τὸ αἰδοῖον τελευτῶσιν ἀμφότεραι. καὶ αἱ μὲν παχύταται τῶν φλεβῶν, ὧδε ἔχουσιν. εἰσὶ δὲ καὶ αἱ ἀπὸ τῆς κοιλίης φλέβες, ἀνὰ τὸ σῶμα πάμπολλαί τε καὶ παντοῖαι. καὶ δι' ὧν ἡ τροφὴ ἐν τῷ σώματι ἔρχεται. φέρουσι δὲ ἀπὸ τῶν παχέων φλεβῶν εἰς τὴν κοιλίην καὶ εἰς τὸ ἄλλο σῶμα, καὶ ἀπὸ τῶν ἔξω καὶ ἀπὸ τῶν ἔσω. καὶ εἰς ἀλλήλας διαδιδόασιν, αἵ τε ἔσωθεν ἔξω, καὶ αἱ ἔξωθεν ἔσω. τὰς οὖν φλεβοτομίας δεῖ ποιέεσθαι, κατὰ τούτους τοὺς λόγους. ἐπιτηδεύειν δὲ χρὴ τὰς τομὰς, ὡς προσωτάτω τέμνειν ἀπὸ τῶν χωρίων, ἔνθα ἂν αἱ ὀδύναι μεμαθήκασι γίνεσθαι, καὶ τὸ αἷμα συλλέγεσθαι. οὕτως γὰρ ἂν ἥτε μεταβολὴ ἥκιστα μεγάλη γίνοιτο ἐξαπίνης. καὶ τὸ ἔθος μεταστήσαις ἂν, ὥστε μηκέτι εἰς τὸ αὐτὸ χωρίον ξυλλέγεσθαι. ὁκόσοι πῦον πολλὸν πτύουσιν, ἄτερ πυρετοῦ ἐόντος, καὶ ὁκόσοισιν ὑπὸ τὸ οὖρον πῦον ὑφίσταται πολλὸν, ἄτερ ὀδύνης ἐούσης. καὶ ὁκόσοισι τὰ ὑποχωρήματα, αἱματώδεα, ὥσπερ ἐν τῇσι δυσεντερίῃσι καὶ χρόνια ἃ νέοισιν ἐοῦσι, πέντε καὶ τριήκοντα ἐτέων, καὶ γεραιτέροισι, τουτέοισι πᾶσιν ἀπὸ τοῦ αὐτέου τὰ νουσήματα γίνεται. ἀνάγκη γὰρ τούτους, ταλαιπώρους τε γενέσθαι καὶ φιλοπόνους περὶ σῶμα, καὶ ἐργάτας νεανίσκους ἐόντας. ἔπειτα δὲ ἐξανεθέντας τῶν πόνων, σαρκωθῆναι μαλθακῇ σαρκὶ, καὶ πουλὺ διαφερούσῃ τῆς προτέρης. καὶ πολλὸν, διακεκριμένον ἔχειν τὸ σῶμα, τό, τε προϋπάρχον καὶ τὸ ἐπιτραφὲν ὥστε μὴ ὁμονοεῖν. ὁκόταν οὖν νόσημά τι καταλάβῃ τοὺς οὕτω διακειμένους, τὸ μὲν παραχρῆμα διαφεύγουσιν. ὕστερον δὲ μετὰ τὴν νοῦσον, χρόνῳ τήκεται τὸ σῶμα, καὶ ῥέει διὰ τῶν φλεβῶν, ᾗ ἂν εὐρυχωρείη μάλιστα τύχοι, ἰχωροειδές. ἢν μὲν οὖν ὁρμήσῃ ἐς τὴν κοιλίην τὴν κάτω, σχεδόν οἷόν περ ἐν τῷ σώματι ἐνέῃ, τοιοῦτον καὶ τὸ διαχώρημα γίνεται. ἅτε γὰρ τῆς ὁδοῦ κατάντεος ἐούσης, οὐχ ἵσταται πολλὸν χρόνον ἐν τῷ ἐντέρῳ. ὁκόσοισι δ' ἂν ἐς τὸ στῆθος ἐσρυῇ, ὑπόπυοι γίνονται. ἅτε τῆς καθάρσιος ἀνάντεος ἐούσης καὶ χρόνον ἐναυλιζόμενον πουλὺν ἐν τῷ στήθει, κατασήπεται, καὶ γίνεται πυοειδές. ὁκόσοισι δ' ἂν ἐς τὴν κύστιν ἐξερεύγηται, ὑπὸ τῆς θερμότητος τοῦ χωρίου τούτου καὶ θερμὸν καὶ λευκὸν γίνεται, καὶ διακρίνεται. καὶ τὸ μὲν ἀραιότατον, ἐφίσταται ἄνω. τὸ δὲ παχύτατον, κάτω. ὃ δὴ πῦον καλέεται. γίνονται δὲ καὶ οἱ λίθοι τοῖσι παιδίοισι διὰ τὴν θερμότητα τοῦ χωρίου τούτου, καὶ τοῦ ὅλου σώματος. τοῖσι δὲ ἀνδράσιν οὐ γίνονται λίθοι, διὰ τὴν ψυχρότητα τοῦ σώματος. εὖ γὰρ χρὴ εἰδέναι, ὅτι ὁ ἄνθρωπος, τῇ πρώτῃ τῶν ἡμερέων, θερμότατός ἐστιν αὐτὸς ἑωυτοῦ. τῇ δὲ ὑστάτῃ, ψυχρότατος. ἀνάγκη γὰρ αὐξανόμενον καὶ χωρέον τὸ σῶμα πρὸς βίην θερμὸν εἶναι. ὁκόταν δὲ ἄρχηται μαραίνεσθαι τὸ σῶμα, καταῤῥέον πρὸς εὐπέτειαν, ψυχρότερον γίνεται κατὰ τοῦτον τὸν λόγον. ὁκόσον τουτέων τῶν ἡμερέων τὴν πρώτην πλεῖστον αὔξεται ὁ ἄνθρωπος, τοσοῦτον θερμότερος γίνεται. καὶ τῇ ὑστάτῃ τῶν ἡμερέων, ὅσον πλεῖστον καταμαραίνεται, τοσοῦτον ἀνάγκη ψυχρότερον εἶναι. ὑγιέες δὲ γίγνονται αὐτόματοι, οἱ οὕτως διακείμενοι. πλεῖστοι μὲν ἐν τῇ ὥρῃ, ᾗ ἂν ἄρξωνται τήκεσθαι πέντε καὶ τεσσαρακονθήμεροι. ὁκόσοι δ' ἂν τὴν ὥρην ταύτην ὑπερβάλλωσιν, ἐνιαυτῷ αὐτόματοι ὑγιέες γίνονται, ἢν μήτι ἄλλο κακουργέηται ὁ ἄνθρωπος. ὁκόσα τῶν νοσημάτων ἐξ ὀλίγου γίνεται, καὶ ὁκόσων αἱ προφάσιες εὔγνωστοι, ταῦτα δὲ ἀσφαλέστατά ἐστι προαγορεύεσθαι. τὴν δὲ ἴησιν χρὴ ποιέεσθαι αὐτέων ἐναντιούμενον τῇ προφάσει τῆς νόσου. οὕτω γὰρ ἂν λύοιτο τὴν νοῦσον παρεχὸν ἐν τῷ σώματι.

Ὁκόσοισι ψαμμοειδέα ὑφίσταται, ἢ πῶροι ἐν τοῖσιν οὔροισι, τουτέοισι τὴν ἀρχὴν φύματα ἐγγίνεται πρὸς τῇ φλεβὶ τῇ παχείῃ, καὶ διεπύησεν. ἔπειτα δὲ ἅτε οὐ ταχέως ἐκραγέντων τῶν φυμάτων, πῶροι συνετράφησαν ἐκ τοῦ πύου, οἵ τινες ἔξω θλίβονται διὰ τῆς φλεβὸς, σὺν τῷ οὔρῳ ἐς τὴν κύστιν. ὁκόσοισι δὲ αἱματώδεα μὲν τὰ οὐρήματα, τουτέοισιν αἱ φλέβες πεπονήκασιν. ὁκόσοισι δὲ ἐν τῷ οὐρήματι παχεῖ ἐόντι, σαρκία μικρὰ τριχοειδέα συνεξέρχεται, ταῦτα δὲ ἀπὸ τῶν νεφρῶν, εἰδέναι χρὴ ἐόντα καὶ ἀπὸ ἀρθριτικῶν. ὁκόσοισι δὲ καθαρὸν τὸ οὖρον, ἄλλο τε καὶ ἄλλο τε, ὁκοῖον δὲ πίτυρα ἐπιφέρεται ἐν τῷ οὐρήματι, τουτέων ἡ κύστις ψωριᾷ.

Οἱ πλεῖστοι τῶν πυρετῶν, γίνονται ἀπὸ χολῆς. εἴδεα δὲ σφέων εἰσὶ τέσσαρα, χωρὶς τῶν ἐν τῇσιν ὀδύνῃσι γινομένων, τῇσιν ἀποκεκριμένῃσιν. ὀνόματα δ' αὐτέοισιν ἐστὶ, ξύνοχος. ἀμφημερινός. τριταῖος. τεταρταῖος. ὁ μὲν οὖν ξύνοχος καλεόμενος, γίνεται ἀπὸ πλείστης χολῆς καὶ ἀκρητεστάτης. καὶ τὰς κρίσιας ἐν ἐλαχίστῳ χρόνῳ ποιέεται. τὸ γὰρ σῶμα, οὐ διαψυχόμενον οὐδένα χρόνον, συντήκεται ταχέως, ἅτε ὑπὸ πολλοῦ τοῦ θερ-

μοῦ θερ-

μοῦ θερμαινόμενον. ὁ δὲ ἀμφημερινὸς μετὰ τὸν ξυνοχον, ἀπὸ πλείστης χολῆς γίνεται, καὶ ἀπαλλάσσεται τάχιστα τῶν ἄλλων. μακρότερος δέ ἐστι τοῦ ξυνόχου, ὁκόσῳ ἀπὸ ἐλάσσονος γίνεται χολῆς, καὶ ὅτι ἔχει ἀνάπαυσιν τὸ σῶμα, ἐν δὲ τῷ ξυνόχῳ οὐκ ἀναπαύεται οὐδένα χρόνον. ὁ δὲ τριταῖος, μακρότερός ἐστι τοῦ ἀμφημερινοῦ, καὶ ἀπὸ χολῆς ἐλάσσονος γίνεται. ὁκόσῳ δὲ πλείονα χρόνον ἐν τῷ τριταίῳ ἢ τῷ ἀμφημερινῷ, τὸ σῶμα διαναπαύεται, τοσούτῳ χρονιώτερος οὗτος ὁ πυρετὸς τοῦ ἀμφημερινοῦ ἐστιν. οἱ δὲ τεταρταῖοι, τὰ μὲν ἄλλα κατὰ τὸν αὐτὸν λόγον. χρονιώτεροι δὲ μάλα τῶν τριταίων εἰσίν. ὁκόσῳ ἔλαττον τὸ μέρος μετέχουσι χολῆς, τῆς τὴν θερμασίην παρεχούσης, τοσοῦτον διαψύχεσθαι τὸ σῶμα, πλεῖον μετέχουσι. προσγίνεται δὲ αὐτέοισιν, ἀπὸ μελαίνης χολῆς, τὸ περισσὸν τοῦτο καὶ δυσαπάλλακτον. μέλαινα γὰρ χολὴ τῶν ἐν τῷ σώματι ἐνεόντων χυμῶν, γλισχρότατον, καὶ τὰς ἕδρας χρονιωτάτας πεποίηται. γνώσῃ δὲ ἐν τῷδε, ὅτι οἱ τεταρταῖοι πυρετοὶ μετέχουσι τοῦ μελαγχολικοῦ. φθινοπώρου γὰρ μάλιστα οἱ ἄνθρωποι ἁλίσκονται ὑπὸ τῶν τεταρταίων. καὶ ἐν τῇ ἡλικίῃ, ἀπὸ πέντε καὶ εἴκοσιν ἐτέων, ἕως τῶν πέντε καὶ τεσσαράκοντα. ὅτι καὶ ἡ ἡλικίη αὕτη ὑπὸ μελαίνης χολῆς κατέχεται μάλιστα πασέων τῶν ἡλικιῶν, ἥτε φθινοπωρινὴ ὥρη μάλιστα πασέων τῶν ὡρέων ἐπικρατεστάτη. ὁκόσοι δ' ἂν ἁλῶσιν ἔξω τῆς ὥρης ταύτης, καὶ τῆς ἡλικίης, ὑπὸ τεταρταίου, εὖ χρὴ εἰδέναι μὴ χρόνιον ἐσόμενον τὸν πυρετὸν, ἢν μὴ ἄλλό τι κακουργῆται ὁ ἄνθρωπος.

Περὶ διαίτης ὑγιεινῆς. τόδε τὸ βιβλίον καὶ αὐτὸ περὶ φύσιος ἀνθρώπου προσκείμενον, Πολύβου τοῦ Ἱπποκράτους μαθητοῦ Γαληνός εἶναί φησι.

Τοὺς ἰδιώτας, ὧδε χρὴ διαιτᾶσθαι. τοῦ μὲν χειμῶνος ἐσθίειν ὡς πλεῖστα. πίνειν δ' ὡς ἐλάχιστα. εἶναι δὲ τὸ πόμα, οἶνον ὡς ἀκρητέστατον. τὰ δὲ σιτία, ἄρτον. καὶ τὰ ὄψα, ὀπτὰ πάντα. λαχάνοισι δὲ ὡς ἐλαχίστοισι χρῆσθαι κατὰ ταύτην τὴν ὥρην. οὕτω γὰρ ἂν μάλιστα τὸ σῶμα, ξηρόν τε εἴη καὶ θερμόν. ὁκόταν δὲ τὸ ἔαρ ἐπιλαμβάνῃ, τότε χρὴ πόμα πλέον πίνειν οἶνον ὑδαρέστερον καὶ κατ' ὀλίγον. καὶ τοῖσι σιτίοισι μαλακωτέροισι χρέεσθαι καὶ ἐλάσσοσι. καὶ τὸν ἄρτον ἀφαιρέοντα, μάζαν προστιθέναι. καὶ τὰ ὄψα κατὰ τὸν αὐτὸν λόγον ἀφαιρέειν. καὶ ἐκ τῶν ὀπτῶν, πάντα ἑφθὰ ποιέεσθαι. καὶ λαχάνοισι ἤδη χρέεσθαι τοῦ ἦρος ὀλίγοισι, ὅκως ἐς τὸ θέρος καταστῇ ὁ ἄνθρωπος τοῖσι τε σιτίοισι μαλακωτέροισι χρεώμενος, καὶ τοῖσιν ὄψοισιν ἑφθοῖσι. καὶ λαχάνοισιν ἑφθοῖσι καὶ ὠμοῖσιν. ὡσαύτως καὶ τοῖσι πόμασιν ὡς ὑδαρεστάτοισι, καὶ πλείστοισιν. καὶ ὅκως μὴ μεγάλη ἡ μεταβολὴ ἔσται, κατὰ μικρὸν μὴ ἐξαπίνης χρεώμενον. τοῦ δὲ θέρεος, τῇ τε μάζῃ μαλακῇ τρέφεσθαι. καὶ τῷ ποτῷ ὑδαρεῖ καὶ πολλῷ. καὶ τοῖσιν ὄψοισιν πᾶσιν ἑφθοῖσι. καὶ οὕτω δεῖ χρέεσθαι τουτέοισιν, ὁκόταν τὸ θέρος ᾖ, ὅκως ψυχρὸν εἴη τὸ σῶμα καὶ μαλακόν. καὶ γὰρ ἡ ὥρη, θερμή τε καὶ ξηρή. καὶ ποιέει τὰ σώματα καυματώδεα, καὶ αὐχμηρά. δεῖ οὖν τοῖσιν ἐπιτηδεύμασι τουτέοισιν, ἀλέξασθαι. κατὰ δὲ τὸν αὐτὸν λόγον, ὥσπερ ἐκ τοῦ χειμῶνος ἐς τὸ ἦρ, οὕτω καὶ ἐκ τοῦ ἦρος ἐς τὸ θέρος καταστήσεται. τῶν μὲν σιτίων, ἀφαιρέων, τῷ δὲ ποτῷ προστιθείς. καὶ οὕτω τὰ ἐναντία ποιέοντα, καταστῆσαι ἐκ τοῦ θέρεος ἐς τὸν χειμῶνα. ἐν δὲ τῷ φθινοπώρῳ πάλιν, τὰ μὲν σιτία, πλείω ποιεύμενον καὶ ξηρότερα, καὶ τὰ ὄψα κατὰ λόγον. τὰ δὲ ποτὰ, ἐλάσσω τε καὶ ἀκρητέστερα. ὅκως ὅ τε χειμὼν ἀγαθὸς ἔσται καὶ ὤνθρωπος διαχρήσεται τοῖσι τε πόμασιν ἀκρητεστέροισι καὶ ὀλίγοισι, καὶ τοῖσι σιτίοισιν ὡς πλείστοισί τε καὶ ξηροτάτοισιν. οὕτω γὰρ ἂν καὶ ὑγιαίνοι μάλιστα, καὶ ῥιγώη ἥκιστα. ἡ γὰρ ὥρη, λίαν ψυχρή τε καὶ ὑγρή. τοῖς δὲ εἴδεσι τοῖσι σαρκώδεσι καὶ μαλθακοῖσι καὶ ἐρυθροῖσι, ξυμφέρει διὰ τὸν πλείονα χρόνον τοῦ ἐνιαυτοῦ, ξηροτέροισι διαιτήμασι χρέεσθαι. ὑγρὴ γὰρ ἡ φύσις τῶν εἰδέων τουτέων. τοὺς δὲ στρυφνοὺς καὶ προσεσταλμένους, καὶ πυῤῥοὺς καὶ μελαίνας, τῇ ὑγροτέρῃ διαίτῃ χρὴ τὸ πλεῖον τοῦ χρόνου ἐνδιαιτᾶσθαι. τὰ γὰρ σώματα τοιαῦτα, ὑπάρχει ξηρὰ ἐόντα. καὶ τοῖσι νέοισι τῶν σωμάτων ξυμφέρει, μαλακωτέροισί τε καὶ ὑγροτέροισι χρέεσθαι τοῖσι διαιτήμασιν. ἡ γὰρ ἡλικίη ξηρή, καὶ τὰ σώματα πέπηγε. τοὺς δὲ πρεσβυτέρους, τῷ ξηροτέρῳ χρὴ τρόπῳ, τὸ πλεῖον τοῦ χρόνου διάγειν. τὰ γὰρ σώματα ἐν ταύτῃ τῇ ἡλικίῃ, ὑγρὰ καὶ μαλθακὰ, καὶ ψυχρά. δεῖ οὖν πρὸς τὴν ἡλικίην, καὶ τὴν ὥρην, καὶ τὸ ἔθος, καὶ τὴν χώρην, καὶ τὰ εἴδεα, τὰ διαιτήματα ποιέεσθαι, ἐναντιούμενον τοῖσι καθισταμένοισι, καὶ θάλπεσι καὶ χειμῶσι. οὕτω γὰρ ἂν μάλιστα ὑγιαίνοιεν. καὶ ὁδοιπορέειν, τοῦ μὲν χειμῶνος, ταχέως χρή. τοῦ δὲ θέρεος, ἡσυχῆ, ἢν μὴ διὰ καύματος ὁδοιπορέῃ.

δεῖ δὲ καὶ τοὺς σαρκώδεας, θᾶσσον ὁδοιπορέειν. τοὺς δὲ ἰσχνοὺς, ἡσυχέστερον. λουτροῖσι δὲ χρὴ πολλοῖσι χρῆσθαι, τοῦ θέρεος. τοῦ δὲ χειμῶνος, ἐλάσσοσι. χρὴ δὲ τοὺς στρυφνοὺς μᾶλλον λούεσθαι τῶν σαρκωδέων. ἠμφιέσθαι δὲ χρὴ τοῦ χειμῶνος, καθαρὰ ἱμάτια. τοῦ δὲ θέρεος, ἐλαιοπινέα. Τοὺς δὲ παχέας χρὴ, καὶ ὅσοι βούλονται λεπτοὶ γενέσθαι, τὰς ταλαιπωρίας ἁπάσας, νήστιας ποιέεσθαι. καὶ τοῖσι σιτίοισιν ἐπιχειρέειν, ἔτι ἀσθμαίνοντας ἐκ τοῦ κόπου, καὶ μὴ ἀνεψυγμένους, καὶ προπεπωκότας οἶνον κεκρημένον καὶ μὴ σφόδρα ψυχρόν. καὶ τὰ ὄψα σκευάζειν σησάμοισιν, ἢ ἡδύσμασι, καὶ τοῖσιν ἄλλοισι τοῖσι τοιουτοτρόποισι. καὶ πίονα ἔστω τὰ προσαγόμενα ὄψα. οὕτω γὰρ ἂν ἀπὸ ἐλαχίστων ἐμπίμπλαιντο. ἀλλὰ καὶ μονοσιτέειν, καὶ ἀλουτέειν, καὶ σκληροκοιτέειν, καὶ γυμνὸν περιπατέειν, ὅσον οἷόν τε μάλιστα ἦ. ὁκόσοι δὲ βούλονται λεπτοὶ ἐόντες παχέες γίνεσθαι, τά τε ἄλλα ποιέειν τἀναντία κείνοισιν οἷσιν ἔφην. καὶ νήστιας μηδεμίην ταλαιπωρίην ποιέεσθαι. Τοῖσι δὲ ἐμέτοισι χρὴ καὶ τοῖσι κατακλύσμασι τοῖσι τῆς κοιλίης, ὧδε χρέεσθαι. ἓξ μῆνας τοὺς χειμερινοὺς ἐμέειν. οὗτος γὰρ ὁ χρόνος, φλεγματωδέστερος τοῦ θερινοῦ, καὶ τὰ νοσήματα γίνεται περὶ τὴν κεφαλὴν, καὶ περὶ τὸ χωρίον τὸ ὑπὲρ τῶν φρενῶν. ὅταν δὲ ᾖ θάλπος, τοῖσι κατακλύσμασι χρέεσθαι. ἡ γὰρ ὥρη καυματώδης. καὶ τὸ σῶμα, χολωδέστερον ἐστὶ, καὶ βαρύτητες ἐν τῇ ὀσφύϊ καὶ τοῖς γούνασι, καὶ θέρμαι γίνονται. καὶ ἐν τῇ γαστρὶ στρόφοι γίνονται. δεῖ οὖν τὸ σῶμα ψύχειν, καὶ τὰ μετεωριζόμενα κάτω ὑπάγειν ἐκ τῶν χωρίων τουτέων. ἔστω δὲ τὰ κατακλύσματα τοῖσι μὲν παχυτέροισι καὶ ὑγροτέροισιν, ἁλμυρότερα καὶ λεπτότερα. τοῖσι δὲ ξηροτέροισι, καὶ προσεσταλμένοισι, καὶ ἀσθενεστέροισι, λιπαρώτερα καὶ παχύτερα. ἔστι δὲ τῶν κατακλυσμάτων τὰ λιπαρὰ καὶ παχέα, τὰ ἀπὸ τῶν γαλάκτων, καὶ ἀπὸ ὀρεβίνθων ὕδωρ ἑφθὸν, καὶ τῶν ἄλλων τοιουτέων. τὰ δὲ λεπτὰ καὶ ἁλμυρὰ, ἅλμη καὶ θάλασσα, καὶ τὰ τοιαῦτα. τοὺς δὲ ἐμέτους ὧδε χρὴ ποιέεσθαι. ὅσοι μὲν τῶν ἀνθρώπων παχέες εἰσὶ, καὶ μὴ ἰσχνοὶ, νήστιες ἐμεούντων δραμόντες ἢ ὁδοιπορήσαντες διὰ τάχους, κατὰ μέσον τῆς ἡμέρας. ἔστω δὲ ἡμικοτύλιον ὑσσώπου τετριμμένου ἐν ὕδατος χοεῖ. καὶ τοῦτο ἐκπιέτω, ὄξος προσχέων, καὶ ἅλας παραβάλλων, ὅκως ἂν μέλλῃ ἥδιστον ἔσεσθαι. πινέτω δὲ τὸ μὲν πρῶτον, ἡσυχέστερον, ἔπειτα δ' ἐπὶ θᾶσσον. οἱ δὲ λεπτότεροι καὶ ἀσθενέστεροι, ἀπὸ σιτίων ποιεέσθωσαν τὸν ἔμετον, τρόπον τοιόνδε. λουσάμενος θερμῷ, προπιέτω ἀκρήτου κοτύλην. ἔπειτα σιτία παντοδαπὰ ἐσθιέτω. καὶ μὴ πινέτω ἐπὶ τῷ σιτίῳ, μηδ' ἀπὸ τοῦ σιτίου. ἀλλ' ἐπισχέτω ὅσον δέκα στάδια διελθεῖν. ἔπειτα δὲ συμμίξας οἴνους τρεῖς, πίνειν διδόναι. αὐστηρὸν, γλυκὺν καὶ ὀξὺν. πρῶτον μὲν ἀκρητέστερον, καὶ κατ' ὀλίγον καὶ διὰ πολλοῦ χρόνου. ἔπειτα δὲ ὑδαρέστερον καὶ θᾶσσον καὶ κατὰ πολλόν. ὅστις δὲ εἴωθε τοῦ μηνὸς δὶς ἐξεμέειν, ἄμεινον ἐφεξῆς ποιέεσθαι τοὺς ἐμέτους, ἐν δυσὶν ἡμέρῃσι μᾶλλον, ἢ διὰ πεντεκαίδεκα. οἱ δὲ πᾶν τοὐναντίον ποιέουσιν. ὁκόσοισι δὲ ἐπιτήδειον ἀνεμέειν τὰ σιτία, ἢ ὁκόσοισιν αἱ κοιλίαι οὐκ εὐδιέξοδοι, τούτοισι πᾶσι ξυμφέρει, πολλάκις τῆς ἡμέρης ἐσθίειν. καὶ παντοδαποῖσι βρώμασι χρέεσθαι, καὶ ὄψοισι πάντας τρόπους ἐσκευασμένοισιν. οἴνους τε πίνειν δισσοὺς καὶ τρισσούς. ὁκόσοι δὲ μὴ ἀνεμέουσι τὰ σιτία, ἢ καὶ κοιλίας ἔχουσιν ὑγρὰς, τουτέοισι πᾶσι τοὐναντίον τούτου τοῦ τρόπου ξυμφέρει ποιέειν. Τὰ δὲ παιδία χρὴ τὰ νήπια βρέχειν ἐν τῷ θερμῷ ὕδατι ἐπὶ πουλὺν χρόνον. καὶ πίνειν διδόναι, ὑδαρέα τὸν οἶνον, καὶ μὴ ψυχρὸν παντάπασι. τοῦτον δὲ διδόναι, ὃς ἥκιστα τὴν γαστέρα μετεωριεῖ καὶ φύσας παρέξει. ταῦτα δὲ ποιέειν, ὅκως οἵ τε σπασμοὶ ἧσσον ἐπιλάβωσι, καὶ μέζονα γίνηται, καὶ εὐχροώτερα. Τὰς δὲ γυναῖκας ὧδε χρὴ διαιτᾶσθαι, τῷ ξηροτέρῳ τῶν τρόπων. καὶ γὰρ τὰ σιτία τὰ ξηρὰ, ἐπιτηδειότερα πρὸς τὴν μαλθακότητα τῶν γυναικείων σαρκῶν. καὶ τὰ ἀκρητέστερα πόματα ἀμείνω πρὸς τὰς ὑστέρας, καὶ τὰς κυοτροφίας. Τοὺς γυμναζομένους χρὴ τοῦ χειμῶνος καὶ τρέχειν καὶ παλαίειν. τοῦ δὲ θέρεος, παλαίειν μὲν ὀλίγα. τρέχειν δὲ, μή. περιπατέειν δὲ πολλὰ κατὰ ψῦχος. ὁκόσοι κοπιῶσιν ἐκ τῶν δρόμων, τούτους παλαίειν χρή. ὁκόσοι δὲ παλαίοντες κοπιῶσι, τούτους χρὴ τρέχειν. οὕτω γὰρ ἂν ταλαιπωρέων τῷ κοπιῶντι τοῦ σώματος διαθερμαίνοιτο, καὶ συνιστῷτο καὶ διαναπαύοιτο μάλιστα. ὁκόσους γυμναζομένους διάρροιαι λαμβάνουσι, καὶ τὰ ὑποχωρήματα σιτώδεα καὶ ἄπεπτα, τουτέοισι τῶν τε γυμνασίων ἀφαιρέειν μὴ ἔλασσον τοῦ τρίτου μέρεος, καὶ τῶν σιτίων τοῖσιν ἡμίσεσι χρέεσθαι. δῆλον γὰρ δὴ ὅτι ἡ κοιλίη ξυνθάλπειν οὐ δύναται ὥστε πέσσεσθαι τὸ πλῆθος τῶν σιτίων. ἔστω δὲ τούτοισι τὰ σιτία, ἄρτος ὡς ἐξοπτότατος, ἐν οἴνῳ ἐντεθρυμμένος. καὶ ποτὰ, ὡς ἐλάχιστα καὶ ἀκρητέστατα. καὶ περιπάτοισι μὴ χρέεσθαι

χρέεσθαι ἀπὸ τοῦ σιτίου. μονοσιτέειν δὲ χρὴ, ὑπὸ τοῦτον τὸν χρόνον. οὕτω γὰρ ἂν μάλιστα ξυνθάλποιτο ἡ κοιλίη, καὶ τῶν ἐσιόντων ἐπικρατέοι. γίνεται δὲ ὁ τρόπος οὗτος τῆς διαῤῥοίης τῶν σωμάτων τοῖσι πυκνοσάρκοισι μάλιστα, ὁκόταν ἀναγκάζηται ὁ ἄνθρωπος κρεηφαγέειν, τῆς φύσιος ὑπαρχούσης τοιαύτης. αἱ γὰρ φλέβες πυκνωθεῖσαι, οὐκ ἀντιλαμβάνονται τῶν σιτίων τῶν ἐσιόντων. ἔστι δὲ αὕτη μὲν ὀξείη ἡ φύσις καὶ τρέπεται ἐφ᾽ ἑκάτερα καὶ ἀκμάζει ὀλίγον χρόνον ἡ εὐεξίη, ἐν τοῖσι τοιουτοτρόποισι τῶν σωμάτων. τὰ δὲ ἀραιότερα τῶν εἰδέων καὶ δασύτερα, καὶ τὴν κρεηφαγίην δέχεται, καὶ τὰς ταλαιπωρίας μᾶλλον ὑπομένει, καὶ χρονιώτεραι γίνονται αὐτέοισιν αἱ εὐεξίαι. καὶ ὁκόσοι τὰ σιτία ἀνερεύγονται τῇ ὑστεραίῃ καὶ τὰ ὑποχόνδρια μετεωρίζεται αὐτέοισιν, ὡς ἀπέπτων τῶν σιτίων ἐόντων, τούτοισι καθεύδειν μὲν πλείονα χρόνον ξυμφέρει. τῇ δὲ ἄλλῃ ταλαιπωρίῃ ἀναγκάζειν χρὴ αὐτῶν τὰ σώματα. καὶ τὸν οἶνον ἀκρητέστερον πινόντων καὶ πλείω καὶ τοῖσι σιτίοισιν ἐλάσσοσι χρέεσθαι ὑπὸ τοῦτον τὸν χρόνον. δῆλον γὰρ ὅτι ἡ κοιλίη ὑπὸ ἀσθενίης καὶ ψυχρότητος, οὐ δύναται τὸ πλῆθος τῶν σιτίων καταπέσσειν. ὁκόσους δὲ δίψαι λαμβάνουσι, τούτοισι τῶν τε σιτίων καὶ ταλαιπωριέων ἀφαιρέειν. καὶ τὸν οἶνον πινόντων ὑδαρέα τε καὶ ὅτι ψυχρότατον. ὁκόσοισι δὲ ὀδύναι γίνονται ἐκ τῶν σπλάγχνων, ἢ ἐκ γυμνασίης, ἢ ἐξ ἄλλης τινὸς ταλαιπωρίης, τούτοισι ξυμφέρει ἀναπαύεσθαι ἀσίτοισι. πόμασι δὲ χρέεσθαι, ὅ, τι ἐλάχιστον ἐς τὸ σῶμα ἐσελθὸν, πλεῖστον οὖρον διάξει. ὅπως αἱ φλέβες αἱ διὰ τῶν σπλάγχνων πεφυκυῖαι, μὴ κατατείνωνται πληρεύμεναι. ἐκ γὰρ τῶν τοιουτέων τά τε φύματα γίνονται, καὶ οἱ πυρετοί. ὁκόσοισι δὲ νοῦσοι ἀπὸ τοῦ ἐγκεφάλου γίνονται, νάρκη πρῶτον ἴσχει τὴν κεφαλὴν, καὶ οὐρέει θαμινὰ, καὶ τὰ ἄλλα πάσχει ὁκόσα ἐπὶ στραγγουρίῃ. οὗτος ἐφ᾽ ἡμέρας ἐννέα τοῦτο πάσχει. καὶ ἢν μὲν ῥαγῇ κατὰ τὰς ῥῖνας ἢ κατὰ τὰ ὦτα ὕδωρ, ἢ βλέννα, ἀπαλλάσσεται τῆς νόσου, καὶ τῆς στραγγουρίης παύεται. οὐρέει δὲ πολὺ, καὶ ἀπόνως, καὶ λευκόν. ἐς ἂν εἴκοσιν ἡμέρας παρέλθῃ καὶ ἐκ τῆς κεφαλῆς ἡ ὀδύνη ἐκλείπει τῷ ἀνθρώπῳ, ἐσορέοντι δὲ βλέπεται οἱ ἡ αὐγή. ἄνδρα δὲ χρὴ ὅς ἐστι συνετὸς λογισάμενον ὅτι τοῖσιν ἀνθρώποισι πλείστου ἄξιόν ἐστιν ἡ ὑγιείη, ἐπίστασθαι ἐκ τῆς ἑωυτοῦ γνώμης ἐν τῇσι νούσοισιν ὠφελέεσθαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΓΟΝΗΣ.

Τοῦτο δὲ Πολύβου εἶναι φησὶ ὁ Γαληνός.

Ὁ νόμος μὲν, πάντα κρατύνει. ἡ δὲ γονὴ τοῦ ἀνδρὸς, ἔρχεται ἀπὸ παντὸς τοῦ ὑγροῦ, τοῦ ἐν τῷ σώματι ἐόντος, τὸ ἰσχυρότατον ἀποκριθέν. τοῦτο δὲ ἱστόριον, τόδε, ὅτι ἀποκρίνεται τὸ ἰσχυρότατον, ὅτι ἐπὴν λαγνεύσωμεν, σμικρὸν οὕτω μεθέντες, ἀσθενέες γινόμεθα. ἔχει δὲ οὕτω. φλέβες καὶ νεῦρα ἀπὸ παντὸς τοῦ σώματος, τείνουσιν ἐς τὸ αἰδοῖον, οἷσιν ὑποτριβομένοισι καὶ θερμαινομένοισι καὶ πληρευμένοισιν, ὥσπερ κνησμὸς ἐμπίπτει, καὶ τῷ σώματι παντὶ ἡδονὴ καὶ θέρμη ἐκ τούτου παραγίνεται. τριβομένου δὲ τοῦ αἰδοίου καὶ τοῦ ἀνθρώπου κινευμένου, τὸ ὑγρὸν θερμαίνεται ἐν τῷ σώματι, καὶ διαχέεται, καὶ κλονέεται ὑπὸ τῆς κινήσιος, καὶ ἀφρέει. καθάπερ καὶ τἄλλα ὑγρὰ σύμπαντα κλονεύμενα ἀφρέει. οὕτω δὲ ἡ ἂν τῷ ἀνθρώπῳ, ἀποκρίνεται ἀπὸ τοῦ ὑγροῦ ἀφρέοντος, τὸ ἰσχυρότατον καὶ τὸ πιότατον, καὶ ἔρχεται εἰς τὸν νωτιαῖον μυελόν. τείνουσι γὰρ ἐς τοῦτον, ἐκ παντὸς τοῦ σώματος. καὶ διαχέει ἐκ τοῦ ἐγκεφάλου εἰς τὴν ὀσφὺν, καὶ ἐς πᾶν τὸ σῶμα, καὶ ἐς τὸν μυελὸν, καὶ ἐξ αὐτοῦ τείνουσιν ὁδοὶ, ὥστε καὶ ἐπιέναι τοῦ ὑγροῦ ἐς αὐτὸν καὶ ἀποχωρέειν. ἐπὴν δὲ ἔλθῃ ἐς τοῦτον τὸν μυελὸν ἡ γονὴ, χωρέει παρὰ τοὺς νεφρούς. ταύτῃ γὰρ ἡ ὁδός ἐστι διὰ φλεβῶν. κἢν οἱ νεφροὶ ἑλκωθῶσιν, ἔστιν ὅτε καὶ αἷμα ξυμφέρεται. παρὰ δὲ τῶν νεφρῶν, ἔρχεται διὰ τῶν ὀρχίων μεσάτων ἐς τὸ αἰδοῖον. καὶ χωρέει οὐχ ὅπῃ τὸ οὖρον. ἀλλὰ οἱ ἄλλη ὁδός ἐστιν αὐτῆς ἐχομένη. καὶ οἱ ἐξονειρώσσοντες διὰ τάδε ἐξονειρώσσουσιν. ἐπὰν τὸ ὑγρὸν ἐν τῷ σώματι, διακεχυμένον ᾖ καὶ διάθερμον, εἴτε ὑπὸ ταλαιπωρίης, εἴτε ὑπὸ ἄλλου τινὸς ἀφρέει. καὶ ἀποκρινομένου ἀπ᾽ αὐτοῦ ὁρᾷν παρίσταται, οἷη λαγνείη. ἔχει γὰρ τὸ ὑγρὸν τοῦτο ὅπερ λαγνεύοντι. ἀλλ᾽ οὔ μοι περὶ ὀνειρωσσόντων καὶ παντὸς τοῦ νοσήματος τί ἐστι, καὶ ὁκόσα ἐργάζεται, καὶ διότι πρὸ λαγνείης. καὶ ταῦτα μὲν ἐς τοῦτο μοι εἴρεται. οἱ δὲ εὐνοῦχοι διὰ ταῦτα οὐ λαγνεύουσιν, ὅτι σφέων ἡ δίοδος ἀμαλδύνεται τῆς γονῆς. ἔστι γὰρ δι᾽ αὐτῶν τῶν ὀρχίων ἡ ὁδός. καὶ νεῦρα τείνει λεπτὰ καὶ πυκνὰ, ἐς τὸ αἰδοῖον ἐκ τῶν

ὀρχίων οἷσιν ἀείρεται καὶ καθίεται. καὶ ταῦτα ἐν τῇ τομῇ ἀποτέμνεται, διότι καὶ οὐχ ὑπάρχουσιν οἱ εὔνουχοι χρηστοί. τῶν δὲ τάδε ἐκτριβέντων, ἡ ὁδὸς τῆς γονῆς ἐμπέφρακται. πωροῦνται γὰρ οἱ ὄρχιες. καὶ τὰ νεῦρα σκληρὰ καὶ μωρὰ γινόμενα ὑπὸ τοῦ πώρου, οὐ δύναται τείνειν καὶ χαλᾶν. ὁκόσοι δὲ παρ' οὖς τετμημένοι εἰσίν, οὗτοι λαγνεύουσι μὲν καὶ ἀφίασιν. ὀλίγον δὲ, καὶ ἀσθενὲς, καὶ ἄγονον. χωρεῖ γὰρ τὸ πλεῖστον τοῦ γόνου, ἀπὸ τῆς κεφαλῆς παρὰ τὰ οὔατα, εἰς τὸν νωτιαῖον μυελόν. αὕτη δὲ ἡ δίοδος ὑπὸ τῆς τομῆς οὐλῆς γενομένης, στερεὴ γέγονεν. τοῖσι δὲ παιδίοισι, λεπτὰ τὰ φλέβια ἐόντα καὶ πληρεύμενα, κωλύει τὴν γονὴν ἰέναι. καὶ ὁ κνησμὸς, οὐχ ὁμοίως παραγίνεται. διὰ ταῦτα οὐδὲ κλονέεται ἐν τῷ σώματι τὸ ὑγρὸν, ἐς ἀπόκρισιν τῆς γονῆς. καὶ τῇσι παρθένοισι μέχρις ἂν νέαι ἔωσιν, οὐ χωρεῖ τὰ καταμήνια, δι' αἴτιον τὸ αὐτό. ἐπὴν δὲ αὔξωνται καὶ παρθένος καὶ παῖς, αἱ φλέβες αἱ ἐς τὸ αἰδοῖον τείνουσαι τοῦ παιδὸς, καὶ τῆς παρθένου, καὶ ἐπὶ τὰς μήτρας εὔρεαι γίνονται ὑπὸ τῆς αὔξης, καὶ στομοῦνται, καὶ ὁδὸς καὶ δίοδος διὰ στενῶν γίνεται. καὶ τὸ ὑγρὸν κλόνησιν τότε ἴσχει. εὐρυχωρίη γάρ οἱ τότε γίνεται, ἔνθα κλονήσεται. καὶ τῷ παιδὶ χωρεῖ, ἐπὴν ἁδρὸς ἔῃ, διὰ τόδε καὶ τῇ παρθένῳ τὰ καταμήνια. ταῦτα δέ μοι οὕτως ἀποπέφανται. τὴν δὲ γονὴν φημὶ ἀποκρίνεσθαι ἀπὸ παντὸς τοῦ σώματος, καὶ ἀπὸ τῶν στερεῶν, καὶ ἀπὸ τῶν μαλθακῶν, καὶ ἀπὸ τοῦ ὑγροῦ παντὸς τοῦ ἐν τῷ σώματι. εἰσὶ δὲ τέσσαρες ἰδέαι τοῦ ὑγροῦ. αἷμα. χολή. ὕδωρ, καὶ φλέγμα. τοσαύτας γὰρ ἰδέας ἔχει ξυμφυέας ὁ ἄνθρωπος ἐν ἑωυτῷ, καὶ ἀπὸ τουτέων αἱ νόσοι γίνονται, ἢ αἱ ἐκ νόσων διακείσιν. καὶ ταῦτα μὲν εἴρηταί μοι περὶ γονῆς, ὁκόθεν γίνεται, καὶ ὅκως, καὶ διότι, καὶ οἷσιν οὐ γίνεται ἡ γονὴ, καὶ διότι οὐ γίνεται, καὶ περὶ καταμηνίων παρθένων. τῇσι δὲ γυναιξὶν ἐν τῇ μίξει τριβομένου τοῦ αἰδοίου, καὶ τῶν μητρέων κινευμένων, ὥσπερ κνησμὸν ἐμπίπτειν ἐς αὐτὰς, καὶ τῷ ἄλλῳ σώματι ἡδονὴν καὶ θέρμην παρέχειν. μεθίει δὲ καὶ ἡ γυνὴ ἀπὸ τοῦ σώματος. ὁτὲ μὲν ἐς τὰς μήτρας, αἱ δὲ μῆτραι ἰκμαλέαι γίνονται. ὁτὲ δὲ καὶ ἔξω, ἢν χάσκωσιν αἱ μῆτραι μᾶλλον τοῦ καιροῦ. καὶ ἥδεται ἐπὴν ἄρξηται μίσγεσθαι διὰ παντὸς τοῦ χρόνου, μέχρις ἂν αὐτὴν μεθιῇ ὁ ἀνήρ. καὶ ἢν μὲν ὀργᾷ ἡ γυνὴ μίσγεσθαι, πρόσθεν τοῦ ἀνδρὸς ἀφίει. καὶ τὸ λοιπὸν οὐκ ἔτι ὁμοίως ἥδεται ἡ γυνή. ἢν δὲ μὴ ὀργᾷ, συντελεῖ τῷ ἀνδρὶ ἡδομένη. καὶ ἔχει οὕτως, ὥσπερ εἴ τις ἐπὶ ὕδωρ ζέον, ἕτερον ψυχρὸν ὕδωρ ἐπιχέει, παύεται τὸ ζέον. οὕτω καὶ ἡ γονὴ πεσοῦσα τοῦ ἀνδρὸς ἐς τὰς μήτρας, σβέννυσι τὴν θέρμην, καὶ τὴν ἡδονὴν τῆς γυναικός. ἐξαΐσσει δὲ ἡ ἡδονὴ καὶ ἡ θέρμη ἅμα τῇ γονῇ πιπτούσῃ εἰς τὰς μήτρας, ἔπειτα λήγει. ὥσπερ εἴ τις ἐπὶ φλόγα οἶνον ἐπιχέει, συμβαίνει πρῶτα μὲν ἐξαΐσσειν τὴν φλόγα καὶ αὔξεσθαι δι' ὀλίγου, πρὸς τὴν ἐπίχυσιν τοῦ οἴνου, ἔπειτα λήγειν. ὡσαύτως δὲ καὶ τῇ γυναικὶ ἡ θέρμη ἐξαΐσσει πρὸς τὴν γονὴν τοῦ ἀνδρὸς, ἔπειτα λήγει. ἧσσον δὲ πολλῷ ἥδεται ἡ γυνὴ τοῦ ἀνδρὸς, ἐν τῇ μίξει. πλείονα δὲ χρόνον, ὁ ἀνήρ. διότι δὲ μᾶλλον ὁ ἀνὴρ ἥδεται, ἀποκρίνεται αὐτῷ ἐξαπίνης ἀπὸ τοῦ ὑγροῦ ἀπὸ ταραχῆς ἰσχυροτέρης, ἢ τῇ γυναικί. ἔχει δὲ τόδε οὕτως τῇσι γυναιξὶν, ἢν μὲν μίσγωνται ἀνδράσι, μᾶλλον ὑγιαίνουσιν. ἢν δὲ μὴ, ἧσσον. ἅμα μὲν αἱ μῆτραι, ἰκμαλέαι γίνονται ἐν τῇ μίξει. καὶ οὐ ξηραὶ ἐοῦσαι, μᾶλλον τοῦ καιροῦ συστρέφονται ἰσχυρῶς. συστρεφόμεναι δὲ ἰσχυρῶς, πόνον τῷ σώματι παρέχουσιν. ἅμα δὲ ἡ μίξις τὸ αἷμα θερμαίνουσα καὶ ὑγραίνουσα, ποιεῖ ὁδὸν ῥηϊτέρην τοῖσι καταμηνίοισι. τῶν δὲ καταμηνίων μὴ χωρεόντων, τὰ σώματα τῶν γυναικῶν ἐπίνοσα γίνονται. διότι δὲ ἐπίνοσα γίνονται, εἰρήσεταί μοι ἐν τῇσι γυναικείῃσι νούσοισι. καὶ ταῦτα μέν μοι εἴρηται ἐς τοσοῦτον. ἐπὴν δὲ μιχθῇ ἡ γυνὴ, ἢν μὲν δὴ μὴ μέλλῃ λήψεσθαι πρὸς ἑωυτὴν, πρὸς τῷ ἔθει χωρεῖ ἔξω ἡ γονὴ ἀπ' ἀμφοτέρων, ὁκόταν ἡ γυνὴ ἐθελήσῃ. ἢν δὲ μέλλῃ λήψεσθαι, οὐ χωρεῖ ἔξω, ἀλλ' ἐμμένει ἐν τῇσι μήτρῃσιν ἡ γονή. αἱ γὰρ μῆτραι δεξάμεναι καὶ μύσασαι, ἔχουσιν ἐν ἑωυτῇσιν, ἅτε συμπαθέντος τοῦ στόματος ὑπὸ τῆς ἰκμάδος, καὶ μίσγεται ὁμοῦ, τό, τε ὑπὸ τοῦ ἀνδρὸς ἐλθὸν, καὶ τὸ ἀπὸ τῆς γυναικός. καὶ ἢν ἡ γυνὴ τόκων ἔμπειρος ἔῃ, καὶ ἐννοήσῃ ὁκόταν ἡ γονὴ μὴ ἐξέλθῃ ἀλλ' ἐμμένῃ, εἰδήσει τῇ ἡμέρῃ ἔλαβεν ἐς ἑωυτήν. ἔχει δὲ οὕτως καὶ τόδε. ὁτὲ μὲν ἰσχυρότερόν ἐστι τὸ μεθιέμενον ἀπὸ τῆς γυναικὸς, ὁτὲ δὲ ἀσθενέστερον. καὶ τὸ ἀπὸ τοῦ ἀνδρὸς, ὡσαύτως. καὶ ἔστι καὶ ἐν τῷ ἀνδρὶ, τὸ θῆλυ σπέρμα καὶ τὸ ἄρσεν. καὶ ἐν τῇ γυναικὶ ὁμοίως. ἰσχυρότερον δέ ἐστι τὸ ἄρσεν τοῦ θήλεος. ἀνάγκη οὖν ὑπὸ ἰσχυροτέρου σπέρματος γίνεσθαι. ἔχει δὲ καὶ τόδε, οὕτω. ἢν μὲν ἀπ' ἀμφοτέρων τὸ σπέρμα ἰσχυρότερον ἔλθῃ, ἄρσεν γίνεται τὸ τικτόμενον. ἢν δὲ ἀσθενὲς, θῆλυ. ὁκότερον δ' ἂν κρατήσει κατὰ πλῆθος, ἐκεῖνο καὶ γίνεται. ἢν γὰρ πολλῷ πλέον τὸ ἀσθενὲς

σπέρμα τοῦ ἰσχυροτέρου, κρατέεται τὸ ἰσχυρὸν, καὶ μιχθὲν τῷ ἀσθενεῖ, ἐς θῆλυ περιηνέχθη. ἢν δὲ πλέον ἐῇ τὸ ἰσχυρὸν τοῦ ἀσθενέος, κρατηθῇ τε τὸ ἀσθενὲς, ἐς ἄρσεν περιηνέχθη. ὥσπερ εἴ τις κηρὸν καὶ στέαρ μίξας ὁμοῦ πλέον ποιήσας τὸ στέαρ, τήξειε πρὸς πῦρ, μέχρις μὲν ὑγρὸν ἐῇ, οὐ διάδηλον γίνεται τὸ κρατέον. ἐπὴν δὲ παγῇ, τότ᾽ ἐμφανὲς γίνεται, ὅτι κρατεῖ τὸ στέαρ τοῦ κηροῦ κατὰ πλῆθος. οὕτως ἔχει καὶ τοῦ ἄρρενος καὶ τοῦ θήλεος ἡ γονή. ξυμβάλλεσθαι δὲ πάρεστιν, ὅτι καὶ ἐν τῇ γυναικὶ καὶ ἐν τῷ ἀνδρὶ, ἔστι γόνος καὶ θῆλυς καὶ ἄρσην, τοῖσιν ἐμφανέσι γινομένοισι. πολλαὶ γὰρ γυναῖκες ἤδη ἐθηλυτόκησαν παρ᾽ ἀνδράσιν ἰδίοις. παρὰ δὲ ἑτέροις ἀνδράσιν ἐλθοῦσαι, ἐκουροτόκησαν. καὶ οἱ ἄνδρες οἱ αὐτοὶ κεῖνοι παρ᾽ οἷσιν ἐθηλυτόκεον αἱ γυναῖκες, ἑτέρων γυναικῶν ἐς μίξιν ἀπερχόμενοι, ἄρσενα γόνον ἐποίησαν. καὶ οἷσιν ἄρσην γόνος ἐγίνετο, εἰς ἑτέρας γυναῖκας μιχθέντες, θῆλυν γόνον ἐποίησαν. οὕτως ὁ λόγος αἱρέει καὶ τὸν ἄνδρα, καὶ τὴν γυναῖκα, ἔχειν καὶ θῆλυν γόνον, καὶ ἄρσενα. παρὰ μὲν τοῖσιν ἐθηλυτόκεον, ἐκρατέετο τὸ ἰσχυρότερον, πλέονος γινομένου τοῦ ἀσθενέος, καὶ ἐγίνετο θήλεα. παρὰ δὲ τοῖσιν ἐκουροτόκεον, ἐκρατέετο τὸ ἀσθενέστερον, καὶ ἐγίνετο ἄρσενα. χωρέει δὲ οὐκ ἀεὶ ἡ σπορὴ ἀπὸ τοῦ αὐτέου ἀνδρὸς ἰσχυρή. ἀλλ᾽ οὐδὲ ἀσθενὴς ἐς ἀεί. ἀλλ᾽ ἄλλοτε ἀλλοίη. καὶ τῆς γυναικὸς οὕτως ἔχει. ὡς μὴ θαυμάζειν τὰς αὐτὰς γυναῖκας καὶ τοὺς αὐτοὺς ἄνδρας, γόνον καὶ ἄρσενα καὶ θῆλυν ποιέειν. ἔχει δὲ καὶ τοῖσι κτήνεσιν οὕτως, τὰ περὶ γονῆς θήλεος καὶ ἄρρενος, καὶ ἐν αὐτῇ σφι τῇ γονῇ. ἔρχεται καὶ τῆς γυναικὸς καὶ τοῦ ἀνδρὸς, ἀπὸ παντὸς τοῦ σώματος. καὶ ἀπὸ τῶν ἀσθενέων, ἀσθενής. καὶ ἀπὸ τῶν ἰσχυρῶν, ἰσχυρή. καὶ τῷ τέκνῳ οὕτως δεῖν ἀνάγκη ἀποδίδοσθαι. καὶ ὁκόθεν ἀπὸ τοῦ σώματος τοῦ ἀνδρὸς πλέον ἔλθῃ ἐς τὴν γονὴν ἢ τῆς γυναικὸς, τὸ τέκνον κεῖνο κάλλιον ἔοικε τῷ πατρί. ὁκόθεν δὲ πλέον ἔλθῃ ἀπὸ τῆς γυναικὸς τοῦ σώματος, κεῖνο κάλλιον ἔοικε τῇ μητρί. ἔστι δὲ οὐκ ἀνυστὸν πάντα τῇ μητρὶ ἐοικέναι, τῷ δὲ πατρὶ μηδέν. ἢ τὸ ἐναντίον τούτου, μηδ᾽ ἑτέρῳ ἐοικέναι μηδέν. ἀλλ᾽ ἀμφοτέροισιν, ἀνάγκη τις δεῖν ἐοικέναι τινί. εἴπερ ἀπ᾽ ἀμφοτέρων τῶν σωμάτων, τὸ σπέρμα χωρέει ἐς τὸ τέκνον. ὁκότερος δ᾽ ἂν πλέον ξυμβάληται ἐς τὸ ἐοικέναι καὶ ἀπὸ πλειόνων χωρίων τοῦ σώματος, κείνῳ τὰ πλείονα ἔοικε. καὶ ἔστιν ὅτε θυγάτηρ γινομένη, τὰ πλείονα ἔοικε κάλλιον τῷ πατρὶ, ἢ τῇ μητρί. καὶ κοῦρος γινόμενος, ἔστιν ὅτε κάλλιον ἔοικε τῇ μητρὶ, ἢ τῷ πατρί. καὶ ταῦτά μοι καὶ τοιαῦτα δεῖν ἱστόρια τοῦ προτέρου λόγου, ὅτι ἔνεστι καὶ ἐν τῇ γυναικὶ καὶ ἐν τῷ ἀνδρὶ, καὶ κουρογονίη καὶ θηλυγονίη. γίνεται δὲ καὶ τόδε. ἔστιν ὅτε τὰ τέκνα, λεπτὰ καὶ ἀσθενέα γίνεται, ἐκ πατρὸς καὶ μητρὸς, παχέων τε καὶ ἰσχυρῶν ἐόντων. κἢν μὲν πολλῶν ἤδη γινομένων τῶν παιδίων τοιοῦτον γένηται, δῆλον ὅτι ἐν τῇσι μήτρῃσιν ἐνόσησε τὸ ἔμβρυον, καὶ ἀπὸ τῆς μητρὸς, ἢ τῆς αὔξης αὐτοῦ ἔξω παρῄει, τῶν μητρέων χανουσέων μᾶλλον, καὶ διὰ τοῦτο ἀσθενὲς ἐγένετο. νοσέει δὲ ζῶον ἕκαστον, κατὰ τὴν ἰσχὺν ἑωυτοῦ. ἢν δὲ πάντα τὰ γινόμενα παιδία ἀσθενέα ἐῇ, αἱ μῆτραι αἴτιαι εἰσὶ, στενότεραι ἐοῦσαι τοῦ καιροῦ. ἢν γὰρ μὴ ἔχῃ εὐρυχωρίην, ἔνθα τὸ ἔμβρυον τραφῇ, ἀνάγκη δεῖν αὐτὸ λεπτὸν γενέσθαι, ἅτε οὐκ ἔχον τῇ αὔξῃ εὐρυχωρίην. ἢν δὲ ἔχῃ εὐρυχωρίην καὶ μὴ νοσήσῃ, ἐπιεικὲς δεῖ μεγάλων τοκέων, μέγα τέκνον γίνεσθαι. ἔχει δὲ οὕτως, ὥσπερ εἴ τις σίκυον ἤδη ἀπηνθηκότα, ἐόντα δὲ νεογνὸν, καὶ προσεόντα τῷ σικυηλάτῳ θείη ἐς ἀρυστῆρα, ἔσται τοῦ ἀρυστῆρος τῷ κοίλῳ καὶ ὅμοιος. ἢν δέ τις ἐς ἄγγος θῇ μέγα, ὅτι καὶ ἐπιεικές δεῖ σίκυον χαδεῖν, ἀλλὰ μὴ πολλῷ κάρτα μέζον τῆς φύσιος τοῦ σικύου, ἴσος ἔσται ὁ σίκυος τοῦ ἄγγεος τῷ κοίλῳ καὶ ὅμοιος. ἐρίζει γὰρ ἐν τῇ αὔξῃ τῷ κοίλῳ τοῦ ἄγγεος. σχεδὸν δὲ καὶ πάντα τὰ φυόμενα οὕτως ἔχει, ὅκως ἄν τις καταναγκάσῃ αὐτά. οὕτω δὴ ἔχει καὶ τῷ παιδίῳ, ἢν μὲν εὐρυχωρίη οἱ ἐῇ ἐν τῇ αὔξῃ, μεῖζον γίνεται. ἢν δὲ στενοχωρίη, ἔλασσον. τὸ δὲ πηρωθὲν ἐν τῇσι μήτρῃσι παιδίον, φημὶ αὐτὸ, ἢ φλασθὲν πηρωθῆναι τῆς μητρὸς πληγείσης κατὰ τὸ ἔμβρυον, ἢ πεσούσης, ἢ ἄλλου τινὸς βιαίου παθήματος προσγινομένου τῇ μητρί. ἢν δὲ φλασθῇ ταύτῃ, πηροῦται τὸ παιδίον. ἢν δὲ μᾶλλον φλασθῇ τὸ ἔμβρυον τοῦ ὑμένος ῥαγέντος τοῦ περιέχοντος αὐτὸ, φθείρεται τὸ ἔμβρυον. ἢ ἑτέρῳ τρόπῳ τοιῷδε πηροῦται παιδία, ἐπὴν ἐν τῇσι μήτρῃσι κατὰ τὸ χωρίον καθότι καὶ ἐπηρώθη στενὸν ἐῇ, ἀνάγκη ἐν στενῷ κινευμένου τοῦ σώματος, πηροῦσθαι κατ᾽ ἐκεῖνο τὸ χωρίον. ὥσπερ καὶ τῶν δενδρέων ὅσα ἐν τῇ γῇ ἐόντα, μὴ ἔχῃ εὐρυχωρίην, ἀλλ᾽ ὑπὸ λίθου ἢ ὑπό τινος ἄλλου ἀποληφθῇ, ἀνατέλλον σκολιὸν γίνεται. ἢ τῇ μὲν παχὺ, τῇ δὲ λεπτόν. οὕτω δὲ ἔχει καὶ τῷ παιδίῳ γίνεσθαι, ἢν ἐν τῇσι μήτρῃσι κατά τι τοῦ σώματος, στενότερον εἴη ἕτερον τοῦ ἑτέρου. ὅτι δὲ ἐκ πεπηρωμένων ἀνθρώπων, ὑγιέα τί

κτοῦνται τὰ παιδία ὡς ἐπὶ πλεῖστον συμβαίνει. ἔχει γὰρ τὸν ἀριθμὸν πάντα τὸ πεπηρωμένον τῷ ὑγιεῖ, ἐπὴν δέ τι οἱ νόσημα προσπέσῃ, καὶ τοῦ ὑγροῦ αὐτῷ, ἀφ' οὗ σπέρμα γίνεται τέσσαρες ἰδέαι ἐοῦσαι, ὁκόσαι ἐν φύσει ὑπῆρξαν, τὴν γονὴν οὐχ ὅλην παρέχουσιν. ἀσθενέστερον δὲ τὸ κατὰ τὸ πεπηρωμένον. οὐ θαῦμα δέ μοι δοκεῖ, καὶ πηρωθῆναι, καθάπερ ὁ τοκεύς. ταῦτα δέ μοι ἐς τοῦτο εἰρέαται. ἀναβήσομαι δ' αὖθις ὀπίσω, ἐς τὸν λόγον ὃν ἔλεγον.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΦΥΣΙΟΣ ΠΑΙΔΙΟΥ.

Ην ἡ γονὴ μείνῃ ἀπ' ἀμφοῖν ἐν τῇσι μήτρῃσι τῆς γυναικὸς, πρῶτον μὲν μίσγεται ὁμοῦ, ἅτε τῆς γυναικὸς οὐκ ἀτρεμεούσης, καὶ ἀθροΐζεται καὶ παχύνεται θερμαινομένη. ἔπειτα πνεῦμα ἴσχει, ἅτε ἐν θερμῷ ἐοῦσα. ἔπειτα τῆς μητρὸς πνεούσης. ἔπειτα δὲ τοῦ πνεύματος ὅταν πλησθῇ, ὁδὸν οἱ αὐτὸ ἑωυτῷ ἔξω ποιέει καὶ κατὰ μέσον τῆς γονῆς τὸ πνεῦμα ἔξεισιν. ὅταν δὲ ὁδὸς γένηται τῷ πνεύματι ἔξω θερμῷ ἐόντι, αὖθις ἕτερον ψυχρὸν ἐς πνέει ἀπὸ τῆς μητρός. καὶ τοῦτο ποιέει διὰ παντὸς τοῦ χρόνου. θερμαίνεται μὲν γὰρ, ἅτε ἐν τῷ θερμῷ ἐοῦσα. ψυχρὸν δὲ ἴσχει, ἀπὸ τῆς μητρὸς πνεούσης. πάντα δὲ ὁκόσα θερμαίνεται, πνεῦμα ἴσχει. τὸ δὲ πνεῦμα ῥήγνυσι καὶ ποιέει οἱ ὁδὸν αὐτὸ ἑωυτῷ καὶ χωρέει ἔξω. αὐτὸ δὲ τὸ θερμαινόμενον, ἕλκει δι' ἑωυτὸ αὖθις ἕτερον πνεῦμα ψυχρὸν διὰ τῆς ῥαγῆς ἀφ' οὗ τρέφεται. τοῦτο δὲ γίνεται καὶ ἐπὶ τῶν ξύλων, καὶ ἐπὶ τῶν φύλλων, καὶ βρωτῶν καὶ ποτῶν ὁκόσα θερμαίνεται ἰσχυρῶς. ἐννοῆσαι δὲ παρέχει ξύλα καιόμενα. ἅπαντα μὲν γὰρ ξύλα ποιήσει τοῦτο. μάλιστα δὲ τὰ ὑπόχλωρα. μεθίησι γὰρ κατὰ τὴν τομὴν πνεῦμα. τὸ δὲ πνεῦμα ὁκόταν ἔξω χωρήσῃ, ἑλίσσεται περὶ τὴν τομήν. καὶ τοῦτο γινόμενον ὁρῶμεν αἰεί. δῆλος οὖν ὁ ἐκλογισμὸς ἐστὶ τοῦ πνεύματος, ὅτι ἐν τῷ ξύλῳ ἐὸν θερμὸν, ἀντισπᾷ ἕτερον ψυχρὸν, ἀφ' οὗ τρέφεται. καὶ ὑπὸ ἑωυτοῦ ἀφίησιν. εἰ μὲν γὰρ μὴ ἀντέσπα, οὐκ ἂν τὸ πνεῦμα εἱλίσσετο ἔξω ἰόν. πᾶν γὰρ τὸ θερμὸν, τῷ ψυχρῷ τρέφεται τῷ μετρίῳ. καὶ ὁκόταν διαθερμανθῇ τὸ ὑγρὸν τὸ ἐν τῷ ξύλῳ ἐνεὸν, πνεῦμα γινόμενον, χωρέει ἔξω. καὶ τῇδε διεξιὸν ἔξω τὸ θερμὸν τὸ ἐν τῷ ξύλῳ ἐνεὸν ἀντισπᾷ ἕτερον ψυχρὸν, ἀφ' οὗ τρέφεται. ποιέει δὲ τοῦτο καὶ φύλλα χλωρά. ὅταν δὲ καίηται πνεῦμα ἴσχει. ἔπειτα ῥήγνυσι τὸ πνεῦμα καὶ ὁδὸν ποιέεται, καὶ χωρεῖ ἔξω ἑλισσόμενον. χωρέον δὲ ψόφον παρέχει, ἣν τὴν ἐς πνοὴν ποιέεται. καὶ χέδροπα καὶ σῖτος, καὶ ἀκρόδρυα θερμαινόμενα, πνεῦμα ἴσχει, καὶ ἔξω διέρχεται ῥαγὴν ποιησάμενον. καὶ ἢν νοτερὰ ἔῃ, πλέον τὸ πνεῦμα ἀφίησι, καὶ τὴν ῥαγὴν μέζω ποιέεται. καὶ τί δεῖ μακρηγορέειν; πάντα γὰρ ὁκόσα θερμαίνεται, πνεῦμα ἀφίησι, καὶ ἕτερον ψυχρὸν κατὰ τοῦτο ἀντισπᾷ, ἀφ' οὗ τρέφεται. καὶ αὗταί μοι ἀνάγκαι προηγμέναι εἰσὶν, ὅτι ἡ γονὴ θερμαινομένη ἐν τῇσι μήτρῃσι, πνεῦμα ἴσχει καὶ ἀφίησι. ἅμα δὲ καὶ ἀπὸ τῆς μητρὸς πνεούσης, πνοὴν ἴσχει καὶ ἡ γονή. ὁκόταν γὰρ ἡ μήτηρ ψυχρὸν ἑλκύσῃ ἐς ἑωυτὴν ἀπὸ τοῦ ἀέρος, ἐπαυρίσκεται ἡ γονή. θερμὴ δὲ ἐστὶν, ἅτε δὴ ἐν θερμῷ ἐοῦσα. καὶ τότε δὴ πνεῦμα ἴσχει καὶ ἀφίησι. καὶ ἡ γονὴ ὑμενοῦται φυσωμένη. περιτέταται γὰρ ἀμφ' αὐτὴν τὸ ἔξωθεν, συνεχὲς γινόμενον ἅτε γλίσχρον ἐὸν, ὥσπερ ἐπ' ἄρτῳ ὀπτωμένῳ, λεπτὸν ἐξίσταται ἐπὶ πολλῆς ὑμενοειδές. θερμαινόμενος γὰρ καὶ φυσώμενος αἴρεται. ᾗ δ' ἂν φυσᾶται, ἐκείνῃ τὸ ὑμενῶδες γίνεται. τῇ δὲ γονῇ θερμαινομένῃ καὶ φυσωμένῃ πάσῃ, ὑμὴν ἔξωθεν περιγίνεται, κατὰ δὲ τὸ μέσον τῆς γονῆς, τῷ πνεύματι δίοδος καὶ ἔξω καὶ ἔσω γίνεται διὰ τοῦ ὑμένος. καὶ ταύτῃ τοῦ ὑμένος ἀπέχει τὸ λεπτὸν καὶ τῆς γονῆς ἐν αὐτοῖσιν ὀλίγιστόν ἐστιν. αὕτη δὲ ἡ ἄλλη γονὴ στρογγύλη ἐστὶν ἐν ὑμένι. καὶ μὴν ἑξ ἡμέρας μείνασαν ἐν τῇ γαστρὶ γονὴν καὶ ἔξω πεσοῦσαν αὐτὸς εἶδον. καὶ ὁκοίη μοι ἐφαίνετο ἐν τῇ γνώμῃ τότε, ἀπ' ἐκείνων τὰ λοιπὰ τεκμήρια ποιεῦμαι. ὡς δὲ εἶδον τὴν γονὴν ἑκταίην ἐοῦσαν, ἐγὼ διηγήσομαι. γυναικὸς οἰκείης μουσοεργὸς ἦν πολύτιμος, παρ' ἄνδρας φοιτέουσα, ἣν οὐκ ἔδει λαβεῖν ἐν γαστρὶ, ὅκως μὴ ἀτιμοτέρη ἔῃ. ἀκηκόει δὲ ἡ μουσοεργὸς ὁκοῖα γυναῖκες λέγουσι πρὸς ἀλλήλας. ἐπὴν γυνὴ μέλλῃ λήψεσθαι ἐν γαστρὶ, οὐκ ἐξέρχεται ἡ γονὴ, ἀλλ' ἔνδον μένει. ταῦτα ἀκούσασα, ξυνῆκε. καὶ τοῦτο ἐφύλασσεν αἰεί. καί πως ὡς ᾔσθετο οὐκ ἐξιοῦσαν τὴν γονὴν, καὶ ἔφρασε τῇ δεσποίνῃ, καὶ ὁ λόγος ἦλθεν ἕως ἐμέ. καὶ ἐγὼ ἀκούσας ἐκέλευσα αὐτὴν, πρὸς τὴν γῆν πηδῆσαι, καὶ ἑπτάκις ἤδη ἐπεπήδητο, ἡ γονὴ κατεῤῥύη ἐπὶ τὴν γῆν, καὶ ψόφος ἐγένετο. κἀκείνη δὲ ἰδοῦσα, ἐθεῆτο καὶ ἐθαύ-

μασεν

μασεν. ὁκοῖον δὲ ἦν, ἐγὼ φράσω. οἷον εἴ τις ὠοῦ ὠμοῦ τὸ ἔξω λεπύριον περιέλοιεν, ἐν δὲ τῷ ἔνδον ὑμένι, τὸ ἔνδον ὑγρὸν διαφαίνοιτο. τρόπος μέν τις ἦν τοιοῦτος, ἅλις εἰπεῖν. ἦν δὲ καὶ ἐρυθρὸν καὶ στρογγύλον. ἐν δὲ τῷ ὑμένι ἐφαίνοντο ἐνεοῦσαι ἶνες λευκαὶ καὶ παχεῖαι, εἰλημμέναι ξὺν ἰχῶρι παχεῖ καὶ ἐρυθρῷ, καὶ ἀμφὶ τὸν ὑμένα ἔξωθεν αἱμάλωπες. κατὰ δὲ μέσον τοῦ ὑμένος, ἀπεῖχε λεπτὸν ὅ,τι μοι ἐδόκεεν εἶναι ὀμφαλός. κἀκείνῳ τὴν πνοὴν καὶ εἴσω καὶ ἔξω ποιέεσθαι τὸ πρῶτον. καὶ ὁ ὑμὴν ἐξ ἐκείνου ἐτέτατο ἅπας, περιέχων τὴν γονήν. τοιαύτην μὲν ἐγὼ εἶδον ἑκταίην ἐοῦσαν τὴν γονήν. φράσω δὲ καὶ ἄλλην διάγνωσιν ὀλίγον ἐπὶ τούτῳ ὕστερον ἐκφανέα, παντὶ τῷ βουλομένῳ εἰδέναι τούτου πέρι. καὶ ἰσόρροπον, παντὶ τῷ ἐμῷ λόγῳ, ὅτι ἐστὶν ἀληθὴς ὡς εἰπεῖν ἄνθρωπος περὶ τοιούτου πράγματος. καὶ ταῦτα μὲν, ἐν τοῖσί μοι εἴρηται. ὅτι δὲ ἡ γονὴ ἐν ὑμένι ἐστὶ, καὶ πνοὴν ἔχει καὶ εἴσω καὶ ἔξω, καὶ αὔξεται ὑπὸ τοῦ μητρὸς τοῦ αἵματος κατιόντος ἐπὶ τὰς μήτρας. τὰ γὰρ καταμήνια οὐ χωρέει, ὁκόταν γυνὴ λάβῃ πρὸς ἑωυτὴν, ἢν μέλλῃ τὸ παιδίον ὑγιαίνειν. εἰ μὴ ἔστιν ἥστινι ἐπισημαίνει τὸν πρῶτον μῆνα ὁκόσον ὀλίγον. ἀλλὰ κατιὸν τὸ αἷμα ἀπὸ παντὸς τοῦ σώματος τῆς γυναικὸς, κυκλόσε περιΐσταται περὶ τὸν ὑμένα ἔξω. ἅμα δὲ τῇ πνοῇ ἑλκομένου εἴσω τοῦ αἵματος διὰ τοῦ ὑμένος, κατὰ τὸ τετρημένον καὶ ἀπέχον συμπήγνυται καὶ αὔξει τὸ μέλλον ζῶον ἔσεσθαι. ὁκόταν δὲ χρόνος ἐγγένηται, αὖθις ἕτεροι ὑμένες εἴσω τοῦ πρώτου ὑμένος λεπτοὶ καὶ πολλοὶ περιτείνονται, τρόπῳ τοιούτῳ, οἵῳ καὶ ὁ πρῶτος ὑμὴν ἐγένετο. τεταμένοι δέ εἰσι καὶ οὗτοι ἀπὸ τοῦ ὀμφαλοῦ, καὶ ἐν ἀλλήλοις διαδέσμους ἔχουσιν. ὁκόταν δὲ ἤδη ταῦτα γένηται, κατιόντος τοῦ αἵματος ἀπὸ τῆς μητρὸς καὶ πηγνυμένου, σὰρξ γίνεται. κατὰ δὲ μέσον τῆς σαρκὸς ὁ ὀμφαλὸς ἀπέχει, δι' οὗ πνέει καὶ τὴν αὔξησιν ἴσχει. ἡ δὲ γυνὴ ὁκόταν ἐν γαστρὶ ἔχῃ, ὑπὸ τῶν καταμηνίων μὴ χωρεόντων, διὰ τόδε οὐ πονέεται, ὅτι τὸ αἷμα οὐ ταράσσεται, βύζην ἀπιὸν κατὰ μῆνα ἕκαστον. ἀλλὰ χωρέει ἡσυχῇ καὶ κατ' ὀλίγον ἄνευ πόνου καθ' ἡμέρην εἰς τὰς μήτρας. καὶ τὸ ἔνδον ἐν τῇσι μήτρῃσιν ἐνεὸν αὔξεται. καθ' ἡμέρην δὲ ἑκάστην, τούτου εἵνεκα χωρέει, ἀλλ' οὐκ ἐν ἅπαξ κατὰ μῆνα. ὅτι ἐν τῇσι μήτρῃσιν ἡ γονὴ ἐνεοῦσα, ἕλκει ἀπὸ τοῦ σώματος αἰεὶ, ὅκως ἂν καὶ δύναμιν ἔχῃ. ταύτῃ καὶ ἡ πνοή. καὶ τὸ μὲν πρῶτον σμικρὴ ἡ πνοὴ γίνεται. καὶ τὸ αἷμα ὀλίγον χωρέει ἀπὸ τῆς μητρός. ὁκόταν δὲ ἡ πνοὴ ἐπὶ πλεῖον γίνηται, μᾶλλον ἕλκει τὸ αἷμα, καὶ ἐπὶ πλεῖον κατέρχεται ἐπὶ τὰς μήτρας. τῇσι δὲ ἐν γαστρὶ μὴ ἐχούσῃσι, ὁκόταν τὰ καταμήνια μὴ χωρέῃ, διὰ τάδε ὁ πόνος γίνεται. πρῶτα μὲν ταράσσεται τὸ αἷμα ἐν τῷ σώματι κατὰ μῆνα ἕκαστον, ὑπὸ ἀνάγκης τοιῆσδε. ὅτι μὴν μηνὸς διαφέρει πολὺ, καὶ κατὰ ψῦξιν καὶ κατὰ θερμασίην. καὶ τούτου αἰσθάνεται τὸ τῆς γυναικὸς σῶμα, ὑγρότερον γάρ ἐστιν ἢ τὸ τοῦ ἀνδρὸς, καὶ ταραχθέντος τοῦ αἵματος καὶ πληρώσαντος τὰς φλέβας, ἀπέρχεται ἀπ' αὐτοῦ. καὶ πρὸς τοῖσιν ἐν τῇ ἀρχῇ τῇ φύσει ὑπῆρξεν. ὥστε ἢν μὲν ἀποκενῶται τοῦ αἵματος ἡ γυνὴ, λαμβάνει ἐν γαστρί. ἢν δὲ πλήρης ἔῃ, οὔ. κενεῶν γὰρ τῶν μητρέων καὶ τῶν φλεβῶν γινομένων τοῦ αἵματος, λαμβάνουσι πρὸς σφᾶς αἱ γυναῖκες τὰ παιδία. μετὰ γὰρ τὴν τῶν καταμηνίων τὴν κάθαρσιν, αἱ γυναῖκες λαμβάνουσιν ἐν γαστρί. αἴτιον δὲ τὸ εἰρημένον. ὁκόταν δὲ ταραχθὲν τὸ αἷμα καὶ ἀποκριθὲν, μὴ χωρέει ἔξω, ἀλλ' ἐς τὰς μήτρας, αἱ δὲ μῆτραι μὴ χάνωσι, θερμαινόμεναι δὴ ὑπὸ τοῦ αἵματος χρονιώτερον μένοντος αἱ μῆτραι θέρμην τῷ ἄλλῳ σώματι παρέχουσιν. ἔστι δ' ὅτε καὶ διαδιδοῦσιν αἵματος ἐς τὰς φλέβας τοῦ σώματος, ὅπη αἱ φλέβες πληρεόμεναι πονέονται, καὶ οἰδήματα παρέχουσιν. ἔστι δ' ὅτε καὶ κίνδυνος ἐκ τοῦ τοιούτου χωλωθῆναι. ἔστι δ' ὅτε καὶ πρὸς τὴν κύστιν προσίστανται, καὶ πιέζουσι καὶ καίουσι τὴν κύστιν, καὶ στραγγουρίην παρέχουσιν. ἔστι δ' ὅτε πλήρεες αἵματος ἐοῦσαι, αἱ μῆτραι προσπίπτουσιν ἢ πρὸς τὰ ἰσχία, ἢ πρὸς ὀσφὺν, καὶ πόνον παρέχουσιν. ἔστι δὲ ὁκόταν ἐγχρονίσῃ τὸ αἷμα μῆνας πέντε ἢ ἓξ ἐν τῇσι μήτρῃσι σαπὲν, πῦος γίνεται. καὶ ἐνίῃσι κατὰ τὸ αἰδοῖον ἐξέρχεται τὸ πῦος. ἔστι δὲ ἧσι καὶ κατὰ τὸν βουβῶνα ὡς φῦμα γίνεται, κἀκεῖ πῦον γενόμενον, ἐξῆλθε. καὶ ἄλλα πολλὰ κακὰ τῇσι γυναιξὶ τοιουτότροπα γίνονται, ὁκόταν μὴ ἀποκαθαίρωνται τὰ καταμήνια. ἀλλὰ τί δεῖ λέγειν αὐτὰ ἐνθάδε; εἰρήσεται γὰρ ἐν τοῖσι γυναικείοισι νοσήμασιν. ἀλλ' ὅθεν ἀπέλιπον περανέω τὸν λόγον. ὁκόταν δὲ γένηται σὰρξ, τότε οἱ ὑμένες αὐξομένου τοῦ ἐν τῇσιν μήτρῃσιν αἵματος, αὔξονται καὶ αὐτοὶ καὶ κολποῦνται, καὶ μάλιστα οἱ ἔξωθεν. καὶ τὸ αἷμα κατελθὸν, τὸ ἀπὸ τῆς μητρὸς, ὅ,τι ἂν ἡ σὰρξ πνέουσα ἑλκύσῃ, καὶ ἡ αὔξη ἐγγένηται καὶ χρηστὸν ἴῃ, ἐν τοῖς κόλποις τῶν ὑμένων ἀποκρίνεται. καὶ ὁκόταν κολπωθῶσι καὶ τὸ αἷμα δέξωνται, τότε ἤδη καλέεται χορίον. ταῦτα δέ μοι ἐν τοῖσιν εἴρηται. ἡ δὲ σὰρξ

αὐξομένη ὑπὸ τοῦ πνεύματος ἀρθροῦται· καὶ ἔρχεται ἐν ταύτῃ ἕκαστον ὅμοιον, ὡς τὸ ὅμοιον. τὸ πυκνὸν, ὡς τὸ πυκνόν. τὸ ἀραιὸν, ὡς τὸ ἀραιόν. τὸ ὑγρὸν, ὡς τὸ ὑγρόν. καὶ ἕκαστον ἔρχεται εἰς χώρην ἰδίην κατὰ τὸ ξυγγενὲς, ἀφ' οὗ καὶ ἐγένετο. καὶ ὅσα ἀπὸ πυκνῶν ἐγένετο, πυκνά ἐστι. καὶ ὅσα ἀπὸ ὑγρῶν, ὑγρά. καὶ τἄλλα κατὰ τὸν αὐτὸν λόγον γίνεται ἐν τῇ αὐξήσει. καὶ τὰ ὀστέα σκληρύνεται ὑπὸ τῆς θέρμης πηγνύμενα. καὶ δὴ καὶ διοζοῦται ὡς δένδρον. καὶ ἀρθροῦται ἔτι ἄμεινον, καὶ τὰ ἔσω τοῦ σώματος, καὶ τὰ ἔξω. καὶ ἥτε κεφαλὴ γίνεται ἀφεστηκυῖα ἀπὸ τῶν ὤμων. καὶ οἱ βραχίονες καὶ οἱ πήχεες ἀπὸ τῶν πλευρέων. καὶ τὰ σκέλεα διΐσταται ἀπ' ἀλλήλων. καὶ τὰ νεῦρα ἐπικίσσεται ἀμφὶ τὰς φύσιας τῶν ἄρθρων, καὶ αὐτοστομοῦται. καὶ ἡ ῥὶς, καὶ τὰ οὔατα ἀφίσταται ἐν τῇσι σαρξὶ, καὶ τετραίνεται. καὶ οἱ ὀφθαλμοὶ ἐμπίπλανται ὑγροῦ καθαροῦ. καὶ τὸ αἰδοῖον δῆλον γίνεται, ὁκότερόν ἐστι. καὶ τὰ σπλάγχνα διαρθροῦται. καὶ δὴ καὶ ἄσθμα ἄνω τὴν πνοὴν ποιέεται, τοῦτο στόματι καὶ τῇ ῥινί. καὶ ἥτε κοιλίη φυσᾶται. καὶ τὰ ἔντερα καταφυσώμενα κατὰ τὸ ἄνωθεν ἀπολαμβάνεται διὰ τοῦ ὀμφαλοῦ πνοὴν καὶ ἀμαλδύνεται. καὶ ἐς τὸν κύσταρον ὁδὸς γίνεται ἀπὸ τῆς κοιλίης καὶ τῶν ἐντέρων ἔξω, καὶ ἐς τὴν κύστιν ὁδὸς ἔξω. τούτων δὲ διαρθροῦται ὑπὸ τῆς πνοῆς ἕκαστα. φυσώμενα γὰρ διΐσταται ξύμπαντα κατὰ συγγένειαν. καὶ γὰρ εἰ θέλοις αὐλίσκον προσδῆσαι τῇ κύστει, καὶ διὰ τοῦ αὐλίσκου ἐμβαλεῖν ἐς τὴν κύστιν γῆν τε καὶ ψάμμον, καὶ μολίβδου κνήσματα λεπτὰ, καὶ ὕδωρ ἐπιχέας φυσῆν διὰ τοῦ αὐλίσκου, πρῶτον μὲν ἐκεῖνα ἀναμεμίξεται τῷ ὕδατι. ἔπειτα δὲ, χρόνῳ φυσώμενα ἐλεύσεται, ὅτε μόλιβδος, ὡς τὸν μόλιβδον. καὶ ἡ ψάμμος, ὡς τὴν ψάμμον. καὶ ἡ γῆ, ὡς τὴν γῆν. καὶ ἤν τις αὐτὰ ἀναθῆναι ἐάσῃ, καὶ περιῤῥήξας τὴν κύστιν σκέψηται, εὑρήσει αὐτῶν τὸ ὅμοιον ἐς τὸ ὅμοιον ἐληλυθός. οὕτω δὴ καὶ ἡ γονὴ καὶ σὰρξ διαρθροῦται, καὶ ἔρχεται ἕκαστον ἐν αὐτῇ, τὸ ὅμοιον ὡς τὸ ὅμοιον. ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται. καὶ γέγονεν ἤδη παιδίον, καὶ ἐς τοῦτο ἀφικνέεται. τὸ μὲν θῆλυ διὰ πρώτην πῆξιν, ἐν τεσσαράκοντα ἡμέρῃσι καὶ δύο τὸ μακρότατον. τὸ δὲ ἄρσεν, ἐν τριήκοντα ἡμέρῃσι τὸ μακρότατον. ὡς γὰρ ἐπὶ τὸ πολὺ ξυμβαίνει ἐν τούτῳ τῷ χρόνῳ, ἢ ὀλίγῳ μείονι, ἢ ὀλίγῳ πλείονι, ταῦτα διαρθροῦσθαι. καὶ γὰρ ἡ κάθαρσις γίνεται τῇσι γυναιξὶ μετὰ τὸν τόκον ὡς ἐπὶ τὸ πολὺ. ἐπὶ μὲν τῇ κούρῃ, ἡμέρῃσι τεσσαράκοντα καὶ δύο. οὕτως ἡ χρονιωτάτη, τελέη. ἀκίνδυνος δ' ἂν εἴη, καὶ ἐν εἴκοσι καὶ πέντε ἡμέρῃσιν, εἰ καθαίροιτο. ἐπὶ δὲ τῷ κούρῳ, ἡ κάθαρσις γίνεται ἡμέρῃσι τριήκοντα. οὕτως ἡ χρονιωτάτη τελέη. ἀκίνδυνος δ' ἂν εἴη καὶ ἐν εἴκοσιν ἡμέρῃσιν εἰ καθαίροιτο. τοῦ δὲ ὑστάτου χρόνου, ἐλαχίστη χωρέει ἡ κάθαρσις. ἐπὶ δὲ τῇσι νεωτέρῃσιν ἐλάσσοσιν ἡμέρῃσι καθαίρονται. ἐπὶ δὲ τῇσι πρεσβυτέρῃσι, πλείοσι. μάλιστα δὲ πονέονται αἱ γυναῖκες ἐν τῷ τόκῳ, καὶ ἐν τοῖσι λοχίοισιν αἱ πρωτοτόκοι. καὶ αἱ ἐλάσσω τετοκυῖαι, τῶν πλείω τετοκυιέων, μᾶλλον πονέονται. αἱ δὲ καθάρσιες αἱ ἐκ τοῦ τόκου τῇσι γυναιξὶ, τούτου εἵνεκα γίνονται. ὅτι ἐν τῷ πρὸ τοῦ χρόνῳ, μέχρι τεσσαράκοντα ἡμερέων καὶ δύο ἐπὶ τῇ κούρῃ, ἐπὶ δὲ τῷ κούρῳ, μέχρι τριήκοντα ἡμερέων ἐλάχιστον αἷμα κατέρχεται ἐπὶ τὴν αὔξησιν τοῦ παιδίου. τὸ δ' ἀπὸ τούτου πλεῖον, μέχρι τέκῃ. δεῖ δὴ τὴν κάθαρσιν ἀπὸ δευθῆναι ἐν τοῖσι λοχίοισι, καὶ ἐξιέναι ἔξω, κατὰ τὸν λόγον τῶν ἡμερέων. ἀρχὴ δὲ γίνεται τοιαύτη τῇ γυναικὶ ἐν τῇ ὠδῖνι. τὸ αἷμα ταράσσεται τῇ γυναικὶ καὶ θερμαίνεται πάνυ ὑπὸ τῆς κινήσιος τοῦ παιδίου ἀγναρῆς ἐούσης. ταραχθὲν δὲ, πρῶτον μὲν ἔρχεται ἔξω. μετὰ δὲ τὸ παιδίον, ἰχὼρ παχὺς αἱματώδης. καὶ ὑφήγησις ἐγένετο τούτῳ, ὥσπερ ὕδατι ἐπὶ τραπέζης. ἔπειτα μετ' ἐκεῖνον ἀνὰ πάσας τὰς ἡμέρας χωρέει ἡ κάθαρσις, ἕως τοῦ εἰρημένου χρόνου, πλῆθος ἀττικὴ κοτύλη ὅλη καὶ ἡμίσεια τὸ πρῶτον, ἢ ὀλίγῳ πλέω, ἢ ὀλίγῳ ἐλάσσω, κατὰ λόγον τούτου μέχρις ἂν λήξῃ. χωρέει δὲ αἷμα, οἷον ἀπὸ ἱερείου, ἢν ὑγιαίνῃ ἡ γυνὴ, καὶ ἢν μέλλῃ ὑγιαίνειν, καὶ ταχὺ πήγνυται. ἢν δὲ μὴ ὑγιαίνῃ ἡ γυνὴ, μὴ δὲ μέλλῃ ὑγιαίνειν, χωρέει ἡ κάθαρσις ἐλάσσων, καὶ εἶδος πονηρότερον, καὶ οὐ ταχὺ πήγνυται. ὧδε δὲ τοῦτο ἔχει. ἤν τι ἡ γυνὴ ἐν γαστρὶ ἔχουσα νόσημα ἔχῃ μὴ συγγενὲς, ἐν τῇ λοχίῳ καθάρσει ἀπόλλυται. ἢν δὲ μὴ ἀποκαθαίρηται ἐν τῇσι πρόσθεν ἡμέρῃσιν ἐν γαστρὶ ἔχουσα, εὐθὺς ὑγιηνὴ ἐοῦσα, εἴτε καὶ μὴ, ἐοῦσιν δὲ οἱ ἡ κάθαρσις, εἴτε ὑπὸ φαρμάκων, εἴτε καὶ αὐτομάτη ἐξαίφνης, κατὰ λόγον τῶν ἡμερέων χωρήσει, ὧν οὐ χωρέει ἐς ἅπαξ. ἢν γὰρ μὴ ἀποκαθαίρηται τὰ λόχια ἡ γυνὴ, νοῦσος αὐτῇ μεγάλη ἔσται καὶ κινδυνεύσει ἀποθανεῖν, ἢν μὴ μελεδαίνηται ἐν τάχει, καί τις αὐτῇ προσίσχων ἐπάγῃ τὴν κάθαρσιν. ταῦτα εἰσενεγκάμην ὧδε διὰ τοῦτο, ὅκως ἀποφήνω ὅτι τῶν παιδίων γίνεται ἡ διάκρισις τῶν μελέων ἡ μακροτάτη ἐπὶ μὲν τῇ κούρῃ, ἐν τεσσαράκοντα καὶ δυοῖν ἡμέρῃσιν. ἐπὶ δὲ τῷ κούρῳ, ἐν τριήκοντα ἡμέρῃσιν,

ἰσόμοιον

ἰσόῤῥοπον ἡ κάθαρσις τῶν λοχίων. ὅτι ἐπὶ μὲν τῇ κούρῃ γίνεται ἐν τεσσαράκοντα καὶ δυσὶν ἡμέρῃσιν. ἐπὶ δὲ τῷ κούρῳ ἐν τριάκοντα ἡμέρῃσιν, ἡ χρονιωτάτη. μέλλω δὴ τὸ δεύτερον νῦν ὀνομάζειν, σαφηνείης εἵνεκα. φημὶ γὰρ ἀνταποδίδοσθαι, ὅτι ἐν τῇσι μήτρῃσιν ἐνεούσῃ τῇ γονῇ, ἐλάχιστον αἷμα ἔρχεται ἀπὸ τῆς γυναικὸς ἐπὶ τὰς μήτρας θήλειαν γονὴν ἐχούσης ἐν τεσσαράκοντα καὶ δυοῖν ἡμέρῃσιν. ἐν γὰρ ταύτῃσι διαρθροῦται τὰ μέλεα τῶν παιδίων. ἀπὸ δὲ τούτου τοῦ χρόνου, ἐπὶ πλεῖον ἔρχεται τὸ αἷμα, καὶ ἐπὶ τῷ κούρῳ πάλιν, κατὰ λόγον τῶν τριήκοντα ἡμερέων. ὧδε δὲ ἔχει ἕτερον ἰσόῤῥοπον τοιόνδε ὅτι ταῦτα ἐστὶν ἀληθέα. τῇσι πρώτῃσι τῶν ἡμερέων ὁκόταν ἡ γονὴ ἐς τὰς μήτρας πέσῃ, ἐλάχιστον αἷμα ἔρχεται ἀπὸ τῆς γυναικὸς ἐς τὰς μήτρας. ἔπειτα δὲ ἐπὶ πλεῖον. εἰ γὰρ ἀθρόον καὶ πολὺ ἔλθοι ἐς ἅπαξ, οὐκ ἂν δύναιτο ἡ γονὴ πνοιὴν ἔχειν, ἀλλ' ἀποπνιγείη ἂν τοῦ αἵματος ἰόντος πολλοῦ. ἀνταποδίδοται δὲ ἐν τῇ καθάρσει τοὐναντίον. χωρέει γὰρ ἡ κάθαρσις τῶν λοχίων, ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων, πλείστη. εἶτα ἐπ' ἐλάσσω, ἕως λήξῃ. πολλαὶ δὲ γυναῖκες ἤδη διέφθειραν κοῦρον ὀλίγῳ πρόσθεν τριήκοντα ἡμερέων, καὶ ἄναρθρον ἐφαίνετο. ὁκόσα δὲ ὕστερον, ἢ ἅμα τῇσι τριήκοντα ἡμέρῃσι, διηρθρωμένα ἐφαίνετο ἐόντα, καὶ ἐπὶ τῇ κούρῃ κατὰ λόγον τῶν τεσσαράκοντα καὶ δύο ἡμερέων ὁκόταν διαφθαρῇ, φαίνεται ἡ διάρθρωσις τῶν μελέων, ἤν τε πρόσθεν φθαρῇ τὸ παιδίον, ἤν τε ὕστερον, ὧδε φαίνεται, καὶ λόγῳ καὶ ἀνάγκῃ ἡ διάρθρωσις ἐοῦσα. ἐπὶ μὲν τῇ κούρῃ, ἐν τεσσαράκοντα καὶ δύο ἡμέρῃσιν. ἐπὶ δὲ τῷ κούρῳ, ἐν τριήκοντα. ἰσοῤῥοπέουσι γὰρ αἱ ἐξαμβλώσιες τῶν παιδίων, καὶ τῶν λοχίων αἱ καθάρσιες. αἴτιον δέ ἐστιν, ὅτι τὸ θῆλυ πήγνυται ὕστερον, καὶ διαρθροῦται, ὅτι ἡ γονὴ ἀσθενεστέρη ἐστὶ, καὶ ὑγροτέρη τῆς θηλείης ἢ τοῦ ἄῤῥενος. καὶ ἀνάγκη ἐστὶ κατὰ τοῦτον τὸν λόγον, ὕστερον πήγνυσθαι τὸ θῆλυ, ἢ τὸ ἄῤῥεν. καὶ ἡ κάθαρσις χρονιωτέρη τούτου εἵνεκεν ἐπὶ τῇ θηλείῃ ἢ τῷ ἄρσενι. ἀναβήσομαι δὲ αὖθις ὀπίσω, ὅθεν ἀπέλειπον. ὁκόταν δὲ διαρθρωθῇ τὸ παιδίον, τὰ εἴδεα τῶν μελέων αὐξομένου αὐτοῦ, τά τε ὀστέα ἐπισκληρότερα γίνεται, καὶ κοιλαίνεται. καὶ ταῦτα ὑπὸ τοῦ πνεύματος γίνεται. κοῖλα δὲ ἐόντα, ἕλκει ἐς ἑωυτὰ ἀπὸ τῶν σαρκῶν τοῦ αἵματος τὸ πιότατον. καὶ χρόνῳ διοζοῦται αὖθις τὰ ἄκρα τῶν ὀστέων, ὥσπερ δενδρέου τὰ ἀκρότατα ὕστατα ὀζοῦται, οὕτω καὶ τοῦ παιδίου διΐστανται ἀπ' ἀλλήλων οἱ δάκτυλοι τῶν χειρῶν καὶ τῶν ποδῶν. ἐπὶ δ' αὐτῶν τῶν ἄκρων οἱ ὄνυχες φύονται. τελευτῶσι γὰρ αἱ φλέβες αἱ τοῦ ἀνθρώπου πᾶσαι, ἐς τοὺς δακτύλους τῶν ποδῶν καὶ τῶν χειρῶν. καὶ παχύταται μέν εἰσιν αἱ ἐν τῷ σώματι φλέβες, αἱ ἐν τῇ κεφαλῇ. ἔπειτα δὲ ἐν τοῖσι σκέλεσι καὶ τοῖσι βραχίοσι καὶ τοῖσι πήχεσιν. ἐν δὲ τοῖσι ποσὶ καὶ τῇσι χερσὶ, λεπτόταται, καὶ πυκνόταται, καὶ πλεῖσται φλέβες εἰσὶ, καὶ νεῦρα λεπτότατα καὶ πυκνότατα, καὶ πλεῖστα. καὶ ὀστέα ἐλάχιστα τῷ μεγέθει. τῶν δὲ χειρῶν καὶ τῶν ποδῶν, ἐν τοῖσι δακτύλοισι ταῦτα μάλιστά ἐστιν. ἐκ δὲ τῶν δακτύλων ἅτε πυκνὰ ἐχόντων ὀστέα σμικρὰ καὶ φλέβας καὶ νεῦρα, οὕτως οἱ ὄνυχες φύονται ἐξ αὐτῶν, λεπτοὶ καὶ πυκνοί. καὶ ἀπολαμβάνουσι τῶν φλεβῶν τὰ ἄκρα, ὥστε μηκέτι αὔξεσθαι αὐτὰς, μηδὲ προέχειν ἑτέρην ἑτέρης. ὥστε μὴ θαυμάζειν ὅτι οἱ ὄνυχες ἐξώτατω τοῦ σώματος πυκνότατοί εἰσιν. ἐκ γὰρ τῶν πυκνοτάτων εἰσίν. ἅμα δὲ τοῖσιν ὄνυξι καὶ αἱ τρίχες ἐν τῇ κεφαλῇ ῥιζοῦνται. ἔχει δὲ ὧδε τὰ ἀμφὶ τῶν τριχῶν τῆς φύσιος. φύονται μὲν γὰρ μέγισται καὶ πλεῖσται, ὅκου τοῦ σώματος ἡ ἐπιδερμὶς ἀραιοτάτη ἐστὶ, καὶ ὅκου ἡ θρὶξ μετρίην ἰκμάδα ἐς τὴν τροφὴν ἔχει. καὶ ὅκου ἡ ἐπιδερμὶς ὕστερον ἀραιὴ γίνεται, ἐκεῖ καὶ ὕστερον αἱ τρίχες φύονται, ἐπί τε τῷ γενείῳ καὶ τῇ ἥβῃ, καὶ εἴπου ἄλλοθι. ἅμα γὰρ τῷ γόνῳ γινομένῳ, ἡ σὰρξ ἀραιὴ γίνεται, καὶ ἡ ἐπιδερμὶς καὶ τὰ φλέβια στομοῦται μᾶλλον, ἢ ἐν τῷ πρὶν χρόνῳ. παιδὶ γὰρ ἐόντι, καὶ τῶν φλεβίων λεπτῶν ἐόντων, οὐκ ἐγχωρέει δι' αὐτῶν ἡ γονή. καὶ τῇσι παρθένῃσι περὶ τῶν καταμηνίων, ωὑτὸς λόγος. ἅμα δὲ ὁδὸς προσγίνεται, καὶ τοῖσι καταμηνίοισι καὶ τῇ γονῇ, τῇσι παρθένοισι. καὶ τριχοῦται ἡ ἥβη τοῦ παιδὸς καὶ τῆς παρθένου, ἀραιῆς τῆς ἐπιδερμίδος γινομένης. καὶ ἅμα ἡ θρὶξ ἰκμάδα μετρίην ἐς τὴν τροφὴν ἔχει καὶ οὐκ ἐλάσσονα. οὕτω δὲ καὶ ἡ ἐπὶ τοῦ γενείου τοῦ ἀνδρὸς ἔχει. ἀραιὴ γὰρ γίνεται ἡ ἐπιδερμὶς, χωρεούσης ἐς αὐτὴν τῆς ἰκμάδος ἀπὸ τῆς κεφαλῆς. ἅμα μὲν γὰρ καὶ ἐν τῇ λαγνείῃ, ἅμα δὲ καὶ ἐν τῷ μεταξὺ χρόνῳ, ἡ θρὶξ μετρίην ἔχει τὴν ἰκμάδα ἐς τὴν τροφὴν τότε μάλιστα, ὁκόταν ὁ χρόνος ἐγγένηται τῷ ὑγρῷ ἀπὸ τῆς κεφαλῆς καταβαίνοντι ἐν τῇ λαγνείῃ, ἀπέχων τῶν στηθέων, ἐπὶ τὸ γένειον. σημήϊον δὲ ὅτι ἐν τοῖσι ἀραιοτάτοισι τῆς ἐπιδερμίδος φύονται

αἱ τρίχες

αἱ τρίχες· ἤν τις ἐθέλοι ἐπικαῦσαι τὴν ἐπιδερμίδα, καὶ φλυκταίναν μόνον ποιῆσαι, καὶ ὑγιῆναι, πυκνὴ γενομένη ἡ ἐπιδερμὶς, κατὰ τὴν οὐλὴν τὰς τρίχας οὐκ ἐκφύσεται. ὁκόσοι δὲ εὐνοῦχοι παῖδες ἐόντες γίνονται, διὰ τοῦτο οὔτε ἡβῶσιν, οὔτε γενειῶσι, λεῖοί τε γίνονται ὅλοι, ὅτι ἡ ὁδὸς τῇ γονῇ οὐκ ἐπιγενομένη, οὐκ ἀραιοῖ τὴν ἐπιδερμίδα ἐπὶ τῷ ξύμπαντι δέρματι. ἀπελέληπται γὰρ ἡ ὁδὸς τῆς γονῆς ὥσπερ μοι εἴρηται, ὀλίγῳ πρότερον. αἱ δὲ γυναῖκες λεῖαι γίνονται τό τε γένειον καὶ τὸ σῶμα, ὅτι ἐν τῇ λαγνείῃ σφέων τὸ ὑγρὸν, οὐχ ὁμοίως κλονεόμενον ὡς τὸ τοῦ ἀνδρὸς, τὴν ἐπιδερμίδα οὐ ποιεῖ ἀραιήν. ὁκόσοι δὲ φαλακροὶ γίνονται, οὗτοι δὴ φλεγματώδεές εἰσι. καὶ ἐν τῇ κεφαλῇ αὐτέων ἅμα τῇ λαγνείῃ κλονεόμενον καὶ θερμαινόμενον τὸ φλέγμα, προσπίπτον πρὸς τὴν ἐπιδερμίδα καίει τῶν τριχῶν τὰς ῥίζας, καὶ ἐκρέουσιν αἱ τρίχες. οἱ δὲ εὐνοῦχοι διὰ τοῦτο οὐ γίνονται φαλακροὶ, ὅτι σφέων οὐ γίνεται κίνησις ἰσχυρή. οὐδὲ θερμαινόμενον τὸ φλέγμα ἐν τῇ λαγνείῃ, καίει τῶν τριχῶν τὰς ῥίζας. αἱ δὲ πολιαὶ διὰ τοῦτο γίνονται, ὅτι ἐν πολλῷ χρόνῳ διϊκνευμένου τοῦ ὑγροῦ ἐν τῷ ἀνθρώπῳ, ἀποκρίνεται τὸ λευκότατον, καὶ πίπτει πρὸς τὴν ἐπιδερμίδα. καὶ ἡ θρὶξ λευκοτέρην ἰκμάδα ἕλκουσα ἢ ἐν τῷ πρὶν χρόνῳ, λευκοτέρη γίνεται, καὶ ἡ ἐπιδερμὶς, καὶ μᾶλλον ὅκου αἱ πολιαί εἰσι, λευκοτέρη τῆς ἄλλης γίνεται. καὶ ὁκόσοι ἐκ γενετῆς πολιὴν ἔχουσιν ἐν τῇ κεφαλῇ κείνοισιν ἡ ἐπιδερμὶς, ὅκου αἱ πολιαί εἰσι, λευκοτέρη τῆς ἄλλης ἐστίν. ἐκεῖ γὰρ τὸ λευκότατον ὑγρόν ἐστιν. ἔχει δὲ καὶ τόδε, ὧδε. ὁκοίην ἂν ἡ σὰρξ ἰκμάδα ἕλκη, ἤν τε λευκὴν, ἤν τε πυῤῥὴν, ἤν τε μέλαιναν, τοιαύτη τὴν χροιὴν καὶ ἡ θρὶξ γίνεται. ταῦτα δέ μοι εἰς τοῦτο εἴρηται. ἐλεύσομαι δὲ αὖθις εἰς τὸ ἀπόλειπον τοῦ λόγου. ὅταν δὲ δὴ τὰ ἄκρα τοῦ σώματος τοῦ παιδίου ὀζωθῇ ἔξω, καὶ οἱ ὄνυχες καὶ αἱ τρίχες ἐῤῥιζώθησαν, τότε δὴ καὶ κινέεται. καὶ ὁ χρόνος εἰς τοῦτο γίνεται. τῷ μὲν ἄρσενι, τρεῖς μῆνες. τῇ δὲ θηλείῃ, τέσσαρες. ὧδε γὰρ ἐπὶ τὸ πλεῖστον ξυμβαίνει. ἔστι δ' ἃ καὶ πρόσθεν τῶν παιδίων τούτου τοῦ χρόνου κινέεται. κινέεται δὲ πρότερον τὸ ἄρσεν, ὅτι ἐστὶν ἰσχυρότερον τοῦ θήλεος. καὶ πρότερον πήγνυται τὸ ἄρσεν, ἀπὸ γὰρ ἰσχυροτέρης καὶ παχυτέρης γονῆς γίνεται. ὁκόταν δὲ κινηθῇ τὸ ἔμβρυον, τότε δὴ ἐπισημαίνει καὶ τὸ γάλα τῇ μητρί. οἱ γὰρ μαζοὶ αἴρονται, καὶ αἱ θηλαὶ ὀργῶσι. τὸ δὲ γάλα, οὐ χωρέει. καὶ τῇσι μὲν πυκνοσάρκοισι τῶν γυναικῶν, ὕστερον τὸ γάλα ἐπισημαίνει καὶ ἔρχεται. τῇσι δὲ ἀραιοσάρκοισι, πρόσθεν. δι' ἀνάγκην δὲ τοιήνδε, γίνεται τὸ γάλα. ὁκόταν αἱ μῆτραι ὀγκηραὶ ἐοῦσαι ὑπὸ τοῦ παιδίου, πιέζωσι τὴν κοιλίην τῆς γυναικὸς, τῆς δ' ὁκόταν πλήρεος ἐούσης ὁ πιεσμὸς γένηται, ἀποπηδᾷ τὸ πιότατον ἀπό τε τῶν βρωτῶν καὶ τῶν ποτῶν ἔξω, ἐς τὸ ἐπίπλοον, καὶ τὴν σάρκα. ὥσπερ δέρμα εἴ τις ἀλείψειεν ἐλαίῳ πολλῷ, καὶ ἐάσῃ ἀναπιεῖν, καὶ ἐπὴν ἀναπίῃ πιέζοι τὸ δέρμα, διαπηδοίη ἂν πιεζομένου τοῦ δέρματος ἔξω τὸ ἔλαιον. οὕτω δὴ καὶ τῆς κοιλίης τὸ πιαρὸν ἐν αὐτῇ ἐχούσης ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν πιεζομένης ὑπὸ τῶν μητρέων διαπηδᾷ τὸ πιαρὸν εἰς τὸ ἐπίπλοον καὶ ἐς τὴν σάρκα. κἢν ἀραιόσαρκος ἔῃ ἡ γυνὴ, θᾶσσον αἰσθάνεται τῆς διαπηδήσιος. ἢν δὲ μὴ, ὕστερον. καὶ τὰ ἐν γαστρὶ ἔχοντα κτήνεα, ἢν μή τι νοσέῃ ὑπὸ τοῦ αὐτοῦ ποτοῦ καὶ σίτου, πιότερα γίνεται διὰ τοῦτο. ὁμοίως δὲ καὶ ἡ γυνή. ἀπὸ γὰρ τοῦ πίονος διαθερμαινομένου καὶ λευκοῦ ἐόντος τὸ γλυκαινόμενον ἀπὸ τῆς θέρμης τῆς ἀπὸ τῶν μητρέων, ἀποθλιβόμενον ἔρχεται εἰς τοὺς μαζούς. καὶ εἰς τὰς μήτρας δὲ ὀλίγον ἔρχεται, διὰ τῶν αὐτέων φλεβῶν. τείνουσι γὰρ εἰς τοὺς μαζοὺς καὶ εἰς τὰς μήτρας, φλέβια ταῦτά τε καὶ παραπλήσια ἄλλα. καὶ ὁκόταν ἀφίκηται ἐς τὰς μήτρας ἰδέην ἔχει τοῦ γάλακτος, καὶ τὸ παιδίον ἀπ' αὐτοῦ ἐπαυρίσκεται ὀλίγον. οἱ δὲ μαζοὶ δεχόμενοι τὸ γάλα, αἴρονται πιμπλάμενοι. καὶ ὁκόταν τέκῃ ἀρχῆς κινήσιος ὑπογενομένης, χωρέει τὸ γάλα ἐς τοὺς μαζοὺς τούτους, ἢν θηλάζῃ. ἔχει γὰρ οὕτω. θηλαζομένοιιν τοῖν μαζοῖν, εὐρυώτερα γίνεται τὰ φλέβια ἐς τοὺς μαζούς. εὐρυώτερα δὲ γενόμενα, ἀπὸ τῆς κοιλίης ἕλκοντα τὸ πιαρὸν, τοῖν μαζοῖν διαδιδόασι. καὶ γὰρ καὶ ὁ ἀνὴρ ἢν λαγνεύῃ πολλὰ, εὐρυώτερα γινόμενα τὰ φλέβια, μᾶλλον ἐπάγει τὴν λαγνείην. ἔχει δὲ καὶ τόδε, ὧδε. ἡ τροφὴ καὶ ἡ αὔξησις τῶν παιδίων γίνεται, ὁκόταν ἐν τῇσι μήτρῃσιν ἴῃ τὰ ἀπὸ τῆς μητρός. καὶ ὅκως ἂν ἡ μήτηρ ἔχῃ, ὑγιείης ἢ ἀσθενείης, ὧδε καὶ τὸ παιδίον ἔχει. ὥσπερ καὶ τὰ ἐν τῇ γῇ φυόμενα τρέφεται ἀπὸ τῆς γῆς. καὶ ὅκως ἂν ἡ γῆ ἔχῃ, οὕτω καὶ τὰ φυόμενα ἔχει ἐν τῇ γῇ. τό, τε γὰρ σπέρμα, ὁκόταν καταβληθῇ εἰς τὴν γῆν, ἰκμάδος τινὸς ἐμπίμπλαται ἀπ' αὐτῆς. ἔχει γὰρ ἐν αὐτῇ ἡ γῆ ἰκμάδα παντοίην, ὥστε τρέφειν τὰ φυόμενα. ἰκμάδος δὲ πλησθὲν τὸ σπέρμα, φυσᾶται καὶ οἰδέει, καὶ ἀναγκάζεται ὑπὸ τῆς ἰκμάδος συστρέφεσθαι ἡ δύναμις, ἥ ἐστι κουφοτάτη ἐν τῷ σπέρματι. συστραφεῖσα

δὲ ἡ δύ-

δὲ ἡ δύναμις ὑπὸ τοῦ πνεύματος, καὶ τῆς ἰκμάδος φύλλα γενομένης, ῥήγνυσι τὸ σπέρμα, καὶ ἀνατέλλει πρῶτον ἔξω τὰ φύλλα. ἀνατέλλαντα δὲ, ὁπόταν μηκέτι δύνηται τρέφεσθαι τὰ φύλλα ὑπὸ τῆς ἰκμάδος τῆς ἐν τῷ σπέρματι ἐνεούσης, ῥήγνυταί τε ἐς τὸ κάτω τό, τε σπέρμα καὶ τὰ φύλλα. καὶ βιώμενον ὑπὸ τῶν φύλλων, μεθίησι τὴν δύναμιν ἐς τὸ κάτω, ἣ ἐν αὐτῷ ὑπολέλειπται διὰ τὴν βαρύτητα. καὶ γίνονται ῥίζαι ἐκ τῶν φύλλων διατεταμέναι. ὁπόταν δὲ κάτω βεβαίως ῥιζωθῇ τὸ φυτὸν, καὶ τὴν τροφὴν ἀπὸ τῆς γῆς ποιέηται, τότε ἤδη ἠφάνισται πᾶν, καὶ ἀνήλωται ἐς τὸ φυτὸν πλὴν τοῦ λεπυρίου, ὅτι στερεώτατόν ἐστιν. αὖθις δὲ τὸ λεπύριον σαπὲν ἐν τῇ γῇ, ἄδηλον γίνεται χρόνῳ δή, καὶ ὄζουταί τινα τῶν φύλλων. ἐκ σπέρματος γοῦν ἅτε ἀφ' ὑγροῦ γενόμενον, τέως μὲν ἁπαλόν ἐστι καὶ ὑδαρὲς, εἰς αὔξησιν ὡρμημένον καὶ ἐς τὸ κάτω καὶ ἐς τὸ ἄνω, οὐ δύναται τὸν καρπὸν ἐκβάλλειν. οὐ γάρ ἐστιν αὐτῷ δύναμις ἰσχυρὴ καὶ πιερὰ ἐξ ἧς τὸ σπέρμα συστραφήσεται. ὁπόταν δὲ στερεωθῇ μᾶλλον καὶ ῥιζωθῇ τὸ πεφυκὸς ὑπὸ χρόνου, τότε ἤδη καὶ φλέβας ἴσχει εὐρείας, καὶ ἐς τὸ ἄνω καὶ ἐς τὸ κάτω. καὶ τότε δὴ ἐκ τῆς γῆς ἕλκεται, οὐκ ἔτι ὑδαρὲς, ἀλλὰ παχύτερον καὶ πιότερον καὶ πλεῖον. τὸ δὴ θερμαινόμενον ὑπὸ τοῦ ἡλίου, ἐκζεῖ ἐς τὰ ἄκρα, καὶ γίνεται καρπὸς, κατὰ τὸ ξυγγενὲς ἐξ ὁκοίου καὶ ἐγένετο. καὶ πολὺς ἐξ ὀλίγου διὰ τόδε γίνεται, ὅτι ἕλκει ἕκαστον τῶν φυομένων ἐκ τῆς γῆς δύναμιν πλείονα, ἢ ἐξ οὗ ἐγένετο. καὶ ἐκζεῖ οὐ κατὰ ἓν, ἀλλὰ κατὰ πολλά. ὁπόταν δὲ ὁ καρπὸς ἐκζέσῃ, τρέφεται ὑπὸ τοῦ φυομένου. ἕλκον γὰρ τὸ φυόμενον ἀπὸ τῆς γῆς, τῷ καρπῷ ἐκδίδωσιν. ὁ δὲ ἥλιος πέσσει καὶ στερεοῖ τὸν καρπὸν, τὸ ὑδαρέστερον πρὸς ἑωυτὸν ἕλκων ἀπ' αὐτοῦ. καὶ ταῦτα μὲν εἴρηταί μοι, περὶ τῶν ἐκ σπέρματος φυομένων, ἀπὸ τῆς γῆς καὶ τοῦ ὕδατος.

Τὰ δὲ ἐκ φυτευτηρίων, ἀπὸ δενδρέων δένδρεα γίνεται, τρόπῳ τοιῷδε. Τρῶμα ἴσχει ὁ κλάδος ἐν τῷ κατωτάτω πρὸς τὴν γῆν, ᾗ ἀπὸ τοῦ δένδρου ἐκλάσθη ὅθεν αἱ ῥίζαι ἀφίενται. τρόπῳ δὲ τοιούτῳ μεθίενται. ὁπόταν τὸ φυτὸν τὸ ἐν τῇ γῇ ἐνεὸν, ἰκμάδα λάβῃ ἀπὸ τῆς γῆς, οἰδέει καὶ πνεῦμα ἴσχει. τὸ δὲ ὑπὲρ τῆς γῆς, οὐδέπω. τὸ δὲ πνεῦμα καὶ ἡ ἰκμὰς συστρέψασα ἐν τῷ κάτω τοῦ φυτοῦ τὴν δύναμιν, ὅση ἦν βαρυτάτη, ἔρρηξεν εἰς τὸ κάτω, καὶ γίνονται ἐξ αὐτοῦ ῥίζαι ἁπαλαί. ὁπόταν δὲ ἐς τὸ κάτω λάβηται, τότε δὴ ἕλκει ἐκ τῆς ῥίζης ἰκμάδα, καὶ διαδίδωσι τῷ ὑπὲρ γῆς ἐόντι. καὶ τότε δὴ αὖθις τὸ ἄνω οἰδέει καὶ πνεῦμα ἴσχει. καὶ ὅση δύναμις ἐν τῷ φυτῷ κούφη ἔνεστι ξυστραφεῖσα φύλλα γινομένη βλαστάνει, καὶ ἐς τὸ ἄνω ἤδη τὴν αὔξησιν ποιέεται, καὶ ἐς τὸ κάτω. οὕτως ἐς τὸ ἐναντίον ξυμβαίνει ἤδη τῶν ἐκ τοῦ σπέρματος γινομένων, καὶ τῶν ἐκ τοῦ φυτευτηρίου περὶ τοῦ βλαστοῦ. πρότερον γὰρ ἐκ τοῦ σπέρματος τὸ φύλλον ἀνατέλλει. ἔπειτα αἱ ῥίζαι εἰς τὸ κάτω ἀφίενται. τὸ δὲ δένδρον, ῥιζοῦται πρῶτον. ἔπειτα φυλλοῦται διὰ τόδε, ὅτι ἐν μὲν τῷ σπέρματι αὐτῷ, ἰκμάδος πλῆθος ἔνεστι, καὶ ἐν τῇ γῇ παντὶ ἐόντι, τροφὴ ἔνεστι τὸ πρότερον τῷ φύλλῳ ἀρκέουσα, ὅθεν τὸ φύλλον θρέψεται, μέχρις ἂν ῥιζωθῇ. ἐν δὲ τῷ κλάδῳ οὐ γίνεται. οὐ γὰρ γίνεται ἐξ ἑτέρου ὅθεν τὸ φύλλον τὸ πρότερον τροφὴν ἕξει. ἀλλ' αὐτὸς ὁ κλάδος ἐστὶν, ὥσπερ καὶ τὸ δένδρον ἔχει. καὶ τοῦτο ὑπὲρ γῆς ἐστι πολύ. ὥστε οὐκ ἂν δύναιτο ὑπὲρ γῆς ἐὸν, ἰκμάδος πληθυνθῆναι, εἰ μὴ ἐκ τοῦ κάτω μεγάλη τις δύναμις ἐλθοῦσα, τῷ ἄνω ἐκδώσει τῆς ἰκμάδος. καὶ πρῶτον τὸ φυτευτήριον, ἀνάγκη ἐστὶν ἑωυτῷ τροφὴν ποιήσασθαι ἀπὸ τῆς γῆς τῇσι ῥίζῃσι. ἔπειτα οὕτως ἀπὸ τῆς γῆς ἕλκον ἄνω ἀποδιδόναι, καὶ φύλλα ὁρμῆσαι εἰς βλαστόν τε καὶ αὔξησιν. ὅταν δὲ αὔξηται τὸ φυτὸν, ὄζουται ὑπὸ ἀνάγκης τοιῆσδε, ἣν ἐρέω. ὁπόταν ἰκμὰς αὐτῷ πλεῖον προσγένηται ἐκ τῆς γῆς ἑλκομένης ὑπὸ τοῦ πλήθεος, ῥήγνυσιν, ᾗ ἂν πλείστη ἔῃ, καὶ ταύτῃ ὄζουται τὸ φυτόν. αὔξεται δὲ καὶ ἐς τὸ εὖρος, καὶ ἐς τὸ ἄνω, καὶ ἐς τὸ κάτω, διὰ τόδε. ὅτι τὸ κάτω τῆς γῆς, τοῦ μὲν χειμῶνος, θερμόν ἐστι. τοῦ δὲ θέρεος, ψυχρόν. τοῦτο δὲ διὰ τόδε ἐστίν. ὅτι ἡ γῆ ἰκμαλέη ἐστὶν ἐν χειμῶνι ὑπὸ τοῦ ὕδατος τοῦ ἐκ τοῦ οὐρανοῦ πίπτοντος, καὶ πιέζεται ἐφ' ἑωυτῇ, ἅτε βαρυτέρης οὔσης τῆς ἰκμάδος. πυκνοτέρη δέ ἐστιν ὑπὸ τούτου καὶ οὐκ ἔχει διαπνοὴν οὐδεμίην. οὐ γὰρ ἔτι ἔνεστι τὸ ἀραιὸν μέγα. καὶ διὰ τοῦτο τὸ κάτω τῆς γῆς τοῦ χειμῶνος θερμόν ἐστι. καὶ γὰρ ἡ κόπρος ἠναγκασμένη μὲν ἐνθερμοτέρη ἐστὶν, ἢ ἡ ἀραιὴ ἐοῦσα, καὶ ἄλλως, τὰ μὲν ἰκμαλέα καὶ πεπιεσμένα, ὑπὸ σφῶν αὐτῶν ἐκθερμαίνεται, καὶ ἐν τάχει κάρτα ὑπὸ τῆς θερμασίης συγκαιόμενα σήπεται. οὐ γὰρ διίεισι τὸ πνεῦμα δι' αὐτῶν, ἅτε πυκνῶν ἐόντων. ἢν δὲ ξηρὰ ἔῃ καὶ ἀραιῶς κείμενα, πολλῷ ἧσσον θερμαίνεται καὶ σήπεται. οὕτω δὲ καὶ πυροὶ καὶ κριθαὶ νοτερὰ ἐόντα καὶ βεβρεγμένα, ἐνθερμότερά ἐστιν, ἢ εἰ ξηρὰ εἴη καὶ ἀραιῶς κείμενα. καὶ ἱμάτια συνδεδεμένα καὶ

κατεσφη

κατεσφηνωμένα ἰσχυρῶς δεινά, κατακαίεται ὑπὸ σφέων αὐτῶν, ὡς ἐγὼ ἤδη εἶδον, ὥσπερ ὑπὸ πυρὸς ἐκκαγέντα. καὶ τἄλλα εἴ τις θέλοι ἐνθυμηθῆναι πάντα ὅσα πεπίεσται ὑπὸ σφῶν αὐτῶν, θερμότερα εὑρήσει, ἢ τὰ ἀραιῶς κείμενα. οὐ γὰρ ἔχει ἀναπνέειν ψυχρὸν ὑπὸ τῶν ἀνέμων. οὕτω δὲ καὶ τῆς γῆς τὸ κάτω πλείης ἐούσης καὶ αὐτῆς ὑφ' ἑωυτῆς πεπιεσμένης, ἅτε βαρέης καὶ πυκνῆς ἐούσης ὑπὸ τῆς ἰκμάδος θερμαίνεται ἐν χειμῶνι. οὐ γάρ ἐστιν αὐτῆς διαπνοὴ οὐδεὶς τοῦ θερμοῦ. ἀλλ' ὁκόταν πέσῃ ἐκ τοῦ οὐρανοῦ τὸ ὕδωρ ἐν αὐτῇ, ὅταν ἀναπνέῃ ἐν τῇ γῇ ἀπ' αὐτοῦ, οὐ δίεισι πρόσω, ἅτε πυκνῆς ἐούσης τῆς γῆς. ἀλλ' ἡ πνοή, ὀπίσω ὦν τὸ ὕδωρ ἔρχεται. καὶ διὰ τοῦτο αἱ πηγαὶ καὶ ἡ θάλασσα θερμότεραί εἰσι τοῦ χειμῶνος, καὶ μείζους, ἢ τοῦ θέρεος. ὅτι ἀναπνέοντος τοῦ πνεύματος, ὀπίσω ἔρχεται ὦν τὸ ὕδωρ, ἅτε τῆς γῆς πυκνοτέρης ἐούσης, καὶ οὐ διιείσης δι' αὐτῆς τὸ πνεῦμα. καὶ τὸ ὕδωρ πολὺ ἐόν, ἢν ἂν τύχῃ, τοῦτο δὴ ῥήγνυσι χωρέον. καὶ ὁδὸν οἱ αὐτῷ ποιέεται εὐρυτέρην, ἢ εἰ ὀλίγον εἴη. τὸ γὰρ ὕδωρ ἐν τῇ γῇ οὐκ ἕστηκεν, ἀλλ' ἀεὶ χωρέει ἐς τὸ κάταντες. εἰ δὲ διίησι τοῦ χειμῶνος ἀπὸ τοῦ ὕδατος τὸ πνεῦμα, ἡ γῆ δι' ἑωυτῆς, ἔλασσον τὸ ὕδωρ ἐχώρεεν ἐξ αὐτῆς. καὶ αἱ πηγαὶ οὐκ ἂν ἦσαν τοῦ χειμῶνος μεγάλαι. πάντα ταῦτα εἴρηταί μοι, ὅτι τῆς γῆς τὸ κάτω θερμότερον φαίνεται ἐὸν τοῦ χειμῶνος, ἢ τοῦ θέρεος. νῦν δὲ θέλω εἰπεῖν ὅτι τοῦ θέρεος τὸ κάτω τῆς γῆς, ψυχρότερον φαίνεται ἐὸν ἢ τοῦ χειμῶνος. ἡ γῆ τοῦ θέρεος, ἀραιή ἐστι καὶ κούφη, ἅτε τοῦ ἡλίου σφοδρότερον προσβάλλοντος, καὶ ἕλκοντος ἀπ' αὐτῆς πρὸς ἑωυτὸν τὰς ἰκμάδας. ἔχει δὲ ὕδωρ ἡ γῆ ἐν αὐτῇ ἀεὶ πλέον ἢ ἔλασσον. τὰ δὲ πνεύματα ἡμῖν ἐστι πάντα ἀφ' ὕδατος. τούτου δὲ πέρι, ἐπιδείξω συμβάλλεσθαι, ὅτι οὕτως ἔχει. ἀπὸ γὰρ τῶν ποταμῶν πάντων, πνεύματα χωρέει ἑκάστοτε, καὶ τῶν νεφέων. τὰ δὲ νέφεα ἐστὶν ὕδωρ ξυνεχὲς ἐν ἠέρι, καὶ τότε δὴ ἡ γῆ ἀραιή ἐστι καὶ κούφη τοῦ θέρεος. καὶ ὕδωρ ἐν αὐτῇ ἔχουσα. καὶ τὸ ὕδωρ ῥέει ἐς τὰ κατάντεα. χωρέοντος δὲ τοῦ ὕδατος, ἀεὶ ἀναπνέει αὐτόθεν ἕτερον ἐξ ἑτέρου πνεῦμα. τὸ δὲ ἀναπνέον διὰ τῆς γῆς ἔρχεται κούφης καὶ ἀραιῆς ἐούσης, καὶ ψύχος τῇ γῇ ποιέει. καὶ αὐτὸ τὸ ὕδωρ συμψύχεται. ἔχει δὲ οὕτως. ὥσπερ εἴ τις ἐν ἀσκῷ ὕδωρ ἐνεὸν ἀποπιέσειεν ἰσχυρῶς, καὶ διάπνοιαν τῷ ὕδατι ποιήσειεν, νύγματι βελόνης ἢ μικρῷ μείζονι, καὶ τὸν ἀσκὸν κρεμάσας αἰωροίη, οὐδὲν διὰ τοῦ τετρημένου πνεῦμα χωρήσει, ἀλλ' ὕδωρ. οὐ γὰρ ἔχει εὐρυχωρίην ἢ ἀναπνεύσεται τὸ ὕδωρ. ὧδε δὴ ἔχει καὶ τοῦ χειμῶνος τῷ ὕδατι ἐν τῇ γῇ. ἢν δὲ τῷ ὕδατι ἐν τῷ ἀσκῷ τὴν εὐρυχωρίην ποιήσῃς, καὶ κρεμάσας αἰωροίης τὸν ἀσκόν, πνεῦμα διαχωρήσει διὰ τοῦ τετρημένου. εὐρυχωρίη γάρ ἐστι τῷ πνεύματι ἀπὸ τοῦ ὕδατος κινευμένου διαχωρέειν διὰ τοῦ ἀσκοῦ. καὶ διὰ τοῦ τετρημένου τὸ πνεῦμα διὰ τόδε διίεισιν. ὧδε δὴ ἔχει καὶ τοῦ θέρεος ἐν τῇ γῇ, τῷ ὕδατι. εὐρυχωρίη γάρ ἐστιν αὐτῷ, ἅτε τῆς γῆς ἀραιῆς ἐούσης, καὶ τοῦ ἡλίου ἕλκοντος ἀπ' αὐτῆς τῆς ἰκμάδος πρὸς ἑωυτόν, καὶ διίεισι τὸ πνεῦμα, ἅτε ψυχρὸν ἐὸν ἀπὸ τοῦ ὕδατος δι' αὐτῆς ἀραιῆς ἐούσης καὶ κούφης. διὰ τοῦτο ψυχρὸν ἐὸν αὐτῆς τὸ κάτω τοῦ θέρεος. καὶ τὸ ὕδωρ μᾶλλον τοῦ πνεύματος, τοῦ ἐν τῇ γῇ ψυχροῦ ἐόντος, καὶ αὐτὸ ἀφίησιν ἐς ἑωυτὸ τὸ πνεῦμα καὶ ἐς τὴν γῆν. καὶ ἅμα τὸ ἀντλεόμενον ἐν τῷ φρέατι, ἀεὶ διακινέει τὸ πνεῦμα, ὥσπερ ῥιπίς. καὶ ποιέει αὐτό, ψύχος παρέχειν τῷ ὕδατι. τὸ δὲ μὴ ἀντλεόμενον τοῦ ὕδατος τοῦ θέρεος, ἀλλ' ἑστηκός, πυκνὸν ἐόν, οὐχ ὁμοίως δέχεται τὸ πνεῦμα ἐς ἑωυτὸ ἀπὸ τῆς γῆς. οὐδ' ἐς τὴν γῆν ἀφ' ἑωυτοῦ ἀποδίδωσι. καὶ ἅμα ἀπὸ τοῦ ἡλίου καὶ τοῦ ἠέρος, οὐ σκιδναμένου ἐν τῷ φρέατι, ἀλλὰ στασίμου ἐόντος, θερμαίνεται πρῶτον αὐτοῦ τὸ ἐπιπολῆς. ἔπειτα τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου ἐς τὸ κάτω διαδίδωσι τὴν θερμασίην. καὶ διὰ τοῦτο τὸ μὴ ἀντλεόμενον ὕδωρ τοῦ θέρεος, θερμότερόν ἐστι τοῦ ἀντλεομένου. αἵ τε πηγαὶ αἱ βαθεῖαι μάλα τοῦ θέρεος ἀεὶ ψυχραί εἰσι. καὶ ἀφυσθὲν τὸ ὕδωρ, τοῦ χειμῶνος τῆς γῆς θερμῆς ἐούσης, ἐκ ταύτης τὸ μὲν παραυτίκα θερμόν ἐστιν. ὅταν δὲ χρόνος διῇ, ψυχρόν ἐστιν ὑπὸ τοῦ ἠέρος δηλονότι γινόμενον, ψυχροῦ ἐόντος. ἐξαιρεῦται γὰρ ὑπὸ τοῦ ἀνέμου, καὶ τὸ πνεῦμα δι' αὐτοῦ διηθέει. καθάπερ καὶ τὸ ἀντλεόμενον ὕδωρ τοῦ θέρεος, ὁκόταν ἀφυσθῇ, ψυχρὸν αὐτίκα ἐστί. θερμὸν δὲ γίνεται διὰ τόδε. ὅτι τῆς γῆς ἀραιῆς ἐούσης, καὶ πνεύματος ἐόντος ἐν αὐτῇ, ψύχεται. ὅταν δὲ ἀφυσθέντι χρόνος ἐγγένηται, στάσιμον γίνεται καὶ θερμὸν ὁρᾶται. θερμαίνεται γὰρ ὑπὸ τοῦ ἠέρος, θερμοῦ ἐόντος. ὥσπερ καὶ τὸ μὴ ἀντλεόμενον ὕδωρ ἐν τῷ φρέατι τοῦ θέρεος, διὰ τοῦτο θερμὸν γίνεται. ταῦτα μὲν ὦν τούτου μοι εἴρηται. ἀναλήψομαι δὲ αὖθις, ὅτι τοῦ θέρεος τὸ κάτω τῆς γῆς ψυχρόν ἐστι. τοῦ δὲ χειμῶνος, θερμόν. τὸ δὲ ἄνω τῆς γῆς, τοὐναντίον τούτου. καὶ δεῖ τῷ δένδρει, μὴ δύο θερμὰ ὁμοῦ προσγίνεσθαι. μὴ δὲ δύο ψυχρὰ ὁμοῦ, ἢν μέλλῃ ὑγιαίνειν. ἀλλ' ἢν μὲν ἐκ τοῦ ἄνωθεν προσγί-

νηται

ένηται θερμὸν, ἐκ τοῦ κάτωθεν δεῖ ψυχρὸν αὐτῷ προσγίνεσθαι. καὶ πάλιν, ἢν ἐκ τοῦ ἄνωθεν προσγένηται ψυχρὸν, ἐκ τοῦ κάτωθεν δεῖ θερμὸν αὐτῷ προσγίνεσθαι. αἵτε ῥίζαι ὅταν ἑλκύσωσι, περὶ δένδρον προσδιδόασι, καὶ τὸ δένδρεον τῇσι ῥίζῃσι. καὶ γίνεται οὕτω ταμιείη καὶ ψυχροῦ καὶ θερμοῦ. ὥσπερ τῷ ἀνθρώπῳ ἐσιόντων ἐν τὴν κοιλίην σιτίων, ὅσα προσφέρηται θερμαίνει, δεῖ ψύξιν ἀποδίδοσθαι ἀπὸ τοῦ πότου. οὕτω καὶ περὶ δένδρεα δεῖ ἀνταποδίδοσθαι ἐκ τοῦ κάτω πρὸς τὸ ἄνω, καὶ ἀνάπαλιν. καὶ αὔξεται τὸ δένδρεον, καὶ ἐν τὸ ἄνω καὶ ἐν τὸ κάτω, διὰ τόδε. ὅτι ἡ τροφὴ ἐστὶ καὶ ἐκ τοῦ κάτωθεν καὶ ἐκ τοῦ ἄνωθεν. καὶ ἕως μὲν ἂν ἁπαλὸν ᾖ σφόδρα, οὐ καρποφορεῖ. οὐ γάρ ἐστιν αὐτῷ πίειρα δύναμις, οὐδὲ παχέη, ἥτις ἐν καρπὸν ξυμβάλλεσθαι οἵη τέ ἐστιν. ὁκόταν δὲ χρόνος ἐγγένηται, τότε ἤδη ἐν αὐτῷ αἱ φλέβες εὐρέαι γινόμεναι, πιδύουσιν ἐν αὐτῷ ἐκ τῆς γῆς πίειραν καὶ παχέαν τὴν ῥύσιν. ὁ δὲ ἥλιος διαχέων αὐτὴν, ποιέει ἐκζέειν ἅτε κούφην ἐοῦσαν ἐν τὰ ἄκρα καὶ καρποῦσθαι. καὶ τὴν μὲν λεπτὴν ἰκμάδα, ἀπὸ τοῦ καρποῦ ἀποφορέει. τὴν δὲ παχέην, πέσσων ὁ ἥλιος καὶ θερμαίνων γλυκαίνει. τὰ δὲ οὐ καρποφορέοντα τῶν δενδρέων, οὐκ ἔχει πῖαρ ἐν αὐτοῖσιν, ὅσον ἐν τὸν καρπὸν ἐκδώσεται. τὸ δὲ πᾶν δένδρεον ὁκόταν ὑπὸ χρόνου στερεωθῇ, καὶ λάβηται ἐκ τοῦ κάτω τῇσι ῥίζῃσιν, ἤδη βεβαίως πέπαυται αὐξόμενον πάντη. ὁκόσοισι δὲ ἐς δένδρεα ἀφ' ἑτέρων δενδρέων ὀφθαλμοὶ ἐνετέθησαν, καὶ δένδρεα γινόμενα ἐν τοῖσι δενδρέοισι, ζῇ καὶ καρποφορεῖ καρπὸν οὐχ ὅμοιον οἷσιν ἐγκείμενά ἐστι. τρόπῳ τοιῷδε τοῦτο γίνεται. ξυμβαίνει περὶ ὀφθαλμὸν, πρῶτον μὲν βλαστάνειν. τροφὴν γὰρ εἶχε, πρῶτον μὲν ἀπὸ τοῦ δενδρέου, ἀφ' οὗ ἀπηνέχθη. ἔπειτα ἐν ᾧ ἐνετέθη. ὁκόταν δὲ βλαστήσῃ, οὕτως μεθίησιν ἐς τὸ δένδρεον ῥίζας ἀπ' αὐτοῦ λεπτάς. καὶ πρῶτον ἀπαυρίσκεται ἀπὸ τῆς ἰκμάδος τῆς ἐν περὶ δενδρέῳ ἐνεούσης, ἐν ᾧ ἔγκειται. ἔπειτα χρόνου ἐγγινομένου, ἀφίησι ῥίζας ἐς τὴν γῆν, διὰ τοῦ ἐν ᾧ ἐνετέθη. καὶ ἐπαυρίσκεται ἀπὸ τῆς γῆς ἕλκον τὴν ἰκμάδα. καὶ τροφὴ αὐτῷ ἐκεῖθεν ἐστίν. ὥστε μὴ θαυμάζειν ἑτερόκαρπα εἶναι τὰ ἔνθετα τῶν δενδρέων. ζῇ γὰρ ἀπὸ τῆς γῆς. ταῦτά μοι εἴρηται περὶ τῶν δενδρέων καὶ τῶν καρπῶν, διὰ τόδε, ὅτι οὐχ οἷόν τε ἦν μοι τὸν λόγον ἡμιτελέα καταλιπεῖν. ἀναβήσομαι δ' αὖθις ὀπίσω οὗ εἵνεκά μοι λόγου τάδε ἀμφὶ τῶνδε εἴρηται. φημὶ γὰρ τὰ ἐν τῇ γῇ φυόμενα, πάντα ζῆν ἀπὸ τῆς γῆς τῆς ἰκμάδος, καὶ ὅκως ἂν ἡ γῆ ἔχῃ ἰκμάδος ἐν ἑωυτῇ, οὕτω καὶ τὰ φυόμενα ἔχειν. οὕτω καὶ τὸ παιδίον ζῇ ἀπὸ τῆς μητρὸς, ἐν τῇσι μήτρῃσι. καὶ ὅκως ἂν ἡ μήτηρ ὑγιείης ἔχῃ, οὕτω καὶ τὸ παιδίον ἔχει. ἢν δέ τις βούληται ἐννοεῖν τὰ ῥηθέντα ἀμφὶ τούτων, ἐξ ἀρχῆς ἐς τέλος εὑρήσει τὴν φύσιν πᾶσαν παραπλησίην ἐοῦσαν, τῶν τε ἐκ γῆς φυομένων, καὶ τῶν ἐξ ἀνθρώπων. καὶ ταῦτα μοι ἐς τοῦτο εἴρηται. τὸ δὲ παιδίον ἐν τῇσι μήτρῃσιν ἐὸν, τὰς χεῖρας ἔχει πρὸς τοῖσι γνάθοισι. καὶ τὴν κεφαλὴν πλησίον τῶν ποδῶν. καὶ οὐκ ἔστιν ἀτρεκέως κρῖναι, οὐδ' ἂν ἴδῃς ἐν τῇσι μήτρῃσι τὸ παιδίον, πότερον τὴν κεφαλὴν ἄνω ἔχει ἢ κάτω. ἐκ δὲ τοῦ ὀμφαλοῦ τεταμένοι εἰσὶν οἱ ὑμένες, ἀντέχοντες αὐτό. νῦν δὲ ἐρῶ τὴν διάγνωσιν, ἣν ἔφην ἀποφανέειν ὀλίγῳ πρότερον, ὡς ἀνυστὸν ἀνθρωπίνῃ γνώμῃ ἐμφανέα ἐοῦσαν, παντὶ περὶ θέλοντι εἰδέναι τούτου πέρι. ὅτι ἥτε γονὴ ἐν ὑμένι ἐστὶ. ἀνὰ μέσον αὐτῆς ὁ ὀμφαλός ἐστι. κἀκείνη πρῶτον τὴν πνοὴν ἕλκει ἐς ἑωυτὴν, καὶ μεθίησιν ἔξω. καὶ ἐκ τοῦ ὀμφαλοῦ ὑμένες εἰσὶ, καὶ τὴν ἄλλην φύσιν τοῦ παιδίου ἣν εἴρηκα, ὧδε ἔχουσαν εὑρήσεις πᾶσαν, μέχρις ἐς τέλος, ὅκως μοι ἐν τοῖσι λόγοισιν ἀποπέφανται, εἰ βούλεταί τις τοῖσιν ἰσορέουσιν, ὁκόσοισι μέλλω λέγειν, χρῆσθαι. εἰ γάρ τις ἐθέλει ᾠὰ εἴκοσιν ἢ καὶ πλείονα ὅκως ἐκλεπίσηται, ὑποθεῖναι ἀλεκτορίσιν, εἴτε δυσὶν ἢ καὶ πλείοσι. καὶ ἑκάστης ἡμέρης ἀπὸ τῆς δευτέρης ἀρξάμενος μέχρι τῆς ὑστάτης ἧς ἐκλέψει τὸ ᾠὸν, ὑφαιρέων καὶ καταγνύων, σκοπῶν, εὑρήσει ἔχοντα πάντα κατὰ τὸν ἐμὸν λόγον, ὡς χρὴ ὄρνιθος φύσιν ξυμβάλλειν ἀνθρώπου φύσει. ὅτι γὰρ ὑμένες εἰσὶν ἐκ τοῦ ὀμφαλοῦ τεταμένοι, καὶ τἄλλα ὁπόσα εἴρηται περὶ τοῦ παιδίου, οὕτως ἔχοντα ἐν τῷ ᾠῷ περὶ ὀρνιθέῳ εὑρήσεις ἐξ ἀρχῆς ἐς τέλος. καίτοι ἤν τις μηδέπω εἶδε, θαυμάσει ἐν ὀρνιθέῳ ᾠῷ ἐνεόντα ὀμφαλόν. ἔχει δὲ ὧδε τάδε. καὶ ταῦτα δέ μοι ὧδε εἴρηται. ὁκόταν δὲ τῇ γυναικὶ ὁ τόκος παραγένηται, ξυμβαίνει τότε περὶ παιδίῳ κινεομένῳ, καὶ ἀσκαρίζοντι χερσί τε καὶ ποσὶ, ῥῆξαί τινα τῶν ὑμένων τῶν ἔνδον. ῥαγέντος δὲ ἤδη ἑνὸς, καὶ οἱ ἄλλοι ἀκιδνοτέρην δύναμιν ἔχουσι. καὶ ῥήγνυνται πρῶτον μὲν, οἱ κείνου ἐχόμενοι. ἔπειτα ὁ ὕστατος. ὁκόταν δὲ ῥαγῶσιν οἱ ὑμένες, τότε λύεται ἀπὸ τοῦ δεσμοῦ τὸ ἔμβρυον. καὶ χωρέει ἔξω κλονεόμενον. οὐ γὰρ ἔτι ἔχει σθένος τῶν ὑμένων περιδύντων. οὐδὲ αἱ μῆτραι δύνανται ἔτι τὸ παιδίον ἴσχειν, τῶν ὑμένων, ὡς ἔφην

προδόντων, καὶ τούτων ἀπενεχθέντων. περιλαμβανόντων γὰρ οἱ ὑμένες καὶ τῶν μητρέων ὁκόταν ἀμφὶ τὸ παιδίον ἑλίσσονται οὐ πολλῇ δυνάμει. ὁκόταν δὲ χωρέῃ τὸ παιδίον, βιῆται ἐπὶ οὖν ξύων τὰς μήτρας ἐν τῇ διεξόδῳ, ἅτε ἁπαλὰς ἐούσας. χωρέει δὲ ἐπὶ κεφαλὴν, εἰ κατὰ φύσιν ἴῃ. βαρύτατα γάρ ἐστιν αὐτῷ, τὰ ἄνω ἐκ τοῦ ὀμφαλοῦ σταθμεόμενα. ἐν δὲ τῇσι μήτρῃσιν ἐνεὸν, ἐγκρατὲς μᾶλλον γίνεται ἐς τὴν ὑμένων τὴν κατάῤῥηξιν, ἅμα δεκάτῳ μηνὶ, ὅτε ὁ τόκος τῇ μητρὶ παραγίνεται. ἢν δὲ βίαιον πάθημα πάθῃ τὸ παιδίον, καὶ πρόσθεν τοῦ ὁρισμένου χρόνου ῥαγέντων τῶν ὑμένων ἐξέρχεται. καὶ ἢν ἡ τροφὴ πρόσθεν λήξῃ ἀπὸ τῆς μητρὸς τοῦ παιδίου, καὶ οὕτω πρόσθεν ὁ τόκος τῇ μητρὶ παραγίνεται. θᾶσσον δὲ δέκα μηνῶν ἐξέρχεται. ἀλλ᾽ ὅσαι δὴ ἔδοξαν πλείονα χρόνον δέκα μηνῶν ἔχειν, ἤδη γὰρ τοῦτο πολλάκις ἤκουσα, κεῖναι διελήθησαν τρόπῳ τοιῷδε, ὃ μέλλω ἐρέειν. ὁκόταν αἱ μῆτραι πνεῦμα λάβωσιν ἐς σφᾶς αὐτὰς ἀπὸ τῆς κοιλίης φῦσαν παρεχούσης καὶ ἐξαρθῶσι, γίνεται γὰρ τοῦτο, δοκέουσι δὴ αἱ γυναῖκες πρὸς σφᾶς ἔχειν τότε. καὶ ἢν καταμήνια μὴ χωρέοντα ξυστραφῇ ἐν τῇσι μήτρῃσι, καὶ ἔῃ χρονιώτερα, ἀεὶ διαῤῥεῖ ἐς τὰς μήτρας. ἔστι μὲν ὅτε ξὺν τῷ ἀπὸ τῆς κοιλίης πνεύματι. ἔστι δ᾽ ὅτε καὶ θερμαινόμενα. καὶ δὴ καὶ τότε ἐν γαστρὶ δοκέουσιν ἔχειν αἱ γυναῖκες, ἅτε τῶν καταμηνίων μὴ χωρεόντων, καὶ τῶν μητρέων ἠρεμέων. εἶτα ἔστιν ὅτε τὰ καταμήνια ἐῤῥάγη αὐτόματα, ἢ ἑτέρων ἐπικατελθόντων ἀπὸ τοῦ σώματος ἐς τὰς μήτρας καὶ κατενεγκάντων τὰ πρότερα, καὶ φῦσα ἐξῆλθε, καὶ πολλοῖσιν ἤδη εὐθὺς μετὰ τὴν τῶν καταμηνίων κάθαρσιν αἱ μῆτραι ἔχανον, καὶ κατὰ τὸ αἰδοῖον ἐστράφησαν, καὶ τηνικαῦτα μιχθεῖσαι ἀνδράσιν, ἔλαβον πρὸς σφᾶς τὸν γόνον, αὐθήμερον ἢ ἅμα ὀλίγῃσιν ἡμέρῃσιν. λογίζονται δὲ αἱ ἄπειροι τούτων τῶν λόγων καὶ τῶν πρηγμάτων κἀκεῖνον τὸν χρόνον ἐν γαστρὶ ἔχειν, ὅτε τὰ καταμήνια οὐκ ἐχώρεεν αὐτῇσι, καὶ αἱ μῆτραι ἠρεμέαι ἐτύγχανον. ὅτι δὲ οὐκ ἔστι χρονιώτερον δέκα μηνῶν ἐν γαστρὶ ἔχειν, ἐγὼ φράσω. ἡ τροφὴ καὶ ἡ αὔξησις ἡ ἀπὸ τῆς μητρὸς κατιοῦσα, οὐκέτι ἀρκέουσα τῷ παιδίῳ ἐστὶν, ὁκόταν οἱ δέκα μῆνες παρέλθωσι καὶ τὸ ἔμβρυον αὐξηθῇ. ἕλκει γὰρ ἀπὸ τοῦ αἵματος ἐς ἑωυτὸ τὸ γλυκύτατον, ἅμα δὲ καὶ ἀπὸ τοῦ γάλακτος ἐπαυρίσκεται ὀλίγον. ὁκόταν δ᾽ αὐτῷ σπανιώτερα ταῦτα γένηται, καὶ ἁδρὸν ἔῃ τὸ παιδίον, ποθέον πλείονα τῆς ὑπαρχούσης τροφῆς, ἀσκαρίζει καὶ τοὺς ὑμένας ῥήγνυσι. καὶ μᾶλλον τοῦτο πάσχουσιν αἱ τῶν γυναικῶν πρωτοτόκοι. ἐπιλείπει γὰρ τοῖσι παιδίοισιν ἡ τροφὴ ἐς τὸ ἀρκέσαι, ἄχρις ἂν τῶν δέκα μηνῶν. ἐπιλείπει δὲ διὰ τρόπον τοιόνδε. εἰσὶ τῶν γυναικῶν τινὲς, αἱ μὲν, ἀρκέοντα τὰ καταμήνια καθαίρονται, αἱ δὲ, ἐλάσσονα. τοῦτο δὲ ἢν ἀεὶ γίνηται ἐν φύσει καὶ ἐν γένει, μητρῷον σφίσιν ἐστίν. αἱ δὲ τὰ καταμήνια ὀλίγα μεθιεῖσαι, αὗται ἐπὶ τοῖς παιδίοισι, τοῦ χρόνου τὸ ὕστατον, ὅταν ἤδη ἁδρὸν ἔῃ, τὴν τροφὴν σπανιωτέρην παρέχουσαι, ποιέουσιν ἀσκαρίζειν, καὶ πρόσθεν τῶν δέκα μηνῶν ἐξελθεῖν ἐπείγεσθαι. ὀλίγον γὰρ ἀπὸ τῶν νεων μητρῶν χωρέει τὸ αἷμα. ὡς δὲ καὶ ἐπὶ τὸ πλεῖστον ξυμβαίνει, καὶ ἀγαλάκτους εἶναι ταύτας τὰς γυναῖκας, τὰς ὀλίγα τὰ καταμήνια μεθιείσας. ξηρότεραι γὰρ καὶ πυκνοσαρκότεραί εἰσιν. τούτῳ δὲ τῷ λόγῳ ὅτι ἐπιλειπούσης τῆς τροφῆς ἐξέρχεται τὸ ἔμβρυον, ἢν μή τι αὐτῷ βίαιον πάθημα προσπέσῃ, καὶ ἰσόρροπον τόδε ἐστί. τὸ ὄρνεον γίνεται ἐκ τοῦ ὠοῦ τοῦ χλωροῦ, τρόπῳ τοιῷδε. ἐπικαθεζομένης τῆς μητρὸς θερμαίνεται τὸ ὠόν. καὶ τὸ ἐν τῷ ὠῷ ἐνεὸν, ἀπὸ τῆς μητρὸς κινέεται. θερμαινόμενον δὲ πνεῦμα ἴσχει τὸ ἐν τῷ ὠῷ ἐνεὸν, καὶ ἀντισπᾷ ἕτερον ψυχρὸν ἀπὸ τοῦ ἠέρος, διὰ τοῦ ὠοῦ. τὸ γὰρ ὠὸν ἀραιόν ἐστιν οὕτως, ὡς πνοὴν ἑλκομένην ἀρκέουσαν, διϊέναι τῷ ἔνδον ἐόντι. καὶ αὔξεται τὸ ὄρνεον ἐν τῷ ὠῷ. καὶ διαρθροῦται τρόπῳ τῷ αὐτῷ τε καὶ παραπλησίῳ, ὥσπερ καὶ τὸ παιδίον, ὥς μοι ἤδη καὶ πρότερον εἴρηται. γίνεται δὲ ἐκ τοῦ χλωροῦ τοῦ ὠοῦ τὸ ὄρνεον. τροφὴν δὲ καὶ αὔξησιν ἔχει, τὸ λευκὸν τὸ ἐν τῷ ὠῷ. τοῦτο ἤδη πᾶσιν ἐμφανὲς ἐγένετο, ὁκόσοι προσέσχον τὸν νόον. ὁκόταν δὲ ἐπιλείπῃ ἡ τροφὴ τῷ νεοσσῷ ἐκ τοῦ ὠοῦ, οὐκ ἔχον ἀρκέουσαν ἀφ᾽ ἧς ζήσεται, κινέεται ἰσχυρῶς ἐν τῷ ὠῷ, ζητέον τροφὴν πλείονα. καὶ οἱ ὑμένες περιῤῥήγνυνται. καὶ ὁκόταν ἡ ὄρνις αἴσθηται τὸν νεοσσὸν κινηθέντα ἰσχυρῶς, κολάψασα ἐξέλεψεν. καὶ ταῦτα ξυμβαίνει γίνεσθαι, ἐν εἴκοσιν ἡμέρῃσι. καὶ ἐμφανές ἐστιν, ὅτι ὧδε ἔχει. ὁκόταν γὰρ κολάψῃ τὸ ὄρνεον, ἐπὶ τοῖσι λεπυρίοισι τοῦ ὠοῦ, ὑγρὸν ἔνεστιν οὐδὲν, ὅτι καὶ ἄξιον λόγου. ἐξανήλωται γὰρ ἐς τὸν νεοσσόν. οὕτω δὲ καὶ τὸ παιδίον, ὁκόταν αὐξηθῇ, οὐκ ἔτι δύναται ἡ μήτηρ τροφὴν παρέχειν ἀρκέουσαν. ζητέον οὖν πλείω τροφὴν τῆς παρεούσης τὸ ἔμβρυον, ἀσκαρίζον ῥήγνυσι τοὺς ὑμένας. καὶ λυθὲν τοῦ δεσμοῦ, χωρέει ὁμοῦ ἔξω. καὶ ταῦτα γίνεται ἐν δέκα μησὶ τὸ μακρότατον. καὶ κατὰ τοῦτον τὸν λόγον, καὶ τοῖσι κτήνεσι καὶ

τοῖσι

τοῖσι θηλείοισιν, ὁ τόκος παραγίνεται ἐν χρόνῳ ᾧ ἕκαστον τίκτει οὐ μακρότερον. ἑκάστῳ γὰρ τῶν ζώων ἀνάγκη ἐστὶ χρόνον εἶναι, ἐν ᾧ ἡ τροφὴ σπανιωτέρη ἔσται τῷ ἐμβρύῳ καὶ ἐπιλείψει, καὶ ὁ τόκος παρέσται. καὶ τὰ μὲν ἐλάσσω τροφὴν ἐν τοῖσιν ἐμβρύοισιν ἔχοντα, θᾶσσον τίκτει. τὰ δὲ πλείω, ὕστερον. καὶ ταῦτα μὲν δὴ τοῦτό μοι εἴρηται. τὸ δὲ παιδίον ὅταν περιρραγῶσιν οἱ ὑμένες, ἢν μὲν δὴ ἐπικρατήσῃ ἡ ἐπὶ τὴν κεφαλὴν ῥοπὴ, ῥηϊδίως τίκτει ἡ γυνή. ἢν δὲ πλάγιον ἢ ἐπὶ πόδας χωρήσῃ, γίνεται γὰρ οὕτω πολλάκις, ἢν οὕτως ἡ ῥοπὴ τύχῃ, γινομένη ἢ ὑπὸ εὐρυχωρίης τῶν μητρέων, ἢ καὶ ἢν ἡ μήτηρ ἐν τῇ ὠδῖνι μὴ ἡσυχάσῃ τὸ πρῶτον. κἢν οὕτω χωρέῃ, χαλεπῶς τέξεται ἡ γυνή. πολλαὶ δὲ ἤδη ἢ αὐταὶ ὤλοντο, ἢ τὰ παιδία, ἢ ἅμα αἱ μητέρες, καὶ τὰ ἐν αὐτῇσιν. ἐκ δὲ τῶν τικτουσῶν μάλιστα πονέουσιν αἱ πρωτοτόκοι, διὰ τὴν ἀπειρίην τῶν πόνων. καὶ πονέουσι μὲν πᾶν τὸ σῶμα. μάλιστα δὲ τὴν ὀσφὺν τε καὶ τὰ ἰσχία. διΐσταται γὰρ σφέων τὰ ἰσχία. αἱ δὲ μᾶλλον ἔμπειροι τόκων, ἧσσον πονέουσι τῶν πρωτοτόκων. αἱ δὲ πολυτόκοι, πάνυ ἧσσον πονέουσι. ἢν δὲ ἐπὶ κεφαλὴν ἴῃ τὸ ἔμβρυον, ἡ κεφαλὴ πρώτη ἔξω χωρέει. ἔπειτα τ' ἄλλα μέλεα ἑπόμενα. ὕστατος δὲ ὁ ὀμφαλός. ἐκ δὲ τοῦ ὀμφαλοῦ, τὸ χορίον τεταμένον ἐστί. μετὰ δὲ ταῦτα, ὕδρωψ ἔρχεται αἱματώδης, ἀπό τε τῆς κεφαλῆς, καὶ τοῦ ἄλλου σώματος, ἀποκριθεὶς ὑπὸ βίης τε καὶ πόνου καὶ θέρμης. καὶ ὁδὸν ἀφηγέεται τῇ τῶν λοχίων καθάρσει. μετὰ δὲ τὴν ἔξοδον τοῦ ἰχῶρος, ἡ κάθαρσις γίνεται, χρόνον τὸν πρόσθεν εἰρημένον, καὶ οἵ τε μαζοὶ καὶ τ' ἄλλα μέλεα ὁκόσα ὑγρότερά ἐστι καταρρήγνυνται τῶν γυναικῶν, ἥκιστα μὲν ἐν τῷ πρώτῳ τόκῳ. ἔπειτα δὲ, ὡς ἂν πλειόνων πειρέωνται τόκων, ἔτι μᾶλλον καταρρήγνυνται διακενουμένων τῶν φλεβῶν ὑπὸ τῆς καθάρσιος τῶν λοχίων. ταῦτα δέ μοι δὴ τοσαῦτα εἴρηται.

Δίδυμα δὲ γίνονται ἀφ' ἑνὸς λαγνεύματος, οὕτως. ἔχουσιν αἱ μῆτραι κόλπους συχνοὺς καὶ γαμψούς. τοὺς μὲν τηλοτέρω, τοὺς δὲ πλησιαιτέρω τοῦ αἰδοίου. καὶ τὰ πολύγονα τῶν ζώων, πλείους ἔχει κόλπους, τῶν ὀλίγα κυεόντων. ὁμοίως δὲ καὶ τὰ πρόβατα, θηρία τε καὶ ὄρνεα. ὅταν δὲ ἡ γονὴ τύχῃ σχισθεῖσα εἰς δύο κόλπους ἀφικομένη, καὶ αἱ μῆτραι δέξωνται τὴν γονὴν, οἱ κόλποι τε μὴ ἕτερος πρὸς τὸν ἕτερον χαλάσῃ, ἡ χωρισθεῖσα ἐν ἑκατέρῳ κόλπῳ, ὑμενοῦται καὶ ζωοῦται τῷ αὐτῷ τρόπῳ, ὥσπερ καὶ τὸ ἐν οὗ εἵνεκεν εἴπομεν. ὅτι δὲ ἀφ' ἑνὸς λαγνεύματος, δίδυμα γίνεται, ἰσόρροπον τόδε. ἐστὶ κύων καὶ ὗς καὶ ἄλλα ζῶα, ὅσα ἀφ' ἑνὸς λαγνεύματος τίκτει καὶ δύο καὶ πλείονα, καὶ ἕκαστον τῶν ζώων ἐν τῇσι μήτρῃσιν, ἐν κόλπῳ καὶ ὑμένι ἐστί. καὶ ταῦτα αὐτοὶ ὁρέομεν γινόμενα. καὶ ταῦτα τίκτει τῇ αὐτῇ ἡμέρῃ πάντα ὡς ἐπὶ τὸ πλεῖστον. ὧδε δὲ καὶ τῇ γυναικὶ ἀπὸ μιῆς μίξιος γινόμενα τὰ παιδία, ἑκάτερον ἐν κόλπῳ καὶ χορίῳ ἐστί. καὶ τίκτει τῇ αὐτῇ ἡμέρῃ ἀμφότερα, καὶ πρότερον θάτερον χωρέει ἔξω, καὶ τὸ χορίον αὐτοῦ. ὅτι δὲ θῆλυ καὶ ἄρσεν δίδυμα γίνεται, φημὶ ἐν τῇ γυναικὶ καὶ ἐν τῷ ἀνδρὶ, καὶ ἐν παντὶ ζώῳ, ἑκάστῳ γονῆς εἶναι καὶ ἀσθενέστερον καὶ ἰσχυρότερον. καὶ οὐκ δὴ ἅπαξ χωρέει ἡ γονὴ, ἀλλὰ καὶ δὴ δὶς καὶ τρὶς ἀποθρώσκεται. καὶ οὐκ ἀνυστὸν αἰεὶ ὁμοίως εἶναι πᾶν ἰσχυρὸν, τό, τε πρόσθεν ἐξιὸν, καὶ τὸ ὕστερον. δὴ ὁκότερον ἂν ἐν τῶν κόλπων τύχῃ ἡ γονὴ παχυτέρη καὶ ἰσχυροτέρη ἐσιοῦσα, κεῖθι ἄρσεν γίνεται. δὴ ὁκότερον δ' ἂν ὑγροτέρη καὶ ἀσθενεστέρη, κεῖθι θῆλυ γίνεται. ἢν δ' δὴ ἄμφω ἰσχυρὴ ἐσέλθῃ, ἄμφω ἄρσενα γίνεται. ἢν δὲ ἀσθενὴς δὴ ἄμφω, ἄμφω θήλεα γίνεται. οὗτος ὁ λόγος ὧδε εἰρημένος ἅπας, τέλος ἔχει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΣΑΡΚΩΝ.

Ἐγὼ τὰ μέχρι τοῦ λόγου τούτου κοινῇσι γνώμῃσι χρέομαι ἑτέρων τε τῶν ἔμπροσθεν, ἀτὰρ καὶ ἐμεωυτοῦ. ἀναγκαίως γὰρ ἔχει κοινὴν ἀρχὴν ὑποθέσθαι τῇσι γνώμῃσι
E βουλόμενον ξυνθεῖναι τὸν λόγον τόνδε περὶ τῆς τέχνης τῆς ἰητρικῆς. περὶ δὲ τῶν μετεώρων, οὐδὲ δέομαι λέγειν, ἢν μὴ τοσοῦτον δὴ ἄνθρωπον ἀποδείξω, καὶ τὰ ἄλλα ζῶα, ὁκόσα ἔφυ καὶ ἐγένετο. καὶ ὅτι ψυχή ἐστιν. καὶ ὅτι τὸ ὑγιαίνειν. καὶ ὅτι τὸ κάμνειν. καὶ ὅτι τὸ ἐν ἀνθρώπῳ κακὸν καὶ ἀγαθὸν, καὶ ὅθεν ἀποθνήσκει. νῦν δὲ ἀποφαίνομαι αὐτὸς ἐμεωυτοῦ γνώμας. δοκέει δέ μοι ὃ καλέομεν θερμὸν, ἀθάνατόν τε εἶναι καὶ νοεῖν πάντα καὶ ὁρῆν καὶ ἀκούειν, καὶ εἰδέναι πάντα καὶ τὰ ὄντα, καὶ τὰ μέλλοντα ἔσεσθαι. τοῦτο δὴ τὸ πλεῖστον ὅτε ἐταράχθη πάντα ἐξεχώρησεν εἰς τὴν ἀνωτάτω περιφορήν. καὶ ὀνομῆναί μοι αὐτὸ δοκέουσιν οἱ παλαιοὶ αἰθέρα. ἡ δευτέρη μοῖρα κάτωθεν αὐτῇ καλέεται μὲν γῆ

ψυχρὸν καὶ ξηρὸν καὶ πουλὺ κινοῦν. καὶ ἐν τουτέῳ ἔνι δὴ πουλὺ τοῦ θερμοῦ. ἡ δὲ τρίτη μοῖρα, καὶ τοῦ ἠέρος μέσον χωρίον ἔλαβε, θερμόν τι ὄν. ἡ δὲ τετάρτη τὸ ἐγγυτάτω πρὸς τῇ γῇ ὑγρότατόν τε καὶ παχύτατον. κυκλεομένων δὲ τουτέων ὅτε οὖν ἐταράχθη, ἀπελείφθη τοῦ θερμοῦ πουλὺ ἐν τῇ γῇ ἄλλοθι. τὰ μὲν, μεγάλα. τὰ δὲ, ἐλάσσω. τὰ δὲ καὶ πάνυ σμικρά πλῆθος πολλά. καὶ τῷ χρόνῳ ὑπὸ τοῦ θερμοῦ ξηραινομένης τῆς γῆς, ταῦτα καταλειφθέντα περὶ αὐτά, σηπεδόνας ποιεῖ οἷον περὶ χιτῶνας. καὶ πολλῷ χρόνῳ θερμαινόμενον, ὁκόσον μὲν ἐτύγχανεν ἐκ τῆς γαίης σηπεδόνος λιπαρόν τε ἐὸν, καὶ ὀλίγιστον τοῦ ὑγροῦ ἔχον τάχιστα ἐξεκαύθη καὶ ἐγένετο ὀστέα. ὁκόσα δὲ ἐτύγχανε κολλωδέστερα ἐόντα καὶ τοῦ ψυχροῦ μετέχοντα, ταῦτα δὲ θερμαινόμενα οὐκ ἠδύνατο ἐκκαυθῆναι, οὐδὲ μὴν τοῦ ὑγροῦ γίνεσθαι, διὰ τοῦτο εἶδος ἀλλοιότερον ἔλαβε τῶν ἄλλων, καὶ ἐγένετο νεῦρα στερεά. οὐδὲ γὰρ ἐνῆν τοῦ ψυχροῦ αὐτῷ. αἱ δὲ φλέβες τοῦ ψυχροῦ ἔχον πουλύ. καὶ τούτου τοῦ ψυχροῦ τὸ μὲν περιέξ, ὅσον κολλωδέστατον ἦν, ὑπὸ τοῦ θερμοῦ ἐξοπτηθὲν μῆνιγξ ἐγένετο. τὸ δὲ ψυχρὸν ἐὸν κρατηθὲν ὑπὸ τοῦ θερμοῦ, διελύθη καὶ ἐγένετο ὑγρὸν διὰ τοῦτο. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ ἡ φάρυγξ καὶ ὁ στόμαχος καὶ ἡ γαστὴρ καὶ τὰ ἔντερα ἐς τὸν ἀρχὸν, κοῖλα ἐγένοντο. τοῦ γὰρ ψυχροῦ αἰεὶ θερμαινομένου, τὸ μὲν περιέξ ἐξωπτήθη ὅσον αὐτοῦ κολλῶδες ἦν, καὶ ἐγένετο χιτὼν ὁ περὶ αὐτὸν μῆνιγξ. τὸ δὲ ἐντὸς τοῦ ὑγροῦ, οὐ γὰρ ἦν ἐν αὐτῷ, οὔτε λιπαρὸν, οὔτε κολλῶδες πουλὺ διετάκη καὶ ἐγένετο ὑγρόν. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ ἡ κύστις πουλὺ ψυχρὸν ἀπολειφθὲν τὸ περιέξ αὐτοῦ ὑπὸ τοῦ θερμοῦ θερμαινόμενον, διελύθη καὶ ἐγένετο ὑγρόν. οὐ γὰρ ἦν ἐν αὐτῷ οὔτε τοῦ λιπαροῦ, οὔτε τοῦ κολλώδεος. ὅσα δὲ περιῆν χιτὼν ἐγένετο. ἀτὰρ καὶ περὶ τῶν ἄλλων ὅσα κοῖλα τὸν αὐτὸν ἔχει τρόπον. ὅκου μὲν ἦν τοῦ κολλώδεος πλέον ἢ τοῦ λιπαροῦ, χιτὼν, μῆνιγξ ἐγένετο. ὅκου δὲ τοῦ λιπαροῦ πλέον ἢ τοῦ κολλώδεος, ὀστέα ἐγένετο. ωὑτὸς δὲ λόγος καὶ τῶν ὀστέων. ὅκου μὲν μὴ ἐνῆν τοῦ κολλώδεος, τοῦ δὲ λιπαροῦ καὶ τοῦ ψυχροῦ, ἐξεκαίετο θᾶσσον διὰ τὸ λιπαρόν. καὶ ταῦτα τῶν ὀστέων καὶ σκληρότατα καὶ στριφνότατα. ὅκου δὲ λιπαρὸν καὶ κολλῶδες παραπλήσια. ταῦτα δὲ τῶν ὀστέων, σηραγγώδεα. περὶ μὲν τουτέων οὕτως. τὸ μὲν ψυχρὸν, πήγνυσιν. τὸ δὲ θερμὸν, διαχέει. ἐν δὲ τῷ πολλῷ καὶ ξηραίνει χρόνῳ. ὅκου δὲ τοῦ λιπαροῦ ξυνίῃ τι, τουτέοισι θᾶσσον ἐκκαίει καὶ ξηραίνει. ὅκου δὲ αὖ τὸ κολλῶδες ξυνίῃ τῷ ψυχρῷ ἄνευ τοῦ λιπαροῦ οὐκ ἐθέλει ἐκκαίεσθαι, ἀλλὰ τῷ χρόνῳ θερμαινόμενον πήγνυται. ὁ δὲ ἐγκέφαλος, ἐστὶ μητρόπολις τοῦ ψυχροῦ καὶ τοῦ κολλώδεος. τὸ δὲ θερμὸν τοῦ λιπαροῦ μητρόπολις. θερμαινόμενον γὰρ τὸ πρῶτον πάντων διαχεόμενον, λιπαρὸν γίνεται, καὶ διὰ τοῦτο ἐγκέφαλος, ὅτι ὀλίγιστον ἔχει τοῦ λιπαροῦ, τοῦ δὲ κολλώδεος πλεῖστον, οὐ δύναται ἐκκαυθῆναι ὑπὸ τοῦ θερμοῦ. ἀλλ' ἐν τῷ χρόνῳ χιτῶνα μήνιγγα παχεῖαν ἔλαβεν. περὶ δὲ τὴν μήνιγγα ὀστέα ὁκόσον τὸ θερμὸν ἐκράτησεν. καὶ ἐν ὅσοισι τοῦ λιπαροῦ ἐνῆν, καὶ ὁ μυελὸς ὁ καλεόμενος νωτιαῖος, καθήκει ἀπὸ τοῦ ἐγκεφάλου. καὶ οὐκ ἔστιν ἐν ὡυτῷ τοῦ λιπαροῦ ἢ τοῦ κολλώδεος πουλὺ, ὥσπερ καὶ τῷ ἐγκεφάλῳ. διὰ τοῦτο οὐκ ἂν δικαίως καὶ αὐτῷ εἴη μυελὸς οὔνομα. οὐ γὰρ ὁμοίως τῷ ἄλλῳ μυελῷ ὡς ἐν τοῖσιν ἄλλοισιν ὀστέοισιν ἔνι. μοῦνος γὰρ μήνιγγας ἔχει, ὁ δὲ ἄλλος οὐκ ἔχει. τεκμήρια δὲ τουτέων σαφέα, εἴτις ἐθέλοι ὀπτᾶν νευρώδεα τε καὶ κολλώδεα. καὶ τὰ ἄλλα δὲ τὰ μὲν ἄλλα, ταχὺ ὀπτᾶται. τὰ δὲ νευρώδεά τε καὶ κολλώδεα, οὐκ ἐθέλει ὀπτᾶσθαι. ἐλάχιστον γὰρ ἔχει τοῦ λιπαροῦ. τὸ δὲ πιότατον καὶ λιπαρὸν τάχιστα ὀπτᾶται. τὰ δὲ σπλάγχνα, ὧδέ μοι δοκέει ξυστῆναι. περὶ μὲν οὖν τῶν φλεβῶν, εἴρηταί μοι πρότερον. ἡ δὲ καρδίη, πουλὺ τοῦ κολλώδεος καὶ τοῦ ψυχροῦ ἔχει. καὶ ὑπὸ τοῦ θερμοῦ θερμαινόμενον, κρέας ἐγένετο σκληρὸν καὶ γλίσχρον. καὶ μῆνιγξ περὶ αὐτήν. καὶ ἐκοιλώθη, οὐχ ὥσπερ φλέβες. καὶ ἔστιν ἰθὺ τῆς κεφαλῆς τῆς φλεβὸς τῆς κοιλοτάτης. δύο γάρ εἰσι κοῖλαι φλέβες ἀπὸ τῆς καρδίης. τῇ μὲν οὔνομα ἀρτηρίη. τῇ δὲ κοίλη φλέψ. πρὸς ἣν ἡ καρδίη ἔστιν. καὶ πλεῖστον ἔχει τοῦ θερμοῦ ἡ ἀρτηρίη ἢ ἡ κοίλη φλέψ. καὶ ταμιεύει τὸ πνεῦμα. πρὸς δὲ τούτοιν τοῖν φλεβοῖν ἄλλαι κατὰ τὸ σῶμα. ἡ δὲ κοιλοτάτη φλὲψ πρὸς ἣν ἡ καρδίη διὰ τῆς κοιλίης ἁπάσης διήκει καὶ διὰ τῶν φρενῶν. καὶ σχίζεται ἐς ἑκάτερον τῶν νεφρῶν. καὶ ἰθὺ τῇ ὀσφύϊ σχίζεται καὶ ἀΐσσει ἐπί τε τὰ ἄλλα, καὶ ἐς ἑκάτερον σκέλος. ἀτὰρ καὶ ἄνωθεν τῆς καρδίης πρὸς τῷ αὐχένι. τὰ μὲν, ἐπὶ δεξιά. τὰ δ' ἐπ' ἀριστερά. καὶ τότε ἰθὺ τὴν κεφαλὴν ἄγει, καὶ ἐν τοῖς κροτάφοισι σχίζεται ἑκατέρῃ. ἔστι δὲ καὶ ἀριθμῷ εἰπεῖν τὰς φλέβας τὰς μεγίστας. ἑνὶ δὲ λόγῳ ἀπὸ τῆς κοίλης φλεβὸς, καὶ ἀπὸ τῆς ἀρτηρίης ἄλλαι φλέβες ἐσχισμέναι εἰσὶ κατὰ πᾶν τὸ σῶμα, κοιλόταται δὲ αἱ πρὸς τῇ καρδίῃ καὶ τῷ αὐχένι καὶ τῇ κεφαλῇ. καὶ κάτωθεν τῆς καρδίης

μέχρι τῶν ἰσχίων. καὶ τὸ θερμὸν πλεῖστον ἔνι τῇσι φλεψὶ καὶ τῇ καρδίῃ. καὶ διὰ τοῦτο πνεῦμα ἡ καρδίη ἔχει θερμὴ ἐοῦσα μάλιστα τῶν ἐν τῷ ἀνθρώπῳ. ῥηΐδιον δὲ τοῦτο καταμαθεῖν, ὅτι θερμόν ἐστι τὸ πνεῦμα, ἡ καρδίη καὶ αἱ κοῖλαι φλέβες κινέονται αἰεὶ, καὶ τὸ θερμότατον πλεῖστον ἔνι ἐν τῇσι φλεψίν. καὶ διὰ τοῦτο πνεῦμα ἡ καρδίη ἕλκει θερμὴ ἐοῦσα μάλιστα τῶν ἐν τῷ ἀνθρώπῳ. ἔστι δὲ καὶ ἄλλως γνῶναι. πῦρ εἴ τις θέλει καίειν ἐν οἰκήματι ὁκόταν ἄνεμος μὴ ἐσπνέῃ, φλὸξ κινέεται, τοτὲ μὲν, μᾶλλον. τοτὲ δὲ, ἧσσον. καὶ λυχνὸς καιόμενος τὸν αὐτὸν τρόπον κινέεται. τοτὲ μὲν, μᾶλλον. τοτὲ δὲ, ἧσσον ἀνέμου οὐδενὸς κινέοντος, ὅν τινα καὶ ἡμεῖς οἷοί τε ἐσμὲν γινώσκειν πνέοντα. καὶ τροφή ἐστιν τῷ θερμῷ τὸ ψυχρόν. τὸ δὲ παιδίον ἐν τῇ γαστρὶ συνέχον τὰ χείλεα μύζει ἐκ τῶν μητρέων τῆς μητρὸς, καὶ ἕλκει τήν τε τροφὴν, καὶ τὸ πνεῦμα τῇ καρδίῃ εἴσω. τοῦτο γὰρ θερμότατόν ἐστιν ἐν τῷ παιδίῳ, ὅταν περ ἡ μήτηρ ἀναπνέῃ. τοῦτο δὲ καὶ τῷ ἄλλῳ σώματι τὴν κίνησιν παρέχει τὸ θερμὸν, καὶ τοῖς ἄλλοις πᾶσιν. εἰ δέ τις ἐρωτᾷη πῶς τοῦτο οἶδέ τις, ὅτι ἐν τῇ μήτρῃ τὸ παιδίον ἕλκει καὶ μύζει, τάδε αὐτῷ ἐστιν ἀποκρίνασθαι. κόπρον ἔχοντα ἐν τοῖσιν ἐντέροισιν γίνεται, καὶ ἀποπατέει ἐπειδὰν γένηται τάχιστα καὶ οἱ ἄνθρωποι καὶ τὰ πρόβατα. καίτοι οὐκ ἂν εἶχε κόπρον εἰ μὴ ἐν τῇσι μήτρῃσιν ἔμυζεν. οὐδ' ἂν θηλάζειν τὸν μαζὸν ἠπίστατο γενόμενον αὐτίκα, εἰ μὴ καὶ ἐν τῇ μήτρῃ ἔμυζε. καὶ περὶ μὲν τῆς κινήσιος τῆς καρδίης καὶ τῶν φλεβῶν οὕτως ἔχει. ὁ δὲ πνεύμων πρὸς τῇ καρδίῃ ἐγένετο ὧδε. τοῦ ὑγροῦ ὁκόσον ἦν κολλωδέστατον ἡ καρδίη θερμαίνουσα, ταχὺ ἐξήρανεν, ὅκως περ ἀφρὸν. καὶ ἐποίησεν σηραγγῶδες. καὶ φλέβια πολλὰ ἐν αὐτέῳ. διὰ δὲ τοῦτο ἐποίησεν τὰ φλέβια. ὁκόσον ἐν τῷ κολλώδει ἐνῆν ψυχρὸν τοῦτο μὲν ὑπὸ τοῦ θερμοῦ διετάκη, καὶ ἐγένετο ὑγρόν. τὸ δὲ ἀπὸ τοῦ κολλώδεος, αὐτὸς ὁ χιτών. τὸ δὲ ἧπαρ ὧδε ξυνέστη. ξὺν τῷ θερμῷ πουλὺ τοῦ ὑγροῦ ἀπολειφθὲν ἄνευ τοῦ κολλώδεος καὶ τοῦ λιπαροῦ, ἐκράτησε τὸ ψυχρὸν τοῦ θερμοῦ καὶ ἐπάγη. τεκμήριον δέ μοι τόδε. ὁκόταν σφάξῃ τις ἱερεῖον, τέως μὲν ἂν θερμὸν ᾖ, ὑγρόν ἐστιν τὸ αἷμα. ἐπειδὰν δὲ ψυχθῇ, ἐπάγη. ἢν δέ τις αὐτὸ κινάσσῃ, οὐ πήγνυται. αἱ γὰρ ἶνες εἰσὶ ψυχραὶ καὶ κολλώδεες. ὁ δὲ σπλὴν συνέστη ὧδε. σὺν τῷ θερμῷ καὶ κολλώδει καὶ τοῦ θερμοῦ πλεῖστον. τοῦ δὲ ψυχροῦ, ἐλάχιστον. τοσοῦτον μόνον, ὁκόσον πῆξαι τὸ κολλῶδες αὐτό. ὅ εἰσιν αἱ ἶνες αἱ ἐνοῦσαι ἐν τῷ σπληνί. καὶ διὰ τὰς ἶνας ταύτας, μαλακός ἐστιν ὁ σπλὴν καὶ ἰνώδης. οἱ δὲ νεφροὶ, ξυνέστησαν ὧδε. ὀλίγον τοῦ κολλώδεος. τοῦ θερμοῦ, ὀλίγον. τοῦ ψυχροῦ, πλεῖστον, καὶ ἐπάγη ὑπὸ τούτου καὶ ἐγένετο σκληρότατον τὸ σπλάγχνον, καὶ ἥκιστα ἐρυθρὸν, ὅτι οὐ πουλὺ τοῦ θερμοῦ ξυνέστη. ὁ δὲ αὐτὸς λόγος καὶ περὶ τῶν σαρκῶν. τὸ μὲν ψυχρὸν, ἔστησε καὶ ξυνέπηξε καὶ ἐποίησε σάρκα. τὸ δὲ κολλῶδες, τρώγλαι ἐγένοντο. ἐν δὲ τῇσι τρώγλῃσι ταύτῃσι τὸ ὑγρὸν, ὥσπερ καὶ ἐν τῇσι φλεψὶ, τῇσι μεγάλῃσιν. τὸ δὲ θερμὸν ἐν παντὶ τῷ σώματι, πλεῖστον δὲ τῷ σώματι. καὶ τοῦ ψυχροῦ πουλὺ ἐν τῷ ὑγρῷ. τοῦτο δέ ἐστι τοῦ ψυχροῦ, ὁκόσον δύναται πῆξαι τὸ ὑγρόν. ἀλλὰ νενίκηται ὥστε διακέχυται ὑπὸ τοῦ θερμοῦ. ἡ δὲ ἀπόδειξις τοῦ ὑγροῦ ὅτι θερμόν ἐστιν. εἴ τις ἐθέλοι τάμνειν τοῦ ἀνθρώπου τοῦ σώματος, ὅπου ἐθέλοι, ῥεύσει τε αἷμα θερμόν. καὶ τέως μὲν ἂν θερμὸν ᾖ, ὑγρὸν ἔσται. ἐπειδὰν δὲ ψυχθῇ, ὑπό τε τοῦ ἐνεόντος ψυχροῦ, καὶ τοῦ ἐκτὸς ἐγένετο δέρμα καὶ ὑμήν. καὶ εἴ τις ἀφελὼν τοῦτο τὸ δέρμα, ἐάσειεν ὀλίγου χρόνου ὄψεται ἄλλο δέρμα γινόμενον. εἰ δέ τις τοῦτο αἰεὶ ἀφαιρεῖ, ἄλλο δέρμα γίνοιτ' ἂν πρὸς τοῦ ψυχροῦ. τούτου δὲ εἵνεκα πλείω ἔλεξα τέως ἀποδείξω, ὅτι τὸ ἔσχατον τοῦ σώματος πρὸς τοῦ ἠέρος ἀναγκαίως ἔχει δέρμα γενέσθαι ὑπὸ τοῦ ψυχροῦ, καὶ τῶν πνευμάτων προσβαλλόντων. τὰ δὲ ἄρθρα ὧδε ἐγένετο. ὅτε τὰ ὀστέα ξυνίστατο, ὁκόσα μὲν αὐτέων λιπαρὰ ἦν, τάχιστα ἐξεκαύθη, ὥσπερ πρόσθεν λέλεκται ἐν τῷ προτέρῳ λόγῳ. ὁκόσον δ' αὐτέων κολλῶδες ἦν, τοῦτο δὲ οὐκ ἠδύνατο ἐκκαυθῆναι, ἀλλὰ μεταξὺ ἀπολειφθὲν τοῦ καιομένου ξηραινομένου ὑπὸ τοῦ θερμοῦ νεῦρα καὶ σίαλον ἐγένετο. τὸ δὲ σίαλον, ὁκόσον τοῦ κολλώδεος ὑγρότατον ἦν. τόδε θερμαινόμενον, παχύτερον ἐγένετο ὑγρὸν ἐόν. καὶ ἀπὸ τούτου σίαλον ἐγένετο. οἱ δὲ ὄνυχες, ἀπὸ τουτέου ἐγένοντο τοῦ κολλώδεος. ἀπὸ γὰρ τῶν ὀστέων καὶ τῶν ἄρθρων αἰεὶ τὸ ὑγρότατον αὐτέου ἀπιὸν κολλῶδες γίνεται ἀπὸ τοῦ θερμοῦ ξηραινόμενον καὶ ἐξαυαινόμενον θύραζε εἰς ὄνυχας. οἱ δὲ ὀδόντες ὕστερον γίνονται, διὰ τόδε. ἀπὸ τῶν ὀστέων τῶν ἐν τῇ κεφαλῇ καὶ τοῖν γνάθοιν ἡ αὔξησις γίνεται τοῦ κολλώδεος τοῦ λιπαροῦ. τὸ ἐνεὸν ὑπὸ τοῦ θερμοῦ ξηραινόμενον ἐκκαίεται. καὶ γίνονται ὀδόντες σκληρότεροι τῶν ἄλλων ὀστέων, ὅτι οὐκ ἔνι τοῦ ψυχροῦ. καὶ οἱ μὲν πρῶτοι ὀδόντες φύονται ἀπὸ τῆς διαίτης ἐν τῇ μήτρῃ. καὶ ἐπὴν γένηται ἀπὸ τοῦ

γάλακτος θηλάζοντι τῷ παιδίῳ. ἐπειδὰν δὲ οὗτοι ἐκπέσωσιν ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν. ἐκπίπτουσι δὲ ἐπειδὰν ἤδη τὰ ἔτεα ἔῃ τῆς πρώτης τροφῆς, ἔστι δὲ καὶ οἷς πρότερον ἦν ἀπὸ νοσερῆς τροφῆς φύσωσιν. τοῖς δὲ πλείστοισιν, ἐπειδὰν ἑπτὰ ἔτεα γένηται. οἱ δὲ μεταφύοντες συγκαταγηράσκουσιν, ἢν μὴ ὑπὸ νόσου διαφθαρῶσι. διὰ δὲ τοῦτο φύονται οἱ ὀδόντες ὕστερον τῶν ἄλλων. ἐν τῇ γνάθῳ φλέβες εἰσὶ, καὶ ἐν τῇ κάτω κοιλίῃ μούνοισιν τῶν ὀστέων, αὗται τὴν τροφὴν παρέχουσι τῷ ὀστέῳ. τὰ δὲ ὀστέα, τοιαύτην αὔξησιν ὁποῖά περ ἐστίν. καὶ τὰ ἄλλα δὲ πάντα, τοιαύτην ἀποδίδωσιν αὔξησιν, ὁποῖα αὐτὰ ἐστίν. καὶ γὰρ αἱ φλέβες αἱ ἐκ τῆς νηδύος τῶν ἐντέρων, ἐς ἃ συλλέγεται τὰ σιτία καὶ τὰ ποτὰ, ἐπειδὰν θερμανθῇ ταῦτα, ἕλκουσι τὸ λεπτότατον καὶ τὸ ὑγρότατον. τὸ δὲ παχύτατον αὐτέου καταλείπεται, καὶ γίνεται κόπρος ἐν τοῖσιν ἐντέροισι τοῖσι κάτω. τὸ δὲ λεπτότατον αἱ φλέβες ἕλκουσιν ἐκ τῆς νηδύος καὶ τῶν ἐντέρων τῶν ἄνωθεν τῆς νήστιος θερμαινομένων τῶν σιτίων. ἐπὴν δὲ περήσῃ τὴν νῆστιν ἐς τὰ κάτω ἔντερα ξυνεστράφη καὶ κόπρος ἐγένετο. ἡ δὲ τροφὴ ἐπειδὰν ἀφίκηται ἕκαστον τοιαύτην ἀπέδωκε τὴν εἰδέην ἑκάστου ὁκοῖα περ ἦν. ἀρδόμενα γὰρ ὑπὸ τῆς τροφῆς αὔξεται ἕκαστα τὸ θερμὸν, καὶ τὸ ψυχρὸν, καὶ τὸ κολλῶδες καὶ τὸ λιπαρὸν, καὶ τὸ γλυκὺ, καὶ τὸ πικρὸν, καὶ τὰ ὀστέα, καὶ τὰ ἄλλα ξύμπαντα, ὁκόσα ἐν τῷ ἀνθρώπῳ ἔνι. διὰ τοῦτο ὕστερον οἱ ὀδόντες φύονται. εἴρηται δέ μοι καὶ πρότερον ὅτι μοῦναι τῶν ὀστέων αἱ γνάθοι φλέβας ἔχουσιν αὗται ἐν ἑωυταῖσι. καὶ διὰ τοῦτο τροφὴ ἕλκεται πλέον ἢ ἐς τὰ ἄλλα ὀστέα. καὶ πλέονα τὴν τροφὴν ἔχοντα καὶ ἀθροωτέρην τὴν ἐπιῤῥοὴν ἀποτίκτει αὔξησιν αὐτὰ ἀφ᾽ ἑαυτέων τοιαύτην, οἷά περ ἐστὶν αὐτὰ, τέως ἄν περ καὶ ἄνθρωπος οὖλος αὐξάνηται. αὐξάνεται δὲ, ἐπὴν γένηται ἐπίδηλος. ἐπίδηλος δὲ μάλιστα γίνεται ἀπὸ ἑπταετέος μέχρι τεσσαρεσκαιδεκαταίου. καὶ ἐν τουτέῳ τῷ χρόνῳ, οἵ τε μέγιστοι τῶν ὀδόντων φύονται καὶ ἄλλοι πάντες, ἐπὴν ἐκπέσωσιν, οἳ ἐγένοντο ἀπὸ τῆς τροφῆς τῆς ἐν τῇ μήτρῃ. αὐξάνεται δὲ καὶ ἐς τὴν τρίτην ἑβδομάδα, ἐν ᾗ νεηνίσκος γίνεται μέχρι τεσσάρων καὶ πέντε ἑβδομάδων. καὶ ἐν τῇ τετάρτῃ δὲ ἑβδομάδι ὀδόντες φύονται δύο τοῖσι πολλοῖσι τῶν ἀνθρώπων, οὗτοι καλέονται σωφρονιστῆρες. αἱ δὲ τρίχες φύονται ὧδε. ὀστέα εἰσὶ καὶ ἐγκέφαλος, ἀφ᾽ ὧν ἡ τοιαύτη αὔξησις, ὅτι τοῦ περιξ κολλώδεος, ὅπως περ τοῖσι νεύροισιν, καὶ τοῦ λιπαροῦ οὐκ ἔνεστιν. εἰ γὰρ ἐνῆν τοῦ λιπαροῦ, ἐξεκαίετο ἂν ἐκ τοῦ θερμοῦ. τάχα δὲ θαυμάσειεν ἄν τις ὅτι καὶ ἐν τῇσι μασχάλῃσι καὶ ἐν τῷ ἐπισείῳ τρίχες πολλαὶ καὶ ἐν τῷ σώματι παντί εἰσιν. οἷσιν οὗτος λόγος περὶ τουτέου. ὅπου τυγχάνει τοῦ σώματος τὸ κολλῶδες ὂν, ἐνταῦθα αἱ τρίχες γίνονται ὑπὸ τοῦ θερμοῦ. ἀκούει δὲ διὰ τόδε. τὰ τρήματα τῶν οὐάτων προσήκει πρὸς ὀστέον σκληρόν τε καὶ ξηρὸν ὅμοιον λίθῳ. τοῦτο δὲ πέφυκε πρὸς ὀστέον κοίλωσις σηραγγώδης. οἱ δὲ ψόφοι, ἀπερείδονται πρὸς τὸ σκληρόν. τὸ δὲ ὀστέον τὸ κοῖλον ἐπηχεῖ διὰ τοῦ σκληροῦ. τὸ δέρμα τὸ πρὸς τῇ ἀκοῇ πρὸς τῷ ὀστέῳ τῷ σκληρῷ λεπτόν ἐστιν ὥσπερ ἀράχνιον ξηρότατον τοῦ ἄλλου δέρματος. τεκμήρια δὲ πολλὰ, ὅτι ξηρότατον ἠχεῖ μάλιστα. ὅταν δὲ μέγιστον ἠχήσῃ, τότε μάλιστα ἀκούωμεν. καὶ εἰσί τινες, οἳ ἔλεξαν φύσιν ξυγγράφοντες, ὅτι ὁ ἐγκέφαλός ἐστιν ὁ ἠχέων. τοῦτο δὲ οὐκ ἂν γένηται. αὐτός τε γὰρ ὁ ἐγκέφαλος ὑγρός ἐστι καὶ μῆνιγξ περὶ αὐτόν ἐστιν ὑγρὴ καὶ παχέη. καὶ περὶ τὴν μήνιγγα ὀστέα. οὐδὲν οὖν τῶν ὑγρῶν ἠχεῖ, ἀλλὰ ξηρά. τὰ δὲ ἠχέοντα, ἀκοὴν ποιεῖ. ὀσφραίνεται δ᾽ ὁ ἐγκέφαλος ὑγρὸς ἐὼν αὐτὸς τῶν ξηρῶν, ἕλκων τὴν ὀδμὴν ξὺν τῷ ἠέρι διὰ τῶν βρογχίων ξηρῶν ἐόντων. προήκει γὰρ ὁ ἐγκέφαλος τῆς ῥινὸς ἐς τὰ κοῖλα. καὶ ταύτῃ αὐτῷ οὐκ ἔστιν ἐπίπροσθεν ὀστέον οὐδὲν, ἀλλὰ χόνδριον μαλακὸν ὅκως περ σπόγγος, οὔτε κρέας, οὔτε ὀστέον. καὶ ὅταν μὲν ξηρὰ ᾖ τὰ κοῖλα τῆς ῥινὸς, ὀσμᾶσθαι τῶν ξηροτέρων αὐτὸς ἑωυτοῦ ἀκριβέστερός ἐστιν. ὕδατος γὰρ οὐκ ὀδμᾶται. ὑγρότερον γάρ ἐστι τοῦ ἐγκεφάλου ἐὰν μὴ σαπῇ. σηπόμενον γὰρ τὸ ὕδωρ, παχύτερον γίνεται καὶ τὰ ἄλλα πάντα. ὁκόταν δὲ ὑγρανθέωσιν αἱ ῥῖνες οὐ δύνανται ὀσφραίνεσθαι. οὐ γὰρ τὸν ἠέρα ἕλκει αὐτὸς πρὸς ἑωυτόν. ταύτῃ δὲ καὶ ὅταν ἀποτήκηται ὁ ἐγκέφαλος πλεῖστον αὐτὸς ἀφ᾽ ἑωυτοῦ ἐς τὴν ὑπερῴην καὶ τὴν φάρυγγα, καὶ τὸν πνεύμονα, καὶ ἐς τὴν ἄλλην κοιλίην, γινώσκουσιν οἱ ἄνθρωποι καὶ φασὶ καταῤῥέειν ἐκ τῆς κεφαλῆς. καταῤῥεῖ δὲ καὶ ἐς τὸ ἄλλο σῶμα. καὶ ἔστι τρόπῳ τῷ θερμῷ. ὁρῇ δὲ διὰ τοῦτο. ἀπὸ τοῦ ἐγκεφάλου τῆς μήνιγγος φλὲψ καθήκει ἐς τὸν ὀφθαλμὸν διὰ τοῦ ὀστέου ἑκά-

τερον

πόρου. διὰ ταύτην τὴν φλέβιον ἀπὸ τοῦ ἐγκεφάλου διηθέεται τὸ λεπτότατον τοῦ κολλωδεστάτου. καὶ διὰ τοῦτο αὐτὸ περὶ αὐτὸ δέρμα ποιεῖ τοιοῦτον, οἷόν περ περὶ αὐτό ἐστι τὸ διαφανὲς τοῦ ὀφθαλμοῦ τὸ πρὸς τὸν ἠέρα πρὸς ὃ προσβάλλει τὰ πνεύματα, κατὰ τὸν αὐτὸν λόγον, ὥσπερ περὶ τοῦ ἄλλου δέρματος ἔλεξα. πολλὰ δὲ ταῦτ' ἐστὶ τὰ δέρματα, πρὸ τοῦ ὁρέοντος διαφανέος, ὁκοῖον περ αὐτό ἐστιν. τούτῳ γὰρ τῷ διαφανεῖ ἀνταυγεῖ τὸ φῶς καὶ τὰ λαμπρὰ πάντα. τουτέῳ οὖν ὁρῇ τῷ ἀνταυγέοντι. ὅτι δὲ μὴ λαμπρόν ἐστι μηδὲ ἀνταυγῇ, τουτέῳ οὐχ ὁρῇ. τὸ δὲ ἄλλο τὸ περὶ τοὺς ὀφθαλμοὺς λευκὸν κρέας ἐστίν. ἡ δὲ κόρη καλεομένη τοῦ ὀφθαλμοῦ, μέλαν φαίνεται διὰ τοῦτο, ὅτι ἐν βάθει ἐστὶ, καὶ χιτῶνες περὶ αὐτὸ εἰσὶ μέλανες. χιτῶνα δὲ καλέομεν, τὸ ἔνεον ὥσπερ δέρμα. ἔστι δὲ οὐ μέλαν ὄψει, ἀλλὰ λευκὸν διαφανές. τὸ δὲ ὑγρὸν κολλῶδες. πολλάκις γὰρ ὀπώπαμεν τοῦ συῤῥαγέντος ὀφθαλμοῦ ἐξιὸν ὑγρὸν, κολλῶδες. ἕως μὲν ἔτι θερμὸν, ὑγρόν ἐστιν. ἐπειδὰν δὲ ψυχθῇ, ἐγένετο ξηρὸν, ὥσπερ λιβανωτὸς διαφανής. καὶ τῶν ἀνθρώπων καὶ τῶν θηρίων ὅμοιόν ἐστι. τὸν δὲ ὀφθαλμὸν ἀνιᾷ πᾶν ὅτι ἂν ἐμπέσῃ, καὶ τὰ πνεύματα προσβάλλοντα, καὶ τὰ ἄλλα ὅσα λαμπρότερα ἢ κατ' αὐτόν ἐστι. καὶ ἤν τις ξυνκείσει διὰ τόδε, * ὅτι ὁμόχροιά ἐστιν. ὥσπερ τὸ στόμα καὶ ἡ γλῶσσα, καὶ ἡ ἄλλη κοιλίη, ξύνεγγύς ἐστιν. διαλέγεται δὲ διὰ τὸ πνεῦμα ἕλκων ἔσω πᾶν τὸ σῶμα. τὸ πλεῖστον δὲ ἐς τὰ κοῖλα αὐτὸς ἑωυτῷ. αὐτὸ δὲ θύραζε ὠθεόμενον διὰ τὸ κενὸν ψόφον ποιεῖ. ἡ κεφαλὴ γὰρ ἐπηχεῖ. ἡ δὲ γλῶσσα, ἀρθροῖ προσβάλλουσα ἐν τῇ φάρυγγι ἀποφράσσουσα καὶ προσβάλλουσα πρὸς τὴν ὑπερῴην καὶ πρὸς τοὺς ὀδόντας ποιεῖ σαφηνίζειν. ἢν δὲ μὴ ἡ γλῶσσα ἀρθροῖ προσβάλλουσα ἑκάστοτε, οὐκ ἂν σαφέως διαλέγοιτο, ἀλλ' ἢ ἕκαστα φύσει τὰ μονόφωνα. τεκμήριον δέ ἐστι τουτέῳ, οἱ κωφοὶ οἱ ἐκ γενεῆς, οὐκ ἐπίστανται διαλέγεσθαι. ἀλλὰ τὰ μονόφωνα μοῦνον φωνέουσιν. οὐδ' εἴ τις τὸ πνεῦμα ἐκπνεύσας πειρῷτο διαλέγεσθαι. δῆλον δὲ τόδε. οἱ ἄνθρωποι ὁκόταν βούλωνται μέγα φωνῆσαι, ἕλκοντες τὸ πνεῦμα τὸ ἔξω, ὠθέουσι θύραζε, καὶ φθέγγονται μέγα ὡς ἀντέχῃ τὸ πνεῦμα. ἔπειτα δὲ, καταμαραίνεται τὸ φθέγμα. καὶ οἱ κιθαρῳδοὶ, ὁκόταν δέῃ αὐτοῖς μακροφωνέειν, ἐπ' ἄκρον ἑλκύσαντες τὸ πνεῦμα ἔσω πουλὺ ἐκτείνουσι τὴν ἐκφορὰν, καὶ φωνοῦσι καὶ φθέγγονται μέγα ὡς ἀντέχωσιν τῷ πνεύματι. ἐπὴν δὲ τὸ πνεῦμα ἐπιλίπῃ, καταπαύονται. τουτέοισι δῆλον ὅτι τὸ πνεῦμά ἐστιν τὸ φθεγγόμενον. εἶδον δὲ ἤδη οἱ σφάξαντες ἑωυτοὺς, ἀπέταμον τὸν φάρυγγα παντάπασιν. οὗτοι, ζῶσι μὲν, φθέγγονται δὲ οὐδὲν, εἰ μή τις συλλάβῃ τὸν φάρυγγα. οὗτοι δὲ φθέγγονται. δῆλον δὲ καὶ τοῦτο, ὅτι τὸ πνεῦμα οὐ δύναται διὰ τετμημένου τοῦ λάρυγγος ἕλκειν ἔσω ἐς τὰ κοῖλα, ἀλλὰ κατὰ τὸ διατετμημένον ἐκπνεῖ. οὕτως ἔχει περὶ φωνῆς ἴσως καὶ διαλέξεως. ὁ δὲ αἰών ἐστι τοῦ ἀνθρώπου, ἑπταήμερος. πρῶτον μὲν ἐπὴν ἐς τὰς μήτρας ἔλθῃ ὁ γόνος ἐν ἑπτὰ ἡμέρῃσιν ἔχει ὁκόσα περ ἐστὶν ἔχειν τοῦ σώματος. τοῦτο δέ τις ἂν θαυμάσειεν, ὅκως ἐγὼ οἶδα. πολλὰ δὲ εἶδον τρόπῳ τοιῷδε. αἱ ἑταῖραι αἱ δημόσιαι αἵ τινες αὐτέων πεπείρηνται πολλάκις ὁκόταν παρὰ ἄνδρα ἔλθῃ, γινώσκουσιν ὁκόταν λάβωσιν ἐν γαστρί. κἄπειτ' ἐνδιαφθείρουσιν. ἐπειδὰν δὲ ἤδη διαφθαρῇ, ἐκπίπτει ὥσπερ σάρξ. ταύτην τὴν σάρκα ἐς ὕδωρ ἐμβαλὼν σκεπτόμενος ἐν τῷ ὕδατι εὑρήσεις ἔχειν πάντα μέλεα. καὶ τῶν ὀφθαλμῶν τὰς χώρας. καὶ τὰ οὔατα. καὶ τὰ γυῖα. καὶ τῶν χειρῶν οἱ δάκτυλοι. καὶ τὰ σκέλεα. καὶ οἱ πόδες καὶ οἱ δάκτυλοι τῶν ποδῶν. καὶ τὸ αἰδοῖον. καὶ τὸ ἄλλο πᾶν σῶμα δῆλον. εὔδηλον δὲ καὶ ὅταν λάβῃ ἐς γαστέρα τῇσιν ἐπισταμένῃσιν, αὐτίκα ἔφριξεν. καὶ θέρμη καὶ βρυγμὸς καὶ σπασμὸς ἔχει καὶ τὸ ἄρθρον καὶ τὸ σῶμα πᾶν, καὶ τὴν ὑστέρην ὄκνος. καὶ ὁκόσαι καθαραί εἰσι, τοῦτο πάσχουσιν. ὁκόσαι δὲ παχέαι καὶ βλεννώδεες, οὐ γινώσκουσι τουτέων τῶν γυναικῶν πολλαί. ἥδε μοι ἔδειξαν, διότι τοῦτο δὴ καὶ ἐπίσταμαι εἰδέναι. δῆλον δὲ τόδε ὅτι ἑπτήμερος ὁ αἰών. εἴ τις ἐθέλει ἑπτὰ ἡμέρας φαγέειν ἢ πίνειν μηδέν. οἱ μὲν πολλοὶ ἀποθνήσκουσιν ἐν αὐτῇσιν. εἰσὶ δέ τινες, καὶ οἳ ὑπερβάλλουσιν. ἀποθνήσκουσι δ' ὅμως. εἰσὶ δέ τινες οἳ καὶ ἐπείσθησαν ὥστε μὴ ἀποκαρτερῆσαι, ἀλλὰ φαγέειν τε καὶ πίνειν. ἀλλ' ἡ κοιλίη, οὐκέτι καταδέχεται. ἡ γὰρ νῆστις, συνεφύη ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν. ἀλλὰ θνήσκουσιν καὶ οὗτοι. ἔστι δὲ καὶ τόδε τεκμήρασθαι. τὸ παιδίον ἑπτάμηνον γόνον γενόμενον, λόγῳ γεγένηται καὶ ζῇ, καὶ λόγον ἔχει τοιοῦτον, καὶ ἀριθμὸν ἀτρεκέα ἐς τὰς ἑβδομάδας. ὀκτάμηνον δὲ γενόμενον, οὐδὲν βιοῖ πώποτε. ἐννέα δὲ μηνῶν καὶ δέκα ἡμερέων γόνος γίγνεται καὶ ζῇ, καὶ ἔχει τὸν ἀριθμὸν ἀτρεκέα ἐς τὰς ἑβδομάδας. τέσσαρες δεκάδες ἑβδομάδων ἡμέραι εἰσὶν διηκόσιαι

ὀγδοήκοντα. ἐς δὲ τὴν δεκάδα τῶν ἑβδομάδων, ἑβδομήκοντα ἡμέραι. ἔχει δὲ, ὅτι τὸ ἑπτάμηνον γενόμενον, τρεῖς δεκάδας ἑβδομάδων. ἐς δὲ τὴν δεκάδα ἑκάστην ἑβδομήκοντα ἡμέραι. τρεῖς δεκάδες δὲ ἑβδομάδων αἱ σύμπασαι δέκα καὶ διηκόσιαι. καὶ αἱ νοῦσοι οὕτω τοῖς ἀνθρώποις ὀξύταται γίνονται, ἡμερέων παρελθουσέων ἐν τῇσιν ἀνακρίνονται. καὶ ἀπέθανον ἢ ὑγιέες ἐγένοντο. καὶ τριταῖαι ἐν δέκα ἡμέρῃσιν ἐν μιᾷ ἑβδομάδι καὶ ἥμισυ ἑβδομάδος. καὶ τεταρταῖαι ἐν δυσὶν ἑβδομάσιν. καὶ αἱ πεμπταῖαι, ἐν δυοῖν δέουσαι εἴκοσιν ἡμέρῃσιν. δυοῖν τε ἑβδομάδοιν καὶ ἥμισυ ἑβδομάδος. αἱ δὲ ἄλλαι νοῦσοι οὐκ ἔχουσι διὰ γνώμην ἐν ὁκόσῳ ὑγιέες ἔσονται ἀποφαίνεσθαι. οὕτω δὲ καὶ τὰ ἕλκεα τὰ μεγάλα τὰ ἐν τῇ κεφαλῇ καὶ τὰ ἐν τῷ ἄλλῳ σώματι, τεταρταῖα φλεγμαίνειν ἄρχεται. ἐν ἑπτὰ δὲ καθίστανται φλεγμήναντα, καὶ ἐν τεσσαρεσκαίδεκα, δυοῖν δεούσῃσιν. ἢν δέ τις ἀνακῶς θεραπεύῃ καὶ μὴ καθαστῇ ἐν τούτῳ τῷ χρόνῳ τὰ ἐν τῇσι κεφαλῇσι μεγάλα ἕλκεα, ἀποθνήσκουσιν οἱ ἄνθρωποι. θαυμάσειε δ' ἄν τις καὶ τοῦτο ὅστις ἄπειρος ἢ εἰ ἑπτάμηνον γίνεται παιδίον. ἐγὼ μὲν οὖν αὐτὸ ὤπωπα καὶ συχνά. εἰ δέ τις βούλεται καὶ τοῦτο ἐλέγξαι, ῥηΐδιον περὶ τὰς ἀκεστρίδας αἳ πάρεισι τῇσι τίκτουσι ἐλθὼν πυθέσθω. ἔστι δὲ καὶ ἄλλο τεκμήριον. τοὺς ὀδόντας οἱ παῖδες ἑπτὰ ἐτέων διελθόντων πληροῦσι. καὶ ἐν ἑπτὰ ἔτεσιν. ἔστι δὲ λόγῳ καὶ ἀριθμῷ ἀτρεκέως δεκάδες ἑβδομάδων ἑξήκοντα καὶ τριηκόσιαι. τῆς δὲ φύσιος τὴν ἀνάγκην, διότι ἐν ἑπτὰ τουτέων ἕκαστα διοικέεται, ἐγὼ φράσω ἐν ἄλλοισιν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΕΠΤΑΜΗΝΟΥ.

Οἱ δὲ ἑπτάμηνοι γίνονται, ἐκ τῶν ἑκατὸν ἡμερέων, καὶ ὀγδοήκοντα, καὶ δύο, καὶ προσεόντος μορίου. ἢν γὰρ τοῦ πρώτου λογίσῃ μηνὸς πεντεκαίδεκα ἡμέρας. τῶν δὲ πέντε μηνῶν. ρμ'. καὶ ζ'. καὶ ἥμισυ ἡμέρας. ἢν γὰρ ἑξήκοντα μιῆς δεούσης ἡμέρης ἐγγύτατα δύο μῆνες ἐκτελεῦνται. οὕτως οὖν τούτων ἐόντων, ἐς τὸν ἕβδομον μῆνα περιγίνονται ἡμέραι πλέον ἢ εἴκοσιν, ἥμισυ τοῦ ἐνιαυτοῦ καὶ τῆς ἡμέρης τοῦ μέρεος τῷ μέρει ποσῷ γινομένῳ.

Ὁκόταν ἐς τὴν ἀρχὴν τῆς τελειώσεως ἔλθῃ ταύτην ἀδρυνομένου τοῦ ἐμβρύου, καὶ τὴν ἰσχὺν πολὺ ὑπερδιδόντος ἐν τῇ τελειώσει μᾶλλον, ἢ ἐν τοῖς ἄλλοις χρόνοις. οἱ ὑμένες ἐν οἷς τὴν ἀρχὴν ἐτράφη. ὥσπερ καὶ τῶν ἀσταχύων, ὁπότ' ἐξεχάλασαν πρόσθεν ἀναγκαζόμενοι, ἢ τελέως ἐξαδρυνθῆναι τὸν καρπὸν, τὰ μὲν ἰσχυρότατα καὶ ἀδρότατα τῶν ἐμβρύων βιησάμενα, καὶ διαῤῥήξαντα τοὺς ὑμένας, ἠνάγκασε τὸν τόκον γενέσθαι. καὶ τὰ μὲν πλεῖστα τουτέων ἀπόλλυνται. μικρὰ γὰρ ὄντα, τῇ μεταβολῇ μέζονι χρέονται τῶν ἄλλων. καὶ τὴν τεσσαρακονθήμερον κακοπαθείην ἀναγκάζονται κακοπαθεῖν, ἐξελθόντα ἐκ τῆς μήτρης. καὶ τῶν δεκαμήνων πολλὰ ἀποκτείνει. ἔστι δὲ ἃ τούτων τῶν ἑπταμήνων καὶ περιγίνονται ἐκ πολλῶν ὀλίγα. ὅτι ὁ λόγος καὶ ὁ χρόνος ἐς ὃν ἐτράφη ἐν τῇ μήτρῃ κατέστησεν. ὥστε μετέχειν πάντων, ὧν περ καὶ τὰ τελεώτατα μετέχει, καὶ μάλιστα περιγινόμενα. καὶ ἐξήλλαξε τῆς μητρὸς πρόσθεν κυούσης, ἅτε ἐν τῷ ὀγδόῳ μηνὶ νοσεύμενα. τούτοις γὰρ τοῖς πόνοις ἢν ἐπιγίνωνται, ὥστ' εἰς τοὐμφανὲς ἐλθεῖν τὸ παιδίον, ἀδύνατον περιγενέσθαι, διὰ τὰς πάθας τὰς προειρημένας ἃς ἐγώ φημι τὰς ὀκταμήνους ἀποκτείνειν. πολλοὺς δὲ καὶ τῶν δέκα μηνῶν.

Τὰ δὲ πολλὰ τῶν ἐμβρύων τῶν ἐν αὐτῇ τῇ ἡλικίῃ τῇ ἑπταμήνῳ, ὅταν οἱ ὑμένες χαλῶσι, μετεχώρησαν ἐς τὸ ὑπεῖξαν, καὶ ἐνταῦθα τὴν τροφὴν ποιέεται. τὰς μὲν τεσσαράκοντα ἡμέρας τὰς πρώτας πονοῦντα, τὰ μὲν, μᾶλλον, τὰ δὲ, ἧττον. διὰ δὲ τὴν μεταβολὴν τὴν ἐκ τῶν χωρίων τῶν θρεψάντων, μετέβαλλεν, καὶ ἀντὶ τοῦ ὀμφαλοῦ ἔσπασε καὶ μετεχώρησε. καὶ διὰ τῆς μητρὸς τοὺς πόνους. οἱ γὰρ ὑμένες τεινόμενοι καὶ ὁ ὀμφαλὸς ἐπαρθεὶς ὀδύνας ποιέει τῇ μητρί. καὶ τὸ ἔμβρυον ἐκ τοῦ παλαιοῦ συνδέσμου ἐκλυθὲν, βαρύτερον γίνεται. πολλαὶ δὲ τῶν γυναικῶν, καὶ ἐπιπυρεταίνουσι τούτων γινομένων. αἱ δὲ καὶ ἀπόλλυνται σὺν τοῖς ἐμβρύοις. χρῶνται δὲ πᾶσαι ἐν ὀλίγῳ περὶ τούτου.

Φασὶ δὲ τοὺς ὀγδόους τῶν μηνῶν, καὶ χαλεπώτατα φέρειν τὰς γαστέρας, ὀρθῶς λέγουσαι. ἔστι δὲ ὄγδοος μὴν, οὐ μόνον ὁ χρόνος οὗτος ἀλλὰ καὶ ἡμέρας πρόσεισι ἀπὸ τοῦ ἑβδόμου μηνὸς, καὶ τοῦ ἐνάτου, καὶ ἀπὸ τοῦ ἐνιαυτοῦ. ἀλλὰ τὰς ἡμέρας οὐχ ὁμοίως, οὔτε λέγουσιν, οὔτε γινώσκουσιν αἱ γυναῖκες. πλανῶνται γὰρ διὰ τὸ μήτε κατὰ ταὐτὸ γίνεσθαι. ἀλλ' ὅτε μὲν, ἀπὸ τοῦ ἑβδόμου μηνὸς, πλέονας

ἡμέρας

ἡμέρας περιγίνεσθαι, ἢν τὰς τεσσαράκοντα. ὅτε δὲ, ἀπὸ τοῦ ἐνάτου. τότε γὰρ ἀνάγκη γίνεσθαι, ὅκως ἂν τύχῃ ἡ γυνὴ ἐν γαστρὶ λαβοῦσα, τοῦ μηνός τε καὶ τοῦ χρόνου. ὁ δὲ μὴν ὁ ὄγδοος ἀναμφισβήτητός ἐστι. κατὰ τοῦτον γὰρ γίνεται, ὥστε δυσκείτως ἔχειν. κατ' ἐμὲ καὶ τὸ μέρος ἐν τοῖς ἐν δέκα μησὶ, μὴς ἐστιν. ὥστε τοῦτον οὐ μνημόνευτον εἶναι. χρὴ δὲ οὐκ ἀπιστεῖν ταῖς γυναιξὶ περὶ τῶν τόκων. λέγουσι γὰρ πάντα, καὶ αἰεὶ λέγουσι, καὶ αἰεὶ ἐρέουσιν. οὐ γὰρ ἂν πεισθεῖησαν οὔτ' ἔργῳ, οὔτε λόγῳ. ἀλλ' ὅ, τι γνῶναι ἐν τοῖσι σώμασιν αὐτέων γινόμενον. τὰς δὲ βουλομένας ἄλλο λέγειν ἔξεστιν. αἱ δὲ κρίνουσαι, καὶ τὰ νικητήρια διδοῦσαι περὶ αὐτέου τοῦ λόγου, αἰεὶ ἐρέουσι, καὶ φήσουσι τίκτειν καὶ ἑπτάμηνα, καὶ ὀκτάμηνα, καὶ ἐννεάμηνα καὶ δεκάμηνα, καὶ τουτέων τὰ ὀκτάμηνα οὐ περιγίνεσθαι. φήσουσι δὲ καὶ τοὺς τρωσμοὺς πλείστους ἐν τῇ πρώτῃ τεσσαρακοντάδι γίνεσθαι. καὶ τἄλλα τὰ καταγεγραμμένα ἐν τῇσι τεσσαρακοντάσι, καὶ ἐν τοῖσι μησὶν ἑκάστοισιν. ὅταν δὲ τῷ ἑβδόμῳ μηνὶ περιραγέωσιν οἱ ὑμένες, καὶ τὸ ἔμβρυον μεταχωρήσῃ, ὑπέλαβον οἱ πόνοι οἱ περὶ τὸν μῆνα τὸν ὄγδοον γενεαλογούμενοι, καὶ περὶ τὴν ἐκτὴν τεσσαρακοντάδα. τούτου δὲ τοῦ χρόνου παρελθόντος ὁπόσαις μέλλει εὖ εἶναι, αἱ φλεγμοναὶ ἐλύθησαν καὶ τοῦ ἐμβρύου, καὶ τῆς μητρὸς, ὥστε γαστὴρ μαλαχθῇ, καὶ ὁ ὄγκος ὑποκατάβῃ, ἀπὸ τῶν ὑποχονδρίων, καὶ τῶν κενεώνων, εἰς τὰ κάτω χωρία ἢν εὐπρεπῆ τὴν ἐπὶ τοὺς τόκους τροπὴν, καὶ τὴν ἑβδόμην τεσσαρακοντάδα ἐντεῦθεν ἐστὶ τὸ πλεῖστον τοῦ χρόνου τὰ ἔμβρυα. τὰ γὰρ χωρία αὐτοῖς μαλθακὰ καὶ αἱ μετακινήσιες αὐτοῖς εὐπετέστεραι γίνονται καὶ πυκνότεραι. καὶ διὰ ταῦτα κατέστη πρὸς τὸν τόκον εὐλυτώτερα, καὶ πάσης τῆς τεσσαρακοντάδος. ταύτας αἱ γυναῖκες φέρουσι τὰς τελευταίας ἡμέρας εὐπετέστερον τὰς γαστέρας, ἔστ' ἂν ἁρμόσῃ τὸ ἔμβρυον στρέφεσθαι. μετὰ δὲ ταῦτα, αἵτε ὠδῖνες εἰσὶ καὶ οἱ πόνοι ἐπίκεινται, ἔστ' ἂν ἐλευθερωθῇ τοῦ παιδίου καὶ τοῦ ὑστέρου. Ὅσαι δὲ τῶν γυναικῶν ἔτεκον πολλὰ παιδία, καί τι αὐτέων ἐγένετο χωλὸν, ἢ τυφλὸν, ἢ ἄλλό τι κακὸν ἔχον, φήσουσιν ἐπὶ τῶν τουτέων τοῦ παιδίου τὸν ὄγδοον μῆνα, χαλεπώτερον διαγαγεῖν, ἢ ἐφ' ὧν ἔτεκον, οὐδὲν κακὸν ἐχόντων. τὸ γὰρ ἔμβρυον τὸ πηρωθὲν, ἐν τῷ ὀγδόῳ μηνὶ ἰσχυρῶς ἐνόσησεν, ὥστε καὶ ἀπόστασιν ἐποίησεν ἡ νοῦσος. ὡς καὶ τοῖς ἀνδράσιν αἱ ἰσχυραὶ νόσοι ἐποίησαν. ὅσα δ' ἂν τῶν ἐμβρύων ἐν ἄλλῳ χρόνῳ ἰσχυρῶς νοσήσῃ, ἀπόλλυται πρόσθεν, ἢ αὐτέῳ ἀπόστασιν γενέσθαι. ὅσα δ' ἂν τῶν ὀκταμήνων ἐμβρύων μὴ σφόδρα νοσήσῃ, ἀλλὰ κατὰ ἔντι ἐκ τῆς μεθόδου κακοπαθήσῃ, τὰς μὲν τεσσαράκοντα ἡμέρας διετέλεσεν ἐν ἀσθενείῃ. τὰ δὲ πλεῖστα, ἐν τῇ μήτρῃ, διὰ τὰς ἀνάγκας τὰς προειρημένας, ἐγένοντο δὲ ὑγιαίνοντα. ὅτι δ' ἂν γένηται ἐν τεσσαράκονθ' ἡμέραις ταύταις, ἀδύνατον περιγενέσθαι. νοσέοντι γὰρ αὐτέῳ ἔτι ἐν τῇ μήτρῃ, ἐπιγίνονται αἱ μεταβολαὶ καὶ αἱ κακοπάθειαι, μετὰ τὸν τόκον. ὅτι δ' ἂν ἀνενόσησαν ἐν τῇ μήτρῃ, ἐς τὸν ἔνατον μῆνα ἔλθῃ, καὶ ἐν τουτέῳ τῷ μηνὶ γένηται, περιγίνηται. περιγίνεται μὲν οὐκ ἔλασσον ἢ ἑπτάμηνα. ὀλίγα δὲ καὶ τουτέων ἐκτρέφεται. οὔτε γὰρ τὴν παχύτητα ἴσχει ἣν περ τὰ τελεώτατα ἔχουσιν, οὔτε πόνοι οἱ ἐν τῇ μήτρῃ, οὐ πάλαι πεπονημένοι εἰσὶν αὐτέοις, ὥστε λεπτὸν γενέσθαι. σωθείη δ' ἂν μάλιστα, εἰ τοῦ ἐνάτου μηνὸς γένοιτο ἐν ἐσχάτῳ. ἰσχυρότερον δ' ἂν γένοιτο, καὶ πλεῖστον ἀπέχον τῶν νούσων, τῶν τοῖς ὀκταμήνοις γενομένων. καὶ γὰρ τὰ ἐν ἑπτὰ τεσσαρακοντάσι τικτόμενα, τὰ δεκάμηνα καλεόμενα, διὰ ταῦτα μάλιστα ἐκτρέφεται, ὅτι ἰσχυρότατά ἐστι καὶ πλεῖστον ἀπέχει τῶν γνωρίμων παιδίων τοῦ χρόνου ἐν ᾧ ἐκακοπάθησε τὰς τεσσαράκοντα ἡμέρας τὰς νοσουμένας, περὶ τὸν μῆνα τὸν ὄγδοον. σαφηνίζει δὲ περὶ τῶν νοσημάτων καὶ παθημάτων τῶν τοῖς ὀκταμήνοις γινομένων. καὶ τὰ ἐννεάμηνα λεπτὰ τικτόμενα κατὰ τὸ πλῆθος τοῦ χρόνου ἐγεγόνει κατὰ τὸ μέγεθος τοῦ σώματος, ἐκ νόσων κακοπαθείης ἀφειγμένης, οὐχ ὥσπερ τὰ ἑπτάμηνα τίκτεται σεσαρκωμένα, καὶ τὸ πάχος ἔχοντα εὐτραφέως, ἄνοσα διατετελεκότα, ὃν χρόνον ἐν τῇ μήτρῃ διεφέρετο. Ταῖς δὲ γυναιξὶν αἱ συλλήψιες τῶν ἐμβρύων, καὶ οἱ τρωσμοί τε καὶ οἱ τόκοι ἐν τουτέῳ τῷ χρόνῳ κρίνονται, ἐν ὥσπερ αἵτε νοῦσοι, καὶ αἱ ὑγίειαι, καὶ οἱ θάνατοι τοῖς σύμπασιν ἀνθρώποισιν. ταῦτα δὲ πάντα, τὰ μὲν, καθ' ἡμέρας. τὰ δὲ, κατὰ μῆνας ἐπισημαίνει. τὰ δὲ κατὰ τεσσαρακοντάδας ἡμερῶν. τὰ δὲ, κατ' ἐνιαυτόν. ἐν πᾶσι γὰρ τοῖς χρόνοισι τουτέοισιν ἔνεστι πρὸς ἕκαστον, πολλὰ μὲν ξυμφέροντα, πολλὰ δὲ πολέμια. ἐκ μὲν οὖν τῶν συμφερόντων αἵτε ὑγίειαι γίνονται, καὶ αἱ αὐξήσιες. ἐκ δὲ τῶν ἐναντίων, αἵτε νοῦσοι καὶ οἱ θάνατοι. αἱ μὲν οὖν

ἡμέραι ἐπισημότεταί εἰσιν ἐν τοῖς πλείστοις, αἵ τε πρῶται καὶ ἑβδομαῖαι. πολλαὶ μὲν, περὶ νούσων, πολλαὶ δὲ, καὶ τοῖς ἐμβρύοις. τρωσμοί τε γὰρ γίνονται καὶ οἱ πλεῖστοι ταύταις ταῖς ἡμέραις. ὀνομάζεται δὲ τὰ τηλικαῦτα, ἐκρύσεις ἀλλ' οὐ τρωσμοί. αἱ δ' ἄλλαι ἡμέραι ὅσαι ἐν τῇσι τεσσαράκοντα, ἐπίσημοι μὲν, ἧσσον. πολλαὶ δὲ, κρίνουσιν. ἐν δὲ τοῖς μησὶ ταῦτα τέ καὶ ἐν τῇ ἡμέρῃ γινόμενα ἔνεστι κατὰ λόγον. καὶ καταμήνια γυναιξὶ ταῖς ὑγιαινούσαις φαίνονται καθ' ἕκαστον τῶν μηνῶν, ὡς ἔχοντος τοῦ μηνὸς ἰδίην δύναμιν ἐν τοῖς σώμασιν. ἐξ ὧν δὴ καὶ οἱ ἑβδόμοι μῆνες ταῖς ἐν γαστρὶ ἐχούσαις, τὰ ἔμβρυα εἰς τὴν ἀρχὴν καθιστᾶσι τῆς τελειώσεως. τοῖσι δὲ παιδίοις ἑπταμήνοισιν ἐοῦσι, καὶ ἄλλα διαφέροντα γίνονται ἐν τοῖς σώμασι, καὶ οἱ ὀδόντες φαίνεσθαι ἄρχονται ἐν τουτέῳ τῷ χρόνῳ. ὁ δὲ αὐτὸς λόγος καὶ ὧδε χρησίμων. ἣν περ ἴσως καὶ τοῖσδέ τις συγχρέοιτο, ὁκοίας ἔλεξας, ἱστορίας τε ἕνεκα εἰρήσθω. σκοπεῖν γὰρ χρὴ τὸν μέλλοντα ἰητρὸν ὀρθῶς στοχάζεσθαι τῆς τῶν καμνόντων σωτηρίας. θεωροῦντα μὲν, περὶ τὰς πάσας. τῶν δὲ ἀρτίων, τὴν τεσσαρεσκαιδεκάτην, καὶ τὴν ὀγδόην εἰκοστὴν, καὶ τεσσαρακοστὴν καὶ δευτέρην. οὗτος γὰρ ὁ ὅρος τίθεται τῷ τῆς ἁρμονίης λόγῳ πρός τινων. καὶ ὁ ἀρτιφυής τε καὶ τέλειος ἀριθμός. δι' ἣν δὲ αἰτίην, μακρότερον ἂν εἴη ὧδε τοῦ παρόντος διεξελθεῖν. θεωρεῖν δὲ χρὴ οὕτως, τριάσι τε καὶ τετράσι. ταῖς μὲν τριάσι συνημμέναις ἁπάσαις. ταῖς δὲ τετράσι, δύο μὲν, παρὰ δύο συνημμέναις. δύο δὲ, παρὰ δύο συνεζευγμέναις. αἱ δὲ τεσσαρακοντάδες, πρῶτον μὲν κρίνουσιν ἐπὶ τῶν ἐμβρύων. ὅ, τι δ' ἂν ὑπερβάλλῃ τὰς τεσσαράκοντα ἡμέρας τὰς πρώτας, ἐκφεύγει τοὺς τρωσμοὺς ἐπὶ παντὸς γινομένους. πλεῖονες δὲ γίνονται ἐν τῇ πρώτῃ τεσσαρακοντάδι τρωσμοί, ἢ ἐν ταῖς ἄλλαις ἐούσαις. τοῦ δὲ τοῦ χρόνου παρελθόντος, ἰσχυρότερά ἐστι τὰ ἔμβρυα, καὶ διακρίνεται καθ' ἕκαστα τῶν μελέων τὸ σῶμα. καὶ τῶν μὲν ἀρσένων, σφόδρα διάδηλα γίνεται πάντα. τὰ δὲ θήλεα, ὑπὲρ τὸν χρόνον, σάρκες φαίνονται ἀποφύσιας μοῦνον ἔχουσαι. πλείονα γὰρ χρόνον τὰ ὅμοια ἐν τῷ ὁμοίῳ ὅμοιόν ἐστι, καὶ κρίνεται βραδύτερον, διὰ τὴν συνήθειάν τε καὶ φιλότητα. καίτοι τάγε ἄλλα ὅταν χωρισθῶσι τῆς μητρὸς αἱ θυγατέρες τῶν κούρων θᾶσσον ἡβῶσι, καὶ φρονέουσι, καὶ γηράσκουσι διὰ τὴν ἀσθένειάν τε τῶν σωμάτων, καὶ τὴν δίαιταν. ἄλλη δὲ τεσσαρακοντὰς, ἐν ᾗ περὶ τὸν ὄγδοον μῆνα τὰ ἔμβρυα ἐν τῇ μήτρῃ νοσεῖ, περὶ ὧν ὁ λόγος λέγεται ὧδε σύμπας. τρίτη δὲ, ἐν ᾗ τὰ παιδία ὅταν γένηται καὶ κακοπαθήσαντα, ἢν περιφύγῃ τὰς τεσσαράκοντα ἡμέρας, ἐφάνη ἰσχύοντα δῆτα μᾶλλον καὶ φρονέοντα. καὶ γὰρ τὰς αὐγὰς ὁρᾷ σαφέστερον καὶ τὸν ψόφον ἀκούει πρόσθεν μὴ δυνάμενα, ὡς ἐπίδοσιν ἔχοντος τοῦ χρόνου τούτου κατὰ τὰ ἄλλα, καὶ κατὰ τὴν φρόνησιν τὴν διὰ τοῦ σώματος. τὸ μὲν γὰρ ἴδιον φρόνημα δῆλόν ἐστιν ἐνὸν ἐν τῷ σώματι, ἔν γε τῇ πρώτῃ ἡμέρῃ. ἔν τε γὰρ τοῖς ὕπνοισιν ἐοῦσιν εὐθέως ἐπὴν γένωνται, γελῶντα φαίνεται τὰ παιδία καὶ κλαίοντα. ἐγρηγορότα τε αὐτόματα, εὐθέως γελᾷ τε καὶ κλαίει, πρόσθεν ἢ τεσσαράκοντα ἡμέραι γένοιατο. οὐδὲ γελᾷ, ψαυόμενά τε καὶ ἐρεθιζόμενα πρόσθεν, ἢ αὐτὸς ὁ χρόνος οὗτος γένηται. ἀμβλύνονται γὰρ αἱ δυνάμεις ἐν ταῖς μείζοσι. καί γε ὁ θάνατος διὰ τὴν μοιρίην ἔλαχεν. ὥστε παράδειγμα τοῖς πᾶσιν εἶναι, ὅτι πάντα φύσιν ἔχει ἐκ τῶν αὐτέων ἐόντα, μεταβολὰς ἔχειν διὰ χρόνων τῶν ἱκνουμένων. σαφηνίζεται δὲ ἐν ἑκάστοισι ἄλλο τι τῶν γινομένων ἢ ἀπογινομένων. ἐν δὲ τῷ ἐνιαυτῷ τελευμένῳ, πολλαὶ μὲν νοῦσοι γίνονται, πολλαὶ δὲ ὑγεῖαι, κατὰ λόγον τοῦ χρόνου, πρὸς τοὺς μῆνας τε καὶ τὰς ἡμέρας ἑκάστας τοῖς ἑβδόμοις. καὶ τἄλλα πολλὰ γίνεται διαφέροντα τοῖς σώμασι. τοῖσι δὲ παιδίοισιν οἱ ὀδόντες ἐκπίπτουσι, καὶ ἕτεροι φύονται. τὰ γὰρ ἐπὶ σώμασι, τάδε γράφω.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΟΚΤΑΜΗΝΟΥ.

Περὶ δὲ ὀκταμήνου γενέσιος φημὶ, δισσὰς ἐφεξῆς κακοπαθείας γενομένας, ἀδυ-
νάτους εἶναι ποιέειν φέρειν τὰ παιδία. καὶ διὰ τοῦτο οὐ περιγίνεσθαι τὰ ὀκτάμη-
Π να. συγκυρεῖ γὰρ αὐτοῖς ἐφεξῆς κακοπαθεῖν, τήν τε ἐν τῇ μήτρῃ γενομένην κα-
κοπαθείην, καὶ τὴν ὅταν ὁ τόκος γένηται, καὶ διὰ τοῦτο τῶν ὀκταμήνων οὐδὲν περι-
γίνεται. ἐπεὶ καὶ τὰ δεκάμηνα καλεόμενα λέγω ἐν ἑπτὰ τεσσαρακονθ' ἡμέραις,
μᾶλλον τίκτεσθαι. καὶ μάλιστα προσήκει ἐκτρέφεσθαι. καὶ τελεώτατόν ἐστιν ἐν ταῖς πρώταις τεσσαράκοντα ἡμέραις. ἐπὴν δὲ γένηται πλείω, ἀπόλλυται. ἀναγκάζεται γὰρ πολλὰ μεταλαμβάνοντα ἐν ὀλίγῳ χρόνῳ πολλὰ νοσεῖν, ἐξ ὧν οἱ θάνατοι γίνονται. ἄρχεται δὲ πονέειν τὸ

παιδίον

παιδίου πρὸς τοῦ τόκου γινόμενον, καὶ κινδυνεύειν ἀπόλλυσθαι, ὅταν ἐν τῇ μήτρῃ στρέφηται.

φύεται γὰρ πάντα, ἄνω τὴν κεφαλὴν ἔχοντα. τίκτεται δὲ πολλὰ, ἐπὶ κεφαλήν. καὶ ἀσφαλέστερον ἀπαλλάσσεται τῶν ἐπὶ πόδας τικτομένων. τὰ γὰρ συγκαμπτόμενα τοῦ σώματος ἐπὶ κεφαλὴν οὔπω κωλύει ἰόντος τοῦ παιδίου. ἀλλὰ μᾶλλον ὅταν ἐπὶ πόδας ὁρμήσῃ, τὰ ἐμφράγματα γίνονται. αἱ γὰρ στροφαὶ ἐν τῇ γαστρὶ, καὶ ἄλλος κίνδυνος. καὶ οἱ ὀμφαλοὶ πολλάκις ἤδη τῶν παιδίων ἐφάνησαν περὶ τοὺς τραχήλους. ἢν γὰρ κατὰ τὸ μόριον ὁπότερον ἂν τύχῃ ὁ ὀμφαλὸς τῇ μήτρῃ παρατεταμένος, μᾶλλον ταύτῃ τὸ παιδίον τῆς κεφαλῆς τὴν περιαγωγὴν τοῦ ὀμφαλοῦ στρεφόμενον, ποιήσεται, ἢ περὶ τὸν αὐχένα. ἢν δὲ κατὰ τὸν ὦμον τὴν περιβολὴν τοῦ ὀμφαλοῦ ἀντιτείνειν. τούτου δὲ γινομένου, καὶ τὴν μητέρα ἀνάγκη πονῆσαι μᾶλλον, καὶ τὸ παιδίον ἢ ἀπόλλυσθαι, ἢ χαλεπώτερον ἐξελθεῖν. ὥστε ἤδη καὶ πολλὰ ἔνδον τὴν ἀρχὴν τῆς νόσου τῶν παιδίων ἦλθεν ἔχοντα. ἐξ ἧς τὰ μὲν, ἀπώλετο. τὰ δὲ νοσήσαντα, περιεγένετο. ὁκόσα δ' ἂν συμπορήσῃ, καὶ ἀσφαλέως, καὶ ἐς τοὐμφανὲς ἐξίῃ ἀνενεγκόντα ἐξαίφνης ἐκ τῆς ἀνάγκης τῆς ἐν τῇ γαστρὶ, παχύτερα καὶ μέζω παραυτίκα ἢ κατὰ λόγον ἐγένετο. οὐκ αὔξημα τοῦτο, ἀλλ' οἰδήματος γινομένου, ἐξ ὧν δὴ πολλὰ ἀπώλετο. ἢν γὰρ μὴ συνίζῃ τὸ οἴδημα θᾶσσον ἢ τριταῖον ἢ ὀλίγῳ πολυχρονιώτερον νοῦσοι γίνονται ἀπ' αὐτέου. ὥστε τροφαὶ καὶ ἀναπνοαὶ σφαλεραὶ μεταλλασσόμεναι. ἢν τι γὰρ νοσηρὸν ἐπάγωνται, κατὰ τὸ στόμα, καὶ κατὰ τὰς ῥῖνας ἐπάγονται. καὶ ἀντὶ τοῦ τοσαῦτα εἶναι τὰ ἐσιόντα ὅσα ἐξαρκεῖ καὶ μὴ περιγίνεσθαι πολλῷ πλέω εἰσέρχεται. ὥστε ἀναγκάζεσθαι ὑπὸ τοῦ πλήθεος τῶν ἐσιόντων καὶ ὑπὸ τῆς διαθέσιος, ἧς διάκειται τὸ σῶμα τοῦ παιδίου, ἤδη τὰ μὲν κατὰ τὸ σῶμα τε καὶ τὰς ῥῖνας πάλιν ἐξιέναι. τὰ δὲ κατὰ τὸ ἔντερον καὶ τὴν κύστιν κάτω περιοῦσθαι, πρόσθεν οὐδενὸς τουτέων οὕτως γινομένων. καὶ ἀντὶ πνευμάτων τε καὶ χυμῶν, οὕτω συγγενέων. οἷς δ' ἀνάγκη ἐν τῇσι μήτρῃσι γίνεσθαι συνήθειαν τε ἔχοντα καὶ ξυμφέρειαν πᾶσι ξένοις, χρῆται ὠμοτέροισι καὶ ξηροτέροισι, καὶ ἧσσον ἐξηνθρωπισμένοισιν, ἐξ ὧν ἀνάγκη πόνους γίνεσθαι πολλούς. πολλοῖς δὲ καὶ θανάτους. ἐπεὶ καὶ τοῖς ἀνδράσι πολλάκις αἱ μεταλλαγαὶ τῶν χωρέων τε καὶ τῶν διαιτημάτων, τὰς νόσους ποιέουσιν. ὁ δ' αὐτὸς λόγος ἐστὶ, καὶ περὶ τῶν ἐσθημάτων. ἀντὶ γὰρ τοῦ σαρκὶ καὶ χυμοῖς ἠμφιέσθαι χλιαροῖς τε καὶ ὑγροῖς καὶ συγγενέσι, τοιαῦτα ἀμφιέννυται τὰ παιδία οἷάπερ οἱ ἄνδρες. ὁ δὲ ὀμφαλὸς διὰ οὗ αἱ εἴσοδοι εἰσὶ τοῖσι παιδίοισι μοῦνον τοῦ σώματος τῇ μητρὶ προσέχεται. διὰ τουτέων καὶ κοινωνεῖ τῶν ἐσιόντων, τὰ δ' ἄλλα ξυμμύει. καὶ οὐκ ἀνεστομωμένα ἐστὶ πρόσθεν, ἢ ἐν ἐξόδῳ ἢ τὸ παιδίον ἐκ τῆς γαστρός. ὁκόταν δὲ ἐν ἐξόδῳ ᾖ, τὰ μὲν ἄλλα, ἀναστομοῦται. ὁ δὲ ὀμφαλὸς λεπτύνεταί τε καὶ ξυμμύει, καὶ ἀποξηραίνεται. ὥσπερ δὲ τοῖς ἐκ τῆς γῆς φυομένοις οἱ καρποὶ ἁδρυνόμενοι ἀποκρίνονται καὶ ἀποπίπτουσι κατὰ τὴν διάφυσιν, οὕτω καὶ τοῖσι παιδίοισι ἁδρυνομένοις τε καὶ τελέοις γινομένοις, ὁ μὲν ὀμφαλὸς ξυνέμυσε, τὰ δὲ ἄλλα ἀνεστομώθη. ὥστε εἰς δέχεσθαί τε τὰ ἐσιόντα, καὶ ἐξόδους ἔχειν κατὰ φύσιν, ᾗσιν ἀνάγκη τοὺς ζῶντας χρέεσθαι. ἕκαστα γὰρ χωρίζεται ῥέποντα, κατὰ τὰς συλλογέας. κρατιστεύει δὲ τὰ τῷ ἡλίῳ ξυντροφώτατα. οἱ δὲ δεκάμηνοι τῶν τόκων καὶ ἑνδεκάμηνοι, ἐκ τῶν ἑπτὰ τεσσαρακοντάδων τὸν αὐτὸν τρόπον γίνονται. καὶ ἐκ τοῦ ἡμίσεος τοῦ ἐνιαυτοῦ οἱ ἑπτάμηνοι. ταῖς γὰρ πλείσταις τῶν γυναικῶν, ἀναγκαῖον ἐστὶν ἐν γαστρὶ λαμβάνειν, μετὰ τὰ καταμήνια, ἢν ἴῃ. ἡ λύσις τοίνυν τῇ γυναικὶ χρόνον δίδωσι τοῦ μηνὸς ἐν ᾧ αὐτῇ ἡ κάθαρσις ἔσται. καὶ ὁ χρόνος οὗτος ᾗσιν ἐλάχιστος γίνεται, τρεῖς ἡμέραι, ταῖς δὲ πλείσταις καὶ πολὺ πλείονες. ἔστι δὲ καὶ ἄλλα πολλὰ κωλύματα καὶ τοῖς ἀνδράσιν ἐξ ὧν βραδύνεται ἡ σύλληψις. χρὴ δὲ ἐν τοῖς μάλιστα καὶ τόδε λογίζεσθαι. ὅτι ἡ νουμηνίη, ἡμέρη μία ἐοῦσα, ἐγγύτατα τριηκοστημόριον ἐστὶ τοῦ μηνός. αἱ δὲ δύο ἡμέραι, σχεδὸν πεντεκαιδεκατημόριον τοῦ μηνός. αἱ δὲ τρεῖς ἡμέραι, δεκατημόριον τοῦ μηνός, καὶ τἄλλα κατὰ λόγον τουτέων. καὶ οὐχ οἷόν τε ἐν τοῖς ἐλάσσοσί τε μορίοις μᾶλλον γίνεσθαι, οὔτε τὴν λύσιν τῶν καταμηνίων, οὔτε τὴν σύλληψιν τῶν ἐμβρύων. ἐκ τούτων οὖν ἁπάντων, ἀναγκαῖον ἐστὶ ταῖς πλείσταις τῶν γυναικῶν, περὶ διχομηνίην ἐν γαστρὶ λαβούσαις, καὶ πορρωτέρω. ὥστε πολλάκις δοκεῖν ἐπιλαμβάνειν τοῦ ἑνδεκάτου μηνός, τὰς ὀγδοήκοντα καὶ διακοσίας. τοσαῦται γάρ ἐστιν, ἑπτὰ τεσσαρακοντάδες. ὅτι γὰρ ἢν ἔξω τῆς διχομηνίης ξυλλαμβάνῃ ἡ γυνὴ, τοσοῦτον ἀναγκαῖον ἐστὶ τοῦ ἑνδεκάτου μηνὸς ἐπιλαμβάνειν, ἵνα πρὸς τελευταίην περίοδον καταστῇ.

κόταν ἐπικυΐσκηται γυνὴ, ἢν μὲν ἐν τῷ μέσῳ τῆς μήτρης τὸ πρῶτον ἔχῃ παιδίον, καὶ τὸ ἐπίκυημα προσπίπτει ὑπὸ τοῦ ἀρχαίου ἐξωθεύμενον. ἢν δὲ ἐν τῷ κέρατι τῷ ἑτέρῳ τὸ ἐπίκυημα ἔχῃ, ἐπιτίκτει ὕστερον οὐ γόνιμον. ἐπὴν χαλάσῃ ἡ μήτρη καὶ ὑγρανθῇ, τοῦ γονίμου ἀπολυθείσης. ἢν δὲ μὴ αὐτίκα ἀποχωρέῃ τὸ ἐπίκυημα, ὀδύνας τε παρέχει, καὶ ῥεῦμα δυσῶδες, καὶ πυρετόν. καὶ οἰδεῖ τὸ πρόσωπον. καὶ τὰς κνήμας. καὶ τοὺς πόδας. καὶ ἢν διαλύηται, ἀσιτεῖ ἕως ἂν ἐκπέσῃ. ἐπικυΐσκονται δὲ τῶν γυναικῶν, ὧν ἂν ὁ στόμαχος μετὰ τὸ πρῶτον κύημα ξυμμεμύκῃ, κάρτα ἐπιφαινομένων τῶν σημείων. συμμεμύκει δὲ τάδε ἐπικυήματα τὰ ἐπιτικτόμενα ὕστερον, ἢν μήπω διάκρισιν ἔχῃ, ἀλλὰ σὰρξ ᾖ, οἰδέει μὲν οὔ, ἀλλὰ κατασήπεται μέχρι ἂν ἐξέλθῃ τῆς μήτρης. ἤν τινι ἂν ἐκδύῃ τὸ χωρίον τοῦ παιδίου ἐν τῇσι μήτρῃσι, πρὶν ἔξω ἄρχεσθαι χωρέειν τὸ παιδίον, δυστοκεῖ μᾶλλον καὶ ἐπικίνδυνος, ἢν μὴ ἡ κεφαλὴ ἡγέηται. ἤν τινι δὲ ᾖ ἔξω σὺν τῷ χωρίῳ τὸ παιδίον καὶ προχωρήσαν πρὸς τὸν στόμαχον ἐκδύῃ τοῦ χωρίου ῥαγέντος, δυστοκέει μᾶλλον. καὶ τὸ μὲν παιδίον θύραζε χωρέει. τὸ δὲ χωρίον ἴσχεται, καὶ ἀνασπᾷ ἑωυτό, καὶ μένει αὐτοῦ. ὁκόταν γόνιμον γένηται τὸ παιδίον, τοῦτο ἡ σὰρξ ὑπερέχει τῶν ὀνύχων. οἱ δὲ ὄνυχες ἐλλείπουσι τῶν χειρῶν ἐπὶ τῶν ποδῶν. ὁκόταν γονίμου γινομένου τοῦ παιδίου χεὶρ ὑπερέχῃ, πρῶτον ἀνωθέειν ὀπίσω, μέχρις ἂν ἀπώσῃς. καὶ ἢν ἀμφότεραι, ἀμφοτέρας ἀνῶσαι. καὶ ἢν τὸ σκέλος ὑπερέχῃ, ἀνωθέειν καὶ τοῦτο. ὁκόταν δὲ ἀμφότερα τὰ σκέλεα προφανέντα μένῃ, καὶ μὴ ἑτέρωσε προχωρέῃ, πυριήματι δέον χρῆσθαι, ἀπὸ τοῦ ὑγροτάτη ἔσται ἡ ὑστέρη. ὀδμὴν δὲ ἐχέτω τὸ πυρίημα. καὶ ὁκόταν ἡ μὲν κεφαλὴ προφανῇ, τὸ δ' ἄλλο σῶμα ἐνῇ, καὶ ὧδε πυριῆν. καὶ ὁκόταν τὸ μὲν ἐν τῇσι μήτρῃσι τοῦ σώματος, τὸ δὲ ἐν τοῖσιν αἰδοίοισιν, τὸ δὲ ἔξω τῶν αἰδοίων οἰδέει, καὶ μένει, καὶ οὕτως πυριῆν. καὶ ἢν μὲν ἀπὸ τῆς πυριήσιος ἀποχωρήσῃ. εἰ δὲ μὴ, περιαλείψας τὸ στόμα τῆς μήτρης ἐλατηρίῳ παχεῖ, διεὶς ὕδατι, ὅκως ὠδῖνα ἐμποιήσῃ. καὶ ἀπὸ τῶν ποτῶν καὶ ἐδεστῶν, ὠδῖνα ἐμποιέειν. καὶ τὰ αἰδοῖα αὐτά, ἀλείφειν κηρωτῇ, ἤν σοι δοκέῃ ξηρότερα εἶναι τοῦ καιροῦ. ὁκόταν παιδίου τῆς κεφαλῆς προφανείσης ἐκ τοῦ στομάχου μηκέτι ἐθέλῃ τὸ ἄλλο σῶμα προχωρέειν, τὸ δὲ παιδίον τεθνήκῃ, τοὺς δακτύλους βρέξας ὕδατι μεταξὺ τοῦ στομάχου καὶ τῆς κεφαλῆς παραδύσας τὸν δάκτυλον ἐν κύκλῳ περιάγειν. εἶθ' ὑποβάλλων τὸν δάκτυλον ὑπὸ τὸ γένειον, διαδύσας εἰς τὸ στόμα ἔξω ἕλκειν. ὁκόταν δὲ τὸ μὲν ἄλλο σῶμα θύραζε ᾖ τῶν αἰδοίων, ἡ δὲ κεφαλὴ εἴσω ἐπὶ πόδας φερομένου τοῦ ἐμβρύου, ἐπὴν περιαγῇς τὸν δάκτυλον ἐν κύκλῳ ἀμφοτέρας τὰς χεῖρας παρεὶς μεταξὺ τοῦ στομάχου καὶ τῆς κεφαλῆς, βρέξας ὕδατι ἐξελκύσαι. ἢν δὲ τοῦ στομάχου ἔξω ᾖ, τῶν δὲ αἰδοίων εἴσω, παρεὶς τὰς χεῖρας περιλαβὼν τὴν κεφαλὴν ἐξέλκειν.

Ἢν δὲ τὸ ἔμβρυον ἐνδὸν μένῃ τετελευτηκός, καὶ μὴ δύνηται μήτε αὐτόματον, μήτε διὰ φαρμάκων ἐκπεσεῖν κατὰ φύσιν, χρίσας τὴν χεῖρα κηρωτῇ, ἥτις ὀλισθηρὴ μάλιστα, ἔπειτα ἐνείρξας ἐς τὴν μήτρην, διελεῖν τοὺς ὤμους ἀπὸ τοῦ τραχήλου ἐπερείσαντα τῷ μεγάλῳ δακτύλῳ. ἔχειν δὲ χρὴ πρὸς τὰ τοιαῦτα, καὶ ὄνυχα ἐπὶ τῷ δακτύλῳ τῷ μεγάλῳ. καὶ διελόντα ἐξενεγκεῖν τὰς χεῖρας. ἔπειτα πάλιν ἐγείραντα τὴν κοιλίην ἀναχίσαι. καὶ ἀναχίσαντα, ἡσυχῇ ἐξελεῖν τὰ ἐντοσθίδια. ἔπειτα ἐξελόντα συντρῖψαι τὰ πλευρεία, ὅκως ξυμπεσὸν τὸ σωμάτιον, εὐσταλέστερον γένηται, καὶ ῥᾷον ἐξίῃ, μὴ ὀγκῶδες ἐόν. τὸ δὲ χωρίον ἢν μὴ ῥηϊδίως ἐκπίπτῃ, μάλιστα μὲν ἐὰν πρὸς τὸ ἔμβρυον προσκρεμᾶσθαι. καὶ τὴν λεχὼ προστίθεσθαι ὥσπερ ἐπὶ λασάνου. ἔσω δὲ κατασκευασμένον ὑψηλόντι, ἵνα τὸ ἔμβρυον ἐκκρεμάμενον, συνεπισπᾶται τῷ βάρει ἔξω. ἡσυχῇ δὲ τοῦτο ποιέειν, μὴ πρὸς βίην, ὅκως μὴ ἀποσπασθὲν παρὰ φύσιν, φλεγμονὴν ἐμποιήσῃ. ὑποκεῖσθαι οὖν δεῖ τῷ ἐμβρύῳ, εἰρία, ὡς ὀγκωδέστατα νεόξαντα, ἵνα κατὰ μικρὸν ἐνδιδῷ. ἢ ἀσκία δύο ἐζευγμένα ὕδατος μεστά. ἐπάνω δὲ τῶν ἀσκίων εἰρία. ἐπάνω δὲ τούτων, τὸ ἔμβρυον. ἔπειτα τρυπῆσαι ἑκάτερον τῶν ἀσκίων γραφίῳ, ὅκως ῥυῇ κατὰ μικρὸν τὸ ὕδωρ. ἐκρέοντος δὲ τοῦ ὕδατος, ἐνδιδῶσιν οἱ ἀσκοί. ἐνδιδόντων δὲ, ἐπισπᾶται τὸ ἔμβρυον τὸν ὀμφαλόν. ὁ δὲ ὀμφαλὸς ἐφέλκει τὸ χωρίον. ἢν δὲ μὴ δύνηται καθῆσθαι ἐπὶ τοῦ λασάνου, ἐπ' ἀνακλιντοῦ δίφρου τετρυπημένου καθήσθω. ἢν δὲ ἀσθενέῃ τὸ σύνολον καθῆσθαι, τὴν κλίνην ὡς ὀρθοτάτην ἀπὸ τῶν πρὸς τῆς κεφαλῆς μερῶν ἄραντες, ἵνα κάτω ῥέπῃ, ὡς μάλιστα ξυνεπισπᾶται τὸ κάτω βάρος. ὑπὸ δὲ τὰς μασχάλας δῆσαι τὴν λεχὼ ἔξωθεν τῶν ἱματίων πρὸς τῇ κλίνῃ τῇ ταινίῃ, ἢ ἱμάντι πλατεῖ, καὶ μαλθακῷ. ὅπως μὴ ὀρθῆς ἐούσης τῆς κλίνης, κάτω τὸ σῶμα φέρηται. τῇ αὐτῇ δὲ ῥοπῇ κἢν ἀπορραγῇ ὁ ὀμ-

φαλὸς

φαλὸς, κἢν ἀποτάμῃ τις περὶ τοῦ καιροῦ, βάρεα σύμμετρα ἐκκρεμαννύντα, τὴν ἐξαγωγὴν τοῦ χωρίου ποιέεσθαι. βελτίστη γὰρ αὕτη θεραπείη τῶν τοιῶνδε γίνεται, καὶ ἥκιστα βλάπτει. Ἢν δέ τινι ἐναποθάνῃ τὸ παιδίον ἐν τῇ μήτρῃ καὶ μὴ ἐξέλθῃ, ὑγρῆς ἐούσης τῆς μήτρης καὶ μὴ ἐχούσης ἔτι τὸ ὑγρὸν, ἀλλὰ ξηρανθῇ ἡ μήτρη, πρῶτον μὲν οἰδίσκεται αὐτό. ἔπειτα, τήκεται καὶ σήπεται τὰς σάρκας. καὶ ῥέει θύρηφι. ὕστατα δὲ τὰ ὀστέα χωρέει. καὶ ῥόος ἐνίοτε λαμβάνει, ἢν μὴ πρότερον ἀποθάνῃ. ὁκόταν τὸ παιδίον ἐντεθνήκῃ, καὶ τοῖς ἄλλοις ἐντεκμαίρεσθαι σημείοις, καὶ κελεύειν, τότε μὲν ἐπὶ δεξιὰ κεῖσθαι, τότε δὲ ἐπ᾽ ἀριστερὰ μεταβάλλειν. μεταπίπτει γὰρ ἐν τῇ μήτρῃ τὸ παιδίον, ὁποτέρωθι ἂν καὶ ἡ γυνὴ, ὥσπερ λίθος ἢ ἄλλό τι, ἢν τεθνήκῃ. καὶ τὸ ἦτρον ψυχρὸν ἔχει. ἢν δὲ ζώῃ, τό, τε ἦτρον θερμὸν ἔχει. καὶ ἡ μὲν γαστὴρ, ὅλη μεταπίπτει, τεταμένη μετὰ τοῦ ἄλλου σώματος. ἐν αὐτῇ δὲ, οὐδὲν μεταπίπτει χωρὶς τοῦ ἄλλου σώματος. Ἢν τινι ἂν ὠδινούσῃ περὶ τοῦ παιδίου ῥόος πολλὸς αἱματώδης γίνηται ἀνώδυνος, κίνδυνος τὸ παιδίον τεθνηκὸς ἀπολυθῆναι, ἢ οὐ βιώσιμον γενέσθαι. Κυουσέων τῶν γυναικῶν, ὁ στόμαχος τῶν πλείστων ἐγγὺς τυγχάνει ἐὼν, περὶ τοῦ τόκου. Κυέουσα ἡ γυνὴ, ἢν μὴ λαγνεύηται, ῥήϊτερον ἀπολυθήσεται τοῦ τόκου. Ἡ τὰ δίδυμα κύουσα, οὐ τίκτει τῇ αὐτῇ ὥσπερ συνέλαβεν. ἔχει δὲ ἐνὶ χωρίῳ τὰ παιδία ἀμφότερα. Γυναικὶ δυστοκεούσῃ, ἢν τὸ παιδίον ἐν τῇσι γονῇσιν ἔχηται καὶ μὴ εὐπορέως ἐξέλθῃ, ἀλλὰ σὺν πόνῳ, καὶ μηχανῇσιν ἰητροῦ, ταῦτα τὰ παιδία ἀρτίζωα. τουτέων οὐ χρὴ τὸν ὀμφαλὸν ἀποτάμνειν πρὶν ἂν οὐρήσῃ, ἢ πτάρῃ, ἢ φωνήσῃ, ἀλλὰ ἐᾶν. προσχωρῆσαι δὲ τὴν γυναῖκα ὡς ἐγγυτάτω τοῦ παιδίου. καὶ ἢν διψῇ, πινέτω μελίκρητον. καὶ ἢν ὁ ὀμφαλὸς ἐμφυσῆται ὥσπερ στόμαχος καὶ κινηθήσηται, ἢ πταρῆται τὸ παιδίον, ἢ φωνὴν ῥήξῃ, καὶ τότε ἀποτάμνειν ἀναπνέοντος τοῦ παιδίου. ἢν δὲ μὴ φυσῆται ὁ ὀμφαλὸς, μὴ δὲ κινῆται, χρόνου ἐγγινομένου, βιώσεται. Κυέουσαν γυναῖκα ἢν μὴ ἄλλως γινώσκῃς, ἀλλ᾽ οἱ ὀφθαλμοὶ ἑλκυσμένοι καὶ κοιλότεροι γίνονται. καὶ τὰ λευκὰ τῶν ὀφθαλμῶν, οὐκ ἔχει τὴν φύσιν τὴν λευκότητος, ἀλλὰ πελιδνότερα. Ἤν τις ἐπίτοκος ἐοῦσα, κοίλη δὲ τοὺς ὀφθαλμοὺς, καὶ ὑποιδέει τὸ πρόσωπον, καὶ ὅλη αὐτὴ καὶ οἱ πόδες οἰδέουσιν, ὥσπερ ὑπὸ φλέγματος λευκοῦ ἐχομένη φαίνεται. καὶ τὰ ὦτα λευκά. καὶ τὴν ῥῖνα ἄκρην λευκήν. καὶ τὰ χείλεα πελιδνὰ αὐτέῃ, τεθνηκότα φέρει ἃ τίκτει. ἢ ζῶντα, πονηρὰ καὶ οὐ βιώσιμα. καὶ ἄναιμα ὡς νοσηλεύοντα. ἢ προτέτοκεν οὐ γόνιμα. ταύτῃσι τὸ αἷμα ἐξυδατοῦται. δεῖ οὖν τῇ τοιαύτῃ μετὰ τὸν τόκον, τὰ εὐώδεα προστιθέναι. καὶ ἐσθίειν καὶ πίνειν εὐώδεα. καὶ πρότερον τοῦ προσώπου ἡ ῥὶς, ἔνσιμος γίνεται ἄκρη καὶ χρῶμα λαμβάνει. Ἢν τισι κυϊσκούσῃσι γῆν ἐπιθυμῆται ἐσθίεσθαι ἢ ἄνθρακας, καὶ ἐσθίωνται, ἐπὶ τῆς κεφαλῆς τοῦ παιδίου φαίνεται, ὁκόταν τεχθῇ, σημεῖον ἀπὸ τῶν τοιούτων. Γυναικὶ χρὴ εἰδέναι τὸν μαζὸν ὁκότερός ἐστιν αὐτῇ μέζων, κεῖθι γὰρ τὸ ἔμβρυον. ὁμοίως δὲ καὶ τὸν ὀφθαλμόν. ἔσται γὰρ μέζων καὶ λαμπρότερος τὸ πᾶν ἔσω τοῦ βλεφάρου ὁκότερος ἢ ὁ μαζὸς μέζων.

Ἢν τινι καὶ ἀπὸ προσθέτων μὴ λίην ἰσχυρῶν ὀδύναι ἐς τὰ ἄρθρα ἀφικνέωνται. καὶ βρυγμὸς ἔχῃ. καὶ σκορδινᾶται, καὶ χασμᾶται, ἐλπὶς ταύτην κυῆσαι μᾶλλον, ἢ εἴ τις ἂν τουτέων μηδὲν πάσχῃ. Γυνὴ ἥτις παχεῖα παρὰ φύσιν ἐγένετο, καὶ πιειρὰ, καὶ φλέγματος ἐπλήσθη, οὐ κυΐσκεται τούτῳ τῷ χρόνῳ. ἥτις δὲ φύσει τοιαύτη ἐστὶ, κυΐσκεται τουτέων εἵνεκεν, ἢν μή τι ἄλλο κωλύῃ αὐτήν. Τῶν γυναικῶν τῇσι πλείστῃσιν ὅταν τὰ ἐπιμήνια μέλλῃ φαίνεσθαι, ὁ στόμαχος αὐτὸς ἑωυτὸν ἀνέσπακε μᾶλλον ἢ ἄλλοτε. Γυνὴ ἥτις ἀεικύμων ἐοῦσα πέπαυται κυϊσκομένη, φλεβοτομείσθω δὶς τοῦ ἐνιαυτοῦ ἀπὸ τῶν χειρῶν καὶ τῶν σκελέων. Ἤν τινι ὀδύναι ἐν τῷ ἰσχίῳ, ἢ ἐν τῇ κεφαλῇ, ἢ ἐν χερσὶν, ἢ ἄλλοθί που τοῦ σώματος, ὅταν ἡ κύῃ ἐκλείπουσιν. ὁκόταν δ᾽ ἀπολυθῇ ἀπὸ τῶν μητρέων ἐνίοισι ξυμφέρει τὰ εὐώδεα καὶ πίνειν καὶ προστίθεσθαι πρὸς τὸ στόμα τῆς μήτρης. Ὅταν ἵνα ἰητρεύῃς γυναῖκα κυήσιος εἵνεκεν, ὁκόταν δοκέῃ κεκαθάρθαι, καὶ τὸ στόμα καλῶς ἔχῃ τῆς μήτρης, λουσάσθω. καὶ σμηξάσθω τὴν κεφαλήν. μὴ ἀλειψάσθω δὲ μηδενί. ἔπειτα ὀθόνιον ἄνοδμον περιθεῖσα περὶ αὐτὰς τὰς τρίχας πεπλυμένον κεκρυφάλῳ πεπλυμένῳ, ἢ μηδενὸς ὄζοντι, καταδησάσθω, τὸ ὀθόνιον ἐπιθεῖσα πρῶτον. ἔπειτα ἀναπαυέσθω προσθεμένη χαλβάνην πρὸς τὸν στόμαχον. ἑψήσασα καὶ μαλθάξασα ἐν πυρὶ, καὶ μὴ ἐς τὸν ἥλιον. ἔπειτα πρωῒ ἀπολυσαμένη τὸν κεκρύφαλον μετὰ τοῦ ὀθονίου, ὀσφρανθῆναι παρεχέτω τινὶ τὴν αὐτῆς κορυφήν. καὶ ἢν μὲν ὄζεσῃ, καλῶς ἔχει τῆς καθάρσιος. ἢν δὲ μὴ, κακῶς. ἄσιτος δὲ ταῦτα ποιέτω. καὶ ἢν μὴ τέκουσα ᾖ, οὐδέποτε ὄζεσει, οὔτε καθαιρομένη, οὔτ᾽ ἄλλως. οὐδ᾽ ἢν

κυέουσα

κυεῦσι προσθετῇ, οὐδ' οὕτως καλῶς ὀζέσει. ἥτις δὲ κυήσεται θαμέως καὶ ἀεικύμων. δεῖ γοῦν ὑγιαίνειν, ἢν μὴ προσθῆς μηδὲ καθήρας ὀζέσει αὐτῆς ἡ κορυφή, ἄλλο δ' οὐδέν. ὅταν δὲ δοκέῃ καλῶς ἔχειν πάντα, καὶ δέῃ παρὰ τὸν ἄνδρα ἐλθεῖν, ἡ μὲν γυνή, ἄσιτος ἔστω. ὁ δὲ ἀνήρ, ἀθώρηκτος ψυχρῷ λελουμένος, καὶ σιτηθεὶς τὰ ξύμφορα. καὶ ἢν γνῷ ξυλλαβοῦσα τὴν γονήν, μὴ ἐλθῇ τοῦ χρόνου πρὸς τὸν ἄνδρα, ἀλλ' ἡσυχαζέτω. γνώσεται δέ, ἢν μὲν ὁ ἀνὴρ φῇ ἀφιέναι, ἡ δὲ γυνὴ ἀγνοῇ ὑπὸ ξηρότητος. ἢν δὲ ἀποδιδοῖ πάλιν ἡ μήτρη τὴν γονὴν ἐς τὰ αἰδοῖα, καὶ γένηται ὑγρή, πάλιν ξυμμιγέσθω, μέχρις ἂν συλλάβῃ.

Γυνὴ ἥτις κυΐσκεται μέν, διαφθείρει δὲ δίμηνα τὰ παιδία, ἀκριβῶς ἐς τὸν αὐτὸν χρόνον, καὶ μήτε πρότερον, μήθ' ὕστερον, καὶ τοῦτο πάθῃ δὶς ἢ τρίς. ἀλλὰ καὶ ἢν τρίμηνα ἢ τετράμηνα, ἤν τε πλείονα χρόνον γεγονότα, διαφθείρῃ, κατὰ τὸν αὐτὸν τοῦτον τρόπον, ταύτῃσιν αἱ μῆτραι οὐκέτι διδόασιν ἐπὶ μέζον τοῦ παιδίου αὐξανομένου, καὶ ὑπερβάλλοντος τοῦ ἐκ τοῦ διμήνου, ἢ τριμήνου, ἢ ὁπηλίκου. ἤν ποτε ἂν ἄλλο τε μὴ αὐξάνηται. αἱ δὲ μῆτραι οὐκέτι εἰσὶν ἱκαναί, ἀλλὰ κατὰ τοῦτο διαφθείρεται ἐς τὸν αὐτὸν χρόνον. ταύτῃ χρὴ σικύην ἐμποιῆσαι ἐς τὴν μήτρην. δεῖ οὖν ἀραιοποιῆσαι καὶ φυσῆσαι ὡς μάλιστα προσθέτοισι φαρμάκοισι τοῖσιδε. τῆς σικύης τὴν ἐντεριώνην κόψαντα διασῆσαι. ἔπειτα ἐν μέλιτι ἑφθῷ μῖξαι ὀλίγῳ πλείονι ὄντι τῷ μέλιτι, καὶ σιλφίου ὀλίγον. τὸ δὲ μέλι κάθεφθον ἔστω. τοῦτο περιπλάσαι περὶ μήλην, τὸ πάχος ποιέοντα, ὁκόσον παραδέχεται ὁ στόμαχος. προσθεῖναι δὲ καὶ πρὸς τὸ στόμα τῆς μήτρης καὶ ὦσαι ὅκως ἂν περήσῃ ἐς τὸ εἴσω τῆς μήτρης. ὅταν δὲ ἀποτακῇ τὸ φάρμακον, ἐξελεῖν τὴν μήλην. καὶ τὸ ἐλατήριον ὧδε ποιέων προσθεῖναι, καὶ τῆς κολοκυνθίδος τῆς ἀγρίης ὡσαύτως. καὶ ἐσθιέτω τοῦτον τὸν χρόνον, σκόροδα ὡς πλεῖστα. καὶ καυλὸν σιλφίου. καὶ ὅτι φῦσαν ἐμποιέει ἐν τῇ κοιλίῃ. προστιθέσθω δὲ τὸ προσθετόν, διὰ τρίτης τῆς ἡμέρης, ἕως ἂν δοκέῃ καλῶς ἔχειν, καὶ πλῆθος ὁκόσον προσίηται. τὰς δὲ μεταξὺ μαλθακτηρίοισι χρῆσθαι. ἐπειδὰν δὲ καταστῇ τοῖσι μαλθακτηρίοισι τὸ στόμα τῆς μήτρης μετὰ τὸ ἐπιφανῆναι τὰ ἐπιμήνια, ὁκόταν δὲ ξηρὴν μίγνυσθαι.

Ἤν τινι ἂν ἡ μήτρη ἔμπυος γένηται, ἢ μετὰ τόκον ἢ ἐκ διαφθορῆς, ἢ ἄλλως πως, καὶ μὴ ἐν τεύχει ἑτέρως, καὶ χιτῶνι τὸ πῦον ὥσπερ ἐπὶ φύματος ᾖ, ξυμφέρει ταύτην μήλην ὑπαλειπτείδα καθιέναι ἐς τὸ στόμα τῆς μήτρης. ἧσσον γὰρ δεήσεται καύσιος, εἰ χωρήσει πρὸς τὴν μήλην. ἔπειτα κάμπας τὰς ἀπὸ τῆς τιθυμαλίδος ξυλλέξας, ὥσπερ δὲ κέντρα ἔχουσιν, αὐτὰς ἀποτάμνειν ἡσυχῇ ὅκως ἂν ἡ φορβὴ μὴ ἐκρυῇ. ἔπειτα ξηραίνειν αὐτὰς ἐν ἡλίῳ καὶ τρίβειν. καὶ τοὺς σκώληκας δὲ τοὺς κοπρίωνας ὡσαύτως ξηραίνειν ἐν τῷ ἡλίῳ, ἔπειτα τρίβειν. καὶ τοῦ μὲν κάμπης, δύο ὀβολοὺς σταθμῷ αἰγιναίους. τῶν δὲ σκωλήκων διπλάσιον. καὶ ἀννήσου ὀλίγον παραμῖξαι. ἢ τῶν τοιουτρόπων τινός. κακῶδες γὰρ γίνεται. ταῦτα δὲ τρίψας λεῖα, διεὶς οἴνῳ λευκῷ εὐώδει. καὶ ἐπὴν πίῃ, βάρος ἐπιγίνεται. καὶ νάρκη ἐμπίπτει ἐν τῇ γαστρί. ἢν οὖν ἐπιγένηται, μελίκρητον ἐπιπινέτω ὀλίγον.

Κυήσιος δὲ καὶ παιδοποιίης ἥτις δέεται, καὶ ἄτεκνος ἐοῦσα, καὶ ἤδη κυήσασα, ἐοῦσα δὲ τεκοῦσα, ἢ ὅταν ὁ στόμαχος ξηρὸς ἢ ἀκρόπαθος, ἢ ξυμμεμύκῃ, καὶ μὴ ὀρθῶς ᾖ, ἀλλὰ πρὸς τὸ ἰσχίον ἀπεστραμμένος τὸ ἕτερον, ἢ ἐς τὸν ἀρχὸν κεκρύφῃ, ἢ ἀνεσπάκῃ ἑωυτόν, ἢ τὸ χεῖλος ἐπιβάλλῃ τοῦ στομάχου. ὁκόθεν οὖν ἐφ' ἑωυτόν, ἢ βραχὺς καὶ πεπωρωμένος ᾖ. σκληρὸς δὲ γίνεται καὶ ἀπὸ συμμύσιος καὶ ἀπὸ πωρώσιος, ταύτῃσι τὰ ἐπιμήνια οὐ φαίνεται, ἢ ἐλάσσονα τοῦ δέοντος. καὶ διὰ πλέονος χρόνου ἐπιφαίνεται. ἔστι δὲ ἐν ᾗσι τὰ ἐπιμήνια, καὶ κατὰ ὑγείην τοῦ σώματος, καὶ τῶν μητρέων τὴν ἔξοδον εὑρίσκεται. καὶ κατά γε τὸ ξύμφυτον καὶ δίκαιον καὶ ὑπὸ θερμότητος καὶ ὑγρότητος τῶν ἐπιμηνίων, καὶ τοῦ στομάχου μὴ κάρτα βεβλαμμένου. τὴν δὲ γονὴν διὰ τοῦτο οὐ δέχεται κατὰ τὴν βλάβην, ἥν τις ἢν κωλύῃ ἀπὸ τοῦ στομάχου μὴ καλῶς ἔχοντος τοῦ δέχεσθαι, ταύτην χρὴ πυριήσαντα τὸ σῶμα ὅλον, δοῦναι πιεῖν φάρμακον, καὶ κάθαρσιν ποιήσασθαι τοῦ σώματος πρῶτον, ἤν τε ἄνω καὶ κάτω δέηται, ἤν τε ἄνω μοῦνον. καὶ ἤν τε ἄνω διδοῖς τὸ φάρμακον, μὴ πυρίην τῆς καθάρσιος. πυριήσεις δέ, μεταπίσας κάτω. ἢν δὲ μὴ δοκέῃ δεῖσθαι ἀνωτερικοῦ προπυριήσας, κάτω πίσαι. ὅταν δὲ δοκέῃ καλῶς ἔχειν καθάρσιος τὸ σῶμα, μετὰ τοῦτο πυριῆν τὰς μήτρας. ἐγκαθίζοντα αὐτὰς πυκνὰ ἂν δοκέῃ ξυμφέρειν. ἐμβάλλειν δὲ ἐς τὸ πυρίημα, κυπαρίσσου ῥινήματα καὶ δάφνης φύλλα κόψας. καὶ λούειν πολλῷ καὶ θερμῷ. ὅταν δὲ νεόλουτος ᾖ καὶ νεοπυρίητος, ἀνευρύνειν τὸ στόμα τῆς μήτρης, τῇ μήλῃ τῇ κασσιτερίνῃ, καὶ ἀνορθοῦν ὅπῃ ἂν δέηται. ἢ μολιβδαίνῃ ἀρξάμενος ἐκ λεπτῆς, εἶτα παχυτέρης εἰ παραδέχηται, ἕως ἂν δοκέῃ καλῶς ἔχειν. βάπτειν δὲ τὰς μήλας, ἐν ἑνὶ

τῶν μαλ-

τῶν μαλθακτηρίων διαιμένω. ὅταν δὲ δοκέῃ ξυμφέρειν ὑγρὸν ποιήσας. τὰς δὲ μήλας ποιέειν ὄπισθεν κοίλας. εἶτα περὶ ξύλοισι μακροτέροισιν ἁρμόσαι, καὶ οὕτως χρῆσθαι. τὸν δὲ χρόνον τοῦτον πινέτω καθεψοῦσα ἐν οἴνῳ εὐώδει λευκῷ καὶ ὡς ἡδίστῳ γλυκεῖ, δᾳδία ὡς πιοτάτην καὶ ταχίσασα λεπτά. καὶ σελίνου καρπὸν κόψασα, καὶ κυμίνου αἰθιοπικοῦ καρπὸν, καὶ λιβανωτὸν ὡς κάλλιστον. τουτέου πινέτω νῆστις ὁκόσον ἂν δοκέῃ μετρίων εἶναι πλῆθος. ἡμέρας ὁκόσας ἂν δοκέῃ ἅλις ἔχειν. καὶ ἐσθιέτω σκυλάκια ἑφθὰ, καὶ πολύποδα ἐν οἴνῳ ἑφθῷ γλυκεῖ. καὶ τοῦ ζωμοῦ πινέτω. καὶ κράμβην ἑφθήν. καὶ οἶνον λευκὸν ἐπιπινέτω, καὶ μὴ διψήτω. καὶ λουέσθω θερμῷ δὶς τῆς ἡμέρης. σιτίων δὲ ἀπεχέσθω τοῦτον τὸν χρόνον. μετὰ δὲ τοῦτον, ἢν μὲν χωρέῃ κατὰ τὸν στόμαχον καὶ φαίνηταί τι ἔξω καθάρσιος, πίνειν τε ἔτι τοῦ πόματος ἡμέρην μίαν, καὶ δύο. καὶ τῇσι μήλῃσι παύεσθαι χρεομένους. καὶ πειρῆσθαι καθαίρειν τὰς μήτρας προσθέτοισιν φαρμακοῖσι. ἢν τινὶ δὲ τοῦ στομάχου ὀρθοῦ καὶ μεγάλου καὶ ὑγιέος ἐόντος καὶ καλῶς ἔχοντος, καὶ ἐν τῷ δέοντι κειμένου τὰ ἐπιμήνια μὴ φαίνηται πάμπαν ἢ ἐλάσσονα, καὶ διὰ πλείονος χρόνου, καὶ μὴ ὑγιεινὰ, τὴν νοῦσον ἀνευρὼν, ἥν τινα ἔχουσιν αἱ μήτραι. ἤν τε καὶ τὸ σῶμα ξυμβάλληταί τι ἐξευρὼν τὸ αἴτιον, ἀφ' ὅτου οὐ κυΐσκεται. καὶ ταῦτα οὕτως ἔχῃ, τὴν ἴησιν ποιέεσθαι προσφέρων ἣν δέχηται θεραπείην, ἀρχόμενος ἐξ ἰσχυρῶν, ὅκως ἂν δοκέῃ καιρὸς εἶναι. τελευτᾶν δὲ ἐς μαλθακώτερα ἕως ἂν δοκέῃ καλῶς ἔχειν καθάρσιος ἡ μήτρη, καὶ ὁ στόμαχος καθεστηκέναι ὀρθῶς ἔχων, καὶ ἐν τῷ ἐξαρκέοντι κείμενος. ἢν δὲ ἀπὸ τοῦ ποτοῦ καὶ τοῦ φαρμάκου μὴ προχωρέῃσι, μὴ δὲ πινούσης χρόνον τὸν μέτριον, τουτέου δὲ οὐ παύεσθαι τοῦ πόματος. ὅταν δὲ καλῶς ἔχῃ τὸ ἀπὸ τῶν μηλέων ἔργου μαλθάξαι τὸ στόμα τοῦ στομάχου. καὶ ποιῆσαι ὅκως ἀναχάνηται ἐς ὁδὸν τῷ προσθέτῳ. ἀπό τε θυμιημάτων καὶ φαρμάκων καὶ μαλθακτηρίων. ὅταν δὲ δοκέῃ καλῶς ἔχειν μαλθάξιος καὶ θυμιήσιος, προστιθεὶς φάρμακον, κάθαρσιν ποιέεσθαι τῆς μήτρης ὡς ἂν δοκέῃ καλῶς ἔχειν. ἀρχόμενος ἐκ μαλθακῶν ἐπὶ ἰσχυρότερα. τελευτῶν δὲ αὖθις, ἐς μαλθακὰ καὶ εὐώδεα. τῶν γὰρ ἰσχυρῶν φαρμάκων τὰ πλεῖστα, ἑλκοῖ τὸν στόμαχον καὶ διακνᾷ. ἔπειτα τόν τε στόμαχον καθιστᾶν, ἐς ὀρθὸν καὶ ὑγιέα. καὶ καλῶς ἔχοντα πρὸς τὴν δέξιν τῆς γονῆς. καὶ τὴν μήτρην ξηρὴν ποιέειν, καὶ φῦσαν ἐμποιέειν.

Ἢν γυνὴ δοκέῃ ὑπὸ πιμελῆς τὰς μήτρας βεβλάφθαι ἐς τὴν κύησιν, λεπτύνειν ὡς μάλιστα καὶ ἰσχναίνειν πρὸς τοῖσιν ἄλλοισιν. ὥρη δὲ ἐαρινὴ ἀρίστη κυήσιος. ὁ δὲ ἀνὴρ μὴ μεθυσκέσθω. μὴ δὲ οἶνον λευκὸν πινέτω. ἀλλ' ὅστις ἰσχυρότατος καὶ ἀκρητέστατος. καὶ σιτία ὡς ἰσχυρότατα. καὶ μὴ θερμολουτείτω. ἰσχυέτω δὲ καὶ ὑγιαινέτω. καὶ σιτίων ἀπεχέσθω τῶν μὴ ξυμφερόντων τῷ πρήγματι. ὅταν βούληται ἄρσεν φυτεύειν, τῶν ἐπιμηνίων ἀπολληγόντων, ἢ ἐκλελοιπότων μίγνυσθαι. καὶ ὠθέειν ὡς μάλιστα, ἕως ἂν ἐκμαίνηται. ὅταν δὲ θῆλυ βούληται γενέσθαι, ὅταν πλεῖστα ἐπιμήνια ἔῃ τῇ γυναικὶ καὶ ἔτι ῥεόντων. τὸν δὲ ὄρχιν τὸν δεξιὸν ἀποδῆσαι, ὡς ἂν μάλιστα καὶ ἀνέχεσθαι δύνηται. ἐπὴν δὲ ἄρσεν βούληται φυτεύειν, τὸν ἀριστερὸν ἀποδῆσαι.

Στόμαχος μήτρης ἀπὸ μὲν θυμιημάτων ξυμμεμυκὼς, ἀναχάσκει. ἀπὸ δὲ τῶν μαλθακτηρίων, μαλθάσσεται. θυμιῆν δὲ λωτοῦ φλοιόν. πρίσμα δάφνης, καὶ φύλλα τῆς αὐτῆς χλωρὰ κεκομμένα. λιβανωτόν. σμύρναν. ἀρτεμισίης καρπόν. ἢ φύλλα. καὶ ἄννησον κόψας, ἢ στέαρ. καὶ κηρόν. καὶ θεῖον. καὶ κυπαρίσσου πρίσμα. πευκεδανοῦ ῥίζαν. μυρσίνης φύλλα χλωρὰ κεκομμένα. κάστορος ὄρχιν. ὀνίδας ἄρσενος ὄνου. σκόροδα. στύρακα. ὑὸς στέαρ. κἂν ἀπεστραμμένον ἢ τὸ στόμα, τουτέοισι θυμιῆν. ἀναχάσκει μὲν οὖν οὕτως καὶ στρέφεται. μαλθάσσειν δὲ ἀπὸ τουτέων τὸ στόμα τῆς μήτρης. σανδαράκην. στέαρ αἰγός. ὀπὸν σικύης. ὀπὸν σιλφίου. κυκλαμίνου χυλόν. θαψίην. ὀπὸν τιθυμάλλου. καρδαμώμου καρπόν. ποίην ἣ καλεῖται πέπλος. κάστορος ὄρχιν. λίνου καρπόν. λίτρον. ἄρου ῥίζαν, σταφίδα ἀγρίην. καλαμίνθης φύλλα χλωρά. στρουθίου καρπόν. σκίλλης τὸ ἐκ τοῦ μέσου.

Φάρμακα μαλθακτήρια. καὶ πρὸς τὸ ἰσχυρὴν κάθαρσιν γενέσθαι ἀνακινῆσαι. θαψίης ῥίζαν. μυελὸν βοός. χήνειον στέαρ. ῥόδινον. ταῦτα τρίψασα καὶ ἀναζέσασα προστιθέσθω ἡμέρας τέσσαρας. καὶ πινέτω πράσου χυλόν. καὶ οἶνον γλυκὺν λευκόν. καὶ ῥητίνην. καὶ ἔλαιον χλιαρόν. καὶ κύμινον. λίτρον. ῥητίνην. μέλι ἐν ῥυπαρῷ εἰρίῳ χρήσθω ἡμέρας τέσσαρας, πίνουσα σελίνου καρπόν. καὶ λιβανωτοῦ πυρῆνας πέντε. καὶ κύμινον αἰθιοπικὸν ἐν οἴνῳ λευκῷ ἀκρήτῳ γλυκεῖ. καὶ λουέσθω δὶς τῆς ἡμέρης. σμύρνα. λίβανος. βοὸς χολή. ῥητίνη τερεβινθίνη, ἢ νέτωπον. τουτέων ἴσον ἑκάστου μίξασα, προστιθέσθω ἐν εἰρίῳ καθαρῷ, ἢ ῥάκει λεπτῷ. βάψασα δὲ τὸ ῥάκος ἐν μύρῳ λευκῷ αἰγυπτίῳ εὐώδει, καὶ ἀποδήσασα λίνῳ λευκασμένῳ

προστιθέσθω. καὶ πώλυπον φλάσασα ἐσθιέτω, καὶ πινέτω σελίνου καρπὸν. καὶ ἀσπαράγου. καὶ οἶνον λευκὸν τρὶς τῆς ἡμέρης νῆστις ἐοῦσα. σμύρνα. κασίη. λιβανωτὸς. κιννάμωμον. νέτωπον. τουτέων ἑκάστου τὸ ἴσον ἐν ἐρίῳ ἢ βαλάνους ποιεῦσα προστιθέσθω. κολοκύνθης ἀγρίης, κύμινον πεφρυγμένον. ἀνήθου καρπὸν. κυπαρίσσου ῥίζαν. ταῦτα τρίψας λεῖα, μέλιτι ἑφθῷ φυρήσας βαλάνους ποιέων δίδου προστιθέναι. καὶ πινέτω γλυκυσίδης ῥίζαν. σελίνου καρπὸν. σιλφίου χυλὸν σὺν οἴνῳ. ἀλλὰ τὸ βόλβιον καὶ αὐτὸ καθαίρει προστιθέμενον. καὶ σμύρναν πρώτην. ἄνθος ὀλίγον ἐν οἴνῳ λευκῷ εὐώδει προστίθει. Φάρμακα προσθετὰ ἐς τὸ μήτρην καθῆραι ἐπιτηδειότατα. Λαβὼν ἄνθος χαλκοῦ καὶ λίτρου τρίβων μέρος, μέλιτι ἑφθῷ φυρήσας, βαλάνους ποιῆσαι, ὁκόσαι ἂν δοκέωσι μέτριαι εἶναι μέγεθος καὶ πάχος, οὕτως προστίθει πρὸς τὸ στόμα τῆς μήτρης. ἢν δὲ βούλῃ ἰσχυρότερον εἶναι, ἐλατήριον παραμίξαι. καὶ τὸ ἄνθος μοῦνον. καὶ οὕτως ποιέων, δίδου προστίθεσθαι. ἐκ κράδης παραμιγνῦναι φλοιὸν ξύων, καὶ τρίβων λεῖον, ὅταν τὸ στόμα δοκέῃ ξηρότερον εἶναι τῆς μήτρης τὸ ἥμισυ ὡσαύτως. Ἄλλο. Τρίψας ἐλατήριον καὶ ἄνθος χαλκοῦ λεῖα, δύο μοίρας ἄνθους, ἐλατηρίου δὲ μίαν, ταῦτα διέσθαι. κυκλαμίνου τρίψας, ταύτῃ ἀναμίξαι, ὅκως ἂν δοκέῃ καιρὸς εἶναι. καὶ ποιησαμένην προσθετὰ, προστίθεσθαι ἐν ἐρίῳ. Προσθετὰ λευκά. Κάθαρον ἀρτεμισίην τὴν ποίην. λίτρον. κυκλάμινον ἡμίξηρον. κύμινον. Ἕτερον. Ἀρτεμισίην ποίην χλωρὴν τρίψας. καὶ σμύρνης τρίτον μέρος. οἴνου ἀναμίξας εὐώδεος ἐρίῳ λευκῷ περιελίξας αὐτὸ, ἐν οἴνῳ τε βρέξας, δὸς προστίθεσθαι. Ὅταν δὲ χαλῶσιν αἱ μῆτραι, λίτρον, σικύης ἐντεριώνην κυκλάμινον ἡμίξηρον ἐν ἐρίῳ προστίθει. Προσθετὰ παντοῖα καθαίρειν δυνάμενα. Σταφίδα ἀγρίην τρίψας χλωρὴν περιπλάσας, ἀρτεμισίης ποίης τρίψας τὰ φύλλα, φλοιῷ τε πλάσας καὶ ξηρήνας ἐν σκιῇ, ἀπὸ τουτέου ποίει προσθετά. καὶ δίδου τῇ γυναικὶ προστίθεσθαι. Ἄλλο. Ἄνθος μιγνὺς χαλκοῦ, ἢ στυπτηρίην αἰγυπτίην διεὶς τῇ κυκλαμίνῳ, ὥσπερ τὰ πρότερα ἐν ἑφθῷ μέλιτι πλάσας, ἢ ἐν ἰσχάδι ποιήσας καὶ σμύρνην ὀλίγην. Ἄλλο. Τὴν κυκλάμινον τρίψας τὴν λευκὴν οἴνῳ εὐώδει παραμίξας, ἐν ῥάκει δήσας ὡς λεπτοτάτῳ λίνῳ καθαρῷ δίδου προστίθεσθαι. Ἄλλο. Κυκλάμινον ἡμίξηρον. λίτρον. κανθαρίδας. στέαρ, σανδαράκην. Περὶ παρθένου. Παρθένῳ ὁκόταν τὰ ὡραῖα μὴ γένηται, πολλὰ καὶ πυρεταίνει καὶ ὀδυνᾶται. διψῇ, καὶ πεινῇ. καὶ ἐξεμεῖ, καὶ μαίνεται, καὶ πάλιν σωφρονέει. κινέονται αἱ μῆτραι. καὶ ὁκόταν πρὸς τὰ σπλάγχνα τράπωνται, ἐξεμεῖν καὶ πυρέσσειν, καὶ παραφρονεῖν αὐτῇ ἔρχεται. ὅταν δὲ ἀπολίπωσι, πεινῇ καὶ διψῇ, καὶ ἠπίαλος πυρετὸς ἔχει. χρὴ ταύτῃ γε ἀρνακίδας προστιθέναι θερμὰς πρὸς γαστέρα. καὶ ὑποκαπνίζειν δὲ αὐτὰ τὰ αἰδοῖα ὅτι μάλιστα ἐπ' ἀμφορέως αὐχένι καθίσας. σμύρνης ὅσον κύαμον. λιβανωτόν τε δὶς ὅσον, ταῦτα μίξας καὶ ζέσας, βεβρεγμένας ὁμοῦ θυμίην, καὶ ὑπὸ τὸ πῦρ ἐπιβάλλων, νῆστις ὡς μάλιστα, καὶ λούειν πολλῷ θερμῷ. Προσθετόν. Αἰγυπτίην στυπτηρίην, μαλθακτὴν, ἐρίῳ περιειλήσασα προστιθέσθω. Ἄλλο. Ἀρτεμισίην τρίψας, ἐν οἴνῳ τε λευκῷ διαλύσας, δίδου προστιθέναι. Νεοτόκῳ γυναικί. Ῥόδινον, σμύρναν, κηρὸν μίξαντα ἐν ἐρίῳ διδοῦναι προστίθεσθαι. ὅταν δὲ οἱ περιπέσωσιν αἱ μῆτραι, τὰ ξηρὰ καὶ στρυφνὰ προσφέρειν καὶ πίνειν καὶ προσέχειν. Σῦκον μέλαν. σκόροδον. λίτρον. κύμινον. ταῦτα πάντα τρίψας λεῖα, ἐν ἐρίῳ δοῦναι προστίθεσθαι. Ἕτερον. σηπίης ὄστρακον κόψας λεῖον ἐς οἶνόν τε διαλύσας σὺν λαγωοῦ θριξὶ καὶ ἐρίῳ προστίθεσθαι. ἢν δὲ μετὰ τόκον τὰς ὑστέρας ἀλγέῃ, πτισάνην καὶ πράσα καὶ στέαρ αἴγειον ἑψήσασα, ῥοφείτω τούτου ὡς ὀλίγιστον. Προσθετόν. λίτρον. κύμινον. σῦκον τὸ ἴσον. Καθαρτήριον προσθετὸν καὶ μαλθακτήριον. Νέτωπον. ῥόδινον μύρον. χηνὸς ἄλειφαρ, ἐς ὀθόνια λεπτά. Ἢν τὰ ἐπιμήνια πολλὰ γένηται, γλυκυσίδης κόκκους τοὺς μέλανας δὶς ἑπτὰ πίνειν ἐν οἴνῳ δυσὶ κυάθοις. ἢν δὲ ἐξέρχονται αἱ μῆτραι πυκνὰ, βρέξας ὕδατι χλιαρῷ τὰς μήτρας ὑπτίην ἀνακλίνας, μίξας σίδιον. κνίδα. ῥοῦν τὴν ἐρυθρὴν ἐν οἴνῳ λευκῷ διατρίψας, τούτῳ χρίσας ἐντιθέναι. ἔπειτα πίσαι δάφνης φύλλα ἐν οἴνῳ αὐστηρῷ. ὅταν γυνὴ κύουσα προσρέηται, ὀνίδα ξηρὴν, καὶ μίλτον, καὶ ὄστρακον σηπίης, ταῦτα τρίψασα λεῖα, ἐν ῥάκει ἀποδήσασα προστιθέναι. ἢν δὲ μὴ καθαρθῇ τὸ ὕστερον, λεαίνειν ἐν οἴνῳ λευκῷ, ὅσον κυάθου, καὶ τρίψας ὀβολὸν ἀττικὸν διδόναι πίνειν καὶ καθαίρεται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΕΓΚΑΤΑΤΟΜΗΣ ΕΜΒΡΥΟΥ.

Ερὶ δὲ τῶν μὴ κατὰ τρόπον κυϊσκομένων, ἀλλ' ἐγκατατεμνομένων, οὕτως. πρῶτον μὲν ἐπὶ τὴν γυναῖκα σινδόνα ἐπιβαλὼν, κατάζωσον ἀνωτέρω τῶν μαζῶν. καὶ τὴν κεφαλὴν κατακαλύψαι χρὴ τῇ σινδόνι, ὅκως μὴ ὁρῶσα φοβῆται, ὅ,τι ἂν ποιήσῃς. ἣν οὖν ἐξίσχῃ τὴν χεῖρα τὸ ἔμβρυον, παραπλάγιον παραπεσὸν, καὶ τῆς χειρὸς ἐπιλαβόμενος, προάγειν ἔξω ἐπὶ χεῖρας ὡς μάλιστα. περιδεῖραι δὲ καὶ τὸν βραχίονα, καὶ ἀποψιλώσας αὐτοῦ τὸ ὀστέον, ἰχθύην περίδησον περὶ τοὺς δακτύλους τῆς χειρὸς τοὺς δύο, ὅκως μὴ ἀπολισθάνοι ἡ σάρξ. μετὰ δὲ ταῦτα, τὸν ὦμον περισάρκισον. καὶ ἄφελε κατὰ τὸ ἄρθρον. ἔπειτα τὴν κεφαλὴν κατὰ φύσιν παρώσας, ὑπάγειν ἔξω τὴν κεφαλὴν τοῦ ἐμβρύου. τῷ δὲ δακτύλῳ τὸ ἔμβρυον εἴσω ἀπῶσαι, ἢ μαχαιρίῳ διὰ τῶν πλευρέων, ἢ διὰ τῆς κληΐδος, ὅκως τὴν φῦσαν ἀφῇ, καὶ ξυμπέσῃ τὸ ἔμβρυον, καὶ ἡ ἔξοδος αὐτέῳ εὐπετεστέρη ᾖ. τὴν δὲ κεφαλὴν, ἢν μὲν δύνασαι κατὰ φύσιν ἔξω ὦσαι. ἢν δὲ μὴ, ξυμφλάσαι. καὶ οὕτως ὑπεξαγαγεῖν ἔξω τὸ ἔμβρυον. ἔπειτα ὕδατι θερμῷ πολλῷ καταχέας, καὶ ἀλείψας ἐλαίῳ, κατακεῖσθαι κελεύειν ἐπαλλάξασαν τὼ πόδε. καὶ μεταπῖσαι οἶνον γλυκὺν κεράσας, εὐζωρότερον, καὶ λευκόν. ἀλλὰ μὴν καὶ ῥητίνην, μέλιτι διατρίψας, μίξας ὑπὸ οἴνῳ, διδόναι πιεῖν. τὰ δ' ἄλλα θεραπεύειν ὥσπερ λέγω, κατὰ τὰ εἰρημένα. ὅταν δὲ τῇ τικτούσῃ γυναικὶ πλάγιον παραπέσῃ τὸ ἔμβρυον, γίνεται δὲ ὁκόταν στρέφηται τὸ τοιόνδε, καὶ ὁ ὀμφαλὸς περὶ τὸν τράχηλον περιελίσσηται, καὶ ἐπίσχῃ τὴν ἔξοδον τοῦ ἐμβρύου, καὶ εἰ τὸ ἰσχίον ἐπεμβάλλῃ τὴν κεφαλὴν, καὶ ἡ χεὶρ ὡς ἐπὶ τὸ πολὺ ἔξω γίνεται. ἢν μὲν οὖν ἤδη τεθνηκὸς ἔξω γένηται, τοῦτο προσημαίνει. ἧσι δὲ μὴ ἔξω ἡ χεὶρ τοῦ ἐμβρύου, ὡς ἐπὶ τὸ πολὺ ζῇ τὸ ἔμβρυον. κίνδυνος δὲ καὶ οὕτως. ἐνίαις δὲ καὶ τὰ λόχια πρὸ τοῦ ἐμβρύου ἀφίασιν. ἀναγκαῖον δὲ γινώσκειν εἶναι τὴν ὠδῖνα ξηρὰν καὶ ἐπίπονον. ὅσαι δὲ τὰ λόχια μὴ προκαθαίρονται, ῥᾷον ἀπαλλάσσουσιν ἐν τῷ τόκῳ. ἀνασείειν δὲ δεῖ ὧδε. σινδόνα ὑποστορέσαντα, ἀνακλῖναι τὴν γυναῖκα. καὶ ἑτέρην ἐπιβαλεῖν, ὅκως ἂν αὐτῆς τὸ αἰδοῖον κεκρυμμένον ᾖ. καὶ περικαλύψαι περὶ ἑκάτερον τὸ σκέλος τὴν σινδόνα, καὶ περὶ ἑκάτερον τὸ γυῖον. γυναῖκας δὲ δύο λαβέσθαι τοῦ σκέλεος ἑκατέρου, καὶ τῆς χειρὸς ἑκατέρης, ἑτέρας γυναῖκας δύο. ἔπειτα διασείειν λαβούσας ἐγκρατῶς, μὴ ἔλασσον ἢ δεκάκις. ἔπειτα δὲ ἐν κλίνῃ ἀνακλῖναι τὴν γυναῖκα ἐπὶ κεφαλήν. τὰ δὲ σκέλεα ἄνω ἔχειν. καὶ τὰς γυναῖκας πάσας λαβέσθαι τοῖν σκελέοιν, ἀφείσας τὰς χεῖρας. ἔπειτα σείειν πολλάκις ποιεῖν τὰς γυναῖκας ἐπὶ τοὺς ὤμους, καὶ ποιεῖν ἀναβολὰς ἐπὶ τῇ κλίνῃ, ὅκως ἐν τῇ εὐρυχωρίῃ ἐπανασειόμενον τὸ ἔμβρυον στραφῇ, καὶ δύνηται ἐπὶ φύσιν ἰέναι. καὶ ἢν ἔχῃς δίκταμνον κρητικὸν, μεταπῖσαι δός. εἰ δὲ μὴ, καστόρεον ἐνεψῆσαι ὑπὸ οἴνῳ χίῳ. ἢν δὲ αἱ ὕστεραι ἔξω χωρέωσι, κἄν τε ἐκ πόνου, κἄν τε ἐκ τόκου. ἢν μὲν οὖν παραλάβοις νέας, ἄξιον ἐπιχειρεῖν. εἰ δὲ μὴ, ἐᾶν. ἐπιχειρεῖν δὲ χρὴ ὧδε. ἐπιταμὼν τὸν ὑμένα τῆς ὑστέρης, κατὰ φύσιν, καὶ κατὰ πλάγιον, τρῖψαι ὀθονίῳ ὡς φλεγμαίνῃ. καὶ καταλείψας φώκης ἐλαίῳ, ἢ πίσσῃ καταπλάσας, ἢ κυτίνοισι, καὶ μαλθακοὺς σπόγγους ἐν οἴνῳ ῥῶας προσθεὶς ἀναδῆσαι ἐκ τῶν ὤμων καὶ ἀνακείσθω ὡς ἀνωτάτω τὰ σκέλεα ἔχουσα. ἐσθιέτω δὲ, σιτία μέτρια.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΟΔΟΝΤΟΦΥΙΑΣ.

Α φύσει εὔτροφα τῶν παιδίων, οὐκ ἀνάλογον τῆς σαρκώσεως καὶ τὸ γάλα θηλάζει. τὰ βορὰ καὶ πολὺ ἕλκοντα γάλα, οὐ πρὸς λόγον σαρκοῦται. τὰ πουλὺ διουρέοντα τῶν θηλαζόντων, ἥκιστα ἐνιαύσια. ὁκόσοισι πολλὴ φέρεται ἡ κοιλίη, καὶ εὐπεπτοῦσιν ὑγιεινότερα. ὁκόσοισιν ὀλίγη, βοροῖσιν ἐοῦσι, καὶ μὴ ἀνάλογον τρεφομένοισιν, ἐπίνοσα. ὁκόσοισι δὲ πουλὺ γαλακτῶδες ἀπεμεῖται, κοιλίη ξυνίσταται. ὁκόσοισιν ἐν ὀδοντοφυΐῃ ἡ κοιλίη πλέω ὑπάγει, ἧσσον σπᾶται, ἢ οὕτως ὀλιγάκις. ὁκόσοισιν ἐπὶ ὀδοντοφυΐῃ πυρετὸς ὀξὺς ἐπιγίγνεται, ὀλιγάκις σπῶνται. ὁκόσα ὀδοντοφυεῦντα εὔτροφα μένει, καταφορικὰ ἐόντα, κίνδυνος σπασμὸν ἐπιλαβεῖν. τὰ ἐν χειμῶνι ὀδοντοφυεῦντα, τῶν ἄλλων ὁμοίων ἐόντων, βέλτιον ἀπαλλάσσει. οὐ πάντα τὰ ἐπὶ ὀδοῦσι σπασθέντα, τελευτᾷ. πολλὰ δὲ καὶ διασώζεται. τὰ μετὰ βηχὸς ὀδοντοφυεῦντα χρονίζει. ἐν δὲ τῇ διακεντήσει, ἰσχναίνεται μᾶλλον. ὁκόσα ἐν τῷ ὀδοντοφυέειν χειμῶνας ἔχει, ταῦτα καὶ προσεχόντως ἡγεμόνα, ῥᾷον

φέρει ὀδοντοφυΐαν. τὰ διουρέοντα πλέον ἢ διαχωρέοντα πρὸς λόγον εὐτροφώτερα. ὁκόσοισιν οὐρεῖται μὴ πρὸς λόγον, κοιλίη δὲ πυκνῶς ὠμὸν ἐκ παιδίων διηθεῖ, ἐπίνοσα. τὰ εὔυπνα καὶ εὔτροφα πουλὺ ἀναλαμβάνειν καὶ προσδέχεται, οὐχ ἱκανῶς διωκημένον. τὰ παρεσθίοντα ἐν τῷ θηλάζειν, ῥᾷον φέρει ἀπογαλακτισμόν. τὰ πολλάκις προδιδοῦντα δίαιμον καὶ ἄπεπτον ἐπὶ κοιλίην, πλεῖστα τῶν ἐν πυρετῷ ὑπνώδεα. τὰ ἐν παρισθμίοις ἕλκεα ἄνευ πυρετοῦ γιγνόμενα, ἀσφαλέστερα. ὁκόσοισιν ἐν τῷ θηλάζειν τῶν νηπίων βὴξ προσίσταται, σταφυλὴν ἔσωθεν μείζονα ἔχειν. ὁκόσοισι ταχέως ἐν παρισθμίοις νομαὶ ἐφίστανται τῶν πυρετῶν μενόντων καὶ βηχίων, κίνδυνος πάλιν γενέσθαι ἕλκεα τὰ παλινδρομήσαντα ἐν ἰσθμίοις. ἕλκεα τοῖσιν ὁμοίοισι, κινδυνώδη. τοῖσι παιδίοισιν ἀξιολόγοις ἕλκεσιν ἐν παρισθμίοισι, καταπινομένων, σωτηρίας ἐστίν. ὁκόσα δὲ μᾶλλον τῶν πρότερον μὴ δυναμένων καταπίνειν ἐν παρισθμίοισιν ἕλκεσι, πολὺ τὸ χολῶδες ἀνεμέεσθαι, ἢ ἐπὶ κοιλίαν ἔρχεσθαι, κινδυνῶδες. ἐν τοῖσιν ἐν παρισθμίοισιν ἕλκεσιν, ἀραχνιῶδες περιεὸν οὐκ ἀγαθόν. ἐν τοῖσι παρισθμίοισιν ἕλκεσιν μετὰ τοὺς πρώτους χρόνους, διαρρέειν φλέγμα διὰ τοῦ στόματος πρότερον οὐκ ἐόν, χρήσιμον. ὅμως ἀνακτέον. ἢν δὲ ἄρξηται ξυνδιδῶ πάντως, ἀσμενιστέον. τὸ δὲ μὴ οὕτως διαρρέον, εὐλαβητέον. ῥευματιζομένοις παρίσθμια, κοιλίη κατενεχθεῖσα πλείω λύει τὰς ξηρὰς βῆχας. παιδίοισιν ἀνενεχθέν τι πεπεμμένον, πλείω λύει. τὰ πολὺν χρόνον ἐν παρισθμίοις ἕλκεα ἀναυξῆ μένοντα, ἀκίνδυνα πρὸ τῶν πέντε ἢ ἓξ ἡμερέων. τὰ πουλὺ γάλα τῶν θηλαζόντων ἀναλαμβάνοντα, ὡς τὸ πολὺ ὑπνώδη. τὰ μὴ εὐτροφέα τῶν θηλαζόντων, ἄτροφα καὶ δυσανάληπτα. ἕλκεα ἐν θέρει γιγνόμενα ἐν παρισθμίοις, χείρονα τῶν ἐν τῇσιν ἄλλῃσιν ὥρῃσιν. τάχιον γὰρ νέμεται. τὰ περὶ σταφυλὴν νεμόμενα ἕλκεα ἐν παρισθμίοισιν, σωζομένοισι τὴν φωνὴν ἀλλοιοῖ. τὰ περὶ φάρυγγα νεμόμενα ἕλκεα, χαλεπώτερα καὶ ὀξύτερα, ὡς ἐπίπολυ δύσπνοιαν ἐπιφέρει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΑΝΑΤΟΜΗΣ.

Ρτηρίη δὲ ἑκατέρης φάρυγγος εὐθὺς τὴν ἔκφυσιν ποιευμένη ἐς ἄκρον πνεύμονος τελευτᾷ, κρίκοισι ξυγκειμένη ὁμοιορυσμοῖς, τῶν περιηγέων ἁπτομένη κατ' ἐπίπεδον

Α ἀλλήλων. αὐτὸς δὲ ὁ πνεύμων συνεξαναπληροῖ τὴν χέλυν, τετραμμένος ἐς τὰ ἀριστερά, πέντε ἀποκορυφώσιας ἔχων, ἃς δὴ καλέουσι λοβούς, τεφρείνης χροιῆς τυχὼν στίγμασιν ὀρφναίοισι κεκεντημένος, φύσει ἐὼν τεθριωιώδης. μέσῳ δ' αὐτέῳ ἡ καρδίη ἐγκαθίδρυται, στρογγυλωτέρη καθεστῶσα πάντων ζώων. ἀπὸ δὲ καρδίης ἐς ἧπαρ, βρογχίη πολλὴ καθήκει. καὶ μετὰ βρογχίης φλὲψ μεγάλη καλευμένη, δι' ἧς ὅλον τὸ σκῆνος τρέφεται. τὸ δὲ ἧπαρ ὁμοιορυσμίην μὲν ἔχει τοῖς ἄλλοις ἅπασιν. αἱμορρωδέστερον δέ ἐστι τῶν ἄλλων. ἀποκορυφώσιας ἔχον δύο, ἃς καλέουσι πύλας, ἐν δεξιοῖς τόποις κειμένας. ἀπὸ δὲ τούτου, σκαληνὴ φλὲψ ὑπὸ τὰ κάτω νεφρῶν ἀποτείνουσα. νεφροὶ δὲ ὁμοιορυσμοὶ τῇ χροιῇ δὲ, ἐναλίγκιοι μήλοισιν. ἀπὸ δὲ τουτέων ὀχετοὶ σκαληνοειδέες ἄκρην κορυφὴν κύστιος κεῖνται. κύστις δὲ νευρώδης ὅλη καὶ μεγάλη. ἑκάστα δὲ κύστιος, μετοχὴ ἔσω πέφυκε. καὶ τὰ μὲν ἐξ ἀνὰ μέσον ἐντὸς φύσις ἐκοσμήθη. οἰσοφάγος δὲ ἀπὸ γλώσσης τὴν ἀρχὴν ποιεύμενος, ἐς κοιλίην τελευτᾷ, ὃν δὴ καὶ ὑπὸ σηπτικῆς κοιλίης, στόμαχον καλέουσιν. πρὸς δὲ ἀκάνθης ὄπισθεν ἥπατος φρένες πεφύκασιν. ἐκ δὲ πλευρῆς νόθης, λέγω δὲ ἀριστερῆς, σπλὴν ἀρξάμενος ἐκτέταται, ὁμοιορυσμὸς ἴχνει ποδός. κοιλίη δὲ ἥπατι παρακειμένη κατ' εὐώνυμον μέρος οὐλομένη ἐστὶ νευρώδης. ἀπὸ δὲ κοιλίης, πέφυκεν ἔντερον, ὁμοιορυσμὸν μικρὸν πηχέων οὐκ ἔλασσον δώδεκα ἑλικηδὸν ἐν κόλποις ἐνειλυμένον, ὃ καλέουσιν ἔνιοι κῶλον, δι' οὗ ἡ παραφορὰ τῆς τροφῆς γίνεται. ἀπὸ δὲ κώλου, πέφυκεν ἀρχὸς λοίσθιος, σάρκα περιπληθέα ἔχων ἐς ἄκρον δακτυλίου τελευτῶν. τὰ δὲ ἄλλα, ἡ φύσις διετάξατο.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΚΑΡΔΙΗΣ.

Αρδίη. σχῆμα μὲν ὁκοίη πυραμίς. χροιὴν δὲ κατακορέως φοινικέα. καὶ περιβέβληται χιτῶνα λεῖον. καὶ ἔστιν ἐν αὐτέῳ ὑγρὸν σμικρὸν ὁποῖον οὖρον. ὥστε δόξεις ἐν

Κ κύστει τὴν καρδίην ἀναστρέφεσθαι. γεγένηται δὲ τούτου εἵνεκα ὅκως θάλλεται ῥωσκομένως ἐν φυλακῇ. ἔχει δὲ τὸ ὕγρασμα, ὁκόσον μάλιστα τε πυρευμένη ἄκος. τοῦτο δὲ τὸ ὑγρὸν διουρέει ἡ καρδίη, πίνουσα ἀναλαμβανομένη καὶ ἀναλίσκουσα, λάπτουσα

ἴσχουσα τοῦ πνεύμονος τὸ ποτόν. πίνει γὰρ ὤνθρωπος τὸ μὲν πολλὸν, ἐς νηδύν. ὁ γὰρ στόμαχος, κοῖον χόανος. καὶ ἐκδέχεται τὸ πλῆθος, καὶ ὅσα προαιρόμεθα. πίνει δὲ, καὶ ἐς φάρυγγα. τυτθὸν δὲ οἷον καὶ ὁκόσον ἂν λάθοι διὰ ῥύμης ἐς ῥυγήν. πῶμα γὰρ ἀτρεκὲς ἡ ἐπιγλωσσὶς κἂν διίει μεῖζον ποτοῦ οὐδὲν σημήϊον τούτου. ἢν γάρ τις κυανῷ ἢ μίλτῳ φορύξας ὕδωρ δοίη δεδιψηκότι πάνυ πιεῖν. μάλιστα δὲ συΐ. τὸ γὰρ κτῆνος, οὐκ ἔστιν ἐπιμελὲς οὐδὲ φιλόκαλον. ἔπειτα δὲ εἰ ἔτι πίνοντος ἀνατέμνοις τὸν λαιμόν, εὕροις ἂν τοῦτον κεχρωσμένον τῷ ποτῷ. ἀλλ' οὐ παντὸς ἀνδρὸς ἡ χειρουργία. οὐκ ὦν ἀπιστητέον ἡμῖν περὶ τοῦ ποτοῦ εἰ εὐτρεπίζει τὴν σύριγγα τῷ ἀνθρώπῳ. ἀλλὰ πῶς ὕδωρ ἀναιδὲς ἐνουρὸν ὄχλον καὶ βῆχα παρέχει πολλήν οὕνεκα φημὶ ἀπάντικρυ τῆς ἀναπνοῆς φέρεται. τὸ γὰρ διὰ τῆς ὁρμῆς ἐσρέον, ἅτε παρὰ τοῖχον ἰόν, οὐκ ἐνίσταται τῇ ἀναφορῇ τοῦ ἠέρος. ἀλλά τινα καὶ λείην ὁδὸν οἱ παρέχει ἡ ἐπίτευξις. τοῦτο δὲ τὸ ὑγρόν, ἀπάγει τοῦ πνεύμονος ἅμα τῷ ἠέρι. τὸν μὲν οὖν ἠέρα χρὴ γενόμενον θεραπείην, ἀνάγειν ὀπίσω τὴν αὐτὴν ὁδὸν ἐκβάλλειν ἔνθεν ἤγαγεν. τὸ δ' ὑγρὸν τὸ μὲν εἰς τὸν κουλεὸν αὐτέης, ἀναπίει. τὸ δ' αὖ ξὺν τῷ ἠέρι, θύραζε χωρέειν ἔτι. ταύτῃ καὶ διαείρει τὸν οὐρανὸν ὁκόταν παλινδρομέῃ τὸ πνεῦμα. παλινδρομέει δὲ κατὰ δίκην. οὐ γάρ ἐστιν ἀνθρώπου φύσιος τροφὴ ταῦτα. κῶς γὰρ ἀνθρώπου τροφὴ ἄνεμος καὶ ὕδωρ τὰ ὠμά; ἀλλὰ μᾶλλον τιμωρίη ξυγγενέος πάθης. περὶ δὲ οὗ ὁ λόγος. ἡ καρδίη μῦς ἐστιν κάρτα ἰσχυρός, οὐ τῷ νεύρῳ, ἀλλὰ πιλήματι σαρκός. καὶ δύο γαστέρας ἔχει διακεκριμένας ἐν ἑνὶ περιβόλῳ. τὴν μὲν, ἔνθα. τὴν δὲ, ἔνθα. οὐδὲν δὲ ἐοίκασιν ἀλλήλῃσιν. ἡ μὲν γὰρ ἐν τοῖσι δεξιοῖσιν ἐπὶ στόμα κέεται ὁμιλέουσα τῇ ἑτέρῃ φλεβί. ἡ δὲ δεξιὴ φημὶ τῶν ἐν λαιοῖς. ἡ γὰρ πᾶσα καρδίη, τουτέοισι τὴν ἕδρην ἐμπεποίηται. ἀτὰρ ἥδε καὶ πάμπαν εὐρυκοίλιος, καὶ λαγαρωτέρη πολλῷ τῆς ἑτέρης, οὐδὲ τῆς καρδίης νέμεται τὴν ἐσχατιήν, ἀλλ' ἐγκαταλείπει τὸν οὐραχὸν καὶ στερεόν ἐστιν, ὥσπερ ἔξωθεν προσερραμμένη. ἡ δὲ ἑτέρη κέεται ὑπένερθεν μὲν μάλιστα καὶ κατ' ἰθυωρίην. μάλιστα μὲν μαζῷ ἀριστερῷ. ὅπη καὶ διασημαίνει τὸ ἅλμα. περίβολον δὲ ἔχει παχὺν καὶ βόθρον, ἐμβεβόθρωται τὸ εἶδος εἴκελον ὅλμῳ. ἀλλὰ γὰρ ἤδη καὶ τοῦ πνεύμονος ἐνδύεται μετὰ προσηνίης τε, καὶ κολάζει τὴν ἀκρασίην τοῦ θερμοῦ περιβαλλομένη. ὁ γὰρ πνεύμων φύσει ψυχρός. ἀτὰρ καὶ ψυχόμενος τῇ εἰσπνοῇ. ἄμφω γε μὴν δασεῖαι τὰ ἔνδον, καὶ ὥσπερ ὑποδιαβεβρωμέναι μᾶλλον τῆς δεξιῆς ἡ λαιή. τὸ γὰρ ἔμφυτον πῦρ οὐκ ἐν τῇ δεξιῇ, ὥστε θαῦμα οὐχ ὅτι ψυχροτέρην γίνεσθαι τὴν λαιὴν ἐσπνέουσαν ἀκρήτου. ταύτῃ καὶ παχετὸν ἐνδέδμηται φυλακῆς εἵνεκα τῆς ἰσχύος τοῦ θερμοῦ. στόματα δ' αὐτέοισιν, οὐκ ἀνεῴγασιν, εἰ μή τις ἀποκείρῃ τῶν οὐάτων τὴν καρδίην. καὶ τῆς καρδίης τὴν κεφαλήν. ἢν δ' ἀποκείρῃ, φανήσεται καὶ δισσὰ στόματα ἐπὶ δυσὶ γαστέρεσιν. ἡ γὰρ παχέη φλὲψ ἐκ μιῆς ἀναθέουσα, πλανᾷ τὴν ὄψιν ἢν ἀνατμηθῇ. αὗται πηγαὶ φύσιος ἀνθρώπου. καὶ οἱ ποταμοὶ ἐνταῦθα ἀνὰ τὸ σῶμα τοῖσιν ἄρδεται τὸ σκῆνος. οὗτοι δὲ καὶ ζωὴν φέρουσιν τῷ ἀνθρώπῳ. κἢν αὐανθέωσιν, ἀπέθανεν ὥνθρωπος. ἀγχοῦ δὲ τῆς ἐκφύσιος τῶν φλεβῶν σώματα τοῖσι κοιλίῃσιν ἀμφιβεβήκασιν, μαλθακὰ σηραγγώδεα ἃ κικλήσκεται μὲν οὔατα. τρήματα δὲ οὐκ ἔστιν οὐάτων. ταῦτα γὰρ οὐκ ἐνακούουσιν ἰαχῆς. ἔστι δὲ ὄργανα τοῖσιν ἡ φύσις ἁρπάζει τὸν ἠέρα. καίτοι δοκέω τὸ ποίημα χειρώνακτος ἀγαθοῦ. κατασκεψάμενος γὰρ σχῆμα στερεὸν ἐσόμενον τὸ σπλάγχνον διὰ τὸ πιλητικὸν τοῦ ἐγχύματος, ἔπειτα, πᾶν ἐὸν ἑλκτικόν, παρέθηκεν αὐτέῳ φύσας, καθάπερ τοῖσι χοάνοισιν οἱ χαλκέες. ὥστε διὰ τουτέων χειροῦται τὴν πνοήν. τεκμήριον δὲ τοῦ λόγου. τὴν μὲν γὰρ καρδίην, ἴδοις ἂν ῥιπταζομένην οὐλομελῆ. τὰ δὲ οὔατα κατ' ἰδίην ἀναφυσώμενά τε καὶ ξυμπίπτοντα. διὰ τοῦτο δέ φημι καὶ φλέβια μὲν ἐργάζεται τὴν ἀναπνοὴν ἐς τὴν ἀριστερὴν κοιλίην. ἀρτηρίη δ' ἐς τὴν ἄλλην. τὸ γὰρ μαλακόν, ἑλκτικώτερον, καὶ ἐπιδόσιας ἔχον. ἔχρην δὲ ἡμῖν μᾶλλον τὰ ἐπικείμενα τῆς καρδίης διαψύχεσθαι βεβλήματα. ἔστι γὰρ τὸ θερμὸν ἐν τοῖσι δεξιοῖσιν. ὥστε διὰ τὴν πάθην οὐκ ἔλαβεν εὐπετὲς ὄργανον, ἵνα μὴ πάμπαν κρατηθῇ ὑπὸ τοῦ ἐσιόντος. λοιπὸς ἐστὶν ὁ λόγος ὁ τῆς καρδίης ὑμένων ἀφανέων ἔργον ἀξιαγαπητότατον. ὑμένες γὰρ καὶ ἄλλοι τινὲς ἐν τοῖσι κοίλοισιν ὁκοῖον ἀράχναι διαπετέες ζώσαντες πάντῃ τὰ στόματα κετηδόνας ἐμβάλλουσιν ἐς τὴν στερεὴν καρδίην. οὗτοι μοι δοκέουσιν οἱ τόνοι τοῦ σπλάγχνου καὶ τῶν ἀγγείων ἀρχαὶ τῇσιν ἀορτῇσιν. ἔστι δὲ αὐτέων ζεῦγος. οἷ θύρῃσι μεμηχάνηνται τρεῖς ὑμένες ἑκάστῃ περιφερέες ἐξ ἄκρου περ ὁκόσον ἡμίτομα κύκλου. οἵ τε ξυνιόντες θαυμάσιον ὡς κλείουσι τὰ στόματα τῶν ἀορτέων πέρας. καὶ τὴν καρδίην ἀποθανόντος ἤν τις ἐξεπι-

ἐστάμενος τὸν ἀρχαῖον κόσμον· ἀφελόντων δὲ τὸ μὲν ἀποστρέφει. τὸ δὲ ἐπανακλίνει. ὅτε ὕδωρ ἂν διέλθοι εἰς τὴν καρδίην, οὔτε φῦσα ἐμβαλλομένη. καὶ μᾶλλον τῶν τῆς ἀριστερῆς. τοιγὰρ ἐμηχανήσαντο ἀτρεκέστερον κατὰ δίκην. γνώμη γὰρ ἡ τοῦ ἀνθρώπου πέφυκεν ἐν τῇ λαιῇ κοιλίῃ. καὶ ἄρχει τῆς ἄλλης ψυχῆς. τρέφεται δὲ, οὔτε σιτίοισιν, οὔτε ποτοῖσιν ἀπὸ τῆς νηδύος. ἀλλὰ καθαρῇ καὶ φωτοειδεῖ περιουσίῃ γεγονυίῃ ἐκ τῆς διακρίσιος τοῦ αἵματος. εὐπορεῖ δὲ τὴν τροφὴν, ἐκ τῆς ἔγγιστα δεξαμενῆς τοῦ αἵματος διαβάλλουσα τὰς ἀκτῖνας. καὶ νεμομένη ὥσπερ ἐκ νηδύος τῶν ἐντέρων τὴν τροφὴν οὐ κατὰ φύσιν. ὅκως δὲ μὴ ἀνακωχῇ τὸ σιτίον τὰ ἐνεόντα ἐν τῇ ἀρτηρίῃ ἐν ζάλῃ ἐὸν, ἀποκλείει τὴν ἐπ' αὐτὴν κέλευθον. ἡ γὰρ μεγάλη ἀρτηρίη βόσκεται τὴν γαστέρα καὶ τὰ ἔντερα. καὶ γέμει τροφῆς οὐχ ἡγεμονικῆς. ὅτι δὲ οὐ τρέφεται βλεπομένῳ αἵματι ἡ μεγάλη ἀρτηρίη δῆλον ὧδε. ἀποσφαγέντος τοῦ ζώου, σχισθείσης τῆς ἀριστερῆς κοιλίης ἐρημίη φαίνεται πᾶσα. πλὴν ἰχῶρός τινος, καὶ χολῆς ξανθῆς, καὶ τῶν ὑμένων περὶ ὧν ἤδη μοι πέφανται. ἡ δὲ ἀρτηρίη οὐ λειφαιμοῦσα, οὐδὲ ἡ δεξιὴ κοιλίη. τουτέων μὲν οὖν τῶν ἀγγείων κατ' ἐμὸν νόον ἥδε πρόφασις τῶν ὑμένων. τὸ δ' αὖ φερόμενον ἐκ τῆς δεξιῆς, ζυγοῦται μὲν καὶ αὐτὸ τῇ ξυμβολῇ τῶν ὑμένων. πλὴν οὐ κάρτα ἔθρωσκεν ὑπὸ ἀσθενείης. ἀλλ' ἀνοίγεται μὲν, ὡς πνεύμονος αἷμα παρασχεῖν αὐτοῖς τὴν τροφὴν. κλείεται δὲ, ὡς τὴν καρδίαν οὐχ ἁρμοδ. ὅκως εἰσίῃ μὲν ὁ ἠὴρ, οὐ πάνυ δὲ πολύς. ἀσθενὲς γὰρ ἐνταῦθα τὸ θερμὸν, δυναστευόμενον χρήματι ψυχροῦ. τὸ αἷμα γὰρ οὐκ ἔστι τῇ φύσει θερμόν. οὐδὲ γὰρ ἄλλο τι ὕδωρ, ἀλλὰ θερμαίνεται. δοκεῖ δὲ τοῖσι πολλοῖσιν φύσει θερμόν. περὶ δὲ καρδίης, τοιαῦτα εἰρήσθω.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΑΔΕΝΩΝ.

Περὶ δὲ ἀδένων οὐλομελίης, ὧδε ἔχει. φύσις μὲν αὐτέοισιν ἡ σπογγώδης. ἀραιαὶ μὲν καὶ πίονες. καὶ ἔστιν οὔτε σαρκία ἴκελα τῷ ἄλλῳ σώματι, οὔτε ἄλλό τι ὅμοιον τῷ σώματι, ἀλλὰ ψαφαρὰ, καὶ φλέβας ἔχει συχνάς. εἰ δὲ διατάμοις αἱμοῤῥαγίη λάβρος. τὸ εἶδος λευκαὶ, καὶ οἷον φλέγμα, ἐπαφωμένῳ δὲ οἷον εἴρια. κἢν ὀργάσῃ τοῖς δακτύλοις ἐπιπουλὺ βιησάμενος, ἡ ἀδὴν ὑγρὸν ἀφίησιν ἐλαιῶδες. καὶ αὐτὸ θρύπτεται πολλὰ καὶ διαπόλλυται. πονέουσι δὲ, οὐ κάρτα, ἀλλὰ τῷ ἄλλῳ σώματι. ἐπὴν πονέουσι δὲ ἢ δι' ἰδίην νοῦσον. ταῦτα δὲ καὶ τῷ σώματι ξυμπονέουσιν. αἱ νοῦσοι φύματα γίνονται καὶ χοιράδες ἀναπηδῶσιν. καὶ πῦρ ἔχει τὸ σῶμα. πάσχουσι δὲ ταῦτα, ἐπὴν ὑγρασίης πληρωθῶσι τῆς ἀπὸ τοῦ ἄλλου σώματος ἐπιῤῥεούσης εἰς αὐτάς. ἐπιῤῥεῖ δὲ ἐκ τοῦ ἄλλου σώματος διὰ τῶν φλεβῶν. αἱ δ' αὐτῶν τέτανται πολλαὶ καὶ κοῖλαι ὥστε ἀκολουθεῖν τὸ ὑγρὸν ὅτι ἂν ἕλκωσιν εὐπετέως ἐς αὐτάς. κἢν πουλὺ ἔῃ καὶ νοσῶδες ἡ ῥοὴ, ξυντείνουσιν αἱ ἀδένες ἐπὶ σφᾶς τὸ ἄλλο σῶμα, οὕτω πυρετὸς διάπτεται. καὶ αἴρονται καὶ φλογῶσιν αἱ ἀδένες. ἀδένες δὲ ὑπέασιν ἐν τῷ σώματι, πλείους ἢ μέζους ἐν τοῖσι κοίλοισιν αὐτέου ἢ ἐν τοῖσιν ἄρθροισιν. καὶ ὁκόσαι ἐν τοῖσιν ἄλλοισιν ὑγρηδὸν καὶ κατὰ τὰ αἱματώδεα χωρία. αἱ μὲν ὡς τὸ ἐπιῤῥέον ἄνωθεν ἐς τὰ κοῖλα ὑποδεχόμεναι ἐπὶ σφέας ἕλκωσιν. αἱ δὲ ὥστε τὴν αὖθις γινομένην ὑπὸ τῶν πόνων ὀργασίην ἐκδεχόμεναι ἐν τοῖσιν ἄρθροισιν τὴν πληθὼ, ἤν τινα μεθίῃσι τὰ ἄρθρα, οὕτω πλάδος οὐκ ἔνι ἐν τῷ σώματι. εἰ γάρ τι καὶ γίνοιτο παραυτίκα οὐκ ἂν ἐπιγίνοιτο πλάδος ὀπίσω. καταναισιμοῦται γὰρ καὶ τὸ πουλὺ καὶ τὸ ὀλίγον ἐς τὰς ἀδένας. καὶ οὕτως τὴν πλεονεξίην τοῦ ἄλλου σώματος αἱ ἀδένες κέρδος ποιεύμεναι, τροφὴ ξύντροφος αὐτέῃσιν ἐστίν. ὥστε ὅκου τελματώδεα, ἐκεῖ καὶ ἀδένες. σημεῖον ὅκου ἀδὴν, ἐκεῖ καὶ τρίχες. ἡ γὰρ φύσις ποιεῖ, ἀδένας καὶ τρίχας, ἄμφω χρέος τωυτὸ λαμβάνουσιν. αἱ μὲν ἐς τὸ ἐπιῤῥέον, ὡς καὶ ἔμπροσθεν εἴρηται. αἱ δὲ τρίχες, τὴν ἀπὸ τῶν ἀδένων ἐπικαιρίην ἔχουσαι φύονταί τε καὶ αὔξονται, ἀναλεγόμεναι τότε περισσὸν καὶ ἐκβρασσόμενον ἐπὶ τὰς ἐσχατιάς. ὅκου δὲ αὖον ἐὸν τὸ σῶμα, οὔτε ἀδὴν, οὔτε θρίξ. τὰ δὲ ἁπαλὰ καὶ πονεύμενα καὶ κάθυγρα, ἀδὴν ὧδε καὶ τρίχες. ἀδένες δὲ καὶ κατὰ τοῖν οὔατοιν ἔνθα καὶ ἔνθα ἑκατέρωθεν κατὰ τὰς σφαγὰς τοῦ τραχήλου, τρίχες τε ἐνταῦθα. ἑκατέρωθεν ἐπὶ ταῖς μασχάλῃσιν ἀδένες καὶ τρίχες. βουβῶνες καὶ ἐπίσειον ἰκέλως μασχάλῃσιν ἀδένας καὶ τρίχας. ταῦτα μὲν κοῖλα τῶν ἐν τῷ σώματι καὶ ῥηΐδια ἐς περιουσίην ὑγροῦ. καὶ γὰρ πονεῖ ταῦτα καὶ κινέεται μάλιστα τῶν ἐν τῷ σώματι. τὰ δ' ἄλλα ὁκόσα ἀδένας ἔχει μείονας, οἷον ἔντερα. ἔχει γὰρ καὶ ταῦτα ἀδένας ἐς τὸ ἐπίπλοον μείζονας, τρίχας οὐκ ἔχει. καὶ

γὰρ ἐν

γὰρ ἐν τοῖσι τέλμασι τῆς γῆς καὶ καθύγροισιν, οὐ φύεται τὸ σπέρμα, οὔτ᾽ ἐθέλει ἀναβαίνειν τὸ ἄνω, ἀλλ᾽ ἀποσήπεται καὶ ἀποπνίγεται τῇ πλεονεξίῃ. βιῆται γὰρ τὸ σπέρμα. βιῆται δὲ καὶ ἐν τοῖσιν ἐντέροισιν ἡ πληθὺς, καὶ τὸ ὑγρὸν πουλὺ καὶ οὐκ ἂν φύσαι τρίχας. αἱ δὲ ἀδένες μέζονες ἤπερ ἄλλοθι τοῦ σώματος, καὶ νέμονται αἱ ἀδένες ἐν τοῖσιν ἐντέροισιν ἐκπιεζούμεναι τὸν πλαδον. τὰ δὲ ἔντερα, ἐκ τῶν τευχέων ἐς τὰ ἐπίπλοα ἐκδέχεται καὶ καθίησι τὴν ὑγρασίην. τὸ δὲ ἐπίπλοον διαδίδωσι τῇσι δὲ ἀδένησιν. ἔχουσιν δὲ καὶ οἱ νεφροὶ ἀδένας, καὶ γὰρ οὗτοι κρείσσονται πολλῆς ὑγρασίης. μείζους δὲ αἱ ἀδένες ταύτῃ, ἢ αἱ ἄλλαι ἀδένες ἔασιν. οὐ γὰρ ἐμπίνεται τοῖσι νεφροῖσιν τὸ ὑγρὸν τὸ ἐπιῤῥέον, ἀλλὰ διαῤῥέει ἐπὶ κύστιν κάτω. ὥστε ὁπόσον ἀποκερδαίνωσιν ἀπὸ τῶν ὀχετῶν, τοῦτο ἕλκουσι πρὸς σφέας. καὶ ἄλλαι δέ εἰσιν ἐν τῷ σώματι ἀδένες σμικραὶ καὶ πάνυ. ἀλλ᾽ οὐ βούλομαι ἀποπλανᾶν τὸν λόγον. ἐς γὰρ τὰς ἐπικαίρους, ἡ γραφή. νῦν δὲ ἀναβήσομαι τῷ λόγῳ καὶ ἐρέω περὶ ἀδένων οὐλομελίης τραχήλου. τράχηλος τὰ μέρεα αὐτοῦ ἑκάτερα ἔνθα καὶ ἔνθα ἀδένας ἔχει, καὶ παρίσθμια καλέονται αἱ ἀδένες αὗται κοινῇ τοιῇδε. ἡ κεφαλὴ ὑπέρκειται ἄνω κοίλη ἐοῦσα καὶ περιφερής. καὶ τὸ περὶ αὐτὴν ἀπὸ τοῦ ἄλλου σώματος ὑγρασίης, καὶ ἅμα ἀναπέμπει τὸ σῶμα ἀτμοὺς ἐς τὴν κεφαλὴν παντοίους ἄνω, οὓς αὖθις ἡ κεφαλὴ ὀπίσω ἀφίησιν. οὐ γὰρ δύναται ἐμμένειν τὸ ἐπιῤῥέον οὐκ ἔχον ἔνθα ἕδρην, ἢν μὴ τὴν κεφαλὴν πονέῃ, τότε οὐκ ἀνίησιν, ἀλλ᾽ αὐτοῦ κρατέει. ἐπὴν δὲ ἀνῇ τὴν ἕλξιν, ἐς τὰς ἀδένας ἡ ῥοὴ γίνεται, καὶ οὐδὲν λυπέει τὸ ῥεῦμα, ἐς ἂν ὀλίγον τε ᾖ καὶ ξύμμετρον, καὶ ἐγκρατέες ἔωσιν αἱ ἀδένες. ἢν γὰρ πουλὺ ἐπιῤῥυῇ δριμύ. ἢν μὲν ᾖ δριμὺ καὶ κολλῶδες φλεγμαίνει, καὶ ἀνοιδίσκεται, καὶ ξυντείνει ὁ τράχηλος καὶ οὕτω ποιέει ἐς οὖς. κἢν μὲν ἐς ἑκάτερα τὰ μέρεα, ἑκάτερον. ἢν δὲ ἐς θάτερον, πονέει θάτερον. ἢν δ᾽ ᾖ φλεγματῶδες καὶ πουλὺ καὶ ἀργὸν ἡ ῥοὴ, φλεγμαίνει δὲ καὶ ὧδε. καὶ ἡ φλεγμονὴ, στάσιμον ἐὸν ὑγρὸν, χοιράδες ἐγγίνονται. αὗται χείρους αἱ νοῦσοι τραχήλου. μασχάλῃσι δὲ, ξυῤῥέει μὲν καὶ ἐνταῦθα, ἀλλ᾽ ὅταν πλῆθος ᾖ, δριμεῖς ἰχῶρες, καὶ ὧδε γίνονται φύματα κατὰ ταῦτα. καὶ ἐν τοῖσι βουβῶσιν, ἕλκει τὴν ἀπὸ τῶν ὑπερκειμένων ὑγρασίην ἡ ἀδήν. ἄλλως εἰ πλῆθος λάβοι, βουβωνοῦται, καὶ διαπυΐσκεται καὶ φλεγμαίνει ἰκέλως μασχάλῃσί τε καὶ τραχήλῳ. τὰ δ᾽ αὐτὰ καὶ δοκέει παρέχειν ἀγαθὰ καὶ κακά. καὶ ταῦτα μὲν ἀμφὶ τῶνδε. τὰ δὲ ἔντερα, ἔχει κόρον πολὺν ἀπό τε σιτίων καὶ ποτῶν. ἔχει δὲ καὶ τὴν ὑπὸ τοῦ δέρματος ὑγρασίην. αὕτη πᾶσα ἀπαναισιμοῦται ἰκέλη τῇ πρόσθεν. νούσους δὲ οὐ ποιέει τὰ πολλὰ ὅκως περ καὶ ἐν τοῖσιν ἄρθροισιν γίνεται. συχναὶ γάρ τοι ἀδένες καὶ ἀναπετέες καὶ οὐ κοῖλαι, καὶ οὐ πολὺ πλῆθος ἐπαυεισκόμεναι ἡ ἑτέρη τῆς ἑτέρης. ἐπεὶ μᾶλλον πλεονεκτεῖν ἐθέλουσαι, οὐδὲ μὴν τότε πλῆθος ἔχειν δύναται, ἀλλ᾽ ἐς ὀλίγον ἑκάστης ξυῤῥέον ἐς τὸ ἄρθρον ἐς πολλὰ διαιρεόμενον ἰσότης ἐστὶν αὐτῇσιν. ἡ κεφαλὴ καὶ αὐτὴ τὰς ἀδένας, ἔχει τὸν ἐγκέφαλον ἴκελον ἀδένι. ἐγκέφαλος γὰρ καὶ λευκὸς καὶ ψαφαρὸς, ὅκως περ καὶ ἀδένες. καὶ ταῦτα ἀγαθὰ τῇσιν ἀδέσι ποιέει τὴν κεφαλὴν ἐοῦσαν, διὰ τὰ εἰρημένα μοι τιμωρέων ὁ ἐγκέφαλος ἀποστρέφει τὴν ὑγρασίην. καὶ ἐπὶ τὰς ἐσχατιὰς ἔξω ἀποστέλλει τὸ πλέον ἀπὸ τῶν ῥόων. μέζων δ᾽ ὁ ἐγκέφαλος τῶν ἄλλων ἀδένων καὶ αἱ τρίχες μέζους ἢ αἱ ἄλλαι τρίχες. μέζων τε γὰρ ὁ ἐγκέφαλος καὶ ἐν εὐρυχωρίῃ κέεται τῇ κεφαλῇ. ποιέει δὲ νούσους καὶ ἥσσονας καὶ μέζονας ἢ αἱ ἄλλαι ἀδένες. ποιέει δὲ ὁκόταν ἐς τὰ κάτω τοῦ σώματος τὴν σφετέρην πλεονεξίην ἀποστέλλῃ. ῥόοι δὲ, ἀπὸ κεφαλῆς ἕως ἀποκείσιος, δι᾽ ὤτων κατὰ φύσιν. δι᾽ ὀφθαλμῶν. διὰ ῥινῶν. τρεῖς οὗτοι, καὶ ἄλλοι δι᾽ ὑπερῴης ἐς φάρυγγα, ἐς στόμαχον. ἄλλοι διὰ φλεβῶν ἐπὶ νωτιαῖον, ἐς τὸ αἷμα. οἱ πάντες ἑπτά. οὗτοι τοῦ τε ἐγκεφάλου λύματά εἰσιν ἀπιόντες. καὶ εἰ μὴ ἀπίοιεν νοῦσος αὐτέῳ. οὕτω δὲ καὶ τῷ ἄλλῳ σώματι ἢν ἐς τὰ ἔνδον ἀπίωσι καὶ μὴ ἔξω. καὶ αὐτοῖς ὄχλος πολὺς χανδὸν ἕλκοι καὶ ἄδριμυ μένει πρόσοιτο ὁ ἐγκέφαλος ῥεῦμα ὃ τὰς ὑπερροὰς ἐσθίει καὶ ἕλκοι. καὶ τὰ μὲν ὑπὲρ ἢν ᾖ πλῆθος κατιὸν, ἄλλος οὐκ ἂν ἔχοι ὁ ῥόος, ἔστ᾽ ἂν εἰς ἀρειά τε τὴν πληθὺν τοῦ κατιόντος. καὶ τὸ μὲν ὑπέρρεον ἀποπέμπων ἔξω. ἕτερον δὲ εἰς δεχόμενος ἐς τὸ ὅμοιον αἰεὶ καθιστάμενος. τότε ὑγρὰ ἕλκει καὶ ποιέει νούσους. ἄμφω δὲ ἐν ἀκιδίῃ καταγυνῇ τὴν φύσιν. καὶ ἢν πάθῃ δύεσον κακία. τὰ μὲν γὰρ πάθη τῆς φύσεως οἱ προειρημένοι ῥόοι δυσφορέουσιν τὸ πλῆθος. καὶ διάξονται τὸ ἄλογον καὶ οὐ ξυνήθεα ὄν. ὁ δὲ ἐγκέφαλος, σῆμα ἴσχει. καὶ αὐτὸς οὐχ ὑγιαίνων. ἀλλ᾽ εἰ μὲν διανοίῃ, τάραχον πολὺν ἴσχει. καὶ ὁ νόος ἀφρονέει. καὶ ὁ ἐγκέφαλος σπᾶται καὶ ἕλκει τὸν ὅλον ἄνθρωπον, ἐν

ἑωυτῷ

ἑωυτῷ δ' οὐ φωνέει καὶ πνίγεται, ἀποπληξίην τῷ πάθει τοὔνομα. ἀλλ' ὅτε δὲ δριμὺ ᾖ, ὃ ποιέει αὐτῷ τὸ ῥεῦμα. πλῆθος δ' ἢν τὸ ἐμπεσὸν πονέει, τότε καὶ ἡ γνώμη ταράττεται. καὶ περίεισιν ἀλλοῖα φρονῶν, καὶ ἀλλοῖα ὁρέων. φέρων τὸ ἦθος τῆς νούσου σεσηρόσι μειδιήμασι καὶ ἀλλοκότοισιν φαντάσμασιν. ἄλλος ῥόος ἐπ' ὀφθαλμούς, ὀφθαλμία. καὶ οἰδέουσιν αἱ ὄψιες. εἰ δὲ ἐπὶ ῥῖνας ὁ κατάῤῥους, ὀδάξονται μυκτῆρας καὶ ἄλλο οὐδὲν δεινόν. αὗται γὰρ ὁδοὶ τουτέων εὐρέες καὶ ἱκαναὶ τιμωρέειν σφίσιν. πρὸς δὲ καὶ ἀσύστροφον τὸ ἀπιὸν αὐτέῃσι. τὰ δὲ οὔατα, σκολιὸς μὲν πόρος καὶ στενός. ὁ δ' ἐγκέφαλος, πλησίον αὐτέου αὐτοῖσιν ἐμπιέζεται. νοσέων δὲ τὴν νοῦσον ταύτην τὰ πολλὰ ἀποκρίνει. καὶ τὸ οὖς ἀπὸ τῆς πυκινῆς ῥοῆς ἀνὰ χρόνον ὠθεῖταί τε καὶ ῥέει δυσῶδες πύον. οὕτως ὧν τὰ ἔξω δῆλοι τῶν ὀφθαλμῶν ῥόοι, καὶ οὐ πάμπαν θανατώδεες. ἢν δὲ τὸ ὀπίσω ῥεῦμα ᾖ δι' ὑπερῴης τὸ ἀφικνόμενον φλέγμα ἐς τὴν κοιλίην. ῥέουσι μὲν καὶ αἱ κοιλίαι τούτων. νοσέουσι δέ, οὔ. ἀναμένοντος κάτω τοῦ φλέγματος, εἰλεοὶ τὰ πάθη χρόνια. ἄλλοις δ' ὑπερῴης ἐπὶ φάρυγγα, ἢν πουλὺ ῥυῇ. καὶ ἐπὶ πουλὺ αἱ νοῦσοι φθινώδεες. κορέσκονται γὰρ τοῦ φλέγματος οἱ πνεύμονες. καὶ γίνεται τὸ πύον τότε διεσθίει τοὺς πνεύμονας. καὶ οἱ νοσέοντες, οὐ ῥᾷον περιγίνονται. καὶ ἡ γνώμη τοῦ ἰητροῦ, καὶ ἢν ἀγαθός, καὶ ἢν ἀγχίνοος τὰ πολλὰ ξυνετέει τῆς προφάσιος. ἀλλ' ἡ νοῦσος διὰ φλεβῶν ἐπὶ νωτιαῖον ἀπὸ κατάῤῥου κεφαλῆς. ἀΐσσει δὲ ἐνταῦθα ἐπὶ ἱερὸν ὀστέον ἄγων τὴν ἐπιῤῥοὴν ὁ νωτιαῖος, καὶ ἐναπέθετο τῇσι κοτύλῃσι τῶν ἰσχίων. καὶ ἢν ποιέῃ φθῖσιν καὶ μαραίνεται ὁ ἄνθρωπος ὧδε καὶ ὧδε. καὶ ζώειν οὐκ ἐθέλει. ταχὺ γὰρ πονέει τὴν πάθην. καὶ ἅμα τὼ πόδε καὶ μηρὼ παρέπονται. καὶ αἰεὶ τελέως ὄλλυνται χρόνῳ πολλῷ μελεδαινόμενοι, καὶ οὔτε ἀπηύδηκε καὶ θνήσκει. ταῦτά μοι ῥόων ἀπὸ κεφαλῆς εἴρηται. καὶ πάθεα ἐγκεφάλου καὶ ἄλλαι νοῦσοι. παραφροσύναι. καὶ μανίαι. καὶ πάντα ἐπικίνδυνα, καὶ πονέει ὁ ἐγκέφαλος καὶ αἱ ἄλλαι ἀδένες. ἔχει γὰρ καὶ τόνον, ἡ ἄλλη ξύνοδος ἐνταῦθα πάλιν τοῦ σώματος. ἀλλὰ καὶ ἀδένες ἐν τοῖσι στήθεσι μαζοὶ καλέονται, καὶ ἐπαείρονται καὶ γάλα ποιέουσιν. οἷς δὲ οὐ ποιέουσιν γάλα. ποιέουσι μὲν αἱ γυναῖκες. οἱ δὲ ἄνδρες οὐ ποιέουσι. τῇσι μὲν γυναιξὶν ἀραιή τε ἡ φύσις καὶ κατὰ τῶν ἀδένων, ὥσπερ τὸ ἄλλο σῶμα, καὶ τὴν τροφὴν ἥν τινα ἕλκουσιν ἐπὶ σφᾶς, ἀλλοιοῦσιν ἐς τὸ γάλα. καὶ ἀπὸ τῆς μήτρης παραγίνεται ἐπὶ τοὺς μαζοὺς ἐς τὴν μετὰ τὸν τόκον τῷ παιδίῳ τροφὴν ἥν τινα ἀποπιέζει, εἰ καὶ ὑπερβάλλει τὸ ἐπίπλοον ἐς τὰ ἄνω στενοχωρούμενον ὑπὸ τοῦ ἐμβρύου. τοῖσι δὲ ἄρρεσι καὶ ἡ στενοχωρίη καὶ ἡ πυκνότης τοῦ σώματος μετασυμβάλλεται μὴ εἶναι μεγάλας τὰς ἀδένας. τὸ γὰρ ἄρρεν, ναστόν ἐστι, καὶ οἷον εἷμα πυκνὸν καὶ ὁρέοντι καὶ ἐπαφωμένῳ. τὸ δὲ θῆλυ ἀραιὸν καὶ χαῦνον. καὶ οἱονεὶ ἔριον ὁρέοντι καὶ ἐπαφωμένῳ. ὥστε τὴν ὑγρασίην, οὐ μεθίησι τὸ ἀραιὸν καὶ μαλθακόν. τὸ δὲ ἄρσεν, οὐκ ἄν τι προσδέξαιτο, πυκνόν τε ἐὸν καὶ ἀστεργές, καὶ ὁ πόνος κρατύνει αὐτοῦ τὸ σῶμα. ὥστε οὐκ ἔχει δι' οὗ λήψεται τὸ τῶν περισσῶν οὕτως. ἀναγκάζει ὁ δὲ λόγος καὶ στήθεα καὶ μαζοὺς καὶ τὸ ἄλλο σῶμα τοῖσι γυναιξίν, χαῦνα καὶ μαλακὰ εἶναι, καὶ διὰ τὴν ἀργείην, καὶ διὰ τὰ προειρημένα. τοῖσι δὲ ἀνδράσι τὰ ἐναντία. ποιέουσιν καὶ μαζοὶ φύματα, φλεγμονάς, τὸ γάλα ἀποσήποντες. ἀγαθὰ δὲ ἔχουσιν τοῖσιν ἔμπροσθεν ὅμοια. ἀποστερίζουσι τὴν πλεονεξίην τοῦ ἄλλου σώματος. μαρτύριον τῇσι γυναιξίν, ᾗσιν ἀφαιρεῖται νόσῳ ἢ ἄλλῃ τινὶ ξυμφορᾷ μαζός, καὶ ἡ φωνὴ θρασεῖα καὶ ὑγρὰ εἰς στόμαχον, καὶ πτυελίζουσιν, καὶ τὴν κεφαλὴν ἀλγέουσιν, καὶ ἀπὸ τῶνδε νοσέουσιν. ἰὸν γὰρ ἀπὸ τῆς μήτρης καὶ ἐπιῤῥέον τὸ γάλα, ὥσπερ μεθίῃ καὶ ἔμπροσθεν ἐς τὰ ἄνω τεύχεα, τὰ οἰκεῖα οὐκ ἔχων τεύχεα, συντυγχάνει τοῖσι κυρίοις τοῦ σώματος καρδίῃ, πνεύμονι, καὶ ἀποπνίγονται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΟΣΤΕΩΝ ΦΥΣΙΟΣ.

Ὀστέα χειρὸς εἰκοσιεπτά. ποδός, εἰκοσιτέσσαρα. τραχήλου ἐς τὸν μέγαν, ἑπτά. ὀσφύος πέντε, ῥάχιος εἴκοσι. κεφαλῆς ξὺν ὀπωπίοις ὀκτώ. ξύμπαντα ϛα. σὺν ὄνυξιν ρια. ἃ δ' ἡμεῖς αὐτοὶ ἐξ ἀνθρώπου ὀστέων κατεμάθομεν. σπόνδυλοι οἱ ἄνω τῆς κληῗδος σὺν τῷ μεγάλῳ ἑπτά. οἱ δὲ κατὰ τὰς πλευράς, ὅσαι περ αἱ πλευραί, ιβ. οἱ δὲ κατὰ κενεῶνας ἐκτὸς ἐν ᾧ τὰ ἰσχία ἐν τῇ ὀσφύϊ, πέντε. τὸ δὲ σπέρμα οἷον κηρίον ἑκατέρωθεν τῆς κύστιος. ἐκ δ' αὐτοῦ φλέβες ἑκατέρωθεν τοῦ οὐρητῆρος ἐς τὸ αἰδοῖον τείνουσι. ποτόν, διὰ φάρυγγος καὶ στομάχου. λάρυγξ, ἐς πνεύμονα καὶ ἀρτηρίην. ἀπὸ δὲ τούτων ἐς ἄκρην κύστιν.

ἐπ' ἄκρην κύστιν ἧπατος, πέντε λοβοί. ἐπὶ δὲ τοῦ τετάρτου λοβοῦ, ἐπίκειται ἡ χολή, ἢ τὸ στόμα ἐπὶ φρένας καὶ καρδίην, καὶ πλεύμονα φορεῖ. καρδίην, ὑμὴν περιίεσι. τὰ κῶλα ἔχει κοινῶς μέζω. ἤρτηται δὲ ἐκ τῶν μεσοκώλων. ταῦτα δὲ ἐκ νεύρων ἀπὸ τῆς ῥάχιος ὑπὸ τὴν γαστέρα. νεφροί, ἐκ νεύρων ἀπὸ ῥάχιος καὶ ἀρτηρίης. καρδίης πηγὴ ξυγγενής, φλὲψ τείνει διὰ φρενῶν. ἥπατος. σπληνός. νεφρῶν ἐς ἰσχίον. περὶ γαστροκνημίην. ἐπὶ τὸν ταρσόν. ἑτέρη δὲ ἐκ καρδίης, ὑπὸ μασχάλας. κληῖδας. σφαγάς. κεφαλήν. ῥῖνα. μέτωπον. παρὰ τὰ ὦτα. ὤμους, μετάφρενον. στήθεα. γαστέρα. διὰ πήχεος. ἡ δὲ διὰ μασχάλης ἐπὶ πῆχυν, ἐπὶ ταρσόν. νεύρων ἔκφυσις ἀπὸ τοῦ ἰνίου ἄχρι παρὰ ῥάχιν. παρὰ ἰσχίον. ἐς αἰδοῖα. ἐς μηρούς. πόδας. κνήμας. ἐς χεῖρας. ἀλλ' ἐς βραχίονας. τὰ μὲν, ἐς σάρκας. τὰ δὲ, παρὰ τὴν περόνην, ἐς τὸν μέγαν δάκτυλον. τὰ δ' ἐκ τῶν σαρκῶν ἐπὶ τοὺς ἄλλους δακτύλους. ἀλλ' ὠμοπλάτην. στῆθος. γαστέρα. ὀστέοισι. συνδέσμοισιν. ἀπὸ δὲ αἰδοίου παρ' ἀρχήν. κοτυληδόνα. τὸ μὲν ἄνωθεν μηροῦ. τὸ δὲ κάτωθεν ἐπὶ τὰ γούνατα. ἐντεῦθεν γούνατι ξυνταθέν, ἐπὶ τένοντα. πτέρναν. πόδας. τὸ δὲ ἐς περόνην. ἄλλα δ' ἐς τοὺς νεφρούς. αὗται δὲ αἱ φλέβες ἐφ' ἑκάτερα δίχη τὰ μέγιστα σχίζονται. τὰ μὲν, ἔνθεν τοῦ νεφροῦ ἑκατέρου. τὰ δὲ, ἔνθεν. καὶ διατέτρηνται ἐς τοὺς νεφρούς. καὶ εἶδος καρδίης οἱ νεφροὶ ἔχουσι, καὶ οὗτοι κοιλιώδεες. ὁ δὲ νεφρὸς τὰ κοῖλα ἑωυτοῦ πρὸς τὰς φλέβας ἔχων κεῖται τὰς μεγάλας, ὅθεν ἐκπεφύκασιν ἐξ αὐτέου αἱ φλέβες, αἱ ἐς κύστιν, ἣ εἵλκεται τὸ ποτόν, διὰ τῶν φλεβῶν ἐς τοὺς νεφρούς. ἐπειθ' ὥσπερ καὶ διὰ τῶν νεφρῶν διηθεῖται τὸ ὕδωρ. καὶ δὴ αὐτέων τουτέων τῶν ἐντέρων ὧν ξυνεπακολουθεῖ. σπογγοειδὲς γάρ ἐστι τὸ ἀπ' αὐτέων ἐς τὴν κύστιν. καὶ ἐνταῦθα διηθούμενον καὶ ἀποκρινόμενον ἀπὸ τοῦ αἵματος τὸ οὖρον, διὸ δὴ ἐρυθρόν ἐστιν. οὐδὲ γὰρ ἐς τοὺς νεφροὺς ἦσαν ἄλλαι φλέβες ἢ αἱ εἴρηνται. οὐδ' ὅποι ἂν τὸ ποτὸν ξυντήκοιτο. ὅσον ἐγὼ οἶδα. αἱ περὶ τὰς πλευρὰς κατατέτανται, κάτωθέν εἰσιν ἑκάστη τῶν πλευρέων, οὐ πρὸς κεφαλῆς. κατωτέρω δὲ καὶ ἀπὸ ἀρτηρίης. ἀρτηρίη μὲν οὖν ἔνθ' ὑπερβᾶσα διαδίδοι τῇσι πλευρῇσι. ἀπὸ δὲ τῆς παχείης ἀπὸ καρδίης παλινδρομεῖ μία ἐς τὰ ἀριστερὰ ἐγκεκλεισμένη, ἔπειτα ἡ μὲν, διὰ μέσων σπονδύλων μέχρις ἄκρων πλευρέων πορεύεται, πλευρῇσιν οὐκ ἐξ ἴσου διαδιδοῦσα τοῖσι δεξιοῖσι τοῖσιν ἀριστεροῖσι διασχίδας, ἀλλ' ἴσας μὲν, ἀνωτέρωθεν δὲ, ἐν τοῖσι δεξιοῖσιν ἀποσχίζεται. παρὰ δὲ κληῖδος ἑκατέρης τῶν φλεβῶν. δύο μὲν, ἄνω. δύο δὲ, ὑπὸ τὸ στῆθος, αἱ μὲν, ἐς δεξιά. αἱ δὲ, ἐς ἀριστερὰ ἀπεσχίσθησαν ἀποσχίδες πρὸς αὐχένος μὲν μᾶλλον αὗται. δύο δὲ πρὸς καρδίην μᾶλλον. αἱ μὲν, ἐπὶ δεξιά. αἱ δὲ ἐπ' ἀριστερά. ἀφ' ἑκατέρης παρὰ τὰς πλευράς. καὶ ἀπ' αὐτέων, ὥσπερ αἱ κάτω ἐσχίζοντο μέχρις ὅκου ξυνέμιξαν τῇ κάτω παλινδρομησάσῃ ἀπὸ καρδίης. ἡ δὲ αἱμόρρους, ἀπὸ τῆς ἀρτηρίης ταύτης διὰ τοῦτο ἐσχίσθη, ὅτι μετέωρος ἐνταῦθά ἐστι, διὰ καρδίας πορευομένη. τὰ δὲ κάτω πλευρέων ἡ αἱμόρρους ἡ παχείη καλεομένη φλέψ, τοῖσι σφονδύλοισιν αὖθις ἐφ' ἑωυτῆς διαδίδοι. καὶ ἐνταῦθα προσέχεται, καὶ οὐκέτι κρέμαται ὥσπερ ἄνω δι' ἥπατος ἰοῦσα. ἔστι δὲ κατὰ μὲν ὀσφὺν ἄνω ἡ ἀρτηρίη. ὑποκάτω δὲ, ἡ αἱμόρρους, ἡ ἀπὸ τοῦ ἥπατος διὰ φρενῶν ἐλθοῦσα μετέωρος, παρὰ τὰ ἐπὶ δεξιὰ τῆς καρδίης φέρεται ἄχρι κληΐδων, ἁπλῆ, πλὴν ὅσον αὐτῇ τῇ καρδίῃ κοινωνεῖ. τὰ μὲν κατ' αὐτὴν σχιζόμενα ἐπὶ πολλαιότερα. τὰ δὲ τὴν κοιλίην τῆς καρδίας δέχονται. ἔπειτα ἀπὸ τῆς καρδίας τὸ ἐπ' ἀριστερὰ κάθηται ἁπλῆ πρὸς ῥάχιν παλινδρομέει. ἐς μὲν τὸ ἄνω τοῦ σώματος, ἄχρι τῶν ἀνωτάτω πλευρέων. καὶ ἀποσχίδας ἀφ' ἑαυτῆς ἔχει παρ' ἑκάστην πλευρὴν παρατεταμένας κατὰ φύσιν ἄχρι στήθεος συνοκωχῆς. καὶ ἐπ' ἀριστερὰ καὶ ἐπὶ δεξιά. καὶ τὸ ἰθὺ αὐτέης, πρὸς σφονδύλῳ μᾶλλόν ἐστιν, ἢ ὁ τῆς ἀρτηρίης τόνος, καὶ ὁ τῆς ἀπὸ τοῦ ἥπατος φλεβός. πρὸς δὲ τὸ κάτω μέρος τῆς καρδίης ὁ μὲν ἰθὺς τόνος ἀπ' αὐτέης πρὸς σφονδύλῳ μᾶλλόν ἐστιν, ἢ ὁ τῆς ἀρτηρίης. ὁ δ' ἕτερος ὁ παρὰ καρδίην καὶ ἐς τὰ κάτω μέρη φρενῶν ἐτράπετο τὰ πρὸς ῥάχιος ἠρτημένα. ἐντεῦθεν δὲ, ἀπόσχιδες ἐς ἰθὺ ἕκαστον ἐπιφέρονται, δι' ὀστέων καὶ σαρκῶν περαιωθεῖσαι ἀλλήλαις. αἱ φλέβες δὲ αἱ παχεῖαι, ὧδε πεφύκασιν. ἐκ τοῦ ὀφθαλμοῦ παρὰ τὴν ὀφρύν, διὰ τοῦ νώτου, παρὰ τὸν πλεύμονα ὑπὸ τοῦ στήθους. ἡ μὲν ἐκ τοῦ δεξιοῦ, ἐς τὸ ἀριστερόν, ἡ δὲ ἐκ τοῦ ἀριστεροῦ, ἐς τὸ δεξιόν. ἡ μὲν οὖν ἐκ τοῦ ἀριστεροῦ διὰ τοῦ ἥπατος ἐς τὸν νεφρὸν καὶ τὸν ὄρχιν. ἡ δὲ ἐκ τοῦ δεξιοῦ, ἐς τὸν σπλῆνα καὶ νεφρὸν καὶ ὄρχιν. ταύτῃσι δὲ τὸ στόμα, αἰδοῖον. ἀπὸ δὲ τοῦ δεξιοῦ τιτθοῦ, ἐς τὸ ἀριστερὸν ἰσχίον, καὶ ἐς τὸ σκέλος. καὶ ἀπὸ τοῦ ἀριστεροῦ ἐς τὰ δεξιά. ὁ δὲ ὀφθαλμὸς ὁ δεξιός, ἐκ τοῦ ἀριστεροῦ. καὶ ὁ ὄρχις κατὰ τὸν αὐτὸν τρόπον ἐκ τοῦ

δεξιῇ ὁ ἀριστερός. αἱ παχύταται τῶν φλεβῶν, ὧδε πεφύκασι. τέσσαρα ζεύγεά εἰσιν ἐν τῷ σώματι. καὶ αἱ μὲν αὐτέων ἀπὸ τῆς κεφαλῆς ὄπισθεν διὰ τοῦ αὐχένος, ἔξωθεν παρὰ τὴν ῥάχιν ἔνθεν καὶ ἔνθεν εἰς τὰ ἰσχία ἀφικνέεται καὶ ἐς τὰ σκέλεα. ἔπειτα διὰ τῶν κνημέων, ἐπὶ τῶν σφυρῶν τὰ ἔξω καὶ ἐς τοὺς πόδας ἀφήκει.

Δεῖ οὖν τὰς φλεβοτομίας ἐπὶ τῶν ἀλγημάτων τῶν ἐν τῷ νώτῳ, καὶ ἐν τοῖσιν ἰσχίοισιν ἀπὸ τῶν ἰγνύων ποιέεσθαι, καὶ ἀπὸ τῶν σφυρῶν ἔξωθεν. αἱ δὲ δεύτεραι φλέβες ἐκ τῆς κεφαλῆς παρὰ τὰ ὦτα διὰ τοῦ αὐχένος, σφαγίτιδες καλεόμεναι, ἔσωθεν παρὰ τὴν ῥάχιν. ἑκατέρωθεν φέρουσι παρὰ τὰς ψόας ἐς τοὺς ὄρχιας καὶ ἐς τοὺς μηρούς. καὶ ἰγνύων ἐκ τοῦ ἔξωθεν μέρεος. ἔπειτα διὰ τῶν κνημέων ἐπὶ τὰ σφυρὰ τὰ ἔσωθεν καὶ τοὺς πόδας. δεῖ οὖν τὰς φλεβοτομίας ποιέεσθαι πρὸς τὰς ὀδύνας τὰς ἀπὸ τῶν ψόων καὶ τῶν ὀρχίων, ἀπὸ τῶν ἰγνύων καὶ ἀπὸ τῶν σφυρῶν ἔσωθεν. αἱ δὲ τρίται φλέβες ἐκ τῶν κροτάφων, διὰ τοῦ αὐχένος ἐπὶ τὰς ὠμοπλάτας, ἔπειτα ξυμφέρονται ἐς τὸν πλεύμονα. καὶ ἀφικνέονται ἡ μὲν ἀπὸ τῶν δεξιῶν ἐς τὰ ἀριστερὰ ὑπὸ τὸν μαζὸν καὶ ἐς τὸν σπλῆνα, καὶ ἐς τὸν νεφρόν. ἡ δὲ ἀπὸ τῶν ἀριστερῶν ἐς τὰ δεξιὰ ἐκ τοῦ πλεύμονος ὑπὸ τὸν μαζὸν, καὶ ἐς τὸ ἧπαρ, καὶ ἐς τὸν νεφρόν. τελευτῶσι δὲ ἐς τὸν ἀρχὸν αὗται ἀμφότεραι. αἱ δὲ τέταρται ἀπὸ τοῦ ἔμπροσθεν τῆς κεφαλῆς καὶ τῶν ὀφθαλμῶν ὑπὸ τὸν αὐχένα, καὶ ὑπὸ τὰς κληῖδας. ἔπειτα ἀπὸ τῶν βραχιόνων ἄνωθεν, ὑπὸ τὰς συγκαμπάς. ἔπειτα διὰ τῶν πήχεων ἐς τοὺς καρποὺς καὶ τοὺς δακτύλους. ἔπειτα πάλιν ἀπὸ τῶν δακτύλων, διὰ τῶν στηθέων καὶ τῶν πήχεων τῶν χειρῶν, ἐς τὰς συγκαμπάς. διὰ δὲ τῶν βραχιόνων καὶ τοῦ κάτωθεν μέρεος, ἐς τὰς μασχάλας, καὶ ἐκ τῶν πλευρέων ἄνωθεν. ἡ μὲν, ἐς τὸν σπλῆνα ἀφικνέεται. ἡ δὲ, ἐς τὸ ἧπαρ. ἔπειτα ὑπὲρ τῆς γαστρὸς ἐς τὸ αἰδοῖον τελευτῶσιν ἀμφότεραι. καὶ αἱ μὲν παχεῖαι τῶν φλεβῶν, οὕτω πεφύκασιν. εἰσὶ δὲ καὶ ἀπὸ τῆς κοιλίης φλέβες ἀνὰ τὸ σῶμα πολλαί τε καὶ παντοῖαι, δι' ὧν ἡ τροφὴ τῷ σώματι ἔρχεται. φέρουσι δὲ καὶ ἀπὸ τῶν παχέων φλεβῶν, ἐς τὴν κοιλίην καὶ τὸ ἄλλο σῶμα, καὶ ἀπὸ τῶν ἐξωτάτω, καὶ ἀπὸ τῶν ἐσωτάτω. καὶ ἐς ἀλλήλας διαδιδοῦσιν. αἵ τε ἔσωθεν ἔξω, καὶ αἱ ἔξωθεν ἔσω. τὰς οὖν φλεβοτομίας ποιέεσθαι χρὴ, κατὰ τούσδε τοὺς τρόπους. ἐπιτηδεύειν δὲ δεῖ τὰς τομὰς, ὡς προσωτάτω ταμεῖν ἀπὸ χωρίων, ἔνθα ἂν αἱ ὀδύναι μεμαθήκασι γίνεσθαι, καὶ τὸ αἷμα ξυλλέγεσθαι. οὕτω γὰρ ἂν ἥκιστα ἥ τε μεταβολὴ γίνοιτο μεγάλη ἐξαπίνης, καὶ τὸ ἔθος μεταστήσειας ἂν, ὥστε μηκέτι ἐς τὸ αὐτὸ χωρίον ξυλλέγεσθαι. ἡ δὲ ἡπατῖτις ἐν ὀσφύϊ, μέχρι τοῦ μεγάλου σπονδύλου, κάτωθεν καὶ σπονδύλοισι προσδιδοῖ. ἐντεῦθεν μετέωρος, καὶ διὰ φρενῶν ἐς καρδίην. καὶ ἡ μὲν εὐθεῖα, ἐς κληῖδας. ἐντεῦθεν δὲ, αἱ μὲν ἐς τράχηλον, αἱ δ' ἐπ' ὠμοπλάτας. αἱ δὲ ἀποκαμφθεῖσαι κάτω, παρὰ σπονδύλους καὶ πλευρὰς, ἀποκλίνουσιν. ἐξ ἀριστερῶν μὲν, μία ἐγγὺς κληΐδων. ἐκ δεξιῶν δὲ, ἐπί τι αὐτῆς χωρίον. ἄλλη δὲ ἑκατέρωθεν ἀποκαμφθεῖσα. ἄλλη δὲ σμικρὸν κατωτέρω ἀποκαμφθεῖσα, ὅθεν μὲν ἐκείνη ἀπέλιπε προσέδωκε τῇσι πλευρῇσιν, ἔστ' ἂν τῇ ἐπ' αὐτέης τῆς καρδίης προστύχῃ ἐπικαμπτομένη ἐς τὰ ἀριστερά. ἀποκαμφθεῖσα δὲ κάτω, ἐπὶ σπονδύλους καταβαίνει, ἔστ' ἂν ἀφίκηται καὶ ἔνθεν ἤρξατο μετεωρίζεσθαι ἀποδιδοῦσα τῇσι πλευρῇσι, καὶ τῇσιν ἐπιλοίποις ἁπάσαις, καὶ ἔνθεν καὶ ἔνθεν ἀποσχίδας παρ' ἑκάστην διδοῦσα μία ἐοῦσα. ἀπὸ μὲν τῆς καρδίης ἐπί τι χωρίον ἐν τοῖσιν ἀριστεροῖσι μᾶλλον ἐοῦσα. ἔπειτα ὑποκάτω τῆς ἀρτηρίης, ἔστ' ἂν καταναλωθῇ. ὅθεν ἡ ἡπατῖτις ἐμετεωρίσθη. πρότερον δὲ πρὶν ἐνταῦθα ἐλθεῖν, παρὰ τὰς ἐσχάτας δύο πλευρὰς, ἐδιχώθη. καὶ ἡ μὲν ἔνθα. ἡ δ' ἔνθα τῶν σπονδύλων ἐλθοῦσα, κατηναλώθη. ἡ δὲ εὐθεῖα ἀπὸ καρδίης πρὸς κληῖδας τείνουσα, ἄνωθεν τῆς ἀρτηρίας ἐστί. καὶ ἀπὸ ταύτης ὥσπερ καὶ παρ' ὀσφὺν κάτωθεν τῆς ἀρτηρίης. καὶ ἀπὸ ταύτης, ἀΐσσει ἐς τὸ ἧπαρ. ἡ μὲν ἐπὶ πύλας καὶ λοβόν. ἡ δὲ ἐς τὸ ἄλλο. ἐξῆς ἀφορμῆς κεῖς μικρὸν κάτωθεν φρενῶν. φρένες δὲ προσπεφύκασι τῷ ἥπατι, ἃς οὐ ῥᾴδιον χωρίσαι. δισσαὶ δ' ἀπὸ κληΐδων, αἱ μὲν ἔνθεν. αἱ δὲ, ἔνθεν ὑπὸ στῆθος ἐς ἦτρον. ὅποι δὲ ἐντεῦθεν, οὔπω οἶδα. φρένες δὲ κατὰ τὸν σπόνδυλον τὸν κατὰ τῶν πλευρέων, ἡ νεφρὸς ἐξ ἀρτηρίης ταύτῃ ἀμφιβεβήκοι. αἱ ἀρτηρίαι δὲ ἐκ τούτου ἐκπεφύκασιν ἔνθεν καὶ ἔνθεν, ἀρτηρίῃσι τρόπον ἔχουσαι. ταύτῃ τῇ παλινδρομησάσῃ ἀπὸ καρδίης, ἡ ἡπατῖτις ἔληγεν. ἀπὸ δὲ τῆς ἡπατίτιδος διὰ τῶν φρενῶν αἱ μέγισται δύο. ἡ μὲν, ἔνθεν. ἡ δὲ, ἔνθεν φέρονται μετέωροι. πολυσχιδέες δὲ διὰ τῶν φρενῶν εἰσὶν, ἀμφὶ ταύτας καὶ πεφύκασιν, ἄνωθεν δὲ φρενῶν. αὗται δὲ μᾶλλόν τι ἐμφανέες. δύο δὲ παχέες τόνοι ἀπ' ἐγκεφάλου ὑπὸ τὸ ὀστέον τοῦ μεγάλου σπονδύλου ἄνωθεν, καὶ πρὸς τοῦ στομάχου μᾶλλον ἑκατέρωθεν τῆς ἀρτηρίης παρελθὼν ἑκάτερος εἰς ἑωυτὸν ἦλθον ἴκελος

ἐνί. ἐπεὶ

ἐνίῃ. ἔπειτα οἱ σφόνδυλοι καὶ φρένες, πεφύκασιν ἐνταῦθα, οὗ τελευτῶν. καί τινες ἐνδιαστοὶ πρὸς ἧπαρ καὶ σπλῆνα ἀπὸ τούτου τοῦ κοινωνήματος ἐδόκεον τείνειν. ἄλλος τόνος ἑκατέρωθεν ἐκ τῶν κατὰ κληῗδα σφονδύλων περὶ ῥάχιν παρέτεινεν, ἐκ πλαγίου σφονδύλου, καὶ τῇσι πλευρῇσιν ἀπένεμεν. ὥσπερ αἱ φλέβες αὗται. διὰ φρενῶν ἐς μεσεντέριόν μοι δοκέουσι τείνειν. ὅθεν δὲ αὗται ἐξέλιπον, αὖθις ἔνθεν φρένες ἐξεπεφύκεσαν ἀπὸ τοῦ, ξυνεχέες ἐόντες, κατὰ μέσον κάτωθεν ἀρτηρίης. τὸ ἐπίλοιπον, παρὰ σπονδύλους ἀπεδίδου. ὥσπερ αἱ φλέβες, μέχρι καταναλώθησαν πᾶν διελθόντες τὸ ἱερὸν ὀστέον. τὰ ὀστέα τῷ σώματι στάσιν καὶ ὀρθότητα, καὶ εἶδος παρέχονται. τὰ δὲ νεῦρα, κάμψιν, καὶ ξύντασιν, καὶ ἔκτασιν. αἱ δὲ σάρκες καὶ τὸ δέρμα, πάντων ξύνδεσιν, καὶ ξύνταξιν. αἱ φλέβες διὰ τοῦ σώματος κεχυμέναι, πνεῦμα, καὶ ῥεῦμα, καὶ κίνησιν παρέχονται. ἀπὸ μιῆς πολλαὶ διαβλαστάνουσαι. καὶ αὕτη μὲν ἡ μία ὅθεν ἦρται, καὶ ᾗ τετελεύτηκεν, οὐκ οἶδα. κύκλου γὰρ γεγενημένου, ἀρχὴ οὐχ εὑρέθη. τὰς δ' ἀποφυάδας αὐτῆς, ὅθεν ἤρτηνται καὶ ᾗ σπάνονται τοῦ σώματος. καὶ ὡς ἡ μὴ ταύτῃσιν ὁμολογεῖ. καὶ ἐν ὁποίοις τόποις τέτακται τοῦ σώματος, ἐγὼ δηλώσω. περὶ μὲν γὰρ τῆς κεφαλῆς κατὰ τὸ μέσον ἐκ πλαγίου περίκειται ἡ φλέψ. αὐτὴ πλατεῖα καὶ λεπτὴ, οὐ πολύαιμος. τῷ γὰρ ἐγκεφάλῳ κατὰ τὰς ἁρμονίας ἐνερρίζωκε πολλὰ καὶ λεπτὰ φλέβια. καὶ περὶ τὴν ὅλην κεφαλὴν ἐκ τεσσάρσωτου μέχρι τοῦ μετώπου, καὶ τῶν κροτάφων. αὐτὴ δὲ ἀπίθυντος εὖ τοὔπισθεν τῆς κεφαλῆς ἐκτὸς παρὰ τῆς ἀκάνθης τὸ δέρμα. ἐντεῦθεν δὲ καθίεται παρὰ τὴν ἔξωθεν καὶ τὴν ἔσωθεν φλέβα τῶν ἐν τῇσι σφαγῇσι. πρὶν δὲ τῆς ἀκοῆς ὑποσχισθεῖσα ἀπὸ τοῦ γένυος. ἔξωθεν τοίνυν παχέη. ἀπὸ δὲ ταύτης ἐς τὴν γλῶσσαν, πολλαὶ καὶ λεπταί. πλὴν ἡ ὑπὸ τὴν γλῶσσαν, ἡ ὑπὸ τοὺς γομφίους. αὐτὴ δὲ παχέη διὰ τῆς κληῗδος καθήκει ὑπὸ τὴν ὠμοπλάτην. καὶ ταύτῃ ἀπ' αὐτοῦ βεβλάστηκε φλέψ διὰ τοῦ νεύρου τοῦ ὑπὸ τὴν ἐπωμίδα τῆς ἐπωμιαίης ὀνομαζομένης. αὐτὴ δὲ αἱμόρρους καὶ αἱματώδης, καὶ δυσίητος ἣν ῥαγῇ ἢ σπασθῇ. τῇ μὲν γὰρ αὐτέῃ, νεῦρον περιέχει πλατύ. τῇ δὲ χόνδρος. τὸ δὲ μεταξὺ αὐτοῦ, αὐτή τε ξυνέχει, καὶ ὑμὴν ἀφρώδης. ἀσάρκου δὲ ἐόντος τοῦ τόπου, ῥηϊδίως ῥήγνυται οὐκ ἔχουσα περιφύεσθαι σάρκας. ἤν τε ὑποδράμῃ ἐς τὸ αἷμα τοῦτο μέρος ἐπιτυχὸν εὐρυχωρίης, οὐκ ἔχει ἀπαλλαγὴν, ἀλλὰ σκληροῦται. σκληρωθὲν δὲ, νοῦσον παρέχει. αὐτὴ μὲν περαίνει, ἣ πρότερον εἶπον. ἡ δὲ ὑπὸ τὴν ὠμοπλάτην ἀποβεβλάστηκεν ὑπὸ τοῖσι μαζοῖσι, πυκνῇσι καὶ λεπτῇσι καὶ ἐπηλλαγμένῃσι φλεψί. καὶ διὰ τῆς ἐπωμιαίης παραλλάσσουσα τὸν χόνδρον, αὐτὴ νέρθεν ὑπονεμομένη, ἐς τὸν βραχίονα τείνει, τὴν μὲν ἐν ἀριστερᾷ ἔχουσα. ἡ δὲ δεξιὴ, σχίζεται αὐτὴ περὶ τὸν ὦμον, καὶ τοῦ ἀγκῶνος τὴν ἄνω μοῖραν. τὸ δ' ἐντεῦθεν διαπέφυκε τοῦ ἀγκῶνος ἑκατέρωθεν. ἔπειτα αὖθις παρὰ τὸν καρπὸν τῆς χειρός. ἐντεῦθεν δὲ ἤδη ἀορρέουσα δι' ὅλου ἀνὰ τὴν χεῖρα πολυπλανῶς ἐρρίζωται. ἡ δ' ἀρχαίη φλὲψ ἡ νεμομένη περὶ τὴν ἄκανθαν. διὰ δὲ τοῦ μεταφρένου τῆς σφαγῆς καὶ τοῦ βρόγχου, ἐμπέφυκεν ἐς τὴν καρδίην. ἀφ' ἑωυτοῦ φλέβα εὐμεγέθεα πολύστομον κατὰ τὴν καρδίην. ἐντεῦθεν δὲ ἐς τὸ στόμα ἐσυρίγγωκεν. ἥπερ ἀρτηρίη διὰ τοῦ πλεύμονος ὀνομάζεται, ὀλίγαιμός τε καὶ πνευματώδης. ἐν γὰρ εὐρυχωρίῃ καὶ ἀραιώσει σπλάγχνου πολλαχῇ μὲν τοῦ πλεύμονος ὀχετεύεται. χονδρώδης δὲ τοὺς ἄλλους πεποίηται. διὸ δὴ καὶ ἤν τι ἐς ταύτας κατηνέχθη τὰς διόδους τοῦ πλεύμονος τῶν ἀνθέων, ἢ ἐν τῷ ποτῷ, ἢ ἐν τῇ τοῦ πνεύματός τε καὶ αἵματος διόδῳ. ἅτε τῶν φλεβῶν τοιουτέων ἐουσέων, καὶ τοῦ σπλάγχνου σπογγοειδέος πολύ τε ὑγρὸν δυναμένου δέξασθαι ἄνω τε πεφυκότος. τῶν γὰρ εἰσιόντων ὑγρῶν, νόμος καθέστηκεν. ἔτι τε τὸ αἷμα διὰ τῶν φλεβῶν τούτων, οὐ πολὺ περισφύγγεται. καὶ οὐ ταχέως χωρέον, οὐκ ἐξάγει τὰ ἐμπίπτοντα. οὐχ ὑπεξαγομένων δὲ αὐτῶν, ἀλλ' ἐμμενόντων, γίνεται πῶρος. οὗτος δὲ ἀπολύεται τὸ πλησιάζον τῆς τροφῆς ταύτης ἐούσης τῆς προσαγωγῆς τοῦ λάρυγγος, καὶ πρὸς τὰ ἔξω. ἐγκαταλαμβανομένων δὲ τῶν διόδων ὑπὸ τοῦ πώρου, ταχύπνοιά τε καὶ δύσπνοια ἴσχει. τῶν δὲ μὴ δυναμένων τὴν φύσιν ἐξεῖναι τῇδε οὐκ εὐπόρως ἐχόντων κατὰ πᾶν. ἐκ δὴ τοιουτέων αἱ τοιαῦται νοῦσοι γίνονται. οἷον ἄσθματα, καὶ ξηραὶ φθινάδες. ἢν δὲ ἐν αὐτοῖσι ξυνιστάμενον πλέον τὸ ὑγρὸν κρατήσῃ, ὥστε μὴ δύνασθαι παχυνθὲν παγῆναι, καὶ σαπρὸν τὸν πλεύμονα ποιέει, καὶ τὰ πλησιάζοντα, καὶ γίνονται ἔμπυοί τε καὶ φθινώδεες. γίνεται δὲ τὰ νοσήματα ταῦτα, καὶ δι' ἄλλας αἰτίας. ἐντεῦθέν τε ἡ φλὲψ αὕτη κατέχει τὸν πλεύμονα. καὶ διὰ τῶν λοβῶν τῶν δύο τῶν μεγάλων τῶν ἔσω τετραμμένων ὑπὸ τὰς φρένας, ἐπιτέταται τῇ ἀκάνθῃ, λευκὴ καὶ νευρώδης, διαπέμπουσα φλέβια, διὰ τοῦ ἄλλου σώματος πεπυκνω-

μένους. ἔντονα δὲ διά τε τῶν σφονδύλων πυκνοῖσι φλεβίοισιν ἐς τὸν νωτιαῖον μυελὸν ἐσωσεύεται. καὶ αἱ μὲν ἄλλαι φλέβες ἐν τῷ σώματι τεταγμέναι ἐκ πάντων τῶν μερέων συντείνουσαι ἐς τὴν ἄκανθαν τὸ λεπτότατον καὶ εἰλικρινέστατον ἑκάστη ξυνάγουσα, ἐνταῦθα διερεύγεται. αὕτη δὲ ἡ ἐπιτεταμένη διὰ τῶν καθειμένων πλεκτανέων, ἐς ταυτὸ ξυνάγειν. ἐντεῦθεν δὲ καὶ ἐς τοὺς νεφροὺς ἀπερρίζωται, παρὰ τὴν νόθον πλευρὴν, λεπτῇσι καὶ ἰνώδεσι φλεψί. καὶ τὸ ἐντεῦθεν συντείνουσα συμπεπύκνωται. ἔπειτα καὶ νευρώδεσι πρὸς τὴν ἀρχὴν, πιέσασά τε τοὺς ξυναγωγέας, ἐμπέφυκεν αὐτῷ. τήν τε κύστιν, καὶ τοὺς ὄρχιας, καὶ τοὺς παραστάτας ἐρρίζωκε, πολυπλόκοισι λεπτῇσί τε καὶ στερεῇσι καὶ ἰνώδεσι φλεψίν. ἐντεῦθεν αὐτὴ τὸ παχύτατον καὶ ἰθύτατον ἀνάπαλιν ῥαπὲν, προσκεκαύληκεν, ὅπερ ἐστὶν αἰδοῖον. ἐν δὲ τῇ ἀνακάμψει, ἐν ἧπερ ἐς τὰ αὐτὰ ταῦτα. καὶ διὰ τοῦ κτενὸς ἄνω ὑπὸ τὸ δέρμα τῆς γαστρὸς καὶ τῆς φλεβὸς αὐτῆς ὡρμήκασι πρὸς τὰς κάτω φορβὰς, αἳ ἐς ἀλλήλας ἐποχετεύονται. διαπεφύκασι δὲ καὶ διὰ τοῦ αἰδοίου φλέβες παχεῖαι καὶ λεπταὶ, καὶ πυκναὶ, καὶ καμπύλαι. τῇσι δὲ θηλείῃσιν, αὐτὴ συντείνει ἐς τὰς μήτρας, ἐς τὴν κύστιν, καὶ ἐς τὴν οὐρήθρην. ἐντεῦθεν δὲ ἰθυπόρηκε. καὶ τῇσι γυναιξὶ μὲν, περὶ τὰς μήτρας ἥρτηται. τοῖσι δὲ ἄρρεσι περὶ τοὺς ὄρχιας ἐπείρωται. διὰ ταύτην τὴν φύσιν αὐτὴ ἡ φλὲψ καὶ τὰ γόνιμα πλεῖστα ξυλλαμβάνει. ἀπὸ γὰρ τῶν πλείστων καὶ εἰλικρινεστάτων μερέων ῥεφομένη, ὀλίγαι μός τε οὖσα καὶ κοίλη καὶ νευρώδης, παχὺς καὶ πνευματώδης, ἐντεινομένη τε ὑπὸ τοῦ αἰδοίου τὰ καθήμενα ἐς τὴν ἄκανθαν φλέβια βιάζεται. τὰ δὲ μὴ βιαζόμενα ὥσπερ σικύη ἐς ἑωυτὰ πάντα ἐκδιδοῖ ἐς τὴν ἄνω φλέβα. συλλέγεται δὲ καὶ ἐκ τῶν ἄλλων μελέων σώματος, ἐς ταύτην. τὸ δὲ πλεῖστον, ὥσπερ εἴρηται, ἀπὸ τοῦ μυελοῦ τοῦ συναλίζεται. Ἡ δὲ ἡδονὴ τουτέῳ παραγίνεται, τῆς φλεβὸς ταύτης πληρευμένης τῆς γονῆς. εἰωθυίης οὖν τὸν ἄλλον χρόνον ὕφαιμόν τε εἶναι καὶ πνευματῶδες, πληρευμένης τε καὶ θερμαινομένης, καὶ ξυρρέοντος κάτω τοῦ σώματος, περισφίγγει τὰ ἐν ἑωυτῇ. τὸ δὲ πνεῦμα τὸ ἐνεὸν καὶ ἡ παροῦσα βίη καὶ ἡ θερμότης, καὶ τῶν φλεβίων πανταχόθεν ἡ ξυντονίη, γαργαλισμὸν ἐμποιεῖ. ἐκείνη δὲ ἡ ἀφ' ἑωυτῆς διέβλαστε. διά τε τοῦ μεταφρένου καὶ σφαγῆς παρὰ τὴν ἄκανθαν νεμομένη, πολλοῖσι φλεβίοισι τὰς πλευρὰς διαπέπλοχε. καὶ τοὺς σφονδύλους διὰ τῶν σαρκῶν ἐπηλλαγμένως, ξυμπεπύκνωκεν, ὥς τε ῥόθιμός τε καὶ ἔναιμος εἶν. αὐτὴ δὲ παρὰ τὸν γλουτὸν ἔστη, διὰ τοῦ μυὸς ὑπὸ τοῦ μηροῦ ὑποβρυχίη. πρὸς δὲ τοῦ γλουτοῦ τῇ κοτυληδόνι τοῦ μηροῦ παρὰ τὴν κεφαλὴν, ἐστερύπηκε φλεβὶ, ἥπερ ἀναπνοὴν τῷ μηρῷ παρέχει. ἐκπερὰ τοῦ μηροῦ, παρὰ τὴν πρὸς τὸ γόνυ καμπήν. ἑτέρην δὲ παρὰ τὸν βουβῶνα καθῆκε πυκινόρριζον, καὶ δυσράπτον. ἡ δὲ διὰ τοῦ μυὸς τείνουσα, περί τε τὸ γόνυ ἐπείρωται, καὶ διὰ τοῦ ὀστέου τοῦ κνημαίου ἄκρου σεσυρίγγωκε φλέβα, ἣ τρέφει τὸν μυελὸν καὶ διοχετεύεται διὰ τοῦ νωτάτου τοῦ κνημαίου, παρὰ τὴν ἔνδεσιν τοῦ ποδός. αὐτὴ δὲ διὰ τῆς ἐπιγουνίδος ἐς τὸ ἐντὸς διὰ τῆς κνήμης τοῦ μυὸς, βρυχίη τέταται. καὶ ἐμπέπλεχε διὰ τοῦ σφυροῦ, ἐν τῷ παχέῃ καὶ ἔναιμος. καὶ ἐνταῦθα περὶ τὸ σφυρὸν καὶ τὰ τένοντα, δυσκρίτους φλέβας μεμύρηκεν. αὐτὴ δὲ ὑποδεδράμηκε κάτωθεν τοῦ ποδὸς, ὑπὸ τὸν ταρσόν. καὶ ἐνταῦθα διαπλέξασα καὶ ἐς τὸν μέγαν δάκτυλον ἐνερείσασα, διπλῆν ἔναιμον φλέβα ἄνωθεν ὑπὸ τὸ δέρμα ἐκ τοῦ ταρσοῦ ἀνακέκαμπται, καὶ πέφανται παχυνθεῖσα παρὰ τὸ ἐκτὸς τοῦ σφυροῦ, καὶ νέμεται ἄνω παρὰ τὸ ἀντικνήμιον τὴν ἀντιβεβλημένην κερκίδα. παρὰ δὲ τὴν γαστροκνημίην οἷον σφενδόνην πεποίηται. τὸ δ' ἐντεῦθεν τέταται παρὰ τοῦ γούνατος τὸ ἐντός. ἐπιβέβληκε δὲ καὶ τῇ ἐπιγουνατίδι, φλέβας. καὶ κατὰ τὸ ἐντὸς τῆς ἐπιγουνατίδος, ἐπίκοιλον ἐμπέπλεχε φλέβα. ἤν τις ἐπονήσῃ, τάχιστα ξυνάγει χολώδεα ἰχῶρα. διώρμηκε δὲ αὐτὴ κατὰ τὸ ἐντὸς καὶ κοῖλον τοῦ γούνατος. ἀποκεκάρπωκε δὲ καὶ ἐς τὰς ἰγνύας πολυπλόκους φλέβας. αἳ ἐντεῦθεν παρατείνουσαι κατὰ τὰ ὑποκάτω νεῦρα τοῦ μηροῦ, καὶ κατερρίζονται ἐς τοὺς ὄρχιας καὶ ἐς τὴν ἀρχήν. καὶ περὶ τὸ ἱερὸν δὲ ὀστέον λελεπτυσμέναι ἐνωμέναι περιτέτανται. ἡ δὲ ἀφειμένη παρὰ τοῦ γούνατος τὸ ἐντὸς ἄνω, παρὰ τοῦ μηροῦ τὸ ἐντὸς, ἀνίσταται ἐς τὸν βουβῶνα. καὶ διὰ τῆς ἰξύος πέρην πρὸς τὴν ἄκανθαν καὶ τὴν ψύαν ἐκτὸς ἔχουσα. παχεῖα καὶ πλατεῖα, καὶ ἔναιμος ἄνω ὀρέγεται πρὸς τὸ ἧπαρ. καὶ διακρέην ἐκφύσασα ἔναιμον, κατέχει ἐς τὸν νεφρὸν, τὸν δεξιὸν λοβὸν τοῦ ἡπαταίου. αὕτη δὲ ὑποκάτω τὰ τοῦ ἥπατος ὑπονεμησαμένη, ἀπέχεται ἐς φλέβα παχείην. ἥδ' ἀποκαυθεῖσα ἐμπέφυκεν ἐς τὸ παχὺ τοῦ ἥπατος. καὶ τὸ μὲν αὐτῆς ἐπιπολάζον ἐπὶ τοῦ σπλάγχνου πέφυκεν, ἐν ὥσπερ ἡ χολὴ, ἐστί τε πολύρριζος διὰ τοῦ ἥπατος πεπλεκτανωμένη. τὸ δὲ διὰ τῶν ἐντὸς αὐτοῦ ὀχετεύεται. δύο δὲ ἐκπεπλώκασι φλέβες, μεταξὺ δύο λοβῶν τῶν πλατέων. καὶ μία μὲν, διὰ τῶν κορυφῶν καὶ τοῦ

δέρματος

σπέρματος διαχέουσα ἐκ τοῦ ὀμφαλοῦ ἀνήκει. ἡ δὲ ἑτέρη, περάσασα ὑπὸ τὴν ἄκανθαν καὶ ὑπὸ τὸν νεφρὸν ἠγκυροβόληται, ἐς τὴν κύστιν τε καὶ τὸ αἰδοῖον. ἐκ δὲ τοῦ ἰσχίου ἀρχομένη ἀνιοῦσαι ὑπὸ τὸ ἦτρον πολλὰς ἀπεπλάνησε φλέβας. καὶ τάς τε πλευρὰς καὶ τοὺς σφονδύλους, ἐνεκείκωσε πρὸς τὴν ἄκανθαν, καὶ τάς τε παραφυάδας ἐνεφλεβοτόμησε, καὶ τὰ ἔντερα καὶ τὴν νηδὺν ἐνειλίξατο. καὶ αἱ μὲν ἀπὸ τοῦ ἤτρου ἔς τε τοὺς μαζοὺς, καὶ ὑπὲρ ἀνθερεῶνα καὶ τὰς ἀκρωμίας ἐπορεξάμεναι κατεπλάκησαν. ἡ δ' ἀφιγμένη παρὰ τὸ παχὺ τοῦ ἥπατος, καὶ ἀποσυριγγώσασα τὴν χολὴν ἄνω, ὑπὸ τὴν ἄκανθαν νέμεται, διὰ τῶν φρενῶν ὁδὸν ποιησαμένη. αἱ δὲ ἐκ τῶν ἀριστερῶν φλεβῶν, τὰ μὲν ἄλλα τὴν αὐτὴν φύσιν ἐῤῥίζωνται τῇσιν ἐν τοῖσι δεξιοῖσιν, ἐκ τῶν ἀριστερῶν ἐς τὸ ἧπαρ ἀνιοῦσαι οὐκ ἐκβάλλει, ἀλλ' ὑπὸ τὸν σπλῆνα ἐμπέφυκε κατὰ τὴν κεφαλὴν τὴν ἐν τῷ παχεῖ αὐτέου. ἐντεῦθεν δὲ κατεδύσατο ἐς τὸ ἐντὸς καὶ ἠραχνίωκε τοῦ σπληνὸς ἐναίμοισι φλεβίοισιν. ὁ δὲ ὅλος ἐκ τοῦ ἐπιπλόου αἰωρεῖται τοῖσιν ἐξ ἑωυτέου φλεβίοισιν ἐναιματώσασα αὐτό. αἱ δὲ ἀπὸ τῆς κεφαλῆς τοῦ σπληνὸς πρὸς τὴν ἄκανθαν ἐγχρίπτουσαι, διὰ τῶν φρενῶν διωρμήκασιν. ἐντεῦθεν δὲ κάτω καὶ ἡ δεξιὴ καὶ ἡ ἀριστερὴ, ὑπὸ τὸν πνεύμονα ἐλήλαται. αἱ δ' ἐναίμονοι ἐοῦσαι ὑπ' αὐτὸν, καὶ ἐξοχετεύονται ἐς αὐτόν. ὀλίγαιμοι δὲ καὶ λεπταὶ, αἱ ἀπὸ πνεύμονος ἔσωθεν γεγενημέναι τῇ φύσει ἀραιοῦ ἐόντος ἐς τὴν καρδίην, ἅτε ὑπ' αὐτοῦ ἐξαθελγόμεναι, ἐγκεχαλίνωνται περὶ τὰ ὦτα αὐτέης. καὶ ἐς τὰ κοῖλα τὰ ἐντὸς διεῤῥυήκασιν. ἐμβάλλουσι δὲ καὶ αἱ πρότεραι καὶ αὗται ἐς αὐτήν. ἐν γὰρ στενοχωρείῃ τῆς διόδου ἐνίδρυνται ὡς ἐκ παντὸς τοῦ σώματος τὰς ἰνίας ἔχουσαι. διὸ καὶ παντὸς τοῦ σώματος περὶ τὸν θώρηκα μάλιστά ἐστιν ἡ αἴσθησις. καὶ τῶν χρωμάτων αἱ μεταβολαὶ γίνονται, ταύτης ἀποσφιγγούσης τὰς φλέβας καὶ χαλώσης. χαλώσης μὲν οὖν, ἐρυθρὰ τὰ χρώματα γίνονται, καὶ εὔχροα καὶ διαφανέα. συναγούσης δὲ, χλωρὰ καὶ πελιδνά. τὰ τοιαῦτα δὲ παραλλάσσει, ἐκ τῶν παρεόντων ἑκάστω χρωμάτων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΤΟΠΩΝ ΤΩΝ ΚΑΤΑ ΑΝΘΡΩΠΟΝ.

Μοὶ δοκέει ἀρχὴ μὲν οὖν οὐδὲ μία εἶναι τοῦ σώματος, ἀλλὰ πάντα ὁμοίως ἀρχὴ καὶ πάντα τελευτή. κύκλου γὰρ γραφέντος ἀρχὴ οὐχ εὑρέθη. καὶ τῶν νοσημάτων E ἀπὸ παντὸς ὁμοίως τοῦ σώματος. τὸ μὲν ξηρότερον πεφυκὸς, νόσους λάζεσθαι, καὶ μᾶλλον πονέειν. τὸ δὲ ὑγρὸν, ἧσσον. τὸ μὲν γὰρ ἐν τῷ ξηρῷ νόσημα, πήγνυταί τε καὶ οὐ διαπαύει. τὸ δ' ἐν τῷ ὑγρῷ, διαῤῥεῖ, καὶ τοῦ σώματος ἄλλοτ' ἄλλο μάλιστα ἔχει, καὶ ἀεὶ μεταλλάσσον, ἀνάπαυσιν ποιέει καὶ θᾶσσον παύεται, ὥστε οὐ πεπηγός. τοῦ δὲ σώματος τὰ μέλεα ἕκαστα τὸ ἕτερον τῷ ἑτέρῳ ὁπόταν ἔνθα ἢ ἔνθα ὁρμήσῃ, νοῦσον παραυτίκα ποιέει. ἡ κοιλίη τῇ κεφαλῇ. καὶ ἡ κεφαλὴ, τῇσι σαρξὶ καὶ τῇ κοιλίῃ. καὶ τἄλλα πάντα οὕτω κατὰ λόγον, ὥσπερ ἡ κοιλίη τῇ κεφαλῇ. καὶ ἡ κεφαλὴ, τῇσί τε σαρξὶ καὶ τῇ κοιλίῃ. ἡ γὰρ κοιλίη ὁπόταν ὑπεκχώρησιν μὴ ποιέῃ τὴν μετρίην καὶ ἐσίῃ ἐς αὐτὴν, ἄρδει τῇ ὑγρότητι τὸ σῶμα τῇ ἀπὸ τῶν σιτίων τῶν προσφερομένων. αὕτη δὲ ἡ ὑγρότης ἀπὸ τῆς κοιλίης ἀποφρασσομένη, ἐς τὴν κεφαλὴν ὁδοιπορήσῃ ἀθρόη. καὶ ἐς τὴν κεφαλὴν ἐπὴν ἀφίκηται, οὐ χωρευμένη ὑπὸ τῶν τευχέων τῶν ἐν τῇ κεφαλῇ, ῥέει ᾗ ἂν τύχῃ καὶ πέριξ τῆς κεφαλῆς καὶ ἐς τὸν ἐγκέφαλον διὰ λεπτοῦ τοῦ ὀστέου. καὶ ἡ μὲν, ἐν τῷ ὀστέῳ ἐνδέδυκεν. ἡ δὲ, περὶ τὸν ἐγκέφαλον διὰ λεπτοῦ τοῦ ὀστέου. καὶ ἣν μὲν ἐς τὴν κοιλίην πάλιν ἀφίκηται, τῇ κοιλίῃ νοῦσον ἐποίησεν. ἢν δ' ἄλλῃ πῃ τύχῃ, ἄλλῃ νοῦσον ποιέει. καὶ τἄλλα οὕτως ὥσπερ τοῦτο τὸ ἕτερον τῷ ἑτέρῳ νοῦσον ποιέει. καὶ κάλλιστον οὕτως εὐτρεπίζειν τὰ νοσεύμενα, διὰ τῶν τὰς νούσους ποιεύντων. οὕτω γὰρ ἂν κάλλιστα τὴν ἀρχὴν τοῦ νοσευμένου τις ἰῷτο. τὸ δὲ σῶμα αὐτὸ ἑωυτῷ ταὐτόν ἐστι. καὶ ἐκ τῶν αὐτῶν σύγκειται. ὁμοίως δὲ οὐκ ἔχοντος καὶ τὰ σμικρὰ αὐτοῦ, καὶ τὰ μεγάλα, καὶ τὰ κάτω καὶ τὰ ἄνω, καὶ εἴ τις βούλεται τοῦ σώματος ἀπολαβὼν μέρος κακῶς ποιέειν τὸ σμικρότατον, πᾶν τὸ σῶμα αἰσθήσεται τὴν πεῖσιν ὁποίη ἄν τις ᾖ, διὰ τόδε, ὅτι τοῦ σώματος τὸ σμικρότατον πάντα ἔχει, ὅσαπερ καὶ τὸ μέγιστον. τοῦτο δ' ὁποῖον ἄν τι πάθῃ τὸ σμικρότατον, ἐπαναφέρει πρὸς τὴν ὁμοεθνίην, ἕκαστον πρὸς τὴν ἑωυτοῦ. ἤν τε κακὸν, ἤν τε ἀγαθὸν ᾖ. καὶ διὰ ταῦτα καὶ ἀλγέει καὶ ἥδεται ὑπὸ ἔθνεος τοῦ σμικροτάτου τὸ σῶμα. ὅτι ἐν τῷ σμικροτάτῳ πάντ' ἔνι τὰ μέρεα. καὶ ταῦτα ἐπαναφέρουσιν ἐς τὰ σφῶν αὐτῶν ἕκαστα, καὶ ἐξαγγέλλουσι πάντα. φύσις δὲ τοῦ σώματος, ἀρχὴ τοῦ ἐν ἰητρικῇ λόγου, πρῶτον διατέτρηνται ᾗ ἐσακούομεν. τὰ μὲν γὰρ περὶ τὰ ὦτα πέριξ κενεά, οὐκ εἴσα-

κοὐδὲν ἄλλο ἢ ψόφον καὶ ἰαχήν. ὅτι δ' ἂν διὰ τῆς μήνιγγος ἐς τὸν ἐγκέφαλον ἐσέλθῃ, τοῦτο διαφραδέως ἀκούεται ταύτῃ. καὶ μούνη τρῆσις διὰ τῆς μήνιγγός ἐστι τῆς περὶ τὸν ἐγκέφαλον περιτεταμένης. κατὰ δὲ τὰς ῥῖνας ῥῆμα μὲν οὐκ ἔνεστιν, σόμφον δὲ, οἷον σπογγιά. καὶ διὰ τοῦτο διὰ πλείονος ἀκούει ἢ ὀσφραίνεται. κατὰ πολὺ γὰρ σκίδναται ἡ ὀδμὴ τῆς ὀσφρήσιος. καὶ ἐς τοὺς ὀφθαλμοὺς φλέβια λεπτὰ ἐς τὴν ὄψιν ἐκ τοῦ ἐγκεφάλου διὰ τῆς μήνιγγος τῆς περιεχούσης φέρονται. ταῦτα δὲ τὰ φλέβια τὴν ὄψιν τρέφουσιν τῷ ὑγρῷ τῷ καθαρωτάτῳ τῷ ἀπὸ τοῦ ἐγκεφάλου, ἐς ὃ καὶ ἐμφαίνεται ἐν τοῖσιν ὀφθαλμοῖσιν. ταῦτα δὲ τὰ φλέβια καὶ ἀποσβεννύασι τὰς ὄψεις ὅταν ξηρανθῶσιν. μήνιγγες δὲ τρεῖς εἰσιν αἱ τοὺς ὀφθαλμοὺς φυλάσσουσαι. ἡ μὲν ἐπάνω παχυτέρη. ἡ δὲ διὰ μέσου, λεπτοτέρη. ἡ δὲ τρίτη, λεπτὴ, ἡ τὸ ὑγρὸν φυλάσσουσα. τούτων ἡ μὲν ἐπάνω καὶ παχυτάτη νοῦσος ἢν κωφωθῇ. ἡ δὲ διὰ μέσου ἐπικίνδυνος αὕτη, καὶ ὅταν ῥαγῇ ἐξίσχει οἷον κύστις. ἡ δὲ τρίτη ἡ λεπτοτάτη πάμπαν ἐπικίνδυνος, ἡ τὸ ὑγρὸν φυλάσσουσα. μήνιγγες δὲ δύο εἰσὶ τοῦ ἐγκεφάλου. ἡ μὲν ἐπάνω παχυτέρη, ἡ δὲ λεπτὴ τοῦ ἐγκεφάλου ἁπτομένη, οὐκέτι ἡ αὐτὴ, ἐπὴν τρωθῇ. φλέβες δὲ περαίνουσι μὲν ἐς τὴν κορυφὴν διὰ τῆς σαρκὸς ἔχουσαι πρὸς τὸ ὀστέον. φέρονται δὲ διὰ τῆς σαρκός. δύο μὲν ἐκ τῆς κορυφῆς κατ' ἰθὺ ᾗ αἱ ὀφρύες συγκλείονται καὶ τελευτῶσιν ἐς τοὺς κανθοὺς τῶν ὀφθαλμῶν. μία δὲ ἀπὸ τῆς κορυφῆς ἐς τὴν ῥῖνα φέρεται, καὶ σχίζεται ἐς τὸν χόνδρον τῆς ῥινὸς ἑκάτερον. ἄλλαι δύο φλέβες παρὰ τοὺς κροτάφους φέρονται, ἐν μέσῳ τῶν κροτάφων καὶ τῶν ὤτων, αἳ πιέζουσι τὰς ὄψεις καὶ σφύζουσιν ἀεί. μόναι γὰρ αὗται οὐκ ἀρδεύουσι τῶν φλεβῶν, ἀλλ' ἀποτρέπεται ἐξ αὐτῶν τὸ αἷμα. τὸ δ' ἀποτρεπόμενον ἀποσυμβουλεύει τῷ ἐπιῤῥέοντι. καὶ τὸ μὲν ἀποστρεπόμενον βουλόμενον ἀποχωρέειν. τὸ δ' ἄνωθεν ἐπιῤῥέον βουλόμενον κάτω χωρέειν ἐνταῦθα ὠθεύμενά τε καὶ ἀναχεόμενα πρὸς ἄλληλα καὶ κυκλούμενα, σφυγμὸν παρέχουσιν τοῖσι φλεβίοισιν. ἡ δὲ ὄψις τῷ ἀπὸ τοῦ ἐγκεφάλου ὑγρῷ τρέφεται. ὅταν δέ τι τῶν ἀπὸ τῶν φλεβῶν λάβῃ τῇ ῥύσει ταράσσεται, καὶ οὐκ ἐμφαίνεται ἐς αὐτὸ, καὶ περικινέεσθαι δοκέει ἐν αὐτῷ τότε μὲν οἷον εἴδωλον ὀρνίθων, τότε δὲ οἷον φακοὶ μέλανες. καὶ τἄλλα οὐδὲν ἀτρεκέως κατ' ἀλήθειαν δύναται ὁρᾶν. ἄλλαι δύο φλέβες ἐν μέσῳ τῶν τε ὤτων καὶ τῶν ἄλλων φλεβῶν, αἳ φέρονται ἐς τὰ ὦτα, καὶ πιέζουσι τὰ ὦτα. ἄλλαι δύο φλέβες ἐκ τῆς συγκλίσιος τοῦ ὀστέου ἐς τὰς ἀκοὰς φέρονται. αἱ δὲ κάτω τοῦ σώματος τετραμμέναι δύο μὲν φλέβες παρὰ τοὺς τένοντας τοῦ τραχήλου. φέρονται δὲ καὶ παρὰ τοὺς σπονδύλους. καὶ τελευτῶσιν ἐς τοὺς νεφρούς. αὗται δὲ καὶ ἐς τοὺς ὄρχιας περαίνουσιν. καὶ ὅταν αὗται πονέσωσιν, αἷμα οὐρέει ὥνθρωπος. ἄλλαι δύο φλέβες ἀπὸ τῆς κορυφῆς φέρονται ἐς τοὺς ὤμους. καὶ διὸ καὶ ὠμιαῖαι καλέονται. ἄλλαι δύο φλέβες ἀπὸ τῆς κορυφῆς παρὰ τὰ ὦτα ἐν τοῖς ἔμπροσθεν τοῦ τραχήλου ἑκατέρωθεν ἐς τὴν κοίλην φλέβα καλεομένην, φέρονται. ἡ δὲ κοίλη φλὲψ περαίνεται μὲν ὡς ὁ οἰσοφάγος, πέφυκε δὲ μεταξὺ τοῦ τε βρόγχου καὶ τοῦ οἰσοφάγου. φέρεται δὲ διὰ τῶν φρενῶν. καὶ διὰ τῆς καρδίης. καὶ μεταξὺ τῶν φρενῶν. καὶ σχίζεται ἐς τοὺς βουβῶνας, καὶ ἐς τοὺς μηροὺς ἐντὸς, καὶ τὰς διασφαγὰς ἐν τοῖσι μηροῖσι ποιέεται, καὶ ἐς τὰς κνήμας φέρεται ἐντὸς παρὰ τὰ σφυρά. αὗται καὶ ἄκαρπον ποιέουσι τὸν ἄνθρωπον ὅταν ἀποτμηθῶσιν, αἳ καὶ ἐς τοὺς μεγάλους δακτύλους τελευτῶσιν. ἐκ δὲ τῆς κοίλης φλεβὸς ἀποπέφυκεν ἐς τὴν χεῖρα τὴν ἀριστερήν. φέρεται δ' ὑποκάτω τοῦ σπληνὸς ἐς τὴν λαπάρην τὴν ἀριστερὴν, ὅθεν ὁ σπλὴν ἀποπέφυκεν διὰ τοῦ ἐπιπλόου. καὶ τῇ ἀποτελεύτησιν ἴσχει ἐς τὸν κίθαρον. ἀποπέφυκε δὲ κατὰ τὰς φρένας, καὶ ξυμβάλλει τῇ ὠμιαίῃ κάτω τοῦ ἄρθρου τοῦ ἀγκῶνος, καὶ τοῦ σπληνὸς τέμνεται αὕτη. καὶ ἄλλη ἐς τὴν δεξιὴν, τὸν αὐτὸν τρόπον ἀποπέφυκεν ἀπὸ τῆς κοιλίης. κοινωνέουσι δὲ πᾶσαι αἱ φλέβες καὶ διαῤῥέουσιν ἐς ἑωυτάς. αἱ μὲν γὰρ σφίσιν ἑωυταῖς ξυμβάλλουσιν. αἱ δὲ διὰ τῶν φλεβίων τῶν διατεταμένων ἀπὸ τῶν φλεβῶν, αἳ τρέφουσι τὰς σάρκας ταύτῃ διαῤῥέουσι πρὸς ἑωυτάς. καὶ ἀπὸ τῶν φλεβῶν ὅτι ἂν νόσημα γένηται, ῥᾷόν ἐστιν ἢ ἀπὸ τῶν νεύρων. διαῤῥεῖ γὰρ σὺν τῷ ὑγρῷ τῷ ἐνεόντι ἐν τῇσι φλεψί, καὶ οὐκ ἀτρεμίζει. καὶ ἡ φύσις τῇσι φλεψὶν ἐν ὑγρῷ ἐστιν ἐν τῇσι σαρξί. τὰ δὲ νεῦρα ξηρά τέ ἐστι καὶ ἄκοιλα. καὶ πρὸς τῷ ὀστέῳ πεφύκασιν. καὶ τρέφονται δὲ τὸ πλεῖστον ἀπὸ τοῦ ὀστέου. τρέφονται δὲ καὶ ἀπὸ τῆς σαρκὸς, καὶ τὴν χροιὴν καὶ τὴν ἰσχὺν μεταξὺ τοῦ ὀστέου καὶ τῆς σαρκὸς πεφύκασιν. καὶ ὑγρότερα μέν εἰσι τοῦ ὀστέου καὶ σαρκὸς ἐνδεέστερα. ξηρότερα δ' εἰσὶν ἢ αἱ σάρκες καὶ ὀστέου ἐνδεέστερα. νόσημα δ' ἅτ' ἂν ἐς αὐτὰ ἔλθῃ, ῥώννυταί τε καὶ ἀτρεμίζει ἐν τῷ αὐτῷ, καὶ χαλεπόν ἐστιν ἐξάγειν. μάλιστα δ' ἐσέρχονται, τέτανοί τε καὶ ἄλλα ἀφ' ὧν τρόμος τὸ σῶμα λαμβάνει, καὶ τρέμειν ποιέει. τὰ δὲ νεῦρα πιέζουσιν τὰ ἄρθρα, παρατεταμένα τέ ἐστι παρ' ὅλον τὸ σῶμα. ἰσχύουσι δὲ μάλιστα ἐν ἐκείνοι

σιν τοῦ

σιν τοῦ σώματος, καὶ ἀεὶ παχύτατά ἐστιν, ἐν οἷσι τοῦ σώματος αἱ σάρκες ἐλάχισταί εἰσι. καὶ τὸ μὲν σῶμα πᾶν ἔμπλεον νεύρων. περὶ δὲ τὸ πρόσωπον καὶ τὴν κεφαλὴν, οὐκ ἔστι νεῦρα, ἀλλὰ ἶνες παρόμοιαι νεύροις μεταξὺ τοῦ τε ὀστέου καὶ τῆς σαρκὸς λεπτότεραι καὶ στερεώτεραι. αἱ δὲ νευροκοίλιοι. αἱ κεφαλαὶ ῥαφὰς ἔχουσιν. αἱ μὲν, τρεῖς. αἱ δὲ τέσσαρας. αἱ μὲν τέσσαρας ἔχουσαι, κατὰ τὰ ὦτα ἑκατέρωθεν, ῥαφὴ ἄλλη ἔμπροσθεν, ἄλλη ἐξόπισθεν τῆς κεφαλῆς. οὕτω μὲν ἡ τὰς τέσσαρας ἔχουσα. ἡ δὲ τὰς τρεῖς κατὰ τὰ ὦτα, ἑκατέρωθεν καὶ ἔμπροσθεν. ὥσπερ δ᾽ ἡ τὰς τέσσαρας ἔχουσα, οὐ διαπέφυκεν οὐδὲ ταύτῃ ῥαφή. ὑγιεινότεροι δ᾽ εἰσὶ τὴν κεφαλὴν, οἱ τὰς πλέονας ῥαφὰς ἔχοντες. ἐν τῇσιν ὀφρύσι διῆλθον τὸ ὀστέον, καὶ ἡ σύγκλεισις τῶν γενύων ἔν τε τῷ γενείῳ μέσῳ, καὶ ἄνω πρὸς τῇ κεφαλῇ. σπονδύλους οἱ μὲν, πλέονας. οἱ δὲ, ἐλάσσονας ἔχουσιν. καὶ οἱ μὲν πλέονας ἔχοντες, δυοῖν δεόντοιν εἰκοσίν εἰσιν, ὧν οἱ μὲν ἄνω πρὸς τῇ κεφαλῇ, οἱ δὲ κάτω πρὸς τῇ ἕδρῃ. πλευραὶ ἑπτά. τὰ μὲν, ὄπισθεν τοῦ σώματος πρὸς τοὺς σπονδύλους. τὰ δ᾽ ἔμπροσθεν ἐν τῷ στέρνῳ πρὸς ἑωυτάς. κλεῖδες ἄρθρα ἔχουσιν. τὰ μὲν ἐν μέσῳ τοῦ στέρνου κατὰ τὸν βρόγχον, κατὰ ταῦτα ἤρθρωνται. τὰ δὲ πρὸς τοὺς ὤμους κεκλιμένα πρὸς τὰς πλάτας. αἳ ὑπὸ τοῖς ὤμοις ἀεὶ πεφύκασιν. αἱ δὲ πλάται πρὸς τὰ γυῖα ἤρθρωνται, ἐπιβάλλουσαι ὑπὸ τὸ ὀστέον τὸ ἐν τῷ γυίῳ. παρὰ δὲ τὸ ὀστέον περόναι δύο παρήκουσιν. ἡ μὲν, ἔνδοθεν. ἡ δὲ, ἐκτός. αἳ πρὸς τὰς πλάτας τῷ ὀστέῳ προσπεφύκασι, ἤρθρονται κάτω. αἱ δ᾽ ἐν τῷ ἀγκῶνι, κάτω μὲν περόνῃ ἤρθρωνται, κάτω πεφύκασι, ἄνω δὲ σμικρῷ τῆς περόνης ἐπὶ τὸν ἀγκῶνα. τό τε ὀστέον καὶ ἡ περόνη ἐπὶ τὸ αὐτὸ συμβάλλοντα, ἄρθρον ἐν τῷ κυβίτῳ ποιέουσι. παρὰ δὲ τὸν πῆχυν περόναι παρήκουσι λεπταὶ πάνυ τέσσαρες. αἱ μὲν δύο, ἄνω. αἱ δὲ δύο, κάτω. καὶ πρὸς μὲν τὸν ἀγκῶνα δύο περόναι πεφύκασιν ἄνω ἐκ τοῦ ὀστέου πεφύκασιν. αὗται σὺν τῷ ὀστέῳ πεφύκασι, παρὰ τὸ τοῦ ὀστέου ἄρθρον ἤρθρωνται ἐπὶ τὸ κύβιτον. αἱ δὲ κάτω κείμεναι καὶ ἐντὸς κεκλιμέναι, αὗται ἀμφότεραι ξυμβάλλουσαι πρὸς τὴν περόνην τὴν ἄνωθεν ἀπὸ τοῦ γυίου φερομένην, ἐντὸς τοῦ γυίου ἤρθρωνται. καὶ περόνην καλευμένην ποιέουσιν, αὗται ἑωυταῖς ξυμβάλλουσαι ἐν τῷ κυβίτῳ ἐντός. κάτω δὲ πρὸς τὴν χεῖρα τὸ ὀστέον ἄρθρον ἔχει. αἱ δὲ περόναι ταύτῃ ἁπαλαὶ ἐοῦσαι. αἱ μὲν δύο, οὐκ ἐξήκουσιν ἐπὶ τὸ ἄρθρον. ἡ δ᾽ ἄνω καὶ ἡ κάτω, σὺν τῷ ὀστέῳ ἤρθρωνται πρὸς τὴν χεῖρα. αἱ δὲ χεῖρες ἄρθρα ἔχουσι πολλά. ὅσα γὰρ ὀστέα πρὸς ἑωυτὰ συμβάλλουσιν πάντα ἄρθρα ποιέουσιν. δάκτυλοι ἄρθρα ἔχουσιν πολλὰ, ἕκαστος τρία. ἓν μὲν ὑπὸ τῷ ὄνυχι ἐν μέσῳ τοῦ τε ὄνυχος καὶ τοῦ κονδύλου. ἄλλο ἐν τῷ κονδύλῳ, ᾗ καὶ ξυγκάμπτουσιν τοὺς δακτύλους. ἄλλο τρίτον, ᾗ ὁ δάκτυλος ἀπὸ τῆς χειρὸς ἀποπέφυκεν. ἐν δὲ τοῖσιν ἰσχίοισιν ἄρθρα δύο εἰσὶν αἱ κοτύλαι καλεύμεναι, καὶ οἱ μηροὶ ἐπὶ ταῦτα ἐνήρθρωνται. παρὰ δὲ τοὺς μηροὺς περόναι δύο παρήκουσιν. ἡ μὲν, ἐντός, ἡ δ᾽ ἐκτός, καὶ ἐπὶ τὸ ἄρθρον οὐδετέρη ἐξήκει, οὐδ᾽ ἑτέρωθεν, ἀλλὰ πρὸς τῷ ὀστέῳ προσπεφύκασιν πρὸς τῷ μηρῷ. ὁ δὲ μηρὸς, ἄνωθεν μὲν ᾗ ἐπὶ τὴν κοτύλην ἐμβάλλει, δικραιός ἐστι τοιῇδε δικραιότητι. ὑπὸ μὲν τοῦ ἐντὸς κεκλιμένου τῶν δικραίων ὑπὸ τοῦ ἄκρου ἐπιπέφυκεν στρογγύλον καὶ λεῖον, ὃ καὶ ἐς τὴν κοτύλην ἐμβάλλει, τὸ δ᾽ ἕτερον τὸ ἔλασσον τῶν δικραίων τὸ ἐκτὸς μᾶλλον ἔξω ἐξέχει, καὶ φαίνεται ἐν τῷ πυγαιωνάτῳ, καὶ ἰσχίον καλέεται. πρὸς δὲ τὸ γόνυ τὸ ὀστέον τοῦ μηροῦ τοιόνδ᾽ ἐστὶ δικραῖον. τῷ δὲ δικραίῳ τούτῳ τὸ ὀστέον ἡ κνήμη καλεομένη οἷον ἐν γιγγλύμῳ ἐνήρμοσται. ἄνωθεν δὲ τοῦ ἐνηρμοσμένου, ἡ μύλη ἐπίκειται, ἣ ἀποκωλύει ἐς τὸ ἄρθρον ἀναπεπταμένον ἐσβῆναι τὴν ὑγρότητα, τὴν ἀπὸ τῆς σαρκός. παρὰ δὲ τὴν κνήμην περόναι δύο παρήκουσιν, αἳ κάτωθεν μὲν, πρὸς τοῦ ποδὸς τὰ σφυρὰ τελευτῶσιν. ἄνωθεν δὲ πρὸς τοῦ γόνατος, οὐκ ἐξήκουσι πρὸς τὸ ἄρθρον. πρὸς δὲ τὸν πόδα ἡ κνήμη κατὰ τὰ σφυρὰ ἄρθρον ἔχει, καὶ ἄλλο κατώτερον τῶν σφυρῶν. καὶ ἐν τοῖσι ποσὶν ἄρθρα πολλὰ, ὥσπερ καὶ ἐν τῇσι χερσίν. ὅσα γὰρ τὰ ὀστέα, τοσαῦτα καὶ ἄρθρα. καὶ ἐν τοῖσι δακτύλοισι τῶν ποδῶν τὸν ἀριθμὸν, ἴσα κατὰ ταῦτα. ἄρθρα δὲ πολλὰ ἐν τῷ σώματι σμικρὰ, οὐχ ὁμοίως πᾶσιν, ἀλλὰ ἄλλα ἄλλοις. ταῦτα δὲ τὰ γεγραμμένα πᾶσιν ὁμοίως εἰσὶν, ἄλλα τε φλέβια εἰσὶν ἄλλοις, ἀλλ᾽ οὐκ ἄξια λόγου. μύξα πᾶσίν ἐστι φύσει. καὶ ὅταν αὕτη καθαρὴ ᾖ, ὑγιαίνουσι τὰ ἄρθρα, καὶ διὰ τοῦτο εὐκίνητά ἐστιν, ὥστε ὀλισθάνοντα πρὸς ἑωυτά. πόνος δὲ καὶ ὀδύνη γίνεται, ὅταν ἀπὸ τῆς σαρκὸς ὑγρασίῃ ῥυῇ πονησάσῃ. τὸ πρῶτον μὲν πήγνυται τὸ ἄρθρον. οὐ γὰρ ὀλισθηρὴ ἡ ὑγρότης ἡ ἐπερρυηκυῖα ἀπὸ τῆς σαρκός. ἔπειτα ὥστε πολλὴ λίην νεμομένη, καὶ οὐκ ἀρδευμένη ἐκ τῆς σαρκός, ἀεὶ ξηραίνεται. καὶ ὥστε πολλὴ ἐοῦσα, καὶ οὐ χωρεῦντος τοῦ ἄρθρου ἐκχεῖ, κακῶς τε περιεγγύα μετεωρίζει

τὰ νεῦρα, οἷσι τὸ ἄρθρον συνδέδεται. καὶ ἄδετα ποιέει καὶ διαλελυμένα, καὶ διὰ τοῦτο χωλοὶ γίνονται. καὶ ὅταν μὲν τοῦτο μᾶλλον γίνεται, μᾶλλον. ὅταν δὲ ἧσσον, ἧσσον. οὐ δὲ τὴν κοιλίην καὶ τὰ ἐσθιόμενα καὶ τὰ πινόμενα χωρέουσιν. ἐκ δὲ τῆς κοιλίης, ἶνες ἐς τὴν κύστιν, ᾗ διηθεῖ τὸ ὑγρὸν τεταμέναι εἰσίν. ῥόοι δὲ γίνονται καὶ διαψυχομένης τῆς σαρκὸς λίην, καὶ διαθερμαινομένης, καὶ ὑπερφλεγμαινούσης. ῥόοι δὲ διὰ μὲν τὸ ψῦχος γίνονται, ὅταν ἡ σὰρξ ἡ ἐν τῇ κεφαλῇ καὶ αἱ φλέβες τεταμέναι ἐῶσιν. αὗται φριξάσης τῆς σαρκὸς καὶ ἐς μικρὸν ἀφικνουμένης καὶ ἐκ φλιψάσης ἐκθλίβουσι τὴν ὑγρότητα. καὶ αἱ σάρκες ἅμα αὗται, ἀντεκθλίβουσιν ἐς μικρὸν ἀφικνούμεναι. καὶ αἱ τρίχες ἄνω ὀρθαὶ γίνονται, ὥστε πάντοθεν ἅμα ἰσχυρῶς πιεζόμεναι. ἐντεῦθεν ὅτι ἂν ἐκ φλιβῇ, ῥεῖ ᾗ ἂν τύχῃ. ῥεῖ δὲ καὶ διὰ τὴν θερμότητα, ὅταν αἱ σάρκες ἀραιαὶ γινόμεναι διόδους ποιήσωσιν, καὶ τὸ ὑγρὸν θερμανθὲν λεπτότερον γένηται. πᾶν γὰρ τὸ ὑγρὸν θερμαινόμενον, λεπτότερον γίνεται. καὶ πᾶν τὸ ὑπεῖκον, ῥεῖ. μάλιστα δ᾽ ὅταν λίην ὑπερφλεγμήνῃ, διὰ τόδε ῥεῖ. αἱ σάρκες λίην ἔμπλεαι γινόμεναι ὅτι ἂν μὴ δύνωνται χωρέειν, ῥεῖ τὸ ὑγρὸν τὸ μὴ δυνάμενον χωρέεσθαι. ῥεῖ δὲ, ᾗ ἂν τύχῃ. ἐπὴν δὲ ἅπαξ εὔροοι αἱ ῥοίαι γένωνται, ῥεῖ καὶ τὸ χωρίον ᾗ ἂν τύχῃ, ἔστ᾽ ἂν συμπιεχθῶσιν αἱ δίοδοι τοῦ ῥόου, δι᾽ ἰσχνότητα ὅταν τὸ σῶμα ξηρανθῇ. ὥστε γὰρ τὸ σῶμα κοινωνέον αὐτὸ ἑωυτῷ διαλαμβάνει καὶ ἄγει, καθ᾽ ὅτι ἂν ὑγρὸν τοῦ τύχῃ, ἐς ἑωυτὸ τὸ ξηρόν. ἄγειν δὲ οὐ χαλεπὸν αὐτό ἐστιν ὥστε τοῦ σώματος κενοῦντος καὶ οὐ συνοιδέοντος ὑπὸ ἰσχνότητος. ὅταν δὲ τὰ κάτω, ξηρὰ γένωνται, τὰ δ᾽ ἄνω, ὑγρά. μᾶλλον δὲ τὰ ἄνω ὑγρά ἐστι τεύχεα. αἱ γὰρ φλέβες ἄνω πλέονές εἰσιν ἢ κάτω. καὶ αἱ σάρκες ἐλάττονες ὑγρότητος δεόμεναι αἱ ἐν τῇ κεφαλῇ. ἄγει δὴ τὸ ξηρὸν τοῦ σώματος τὸ ἐκ τῆς κεφαλῆς ὑγρόν. καὶ ἅμα καὶ δίοδοι εἰσὶ περὶ ἄγοντι μᾶλλον, ἢ περὶ ἀγομένῳ. καὶ γὰρ αὗται κερδαίνουσιν ὥστε ξηραὶ ἐοῦσαι. καὶ ἅμα καὶ τὰ ὑγρὰ πέφυκε κάτω χωρέειν, καὶ ἢν βραχέη τις ἀνάγκη γένηται. ῥόοι δὲ ἀπὸ τῆς κεφαλῆς ἑπτά. ὁ μὲν κατὰ τὰς ῥῖνας. ὁ δὲ, κατὰ τὰ ὦτα. ὁ δὲ, κατὰ τοὺς ὀφθαλμούς, οὗτοι οἱ ῥόοι ἐμφανέες ἐκ τῆς κεφαλῆς τοῖσιν ὀφθαλμοῖσιν. ἐπὴν δ᾽ ἐς τὸν κίθαρον ῥυῇ ὑπὸ ψύχους χολὴ γίνεται. μᾶλλον δὲ ῥεῖ ἐς τὸν κίθαρον ὑπὸ ψύχους, διὰ τόδε, ὅτι εὔροον γίνεται ἐς τὸν βρόγχον. ὥστε οὐδὲ ξυγκεκαλυμμένον. ὑπὸ δὲ τοῦ ψύχους καὶ κόπος ἔχει, διὰ τοῦτο τοὺς ὑπὸ τῆς χολῆς ἐχομένους. ὅτι αἱ σάρκες, ὅταν οὗ χυμὸς ᾖ, οὐκ ἀτρεμίζουσιν, ἀλλὰ σείονται. καὶ σειόμεναι μοχθέουσιν, καὶ κοπιῶσιν. ὥστε σειόμεναι ὥσπερ ἐν τῇσιν ὁδοιπορίῃσιν καὶ ἔμπυοι γίνονται ὅταν ἐς τὸν κίθαρον ῥέῃ, καὶ φθισιῶντες. ὅταν δ᾽ ἐς τὸν μυελὸν ῥόος γένηται, φθίσις ἄλλη γίνεται. ὅταν δ᾽ ὄπισθεν ἐς τοὺς σπονδύλους, καὶ ἐς τὰς σάρκας ῥυῇ, ὕδρωψ γίνεται. καὶ περὶ μὲν οὖν γιγνώσκειν. ξηρὰ τὰ ἔμπροσθεν ᾖ, ἡ κεφαλὴ καὶ αἱ ῥῖνες καὶ οἱ ὀφθαλμοί. καὶ τοῖσιν ὀφθαλμοῖσι γίνεται ἀμβλυώσσειν, καὶ χλωροὶ γίνονται καὶ τὸ ἄλλο σῶμα. καὶ οὐκ ἀποπτύει οὐδὲν, οὐδ᾽ ἢν πολὺ ῥέῃ. ὁ δὲ γὰρ ὁ ῥόος διὰ τῆς σαρκὸς μέσης ῥέων τῆς ὄπισθεν καὶ τῆς ἔμπροσθεν ἀπεστραμμένος, ξηρὰ τὰ ἔμπροσθεν ποιέει. τὴν δ᾽ ὄπισθεν ἄρδει σάρκα. καὶ τῇ ἐντὸς μᾶλλον πρὸς τὴν κοιλίην, ἢ ἐκτὸς πρὸς τὴν ῥῖνα. διὰ τοῦτο δὲ ἐκτὸς μᾶλλον ἢ ἐντὸς στερεώτερον τὸ σῶμα, καὶ στενωτέρας διαῤῥήσιας ἔχει. ὥστε δὲ λεπταὶ ἐοῦσαι συμπιλέονται. καὶ ἀκέουσιν αὗται σφίσιν ἑωυταῖς. καὶ ῥόος οὐ δύναται ταύτῃ ἰέναι οὐδείς. αἱ δ᾽ εὐρύτεραί τε εἰσὶν αἱ ἐντὸς, καὶ λεπτότερα τὰ μεταξὺ ἔχουσαι. ὁ δὲ ῥόος, ὥστε ἀφ᾽ ὑψηλοτέρων, καὶ λεπτὰ τὰ ἀντικωλύοντα ἔχων, ῥεῖ καὶ πίμπλησιν ὑγρότητος τὰς σάρκας. καὶ ἀπὸ τῶν σιτίων ἐς τὸ αὐτὸ χωρέουσα ἡ ὑγρότης, διέφθαρται. διεφθαρμένη δ᾽ αὐτὴ ὑπὸ τῆς συμμίξιος, καὶ τὸ ῥέον σὺν αὐτῇ ἀπὸ τῆς κεφαλῆς, τρέφουσι τὸ σῶμα. λίην δὲ πολλῷ ὑγρῷ αἱ σάρκες τρεφόμεναι, καὶ νοσηλῷ θάλλουσαι, ὕδρωπος ἔμπλεαί εἰσιν. ἢν δ᾽ ὀλίγον ῥεύσῃ, ἰσχιάδα καὶ κέδματα ἐποίησεν, ἐπὴν ῥέον παύσηται. ὥστε γὰρ ὀλίγον ἐῤῥυηκὸς, καὶ πάντοθεν ὠθεύμενον ὑπὸ παντὸς κρέσσονος ἐόντος ἐς τὰ ἄρθρα ἀποφυγὴν ποιέεται. γίνεται δὲ κέδματα καὶ ἰσχιάδες καὶ ἀπὸ τοιούτων νοσημάτων ὑγιέων γινομένων. ὅταν τὸ μὲν νόσημα τὸ ποιέον ὑγιὲς γένηται. καταληφθῇ δέ τι ἐν τῇ σαρκὶ καὶ μὴ ᾖ αὐτῷ ἡ ἔξοδος. μήτ᾽ ἂν ἔσω, μήτε ἔξω, ἀλλ᾽ ἐς τὸ δέρμα φῦμα ποιήσῃ, οὐ ξιὸν φεύγει ἐς τὸ ὑπεῖκον ἐς τὰ ἄρθρα, καὶ ἢ κέδματα, ἢ ἰσχιάδα ἐποίησεν. ἢν δὲ συνοιδήσωσιν αἱ ῥῖνες, καὶ φλέγματος ἔμπλεαι ἔωσιν συμπεπηγότος τούτου, χρὴ τὸ φλέγμα τὸ συμπεπηγὸς λεπτύνειν ἢ πυρίῃσιν, ἢ φαρμάκῳ, καὶ μὴ ἀποτρέπειν. ἢν γὰρ ἀποτρεφθὲν ἄλλῃ πορεύσηται, ἐπαύτῃ τὸ ῥέεθρον μείζονα νόσον ποιέει. ὁπόταν δὲ ἐς τὰ ὦτα ῥέῃ, τὸ πρῶτον ὀδύνην παρέχει. βίῃ γὰρ χωρέει. πόνον δὲ παρέχει, ἔστ᾽ ἂν ἀποσυριγγωθῇ. ἐπὴν δὲ μάθῃ ῥέειν, οὐκέτι πόνον ποιέει. περὶ ὑπὸ τῆς ὀδύνης ἐχομένῳ φάρμακον θερμὸν

φύσει

φύσῃ χλιαρὸν ποιήσαντα, διὰ τὰ μετώπω ἐγχεῖν. καὶ ὄπισθεν σικύην ἐμβάλλειν. ἢν τὸ ἀριστερὸν ἀλγέῃ, ἐς τὸ δεξιόν. καὶ ἢν τὸ δεξιὸν, ἐς τὸ σκαιόν. μὴ καταγκρύειν δὲ, ἀλλ᾽ ὡς ἂν ἕλκῃ μοῦνον. ἢν δὲ μὴ πρὸς ταῦτα παύηται, ψύχοντα ἐγχεῖν φύσῃ ψυχρᾷ καὶ φάρμακον πίσαι, ὅ,τι ἂν κάτω ὑποχώρησιν ποιέῃ. ἄνω δὲ μὴ, ὥσπερ οὐδ᾽ ἀρχὴν ἐμέειν καὶ τὰ ἄλλα ψύχειν. καὶ ἀεὶ δὲ ἐκ τοῦ ὑγιὲς μὴ ποιέοντος τρόπου, μεταλλάσσειν. καὶ ἢν μὲν κάκιον ποιέῃ, ἔχου δὲ τὸ ὑπεναντίον. ἢν δὲ ἐξίῃ ἐς τὸ ὑγιὲς, τὸ πάμπαν μὴ ἀφελεῖν τι τῶν προσφερομένων, μὴ δ᾽ ἀρχὴν συγῆσαι μὴ δὲ προσθεῖναι ἄλλο τι. ἢν δὲ ἐσυριγγωμένον ἤδη ᾖ καὶ πεπυωμένον ῥέῃ ἰχὼρ πουλὺς, καὶ κακὸν ὀζόμενος, τοῦτον ὧδε ποιέειν. σπογγιὰν δεύων ξηραίνοντι τινὶ φαρμάκῳ ξηρῷ, πρὸς τὴν ἀκοὴν ὡς πελασάτω προσθεῖναι. καὶ πρὸς τὰς ῥῖνας καθαρτήριον, ὅπως τὸ ἐς τὰ ὦτα ῥέοντος, πρόσθεν ἐς τὰς ῥῖνας φέρηται, καὶ μὴ ἐς τὴν κεφαλὴν πάλιν ἀποχωρέῃ, νοσηλὸν ἐόν. ὅταν δ᾽ ἐς ὀφθαλμοὺς ῥεῦμα ἴῃ, φλεγμαίνουσιν οἱ ὀφθαλμοὶ καὶ οἰδέουσιν. τοῦτον χρὴ φαρμάκῳ ἢ τῷ ὑγρῷ ἢ τῷ ξηρῷ ἐν πασῷ ἰᾶσθαι. ἢν δ᾽ αὐτέως φλεγμήνωσιν μὴ ἔγχει μηδὲν, ἀλλ᾽ ἢ καῦσαι κατωτάτω ἰσχυροτάτῳ, ἢ ἄλλῳ τινὶ ἀπισχναίνειν ὑποχωρητικῷ φαρμάκῳ, φυλασσόμενος μὴ ἔμετον ποιήσῃς. ἢν δὲ οἷον λίθοι ὑποτρέχωσιν, φάρμακον ἐγχέειν ὅ,τι πλεῖστον ἄγειν δάκρυον μέλλει. καὶ τὸ ἄλλο σῶμα ὑγραίνοντα καὶ φλεγμαίνειν ποιέοντα, ὡς ὑγρότεροι οἱ ὀφθαλμοὶ γίνωνται καὶ ἐκκεκλυσμένοι, ὡς τὸ δάκρυον συμπεπηγὸς ὑποβρέχειν ποιέῃς. ὅταν δ᾽ ἐς τοὺς ὀφθαλμοὺς κατὰ σμικρὸν ῥέῃ, καὶ κνιπότητα παρέχῃ, τοῦτον ἐγχέειν μαλθακώδει, ὅ,τι μέλλει ξηραίνειν ἅμα καὶ δάκρυον ὀλίγον ἄγειν. καὶ πρὸς τὰς ῥῖνας φάρμακον προσφέρειν ἢ ἑκάστης ἡμέρης, ἢ διὰ τρίτης τῷ αὐτῷ χρώμενος. τὸ δὲ ἔσω τὸ φάρμακον, ὅ,τι μὴ πλεῖον ἢ ἐμβάλλειον ἀπάγειν μέλλει κατὰ τὰς ῥῖνας. ἀπάγειν δὲ κατὰ σμικρὸν, τὸ δὲ κατὰ τοὺς ὀφθαλμοὺς ἀποξηραίνειν. ὡς ὅτι ἂν τὸ τῶν ὀφθαλμῶν φάρμακον ἀποξηρήνῃ καὶ ἀποφράξῃ, καὶ κατὰ τὰς ῥῖνας ἀποτράπηται. τὰ δὲ φάρμακα τὰ τῆς κεφαλῆς καθαρτήρια, ἃ μὲν αὐτῶν ἰσχυρά ἐστιν, ἀπὸ τῆς κεφαλῆς ἄγουσιν ὅλης. ὅσα δὲ ἀσθενέα, ἀπὸ τῶν ὀφθαλμῶν. καὶ αὐτόθεν ἀπὸ τῶν πέλας τῆς ῥινός. ἢν δ᾽ ἀπὸ τῆς σαρκὸς καὶ τοῦ ὀστέου μύξης ὑποστάσης μεταξὺ τοῦ ὀστέου καὶ τῆς σαρκὸς ῥεῦμα ἐς τοὺς ὀφθαλμοὺς ἐγγένηται, τῷδε δῆλόν ἐστιν, ὅτι ἐντεῦθεν ῥεῖ τὸ ῥεῦμα τὸ ὦτι τῇ κεφαλῇ φλιβόμενον καὶ ὑπείκει, καὶ ἕλκεα ἐς τὴν κεφαλὴν ἐκθύουσιν, καὶ κατὰ τοὺς ὀφθαλμοὺς δακρύουσιν. καὶ οὐχ ἑλκοῦνται τὰ βλέφαρα, οὐδὲ διάκνει, οὐδ᾽ ἀμβλυώσσειν ποιεῖ, ἀλλ᾽ ὀξὺ ὁρῶν γίνεται. τὸ γὰρ ῥεῦμα οὐχ ἁλμυρόν ἐστιν, ὡς οὐκ ἀπὸ τοῦ ἐγκεφάλου, ἀλλὰ μυξῶδες μᾶλλον. τοῦτον ὧδε χρὴ ἰᾶσθαι. φαρμάκῳ καθαίρειν χρὴ τὴν κεφαλὴν μὴ ἰσχυρῷ. καὶ τὸ σῶμα ἰσχναίνειν, καὶ σιτίοισι καὶ φαρμάκοισι κάτω ὑπάγοντα, ὡς ἀποξηρανθῇ ἰσχναινομένου τοῦ σώματος, ἢ ἐκτραφθῇ τῷ κατὰ τὰς ῥῖνας προστιθεμένῳ φαρμάκῳ. πρὸς δὲ τοὺς ὀφθαλμοὺς οὐδὲν δεῖ φάρμακον προσφέρειν. ἢν δὲ μὴ δ᾽ οὕτως ὑγιὲς γίνηται, τὴν κεφαλὴν κατὰ τάμνειν ἐς ἂν πρὸς τὸ ὀστέον ἵκῃς, μὴ μετεώρους, μὴ δ᾽ ἐπικαρσίους τὰς τομὰς ποιέειν. τάμνειν δὲ ἄχρι τούτου, ἄχρις ἂν τοῦ ὀστέου θίγῃς. τάμνειν δὲ πυκνὰ, ὡς ἂν τὸ συνεχὲς ἐξέλθῃ βάθος διὰ τῶν ἑλκέων ἀποῤῥέον. ἅμα δὲ αἱ τομαὶ πυκναὶ ἐοῦσαι πρόστασιν ποιέωσιν τῇ σαρκὶ πρὸς τὸ ὀστέον. οὕτως ἰᾶσθαι δεῖ, ἐν τούτῳ ὧδε ἡ ἀπόλυσις γίνεται. ἢν μὴ ταῦτα εὐτρεπῆ εἴη οὐκ ἐκκέκλυσαι, ὥστε ἐκκλυζομένῳ ὀξὺ ὁρᾶν ποιέειν, αἰεὶ τῷ ἐφισταμένῳ μαρμαρυγώδης μᾶλλον γίνεται, καὶ τὸ ὀξὺ ὁρῶν τοῦ ἀνθρώπου ἀποσβέννυται. ἢν δ᾽ ἐς τὴν ὄψιν ἐὸν τὸ ὑγρὸν καθαρὸν, αἱματῶδες τι ἐσέλθῃ ὑγρὸν, τούτῳ ἡ ὄψις ἔνδον ἐμφαίνεται τοῦ ὀφθαλμοῦ, οὐ στρογγύλον ἐὸν διὰ τόδε. ἐν ᾧ ἂν τὸ αἱματῶδες ἐνῇ, τοῦτο οὐκ ἐμφαίνεται, τούτῳ δὴ ἐλλείπει τὸ φαινόμενον περιφερὲς εἶναι. καὶ περικινέεσθαι αὐτῷ δοκεῖ περὶ τῶν ὀφθαλμῶν. καὶ οὐδὲν κατ᾽ ἀλήθειαν ὁρᾷ. τούτου χρὴ τὰς φλέβας ἀποκαίειν, τὰς πιεζούσας τὰς ὄψεις, αἳ σφύζουσιν αἰεὶ καὶ μεταξὺ τοῦ τε ὠτὸς, καὶ τοῦ κροτάφου πεφύκασι. καὶ ἐπειδὰν ταύτας ἀποφράξῃς, πρὸς τοὺς ὀφθαλμοὺς φάρμακα ὅσα ὑγραίνει πρόσφερε. καὶ δάκρυον ἄπαγε ὡς πλεῖστον, ὅπως τὸ συνεχὲς ἐν τοῖσιν ὀφθαλμοῖσιν ἐκκλυσθῇ, τὸ τὴν νοῦσον παρέχει. ἢν δ᾽ ὀφθαλμὸς ῥαγῇ, μαλθακοῖσι φαρμάκοισιν χρῆσθαι, καὶ στρυφνοῖσιν. ὡς στυφόμενον τὸ ἕλκος ἐς μικρὸν συνίῃ, καὶ ἡ οὐλὴ λεπτὴ ᾖ. ὅταν δ᾽ ἄρ᾽ ἐπηγείη) * δακρύειν τῷ ὀφθαλμῷ ἀρκεῖ. ὁπόταν δὲ ἐς τὸ κύθαρ) ῥέῃ καὶ χολὴ ᾖ, τῷδε δῆλόν ἐστιν. ὀδύνη ἔχει ἐς τὴν λαπάρην. καὶ ἐς τὴν κληῖδα πρὸς τὴν ἐς τὴν λαπάρην, καὶ πυρετὸς, καὶ ἡ γλῶσσα τὰ ἄνω χλωρὴ γίνεται. καὶ ἀποχρέμπτεται ξυμπεπηγότα. ταύτης τῆς νόσου ἑβδομαίῳ ὁ κίνδυνός ἐστιν ἢ ἐννεαταίῳ. Ὁπόταν ἀμφότερα τὰ πλευρὰ ἀλγέῃ τὰ δ᾽ ἄλλα ὅμοια ᾖ τῇ ἑτέρῃ. αὕτη μὲν περιπλευμονίη ἐστίν. ἡ δ᾽ ἑτέρη πλευρῖτις.

αὗται δὲ γίνονται διὰ τόδε. ὅταν οὖν τὸν πλεύμονα ῥεύσῃ ἐκ τῆς κεφαλῆς διὰ τοῦ βρόγχου καὶ τῶν ἀρτηριῶν, ὁ πνεύμων ἅτε ψαφαρὸς ἐὼν καὶ ξηρὸς φύσει, ἕλκει ἐφ᾽ ἑωυτὸν τὸ ὑγρὸν ὅτι ἂν δύνηται. καὶ ἐπὴν εἰσρεύσῃ, μέζων γίνεται. καὶ ὅταν μὲν οὖν ὅλον ῥεύσῃ, μέζων ὁ λοβὸς γενόμενος, ἀμφοτέρων ἔψαυσεν τῶν πλευρέων, καὶ περιπλευμονίην ἐποίησεν. ὅταν δὲ τῆς ἑτέρης μοῦνον, πλευρῖτις ἤ. ἡ περιπνευμονίη πολὺ ἐπικινδυνωτέρη ἐστὶ, καὶ ὀδύναι πολὺ ἰσχυρότεραι ἐνσιν αἳ ἂν τὰς λαπάρας καὶ ἐς τὰς κληΐδας. καὶ ἡ γλῶσσα πολὺ ὠχροτέρη. καὶ τὴν φάρυγγα ἀλγεῖ ὑπὸ τοῦ ῥεύματος, καὶ κόπος ἔχει ἰσχυρὸς, καὶ πνεῦμα ἑκταῖον ἢ ἑβδομαῖον λάζεται. τούτων ἢν μὴ ἑβδομαῖον ὁ πυρετὸς ἀφῇ, ἀποθνήσκει καὶ ἀποπνίγεται, ἢ ἀμφότερον. ἢν δ᾽ ἐνναταῖον δύο ἡμέρας διαλιπὼν λάζηται ὡς τὰ πολλὰ, καὶ οὗτος ἢ ἀποθνήσκει, ἢ ἔμπυος διαφεύγει. ἢν δὲ δωδεκαταῖον, ἔμπυος γίνεται. ἢν δὲ τεσσαρεσκαιδεκαταῖον, ὑγιὴς γίνεται. καὶ ἔμπυοι οὗτοι ὑπὸ περιπλευμονίης ἢ πλευρίτιδος γίνονται, οὐκ ἀποθνήσκουσιν, ἀλλ᾽ ὑγιέες γίνονται. ὡς τὰ πολλὰ ἔμπυοι γίνονται, ὅταν ῥεῦμα ἐς τὸ αὐτὸ ὥσπερ ἐπὶ τῇσι χολῇσιν γένηται. ἀλλὰ τῇσι μὲν χολῇσι, πολὺ ἀπορρέει, καὶ ἀπορρεῦσαν παύεται. τοῖσι δ᾽ ἐμπύοισιν ἔλασσόν τε ῥεῖ καὶ οὐ παύεται. καὶ ἔμπυοι γίνονται, ὅταν ἔλασσον ἀποχρέμπτωνται ἢ ἐπιρρέει ἐς τὸν πλεύμονα. τοῦτο γὰρ τὸ ἐν τῷ πλεύμονι συνιστάμενόν τε καὶ ἐπιρρέον, πῦον γίνεται. τὸ δὲ πῦον συνιστάμενον ἐν τῷ πλεύμονι καὶ ἐν τῷ κιθάρῳ, ἑλκοῖ καὶ σήπει. καὶ ἐπὴν ἑλκωθῇ, ἀπὸ τῶν ἡλκωμένων ἐπιρρέει, καὶ ἐπαναχρεμπτομένου. ἅμα μὲν ἡ κεφαλὴ μᾶλλον ῥεῖ σειομένη. ἅμα δὲ ἐκ τῶν ἡλκωμένων ἐν τῷ κιθάρῳ καὶ τῷ πλεύμονι μᾶλλον ῥεῖ. καὶ τὰ ἕλκεα κινεύμενα ἐπαναρρήγνυται. ὥστε καὶ εἰ παύσαιτο τὸ ἀπὸ τῆς κεφαλῆς ῥέον, τὸ ἀπ᾽ αὐτέων τῶν ἑλκέων ἱκανὸν ἔσται νοῦσον παρέχειν. γίνεται δὲ καὶ ἀπὸ ἕλκους ἔμπυος καὶ ῥᾴων αὕτη ἡ νοῦσος. γίνεται δὲ καὶ ἐκτὸς τοῦ πλεύμονος. μάλιστα μὲν ἀπὸ ῥήγματος, καὶ ὅταν ἡ σὰρξ φλασθῇ. κατὰ τοῦτο γὰρ πῦον ξυνίσταται, καὶ συνιστάμενον εἴ τις σείῃ τὸ σῶμα, κλυδάζεται, καὶ ψόφον παρέχει καὶ καίονται ταῦτα. φθίσις δὲ γίνεται, ὅταν ἐς τὸ αὐτὸ, ὥσπερ τῷ ἐμπύῳ, ὁ ῥόος γένηται διὰ τοῦ βρόγχου καὶ τῶν ἀορτέων αἳ ξυνέχουσι τὸν πλεύμονα καὶ τὸν βρόγχον. ἐς δὲ τὸν πλεύμονα ῥέει θαμινὰ κατ᾽ ὀλίγον, καὶ ὑγρότητα ἐν τῷ πλεύμονι μὴ ποιέει πολλήν. ξηραινόμενον γὰρ τὸ ἐπιρρέον ἐν τῷ βρόγχῳ πεπηγὸς, ὥστε οὐκ ἐκκλυζόμενον, ἀλλὰ κατ᾽ ὀλίγον ἐπιρρέον καὶ ἐνεχόμενον, βῆχα ποιέει. ἔν τε τῇσιν ἀορτῇσιν ἐνεχόμενον τὸ ῥέον, ὥστε στενὰς διατρήσιας ἐχούσας τὰς ἀορτὰς, στενοχωρίην τῷ πνεύματι παρέχει, καὶ τοῦτο ποιέει πνεῦμα ἔχειν. ὥστε γὰρ ἀναλιπόμενον ἀεὶ ἐπιθυμέει ἀναπνεῖν καὶ ἐν τῷ πλεύμονι, ὥστε οὐκ ἰσχυρῶς ὑγρῷ ἐόντι, ξυσμὸς ἐγγίνεται. ὅταν δὲ πολὺ ἀπορροῇ τῆς κεφαλῆς οὔτ᾽ ἐν τῷ πλεύμονι ξυσμὸς γίνεται. πολὺ γὰρ αὐτέῳ τὸ ἐπιρρέον ἐστὶ, καὶ ἔμπυοι ἐκ τῶν φθισίων τούτων γίνονται, ὅταν ὑγρότερον τὸ σῶμα γένηται. καὶ ὅταν ξηρότερον γένηται, ἐκ τῶν ἐμπύων φθισιῶντες. ἔμπυοι τῷδε δῆλοι γίνονται. τὴν λαπάρην ἀρχομένων πόνος ἔχει. ἐπὴν δὲ πῦον ξυνεστήκει ἤδη, ὅτε πόνος ὁμοίως ἔχῃ, βήξ τε γίνεται, καὶ ἐπαναχρέμπτεται πῦον, καὶ πνεῦμα ἔχει. ἢν δὲ μήπω ἐρρώγῃ ἐν τῇ λαπάρῃ, σείεται καὶ ψοφέει οἷον ἐν ἀσκῷ. ἢν δὲ τούτων μηδὲν προσέῃ, ἔμπυος δὲ ᾖ, τοῖσιδε χρὴ τεκμαίρεσθαι. πνεῦμα πουλὺ ἔχει, φθέγγεταί τε ὑποβραγχότερον. καὶ οἱ πόδες οἰδέουσι καὶ τὰ γούνατα. μᾶλλον δὲ κατὰ τὴν λαπάρην ἐν ᾗ τὸ πῦον ἐστί. καὶ ὁ κιθαρος συγκεκαμμένος ἐστί. καὶ λυσιγυῖα γίνεται καὶ ἱδρὼς περιχέεται ὅλον τὸ σῶμα. καὶ τοτὲ μὲν δοκέει, θερμὸς αὐτὸς ἑωυτῷ εἶναι. τοτὲ δὲ, ψυχρός. καὶ οἱ ὄνυχες περιτεταμένοι εἰσί. καὶ ἡ κοιλίη θερμὴ γίνεται. τούτοισι χρὴ γινώσκειν τοὺς ἐμπύους. ὅταν δ᾽ ὄπισθεν ῥεύσῃ ἐς τὴν ῥάχιν φθίσις γίνεται τούτῳ τοιάδε. τὴν ὀσφὺν ἀλγεῖ καὶ τὰ ἔμπροσθεν τῆς κεφαλῆς κενὰ δοκέουσιν αὐτῷ εἶναι. χολὴ δὲ. τὰ δ᾽ ἐστὶν ἐπικίνδυνα. ἴκτερος ἢν ἐπιγένηται ἐν τοῖσιν ὀφθαλμοῖσιν, καὶ ἐν τοῖσιν ὄνυξιν πελιδνὰ ὅταν γένωνται. καὶ ἐς τὸ σῶμα ὅταν ἔχῃ ἕλκεα, καὶ τὰ περὶ τὰ ἕλκεα, πελιδνὰ ᾖ. καὶ ὁ ἱδρὼς ὁκόταν μὴ καθ᾽ ὅλον τὸ σῶμα ἐκθύῃ, ἀλλὰ καθ᾽ ἓν μέρος τοῦ σώματος. καὶ ὅταν τοῦ πυρετοῦ ἔτι ὄντος ἐπαναχρέμπτηται χλωρόν. ἢ ἐνεόντος ἐν τῷ πλεύμονι ἔτι τοῦ χλωροῦ, ἡ ἐπανάχρεμψις παύσηται. τοῦτο δὲ δεῖ γινώσκειν ὅταν ἐνῇ καὶ ὅταν μὴ ἐνῇ. ὅταν ἐνῇ ἐμψοφεῖ ἐν τῇ φάρυγγι ἀναπνέοντος, καὶ πνεῦμα ἐπικίνδυνον καὶ λὺξ, καὶ ὁ πυρετὸς ἀπιὼν, ἀποχρέμματος ἔτι ἐν τῷ πλεύμονι ἐόντος. καὶ ἡ κοιλίη ἀλγινέος ἤδη ἐόντος ὑποχωρέουσα. ταῦτα πλευρίτιδος καὶ περιπλευμονίης ἐπικίνδυνα. πλευρῖτιν ὧδε χρὴ ἰᾶσθαι. τὸν πυρετὸν μὴ παύειν ἑπτὰ ἡμερέων. ποτῷ δὲ χρήσθω, ἢ ὀξυμελικρήτῳ, ἢ ὄξει, καὶ ὕδατι. ταῦτα

δὲ χρὴ

δὲ χρὴ προσφέρειν ὡς πλεῖστα, ὡς ἐπίτεγξις γένηται καὶ γινομένη ἐπανάχρεμψιν ποιέῃ. καὶ τὴν ὀδύνην παύειν θερμαντηρίοισι φαρμάκοισιν, καὶ καταῤῥοφεῖν διδόναι, ὅ, τι ἐπανάχρεμψιν ποιήσει. καὶ λουτροῖσι χρῆσθαι τεταρταίοισιν. τῇ δὲ πέμπτῃ καὶ τῇ ἕκτῃ χρίειν ἐλαίῳ. τῇ δὲ ἑβδόμῃ λούειν, ἢν μὴ ὁ πυρετὸς μέλλῃ ἀφιέναι, ὡς ὑπὸ τοῦ λουτροῦ ὁ ἱδρὼς ἐγγένηται. καὶ ἔτι τῇ πέμπτῃ καὶ τῇ ἕκτῃ ἰσχυροτάτοισι χρῆσθαι τοῖσιν ἐπαναχρεμπτηρίοισι φαρμάκοις, ὡς τὴν ἑβδόμην ὅτι ῥήϊστα ἡμέρην ἀγάγῃ. ἢν δὲ μηδὲ τῇ ἑβδόμῃ ἡμέρῃ παύσηται, τῇ ἐννάτῃ παύσεται, ἢν μήτι ἄλλο τῶν ἐπικινδύνων γένηται. ἐπὴν δὲ ὁ πυρετὸς ἀφῇ, ῥοφήματα ὡς ἀσθενέστατα ποιέων προσφέρειν. ἢν δὲ ἰνηθμὸς ἐγγένηται, ἢν μὲν ἔτι νεαροῦ τοῦ σώματος ἐόντος, τῶν ποτῶν ἀφαιρέειν. ἢν δὲ τοῦ πυρετοῦ ἀφιέντος, πυρίνοις τοῖς ῥοφήμασι χρέω, καὶ τὴν περιπλευμονίην τὸν αὐτὸν τρόπον ἰῶ. τοὺς ἐμπύους καθαίρειν τὴν κεφαλὴν, μὴ ἰσχυροῖσι φαρμάκοισιν, ἀλλὰ κατὰ μικρὸν ἀποτρέπειν ἐς τὰς ῥῖνας, καὶ ἅμα διαχωρητικοῖσιν σιτίοισι χρῆσθαι. καὶ ἐπὴν ἡ ἀρχὴ τοῦ νοσήματος μηκέτι ᾖ, ἀλλ᾽ ἐκτρέπεται ὁ ῥόος, ἐπανάχρεμψιν ποιέεσθαι. καὶ βῆχα ποιέειν. καὶ ἐγχύτοισι φαρμάκοισιν χρῆσθαι. καὶ σιτίοισιν ἅμα. ὁπόταν δὲ δεῖ ἀπόχρεμψιν ποιέεσθαι, καὶ πλείοσι σιτίοισι καὶ ἀλυκοῖσι χρῆσθαι καὶ λιπαροῖσι. καὶ οἴνῳ αὐστηρῷ. καὶ βῆχα ποιέειν ὁπόταν ὧδε ἔχῃ. καὶ τοὺς ὑπὸ τῆς φθίσιος τὸν αὐτὸν τρόπον τἄλλα, πλὴν τὰ σιτία μὴ πολλὰ ἅμα. καὶ τὰ ὄψα μὴ πλέονα ἢ τὰ σιτία, καὶ τῷ οἴνῳ ὑδαρεῖ χρῶ ἐπὶ τῷ σιτίῳ, ὡς μὴ θερμαίνῃ, καὶ τῷ σώματι ἀσθενεῖ ἐόντι θερμότητα παρέχῃ, καὶ ἅμα ἀμφότερα θερμαίνωσιν ἐν τῷ αὐτῷ χρόνῳ, καὶ θερμωλὴν ποιέουσιν ῥεῦμα πουλύ. ὁπόταν διὰ τοῦ οἰσοφάγου ἐπὶ τὴν κοιλίην ῥεύσῃ νοῦσις γίνεται κάτω. ἔστι δ᾽ ὅτε καὶ ἄνω. τούτῳ ἢν μὲν ὀδύνη ἐνῇ ἐν τῇ γαστρὶ, ὑπεξάγειν πρῶτον φαρμάκῳ ἢ χυλῷ. ἔπειτα φαρμάκῳ ἰσχυροτέρῳ χρῆσθαι. τοῖσι δὲ σιτίοισι διαχωρητικοῖσιν ἕως ἂν ἡ ὀδύνη ἔχῃ. ἐπὴν δὲ παύσηται ἡ ὀδύνη, καὶ τοῖσι σιτίοισιν ἰσχυντηρίοισι χρῆσθαι. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὴν πολλὰς ἡμέρας ἡ νοῦσις ἔχῃ, ἰᾶσθαι. ἢν δὲ ἀσθενὴς ᾖ καὶ μὴ δύνηται προσφέρεσθαι ὑπὸ ἀσθενείης, κλύζειν πρῶτον μὲν χρὴ χυλῷ πτισάνης. ἔπειτα ἐπὴν τοῦτο καθήρῃς, τῶν στυφόντων τινί. ὁπότε δ᾽ ἐς τὴν σάρκα ὄπισθεν παρὰ τοὺς σπονδύλους ῥεύσαντας ὕδρωπα ποιήσῃ, ὧδε χρὴ ἰᾶσθαι. καίειν τὴν σάρκα τὴν ἐν τῷ τραχήλῳ μεταξὺ τῶν φλεβῶν ἐσχάρας τρεῖς. καὶ ἐπὴν καύσῃς, ξυνάγειν καὶ ποιέειν ὡς ἰσχνοτάτας οὐλάς. καὶ ἐπὴν ἀποφράξῃς πρὸς τὰς ῥῖνας φάρμακον πρόσφερε, ὡς ἐκτρέπηται καὶ ἀσθενὲς αὖθις, ἕως ἂν ἀποτρεφθῇ. καὶ τὰ μὲν ἔμπροσθεν τῆς κεφαλῆς, θέρμαινε. τὰ δ᾽ ὄπισθεν, ψύχε. καὶ ἐπὴν τὸ ἐκθερμασμένον ᾖ τὰ ἔμπροσθεν τῆς κεφαλῆς, σιτία ἐσθίειν τὰ φλεγματωδέστατα, καὶ ἥκιστα διαχωρητικὰ, ὡς ὅτι μάλιστα διευρυνθῶσιν αἱ ῥοιαὶ αἱ ἔμπροσθεν τῆς κεφαλῆς. ἔπειτα δ᾽ ἐπὴν ἀποφράξῃς καὶ ἀποτρέψῃς τὴν ἐπίῤῥησιν, ἤν τι πρὶν ἢ εὐτρεπίζειν τὸ ῥεῦμα ἐπὶ τὸ σῶμα ἔλθῃ, ὧδε χρὴ ἰᾶσθαι. ἢν μὲν μᾶλλον πρὸς τὸ δέρμα ἐκκεχωρηκὸς ᾖ, τὰ ἔξωθεν περιαιρέοντα. ἢν δ᾽ ἔνδον πρὸς τὴν κοιλίην, ἔξωθεν δὲ μὴ δῆλον ᾖ, φάρμακον πιπίσκοντα. ἢν δ᾽ ἐπ᾽ ἀμφότερα, ἀμφοτέρων ἀφαιρέειν. ἐπιτηδεύειν δὲ χρὴ ἐγγυτάτην ἔξοδον ποιέειν, ἤν τε κάτω, ἤν τε ἄνω, ἤν τε ἄλλῃ ὅπῃ τοῦ σώματος ἔξοδοί εἰσιν. ὁπόταν ἰσχιὰς ἀπὸ ῥόου γένηται, σικύην χρὴ προσβάλλειν, καὶ ἕλκειν ἔξω, καὶ μὴ κατακρούειν, καὶ ἔνδοθεν θερμαντήρια φάρμακα πιπίσκοντα διαθερμαίνειν, ὅπως ἔξοδος ᾖ καὶ ἔξω ἐς τὸ δέρμα ὑπὸ τῆς ἑλκύσιος τῆς σικύης, καὶ ἐντὸς πρὸς τὴν κοιλίην ὑπὸ τῆς θερμασίης. ὁπόταν γὰρ ἀποφραχθῇ, καὶ μὴ ἔχῃ ὅπῃ ὁδοιπορέῃ, ὁδοιπορέουσα ἐπὶ τὰ ἄρθρα ῥεῖ ἐς τὸ ὕπεικον, καὶ ἰσχιάδα ποιέει ἢ ὄπισθεν φθίσιν. τούτῳ τὴν κεφαλὴν καθαρτέον ἀσθενεῖ φαρμάκῳ, ἕως ἂν ἀποτρεφθῇ ὁ ῥόος. καὶ τῇ διαίτῃ, ὥσπερ ἔμπροσθεν χρέω. φάρμακον δὲ πίσον ἐλατήριον. καὶ κάτω γάλακτι κλύζειν. τὰ δ᾽ ἄλλα πυρίῃσιν ἰῶ. ἐπὴν ὁ σπλὴν ὑπὸ πυρετοῦ μέγας γένηται. γίνεται δὲ ὅταν τὸ σῶμα λεπτυνθῇ. τοῖσι γὰρ αὐτοῖσιν ὅ τε σπλὴν θάλλει καὶ τὸ σῶμα φθίνει. ὅταν δὲ τὸ σῶμα λεπτὸν ᾖ καὶ ὁ σπλὴν θάλλῃ καὶ τὸ ἐπίπλοον ἅμα τῷ σώματι λεπτυνθῇ, ἡ πιμελὴ ἡ ἐν τῷ ἐπιπλόῳ ἐκτήκεται. ἐπὴν δὲ ταῦτα κενὰ πιμελῆς γένηται, καὶ ἀπὸ τοῦ σπληνὸς θάλλοντος ἀποῤῥέοι ἐς τὸ ἐπίπλοον, ὡς ἐγγύτατα ἐὸν τὸ ἐπίπλοον, ὥστε τεύχεα ἔχον, καὶ ταῦτα κενεὰ ἐσδέχεται. καὶ ἐπὴν τὸ νόσημα ἅπαξ ἐν τῷ σώματι γένηται, ἐς τὸ νοσερὸν τρέπεται, ἢν μή τις εὐτρεπίζῃ. ὡς καὶ τὸ εὐτρεπιζόμενον ἐπικινδύνως. τοῦτον ὧδε ἰᾶσθαι. φάρμακα πιπίσκειν ὑφ᾽ ὧν ὕδωρ καθαίρεται καὶ σιτία τὰ φλεγματωδέστατα διδόναι. ἢν δὲ μὴ δι᾽ οὕτω ῥάων γένηται, καίειν ὡς λεπτότατα καὶ ὡς ἐπιπο-

λαιότατα, ὅπως τὸ ὕδωρ ἴσχειν δύνῃ περὶξ τοῦ ὀμφαλοῦ κύκλον καὶ διὰ τὸν ὀμφαλὸν μίαν, καὶ ἀφιέναι ἑκάστης ἡμέρης τῶν νοσημάτων, ὅτι ἂν ἐπικινδυνότατόν ἐστιν. ἐν τούτοισι παρακινδυνεύειν χρή. ἐπιτυχὼν μὲν γὰρ ὑγιᾶ ποιήσεις. ἀτυχήσας δ' ὅπερ καὶ ὡς ἔμελλε γίνεσθαι, τοῦτ' ἔπαθε. παιδίῳ δὲ χρὴ ὕδρωπα ὧδε ἰᾶσθαι. τὰ οἰδέοντα καὶ ὕδατος ἔμπλεα διοίγειν μαχαιρίῳ, πυκνὰ καὶ σμικρὰ διοίγοντα. διοίγειν δὲ ἐν μέρει ἑκάστῳ τοῦ σώματος. καὶ πυριῆσι χρῆσθαι. καὶ αἰεὶ τὸ διοιγόμενον χρίειν θερμαντηρίῳ φαρμάκῳ. πλευρῖτις ξηρὴ ἄνευ ῥόου γίνεται ὅταν ὁ πλεύμων λίην ξηρανθῇ ὑπὸ δίψης ἀναγκαίης. ὁ γὰρ πλεύμων, ἅτε ξηρὸς ἐών, ἐπὴν ἔτι μᾶλλον ξηρανθῇ τῆς φύσιος, ἰσχνὸς γίνεται καὶ ἀκρατὴς γενόμενος καὶ κλιθεὶς ἐς τὸ πλευρὸν ὑπ' ἀκρασίης, ψαύει τοῦ πλευροῦ. καὶ ἐπὴν θίγῃ ὑγροῦ ἐόντος ἅπτεται, καὶ πλευρῖτιν ποιεῖ. τότε δὲ καὶ ὀδύνη γίνεται διὰ τὸ πλευρὸν καὶ ἐς τὴν κληῖδα. καὶ πυρετός. καὶ ἐπαναχρέμπτεται λευκόν. τοῦτον χρὴ πολλοῖσι ποτοῖσιν ἰᾶσθαι. καὶ λούειν. καὶ τῆς ὀδύνης φάρμακον διδόναι. καὶ τἄλλα τὰ ἀναχρέμψιν ποιεῦντα. οὗτος ἐν ἡμέρῃσιν ἑπτὰ ὑγιὴς γίνεται. καὶ τὸ νόσημα ἀκίνδυνόν ἐστιν. καὶ σιτία οὐ χρὴ διδόναι. πυρετοὶ δὲ αὐτόθεν γίνονται ὅταν τοῦ σώματος ὑπερφλεγμήναντος αἱ σάρκες ἀνοιδήσωσιν καὶ τὸ φλέγμα καὶ ἡ χολὴ κατακλεισθέντα ἀτρεμίζωσι. καὶ μὴ ἀναψύχηται μηδὲν μήτ' ἐξιὸν, μήτε κινεύμενον, μήτ' ἄλλου ὑπιόντος. ὁπόταν κόπος ἔχῃ καὶ πυρετὸς καὶ πλησμονὴ λούειν χρὴ πολλῷ. καὶ χρίειν ὑγρόν. καὶ θερμαίνειν ὡς μάλιστα ὡς ἡ θερμωλὴ ἀνοιχθέντος τοῦ σώματος ὑπὸ τοῦ ἱδρῶτος ἐξέλθῃ. ἑξῆς δ' εὖ αὐτὰ ποιέειν καὶ τρεῖς καὶ τέσσαρας ἡμέρας. καὶ ἢν μὴ παύηται, φάρμακον πῖσαι χολαγωγικόν. καὶ ψύχειν τὸν πυρετόν, πρὶν ἢ τεταρταῖος ᾖ. μὴ δ' ὡς ἂν τὸ σῶμα θάλλῃ πιπίσκειν φάρμακον. οὐ γὰρ κεινοῦται εἰ μὴ σμικρόν, ὥστε συνοιδέοντος τοῦ σώματος. ἐπὴν δὲ ἰσχνὸς ᾖ, πιπίσκειν, καὶ ὀνήσεται πυρετῷ. σιτίον μὴ προσφέρειν, μὴ δὲ ῥοφήμασιν ὑπεξάγειν. καὶ πιὼν ὕδωρ θερμὸν καὶ μελίκρατον, καὶ ὄξος σὺν ὕδατι. ταῦτα δὲ πιπίσκειν ὡς πλεῖστα. ἢν γὰρ μὴ ψυχρὸν εἰσίῃ τὸ ποτὸν θερμὸν ἐὸν, καὶ μένον, ἐκ τοῦ σώματος τοῦ νοσέοντος ἀφαιρέει, ἤν τε διουρήσῃ, ἤν τε διιδρώσῃ. ταύτῃ δὲ ἀνοιγόμενόν τε καὶ ἀναπνέον, καὶ κινεύμενον τὸ σῶμα συμφέρον ποιήσει. ἐπὴν δὲ ἰσχνὸν ἐόντα καίῃ, δῆλον ὅτι οὐ διὰ τὸ φλεγμαίνειν ὁ πυρετὸς ἔχει. καὶ ἢν μὴ παύηται τρέφειν, καὶ φλεγμαίνειν ποιέειν, καὶ ἢν μὴ δ' οὕτω ξυμφέρῃ, δῆλον ὅτι οὐκ ἐχρῆν τὸν πυρετὸν παρέχειν. τοῦτον χρὴ φάρμακον πῖσαι, ὡς ὑπεξάγῃ, ὅπῃ ἂν μᾶλλον ὁ πυρετὸς ἔχῃ, ἤν τε κάτω, ἤν τε ἄνω. ἢν μὲν ἄνω, ἄνω. ἢν δὲ κάτω, κάτω. οὐδὲν δ' ἧσσον δεῖ τοὺς ἀσθενέοντας τῶν ἰσχυρῶν φαρμάκων πιπίσκειν. ἀλλ' ὁμοίως ἢ μᾶλλον οὕτω. τοῖσι μὲν ἰσχυροῖς, ἰσχυρόν. τοῖσι δ' ἀσθενέσιν, ἀσθενές. τὰς δὲ πυρώσιας τοῖσι καὶ ῥοφήμασιν, ὥσπερ τοῦ πυρετοῦ ψυκτηρίῳ φαρμάκῳ ἐκλύειν κομμάρῳ ἢ ἄλλῳ τινὶ τοιούτῳ. καὶ ἐπὴν ναυτιῶδες ὑπὸ ψυκτηρίῳ, θερμαντηρίοισι χρῆσθαι. ἐπὴν δὲ μὴ παύηται, ψυκτηρίοισι πάλιν χρῆσθαι. ἴκτερον ὧδε χρὴ ἰᾶσθαι. ἐπὴν παραλάβῃς τρέφε καὶ λουτροῖσι καὶ πιαντηρίοις. καὶ τοῖσι καὶ σιτίοισι καθυγραίνειν τρεῖς ἢ τέσσαρας ἡμέρας. ἐπὴν δ' ὑγρανθῇ τὸ σῶμα, καθαίρειν καὶ ξηραίνειν τὸ σῶμα. λιπαρά τε ἐξαίφνης ἐξαρύσαι. ταύτῃ τε προσφέρων φάρμακον, εἰ δύναται τὴν ὑγρότητα ἐξάγειν. πρὸς δὲ τὴν κεφαλὴν καθαρτηρίῳ ἀσθενεῖ. καὶ οὐρητικὰ πιπίσκειν. καὶ πρὸ τῶν σιτίων τοῦτον τὸν χρόνον ἢν καθάρῃς τὴν τεταραγμένην ὑγρότητα καὶ τὸ ποτὸν δίδου, ὡς μὴ τρέφηται ἀπὸ τούτου τοῦ χρόνου τὸ σῶμα. ὅταν δ' ἰσχναίνηται καὶ λουτροῖσι καθαίρειν. τοῦ δὲ σικύου τοῦ ἀγρίου τὴν ῥίζαν κόψας, ἐς ὕδωρ ἐμβαλὼν, ἀπὸ τούτου λοῦε. χολαγωγὰ δὲ φάρμακα μὴ πιπίσκε, ὡς μὴ ταράσσῃ μᾶλλον τὸ σῶμα τοῦτον. ἐπὴν δὲ ξηρὸν ᾖ τὸ τεταραγμένον, τρέφε μηδενὶ ὑποχωρητικῷ φαρμάκῳ μὴ δὲ διουρητικῷ, ἀλλ' οἴνῳ οἰνώδει καὶ ὅσα ἐρυθρότερον ποιέει τὸν ἄνθρωπον τούτοισιν. ἢν δὲ χλωρὸς ᾖ, πάλιν ἐξαρύσαι, ξηραίνειν δὲ μυδαλέα, ὡς μὴ παγῇ χλωρὸς ἐών. θεῖον ἐπέρχεται ἐπὶ τὸ σῶμα διὰ τόδε. ἐπὴν φλεγμαίνῃ ἡ σὰρξ ἡ περὶξ, καὶ οἱ κρημνοὶ μεγάλοι ἔωσιν τοῦ ἕλκεος, καὶ τὸ ἕλκος ὑγρόν, καὶ ὑπὸ τοῦ ἕλκεος ἐξηρασμένος ἐπῇ ἰχώρ, ἢ τὸ ἕλκος συμπεπηγὸς ᾖ, ξυνεστηκὼς ὁ ἰχὼρ ὁ ἀπὸ τοῦ ἕλκεος ἀποῤῥέων, κωλύεται ἔξω χωρέειν ὑπὸ τοῦ ἐπιπεπηγότος ὑπὸ τοῦ ἕλκεος πρὸς τὴν σάρκα. ἡ δὲ σὰρξ ὑποδέχεται, ὥστε μετέωρος ἐοῦσα ὑπὸ φλεγμασίης. καὶ ὅτ' ἂν ἀφίκηται ὁ ἰχὼρ ὑποῤῥέων σήπει καὶ μετεωρίζει. τοῦτον φαρμάκοισιν ὑγραίνοντας αὐτὸ τὸ ἕλκος χρίειν, ὡς ὑγραινομένου ἔξω τὸ ῥεῦμα ῥέῃ ἐκ τοῦ ἕλκεος, καὶ μὴ ὑπὸ τὴν σάρκα. καὶ τὰ κατάῤῥοα τοῦ ἕλκεος ψύχουσι φαρμάκοισιν, ὡς χειμεῦσα συμπίληται ἡ σὰρξ, καὶ μὴ διαῤῥαγεῖσα ἀντιπεῤῥέῃ. καὶ τἄλλα δὲ ἕλκεα ψύχουσι περιχρίειν, καὶ ἐπ'

αὐτὰ

αὐτὰ τὰ ὑγραίνοντα ἐπιτιθέναι. Κυνάγχος ἀπὸ αἵματος γίνεται, ὅταν τὸ αἷμα παγῇ τὸ ἐν τῇσι φλεψὶ, τῇσιν ἐν τῷ τραχήλῳ, τούτῳ ἀπὸ τῶν ἐν τοῖσι γυίοισι φλεβῶν αἷμα ἀφαιρέειν, καὶ ἅμα κάτω ὑπεξάγειν, ὡς τὴν νοῦσον παρέχον τοῦτο κατασπασθῇ. καὶ γλῶσσαν ὁπόταν ἕλκεα μεγάλα ἔχῃ ὡσαύτως εὐτρεπιστέον. τὰ νοσήματα χρὴ ἐπ' ἀρχῆς ἰᾶσθαι. ὅσα μὲν ἀπὸ τῶν ῥόων γίνεται, τοὺς ῥόους παύειν πρῶτον. ὅσα δ' ἀπ' ἄλλου, παύειν τὴν ἀρχὴν τοῦ νοσήματος, καὶ εὐτρεπίζειν. ἔπειτα τὸ συνεῤῥυηκὸς, ἢν μὲν πολὺ ᾖ, ἐξάγειν. ἢν δὲ ὀλίγον, διαιτῶν καθιστάναι.

Κεφαλῆς κατάγματα. ἢν μὲν τὸ ὀστέον καταγῇ καὶ ξυντριβῇ, ἀκίνδυνον. καὶ ἰᾶσθαι χρὴ τοῖσιν ὑγραίνουσι φαρμάκοισιν. ἢν δὲ ἐξαγῇ, καὶ ῥωγμὴ ἐγγένηται, ἐπικίνδυνον. τοῦτον πρίειν ὡς μὴ κατὰ τὴν ῥωγμὴν τοῦ ὀστέου ἰχὼρ ῥέων τὴν μήνιγγα σήπῃ. ὥστε γὰρ κατὰ στενὸν εἰσιὼν μὲν, ἐξιὼν δὲ οὔ, λυπέει καὶ μαίνεσθαι ποιέει τὸν ἄνθρωπον. τοῦτον χρὴ πρίειν ὡς ἔξοδος ᾖ τῷ ἰχῶρι, μὴ μοῦνον ἔσοδος, εὐρέος διαπρισθέντος, καὶ φαρμάκοισι χρῆσθαι, ὅσα ἐφ' ἑωυτὰ τὸ ὑγρὸν ἕλκουσιν, καὶ λούειν. Πυρεταίνοντι κεφαλὴν μὴ κάθαιρε, ὡς μὴ μαίνηται. θερμαίνουσι γὰρ τὴν κεφαλὴν καθαίροντα φάρμακα. πρὸς δὴ τὸ ἀπὸ τοῦ πυρετοῦ θερμὸν, τὸ ἀπὸ τοῦ φαρμάκου προσελθὸν μανίην ποιέει. Θανάσιμα τρώματα. ἐφ' ὧν ἄν τινι κακῶς ἔχοντι χολὴν μέλαιναν ἀπεμέσῃ, ἀποθνήσκει ὁ τὸ τρῶμα ἔχων, καὶ ὑπὸ ἰνηθμοῦ ὁ ἐνεχόμενος, καὶ ἔχων ἀσθενέως, καὶ λεπτὸς ἐὼν ἐξαπίνης ξηρὸν καθίζει, ἀποθνήσκει. ἐπὴν ὑπὸ θερμωλῆς ἐχομένῳ ἑλκύδρια ἐκθύωσιν ἀσθενεῖ ἐόντι, πρὶξ πελιδνὰ, ἀποθνήσκει. ἐπὴν ὑπό τινος νοσήματος ἐχομένῳ ἀσθενεῖ ἤδη ἐόντι, πελιδνὰ ἐκθύῃ, θανάσιμον. ἐπὴν φάρμακόν τις πιὼν ὑπερινήσῃ, καὶ κάτω καὶ ἄνω ὑπεκχωρέῃ, οἶνον καταῤῥοφεῖν. τὸ μὲν πρῶτον κεκρημένον. ἔπειτα ἄκρητον θαμινὰ διδόναι καὶ παύεται. φάρμακον δὲ μήτ' ἰνηθμῶν, μήτ' ἐμετήριον. χολὴ δ' ἐπὴν αὐτομάτη ῥαγῇ ἢ κάτω ἢ ἄνω, χαλεπωτέρα παύειν. ἡ γὰρ αὐτομάτη ὑπὸ βίης γινομένης τῷ σώματι βιᾶται. ἢν δ' ὑπὸ φαρμάκου ῥέῃ, οὐχ ὑπὸ συγγενέος βιᾶται. ἐπὴν παραλάβῃς οἰνώμενόν τε καὶ ἐμεῦντα, μὴ παύειν τὸν ἔμετον. ὁ γὰρ ἔμετος τὸν ἰνηθμὸν παύει. ῥᾷον δὲ ὁ ἔμετος ὕστερον παύσεται. ἢν δ' ἂν ἀσθενὴς ᾖ ὁ ταῦτα πάσχων, ὕπνου φάρμακον ἐμετηρίας διδόναι. τὸ μὲν αἷμα ὁπόταν νοῦσον ποιέει, ὀδύνην παρέχει. τὸ δὲ φλέγμα, βάρος, ὡς τὰ πολλά. τῶν νοσημάτων ὧν μὴ ἐπίσταταί τις φάρμακον πίσαι μὴ ἰσχυρόν. ἢν δὲ ῥᾴων γένηται, δέδεικται ὁδὸς εὐτρεπιστέον ἐστὶν ἰσχνάναντα. ἢν δὲ μὴ ῥᾷον ᾖ, ἀλλὰ χαλεπώτερον ἔχῃ, τἀναντία. ἢν μὴ ἰσχναίνειν ξυμφέρῃ, φλεγμαίνειν συνοίσει καὶ θαμινὰ μεταλλάσσειν, ταύτῃ τῇ γνώμῃ χρώμενος. τῶν δὲ νοσημάτων ἤν τις ἰσχύοντος μὲν τοῦ ἀλγέοντος παραλλάξεται, τοῦ δὲ νοσήματος ἀσθενέος, ἐνταῦθα μὲν ἰσχυροτέρῳ θαρσεῦντα τῷ φαρμάκῳ τοῦ νοσήματος χρῆσθαι. ὥστε καὶ ἤν τι τοῦ ὑγιαίνοντος ἐπὶ ἀπάγειν σὺν τῷ ἀσθενέοντι, οὐδὲ μία βλάβη ἐστίν. ἐπὴν δὲ τὸ νόσημα ἰσχυρότερον, τὸν δὲ νοσέοντα ἀσθενέα λάβῃς, ἀσθενέσι τοῖσι φαρμάκοισιν εὐτρεπίζειν, ὅσα αὐτοῦ τοῦ νοσήματος περιέσονται καὶ ἀπάξουσιν. ἀσθενέστερον δὲ μηδὲν ποιήσουσιν τὸν ἀλγέοντα. γυμναστικὴ δὲ καὶ ἰητρικὴ ὑπεναντία πέφυκεν. ἡ μὲν γὰρ γυμναστικὴ οὐ δεῖται μεταλλαγὰς ποιέειν, ἀλλ' ἡ ἰητρική. τῷ μὲν γὰρ ὑγιαίνοντι, οὐκ ἀρήγει ἐκ τοῦ παρέοντος μεταλλάσσειν. τῷ δ' ἀλγέοντι. τῶν δὲ νοσημάτων ὅσα μὲν ἕλκεα ἐόντα ὑπερέχοντα τοῦ ἄλλου σώματός εἰσιν, ἅμα τοῖσι φαρμάκοισιν καὶ λιμῷ χρὴ ἰῆσθαι. ῥόου ξυμφέρον ἐκ κεφαλῆς ῥέοντος, ἔμετος. τὰ παλαιὰ νοσήματα χαλεπώτερον ἰᾶσθαι τῶν νέων. ἀλλὰ νοσήματα τὰ παλαιὰ, νέα πρῶτον ποιέειν, ἕλκος πεπωρωμένον ἐκβάλλοντα τὸ σκληρὸν σηπτηρίῳ φαρμάκῳ, ἔπειτα συνάγειν. τῶν φαρμάκων ὅσα φλεγμαίνειν ποιέει μάλιστα, ταῦτα συνάγουσι τὰ καθαρὰ τὰ διισχναίνοντα. ταῦτα δὲ καθαίρουσιν. ἢν δέ τις συνάγῃ τὰ μήπω ὡραῖα ἐόντα, τὸ νοσέον τρέφει σῶμα ὃ ἂν ἕλκος ἔχῃ. καὶ ἢν μὴ συνάγειν δέῃ τὸ ἕλκος, καὶ ἐμπλῆσαι, φλεγμαίνειν ἀρήγει. καὶ ἢν ἐν κεφαλῇ σάρκα βούλῃ ἐπαναστρεφομένη γὰρ ἡ σὰρξ ὑπὸ τῶν σιτίων, ὠθέει τὴν ὑπὸ τοῦ φαρμάκου σηπομένην καὶ ξυμμαχεῖ. τὴν δὲ μετέωρον ἢ λείην ἰσχναίνειν τοῖσι σιτίοισι. τοὺς ἀνιωμένους, καὶ νοσέοντας, καὶ ἀπάγχεσθαι βουλομένους, μανδραγόρου ῥίζαν πρωῒ πιπίσκειν ἔλασσον, ἢ ὡς μαίνεσθαι. Σπασμὸν ὧδε χρὴ ἰᾶσθαι. πῦρ παρακαίειν ἑκατέρωθεν τῆς κλίνης. καὶ μανδραγόρου ῥίζαν πιπίσκειν ἔλασσον ἢ ὡς μαίνεσθαι. καὶ πρὸς τοὺς τένοντας τοὺς ὀπισθίους σακκία προστιθέναι θερμά. ἀπὸ σπασμοῦ πυρετὸς ἢν ἐπιλάβῃ παύεται αὐθημερὸν, ἢ τῇ ὑστεραίῃ, ἢ τῇ τρίτῃ ἡμέρῃ. ἀπὸ ῥήγματος πυρετὸς οὐ λάζεται πλεῖον ἢ τρεῖς ἢ τέσσαρας ἡμέρας. ἢν δὲ λάζηται, οἰόμενος ἀπὸ ῥήγματος ἔχειν, ἀπ' ἄλλου τινὸς λάζοιτο ἂν, καὶ οὐ χρὴ ὡς ἂν ἀπὸ

ῥήγματος

ῥήγματος ἀποπνίζειν. ὁπόταν ἄνθρωπος συντεταμένος ᾖ τοὺς πόδας, καὶ τὰς χεῖρας, μανίην ἑωυτῷ ποιεῖ. φλέβα δὲ ὧδε χρὴ καίειν ἐπιτήδειον, ὥστε τὸ νόσημα ὃ ἂν καὶ ᾖ νοσέων. ἢν κεκαυμένος ᾖ ἄνθρωπος, ῥέῃ δὲ τὸ τοῦ αἵματος, ὡς μὴ ἐπικίνδυνον ᾖ τῶν αὐτῷ, ἀμφότερα ταῦτ' ἐστὶ ποιέειν. ἢν διακαύσῃς ταύτῃ ἐν τῷ πόνῳ οὗ εἵνεκα ἐκαίετο, οὐ ξυμφύεται. ὠφέλησε δὲ τῷ ῥόῳ. ἢν γὰρ διακαῇ οὐ ῥεῖ. ἐπὴν γὰρ διακαῇ τὸ ἄκρον, ἑκάτερον ἀνατρέχει τῆς φλεβὸς ἡ διακαῇ, καὶ συναυαίνεται. ἢν δὲ καταλελειμμένον ᾖ, ὑπὸ τοῦ καταλελειμμένου διαῤῥέοντος τοῦ ῥεύματος, ὑγραίνεται. ἢν δὲ αἷμα ῥέει ἐκ φλεβὸς διακαίειν ἐπικαρσίην. ἢν δὲ μὴ παύηται πρὸς ταῦτα ἄνω καὶ κάτω ἑκατέρωθεν διατάμνειν ὡς ἀποτρεφθῇ τὸ αἷμα ῥέον. διαλελημμένον γὰρ φαρμάκῳ ῥᾶον παύειν ἢ τὸ ἀθρόον. ὀδύνης ἐν κεφαλῇ τοῦ αἵματος ἀφαιρέειν ἀπὸ τῶν φλεβῶν, ἢν δὲ μὴ παύηται, ἀλλὰ πολυχρόνιον ᾖ, διάκαιε τὰς φλέβας, καὶ ὑγιὴς γίνεται. ἢν δὲ κεφαλὴν καθάρῃς, μᾶλλον πονέεις. ἰητρικὴν οὐ δυνατόν ἐστι ταχὺ μαθεῖν διὰ τόδε, ὅτι ἀδύνατόν ἐστι καθεστηκός τι ἐν αὐτῇ σόφισμα γίνεσθαι. οἷον ὁ τὸ γράφειν ἕνα τρόπον μαθὼν ὃν διδάσκουσι, πάντα ἐπίσταται. καὶ οἱ ἐπιστάμενοι πάντες ὁμοίως διὰ τόδε, ὅτι τὸ αὐτὸ καὶ ὁμοίως ποιεύμενον νῦν τε καὶ οὐ νῦν, οὐκ ἂν τὸ ὑπεναντίον γένοιτο. ἀλλ' ἀεὶ ἐνδικέως ὅμοιόν ἐστιν. καὶ οὐ δεῖ καιροῦ. ἡ δὲ ἰητρικὴ, νῦν τε καὶ αὐτίκα οὐ τὸ αὐτὸ ποιεῖ, καὶ πρὸς τὸν αὐτὸν ὑπεναντία ποιεῖ. καὶ ταῦτα ὑπεναντία σφίσιν ἑωυτοῖσιν. πρῶτον ὑπεκχωρητικὰ οὐκ ἀεὶ ποιέουσιν, καὶ τὰ ὑπεκχωρητικὰ ἀμφότερα ποιέουσιν. τάχα δὲ οὐδ' οὕτως ἔχουσιν τὰ ὑπεκχωρητικὰ τοῖσι στασίμοις ὡς ὑπεναντία. ἐπὶ στάσιος τῆς κοιλίης διὰ τὴν λίην στάσιν φλεγμῆναν τὸ σῶμα, ἐς τὴν κοιλίην φλέγματος ἀφικομένου. οὕτως ἡ στάσις ὑπεκχώρησιν ἐποίησεν. ἐπὴν γὰρ τὸ φλέγμα ἐς τὴν κοιλίην ἐσέλθῃ, ἰνηθμὸς γίνεται. ἐν τούτῳ δὲ τὰ ὑπεκχωρητικὰ φύσει στάσιμον ποιέουσιν ἐν τῇ κοιλίῃ. ἢν μὲν μὴ ὑπεκχωρητικὰ ποιέῃς, ἐκλύεται δὲ τὸ νοσεῖν ποιέον καὶ ὑγραίνηται, ἐπὴν ἐκκλυσθῇ, γίνεται ὑγιής. καὶ οὕτω τά τε στάσιμα τοῖσιν ὑπεκχωρητικοῖσιν στάσιν ποιέουσι τῆς κοιλίης, καὶ τοῖσι στασίμοισι τὰ ὑπεκχωρητικά. τὸν αὐτὸν δὲ τρόπον καὶ τοὺς ἐρυθροὺς καὶ τοὺς χλωρούς. καὶ τὰ φλεγματώδεα χλωροὺς ποιεῖ καὶ ἀχρόους, καὶ τὰ ἰσχναινόμενα εὐχρόους. ἑκατέρου δ' ἐστὶ φάρμακον τὰ ὑπεναντία περὶ ὑπεναντίων. αὐτίκα ὅτ' ἂν φλεγμαίνῃ χλωρὸς ἐὼν ἐκλύεται, ἢν μή τι ἰσχναίῃ φάρμακον προσενεχθέν, ἐνθάδε τῷ φλεγμαίνοντι τὸ ἰσχναῖνον ὠφέλησεν. τούτων δὲ τὸ ποτὲ ὠφελεύμενον τῷ ὠφελεῦντι νῦν ὠφελεῖ ἐνταῦθα, ὁπότ' ἂν ὑπὸ ἰσχνότητος ἄχροος καὶ χλωρὸς ᾖ. ἢν γάρ τις φλεγματῶδες προσφέρῃ, παύεται τὸ χλωρόν. ὀδύνη τε γίνηται καὶ διὰ τὸ ψυχρὸν καὶ διὰ τὸ θερμόν. καὶ διὰ τὸ πλέον λίην καὶ διὰ τὸ ἔλασσον. καὶ ἐν μὲν τοῖσιν ἐψυγμένοισι φύσει τοῖσιν ἐκ τοῦ σώματος πρὸς τὸ δέρμα, διὰ τὸ θερμαινόμενον λίην ὀδύνη γίνεται. ἐν δὲ τοῖσι θερμοῖσι φύσει, διὰ τὸ ψυχρόν. καὶ ἐν μὲν τοῖσι ξηροῖσι, φύσει ὑγραινομένοισι. ἐν δὲ τοῖσι ὑγροῖσι, φύσει ξηραινομένοισι. τὴν γὰρ φύσιν διαλλασσομένοις ἑκάστοισι καὶ διαφθειρομένοις αἱ ὀδύναι γίνονται. ὑγιαίνονταί τε αἱ ὀδῦναι τοῖσιν ὑπεναντίοισιν. ἴδιον ἑκάστῳ νοσήματί ἐστι. τοῖσι θερμοῖσι φύσει, διὰ τόδε τὸ ψυχρὸν νοσέουσι. θερμαίνονται καὶ τἄλλα τούτων κατὰ λόγον. Ἄλλος ὅδε τρόπος. Διὰ τὰ ὅμοια νοῦσος γίνεται. καὶ διὰ τὰ ὅμοια προσφερόμενα ἐκ νοσεύντων, ὑγιαίνονται. οἷον στραγγουρίην τὸ αὐτὸ ποιεῖ οὐκ ἐοῦσαν, καὶ ἐοῦσαν τὸ αὐτὸ παύει. καὶ βὴξ κατὰ τὸ αὐτὸ ὥσπερ καὶ στραγγουρίη ὑπὸ τῶν αὐτῶν γίνεται καὶ παύεται. Ἄλλος ὅδε τρόπος. Πυρετὸς ὁ διὰ φλεγμασίην γινόμενος, τοτὲ μὲν ὑπὸ τῶν αὐτῶν γίνεται καὶ παύεται, τοτὲ δὲ τοῖσιν ὑπεναντίοισιν ἐγγίνεται. τοτὲ μὲν γὰρ εἴ τις βούλεται λούειν ὕδατι θερμῷ καὶ ποτὰ πολλὰ διδόναι, ὑγιὴς γίνεται διὰ τὸ φλεγμαῖνον τοῖσι φλεγμαίνειν ποιέουσιν προσφερομένοισιν, ὁ ὢν πυρετὸς γίνεται ὑγιής. καὶ εἴ τις βούλεται φάρμακον πίσαι ὑποχωρητικὸν καὶ ἐμετικὸν, τὸν αὐτὸν τρόπον τοῖσί τε ποιέουσι παύεται, καὶ τοῖσι παύουσι γίνεται. τῶν μὲν γὰρ εἴ τις ἐμέοντι ἀνθρώπῳ βούλεται ὕδωρ δοῦναι πιεῖν πολὺ, ἐκκλυσθήσεται δι' ἃ ἐμεῖ σὺν τῷ ἐμέτῳ. οὕτω μὲν διὰ τὸ ἐμέειν ὁ ἔμετος παύεται. ὧν δὲ διὰ τὸ παύειν ὅτι κάτω ποιήσει αὐτῷ ἐλθεῖν, ἐξ ἐκείνου ὁ ἐνεὸν ἔμετον ποιεῖ ἀμφοτέροισι τοῖσι ὑπεναντίοισι τρόποις, ὑγιὴς γίνεται. καὶ εἰ μὲν οὕτως εἶχε πᾶσι καθεστήκει ἄν. οὕτω τὰ μὲν τοῖς ὑπεναντίοισιν, ἀποπνίζεσθαι οἷά τε ἐστὶ καὶ ἀφ' ὅτου ἐγγίνεται. τὰ δὲ τοῖσιν ὁμοίοισιν οἷά τε ἐστὶ καὶ ἀφ' ὅτου ἐγγίνεται. τούτου δ' αἴτιόν ἐστιν ἡ τοῦ σώματος ἀσθένεια. τὸ γὰρ σῶμα ὑπὸ μὲν τῶν σιτίων ἴσων ἴσως τρέφεται, ὑπὸ δὲ τοῦ σώματος, τὰ σιτία κρατέεται. ἐπὴν δὲ πλέον ἢ ἔλασσον προσενέγκηται, ἢ ὡς

ἄλλο μεταλλάξας κρατέεται. κρατέεται δὲ καὶ τὰ σιτία. καὶ ὁπόταν κρατέηται τὸ σῶμα ὑπὸ τῶν προσισμάτων, θάλλειν ποιέει ταῦτα καὶ κρατέει ἅμα τοῦ σώματος τάτε ὑπεναντία ποιέουσιν αὐτίκα. τὸ λοῦσθαι θερμῷ, ἕως μὲν ἂν τὸ σῶμα κρατέῃ τοῦ προσίσματος, θάλλει. ἐπὴν δὲ κρατηθῇ ἰσχνὸν ποιέει τὸ σῶμα. καὶ τὸ εὐωχέεσθαι ὁμοίως τῷ λοῦσθαι ποιέει. ταῦτα μὲν γὰρ ἕως μὲν ἂν κρατέωνται, θάλλειν ποιέουσιν. ἐπὴν δὲ κρατέωσιν, ὑπεκχωρήσεις τε ποιέουσιν καὶ ἀλλοίας κακίας. ὁπότε δὲ ὃ προσφέρεται τοῦτο μεταλλάσσεται, ἀνάγκη καὶ τὸ προσφερόμενον μετατρέπεσθαι. τὸ γὰρ σῶμα μετατρεπόμενον νικώμενον καὶ ὀλιγοδρανές ἐστιν. καὶ ὑπὸ παντὸς τὰς παλιγκοτίας παρέχει. τοῦτο δὲ ποιέει καὶ τὰ ὑποχωρητικά. καὶ τὰ θάλλειν ποιέοντα, ἰσχναίνον ταῦτα τὸ σῶμα ποιέουσιν. καὶ τἄλλα πάντα τὰ ὑπεναντία τούτοισι πάσχοντα. ἡ δὲ ἰητρικὴ ὀλιγόκαιρός ἐστιν. καὶ ὃς τοῦτο ἐπίσταται ἐκεῖνο καθέστηκεν. καὶ ἐπίσταται τὰ εἴδεα, καὶ τὰ μὴ εἴδεα, ἃ μὴ ἔστιν ἐν ἰητρικῇ ὁ καιρὸς γνῶναι. ὅτι τὰ ὑποχωρήματα οὐχ ὑποχωρητικὰ γίνεται. καὶ τἄλλα ὅτι ὑπεναντία ἐστίν. καὶ τὰ ὑπεναντιώτατα οὐχ ὑπεναντιώτατα. ὁ δὲ καιρὸς ὅδε ἐστί. τὰ σιτία προσφέρειν, ὅσων μέλλει τὸ σῶμα προσφερομένων τὸ πλῆθος κρατέειν. ὥστε ἢν μὲν οὕτω ποιέῃ, πᾶσα ἀνάγκη τὸ ὑποχωρητικὸν σιτίον προσφερόμενον ὑποχωρητικὸν εἶναι. καὶ τὸ φλεγματῶδες, φλεγματῶδες. ἢν κρατέῃ οὖν τὸ σῶμα τῶν σιτίων, οὔτε νοῦσος, οὔτε ὑπεναντίωσις γίνεται προσφερομένων. καὶ αὐτὸς ὁ καιρὸς ἐστὶν ὃν δεῖ τὸν ἰητρὸν εἰδέναι. ἐπὴν δὲ τὸν καιρὸν ὑπερβάλλῃ, τὸ ὑπεναντίον γίνεται. καὶ οἱ πρὶν ὑπερπεσεῖν οἴονται ἔχειν καὶ τὸ θερμαίνεσθαι. ἕως μὲν γὰρ ἂν τὸ σῶμα τοῦ προσίσματος κρατέῃ, τρέφεται τὸ σῶμα. ἤδη δὲ τοῦτον τὸν καιρὸν ὑπερβάλλῃ, τὸ ὑπεναντίον γίνεται. ἰσχναίνεται γάρ. καὶ τἄλλα πάντα δὲ τὰ φλεγμαίνειν ποιέοντα, ἕως μὲν ἂν κρατέῃ τὸ σῶμα, ἔτι τε πρὸς τὸν καιρόν, καὶ τὰ κατὰ φύσιν ποιέουσιν ἕκαστον. τὰ φλεγματώδεα φλεγμαίνειν. ἐπὴν δὲ ὑπερβάλλῃ τὸν καιρόν, τὰ ὑπεναντία γίνεται. πάντα φάρμακά ἐστι τὰ μετακινέοντα τὸ παρεόν. πάντα δὲ τὰ ἰσχυρότερα μετακινέουσιν. ἔξεστι δέ, ἢν μὲν βούλῃ, φαρμάκῳ μετακινέειν. ἢν δὲ μὴ βούλῃ, σιτίῳ. ἅπαντα δὲ νοσέοντι μετακινέειν ἐκ τοῦ παρεόντος ἀρήγει. ἢν γὰρ μὴ μετακινήσῃς τὸ νοσέον, αὔξεται. φάρμακα οὐ χρὴ τὰ ἰσχυρὰ φύσει ἤδη τῶν ἀσθενέων νοσημάτων διδόναι, ὀλιγότητι τοῦ φαρμάκου ἀσθενὲς ποιέοντα. ἀλλὰ τοῖσι μὲν ἰσχυροῖσι φύσει, φαρμάκοις ἰσχυροῖσι χρῆσθαι, τοῖς δ' ἀσθενέσι, φαρμάκοις μὴ ἰσχυροῖσι. μὴ δὲ τὰ ποιέοντα τὸ φάρμακον, ἀλλὰ κατὰ φύσιν ἑκάστοισιν. τοῖσι μὲν ἀσθενέσι, ἀσθενῆ φάρμακα φύσει. τοῖσι ἰσχυροῖσι νοσήμασιν, ἰσχυρὰ φύσει τὰ φάρμακα. τὰ δὲ νοσήματα ἢ πελαστάτω πέφυκεν ἐξάγειν. ταύτῃ δ' ἐξάγειν ἢ ἑκάστῳ ἔξοδος ἐγγυτάτω.

Τὰ ὑποχωρητικὰ τοιάδε ἐστίν. ὅσα ὀλισθηρὰ καὶ τμηματώδεα. καὶ ὅσα ἐν τοῖσι θερμοῖσιν λεπτύνονται. ἡ γὰρ κοιλίη θερμή ἐστι. καὶ τἄλλα τὰ ἁλμυρὰ καὶ ὅσα τῶν τοιούτων πλεῖστον ἔχουσι. τὰ δ' οὐ διαχωρητικά, ἀλλὰ στάσιμα, ὅσα φύσαν παρέχουσιν. τὰ γὰρ ὑγρὰ ξηραινόμενα φῦσαν ποιέουσι. καὶ τὰ στύφοντα. καὶ τὰ ὑπὸ θερμοῦ πηγνύμενα, καὶ τὰ ψαθυρά, καὶ τὰ ξηρά. πάντα δὲ τὰ ἐντὸς φλεγμαίνειν ποιέουσιν προσφερόμενα, ἅσσα τὰ ἐκτὸς ἰσχναίνουσιν. ταῦτα δὲ καὶ ἰσχυτήεια ἐστὶ καὶ φλεγματώδεα. καὶ τὰ ὑποχωρητικὰ ἰσχναίνοντα θερμαίνουσι τὰ τοιαῦτα. ἔτι δὲ τὰ ὀξέα. καὶ φλεγματώδεα. πάντα δὲ τὰ ψύχοντα τὰ ἐν τῇ κοιλίῃ. τὰ δὲ τοιαῦτα ὑποχωρητικά ἐστι. καὶ τὰ ψυχρὰ καὶ τὰ ὑγρά. ὁπόταν δὲ μὴ ὑποχωρητικὰ ἔωσι θερμαίνουσιν. ψύχουσι δὲ καὶ τὰ θερμὰ ἐς τὴν κοιλίην προσφερόμενα καὶ ταχύ, διαχώρησιν δὲ μὴ ποιεύμενα θερμά ἐστιν ἐν τῇ κοιλίῃ. τούτων ὅσα πλησμονὴν ποιέει, μάλιστα φλεγματώδεά ἐστιν. ἃ δὲ πλεῖστα προσφερόμενα, οὐ ποιέει πλησμονήν, διαχωρητικά. ἰητρικὴ δή μοι δοκέει ἤδη ἀνευρῆσθαι ὅλη, ἥτις οὕτως ἔχει. ἥτις διδάσκει ἕκαστα καὶ τὰ ἔθεα, καὶ τοὺς καιρούς. ὃς γὰρ οὕτως ἰητρικὴν ἐπίσταται, ἐλάχιστα τὴν τύχην περιμένει. ἀλλὰ καὶ ἄνευ τύχης, καὶ ξὺν τύχῃ εὖ ποιηθείη ἄν. βέβηκε γὰρ ἰητρικὴ πᾶσα, καὶ φαίνεται τῶν σοφισμάτων τὰ κάλλιστα ἐν αὐτῇ συγκείμενα, ἐλάχιστα τύχης δεῖσθαι. ἡ γὰρ τύχη αὐτοκρατὴς καὶ οὐκ ἄρχεται. οὐδ' ἐπ' εὐχῇ ἐστὶν αὐτὴν ἐλθεῖν. ἡ δ' ἐπιστήμη ἄρχεταί τε καὶ εὐτυχής ἐστιν, ὁπόταν βούληται ὁ ἐπιστάμενος χρῆσθαι. ἔπειτα τί καὶ δεῖται ἰητρικὴ τύχης; εἰ μὲν ἔστι τῶν νοσημάτων φάρμακα σαφῆ, οἶμαι, οὐκ ἐπιμένει τὴν τύχην, τὰ φάρμακα ὑγιᾶ ποιῆσαι τὰ νοσήματα. εἴπερ ἐστὶ τὰ φάρμακα. εἰ δὲ σὺν τῇ τύχῃ διδόναι ὠφελέει, οὐδὲν μᾶλλον τὰ φάρμακα ἢ καὶ τὰ μὴ φάρμακα σύν γε τῇ τύχῃ ὑγιᾶ ποιέουσι προσφερόμενα τοῖσι νοσήμασιν. ὅστις δὲ τὴν τύχην ἐξ ἰητρικῆς, ἢ ἐξ ἄλ-

λου τινὸς δέξεται, φάρμακον οὐ τοὺς καλῶς τι πρῆγμα ἐπισταμένους χρῆσθαι τύχῃ, τὸ ὑπεναντίον δοκέει μοι γινώσκειν. ἐμοὶ γὰρ δοκέουσι μοῦνοι καὶ ἐπιτυγχάνειν καὶ ἀτυχεῖν οἱ καλῶς τε καὶ κακῶς πρῆξαι ἐπιστάμενοι. ἐπιτυγχάνειν τε γὰρ τουτέστι, τὸ καλῶς ποιέειν. τοῦτο δὲ οἱ ἐπιστάμενοι ποιέουσιν. ἀτυχεῖν δὲ, τοῦτ᾽ ἐστὶν, ὃ ἤν τις μὴ ἐπίστηται, τοῦτο μὴ καλῶς ποιέῃ. ἀμαθὴς δὲ ἐὼν, πῶς ἂν ἐπιτύχοιεν; εἰ γάρ τι καὶ ἐπιτύχοι οὐκ ἂν ἀξίως λόγου τὴν ἐπιτυχίην ποιήσαιτο. ὁ γὰρ μὴ καλῶς ποιέων οὐκ ἂν ἐπιτύχοι τἆλλα τὰ εἰκότα μὴ πρήσσων.

Τὰ γυναικεῖα νοσεύματα καλεύμενα αἱ ὑστέραι πάντων τῶν νοσημάτων αἰτίαι εἰσίν. αὗται γὰρ ὅπῃ ἂν ἐκ τῆς φύσιος μετακινηθέωσι νούσους παρέχουσιν, ἤν τε προέλθωσιν, ἤν τε παραχωρήσωσιν. καὶ ὅταν μὲν μὴ βάλλωσαι τὸ στόμα αἱ μῆτραι, καὶ μὴ ψαύσωσι τῶν κρημνῶν μετακεκινημέναι ἔωσιν ἔξω σμικροτάτη νοῦσός ἐστιν. ἐπεὶ δὲ προκινηθέωσιν ἐς τὸ ἔμπροσθεν καὶ ἐμβάλλωσι τὸ στόμα ἐς τὸν κρημνόν. πρῶτον μὲν ψαύσασα, πόνον παρέχει. εἶτα ἀποφραχθεῖσα ἡ μήτρη καὶ ἐπιπωμασθεῖσα ὑπὸ τῆς ἐμβλήσιος, τῆς ἐς τὸν κρημνὸν, οὐ γίνεται ῥόος τὰ καταμήνια. τούτου δὲ συνισταμένου οἶδός τε καὶ ὀδύνην παρέχει. καὶ ἢν μὲν κάτω κατελθοῦσα καὶ ἀποστραφεῖσα ἐμβάλλῃ ἐς τὸν βουβῶνα, ὀδύνην παρέξει. ἢν δὲ ἄνω ἐπαναχωρήσασα ἀποστραφῇ καὶ ἀποφραχθῇ, καὶ οὕτω διὰ τὴν ἀραιότητα νοῦσον παρέχει. ὁπόταν δὲ διὰ τοῦτο νοσέῃ, ἐς τὰ ἰσχία καὶ τὴν κεφαλὴν ὀδύνην ποιέει. ὁπόταν δὲ αἱ μῆτραι πλησθεῖσαι συνοιδήσωσιν οὐ ῥεῖ οὐδὲν, καὶ πλέαι γίνονται. ἐπὴν δὲ πλέαι γίνωνται, ψαύουσι δὲ τῶν ἰσχίων, ὀδύνας παρέχουσι καὶ ἐς τὰ ἰσχία καὶ τὸν βουβῶνα. καὶ οἷον σφαῖραι ἐν τῇ γαστρὶ ὑποτρέχουσιν. καὶ τὴν κεφαλὴν ποιέουσιν. τοτὲ μὲν, ἐς τὸ ἕτερον μέρος. τοτὲ δὲ, ὅλην. οἵη γίνεται καὶ ἡ νοῦσος. ὧδε δὴ ταῦτα εὐθεπιστέον. ἢν μὲν προέλθῃ μοῦνον καὶ ᾖ διαχρίειν, χρῶ ὅτῳ τινὶ βούλει τῶν κακόδμων, ἢ κέδρῳ, ἢ μυσεωτῷ, ἢ ἄλλῳ τινὶ τῶν βαρυτέρων καὶ κακὸν ὀζομένων, καὶ κάπνιζε, καὶ μὴ πυρία, μὴ δὲ σιτίῳ, μὴ δὲ ποτῷ οὐρητικῷ χρῶ τοῦτον τὸν χρόνον, μὴ δὲ λοῦε θερμῷ. ἢν δὲ ἀνακεχωρήκῃ καὶ μὴ ἀπεστραμμένη ᾖ τοῖσιν εὐώδεσιν προσθετοῖσι χρῶ, ὅσα ἀναθερμαίνουσιν ἅμα. ταῦτα δὲ τοιάδε εἰσίν. σμύρνη, ἢ μύρῳ, εἴθ᾽ ἑνὶ ἄλλῳ εὐώδει καὶ θερμαίνοντι ἅμα. τοιούτοισι προσθετοῖσι χρῶ. καὶ πυριᾶν οἴνῳ κάτωθεν, καὶ θερμῷ ὕδατι λούειν, καὶ διουρητικοῖσι χρῶ. τὸ δὲ δῆλόν ἐστιν, ἢν μὴ ἀποστροφῇ ἀνακεχωρηκυῖα ῥεῦμα γίνεται. ἢν δ᾽ ἀπεστραμμένη ᾖ, οὐ γίνεται ῥόος τὰ καταμήνια καλεύμενα. τοῦτο τὸ νόσημα πυρίῃ πρῶτον τοιῇδε χρὴ ἰᾶσθαι, ἐς οἶνον ἐρινεὰ ἐμβάλλοντα θερμαίνοντα τοῦτον περιθέντα σικυωνίην, περὶ τὸ στόμα τοῦ τεύχεος ἐν ᾧ ἂν θερμαίνηται ὧδε ποιῆσαι. σικυωνίην μέσην διατεμὼν ἐκκενώσας, τὸ ἄκρον ἀποτεμὼν σμικρὸν, ὡς ἐπ᾽ ἀσκίων τοῦτο περιπωμάσαι. ὅπως ἂν ἡ ὀδμὴ διὰ τοῦ στενοῦ ἰοῦσα πρὸς τὴν μήτρην ἀφίκηται, καὶ θερμῷ ὕδατι αἰονᾶν, καὶ φαρμάκοισιν θερμαίνουσι χρῆσθαι προσθετοῖσι. θερμαίνοντα δ᾽ ἐστὶ τὰ ἄγοντα τὸ πρόσθεν. τὰ δὲ τοιάδε. βόλβιτον, χολὴ βοὸς. σμύρνα. στυπτηρίη. χαλβάνη. καὶ ἄλλο, ὃ τοιουτόν ἐστι. τούτων ὡς πλείστοισι καὶ ὑπεξάγειν ἐλατηρίοισιν φαρμάκοισιν κάτω ὅσα ἔμετον ποιέουσιν, ἀσθενέουσιν, ὅπως μὴ ἰνηθμὸς γένηται ἐκ τῆς ὑποφρινήσιος. τὰ δὲ προσθετὰ, ὧδε χρὴ ποιέειν ἢν βούλῃ ἰσχυρὰ ποιέειν. μέλι ἡμίεφθον ποιέων ἐμβαλλέων γεγραμμένων προσθετῶν τῶν ἄγειν ποιούντων. καὶ ἐπὴν ἐμβάλλῃς ποίησον, ὥσπερ τὰς βαλάνους τὰς πρὸς τὴν ἕδρην προστιθεμένας. μακρὰς δὲ ποιέει καὶ λεπτὰς ταύτας. τὴν δὲ γυναῖκα ὑπτίην κατακλίνας ἄνω τοὺς πόδας ποιήσας τῆς κλίνης τοὺς πρὸς ποδῶν. ἔπειτα πρόσθες καὶ θερμαίνει ἐν ἀκηδίῃ ἄλλῳ τινὶ, ἕως ἂν κατατακῇ. ἢν δὲ ἀσθενέστερον βούλῃ τὸ προσθετὸν προστιθέναι, ἐς ὀθόνιον ἐνδέων. καὶ ἢν ὑγρότητος ἔμπλεαι οὖσαι αἱ μῆτραι τὸ στόμα συνοιδήσωσιν, καὶ ἀῤῥοίην παρέχωσι, ῥόον χρὴ ποιέοντα ἰᾶσθαι προσθετοῖσι φαρμάκοισιν, καὶ πυριῶντα ὡς γέγραπται οὕτω ποιεῦντα, ὥσπερ καὶ τὴν πρόσθεν ἀῤῥοίην. καὶ εἰ ἐς τὸ πρόσθεν προσχωρέουσα ἀποστραφῇ, ῥόον χρὴ ποιέειν ὥσπερ ἐπὶ τῆς πρότερον ἀῤῥοίης. ὅταν δὲ ῥόος ᾖ λίην, οὔτε θερμαίνειν χρὴ θερμῷ ὕδατι, οὔτ᾽ ἄλλῳ οὐδενί. οὔτε οὐρητικοῖσι χρῆσθαι. οὔτε σιτίοισι διαχωρητικοῖσι. τῆς γε κλίνης τὰ πρὸς ποδῶν ὑψηλότερα εἶναι, ὡς μὴ ἡ κατάκλισις ὄρθος ᾖ. καὶ προσθετοῖσιν ἅμα τοῖς στύφουσι χρῶ. οἱ δὲ ῥόοι ὁπόταν μὲν εὐθέως ἴηται ἡ κάθαρσις, εὐθέως ὕφαιμοι γίνονται. ὁπόταν δ᾽ ἧσσον ἴῃ, πυώδεες. καὶ τῇσι νεωτέρῃσιν ὕφαιμα μᾶλλον. αἱ δὲ πρεσβύτεραι, μυξώδεα μᾶλλον ἔχουσι τὰ καταμήνια καλεύμενα.

Ἰητρικὴν, ὅστις βούλεται ὀρθῶς ζητεῖν, τάδε χρὴ ποιεῖν. πρῶτον μὲν ἐνθυμέεσθαι τὰς ὥρας τοῦ ἔτεος, ὅ,τι δύναται ἀπεργάζεσθαι ἑκάστη. οὐ γὰρ ἐοίκασιν οὐδὲν, ἀλλὰ πολὺ διαφέρουσιν αὐταί τε ἑωυτῶν, καὶ ἐν τῇσι μεταβολῇσιν. ἔπειτα δὲ, τὰ πνεύματα, τὰ θερμά τε καὶ τὰ ψυχρά. μάλιστα μὲν, τὰ κοινὰ πᾶσιν ἀνθρώποισιν. ἔπειτα δὲ, καὶ ἐν ἑκάστῃ χώρῃ ἐπιχώρια ἐόντα. δεῖ δὲ καὶ τῶν ὑδάτων ἐνθυμέεσθαι τὰς δυνάμιας. ὥσπερ γὰρ ἐν τῷ στόματι διαφέρουσιν, καὶ ἐν τῷ σταθμῷ, οὕτω καὶ ἡ δύναμις διαφέρει πολὺ ἑκάστου. ὥστε ἐς πόλιν ἐπειδὰν ἀφίκηταί τις, ἧς ἄπειρός ἐστι, διαφροντίσαι χρὴ τὴν θέσιν αὐτέης, ὅκως κέεται, καὶ πρὸς τὰ πνεύματα, καὶ πρὸς τὰς ἀνατολὰς τοῦ ἡλίου. οὐ γὰρ τωὐτὸ δύναται, ἥτις πρὸς βορέην κέεται, καὶ ἥτις πρὸς νότον. οὐδ' ἥτις πρὸς ἥλιον ἀνίσχοντα. οὐδ' ἥτις πρὸς δύνοντα. ταῦτα δὲ ἐνθυμέεσθαι ὡς κάλλιστα. καὶ τῶν ὑδάτων πέρι, ὡς ἔχουσιν. καὶ πότερον ἑλώδεσι χρέονται καὶ μαλακοῖσιν, ἢ σκληροῖσί τε καὶ ἐκ μετεώρων, καὶ ἐκ πετρωδέων. εἴτε ἁλυκοῖσι, καὶ ἀτεράμνοισιν. καὶ τὴν γῆν πότερον ψιλή τε καὶ ἄνυδρος, ἢ δασεῖα καὶ ἔφυδρος, καὶ εἴτε ἐν κοίλῳ ἐστὶ καὶ πνιγηρὴ, εἴτε μετέωρος καὶ ψυχρή. καὶ τὴν δίαιταν τῶν ἀνθρώπων ὁκοίῃ ἥδονται. πότερον φιλοπόται καὶ ἀριστηταὶ καὶ ἀταλαίπωροι, ἢ φιλογυμνασταί τε καὶ φιλόπονοι, καὶ ἐδωδοὶ καὶ ἄποτοι. καὶ ἀπὸ τουτέων χρὴ ἐνθυμέεσθαι ἕκαστα. εἰ γὰρ ταῦτα εἰδείη τις καλῶς. μάλιστα μὲν, πάντα. εἰ δὲ μὴ, τάγε πλεῖστα, οὐκ ἂν αὐτὸν λανθάνοι ἐς πόλιν ἀφικνεόμενον, ἧς ἂν ἄπειρος ἢ, οὔτε νοσήματα ἐπιχώρια, οὔτε τῶν κοινῶν ἡ φύσις ὁκοίη τίς ἐστιν. ὥστε μὴ ἀπορέεσθαι ἐν τῇ θεραπείῃ τῶν νούσων, μὴ δὲ διαμαρτάνειν, ἃ εἰκός ἐστι γίγνεσθαι, ἢν μή τις ταῦτα πρότερον εἰδὼς πρόφρων τις ἦ. περὶ ἑκάστου δὲ χρόνου προϊόντος καὶ τοῦ ἐνιαυτοῦ λέγοι ἂν, ὁκόσα τε νοσήματα μέλλει πάγκοινα τὴν πόλιν κατασχήσειν, ἢ θέρεος, ἢ χειμῶνος. ὁκόσα τε ἴδια ἑκάστῳ κίνδυνος γίγνεσθαι, ἐκ μεταβολῆς τῆς διαίτης. εἰδὼς γὰρ τῶν ὡρέων τὰς μεταβολὰς, καὶ τῶν ἄστρων ἐπιτολάς τε καὶ δύσιας, καθότι ἕκαστον τουτέων γίγνεται, προειδείη ἂν τὸ ἔτος, ὁκοῖόν τι μέλλει γίγνεσθαι. οὕτως ἄν τις ἐρευνώμενος καὶ προγινώσκων τοὺς καιροὺς, μάλιστ' ἂν εἰδείη περὶ ἑκάστου, καὶ τὰ πλεῖστα τυγχάνοι τῆς ὑγιείης, καὶ κατ' ὀρθὸν φέροιτο οὐκ ἐλάχιστα ἐν τῇ τέχνῃ. εἰ δὲ δοκέοι τις ταῦτα μετεωρόλογα εἶναι, εἰ μεταστάιη τῆς γνώμης, μάθοι ἂν ὅτι οὐκ ἐλάχιστον μέρος συμβάλλεται ἀστρονομίη ἐς ἰητρικὴν, ἀλλὰ πάνυ πλεῖστον. ἅμα γὰρ τῇσιν ὥρῃσιν, καὶ αἱ κοιλίαι μεταβάλλουσιν τοῖσιν ἀνθρώποισιν. ὅκως δὲ χρὴ ἕκαστα τῶν προειρημένων σκοπεῖν καὶ βασανίζειν, ἐγὼ φράσω σαφέως. ἥτις μὲν πόλις πρὸς τὰ πνεύματα κέεται τὰ θερμά. ταῦτα δ' ἐστὶ μεταξὺ τῆς τε χειμερινῆς ἀνατολῆς τοῦ ἡλίου καὶ τῶν δυσμέων τῶν χειμερινῶν, καὶ αὐτέῃ ταῦτα τὰ πνεύματά ἐστι ξύννομα. τῶν δὲ ἀπὸ τῶν ἄρκτων πνευμάτων, σκέπη. ἐν ταύτῃ τῇ πόλει ἐστὶ, τά τε ὕδατα πολλὰ καὶ ὕφαλα, καὶ ἀνάγκη εἶναι μὴ μετέωρα. τοῦ μὲν θέρεος, θερμά. τοῦ δὲ χειμῶνος, ψυχρά. * καὶ λειεντερίαι καὶ ὕδρωπες τελευτῶσι τοῖσι νοσεύμασι ἐπιγίγνονται. οὐ γὰρ ἀπεξηραίνονται αἱ κοιλίαι ῥηιδίως. ἢν δὲ τὸ θέρος ἔπομβρον γένηται, καὶ νότιον, καὶ τὸ μετόπωρον, χειμῶνα ἀνάγκη νοσερὸν εἶναι. καὶ τοῖς φλεγματίοισιν, καὶ τοῖς γεραιτέροισι τεσσαράκοντα ἐτέων, καύσους γίγνεσθαι εἰκός. τοῖσι δὲ χολώδεσιν, πλευρίτιδας, καὶ περιπλευμονίας. ἢν δὲ τὸ θέρος αὐχμηρὸν γένηται, καὶ νότιον. τὸ δὲ μετόπωρον ἔπομβρον καὶ βόρειον, κεφαλαλγίας ἐς τὸν χειμῶνα, καὶ σφακέλους τοῦ ἐγκεφάλου εἰκὸς γίγνεσθαι. καὶ προσέτι βράγχους, καὶ κορύζας, καὶ βῆχας. ἐνίοισι δὲ καὶ φθίσιας. ἢν δὲ βόρειόν τε ἢ καὶ ἄνυδρον, καὶ μήτε ὑπὸ κύνα ἔπομβρον, μήτε ἐπὶ τῷ ἀρκτούρῳ. τοῖσι μὲν φλεγματίοισι φύσει, ξυμφέροι, μάλιστα καὶ τοῖς ὑγροῖς τὰς φύσιας καὶ τῇσι γυναιξίν. τοῖσι δὲ χολώδεσι τοῦτο πολεμιώτατον γίνεται. λίην γὰρ ἀναξηραίνονται, καὶ ὀφθαλμίαι αὐτέοισιν ἐπιγίγνονται ξηραί. καὶ πυρετοὶ ὀξέες καὶ πολυχρόνιοι ἐνίοισιν, καὶ μελαγχολίαι. τῆς γὰρ χολῆς τὸ μὲν ὑγρότατον καὶ ὑδαρέστατον, ἀναλοῦται. τὸ δὲ παχύτατον καὶ δριμύτατον, λείπεται, καὶ τοῦ αἵματος κατὰ τὸν αὐτὸν λόγον, ἀφ' ὧν ταῦτα νοσεύματα αὐτέοις γίγνεται. τοῖσι δὲ φλεγματίοισι, πάντα ταῦτα ἀρωγά ἐστιν. ἀπεξηραίνονται γὰρ καὶ ἐς τὸν χειμῶνα ἀφικνέοντες, ὑπὸ ἀλλωντ' ἐν ἄλλα ἀναξηραινόμενοι. ἢν δὲ ὁ χειμὼν βόρειος γένηται καὶ ξηρός. τὸ δὲ ἦρ, νότιον καὶ ἔπομβρον. κατὰ τὸ θέρος ὀφθαλμίαι γίνονται ἰσχυραί. τοῖσι δὲ παισὶ καὶ γυναιξὶν, πυρετοί.

κατὰ ταῦτα τὶς ἐννοεύμενος καὶ σκοπούμενος, προειδείη ἂν τὰ πλεῖστα τῶν μελλόντων ἔσεσθαι ἀπὸ τῶν μεταβολέων. φυλάσσεσθαι δὲ χρὴ μάλιστα τὰς μεταβολὰς τῶν ὡρέων τὰς μεγίστας, καὶ μήτε φάρμακον διδόναι ἑκόντα, μήτε καίειν ὅ, τι ἐς κοιλίην, μήτε τέμνειν πρὶν παρέλθωσιν αἱ ἡμέραι δέκα ἢ καὶ πλείονες. μέγισται δέ εἰσιν αἱ δέκα, καὶ ἐπικινδυνώταται ἡλίου τροπαὶ ἀμφότεραι, καὶ μᾶλλον θεριναί. καὶ ἰσημεριναὶ νομιζόμεναι εἶναι ἀμφότεραι, μᾶλλον δὲ αἱ μετοπωριναί. δεῖ δὲ καὶ τῶν ἄστρων τὰς ἐπιτολὰς φυλάσσεσθαι, καὶ μάλιστα τοῦ κυνός. ἔπειτα ἀρκτούρου, καὶ ἔτι πλειάδων δύσιν. τά τε γὰρ νοσεύματα μάλιστα ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν κρίνεται. καὶ τὰ μὲν, ἀποφθίνει. τὰ δὲ, λήγει. τὰ δὲ ἄλλα πάντα, μεθίσταται εἰς ἕτερον εἶδος, καὶ ἑτέρην κατάστασιν. περὶ μὲν τουτέων, οὕτως ἔχει. Βούλομαι δὲ περὶ τῆς Ἀσίης καὶ τῆς Εὐρώπης δεῖξαι, ὁκόσον διαφέρουσιν ἀλλήλων ἐς τὰ πάντα. καὶ περὶ τῶν ἐθνῶν τῆς μορφῆς, τί διαλλάσσει, καὶ μηδὲν ἔοικεν ἀλλήλοισι. περὶ μὲν οὖν ἁπάντων πολὺς ἂν εἴη λόγος. περὶ δὲ τῶν μεγίστων, καὶ πλεῖστον διαφερόντων, ἐρέω ὥς μοι δοκέει ἔχειν. τὴν Ἀσίην πλεῖστον διαφέρειν φημὶ τῆς Εὐρώπης, ἐς τὰς φύσιας τῶν ξυμπάντων τῶν τε ἐκ τῆς γῆς φυομένων, καὶ τῶν ἀνθρώπων. πολὺ γὰρ καλλίονα καὶ μείζονα πάντα γίγνεται ἐν τῇ Ἀσίῃ. ἥτε χώρη, τῆς χώρης ἡμερωτέρη. καὶ τὰ ἔθνεα τῶν ἀνθρώπων ἠπιώτερα, καὶ εὐοργητότερα. τὸ δὲ αἴτιον τουτέων, ἡ κρᾶσις τῶν ὡρέων. ὅτι τοῦ ἡλίου ἐν μέσῳ τῶν ἀνατολῶν κεῖται πρὸς τὴν ἠῶ, τοῦ τε ψυχροῦ πορρωτέρω. τὴν δὲ αὔξησιν καὶ ἡμερότητα παρέχει πλεῖστον ἁπάντων, ὁκόταν μηδὲν ᾖ ἐπικρατεῦον βιαίως. ἀλλὰ παντὸς ἰσομοιρίη δυναστεύῃ. ἔχει δὲ κατὰ τὴν Ἀσίην, οὐ πανταχῆ ὁμοίως. ἀλλ' ὅση μὲν τῆς χώρης ἐν μέσῳ κεῖται τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ, αὕτη μὲν εὐκαρποτάτη ἐστὶν, καὶ εὐδενδροτάτη, καὶ εὐδιεστάτη, καὶ ὕδασι μάλιστα κέχρηται, τοῖσί τε οὐρανίοισιν, καὶ τοῖσιν ἐκ τῆς γῆς. οὔτε γὰρ ὑπὸ τοῦ θερμοῦ, ἐκκέκαυται λίην. οὔτε ὑπὸ αὐχμῶν καὶ ἀνυδρίης, ἀναξηραίνεται. οὔτε ὑπὸ ψύχεος βεβιασμένη. νοτία τε καὶ διάβροχός ἐστιν, ὑπό τε ὄμβρων πολλῶν καὶ χιόνος. τά τε ὡραῖα αὐτόθι πολλὰ ἐοικὸς γίνεσθαι, ὁκόσα τε ἀπὸ σπερμάτων, καὶ ὁκόσα αὐτὴ ἡ γῆ ἀναδιδοῖ φυτά, ὧν τοῖσι καρποῖσι χρέονται ἄνθρωποι, ἡμεροῦντες ἐξ ἀγρίων, καὶ εἰς ἐπιτήδειον μεταφυτεύοντες. τά τε ἐντρεφόμενα κτήνεα εὐθηνεῖν εἰκὸς καὶ μάλιστα, τίκτειν τε πυκνότατα, καὶ ἐκτρέφειν κάλλιστα. τούς τε ἀνθρώπους εὐτραφέας εἶναι. καὶ τὰ εἴδεα καλλίστους, καὶ μεγέθει μεγίστους. καὶ ἥκιστα διαφόρους ἐς τά τε εἴδεα αὐτῶν καὶ τὰ μεγέθεα. εἰκός τε τὴν χώρην ταύτην τοῦ ἦρος ἐγγύτατα εἶναι κατὰ τὴν φύσιν, καὶ τὴν μετριότητα τῶν ὡρέων. τὸ δὲ ἀνδρεῖον καὶ τὸ ταλαίπωρον, καὶ τὸ ἔμπονον, καὶ τὸ θυμοειδὲς, οὐκ ἂν δύναιτο ἐν τοιαύτῃ φύσει ἐγγίγνεσθαι μήτε ὁμοφύλου, μήτε ἀλλοφύλου, ἀλλὰ τὴν ἡδονὴν κρατέειν, διότι πολύμορφα γίνεται τὰ ἐν τοῖς θηρίοις. περὶ μὲν οὖν Αἰγυπτίων, καὶ Λιβύων, οὕτως ἔχειν μοι δοκεῖ. περὶ δὲ τῶν ἐν δεξιᾷ τοῦ ἡλίου τῶν ἀνατολῶν τῶν χειμερινῶν μέχρι Μαιώτιδος λίμνης, οὗτος γὰρ ὅρος τῆς Εὐρώπης καὶ τῆς Ἀσίης, ὧδε ἔχει περὶ αὐτέων. τὰ δὲ ἔθνεα ταῦτα, ταύτῃ διάφορα αὐτὰ ἑωυτέων μᾶλλον ἐστὶ τῶν προδιηγημένων, διὰ τὰς μεταβολὰς τῶν ὡρέων καὶ τῆς χώρης τὴν φύσιν. ἔχει δὲ καὶ κατὰ τὴν γῆν ὁμοίως, ἅπερ καὶ κατὰ τοὺς ἄλλους ἀνθρώπους. ὅκου γὰρ αἱ ὧραι μεγίστας μεταβολὰς ποιέονται καὶ πυκνοτάτας, ἐκεῖ καὶ ἡ χώρη ἀγριωτάτη καὶ ἀνωμαλωτάτη ἐστίν. καὶ εὑρήσεις ὄρη τε πλεῖστα καὶ δασέα καὶ πεδία καὶ λειμῶνας ὄντας. ὅκου δὲ αἱ ὧραι μὴ μεγάλα ἀλλάσσουσιν, ἐκείνοις ἡ χώρη ὁμαλωτάτη ἐστίν. οὕτω δὲ ἔχει καὶ περὶ τῶν ἀνθρώπων. εἴτις βούλεται ἐνθυμέεσθαι. εἰσὶ γὰρ φύσιες. αἱ μὲν, ὄρεσιν ἐοικυῖαι, δενδρώδεσί τε καὶ ἀφύδροισι. αἱ δὲ, λεπτοῖσί τε καὶ ἐνύδροις. αἱ δὲ, λειμακεστέροις τε καὶ ἑλώδεσι. αἱ δὲ, πεδίῳ τε καὶ ψιλῇ καὶ ξηρῇ. αἱ γὰρ ὧραι αἱ μεταλλάσσουσαι τῆς μορφῆς τὴν φύσιν, εἰσὶ διάφοροι. ἢν δὲ διάφοροι ἔωσι μετὰ σφῶν αὐτέων, διαφοραὶ καὶ πλείονες γίνονται τοῖς εἴδεσιν. καὶ ὁκόσα μὲν ὀλίγον διαφέρει τῶν ἐθνέων, παραλείψω. ὁκόσα δὲ μεγάλα ἢ φύσει ἢ νόμῳ, ἐρέω περὶ αὐτῶν ὡς ἔχει. καὶ πρῶτον περὶ τῶν μακροκεφάλων. τουτέων γὰρ οὐκ ἔστιν ἄλλο ἔθνος ὁμοίως τὰς κεφαλὰς ἔχον οὐδέν. τὴν μὲν γὰρ ἀρχὴν, ὁ νόμος αἰτιώτατος ἐγένετο τοῦ μήκους τῆς κεφαλῆς. νῦν δὲ, καὶ ἡ φύσις ξυμβάλλεται τῷ νόμῳ. τοὺς γὰρ μακροτάτην ἔχοντας τὴν κεφαλὴν γενναιοτάτους ἡγέονται. ἔχει δὲ περὶ νόμου ὧδε. τὸ παιδίον ὁκόταν γένηται, τάχιστα τὴν κεφαλὴν αὐτέου ἔτι ἁπαλὴν ἐοῦσαν μαλακοῦ ἐόντος, ἀναπλάσσουσι τῇσι χερσὶν, καὶ ἀναγκάζουσιν

ὅν τὸ μῆκος αὔξεσθαι, δεσμάτε προσφέροντες, καὶ τεχνήματα ἐπιτήδεια ὑφ' ὧν τὸ μὲν σφαιροειδὲς τῆς κεφαλῆς κακοῦται. τὸ δὲ μῆκος αὔξεται. αὐτὸς τὴν ἀρχὴν ὁ νόμος κατεργάσατο, ὥστε τοιαύτην τὴν φύσιν γίγνεσθαι. τοῦ δὲ χρόνου προϊόντος, ἐν φύσει ἐγένετο, ὥστε τὸν νόμον μηκέτι ἀναγκάζειν. ὁ γὰρ γόνος πανταχόθεν ἔρχεται, ἀπό τε τῶν ὑγιηρῶν ὑγιηρὸς τοῦ σώματος. ἀπό τε τῶν νοσερῶν, νοσερός. εἰ οὖν γίγνονται ἔκ τε τῶν φαλακρῶν, φαλακροί. καὶ ἐκ γλαυκῶν, γλαυκοί. καὶ ἐκ διεστραμμένων, στρεβλοί, ὡς ἐπὶ τὸ πλῆθος, καὶ περὶ τῆς ἄλλης μορφῆς ὁ αὐτὸς λόγος, τί κωλύει καὶ ἐκ μακροκεφάλου μακροκέφαλον γίγνεσθαι; νῦν δ' ὁμοίως οὐκέτι γίγνονται ὡς πρότερον. ὁ γὰρ νόμος οὐκέτι ἰσχύει, διὰ τὴν ἀμέλειαν τῶν ἀνθρώπων. τὰ μὲν οὖν τουτέων, οὕτως μοι δοκεῖ. περὶ δὲ τῶν ἐν Φάσει, ἡ χώρη ἐκείνη ἑλώδης ἐστὶ, καὶ θερμὴ, καὶ ὑδατεινὴ, καὶ δασεῖα. ὄμβροι τε αὐτόθι γίγνονται πᾶσαν ὥρην πολλοί τε καὶ ἰσχυροί. ἥτε δίαιτα τοῖς ἀνθρώποις ἐν τοῖς ἕλεσίν ἐστιν. τάτε οἰκήματα, ξύλινα καὶ καλάμινα ἐν ὕδασι μεμηχανημένα. ὀλίγη τε χρέονται βαδίσει, κατὰ τὴν πόλιν, καὶ τὸ ἐμπόριον, ἀλλὰ μονοξύλοις διαπλέουσιν ἄνω καὶ κάτω. διώρυγες γὰρ πολλαί εἰσιν. τὰ δὲ ὕδατα, θερμὰ καὶ στάσιμα πίνουσιν, ὑπό τε τοῦ ἡλίου σηπόμενα, καὶ ὑπὸ τῶν ὄμβρων ἐπαυξόμενα. αὐτός τε ὁ Φάσις, στασιμώτατος πάντων τῶν ποταμῶν, καὶ ῥέων ἠπιώτατα. οἵτε καρποὶ γινόμενοι αὐτόθι πάντες ἀναλθέες εἰσὶν κατατεθηλυσμένοι καὶ ἀτελέες ὑπὸ πολυπληθείης τοῦ ὕδατος. διὸ καὶ οὐ πεπαίνονται. ἤρ τε πουλὺς κατέχει τὴν χώρην ἀπὸ τῶν ὑδάτων. διὰ ταύτας δὴ τὰς προφάσιας, τὰ εἴδεα ἀπηλλαγμένα τῶν λοιπῶν ἀνθρώπων ἔχουσιν οἱ Φασιηνοί. τάτε γὰρ μεγέθη μεγάλοι. τὰ πάχεα δ' ὑπερπαχέες. ἄρθρον τε κατάδηλον οὐδὲν, οὐδὲ φλέψ. τήν τε χροιὴν ὠχρὴν ἔχουσιν, ὥσπερ ὑπὸ ἰκτέρου ἐχόμενοι. φθέγγονταί τε βαρύτατον ἀνθρώπων, τῷ ἠέρι χρεώμενοι οὐ λαμπρῷ, ἀλλὰ χνοώδει τε καὶ διερῷ. πρὸς ταλαιπωρέειν τε τὸ σῶμα ἀργότεροι πεφύκασιν. αἵ τε ὧραι οὐ πολὺ μεταλλάσσουσιν, οὔτε πρὸς τὸ πνῖγος, οὔτε πρὸς τὸ ψῦχος. τάτε πνεύματα πολλὰ νότια, πλὴν αὔρης μιῆς ἐπιχωρίης. αὕτη δὲ πνέει ἐνίοτε, βίαιος καὶ χαλεπὴ καὶ θερμή. καὶ κέγχρονα ὀνομάζουσιν τοῦτο τὸ πνεῦμα. ὁ δὲ Βορέης οὐ σφόδρα ἀφικνέεται. ὁκόταν δὲ πνέῃ ἀσθενὴς καὶ βληχρός. περὶ μὲν τῆς φύσιος, καὶ τῆς διαφορῆς, καὶ τῆς μορφῆς τῶν ἐν τῇ Ἀσίῃ καὶ τῇ Εὐρώπῃ, οὕτως ἔχει. περὶ δὲ τῆς ἀθυμίης τῶν ἀνθρώπων καὶ τῆς ἀνανδρείης, ὅτι ἀπολεμώτεροί εἰσιν τῶν Εὐρωπαίων οἱ Ἀσιηνοί, καὶ ἡμερώτεροι τὰ ἤθεα, αἱ ὧραι αἴτιαι μάλιστα, οὐ μεγάλας τὰς μεταβολὰς ποιεύμεναι, οὔτε ἐπὶ τὸ θερμὸν, οὔτε ἐπὶ τὸ ψυχρὸν, ἀλλὰ παραπλήσιαι. οὐ γὰρ γίνονται ἐκπλήξιες τῆς γνώμης, οὔτε μετάστασις ἰσχυρὴ τοῦ σώματος. ἀφ' ὅτων εἰκὸς τὴν ὀργὴν ἀγριοῦσθαί τε, καὶ τοῦ γνώμονος καὶ θερμοῦ μετέχειν μᾶλλον, ἢ ἐν τῷ αὐτέῳ ἀεὶ ὄντα. αἱ γὰρ μεταβολαί εἰσι τῶν πάντων, ἀεί τε ἐγείρουσι τὴν γνώμην τοῦ ἀνθρώπου, καὶ οὐκ ἐῶσι ἀτρεμίζειν. διὰ ταύτας ἐμοὶ δοκέει τὰς προφάσιας, ἄναλκες εἶναι τὸ γένος τὸ Ἀσιηνόν. καὶ προσέτι διὰ τοὺς νόμους. τῆς γὰρ Ἀσίης τὰ πολλὰ βασιλεύεται. ὅκου δὲ μὴ αὐτοὶ ἑωυτέων εἰσὶ καρτεροὶ ἄνθρωποι, μὴ δὲ αὐτόνομοι, ἀλλὰ δεσπόζονται, οὐ περὶ τουτέου αὐτέοισιν ὁ λόγος ἐστὶν, ὅπως τὰ πολέμια ἀσκήσωσιν, ἀλλ' ὅκως μὴ δόξωσι μάχιμοι εἶναι. οἱ γὰρ κίνδυνοι οὐχ ὅμοιοι εἰσίν. τοὺς μὲν γὰρ στρατεύεσθαι εἰκὸς, καὶ ταλαιπωρέειν, καὶ ἀποθνήσκειν ἐξ ἀνάγκης ὑπὲρ τῶν δεσποτῶν, ἀπό τε παιδίων καὶ γυναικὸς ἐόντας, καὶ τῶν λοιπῶν φίλων. καὶ ὁκόσα μὲν ἂν χρηστὰ καὶ ἀνδρεῖα ἐργάσωνται, οἱ δεσπόται ἀπ' αὐτέων αὔξονταί τε καὶ ἐκφύονται. τοὺς δὲ κινδύνους καὶ θανάτους αὐτοὶ καρποῦνται. ἔτι δὲ πρὸς τούτοισιν τῶν τοιούτων ἀνθρώπων, ἀνάγκη ἐρημοῦσθαι τὴν γῆν ὑπό τε πολεμίων καὶ ἀργίης, ὥστε καὶ εἴτις φύσει πέφυκεν ἀνδρεῖος καὶ εὔψυχος, ἀποτρέπεσθαι τὴν γνώμην ἀπὸ τῶν νόμων. μέγα δὲ τεκμήριον τούτων. ὁκόσοι γὰρ ἐν τῇ Ἀσίῃ Ἕλληνες ἢ βάρβαροι μὴ δεσπόζονται, ἀλλ' αὐτόνομοί εἰσι καὶ ἑωυτέοισιν ταλαιπωρεῦσιν, οὗτοι μαχιμώτατοι εἰσὶ πάντων. τοὺς γὰρ κινδύνους ἑωυτέων πέρι κινδυνεύουσιν. καὶ τῆς ἀνδρείης αὐτέοι τὰ ἆθλα φέρονται, καὶ τῆς δειλίης τὴν ζημίην ὡσαύτως. εὑρήσεις δὲ καὶ τοὺς Ἀσιηνοὺς διαφέροντας αὐτοὺς ἑωυτέων, τοὺς μὲν βελτίονας, τοὺς δὲ φαυλοτέρους ἐόντας. τουτέων δὲ αἱ μεταβολαὶ αἴτιαι τῶν ὡρέων, ὥσπερ μοι εἴρηται ἐν τοῖσι προτέροισι. καὶ περὶ μὲν τῶν ἐν τῇ Ἀσίῃ, οὕτως ἔχει. ἐν δὲ τῇ Εὐ-

ρώπῃ, ἔστιν ἔθνος σκυθικὸν, ὃ περὶ τὴν λίμνην οἰκεῖ τὴν Μαιῶτιν, διαφέρον τῶν ἐθνέων τῶν ἄλλων, Σαυρομᾶται καλεῦνται. τουτέων αἱ γυναῖκες ἱππάζονταί τε καὶ τοξεύουσιν, καὶ ἀκοντίζουσιν ἀπὸ τῶν ἵππων, καὶ μάχονται τοῖς πολεμίοις, ἕως ἂν παρθένοι ἔωσιν. οὐκ ἀποπαρθενεύονται δὲ μέχρις ἂν τῶν πολεμίων τρεῖς ἀποκτένωσι. καὶ οὐ πρότερον συνοικέουσιν, ἤπερ τὰ ἱερὰ θύουσαι τὰ ἐν νόμῳ. ἣ δ' ἂν ἄνδρα ἑωυτῇ ἄρηται, παύεται ἱππαζομένη, ἕως ἂν μὴ ἀνάγκη καταλάβῃ παγκοίνου στρατείης. τὸν δεξιὸν δὲ μαζὸν οὐκ ἔχουσιν. παιδίοις γὰρ ἐοῦσιν ἔτι νηπίοις, αἱ μητέρες χάλκεον τετεχνημένον ἐπ' αὐτῷ τουτέῳ διάπυρον ποιέουσαι, πρὸς τὸν μαζὸν τιθέασιν τὸν δεξιὸν, καὶ ἐπικαίεται, ὥστε τὴν αὔξησιν φθείρεσθαι, ἐς δὲ τὸν δεξιὸν ὦμον καὶ βραχίονα πᾶσαν τὴν ἰσχὺν καὶ τὸ πλῆθος ἐκδιδόναι. περὶ δὲ τῶν λοιπῶν Σκυθέων τῆς μορφῆς, ὅτι αὐτοὶ αὐτοῖσιν ἐοίκασι, καὶ οὐδαμῶς ἄλλοις ωὑτὸς λόγος καὶ περὶ τῶν Αἰγυπτίων, πλὴν ὅτι οἱ μὲν ὑπὸ τοῦ θερμοῦ εἰσὶ βεβιασμένοι. οἱ δ' ἀπὸ τοῦ ψυχροῦ. ἡ δὲ Σκυθέων ἐρημίη καλευμένη, πεδιάς ἐστι. καὶ λειμακώδης, καὶ ψιλή. καὶ ἔνυδρος μετρίως. ποταμοὶ γάρ εἰσι μεγάλοι, οἳ ἐξοχετεύουσι τὸ ὕδωρ ἐκ τῶν πεδίων. ἐνταῦθα καὶ οἱ Σκῦθαι διαιτεῦνται, Νομάδες δὲ καλεῦνται, ὅτι οὐκ ἔστιν οἰκήματα, ἀλλ' ἐν ἁμάξαις οἰκεῦσιν. αἱ δὲ ἅμαξαι εἰσὶν, αἱ μὲν ἐλάχισται, τετράκυκλοι. αἱ δὲ ἑξάκυκλοι. αὗται δὲ πίλοις περιπεφραγμέναι. εἰσὶ δὲ καὶ τετεχνασμέναι, ὥσπερ οἰκήματα τὰ μὲν ἁπλᾶ. τὰ δὲ τριπλᾶ. ταῦτα δὲ καὶ στεγνὰ πρὸς ὕδωρ, καὶ πρὸς χιόνα, καὶ πρὸς τὰ πνεύματα. τὰς δὲ ἁμάξας ἕλκουσι ζεύγεα. τὰς μὲν δύο. τὰς δὲ, τρία βοῶν κέρως ἄτερ. οὐ γὰρ ἔχουσι κέρατα ὑπὸ ψύχεος. ἐν ταύταις μὲν οὖν ταῖς ἁμάξαις, γυναῖκες διαιτεῶνται. αὐτοὶ δ' ἐφ' ἵππων ὀχεῦνται οἱ ἄνδρες. ἕπονται δὲ αὐτέοις καὶ τὰ πρόβατα ἐόντα καὶ αἱ βόες καὶ οἱ ἵπποι. μένουσι δ' ἐν τῷ αὐτέῳ τοσοῦτον χρόνον, ὅσον ἂν ἀπόχρῃ ὡυτέοισιν τοῖς κτήνεσιν ὁ χόρτος. ὁκόταν δὲ μηκέτι, εἰς ἑτέρην χώρην ἔρχονται. αὐτοὶ δ' ἐσθίουσι κρέα ἑφθά. καὶ πίνουσι γάλα ἵππων. καὶ ἱππάκην τρώγουσιν, τοῦτο δ' ἐστὶ τυρὸς ἵππων. τὰ μὲν ἐς τὴν δίαιταν αὐτέων οὕτως ἔχει καὶ τοὺς νόμους, περί τε τῶν ὡρέων καὶ τῆς μορφῆς, ὅτι πολὺ ἀπήλλακται τῶν λοιπῶν ἀνθρώπων τὸ Σκυθικὸν γένος, καὶ ἔοικεν αὐτὸ ἑωυτέῳ, ὥσπερ τὸ Αἰγύπτιον. καὶ ἥκιστα πολύγονον ἐστιν. καὶ ἡ χώρη ἐλάχιστα θηρία τρέφει κατὰ μέγεθος καὶ πλῆθος. κεῖται γὰρ ὑπ' αὐταῖς ταῖς ἄρκτοις, καὶ τοῖς ὄρεσιν τοῖς Ῥιπαίοισιν, ὅθεν ὁ Βορέης πνέει. ὅ τε ἥλιος τελευτῶν ἐγγύτατα γίγνεται, ὁκόταν ἐπὶ τὰς θερινὰς ἔλθῃ περιόδους. καὶ τότε ὀλίγον χρόνον θερμαίνει. καὶ οὐ σφόδρα τὰ διαπνεύματα τὰ ἀπὸ τῶν θερμῶν πνέοντα ἀφικνεῖται, ἢν μὴ ὀλιγάκις καὶ ἀσθενέα, ἀλλ' ἀπὸ τῶν ἄρκτων αἰεὶ πνέουσιν πνεύματα ψυχρὰ ἀπό τε χιόνος, καὶ κρυστάλλων, καὶ ὑδάτων πολλῶν. οὐδέποτε δὲ τὰ ὄρεα ἐκλείπει. ἀπὸ τουτέων δὲ δυσοίκητά ἐστιν. ἠήρ τε κατέχει πουλὺς τῆς ἡμέρης τὰ πεδία. καὶ ἐν νότοισι διαιτεῶνται. ὥστε τὸν μὲν χειμῶνα, αἰεὶ εἶναι. τὸ δὲ θέρος, ὀλίγας ἡμέρας, καὶ ταύτας μὴ λίην. μετέωρα γὰρ τὰ πεδία καὶ ψιλὰ καὶ οὐκ ἐστεφάνωνται ὄρεσιν. ἀλλ' ἀνάντη ὑπὸ τῶν ἄρκτων αὐτόθι. καὶ τὰ θηρία οὐ γίγνεται μεγάλα. ἀλλ' οἷά τέ ἐστιν ὑπὸ γῆν σκεπάζεσθαι. ὁ γὰρ χειμὼν κωλύει, καὶ τῆς γῆς ἡ ψιλότης. καί τοι οὐκ ἔστιν ἀλέα. οὐδὲ σκέπη. αἱ γὰρ μεταβολαὶ τῶν ὡρέων οὐκ εἰσὶ μεγάλαι, οὐδὲ ἰσχυραὶ, ἀλλ' ὅμοιαι καὶ ὀλίγον μεταβάλλουσαι. διότι καὶ τὰ εἴδεα, ὅμοια αὐτὰ ἑωυτέοις εἰσίν. σίτῳ τε χρέονται αἰεὶ ὁμοίως, ἐσθῆτι τε τῇ αὐτέῃ καὶ θέρεος καὶ χειμῶνος. τόν τε ἠέρα ὑδατεινὸν ἕλκοντες καὶ παχύν. τά τε ὕδατα πίνοντες ἀπὸ χιόνος καὶ παγετῶν. τοῦ τε ταλαιπώρου ἀπεόντος. οὐ γὰρ οἷόν τε τὸ σῶμα ταλαιπωρέεσθαι, οὐδὲ τὴν ψυχὴν, ὅκου μεταβολαὶ μὴ γίγνονται ἰσχυραί. διὰ ταύτας τὰς ἀνάγκας, τὰ εἴδεα αὐτῶν παχέα ἐστὶ καὶ σαρκώδεα. καὶ ἄρθρα καὶ ὑγρὰ καὶ ἄτονα. αἵ τε κοιλίαι ὑγρόταται πασέων κοιλιῶν αἱ κάτω. οὐ γὰρ οἷόν τε νηδὺν ἀναξηραίνεσθαι ἐν τοιαύτῃ χώρῃ καὶ φύσει καὶ ὥρης καταστάσει, ἀλλὰ διὰ πιμελήν τε καὶ ψιλὴν τὴν σάρκα, τά τε εἴδεα ἔοικεν ἀλλήλοισιν, τά τε ἄρσενα τοῖς ἄρσεσιν, καὶ τὰ θήλεα τοῖς θήλεσι. τῶν γὰρ ὡρέων παραπλησίων ἐουσέων, φθοραὶ οὐκ ἐγγίγνονται οὐδὲ κακώσιες ἐν τῇ τοῦ γόνου ξυμπήξει. ἢν μή τινος ἀνάγκης βιαίου τύχῃ ἢ νούσου.

μέγα

μέγα δὲ τεκμήριον ἐς τὴν ὑγρότητα παρέξομαι. Σκυθέων γὰρ τοὺς πολλοὺς, ἅπαντας ὅσοι Νομάδες, εὑρήσεις κεκαυμένους τούς τε ὤμους καὶ τοὺς βραχίονας, καὶ τοὺς καρποὺς τῶν χειρέων, καὶ τὰ στήθεα, ἰσχία, καὶ τὴν ὀσφὺν, δι' ἄλλ' οὐδὲν, ἢ διὰ τὴν ὑγρότητα τῆς φύσιος καὶ τὴν μαλακίην. οὐ γὰρ δύνανται οὔτε τοῖς τόξοις ξυντείνειν, οὔτε τῷ ἀκοντίῳ ἐμπίπτειν τῷ ὤμῳ ὑπὸ ὑγρότητος καὶ ἀτονίης. ὁκόταν δὲ καυθῶσιν, ἀναξηραίνεται ἐκ τῶν ἄρθρων τὸ πολὺ τοῦ ὑγροῦ. καὶ ἐντονώτερα μᾶλλον γίνεται καὶ τροφιμώτερα καὶ ἠρθρωμένα τὰ σώματα μᾶλλον. ῥοϊκὰ δὲ γίνεται καὶ πλατέα. πρῶτον μὲν ὅτι οὐ σπαργανοῦνται, ὥσπερ ἐν Αἰγύπτῳ, οὐδὲ νομίζουσιν διὰ τὴν ἱππασίην ὅκως ἂν εὔεδροι ἔωσιν. ἔπειτα δὲ διὰ τὴν ἕδρην. τά τε γὰρ ἄρσενα ἕως ἂν οὐχ οἷά τε ἐφ' ἵππου ὀχέεσθαι, τὸ πολὺ τοῦ χρόνου κάθηται ἐν τῇ ἁμάξῃ καὶ βραχὺ τῇ βαδίσει χρέονται, διὰ τὰς μεταναστάσιας καὶ περιελάσιας. τὰ δὲ θήλεα θαυμαστὸν οἷον ῥοϊκὰ εἶναι τὰ εἴδεα. πυῤῥὸν δὲ τὸ γένος ἐστὶν τὸ Σκυθικὸν διὰ τὸ ψύχος, οὐκ ἐπιγινομένου ὀξέως τοῦ ἡλίου. ὑπὸ δὲ τοῦ ψύχεος, ἡ λευκότης ἐπικαίεται, καὶ γίγνεται πυῤῥή. πολύγονον δὲ οὐχ οἷόν τε εἶναι φύσιν τοιαύτην. οὔτε γὰρ τῷ ἀνδρὶ ἡ ἐπιθυμίη τῆς μίξιος γίνεται πολλὴ, διὰ τὴν ὑγρότητα τῆς φύσιος, καὶ τῆς κοιλίης τὴν μαλθακότητά τε καὶ τὴν ψυχρότητα, ἀπὸ τῶν ἥκιστα εἰκὸς εἶναι ἄνδρα οἷόν τε λαγνεύειν. καὶ ἔτι ὑπὸ τῶν ἵππων ἀεὶ κοπτόμενοι, ἀσθενέες γίγνονται ἐς τὴν μίξιν. τοῖσι μὲν ἀνδράσιν αὗται αἱ προφάσιες γίγνονται. τῇσι δὲ γυναιξὶν, ἥ τε πιότης τῆς σαρκὸς καὶ ὑγρότης. οὐ γὰρ δύνανται ἔτι ξυναρπάζειν αἱ μῆτραι τὸν γόνον. οὔτε γὰρ ἐπιμήνιος κάθαρσις αὐτῇσι γίγνεται ὡς χρεὼν ἐστὶν, ἀλλ' ὀλίγον καὶ διὰ χρόνου. τό, τε στόμα τῶν μητρέων ὑπὸ πιμελῆς ξυγκλείεται, καὶ οὐχ ὑποδέχεται τὸν γόνον. αὗταί τε ἀταλαίπωροι καὶ πιεραί. καὶ αἱ κοιλίαι ψυχραὶ καὶ μαλακαί. καὶ ὑπὸ τουτέων τῶν ἀναγκαίων οὐ πολύγονόν ἐστιν τὸ γένος τὸ Σκυθικόν. μέγα δὲ τεκμήριον αἱ οἰκέτιδες ποιέουσιν. οὐ γὰρ φθάνουσι παρὰ ἄνδρα ἀφικνεύμεναι, καὶ ἐν γαστρὶ ἴσχουσι διὰ τὴν ταλαιπωρίην καὶ ἰσχνότητα τῆς σαρκός. ἔτι τε πρὸς τουτέοισιν εὐνουχίαι γίνονται οἱ πλεῖστοι ἐν Σκύθεσιν, καὶ γυναικεῖα ἐργάζονται, καὶ ὡς αἱ γυναῖκες διαλέγονταί τε ὁμοίως. καλεῦνται τε οἱ τοιοῦτοι ἀνανδριεῖς. οἱ μὲν ἐπιχώριοι τὴν αἰτίην προστιθέασι θεῷ, καὶ σέβονται τουτέους τοὺς ἀνθρώπους, καὶ προσκυνέουσι, δεδιότες περί τε ωὐτέων ἕκαστοι. ἐμοὶ δὲ καὶ αὐτέῳ δοκεῖ, ταῦτα τὰ πάθεα θεῖα εἶναι καὶ τἄλλα πάντα. καὶ οὐδὲν ἕτερον ἑτέρου θειότερον, οὐδὲ ἀνθρωπινώτερον, ἀλλὰ πάντα θεῖα. ἕκαστον δὲ ἔχει φύσιν τῶν τοιουτέων, καὶ οὐδὲν ἄνευ φύσιος γίγνεται. καὶ τοῦτο τὸ πάθος ὥς μοι δοκέει γίγνεσθαι, φράσω. ὑπὸ τῆς ἱππασίης αὐτέους κέδματα λαμβάνει, ἅτε ἀεὶ κρεμαμένων ἀπὸ τῶν ἵππων τοῖς ποσίν. ἔπειτα ἀποχωλοῦνται καὶ ἑλκοῦνται τὰ ἰσχία οἳ ἂν σφόδρα νοσήσωσιν. ἰῶνται δὲ σφᾶς αὐτοὺς τρόπῳ τοιῷδε. ὁκόταν ἄρχηται ἡ νοῦσος, ὄπισθεν τοῦ ὠτὸς ἑκατέραν φλέβα τάμνουσιν. ὅταν δὲ ἀποῤῥυῇ τὸ αἷμα, ὕπνος ὑπολαμβάνει ὑπὸ ἀσθενείας, καὶ καθεύδουσιν. ἔπειτα ἀναγείρονται. οἱ μέν τινες, ὑγιέες ἐόντες. οἱ δ' οὔ. ἐμοὶ μὲν οὖν δοκέει ἐν ταύτῃ τῇ ἰήσει διαφθείρεσθαι. εἰσὶ γὰρ παρὰ τὰ ὦτα φλέβες, ἃς ἐάν τις ἐπιτάμῃ ἄγονοι γίνονται οἱ ἐπιτμηθέντες. ταύτας τοίνυν μοι δοκέουσι τὰς φλέβας ἐπιτάμνειν. οἱ δὲ μετὰ ταῦτα, ἐπειδὰν ἀφίκωνται παρὰ γυναῖκας, καὶ μὴ οἷοί τε ὦσι χρῆσθαι σφῆσιν αὐταῖς, τὸ πρῶτον οὐκ ἐνθυμεῦνται, ἀλλ' ἡσυχίην ἔχουσιν. ὁκόταν δὲ δὶς καὶ τρὶς καὶ πλεονάκις αὐτέοισι πειρωμένοισιν μηδὲν ἀλλοιότερον ἀποβαίνῃ, νομίσαντές τι ἡμαρτηκέναι τῷ θεῷ ὃν ἐπαιτιῶνται, ἐνδύονται στολὴν γυναικείην καταγνόντες ἑωυτέων ἀνανδρείην. γυναικίζουσί τε καὶ ἐργάζονται μετὰ τῶν γυναικῶν, ἃ καὶ ἐκεῖναι. τοῦτο δὲ πάσχουσιν Σκυθέων οἱ πλούσιοι οὐχ οἱ κάκιστοι, ἀλλ' οἱ εὐγενέστατοι καὶ ἰσχὺν πλείστην κεκτημένοι διὰ τὴν ἱππασίην. οἱ δὲ πένητες, ἧσσον. οὐ γὰρ ἱππάζονται. καίτοι ἐχρῆν, ἐπεὶ θειότερον τοῦτο τὸ νόσευμα τῶν λοιπῶν ἐστὶν, οὐ τοῖς γενναιοτάτοις τῶν Σκυθέων καὶ τοῖς πλουσιωτάτοις προσπίπτειν μούνοις, ἀλλὰ τοῖς ἅπασιν ὁμοίως. καὶ μᾶλλον τοῖσιν ὀλίγα κεκτημένοισιν, οὐ τιμωμένοισιν ἤδη, εἰ χαίρουσιν οἱ θεοὶ καὶ θαυμαζόμενοι ὑπ' ἀνθρώπων, καὶ ἀντὶ τουτέων χάριτας ἀποδιδοῦσιν. εἰκὸς γὰρ τοὺς μὲν πλουσίους, θύειν πολλὰ τοῖς θεοῖς, καὶ ἀνατιθέναι ἀναθήματα ἐόντων χρημάτων, καὶ τιμᾶν. τοὺς δὲ πένητας, ἧσσον, διὰ τὸ μὴ ἔχειν. ἔπειτα καὶ ἐπιμεμφομένους, ὅτι οὐ διδόασιν χρήματα αὐτέοισιν. ὥς τε τῶν τοιουτέων

ἁμαρτιῶν τὰς ζημίας, τοὺς ὀλίγα κεκτημένους φέρειν μᾶλλον, ἢ τοὺς πλουσίους. ἀλλὰ γὰρ ὥσπερ καὶ πρότερον ἔλεξα, θεῖα μὲν καὶ ταῦτα ἐστὶν ὁμοίως τοῖς ἄλλοις. γίγνεται δὲ κατὰ φύσιν ἕκαστα. καὶ ἡ τοιαύτη νοῦσος ἀπὸ τοιαύτης προφάσιος τοῖς Σκύθαις γίνεται, οἵην εἴρηκα. ἔχει δὲ καὶ κατὰ τοὺς λοιποὺς ἀνθρώπους ὁμοίως. ὅκου γὰρ ἱππάζονται μάλιστα καὶ πυκνότατα, ἐκεῖ πλεῖστοι ὑπὸ κεδμάτων καὶ ἰσχιάδων καὶ ποδαγριῶν ἁλίσκονται, καὶ λαγνεύειν κάκιστοι εἰσί. ταῦτα δὲ τοῖσι Σκύθῃσι πρόσεστι, καὶ εὐνουχοειδέστατοι εἰσὶν ἀνθρώπων διὰ τὰς προφάσιας, καὶ ὅτι ἀναξυρίδας ἔχουσιν ἀεὶ, καὶ εἰσὶν ἐπὶ τῶν ἵππων τὸ πλεῖστον τοῦ χρόνου. ὥστε μήτε χειρὶ ἅπτεσθαι τοῦ αἰδοίου, ὑπό τε τοῦ ψύχεος, καὶ τοῦ κόπου ἐπιλαθέσθαι τοῦ ἱμέρου καὶ τῆς μίξιος, καὶ μηδὲν παρακινεῖν πρότερον, ἢ ἀνανδρωθῆναι. περὶ μὲν οὖν τῶν Σκυθέων οὕτως ἔχει τοῦ γένεος. τὸ δὲ λοιπὸν γένος τὸ ἐν τῇ Εὐρώπῃ διάφορον αὐτὸ ἑωυτῷ ἐστὶ, καὶ κατὰ τὸ μέγεθος, καὶ κατὰ τὰς μορφὰς διὰ τὰς μεταλλαγὰς τῶν ὡρέων, ὅτι μεγάλαι γίνονται καὶ πυκναί. καὶ θάλπη τε ἰσχυρὰ, καὶ χειμῶνες καρτεροί. καὶ ὄμβροι πολλοί. καὶ αὖθις, αὐχμοὶ πολυχρόνιοι, καὶ πνεύματα, ἐξ ὧν μεταβολαὶ πολλαὶ καὶ παντοδαπαί. ἀπὸ τουτέων εἰκὸς αἰσθάνεσθαι καὶ τὴν γένεσιν ἐν τῇ συμπήξει τοῦ γόνου ἄλλην καὶ μὴ τῷ αὐτῷ αὐτέην γίγνεσθαι, ἔν τε τῷ θέρει, καὶ τῷ χειμῶνι, μηδὲ ἐν ἐπομβρίῃ καὶ αὐχμῷ, διότι τὰ εἴδεα διηλλάχθαι νομίζω τῶν Εὐρωπαίων μᾶλλον, ἢ τῶν Ἀσιηνῶν. καὶ τὰ μεγέθη διαφορώτατα αὐτὰ ἑωυτοῖσι εἶναι κατὰ πόλιν ἑκάστην. αἱ γὰρ φθοραὶ πλείονες ἐγγίγνονται τοῦ γόνου ἐν τῇ ξυμπήξει ἐν ταῖς μεταλλαγαῖς τῶν ὡρέων πυκναῖς ἐούσαις, ἢ ἐν τῇσι παραπλησίῃσι καὶ ὁμοίοισιν. περί τε τῶν ἠθέων ὁ αὐτὸς λόγος. τό τε ἄγριον, καὶ τὸ ἄμικτον, καὶ τὸ θυμοειδὲς ἐν τῇ τοιαύτῃ φύσει ἐγγίγνεται. αἱ γὰρ ἐκπλήξιες πυκναὶ γιγνόμεναι τῆς γνώμης τὴν ἀγριότητα ἐντιθέασιν. τὸ δὲ ἥμερόν τε καὶ ἤπιον, ἀμαυροῦσιν. διότι εὐψυχοτέρους νομίζω τοὺς Εὐρώπην οἰκοῦντας εἶναι, ἢ τοὺς τὴν Ἀσίην. ἐν μὲν γὰρ τῷ αἰεὶ παραπλησίως αἱ ῥαθυμίαι ἔνεισιν. ἐν δὲ τῷ μεταβαλλομένῳ, αἱ ταλαιπωρίαι τῷ σώματι καὶ τῇ ψυχῇ. καὶ ἀπὸ μὲν ἡσυχίης καὶ ῥαθυμίης, ἡ δειλίη αὔξεται. ἀπὸ δὲ τῆς ταλαιπωρίης καὶ τῶν πόνων, αἱ ἀνδρεῖαι. διὰ τοῦτο εἰσὶ μαχιμώτεροι οἱ τὴν Εὐρώπην οἰκοῦντες. καὶ διὰ τοὺς νόμους, ὅτι οὐ βασιλεύονται, ὥσπερ οἱ Ἀσιηνοί. ὅκου γὰρ βασιλεύονται, ἐκεῖ ἀνάγκη δειλοτάτους εἶναι. εἴρηται δέ μοι καὶ πρότερον. αἱ γὰρ ψυχαὶ δεδούλωνται, καὶ οὐ βούλονται παρακινδυνεύειν ἑκόντες εἰκῆ ὑπὲρ ἀλλοτρίης δυνάμιος. οὗτοι δὲ αὐτόνομοι. ὑπὲρ αὐτῶν γὰρ τοὺς κινδύνους αἱρεῦνται, καὶ οὐκ ἄλλων. προθυμεῦνται ἑκόντες, καὶ ἐς τὸ δεινὸν ἔρχονται. τὰ γὰρ ἀριστεῖα τῆς νίκης αὐτοὶ φέρονται. οὕτως οἱ νόμοι οὐχ ἥκιστα τὴν εὐψυχίην ἐργάζονται. τὸ μὲν οὖν ὅλον καὶ τὸ ἅπαν, οὕτως ἔχει, περί τε τῆς Εὐρώπης καὶ τῆς Ἀσίης. ἔνεισι δὲ καὶ ἐν τῇ Εὐρώπῃ φῦλα διάφορα ἕτερα ἑτέροις, καὶ τὰ μεγέθεα, καὶ τὰς μορφὰς, καὶ τὰς ἀνδρείας. τὰ δὲ διαλλάσσοντα ταῦτα ἐστὶν, ἃ καὶ ἐπὶ τῶν πρότερον εἴρηται. ἔτι δὲ σαφέστερον φράζω. ὁκόσοι μὲν χώρην ὀρεινήν τε οἰκοῦσι τρηχείην καὶ ὑψηλὴν καὶ ἔνυδρον, καὶ αἱ μεταβολαὶ αὐτέοισι γίνονται τῶν ὡρέων μέγα διάφοροι, ἐνταῦθα εἰκὸς εἴδεα μεγάλα εἶναι, καὶ πρὸς τὸ ταλαίπωρον, καὶ τὸ ἀνδρεῖον εὖ πεφυκότα. καὶ τό τε ἄγριον καὶ τὸ θηριῶδες αἱ τοιαῦται φύσιες οὐχ ἥκιστα ἔχουσιν. ὁκόσοι δὲ κοῖλα χωρία, καὶ λειμακώδεα, καὶ πνιγηρὰ, καὶ τῶν θερμῶν πνευμάτων πλέον μέρος μετέχουσι ἢ τῶν ψυχρῶν, ὕδασί τε χρῶνται θερμοῖς, οὗτοι δὲ μεγάλοι μὲν οὐκ ἂν εἴησαν, οὐδὲ κανονίαι. ἐς εὖρος δὲ πεφυκότες καὶ σαρκώδεες καὶ μελανότριχες. καὶ αὐτοὶ μέλανες μᾶλλον ἢ λευκότεροι. φλεγματίαι δὲ ἧσσον ἢ χολώδεες. τό τε ἀνδρεῖον καὶ ταλαίπωρον ἐν τῇ ψυχῇ, φύσει μὲν οὐκ ἂν ὁμοίως ἐνείη. νόμος δὲ προσγενόμενος, ἀπεργάσαιτ' ἄν. καὶ εἰ μὲν ποταμοὶ ἐνείησαν ἐν τῇ χώρῃ, οἵτινες ἐκ τῆς χώρης ἐξοχετεύουσιν τό τε στάσιμον καὶ τὸ ὄμβριον, οὗτοι ἂν ὑγιηροί τε εἴησαν καὶ λαμπροί. εἰ μέντοι ποταμοὶ μὲν μὴ εἴησαν, τὰ δὲ ὕδατα κρηναῖά τε καὶ στάσιμα πίνοιεν καὶ ἑλώδεα, ἀνάγκη τὰ τοιαῦτα τῆς γαστρὸς ἀτηρέα εἶναι καὶ σπληνός. ὁκόσοι δὲ ὑψηλήν τε οἰκέουσι χώρην, καὶ λείην, καὶ ἀνεμώδεα, καὶ ἔνυδρον, εἶεν ἂν εἴδεα μεγάλα, καὶ ἑωυτοῖς παραπλήσια, καὶ ἀνορθότερα. καὶ ἠπιώτεραι αἱ γνῶμαι. ὁκόσοι δὲ λεπτά τε καὶ ἄνυδρα καὶ ψιλὰ, ταῖς δὲ μεταβολαῖς τῶν ὡρέων οὐ κεκρημένα, ἐν ταύτῃ τῇ χώρῃ τὰ εἴδεα εἰκός τε σκληρά τε εἶναι καὶ εὔτονα. καὶ ξανθότερα, ἢ μελάντερα. καὶ τὰ

ἤθη καὶ

ἤθη καὶ τὰς ὀργὰς αὐθάδεας τε καὶ ἰδιογνώμονας. ὅκου γὰρ μεταβολαί εἰσι πυκνόταται τῶν ὡρέων, καὶ πλεῖστον διάφοροι αὗται ἑωυτέοισιν, ἐκεῖ καὶ τὰ εἴδεα καὶ τὰ ἤθεα καὶ τὰς φύσιας εὑρήσεις, πλεῖστον διαφερούσας. μέγισται μὲν οὖν εἰσιν αὗται τῆς φύσιος διαλλαγαί. ἔπειτα δὲ καὶ ἡ χώρη ἐν ᾗ ἄν τις τρέφεται καὶ τὰ ὕδατα. εὑρήσεις γὰρ ἐπὶ τὸ πλῆθος τῆς χώρης τῇ φύσει ἀκολουθοῦντα καὶ εἴδεα τῶν ἀνθρώπων καὶ τοὺς τρόπους. ὅκου μὲν γὰρ ἡ γῆ πίειρα καὶ μαλθακὴ καὶ ἔνυδρος καὶ τὰ ὕδατα κάρτα μετέωρα, ὥστε θερμὰ εἶναι τοῦ θέρεος, καὶ χειμῶνος ψυχρὰ, καὶ τῶν ὡρέων καλῶς κέεται, ἐνταῦθα καὶ οἱ ἄνθρωποι σαρκώδεές εἰσι καὶ ἄναρθροι καὶ ὑγροὶ καὶ ἀταλαίπωροι. καὶ τὴν ψυχὴν κακοὶ ὡς ἐπὶ τὸ πολύ. τό τε ῥάθυμον καὶ τὸ ὑπνηρὸν ἔστιν ἐν αὐτέοισιν. ἔς τε τὰς τέχνας παχέες, οὐ λεπτοὶ, οὐδ' ὀξέες. ὅκου δ' ἐστὶν ἡ χώρη ψιλή τε καὶ ἀνώχυρος καὶ τρηχείη, καὶ ὑπὸ τοῦ χειμῶνος πιεζομένη, καὶ ὑπὸ τοῦ ἡλίου κεκαυμένη. ἐνταῦθα δὲ σκληρούς τε καὶ ἰσχνοὺς καὶ διηρθρωμένους, καὶ ἐντόνους καὶ δασεῖς. τό τε ἐργατικὸν ὀξὺ ἐνεὸν ἐν τῇ φύσει τῇ τοιαύτῃ, καὶ τὸ ἄγρυπνον. τά τε ἤθη καὶ τὰς ὀργὰς, αὐθάδεας καὶ ἰδιογνώμονας. τοῦ τε ἀγρίου μᾶλλον μετέχοντας, ἢ τοῦ ἡμέρου. ἔς τε τὰς τέχνας, ὀξυτέρους τε καὶ συνετωτέρους. καὶ τὰ πολέμια ἀμείνους εὑρήσεις, καὶ τἄλλα τὰ ἐν τῇ γῇ φυόμενα πάντα, ἀκόλουθα ὄντα τῇ γῇ. αἱ μὲν ἐναντιώταται φύσιές τε καὶ ἰδέαι, ἔχουσιν οὕτως. ἀπὸ δὲ τουτέων τεκμαιρόμενος, τὰ λοιπὰ ἐνθυμέεσθαι, καὶ οὐχ ἁμαρτήσῃ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΔΙΑΙΤΗΣ ΤΟ ΠΡΩΤΟΝ.

Εἰ μέν μοι τις ἐδόκεε τῶν πρότερον ξυγγραψάντων περὶ διαίτης ἀνθρωπίνης τῆς πρὸς ὑγείαν, ὀρθῶς ἐγνωκὼς ξυγγεγραφέναι πάντα διὰ παντὸς, ὁκόσα δυ- E νατὸν ἀνθρωπίνῃ γνώμῃ περιληφθῆναι, ἱκανῶς ἂν εἶχέ μοι ἄλλων ἐκπονησάντων, γνῶναι ὀρθῶς ἔχοντα, τούτοισι χρέεσθαι, καθότι ἕκαστον αὐτῶν ἐδόκεε χρήσιμον εἶναι. νῦν δὲ πολλοὶ μὲν, ἤδη ξυνέγραψαν. οὐδεὶς δὲ ἔγνω ὀρθῶς, καθότι ἦν αὐτοῖς ξυγγραπτέον. ἄλλοι δὲ ἄλλο ἐπέτυχον. τὸ δὲ ὅλον, οὐδείς πω τῶν πρότερον. μεμφθῆναι μὲν οὖν οὐδενὶ αὐτῶν ἄξιόν ἐστιν, εἰ μὴ ἐδυνήθησαν ἐξευρεῖν. ἐπαινέσαι δὲ μᾶλλον πάντας, ὅτι ἀλλ' ἐπεχείρησαν ζητῆσαι. ἐλέγχειν μὲν οὖν τὰ μὴ ὀρθῶς εἰρημένα, οὐ παρεσκεύασμαι. προσομολογέειν δὲ τοῖς ἱκανῶς ἐγνωσμένοισι, διανενόημαι. ὁκόσα μὲν οὖν ὀρθῶς ὑπὸ τῶν πρότερον εἴρηται, οὐχ οἷόν τε ἄλλως ὅκως ἐμὲ συγγράψαντα, ὀρθῶς συγγράψαι. ὁκόσα δὲ μὴ ὀρθῶς εἰρήκασιν, ἐλέγχων μὲν ταῦτα διότι οὐχ οὕτως ἔχει, οὐδὲν περανέω. ἐξηγούμενος δὲ καθότι, αὐτῶν μοι δοκέει ἕκαστον ὀρθῶς ἔχειν, δηλῶσαι βούλομαι. διὰ τοῦτο δὲ τὸν λόγον τοῦτον προκατατίθεμαι, ὅτι πολλοὶ τῶν ἀνθρώπων, ὁκόταν τινὸς πρότερον ἀκούσωσι περί τινος ἐξηγευμένου, οὐκ ἀποδέχονται τὸν ὕστερον περὶ τούτων διαλεγόμενον, οὐ γινώσκοντες ὅτι τῆς αὐτῆς διανοίας ἐστὶ γνῶναι τὰ ὀρθῶς εἰρημένα. ἐγὼ γοῦν ὥσπερ εἶπον τοῖσι μὲν ὀρθῶς εἰρημένοισι, προσομολογήσω. τὰ δὲ μὴ ὀρθῶς ἐγνωσμένα, δηλώσω ὁκοῖά τινά ἐστιν. ὁκόσα δὲ μηδὲ ἐπεχείρησε μηδεὶς τῶν πρότερον δηλῶσαι, ἐγὼ ἐπιδείξω καὶ ταῦτα ὁκοῖα ἐστί. φημὶ δὲ δεῖν τὸν μέλλοντα ὀρθῶς ξυγγράφειν περὶ διαίτης ἀνθρωπίνης, πρῶτον μὲν, παντὸς φύσιν ἀνθρώπου γνῶναι καὶ διαγνῶναι. γνῶναι μὲν, ἀπὸ τίνων συνέστηκεν ἐξ ἀρχῆς. διαγνῶναι δὲ, ὑπὸ τίνων μερῶν κεκράτηται. εἰ μὴ γὰρ τὴν ἐξ ἀρχῆς σύστασιν ἐπιγνώσεται, τὸ ἐπικρατέον ἐν τῷ σώματι, οὐχ οἷός τε ἔσται τὰ ξυμφέροντα τῷ ἀνθρώπῳ προσενεγκεῖν. ταῦτα μὲν οὖν χρὴ γινώσκειν τὸν ξυγγράφοντα. μετὰ δὲ ταῦτα, σίτων καὶ ποτῶν ἁπάντων, οἷσι διαιτώμεθα, δύναμιν ἥν τινα ἕκαστα ἔχει, καὶ τὴν κατὰ φύσιν, καὶ τὴν δι' ἀνάγκην, καὶ τέχνην ἀνθρωπηΐην. δεῖ γὰρ ἐπίστασθαι τῶν τε ἰσχυρῶν φύσει, ὡς χρὴ τὴν δύναμιν ἀφαιρέεσθαι. τοῖσι δὲ ἀσθενέσιν, ὅκως χρὴ ἰσχὺν προστιθέναι διὰ τέχνης, ὅκου ἂν ὁ καιρὸς ἑκάστων παραγίνηται. γνόντας δὲ τὰ εἰρημένα, οὔκω αὐτάρκης ἡ θεραπείη τοῦ ἀνθρώπου. διότι οὐ δύναται ἐσθίων ἄνθρωπος ὑγιαίνειν, ἢν μὴ καὶ πονέῃ. ὑπεναντίας μὲν γὰρ ἀλλήλοισιν ἔχει τὰς δυνάμιας, σῖτα καὶ πόνοι. ξυμφέρονται δὲ ἀλλήλοισι πρὸς ὑγείην. πόνοι μὲν γὰρ, πεφύκασιν ἀναλῶσαι τὰ ὑπάρχοντα. σιτία δὲ καὶ ποτὰ, ἐκπληρῶσαι τὰ κενωθέντα. δεῖ δὲ, ὡς ἔοικε, τῶν πόνων διαγινώσκειν τὴν δύναμιν, καὶ τὴν κατὰ φύσιν,

καὶ

καὶ τῶν διὰ βίης γινομένων. καὶ τίνες αὐτῶν ἐς αὔξησιν παρασκευάζουσι σάρκας, καὶ τίνες ἐς ἔλλειψιν. καὶ οὐ μόνον ταῦτα, ἀλλὰ καὶ τὰς συμμετρίας τὰς ἡμετέρας τῶν πόνων τὴν εἶναι πρὸς τὸ πλῆθος τῶν σιτίων, καὶ τὴν φύσιν τοῦ ἀνθρώπου, καὶ τὰς ἡλικίας τῶν σωμάτων, καὶ πρὸς τὰς ὥρας τοῦ ἐνιαυτοῦ. καὶ πρὸς τὰς μεταβολὰς τῶν πνευμάτων. πρὸς τὰς θέσεις τῶν χωρίων ἐν ᾗσι διαιτέονται. πρός τε τὴν κατάστασιν τοῦ ἐνιαυτοῦ. ἄστρων τε ἐπιτολὰς καὶ δύσιας γινώσκειν δεῖ, ὅκως ἐπίστηται τὰς μεταβολὰς καὶ ὑπερβολὰς φυλάσσειν καὶ σίτων, καὶ ποτῶν, καὶ πνευμάτων, καὶ τοῦ ὅλου κόσμου. ἐξ ὧν περ αἱ νοῦσοι τοῖσιν ἀνθρώποισι φύονται. ταῦτα δὲ πάντα διαγνῶντι, οὔκω αὐταρκὲς τὸ εὕρημά ἐστι. ἢν μὲν γὰρ ἦν εὑρετὸν ἐπὶ τούτοις πρὸς ἑκάστην φύσιν, σίτου μέτρον, καὶ πόνων ἀριθμὸς, μὴ ἔχων ὑπερβολὴν, μήτε ἐπὶ τὸ πλέον μήτε ἐπὶ τὸ ἔλασσον, εὕροιτο ἂν ὑγείη τοῖσιν ἀνθρώποισιν ἀκριβῶς. νῦν δὲ τὰ μὲν προειρημένα πάντα εὕρηται, ὁκοῖόν ἐστι. τοῦτο δὲ, ἀδύνατον εὑρεῖν. εἰ μὲν οὖν παρείη τις καὶ ὁρώη, γινώσκοι ἂν τὸν ἄνθρωπον, ἐκδύνοντά τε καὶ ἐν τοῖσι γυμνασίοισι γυμναζόμενον, ὥστε φυλάσσειν ὑγιαίνοντα, τῶν μὲν ἀφαιρέων, τοῖσι δὲ προστιθείς. μὴ παρεόντι δὲ, ἀδύνατον ὑποθέσθαι ἐς ἀκριβείην σῖτα καὶ πόνους. ἐπεὶ ὁκόσον γε δυνατὸν εὑρεῖν, ἐμοὶ ἤδη εἴρηται. ἀλλὰ γὰρ εἰ καὶ πάνυ σμικρὸν ἐνδεέστερα τῶν ἑτέρων γίνοιτο ἂν, ἐν πολλῷ χρόνῳ ἀνάγκη κρατηθῆναι τὸ σῶμα ὑπὸ τῆς ὑπερβολῆς, καὶ ἐς νοῦσον ἀφικέσθαι. τοῖσι μὲν οὖν ἄλλοισι, μέχρι τούτου ἐπικεχείρηται ζητηθῆναι. εἴρηται δὲ, οὐδὲ ταῦτα. ἐμοὶ δὲ ταῦτα ἐξεύρηται πρὸ τοῦ κάμνειν τὸν ἄνθρωπον, ἀπὸ τῆς ὑπερβολῆς ἐφ᾽ ὁκότερον ἂν γένηται προδιάγνωσις. οὐ γὰρ εὐθέως αἱ νοῦσοι τοῖσιν ἀνθρώποισι προσγίνονται, ἀλλὰ κατὰ μικρὸν συλλεγόμεναι, ἀθρόως ἐκφαίνονται. πρὶν οὖν κρατέεσθαι ἐν τῷ ἀνθρώπῳ τὸ ὑγιὲς ὑπὸ τοῦ νοσεροῦ, ἃ πάσχουσιν ἐξεύρηταί μοι. καὶ ὅκως χρὴ ταῦτα καθιστάναι ἐς τὴν ὑγείην. τούτου δὲ προσγεγενημένου πρὸς τοῖσι γεγραμμένοισι τελέεται τὸ ἐπιχείρημα τῶν διανοημάτων. ξυνίσταται μὲν οὖν τὰ ζῶα τά τε ἄλλα πάντα καὶ ὁ ἄνθρωπος, ἀπὸ δυοῖν. διαφόροιν μὲν, τὴν δύναμιν. συμφόροιν δὲ, τὴν χρῆσιν, πυρὸς λέγω καὶ ὕδατος. ταῦτα δὲ ξυναμφότερα αὐτάρκεά ἐστι, τοῖσί τε ἄλλοισι πᾶσι, καὶ ἀλλήλοισιν. ἑκάτερον δὲ χωρὶς, οὔτε αὐτὸ ἑωυτῷ, οὔτε ἄλλῳ οὐδενί. τὴν μὲν οὖν δύναμιν αὐτῶν, ἑκάτερον ἔχει τοιήνδε. τὸ μὲν γὰρ πῦρ, δύναται πάντα διὰ παντὸς κινῆσαι. τὸ δὲ ὕδωρ, πάντα διὰ παντὸς θρέψαι. ἐν μέρει δὲ ἑκάτερον κρατέει καὶ κρατέεται, ἐς τὸ μήκιστον καὶ τὸ ἐλάχιστον, ὡς ἀνυστόν. οὐδέτερον γὰρ κρατῆσαι παντελῶς δύναται, διὰ τόδε. τὸ μὲν πῦρ ἐπεξιὸν ἐπὶ τὸ ἔσχατον τοῦ ὕδατος, ἐπιλείπει ἡ τροφή. ἀποτρέπεται οὖν ὁκόθεν μέλλει τρέφεσθαι. τὸ δὲ ὕδωρ ἐπεξιὸν ἐπὶ τὸ ἔσχατον τοῦ πυρὸς, ἐπιλείπει ἡ κίνησις. ἵσταται οὖν ἐν τούτῳ. ὁκόταν δὲ στῇ, οὐκ ἔτι ἐγκρατές ἐστιν, ἀλλὰ δὴ τῷ ἐμπίπτοντι πυρὶ ἐς τὴν τροφὴν καταναλίσκεται. οὐδέτερον δὲ διὰ ταῦτα, δύναται κρατῆσαι παντελῶς. εἰ δέ κοτε κρατηθείη, καὶ ὁκότερον, οὐδὲν ἂν εἴη τῶν νῦν ἐόντων ὥσπερ ἔχει νῦν. οὕτω δὲ ἐχόντων αἰεὶ, ἔσται τὰ αὐτὰ, καὶ οὐδέτερα, καὶ οὐδὲ ἅμα ἐπιλείψει. τὸ μὲν οὖν πῦρ καὶ τὸ ὕδωρ ὥσπερ εἴρηταί μοι, αὐτάρκεά ἐστι πᾶσι διὰ παντὸς ἐς τὸ μήκιστον, καὶ τοὐλάχιστον ὡσαύτως. τούτων δὲ προσκέεται ἑκατέρῳ τάδε. τῷ μὲν πυρὶ, τὸ θερμὸν καὶ τὸ ξηρόν. τῷ δὲ ὕδατι, τὸ ψυχρὸν καὶ τὸ ὑγρόν. ἔχει δὲ ἀπ᾽ ἀλλήλων. τὸ μὲν πῦρ, ἀπὸ τοῦ ὕδατος τὸ ὑγρόν. ἔνι γὰρ ἀπὸ τοῦ ὕδατος ὑγρότης. τὸ δὲ ὕδωρ ἀπὸ τοῦ πυρὸς, τὸ ξηρόν. ἔνι γὰρ ἐν ὕδατι ἀπὸ τοῦ πυρὸς ξηρόν. οὕτω δὲ τούτων ἐχόντων, πολλὰς καὶ παντοδαπὰς ἰδέας ἀποκρίνονται ἀπ᾽ ἀλλήλων καὶ σπερμάτων, καὶ ζώων, οὐδὲν ὅμοιον ἀλλήλοισιν, οὔτε τὴν ὄψιν, οὔτε τὴν δύναμιν. ἅτε γὰρ οὔποτε κατὰ τὸ αὐτὸ ἱσταμένων, ἀλλ᾽ αἰεὶ ἀλλοιουμένων, ἔπειτα καὶ ἔπειτα ἀνόμοια ἐξ ἀνάγκης γίνεσθαι, καὶ τὰ ἀπὸ τούτων ἀποκρινόμενα. ἀπόλλυται μὲν οὐδὲν ἁπάντων χρημάτων. οὐδὲ γίνεται, ὅτι μὴ καὶ πρόσθεν ἦν. ξυμμισγόμενα δὲ καὶ διακρινόμενα, ἀλλοιοῦται. νομίζεται δὲ παρὰ τῶν ἀνθρώπων, τὸ μὲν ἐξ ᾅδου ἐς φῶς αὐξηθὲν, γενέσθαι. τὸ δὲ ἐκ τοῦ φάεος ἐς ᾅδην μειωθὲν, ἀπολέσθαι. ὀφθαλμοῖσι δὲ δεῖ πιστεύεσθαι μᾶλλον, ἢ γνώμῃσιν. ἐγὼ δὲ τάδε γνώμῃ ἐξηγέομαι. ζῶα γὰρ κἀκεῖνα, καὶ τάδε. καὶ οὔτε τὸ ζῶον ἀποθανεῖν οἷόν τε μὴ μετὰ πάντων. κῇ γὰρ ἀποθανεῖται. οὔτε τὸ μὴ ὂν γενέσθαι μὴ ὄντος ὅθεν παραγενήσεται. ἀλλ᾽ αὔξεται πάντα καὶ μειοῦται ἐς τὸ μήκιστον καὶ ἐς τὸ ἐλάχιστον, τῶν γε δυνατῶν. ὅτι δ᾽ ἂν διαλέγωμαι γενέσθαι, καὶ τὸ ἀπολέσθαι τῶν πολλῶν εἵνεκεν ἑρμηνεύω. ταῦτα δὲ καὶ ξυμμίσγεσθαι καὶ διακρίνεσθαι δηλῶ. ἔχει δὲ ὧδε. γενέσθαι

καὶ

καὶ ἀπολέσθαι τὸ αὐτό. ξυμμιγῆναι καὶ διακριθῆναι τὸ αὐτό, γίνεσθαι ξυμμιγῆναι τὸ αὐτό. ἀπολέσθαι, μειωθῆναι διακριθῆναι τὸ αὐτό. ἕκαστον πρὸς πάντα, καὶ πάντα πρὸς ἕκαστον τὸ αὐτό. ὁ νόμος γὰρ τῇ φύσει περὶ τούτων ἐναντίος. χωρεῖ δὲ πάντα καὶ θεῖα καὶ ἀνθρώπινα ἄνω καὶ κάτω ἀμειβόμενα. ἡμέρη καὶ εὐφρόνη ἐπὶ τὸ μήκιστον καὶ ἐλάχιστον. ὡς καὶ τῇ σελήνῃ, τὸ μήκιστον καὶ τὸ ἐλάχιστον. πυρὸς ἔφοδος καὶ ὕδατος. ἥλιος ἐπὶ τὸ μακρότατον καὶ βραχύτατον, πάλιν ταῦτα, καὶ οὐ ταῦτα. φάος Ζηνί. σκότος ᾅδῃ. φάος ᾅδῃ. σκότος Ζηνί. φοιτᾷ καὶ μετακινεῖται. κεῖνα ὧδε. καὶ τάδε κεῖσε πᾶσαν ὥρην διαπρησσόμενα. κεῖνά τε τὰ, τῶν δὲ τὰ δὲ ταῦτα, κείνων. καὶ θ' ἃ μὲν πρήσσουσιν, οὐκ οἴδασιν. ἃ δὲ πρήσσουσι, δοκέουσιν εἰδέναι. καὶ θ' ἃ μὲν ὁρῶσι, οὐ γινώσκουσιν. ἀλλ' ὅμως αὐτοῖσι πάντα γίνεται, δι' ἀνάγκην θείην, καὶ ἃ βούλονται, καὶ μὴ βούλονται. φοιτεόντων δ' ἐκείνων ὧδε. τῶν δέ τε κεῖσε. συμμισγομένων πρὸς ἄλληλα τὴν πεπρωμένην μοίρην ἕκαστον ἐκπληροῖ. καὶ ἐπὶ τὸ μέζον, καὶ ἐπὶ τὸ μεῖον. φθορὴ δὲ πᾶσιν ἀπ' ἀλλήλων, τῷ μέζονι ἀπὸ τοῦ μείονος, καὶ τῷ μείονι, ἀπὸ τοῦ μέζονος. αὐξάνεται καὶ τὸ μέζον, ἀπὸ τοῦ ἐλάσσονος. τὰ δ' ἄλλα πάντα καὶ ψυχὴ ἀνθρώπου καὶ σῶμα, ὁκοῖον ἡ ψυχὴ διακοσμέεται. ἐσέρπει δὲ ἐς ἄνθρωπον, μέρεα μερέων, ὅλα ὅλων ἔχοντα σύγκρησιν πυρὸς καὶ ὕδατος. τὰ μὲν, ληψόμενα. τὰ δὲ, δώσοντα. καὶ τὰ μὲν λαμβάνοντα, πλεῖον ποιέει. τὰ δὲ διδόντα, μεῖον. πρίουσιν ἄνθρωποι ξύλον. ὁ μὲν, ἕλκει, ὁ δὲ, ὠθέει. τὸ δ' αὐτὸ τοῦτο ποιέουσι. μεῖον δὲ ποιέοντες, πλεῖον ποιέουσι. τὸ δ' αὐτὸ καὶ φύσις ἀνθρώπων. τὸ μὲν, ὠθέει. τὸ δὲ, ἕλκει. τὸ μὲν, δίδωσι. τὸ δὲ, λαμβάνει. καὶ τῷ μὲν, δίδωσι. τοῦ δὲ, λαμβάνει. καὶ τῷ μὲν δίδωσι τοσούτῳ πλεῖον, ὁ δὲ λαμβάνει τοσούτῳ μεῖον. χώρην δὲ ἕκαστον φυλάσσει τὴν ἑωυτοῦ. καὶ τὰ μὲν ἐπὶ τὸ μεῖον ἰόντα, διακρίνεται ἐς τὴν ἐλάσσονα χώρην. τὰ δὲ ἐπὶ τὸ μέζον πορευόμενα, συμμισγόμενα ἐξαλλάσσει ἐς τὴν μέζω τάξιν. τὰ δὲ ξεῖνα καὶ μὴ ὁμότροπα, ὠθέεται ἐκ χώρης ἀλλοτρίης. ἑκάστη δὲ, ψυχὴ μέζω καὶ ἐλάσσω ἔχουσα περιφοιτᾷ τὰ μόρια τὰ ἑωυτῆς, οὐ προσθέσιος οὐδὲ ἀφαιρέσιος δεομένων τῶν μερέων. κατὰ δὲ αὔξησιν καὶ μείωσιν τῶν ὑπαρχόντων δεομένη, χώρην δὲ ἕκαστα διαπρήσσεται ἐς ἣν ἄν τινα ἐσέλθῃ καὶ δέξηται τὰ προσπίπτοντα. οὐ γὰρ δύναται τὸ μὴ ὁμότροπον ἐν τοῖσιν ἀσυμφόροισι χωρίοισιν ἐμμένειν. πλανᾶται μὲν γοῦν ἀγνοούμενα. ξυμμισγόμενα δὲ ἀλλήλοισι, συγγινώσκεται. προσίζει γὰρ τὸ σύμφορον τῷ συμφόρῳ. τὸ δὲ ἀσύμφορον, πολεμεῖ καὶ μάχεται καὶ διαλλάσσει ἀπ' ἀλλήλων. διὰ τοῦτο ἀνθρώπου ψυχὴ, ἐν ἀνθρώπῳ αὐξάνεται. ἐν ἄλλῳ δὲ οὐδενί. καὶ τῶν ἄλλων ζώων τῶν μεγάλων ὡσαύτως. ὁκόσα δὲ ἄλλως ἀπ' ἄλλων, ὑπὸ βίης ἀποκρίνεται. περὶ μὲν οὖν τῶν ἄλλων ζώων, ἐάσω. περὶ δὲ ἀνθρώπου, δηλώσω.

Ἐσέρπει δὲ ἐς ἄνθρωπον, ψυχή. πυρὸς καὶ ὕδατος ξύγκρησιν ἔχουσα. μοίρας σώματος ἀνθρώπου. ταῦτα δὲ τὰ θήλεα καὶ ἄρσενα καὶ πολλὰ καὶ παντοῖα τρέφεται. τρέφεται δὲ καὶ αὔξεται διαίτῃ τῇ περὶ τὸν ἄνθρωπον. ἀνάγκη δὲ τὰ μέρεα ἔχειν πάντα τὰ εἰσιόντα. οὗ τινος γὰρ μὴ ἐνείη μοῖρα ἐξ ἀρχῆς, οὐκ ἂν αὐξηθείη, οὔτε πουλλῆς ἐπιούσης τροφῆς, οὔτε ὀλίγης. οὐ γὰρ ἔχει τὸ προσαυξόμενον. ἔχον δὲ πάντα, αὔξεται ἐν χώρῃ τῇ ἑωυτοῦ ἕκαστον. τροφῆς ἐπιούσης ἀπὸ ὕδατος ξηροῦ, καὶ πυρὸς ὑγροῦ. τὰ μὲν, ἔσω βιαζόμενα, τὰ δὲ, ἔξω. ὥσπερ οἱ τέκτονες τὸ ξύλον πρίουσι. καὶ ὁ μὲν, ἕλκει, ὁ δὲ, ὠθέει, τὸ αὐτὸ ποιέοντες. κάτω δὲ πιεζόντων, τὸ ἄνω ἕρπει. οὐ γὰρ ἂν παραδέχοιτο, κάτω ἰέναι. ἢν δὲ βιάζωνται, παντὸς ἁμαρτήσονται. τοιοῦτον τροφὴ ἀνθρώπου. τὸ μὲν, ἕλκει. τὸ δὲ, ὠθέει. ἔσω δὲ βιαζομένου, ἔξω ἕρπει. ἢν δὲ βιῆται παρὰ καιρὸν, παντὸς ἀποτεύξεται. χρόνον δὲ τοσοῦτον ἕκαστα τὴν αὐτὴν ἔχει τάξιν, ἄχρι μηκέτι δέχηται ἡ χώρη, μηδὲ τροφὴν ἱκανὴν ἔχῃ ἐς τὸ μήκιστον τῶν δυνατῶν. ἔπειτ' ἐναμείβει ἐς τὴν ἔξω χώρην, θήλεα καὶ ἄρσενα, τὸν ἑωυτῶν τρόπον ὑπὸ βίης καὶ ἀνάγκης διωκόμενα. ὁκότερα δ' ἂν ἐμπλήσει τὴν πεπρωμένην μοίρην, ταῦτα διακρίνεται πρῶτα, καὶ ἅμα συμμίσγεται. ἕκαστον μὲν γοῦν, διακρίνεται. πάντα δὲ ταῦτα, ξυμμίσγεται. χώρην δὲ ἀμείψαντα καὶ τυχόντα ἁρμονίης ὀρθῶς ἐχούσης συμφωνίας τρεῖς, ξυλλαβὴν διεξιὼν διὰ πασέων, ζώει καὶ αὔξεται τοῖσιν αὐτοῖσιν, οἷσι καὶ πρόσθεν. ἢν δὲ μὴ τύχῃ τῆς ἁρμονίης, μηδὲ ξύμφωνα βαρέα τοῖσιν ὀξέσι γένηται ἡ πρώτη συμφωνίη. ἢν δὲ δευτέρη γένεσις ᾖ, τὸ διὰ παντὸς ἑνὸς ἀπογενομένου, πᾶς ὁ τόνος μάταιος. οὐ γὰρ ἂν προσαείσειεν. ἀλλ' ἀμείβει ἐκ τοῦ μέζονος ἐς τὸ μεῖον, πρὸ μοίρης. διότι οὐ γινώσκουσιν ὅ, τι ποιέουσιν. ἀρσένων μὲν οὖν καὶ θηλέων διότι ἑκάτερα γίνεται, προϊόντι τῷ λόγῳ

δηλώσει

δηλώσω. τούτων δὲ ὁκότερον ἂν τύχῃ τῆς ἁρμονίης ὑγρὸν ἐὸν, κινέεται ὑπὸ τοῦ πυρός. κινεόμενον δὲ, ζωπυρεῖται, καὶ προσάγεται τὴν τροφὴν ἀπὸ τῶν ἐσιόντων ἐς τὴν γυναῖκα σιτίων, καὶ πνεύματος. τὰ μὲν πρῶτα, πάντη ὁμοίως ἕως ἔτι ἀραιόν ἐστιν. ὑπὸ δὲ τῆς κινήσιος καὶ τοῦ πυρὸς, ξηραίνεται καὶ στερεοῦται. στερεούμενον δὲ, πυκνοῦται πέριξ. καὶ τὸ πῦρ ἐγκλειόμενον, οὐκ ἔτι τὴν τροφὴν ἱκανὴν ἔχει ἐπάγεσθαι. οὐδὲ τὸ πνεῦμα ἐξωθέει, διὰ τὴν πυκνότητα τοῦ περιέχοντος. ἀναλίσκει γὰρ τὸ ὑπάρχον ὑγρὸν ἔσω. τὰ μὲν οὖν στερεὰ τὴν φύσιν ἐν τῷ ξυνεστηκότι καὶ ξηρῷ, οὐκ ἀναλίσκεται τῷ πυρὶ ἐς τὴν τροφήν. ἀλλ᾽ ἐγκρατέα γίνεται, καὶ ξυνίσταται τοῦ ὑγροῦ ἐκλείποντος, ἅπερ ὀστέα καὶ νεῦρα ἐπωνομάζεται. τὸ δὲ πῦρ ἐκ τοῦ συμμεμιγμένου κινουμένου τοῦ ὑγροῦ, διακοσμέεται τὸ σῶμα κατὰ φύσιν, διὰ τοιήνδε ἀνάγκην. διὰ μὲν τὸ στερεὸν καὶ ξηρὸν, οὐ δύναται τὰς διεξόδους χρονίας ποιέεσθαι, διότι οὐκ ἔχει τροφήν. διὰ δὲ τῶν ὑγρῶν καὶ μαλακῶν, δύναται. ταῦτα γάρ ἐστιν αὐτῷ τροφή. ἔνι δὲ καὶ ἐν τούτοισι, ξηρότης οὐκ ἀναλισκομένη ὑπὸ τοῦ πυρός. ταῦτα δὲ ξυνίσταται πρὸς ἄλληλα. τὸ μὲν οὖν ἐσωτάτω καταφραχθὲν πῦρ, καὶ πλεῖστόν ἐστι, καὶ μεγίστην τὴν ἔξοδον ἐποιήσατο. πλεῖστον γὰρ τὸ ὑγρὸν ἐνταῦθα ἐνῆν, ὅπερ κοιλίη καλέεται. καὶ ἐξέπεσεν ἐντεῦθεν, ἐπεὶ οὐκ εἶχε τροφὴν ἔξω, καὶ ἐποιήσατο, πλεῖστον γὰρ τὸ ὑγρὸν ἐνταῦθα ἐνῆν, καὶ τροφῆς ἐπαγωγὴν καὶ διάπεμψιν. τὸ δὲ ἀποκλεισθὲν ἐς ἄλλο σῶμα, περιόδους ἐποιήσατο τριασσάς. ὅπερ ἦν ὑγρότατον τοῦ πυρός. ἐν τούτοισι τοῖσι χωρίοισιν, αἳ τινὲς φλέβες καλέονται κοῖλαι. ἐς δὲ τὰ μέσα τούτων, τὸ ὑπολειπόμενον τοῦ ὕδατος ξυνιστάμενον πήγνυται, ὅπερ καλέεται σάρκες. ἑνὶ δὲ λόγῳ πάντα διεκοσμήσατο κατὰ τρόπον αὐτὸ ἑωυτὸ, τὰ ἐν σώματι τὸ πῦρ, ἀπομίμησιν τοῦ ὅλου, μικρὰ πρὸς μεγάλα, καὶ μεγάλα πρὸς μικρά. κοιλίην μὲν τὴν μεγίστην, ξηρῷ καὶ ὑγρῷ, ταμεῖον δοῦναι πᾶσι, καὶ λαβεῖν παρὰ πάντων, θαλάσσης δύναμιν, ζώων ἐντρόφων, τροφήν. ἀσυμφόρων δὲ, φθορόν. περὶ δὲ ταύτην ὕδατος ψυχροῦ καὶ ὑγροῦ, σύστασις. διέξοδος, πνεύματος ψυχροῦ καὶ θερμοῦ, ἀπομίμησιν τῆς γῆς, τὰ ἐπεισπίπτοντα πάντα ἀλλοιούσης. καταναλίσκοντα δὲ αὖξον, σκέδασιν ὕδατος λεπτοῦ καὶ πυρὸς ἐποιήσατο, περὶ τοῦ ἀφανέος καὶ φανεροῦ, ἀπὸ τοῦ ξυνεστηκότος ἀπόκεισιν. ἐν ᾧ φερόμενα πάντα ἐς τὸ φανερὸν, ἀφικνέεται ἕκαστα μοίρῃ πεπρωμένῃ. ἐν δὲ τούτῳ ἐποιήσατο, πυρὸς περιόδους τριασσὰς, περαινούσας πρὸς ἀλλήλας καὶ εἴσω καὶ ἔξω. αἱ μὲν πρὸς τὰ κοῖλα τῶν ὑγρῶν, σελήνης δύναμιν. αἱ δὲ ἐς τὴν ἔξω περιφορὰν, πρὸς τὸν περιέχοντα πάγον, ἄστρων δύναμιν. αἱ δὲ μέσαι καὶ εἴσω καὶ ἔξω περαίνουσαι, τὸ θερμότατον καὶ ἰσχυρότατον πῦρ, ὅπερ πάντων ἐπικρατέεται, διέπον ἅπαντα κατὰ φύσιν. ἄψοφον καὶ ὄψει καὶ ψαύσει. ἐν τούτῳ, ψυχὴ νοός. φρόνησις, αὔξησις. κίνησις. μείωσις. διάλλαξις. ὕπνος, ἐγρήγορσις. τοῦτο πάντα διὰ παντὸς κυβερνᾷ, καὶ τάδε καὶ ἐκεῖνα, οὐδέκοτε ἀτρεμίζων. οἱ δὲ ἄνθρωποι ἐκ τῶν φανερῶν, τὰ ἀφανῆ σκέπτεσθαι οὐκ ἐπίστανται. τέχνῃσιν γὰρ χρεόμενοι, ὁμοίῃσιν ἀνθρωπίνῃ φύσει, οὐ γινώσκουσι. θεῶν γὰρ νόος ἐδίδαξε μιμέεσθαι τὰ ἑαυτῶν, γινώσκοντας ἃ ποιέουσι, καὶ οὐ γινώσκοντας ἃ μιμέονται. πάντα γὰρ ὅμοια, ἀνόμοια ἐόντα. καὶ σύμφορα πάντα, καὶ διάφορα ἐόντα, διαλεγόμενα, οὐ διαλεγόμενα. γνώμην ἔχοντα, ἀγνώμονα. ὑπεναντίον ὁ τρόπος ἑκάστων ὁμολογούμενος. νόμος γὰρ καὶ φύσις, οἷσι πάντα διαπρησσόμεθα, οὐχ ὁμολογέεται ὁμολογεόμενα. νόμον γὰρ ἔθεσαν ἄνθρωποι αὐτοὶ ἑωυτοῖσιν, οὐ γινώσκοντες περὶ ὧν ἔθεσαν. φύσιν δὲ πάντες θεοὶ διεκόσμησαν. τὰ μὲν οὖν ἄνθρωποι ἔθεσαν, οὐδέποτε κατὰ τὸ αὐτὸν ἔχει, οὔτε ὀρθῶς, οὔτε μὴ ὀρθῶς. ὁκόσα δὲ θεοὶ ἔθεσαν, ἀεὶ ὀρθῶς ἔχει. καὶ τὰ ὀρθὰ καὶ τὰ μὴ ὀρθὰ, τοσοῦτον διαφέρει. ἐγὼ δηλώσω τέχνας φανερὰς ἀνθρώπου, παθήμασιν ὁμοίας ἐούσας καὶ φανεροῖσι καὶ ἀφανέσι. μαντικὴ τοιόνδε. τοῖσι φανεροῖσι μὲν, τὰ ἀφανέα γινώσκειν. τοῖσι ἀφανέσι, τὰ φανερά. καὶ τοῖσι ἐοῦσι, τὰ μέλλοντα. τοῖσι ἀποθανοῦσι, τὰ ζῶντα. καὶ τῷ ἀσυνέτῳ συνίασιν. ὁ μὲν, εἰδὼς, ἀεὶ ὀρθῶς. ὁ δὲ, μὴ εἰδὼς ἄλλοτε ἄλλως. φύσιν ἀνθρώπου, καὶ οἷον ταῦτα μιμέεται. ἀνὴρ γυναικὶ ξυγγενόμενος, παιδίον ἐποίεε τῷ φανερῷ τὸ ἄδηλον γινώσκειν, ὅτι οὕτως ἔσται. γνώμη ἀνθρώπου ἀφανὴς, γινώσκουσα τὰ φανερὰ, ἐκ παιδὸς ἐς ἄνδρα μεθίσταται. τῷ ἐόντι, τὸ μέλλον γινώσκει. οὐχ ὅμοιον ἀπὸ θανάτου ζῶντι τῷ τεθνηκότι τὸ ζῶον οἶδε ἀσύνετον. γαστὴρ ταύτῃ συνίεμεν, ὅτι διψῇ ἢ πεινῇ. ταῦτα μαντικῆς τέχνης καὶ φύσιος ἀνθρωπίνης πάθεα. τοῖσι μὲν γινώσκουσιν ἀεὶ, ὀρθῶς. τοῖσι δὲ μὴ γινώσκουσιν αἰεὶ, ἄλλοτε ἄλλως. σιδήρου ὄργανα τέχνης. τὸν σίδηρον περιτήκουσι, πνεύματι ἀναγκάζοντες

τὸ πῦρ

τὸ πῦρ, τὴν ὑπάρχουσαν τροφὴν ἀφαιρέοντες, ἀραιὸν δὲ ποιήσαντες, παίουσι καὶ συνελαύνουσιν. ὕδατος δὲ ἄλλου τροφῇ ἰσχυρὸν γίνεται. ταῦτα πάσχει ἄνθρωπος ὑπὸ παιδοτρίβου. τὴν ὑπάρχουσαν τροφὴν, πυρὶ ἀφαιρέεται, ὑπὸ πνεύματος ἀναγκαζόμενος. ἀραιούμενος δὲ, κόπτεται. τρίβεται. καθαιρέεται. ὑδάτων δὲ ἐπαγωγῇ ἄλλοθεν ἰσχυρὸς γίνεται. καὶ οἱ γναφέες, τὸ αὐτὸ διαπρήσσονται. λακτίζουσι. παίουσι. λυμαινόμενοι. κόπτουσιν. ἕλκουσι. λυμαινόμενοι, ἰσχυρότερα ποιέουσι. κείροντες τὰ ὑπερέχοντα. καὶ παραπλέκοντες καλλίω ποιέουσι. ταῦτα πάσχει ὁ ἄνθρωπος. σκυτέες τὰ ὅλα κατὰ μέρεα διαιρέοντες. τέμνοντές τε καὶ κεντέοντες, τὰ σαθρὰ ὑγιέα ποιέουσιν. καὶ ἄνθρωπος δὲ, τὸ αὐτὸ πάσχει. ἐκ τῶν ὅλων, μέρεα διαιρέεται. καὶ ἐκ τῶν μερέων συντιθεμένων, ὅλα γίνεται. κεντεόμενοί τε καὶ τεμνόμενοι, τὰ σαθρὰ ὑπὸ τῶν ἰητρῶν ὑγιαίνονται καὶ ζῶει. ἰητρικὴ τὸ λυπέον ἀπαλλάσσει. καὶ ὑφ' οὗ πονέει ἀφαιρέοντα, ὑγιέα ποιεῖν, ἡ φύσις αὐτομάτη ταῦτα ἐπίσταται. καθήμενος, πονέει ἀναστῆναι. κινεύμενος, πονέει ἀναπαύσασθαι. καὶ ἄλλα τοιαῦτα ἔχει ἡ φύσις ἰητρικῆς. τέκτονες πρίοντες, ὁ μὲν, ὠθέει. ὁ δὲ, ἕλκει. τὸ αὐτὸ ποιέειν ἀμφοτέρως φέρει. τρυπῶσι, ὁ μὲν, ἕλκει. ὁ δὲ, ὠθεῖ. πιεζόντων ἄνω ἕρπει. τὸ δὲ κάτω, μεῖον. οἷοι ἐόντες, πλέω ποιέουσι, φύσιν τε ἀνθρώπου μιμέονται. πνεῦμα τὸ μὲν, ἕλκει. τὸ δὲ, ὠθέει. τὸ δ' αὐτὸ ποιέειν ἀμφοτέρως φέρει. σίτων, τὰ μὲν, κάτω πιέζεται. τὰ δὲ, ἄνω ἕρπει. ἀπὸ μιῆς ψυχῆς διαιρεομένης, πλείους καὶ μείους, καὶ μέζονες καὶ ἐλάσσονες. οἰκοδόμοι ἐκ διαφόρων σύμφορον ἐργάζονται, τὰ μὲν ξηρὰ, ὑγραίνοντες. τὰ δὲ ὑγρὰ, ξηραίνοντες. τὰ μὲν ὅλα, διαιρέοντες. τὰ δὲ διῃρημένα, συντιθέντες. μὴ οὕτω δὲ ἐχόντων, οὐκ ἂν ἔχοι ἰδίως. δίαιταν ἀνθρωπίνην μιμέεται, τὰ μὲν ξηρὰ, ὑγραίνοντες. τὰ δὲ ὑγρὰ, ξηραίνοντες. τὰ μὲν ὅλα, διαιρέουσι. τὰ δὲ διῃρημένα, συντιθέασι. ταῦτα πάντα διάφορα ἐόντα, ξυμφέρει τῇ φύσει. μουσικῆς ὄργανον, ὑπάρξαι δεῖ πρῶτον ἐν ᾧ δηλώσει ἃ βούλεται, ἁρμονίη. συντάξιες ἐκ τῶν αὐτῶν, οὐχ αἱ αὐταί. ἐκ τοῦ ὀξέος. ἐκ τοῦ βαρέος. ὀνόματι μὲν, ὁμοίων. φθόγγῳ δὲ, οὐχ ὁμοίων. τὰ πλεῖστα διάφορα, μάλιστα ξυμφέρει. καὶ τὰ ἐλάχιστα διάφορα, ἥκιστα ξυμφέρει. εἰ δὲ ὅμοια πάντα ποιήσει τις, οὐκ ἔνι τέρψις. αἱ πλεῖσται μεταβολαὶ καὶ πολυειδέσταται, μάλιστα τέρπουσι. μάγειροι ὄψα σκευάζουσιν ἀνθρώποισι, ἐκ διαφόρων παντοδαπὰ ξυγκρίνοντες, ἐκ τῶν αὐτῶν οὐ τὰ αὐτὰ, βρῶσιν, καὶ πόσιν ἀνθρώπων. ἢν δὲ πάντα ὅμοια ποιήσῃ, οὐκ ἔχει τέρψιν. οὐδ' εἰ ἐν αὐτῷ πάντα ξυντάξειεν, οὐκ ἂν ἔχοι ὀρθῶς. κρούεται τὰ κρούματα ἐν μουσικῇ, τὰ μὲν, ἄνω. τὰ δὲ, κάτω. γλῶσσα μουσικὴν μιμέεται, διαγινώσκουσα μὲν, τὸ γλυκύ. καὶ τὸ ὀξὺ τῶν προσπιπτόντων, καὶ τὰ διάφωνα. κρούεται δὲ τοὺς φθόγγους, ἄνω καὶ κάτω. καὶ οὔτε τὰ ἄνω κάτω κρουόμενα, ὀρθῶς ἔχει, οὔτε τὰ κάτω, ἄνω. καλῶς δὲ ἡρμοσμένης γλώττης, τῇ συμφωνίῃ τέρψις. ἀναρμόστου δὲ, λύπη. σκυτοδέψαι, τείνουσι. τρίβουσι. κτενίζουσι. πλύνουσι. ταῦτα παιδίων θεραπείη. πλοκέες ἄγοντες, κύκλῳ πλέκουσιν, ἀπὸ τῆς ἀρχῆς ἐς τὴν ἀρχὴν τελευτῶσι. τοῦτο περίοδος ἐν τῷ σώματι, ὁκόθεν ἄρχεται, ἐπὶ τοῦτο τελευτᾷ. χρυσίον ἐργάζονται. κόπτουσι. πλύνουσι. τήκουσι πυρὶ μαλακῷ, ἰσχυρῷ δὲ, οὐ συνίστανται. ἀπεργασάμενοι, πρὸς πάντα χρῶνται. ἄνθρωπος σῖτον κόπτει. πλύνει. ἀλήθει. πυρώσας, χρῆται. ἰσχυρῷ μὲν πυρὶ, ἐν τῷ σώματι οὐ συνίσταται, μαλθακῷ δέ. ἀνδριαντοποιοὶ, μίμησιν σώματος ποιέουσιν, πλὴν ψυχῆς. γνώμην δὲ ἔχοντα, οὐ ποιέουσιν. ἐξ ὕδατος καὶ γῆς, τὰ ὑγρὰ ξηραίνοντες, ἀφαιρέονται ἀπὸ τῶν ὑπερεχόντων, καὶ προστιθέασι πρὸς τὰ ἐλλείποντα, ἐκ τοῦ ἐλαχίστου πρὸς τὸ μέγιστον αὔξοντες. ταῦτα πάσχει ὁ ἄνθρωπος. αὔξεται ἀπὸ τοῦ ἐλαχίστου ἐς τὸ μέγιστον. ἐκ τῶν ὑπερεχόντων ἀφαιρούμενος, τοῖσιν ἐλλείπουσι προστιθείς. τὰ ξηρὰ ὑγραίνων, καὶ τὰ ὑγρὰ ξηραίνων. κεραμέες τροχὸν δινέουσι, καὶ οὔτε ὀπίσω, οὔτε πρόσω χωρεῖ, καὶ ἀμφοτέρωσε ἅμα τοῦ ὅλου μίμησις περιφορῆς. ἐν δὲ τῷ αὐτῷ ἐργάζονται, εἴδη περιφερομένων παντοδαπὰ, οὐδὲν ὅμοιον τὸ ἕτερον τῷ ἑτέρῳ. ἐκ τῶν αὐτῶν ἄνθρωποι ταῦτα πάσχουσι, καὶ τὰ ἄλλα ζῶα ἐν τῇ αὐτῇ περιφορῇ πάντα ἐργάζονται. ἐκ τῶν αὐτῶν ὅμοιον οὐδὲν, τοῖσι αὐτοῖσι ὀργάνοισιν. ἐξ ὑγρῶν, ξηρὰ ποιέοντες, καὶ ἐκ τῶν ξηρῶν, ὑγρά. γραμματικὴ, τοιόνδε. σχημάτων σύνθεσις. σημήια φωνῆς ἀνθρωπίνης. δύναμις, τὰ παροιχόμενα μνημονεῦσαι. τὰ ποιητέα, δηλῶσαι. δι' ἑπτὰ σχημάτων ἡ γνῶσις. ταῦτα πάντα ἄνθρωπος διαπρήσσεται, καὶ ὁ ἐπιστάμενος γράμματα, καὶ ὁ μὴ ἐπιστάμενος. δι' ἑπτὰ σχημάτων, καὶ ἡ αἴσθησις ἡ ἀνθρώπων. ἀκοὴ, ψόφων. ὄψις, φανερῶν. ῥὶν, ὀδμῆς. γλῶσσα, ἡδονῆς καὶ ἀηδίης. στόμα, διαλέκτου. σῶμα, ψαύσιος.

θερμοῦ ἢ ψυχροῦ. πνεύματος διέξοδοι, ἔσω καὶ ἔξω. διὰ τούτων, γνῶσις ἀνθρώποισιν. ἀγωνισταὶ παιδοτρίβαι, τοιόνδε διδάσκουσι. παρανομέειν κατὰ νόμον. ἀδικέειν δικαίως. ἐξαπατέειν. κλέπτειν. ἁρπάζειν. βιάζεσθαι τὰ κάλλιστα καὶ αἴσχιστα. ὁ μὴ ταῦτα ποιέων, κακός. ὁ δὲ ταῦτα ποιέων, ἀγαθός. ἐπίδειξις τῶν πολλῶν. ἀφροσύνης θεῶνται ταῦτα. καὶ κρίνουσιν ἕνα ἐξ ἁπάντων ἀγαθόν. τοὺς δὲ ἄλλους κακούς, πουλλοὶ θαυμάζουσιν. ὀλίγοι γινώσκουσιν. ἐς ἀγορὴν ἐλθόντες ἄνθρωποι, ταῦτα διαπρήσσονται. ἐξαπατῶσι πωλέοντες καὶ ὠνεόμενοι. ὁ πλεῖστα ἐξαπατήσας, οὗτος θαυμάζεται. πίνοντες καὶ μαινόμενοι, ταῦτα διαπρήσσονται. τρέχουσι. παλαίουσι. μάχονται. κλέπτουσιν. ἐξαπατῶσιν. εἷς ἐκ πάντων κρίνεται. ὑποκεῖται, καὶ ἐξαπᾶται. πρὸς εἰδότας λέγουσιν ἄλλα, καὶ φρονέουσιν ἕτερα. οἱ αὐτοὶ ἐξέρπουσι καὶ ἐσέρπουσιν, οὐχ οἱ αὐτοί. ἐνὶ δὲ ἀνθρώπῳ, ἄλλα μὲν, λέγειν. ἄλλα δέ, ποιέειν. καὶ τὸν αὐτόν, μὴ εἶναι τὸν αὐτόν. καὶ ποτὲ μὲν ἄλλην ἔχειν γνώμην. ὁτὲ δέ, ἄλλην. οὕτω μὲν αἱ τέχναι πᾶσαι τῇ ἀνθρωπίνῃ φύσει ἐπικοινωνέουσιν. ἡ δὲ ψυχὴ τοῦ ἀνθρώπου, ὥσπερ μοι καὶ προείρηται, σύγκρησιν ἔχουσα πυρὸς καὶ ὕδατος, μοῖρα δὲ ἀνθρώπου ἐσέρπει ἐς ἅπαν ζῶον, ὅτι περ ἀναπνέει. καὶ δὴ καὶ ἐς ἄνθρωπον πάντα, καὶ νεώτερον καὶ πρεσβύτερον. αὔξεται δὲ οὐκ ἐν πᾶσιν ὁμοίως. ἀλλ' ἐν μὲν τοῖσι νέοισι τῶν σωμάτων, ἅτε ταχείης ἐούσης τῆς περιφορῆς καὶ τοῦ σώματος ὄντος αὐξίμου ἐκπυρούμενα καὶ λεπτυνόμενα καταναλίσκεται ἐς τὴν αὔξησιν τοῦ σώματος. ἐν δὲ τοῖσι πρεσβυτέροισιν, ἅτε βραδείης ἐούσης τῆς κινήσιος, καὶ ψυχροῦ τοῦ σώματος, καταναλίσκεται ἐς τὴν μείωσιν τοῦ ἀνθρώπου. ὁκόσα δὲ τῶν σωμάτων ἀκμάζοντά ἐστι, καὶ ἐν τῇσιν ἡλικίῃσι τῇσι γονίμῃσι, δύναται τρέφειν καὶ αὔξειν. δυνάσται δὲ ἄνθρωποι. ὅστις δύναται πλείστους ἀνθρώπους τρέφειν, οὗτος ἰσχυρός. ἀπολειπόντων δὲ τῶν παρ' αὐτοῦ τρεφομένων, οὗτος ἀσθενέστερος. τοιοῦτον καὶ ἕκαστα τῶν σωμάτων πλεῖστα, ὁκοῖα πλεῖστα δύναται ψυχὰς τρέφειν, ταῦτα ἰσχυρότερα. ἀπελθόντων δὲ τούτων, ἀσθενέστερα. ὅ, τι μὲν οὖν ἄλλοσε ἐσέλθῃ, οὐκ αὔξεται. ὅ, τι δὲ ἐς τὴν γυναῖκα, αὔξεται ἢν τύχῃ τῶν προσηκόντων. διακρίνεται δὲ τὰ μέλεα, ἅμα πάντα καὶ αὔξεται. καὶ οὔτε πρότερον οὐδὲν ἕτερον ἑτέρου, οὔθ' ὕστερον. τὰ δὲ μέζω φύσει, πρότερα φαίνεται τῶν ἐλασσόνων, οὐδὲν πρότερα γινόμενα. οὐκ ἐν ἴσῳ δὲ χρόνῳ πάντα διακοσμέεται. ἀλλὰ τὰ μέν, θᾶσσον, τὰ δέ, βραδύτερον, ὅκως ἂν καὶ τοῦ πυρὸς ἕκαστα τύχῃ, καὶ τῆς τροφῆς. τὰ μὲν οὖν, ἐν τεσσαράκοντα καὶ τρισὶν ἡμέρῃσιν ἴσχει. τὰ δ' ἐν τετραμήνῳ. ὡσαύτως καὶ γόνιμα γίνεται. τὰ μέν, θᾶσσον ἑπτάμηνα τελέως. τὰ δὲ βραδύτερον, ἐννέα μησὶ τελέως ἐς φάος ἀναδείκνυται ἔχοντα τὴν σύγκρισιν, ἥν περ καὶ διὰ παντὸς ἕξει. ἄρρενα μὲν οὖν καὶ θήλεα ἐν τῷδε τῷ τρόπῳ γίνοιτ' ἂν ὡς ἀνυστόν. τὰ δὲ θήλεα, πρὸς ὕδατος μᾶλλον, ἀπὸ τῶν ψυχρῶν καὶ ὑγρῶν καὶ μαλθακῶν αὔξεται, καὶ σίτων, καὶ ποτῶν, καὶ ἐπιτηδευμάτων. τὰ δὲ ἄρσενα, πρὸς πυρὸς μᾶλλον, ἀπὸ τῶν ξηρῶν δηλαδὴ καὶ θερμῶν, σίτων τε καὶ λοιπῆς διαίτης. ἢν οὖν θῆλυ τεκέειν βούλοιτο, τῇ πρὸς ὕδατος διαιτήσει χρηστέον. ἢν δὲ ἄρσενα, τῇ πρὸς πυρὸς ἐπιτηδεύσει διαιτητέον. καὶ οὐ μόνον δὲ τὸν ἄνδρα δεῖ τοῦτο διαπρήσσεσθαι, ἀλλὰ καὶ τὴν γυναῖκα. οὐ γὰρ τὸ ἀπὸ τοῦ ἀνδρὸς μοῦνον αὔξιμόν ἐστιν ἀποκριθέν, ἀλλὰ καὶ τὸ ἀπὸ τῆς γυναικός, διὰ τόδε. ἑκάτερον μὲν τὸ μέρος, οὐκ ἔχει ἱκανὴν τὴν κίνησιν, τῷ πλήθει τοῦ ὑγροῦ, ὥστε καταναλίσκειν τὸ ἐπιρρέον. καὶ ξυνίσταται δι' ἀσθένειαν τοῦ πυρός. ὁκόταν δὲ κατὰ τοῦτο ἀμφότερα συνεμπεσόντα τύχῃ, περιπίπτει πρὸς ἄλληλα. τὸ πῦρ τε πρὸς τὸ πῦρ, καὶ τὸ ὕδωρ ὡσαύτως. ἢν μὲν οὖν ἐν ξηρῇ τῇ χώρῃ περικινέεται, κρατέει τοῦ ξυνεμπεσόντος ὕδατος. καὶ ἀπὸ τούτου αὔξεται τὸ πῦρ, ὥστε μὴ κατασβέννυσθαι ὑπὸ τοῦ ἐμπίπτοντος κλύδωνος ἀλλὰ τό τε ἐπιὸν δέχεσθαι καὶ συνιστάναι ὑπάρχον. ἢν δὲ ἐς τὸ ὑγρὸν πέσῃ, εὐθέως ἀπ' ἀρχῆς κατασβέννυταί τε ὑπὸ τοῦ ἐμπίπτοντος κλύδωνος, καὶ διαλύεται εἰς τὴν μείω τάξιν. ἐν μιῇ δὲ ἡμέρῃ τοῦ μηνὸς ἑκάστου, δύναται συστῆναι καὶ κρατῆσαι τῶν ἐπιόντων, καὶ ταῦτ' ἢν τύχῃ ξυνεμπεσόντα παρ' ἀμφοτέρων κατὰ τόπον. ξυνίστασθαι δὲ δύναται καὶ τὸ θῆλυ καὶ τὸ ἄρσεν πρὸς ἄλληλα. διότι ἡ μὲν ψυχή, τὸ αὐτὸ πᾶσι τοῖσιν ἐμψύχοισι. τὸ δὲ σῶμα, διαφέρει ἑκάστου. ψυχὴ μὲν οὖν αἰεὶ ὁμοίη, καὶ ἐν μείζονι καὶ ἐλάσσονι. οὐ γὰρ ἀλλοιοῦται οὔτε διὰ φύσιν οὔτε δι' ἀνάγκην. σῶμα δέ, οὐδέποτε τὸ αὐτὸ οὐδενὸς οὔτε κατὰ φύσιν, οὔθ' ὑπ' ἀνάγκης. τὸ μὲν, διακρίνεσθαι εἰς πάντα. τὸ δὲ, ξυμμίσγεσθαι πρὸς ἅπαντα. ἢν μὲν οὖν ἄρσενα τὰ σώματα ἀποκριθέντα ἀμφοτέρων τύχῃ, αὔξεται κατὰ τὸ ὑπάρχον, καὶ γίνονται οὗτοι ἄνδρες λαμπροὶ τὰς ψυχάς, καὶ τὸ σῶμα

ἰσχυροί, ἢν μὴ ὑπὸ διαίτης βλαβῶσι τῆς ἔπειτα. ἢν δὲ τὸ μὲν ἀπὸ τοῦ ἀνδρὸς, ἄρσεν ἀποκριθῇ. τὸ δὲ ἀπὸ τῆς γυναικὸς, θῆλυ. καὶ ἐπικρατήσῃ τὸ ἄρσεν. ἢν μὲν τύχῃ, προσμίσγεται πρὸς τὴν ἰσχυροτέρην ἢ ἀσθενεστέρην, οὐ γὰρ ἔχει πρός τι ὁμοτροφώτερον ἀποχωρήσει τῶν παρεόντων. προσδέχεται γὰρ ἡ μικρὴ τὴν μέζω, καὶ ἡ μέζω τὴν ἐλάσσονα. κοινῇ δὲ τῶν ὑπαρχόντων κρατέουσι. τὸ δὲ σῶμα, τὸ μὲν ἄρσεν, αὔξεται. τὸ δὲ θῆλυ, μειοῦται, καὶ διακρίνεται ἐς ἄλλην μοίρην. καὶ οὗτοι μὲν ἧσσον τῶν πρότερον λαμπροὶ, ὅμως δὲ διότι, ἀπὸ τοῦ ἀνδρὸς τὸ ἄρσεν ἐκράτησεν, ἀνδρεῖοι γίνονται. καὶ τοὔνομα τοῦτο δικαίως ἔχουσιν. ἢν δὲ ἀπὸ μὲν τῆς γυναικὸς, ἄρσεν ἀποκριθῇ, ἀπὸ δὲ τοῦ ἀνδρὸς, θῆλυ, κρατήσῃ δὲ τὸ ἄρσεν, αὔξεται τὸν αὐτὸν τρόπον τῷ προτέρῳ. τὸ δὲ μειοῦται. γίνονται δὲ οὗτοι ἀνδρόγυνοι καὶ καλέονται τοῦτο ὀρθῶς. τρεῖς μὲν οὖν, αὗται γενέσιες τῶν ἀνθρώπων. διάφοροι δὲ, πρὸς τὸ μᾶλλον καὶ ἧσσον τὸ τοιοῦτον εἶναι διὰ τὴν σύγκρησιν τοῦ ὕδατος τῶν μερέων, καὶ τροφὰς, καὶ παιδεύσιας, καὶ συνηθείας. δηλώσω δὲ προϊόντι τῷ λόγῳ, καὶ περὶ τούτων. τὸ δὲ θῆλυ, γίνεται κατὰ τὸν αὐτὸν τρόπον. ἢν μὲν ἀπ' ἀμφοτέρων θῆλυ ἀποκριθῇ, θηλυκώτατα καὶ εὐφυέστατα γίνονται. ἢν δὲ, τὸ μὲν ἀπὸ τῆς γυναικὸς, θῆλυ, τὸ δὲ ἀπὸ τοῦ ἀνδρὸς, ἄρσεν, κρατήσῃ δὲ τὸ θῆλυ αὔξεται τὸν αὐτὸν τρόπον. καὶ θρασύτεραι μὲν, τῶν πρόσθεν. ὅμως δὲ, κόσμιαι καὶ αὗται. ἢν δ' ᾖ τὸ μὲν ἀπὸ τοῦ ἀνδρὸς, θῆλυ, τὸ δ' ἀπὸ τῆς γυναικὸς, ἄρσεν κρατήσῃ δὲ τὸ θῆλυ, αὔξεται τὸν αὐτὸν τρόπον, αὗται γίνονται τολμηρότεραι τῶν προτέρων, καὶ ἀνδρεῖαι ὀνομάζονται. εἰ δέ τις ἀπιστέῃ. ψυχὴν μὴ προσμίσγεσθαι ψυχῇ, ἄφρων ἐστίν. ἄνθρακας κεκαυμένους πρὸς κεκαυμένους προσβάλλων, ἰσχυροὺς πρὸς ἀσθενέας, τροφὴν αὐτοῖσι διδοὺς, ὅμοιον τὸ σῶμα πάντες παρασχήσονται, καὶ οὐ διάδηλος ἕτερος τοῦ ἑτέρου, ἀλλ' ἐν ὁκοίῳ σώματι ζωπυρέονται, τοιοῦτον ἀπὸ πάντων ἔσται. ὁκόταν δ' ἀναλώσωσι τὴν ὑπάρχουσαν τροφὴν διακρίνονται ἐς τὸ ἄδηλον. τοῦτο καὶ ἀνθρωπίνη ψυχὴ πάσχει. Περὶ δὲ τῶν διδύμων γενομένων, ὁ λόγος ὧδε δηλώσει. τὸ μὲν πλεῖστον τῆς γυναικὸς ἡ φύσις αἰτίη τῶν μητρέων. ἢν γὰρ ὁμοίως ἀμφοτέρωσε πεφύκασι κατὰ τὸ στόμα, καὶ ἢν ἀνάσχωσιν ὁμοίως, καὶ ξηραίνωνται ἀπὸ τῆς καθάρσιος, δύνανται τρέφειν, ἢν τὰ τοῦ ἀνδρὸς ξυλλαμβάνῃ, ὥστε εὐθὺς ἀποσχίζεσθαι. οὕτω γὰρ ἀνάγκη σκίδνασθαι ἐπ' ἀμφοτέρας τὰς μήτρας ὁμοίως. ἢν μὲν οὖν πολὺ ἐπ' ἀμφοτέρων τὸ σπέρμα καὶ ἰσχυρὸν ἀποκριθῇ, δύναται ἐν ἀμφοτέρῃσι τῇσι χώρῃσιν αὔξεσθαι. κρατέει γὰρ τῆς τροφῆς τῆς ἐπιούσης. ἢν δὲ κως ἄλλως γένηται, γίνονται δίδυμα. ὁκόταν μὲν οὖν ἄρσεν ἀπ' ἀμφοτέρων ἀποκριθῇ, ἐξ ἀνάγκης ἐν ἀμφοτέροισιν ἄρσενα γίνεσθαι. ὁκόταν δὲ θῆλυ ἀπ' ἀμφοτέρων, θήλεα γίνεται. ὁκόταν δὲ τὸ μὲν θῆλυ, τὸ δὲ ἄρσεν, ὁκότερον ἂν ἑκατέρου κρατήσῃ, τοιοῦτον ἐπαύξει. ὅμοια δὲ ἀλλήλοισι τὰ δίδυμα, διὰ τάδε γίνεται. ὅτι πρῶτον μὲν ἴσα τὰ χωρία ἐν οἷς αὔξεται. ἔπειτα ὅτι καὶ ἅμα ἀπεκρίθη. ἔπειτα τῇσιν αὐτῇσι τροφῇσιν αὔξεται. γόνιμα τε ἀνάγεται τοῦ φάους. ἐπίγονα δὲ, τῷδε τῷ τρόπῳ γίνεται. ὁκόταν αἵ τε μῆτραι θερμαὶ καὶ ξηραὶ φύσει ἔωσιν, ἥ τε γυνὴ τοιαύτη, τό, τε σπέρμα ξηρὸν καὶ θερμὸν ἐμπέσῃ, οὐκ ἔτι γίνεται ἐν τῇσι μήτρῃσιν ὑγρασίη οὐδεμίη, ἥτις τὸ ἐπεισπίπτον σπέρμα κρατήσει. διὰ τοῦτο ξυνίσταται ἐξ ἀρχῆς καὶ ζώει. διατελέειν δὲ οὐ δύναται ἀλλὰ καὶ τὸ ὑπάρχον προσδιαφθείρει. διότι οὐ τὰ αὐτὰ ξυμφέρει ἀμφοῖν. ὕδατός τε τὸ λεπτότατον, καὶ πυρὸς τὸ ἀραιότατον σύγκρησιν λαβόντα ἐν ἀνθρώπου σώματι, ὑγιεινοτάτην ἕξιν ἀποδεικνύει, διὰ τάδε, ὅτι ἐν τῇσι μεταβολῇσι τοῦ ἐνιαυτοῦ τῶν ὡρέων τῇσι μεγίστῃσιν, οὔτε τὸ ὕδωρ ἐς τὸ πυκνότατόν ἐστι τῇσι τοῦ ὕδατος ἐφόδοισιν. οὔτε τὸ πῦρ, ἐν τοῖς τοῦ πυρός. οὔτε τῶν ἡλικέων, ἐν τῇσι μεταστάσεσιν, οὔτε τῶν σιτίων καὶ ποτῶν, ἐν τοῖσι διαιτήμασι. δύνανται γὰρ γένεσίν τε πλείστην δέξασθαι ἀμφότερα καὶ πλησμονήν. χαλκὸς ὁ μαλακώτατός τε καὶ ἀραιότατος, πλείστην κρῆσιν δέχεται, καὶ γίνεται κάλλιστος. καὶ ὕδατος τὸ λεπτότατον, καὶ πυρὸς τὸ ἀραιότατον, σύγκρησιν λαμβάνοντα ὡσαύτως. οἱ μὲν οὖν ταύτην ἔχοντες τὴν φύσιν, ὑγιαίνοντες διατελέουσι τὸν πάντα χρόνον, μέχρι τεσσαράκοντα ἐτέων. οἱ δὲ καὶ μέχρι γήρως τοῦ ἐσχάτου. ὁκόσοι δ' ἂν ληφθῶσιν ὑπὸ νοσήματός τινος, ὑπὲρ τεσσαράκοντα ἔτεα, οὐ μάλα διαφυγγάνουσιν. ὁκόσα δὲ τῶν σωμάτων σύγκρησιν λαμβάνει πυρὸς τοῦ ἰσχυροτάτου, καὶ ὕδατος τοῦ πυκνοτάτου, ἰσχυρὰ μὲν καὶ ἐρρωμένα τὰ σώματα γίνεται. φυλακῆς δὲ, πολλῆς δεόμενα. μεγάλας γὰρ τὰς μεταβολὰς ἔχει ἐπ' ἀμφότερα. καὶ ἐν τῇσι τοῦ ὕδατος ἐφόδοισιν, ἐς νοσήματα πίπτουσι. καὶ ἐν τῇσι τοῦ πυρὸς, ὡσαύτως. τοῖσιν οὖν διαιτήμασι ξυμφέρει χρέεσθαι τὸν τοιοῦ-

τὴν πρὸς τὰς ὥρας τοῦ ἔτεος ἐναντιούμενον. ὕδατος μὲν ἐφόδου γινομένης, τοῖσι πρὸς ὕδατος χρέεσθαι κατὰ μικρὸν μεθιστάντα. τὰ μὲν, ἀπὸ τῆς ὥρης ὕδατός τε τοῦ παχυτάτου καὶ πυρὸς τοῦ λεπτοτάτου ξυγκρηθέντων ἐν τῷ σώματι, τοιαῦτα ξυμβαίνει. ἐξ ὧν διαγινώσκειν χρὴ, ψυχρὴν φύσιν καὶ ὑγρήν. ταῦτα τὰ σώματα ἐν τῷ χειμῶνι, νοσερώτερα ἢ ἐν τῷ θέρει. ἐν τῷ ἦρι, ἢ ἐν τῷ φθινοπώρῳ, τῶν ἡλικιέων ὑγιηρότατοι τῶν τοιούτων οἱ παῖδες, δεύτεροι νεανίσκοι. νοσερώτατοι δὲ, οἱ πρεσβῦται καὶ οἱ ἔγγιστα. καὶ ταχέως γηράσκουσιν αἱ φύσιες αὗται. διαιτᾶσθαι δὲ ξυμφέρει τοῖσι τοιούτοισιν, ὁκόσα θερμαίνει καὶ ξηραίνει, καὶ πόνοισι καὶ σιτίοισι. καὶ πρὸς τὰ ἔξω τοῦ σώματος μᾶλλον τοὺς πόνους ποιέεσθαι, ἢ πρὸς τὰ ἔσω. ἢν δὲ λάβῃ πυρός τε τὸ ὑγρότατον καὶ ὕδατος τὸ πυκνότατον, ξύγκρησιν ἐν τῷ σώματι, τοῖσι δὲ γινώσκειν ὑγρὴν καὶ θερμὴν φύσιν. κάμνουσι μὲν μάλιστα οἱ τοιοῦτοι, ἐν τῷ ἦρι. ἥκιστα δὲ, ἐν τῷ φθινοπώρῳ. ὅτι ἐν μὲν τῷ ἦρι, ὑπερβολὴ τῆς ὑγρασίης. ἐν δὲ τῷ φθινοπώρῳ, συμμετρίη τῆς ξηρασίης. τῶν δὲ ἡλικιέων, νοσερώταται ὁκόσαι νεώτεραι εἰσιν. αὔξεται δὲ τὰ σώματα ταχέως. καὶ καταῤῥοώδεις τε οἱ τοιοῦτοι γίνονται. διαιτᾶσθαι δὲ ξυμφέρει, ὁκόσα ξηραίνοντα ψύχει, καὶ σίτων, καὶ ποτῶν, καὶ πόνων. τοὺς δὲ πόνους τούτοισιν ἔσω τοῦ σώματος ποιέεσθαι ξυμφέρει μάλιστα. εἰ δὲ σύγκρησιν λάβοι πυρὸς, τὸ, τε ἰσχυρότατον καὶ ὕδατος τὸ λεπτότατον, καὶ ξηρὴ ἡ φύσις καὶ θερμὴ, νόσος μὲν τοῖσι τοιούτοισιν ἐν τῇσι τοῦ πυρὸς ἐφόδοισιν. ὑγείη δὲ ἐν τῇσι τοῦ ὕδατος. ἡλικίῃσιν, ἀκμαζούσῃσι πρὸς σαρκὸς εὐεξίην, νοσερώτατοι. ὑγιηρότατοι δὲ οἱ πρεσβῦται, καὶ τὰ ἔγγιστα ἑκατέρων. δίαιται ὁκόσαι ψύχουσι καὶ ὑγραίνουσι. καὶ τῶν πόνων, ὁκόσοι ἥκιστα ἐκθερμαίνοντες καὶ συντήκοντες, πλείστην ψύξιν παρέχουσι. αἱ τοιαῦται φύσιες, μακροβιώτατοι καὶ ὑγιηρότατοι γίνονται. ἢν δὲ σύγκρησιν λάβῃ πυρὸς τοῦ ἀραιοτάτου καὶ ὕδατος τοῦ ξηροτάτου, ξηρὴ καὶ ψυχρὴ ἡ τοιαύτη φύσις. νοσερὴ μὲν, ἐν τῷ φθινοπώρῳ, ὑγιηρὴ δὲ, ἐν τῷ ἦρι καὶ τοῖσιν ἔγγιστα. ὡσαύτως ἡλικίαι πρὸς ἔτεα τεσσαράκοντα, νοσεραί. παῖδες ὑγιηρότατοι, καὶ τὰ προσέχοντα ἑκατέροισι. δίαιται ὁκόσαι θερμαὶ ἐοῦσαι, ὑγραίνουσι. καὶ πόνοι ἐξ ὀλίγου προσαγόμενοι ἡσυχῇ διαθερμαίνοντες, μὴ πολὺ ἀπὸ τῶν ὑπαρχόντων φέροντες.

Περὶ μὲν οὖν φύσιος διαγνώσιος, οὕτω χρὴ διαγινώσκειν τῆς ἐξ ἀρχῆς ξυστάσιος. αἱ δὲ ἡλικίαι αὗται πρὸς ἑωυτὰς, ὧδε ἔχουσι. παῖς μὲν οὖν κέκρηται ὑγροῖσι καὶ θερμοῖσι, διότι ἐκ τούτων ξυνέστηκε, καὶ ἐν τούτοισιν ηὐξήθη. ὑγρότατα μὲν οὖν καὶ θερμότατα ὁκόσα ἔγγιστα γενέσιος, καὶ αὔξεται ὡς πλεῖστον. καὶ ἐχόμενα ὡσαύτως. νεηνίσκος δὲ, θερμὸς μὲν, ὅτι τοῦ πυρὸς ἐπικρατέει ἡ ἔφοδος τοῦ ὕδατος. ξηρὸς δὲ, ὅτι τὸ ὑγρὸν ἤδη καταναλωται τὸ ἐκ τοῦ παιδός. τὸ μὲν, ἐς τὴν αὔξησιν τοῦ σώματος. τὸ δὲ, ἐς τὴν κίνησιν τοῦ πυρός. τὸ δὲ, ὑπὸ τῶν πόνων. ἀνὴρ, ὁκόταν στῇ τὸ σῶμα, ξηρὸς καὶ ψυχρός. διότι τοῦ μὲν θερμοῦ ἡ ἔφοδος οὐκ ἔτι ἐπικρατέει, ἀλλ' ἕστηκεν ἀτρεμίζον τὸ σῶμα τῆς αὐξήσιος, καὶ κατέψυκται. ἐκ δὲ τῆς νεωτέρης ἡλικίης, τὸ ξηρὸν ἔνι. ἀπὸ δὲ τῆς ἐπιούσης ἡλικίης καὶ τοῦ ὕδατος τῆς ἐφόδου, οὐχ ὁ ἔχων τὴν ὑγρασίην, διὰ ταῦτα ξηροῖσι καὶ ψυχροῖσι κρατέεται. οἱ δὲ πρεσβῦται, ψυχροὶ καὶ ὑγροί. διότι πυρὸς μὲν ἀναχώρησις. ὕδατος δὲ, ἔφοδος. καὶ ξηρῶν μὲν, ἀπάλλαξις. ὑγρῶν δὲ, κατάστασις. τῶν δὲ πάντων, τὰ μὲν ἄρσενα, θερμότερα καὶ ξηρότερα. τὰ δὲ θήλεα, ὑγρότερα καὶ ψυχρότερα διὰ τόδε. ὅτι τε ἀπ' ἀρχῆς ἐν τοιούτοισιν ἑκάτερα ἐγένετο. καὶ ὑπὸ τοιούτων αὔξεται. γενόμενα τε τῇσι διαίτῃσιν ἐπιπονωτέρῃσι χρέεται, ὥστε ἐκθερμαίνεσθαι καὶ ἀποξηραίνεσθαι. τὰ δὲ θήλεα ὑγροτέρῃσι καὶ ῥαθυμοτέρῃσι τῇσι διαίτῃσι χρέονται. καὶ κάθαρσιν τοῦ θερμοῦ ἐκ τοῦ σώματος ἑκάστου μηνὸς ποιέονται.

Περὶ δὲ φρονήσιος ψυχῆς καὶ ἀφροσύνης ὀνομαζομένης, ὧδε ἔχει. πυρὸς τὸ ὑγρότατον καὶ ὕδατος τὸ ξηρότατον, κρῆσιν λαβόντα ἐν τῷ σώματι, φρονιμώτατα. διότι τὸ μὲν πῦρ ἔχει, ἀπὸ τοῦ ὕδατος τὸ ὑγρόν. τὸ δὲ ὕδωρ, ἀπὸ τοῦ πυρὸς τὸ ξηρόν. ἑκάτερον δὲ, οὕτως αὐταρκέστατον. οὔτε τὸ πῦρ, τῆς τροφῆς ἐνδεέστερον ἐπὶ πολὺ φοιτᾷ. οὔτε τὸ ὕδωρ, τῆς κινήσιος ἐπὶ πολὺ δεόμενον κουφοῦται. αὐτό τε οὖν ἑκάτερον, οὕτως αὐταρκέστατον ἐστι, πρὸς ἄλληλά τε κρηθέντα. ὅτι γὰρ ἐλάχιστα τῶν πέλας δέεται, ταῦτα μάλιστα τοῖσι παρεοῦσι προσέχει. πυρός τε τὸ ἥκιστα κινεύμενον, μὴ ὑπὸ ἀνάγκης. καὶ ὕδατος, τὸ μάλιστα μὴ ὑπὸ βίης. ἐκ τούτων δὲ ἡ ψυχὴ συγκρηθεῖσα, φρονιμωτάτη καὶ μνημονικωτάτη. εἰ δὲ τινι ἐπαγωγῇ χρεομένη τούτων ὁκότερον οὖν αὐξηθείη ἢ μαραίνοι, ἀφρονέστατον ἂν γένοιτο. διότι οὕτως ἔχοντα αὐταρκέστατα. εἰ δὲ πυρὸς τοῦ εἰλικρινεστάτου καὶ ὕδατος σύγκρησιν λάβοι, ἐνδεέστερον δὲ τὸ πῦρ εἴη τοῦ ὕδατος

ὕδατος ὀλίγον, φρόνιμοι μὲν καὶ οὗτοι. ἐνδεέστεροι δὲ, τῶν προτέρων. διότι κρατεόμενον τὸ πῦρ ὑπὸ τοῦ ὕδατος, καὶ βραδεῖαν τὴν κίνησιν ποιεύμενον, νωθρότερον προσπίπτει πρὸς τὰς αἰσθήσιας. παραμόνιμοι δ' εἰσὶ ἐπιεικέως αἱ τοιαῦται ψυχαὶ, πρὸς ὅ, τι ἂν προσέχωσιν. εἰ δὲ ὀρθῶς διαιτῷντο καὶ φρονιμώτεροι καὶ ὀξύτεροι γένοιντο παρὰ τὴν φύσιν. ξυμφέρει δὲ τοῖσι τοιούτοισι, τοῖσι πρὸς πυρὸς διαιτήμασι μᾶλλον χρέεσθαι, καὶ μὴ πλησμονῆσι, μήτε σιτίων, μήτε πομάτων. δρόμοισιν οὖν χρέεσθαι ὀξέσιν, ὅκως τοῦ τε ὑγροῦ κενῶται τὸ σῶμα, καὶ τὸ ὑγρὸν ἐπίσταται θᾶσσον. πάλησι δὲ, καὶ τρίψεσι, καὶ τοῖσι τοιούτοισι γυμνασίοισιν, οὐ ξυμφέρει χρέεσθαι, ὅκως μὴ κοιλοτέρων τῶν πόρων γινομένων, πλησμονῆς πληρῶνται. βαρύνεσθαι γὰρ ἀνάγκη τῆς ψυχῆς τὴν κίνησιν ὑπὸ τῶν τοιούτων. τοῖσι τε περιπάτοισι ξυμφέρει χρέεσθαι, καὶ ἀπὸ δείπνου καὶ ὀρθρίοισι, καὶ ἀπὸ τῶν δρόμων. ἀπὸ δείπνου μὲν, ὅκως τροφὴν ξηροτέρην ἡ ψυχὴ δέχηται ἀπὸ τῶν εἰσιόντων. ὄρθρου δὲ, ὅκως αἱ διέξοδοι κενῶνται τοῦ ὑγροῦ, καὶ μὴ φράσσωνται οἱ πόροι τῆς ψυχῆς. ἀπὸ δὲ τῶν γυμνασίων, ὅκως μὴ ἐγκαταλείπηται ἐν τῷ σώματι τὸ ἀποκριθὲν ἀπὸ τοῦ δρόμου, μηδὲ ξυμμίσγηται τῇ ψυχῇ, μηδὲ ἐμφράσσῃ τὰς διεξόδους, μηδὲ συνταράξῃ τὴν τροφήν. ξυμφέρει δὲ καὶ ἐμέτοισι χρέεσθαι, ὅκως ἀποκαθαίρηται τὸ σῶμα, εἴ τι ἐνδεέστεροι οἱ πόνοι διαπρήσσονται. προσάγειν δὲ ἀπὸ τῶν ἐμέτων, κατὰ μικρὸν προστιθέντα τὸ σιτίον, ἐς ἡμέρας τέσσαρας τὰς ἐλαχίστας. χρίεσθαι δὲ ξυμφορώτερον ἢ λούεσθαι. λαγνεύειν δὲ, ὕδατος ἐφόδων γινομένων, πλείονα. ἐν δὲ τῇσι τοῦ πυρὸς ἐπιφορῇσι, μείονα. εἰ δέ τινι ἐνδεεστέρην τὴν δύναμιν τὸ πῦρ λάβοι τοῦ ὕδατος, βραχυτέρην ἀνάγκη ταύτην εἶναι. καὶ καλέονται οἱ τοιοῦτοι ἠλίθιοι. ἅτε γὰρ βραδέης ἐούσης τῆς περιόδου, κατὰ βραχύ τι προσπίπτουσιν αἱ αἰσθήσιες. καὶ ὀξεῖαι ἐοῦσαι, ἐπ' ὀλίγον ξυμμίσγονταί τε διὰ βραδύτητα τῆς περιόδου. αἱ γὰρ αἰσθήσιες τῆς ψυχῆς ὁκόσαι μὲν δι' ὄψιος καὶ ἀκοῆς εἰσιν, ὀξεῖαι. ὁκόσαι δὲ διὰ ψαύσιος, βραδύτεραι καὶ εὐαισθητότεραι. τούτων μὲν οὖν αἰσθάνονται καὶ οἱ τοιοῦτοι οὐδὲν ἧσσον, οἷον τῶν ψυχρῶν καὶ θερμῶν καὶ τῶν τοιούτων. ὁκόσα δὲ δι' ὄψιος ἢ ἀκοῆς αἰσθέσθαι δεῖ, ἃ μὴ πρότερον ἐπίστανται, οὐ δύνανται αἰσθάνεσθαι. ἢν γὰρ μὴ σεισθῇ ἡ ψυχὴ ὑπὸ τοῦ πυρὸς προσπίπτοντος, οὐκ ἂν αἴσθοιτο ὁκοῖόν τι ἐστιν. αἱ οὖν τοιαῦται ψυχαὶ οὐ πάσχουσι τοῦτο διὰ ταχυτῆτα. εἰ δὲ ὀρθῶς διαιτῷτο, βέλτιον γένοιτο ἂν καὶ ὁ τοιοῦτος. ξυμφέρει οὖν τὰ διαιτήματα ἅπερ τῷ προτέρῳ. ξηροτέροισι δὲ χρῆσθαι καὶ ἐλάσσοσι τοῖσι σιτίοισι. τοῖσι δὲ πόνοισι, πλείοσι καὶ ὀξυτέροισι. συμφέρει δὲ καὶ πυριῆσθαι. καὶ ἐμέτοισι χρέεσθαι ἐκ τῶν πυριησίων. καὶ προσαγωγῇσιν ἐκ τῶν ἐμέτων ἐκ πλείονος χρόνου, ἢν ποιέῃ ἐνδεέστερον, καὶ ταῦτα ποιέων, ὑγιεινότερος ἂν καὶ φρονιμώτερος εἴη. ἢν δὲ κρατηθέῃ ἐπὶ πλεῖον τὸ πῦρ ὑπὸ τοῦ ἐόντος ὕδατος, τούτους ἤδη οἱ μὲν, ἄφρονας ὀνομάζουσιν. οἱ δὲ, ἐμβροντήτους. ἔστι δ' ἡ μανίη τούτων ἐπὶ τὸ βραδύτερον. οὗτοι κλαίουσί τε, οὐδενὸς λυποῦντος, ἢ τύπτοντος. δεδοίκασί τε τὰ μὴ φοβερά. λυπέονται ἐπὶ τοῖς μὴ προσήκουσι. καὶ αἰσθάνονται, οἷσιν οὐ προσήκει τοῖς φρονέουσι. ξυμφέρει τοιγαροῦν τούτοισι πυριῆσθαι, καὶ ἐλλεβόροισιν ἐκκαθαίρεσθαι ἐκ τῶν πυριησίων. καὶ διαίτῃ χρέεσθαι ᾗ εἶπον πρότερον. ἰσχνασίης δὲ ἐνδεόμενος οὗτος δέεται, καὶ ξηρασίης. εἰ δὲ τὸ ὕδωρ ἐνδεεστέρην τὴν δύναμιν λάβοι, τοῦ πυρὸς εἰλικρινῆ τὴν σύγκρασιν ἐχόντων, ὑγιαίνουσι σώμασι φρονίμοις. ἡ δὲ τοιαύτη ψυχὴ ταχέως αἰσθανομένη τῶν προσπιπτόντων, καὶ οὐ μεταπίπτουσα πολλάκις ἐστι. φύσις μὲν οὖν ἡ τοιαύτη, ψυχῆς ἀγαθῆς. βελτίων δὲ γένοιτο, ὀρθῶς διαιτεύμενος. καὶ κακίων μὴ ὀρθῶς. συμφέρει δὲ τῷ τοιούτῳ, τῇ διαίτῃ χρέεσθαι τῇ πρὸς ὕδατος μᾶλλον, ὑπερβολὰς φυλασσόμενον καὶ σιτίων, καὶ πομάτων, καὶ πόνων. καὶ δρόμοισι καμπτοῖσι καὶ διαύλοισι, καὶ πάλησι, καὶ τοῖσιν ἄλλοισι γυμνασίοισιν, ὑπερβολὴν οὐδενὸς ποιεύμενον. ἢν γὰρ ἔχῃ ὑγιηρῶς τὸ σῶμα καὶ μὴ ὑπ' ἄλλου τινὸς ξυνταράσσηται, τῆς ψυχῆς φρόνιμος σύγκρησις. εἰ δ' ἐπὶ πλεῖον κρατηθέῃ ἡ τοῦ ὕδατος δύναμις ὑπὸ τοῦ πυρὸς, ὀξυτέρην μὲν, τοσοῦτο ἀνάγκη εἶναι τὴν ψυχὴν, ὅσῳ θᾶττον κινέεται, καὶ πρὸς τὰς αἰσθήσιας θᾶσσον προσπίπτειν. ἧσσον δὲ μόνιμον τῶν προτέρων, διότι κρίνεται τὰ παραγινόμενα, καὶ ἐπὶ πλεῦνα ὁρμᾶται διὰ ταχυτῆτα. συμφέρει δὲ τῷ τοιούτῳ διαιτᾶσθαι, τῇ πρὸς ὕδατος διαίτῃ μᾶλλον, ἢ τῇ προτέρῃ. καὶ μάζῃ μᾶλλον, ἢ τῷ ἄρτῳ. καὶ ἰχθύσιν, ἢ κρέασι. τῷ ποτῷ, ὑδαρεστέρῳ. καὶ λαγνείῃσιν ἐλασσόνως χρέεσθαι. καὶ τῶν πόνων τοῖσι κατὰ φύσιν μάλιστα καὶ πλείοσι. τοῖσι δ' ὑπὸ βίης χρέεσθαι μὲν ἀνάγκη ἐλάττοσι δὲ καὶ ἐμέτοισιν ἐκ τῶν αὐτῶν πλησμονῶν, ὅκως κενῶται μὲν τὸ σῶμα, θερμαίνηται δὲ ὡς ἥκιστα. συμφέρει δὲ καὶ ἀσαρκέειν τοῖσι τοιούτοισι, πρὸς τὸ φρονίμους

εἶναι. πρὸς γὰρ σαρκὸς αὔξησιν, καῦμά τε καὶ φλεγμονὴν ἀνάγκη γίνεσθαι. ὁκόταν δὲ τοῦτο πάθῃ ἡ τοιαύτη ψυχὴ, ἐς μανίην καθίσταται, κρατηθέντος τοῦ ὕδατος καὶ ἐπισπασθεῖσα. ξυμφέρει δὲ τοῖσι τοιούτοισι καὶ τὰς πρήξιας πρήσσειν, βεβρωκόσι μᾶλλον ἢ ἀσίτοισι. στασιμωτέρη γὰρ ἡ ψυχὴ τῇ τροφῇ καταμισγομένη συμφόρῳ μᾶλλον, ἢ ἐνδεὴς οὖσα τροφῆς. εἰ δέ τι πλέον ἐπικρατηθείη τὸ ὕδωρ ὑπὸ τοῦ πυρὸς, ὀξείη ἡ τοιαύτη ψυχὴ ἄγαν, καὶ τούτους ὀνειρώσσειν. καλέουσι δὲ αὐτοὺς ὑπομαινομένους. ἔστι γὰρ ἔγγιστα μανίης τὸ τοιοῦτον. καὶ γὰρ ἀπὸ βραχείης φλεγμονῆς καὶ ἀσυμφόρου μαίνονται, καὶ ἐν τῇσι μέθῃσι καὶ ἐν τῇσιν αὐξήσεσι τῆς σαρκὸς, καὶ ὑπὸ τῆς κρεηφαγιῶν. ἀλλὰ χρὴ τὸν τοιοῦτον, τούτων μὲν πάντων ἀπέχεσθαι, καὶ τῆς ἄλλης πλησμονῆς, καὶ γυμνασίων τῶν ἀπὸ βίης γινομένων. μάζῃ δὲ ἀτρίπτῳ διαιτᾶσθαι, καὶ λαχάνοισιν ἑφθοῖσι, πλὴν τῶν καθαρτικῶν. καὶ ἰχθυδίοισιν ἐν ἅλμῃ. καὶ ὑδροποτέειν βέλτιστον, ἢν δύνηται. εἰ δὲ μὴ, ὅ, τι ἐγγυτάτω τούτου, ἀπὸ μαλακοῦ οἴνου καὶ λευκοῦ. καὶ τοῖσι περιπάτοισιν τοῖσι ὀρθρίοισι πουλλοῖσι. ἀπὸ δείπνου δὲ ὁκόσον ἐξαναστῆναι, ὅκως τὰ μὲν σιτία μὴ ξηραίνωνται ἀπὸ τῶν ἀπὸ δείπνου περιπάτων, τὸ δὲ σῶμα κενῶται ὑπὸ τοῦ ὀρθρίου. λούεσθαι δὲ χλιαρῷ ὕδατι περικλύδην μᾶλλον ἢ χρίεσθαι. ξυμφέρει δὲ καὶ ἐν τῷ θέρει τῆς ἡμέρας, ὕπνοισι χρέεσθαι βραχέσιν ἢ πολλοῖσιν, ὅκως μὴ ἀποξηραίνηται τὸ σῶμα ὑπὸ τῆς ὥρης. ἐπιτήδειον δὲ τοῦ ἦρος καὶ ἐλλεβόροισι καθαίρειν προπυριηθέντας. εἶτα ἐπάγειν πρὸς τὴν δίαιτην ἡσυχῇ, καὶ μὴ ἄσιτον τὰς πρήξιας μὴ δὲ τοῦτον ποιέεσθαι. ἐκ ταύτης τῆς ἐπιμελείης ἡ τοιαύτη ψυχὴ φρονιμωτάτη ἂν εἴη. περὶ μὲν οὖν φρονίμου καὶ ἄφρονος ψυχῆς ἡ σύγκρησις αὕτη αἰτίη, ὥσπερ μοι καὶ γέγραπται. καὶ δύναται ἐκ τῆς διαίτης καὶ βελτίων καὶ χείρων γίνεσθαι. δρόμοισι δὲ πυρὸς ἐπικρατέοντος τῷ ὕδατι προστιθέντα, ἀδύνατον ἂν ἴσως καὶ τοῦ ὕδατος ἐπικρατέοντος, ἐν τῇ συγκρήσει τὸ πῦρ αὐξῆσαι. ἐκ τούτων δὲ φρονιμώτεραι καὶ ἀφρονέστεραι γίνονται. τῶν δὲ τοιούτων, οὐκ ἔστιν ἡ σύγκρησις ἔτι. οἷον ὀξύθυμος. ῥάθυμος. δόλιος. ἁπλοῦς. δυσμενής. εὔνους. τῶν τοιούτων ἁπάντων ἡ φύσις τῶν πόρων δι᾽ ὧν ἡ ψυχὴ πορεύεται, αἰτίη ἐστί. δι᾽ ὁκοίων γὰρ ἀγγέων ἀποχωρεῖ, καὶ πρὸς ὁκοῖα τινα προσπίπτει, καὶ ὁκοίοις τισὶ καταμίσγεται, τοιαῦτα φρονέουσι. διὰ τοῦτο γοῦν δυνατὸν τὰ τοιαῦτα ἐκ διαίτης μεθιστάναι. φύσιν γὰρ μεταπλάσαι ἀφανέα οὐχ οἷόν τε. ὡσαύτως δὲ καὶ τῆς φωνῆς ὁκοίη τις ἂν εἴη, οἱ πόροι αἴτιοι τοῦ πνεύματος, δι᾽ ὁκοίων γὰρ ἄντινων κινέηται ὁ ἀὴρ, καὶ πρὸς ὁκοίους τινὰς προσπίπτῃ, τοιαύτην ἀνάγκη τὴν φωνὴν εἶναι. καὶ ταῦτα μὲν δυνατὸν καὶ χείρω καὶ βελτίω ποιέειν, διότι λειοτέρους καὶ βραχυτέρους τοὺς πόρους τῷ πνεύματι δυνατὸν ποιῆσαι, κεῖνο δὲ ἀδύνατον ἐκ διαίτης ἀλλοιῶσαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΔΙΑΙΤΗΣ ΤΟ ΔΕΥΤΕΡΟΝ.

ωρίων δὲ θέσιν καὶ φύσιν ἑκάστων, ὧδε χρὴ διαγινώσκειν. κατὰ παντὸς μὲν εἰπεῖν, ὧδε ἔχει. ἡ πρὸς μεσημβρίαν κειμένη, θερμοτέρη καὶ ξηροτέρη τῆς πρὸς τὰς ἄρκτους κειμένης, διότι ἐγγυτέρω τοῦ ἡλίου ἐστίν. ἐν δὲ ταύτῃσι τῇσι χώρῃσιν ἀνάγκη καὶ τὰ ἔθνεα τῶν ἀνθρώπων, καὶ τὰ φυόμενα ἐκ τῆς γῆς, ξηρότερα καὶ θερμότερα καὶ ἰσχυρότερα εἶναι, ἢ ἐν τῇσιν ἐναντίῃσιν. οἷον τὸ Λιβυκὸν ἔθνος πρὸς τὸ Ποντικὸν, καὶ τὰ ἔγγιστα ἑκατέρων. αὗται δὲ καθ᾽ ἑαυτὰς αἱ χῶραι, ὧδε ἔχουσι. τὰ ὑψηλὰ καὶ αὐχμηρὰ καὶ πρὸς μεσημβρίαν κείμενα, ξηρότερα τῶν πεδίων τῶν ὁμοίως κειμένων, διότι ἐλάσσους ἰκμάδας ἔχει. τὰ μὲν γὰρ, οὐκ ἔχει στάσιν τῷ ὀμβρίῳ ὕδατι, τὰ δὲ ἔχει. τὰ δὲ λιμναῖα καὶ ἑλώδεα, ὑγραίνει καὶ θερμαίνει. θερμαίνει μὲν, διότι κοῖλα καὶ περιεχόμενα, καὶ οὐ διαπνέεται. ὑγραίνει δὲ, διότι τὰ φυόμενα ἐκ τῆς γῆς, ὑγρότερα, οἷσιν ἐκτρέφονται ἄνθρωποι. τό, τε πνεῦμα ὃ ἀναφέρομεν, παχύτερον διὰ τὸ ὕδωρ τὸ ἀπὸ τῆς ἀκινησίης. τὰ δὲ κοῖλα καὶ μὴ ἔνυδρα, ξηραίνει καὶ θερμαίνει. θερμαίνει μὲν, ὅτι κοῖλα καὶ περιέχεται. ξηραίνει δὲ, διά τε τῆς τροφῆς τὴν ξηρότητα, καὶ διότι τὸ πνεῦμα ὃ ἀναπνέομεν ξηρὸν ἐὸν, ἕλκει ἐκ τῶν σωμάτων τὸ ὑγρὸν, ἐς τροφὴν ἑωυτῷ, οὐκ ἔχον πρὸς ὅ, τι ἂν ὑγρὸν προσπίπτον τρέφηται. ὅκου δὲ τοῖσι χωρίοισιν ὄρη προσκέεται πρὸς νότου, ἐν τούτοισιν αὐχμώδεες οἱ νότοι καὶ νοσεροὶ προσπνέουσιν. ὅκου δὲ βορᾶθεν ὄρη πρόσκειται, ἐν τουτέοισιν οἱ βορέαι ταράσσουσι καὶ νόσους ποιέουσιν. ὅκου δὲ βορᾶθεν κοῖλα χωρία τῇσιν ἄστεσι προσκέεται, πρὸς τῶν θερινῶν πνευμάτων, θερμὸν

καὶ νοσερὸν

καὶ νοσερὸν περὶ τὸ χωρίον. διότι οὔτε βορέας διαπνέων καθαρὴν τὴν ἐπαγωγὴν τοῦ πνεύματος παρέχει, οὔτε ὑπὸ τῶν θερινῶν πνευμάτων διαψύχεται. τῶν δὲ νήσων, αἱ μὲν ἐγγὺς ἠπείρων, δυσχειμερώτεραί εἰσιν. αἱ δὲ πόντιαι, ἀλεεινότεραι τὸν χειμῶνα. διότι αἱ χιόνες καὶ πάγοι, ἐν μὲν τῇσιν ἠπείροισιν ἔχουσι στάσιν, καὶ τὰ πνεύματα ψυχρὰ πέμπουσιν ἐς τὰς ἐγγὺς νήσους. τὰ δὲ πελάγια, οὐκ ἔχει στάσιν ἐν χειμῶνι.

Περὶ δὲ πνευμάτων ἥν τινα φύσιν ἔχει καὶ δύναμιν ἕκαστα, ὧδε χρὴ διαγινώσκειν. φύσιν μὲν ἔχει τὰ πνεύματα πάντα, ὑγραίνειν καὶ ψύχειν τά τε σώματα τῶν ζώων, καὶ τὰ φυόμενα ἐκ τῆς γῆς, διὰ τάδε. ἀνάγκη ἐστὶ τὰ πνεύματα ταῦτα πάντα πνέειν, ἀπὸ χιόνος. καὶ κρυστάλλου. καὶ πάγων ἰσχυρῶν. καὶ ποταμῶν. καὶ λιμνέων. καὶ γῆς ὑγρανθείσης, καὶ ψυχρανθείσης. καὶ τὰ μὲν ἰσχυρότερα τῶν πνευμάτων, ἀπὸ μεζόνων καὶ ἰσχυροτέρων. τὰ δὲ ἀσθενέστερα, ἀπὸ μειόνων καὶ ἀσθενεστέρων. ὥσπερ γὰρ καὶ τοῖσι ζώοισι πνεῦμα ἔνεστιν, οὕτως καὶ τοῖσιν ἄλλοισι πᾶσι. τοῖσι μὲν ἔλασσον πνεῦμα. τοῖσι δὲ, κατὰ μέγεθος. φύσιν μὲν οὖν ἔχει ψύχειν καὶ ὑγραίνειν τὰ πνεύματα πάντα. διὰ θέσιν δὲ χωρίων καὶ τόπων, δι' ὧν παραγίνεται τὰ πνεύματα ἐς τὰς χώρας ἑκάστας, διάφορα γίνεται ἀλλήλων. ψυχρότερα, θερμότερα. ὑγρότερα, ξηρότερα. νοσερώτερα, ὑγιεινότερα. τὴν δὲ αἰτίην ἑκάστων, ὧδε χρὴ γινώσκειν.

Ὁ μὲν βορέας, ψυχρὸς πνέει καὶ ὑγρὸς, ὅτι ὁρμᾶται ἀπὸ τοιουτέων χωρίων, προσδέεταί τε διὰ τῶν τοιούτων τόπων, ὡς τινας ὁ ἥλιος οὐκ ἐφέρπει, οὐδ' ἀπεξηραίνων τὸν ἀέρα, ἐκπίνει τὴν ἰκμάδα. ὥστε παραγίνεται ἐπὶ τὴν οἰκουμένην, τὴν ἑωυτοῦ δύναμιν ἔχων, ὅκου μὴ διὰ τὴν θέσιν τῆς χώρης διαφθείρεται. καὶ τοῖσι μὲν οἰκέουσιν ἔγγιστα, ψυχρότατος. τοῖσι δὲ προσωτάτω, ἥκιστα.

Ὁ δὲ νότος, πνέει μὲν ἀπὸ τῶν ὁμοίων τὴν φύσιν, κατὰ βορέα. ἀπὸ γὰρ τοῦ νοτίου πόλου πνέων, ἀπὸ χιόνος πουλλῆς, καὶ κρυστάλλου, καὶ πάγων ἰσχυρῶν ὁρμώμενος, τοῖσι μὲν ἐκεῖσε πλησίον αὐτοῦ οἰκοῦσιν, ἀνάγκη τοῖον πνέειν, ὁκοῖον ἐν ἡμῖν ὁ βορέας. ἐπὶ δὲ πᾶσαν χώρην, οὐκ ἔτι ὅμοιος παραγίνεται. διὰ γὰρ τῶν ἐφόδων τοῦ ἡλίου καὶ ἐπὶ τὴν μεσημβρίην πνέων, ἐκπίνεται τὸ ὑγρὸν ὑπὸ τοῦ ἡλίου. ἀπεξηραινόμενος γὰρ, ἀραιοῦται. διὸ ἀνάγκη θερμὸν αὐτὸν καὶ ξηρὸν ἐνθάδε παραγίνεσθαι. ἐν μὲν οὖν τοῖσιν ἔγγιστα χωρίοισιν, ἀνάγκη τοιαύτην δύναμιν ἀποδιδόναι θερμὴν καὶ ξηρὴν, καὶ ποιέει περ ἐν τῇ λιβύῃ. τά τε φυόμενα ἐξαυαίνεται, καὶ τοὺς ἀνθρώπους λανθάνει ἀπεξηραίνων. ἅτε γὰρ οὐκ ἔχων οὔτε ἐκ θαλάσσης ἰκμάδα λαβεῖν, οὔτε ἐκ ποταμοῦ, καὶ ἐκ τῶν ζώων καὶ τῶν φυομένων, ἐκπίνει τὸ ὑγρόν. ὁκόταν δὲ τὸ πέλαγος περαιώσῃ, ἅτε θερμὸς ὢν καὶ ἀραιὸς, πουλλῆς ὑγρασίης ἐμπίπλησι τὴν χώρην ἐμπίπτων. ἀνάγκη δὲ τὸν νότον, θερμόν τε καὶ ὑγρὸν εἶναι, ὅκου μὴ τῶν χωρίων αἱ θέσιες αἴτιαί εἰσιν. ὡσαύτως δὲ καὶ τῶν ἄλλων πνευμάτων αἱ δυνάμιες ἔχουσιν. κατὰ δὲ χώρας ἑκάστας, τὰ πνεύματα ὧδε ἔχει. τὰ μὲν ἐκ θαλάσσης πνεύματα ἐς τὰς χώρας ἐμπίπτοντα, ξηρότερά πως δεῖ. τὰ δὲ ἀπὸ χιόνος ἢ πάγων, ἢ λιμνέων, ἢ ποταμῶν, ἅπαντα ὑγραίνει καὶ ψύχει, καὶ τὰ φυτὰ καὶ τὰ ζῶα. καὶ ὑγείην τοῖς σώμασι παρέχει, ὁκόσα μὴ ὑπερβάλλῃ ψυχρότητι. ταῦτα δὲ βλάπτει, διότι μεγάλας τὰς μεταβολὰς ἐν τοῖσι σώμασι ἐμποιέει τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ. ταῦτα δὲ πάσχουσιν ὅσοι ἐν χωρίοις οἰκέουσιν ἑλώδεσι καὶ θερμοῖς, ἐγγὺς ποταμῶν ἰσχυρῶν. τὰ δ' ἄλλα τῶν πνευμάτων ὁκόσα πνέει ἀπὸ τῶν προειρημένων, ὠφελέει, τόν τε ἠέρα καθαρὸν καὶ εἰλικρινέα παρέχοντα, καὶ κατὰ τῆς ψυχῆς θερμῷ, ἰκμάδα διδόντα. ὁκόσα δὲ τῶν πνευμάτων κατὰ γῆν παραγίνεται, ξηρότερα ἀνάγκη εἶναι, ἀπό τε τοῦ ἡλίου ἀπεξηραινόμενα, καὶ ἀπὸ τῆς γῆς. οὐκ ἔχοντα δὲ τροφὴν ὁκόθεν σπάσονται, τὰ πνεύματα ἀπὸ τῶν ζώντων ἕλκοντα τὸ ὑγρὸν, βλάπτει καὶ τὰ φυτὰ, καὶ τὰ ζῶα πάντα. καὶ ὁκόσα περ τὰ ὄρεα καταλιπόντα παραγίνεται ἐς τὰς πόλιας, οὐ μόνον ξηραίνει, ἀλλὰ καὶ ταράσσει τὸ πνεῦμα, ὃ ἀναπνέομεν. καὶ τὰ σώματα τῶν ἀνθρώπων, ἐπίνοσα ἐμποιέει. φύσιν μὲν οὖν καὶ δύναμιν ἑκάστων, οὕτω χρὴ γινώσκειν. ὅκως δὲ χρὴ πρὸς ἕκαστα παρασκευάζεσθαι, προϊόντι τῷ λόγῳ δηλώσω.

Σιτίων δὲ καὶ πομάτων δύναμιν ἑκάστων, καὶ τὴν κατὰ φύσιν, καὶ τὴν διὰ τέχνης, ὧδε χρὴ γινώσκειν. ὁκόσοι μὲν οὖν κατὰ παντὸς ἐπεχείρησαν εἰπεῖν, ἢ περὶ τῶν γλυκέων, ἢ λιπαρῶν, ἢ ἁλικῶν, ἢ περὶ ἄλλου τινὸς τῶν τοιούτων τῆς δυνάμεως, οὐκ ὀρθῶς γινώσκουσιν. οὐ γὰρ τὴν αὐτὴν δύναμιν ἔχουσιν, οὔτε τὰ γλυκέα ἀλλήλοισιν, οὔτε τὰ πικρὰ, οὔτε τῶν ἄλλων τῶν τοιούτων οὐδέν. πολλὰ γὰρ τῶν τοιούτων, τὰ καὶ διαχωρέει, καὶ ἵστησι, καὶ ξηραίνει, καὶ ὑγραίνει. ὡσαύτως

δὲ καὶ τῶν ἄλλων ἁπάντων. ἔστι δὲ ὅσα στύφει καὶ διαχωρέεται καὶ οὐρέεται. τὰ δὲ οὐδ' ἕτερα τούτων. ὡσαύτως δὲ καὶ τῶν θερμαντικῶν, καὶ τῶν ἄλλων ἁπάντων, ἄλλην ἄλλα δύναμιν ἔχει. περὶ μὲν οὖν ἁπάντων, οὐχ οἷόν τε δηλωθῆναι, ὁκοῖα τινά ἐστι. καθ' ἕκαστα δὲ ἥν τινα δύναμιν ἔχει, διδάξω. Κριθαὶ φύσει μὲν, ψυχρὸν καὶ ξηρόν. ἔνι δὲ καὶ καθαρτικόν τι, ἀπὸ τοῦ χυλοῦ τοῦ ἀχύρου. τεκμήριον δὲ, ἢν μὲν θέλῃς κριθὰς ἀπτίστους ἑψῆσαι, καθαίρει ὁ χυλὸς, ἰσχυρῶς. εἰ δὲ ἐπτισμένας, ψύχει μᾶλλον καὶ συνίστησι. ὁκόταν δὲ πυρωθῶσι, τὸ μὲν ὑγρὸν, καθαρτικὸν ὑπὸ τοῦ πυρὸς οἴχεται. τὸ δὲ ψυχρὸν καὶ ξηρὸν, καταλείπεται. ὁκόσα δὲ δεῖ ψύξαι ἢ ξηρᾶναι, ἄλφιτα διαπρήσσεται ὧδε. χρωμένη μάζῃ παντοδαπῇ, δύναμιν δὲ ἔχει ἡ μάζα αὕτη, τοιήνδε. τὰ συγκομιστὰ ἄλευρα, τροφὴν μὲν ἔχει ἐλάσσω. διαχωρέει δὲ, μᾶλλον. τὰ δὲ καθαρὰ, τροφιμώτερα. ἧσσον δὲ διαχωρέει. μάζα προφυρηθεῖσα, ῥαντὴ, ἄτριπτος, κούφη, καὶ διαχωρέει, καὶ ψύχει. ψύχει μὲν, ὅτι ψυχρῷ ὕδατι ὑγρὴ ἐγένετο. διαχωρέει δὲ, ὅτι ταχέως πέσσεται. κούφη δὲ, ὅτι πολλὴ τῆς τροφῆς μετὰ τοῦ πνεύματος ἔξω ἀποκρίνεται. στενοπώτεροι γὰρ αἱ διέξοδοι τῆς τροφῆς οὖσαι, ἄλλην ἐπιοῦσαν οὐ δέχονται. καὶ τὸ μὲν ξὺν τῷ πνεύματι λεπτυνόμενον, ἀποκρίνεται ἔξω. τὸ δ' αὐτοῦ ἐμμένον, φῦσαν ἐμποιέει. καὶ τὸ μὲν, ἄνω ἐρυγγάνεται. τὸ δὲ, κάτω ὑποχωρέει. πολλὴ οὖν τῆς τροφῆς ἀπὸ τοῦ σώματος ἀποπνέεται. ἢν δὲ θέλῃς τὴν μάζαν εὐθέως φυρήσας διδόναι, ἡ τοιαύτη ξηραντική. ἅτε γὰρ τὸ ἄλφιτον ξηρὸν ἐὸν καὶ ὑπὸ τοῦ ὕδατος διάβροχον οὕτω γεγενημένον ἐσπεσὸν ἐς τὴν κοιλίην, ἕλκει ἐξ αὐτῆς τὸ ὑγρὸν, θερμὸν ἐόν. πέφυκε γὰρ τὸ μὲν θερμὸν, ψυχρὸν ἕλκειν. τὸ δὲ ψυχρὸν, θερμόν. ἀναλισκομένου δὲ τοῦ ὑγροῦ ἐκ τῆς κοιλίης, ἀνάγκη ξηραίνεσθαι. τοῦ δὲ ὕδατος, τοῦ σὺν τῇ μάζῃ ἐσελθόντος, ψύχει ἐπαγόμενον. ὅσα οὖν δεῖ ξηρῆναι ἢ ψύξαι, ἢ διαῤῥοίῃ χεόμενον, ἢ ἄλλῃ τινὶ θερμασίῃ τοιαύτῃ, μάζα διαπρήσσεται. ἢν δὲ ξηρὴ τριπτὴ, ξηραίνει μὲν οὐχ ὁμοίως, διὰ τὸ πεπιλῆσθαι ἰσχυρῶς. τροφὴν δὲ, τῷ σώματι πλείστην δίδωσιν, ἅτε δὴ ἡσυχῇ τηκομένης δέχονται τροφὴν αἱ δίοδοι. διαχωρέει μὲν οὖν, βραδέως. φῦσαν δὲ, οὐκ ἐμποιέει, οὐδὲ ἐρυγγάνεται. ἡ δὲ προφυρηθεῖσα τριπτὴ, τρέφει μὲν ἧσσον. διαχωρέει δὲ, καὶ ἐμποιέει μᾶλλον φῦσαν. Κυκεὼν δὲ μόνον, ἐφ' ὕδατι μὲν, ψύχει καὶ τρέφει. ἐπ' οἴνῳ δὲ, θερμαίνει, καὶ τρέφει, καὶ ἵστησιν. ἐπὶ μέλιτι δὲ, θερμαίνει μὲν, ἧσσον, καὶ τρέφει. διαχωρέει δὲ μᾶλλον, ἢν μὴ ἄκρητον ᾖ τὸ μέλι. ἢν δὲ μὴ, οὐ διαχωρέει, ἀλλ' ἵστησιν. Ἐπὶ δὲ γάλακτος, τρόφιμοι μὲν πάντες, πλὴν ἀλλὰ τὸ μὲν ὄϊον, ἵστησι. τὸ δὲ αἴγειον μᾶλλον διαχωρέει. τὸ βόειον, ἧσσον. τὸ δὲ ἵππειον καὶ τὸ ὄνειον, μᾶλλον διαχωρέει.

Πυροὶ, ἰσχυρότεροι κριθῶν καὶ τροφιμώτεροι. διαχωρέουσι δὲ ἧσσον, καὶ αὐτοὶ καὶ ὁ χυλός.

Ἄρτος δὲ ὁ μὲν συγκομιστὸς ξηραίνει καὶ διαχωρέει. ὁ δὲ καθαρὸς, τρέφει μὲν μᾶλλον. διαχωρέει δὲ ἧσσον. αὐτῶν δὲ τῶν ἄρτων ὁ μὲν ζυμίτης, κοῦφος καὶ διαχωρέει. καὶ κοῦφος μέν ἐστιν, ὅτι ἀπὸ τῆς ζύμης τοῦ ὀξέος, τὸ ὑγρὸν προαναλοῦται, ὅπερ ἐστὶν ἡ τροφή. διαχωρέει δὲ, ὅτι ταχέως πέσσεται. ὁ δὲ ἄζυμος, διαχωρέει μὲν ἧσσον, τρέφει δὲ μᾶλλον. ὁ δὲ τῷ χυλῷ πεφυρημένος, κουφότερος, καὶ τρέφει ἱκανῶς, καὶ διαχωρέει. τρέφει μὲν, ὅτι καθαρός. κοῦφος δέ ἐστιν, ὅτι τῷ κουφοτάτῳ πεφύρηται καὶ ἐζύμωται ὑπὸ τούτου καὶ πεπύρωται. διαχωρέει δὲ, ὅτι τῷ γλυκεῖ καὶ διαχωρητικῷ τοῦ πυρὸς συμμέμικται. αὐτῶν δὲ τῶν ἄρτων οἱ μέγιστοι, τροφιμώτατοι. διότι ἥκιστα ἐκκαίονται ὑπὸ τοῦ πυρὸς, τὸ ὑγρόν. καὶ οἱ ἰπνῖται ἄρτοι, τροφιμώτεροι τῶν ἐσχαριτῶν καὶ ὀβελιέων, διότι ἧσσον ἐκκαίονται ὑπὸ τοῦ πυρός. οἱ δὲ κλιβανῖται καὶ οἱ ἐγκρυφίαι, ξηρότατοι. οἱ μὲν, διὰ τὴν σποδιόν. οἱ δὲ, διὰ τὸ ὄστρακον, ἐκπινόμενοι τὸ ὑγρόν. οἱ δὲ σεμιδαλῖται, ἰσχυρότατοι πάντων τούτων. ἔτι δὲ μᾶλλον καὶ οἱ ἐκ τοῦ χόνδρου, καὶ τρόφιμοι σφόδρα, πλὴν οὐ διαχωρέουσιν ὁμοίως. Ἄλητον καθαρὸν πινόμενον ἐν ὕδατι, ψύχει. καὶ πλύμα σταιτὸς ἐπὶ πυρί. πιτύρων χυμὸς ἑφθὸς, κοῦφος διαχωρέει. τὰ δὲ ἐν γάλακτι διδόμενα ἄλητα, διαχωρέει μᾶλλον ἢ ἐν τῷ ὕδατι, διὰ τοὺς ὀῤῥούς. καὶ μάλιστα ἐν τοῖσι διαχωρητικοῖσιν. ὁκόσα δὲ ξὺν μέλιτι καὶ ἐλαίῳ ἕψηται ἢ ὄπτηται ἐξ ἀλήτων, πάντα καυσώδεα, καὶ ἐρυγμώδεα. ἐρυγμώδεα μὲν, ὅτι τρόφιμα ἐόντα, οὐ διαχωρητικά ἐστι. καυσώδεα δὲ, διότι λιπαρὰ ἐόντα καὶ γλυκέα, καὶ ξύμφορα ἀλλήλοις, οὐ τῆς αὐτῆς καθεψήσιος δεόμενα ἐν τῷ αὐτῷ ἐστι. σεμίδαλις καὶ χόνδρος ἑφθὸς, ἰσχυρὰ καὶ τρόφιμα, οὐ μέντοι διαχωρέει.

Ἡ ζύγις, κουφοτέρα πυρῶν. καὶ τὰ ἐξ αὐτῆς γινόμενα ὁμοίως, ἐκ τῶν πυρῶν, καὶ διαχωρητικὰ μᾶλλον. Ὁ βρόμος, ὑγραίνει καὶ ψύχει ἐσθιόμενος, καὶ ῥόφημα γινόμενος. τὰ

πρόσφατα

πρόσφατα ἄλφιτα καὶ ἄλητα, ξηρότερα τῶν παλαιῶν. ὅτι ἔγγυον τοῦ πυρὸς καὶ τῆς ἐργασίης εἰσί. παλαιούμενα δὲ, τὸ μὲν θερμὸν ἐκπνέει. τὸ δὲ ψυχρὸν ἐπάγεται. ἄρτοι θερμοὶ μὲν ξηραίνουσι. ψυχροὶ δὲ ἧσσον. ἰσχνασίην δέ τινα παρέχουσιν. Κύαμοι, τρόφιμόν τι, καὶ σταλτικὸν, καὶ φυσῶδες. φυσῶδες μὲν, ὅτι οὐ δέχονται οἱ πόροι τὴν τροφὴν ἄλλην ἐπιοῦσαν. στάσιμον δὲ, ὅτι ὀλίγην ἔχει τὴν ὑποστάθμην τῆς τροφῆς. Οἱ πισσοὶ, φυσῶσι μὲν ἧσσον. διαχωρέουσι δὲ, μᾶλλον. ὠχροὶ δὲ καὶ δόλιχοι, διαχωρητικώτεροι τουτέων. ἧσσον δὲ, φυσώδεα. τρόφιμα δέ. Ερέβινθοι λευκοὶ, διαχωρέουσι, καὶ οὐρέονται, καὶ τρέφουσι. τρέφει μὲν, τὸ σαρκῶδες. οὐρέεται δὲ, τὸ γλυκύ. διαχωρέεται δὲ, τὸ ἁλμυρόν. Κέγχρων χόνδροι, κυβήεια, ξηρὰ καὶ στάσιμα μετὰ σύκων ἰσχυρῶν τοῖσι πόνοισιν. αὐτοὶ δὲ οἱ κέγχροι ἑφθοὶ τρόφιμοι, οὐ μέντοι διαχωρέουσιν. Φακοὶ δὲ καυσώδεες καὶ καταρρηκτικοί. καὶ οὔτε διαχωρέει, οὔθ' ἵστησιν. Ορόβοι, στάσιμον καὶ ἰσχυρόν. καὶ παχύνει. καὶ πληροῖ. καὶ εὔχροον ποιέει τὸν ἄνθρωπον. Λίνου καρπὸς ἐσθιόμενος, στάσιμον. ἔχει δέ τι καὶ ψυκτικόν. Ορμίνου καρπὸς, παραπλήσια περὶ λίνῳ διαπρήσσεται.

Θέρμοι, φύσει μὲν ἰσχυρὸν καὶ θερμόν. διὰ δὲ τὴν ἐργασίην, κουφότερον καὶ ψυκτικώτερόν ἐστι καὶ διαχωρέει. Ερύσιμον ὑγραίνει καὶ διαχωρέει. Σικύου σπέρμα, διουρέεται μᾶλλον, ἢ διαχωρέει. πληροῖ δὲ καὶ παχύνει. διαχωρέει μὲν, διὰ τὸ ἄχυρον τὸ ἔξω. πληροῖ δὲ καὶ παχύνει δὲ, διὰ τὴν σάρκα. ἐπεπλυμένον δὲ διαχωρέει μέν. ἧσσον δέ. παχύνει δὲ καὶ πληροῖ μᾶλλον. ὑγραίνει δὲ καὶ καίει διὰ τὸ λιπαρὸν καὶ πῖον. Κνίκος διαχωρέει. Μήκων, στάσιμον. μᾶλλον δὲ ἡ μέλαινα μήκων. ἀτὰρ καὶ ἡ λευκή. τρόφιμον δὲ καὶ ἰσχυρόν. Τουτέων δὲ ἁπάντων, οἱ χυμοὶ τῆς σαρκὸς διαχωρητικοί. δεῖ οὖν ἐργασίῃ φυλάσσειν, ὁκόσα μὲν βούλει ξηραίνειν, τοὺς χυμοὺς ἀφαιροῦντα, τῇ σαρκὶ χρῆσθαι. ὁκόσα δὲ διαχωρέειν, τῷ μὲν χυμῷ, πλείονι. τῇ δὲ σαρκὶ, ἐλάσσονι, καὶ εὐχυμοτέρᾳ. Περὶ δὲ ζώων τῶν ἐσθιομένων, ὧδε χρὴ γινώσκειν. Βόεια κρέα, ἰσχυρὰ καὶ στάσιμα. καὶ δύσπεπτα τῇσι κοιλίῃσι. διότι παχύαιμον, καὶ πουλύαιμόν ἐστι τοῦτο τὸ ζῶον. καὶ τὰ κρέα βαρέα ἐς τὸ σῶμα. καὶ αὐταὶ αἱ σάρκες. καὶ τὸ αἷμα. καὶ τὸ γάλα. ὁκόσων δὲ τὸ γάλα λεπτὸν, καὶ τὸ αἷμα ὅμοιον, καὶ αἱ σάρκες παραπλήσιοι. Τὰ δὲ αἴγεια κρέα, κουφότερα τουτέων, καὶ διαχωρέει μᾶλλον. Τὰ δὲ ὕεια, ἰσχὺν μὲν τῷ σώματι ἐμποιέει μᾶλλον τουτέων. διαχωρέει δὲ ἱκανῶς, διότι λεπτὰς τὰς φλέβας ἔχει καὶ ὀλιγαίμους. σάρκα δὲ πολλήν. Τὰ δὲ ἄρνεια, κουφότερα τῶν οἴων, καὶ τὰ ἐρίφεια τῶν αἰγέων, διότι ἀναιμότερα καὶ ὑγρότερα. ξηρὰ γὰρ καὶ ἰσχυρὰ φύσει ὄντα τὰ ζῶα, ὁκόταν μὲν ἁπαλὰ ᾖ, διαχωρέει. ὁκόταν δὲ αὐξηθῇ, οὐχ ὁμοίως. καὶ τὰ μόσχεια τῶν βοέων ὡσαύτως. Τὰ δὲ χοίρεια τῶν συέων, βαρύτερα. φύσει γὰρ εὔσαρκον ὂν τὸ ζῶον, καὶ ἄναιμον, ὑπερβολὴν ἐργασίης ἔχει τέως ἢν νέον ᾖ. ὁκόταν οὖν οἱ πόροι μὴ δέχωνται τὴν τροφὴν ἐπιοῦσαν, ἐμμένον θερμαίνει καὶ ταράσσει τὴν κοιλίην.

Τὰ δὲ ὄνεια, διαχωρέει. καὶ τῶν πώλων ἔτι μᾶλλον. καὶ τὰ ἵππεια κουφότερα. Κύνεια δὲ, θερμαίνει, καὶ ξηραίνει, καὶ ἰσχὺν ἐμποιέει. οὐ μέντοι διαχωρέει. σκυλάκια δὲ ὑγραίνει καὶ διαχωρέει. Συὸς ἀγρίου, ξηραίνει καὶ ἰσχὺν παρέχει, καὶ διαχωρέει. Ελάφου δὲ ξηραίνει. ἧσσον δὲ, διαχωρέει. οὐρέεται δὲ μᾶλλον. Λαγῶα, ξηρὰ καὶ στάσιμα. οὔρησιν δέ τινα παρέχει. Αλωπέκων δὲ ὑγρότερα καὶ ἐχίνων χερσαίων, οὐρητικά. ὑγραίνει δέ. Περὶ δὲ ὀρνίθων, ὧδε ἔχει. σχεδόν τι πάντα τὰ ὀρνίθια, ξηρότερα ἢ τὰ τετράποδα. ὁκόσα γὰρ κύστιν οὐκ ἔχει, οὔτε οὐρέει, οὔτε σιαλοχοέει, πάντως ξηρά. διὰ γὰρ θερμότητα τῆς κοιλίης, ἀναλίσκεται τὸ ὑγρὸν ἐκ τοῦ σώματος ἐς τὴν τροφὴν τῷ θερμῷ, ὥστε οὔτε οὐρέεται, οὔτε σιαλοχοέει. ὅτῳ δὲ μὴ ἔνεισι τοιαῦται ὑγρασίαι, ξηραίνει ἀνάγκη. ξηρότατον μὲν οὖν κρέας, φάσσης. δεύτερον, περιστερᾶς. τρίτον, πέρδικος, καὶ ἀλεκτρυόνος, καὶ τρυγόνος. ὑγρότατον δὲ, χηνός. ὅσα δὲ σπερμολογέει, ξηρότερα τῶν ἑτέρων. νήσσης δὲ καὶ τῶν ἄλλων, ὁκόσα ἐν ἕλεσι διαιτῆται, ἢ ἐν ὕδασι, πάντα ὑγρά. Τῶν δὲ ἰχθύων, ξηρότατοι μὲν οὗτοι. σκορπίος. δράκων. καλλιώνυμος. κόκκυς. γλαῦκος. πέρκη. θρίσσα. κοῦφοι δὲ οἱ πετραῖοι σχεδόν τι πάντες. οἷον κίχλη, φυκὶς, ἐλεφιτὶς, κωβιός. οἱ τοιοῦτοι δὲ καὶ οἱ προερρηθέντες, κουφότεροι τῶν πλανητῶν. ἅτε γὰρ ἀτρεμίζοντες οὐχὶ ἀραιὴν τὴν σάρκα καὶ κούφην ἔχουσιν. οἱ δὲ πλανῆται καὶ κυματόπληγες τεθρυμμένοι ὑπὸ πόνου, στερεωτέρην τὴν σάρκα ἔχουσιν. νάρκαι δὲ καὶ ῥῖναι, καὶ ψῆσσαι, καὶ τὰ τοιαῦτα ὡς ἐλαφρότερα. ὁκόσοι δὲ τῶν ἰχθύων ἐν τοῖσι πηλώδεσι καὶ ὑδρηλοῖσι χωρίοισι τὰς τροφὰς ἔχουσιν. οἷον κέφαλοι. κεστραῖοι. ἐγχέλυες. καὶ οἱ λοιποὶ τοιοῦτοι, βαρύτεροι, διό

τι ἀὲ

τι ἀπὸ τοῦ ὕδατος, καὶ τοῦ πηλοῦ, καὶ τῶν ἐν τουτέοισι φυομένων, τὰς τροφὰς ἔχουσιν. ἀφ' ὧν καὶ τὸ πνεῦμα εἰσιὸν ἐς τὸν ἄνθρωπον, βλάπτει καὶ βαρύνει. οἱ δὲ ποτάμιοι καὶ λιμναῖοι, ἔτι βαρύτεροι τουτέων. πολύποδες δὲ καὶ σηπίαι καὶ τὰ τοιαῦτα, οὔτε κοῦφα ὡς δοκέει ἐστὶν, οὔτε διαχωρητικὰ, διὸ καὶ τοὺς ὀφθαλμοὺς βαρύνουσιν ἐσθιόμενοι, πλὴν οἱ ζωμοὶ τουτέων, διαχωρέουσι. τὰ δὲ κογχύλια οἷον πῖναι. πορφύραι. λεπάδες. κήρυκες. ὄστρεα. αὐτὰ μὲν ξηρά. οἱ δὲ χυμοὶ τούτων, διαχωρητικοί. μύες δὲ καὶ κτένες, καὶ τελῖναι, τουτέων μᾶλλον διαχωρέουσιν. αἱ δὲ κνίδαι μάλιστα καὶ τὰ σελάχεα, ὑγραίνει καὶ διαχωρέει. τῶν δὲ ἐχίνων τὰ ὠὰ, καὶ τὸ ὑγρὸν καράβου. μύες. καὶ ἄρκοι. καὶ καρκίνοι, μᾶλλον μὲν οἱ ποτάμιοι, ἀτὰρ καὶ οἱ θαλάσσιοι. διαχωρέει, καὶ οὐρέεται. Οἱ τάριχοι, ξηραίνουσι καὶ ἰσχναίνουσι. τὰ δὲ πίονα, καὶ διαχωρέει ἐπιεικῶς. ξηρότατοι μὲν τῶν ταρίχων, οἱ θαλάσσιοι. δεύτεροι, οἱ ποτάμιοι. ὑγρότατοι δὲ, οἱ λιμναῖοι. αὐτέων δὲ τῶν ταρίχων, οἱ λεγόμενοι τῶν κητῶν ἰχθύες, ἰσχυρῶς ξηρότεροι. Τῶν δὲ ζώων τῶν τιθασσῶν, τὰ ἐλόνομα καὶ ἀγρόνομα τῶν ἔνδον τρεφομένων ξηρότερα. ὅτι πονοῦντα ξηραίνεται, καὶ ὑπὸ τοῦ ἡλίου, καὶ ὑπὸ τοῦ ψύχους. καὶ τῷ πνεύματι ξηροτέρῳ τρέφεται. τὰ δὲ ἄγρια τῶν ἡμέρων, ξηρότερα. καὶ τὰ ὠμοφάγα, καὶ τὰ ὑλοφάγα. καὶ τὰ ὀλιγοφάγα τῶν πολυφάγων. καὶ τὰ καρποφάγα, τῶν ποηφάγων. καὶ τὰ καρποφάγα, τῶν μὴ καρποφάγων. καὶ τὰ ὀλιγόποτα, τῶν πολυπότων. καὶ τὰ πολύαιμα, τῶν ἀναίμων, καὶ ὀλιγαίμων. καὶ τὰ ἀκμάζοντα μᾶλλον, ἢ τὰ λίην παλαιὰ καὶ τὰ νέα. καὶ τὰ ἄρσενα, τῶν θηλείων, καὶ τὰ ἄνορχα, τῶν ἐνόρχων. καὶ τὰ μέλανα, τῶν λευκῶν. καὶ τὰ δασέα, τῶν ψιλῶν. τὰ δ' ἐναντία, ὑγρότερα. αὐτῶν δὲ τῶν ζώων, ἰσχυρόταται μὲν αἱ σάρκες αἱ μάλιστα πονοῦσαι καὶ ἐναιμόταται καὶ ἐν οἷσι κατακλίνεται. κουφόταται δὲ τῶν σαρκῶν, καὶ ἥκιστα πονοῦσαι, καὶ ἐκ τῆς σκιῆς, καὶ ὅσαι ἐσώταται τοῦ ζώου. τῶν δὲ ἀναίμων, ἐγκέφαλος καὶ μυελὸς, ἰσχυρότατα. κουφότατα δὲ τὰ ὑπογάστρια. μύες. κτένες. πόδες. τῶν δὲ ἰχθύων, ξηρότατα, ἐστὶ τὰ ἄνω. κουφότατα δὲ, τὰ ὑπογάστρια. καὶ κεφαλαὶ ὑγρότεραι, διὰ τὴν πιμελὴν καὶ τὸν ἐγκέφαλον. Τὰ ὠὰ δὲ ὀρνίθων, ἰσχυρὸν μέν τι ἔχουσι καὶ τρόφιμον. καὶ φυσῶδες. ἰσχυρὸν μὲν, ὅτι γένεσις ἐστὶ ζώου. τρόφιμον δὲ, ὅτι γάλα ἐστὶ τοῦ νεοττοῦ. φυσῶδες δὲ, ὅτι ἐκ μικροῦ ὄγκου, εἰς πολὺ διαχέεται. Ὁ τυρὸς, ἰσχυρὸν καὶ καυσῶδες. καὶ τρόφιμον. ἰσχυρὸν μὲν ὅτι ἔγγιστα γενέσιος. τρόφιμον δὲ, ὅτι τοῦ γάλακτος τὸ σαρκῶδες ἐστὶν ὑπόλοιπον. καυσῶδες δὲ, ὅτι λιπαρόν. στάσιμον δὲ, ὅτι ὀπῷ καὶ πιτύῃ ξυνέστηκεν. Ὕδωρ, ψυκτικόν. Οἶνος, θερμὸν καὶ ξηρόν. ἔχει δέ τι καὶ καθαρτικὸν ἀπὸ τῆς ὕλης. τῶν δὲ οἴνων οἱ μέλανες καὶ αὐστηροὶ, ξηρότεροι, καὶ οὐ διαχωρεῦνται, οὔτε οὐρέονται. οὔτε πτύουσι. ξηραίνουσι δὲ καὶ τὴν θερμασίην, τὸ ὑγρὸν ἐκ τοῦ σώματος καταναλίσκοντες. οἱ δὲ μαλακοὶ μέλανες, ὑγρότεροι, καὶ φυσῶσι, καὶ διαχωρέουσι μᾶλλον. οἱ δὲ γλυκέες μέλανες, ὑγρότεροι. θερμαίνουσι δὲ καὶ φυσῶσιν, ὑγρασίην ἐμποιεῦντες. οἱ δὲ λευκοὶ καὶ αὐστηροὶ, θερμαίνουσιν, οὐρέονται δὲ μᾶλλον, ἢ διαχωρέουσι. οἱ νέοι μᾶλλον τῶν οἴνων διαχωρέουσι, διότι ἐγγυτέρω τοῦ γλεύκεός εἰσι καὶ τρόφιμοι. καὶ οἱ ὄζοντες, τῶν ἀνόσμων τῆς αὐτῆς ἡλικίης, διότι εὐπεπτέστεροί εἰσι. καὶ οἱ παχέες τῶν λεπτῶν. Οἱ δὲ λεπτοὶ γλυκέες, οὐρέονται μᾶλλον. καὶ διαχωρέουσι. καὶ ὑγραίνουσι τὸ σῶμα. καὶ τὸ αἷμα ἀσθενὲς ποιέουσιν. αὔξοντες δὲ τὸ ἀντίπαλον τοῦ σώματος αἷμα ἐν τῷ σώματι. Γλεῦκος. φυσᾷ, καὶ ὑπάγει, καὶ ἐκταράσσεται ζέον ἐν τῇ κοιλίῃ, καὶ διαχωρέει. φυσᾷ μὲν, ὅτι θερμαίνει. ὑπάγει δὲ ἐκ τοῦ σώματος, ὅτι καθαίρει. ταράσσει δὲ, ζέον ἐν τῇ κοιλίῃ καὶ διαχωρέει. Οἱ ὀξυναῖοι οἶνοι, ψύχουσι καὶ ἰσχναίνουσι, καὶ ὑγραίνουσι. ψύχουσι μὲν καὶ ἰσχναίνουσι, κένωσιν τοῦ ὑγροῦ ἀπὸ τοῦ σώματος ποιεύμενοι. ὑγραίνουσι δὲ, ἀπὸ τοῦ ἐσιόντος ὕδατος σὺν τῷ οἴνῳ. Ὄξος, ψυκτικόν. διότι τῆκον τὸ ὑγρὸν ἐν τῷ σώματι καταναλίσκει. ἵστησι δὲ μᾶλλον ἢ διαχωρέει. διότι οὐ τρόφιμον καὶ δριμύ. Ἕψημα, θερμαίνει, καὶ ὑγραίνει, καὶ ὑπάγει. θερμαίνει μὲν, ὅτι οἰνῶδες. ὑγραίνει δὲ, ὅτι τρόφιμον. ὑπάγει δὲ, ὅτι γλυκύ. Αἱ τρύγες σεμφυλίτιδες, ὑγραίνουσι καὶ ὑπάγουσι καὶ φυσῶσι. διότι καὶ τὸ γλεῦκος τὸ αὐτὸ ποιέει. Μέλι θερμὸν καὶ ξηρὸν, ἄκρητον. σὺν ὕδατι δὲ, ὑγραίνει. καὶ διαχωρέει τοῖσι χολώδεσι, τοῖσι δὲ φλεγματώδεσιν, ἵστησιν. Ὁ δὲ γλυκὺς οἶνος, διαχωρέει μᾶλλον τοῖσι φλεγματώδεσιν. Περὶ δὲ λαχάνων ὧδε ἔχει. σκόροδον, θερμὸν, καὶ διαχωρέει καὶ οὐρέεται καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐκ ἀγαθόν. κάθαρσιν γὰρ τοῦ σώματος πουλλὴν ποιεύμενον, τὴν ὄψιν ἀπαμβλύνει. διαχωρέει δὲ καὶ οὐρέεται, διὰ τὸ καθαρτικόν. ἑφθὸν ἀσθενέστερον, ἢ ὠμόν. φῦσαν δὲ ἐμποιέει, διὰ τοῦ πνεύματος τὴν ἐπίστασιν. Κρόμμυον, τῇ μὲν ὄψει

ἀγαθόν

ἀγαθόν. τῷ δὲ σώματι, κακόν. διότι θερμὸν καὶ καυσῶδές ἐστι, καὶ διαχωρεῖ. τροφὴν μὲν οὐδεμίαν δίδωσι τῷ σώματι, οὐδὲ ὠφελίην. θερμαῖνον δὲ ξηραίνει διὰ τὸν ὀπόν. Πράσον, θερμαίνει μὲν ἧσσον. οὐρέεται δὲ καὶ διαχωρεῖ. ἔχει δέ τι καθαρτικόν. ὑγραίνει δὲ, καὶ ὀξυρεγμίην παύει. καλὸν δὲ ὕστατον τῶν ἄλλων βρωμάτων ἐσθίειν αὐτό. Ῥαφανὶς, ὑγραίνει, διαχέουσα τὸ φλέγμα, τῇ δριμύτητι. τὰ δὲ φύλλα, ἧσσον. πλὴν πρὸς τοὺς ἀρθριτικούς. μοχθηρὸν ἡ ῥίζα. ἐπιπολάζον δὲ καὶ δύσπεπτον. Κάρδαμον, θερμὸν καὶ τὴν σάρκα τῆκον. ἵστησι δὲ φλέγμα λευκόν, ὥστε στραγγουρίην ἐμποιέειν. Νάπυ, θερμόν. διαχωρητικὸν δέ. πλὴν δυσουρέεται καὶ τοῦτο. ἀλλὰ καὶ τὸ εὔζωμον παραπλήσια ποιεῖ. Κορίανον, θερμὸν καὶ στατικόν. καὶ τὴν ὀξυρεγμίην παύει, καὶ ὑπνωτικόν, ἐὰν ὕστατον ἐσθίῃ. Θρίδαξ, ψυχρότατον, πρὶν τὸν ὀπὸν ἔχειν. ἀσθενείην δέ τινα ποιεῖ ἐν τῷ σώματι. Ἄνηθον, θερμὸν καὶ στατικόν. καὶ πταρμὸν παύει ὀσφραινόμενον. Σέλινον, οὐρέεται μᾶλλον, ἢ διαχωρεῖ. καὶ αἱ ῥίζαι μᾶλλον ἢ αὐτὸ διαχωρέουσιν. Ὤκιμον, ξηρόν, καὶ θερμόν, καὶ στάσιμον. Πήγανον, οὐρέεται μᾶλλον, ἢ διαχωρεῖ. καὶ συστρεπτικόν τι ἔχει, καὶ πρὸς τὰ φάρμακα τὰ βλαβερὰ, ὠφέλιμον προπινόμενον. Ἀσπάραγος, ξηρὸν καὶ στάσιμον. Ἐλελίσφακον, ξηρὸν καὶ στατικόν. Στρύχνος, ψύχει καὶ ἐξονειρώσσειν οὐκ ἐᾷ. Ἀνδράχνη, ψύχει ἡ ποταμίη. ταριχευμένη δὲ, θερμαίνει καὶ καθαίρει.

Καλαμίνθη, θερμαίνει καὶ καθαίρει. Μίνθη θερμαίνει καὶ οὐρέεται. καὶ ἐμέτους ἵστησι. καὶ ἢν πολλάκις ἐσθίῃ τις τὸν σπόρον αὐτοῦ τήκει ὥστε ῥέειν. καὶ ἐντείνειν κωλύει. καὶ τὸ σῶμα ἀσθενὲς ποιεῖ. Λάπαθον, θερμαῖνον διαχωρεῖ. Ἀνδράφαξις ὑγρόν. οὐ μήν τι διαχωρεῖ.

Βλῆτον θερμόν, οὐ διαχωρητικόν. Κράμβη θερμαίνει καὶ διαχωρεῖ. καὶ τὰ χολώδεα ἄγει.

Τεύτλου, ὁ μὲν χυλὸς, διαχωρεῖ. τὸ δὲ λάχανον ἐσθιόμενον, ἵστησιν. αἱ δὲ ῥίζαι τῶν τεύτλων, διαχωρητικώτεραι. Κολοκύντη, ψύχει, καὶ ὑγραίνει, καὶ διαχωρεῖ. Γογγυλὶς, καυσώδης. ὑγραίνει δὲ καὶ ταράσσει τὸ σῶμα. οὐ μέντοι διαχωρεῖ, δυσουρέεται δέ. Γλήχων, θερμαίνει καὶ διαχωρεῖ. Ὀρίγανον θερμαίνει. ὑπάγει δὲ καὶ τὰ χολώδεα. Θύμβρα. παραπλήσια τῷ ὀριγάνῳ διαπρήσσεται. Θύμον, θερμόν. διαχωρεῖ καὶ οὐρέεται. ἄγει δὲ καὶ φλεγματώδεα.

Ὕσσωπον, θερμὸν καὶ φλεγματῶδες. τῶν δὲ ἀγρίων λαχάνων, ὁκόσα τῷ στόματι θερμαντικὰ καὶ εὐώδεα, ταῦτα θερμαίνει καὶ οὐρέεται μᾶλλον, ἢ διαχωρεῖ. ὁκόσα δὲ ὑγρὴν φύσιν ἔχει καὶ ψυχρὴν, καὶ μωρὴν, καὶ ὀσμὰς βαρείας, ὑποχωρέεται μᾶλλον, ἢ οὐρέεται. ὁκόσα δέ ἐστι στρυφνὰ καὶ αὐστηρὰ, στάσιμα. ὁκόσα δὲ δριμέα καὶ εὐώδεα, οὐρέεται. ὁκόσα δὲ δριμέα καὶ ξηρὰ ἐν τῷ στόματι, ταῦτα πάντα ξηραίνει. ὁκόσα δὲ ὀξέα, ψυκτικά. οἱ δὲ χυμοὶ, διουρητικοί. κρήμνου. σελίνου. σκορόδου ἀποβρέγματα. κυτίσου. μαράθρου. πράσου. ἀδιάντου. στρύχνου, ψύχει. σκολοπένδριον. μίνθη. σέσελι. καυκαλίδες. ὑπερικόν. κνίδαι, διαχωρητικὰ καὶ καθαρτικά. ἐρέβινθοι. φακῆ. κριθαί. τεῦτλα. κράμβη. λινόζωστις. ἀκτή. κνίκος. ταῦτα πάντα ὑποχωρέεται μᾶλλον, ἢ διουρέεται. Περὶ δὲ ὀπώρης ὧδε ἔχει. τὰ μὲν ἐγκάρπια, διαχωρητικώτερα. τὰ δὲ χλωρὰ, τῶν ξηρῶν. ἡ δὲ δύναμις εἴρηται αὐτέων. Μόρα, θερμαίνει καὶ ὑγραίνει καὶ διαχωρέει. Ἄπιοι πέπειροι, θερμαίνουσιν καὶ ὑγραίνουσι, καὶ διαχωρέουσιν. αἱ δὲ σκληραὶ, στάσιμοι. Ἀχράδες χειμέριοι, πέπειροι, διαχωρέουσι καὶ τῆς κοιλίης καθαρτικαί. αἱ δὲ ὠμαὶ, στάσιμοι. Μῆλα γλυκέα, δύσπεπτα. τὰ δὲ ὀξέα καὶ πέπονα, ἧσσον. Κυδώνια. στυπτικὰ, καὶ οὐ διαχωρέουσιν. οἱ δὲ χυλοὶ τῶν μήλων, πρὸς τοὺς ἐμέτους στατικοὶ, καὶ οὐρητικοί. καὶ ὀδμαὶ πρὸς τῶν ἐμέτων. τὰ δὲ ἄγρια μῆλα, στατικά. ἐφθὰ δὲ ἐσθιόμενα, μᾶλλον διαχωρητικά. πρὸς δὲ τὴν ὀρθοπνοίην, οἵ τε χυλοὶ αὐτῶν, καὶ αὐτὰ πινόμενα ὠφελέει.

Οὖα δὲ καὶ μέσπιλα καὶ κράνια, καὶ ὅση ἄλλη τοιαύτη ὀπώρη, στατικὴ καὶ στρυφνή. καὶ ῥοιῆς γλυκείης ὁ χυλὸς, διαχωρεῖ. καυσῶδες δέ τι ἔχει. αἱ οἰνώδεες τῶν ῥοιῶν, ἧσσον καυσώδεες. αἱ δὲ ὀξεῖαι, ψυκτικώτεραι. οἱ δὲ πυρῆνες πάντων στάσιμοι. Σίκυοι ὠμοὶ ψυχροὶ, καὶ δύσπεπτοι. οἱ δὲ πέπονες, οὐρέονται καὶ διαχωρέονται, φυσώδεες δέ. Βότρυες, θερμοὶ καὶ ὑγροὶ, καὶ διαχωρητικοὶ, μάλιστα οἱ λευκοί. οἱ μὲν οὖν γλυκέες, θερμαίνουσιν ἰσχυρῶς, διότι πολὺ ἤδη τοῦ θερμοῦ ἔχουσιν. οἱ δὲ ὀμφακώδεες, ἧσσον θερμαίνουσι. καθαίρουσι δὲ μᾶλλον, πινόμενοι.

Σῦκα καὶ σταφίδες καυσώδεα. διαχωρητικὰ δέ. Σῦκον χλωρὸν, ὑγραίνει, καὶ διαχωρεῖ, καὶ θερμαίνει. ὑγραίνει μὲν, ὅτι ἔγχυλόν ἐστι. θερμαίνει, δὲ διὰ τὸν ὀπόν. διαχωρέει δὲ, διὰ τὸ γλυκὺ τοῦ ὀποῦ. τὰ πρῶτα τῶν σύκων, κάκιστα, ὅτι εἰσὶν ὀπωδέστατα. βέλτιστα δὲ, τὰ

ὕστατα

ὕπατα. τὰ ξηρὰ σῦκα καυσώδεα, διαχωρητικὰ δέ. Αἱ ἀμύγδαλαι καυσώδεες, τρόφιμοι δέ εἰσι διὰ ταῦτα. καυσώδεες μὲν, διὰ τὸ λιπαρόν. τρόφιμοι δὲ, διὰ τὸ σαρκῶδες. Καὶ κάρυα τὰ στρογγύλα, παραπλησίως ταύταις ἔχουσι. τὰ δὲ πλατέα πέπονα, τρόφιμα καὶ διαχωρητικά. καθαρὰ δὲ ἐόντα, καὶ φῦσαν ἐμποιέουσιν. οἱ δὲ χιτῶνες αὐτέων στάσιμοι. Ἄκυλοι καὶ βάλανοι, καὶ φηγοὶ, στατικὰ ὠμὰ καὶ ὀπτά. ἑφθὰ δὲ, ἧσσον. Τὰ πίονα τῶν κρεῶν, καυσώδεα. διαχωρητικὰ δέ. κρέα ταριχηρὰ, ἐν οἴνῳ μὲν ὄντα, ξηραίνει καὶ τρέφει. ξηραίνει μὲν, διὰ τὸν οἶνον. τρέφει δὲ, διὰ τὴν σάρκα. ἐν ὄξει δὲ τεταριχευμένα θερμαίνει μὲν, ἧσσον δὲ διὰ τὸ ὄξος. τρέφει δὲ ἱκανῶς. ἐν ἁλσὶ δὲ κρέα ταριχηρὰ τρόφιμα μὲν ἧσσον, διὰ τὸ ἅλας, τοῦ ὑγροῦ ἀπεστερημένα. ἰσχναίνει δὲ, καὶ ξηραίνει, καὶ διαχωρέει ἱκανῶς. τὰς δὲ δυνάμιας ἑκάστων ἀφαιρέειν καὶ προστιθέναι ὧδε χρή. Πυρὶ καὶ ὕδατι πάντα ξυνίσταται, καὶ ζῶα καὶ φυτὰ, καὶ ὑπὸ τουτέων αὔξεται, καὶ ἐς ταῦτα διακρίνεται. τῶν μὲν οὖν ἰσχυρῶν σιτίων, ἕψοντα πολλάκις καὶ διαψύχοντα, τὴν δύναμιν ἀφαιρέειν. καὶ προστιθέναι πάλιν ὧδε χρή. τῶν δὲ ὑγρῶν πυρῶντα καὶ φώζοντα, τὴν ὑγρασίην ἐξαιρέεσθαι. τῶν δὲ ξηρῶν, βρέχοντα καὶ νοτίζοντα. τῶν δὲ ἁλμυρῶν, βρέχοντα καὶ ἕψοντα. τῶν δὲ πικρῶν καὶ δριμέων, τοῖσι γλυκέσι διακιρνῶντα. τῶν δὲ στρυφνῶν, τοῖσι λιπαροῖσι. καὶ ὧδε τῶν ἄλλων πάντων, ἐκ τῶν προειρημένων χρὴ γινώσκειν. ὁκόσα πυρούμενα ἢ φωζόμενα, στάσιμά ἐστι μᾶλλον τῶν ὠμῶν, διότι τὸ ὑγρὸν ὑπὸ τοῦ πυρὸς ἀφήρηται, καὶ τὸ πυρῶδες, καὶ τὸ λιπαρόν. ὁκόταν γοῦν ἐς τὴν κοιλίην ἐμπέσῃ, ἕλκει τὸ ὑγρὸν ἐκ τῆς κοιλίης ἐπ᾽ αὐτὰ, συγκλείοντα τὰ στόματα τῶν φλεβίων, ξηραίνοντα καὶ θερμαίνοντα, ὥστε ἱστᾶσι τὰς διεξόδους τοῦ ὑγροῦ. τὰ δὲ ἐκ τῶν ἀνύδρων καὶ ξηρῶν, καὶ πνιγηρῶν χωρίων, ἅπαντα ξηρότερα καὶ θερμότερα, καὶ ἰσχὺν πλέω παρέχεται ἐς τὸ σῶμα. διότι ἐκ τοῦ ἴσου ὄγκου, βαρύτερα καὶ πυκνότερα καὶ πολύνοστά ἐστιν, ἢ τὰ ἐκ τῶν ὑγρῶν, καὶ ἀρδομένων, καὶ ψυχρῶν. ταῦτα δὲ ὑγρότερα καὶ κουφότερα, καὶ ψυχρότερα. Οὐκοῦν δεῖ τὴν δύναμιν μόνον αὐτέων γνῶναι τοῦ τε σίτου καὶ τοῦ πόματος καὶ τῶν ζώων, ἀλλὰ καὶ τῆς πατρίδος ὁπόθεν εἰσίν. ὁκόταν γοῦν βούλωνται τροφὴν ἰσχυρὰν τῷ σώματι προσενέγκειν, καὶ ἀπὸ τῶν αὐτῶν σίτων, τοῖς ἐκ τῶν ἀνύδρων χωρίων χρηστέον, καὶ σίτοισι καὶ πόμασι καὶ ζώοισιν. ὁκόταν δὲ κουφοτέρῃ τῇ τροφῇ καὶ ὑγροτέρῃ, τοῖσιν ἐκ τῶν ἀρδομένων χρηστέον. τὰ γλυκέα, καὶ τὰ δριμέα, καὶ τὰ ἁλυκὰ, καὶ τὰ πικρὰ, καὶ τὰ αὐστηρὰ, καὶ σαρκώδεα θερμαίνειν πέφυκε. καὶ ὅσα ξηρά ἐστι καὶ ὅσα ὑγρά. ὁκόσα μὲν οὖν ξηροῦ μέρους πλεῖον ἔχει ἐν αὐτέοισιν, ταῦτα μὲν ξηραίνει, καὶ θερμαίνει. ὁκόσα δὲ ὑγροῦ μέρους ἔχει πλέον, ταῦτα πάντα θερμαίνοντα ὑγραίνει, καὶ διαχωρέει μᾶλλον, ἢ τὰ ξηρά. τροφὴν γὰρ μᾶλλον ἐς τὸ σῶμα διδόντα, ἀντίσπασιν ποιέεται ἐν τῇ κοιλίῃ, καὶ ὑγραίνοντα διαχωρέει. ὁκόσα δὲ διαθερμαίνοντα ξηραίνει, ἢ σῖτα, ἢ ποτὰ, οὔτε πτύσιν, οὔτε οὔρησιν, οὔτε διαχώρησιν ποιεῦντα, ξηραίνει τὸ σῶμα, διὰ τάδε. θερμαινομένου τὸ σῶμα, κενοῦται τοῦ ὑγροῦ. τὸ μὲν, ὑπ᾽ αὐτέων τῶν σιτίων. τὸ δὲ, εἰς τροφὴν, τῷ τῆς ψυχῆς θερμῷ καταναλίσκεται. τὸ δὲ, διὰ τοῦ χρωτὸς ἐξωθέεται, θερμαινόμενον καὶ λεπτυνόμενον. τὰ γλυκέα καὶ τὰ πίονα καὶ τὰ λιπαρὰ, πληρωτικά ἐστι, διότι ἐξ ὀλίγου ὄγκου, πολύχοά ἐστι. θερμαινόμενα δὲ καὶ διαχεόμενα, πληροῖ τὸ θερμὸν ἐν τῷ σώματι, καὶ γαληνιάζειν ποιέει. τὰ δὲ ὀξέα, καὶ δριμέα, καὶ αὐστηρὰ, καὶ στρυφνὰ, καὶ συγκομιστὰ, καὶ ξηρὰ, οὐ πληροῖ. διότι τὰ στόματα τῶν φλεβῶν, ἀνέῳξέ τε καὶ διεκάθηρε. καὶ τὰ μὲν, ξηραίνοντα. τὰ δὲ δάκνοντα καὶ στύφοντα φρίξαι καὶ συστῆσαι ἐς ὀλίγον ἐποίησεν ὄγκον, τὸ ὑγρὸν τὸ ἐν τῇ σαρκί. καὶ τὸ κενὸν, πουλὺ ἐγγέγονεν ἐν τῷ σώματι. ὁκόταν γοῦν βούλῃ ἀπ᾽ ὀλίγων πληρῶσαι, ἢ ἀπὸ πλειόνων κενῶσαι, τοῖσι τοιούτοισι χρέεσθαι. Τὰ πρόσφατα πάντα, ἰσχὺν πλείονα παρέχεται τῶν ἄλλων διὰ τόδε, ὅτι ἐγγίον τοῦ ζῶντός ἐστι. τὰ δὲ ἕωλα καὶ σαπρὰ, διαχωρέει μᾶλλον τῶν προσφάτων, διότι ἐγγίον τῆς σηπεδόνος ἐστί. τὰ δὲ ἔνωμα τροφώδεα καὶ βορβορυγμώδεά ἐστι, διότι δέει τῷ πυρὶ κατεργασθῆναι. ταῦτα ἡ κοιλίη διαπρήσσεται, ἀσθενεστέρα ἐοῦσα τῶν εἰσιόντων. τὰ δὲ ἐν τοῖσιν ὑποτρίμμασιν ὄψα σκευαζόμενα, καυσώδεα καὶ ὑγρὰ, ὅτι λιπαρὰ καὶ πυρώδεα, καὶ θερμὰ καὶ ἀνομοίους τὰς δυνάμιας ἀλλήλοισιν ἔχοντα, ἐν τῷ αὐτέῳ ἴσχει. τὰ δὲ ἐν ἅλμῃ, βελτίω καὶ οὐ καυσώδεα. Περὶ δὲ λουτρῶν, ὧδε ἔχει. ὕδωρ πότιμον, ὑγραίνει καὶ ψύχει. δίδωσιν γὰρ τῷ σώματι ὑγρασίην. τὸ δὲ ἁλμυρὸν λουτρὸν, θερμαίνει καὶ ξηραίνει. φύσει γὰρ ἐὸν θερμὸν, ἕλκει ἀπὸ τοῦ σώματος τὸ ὑγρόν. τὰ δὲ θερμὰ λουτρὰ, νῆστιν μὲν, ἰσχναίνει καὶ ψύχει. φέρει γὰρ ἀπὸ τοῦ σώματος

τὸ ὑγρὸν τῇ θερμασίῃ. κενουμένης δὲ τῆς σαρκὸς τοῦ ὑγροῦ, ψύχεται τὸ σῶμα. Βεβρωκότα δὲ θερμαίνει καὶ ὑγραίνει, διαχέοντα τὰ ὑπάρχοντα ἐν τῷ σώματι, εἰς πλείονα ὄγκον. ψυχρὰ δὲ λουτρὰ, τοὐναντίον. κενῷ μὲν τῷ σώματι, διδῶσι θερμόν τι ψυχρόν. Βεβρωκότι δὲ, ἀφαιρέεται ὑγροῦ ἐόντος καὶ πληροῖ ψυχρὸν ἐὸν τοῦ ὑπάρχοντος ξηροῦ. Ἀλουσίη ξηραίνει, καταναλισκομένου τοῦ ὑγροῦ. ὡσαύτως δὲ καὶ ἡ ἀναλειφίη. λίπη δὲ, θερμαίνει καὶ ὑγραίνει, καὶ μαλάσσει. Ἥλιος δὲ καὶ πῦρ, ξηραίνει διὰ τάδε. θερμὰ ἐόντα καὶ ξηρὰ, ἕλκει τοῦ σώματος τὸ ὑγρόν. Σκιὰ δὲ καὶ ψύχεα, τὰ μέτρια ὑγραίνει. διδῶσι γὰρ μᾶλλον, ἢ λαμβάνει. Ἱδρῶτες πάντοτε ἀπιόντες, καὶ ξηραίνουσι καὶ ἰσχναίνουσιν, ἐκλείποντος τοῦ ὑγροῦ ἐκ τοῦ σώματος. Λαγνείη, ἰσχναίνει, καὶ ὑγραίνει, καὶ θερμαίνει. θερμαίνει μὲν, διὰ τὸν πόνον καὶ τὴν ἀπόκρισιν τοῦ ὑγροῦ. ἰσχναίνει δὲ, διὰ κένωσιν. ὑγραίνει δὲ, διὰ τὸ ὑπολειπόμενον ἐν τῷ σώματι τῆς συντήξιος ὑπὸ τοῦ πόνου. Ἔμετοι, ἰσχναίνουσι διὰ τὴν κένωσιν τῆς τροφῆς. οὐ μέντοι ξηραίνουσιν, ἢν μή τις τῇ ὑστεραίῃ θεραπεύῃ ὀρθῶς, ἀλλ' ὑγραίνουσι διὰ τὴν πλήρωσιν, καὶ διὰ τὴν σύντηξιν τῆς σαρκὸς τὴν ἀπὸ τοῦ πόνου. ἢν δέ τις ἐάσῃ ταῦτα καταναλωθῆναι, τῇ ὑστεραίῃ δὲ ἐπὶ τὴν τροφὴν τὴν θερμὴν καὶ τῇ διαίτῃ ἡσύχως προσάγῃ, ξηραίνουσι. κοιλίην δὲ συνεστηκυῖαν, λύει ἔμετος. καὶ διαχωροῦσαν μᾶλλον τοῦ καιροῦ ἵστησι. τὴν μὲν διυγραίνων. τὴν δὲ ξηραίνων. ὁκόταν μὲν οὖν στῆσαι βούληται τὴν ταχίστην, φαγόντα, χρὴ ἐξεμέειν πρὶν ἂν διυγρανθῆναι τὸ σῖτον, καταπαθῆναι κάτω, καὶ τοῖσι στρυφνοῖσι, καὶ τοῖσιν αὐστηροῖσι σιτίοισι μᾶλλον χρέεσθαι. ὁκόταν δὲ λῦσαι τὴν κοιλίην βούληται, ἐνδιατρίβειν ἐν τοῖσι σιτίοισιν ὡς πλεῖστον χρόνον ξυμφέρει, καὶ τοῖσι δριμέσι, καὶ ἁλμυροῖσι, καὶ λιπαροῖσι, καὶ γλυκέσι, καὶ τοῖσι σιτίοισι καὶ πόμασι χρέεσθαι. Ὕπνοι δὲ, νῆστιν μὲν ἰσχναίνουσι καὶ ψύχουσιν, ἢν μὴ μακροὶ ἔωσι, κενοῦντες τοῦ ὑπάρχοντος ὑγροῦ. ἢν δὲ μᾶλλον, ἐκθερμαίνοντες, συντήκουσι τὴν σάρκα. καὶ διαλύουσι τὸ σῶμα διαχέοντες. καὶ ἀσθενὲς ποιέουσι. Βεβρωκότα δὲ, θερμαίνοντες ὑγραίνουσι, τὴν τροφὴν ἐς τὸ σῶμα διαχέοντες. ἀπὸ δὲ τῶν ὀρθρίων περιπάτων ὕπνος, μάλιστα ξηραίνει. Ἀγρυπνίη δὲ, ἐν μὲν τοῖσι σιτίοισι βλάπτει, οὐκ ἐῶσα τὸ σιτίον τήκεσθαι. ἀσίτοισι δὲ, ἰσχναίνει μέν. βλάπτει δὲ ἧσσον. Ῥᾳθυμίη, ὑγραίνει. καὶ ἀσθενὲς τὸ σῶμα ποιέει. ἀτρεμίζουσα γὰρ ἡ ψυχὴ, οὐκ ἀναλίσκει τὸ ὑγρὸν ἐκ τοῦ σώματος. Πόνος δὲ, ξηραίνει, καὶ τὸ σῶμα ἰσχυρὸν ποιέει. Μονοσιτίη, ἰσχναίνει, καὶ ξηραίνει, καὶ τὴν κοιλίην ἵστησι, διότι τῷ τῆς ψυχῆς θερμῷ, τὸ ὑγρὸν ἐκ τῆς κοιλίης καὶ τῆς σαρκὸς καταναλίσκεται. Ἄριστον δὲ τἀναντία διαπρήσσεται τῇ μονοσιτίῃ. Ὕδωρ πόμα θερμὸν, ἰσχναίνει. ὡσαύτως δὲ καὶ ψυχρόν. τὸ δὲ ὑπερβάλλον ψυχρὸν καὶ πνεῦμα, καὶ τὸ σιτίον, καὶ τὸ ποτὸν, πηγνῦσι τὸ ὑγρὸν τὸ ἐν σώματι, καὶ τὰς κοιλίας ξυνίστησι τῇ πήξει ἐπὶ ψύξει. κρατέει γὰρ τοῦ τῆς ψυχῆς ὑγροῦ. καὶ τοῦ θερμοῦ δὲ πάλιν αἱ ὑπερβολαὶ, πηγνύουσι. καὶ τοὖζον, ὡς μὴ διάχυσιν ἔχειν. ὁκόσα δὲ θερμαίνοντα τὸ σῶμα τροφὴν μὴ διδόντα, κενοῖ τοῦ ὑγροῦ τὴν σάρκα, μὴ δι' ὑπερβολὴν ποιέοντα, ψύξιν τῷ ἀνθρώπῳ παραδιδῶσι. κινουμένου γὰρ τοῦ ὑπάρχοντος ὑγροῦ, πνεύματος ὑπ' αὐτοῦ πληρούμενον ψύχεται. Περὶ δὲ τῶν πόνων ἥν τινα ἔχει δύναμιν, διηγήσομαι. εἰσὶ γὰρ οἱ μὲν, κατὰ φύσιν. οἱ δὲ διὰ βίης. οἱ μὲν οὖν κατὰ φύσιν αὐτῶν εἰσιν, ὄψιος πόνος. ἀκοῆς. φωνῆς. μερίμνης. ὄψιος μὲν οὖν δύναμις τοιαύτη. προσέχουσα ψυχὴ τῷ ὁρεομένῳ, κινέεται καὶ θερμαίνεται. θερμαινομένη δὲ, ξηραίνεται κενωμένου τοῦ ὑγροῦ. διὰ δὲ τῆς ἀκοῆς ἐσπίπτοντος τοῦ ψόφου, σείεται ἡ ψυχὴ καὶ πονέει. πονέουσα δὲ, θερμαίνεται καὶ ξηραίνεται. ὁκόσα ἐν μερίμνῃ ἀνθρώποισι γίνεται, ἡ ψυχὴ καὶ ὑπὸ τουτέων θερμαίνεται καὶ ξηραίνεται. καὶ τὸ ὑγρὸν καταναλίσκουσα, πονέει καὶ λεπτύνει τὰς σάρκας καὶ κενοῖ τὸν ἄνθρωπον. ὁκόσοι δὲ πόνοι φωνῆς, οἷον λέξις, ἢ ἀνάγνωσις, ἢ ᾠδὴ, πάντες οὗτοι κινέουσι τὴν ψυχήν. κινουμένη δὲ, ξηραίνεται καὶ θερμαίνεται. καὶ τὸ ἐν τῷ σώματι ὑγρὸν καταναλίσκει. Οἱ δὲ περίπατοι κατὰ φύσιν μὲν εἰσὶ καὶ οὗτοι μάλιστα τῶν λοιπῶν. ἔχουσι δέ τι βίαιον. δύναμις δὲ αὐτέων, ἥδε τοιήδε. ὁ ἀπὸ δείπνου περίπατος, ξηραίνει τήν τε κοιλίην καὶ τὸ σῶμα καὶ τὴν γαστέρα, καὶ οὐκ ἐᾷ πιμελὴν γίνεσθαι διὰ τάδε. κινουμένου τοῦ ἀνθρώπου, θερμαίνεται καὶ τὸ σῶμα καὶ τὰ σιτία. ἕλκει οὖν τὴν ἰκμάδα ἡ σὰρξ, καὶ οὐκ ἐᾷ πιμελὴν κοιλίην ξυνίστασθαι. τὸ μὲν οὖν σῶμα, πληροῦται. ἡ δὲ κοιλίη, λεπτύνεται. ξηραίνεται δὲ, διὰ τάδε. κινουμένου τοῦ σώματος καὶ θερμαινομένου, τὸ λεπτότατον τροφῆς καταναλίσκεται. τὸ μὲν, ἀπὸ τοῦ ξυμφύτου θερμοῦ. τὸ δὲ, σὺν τῷ πνεύματι ἀποκρίνεται ἔξω. τὸ δὲ καὶ οὐρέεται. ὑπολείπεται

ται δὲ τὸ ξηρότατον ἀπὸ τῶν σιτίων, ὥστε τῇ κοιλίῃ ἀποξηραίνεσθαι τὴν σάρκα. καὶ οἱ ὄρθριοι περίπατοι ἰσχναίνουσι. καὶ τὰ περὶ τὴν κεφαλὴν κοῦφα τε καὶ εὐπαγέα, καὶ εὐήκοα παρασκευάζουσι. καὶ τὴν κοιλίην λύουσιν. ἰσχναίνουσι μὲν, διότι κινεύμενον τὸ σῶμα θερμαίνεται, καὶ τὸ ὑγρὸν λεπτύνεται καὶ καθαίρεται. τὸ μὲν ὑπὸ τοῦ πνεύματος. τὸ δὲ, μύσσεταί τε καὶ χρέμπτεται. τὸ δ' ἐς τὴν τροφὴν, ὑπὸ τῆς ψυχῆς θερμοῦ καταναλίσκεται. τὴν δὲ κοιλίην λύουσι, διότι θερμὴ ἐοῦσα, τοῦ θερμοῦ πνεύματος ἐσπίπτοντος ἄνωθεν ὑποχωρέει τὸ θερμὸν ὑπὸ ψυχρῶ. κοῦφα δὲ τὰ περὶ τὴν κεφαλὴν ποιέει, διὰ τάδε. ὅταν κενωθῇ ἡ κοιλίη, ἕλκει ἐς ἑωυτὴν ἐκ τοῦ ἄλλου σώματος καὶ ἐκ τῆς κεφαλῆς τὸ ὑγρὸν, θερμὴ ἐοῦσα. κενουμένης δὲ τῆς κεφαλῆς, ἀποκαθαίρεται ἥ τε ὄψις καὶ ἡ ἀκοή. καὶ γίνονται εὐαγέες οἱ ἄνθρωποι.

Οἱ δὲ ἀπὸ τῶν γυμνασίων περίπατοι, καθαρὰ τὰ σώματα παρασκευάζουσι. καὶ ἰσχναίνουσιν, οὐκ ἐῶντες τὴν σύντηξιν τῆς σαρκὸς, τὴν ὑπὸ τοῦ πόνου ξυνίστασθαι, ἀλλ' ἀποκαθαίρουσι. τὰ δὲ ἐκ τῶν δρόμων γίνονται, οἱ μὲν μακροὶ καὶ καμπτοὶ, ἐξ ὀλίγου προσαγόμενοι, θερμαίνοντες τὴν σάρκα, συνεψεῖν καὶ διαχέειν δύνανται. καὶ τὴν δύναμιν τῶν σιτίων τὴν ἐν τῇ σαρκὶ καταπέσσουσι. βραδύτερά τε καὶ παχύτερα τὰ σώματα παρασκευάζουσι τῶν τροχῶν. τοῖσι δὲ τὰ πολλὰ ἐσθίουσι, ξυμφορώτεροι, καὶ χειμῶνος μᾶλλον, ἢ θέρεος.

Οἱ δὲ ἐν ἱματίῳ δρόμοι, τὴν μὲν δύναμιν, τὴν αὐτὴν ἔχουσι. μᾶλλον δὲ διαθερμαίνουσι, καὶ ὑγρότερα τὰ σώματα ποιέουσιν, ἀχροώτερα δὲ, διότι οὐκ ἀποκαθαίρει προσπῖπτον τὸ πνεῦμα τὸ εἰλικρινὲς, ἀλλ' ἐν τῷ αὐτῷ γυμνάζεται πνεύματι. συμφέρει οὖν καὶ τοῖσι ξηροῖσι καὶ τοῖσι πολυσάρκοισιν, ὅστις καθαιρεῖν τὴν σάρκα βούλεται, καὶ τοῖσι πρεσβυτέροισι διὰ ψῦχος τοῦ σώματος. οἱ δὲ δίαυλοι καὶ ἤπειροι ἵπποι, τὴν μὲν σάρκα ἧσσον διαχέονται. ἰσχναίνουσι δὲ μᾶλλον, διότι τοῖς ἔξω τῆς ψυχῆς μέρεσιν οἱ πόνοι ὄντες, ἀντισπῶσιν ἐκ τῆς σαρκὸς τὸ ὑγρὸν, καὶ τὸ σῶμα λεπτύνουσι καὶ ξηραίνουσιν. οἱ δὲ τροχοὶ, τὴν μὲν σάρκα ἥκιστα διαχέουσιν. ἰσχναίνουσι δὲ, καὶ διαστέλλουσι τὴν σάρκα καὶ τὴν κοιλίην, μάλιστα διότι ὀξυτάτῳ τῷ πνεύματι χρώμενοι, τάχιστα τὸ ὑγρὸν ἕλκουσιν ἐφ' ἑωυτούς. τὰ δὲ παρασείσματα, ξηραίνουσι μὲν ἐξαπίνης. οὐκ ἐπιτήδεια δὲ, καὶ ἀξύμφορα. σπάσματα γὰρ ἐμποιέεται, διὰ τόδε. διαθερμασμένον τὸ σῶμα, τὸ μὲν δέρμα, ἰσχυρῶς λεπτύνει. τὴν δὲ σάρκα, ἧσσον συνίστησι τῶν τροχῶν. κενοῖ δὲ τὴν σάρκα τοῦ ὑγροῦ. τα δὲ ἀνακινήματα καὶ ἀνακουφίσματα τὴν μὲν σάρκα ἥκιστα διαθερμαίνουσι. παροξύνει δὲ τὸ σῶμα καὶ τὴν ψυχὴν, καὶ τοῦ πνεύματος κενοῦσι. πάλη δὲ καὶ τρίψις τοῖσιν ἔξω τοῦ σώματος, παρέχει μᾶλλον τὸν πόνον. θερμαίνει δὲ τὴν σάρκα καὶ στερεοῖ, καὶ αὔξεσθαι ποιέει διὰ τάδε. τὰ μὲν στερεὰ φύσει τριβόμενα, συνίσταται. τὰ δὲ κοῖλα, αὔξεται. τῆς γοῦν σαρκὸς, τὸ μὲν πυκνὸν τριβόμενον, ξυνίσταται. τὰ δὲ κοῖλα, αὔξεται. καὶ ὁκόσα φλέβες εἰσί. θερμαινόμεναι γὰρ αἱ σάρκες καὶ ξηραινόμεναι, ἕλκουσιν ἐφ' ἑωυτὰς τὴν τροφὴν διὰ τῶν φλεβῶν, εἶτα αὔξονται.

Ἀλίνδησις, παραπλήσια τῇ πάλῃ διαπρήσσεται. ξηραίνει δὲ μᾶλλον διὰ τὴν κόνιν καὶ σαρκοῖ ἧσσον.

Ἀκροχειρίη ἰσχναίνει καὶ τὰς σάρκας ἕλκει ἄνω. καὶ κωρυκομαχίη καὶ χειρονομίη τὰ παραπλήσια διαπρήσσεται. πνεύματος δὲ κατάσχεσις, τοὺς πόρους διαναγκάσαι, καὶ τὸ δέρμα λεπτῦναι, καὶ τὸ ὑγρὸν ὑπὸ τὸ δέρμα ἐξῶσαι δύναται. ἐν κόνει καὶ ἐλαίῳ γυμνάσια διαφέρει τοσόνδε. κόνις μὲν ψυχρόν. ἔλαιον δὲ θερμόν. ἐν μὲν τῷ χειμῶνι τὸ ἔλαιον, αὐξιμώτερον, διότι τὸ ψῦχος κωλύει φέρεσθαι ἀπὸ τοῦ σώματος. ἐν δὲ τῷ θέρει, ἔλαιον ὑπερβολὴν θερμασίης πεποιημένον, τήκει τὴν σάρκα. ὁκόταν καὶ ὑπὸ τῆς ὥρης θερμαίνηται, καὶ τοῦ ἐλαίου καὶ τοῦ πόνου. ἡ δὲ κόνις ἐν τῷ θέρει αὐξιμώτερον, ψύχουσα γὰρ τὸ σῶμα, οὐκ ἐᾷ ἐς ὑπερβολὴν θερμαίνεσθαι. ἐν δὲ τῷ χειμῶνι, διαψυκτικὸν καὶ κρυμνῶδες. διατρίβειν δὲ ἐν τῇ κόνει μετὰ τοὺς πόνους ἐν τῷ θέρει, ὀλίγον μὲν χρόνον, ὠφελέει ψύχουσα. πολὺν δὲ ὑπερξηραίνει, καὶ τὰ σώματα σκληρὰ καὶ ξυλώδεα ἀποδεικνύει.

Τρίψις ἐλαίου σὺν ὕδατι μαλάσσει, καὶ οὐ δεινῶς ἐᾷ διαθερμαίνεσθαι. περὶ δὲ κόπων τῶν ἐν τοῖσι σώμασιν ἐγγινομένων, ὧδε ἔχει.

Οἱ μὲν ἀγύμναστοι τῶν ἀνθρώπων, ἀπὸ παντὸς κοπιῶσι πόνου. οὐδὲν γὰρ τοῦ σώματος διαπεπόνηται πρὸς οὐδένα πόνον. τὰ δὲ γεγυμνασμένα τῶν σωμάτων, ὑπὸ τῶν ἀηθέσων πόνων κοπιᾷ. τὰ δὲ, καὶ ἀπὸ τῶν συνήθων γυμνασίων κοπιᾷ, ὑπερβολῇ χρησάμενα. τὰ μὲν οὖν εἴδεα τῶν κόπων, τοιαῦτά ἐστιν. ἡ δὲ δύναμις αὐτέων ὧδε ἔχει. οἱ μὲν γὰρ ἀγύμναστοι ὑγρὴν τὴν σάρκα ἔχοντες, ὁκόταν πονῶσι θερμαινομένου τοῦ σώματος, σύντηξιν πολλὴν ἀφιᾶσιν.

ὅ,τι μὲν

ὅ,τι μὲν οὖν συνεξιδρώσῃ, ἢ ξὺν τῷ σώματι ἀποκαθαρθῇ, οὐ παρέχει πόνον μᾶλλον ἐν τῷ κενωθέντι τοῦ σώματος παρὰ τὸ ἔθος. ὅ,τι δ᾽ ἂν ἐμμείνῃ τῆς ἀποκρίσιος, τοῦτο παρέχει τὸν πόνον, ἀλλὰ καὶ τῷ δεξαμένῳ τὸ ὑγρόν. οὐ γάρ ἐστι ξύμφορον τῷ σώματι, ἀλλὰ πολέμιον. ἐς μὲν δὴ τὰς σάρκας τῶν σωμάτων, οὐ ξυνίσταται ὁμοίως, ἐς δὲ τὰ σαρκώδεα, ὥστε τούτοις πόνον παρέχει, ἕως ἂν ἐξέλθῃ. ἅτε δὴ οὐκ ἔχον περίοδον, ἀτρεμίζον θερμαίνεται αὐτό τε καὶ τὰ προσπίπτοντα. ἢν μὲν οὖν πολὺ γένηται τὸ ἀποκριθέν, ἐκράτησε καὶ τοῦ ὑγιαίνοντος, ὥστε συνεκθερμᾶναι ὅλον τὸ σῶμα, καὶ ἐνεποίησε πυρετὸν ἰσχυρόν. θερμανθέντος γὰρ τοῦ αἵματος καὶ ἐπισπασθέντος, ταχεῖαν ἐποίησε τὴν περίοδον τὰ ἐν τῷ σώματι. καὶ τό, τε ἄλλο σῶμα καθαίρεται ὑπὸ τοῦ πνεύματος. καὶ τὸ συνεστηκὸς θερμαινόμενον, λεπτύνεταί τε, καὶ συνεξωθέεται ἐκ τῆς σαρκὸς ἔξω ἐπὶ τὸ δέρμα, ὅπερ ἱδρὼς καλέεται θερμός. τούτου δ᾽ ἀποκριθέντος, τό, τε αἷμα καθίσταται ἐς τὴν κατὰ φύσιν σύστασιν. καὶ ὁ πυρετὸς ἀνίησι, καὶ ὁ κόπος παύεται μάλιστα τριταῖος. χρὴ δὲ τὸν τοιοῦτον κόπον, ὧδε θεραπεύειν. πυριῇσι καὶ λουτροῖσι θερμοῖσι διαλύοντα τὸ ξυνεστηκός. καὶ περιπάτοισι βιαίοισιν ὡς ἀποκαθαίρωνται, τῇσιν ὀλιγοσιτίῃσι, καὶ ἰσχνασίῃσι, συνιστάναι τῆς σαρκὸς τὴν κένωσιν. καὶ τρίβεσθαι τῷ ἐλαίῳ ἡσυχῇ πουλὺν χρόνον, ὅκως μὴ βιαίως ἀναθερμαίνηται. καὶ τοῖσι χρίσμασι καὶ τοῖσιν ἱδρωτικοῖσι καὶ μαλακτικοῖσι χρίεσθαι, καὶ μαλακεύνειν ξυμφέρει. τοῖσι δὲ γυμναζομένοισιν ὑπὸ τῶν ἀηθέων πόνων, διὰ τάδε γίνεται. ὁκόταν μὴ πεπονήκῃ τὸ σῶμα, ὑγρὴν ἀνάγκη τὴν σάρκα εἶναι πρὸς τοῦτον τὸν τόπον, πρὸς ὃν μὴ εἴθισται πονέειν. ὥσπερ καὶ τῶν γυμνασίων, πρὸς ἕκαστα. τὴν μὲν οὖν σάρκα, ξυντήκεσθαι ἀνάγκη καὶ ἀποκρίνεσθαι καὶ συνίστασθαι ὥσπερ τῷ προτέρῳ. ξυμφέρει δὲ θεραπεύεσθαι ὧδε. τοῖσι μὲν γυμνασίοισι χρῆσθαι, τοῖσι συνήθεσιν, ὅκως τὸ ξυνεστηκὸς θερμαινόμενον λεπτύνηται καὶ ἀποκαθαίρηται, καὶ τὸ ἄλλο σῶμα μὴ ὑγραίνηται, μηδ᾽ ἀγύμναστον γίνηται. τοῖσι δὲ λουτροῖσι τοῖσι θερμοῖσι ξυμφέρει καὶ τοῦτον χρέεσθαι. καὶ τῇ τρίψει ὁμοίως, ὡς καὶ τὸν πρόσθεν. τῆς δὲ πυριήσιος οὐδὲν δέεται. οἱ πόνοι γὰρ ἱκανοὶ θερμαίνοντες, λεπτύνειν καὶ ἀποκαθαίρειν τὸ συστάν. οἱ δὲ ἀπὸ τῶν συνήθων γυμνασίων πόνοι, τόνδε τὸν τρόπον γίνονται. ἀπὸ μὲν συμμέτρου πόνου, κόπος οὐ γινέεται. ὁκόταν δὲ πλείων τοῦ καιροῦ πόνος ᾖ, ὑπερξηραίνει τὴν σάρκα. κενωθεῖσα δὲ τοῦ ὑγροῦ, θερμαίνεται, καὶ ἀλγέει, καὶ φρίσσει, καὶ ἐς πυρετὸν καθίσταται μακρότερον, ἢν μή τις ἐκθεραπεύσῃ ὀρθῶς. χρὴ δὲ πρῶτον μὲν αὐτὸν τῷ λουτρῷ, μὴ σφόδρα πολλῷ, μὴ δὲ θερμῷ ἄγαν λούεσθαι. εἶτα πίσας αὐτὸν ἐκ τοῦ λουτροῦ μαλακὸν οἶνον, δειπνεῖν ὡς πλεῖστα καὶ παντοδαπὰ σιτία, καὶ ποτῷ ὑδαρεῖ. οἴνῳ δὲ μαλακῷ χρέεσθαι πολλῷ. εἶτ᾽ ἐντρῖψαι χρόνῳ πλέω, μέχρις ἂν αἱ φλέβες πληρωθεῖσαι ἀρθῶσιν. εἶτα δὴ ἐξεμεέτω. καὶ ἀναστάντα ὀλίγον, καθεύδειν μαλακῶς. εἶτα προσάγειν ἡσυχῇ, τοῖσι σιτίοισι καὶ τοῖσι πόνοισι τοῖσι συνήθεσιν ἡμέρας ἕξ, ἐν ταύτῃσι δὲ καταστῆσαι ἐς τὸ σύνηθες καὶ σίτου καὶ ποτοῦ. δύναμιν δὲ ἔχει ἡ θεραπείη, τοιήνδε. ἐξηρασμένον τὸ σῶμα ὑπὸ ὑπερβολῆς, ἐξυγρῆναι δύναται ἄτερ ὑπερβολῆς. ἢν μὲν οὖν ᾖ δυνατὸν τὴν ὑπερβολὴν τοῦ πόνου γνῶναι ὁκόση τίς ἐστι τοῦ σίτου τῇ συμμετρίῃ ἀκέσασθαι, εὖ ἂν ἔχει τοῦτον. νῦν δὲ τὸ μὲν ἀδύνατον. τὸ δὲ, ῥᾴδιον. ἐξηρασμένον γὰρ τὸ σῶμα τῶν ἐμπεσόντων παντοδαπῶν, ἀφ᾽ ὧν λαμβάνει τὸ ξυμφέρον αὐτὸ ἐν ἑωυτῷ, ἕκαστον τοῦ σώματος ἑκάστου σίτου. πληρωθὲν δὲ καὶ ὑγρανθὲν κενωθείσης τῆς κοιλίης ὑπὸ τοῦ ἐμέτου, ἀφίησι πάλιν τὴν ὑπερβολήν. ἡ δὲ κοιλίη κενὴ ἐοῦσα ἀντισπᾷ. τὸ μὲν οὖν ὑπερβάλλον ὑγρόν, ἐξερεύγεται ἡ σάρξ. τὸ δὲ σύμμετρον, οὐκ ἀφίησιν, ἢν μὴ διὰ βίης, ἢ πόνων, ἢ φαρμάκων, ἢ ἄλλης τινὸς ἀντισπάσιος. τῇ δὲ προσαγωγῇ χρησάμενος, καταστήσει τῷ σώματι τὴν δίαιταν ἡσυχῇ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΔΙΑΙΤΗΤΙΚΟΣ ΤΡΙΤΟΣ.

Περὶ διαίτης ἀνθρωπίνης ὥσπερ μοι καὶ πρότερον εἴρηται, ξυγγράψαι μὲν οὐχ οἷόν τε ἐστὶν ἀκριβείην, ὥστε πρὸς τὸ πλῆθος τοῦ σίτου, τὴν συμμετρίην ποιέεσθαι Γ τῶν πόνων. πουλλὰ γὰρ τὰ κωλύοντα. πρῶτον μὲν αἱ φύσιες τῶν ἀνθρώπων, διάφοροι ἐοῦσαι. καὶ γὰρ αἱ ξηραὶ αὗται ἑωυτῶν πρὸς ἑωυτὰς, καὶ πρὸς ἄλλα μᾶλλον καὶ ἧσσον, ξηραὶ καὶ ὑγραί. ὡσαύτως καὶ αἱ ἄλλαι πᾶσαι. ἔπειτα, καὶ αἱ ἡλικίαι, μὴ τῶν αὐτῶν δεόμεναι. ἔτι δὲ καὶ τῶν χωρίων, αἱ θέσιες. καὶ τῶν πνευμάτων αἱ μεταβολαί.

τῶν τε ὡρέων, αἱ μεταστάσιες. καὶ τοῦ ἐνιαυτοῦ, αἱ καταστάσιες. αὐτῶν τε τῶν σίτων, πολλὴ διαφορά. πυροί τε γὰρ, πυρῶν. καὶ οἶνος, οἴνου. καὶ τἄλλα ὅσα διαιτεόμεθα πάντα διάφορα ἐόντα, ἀποκωλύει δυνατὸν εἶναι ἐς ἀκρίβειαν ξυγγραφῆναι. ἀλλὰ γὰρ αἱ προγνώσιες ἐξευρημέναι ἔμοιγε τῶν ἐπικρατεόντων ἐν τῷ σώματι, ἤν τε οἱ πόνοι κρατέωσι τῶν σιτίων, ἤν τε τὰ σιτία τῶν πόνων, καὶ ὡς χρὴ ἕκαστα ἐξακέεσθαι. προκαταμανθάνειν τε ὑγιείας τὰς φύσεις, μὴ προσπελάζειν τε τὰς νούσους, εἰ μή τις μεγάλα πάνυ ἐξαμαρτάνοι, καὶ πολλάκις. ταῦτα δὲ φαρμάκων δέεται ἤδη. ἔστι δ' ἅσσα οὐδ' ὑπὸ τῶν φαρμάκων δύναται ὑγιάζεσθαι. ὡς μὲν οὖν δυνατὸν εὑρεθῆναι ἔγγιστα τοῦ ὅρου, ἐμοὶ εὕρηται. τὸ δ' ἀκριβὲς, οὐδενί. πρῶτον μὲν οὖν τοῖσι πολλοῖσι τῶν ἀνθρώπων συγγράψω, ἐξ ὧν μάλιστα ἂν ὠφελοῖντο. οἵτινες σιτίοισι προστυχοῦσι χρέονται. πόνοισί τε τοῖσιν ἀναγκαίοισιν, ὁδοιπορίῃσί τε τῇσι πρὸς ἀνάγκας, θαλασσουργίῃσί τε τῇσι πρὸς τὴν συλλογὴν εὑρεθείσῃσι τοῦ βίου. θαλπόμενοί τε, παρὰ τὸ σύμφορον. ψυχόμενοί τε, παρὰ τὸ ὠφέλιμον, τῇ τε ἄλλῃ διαίτῃ ἀκαταστάτῳ χρεόμενοι. τούτοισι δὴ ξυμφέρει, ἐκ τῶν ὑπαρχόντων ὧδε διαιτᾶσθαι.

Τὸν μὲν ἐνιαυτὸν ἐς τέσσαρα μέρεα διαιρέουσιν. ἅπερ μάλιστα γινώσκουσιν οἱ πολλοί. χειμῶνα. ἦρ. θέρος. φθινόπωρον. καὶ χειμῶνα μὲν ἀπὸ πλειάδων δύσιος, ἄχρι ἰσημερίης ἠαρινῆς. ἔαρ δὲ, ἀπὸ ἰσημερίης μέχρι πλειάδων ἐπιτολῆς. θέρος, ἀπὸ πλειάδων μέχρι ἀρκτούρου ἐπιτολῆς. φθινόπωρον δὲ, ἀπὸ ἀρκτούρου μέχρι πλειάδων δύσιος. ἐν μὲν οὖν τῷ χειμῶνι ξυμφέρει πρὸς τὴν ὥρην, ψυχρήν τε καὶ ξυνεστηκυῖαν ὑπεναντιούμενον τοῖσι διαιτήμασιν, ὧδε χρέεσθαι. πρῶτον μὲν μονοσιτίῃσι χρὴ διάγειν, ἢν μὴ πάνυ ξηράν τις τὴν κοιλίην ἔχῃ. εἰ δὲ μὴ, μικρὸν ἀριστῆν. τῇσι δὲ διαιτήμασι χρέεσθαι, τοῖσι ξηροῖσι καὶ αὐστηροῖσι. καὶ θερμαντικοῖσι καὶ συγκομιστοῖσι, καὶ ἀκρήτοισιν. ἀρτοσιτέειν δὲ μᾶλλον, καὶ τοῖσιν ὀπτοῖσι τῶν ὄψων μᾶλλον, ἢ τοῖσιν ἑφθοῖσιν χρέεσθαι. καὶ τοῖσι πόμασι μέλασιν ἀκρητεστέροισι, καὶ ἐλάσσοσι. λαχάνοισιν δὲ ὡς ἥκιστα, πλὴν τοῖσι θερμαντικοῖσι καὶ ξηροῖσι. καὶ χυλοῖσι καὶ ῥοφήμασι ὡς ἥκιστα. τοῖσι δὲ πόνοισι πουλλοῖσιν ἅπασι, τοῖσί τε δρόμοισι καμπτοῖσιν ἐξ ὀλίγου προσάγοντα. καὶ τῇ πάλῃ ἐν ἐλαίῳ. μακρῇ, ἀπὸ κούφων προσαναγκάζοντα. τοῖσι μὲν περιπάτοισιν ἀπὸ τῶν γυμνασίων, ὀξέσιν. ἀπὸ δὲ τοῦ δείπνου, βραδέσιν ἐν ἀλέῃ. ὀρθρίοισί τε πολλοῖσιν ἐξ ὀλίγου ἀρχόμενον, προσάγοντα σφοδρόν. ἀποπαύοντά τε ἡσυχῇ, καὶ σκληροκοιτίῃσι, καὶ νυκτοβατίῃσι, καὶ χοινοβατίῃσι, καὶ κυνοδρομίῃσι χρέεσθαι συμφέρει. πάντα γὰρ ταῦτα, ἰσχναίνει καὶ θερμαίνει. χρέεσθαί τε πλέω. ὁκόταν δὲ ἐθέλῃ λούεσθαι, ἢν μὲν ἐκπονήσῃ ἐν παλαίστρῃ, ψυχρὸν λουέσθω. ἢν δὲ ἄλλῳ τινὶ πόνῳ χρήσηται, τὸ θερμὸν ξυμφορώτερον. χρέεσθαι δὲ καὶ τοῖσιν ἐμέτοισι. τοὺς μὲν ὑγροτέρους, τρεῖς τοῦ μηνός. τοὺς δὲ ξηροτέρους, δὶς ἀπὸ σιτίων παντοδαπῶν. ἐκ δὲ τῶν ἐμέτων, προσάγειν ἡσυχῇ πρὸς τὸ εἰθισμένον σιτίον, ἐς ἡμέρας τρεῖς. καὶ τοῖσι πόνοισι χρῆσθαι κουφοτέροισι καὶ ἐλάττοσι, τοῦτον τὸν χρόνον. ἀπὸ δὲ βοείων καὶ χοιρείων κρεῶν ἢ τῶν ἄλλων ὅ, τι ἂν ὑπερβάλλῃ πλησσόμενον, ἐμέειν. καὶ ἀπὸ πυρωδέων καὶ γλυκέων καὶ λιπαρῶν ἀνεθίστων πλησμονῆς, ἐμέειν συμφέρει. καὶ ἀπὸ μέθης. καὶ σίτων μεταβολῆς. καὶ χωρίων μεταλλαγῆς, ἐμέειν. διδόναι δὲ καὶ τῷ ψύχει, καθαρὸν ἑωυτὸν, πλὴν ἀπὸ τῶν σιτίων καὶ γυμνασίων. ἀλλ' ἔν τε τοῖσιν ὀρθρίοισι περιπάτοισιν, ὁκόταν ἄρξηται τὸ σῶμα διαθερμαίνεσθαι, καὶ τοῖσι δρόμοισι, καὶ ἐν τῷ ἄλλῳ χρόνῳ ὑπερβολὴν φυλασσόμενος. ἀγαθὸν γὰρ τῷ σώματι χειμάζεσθαι ἢ γυμνάζεσθαι ἐν τῇ ὥρῃ. οὐδὲ γὰρ τὰ δένδρα μὴ χειμασθέντα ἐν τῇ ὥρῃ δύνανται καρπὸν φέρειν, οὐδ' αὐτὰ ἔρρωσθαι. χρέεσθαι δὲ καὶ τοῖσι πόνοισι πουλλοῖσι ταύτην τὴν ὥρην ἐς ὑπερβολὴν, ἢν μὴ οἱ κόποι ἐγγίνωνται. τοῦτο τεκμήριον διδάσκω τοὺς ἰδιώτας. διότι τάδε οὕτως ἔχει, φράσω. τῆς ὥρης οὔσης ψυχρῆς καὶ συνεστηκυίης, παραπλήσια πέπονθε καὶ τὰ ζῶα. βραδέως οὖν ἀνάγκη διαθερμαίνεσθαι τὰ σώματα ὑπὸ τοῦ πόνου. καὶ τοῦ ὑγροῦ μικρόν τι μέρος ἀποκρίνεσθαι τοῦ ὑπάρχοντος. εἶτα τοῦ χρόνου ὃν τινα μὲν πονέει, ἀποδέδοται ὀλίγος. ὃν τινα δὲ ἀναπαύεται, πουλύς. ἡ μὲν γὰρ ἡμέρη, βραχείη. ἡ δὲ νὺξ, μακρή. διὰ ταῦτα οὖν οὐκ ἔχει ὑπερβολὴν ὁ χρόνος καὶ ὁ πόνος. χρὴ οὖν διὰ ταῦτα τὴν ὥρην ταύτην οὕτω διαιτῆσθαι. ἀπὸ πλειάδων δύσιος μέχρις ἡλίου τροπῶν, ἡμέρας τεσσαράκοντα τέσσαρας. περὶ δὲ τὴν τροπὴν, ἐν φυλακῇ ὅτι μάλιστα εἶναι. καὶ ἀπὸ τροπῆς ἡλίου, ἄλλας τοσαύτας ἡμέρας, τῇ αὐτῇ διαίτῃ χρέεσθαι. ἐπὴν δὲ ὥρη ἐπανάγῃ τὸν ζέφυρον καὶ μαλακωτέρη γίνηται, δεῖ καὶ τῇ διαίτῃ μετὰ τῆς ὥρης ἕπεσθαι, ἡμέρας πεντεκαίδεκα, ὅτε ἡ ἀρκτούρου ἐπιτολὴ καὶ χελιδὼν ἤδη φαίνεται. τὸν

ἐχόμενον

ἐχόμενον δὲ χρόνον, ποικιλώτερον ἤδη διάγειν μέχρις ἰσημερίης, ἡμέρας τριάκοντα δύο. χρὴ οὖν καὶ τοῖσι διαιτήμασι, χρέεσθαι τῇ ὥρῃ, διαποικίλλοντα φαυλοτέροισι καὶ κουφοτέροισι. τοῖσί τε σιτίοισι, καὶ τοῖσι ποτοῖσι, καὶ πόνοισι προσάγοντα ἡσυχῇ πρὸς τὸ ἔαρ.

Ὁκόταν δὲ ἰσημερίη γένηται ἤδη μαλακωτέρη, καὶ αἱ ἡμέραι μὲν μακρότεραι. αἱ νύκτες δὲ, βραχύτεραι. καὶ ἡ ὥρη θερμή τε καὶ ξηρὴ καθιστῇ, καὶ ἡ παρεοῦσα τρόφιμός τε καὶ ἄκρητος. δεῖ οὖν ὥσπερ τὰ δένδρεα παρασκευάζεται ἐν ταύτῃ τῇ ὥρῃ, ἃ τοῖσιν ὠφελείην ἐστὶ τὸ θέρος, οὐκ ἔχοντα γνώμην, αὔξησίν τε καὶ σκιὴν, οὕτω καὶ τὸν ἄνθρωπον. ἐπεὶ γὰρ γνώμην ἔχει, τῆς σαρκὸς τὴν αὔξησιν δεῖ ὑγιηρὴν αὐτὴν παρασκευάζειν. χρὴ οὖν, ὡς μὴ ἐξαπίνης τὴν δίαιταν μεταβάλλειν, διελεῖν τὸν χρόνον ἐς μέρεα ἓξ, κατὰ ὀκτὼ ἡμέρας. ἐν γοῦν τῇ πρώτῃ μοίρῃ χρὴ τῶν τε πόνων ἀφαιρέειν, καὶ τοῖσι λοιποῖσι ὀξυτέροισι χρέεσθαι. τοῖσι δὲ σιτίοισι, μαλακωτέροισί τε, καὶ πόμασιν ὑδαρεστέροισι, καὶ λευκοτέροισι. καὶ τῇ πάλῃ σὺν ἐλαίῳ ἐν τῷ ἡλίῳ χρέεσθαι. ἐν ἑκάστῃ δὲ τῇ ὥρῃ, ἕκαστα τῶν διαιτημάτων μεθιστάναι κατὰ μικρόν. καὶ τῶν περιπάτων ἀφαιρέειν, τῶν μὲν ἀπὸ τοῦ δείπνου, τοὺς πλείους. τῶν δὲ ὀρθρίων, ἐλάσσους. καὶ τῆς μάζης ἀντὶ τῶν ἄρτων προστίθεσθαι. καὶ τῶν λαχάνων τῶν ἑψανῶν προσάγειν. καὶ τὰ ὄψα ἀνισάζειν τὰ ἑφθὰ τοῖσιν ὀπτοῖσι. λουτροῖσί τε χρέεσθαι καὶ ἐναρίστην μικρόν, ἀφροδισίοισί τε ἐλάσσοσι, καὶ τοῖσιν ἐμέτοισι. τὸ μὲν πρῶτον ἐκ τῶν δύο ποιέεσθαι. εἶτα διὰ πλείονος χρόνου. ὅκως ἂν καταστήσῃ τε τὸ σῶμα συσσαρκωμένον καθαρῇ σαρκί. καὶ τὴν δίαιταν μαλακὴν ἐν τουτέῳ τῷ χρόνῳ, μέχρι πλειάδων ἐπιτολῆς.

Ἐν τούτῳ, ἤδη θέρος, καὶ τὴν δίαιταν ἤδη χρὴ πρὸς τοῦτο ποιέεσθαι. χρὴ οὖν ἐπειδὰν πλειὰς ἐπιτείλῃ, τοῖσί τε σιτίοισι μαλακωτέροισι καὶ ἐλάσσοσι χρέεσθαι. εἶτα τῇ μάζῃ πλεῖον, ἢ τῷ ἄρτῳ. ταύτῃ δὲ προφυρητῇ ἀτριπτοτέρῃ. τοῖσι δὲ πόμασι, μαλακοῖσι. λευκοῖσιν. ὑδαρέσιν. ἀρίστῳ δὲ, ὀλίγῳ. καὶ ὕπνοισιν ἀπὸ τοῦ ἀρίστου, βραχέσι. καὶ πλησμονῇσιν ὡς ἥκιστα, τῶν σιτίων τε καὶ ποτῶν. ἱκανῶς μὲν τῷ σίτῳ χρέεσθαι. δι' ἡμέρης δὲ ὡς ἥκιστα πίνειν, ἢν μὴ ἀνάγκη τινὶ ξηρασίῃ τὸ σῶμα χρήσηται. χρέεσθαι δὲ, τοῖσι λαχάνοισι τοῖσιν ἑφθοῖσι, πλὴν τῶν καυσωδέων καὶ ξηρῶν. χρέεσθαι δὲ καὶ τοῖσιν ὠμοῖσι, πλὴν τῶν θερμαντικῶν καὶ ξηρῶν. ἐμέτοισι δὲ, ἤν μή τις πλησμονὴ ἐγγένηται, μὴ χρέεσθαι. τοῖσι δὲ ἀφροδισίοισιν, ὡς ἥκιστα. λουτροῖσι δὲ, χλιαροῖσι χρέεσθαι.

Ἡ δὲ ὀπώρη, ἰσχυρότερον τῆς ἀνθρωπίνης φύσιος. βέλτιον οὖν, ὀπωρῶν ἀπέχεσθαι. εἰ δὲ χρῷτό τις, μετὰ τῶν σιτίων χρεόμενος, ἥκιστ' ἂν ἐξαμαρτάνοι. τοῖσί τε πόνοισι τοῖσί τε τροχοῖσι, χρὴ γυμνάζεσθαι. καὶ διαύλοισιν ὀλίγοισι πολλὸν χρόνον. καὶ τοῖσι περιπάτοισιν ἐν σκιῇ. τῇ τε πάλῃ, ἐν κόνει, ὅκως ἥκιστα ἐκθερμαίνηται. ἡ γὰρ ἀλίνδησις βέλτιον, ἢ οἱ τροχοί. ψύχουσι γὰρ τὸ σῶμα, κενοῦντες τοῦ ὑγροῦ. ἀπὸ δείπνου τε μὴ περιπατέειν, ἀλλ' ἢ ὅσον ἐξαναστῆναι. πρωῒ δὲ χρέεσθαι τοῖσι περιπάτοισιν. ἡλίους δὲ φυλάσσειν καὶ τὰ ψύχεα, τά τε ἐν πρωῒ, καὶ τὰ ἐν τῇ ἑσπέρῃ, ὁκόσα ποταμοὶ ἢ λίμναι, ἢ χιόνες ἀποπνέουσι. ταύτῃ δὲ τῇ διαίτῃ προσανεχέτω, μέχρις ἡλίου τροπέων. ὅκως ἐν τουτέῳ τῷ χρόνῳ, ἀφαιρήσῃ πάντα, ὁκόσα ξηρὰ, καὶ θερμὰ, καὶ μέλανα, καὶ ἄκρητα, καὶ τοὺς ἄρτους, πλὴν ἔτι μικρὸν ἡδονῆς παρέχειν εἵνεκα. τὸν ἐχόμενον δὲ χρόνον διαιτήσεται τοῖσι μαλακοῖσι, καὶ ὑγροῖσι, καὶ ψυκτικοῖσι, καὶ λευκοῖσι, μέχρις ἀρκτούρου ἐπιτολῆς καὶ ἰσημερίης, ἡμέρας ἐνενήκοντα τρεῖς.

Ἀπὸ δὲ ἰσημερίης, ὧδε χρὴ διαιτεῖσθαι, προσάγοντα πρὸς τὸν χειμῶνα ἐν τῷ φθινοπώρῳ. φυλασσόμενον τὰς μεταβολὰς τῶν ψυχέων, καὶ τῆς ἀλέης ἐσθῆτι παχείῃ. χρέεσθαι δὲ ἐν τουτέῳ τῷ χρόνῳ, ἐν ἱματίῳ προκινήσαντα τῇ τε τρίψει καὶ τῇ πάλῃ, ἐν ἐλαίῳ ἡσυχῇ προσάγοντα. καὶ τοὺς περιπάτους ποιέεσθαι ἐν ἀλέῃ. θερμολουσίῃ τε χρέεσθαι καὶ τοὺς ἡμερινοὺς ὕπνους ἀφαιρέειν, καὶ τοῖσι σιτίοισι θερμοτέροισι, καὶ ἧσσον ὑγροῖσι καὶ καθαροῖσι. καὶ τοῖσι πόμασι μελανωτέροισι, μαλακοῖσι δὲ καὶ μὴ ὑδαρέσι. τοῖσί τε λαχάνοισιν ἧσσον. τῇ τε ἄλλῃ διαίτῃ προσάγειν πάσῃ τῶν θερινῶν ἀφαιρεῦντα, τοῖσι χειμερινοῖσι χρέεσθαι μὴ ἐς ἄκρον. ὅκως καταστήσῃ ὡς ἔγγιστα τῆς χειμερινῆς διαίτης, ἐν ἡμέρῃσιν δυοῖν δεούσαιν ἢ πεντήκοντα μέχρι πλειάδων δύσιος ἀπὸ ἰσημερίης.

Ταῦτα μὲν παραινέω τῷ πλήθει τῶν ἀνθρώπων, ὁκόσοισιν ἐξ ἀνάγκης, εἰκῆ τὸν βίον διατελέειν ἐστὶ, μὴ δ' ὑπάρχει αὐτέοισι τῶν ἄλλων ἀμελήσαντας τῆς ἑωυτῶν ὑγιείης ἐπιμελεῖσθαι. οἷσι δὲ τοῦτο παρεσκεύασται καὶ διέγνωσται, ὅτι οὐδὲν ὄφελός ἐστιν, οὔτε χρημάτων, οὔτε σώματος, οὔτε τῶν ἄλλων οὐδενὸς, ἄτερ τῆς ὑγιείης, πρὸς τουτέους ἐστί μοι δίαιτα ἐξευρημένη, ὡς ἀνυστὸν πρὸς τὸ ἀληθέστατον τῶν δυνα-

τῶν προειρημένων. ταύτῃ μὲν οὖν προϊόντι τῷ λόγῳ, δηλώσω. τόδε δὲ τὸ ἐξεύρημα, καλὸν μὲν ἐμοὶ τῷ εὑρόντι. ὠφέλιμον δὲ, τοῖσι μαθοῦσιν. οὐδεὶς δέκω τῶν πρότερον, οὐδὲ ἐπεχείρησε ξυνθεῖναι, ὃ πρὸς ἅπαντα τὰ ἄλλα πολλοῦ κρίνω εἶναι ἄξιον. ἔστι προδιάγνωσις μὲν πρὸ τοῦ κάμνειν, διάγνωσις δὲ τῶν σωμάτων, τί πέπονθε. πότερον τὸ σιτίον κρατεῖ τοὺς πόνους, ἢ οἱ πόνοι τὰ σιτία. ἢ μετρίως ἔχει πρὸς ἄλληλα. ἀπὸ μὲν γὰρ τοῦ κρατέεσθαι ὁκότερον οὖν, νοῦσοι ἐγγίνονται. ἀπὸ δὲ τοῦ ἰσάζειν πρὸς ἄλληλα, ὑγείη πρόσεστιν. ὑπὲρ τούτων δὴ τὰ εἴδεα ἐπέξειμι, καὶ δείξω ὁκοῖα γίνεται τοῖσιν ἀνθρώποισιν ὑγιαίνειν δοκέουσι, καὶ ἐσθίουσί τε ἡδέως, πονέειν τε δυναμένοισι, καὶ σώματος καὶ χρώματος ἱκανῶς ἔχουσιν. αἱ ῥῖνες ἄτερ προφάσιος φανερῆς, ἐμπλύσσονται ἀπὸ τοῦ δείπνου. καὶ δοκέουσι μὲν πλήρεες εἶναι. μύσσονται δὲ, οὐδέν. ὁκόταν δὲ περιπατεῖν ἄρξωνται τοῦ ὄρθρου καὶ γυμνάζεσθαι, τότε μύσσονται καὶ πτύουσι. καὶ προϊόντος τοῦ χρόνου, καὶ τὰ βλέφαρα βαρέα ἴσχουσι. καὶ τὸ μέτωπον ξυσμὴ λαμβάνει. τῶν τε σίτων ἀπέχονται. καὶ πίνειν ἧσσον δύνανται. ἀχροίη τε τουτέοισιν ἡ χροιὴ γίνεται. καὶ ἢ κατάῤῥοοι κινέονται, ἢ πυρετοὶ φρικώδεες, καθ' ὅτι ἂν τύχῃ τοῦ χρόνου ἡ πλησμονὴ κινηθεῖσα. ὅτι δ' ἂν τύχῃ ποιήσας ἐπὶ τοῦτον τὸν καιρὸν, τοῦτο αἰτιῆται οὐκ αἴτιον ἐόν. τουτέῳ γὰρ κρατεῦντα τὰ σιτία τοὺς πόνους, κατὰ μικρὸν ξυλλεγομένη ἡ πλησμονὴ, ἐς νοῦσον ἤγαγεν. ἀλλ' οὐ χρὴ προΐεσθαι μέχρι τουτέου, ἀλλ' ὁκόταν γνῷ τὰ πρῶτα τῶν τεκμηρίων, εἰδέναι ὅ, τι κρατεῖ τὰ σιτία τοὺς πόνους ἐπὶ μικρὸν ξυλλεγόμενα, πλησμονή ἐστι. μύξαι γὰρ καὶ σίελα, πλησμονῆς ἐστι κρίσις. ἀτρεμίζοντος μὲν διὰ τοῦ σώματος, φράσσουσι τοὺς πόρους τοῦ πνεύματος, πολλῆς ἐνεούσης τῆς πλησμονῆς. θερμαινόμενον δὲ ὑπὸ τοῦ πόνου, ἀποκρίνεται λεπτυνόμενον. χρὴ δὲ τὸν τοιοῦτον ἐκθεραπεύειν ὧδε. διαπονήσαντα ἐν τοῖσι γυμνασίοισι τοῖσιν εἰθισμένοισιν ἀκόπως, θερμῷ λουσάμενον, σιτίσαι παντοδαποῖσι, καὶ ποιῆσαι ἐμέσαι. ἐκ δὲ τοῦ ἐμέτου, κλύσαι τὸ στόμα καὶ τὴν φάρυγγα οἴνῳ αὐστηρῷ, ὅκως ἂν στυφῇ τὰ στόματα τῶν φλεβῶν, καὶ μηδὲν ἐπικατασπασθῇ, ὁκοῖα γίνεται ἀπὸ ἐμέτων. εἶτα ἀναστὰς, περιπατησάτω ἐν ἀλέῃ ὀλίγα. ἐς δὲ τὴν ὑστεραίην, τοῖσι μὲν περιπάτοισι, χρέεσθαι. τοῖσι δὲ γυμνασίοισιν, ἐλάσσοσι καὶ κουφοτέροισιν ἢ πρόσθεν. καὶ ἀνάριστος διαγέτω ἢν θέρος ᾖ. ἢν δὲ μὴ θέρος ᾖ, μικρὸν ἐπιφαγέτω. καὶ τοῦ δείπνου ἀφελεῖν τὸ ἥμισυ, οὗ ἤθελε δειπνεῖν. τῇ δὲ τρίτῃ τοὺς μὲν πόνους ἀποδότω τοὺς εἰθισμένους πάντας καὶ τοὺς περιπάτους. τοῖσι δὲ σιτίοισι προσαγέτω ἡσυχῇ, ὅκως τῇ πέμπτῃ ἀπὸ τοῦ ἐμέτου κομιεῖται τὸ σιτίον τὸ εἰθισμένον. κἢν μὲν ἀπὸ τουτέου ἱκανῶς ἔχῃ, θεραπευέσθω τὰ ἐπίλοιπα. τοῖσι μὲν σιτίοισιν, ἐλάσσοσι. τοῖσι δὲ πόνοισι, πλείοσιν. ἢν δὲ μὴ καθεστήκῃ τὰ τεκμήρια τῆς πλησμονῆς, διαλιπὼν δύο ἡμέρας ἀφ' ἧς ἐκομίσατο τὰ σιτία, ἐμεσάτω πάλιν, καὶ προσαγέτω κατὰ τὰ αὐτά. ἢν δὲ μὴ καὶ ἐκ τρίτου, μέχρις ἂν ἀπαλλαγῇ τῆς πλησμονῆς. εἰσὶ δέ τινες τῶν ἀνθρώπων, οἵ τινες ὁκόταν κρατέωνται οἱ πόνοι ἀπὸ τῶν σιτίων, τοιαῦτα πάσχουσιν. ἀρχομένης μὲν τῆς πλησμονῆς, ὕπνοι μακροὶ καὶ ἡδέες αὐτοῖσιν ἐπιγίνονται, καὶ ὑπὲρ τῆς ἡμέρης ὑπερκοιμῶνται. ὁ δὲ ὕπνος γίνεται τῆς σαρκὸς ὑγρανθείσης, καὶ χεῖται τὸ αἷμα, καὶ γαληνίζει διαχεόμενον τὸ πνεῦμα. ὁκόταν δὲ μὴ δέχηται ἔτι τὸ σῶμα τὴν πλησμονὴν, ἀπόκρισιν ἤδη ἀφίησιν ἔσω ὑπὸ βίης τῆς περιόδου, ἥτις ὑπεναντιουμένη τῇ τροφῇ, τῇ ἀπὸ τῶν σιτίων, ταράσσει τὴν ψυχήν. οὐκέτι κατὰ τοῦτον τὸν χρόνον ἡδέες οἱ ὕπνοι, ἀλλ' ἀνάγκη ταράσσεσθαι τὸν ἄνθρωπον, καὶ δοκέει μάχεσθαι. ὁκοῖα γάρ τινα πάσχει τὸ σῶμα, τοιαῦτα ὁρῇ ἡ ψυχὴ, κρυπτομένης τῆς ὄψιος. ὁκόταν οὖν ἐς τοῦτο ἥκῃ ὁ ἄνθρωπος, ἐγγὺς ἤδη τοῦ κάμνειν ἐστίν. ὅτι δὲ ἥξει τὸ νούσημα, μάλα δῆλον. ὁκοῖα γὰρ ἂν ἔλθῃ ἀπόκρισις, καὶ ὅτου ἂν κρατήσῃ, τοῦτο ἐνόσησεν. ἀλλ' οὐ χρὴ πρόεσθαι τὸν ἀφρονέοντα, ἀλλ' ὁκόταν ἐπιγνῷ τῶν τεκμηρίων τὰ πρῶτα τῆς θεραπείης ἔχεσθαι. καὶ δὴ τοῦτον ὥσπερ τὸν πρότερον ἐκθεραπεύειν. πλείονος δὲ χρόνου καὶ λιμοκτονίης δέεται. ἔστι δὲ καὶ τοιάδε τὰ τεκμήρια πλησμονῆς. ἀλγέει τὸ σῶμα οἷς μὲν ἅπαν. οἷς δὲ, μέρος τι τοῦ σώματος, ὅ, τι ἂν τύχῃ. τὸ δὲ ἄλγος ἐστὶν, ὁκοῖον κόπος, καὶ δοκέουσι κοπιῆν. ῥᾳθυμίῃσί τε καὶ πλησμονῇσι θεραπεύονται μέχρις ἂν ἐς πυρετὸν ἀφίκωνται. καὶ οὐδέπω οὐδὲ τοῦτο γινώσκουσιν, ἀλλὰ λουτροῖσί τε καὶ σιτίοισι χρησάμενοι, ἐς περιπλευμονίην κατέστησαν τὸ νόσημα. καὶ ἐς κίνδυνον τὸν ἔσχατον ἀφικνέονται. ἀλλὰ χρὴ προμηθέεσθαι πρὶν ἂν ἐς τὰς νόσους ἀφικνέωνται, καὶ θεραπεύεσθαι τῷδε τῷ τρόπῳ. μάλιστα μὲν πυριηθέντα μαλακῇσι πυρίῃσι τὸν ἄνθρωπον, εἰ δὲ μὴ λουσάμενον πολλῷ καὶ θερμῷ,

διαλύσαντα

διαλύσαντα τὸ σῶμα, ὡς μάλιστα χρησάμενον τοῖσι σιτίοισι, πρῶτον μὲν τοῖσι δριμέσι καὶ πλείστοισιν. εἶτα τοῖσιν ἁλυκοῖσιν, ἐξεμέσαι εὖ. καὶ ἐξαναστάντα περιπατῆσαι ὀλίγον χρόνον ἐν ἀλέῃ. ἔπειτα καταδαρθεῖν. πρωῒ δὲ τοῖσι περιπάτοισιν ἐξ ὀλίγου προσάγοντα χρέεσθαι, καὶ τοῖσι γυμνασίοισι κούφοισι, καὶ τοῖσι προσαγωγοῖσι καθάπερ καὶ τὸ πρότερον. ἰσχνασίης δὲ τῶν πλείστης δ' ἔστι καὶ περιπάτων. ἢν δὲ μὴ προνοηθεὶς ἐς πυρετὸν ἀφίκηται, προσφέρειν μηδὲν ἄλλο, ἀλλ' ἢ ὕδωρ ἡμερέων τριῶν. ἢν μὲν οὖν ἐν ταύτῃ παύσηται. εἰ δὲ μή, πτισάνης χυλῷ θεραπεύεσθαι, καὶ ἢ τεταρταῖος ἢ ἑβδομαῖος ἐκστήσεται, εἰ ἐξιδρώσει. ἀγαθὸν δὲ τοῖσι χρίσμασι χρέεσθαι τοῖσιν ἱδρωτικοῖσιν, ὑπὸ τὰς κρίσιας, ἐξανατήκουσι γάρ. πάσχουσι δέ τινες καὶ τοιάδε ἀπὸ πλησμονῆς. ἡ κεφαλὴ ἀλγέει καὶ βαρύνεται. καὶ τὰ βλέφαρα πίπτει αὐτέοισιν ἀπὸ τοῦ δείπνου. ἔν τε τοῖς ὕπνοις ταράσσονται καὶ δοκέει θέρμη ἐν εἶναι. ἥ τε κοιλίη ἐφίσταται ἐνίοτε. ὁκόταν δὲ ἀφροδισιάσῃ, δοκέει κουφότερος εἶναι ἐς τὸ παραυτίκα. ἐξ ὑστέρου δὲ μᾶλλον βαρύνεται. τούτοισι μὲν ἡ κεφαλὴ τὴν πλησμονὴν ἀντισπῶσα, τήν τε κοιλίην ἐφίστησι, καὶ αὐτὴ βαρύνεται. κίνδυνοι δὲ ὑπόκεινται, ὅκη ἂν ῥαγῇ ἡ πλησμονὴ τῶν διαφθείρει. ἀλλὰ χρὴ προμηθέεσθαι ὧδε. ἢν βούληται μὲν θεραπείην ταχείην ποιέεσθαι ἐλλεβόρῳ καθαρθῆναι. εἶτα προσάγειν τοῖσι σιτίοισι κούφοισι καὶ μαλακοῖσιν, ἡμέρας δέκα. τοῖσι δὲ σιτίοισι διαχωρητικοῖσιν, ὅπως κρατήσῃ ἡ κάτω κοιλίη, τὴν κεφαλὴν κάτω ἀντισπάσαι. καὶ τοῖσιν δρόμοισι βραδέσι, καὶ τοῖσιν ὀρθίοισι, καὶ τοῖσι περιπάτοισιν ἱκανοῖσι. τῇ τε ἐν ἐλαίῳ πάλῃ, ἀρίστῳ τε χρέεσθαι, καὶ ὕπνῳ ἀπὸ τοῦ ἀρίστου οὐ μακρῷ. ἀπὸ τοῦ δείπνου δέ, ὁκόσον ἐξαναστῆναι ἱκανόν. καὶ τὸ μὲν λούεσθαι, τὸ δὲ χρίεσθαι. λούεσθαι δὲ χλιερῷ. λαγνείης δὲ ἀπέχεσθαι. αὕτη μὲν ἡ ταχυτέρη θεραπείη. εἰ δὲ μὴ βούλοιτο φαρμακοποτέειν λουσάμενον πολλῷ, ἐμέσαι ἐκ σιτίων γλυκέων καὶ ἁλυκῶν. ἐξεμέτω δέ, ὅσον ἐξαναστῆναι. πρωῒ δέ, τοῖσι περιπάτοισι προσάγειν. καὶ τοῖσι γυμνασίοισι τοῖσι προγεγραμμένοισιν, ἐς ἡμέρας ἕξ. τῇ δὲ ἑβδόμῃ πλησμονὴν προσθέντα, ἔμετον ποιήσασθαι, ἀπὸ τῶν ὁμοίων σιτίων. καὶ προσάγειν κατὰ τὸ αὐτό. χρέεσθαι δὲ τούτοισιν, ἐπὶ τέσσαρας ἑβδομάδας. μάλιστα γὰρ ἐν τοσούτῳ χρόνῳ καθίσταται. εἶτα προσάγειν ὅπως τὸ σῶμα κομίσηται. καθιστάναι δὲ τὴν αἰτίην ἐς τὸ σύνηθες κατὰ μικρόν. γίνεται δὲ καὶ τοιάδε ἀπὸ πλησμονῆς. ὁκόσοισι μὲν ἡ κοιλίη κατέπεσσε τὸ σιτίον, αἱ δὲ σάρκες μὴ δέχονται, ἐμμένουσα ἡ τροφή, φῦσαν ἐμποιέει. ὁκόταν δὲ ἀριστήσῃ καθίσταται. ὑπὸ γὰρ τοῦ ἰσχυροτέρου, τὸ κουφότερον ἐξελαύνεται. καὶ δοκέουσιν ἀπηλλάχθαι. τὸ δὲ πολὺ πλέον, ἐς τὴν ὑστεραίην παραγίνεται. ὁκόταν δὲ καθ' ἡμέρην ἑκάστην αὐξανόμενον ἰσχυρὸν γένηται, ἐκράτησε τὸ ὑπάρχον τῶν ἐπεισενεχθέντων, καὶ ἐξεθέρμηνε καὶ ἐτάραξεν ἂν τὸ σῶμα καὶ ἐποίησε διάρροιαν. τῶν γὰρ ὀνομάζεται, ἕως ἂν αὐτὴ μούνη ἀπελθοῦσα ἡ τροφὴ ὑποχωρέει. ὁκόταν δὲ θερμαινομένου τοῦ σώματος κάθαρσις δριμέα γένηται, τό τε ἔντερον ξύεται καὶ ἑλκοῦται, καὶ διαχωρέεται αἱματώδεα, τῶν δὲ δυσεντερίη καλέεται, νοῦσος χαλεπή τε καὶ ἐπικίνδυνος. ἀλλὰ χρὴ προμηθέεσθαι, καὶ τὸ ἄριστον ἀφαιρέεσθαι. καὶ τοῦ δείπνου τὸ τρίτον μέρος. τοῖσι δὲ δρόμοισι πλείοσι, καὶ τῇσι πάλῃσι καὶ τοῖσι περιπάτοισι χρέεσθαι, ἀπό τε τῶν γυμνασίων καὶ ὄρθρου. ὁκόταν δέκα γίνωνται, προσθεῖναι τοῦ σίτου τὸ ἥμισυ τοῦ ἀφαιρεθέντος. καὶ ἔμετον ποιήσασθαι, καὶ προσαγαγεῖν ἐς ἡμέρας τέσσαρας. ὁκόταν δὲ ἄλλη δεκὰς γένηται, τόν τε σῖτον τὸν λοιπὸν προσθέσθαι, καὶ ἔμετον ποιήσασθαι. καὶ προσάγων πρὸς τὸν σῖτον, ὑγιέα ποιήσεις ἐν τούτῳ τῷ χρόνῳ. τοῖσι δὲ πόνοισι θαρρέειν τοῦ σίτου πιέζων. Γίνεται δὲ καὶ τοιάδε πλησμονή. ἐς τὴν ὑστεραίην τὸν σῖτον ἐρυγγάνεται ὠμόν, ἄτερ ὀξυρεγμίης. ἢν δὲ ἡ κοιλίη διαχωρέῃ, ἐλάσσω μέν, ἢ πρὸς τὰ σιτία. ὅμως δὲ ἱκανῶς. πόνος δὲ οὐδεὶς ἐγγίνεται, τουτέοισιν ἡ κοιλίη ψυχρὴ ἐοῦσα, οὐ δύναται καταπέσσειν τὰ σιτία ἐν τῇ νυκτί. ὁκόταν γοῦν κινηθῇ, ἐρυγγάνεται τὸν σῖτον ὠμόν. δεῖ οὖν τούτῳ παρασκευάσαι τῇ κοιλίῃ θερμασίην, ἀπό τε τῆς διαίτης ἀπό τε τῶν πόνων. καὶ πρῶτον μὲν οὖν χρή, ἄρτῳ συγκομιστῷ χρέεσθαι ζυμίτῃ. διαθρύπτοντα δὲ ἐς οἶνον μέλανα, ἢ ζωμὸν ὑείων κρεῶν. τοῖσι δὲ ἰχθύσιν ἑφθοῖσιν ἐν ἅλμῃ δριμείῃ. χρέεσθαι μὲν καὶ τοῖσι σαρκώδεσιν, οἷον ἀκρωκωλίοισί τε διέφθοισι, τοῖσιν ὑείοισιν πλείοσι. καὶ τοῖσι ὑείοισι ἑφθοῖσι. τοῖσί τε χοιρέοισι μὴ πολλοῖσι, καὶ σκυλάκων, καὶ ἐρίφων, λαχάνοισι δέ, πράσοισί τε καὶ σκορόδοισιν ἑφθοῖσι καὶ ὠμοῖσι. βλίτῳ τε ἑφθῷ καὶ κολοκύντῃ. πόμασι τε ἀκρητεστέροισιν. ὕπνοισί τε μακροῖσιν, ἀναιρέσιεσι τε πρώτην. ὕπνοισί τε ἀπὸ τῶν γυμνασίων, τοῖσί τε δρόμοισι καμπτοῖσιν ἐξ ὀλίγου, προσάγειν τε πάλην μαλακὴν ἐν ἐλαίῳ. λουτροῖσι τε ὀλίγοισι. χρίσμασι πλείοσι.

τοῖσί τε πρωῒ περιπάτοισι πλείοσιν. ἀπὸ δείπνου τε ὀλίγοισι. καὶ τὸ σύνηον μετὰ τῶν σιτίων ἀγαθόν. ἀκρητόν τε ἐπ' αὐτέῳ. ἐκ δὲ ταύτης τῆς θεραπείης καθίσταται τοῖσι μὲν θᾶσσον, τοῖσι δὲ βραδύτερον. Ἄλλοι δέ τινες τοιάδε πάσχουσιν. ἀχροῦσι τὴν ὄψιν. καὶ ὁκόταν φάγωσιν, ἐρυγγάνουσιν ὀλίγον ὕστερον ὀξέα. καὶ ἐς τὰς ῥῖνας ἀνέρπει τὸ ὀξύ. τούτοισι τὰ σώματα, οὐ καθαρά ἐστιν. ὑπὸ γὰρ τοῦ πόνου, πλεῖον τὸ συντηκόμενον τῆς σαρκὸς, ἢ τὸ ἀποκαθαιρόμενον ὑπὸ τῆς περιόδου. ἐμμένον δὴ τοῦτο, ἐναντιοῦται τῇ τροφῇ, καὶ βιάζεται, καὶ ἀποξύνει. ἡ μὲν οὖν τροφὴ, ἐρυγγάνεται. αὐτὸ δὲ ὑπὸ τοῦ δέρματος ἐξωθέεται, καὶ τῷ ἀνθρώπῳ ἀχροίαν ἐμποιεῖ, καὶ νόσους ὑδρωποειδέας ἀποκυΐσκει. ἀλλὰ χρὴ προμηθέεσθαι ὧδε. ἡ μὲν οὖν ταχυτέρη θεραπείη, ἐλλέβορον πίσαντα προσάγειν, ὥσπερ γέγραπταί μοι. ἡ δὲ ἀσφαλεστέρη, ὑπὸ τῆς διαίτης, ὧδε. πρῶτον μὲν λουσάμενον θερμῷ, ἔμετον ποιήσασθαι. εἶτα προσάγειν ἡμέρας ἀπὸ τοῦ ἐμέτου ἑπτὰ, τὸ σιτίον τὸ εἰθισμένον. δεκάτῃ δὲ ἡμέρῃ ἀπὸ τοῦ ἐμέτου, αὖθις ἐμεέτω. καὶ προσαγέτω κατὰ τὸ αὐτό. καὶ τὸ τρίτον ὡσαύτως ποιησάτω. καὶ δρόμους. τοῖσι μὲν τροχοῖσιν ὀλίγοισι, καὶ ὀξέσι. καὶ ἐν κινήμασι καὶ ἐν τρίψει. καὶ ἐν διατριβῇ πολλῇ χρήσθω ἐν τῷ γυμνασίῳ. καὶ ἀλινδήσει χρεέσθω. τοῖσι περιπάτοισι πολλοῖσιν, ἀπὸ τῶν γυμνασίων, ἀλλὰ μὴν καὶ ἀπὸ τοῦ δείπνου. πλείστοισι δὲ τοῖσιν ὀρθρίοισιν ἐκκεκονιαμένοισι χρεέσθω. ὁκόταν δὲ λούεσθαι θέλῃ, θερμῷ λουέσθω. ἀνάριστος δὲ διατελεέτω τοῦτον τὸν χρόνον. καὶ ἢν μὲν ἐν ἑνὶ μηνὶ καθιστῶνται, θεραπευέσθω τὸ λοιπὸν τοῖσι προσήκουσιν. ἢν δέ τι ὑπόλοιπον ᾖ, χρεέσθω τῇ θεραπείῃ. εἰσὶ δέ τινες οἷσιν ἐς τὴν ὑστεραίην ὀξυρεγμίαι γίνονται, τούτοισιν ἐν τῇ νυκτὶ ἡ ἀπόκρισις ὑπὸ τῆς πλησμονῆς γίνεται. ὁκόταν οὖν κινηθῇ ἐκ τοῦ ὕπνου τὸ σῶμα, πυκνοτέρῳ τῷ πνεύματι χρησάμενον, βιάζεται ἔξω σὺν τῷ πνεύματι, θερμόν τε καὶ ὀξύ. καὶ ἐκ τούτου νόσοι γίνονται, ἢν μή τις προμηθέηται. ξυμφέρει δὲ καὶ τούτοισιν ὡς καὶ τῷ προτέρῳ τὴν θεραπείην ποιήσασθαι. τοῖσι δὲ πόνοισι, πλείοσι χρὴ τούτους χρεέσθαι. Γίνεται δέ τισι καὶ τοιάδε. ἐν τοῖσι πυκνοσάρκοισι τῶν σωμάτων, ὅταν τὰ σιτία διαθερμαίνηται, καὶ διαχέηται, καὶ ἀπὸ πρώτου ὕπνου θερμαινομένης τῆς σαρκὸς, ὑπό τε τῶν σιτίων διὰ τὸν ὕπνον ἀπόκρισις γίνεται ἀπὸ τῆς σαρκὸς πουλλὴ ὑγρασίη. εἶτα τὴν μὲν τροφὴν ἡ σὰρξ οὐ δέχεται, πυκνὴ ἐοῦσα. τὸ δὲ ἀπὸ τῆς σαρκὸς ἀποκριθὲν, ἐναντιούμενον τῇ τροφῇ καὶ βιαζόμενον ἔξω, πνίγει τὸν ἄνθρωπον, καὶ θερμαίνει, μέχρις ἂν ἐξεμέσῃ. ἔπειτα κουφότερος ἐγένετο. πόνος δὲ οὐδεὶς ἐν τῷ σώματι φανερός. ἀχροία δὲ αὐτῷ ἔνεστι. προϊόντος δὲ τοῦ χρόνου, πόνοι τε γίνονται καὶ νόσοι. πάσχουσι δὲ τούτοισι παραπλήσια καὶ ὁκόσοι ἀγύμναστοι ἐόντες, ἐξαπίνης πονήσαντες, σύντηξιν τῆς σαρκὸς βιαίαν καὶ πουλλὴν ἐποίησαν. χρὴ δὲ τοὺς τοιούτους, ὧδε θεραπεύειν. ἀφελεῖν τῶν σίτων, τὸ τρίτον μέρος. τοῖσι δὲ σιτίοισι χρέεσθαι, τοῖσι δριμέσι. καὶ ξηροῖσι. καὶ αὐστηροῖσι. καὶ εὐώδεσι. καὶ οὐρητικοῖσι. τοῖσι δὲ δρόμοις, τοῖσι μὲν πλείστοισι καμπτοῖσιν, ἐν ἱματίῳ, γυμνοῖσι δὲ τοῖσι διαύλοισι καὶ τοῖσι τροχοῖσι. τρίψεσι δὲ καὶ πάλῃ ὀλίγῃ. ἀκροχειρισμοῖσιν, ἀκροχειρίῃ, πουλλῇ κωρυκομαχίῃ, ξυμφερώτερον. τοῖσι δὲ περιπάτοισιν ἀπὸ τῶν γυμνασίων, πουλλοῖσι. καὶ τοῖσι δι' ὄρθρου. καὶ ἀπὸ δείπνου δὲ ὁ τῆς φωνῆς πόνος, μάλα ἐπιτήδειος, κένωσιν γὰρ τοῦ ὑγροῦ ποιούμενος, ἀραιοῖ τὴν σάρκα. ξυμφέρει δὲ ἀνάριστον διάγειν. χρέεσθαι δὲ τοῖσι σιτίοισιν, ἐν ἡμέρῃσι δέκα. εἶτα προσθέσθαι τὸ ἥμισυ τοῦ ἀφαιρεθέντος ἐς ἡμέρας ἕξ. καὶ ἔμετον ποιήσασθαι, ἑκάστου ἐμέτου προσάγειν ἐς ἡμέρας τέσσαρας τὸ σιτίον. ὅταν δὲ ἡμέραι δέκα γένωνται ἀπὸ τοῦ ἐμέτου, κομισάσθω τὸ ἀφαιρεθὲν σιτίον ἅπαν. τοῖσι δὲ πόνοισι καὶ τοῖσι περιπάτοισι προσεχέτω καὶ ὑγιὴς ἔσται. ἡ δὲ τοιαύτη φύσις, πόνου πλείονος δέεται ἢ σίτου. Ἑτέρα πλησμονή. Πάσχουσι δέ τινες καὶ τοιάδε. διαχωρέει τὸ σιτίον αὐτέοισιν, ὑγρὸν ἄπεπτον. οἷον ἐκ λιεντερίης. καὶ πόνον οὐδένα παρέχει. πάσχουσι δὲ τοῦτο μάλιστα αἱ κοιλίαι, ὅσαι ὑγραὶ καὶ ψυχραί εἰσιν. διὰ μὲν τὴν ψυχρότητα, οὐ ξυνέψει. διὰ δὲ τὴν ὑγρότητα, διαχωρέει. τὸ οὖν σῶμα τρύχει, τροφὴν οὐ λαμβάνον τὴν προσήκουσαν. αἵ τε κοιλίαι διαφθείρονται, ἐς νόσους τε ἐμπίπτουσιν. ἀλλὰ χρὴ προμηθέεσθαι. ξυμφέρει δὲ τούτῳ, τῶν μὲν σιτίων ἀφελεῖν τὸ τρίτον μέρος. ἔστω δὲ τὰ σιτία, ἄρτοι ἄζυμοι συγκομιστοί. κλιβανῖται. ἢ ἐγκρυφίαι, θερμοὶ ἐς οἶνον αὐστηρὸν ἐμβαπτόμενοι, καὶ τῶν ἰχθύων τὰ νωτιαῖα, καὶ οὐραῖα. τὰ δὲ κεφάλαια καὶ ὑπογάστρια, ἐᾶν ὡς ὑγρότερα. καὶ τοὺς μὲν ἑφθοὺς, ἐν ἅλμῃ ἐσθίειν. τοὺς δὲ ὀπτοὺς, ἐν ὄξει. καὶ τοῖσι κρέασι τεταριχευμένοισιν, ἐν ἁλσὶ καὶ ὄξει. καὶ τοῖσι κυνείοισιν ὀπτοῖσι. καὶ ἀπὸ φάττης καὶ τῶν λοιπῶν τοιούτων ὀρνίθων, ὀπτοῖσι καὶ ἑφθοῖσι. λαχάνοισι δὲ ὡς ἥκιστα, οἴνῳ μέλανι, καὶ τοῖσι περιπάτοισιν. ἀπὸ δὲ τοῦ δείπνου, καὶ τοῖσιν ὀρθρίοισιν ἐκ

τοῦ περιπάτου, κονιᾶσθαι. δρόμοισι δὲ καμπτοῖσιν ἐκ προσαγωγῆς. ἔστω δὲ καὶ τρῖψις πολλὴ. καὶ πάλη βραχείη, καὶ ἐν τῷ ἐλαίῳ καὶ ἐν τῇ κόνει, ὅκως διαθερμαινομένη ἡ σὰρξ, ἀποξηραίνηταί τε, καὶ τὸ ὑγρὸν ἐκ τῆς κοιλίης ἀντισπᾷ. ἀλείφεσθαι δὲ ξυμφέρει μᾶλλον, ἢ λούεσθαι. ἀνάριστος δὲ διαγέτω. ὅταν δὲ γένωνται ἡμέραι ἑπτὰ, προσθέσθω τὸ ἥμισυ τοῦ σίτου. καὶ προσαγέσθω ἐς τέσσαρας ἡμέρας τὸν σῖτον. τῇ δὲ ἄλλῃ ἑβδόμῃ, κομισάσθω ἅπαν τὸ σιτίον. καὶ ἔμετον πάλιν ποιησάμενος, προσαγέσθω κατὰ ταῦτα.

ἄλλοισι δέ τισι γίνεται τοιάδε. τὸ διαχώρημα, ἄσηπτον διαχωρέει. καὶ τὸ σῶμα τρύχεται τῶν σίτων οὐκ ἐπαυρισκόμενον. οὗτοι δὲ προϊόντος τοῦ χρόνου, ἐμπίπτουσιν ἐς τὰς νόσους. τούτοισιν αἱ κοιλίαι, ψυχραὶ καὶ ξηραί. ὁκόταν γοῦν, μήτε σιτίοισι προσήκουσι χρέωνται, μήτε γυμνασίοισι, πάσχουσι ταῦτα. ξυμφέρει δὲ τῷ τοιούτῳ, ἄρτοισί τε καθαροῖσιν ἰπνίτοισι χρέεσθαι. καὶ τοῖσιν ἰχθύσιν ἑφθοῖσιν ὑποτρίμμασι. καὶ κρέασιν ἑφθοῖσιν ὑείοισι. καὶ τοῖσιν ἀκροκωλίοισι διεφθοῖσι. καὶ τοῖσι πλείστοισιν ὀπτοῖσι καὶ τῶν δριμέων καὶ τῶν ἁλυκῶν. τοῖσιν ὑγραίνουσι καὶ τοῖσιν ἁλμυροῖσιν. οἴνοισι δὲ, μέλασι μαλακοῖσι. καὶ τῶν βοτρύων καὶ τῶν σύκων ἐμφορεῖσθαι, ἔν τε τοῖσι σιτίοισι. χρὴ δὲ καὶ ἐν ἀρίστῳ μικρόν. τοῖσι δὲ γυμνασίοισι, πλείοσι χρέεσθαι, δρόμοισι καμπτοῖσιν ἐκ προσαγωγῆς. ὑστάτοισι δὲ τροχοῖσι. καὶ μετὰ τὸν δρόμον, πάλῃ σὺν ἐλαίῳ. περιπάτοισι δὲ μὴ πολλοῖσιν ἀπὸ τῶν γυμνασίων. ἀπὸ δὲ ὕπνου, ὅσον διαναστῆναι. ὀρθρίοισι δὲ πλείοσι περιπάτοισι χρῆσθαι. λουέσθω δὲ θερμόν. χρεέσθω δὲ πόνοισι καὶ χρίσμασιν. ὕπνον δὲ πλείονα διδότω, καὶ μάλα κινεέτω. χρὴ δὲ καὶ ἀφροδισιάζειν τι. τῶν δὲ σιτίων ἀφελεῖν τὸ τέταρτον μέρος, ἐν ἡμέρῃσι δέκα. καὶ προσάγειν αὐτὸν πρὸς τὰ σιτία. εἰσὶ δέ τινες, οἷσι τὸ διαχώρημα ὑγρὸν διαχωρέει καὶ σεσηπός. τοῖσι δὲ ἄλλως ὑγιαίνουσι καὶ γυμναζομένοισιν, οὐδὲ πόνον παρέχει.

Οἱ δέ τινες, ἀποκλείοντες τῶν προσηκόντων, προϊόντος δὲ τοῦ χρόνου, τὰς σάρκας ἀποσπᾶται τῇ θερμασίῃ ἡ κοιλίη. καὶ πόνον δὴ παρέχει. καὶ τῶν σιτίων ἀποκλείονται. ἥ τε κοιλίη ἑλκοῦται. στῆσαι δὲ χαλεπὸν ἤδη γίνεται αὐτήν. ἀλλὰ χρὴ πρότερον προμηθέεσθαι γνόντα τὴν κοιλίην θερμὴν, καὶ ὑγρὴν παρὰ τὸ προσῆκον. πόνων τε ὑπερβολὴν, ἀξυμφόρων γεγενημένην. τῇ οὖν διαίτῃ, χρὴ ψῦξαι καὶ ξηρᾶναι. καὶ πρῶτον μὲν τὰ ἡμίσεα γυμνάσια ἀφελεῖν. καὶ τῶν σιτίων, τὸ τρίτον μέρος. χρήσθω δὲ μάζῃ προφυρητῇ τριπτῇ. καὶ τοῖσιν ἰχθύσι, τοῖσι ξηροτάτοισιν ἑφθοῖσι. καὶ μήτε λιπαροῖσι, μήτε ἁλμυροῖσι. χρήσθω δὲ ὀπτοῖσι κρέασι, τοῖσιν ὀρνιθίοισιν. ἑφθοῖσι μὲν, φάττης, περιστερῆς. ὀπτοῖσι δὲ, περδίκων καὶ ἀλεκτρυόνων, ἀνηδύντοισι, λαγῳοῖσι δὲ, ἑφθοῖσιν ἐν ὕδατι. καὶ τοῖσιν ἀγρίοισιν ἅπασι. λαχάνοισι δὲ, ὅσα ψυκτικὰ, οἷον τοῖσι τεύτλοισι καθεφθοῖσιν ὀξυροῖσι. οἴνῳ δὲ μέλανι αὐστηρῷ. γυμνασίοισι δὲ, τροχοῖσιν ὀξέσιν. ἀλλὰ τρῖψις μὴ πολλὴ προσαγέσθω ἀλλ' ὀλίγη, μὴ δὲ πάλη. ἀκροχείρησις καὶ χειρονομίη, καὶ κωρυκομαχίη, καὶ ἀλίνδησις ἐπιτήδεια, ἀλλὰ μὴ πολλά. τοῖσι δὲ περιπάτοισι καὶ ἀπὸ τοῦ γυμνασίου χρήσθω ἱκανοῖσι κατὰ τὸν πόνον. καὶ ἀπὸ τοῦ δείπνου, πλείοσι κατὰ τὰ σιτία. καὶ πρωῒ, ξυμμέτρως πρὸς τὴν ἕξιν. λουέσθω δὲ χλιερῷ, καὶ ἀτρεμεέτω. οὕτω διαιτηθεὶς ἡμέρας δέκα προσθέσθω τοῦ τε σιτίου τὸ ἥμισυ, καὶ τῶν πόνων τὸ τρίτον μέρος. καὶ ἔμετον ποιησάσθω, ἀπὸ σιτίων ξηρῶν καὶ στρυφνῶν. καὶ μὴ διατριβέτω ἐν τῷ σίτῳ, ἀλλὰ τὴν ταχίστην ἐμείτω. ἐκ δὲ τοῦ ἐμέτου, προσαγέσθω εἰς ἡμέρας τέσσαρας τὸ σιτίον καὶ τὸν πόνον μερίζων. ὅταν δὲ ἡ δεκὰς τῶν ἡμερέων γένηται, προσθέσθω τὸν σῖτον λοιπὸν, καὶ τῶν οἴνων τὸ πότιμον, πλὴν τῶν πόνων ἐνδεέστερον. καὶ ἔμετον ποιησάμενος, προσαγέτω καθάπερ γέγραπται. μονοσιτέειν δὲ τοῦτον τὸν χρόνον ξυμφέρει μέχρις ἂν καταστήσῃ.

Ἄλλοισι δέ τισι, ξηρόν τε καὶ διακεκαυμένον τὸ διαχώρημα γίνεται. καὶ τὸ στόμα ξηρόν. προϊόντος δὲ τοῦ χρόνου, καὶ πικρὸν γίνεται. καὶ ἡ κοιλίη ἵσταται, καὶ ἡ οὔρησις. ὅταν γὰρ μὴ ἔχῃ τὸ ἔντερον ὑγρασίην, περὶ τὸν ἀπόπατον περιοιδῆσαν, ἀποφράσσει τὰς διεξόδους. ὀδύνην τε παρέχει. καὶ θέρμη λαμβάνει. καὶ ὅ, τι ἂν πίῃ ἢ φάγῃ, ἐξεμέει. τελευτῶν δὲ καὶ κόπρον ἐμέει. οὗτος οὐ βιώσιμος, ὅταν ἐς τοῦτο ἔλθῃ. ἀλλὰ χρὴ πρότερον προμηθέεσθαι, γινώσκοντα ὅτι ξηρῇ τῇ θέρμῃ κρατέεται ὁ ἄνθρωπος. διαιτῆσθαι οὖν χρὴ αὐτὸν, τῇ τε μάζῃ προφυρητῇ ῥαντῇ, καὶ ἄρτῳ σιτανίων πυρῶν, τῷ χυλῷ τῶν πιτύρων ἐζυμωμένῳ. λαχάνοισί τε χρῆσθαι, πλὴν τῶν δριμέων καὶ ξηρῶν, καὶ ἑψάνοισι. καὶ τῶν ἰχθύων τοῖσι κουφοτάτοισιν ἑφθοῖσι. καὶ τοῖσι κεφαλαίοισι τῶν τε ἰχθύων καὶ καράβων, μυσὶ καὶ ἐχίνοισι, καὶ τοῖσι καρκίνοισι, καὶ τῶν κογχύλων, τοῖσι χυλοῖσι, καὶ αὐτοῖσι ὑγροτάτοισι. κρέασι δὲ τοῖσιν ὑείοισι ἀκροκωλίοισιν ἐμπροσθιδίοισιν ἑφθοῖσιν. καὶ ἐρίφων καὶ ἀρνῶν καὶ σκυλάκων ἑφθοῖσιν. ἰχθύων δὴ τοῖσι ποταμίοισι.

ταμίοισι καὶ λιμναίοισιν ἑφθοῖσιν, οἴνῳ μαλακῷ, ὑδαρεῖ. τοῖσι δὲ πόνοισι μὴ πολλοῖσι, μὴ δὲ ταχέσι, ἀλλ' ἡσύχεσι πᾶσι. τοῖσι δὲ περιπάτοισι πρωῒ μὲν χρήσθω, πρὸς τὴν ἕξιν ἱκανοῖσι, καὶ ἀπὸ γυμνασίου πόνων ξυμμέτροισιν. ἀπὸ δείπνου δὲ, μὴ περιπατέτω. λουτροῖσι δὲ χρήσθω, καὶ ὕπνοισι μαλακοῖσι. καὶ ἀριστῷ. ὕπνῳ τε μετὰ τὸ ἄριστον, οὐ μακρῷ. ὀπώρῃ τε τῇ ὑγραινούσῃ, μετὰ τῶν σιτίων χρήσθω. καὶ τοῖσιν ἐρεβίνθοισι τοῖσι χλωροῖσι καὶ ξηροῖσι βρέξας ἐν ὕδατι. ἀφελέσθω δὲ τῶν πόνων τῆς προσόδου τὰς ἡμισείας. καὶ οὗτος ἐξ ἀρχῆς, καὶ ἔμετον ποιησάσθω ἀπὸ γλυκέων καὶ λιπαρῶν καὶ ἁλμυρῶν ἐπὶ πλειόνων. ἐνδιατριβέτω δὲ τέως πλεῖστον χρόνον ἐν τοῖσι σιτίοισι πρὸς τοὺς ἐμέτους. εἶτα προσαγέτω τὸ σιτίον ἐς ἡμέρας τρεῖς. καὶ μὴ μενέτω ἀνάριστος. ὁκόταν δὲ ἡμέραι δέκα γένωνται τῶν πόνων, προσαγέτω πλείονα. κἢν μὲν οὖν ἡ πλησμονὴ ἐνῇ καὶ ἀπὸ σιτίου ἡ τῆς κοιλίης πλημμέλεια, ἐμεσάτω. ἢν δὲ μή, οὕτω θεραπευέσθω τὸν ἐπίλοιπον χρόνον. Γίνεται δὲ καὶ τοιάδε. φρῖκαι ἀπὸ τῶν περιπάτων ἐγγίνονται τοῦ ὄρθρου. καὶ τὴν κεφαλὴν βαρύνεται. τούτῳ πλέονες οἱ περίπατοι τῆς ξυμμετρίας. κενούμενον γὰρ τὸ σῶμα καὶ ἡ κεφαλὴ τοῦ ὑγροῦ, φρίσσει καὶ βαρύνεται. προϊόντος δὲ τοῦ χρόνου, ἐς πυρετὸν ἀφικνέεται φρικώδεα. ἀλλ' οὐ χρὴ προΐεσθαι ἐς τοῦτο. ἀλλ' ἐκθεραπεύεσθαι πρότερον ὧδε. ὅταν γένηται τάχιστα τῶν τεκμηρίων τινὰ χρισάμενον, καὶ ἀνατριψάμενον ὀλίγα, τὸ ἄριστον ποιήσασθαι πλεῖον τοῦ εἰθισμένου. ἐπιπιεῖν ἱκανόν, οἶνον μαλακόν, εἶτα ὕπνῳ χρήσασθαι ἀπὸ τοῦ ἀρίστου ἱκανῶς. ἐς τὴν ἑσπέρην δὲ κούφοισι χρησάμενον γυμνασίοισι θερμῷ τε λουσάμενον, δειπνῆσαι τὸ ἠθισμένον. περιπάτοισι δὲ μὴ χρῆσθαι ἀπὸ δείπνου. διατρίβειν δὲ χρόνον. τῇ δὲ ὑστεραίῃ ἀφελέσθω ἐν τῷ ὕδατι. ἐν ὕπνοισί τε μαλακοῖσι διαγέσθω. ἡμέρῃσι δὲ πέντε, τοὺς προσαγέσθω κατὰ μικρόν. εἰσὶ δέ τινες οἳ φρίσσουσιν ἐκ τῶν γυμνασίων. καὶ ἐπειδὰν ἐκδύηται μέχρις ἂν διαγωνίσηται. ὅταν δὲ ψύχηται, πάλιν φρίσσει. βρυγμός τε τὸ σῶμα ἔχει. ὑπνώσσει τε. ὅταν δὲ ἐξεγείρηται, χασμᾶται πολλάκις. ἐκ δὲ τοῦ δείπνου τὰ βλέφαρα βαρέα αὐτῷ. προϊόντος δὲ τοῦ χρόνου, καὶ πυρετοὶ ἐπιγίνονται φαῦλοι. φυλάσσεσθαι οὖν χρή, μὴ προΐεσθαι ἐς τοῦτο, ἀλλὰ θεραπεύεσθαι πρότερον ὧδε. πρῶτον μὲν τῶν γυμνασίων ἀφελέσθω πάντων τὰ ἡμίσεα. τοῖσι δὲ σιτίοισιν ἅπασι χρήσθω ὑγροτέροισί τε καὶ ψυχροτέροισι. καὶ τοῖσι πόμασι μαλακωτέροισι καὶ ὑδαρεστέροισιν. ὅταν δὲ παρέλθωσιν ἡμέραι πέντε, τῶν πόνων προσθέσθω τὸ τρίτον μέρος τῶν ἀφαιρεθέντων. τοῖσι δὲ σιτίοισι χρήσθω τοῖσιν αὐτοῖσι. πέμπτῃ δὲ ἡμέρῃ ἄλλῃ, τὰς ἡμισείας τῶν λοιπῶν πόνων προσθέσθω. αὖθις δὲ πέμπτῃ, μετὰ τοῦτο ἀπόδος τοὺς πόνους πάντας, καὶ κουφοτέρους τε καὶ ἐλάσσονας, ὡς μὴ πάλιν ὑπερβολὴ γένηται. τοῖσι γὰρ πάσχουσι ταῦτα τὰ τεκμήρια, οἱ πόνοι κρέσσους εἰσὶ τῶν σιτίων. ἀνισάζειν οὖν χρή. ἔνιοι δέ, οὐ ταῦτα πάσχουσιν. ἀλλὰ τὰ μέν, τὰ δ' οὔ. πάντων δὲ τούτων τῶν τεκμηρίων, οἱ πόνοι κρατέουσι τῶν σίτων. καὶ ἡ θεραπείη ἡ αὐτή. ξυμφέρει δὲ τούτοισι, θερμολουτέειν, καὶ μαλακῶς εὐνάζεσθαι. μεθυσθῆναι δὲ ἅπαξ ἢ δίς, πλὴν ἀλλὰ μὴ εἰς ὑπερβολήν. ἀφροδισιάσαι τε ὅταν ἐπιγένηται, ῥαθυμῆσαι πρὸς τοὺς πόνους. περιπάτους δὲ μὴ ποιῆσαι ὅλως.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΕΝΥΠΝΙΩΝ.

Περὶ δὲ τῶν τεκμηρίων τῶν ἐν τοῖσιν ὕπνοισιν, ὅστις ὀρθῶς γινώσκει, μεγάλην ἔχοντα δύναμιν εὑρήσει πρὸς ἅπαντα. ἡ γὰρ ψυχὴ ἐγρηγορέει. ὅταν μὲν οὖν σώματι ὑπηρετοῦσα ᾖ, ἐπὶ πολλὰ μεριζομένη, οὐ γίγνεται αὐτὴ ἑωυτῆς, ἀλλ' ἀποδίδωσί τι μέρος ἑκάστῳ τοῦ σώματος, ἤγουν τοῖσιν αἰσθητηρίοισιν. ἀκοῇ. ὄψει. ψαύσει. ὁδοιπορίῃ. πρήξει. καὶ πάσῃ τῇ τοῦ σώματος διανοίῃ. αὐτὴ δ' ἑωυτῆς ἡ διάνοια οὐ γίνεται. ὁκόταν δὲ τὸ σῶμα ἡσυχάσῃ, ἡ ψυχὴ κινευμένη, καὶ ἐπεξέρπουσα τὰ μέρη τοῦ σώματος, διοικεῖ τὸν ἑωυτῆς οἶκον. καὶ τὰς τοῦ σώματος πρήξιας ἁπάσας, αὐτὴ διαπρήσσεται. τὸ μὲν γὰρ σῶμα καθεῦδον, οὐκ αἰσθάνεται. ἡ δὲ ἐγρηγοροῦσα, γινώσκει. καθορῇ τε τὰ ὁρατά, καὶ ἀκούει τὰ ἀκουστά. βαδίζει. ψαύει. λυπεῖται. ἐνθυμέεται. ἐν ὀλίγῳ, ὁκόσαι τοῦ σώματος ὑπηρεσίαι, ἢ τῆς ψυχῆς, ταῦτα πάντα ἡ ψυχὴ ἐν τῷ ὕπνῳ διαπρήσσεται. ὅστις οὖν ἐπίσταται κρίνειν ταῦτα ὀρθῶς, μέγα μέρος ἐπίσταται σοφίης. ὁκόσα μὲν οὖν τῶν ἐνυπνίων θεῖά ἐστι, καὶ προσημαίνει τινὰ συμβησόμενα, ἢ πόλεσιν, ἢ τῷ ἰδιώτῃ λαῷ, ἢ κακά, ἢ ἀγαθά, μὴ δι' αὐτῶν ἁμαρτίην, εἰσὶν οἱ κρίνουσι περὶ τῶν τοιούτων ἀκριβῆ τέχνην ἔχοντες. ὁκόσα δὲ ἡ ψυχὴ τοῦ σώματος παθήματα προσημαίνει, πλησμονῆς ἢ κενώσιος ὑπερβολὴν τῶν

ξυμφύτων

ξυμφύτων, ἢ μεταβολὴν τῶν ἀηθέων, κρίνουσι μὲν καὶ ταῦτα. καὶ τὰ μὲν, τυγχάνουσι. τὰ δὲ, ἁμαρτάνουσι, καὶ οὐδέτερα τούτων γινώσκουσι. διότι οὖν γίνεται, οὔθ᾽ ὅτι ἂν ἐπιτύχωσιν, οὔθ᾽ ὅτι ἂν ἁμάρτωσι. φυλάσσεσθαι δὲ παραινέοντες, μή τι κακὸν λάβῃ οὐ διδάσκουσιν ὡς χρὴ φυλάξασθαι, ἀλλὰ θεοῖσιν εὔχεσθαι κελεύουσι. καὶ τὸ μὲν εὔχεσθαι πρέπον, καὶ λίην ἐστὶν ἀγαθόν. δεῖ δὲ καὶ αὐτὸν ξυλλαμβάνοντα, τοὺς θεοὺς ἐπικαλέεσθαι. ἔχει οὖν περὶ τούτων ταῦτα, ὧδε. ὁκόσα τῶν ἐνυπνίων τὰς ἡμερινὰς πράξιας τοῦ ἀνθρώπου ἡ διάνοια ἐν τῇ εὐφρόνῃ ἐνυπνιάζεται ἑσπέρην, καὶ ἀποδίδωσι κατὰ τρόπον γινόμενα, ἅπερ τῇσιν ἡμέρῃσιν ἐπράχθη, ἢ ἐβουλεύθη ἐν δικαίῳ πρήγματι, ταῦτα τῷ ἀνθρώπῳ ἀγαθά. ὑγείην γὰρ σημαίνει. διότι ἡ ψυχὴ παραμένει ἐν τοῖσιν ἡμερινοῖσι βουλεύμασιν, οὔτε πλησμονῇ τινι κρατηθεῖσα, οὔτε κενώσει, οὔτε ἄλλῳ οὐδενὶ ἔξωθεν προσπεσόντι. ὅταν δὲ πρὸς τὰς ἡμερινὰς πράξιας ὑπεναντιῶται τὰ ἐνύπνια καὶ ἐγγίνηται περὶ αὐτέων ἡ μάχη, ἢ νίκη ἂν τοῦτο συμβαίνῃ, ταραχὴν σημαίνει ἐν τῷ σώματι. καὶ ἢν μὲν ἰσχυρὴ ᾖ, ἰσχυρὸν τὸ κακόν. ἢν δὲ φαύλη, ἀσθενέστερον. περὶ μὲν οὖν τῆς πράξιος, εἴτε δεῖ ἀποτρέπειν, εἴτε μὴ δεῖ, οὐ κρίνω. τὸ δὲ σῶμα τοῦ ἀνθρώπου θεραπεύεσθαι ξυμβουλεύω. πλησμονῆς γάρ τινος ἐγγινομένης, ἀπόκρισις ἐγένετό τις, ἥτις ἐτάραξε τὴν ψυχήν. ἢν μὲν οὖν ἰσχυρὸν ᾖ τὸ ἐναντιωθὲν, ἔμετόν τε ξυμφέρει ποιήσασθαι, καὶ τοῖσι σιτίοισι κούφοισι προσάγειν ἐς ἡμέρας πέντε. καὶ τοῖσι περιπάτοισι πολλοῖσι καὶ ὀξέσιν ἐκ προσαγωγῆς χρέεσθαι. καὶ τοῖσι γυμνασίοισιν ὥστε γυμνάζεσθαι συμμέτροισι πρὸς τὴν προσαγωγὴν τῶν σιτίων. ἢν δὲ ἀσθενέστερον τὸ ἐναντιωθὲν γίνηται, ἀφελὼν τὸν ἔμετον, τὸ τρίτον μέρος ἄφελε τοῦ σιτίου. καὶ τοῦτο ἡσυχῇ προσάγου πάλιν ἐς τὰς πέντε ἡμέρας. καὶ τοῖσι περιπάτοισι πιέζειν. καὶ τοῖσι τῆς φωνῆς πόνοισι χρέεσθω. καὶ τοῖσι θεοῖσιν εὐχέσθω. καὶ καταστήσεται αὐτῷ ἡ ταραχή. ἥλιον δὲ καὶ σελήνην, καὶ οὐρανὸν καὶ ἀστέρας, καθαρὰ καὶ εὐαγέα, κατὰ τρόπον ὁρώμενα ἕκαστα, ἀγαθά. ὑγείην γὰρ τῷ σώματι σημαίνει, ἀπὸ πάντων τῶν ὑπαρχόντων. ἀλλὰ χρὴ διαφυλάσσειν ταύτην τὴν ἕξιν, τῇ παρούσῃ διαίτῃ. εἰ δέ τι τούτων ὑπεναντίον γίνοιτο, νοῦσόν τινα τῷ σώματι σημαίνει. ἀπὸ μὲν τῶν ἰσχυρῶν, ἰσχυροτέρην. ἀπὸ δὲ τῶν ἀσθενεστέρων, κουφοτέρην. καὶ ἄστρων μὲν οὖν ἡ ἔξω περίοδος. ἡλίου δὲ, ἡ μέση. σελήνης δὲ, ἡ πρὸς τὰ κοῖλα. ὅτι μὲν οὖν δοκοίη τούτων τῶν ἄστρων σβέννυσθαι, ἢ βλάπτεσθαι, ἢ ἀφανίζεσθαι, ἢ ἐπέχεσθαι τῆς περιόδου, κατ᾽ αὐτὸ τὸ μέρος καὶ τὴν νοῦσον προσγίνεσθαι. καὶ ἢν μὲν ὑπὸ ἀέρος ὁρᾷ ἢ νεφέλης τι τῶν ἄστρων τούτων πάσχον, ἀσθενέστερον. ἢν δὲ ὑπὸ ὕδατος ἢ χαλάζης, ἰσχυρότερον. σημαίνει δὲ ἀπόκρισιν ἐν τῷ σώματι ὑγρὰν καὶ φλεγματώδεα γινομένην, ἐς τὴν ἔσω περιφορὴν ἐμπεπτωκέναι. ξυμφέρει τοιγαροῦν τούτῳ, τοῖσί τε δρόμοισιν ἐν τοῖσιν ἱματίοισι κεχρῆσθαι πολλοῖσιν ἐξ ὀλίγου προσάγοντα, ὅκως ἐξιδρώσῃ ὡς μάλιστα. καὶ τοῖσι περιπάτοισιν ἀπὸ τοῦ γυμνασίου, πολλοῖσι καὶ ἀναρίστοισι χρῆσθαι. τῶν τε σιτίων ἀφελόμενος τὸ τρίτον μέρος, προσάγειν ἐς πέντε ἡμέρας. εἰ δὲ δοκοίη ἰσχυρὸν εἶναι, καὶ πυριῆσαι. τὴν γὰρ κάθαρσιν διὰ τοῦ χρώματος ξυμφέρει ποιέεσθαι, διότι ἐν τῇ ἔξω περιφορῇ ἐστι τὸ βλάβος. τοῖσι δὲ σιτίοισι χρῆσθαι ξηροῖσι. δριμέσιν. αὐστηροῖσιν. ἀκρήτοισι. καὶ τοῖσι πόνοισι, τοῖσι ξηραίνουσι μάλιστα. ἔπι δὲ τούτων ἡ σελήνη πάσχοι, ἔσω τὴν ἀντίσπασιν ποιέεσθαι ξυμφέρει, ἐμέτῳ χρησάμενον ἀπὸ τῶν δριμέων καὶ ἁλμυρῶν, καὶ μαλακῶν σιτίων. τοῖσι δὲ τροχοῖσιν ὀξέσι, καὶ τοῖσι περιπάτοισιν ὀξέσι. τοῖσι δὲ τῆς φωνῆς πόνοισι καὶ ἀναριστίῃσι, καὶ τοῦ σίτου τῇ ἀφαιρέσει καὶ προσαγωγῇ ὡσαύτως. διὰ τοῦτο δὲ ἔσω ἀντισπαστέον, διότι πρὸς τὰ κοῖλα τοῦ σώματος βλαβερὸν ἐφάνη. εἰ δὲ ὁ ἥλιος τοιοῦτό τι πάσχει, ἰσχυρότερον τοῦτο ἤδη καὶ δυσεξαγωγότερον. δεῖ δὲ ἀμφοτέρως τὰς ἀντισπάσιας ποιέεσθαι καὶ τοῖσι δρόμοισι, τοῖσί τε καμπτοῖσι τροχοῖσι χρῆσθαι, καὶ τοῖσι περιπάτοισι, καὶ τοῖσιν ἄλλοισι πόνοισι πᾶσι. τῶν δὲ σίτων τῇ ἀφαιρέσει, καὶ τῇ προσαγωγῇ ὡσαύτως. ἔπειτα ἐξεμέσαντα, αὖθις προσάγειν πρὸς τὰς πέντε. εἰ δὲ αἰθρίης οὔσης θλίβεται καὶ ἀσθενέα δοκοίη εἶναι ὑπὸ τῆς ξηρασίης τῆς περιόδου κρατέεσθαι, σημαίνει κίνδυνον εἰς νοῦσον πεσεῖν. ἀλλὰ χρὴ τῶν πόνων ἀφαιρέειν, τῇ τε διαίτῃ ὑγροτέρῃ καὶ μαλακῇ χρέεσθαι. καὶ λουτροῖσι καὶ ῥαθυμίῃ πλείονι. καὶ ὕπνῳ πολλῷ, μέχρις ἂν καταστῇ. εἰ δὲ πυροειδὲς δοκοίη εἶναι τὸ ἐναντιούμενον καὶ θερμὸν, χολῆς ἀπόκρισιν σημαίνει. εἰ δὲ καὶ ἀφανίζοιτο τὰ κρατούμενα, κίνδυνος ἐς θάνατον ἐκ τῆς νόσου ἐλθεῖν. εἰ δὲ τρεφθῆναι δοκοίη, ῥαπῆναι ἐς φυγὴν τὸ ὑπάρχον. φεύγειν δὲ ταχέως, τοὺς δὲ διώκειν, κίνδυνος μανῆναι τὸν ἄνθρωπον, ἢν μὴ θεραπευθῇ. ξυμφέρει δὲ τούτοισι πᾶσι, κάλλιστα μὲν, ἐλλεβόρῳ κρατηθέντας διαιτῆσθαι.

ἢν δὲ μὴ

ἢν δὲ μὴ, τῇ πρὸς ὕδατος διαίτῃ χρῆσθαι ξυμφέρει. οἶνον δὲ μὴ πίνειν. εἰ δ' οὖν λευκόν, λεπτόν, μαλακόν, ὑδαρῆ. ἀπέχεσθαι δὲ δριμέων, ξηραντικῶν, θερμαντικῶν, ἁλμυρῶν. πόνοισι δὲ τοῖσι κατὰ φύσιν πλείστοισι χρέεσθαι. καὶ δρόμοισιν ἐν ἱματίῳ πλείστοισι. τρῖψις δὲ μὴ ἔστω. μὴ δὲ πάλη. μὴ δὲ ἀλίνδησις. ὕπνοισι μαλακοῖσιν εὑδέτω. καὶ ῥαθυμείτω, πλὴν τῶν κατὰ φύσιν πόνων. ἀπὸ δὲ τοῦ δείπνου περιπατείτω. ἀγαθὸν δὲ καὶ πυριῆσθαι. ἐμέειν δ' ἐκ τῆς πυριῆς. τριήκοντα δὲ ἡμερέων μὴ πληρωθῆ. ὅταν δὲ πληρωθῆ, δὶς ἐν τῷ μηνὶ ἐμεσάτω ἀπὸ τῶν γλυκέων, καὶ ὑδαρῶν, καὶ κούφων. ὁκόσα δὲ τούτων πλανᾶται ἄλλοτε ἄλλῃ μὴ ὑπὸ ἀνάγκης, ψυχῆς τινα τάραξιν σημαίνει ὑπὸ μερίμνης. ξυμφέρει δὲ τούτῳ ῥαθυμῆσαί τε καὶ τὴν ψυχὴν τραπῆναι πρὸς θεωρίας. μάλιστα μὲν πρὸς τὰς φερούσας γέλωτας. εἰ δὲ μὴ, ὅτι μάλιστα ἡσθήσεται θεασάμενος, ἡμέρας δύο ἢ τρεῖς, καὶ καταστήσεται. εἰ δὲ μὴ, κίνδυνος εἰς νοῦσον πίπτειν. ὅτι δ' ἂν ἐκ τῆς περιφορῆς ἐκπίπτειν δοκέῃ τῶν ἄστρων, ὁκόσα μὲν καθαρὰ καὶ λαμπρὰ καὶ πρόσω δοκεῖ φέρεσθαι, ὑγείην σημαίνει. ὅ,τι γὰρ ἐν τῷ σώματι καθαρὸν ἐὸν, ἐκκρίνεται ἐκ τῆς περιόδου κατὰ φύσιν ἀφ' ἑσπέρας πρὸς ἠῶ ὀρθῶς ἔχει. καὶ γὰρ τὰ ἐν τῇ κοιλίῃ ἀποκρινόμενα, καὶ τὰ εἰς τὴν σάρκα ἀπερευγόμενα, ἅπαντα ἐκ τοῦ περιόδου ἐκπίπτει. ὅτι δ' ἂν τούτων μέλαν καὶ ἀμυδρὸν, καὶ πρὸς ἑσπέρην δοκέῃ φέρεσθαι, ἢ εἰς τὴν θάλασσαν, ἢ εἰς τὴν γῆν, ἢ ἄνω, μᾶλλον ταῦτα σημαίνει τὰς νόσους. τὰ μὲν ἄνω φερόμενα, ῥεύματα κεφαλῆς εἶναι δηλῶντα. ὁκόσα δὲ εἰς θάλασσαν, κοιλίης νοσήματα. ὁκόσα δὲ ἐς γῆν, ἐκφύματα μάλιστα σημαίνει, τὰ ἐν τῇ σαρκὶ φυόμενα. τούτοισι ξυμφέρει τὸ τρίτον μέρος τοῦ σίτου ἀφελέσθαι. ἐμέσαντα δὲ προσάγειν ἐς ἡμέρας πέντε, ἐν ἄλλῃσι δὲ πέντε, κομίσασθαι τὰ σιτία πάντα. καὶ ἐμέσαντα πάλιν προσαγέσθω κατὰ τὸν αὐτὸν τρόπον. ὅτι δ' ἂν τούτων οὐρανίοισιν ἐφέζεσθαι δόξει σοι καθαρὸν καὶ ὑγρὸν ἐὸν, ὑγιαίνειν σημαίνει, διότι ἐκ τοῦ αἰθέρος ἐς τὸν ἄνθρωπον κατελθὸν εἶναι. τοιοῦτον δέ ἐστιν ἡ ψυχὴ ὁρᾷ, οἷόν περ ἐσῆλθε. ὅ,τι δ' ἂν μέλαν ᾖ καὶ μὴ καθαρὸν, μήτε ἀφανὲς, νοῦσον σημαίνει, οὔτε διὰ πλησμονὴν, οὔτε διὰ κένωσιν, ἀλλ' ἔξωθεν ἐπαγωγῆς. ξυμφέρει δὲ τούτῳ τροχοῖσιν ὀξέσι κεχρῆσθαι, ὅκως σύντηξις ὡς ἐλαχίστη τοῦ σώματος γένηται. πνεύματι δὲ ὡς πυκνοτάτῳ χρησάμενος, ἐκκρίνῃ τὸ παρελθόν. ἀπὸ δὲ τῶν τροχῶν, περιπάτοισιν ὀξέσιν. ἡ δὲ δίαιτα, μαλακὴ καὶ κούφη προσαχθήτω εἰς ἡμέρας τέσσαρας. ὅ,τι δ' ἂν λαμβάνειν παρὰ θεοῦ δοκῇ καθαρὸν, ἀγαθὸν πρὸς ὑγείην. σημαίνει γὰρ τὰ ἐσιόντα ἐς τὸ σῶμα, εἶναι καθαρά. ὅ,τι δ' ἂν τούτου τὸ ἐναντίον δοκῇ ὁρᾶν, οὐκ ἀγαθόν. νόσον γὰρ ἐς τὸ σῶμα σημαίνει ἐληλυθέναι. χρὴ οὖν ὡς τὸ πρότερον, θεραπεύεσθαι καὶ τοῦτον. εἰ δὲ δοκοίη ὕεσθαι, ὕδατι μαλθακῷ ἐν εὐδίῃ ἐστὶ μὴ σφόδρα βρέχεσθαι, μήτε δεινῶς χειμάζειν, ἀγαθόν. σημαίνει γὰρ σύμμετρον καὶ καθαρὸν τὸ πνεῦμα ἐκ τοῦ ἠέρος εἰσεληλυθέναι. εἰ δὲ τούτων τἀναντία, σφόδρα ὕεσθαι καὶ χειμῶνα καὶ ζάλην εἶναι, ὕδατί τε μὴ καθαρῷ, νόσον σημαίνει ἀπὸ πνεύματος τοῦ ἐπακτοῦ. ἀλλὰ χρὴ καὶ τοῦτον ὡσαύτως διαιτηθῆναι σιτίοισί τε ὀλίγοισι πάντας τούτους. περὶ μὲν τῶν οὐρανίων σημείων ἄστρων, οὕτω χρὴ γινώσκοντα προμηθέεσθαι, καὶ ἐκδιαιτῆσθαι, καὶ τοῖς θεοῖς εὔχεσθαι. ἐπὶ μὲν τοῖσιν ἀγαθοῖσιν, ἡλίῳ Διὶ οὐρανίῳ. Διὶ κτησίῳ. Ἀθηνᾷ κτησίῃ. Ἑρμῇ Ἀπόλλωνι. ἐπὶ δὲ τοῖσιν ἐναντίοισι τοῖσιν ἀποτροπαίοισι, καὶ γῇ, καὶ ἥρωσιν ἀποτρόπαια γενέσθαι τὰ χαλεπὰ πάντα. προσημαίνει δὲ καὶ τάδε πρὸς ὑγείην τῶν ἐπὶ γῆς ὀξὺ ὁρῆν καὶ ἀκούειν. ὁδοιπορέειν τε ἀσφαλῶς, καὶ τρέχειν ἀσφαλῶς καὶ ἄτερ φόβου. καὶ τὴν γῆν ὁρῆν λείην καὶ καλῶς εἰργασμένην. καὶ τὰ δένδρεα θαλέοντα, καὶ πολύκαρπα, καὶ ἥμερα, καὶ ποταμοὺς ῥέοντας κατὰ τρόπον καὶ ὕδατι καθαρῷ μήτε πλείονι μήτε ἐλάσσονι τοῦ προσήκοντος. τάς τε κρήνας, καὶ τὰ φρέατα ὡσαύτως. ταῦτα πάντα οὕτως ὁρώμενα, σημαίνει ὑγείαν τῷ ἀνθρώπῳ. καὶ τὸ σῶμα κατὰ τρόπον. πάσας τε τὰς περιόδους καὶ τὰς προσαγωγὰς, καὶ τὰς ἀποκρίσεις εἶναι. εἰ δέ τι τούτων ὑπεναντίον ὁρῷτο, βλάβος σημαίνει τι ἐν τῷ σώματι. ὄψεως μὲν καὶ ἀκοῆς βλαπτομένων, περὶ τὴν κεφαλὴν νόσον σημαίνει. τοῖσιν οὖν ὀρθρίοισι περιπάτοισι, καὶ τοῖσιν ἀπὸ δείπνου πλέοσι χρηστέον, πρὸς τῇ προτέρῃ διαίτῃ. τῶν σκελέων δὲ βλαπτομένων, ἐμέτοισι ἀντισπαστέον καὶ τῇ πάλῃ πλείονι χρηστέον πρὸς τῇ προτέρῃ διαίτῃ. τῇ δὲ τραχείῃ, οὐ καθαρὰν τὴν σάρκα σημαίνει. τοῖσιν οὖν ἀπὸ γυμνασίων περιπάτοισι πλείοσι πονητέον. Δενδρέων δὲ ἡ ἀκαρπία, σπέρματος τοῦ ἀνθρωπίνου διαφθορὴν δηλοῖ. ἢν μὲν οὖν φυλλορροοῦντα ᾖ τὰ δένδρα, ὑπὸ τῶν ὑγρῶν καὶ ψυχρῶν βλάπτεται. ἢν δὲ τεθηλημένα, ἄκαρπα δὲ ᾖ, ὑπὸ τῶν θερμῶν καὶ ξηρῶν. τὰ μὲν οὖν, τοῖσι διαιτήμασι χρὴ

ξηραίνειν

ξηραίνειν καὶ θερμαίνειν. τὰ δὲ, ψύχειν καὶ ὑγραίνειν. Ποταμοὶ δὲ μὴ κατὰ τρόπον γινόμενοι, αἵματος περίοδον σημαίνουσι. πλέον μὲν ῥέοντες, ὑπερβολὴν, ἔλασσον δὲ ῥέοντες, ἔλλειψιν. δεῖ δὲ τῇ διαίτῃ, τὸ μὲν αὐξῆσαι, τὸ δὲ μειῶσαι. μὴ καθαροὶ δὲ ῥέοντες, ταραχὴν σημαίνουσι. καθαίρονται δὲ ὑπὸ τῶν τροχῶν καὶ τῶν περιπάτων, πνεύματι πυκνῷ ἀνακινεύμενα. κρῆναι δὲ καὶ φρέατα θεώμενα, πνεύματα περὶ τὴν κύστιν σημαίνει. ἀλλὰ χρὴ τοῖσιν οὐρητικοῖσιν ἐκκαθαίρειν. Θάλασσα ταρασσομένη, κοιλίης νοῦσον σημαίνει. ἀλλὰ χρὴ τοῖσι διαχωρητικοῖσι καὶ κούφοισι καὶ μαλακοῖσιν ἐκκαθαίρειν. Γῆ κινευμένη θεωμένη, ἢ οἰκίη, ὑγιαίνοντι μὲν ἀνδρὶ, ἀσθενείην σημαίνει. νοσέοντι δὲ, ὑγείην καὶ μετακίνησιν τοῦ ὑπάρχοντος. τῷ μὲν οὖν ὑγιαίνοντι, μεταστῆσαι τὴν δίαιταν ξυμφέρει. ἐμεσάτω πρῶτον. εἰ πρὸς δέξηται αὖθις κατὰ μικρόν. ἀπὸ γὰρ τῆς ὑπαρχούσης κινέεται ἅπαν τὸ σῶμα. τῷ δὲ ἀσθενέοντι ξυμφέρον χρῆσθαι τῇ αὐτῇ διαίτῃ. μεθίσταται γὰρ ἤδη τὸ σῶμα, ἐκ τοῦ παρεόντος. κατακλυζομένην γῆν ἀπό τινος ὕδατος ἢ θαλάσσης ὁρῇν, νοῦσον σημαίνει, ὑγρασίης πολλῆς ἐνεούσης ἐν τῷ σώματι. ἀλλὰ χρὴ τοῖσιν ἐμέτοισι, καὶ ἀναειστήσει, καὶ τοῖσι πόνοισι, καὶ τοῖσι ξηροῖσι διαιτήμασι χρῆσθαι. ἔπειτα προσάγειν ἐξ ὀλίγου, καὶ ὀλίγοισιν. ἀλλ᾽ οὐδὲ μέλαιναν ὁρῇν γῆν οὐδὲ κατακεκαυμένην δοκεῖ ἀγαθὸν, ἀλλὰ κίνδυνος ἰσχυροῦ νοσήματος ἀντυχεῖν καὶ θανασίμου. ξηρασίης γὰρ ὑπερβολὴν σημαίνει ἐοῦσαν ἐν τῇ σαρκί. ἀλλὰ χρὴ τούς τε πόνους ἀφελεῖν, τῶν τε σίτων ὁκόσα ξηρά τε καὶ θερμὰ καὶ δριμέα καὶ οὐρητικά. διαιτῆσθαι τε τῷ τε πτισάνης καθέφθω τῷ χυλῷ. καὶ πᾶσι τοῖς μαλακοῖσι καὶ κούφοισιν ὀλίγοισι. ποτῷ χρέοντι ὑδαρεῖ λευκῷ πλείονι. λουτροῖσι πουλλοῖσι θερμοῖσιν. ἀλλὰ μὴ ἄσιτος λουέσθω. μαλακευνέτω. ῥαθυμεέτω. ψύχος καὶ ἥλιον φυλασσέσθω. εὔχεσθαι δὲ γῇ, καὶ ἑρμῇ καὶ τοῖσιν ἥρωσιν. εἰ δὲ κολυμβᾷν ἐν λίμνῃ, ἢ ἐν θαλάσσῃ, ἢ ἐν ποταμοῖσι δοκέει, οὐκ ἀγαθόν. ὑπερβολὴν γὰρ ὑγρασίης σημαίνει. ξυμφέρει δὲ τούτῳ, τῇ διαίτῃ τοῖσί τε πόνοισι χρῆσθαι. πυρέσσοντι δὲ ἀγαθὸν, σβέννυται γὰρ τὸ θερμὸν ὑπὸ τῶν ὑγρῶν. ὅτι δ᾽ ἂν τις περὶ αὐτοῦ ὁρᾷ κατὰ τρόπον γινόμενον πρὸς τὴν φύσιν τὴν ἑωυτοῦ, μήτε μέζω μήτε ἐλάσσω, ἀγαθὸν πρὸς ὑγείην ἐστί. καὶ ἐσθῆτα λευκὴν ἐνδεδύσθαι, καὶ ὑπόδεσιν τὴν καλλίστην, ἀγαθόν. ὅτι δ᾽ ἂν ἔῃ μέζον τῶν μελῶν, οὐκ ἀγαθόν. ἀλλ᾽ οὐδ᾽ ὅπερ ἂν ἔῃ ἔλασσον. καὶ χρὴ τὸ μὲν αὔξειν τῇ διαίτῃ. τὸ δὲ μειοῦν. τὰ δὲ μέλανα νοσερώτερά τε καὶ ἐπικίνδυνα. ἀλλὰ χρὴ μαλάσσειν καὶ ὑγραίνειν. καὶ τὰ καινὰ μεταλλαγὴν σημαίνει. τοὺς ἀποθανόντας ὁρῇν καθαροὺς ἐν ἱματίοισι λευκοῖσιν, ἀγαθόν. καὶ λαμβάνειν τι παρ᾽ αὐτῶν καθαρὸν, ἀγαθόν. ὑγείην γὰρ σημαίνει καὶ τῶν σωμάτων καὶ τῶν ἐσιόντων. ἀπὸ γὰρ τῶν ἀποθανόντων, αἱ τροφαὶ καὶ αὐξήσιες καὶ σπέρματα γίνονται. ταῦτα δὲ καθαρὰ εἰσέρπειν ἐς τὸ σῶμα, ὑγείην σημαίνει. ἢν δὲ τοὐναντίον τις ὁρῴη, γυμνοὺς ἢ μελανοείμονας, ἢ μὴ καθαροὺς, ἢ λαμβάνοντάς τι, ἢ φέροντας ἐκ τῆς οἰκίης, οὐκ ἐπιτήδειον. σημαίνει γὰρ νοῦσον. τὰ γὰρ ἐσιόντα ἐς τὸ σῶμα βλαβερά. ἀλλὰ χρὴ τοῖσι τροχοῖσι καὶ τοῖσι περιπάτοισιν ἀποκαθαίρεσθαι. καὶ τῇ τροφῇ τῇ μαλακῇ τε καὶ κούφῃ προσάγειν ἐμέσαντα. ὁκόσα δὲ ἀλλόμορφα σώματα φαίνεται ἐν τοῖσιν ὕπνοισι καὶ φοβέει τὸν ἄνθρωπον, σιτίων ἀσυνήθων σημαίνει πλησμονὴν καὶ ἀπόκρισιν. καὶ χολέραν, καὶ νοῦσον κινδυνώδη. ἀλλὰ χρὴ ἔμετον ποιήσασθαι, καὶ προσαγαγεῖν ἐπὶ ἡμέρας πέντε, σιτίοισιν ὡς κουφοτάτοισι μὴ πουλλοῖσι. μὴ δὲ δριμέσι, μήτε τοῖσι ξηροῖσι, μήτε τοῖσι θερμοῖσι. καὶ τῶν πόνων τοῖσι κατὰ φύσιν μάλιστα, πλὴν τῶν ἀπὸ δείπνου περιπάτων. χρῆσθαι δὲ καὶ λουτροῖσι καὶ θερμολουτίῃσι, καὶ ῥαθυμίῃσιν. ἥλιον δὲ καὶ ψῦχος, φυλαττέσθω. Ἢν δὲ ἐν τῷ ὕπνῳ ἐσθίειν δοκῇ, ἢ πίνειν τῶν συνήθων σιτίων ἢ πομάτων, ἔνδειαν σημαίνει τροφῆς, καὶ ψυχῆς ἀθυμίην. κρέα δὲ τὰ μὲν ἰσχυρότατα, μεγίστης ὑπερβολῆς. τὰ δὲ ἀσθενέστατα, ἧσσω. ὥσπερ γὰρ ἐσθιόμενον ἀγαθὸν, οὕτω καὶ ὁρώμενον. ἀφαιρέειν οὖν τῶν σιτίων, ξυμφέρει. τροφῆς γὰρ ὑπερβολὴν οὖσαν σημαίνει. ἀλλὰ καὶ ἄρτοι τυρῷ καὶ μέλιτι πεποιημένοι καθ᾽ ὕπνους ἐσθιόμενοι, ὡσαύτως σημαίνουσιν. ὕδωρ δὲ καθαρὸν πινόμενον, ἀγαθόν. τὰ δὲ ἄλλα πάντα, βλαπτά. Ὁκόσα δὲ δοκέει ὁ ἄνθρωπος θεωρεῖν τῶν συνήθων, ψυχῆς ἐπιθυμίην σημαίνει. ὁκόσα δὲ φεύγει πεφοβημένος, ἐπίστασιν τοῦ αἵματος σημαίνει ὑπὸ ξηρασίης. ξυμφέρει δὲ ψύξαι καὶ ὑγρῆναι τὸ σῶμα. ὁκόσα δὲ ἢ μάχεται, ἢ κεντέεται, ἢ ξυνδεῖται ὑπὸ ἄλλου, ἀπόκρισιν σημαίνει ὑπεναντίην τῇ περιόδῳ γεγονέναι τῷ σώματι. συμφέρει οὖν ἐμέειν καὶ ἰσχναίνειν καὶ περιπατεῖν. καὶ σιτίοισι κούφοισι χρῆσθαι. καὶ προσάγειν ἐκ τοῦ ἐμέτου, ἐς ἡμέρας πέντε. ἀλλὰ καὶ πλάνοι καὶ

ἀναβάσιες ἐκ φαντασμάτων, χαλεπὰ ταῦτα σημαίνουσι. ποταμῶν διαβάσιες. καὶ ὁπλῖται καὶ πολέμιοι. καὶ τέρατα ἀλλόμορφα, νοῦσον σημαίνει, ἢ μανίην. ξυμφορὴ οὖν τοῖς ἐν τοιούτοισιν ἁλωμένοισι, σιτίοισιν ὀλίγοισι, κούφοισί τε καὶ μαλακοῖσι χρέεσθαι. καὶ ἐμέτοισι προσάγειν ἡσυχῇ, ἄχρι ἡμέρας πέντε. καὶ τοῖσι πόνοισι τοῖσι κατὰ φύσιν πουλλοῖσι χρέεσθαι, πλὴν ἀπὸ δείπνου. θερμολουσίην δὲ, ῥαθυμίην. ψῦχος, ἥλιον, φυλάσσεσθαι. τούτοισι χρώμενος, ὡς γέγραπται, ὑγιαίνει τὸν βίον, καὶ εὕρηταί μοι δίαιτα, ὡς δυνατὸν εὑρεῖν ἄνθρωπον ὄντα ξὺν τοῖσι θεοῖσιν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΤΡΟΦΗΣ.

Τοῦτο τὸ σύγγραμμά φησιν ὁ Γαληνὸς μὴ εἶναι Ἱπποκράτους, πλὴν ἀλλ' οὐδὲ πάλιν ἀνδρὸς τοῦ τυχόντος. καὶ ἴσως ἂν εἴη τοῦ Θεσσαλοῦ. δοκεῖ δέ τισιν ὑπὸ Ἡροφίλου συγκεῖσθαι.

Τροφὴ καὶ τροφῆς εἶδος, μία καὶ πολλαί. μία μὲν, ᾗ γένος ἕν. εἶδος δὲ, ὑγρότητι καὶ ξηρότητι. καὶ ἐν τουτέοισιν ἰδέαι, καὶ πόσον ἐστὶ, καὶ ἐς τίνα καὶ ἐς τοσαῦτα. αὔξει δὲ, καὶ ῥώννυσι, καὶ σαρκοῖ, καὶ ὁμοιοῖ, καὶ ἀνομοιοῖ τὰ ἐν ἑκάστοισι κατὰ φύσιν τὴν ἑκάστου, καὶ τὴν ἐξ ἀρχῆς δύναμιν. ὁμοιοῖ δὲ, ἐς δύναμιν. ὁκόταν κρατέῃ μὲν, ἡ ἐπεισιοῦσα. ὑπὸ κρατέῃ δὲ, ἡ προϋπάρχουσα. γίνεται δὲ καὶ ἐξίτηλος. ὁτὲ μὲν, ἡ προτέρη ἐν χρόνῳ ἀπολυθεῖσα, ἢ ὑπὸ προστεθεῖσα. ὁτὲ δὲ, ἡ ὑστέρη ἐν χρόνῳ ἀπολυθεῖσα, ἢ ὑπὸ προστεθεῖσα. ἀμαυροῖ δὲ ἑκατέρας ἐν χρόνῳ καὶ μετὰ χρόνον ἡ ἔξωθεν συνεχὴς ἐπεισκριθεῖσα, καὶ ὑπὸ πολλὸν χρόνον ἀτρεμινέως πᾶσι τοῖσι μέλεσι διαπλακεῖσα. καὶ τὴν μὲν ἰδίην ἰδέην, ἐξεβλάστησε. τὴν δὲ προτέρην, ἔστιν ὅτε καὶ τὰς προτέρας ἐξημαύρωσε. δύναμις δὲ τροφῆς, ἀφικνέεται καὶ ἐς ὀστέον, καὶ πάντα τὰ μέρεα αὐτοῦ. καὶ ἐς νεῦρον. καὶ ἐς φλέβα. καὶ ἐς ἀρτηρίην. καὶ ἐς μῦν. καὶ ἐς ὑμένα. καὶ σάρκα. καὶ πιμελήν. καὶ αἷμα. καὶ φλέγμα. καὶ μυελόν. καὶ ἐγκέφαλον. καὶ νωτιαῖον. καὶ τὰ ἐντοσθίδια, καὶ πάντα τὰ μέρεα αὐτῶν. καὶ δὴ καὶ ἐς θερμασίην. καὶ πνεῦμα. καὶ ὑγρασίην. τροφῆς δὲ τὸ τρέφον τροφὴ, καὶ τὸ οἷον τροφὴ, καὶ τὸ μέλλον τροφή. ἀρχὴ δὲ πάντων μία καὶ τελευτὴ πάντων μία. καὶ ἡ αὐτὴ τελευτὴ καὶ ἀρχή. καὶ ὅσα κατὰ μέρος ἐν τροφῇ καλῶς καὶ κακῶς διοικέεται, καλῶς μὲν, ὅσα προείρηται. κακῶς δὲ, ὅσα τούτοισι τὴν ἐναντίαν ἔχει τάξιν. χυλοὶ ποικίλοι καὶ χρώμασι, καὶ δυνάμεσι, καὶ ἐς βλάβην, καὶ ἐς ὠφελείην. καὶ οὔτε βλάπτειν οὔτε ὠφελέειν. καὶ πλήθει. καὶ ὑπερβολῇ. καὶ ἐλλείψει. καὶ διαπλοκῇ. ὧν μὲν, ὧν δ' οὔ. καὶ πάντων ἐς θερμασίην βλάπτει καὶ ὠφελέει. ἐς ψύξιν βλάπτει καὶ ὠφελέει. ἐς δύναμιν βλάπτει καὶ ὠφελέει. δύναμις δὲ, ποικίλαι φύσιες. χυλοὶ φθείροντες καὶ ὅλον καὶ μέρος, καὶ ἔξωθεν καὶ ἔνδοθεν. αὐτόματοι καὶ οὐκ αὐτόματοι. ἡμῖν μὲν, αὐτόματοι. αἰτίῃ δὲ, οὐκ αὐτόματοι. αἰτίης δ' αὖ. τὰ μὲν δῆλα. τὰ δ' ἄδηλα. καὶ τὰ μὲν, δυνατά. τὰ δ' ἀδύνατα. φύσις ἐξαρκέει πάντα πᾶσιν. ἐς δὲ ταύτην ἔξωθεν μὲν, κατάπλασμα. κατάχρισμα. ἄλειμμα. γυμνότης. καὶ σκέπη ὅλου καὶ μέρεος. θέρμη καὶ ψύξις κατὰ τὸν αὐτὸν λόγον. καὶ στύψις. καὶ ἕλκωσις. καὶ δηγμός. καὶ λίπασμα. ἔνδοθεν δὲ, τινά τε τῶν εἰρημένων. καὶ ὑπὸ τούτοισιν. αἰτίη ἄδηλος, καὶ μέρει καὶ ὅλῳ. τινί τε καὶ οὔ τινι. ἀποκρίσιες κατὰ φύσιν κοιλίης οὔρων. ἱδρῶτος, πτυάλου. μύξης. ὑστέρης. καθ' αἱμοῤῥοΐδα. θύμον. λέπρην, φῦμα. καρκίνωμα. ἐκ ῥινῶν. ἐκ πνεύμονος. ἐκ κοιλίης. ἐξ ἕδρης. ἐκ καυλοῦ. κατὰ φύσιν καὶ παρὰ φύσιν. αἱ διακρίσιες τούτων, ἄλλοισι πρὸς ἄλλον λόγον, ἄλλοτε καὶ ἀλλοίως. μία φύσις ἐστὶ ταῦτα πάντα, καὶ οὐ μία. πολλαὶ φύσιές εἰσι ταῦτα πάντα, καὶ οὐ μία. φαρμακείη ἄνω καὶ κάτω. καὶ οὔτε ἄνω, οὔτε κάτω. ἐν τροφῇ φαρμακείη, ἄριστον. ἐν τροφῇ φαρμακείη, φλαῦρον. φλαῦρον καὶ ἄριστον πρός τι. ἕλκος. ἐσχάρη. αἷμα. πύον. ἰχώρ. λέπρη. πίτυρον. ἀχώρ. λειχήν. ἀλφός. ἔφηλις. ὁτὲ μὲν, βλάπτει. ὁτὲ δὲ, ὠφελέει. ὁτὲ δὲ, οὔτε βλάπτει, οὔτε ὠφελέει. τροφὴ, οὐ τροφή. ἢν μὴ οἷόν τε ᾖ τρέφεσθαι, οὔνομα τροφή. ἔργον δὲ, οὐχί. ἔργον τροφὴ, οὔνομα δὲ οὐχί. ἐς τρίχας τροφὴ, καὶ ἐς ὄνυχας, καὶ ἐς τὴν ἐσχάτην ἐπιφανείην ἔνδοθεν ἀφικνέεται. ἔξωθεν τροφὴ ἐκ τῆς ἐσχάτης ἐπιφανείης, ἐνδοτάτω ἀφικνέεται. ξύῤῥοια μία. ξύμπνοια μία. ξυμπαθέα πάντα. κατὰ μὲν οὐλομελίην πάντα. κατὰ μέρος δὲ, τὰ ἐν ἑκάστῳ μέρει μέρεα πρὸς τὸ ἔργον. ἀρχὴ μεγάλη, ἐς ἔσχατον μέρος ἀφικνέεται. ἐξ ἐσχάτου μέρεος

ἐς ἀρχὴν

ἐς ἀρχὴν μεγάλην ἀφικνέεται. μία φύσις ἐστὶ καὶ μὴ ἐστί. νούσων διαφοραὶ, ἐν τροφῇ, ἐν πνεύματι. ἐν θερμασίῃ. ἐν αἵματι. ἐν φλέγματι. ἐν χολῇ. ἐν χυμοῖσιν. ἐν σαρκί. ἐν πιμελῇ. ἐν φλεβί. ἐν ἀρτηρίῃ. ἐν νεύρῳ. μυΐ. ὑμένι. ὀστέῳ. ἐγκεφάλῳ. νωτιαίῳ μυελῷ. στόματι, γλώσσῃ. στομάχῳ. κοιλίῃ. ἐντέροισι. φρεσί. περιτοναίῳ. ἥπατι. σπληνί. νεφροῖσι. κύστει. μήτρῃ. δέρματι. ταῦτα πάντα καὶ καθ' ἓν καὶ κατὰ μέρος. μέγεθος αὐτῶν, μέγα καὶ οὐ μέγα. τεκμήρια. γαργαλισμός. ὀδύνη. ῥῆξις. γνώμη. ἱδρώς. οὖρον ὑπόστασις, ἡσυχίη. ῥιπτασμός. ὄψιες. φαντασίαι. ἴκτερος. λυγμός. ἐπιληψίη. αἷμα ὁλοσχερές. ὕπνος. καὶ ἐκ τούτων καὶ ἐκ τῶν ἄλλων τῶν κατὰ φύσιν, καὶ ὅσα ἄλλα τοιουτότροπα ἐς βλάβην καὶ ἐς ὠφελίην ὁρμᾷ. πόνοι ὅλου, καὶ μέρεος. καὶ μεγέθους σημήια, τῷ μὲν, ἐς τὸ μᾶλλον, τῷ δὲ, ἐς τὸ ἧσσον. καὶ ἀπὸ ἀμφοτέρων ἐς τὸ μᾶλλον, καὶ ἀπὸ ἀμφοτέρων ἐς τὸ ἧσσον. γλυκὺ, οὐ γλυκύ. γλυκὺ, ἐς δύναμιν. οἷον ὕδωρ. γλυκὺ ἐς γεῦσιν, οἷον μέλι. σημήια ἑκατέρων ἕλκεα, ὀφθαλμοὶ, καὶ γεύσιες. καὶ ἐν τούτοισι τὸ μᾶλλον, καὶ τὸ ἧσσον. γλυκὺ ἐς τὴν ὄψιν, καὶ ἐν χρώμασι, καὶ ἐν ἄλλῃσι μίξεσι. γλυκὺ μᾶλλον καὶ ἧσσον. ἀραιότης σώματος ἐς διαπνοὴν, οἷσι πλέον ἀφαιρέεται, ὑγιεινότερον. πυκνότης σώματος ἐς διαπνοὴν, οἷσιν ἔλασσον ἀφαιρέεται, νοσερόν. οἱ διαπνεόμενοι καλῶς, ἀσθενέστεροι, καὶ ὑγιεινότεροι, καὶ εὐανάσφαλτοι. οἱ διαπνεόμενοι κακῶς, πρὶν ἢ νοσέειν, ἰσχυρότεροι. νοσήσαντες δὲ, δυσανάσφαλτοι. ταῦτα δὲ, καὶ ὅλῳ καὶ μέρει. πνεύμων ἐναντίην σώματι τροφὴν ἕλκει. τὰ δ' ἄλλα πάντα τὴν αὐτήν. ἀρχὴ τροφῆς πνεύματος, ῥῖνες. στόμα. βρόγχος. πνεύμων. καὶ ἡ ἄλλη διαπνοή. ἀρχὴ τροφῆς καὶ ὑγρῆς καὶ ξηρῆς, στόμα. στόμαχος. κοιλίη. ἡ δὲ ἀρχαιοτέρη τροφὴ, διὰ τοῦ ἐπιγαστρίου, ὀμφαλός. ῥίζωσις φλεβῶν, ἧπαρ. ῥίζωσις ἀρτηριῶν, καρδίη. ἐκ τούτων ἀποπλανᾶται ἐς πάντα αἷμα καὶ πνεῦμα. καὶ θερμασίη διὰ τούτων φοιτᾷ. δύναμις μίη καὶ οὐ μίη, ᾗ πάντα ταῦτα καὶ τὰ ἑτεροῖα διοικέεται. ἡ μὲν, ἐς ζωὴν ὅλου καὶ μέρεος. ἡ δὲ, ἐς αἴσθησιν ὅλου καὶ μέρεος. γάλα. τροφή. οἷσι γάλα τροφὴ κατὰ φύσιν. ἄλλοισι δὲ οὐχί. ἄλλοισι δὲ οἷσιν, οἶνος τροφή. καὶ οἷσιν οὐχὶ τροφή. καὶ σάρκες. καὶ ἄλλαι ἰδέαι τροφῆς πολλαί. καὶ κατὰ χώρην καὶ ἐθισμὸν τρέφεται, τὰ μὲν, ἐς αὔξησιν, καὶ ἐς τὸ εἶναι. τὰ δὲ, ἐς τὸ εἶναι μόνον. οἷον γέροντες. τὰ δὲ πρὸς τούτων, καὶ ἐς ῥώμην. διάθεσις ἀθλητικὴ, οὐ φύσει. ἕξις ὑγιεινὴ κρέσσων ἐν πᾶσι. μέγα τὸ ποσὸν εὐστόχως ἐς δύναμιν ἐξαρμοσθέν. γάλα καὶ αἷμα, τροφῆς πλεονασμός. περίοδοι ἐς πολλὰ σύμφωνοι, ἐς ἔμβρυον καὶ ἐς τὴν τούτου τροφήν. αὖθις δὲ ἄνω ῥέπει, ἐς γάλα, καὶ ἐς τροφὴν, καὶ ἐς βρέφος. ζωοῦνται τὰ μὴ ζῶα. ζωοῦνται τὰ ζῶα. ζωοῦται τὰ μέρεα τῶν ζώων. φύσιες πάντων ἀδίδακτοι. αἷμα ἀλλότριον, ὠφέλιμον. αἷμα ἴδιον, ὠφέλιμον. αἷμα ἀλλότριον, βλαβερόν. αἷμα ἴδιον, βλαβερόν. χυμοὶ ἴδιοι, βλαβεροί. χυμοὶ ἀλλότριοι, βλαβεροί. χυμοὶ ἀλλότριοι, ξυμφέροντες. χυμοὶ ἴδιοι, ξυμφέροντες. τὸ ξύμφωνον, διάφωνον. τὸ διάφωνον, ξύμφωνον. γάλα ἀλλότριον, ἀστεῖον. γάλα ἴδιον, βλαβερόν. γάλα ἀλλότριον, βλαβερόν. γάλα ἴδιον, ὠφέλιμον. σιτίον νέοισιν ἀκροσαπές. γέρουσι δὲ ἐς τέλος μεταβεβλημένον. ἀκμάζουσιν ἀμετάβλητον. ἐς τύπωσιν, λε΄, ἥλιοι. ἐς κίνησιν. ο΄. ἐς τελειότητα σι΄. ἄλλοι φασὶ ἐς μορφὴν, με΄, ἐς κίνησιν, ος΄. ἐς ἔξοδον, σι΄. ἄλλοι, ν΄ ἐς ἰδέην. ἐς πρῶτον ἅλμα, ρ΄. ἐς τελειότητα, τ΄. ἐς διάκρισιν μ΄. ἐς μετάβασιν, π΄. ἐς ἔκπτωσιν, σμ΄. οὐκ ἔστι καὶ ἔστι. γίνεται δὲ ἐν τούτοισι καὶ πλέω καὶ ἐλάσσω. καὶ ὅλον καὶ κατὰ μέρος. οὐ πολλὸν δὲ πλέω ἢ ἐλάσσω. τὰ δὲ ἐλάσσω τοσαῦτα, καὶ ὅσα ἄλλα τούτοισιν ὅμοια. Οστέων τροφὴ ἐκ κατήξιος ῥινί. δὶς πέντε. γνάθῳ καὶ κληΐδι καὶ πλευρῇσι διπλάσιαι. πήχει, τριπλάσιαι. κνήμῃ καὶ βραχίονι, τετραπλάσιαι. μηρῷ, πενταπλάσιαι. καὶ ἔτι ἐν τούτοισι δύναται πλέον ἢ ἔλασσον. αἷμα ὑγρὸν, καὶ αἷμα στερεόν. αἷμα ὑγρὸν, ἀστεῖον. αἷμα στερεόν, φλαῦρον. πρός τι πάντα, φλαῦρα καὶ ἀστεῖα. ὁδὸς ἄνω κάτω, μίη. δύναμις τροφῆς κρέσσον, ἢ ὄγκος. ὄγκος τροφῆς κρέσσων, ἢ δύναμις. καὶ ἐν ὑγροῖσι καὶ ἐν ξηροῖσιν. ἀφαιρέει καὶ προστίθησι τὸ αὐτό. τῷ μὲν, ἀφαιρέει. τῷ δὲ, προστίθησι τὸ αὐτό. φλεβῶν διασφύξιες. καὶ ἀναπνοὴ πνεύματος καθ' ἡλικίην. καὶ ξύμφωνα καὶ διάφωνα. καὶ νόσου καὶ ὑγιείης σημήια. καὶ ὑγιείης μᾶλλον, ἢ νόσου. καὶ νόσου μᾶλλον, ἢ ὑγιείης. τροφὴ γὰρ καὶ πνεῦμα. ὑγρὴ τροφὴ εὐμετάβλητος μᾶλλον, ἢ ξηρή. ξηρὴ τροφὴ εὐμετάβλητος μᾶλλον, ἢ ὑγρή. ἡ δυσαλλοίωτος, δυσεξανάλωτος. ἡ εὐπρόσθετος, εὐεξανάλωτος. καὶ ὁκόσοι ταχείης προσθέσιος δέονται, ὑγρὸν ἴημα ἐς ἀνάληψιν δυνάμιος κράτιστον. ὁκόσοι δὲ ἔτι ταχυτέρης, δι' ὀσφρήσιος. ὁκόσοι δὲ βραδυτέρης

προσθέσιος δέονται, στερεὴ τροφή. μύες στερεώτεροι, δυσδιάλυτοι τῶν ἄλλων, πάρεξ ὀστέου καὶ νεύρου. δυσμετάβλητα τὰ γεγυμνασμένα, κατὰ γένος αὐτὰ αὐτῶν ἰσχυρότερα τοῦ ὄντος, διὰ τοῦτο αὐτὰ ἑωυτῶν δυσηκτότερα. πύον τὸ ἐκ σαρκός. πυῶδες τὸ ἐξ αἵματος, καὶ ἐξ ἄλλης ὑγρασίης. πύον, τροφὴ ἕλκεος. πύον, τροφὴ φλεβὸς, ἀρτηρίης. μυελὸς, τροφὴ ὀστέου, διὰ τοῦτο πωροῦται. δύναμις πάντα αὔξει, καὶ τρέφει, καὶ βλαστάνει. ὑγρασίη, τροφῆς ὄχημα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΥΓΡΩΝ ΧΡΗΣΙΟΣ.

Υ

Δωρ ποτόν. ἁλμυρὸν, θάλασσα. ποτὸν μὲν, κατ' ἰητρεῖον κράτιστον. καὶ γὰρ σιδηρείοισι, καὶ χαλκείοισι κράτιστον. καὶ φαρμάκοισι τοῖσι πλείστοισι παλαιομένοισι κοινότατον. ἐς δὲ χρῶτα γνῶναι δεῖ, ὅτι τοῦτο ἢ τέγξει, ἢ ψύξει, ἢ θερμαίνει, ἄλλω δ' οὐδενὶ ὠφελέει, ἢ βλάπτει ποτὸν ὅπου ὀλίγου ποτοῦ σπόγγω χρήσεις ἄριστον ὀφθαλμοῖσιν. αὐτὸ τὸ δέρμα ἐφήλκωται, θερμοῦ ἀιονήσει. πυρίη τοῦ σώματος ἅπαντος ἢ μέρεος. δέρματος σκληροῦ, μάλθαξις. συντεταμένου, χάλασις. νεύρων, * σαρκῶν ἐκχύμωσις. ἱδρῶτος ἄφοδος. ὑγρῆναι προσκλήσει οἷον ῥίνας. κύστιν. φύσας. σαρκῶσαι. ἁπαλῦναι. τῆξαι. μινυθῆσαι. χροιὴν ἀνακαλέσαι. χροιὴν ἀνασκεδάσαι. ὑπνικὸν καὶ κατὰ κεφαλῆς καὶ ἄλλων. σπασμῶν. τετάνων παρηγορικόν. ὀδύνας κωφοῖ. ὠτός. ὀφθαλμῶν. * ὅσα τοιαῦτα τὰ ψυχρά. θερμῆναι, οἷον πίσσα. ἕλκεσιν. πλὴν τοῖσιν αἱμορραγεῖσιν. ἢ μέλλουσι. κατήγμασιν. ἐκπτώμασι. τοῖσιν ἄλλοισι, οἷσιν αὖ ὀθόνια ἰητρὸς. καρηβαρίη. τὸ μέτριον ἑκάστω, μὴ πρόσω οἴδαμεν βασανίζειν. οἷον τὸ θερμὸν περὶ χρωτὶ ἐξ ὑπερβολῆς ἐφ' ἑκάτερα, ὡς ἀμφοῖν μὴ ἁμαρτάνει, σημαινόμενος ταῖς βλάβαις. ἢ οὐκ ὠφελείαις. οἷον χλιαροῦ. δεῖ γὰρ τῇσιν βλάβῃσιν, ἢ τῇσιν ὠφελείῃσιν καὶ ὦσι, χρῆσθαι μέχρι τοῦ ὠφελέοντος ἢ μέχρι τοῦ βλάπτοντος. τέγξις μὲν οὖν, ἀσθενές. ψύξις δὲ καὶ θάλψις, ἰσχυρὸν, ὡς ἐξ ἡλίου. τὸ δὲ ψυχρὸν, θερμὸν ἐὸν ὡς ποτὸν ἀσθενέοντι. ἀλλὰ τὸ μὲν θερμὸν, μὴ πρόσω καίειν, κρίνει δ' αὐτὸς, πλὴν τοῖσιν ἀφώνοισιν ἢ παραπληγικοῖσιν. ἢ νεναρκωμένοισιν. ἢ οἷα ὑπὸ τρώμασι, κατεψυγμένοισιν. ἢ ὑπερωδυνέουσι. τούτοισι δὲ ἀναίσθητα. λάθοις γὰρ ἂν κατακαύσας. καὶ τὰ ἐκπτώματα δὲ τὰ βαθέα. καὶ τὰ μεγάλα. ἤδη καὶ πόδες ἀπέπεσον καταψυχθέντες, ἐκ καταχύσιος θερμοῦ. ἀλλὰ τούτοισιν ὁ τοῦ καταχέοντος χρὼς, κριτής. καὶ ψυχροῦ δὲ ὡσαύτως. τούτων δ' αὐτῶν τὸ ὀλίγον ἑκατέρου, ἀσθενές. τὸ δὲ πολὺ, ἰσχυρόν. ἀλλὰ μὴν ἐὰν μέχρι γένηται οὗ ἕνεκα ποιέεται. τὸ ἔσχατον προπαύειν, πρὶν γενέσθαι. τούτων δὲ ἑκατέρων βλάπτει. βλάπτει δὲ ταῦτα τὸ θερμὸν πλέον χρεομένοισι. σαρκῶν ἐκθήλυνσιν. νεύρων ἀκράτειαν. γνώμης νάρκωσιν. αἱμορραγίας. λειποθυμίας. ταῦτα ἐς θάνατον. τὸ δὲ ψυχρὸν. σπασμοὺς. τετάνους. μελασμοὺς. ῥίγεα πυρετώδεα. αἱ μὲν μετριότητες ἐκ τούτων. τὰ δ' ἄλλα βλάπτει καὶ ὠφελέει τὰ εἰρημένα. ἡδονῇσι. καὶ εὐφορίῃσι. καὶ ἀχθηδόσι. καὶ δυσφορίῃσιν, αἳ καθ' ἓν ἕκαστον αὐτῶν ὁμολογοῦσαι φαίνονται ὑγιέος. σῶμα τὸ μὲν ἐν σκέπῃ εἰθισμένον, ὅτι ἀήθες, ὅ, τι προσωτάτω τοῦ οἰκείου θάλπεος. ἐγγύτατα δὲ τοῦ ἀλλοτρίου ψύχεος. διὰ ταῦτ' ἄρα περὶ θερμῷ ἥδεται, καὶ φέρειν δύναται. ἐγκέφαλος καὶ ὅσα ἀπὸ τούτου, ψυχρῷ μὲν ἄχθεται. θερμῷ δ' ἥδεται. καὶ ἦν ἄρα ἡ ψυχρότερον καὶ στερεώτερον φύσει. καὶ πρὸς ὅτου οἰκείου θάλπεος. καὶ πλεῖστα αὐτῶν. διὰ τοῦτο ὀστέοισιν ὀδοῦσι, νεύροισι, τὸ ψυχρὸν πολέμιον. τὸ δὲ θερμὸν, φίλιον. ὅτι ἀπὸ τούτου. σπασμοί. τέτανοι. ῥίγεα πυρετώδεα. ἃ, τὸ μὲν ψυχρὸν, ποιέει. τὸ δὲ θερμὸν, παύει. διὰ τοῦτο καὶ ἀπὸ τοῦ θερμοῦ, ἡδοναὶ καὶ προκλήσιες. ἀπὸ δὲ τοῦ ψυχροῦ ἀλγηδόνες, καὶ ἀπρέψιες. διὰ τοῦτο ὀσφύς. στῆθος. νῶτον. ὑποχόνδρια, μᾶλλον ψυχρῷ ἄχθεται. θερμῷ δ' ἥδεται καὶ φέρειν δύναται. διὰ τοῦτ' ἄρα ὀσφύς. νῶτον. στῆθος, ὑποχόνδρια τὰ ἐναντία πέπονθεν, ὅτι ἐναντιαῖα. διὰ τοῦτ' ἄρα τούτω τῷ χωρίω, ἀσώδεες ἐνταῦθα χρωμένοισι περὶ θερμῷ. τὸ δὲ ψυχρὸν, παύει. διὰ τοῦτ' ἄρα ποτῷ ψυχρῷ ἥδεται. διὰ τοῦτ' ἄρα βρώμασι τοῖσι θερμοῖσιν ἥδεται. διὰ τοῦτ' ἄρα καὶ κατὰ ἀκρέων ἐν λειποθυμίαις, τὸ ψυχρὸν καταχεόμενον, ὠφελέει. ὅτι δὲ τὰ ὄπισθεν τῶν ἔμπροσθεν τὸ θερμὸν μᾶλλον ἀνέχεται, τὰ εἰρημένα αἴτια. ὅτι δὲ καὶ τὰ ψυχρὰ ὀρθῶς. τά τε γὰρ ἄκρεα ἔμπροσθεν καὶ οὐκ ἐν σκέπῃ εἰθισμένα. ὥσπερ τὸ ἔνδον τοῦ ἔξω. μνηστέον δὲ καὶ ὅτι ἑκάτερον ἐφ' ἑκατέρου τοῦ σώματος, κρέσσον τοῦ δέρματος τοῦ ἔξω. ὅτι συνεχές τε ἑωυτῷ καὶ νεύρω ἐναίμω διὰ

τὸ ἔξω τοῦ οἰκείου θερμοῦ. ἐν γὰρ ἔξω ψυχρὰ ἐόντα, ἔσω ἀμφοῖν πυκνὰ κρατέεται, καὶ ἑκατέρων πυκνὰ δέεται. πυκνὰ δὲ μᾶλλον θερμοῦ ἐς ἡδονήν. πάσχει δὲ καὶ ἄκρεα τοῦτο, ὥστε ταχέως ἐνακούειν πολλῶν. βραδέως δὲ πρῶτον ἐπαείρεται. καὶ φλεβῶν δῆλον αἱ πρότερον καὶ ὕστερον. οὕτως πάντα φαίνεται, ὅκου τε ψύχεται ἄκρεα, ὅκου τε θερμαίνεται. ἐν κυνεαγγικοῖσι. ἐν λειποθυμικοῖσι. καὶ κατὰ λόγον, εἰκότως ἄρα φλέβας, καὶ τὰ ἀπὸ τουτέων ἕπεται, καὶ θερμαίνει. πρῶτον τὸ θερμὸν, οἷον τῶν χειρῶν τὰ ἔσω. τὰ δ' ἕλκεα θερμῷ ἥδεται ὁμολογουμένως ὅτι ἐν σκέπῃ εἴθισται. εἰκότως ἄρα γὰρ ἑτέρῳ ἄχθεται. εἰκότως ἄρα καὶ αὗται αἱ φλέβες, ὅτι ἐν θερμῷ εἰσιν. εἰκότως ἄρα καὶ αὐτὸς ὁ θώρηξ. καὶ αὕτη ἡ κοιλίη κρατουμένη ὑπὸ τοῦ ψυχροῦ μάλιστα ἀγανακτεῖ καὶ θανατοῖ, ὅτι μάλιστα ἀήθεα. ἀλλὰ πλεῖστον ἀπέχει τοῦ παθεῖν. τοῦτο γὰρ ἐγγύτατα τοῦ τὸ δεῖσθαι. εἰκότως ἄρα ποτῷ ψυχρῷ ἥδεται. οὕτω ὁμολογέει ταῦτα πάντα. ὅτι δὲ μάλιστα πάντα τὰ ἀποσύρματα καὶ τὰ ἐπικαύματα ἐπιπολῆς οὐ μάλιστα εἰθισμένα ἐν σκέπῃ, μάλιστα ἐν ψυχρῷ ἀγανακτεῖ. εἰκότως. τάχιστα γὰρ κρατέεται. καὶ τὰ βαθύτατα εἰ κρατοῖτο, μάλιστ' ἂν ἄχθοιτο. ἔπειτα καὶ τῆς φύσιος τῆς νευρώδεος μετέχει. ὅτι ὑπογάστριον ἥδεσθαι δοκέει θερμῷ, σκεπτέον τὸ χωρίον καὶ μετέχει. καὶ ἄκρεα. καὶ κύστις. καὶ γονή. καὶ ἄλλος γόνος ὁ γυμνὸς ἐστί τε φύσει ψυχρότερος, ἢ ὥς τις οἴεται. ἄνω γὰρ οὐ κάτω θερμὸν ἀΐσσει. διὰ ταῦτα ἥδεται, ὅτι μετὰ τὸ θερμὸν ψύχεται τὸ σῶμα διαψυχθὲν μᾶλλον. μετὰ δὲ τὸ ψυχρὸν, ἀναθερμαίνεται μᾶλλον συσταλέν. οἷον καὶ τὰ ὕδατα ψυκτέα θερμαντέα διὰ λεπτότητα. ὅτι μετὰ τὸ θερμὸν σκληρύνεται μᾶλλον ἐπιξηρανθέν. οἷον ὀφθαλμοὶ μετὰ τὸ ψυχρόν. τὸ μὲν γὰρ ὅμοιον γὰρ περιέχοντι. τὸ δὲ οὔ. Θάλασσα δὲ τοῖσι κνησμώδεσι. καὶ δακνώδεσιν. καὶ λούειν καὶ πυριῆν θερμῇ. τοῖσι μὲν ἀήθεσιν ὑπολιπαίνονται. πρὸς ἕλκεα δὲ πυρίκαυτα καὶ ἀποσύρματα, καὶ ὅσα τοιαῦτα, πολέμιον. ἐπιτήδειον δὲ, τοῖσι καθαροῖσι. ἀγαθὸν καὶ ἰσχναίνειν εὖ ὡς τὰ τῶν ἁλιέων ἕλκεα. ταῦτα γὰρ οὐδὲ ἐκπυεῖ, ἢν μὴ ψαύῃ. καὶ πρὸς ὑποδεσμίδας. καὶ τὰ νεμόμενα παύει καὶ ἵστησιν. ὡς ἅλες καὶ ἁλμυρίδες, καὶ λίτρον. πάντα δὲ ταῦτα σμικρῷ μὲν χρωμένῳ, ἐρεθιστικά. προσνικῶντι δὲ, ἀγαθά. βέλτιον δὲ θερμὴ πρὸς τὰ πλεῖστα. ὄξος δὲ χρῶτι μὲν, καὶ ἄρθροισι, παραπλήσιον θαλάσσῃ. καὶ δυνατώτερον. καταχέειν. καὶ πυριῆν καὶ ἕλκεσι τοῖσι νεοτρώτοισι θρόμβοισιν οὗ μέλασμα αἰδοίων. καῦσις οὐάτων, ἢ καὶ ὀδόντων. θερμῷ δὲ ταῦτα, τά τε ἄλλα καὶ τῇ ὥρῃ συντεκμαίρεσθαι ἐκ τήξεως ἄλλου. καὶ πρὸς ἄλλα δὲ ὅσα λειχῆσι. λέπρῃσιν. ἀλφοῖσι. συντείνει παχυνθὲν ἐν ἡλίῳ θερμῷ. μάλιστα δὲ ὄνυξι λεπροῖσι. κρατέει γὰρ μετὰ χρόνον. μυρμηκίας ἀπαλύνει. καὶ τοὺς ἐν ὠσὶν ἰᾶται ῥύπους. μαλάσσει δὲ καὶ χρῶτα. πολλαχῆ δὲ καὶ ἄλλῃ, εἰ μὴ ὀδμὴ ἔβλαπτε καὶ μάλιστα γυναῖκας. ἐδύνατο δ' ἂν καὶ ποδαγρίῃ, εἰ μὴ ὁ χρὼς ἐπιτρώσκετο. ταῦτα καὶ τρὺξ ὄξους ποιέειν. Οἶνος δὲ γλυκὺς ὅσα χρόνια βρώματα συνεχέως χρωμένῳ αὐτάρκης, ἀτὰρ καὶ ἐν φαρμακοποσίῃ. αὐστηρὸς δὲ ὁ λευκὸς καὶ μέλας οἶνος, ψυχρὸς ἐπὶ τὰ ἕλκεα ἐνδέχεται, ψυχρὸς διὰ τὴν θέρμην. * εἴρια δὲ ὅσα μὲν ψύξιος εἵνεκα, ἢ καταχεῖται, ἢ ἐνίεται, ἢ ἐν βάπτηται ὡς ὕδωρ ψυχρότατον. ὅσα δὲ ψύξιος, ὁ μέλας οἶνος καὶ εἴρια καταρῆναι. οἷον καὶ φύλλα τευτλίων, ἢ ὀθόνια * βάπτεται ἐπὶ τὰ πλεῖστα. Ὅσα δ' ἔνι στύψις. οἷον κισσοῦ φύλλα, ὁ λευκός. καὶ ὅσα στρυφνότερα, ἢ ψαθυρώτερα οἷον κισσός τε καὶ βάτος. ῥοῦς σκυτοδεψική. ἐλελίσφακος. καὶ ὅσα μαλθάσσειν δεῖ οἷον ἄλητον ἑφθὸν, τὸ ψυχρὸν ὠφελέει. τὰ ἐρυθρὰ οἷα ἄλλῃ καὶ ἄλλῃ ἐκθύει ὑποπλάτει. οἷα οἱ τοὺς σπλῆνας ὁλκηροὺς ἀνίσχουσιν. εὐσάρκοισι δὲ, καὶ ἁπαλοσάρκοισιν ὑπέρυθρα. μέλασι δὲ καὶ οἷαι στρογγύλαι ἐοῦσαι, θολήκας λέγουσι, καὶ ἐν αὐτῇσι τῇσι θερμολουσίῃσιν ἀνίσταται γινόμενα. καὶ γυναιξὶν ἐκ γυναικείων ἀναδρομὴ, ὑπὸ χρῶτα. καὶ ὑπὸ ἐρεθισμὸν δέρματος, ἢ ἱματίων τρηχέων ἀήθει φορήσει. καὶ ἐξ ἱδρώτων ἐξόδου. ἢ ἐκ ψύχεος. ἐξαί* φνης πρὸς πῦρ ἐλθόντι ἢ λουτρὰ θερμὰ, ταῦτα ἢν ὕστερον ποιήσει. Ἔτι οὐδαμῶς ἐκθύει. ἐπεὶ ὁκόσα γε ἐκ ψύχεος γίνεται, ἢ ὁκόσα τρηχύνεται, κεγχρώδεα. ἔστ' ἐφελκοῦται, τὸ μὲν ψυχρὸν, βλάπτει. τὸ δὲ θερμὸν, ὠφελέει. Ἃ δὲ, ἄμφω ὠφελέει, τὰ ἐν ἄρθροισιν οἰδήματα. καὶ ἄνευ ἕλκεος ποδαγρικὰ, καὶ σώματα πλεῖστα, τὸ ψυχρὸν πολλὸν καταχεόμενον ἰδρῶσιν, ἰσχναίνει. καὶ ὀδύνην ναρκοῖ. νάρκη δὲ μετρίη, ὀδύνης λυτικόν. καὶ τὸ θερμὸν ἰσχναίνει καὶ μαλθάσσει. Τοῖσι δὲ ποδαγρικοῖσι. παρέσεσι. τετάνοισι. σπασμοῖσι. τὰ τοιαῦτα. συντάσιες. τρόμοι. παραπληγίαι τὰ τοιαῦτα χαλῶσι. ἢ χωλώσιες. νάρκαι. ἀναυδίαι. τὰ τοιαῦ-

τα. κάτωθεν ἀφλήμψιες. φυλάσσεσθαι δὲ ἐν τῇ ψυχρῇ χρήσει, ψυχροῖσι χρεόμενος μάλλον, ἢ τὰ ναντία. Τὰ δὲ ἐς τὰ ἄρθρα ἐσκληρυσμένα. ἢ ὑπὸ φλεγμονῆς. ὁκότε γινομένης ἢ ἀγκύλης, πρὸς ὃ ἐργ' ἰᾶσθαι ἐς ἀσκίον θερμὰ ἐγχέοντας, τὴν χεῖρα ἐναποδῆσαι, καὶ ὄμματα, δακρύου παρηγορικόν. καταλείφοντα. πρὸς τὰ δριμέα, λίπος προσηνὲς ὥς τε μὴ ἅπτεσθαι τὸ ἁλμῶδες. καὶ τοῖσι βοθρίοισι διάνιψις. καὶ πλήρωσις ἐς φύσιν ἄγουσα. ὀφθαλμοῖσι θερμὸν. ὀδύνησιν. ἐμπυήσεσι. δακρύων δακνωδέων ξηροῖσιν ἅπασι. τὸ ψυχρὸν, ἀνωδύνησιν. ἐξερυθροῖσι. τοῖσι δὲ ἐθισμένοισι συστροφὰς κατὰ φλέβας ποιέειν, οἷα ἀχυρώδεα, κατὰ θώρηκα καὶ ἄλλα σκληρά. ἀρχῶν δὲ καὶ ὑστέρησιν οὐ πάνυ ἐνδέχεται. αἷμα ἐν ψύχει οὐ ῥέεσιν. ἕλκεσι τὸ μὲν ψυχρὸν δακνῶδες. θερμὰ περισκληρυμένη. ὀδυνώδεα. ἀνεκπύητα ποιέει. πελιαίνει. μελαίνει. ῥίγεα πυρετώδεα. σπασμοὺς. τετάνους. ἔστι δὲ ὅκου ἐπὶ τετάνῳ ἄνευ ἕλκεος νέῳ * εὐσάρκῳ θέρεος μέσου ψυχροῦ πολλοῦ κατάχυσις, θέρμης ἐπανάκλησιν ποιέει. θέρμη δὲ ταῦτα ῥύεται. τὰ δὲ ἐν κεφαλῇ. καὶ καρηβαρείας. τὸ θερμὸν ἐκπυητικόν, οὐκ ἐπὶ παντὶ ἕλκει. μέγιστον σημεῖον ἐς ἀσφάλειαν. δέρμα μαλθάσσει. ἰσχναίνει ἀνώδυνον. ῥιγέων. σπασμῶν. τετάνων παρηγορικόν. τὸ δ' ἐν κεφαλῇ καὶ καρηβαρείαν λύει. πλεῖστον δὲ διαφέρει ὀστέων κατήγμασι, μᾶλλον δὲ τοῖσιν ἐψιλωμένοισι. τούτων δὲ μάλιστα τῶν ἐν κεφαλῇ τρώμασιν ἑκουσίοισι καὶ ἀκουσίοισι. καὶ ὅσα ὑπὸ ψύχεος ἢ θνήσκει ἢ ἑλκοῦται. ἔτι ἑλκώμασι θ' ἑκουσίοισι τε καὶ ἀκουσίοισιν. οἷσιν ἀφσύρματα. ἕρπησιν ἐσθιομένοισι. μελαινομένοισιν. ἢ ἐν νούσοισιν. ἢ ἐν ἀκοῇ. ἢ ἐν ἕδρῃ. ἢ ὑστέρῃ, τούτοισι πᾶσι τὸ θερμὸν, φίλιον, καὶ κεῖνον. τὸ δὲ ψυχρὸν, πολέμιον, καὶ κτεῖνον. πλὴν ὁκόσα αἱμοῤῥαγέειν ἐλπὶς, οὕτω περὶ χύσησιν ὑγρῶν. περιχρίσεσιν, ἀλείπτων. ἐπιθέσεσι φύλλων. ἢ ὀθονίων, καταπλάσεις. ὁκόσα ἢ ψύξις ἢ θέρμη ὠφελέει, ἢ βλάπτει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΧΥΜΩΝ.

Γνήσιον εἶναι τοῦτο Ἱπποκράτους φησὶν ὁ Γαληνός, πλὴν ἔστιν εὑρεῖν τινὰ μὲν, ἐς βραχυλογίαν ἐσχάτην ἐσφιγμένα. τινὰ δὲ, ἐκτεταμένα τοῦ συμμέτρου πλέον.

Τ

Ο χρῶμα τῶν χυμῶν, ὅκου μὴ ἄμπωτίς ἐστι τῶν χυμῶν, ὥσπερ ἀνθέων. ἀκτέα ἢ ῥέπει διὰ τῶν συμφερόντων χωρίων, πλὴν ὧν οἱ πεπασμοὶ ἐκ τῶν χρόνων. οἱ πεπασμοὶ ἔξω, ἢ ἔσω ῥέπουσιν, ἢ ἄλλῃ ὅπῃ δεῖ. εὐλαβείη. ἀπειρίη, δυσπειρίη. μαδαρότης. σπλάγχνων κενότης. τοῖσι κάτω, πλήρωσις. τοῖσιν ἄνω, τροφή. ἀναῤῥοπίη. καταῤῥοπίη. τὰ αὐτόματα ἄνω καὶ κάτω, ἃ ὠφελέει καὶ βλάπτει. συγγενὲς εἶδος. χώρη. ἔθος. ἡλικίη. ὥρη. κατάστασις νούσου. ὑπερβολή. ἔλλειψις. οἷσιν ὁκόσον λείπεται, ἢ οὔ. ἀγκ. ἔκκλισις. παροχέτευσις ἐς κεφαλὴν. ἐς τὰ πλάγια, ἢ μάλιστα ῥέπει. ἢ ἀντίσπασις. ἐπὶ τοῖσιν ἄνω, κάτω. ἄνω, ἐπὶ τοῖσι κάτω. ἢ ξυρῆναι. ἢ οἷσι τὰ κάτω. ἢ οἷσι τὰ ἄνω. ἢ ἐκπλύνεται, ἢ οἷσι παρηγορήσεται. μὴ τὰ ἐκκεχυμωμένα ἐς τὸ ἔσω ἀπολαμβάνειν, ἀλλὰ τὰς ἀφόδους ξηραίνειν. τάραξις. κατάκλυσις. διάνιψις. οἷσιν ἀφεστέος πρὸς ἕδρην, ὅθεν ἀθέλγεται. ἢ φάρμακον. ἢ ἕλκος. ἢ χυμός τις συνεστηκώς. ἢ βλάστημα, ἢ φῦμα, ἢ σῖτος, ἢ θηρίον, ἢ καῦμα. ἢ ἄλλο τι πάθος. σκεπτέα ταῦτα. τὰ αὐτόματα λήγοντα. ἢ οἷον αἱ ἀπὸ καυμάτων ἐπεγειρόμεναι φλύκταιναι. ἐφ' οἷσιν οἷα βλάπτεται, ἢ ὠφελέει. σχήματα. κίνησις. μετεωρισμός. παλινίδρυσις. ὕπνος. ἐγρήγορσις. ἅτε ποιητέα ἢ κωλυτέα φθάσαι. παράλυσις ἢ μετὰ. κάτω δι' ἐξόδου. ἢ πτυάλου. μύξης. βηχός. ἐρεύξιος. λυγμοῦ. φύσης. οὔρου. πταρμοῦ. δακρύων. κνησμῶν. τιλμῶν. ψαυσίων. δίψης. λιμοῦ. πλησμονῆς. ὕπνων. πόνων. ἀπονίης. σώματος. γνώμης. μαθήσιος. μνήμης. φωνῆς. σιγῆς. τῇ ὑστερικῇ. καθάρσεις. τὰ ἄνωθεν, καταῤῥηγνύμενα καὶ στροφοῦντα. λιπαρὰ. ἄκρητα. ἀφρώδεα. θερμά. δάκνοντα. ἰώδεα. ποικίλα. ξυσματώδεα. τρυγώδεα. αἱματώδεα. ἄφυσα. ὠμά. ἑφθά. αὖα. ὅσα προσεῤῥέει. εὐφορέειν καθορέον. δυσφορέειν, πρὶν κίνδυνον ἰέναι. οἷα οὐ δεῖ παύειν. πεπασμὸς. κατάβασις τῶν κάτω. ἐπιπόλασις τῶν ἄνω. καὶ τὰ ἐξ ὑστερέων. καὶ ἐν ὠσὶ ῥύπος. ὀργασμός. ἄνοιξις. κένωσις. θάλψις. ψύξις. ἔσωθεν. ἔξωθεν. τῶν μὲν, τῶν δ' οὔ. ὁκόταν ἐν κάτωθεν ὀμφαλοῦ τὸ στρέφον. βραδὺς. μαλθακὸς ὁ στρόφος. τὸ τοὐναντίον. τὰ διαχωρέοντα, ἢ ῥέπει. ἄναφρα. πέπονα. ὠμά. ψυχρὰ. δυσώδεα, ξηρὰ. ὑγρά. ὀδμηρακώδεα.

δίψα

δίψα πρόσθεν μὴ ἐνεοῦσα. μὴ δὲ καῦμα, μὴ δὲ ἄλλη πρόφασις. οὖρον. ῥινὸς ὑγρασμός. τὴν ἔῤῥιψιν, καὶ τὸν ἀνασιμὸν. καὶ τὸ ἀσύμπτωτον. καὶ τὸ θολερὸν πνεῦμα. ὑποχόνδριον. ἄκρεα. ὄμματα προσκεκομμένα. χρώματος μεταβολή. σφυγμοί. ψύξις. παλμοί. σκληρυσμὸς δέρματος. νεύρων. ἄρθρων. φωνῆς. γνώμης. σχῆμα ἑκούσιον. τρίχες. ὄνυχες. τὸ εὔφορον ἢ μή. οἷα δεῖ. σημεῖα ταῦτα. ὀδμαὶ χρωτὸς. στόματος διαχωρήματος. ὠτὸς. φύσης. οὔρου. ἕλκεος. ἱδρῶτος. πτυάλου. ῥινὸς. χρὼς ἁλμυρὸς. ἢ πτύαλον. ἢ ῥὶς. ἢ δάκρυον. ἢ ἄλλοι χυμοί. πάντη ὅμοια τὰ ὠφελέοντα. τὰ βλάπτοντα. ἐνύπνια, οἷα ἂν ὁρέῃ. καὶ ἐν τοῖσιν ὕπνοισιν, οἷα ἂν ποιέῃ. ἢν ἀκούῃ ὀξύ. καὶ πείθεσθαι προθυμέηται ἐν τῷ λογισμῷ μέζω ἰσχυρότερα τὰ πλείω. ἐπίκαιρα τὰ σώζοντα τῶν ἑτέρων, ἢν αἰσθάνωνται πάσῃ αἰσθήσει, πάντων καὶ φέρωσιν. ὁκοῖον ὀδμὰς. λόγους. εἵματα. σχήματα. τοιαῦτα εὐφόρως, ἅπερ καὶ αὐτόματα ἐπιφαινόμενα ὠφελέει. καὶ ὁκότε κρίσιν τὰ τοιαῦτα ἐμποιέει. καὶ τὰ αὐτὰ. καὶ τοιαῦτα οἷον φῦσαι. οὖρον. οἷον καὶ ὁκόσον καὶ ὁκότε. ὁκόσα δὲ τἀναντία, ἀποτρέπειν μάχεσθαι αὐτοῖσι. τὰ ἐγγὺς καὶ τὰ κοινὰ τοῖσι παθήμασι πρῶτα καὶ μάλιστα κακῶται. κατάστασιν δὲ ἐκ τῶν πρώτων ἀρχομένων, ὅ, τι ἂν ἐκκρίνηται ἐκ τῶν οὔρων. ὁκοῖα ἂν ἔῃ. καὶ οἵη τις σύμπτωσις. κοιλίης ἀπάλλαξις. πνεύματος μινύθησις. καὶ τἄλλα μετὰ τούτων τὰ διαιτήματα. τὸ μὲν εἰ ὅμοια τὰ ἀπιόντα δεῖ εἰδέναι. διέξοδοι. οὖρα καθ' ὑστέρας, πτύαλα κατὰ ῥῖνας. ὄμματα. ἱδρὼς ἐκ φυμάτων. ἐκ τραυμάτων. ἐξανθημάτων. ὁκόσα αὐτόματα. ὁκόσα τέχνῃσιν. ὅτι ὅμοια ἀλλήλοισι, πάντα τὰ κρίνοντα. καὶ τὰ ὠφελέοντα. καὶ τὰ βλάπτοντα. καὶ τὰ ἀπαλλύοντα. ὡς τὰ μὲν περιφλεύγων ἀποτρέπει. τὰ δὲ προσκαλέων, καὶ ἄγει καὶ δέχηται. καὶ τἄλλα δὲ οὕτω. δέρματος. ἀκρέων. ὑποχονδρίων. ἄρθρων. ὄμματος. στόματος. σχημάτων. ὕπνων. οἷα κρίνει. καὶ ὅ, τι τὰ τοιαῦτα μηχανᾶσθαι. καὶ ἔτι ὅσαι τοιαῦται ἀποστάσιες γίνονται. οἷαι ὠφελέουσι, βρώμασι. πόμασιν. ὀδμῇσιν. ὁράμασιν. ἀκούσμασιν. ἐννοήμασιν. ἀφοδίσισιν. ὑγροῖσιν. θάλψει. ψύξει. ξηροῖσιν. ὑγρῆναι. ξηρῆναι. χρίσμασιν. ἐγχρίσμασιν. ἐπιπλάστοισιν. ἐμπλάστοισιν. ἐπιπάστοισιν. ἔτι δὲ τοῖσιν ἐπιθέτοισι. σχήματα. ἀνάτριψις. ἴησις. πόνος. ἀργίη. ὕπνος. ἀγρυπνίη. πνεύμασιν ἄνωθεν, κάτωθεν. κοινοῖσιν. ἰδίοισιν. τεχνῇσιν. ἐν τοῖσι παροξυσμοῖσι μήτε ἐοῦσι, μήτε μέλλουσι. μήτε ποδῶν ψύξει, ἀλλ' ἐν καταῤῥόπῳ τῇ νούσῳ. τοῖσιν ἐν τοῖσι περιόδοισι, παροξυσμοῖσι. τὰ προσάρματα, μὴ διδόναι μηδὲ ἀναγκάζειν, ἀλλ' ἀφαιρέειν τῶν προθεσίων, πρὸ τῶν κρισίμων. τὰ κρινόμενα καὶ τὰ κεκριμένα, ἀρτίως μὴ κινέειν. μήτε νεωτεροποιέειν, μήτε φαρμακίοισι, μήτε ἄλλοις ἐρεθισμοῖσιν, ἀλλ' ἐᾶν. πέπονα φαρμακεύειν, καὶ κινέειν μὴ ὠμὰ, μὴ δὲ ἐν ἀρχῇσιν, εἰ μὴ ὀργᾷ. τὰ δὲ πολλὰ, οὐκ ὀργᾷ. ἃ δεῖ ἄγειν, ὅπῃ ἂν μάλιστα τῶν ξυμφερόντων χωρίων, ταύτῃ ἄγειν. τὰ χωρέοντα, μὴ τῷ πλήθει τεκμαίρεσθαι, ἀλλ' ἕως ἂν χωρέῃ, οἷα δεῖ, καὶ φέρῃ εὐφόρως. ὅκου δὲ δεῖ γνῶσαι, ἢ λυποθυμῆσαι ἕως ἂν τοῦτο ποιήσῃς, ἐπ' ἄλλα ῥέψαι, ἢ ξηρῆναι, ἢ ὑγρῆναι, ἢ ἀντισπάσαι, οὕνεκα τούτου ποιέεται, ἢν ἐξαρκέῃ ὁ νοσέων, τούτοισι τεκμαίρεσθαι. τὰ μὲν ξηρὰ, θερμὰ ἔσται, τὰ δὲ ὑγρὰ, ψυχρά. διαχωρητικὰ δὲ τἀναντία ὡς ἐπὶ τὸ πολύ. ταῦτα τῇσι περιοδῇσιν ἄνω, ἢν καὶ αἱ περίοδοι καὶ ἡ κατάστασις τοιαύτη ἐκ τῶν παροξυσμῶν. γίνεται δὲ τὰ πλεῖστα τῇσιν ἀρτίῃσι κάτω. οὕτω γὰρ καὶ αὐτόματα ὠφελέει, ἢν μὴ αἱ περίοδοι τοὺς παροξυσμοὺς ἐν τῇσιν ἀρτίῃσι ποιέωνται. ἐν δὲ τοῖσι τοιούτοισιν. ἐν μὲν ἀρτίῃσιν ἄνω. ἐν δὲ τῇσι περισσῇσι, κάτω. ὀλίγαι δὲ τοιαῦται. αἱ δὲ τοιαῦται, καὶ δυσκριτώτεραι καταστάσιες. ἀτὰρ καὶ τὰ πρόσω χρόνου προήκοντα ἀνάγκῃ οὕτως. οἷον τρισκαιδεκαταῖα. τεσσαρεσκαιδεκαταῖα. τρισκαιδεκάτῃ μὲν κάτω. τεσσαρεσκαιδεκάτῃ δὲ ἄνω. πρὸς γὰρ τὸ κρίσιμον, οὕτω ξυμφέρει. καὶ ὁκόσα εἰκοσταῖα. πλὴν ὁκόσα κάτω, πολλὰ δεῖ καθαίρειν. ταῦτα δὲ ἐγγὺς οὕτω κρίσιος, ἀλλὰ προσωτέρω. δεῖ δὲ ὀλιγάκις ὀξέσι, πολλὰ ἄγειν, τοῖσι κοπώδεσι τὸ σύμπαν. ἐν τοῖσι πυρετοῖσιν ἐς ἄρθρα, καὶ παρὰ γνάθους μάλιστα ἀποστάσιες γίνονται ἐγγύς τι τῶν πόνων ἑκάστου, ἤδη τὸ ἄνω μᾶλλον καὶ τὸ σύμπαν. ἢν ἀργὸς ἡ νοῦσος ἔῃ καὶ καταῤῥοπος, κάτω καὶ ἀποστάσιες. μάλιστα δὲ πόδες θερμοὶ, κάτω σημαίνουσι. ψυχροὶ δὲ ἄνω. οἷσι δὲ ἀνισταμένοισιν ἐκ τῶν νούσων, αὐτίκα δὴ ἐν χερσὶν ἢ ποσὶ πονέουσί τι, ἐν τούτοισιν ἀφίστανται. ἀτὰρ καὶ ἤν τι πεπονηκὼς ἔῃ, πρὶν ἢ νοσέειν οὖν ταῦτα ἀποστηρίζεται. οἷον καὶ τοῖσιν ἐν Περίνθῳ βηχώδεσι καὶ κυναγχικοῖσιν. ποιέουσι γὰρ αἱ βῆχες τὰς ἀποστάσιας, ὥσπερ οἱ πυρετοὶ τοιαύτας. κατὰ τὸν αὐτὸν λόγον συμβαίνει ἢ ἀπὸ χυμῶν ἢ σώματος συντήξιος καὶ ψυχῆς. τοὺς μὲν οὖν χυμοὺς εἰδέναι ἐν ᾗσιν ὥρῃσιν ἀνθεῦσι. καὶ οἷα ἐν ἑκάστοισι νοσήματα ποιέουσι. καὶ οἷα ἐν ἑκά-

ςω νουσήματι παθήματα. τὸ δὲ σῶμα τὸ ἄλλο, ἐν ὅ,τι μάλιστα νόσημα ἡ φύσις ῥέπει. οἷον τι σπλὴν ἐνοιδέων ποιέει, τούτων τι καὶ ἡ φύσις. χεδὸν τι καὶ χρώματα κακίω. καὶ σώματα σειρεοί, καὶ ἔτι ἄλλο, ταῦτα διαγεγυμνάσθαι, ψυχῆς ἀκρασίη ποτῶν καὶ βρωμάτων. ὕπνου. ἐγρηγόρσιος. ἢ δι' ἔρωτάς τινας, οἷον κύβων, ἢ διὰ τέχνας, ἢ δι' ἀνάγκας καρτερίη πόνων, καὶ ὧν τινων τεταγμένη, ἢ ἄτακτος. αἱ μεταβολαὶ ἐξ οἵων ἐς οἷα. ἐκ τῶν ἠθέων φιλοπονίη ψυχῆς. ἢ ζητέων. ἢ μελετέων, ἢ ὁρέων. ἢ λέγων. ἢ ἔτι ἄλλο. οἷον λῦπαι. δυσοργησίαι. ἐπιθυμίαι. τὰ ἀπὸ συγκυρίης. λυπήματα γνώμης, ἢ διὰ τῶν ὀμμάτων, ἢ διὰ τῆς ἀκοῆς, οἷα τὰ σώματα. μύλης μὲν τριφθείσης πρὸς ἑωυτήν, ὀδόντες ἡμωδίησαν. παρά τε κοῖλον παριόντι, σκέλεα τρέμει. ὅταν δὲ τῇσι χερσὶν ὧν δεῖται ἆραι, αὗται τρέμουσιν. ὄφις ἐξαίφνης ὀφθεὶς, χλωρότητα ἐποίησεν. οἱ φόβοι. οἷον αἰσχύνη. λύπη. ἡδονή. ὀργή. τ' ἄλλα τοιαῦτα οὕτως ὑπακούει. ἑκάστῳ δὲ τὸ προσῆκον τοῦ σώματος τῇ πρήξει, ἐν τούτοισιν ὑπακούει. ἱδρῶτες. καρδίης παλμὸς καὶ τὰ τοιαῦτα τῶν δυναμίων τὰ ἔξωθεν ὠφελέοντα, ἢ βλάπτοντα. ἄλειψις. κατάχυσις. κατάχρισις. κατάπλασις. ἐπίδεσις ἐρίων καὶ τῶν τοιούτων. καὶ τὰ ἔνδοθεν ὑπακούει τῶν τοιούτων. οὐ μόνον ὥσπερ τὰ ἔξω τῶν ἔσω προσφερομένων, ἀτὰρ καὶ τάδε ἐν ἐρίοισι κοίτῃ πινώδεσι, καὶ τὸ παρὰ βασιλεῖ λεγόμενον κύμινον ὀρῶσιν. ὀσφραινομένοισιν ὅσα κεφαλῆς ἀγωγά. ταρακτικὰ λόγοι. φωνή. καὶ τὰ τοιαῦτα. μαζοί. γονή. ὑστέρη. σημήϊα τά τε ἐν τῇσιν ἡλικίῃσι. τὰ ἐν τοῖσι πνιγμοῖσι, καὶ βηξὶ, τὰ πρὸς ὄρχιν. ὥσπερ τοῖσι δενδρέοισιν ἡ γῆ, οὕτω τοῖσι ζώοισιν ἡ γαστήρ. καὶ τρέφει. καὶ θερμαίνει. καὶ ψύχει. ψύχει μὲν κενουμένη. θερμαίνει δὲ πληρουμένη, ὥσπερ γῆ κοπρευομένη, χειμῶνος θερμή. οὕτω καὶ ἡ κοιλίη. δένδρεα φλοιὸν λεπτὸν ξηρὸν ἔχει. ἔσωθεν δὲ ξηρόσαρκα, ὑγιηρά. ἄσηπτα. χρόνια. καὶ ζώων, οἷον χελῶναι, καὶ ὅ,τι τοιοῦτον. ἡλικίῃσιν. ὥρῃσιν. ἐνιαυτοῖσιν ὅμοια. τὰ ζῶντα οὐ τρίβεται χρωμένοισι μετρίως βελτίω, ὥσπερ ὑδρίον νέον διαπηδᾷ, παλαιούμενον στέγει. οὕτω καὶ ἡ γαστὴρ, δέχεται τὴν τροφὴν, καὶ ὑποστάθμην ἔχει ὥσπερ ἀγγεῖον. οἱ τρόποι τῶν νούσων, τὰ μὲν συγγενικά ἐστιν εἰδέναι πυθόμενον, καὶ τὰ ἀπὸ τῆς χώρης. οἰκέονται γὰρ διὰ πλειόνων, καὶ πολλοὶ ἴσασι. τὰ δὲ ἐκ τοῦ σώματος καὶ τῶν διαιτημάτων, καὶ καταστάσιος τῆς νούσου, ἢ ἀπὸ ὡρέων. αἱ δὲ χῶραι πρὸς τὰς ὥρας κακῶς διακείμεναι, τοιαῦτα τίκτουσι νουσήματα, ὁκοίῃ ἂν ὥρῃ ὅμοιαι ἔωσιν. οἷον ἀνώμαλον θάλπος, ἢ ψύχος, τῆς αὐτῆς ἡμέρης, ὅταν τοιαῦτα ποιέῃ φθινοπωρινὰ ἐν τῇ χώρῃ τὰ νουσήματα. καὶ ἐν τῇσιν ἄλλῃσιν ὥρῃσι κατὰ λόγον. τὰ μὲν ἀπὸ ὀδμέων βορβορωδέων, ἢ ἑλωδέων. τὰ δὲ ἀπὸ ὑδάτων, λιθιῶντα, σπληνώδεα. τὰ δὲ ἀπὸ πνευμάτων χρηστῶν τε καὶ κακῶν ἄρχονται. ὥρης δὲ οἷαι ἔσονται νοῦσοι, καὶ καταστάσιες ἐκ τῶνδε. ἢν αἱ ὧραι ὡραίως, εὐτάκτως, εὐκρινέας νόσους ποιέουσιν. αἱ δ' ἐπιχώριοι τῇσιν ὥρῃσι νοῦσοι, δηλοῦσι τοὺς τρόπους. ὅτι δ' ἂν ἐξαλλάξῃ ἡ ὥρη, ὅμοια ἢ ἀνόμοια ἔσται τὰ νουσήματα, οἷα ἐν τῇ ὥρῃ ταύτῃ γίνεται. ἢν δ' ὁμοίως ἄγῃ, ἢ τοιουτότροπα καὶ ἐπὶ τοιοῦτο εἱλκυσμένα, οἷον ἴκτερον φθινοπωρινόν. ψύχεα γὰρ ἐκ θαλπέων. καὶ θάλπος ἐκ ψύχεος. καὶ ἢν τὸ θερινὸν χολῶδες γένηται, καὶ αὐξηθὲν ἐγκαταλειφθῇ, καὶ ὑπόσπληνοι. ὅταν οὖν καὶ ὁ ἀὴρ οὕτως ἀγάγῃ, καὶ ἦρος γίνονται ἴκτεροι. ἐγγυτάτω γὰρ αὕτη ἡ κίνησις τῇ ὥρῃ κατὰ τοῦτο τὸ εἶδός ἐστιν. ὅταν δὲ θέρος γένηται ἦρι ὅμοιον, ἱδρῶτας ἐν τοῖσι πυρετοῖσι. καὶ εὔτροποι, καὶ οὐ κατόξεες, οὐδὲ κατάξηροι γλώσσῃσιν. ὅταν δὲ χειμέριον γένηται ἦρ καὶ ὀπισθοχειμὼν, χειμεριναὶ καὶ αἱ νοῦσοι. καὶ βηχώδεες. καὶ περιπνευμονικαί. ἢ κυναγχικαί. καὶ φθινοπώρου, ἢν μὴ ἐν ὥρῃ καὶ ἐξαίφνης χειμάσῃ, μὴ συνεχέως τοιαύτας νόσους ποιέει, διὰ τὸ μὴ ἐν ὥρῃ ἦρχθαι, ἀλλὰ ἀνώμαλα γίνεσθαι. διόπερ καὶ αἱ ὧραι, ἄκριτοι καὶ ἀκατάστατοι γίνονται. ὥσπερ καὶ αἱ νοῦσοι, ἐὰν προεκρηγνύωνται, ἢ προεκκρίνωνται, ἢ ἐγκαταλείπωνται. φιλυπόστροφοι γὰρ καὶ αἱ ὧραι γίνονται, ὥσπερ αἱ οὕτω νοσοποιέουσαι. προσλογιστέον οὖν, ὁκοίως ἂν ἔχοντα τὰ σώματα, αἱ ὧραι παραλαμβάνωσι. νότοι βαρυήκοοι. ἀχλυώδεες. καρηβαρικοί. νωθροί. διαλυτικοί. ὅταν οὗτος δυναστεύῃ, τοιουτότροπα ἐν τῇσι νούσοισι πάσχουσιν ἕλκεα μαδαρὰ, μάλιστα στόμα, αἰδοῖον, καὶ τ' ἄλλα. ἢν δὲ βόρειον, βῆχες. φάρυγγες. κοιλίαι σκληρότεραι. δυσουρίαι φρικώδεες. ὀδύναι πλευρέων. στηθέων. ὁκόταν οὗτος δυναστεύῃ, τοιαῦτα προσδέχεσθαι μᾶλλον τὰ νουσήματα. ἢν μᾶλλον πλεονάζῃ, αὐχμοῖσιν οἱ πυρετοὶ ἕπονται. καὶ ὄμβροισιν ἐξ ὁποίων ἂν οἱ πλεονασμοὶ μεταπέσωσι. καὶ ὅκως ἂν ἔχοντα τὰ σώματα παραλάβωσιν ἐκ τῆς ἑτέρης ὥρης. καὶ ὁκοίου τινὸς οὖν χυμοῦ

δυναι

διαπασδύοντος ἐν τῷ σώματι. ἀτὰρ ἀνυδρίαι νότιαι, βόρειαι. διαφέρει γὰρ καὶ τἆλλα οὕτω. μέγα γὰρ καὶ τοῦτο. ἄλλος γὰρ ἐν ἄλλῃ ὥρῃ καὶ χώρῃ, μέγας. οἷον τὸ θέρος χολοποιόν. ἦρ ἐν αἵμον. τἆλλα ὡς ἕκαστα. αἱ μεταβολαὶ μάλιστα τίκτουσι νουσήματα. καὶ αἱ μέγισται μάλιστα, καὶ ἐν τῇσιν ὥρῃσιν αἱ μεγάλαι μεταλλαγαὶ, καὶ ἐν τοῖσιν ἄλλοισι. τὰ δὲ ἐκ προσαγωγῆς γίνεται. αἱ ὧραι αὗται ἀσφαλέσταται, ὥσπερ καὶ δίαιται. καὶ ψῦχος καὶ θάλπος μάλιστα ἐκ προσαγωγῆς. καὶ ἡλικίαι οὕτω μεταβαλλόμεναι. φύσιες δὲ ὡς πρὸς τὰς ὥρας. αἱ μὲν πρὸς θέρος. αἱ δὲ, πρὸς χειμῶνα εὖ καὶ κακῶς πεφύκασιν. αἱ δὲ πρὸς χώρας. καὶ ἡλικίας. καὶ διαίτας. καὶ τὰς ἄλλας καταστάσιας τῶν νούσων, ἄλλαι πρὸς ἄλλας εὖ καὶ κακῶς πεφύκασι. καὶ ἡλικίαι πρὸς ὥρας. καὶ χώρας. καὶ διαίτας. καὶ πρὸς καταστάσιας νούσων. καὶ ἐν τῇσιν ὥρῃσι, δίαιται. καὶ σιτία. καὶ ποτά, οἷα ὅτι ὁ μὲν χειμὼν, ἀργὸς ἔργων. καὶ πέπονα τὰ εἰσιόντα καὶ ἁπλᾶ. μέγα γὰρ καὶ τοῦτο. αἱ ὀπῶραι δὲ, ἐργάσιμοι, ἡλιώσιες. τὰ πινόμενα πυκνά. ἀκατάστατα σιτία. οἶνοι. ἀκρόδρυα. ὥσπερ δὲ ἐκ τῶν ὡρέων τὰς νούσους δεῖ τεκμήρασθαι, ἔστι ποτὲ καὶ ἐκ τῶν νούσων, ὕδατα, καὶ ἀνέμους, καὶ ἀνυδρίας προγινώσκειν. οἷον βόρεια. νότια. ἔστι γὰρ εὖ μαθόντι καὶ ὀρθῶς ὅθεν σκεπτέα. οἷον καὶ λέπραι τινὲς, καὶ περὶ τὰ ἄρθρα πόνοι, ὕδατα ὅταν μέλλῃ, κνησμώδεές εἰσι καὶ ἄλλα τοιαῦτα. καὶ τῶν ὑσμάτων οἷα ἢ διὰ τρίτης, ἢ ἑκάστης, ἢ διὰ περιόδων ἄλλων. καὶ τὰ συνεχέα. καὶ ἀνέμων οἱ μὲν, πολυήμεροι πνέουσι, καὶ ἀντιπνέουσιν ἀλλήλοισιν. ἄλλοι δὲ, διὰ βραχυτέρων. οἱ δὲ καὶ αὐτοὶ, κατὰ περίοδον. ταῦτα ἔχει τῇσι καταστάσεσιν ὁμοιότητας. ἐπὶ βραχύτερον δὲ τὰ τοιαῦτα. ἢν μὲν ἐπὶ πλέον τὸ ἔτος τοιοῦτο ἐὸν οἵην κατάστασιν ἐποίησεν, ἐπὶ πλεῖον καὶ τὰ νουσήματα τοιαῦτα. καὶ ἢν μᾶλλον ἰσχυρότερα, καὶ μέγιστα νουσήματα οὕτως ἐγγύς καὶ κοινότατα. καὶ ἐπὶ πλεῖστον χρόνον. ἐκ τῶν πρώτων ὑδάτων. ὅταν δὲ ἀνυδρίης πολλῆς μέλλῃ ὕδωρ ἔσεσθαι, ἔστι περὶ ὑδρώπων προειπεῖν. καὶ ὁκόταν τἆλλα σμικρὰ σημήϊα φανῇ ἐν νηνεμίῃ, ἐν μεταβολῇ. συνακτέον οὖν, ὅσαι μὲν ἐφ' οἵοισιν ὕδασιν ἢ ἀνέμοισιν αἱ νοῦσοι ἐπισημαίνουσι, καὶ ἀκουστέον εἴτις οἶδεν ὅτι τοιούτου χειμῶνος προγενομένου, τοῖον ἦρ ἢ θέρος ἔσται. τὰ χρώματα οὐχ ὁμοῖα ἐν τῇσιν ὥρῃσιν, οὐδὲ ἐν βορείοισι καὶ νοτίοισιν, οὐδ' ἐν τῇσιν ἡλικίῃσιν, αὐτὸς πρὸς ἑωυτόν. οὐδ' ἄλλος ἄλλῳ οὐδέν. σκεπτέον δὲ δὲ ὧν ἴσμεν καὶ παρεόντων καὶ ἀτρεμεόντων, περὶ χροιῶν. καὶ ὅτι αἱ ἡλικίαι τῇσιν ὥρῃσιν ἐμφερέες εἰσὶ καὶ χροιῇ, καὶ τρόπῳ. οἱ αἱμοῤῥοΐδας ἔχοντες, οὔτε πλευρίτιδι, οὔτε περιπνευμονίῃ, οὔτε φαγεδαίνῃ, οὔτε δοθιῆσιν, οὔτε τερμίνθοισιν ἁλίσκονται. ἴσως δὲ οὐδὲ λέπρῃσιν. ἴσως δὲ οὐδὲ ἀλφοῖσιν. ἰητρευθέντες γε μὴν ἀκαίρως, συχνοῖσι τοῖσι τοιούτοισιν οὐ βραδέως ἥλωσαν. καὶ ὀλέθρια οὕτως. καὶ ὅσαι ἄλλαι ἀποστάσιες, οἷον σύριγγες ἑτέρων ἄκος. ὅσα πέφυκεν ἐπιφαινόμενα ῥύειν. ῥύεται τούτων προσγινόμενα κωλύματα ἄλλοισιν αἱ κοινωνίαι. οἱ ὑπόπτοι τόποι, ὑποδεξάμενοι πόνῳ, ἢ βάρει, ἢ ἄλλῳ τινὶ, ῥύονται. ἄλλοισιν αἱ κοινωνίαι διὰ τὴν ῥοπὴν, οὐκ ἔτι αἷμα ἔρχεται, ἀλλὰ κατὰ τοῦ χυμοῦ τὴν συγγένειαν, τοιαῦτα πτύουσιν. ἔστιν οἷσιν αἷμα ἀφίεσθαι ἐν καιρῷ, ἐπὶ τοῖσι τοιούτοισιν. ἐπ' ἄλλοισι δὲ ὥσπερ ἐπὶ τούτοισιν, τότε οὐκ εἰκὸς κώλυσις. ἐπὶ τοῖσι δὲ δὴ αἱματώδεα πτύουσιν. ὥρη πλευρίτις. χολή. τὰ παρὰ τὸ οὖς, ὅσοισιν ἂν ἀμφὶ κρίσιν γινόμενα, ἢν μὴ ἐκπυήσῃ, τούτου ἀπαλλασσομένου ὑποστροφὴ γίνεται. καὶ κατὰ λόγον τῶν ὑποστροφέων τῆς ὑποστροφῆς κρινόμενα, αὖθις αἴρεται καὶ παραμένει. ὥσπερ αἱ τῶν πυρετῶν ὑποστροφαὶ, ἐν ὁμοίῃ περιόδῳ. ἐπὶ τούτοισιν ἐλπὶς ἐς ἄρθρα ἀφίστασθαι. οὖρον παχύ. λευκόν, οἷον τὸ τοῦ ἀρτιγενέος. ἐπὶ τοῖσι κοπιώδεσι τεταρταίοισιν ἔστιν ὅτε ἔρχεται, καὶ ῥύεται τῆς ἀποστάσιος. ἢν δὲ πρὸς τούτῳ καὶ αἱμοῤῥαγήσῃ, ἐκ ῥινῶν ἱκανῶς καὶ πάνυ. καὶ ὁ τὸ ἔντερον ἐπὶ δεξιὰ ἀρθριτικῷ παθεῖ ἐγγύς, ἦν ἡσυχαίτερος. ἐπεὶ δὲ τοῦτο ἰητρεύθη ἐπιπονώτερος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΦΥΣΩΝ.

Ι σί τινες τῶν τεχνέων, αἳ τοῖσι μὲν κεκτημένοισιν, εἰσὶν ἐπίπονοι. τοῖσι δὲ χρεομένοισιν, ὀνήϊστοι. καὶ τοῖσι μὲν ἰδιώτῃσι, ξυνὸν ἀγαθόν. τοῖσι δὲ μεταχειριζομένοισιν
B σφᾶς, λυπηραί. τῶν δὲ δὴ τοιούτων δεῖ τεχνέων, καὶ ἣν οἱ Ἕλληνες καλέουσιν ἰητρικήν. ὁ μὲν γὰρ ἰητρὸς, ὁρέει τὰ δεινά, θιγγάνει τε ἀηδέων, καὶ ἐπ' ἀλλοτρίῃσι ξυμφορῇσιν, ἰδίας καρποῦται λύπας. οἱ δὲ νοσέοντες, ἀπαλλάσσονται τῶν μεγίστων κακῶν

διὰ τὴν

διὰ τὴν τέχνην. νούσων. πόνων. λύπης. θανάτου. πᾶσι γὰρ τουτέοισιν, ἄντικρυς ἰητρικὴ εὑρίσκεται ἀκεστορίς. ταύτης δὲ τῆς τέχνης τὰ μὲν φλαῦρα, χαλεπὸν γνῶναι. τὰ δὲ σπουδαῖα, ἐργώδιον. καὶ τὰ μὲν φλαῦρα, τοῖσι ἰητροῖσι, καὶ οὐ τοῖσιν ἰδιώτῃσιν. οὐ γὰρ σώματος, ἀλλὰ γνώμης ἔργα εἰσίν. ὅσα μὲν χειρουργῆσαι δεῖ, χρὴ συνεθισθῆναι. τὸ γὰρ ἔθος τῇσι χερσὶ κάλλιστον διδασκαλεῖον. περὶ δὲ τῶν ἀφανεστάτων καὶ χαλεπωτάτων νουσημάτων, δόξῃ μᾶλλον ἢ τέχνῃ κρίνεται. διαφέρει δὲ ἐν αὐτέοισι πλεῖστον, ἡ πείρη τῆς ἀπειρίης. ἐν δή τι τῶν τοιούτων ἐστί, τόδε. τί ποτε τὸ αἴτιόν ἐστι τῶν νούσων, καὶ τίς ἀρχὴ καὶ πηγὴ γίνεται τῶν ἐν τῷ σώματι κακῶν. εἰ γάρ τις εἰδείη τὴν αἰτίην τοῦ νοσήματος, οἷός τ' ἂν εἴη προσφέρειν τὰ ξυμφέροντα τῷ σώματι ἐκ τῶν ἐναντίων, ἐπιστάμενος τὰ νουσήματα. αὕτη γὰρ ἡ ἰητρική, μάλιστα κατὰ φύσιν ἐστίν. αὐτίκα γὰρ λιμός, νοῦσός ἐστιν. ὅ, τι γὰρ ἂν λυπέῃ τὸν ἄνθρωπον, τοῦτο καλέεται νοῦσος. τί οὖν λιμοῦ φάρμακον; ὅ, τι παύει λιμόν. τοῦτο δ' ἐστὶ βρῶσις. τούτῳ ἄρα ἐκεῖνο ἰητέον. αὖθις αὖ δίψαν ἔπαυσε πόσις. πάλιν αὖ, πλησμονὴν ἰῆται, κένωσις. κένωσιν δὲ πλησμονή. πόνον δέ, ἀργίη. ἀργίην δέ, πόνος.

Ἑνὶ δὲ συντόμῳ λόγῳ, τὰ ἐναντία τῶν ἐναντίων ἐστὶν ἰήματα. ἰητρικὴ γάρ ἐστι, πρόσθεσις καὶ ἀφαίρεσις. ἀφαίρεσις μὲν τῶν ὑπερβαλλόντων, πρόσθεσις δέ, τῶν ἐλλιπόντων. ὁ δὲ κάλλιστα τοῦτο ποιέων, ἄριστος ἰητρός, ὁ δὲ τουτέου πλεῖστον ἀπηλλαγμένος πλεῖστον ἀπήλλακται καὶ τῆς τέχνης. τὰ μὲν οὖν ἐν παρέργῳ τοῦ λόγου τοῦ μέλλοντος εἴρηται. τῶν δὲ δὴ νούσων ἁπασέων, ὁ μὲν τρόπος ὁ αὐτός. ὁ δὲ τόπος διαφέρει. δοκεῖ μὲν οὖν τὰ νουσήματα οὐδὲν ἀλλήλοισιν ἐοικέναι, διὰ τὴν ἀλλοιότητα καὶ ἀνομοιότητα τῶν τόπων. ἔστι δὲ μία τῶν νουσέων ἁπασῶν καὶ ἰδέη, καὶ αἰτίη ἡ αὐτή. τίς δέ ἐστιν αὕτη, διὰ τοῦ μέλλοντος λόγου φράσαι πειρήσομαι. τὰ γὰρ σώματα τῶν τε ἀνθρώπων καὶ τῶν ἄλλων ζώων, ἀπὸ τριστέων τροφῶν τρέφονται. ἔστι δὲ τῇσι τροφῇσι ταύτῃσι, ταῦτα τὰ ὀνόματα. σῖτα. ποτά. πνεύματα. πνεύματα δὲ τὰ μὲν ἐν τοῖσι σώμασι, φῦσαι καλέονται. τὰ δὲ ἔξω τῶν σωμάτων, ἀήρ. οὗτος δὲ μέγιστός ἐστιν ἐν ἅπασι τῶν συμπτωμάτων δυνάστης. ἄξιον δὲ αὐτοῦ θεάσασθαι τὴν δύναμιν. ἄνεμος γάρ ἐστιν ἠέρος ῥεῦμα, καὶ χεῦμα. ὅταν οὖν πολὺς ἀήρ, ἰσχυρὸν τὸ ῥεῦμα ποιήσῃ, τά τε δένδρεα ἀνασπαστὰ πρόρριζα γίνεται διὰ τὴν βίην τοῦ πνεύματος. τό, τε πέλαγος κυμαίνεται. ὁλκάδες τε ἄπειροι τῷ μεγέθει, ἐς ὕψος διαρρίπτονται. τοιαύτην μὲν οὖν ἐν τουτέοισιν ἔχει δύναμιν. ἀλλὰ μήν ἐστί γε τῇ μὲν ὄψει, ἀφανής. τῷ δὲ λογισμῷ, φανερός. τί γὰρ ἄνευ τουτέου γένοιτο ἄν; ἢ τίνος οὗτος ἄπεστιν; ἢ τίνι οὐ ξυμπάρεστιν; ἅπαν γὰρ τὸ μεταξὺ γῆς τε καὶ οὐρανοῦ, πνεύματος συμπλέον ἐστί. τοῦτο καὶ χειμῶνος καὶ θέρεος αἴτιον. ἐν μὲν τῷ χειμῶνι, πυκνὸν καὶ ψυχρὸν γινόμενον. ἐν δὲ τῷ θέρει, πρηῢ καὶ γαληνόν. ἀλλὰ μὴν ἡλίου καὶ σελήνης καὶ ἄστρων ὁδός, διὰ τοῦ πνεύματός ἐστι. τῷ γὰρ πυρί, τὸ πνεῦμα τροφή. τοῦ δὲ πνεύματος τὸ πῦρ στερηθέν, οὐκ ἂν δύναιτο ζώειν. ὥστε καὶ τὸν τοῦ ἡλίου δρόμον ἀέναον ἐόντα ὁ ἀὴρ ἀέναος καὶ λεπτὸς ἐών, τὸ εἶν παρέχεται. ἀλλὰ μὴν καὶ περὶ τοῦ πελάγους ὅτι μέθεξιν ἔχει τοῦ πνεύματος παντί που δῆλον. οὐ γὰρ ἄν ποτε τὰ πλωτὰ ζῶα ζώειν ἠδύνατο, μὴ μετέχοντα πνεύματος, μετέχοιεν δέ πως ἂν ἄλλως, ἀλλ' ἢ διὰ τοῦ ὕδατος, ἢ ἐκ τοῦ ὕδατος ἕλκοντα τὸν ἀέρα. καὶ τῇ μὲν γῇ, ἐπὶ τουτέου τὸ βάθειον, οὗτός γε τῆς γῆς ὄχημα, κενεόν τε οὐδέν ἐστι τούτου. διότι μὲν τοῖσιν ἄλλοισιν ὁ ἀὴρ ἔρρωται, εἴρηται. τοῖσι δ' αὖ θνητοῖσιν, οὗτος αἴτιος, τοῦ τε βίου καὶ τῶν νοσέων, τοῖσι νοσέουσι. τοσαύτη δὲ τυγχάνει πᾶσι χρείη τοῖσι σώμασι τοῦ πνεύματος ἐοῦσα, ὥστε τῶν μὲν ἄλλων ἁπάντων ἀπεχόμενος ὁ ἄνθρωπος, καὶ σιτίων, καὶ ποτῶν δύναιτ' ἂν ἡμέρας δύο καὶ τρεῖς καὶ πλέονας διάγειν. ἢν δέ τις ἀπολάβοι τὰς τοῦ πνεύματος εἰς τὸ σῶμα διεξόδους ἐν βραχεῖ μέρει ἡμέρης, ἀπόλλοιτο ἄν, ὡς μεγίστης χρείης ἐούσης τῷ σώματι τοῦ πνεύματος. ἔτι τοίνυν τὰ μὲν ἄλλα πάντα διαλείπουσιν ἄνθρωποι πρήσσοντες. ὁ γὰρ βίος μεταβολέων πλέως ἐστί. τοῦτο δὲ μοῦνον ἀεὶ διατελέουσιν ἅπαντα τὰ θνητὰ ζῶα πρήσσοντα. τοτὲ μὲν ἐμπνέοντα. τοτὲ δέ, ἐκπνέοντα. ὅτι μὲν οὖν μεγάλη κοινωνίη ἅπασι τοῖσι ζώοισι τοῦ ἠέρος ἐστίν, εἴρηται.

Μετὰ τοῦτο τοίνυν, εὐθέως ῥητέον, ὅτι οὐκ ἄλλοθέν ποθεν εἰκός ἐστι γίνεσθαι τὰς ἀρρωστίας μάλιστα, ἢ ἐντεῦθεν. ὅταν τοῦτο ἢ πλέον, ἢ ἔλασσον, ἢ καὶ ἀθροώτερον, ἢ μεμιασμένον νοσεροῖσι μιάσμασιν, ἐς τὸ σῶμα ἐσέλθῃ. περὶ μὲν οὖν ὅλου τοῦ πρήγματος, ἀρκεῖ μοι ταῦτα. μετὰ δὲ ταῦτα, πρὸς αὐτὰ τὰ ἔργα τῷ λόγῳ πορευθείς, ἐπιδείξω τὰ νοσήματα τούτου ἀπόγονά τε καὶ ἔκγονα πάντα ἐόντα. πρῶτον δὲ ἀπὸ τοῦ κοινοτάτου νοσήματος ἄρξομαι πυρετοῦ. τοῦτο γὰρ τὸ νόσημα

μα

μα πᾶσι ἐφεδρεύει τοῖσιν ἄλλοισιν νουσήμασι. μάλιστα δὲ φλεγμονῇ. δηλοῖ δὲ τὰ γινόμενα προσκόμματα. ἅμα γὰρ τῇ φλεγμονῇ εὐθὺς βουβὼν, καὶ πυρετὸς ἕπεται. ἔστι δὲ δισσὰ ἔθνεα πυρετῶν ὡς ταύτῃ διελθεῖν. ὁ μὲν κοινὸς ἅπασι, καλεόμενος λοιμός. ὁ δὲ διὰ πονηρὴν δίαιταν ἰδίην, τοῖσι πονηρῶς διαιτεομένοισι γινόμενος. ἀμφοτέρων δὲ τουτέων, αἴτιος ὁ ἀήρ.

Ο μὲν οὖν κοινὸς πυρετὸς, διὰ τοῦτο τοιοῦτός ἐστιν, ὅτι τὸ πνεῦμα τωὐτὸ πάντες ἕλκουσιν. ὁμοίου δὲ ὁμοίως τοῦ πνεύματος τῷ σώματι μιχθέντος, ὅμοιοι καὶ οἱ πυρετοὶ γίνονται. ἀλλ' ἴσως φήσει τις. διατί οὖν οὐχ ἅπασι τοῖσι ζώοισι, ἀλλ' ἔθνει τινὶ αὐτέων ἐμπίπτουσιν αἱ τοιαῦται νοῦσοι; διότι φαίην ἂν διαφέρει σῶμα σώματος. καὶ φύσις φύσιος. καὶ τροφὴ τροφῆς. οὐ γὰρ πᾶσι τοῖσιν ἔθνεσι τῶν ζώων ταῦτα οὔτ' ἀνάρμοστα, οὔτ' εὐάρμοστά ἐστιν, ἀλλ' ἕτερα ἑτέροισι ξύμφορα. ὁκόταν μὲν οὖν ὁ ἀὴρ τοιούτοισι πληθῇ μιάσμασι, ἃ τῇ ἀνθρωπίνῃ φύσει πολέμια ἐστιν, ἄνθρωποι τότε νοσέουσιν. ὅταν δὲ ἑτέρῳ τινὶ ἔθνει ζώων ὁ ἀὴρ ἀνάρμοστος ᾖ, τὸ νούσημα κεῖνα νοσέουσιν. αἱ μὲν οὖν δημόσιαι οὖσαι τῶν νούσων, εἴρηνται. καὶ ὅ, τι, καὶ ὅκως, καὶ οἷσι, καὶ ἀφ' οὗ γίνονται. τὸν δὲ διὰ πονηρὴν δίαιταν γινόμενον πυρετὸν, διέξειμι νῦν. πονηρὴ δὲ ἐστιν ἡ τοιήδε δίαιτα. πρῶτον μὲν οὖν ὅταν τις πλείονας τροφὰς ἢ ὑγρὰς, ἢ ξηρὰς διδῶσι τῷ σώματι ἢ τὸ σῶμα δύναται φέρειν. καὶ πόνον μηδένα τῷ πλήθει τῶν τροφῶν ἀντιτιθῆσι. ἔπειτα δὲ ὅταν ποικίλας καὶ ἀνομοίους ἀλλήλῃσιν ἐσπέμπῃ τροφάς. τὰ γὰρ ἀνόμοια στασιάζει. καὶ τὰ μὲν θᾶσσον. τὰ δὲ, σχολαίτερον πέσσεται. μετὰ δὲ πολλῶν σιτίων ἀνάγκη, καὶ πολλὸν πνεῦμα εἰσιέναι. μετὰ πάντων γὰρ τῶν ἐσθιομένων καὶ πινομένων, εἴσεισι πνεῦμα ἐς τὸ σῶμα, ἢ πλέον, ἢ ἔλασσον. φανερὸν δὲ τοῦτο, τῷδε ἐστιν. ἐρυγμοὶ γὰρ γίνονται μετὰ τὰ σιτία καὶ τὰ ποτὰ τοῖσι πλείστοισιν. ἀνατρέχει γὰρ ὁ κατακλεισθεὶς ἀὴρ, ὁκόταν ἀναῤῥήξῃ τὰς πομφόλυγας, ἐν ᾗσι κρύπτεται. ὅτε οὖν τὸ σῶμα σιτίων πληθῇ, καὶ πνεύματος πλησμονὴ ἐπὶ πλεῖον γίνεται, τῶν σιτίων χρονιζομένων. χρονίζεται δὲ τὰ σιτία, διὰ πλῆθος οὐ δυνάμενα διελθεῖν. ἐμφραχθείσης δὲ τῆς κάτω κοιλίης, εἰς ὅλον τὸ σῶμα διέδραμον αἱ φῦσαι. προσπεσοῦσαι δὲ τὰ ἐναιμότατα τοῦ σώματος, ἔψυξαν. τουτέων δὲ τῶν τόπων ψυχθέντων, ὅκου αἱ πηγαὶ καὶ αἱ ῥίζαι τοῦ αἵματος εἰσὶ, διὰ παντὸς τοῦ σώματος ἡ φρίκη διῆλθεν. ἅπαντος δὲ τοῦ αἵματος ψυχθέντος, ἅπαν τὸ σῶμα φρίσσει. διὰ τοῦτο μὲν οὖν πρῶτον, αἱ φρῖκαι γίνονται πρὸ τῶν πυρετῶν. ὅκως δ' ἂν ὁρμήσωσιν αἱ φῦσαι πλήθει καὶ ψυχρότητι, τοιοῦτον γίνεται καὶ ῥῖγος. ἀπὸ μὲν πλειόνων καὶ ψυχροτέρων, ἰσχυρότερον. ἀπὸ δὲ ἐλασσόνων, καὶ ἧσσόν τι ψυχρῶν, ἧσσον ἰσχυρόν. ἐν δὲ τῇσι φρίκῃσι καὶ οἱ τρόμοι τοῦ σώματος, κατὰ τόνδε γίνονται τὸν τρόπον. τὸ αἷμα φοβεόμενον τὴν παροῦσαν φρίκην, συντρέχει καὶ διέξεισι κατὰ παντὸς τοῦ σώματος ἐς τὰ θερμότατα. αὗται μὲν οὖν αἱ ἄλλαι. καθαλλομένου δὲ τοῦ αἵματος ἐκ τῶν ἀκρωτηρίων τοῦ σώματος, τὰ σπλάγχνα τρομέουσι, καὶ αἱ σάρκες. τὰ μὲν γὰρ τοῦ σώματος, γίνεται πολύαιμα. τὰ δὲ ἄναιμα. τὰ μὲν οὖν ἄναιμα, διὰ τὴν ψύξιν οὐκ ἀτρεμέουσιν, ἀλλὰ πάλλονται. τὸ γὰρ θερμὸν ἐξ αὐτέων ἐκλέλειπε. τὰ δὲ πολύαιμα, διὰ τὸ πλῆθος τοῦ αἵματος, τρέμουσι καὶ φλεγμονὰς ἐμποιέει. οὐ γὰρ δύναται πολλὸν γινόμενον ἀτρεμίζειν. χασμῶνται δὲ πρὸ τῶν πυρετῶν, ὅτε πολὺς ὁ ἀὴρ ἀθροισθεὶς, ἀθρόον τε ἄνωθεν διεξιὼν, ἐξεμόχλευσε, καὶ διέστησε τὸ στόμα. ταύτῃ γὰρ εὐδιέξοδός ἐστιν. ὡς γὰρ ἀπὸ τῶν λεβήτων ἀτμὸς ἀνέρχεται πολὺς ἑψομένου τοῦ ὕδατος, οὕτω καὶ σώματος θερμαινομένου, δίεισι διὰ τοῦ στόματος ὁ ἀὴρ, ξυνεστραμμένος, καὶ βίῃ φερόμενος. καὶ τά τε ἄρθρα διαλύονται πρὸ τῶν πυρετῶν. χλιαινόμενα γὰρ τὰ νεῦρα διίστανται. ὁκόταν δὲ συναλισθῇ ἀθροισθὲν τὸ πλεῖστον τοῦ αἵματος, διαθερμαίνεται πάλιν ὁ ἀὴρ, ὁ ψύξας τὸ αἷμα, κρατηθεὶς ὑπὸ τῆς θερμότητος. διάπυρος δὲ καὶ μύδρος γενόμενος ἐν ὅλῳ τῷ σώματι τὴν θερμασίην ἐνειργάσατο. συνεργὸν δὲ αὐτῷ τὸ αἷμα ἐστί. τήκεται γὰρ πυρούμενον, καὶ γίνεται πνεῦμα ἐξ αὐτοῦ. τοῦ δὲ πνεύματος προσπίπτοντος πρὸς τοὺς πόρους τοῦ σώματος, οἱ ἱδρῶτες γίνονται. τὸ δὲ πνεῦμα συνιστάμενον, ἐς ὕδωρ ἔρχεται. καὶ διὰ τῶν πόρων διεξελθὸν, ἔξω περαιοῦται, τὸν αὐτὸν τρόπον, ὃν περ ἀπὸ τῶν ἑψομένων ὑδάτων ὁ ἀτμὸς ἐπανιὼν, ἢν ἔχῃ στερέωμα πρὸς ὅ, τι χρὴ προσπίπτειν, παχύνεται, καὶ πυκνοῦται, καὶ σταγόνες ἀποπίπτουσιν ἀπὸ τῶν σωμάτων, οἷσιν ἂν ὁ ἀτμὸς προσπίπτῃ. πόνοι δὲ τῆς κεφαλῆς ἅμα τῷ πυρετῷ γίνονται, διὰ τόδε. στενοχωρίη τῇσι διεξόδοισιν ἐν τῇ κεφαλῇ τοῦ αἵματος γίνεται. πεπλήρωνται γὰρ ἠέρος. πλησθεῖσαι δὲ καὶ πρησθεῖσαι, τὸν πόνον ἐμποιέουσι ἐν τῇ κεφαλῇ. βίῃ γὰρ τὸ αἷμα

βιαζόμενον

βιαζόμενον διὰ στενῆς ὁδοῦ θερμὸν ἐὸν, οὐ δύναται περαιοῦσθαι ταχέως. πολλὰ γὰρ ἐμποδὼν ἐστιν αὐτῷ κωλύματα, καὶ ἐμφράγματα. διὸ δὴ καὶ οἱ σφυγμοὶ γίνονται ἀμφὶ τοὺς κροτάφους. οἱ μὲν οὖν πυρετοὶ διὰ ταῦτα, ὡς ἔφην, γίνονται, καὶ τὰ μετὰ τῶν πυρετῶν ἀλγήματα καὶ νοσήματα. τῶν δὲ ἄλλων ἀῤῥωστημάτων ὁκόσοι μὲν ἂν εἰλεοὶ ἔωσιν, ἢ εἰλήματα, ἢ στρόφοι, ἢ ἕτερα ἀστηρίγματα, φύσας εἶναι αἴτια ἅπασιν ἡγέομαι φανερὸν εἶναι. πάντων γὰρ τῶν τοιουτέων αἰτίη τοῦ πνεύματος ἡ διόδευσις. τοῦτο γὰρ ὁκόταν προσπέσῃ πρὸς τόπους ἁπαλοὺς καὶ ἀήθεας καὶ ἀθίκτους, ὥσπερ τόξευμα ἐγκείμενον διαδῦνον, διὰ τῆς σαρκὸς προσπίπτει. ποτὲ μὲν πρὸς τὰ ὑποχόνδρια. ποτὲ δὲ, πρὸς τὰς λαπάρας. ποτὲ δὲ, ἐς ἀμφότερα. διὸ δὴ καὶ θερμαινόντων ἔξωθεν πυριήμασι, πειρῶνται μαλθάσσειν τὸν πόνον. ἀραιουμένου γὰρ ὑπὸ τῆς θερμασίης τοῦ χρωτὸς τοῦ πυριήματος, διέρχεται τὸ πνεῦμα διὰ τοῦ σώματος, ὥστε παῦλαν τινὰ γίνεσθαι τῶν πόνων. ἴσως δ' ἄν τις εἴποι, πῶς οὖν τὰ ῥεύματα γίνεται διὰ τὰς φύσας; ἢ τίνα τρόπον τῶν αἱμοῤῥαγιῶν τῶν περὶ τὰ στέρνα τοῦτο αἴτιόν ἐστιν; οἶμαι δὲ καὶ ταῦτα δηλώσειν, διὰ ταῦτα γινόμενα. ὅταν περὶ τὴν κεφαλὴν αἱ φλέβες γεμισθῶσιν ἠέρος, πρῶτον μὲν ἡ κεφαλὴ βαρύνεται τῶν φυσέων ἐγκειμένων. ἔπειτα συνειλεῖται τὸ πνεῦμα κατὰ τὸ αἷμα διὰ τὴν στενότητα τῶν ὁδῶν. τὸ δὲ λεπτότατον τοῦ αἵματος, διὰ τῶν φλεβῶν ἐκθλίβεται. τοῦτο δ' ἢ τὸ ὑγρὸν ὅταν ἀθροισθῇ, ῥεῖ δι' ἄλλων πόρων. ὅκου δ' ἂν ἀθρόον ἀφίκηται τοῦ σώματος, ἐνταῦθα ξυνίσταται ἡ νοῦσος. ἐπὴν μὲν οὖν ὡδὶ τὴν ὄψιν ἔλθῃ, ταύτης ὁ πόνος. ἢν δὲ ἐς τὰς ἀκοὰς, ἐνταῦθ' ἡ νόσος. ἢν δὲ ἐς τὰς ῥῖνας, κόρυζα γίνεται. ἢν δὲ ἐς τὰ στέρνα, βράγχος καλέεται. τὸ γὰρ φλέγμα δριμέσι χυμοῖσι μεμιγμένον, ὅποι ἂν προσπέσῃ ἐς ἀήθεας τόπους ἑλκοῖ. τῇ δὲ φάρυγγι ἁπαλῇ ἐούσῃ καὶ τὸ ῥεῦμα προσπίπτον, τραχύτητα ἐργάζεται. τὸ γὰρ πνεῦμα τὸ διαπνεόμενον διὰ τῆς φάρυγγος, ἐς τὰ στέρνα βαδίζει. καὶ πάλιν ἐξέρχεται διὰ τῆς ὁδοῦ ταύτης. ὅταν δὲ ξυμβάλλῃ τῷ πνεύματι τὸ ῥεῦμα κάτωθεν τῷ ἀνιόντι, βὴξ ὧδε γίνεται, καὶ ἀναῤῥίπτεται ἄνω τὸ φλέγμα. τουτέων δὲ τοιουτέων ὄντων, ἡ φάρυγξ ἑλκοῦται. καὶ τρηχύνεται. καὶ θερμαίνεται. καὶ ἕλκει τὸ ἐκ τῆς κεφαλῆς ὑγρὸν θερμὴ ἐοῦσα. ἡ δὲ κεφαλὴ πάλιν παρὰ τοῦ ἄλλου σώματος λαμβάνουσα, ταύτῃ δίδωσιν. ὁκόταν γοῦν ἐθισθῇ τὸ ῥεῦμα οὕτως ῥέειν καὶ χαραδρωθέωσιν οἱ πόροι, διαδίδωσι δὴ καὶ ἐς τὰ στέρνα. δριμὺ δὲ ὂν τὸ φλέγμα προσπίπτει τε τῇ σαρκὶ, ἑλκοῖ καὶ ἀναῤῥηγνύει τὰς φλέβας. ὁκόταν δὲ ἐκχυθῇ τὸ αἷμα εἰς ἀλλότριον τόπον, χρονιζόμενον καὶ σηπόμενον, γίνεται πῦον. καὶ οὔτε ἄνω δύναται ἀνελθεῖν, οὔτε κάτω ὑπελθεῖν. ἄνω γὰρ οὐκ εὔπορος ἡ πορείη προσάντης τις οὖσα ὑγρῷ πρήγματι καὶ ἑτέρῳ παντὶ βάρος ἔχοντι. κάτω δὲ κωλύει φραγμὸς ὁ τῶν φρενῶν. διότι δήποτε τὸ ῥεῦμα τὸ ἄνευ πνεύματος ἀναῤῥηγνύμενον, ἀναῤῥήγνυται. τὸ μὲν αὐτόματον. τὸ δὲ, διὰ πόνους. αὐτόματον μὲν οὖν, ὅταν αὐτόματος ὁ ἀὴρ εἰσελθὼν εἰς τὰς φλέβας, στενοχωρίην ποιήσῃ τοῖσι τοῦ αἵματος διεξόδοισι. τό, τε γὰρ πιεζόμενον τὸ αἷμα πολὺ γινόμενον, ἀναῤῥηγνύει τοὺς πόρους, ἢ ἂν ὡς τὰ μάλιστα βρίσῃ. ὁκόταν δὲ πλῆθος αἱμοῤῥαγήσαν καὶ τούτοισιν οἱ πόνοι πνεύματος ἐνέπλησαν τὰς φλέβας, ἀνάγκη γὰρ τὸν πονέοντα τόπον κατέχειν τὸ πνεῦμα, τ' ἄλλα τοῖσιν εἰρημένοισιν ὅμοια γίνεται. τὰ δὲ ῥήγματα γίνεται διὰ τάδε. ὁκόταν ὑπὸ βίης διαστέωσιν αἱ σάρκες ἀπ' ἀλλήλων, ἐς δὲ τὴν διάστασιν ὑποδράμῃ πνεῦμα, τοῦτο τὸν πόνον παρέχει. ἢν δὲ διὰ τῶν σαρκῶν αἱ φῦσαι διεξιοῦσαι τοὺς πόρους τοῦ σώματος ἀραιοὺς ποιήσωσιν. ἕπεται δὲ τῇσι φύσεσιν ὑγρασίη, ἧς τὴν ὁδὸν ὁ ἀὴρ ἀπηργάσατο. διαβρόχου δὲ γινομένου τοῦ σώματος, ὑπεκτήκονται μὲν αἱ σάρκες. οἰδήματα δὲ, ἐς τὰς κνήμας καταβαίνει. καὶ λέγεται τὸ τοιοῦτον νόσημα, ὕδρωψ. μέγιστον δὲ σημεῖον, ὅτι φῦσαι τοῦ νοσήματος εἰσὶν αἰτίαι, τόδε ἐστίν. ἤδη τινὲς ὀλεθρίως ἔχοντες ἐκλύθησαν, καὶ ἐκενώθησαν τοῦ ὕδατος. παραυτίκα μὲν οὖν τὸ ἐξιὸν ἐκ τῆς κοιλίης ὕδωρ, πολὺ φαίνεται. χρονιζόμενον δὲ, ἔλασσον γίνεται. διὰ τί δὴ γίγνεται καὶ τοῦτο δῆλον. ὅτι παραυτίκα μὲν τὸ ὕδωρ, ἠέρος πλῆρές ἐστιν. ὁ δὲ ἀὴρ, ὄγκον παρέχεται μέγαν. ἀπιόντος δὲ τοῦ πνεύματος, ὑπολείπεται τὸ ὕδωρ αὐτό. διὸ δὴ, φαίνεται μὲν μικρὸν ἐόν. ἔστι δὲ ἴσον. ἄλλο δὲ αὖ τῶν τόδε σημεῖον. κενωθείσης γὰρ παντελῶς τῆς κοιλίης, οὐ τρεῖς ἡμέραι διέλθωσι, καὶ πάλιν πλήρης γίνεται. τί οὖν ἄρα ἐστὶ τὸ πληρῶσαν, ἀλλ' ἢ τὸ πνεῦμα; τί γὰρ ἂν οὕτως ἄλλο, ταχέως ἐξεπλήρωσεν; οὐ γὰρ δήπου ποτὸν ἴσως τοσοῦτον, ἐσῆλθεν ἐς τὸ σῶμα. καὶ μὴν οὐδὲ σάρκες ὑπάρχουσιν αἰτίαι ἀποτακησόμεναι. λείπεται γὰρ ὀστέα, καὶ νεῦρα, καὶ ἶνες, ἀφ' ὧν οὐδενὸς οὐδεμίη δύναιτ' ἂν αὔξησις

ὕδατος γεγεννῆσθαι. τὸ μὲν οὖν αἴτιον τοῦ ὕδρωπος ἤδη εἴρηται. Αἱ δὲ ἀποπληξίαι γίνονται καὶ αὗται διὰ τὰς φύσας. ὅταν γὰρ αἱ φῦσαι ψυχραὶ οὖσαι καὶ πολλαὶ διαδύνωσι, καὶ ἐμφυσήσωσιν ἐς τὰς σάρκας, ἀναίσθητα γὰρ ταῦτα γίνεται τοῦ σώματος. ἢν μὲν οὖν πολλαὶ φῦσαι ἐν ὅλῳ τῷ σώματι διατρέχωσιν, ὅλος ὁ ἄνθρωπος ἀπόπληκτος γίνεται. ἢν δὲ ἐν μέρει τινὶ, τοῦτο τὸ μέρος. καὶ ἢν μὲν οὖν ἀπέλθωσιν αὗται, παύεται ἡ νοῦσος. ἢν δὲ παραμένωσι, παραμένει. ὅτι δὲ ταῦτα οὕτως ἔχει, χασμῶνται συνεχῶς. δοκεῖ δέ μοι καὶ τὴν ἱερὴν καλεομένην νόσον τοῦτο εἶναι τὸ παρεχόμενον. οἷσι δὲ λόγοισιν ἐμαυτὸν ἔπεισα, τούτοισιν αὐτέοισι καὶ τοὺς ἀκούοντας πείσειν πειράσομαι. ἡγέομαι δὲ ἐμποδὼν μηδὲν εἶναι μᾶλλον τῶν ἐν τῷ σώματι ξυμβαλλομένων ἐς φρόνησιν ἂν, ἢ τὸ αἷμα. τοῦτο δὲ ὅταν ἐν τῷ καθεστηκότι σχήματι μένῃ, μένει καὶ ἡ φρόνησις. ἐξαλλάσσοντος δὲ τοῦ αἵματος, μεταπίπτει καὶ τὸ φρόνημα. ὅτι δὲ ταῦθ' ὧδ' ἔχει, πολλὰ τὰ μαρτυρέοντα. πρῶτον μὲν ὅπερ ἅπασι ζώοισι κοινόν ἐστιν, ὁ ὕπνος, οὗτος μαρτυρεῖ τοῖσιν εἰρημένοισιν. ὅταν γὰρ ἐπέλθῃ τῷ σώματι ὁ ὕπνος, τότε τὸ αἷμα ψύχεται. φύσει γὰρ πέφυκεν ὁ ὕπνος ψύχειν. ψυχθέντος δὲ τοῦ αἵματος, νωθρότεραι γίνονται αἱ διέξοδοι. δῆλον δέ. ῥέπει γὰρ τὰ σώματα, καὶ βαρύνεται. πάντα γὰρ τὰ βαρέα, πέφυκεν ἐς βυθὸν φέρεσθαι. καὶ τὰ ὄμματα κλείεται. καὶ ἡ φρόνησις ἀλλοιοῦται. δόξαι δέ τινες ἕτεραι ἐνδιατρίβουσιν, ἃ δὴ ἐνύπνια καλέονται. πάλιν ἐν τῇσι μέθυσι, πλέονος ἐξαίφνης γενομένου τοῦ αἵματος, μεταπίπτουσιν αἱ ψυχαὶ, καὶ τὰ ἐν τῇσι ψυχῇσι φρονήματα, καὶ γίνονται, τῶν μὲν ὄντων κακῶν ἐπιλήσμονες, τῶν δὲ μελλόντων εὐέλπιδες ἀγαθῶν. ἔχοιμι δ' ἂν πολλὰ τοιαῦτα εἰπεῖν, ἐν οἷς αἱ τοῦ αἵματος ἐξαλλαγαὶ, τὴν φρόνησιν ἐξαλλάσσουσιν. ἢν μὲν οὖν παντελῶς ἅπαν ἀναταραχθῇ τὸ αἷμα, παντελῶς ἡ φρόνησις ἐξαπόλλυται. τὰ γὰρ παθήματα καὶ τὰ ἀναγνωρίσματα, ἐθίσματα ἐστίν. ὅταν δὲ τοῦ εἰωθότος ἔθεος μεταστῶμεν, ἀναίρεται ἡμῖν ἡ φρόνησις. φημὶ δὲ τὴν ἱερὴν νοῦσον, ὧδε γίνεσθαι. ὅταν πολὺ πνεῦμα κατὰ πᾶν τὸ σῶμα παντὶ τῷ αἵματι μιχθῇ, πολλὰ ἐμφράγματα γίνονται, πολλαχῇ ἀνὰ τὰς φλέβας. ἐπειδὰν οὖν ἐς τὰς παχέας καὶ πολυαίμους τῶν φλεβῶν πολὺς ἀὴρ βρίσῃ, βρίσας δὲ μένῃ, κωλύεται τὸ αἷμα διεξιέναι. τῇ μὲν οὖν ἔστηκε. τῇ δὲ νωθρῶς διεξέρχεται. τῇ δὲ θᾶσσον. ἀνομοίης δὲ τῆς πορείης τοῦ αἵματος διὰ τοῦ σώματος γενομένης, παντοῖαι ἀνομοιότητες. πᾶν γὰρ τὸ σῶμα πανταχόθεν ἕλκεται καὶ τετάρακται τὰ μέρη τοῦ σώματος ὑπηρετοῦντος τῷ θορύβῳ καὶ ταραχῇ τοῦ αἵματος. ὑπὸ δὲ τῆς διαστροφῆς τοῦ αἵματος, αἱ διαστροφαὶ τοῦ σώματος παντοίως γίνονται. κατὰ δὲ τοῦτον τὸν καιρὸν, ἀναίσθητοι πάντων εἰσί. κωφοί τε τῶν λεγομένων. καὶ τυφλοὶ τῶν γινομένων. ἀνάλγητοί τε πρὸς τοὺς πόνους. οὕτω γὰρ ὁ ἀὴρ ταραχθεὶς, ἀνετάραξε καὶ τὸ αἷμα καὶ ἐμίηνε. καὶ ἀφροὶ διὰ τοῦ στόματος ἀνατρέχουσι εἰκότως. διὰ γὰρ τῶν σφαγιτίδων φλεβῶν διαδύνων ὁ ἀὴρ, ἔρχεται μὲν αὐτὸς. ἀνάγει δὲ μετ' αὐτοῦ τὸ λεπτότατον τοῦ αἵματος. τὸ δὲ ὑγρὸν τὸ συμμισγόμενον, λευκοῦται. διὰ λεπτῶν γὰρ ὑμένων καθαρὸς ἐὼν ὁ ἀὴρ διαφαίνεται. διὸ δὴ λευκοὶ φαίνονται πάντες οἱ ἀφροί. πότε μὲν οὖν παύονται τῆς νόσου καὶ τοῦ παρεόντος χειμῶνος, οἱ ὑπὸ τοῦ νοσήματος ἁλισκόμενοι, ἐγὼ φράσω. ὁπόταν γυμνασθὲν ὑπὸ τῶν πόνων τὸ σῶμα θερμανθῇ, θερμαίνεται καὶ τὸ αἷμα. τὸ δὲ αἷμα θερμανθὲν, ἐξεθέρμανε τὰς φύσας. αὗται δὲ θερμανθεῖσαι, διαλύονται, καὶ διαλύουσι τὴν ξύστασιν τοῦ αἵματος. αἱ μὲν οὖν ἐξελθοῦσαι, μετὰ τοῦ πνεύματος. αἱ δὲ μετὰ τοῦ φλέγματος. ἀποζέσαντος δὲ τοῦ ἀφροῦ, καὶ καταστάντος τοῦ αἵματος, καὶ γαλήνης ἐν τῷ σώματι γενομένης, πέπαυται τὸ νόσημα. φαίνονται οὖν αἱ φῦσαι διὰ πάντων τούτων, πολυτροπώτεροι αἰτίαι οὖσαι. τὰ δ' ἄλλα πάντα, συναίτια καὶ μεταίτια. τὸ δὲ αἴτιον τῶν νούσων ἐὸν, τοῦτο ἐπιδέδεικταί μοι. ὑπεσχόμην δὲ τὸ αἴτιον τῶν νουσημάτων φράσαι. ἐπέδειξα δὲ τὸ πνεῦμα καὶ ἐν τοῖσι ἄλλοισι πρήγμασι δυναστεῦον, καὶ ἐν τοῖσι σώμασι τῶν ζώων. ἤγαγον δὲ τὸν λόγον, ἐπὶ τὸ γνώρισμα, καὶ τῶν νοσημάτων, καὶ τῶν ἀρρωστημάτων ἐν οἷσιν ἀληθὴς ὑπόθεσις ἐφάνη. ἀμφὶ δὲ τῶν ἀρρωστημάτων εἰ λέγοιμι, μακρότερος μὲν ὁ λόγος, γένοιτο ἄν. ἀτρεκέστερος δὲ, οὐδὲν ἧσσον, οὐδὲ πιστότερος.

Οὐ γνήσιον Ἱπποκράτους, ἀξιόλογον δὲ ἀνδρὸς φησὶ ὁ Γαληνὸς καὶ κατὰ τὴν ἑρμηνείαν, καὶ κατὰ τὴν διάνοιαν. Ἱπποκράτους δὲ οὐδὲν ἐν αὐτῷ, οὔτε κατὰ τὸν τρόπον τῆς ἑρμηνείας, οὔτε κατὰ τὸ τῆς διανοίας ἀκριβές.

Περὶ τῆς ἱρῆς νούσου καλεομένης, ὧδ' ἔχει. οὐδέν τί μοι δοκέει τῶν ἄλλων θειοτέρη εἶναι νούσων, οὐδὲ ἱερωτέρη, ἀλλὰ φύσιν μὲν ἔχει, ἣν καὶ τὰ λοιπὰ νοσήματα, ὅθεν γίνεται. φύσιν δὲ αὐτῇ καὶ πρόφασιν οἱ ἄνθρωποι ἐνόμισαν θεῖόν εἶναι, ὑπὸ ἀπειρίης καὶ θαυμασιότητος, ὅτι οὐδὲν ἔοικεν ἑτέρῃσι νούσοισι. καὶ κατὰ μὲν τὴν ἀπορίην αὐτοῖσι τοῦ μὴ γινώσκειν, τὸ θεῖον αὐτῇ διασώζεται, κατὰ δὲ τὴν εὐπορίην τοῦ τρόπου τῆς ἰήσιος, ἰῶνται. ἀπολύονται γὰρ ἢ καθαρμοῖσιν, ἢ ἐπαοιδῇσιν. εἰ δὲ διὰ τὸ θαυμάσιον, θεῖον νομιεῖται, πολλὰ τὰ ἱερὰ νοσήματα ἔσται, καὶ οὐχὶ ἕν. ὡς ἐγὼ ἀποδείξω ἕτερα οὐδὲν ἧσσον ἐόντα θαυμάσια, οὐδὲ τερατώδεα, ἃ οὐδεὶς νομίζει ἱερὰ εἶναι. τοῦτο μὲν γὰρ οἱ πυρετοὶ οἱ ἀμφημερινοὶ, καὶ οἱ τριταῖοι, καὶ οἱ τεταρταῖοι, οὐδὲν ἧσσον μοι δοκέουσιν ἱεροὶ εἶναι, καὶ ὑπὸ θεοῦ γίνεσθαι ταύτης τῆς νούσου, ὧν οὐ θαυμασίως ἔχουσι. τοῦτο δὲ ὁρέω μαινομένους ἀνθρώπους καὶ παραφρονέοντας, ἀπὸ μηδεμιῆς προφάσιος ἐμφανέος. καὶ πολλά τε ἅμα καὶ ἄκαιρα ποιέοντας. ἔν τε τῷ ὕπνῳ οἶδα πολλοὺς οἰμώζοντας καὶ βοῶντας. τοὺς δὲ καὶ πνιγομένους. τοὺς δὲ καὶ ἀναΐσσοντάς τε καὶ φεύγοντας ἔξω, καὶ παραφρονέοντας μέχρις ἂν ἐξεγείρωνται. ἔπειτα δὲ καὶ ὑγιέας ἐόντας καὶ φρονέοντας ὥσπερ καὶ πρότερον. ἐόντας τε αὐτοὺς ὠχρούς τε καὶ ἀσθενέας. καὶ ταῦτα οὐχ ἅπαξ, ἀλλὰ πολλάκις. ἄλλα τε πολλά ἐστι καὶ παντοδαπὰ, ὧν ἕκαστον λέγειν, πολὺς ἂν εἴη λόγος. Ἐμοὶ δὲ δοκέουσιν οἱ πρῶτοι τοῦτο τὸ νόσημα ἀφιερώσαντες, τοιοῦτοι εἶναι ἄνθρωποι, οἷοι καὶ νῦν εἰσὶ μάγοι τε καὶ καθάρται καὶ ἀγύρται καὶ ἀλαζόνες, ὁκόσοι δὴ προσποιέονται σφόδρα θεοσεβέες εἶναι, καὶ πλέον τι εἰδέναι. οὗτοι τοίνυν παραμπεχόμενοι καὶ προβαλλόμενοι τὸ θεῖον, τῆς ἀμηχανίης τὸ μὴ ἔχειν ὅ, τι προσενέγκαντες ὠφελήσουσιν, ὡς μὴ κατάδηλοι ἔωσιν, οὐδὲν ἐπιστάμενοι, ἱερὸν ἐνόμισαν τοῦτο τὸ πάθος εἶναι. καὶ λόγους ἐπιλέξαντες ἐπιτηδείους, τὴν ἴησιν κατεστήσαντο ἐς τὸ ἀσφαλὲς σφίσιν ἑωυτοῖσι, καθαρμοὺς προσφέροντες καὶ ἐπαοιδάς. λουτρῶν τε ἀπέχεσθαι κελεύοντες, καὶ ἐδεσμάτων πολλῶν, καὶ ἀνεπιτηδείων ἀνθρώποισι νοσέουσιν ἐσθίειν. θαλασσίων μὲν τρίγλης. καὶ μελανούρου. κεστρέος. ἐγχέλυος. οὗτοι γάρ οἱ ἰχθύες εἰσὶν ἐπικαιρότατοι. κρεῶν δὲ αἰγείου καὶ ἐλαφείου. καὶ χοιρείων καὶ κυνός. ταῦτα γὰρ κρεῶν ταρακτικώτατά ἐστι τῆς κοιλίης. ὀρνίθων δὲ ἀλεκτρυόνος καὶ τρυγόνος. ὠτίδος. ἔτι δὲ ὅσα νομίζεται ἰσχυρότατα εἶναι. λαχάνων δὲ μίνθης. σκορόδου καὶ κρομμύου. δριμὺ γὰρ ἀσθενέοντι οὐδὲν ξυμφέρει. ἱμάτιον δὲ μέλαν μὴ ἔχειν, θανατῶδες γὰρ τὸ μέλαν. μηδὲ ἐν αἰγείῳ κατακέεσθαι δέρματι, μὴ δὲ φορέειν, μὴ δὲ πόδα ἐπὶ ποδὶ ἔχειν. μηδὲ χεῖρα ἐπὶ χειρί. ταῦτα γὰρ πάντα, κωλύματα εἶναι. ταῦτα δὲ πάντα τοῦ θείου εἵνεκεν προστιθέασιν, ὡς πλέον τι εἰδότες καὶ ἄλλας προφάσιας προλέγοντες. ὅκως εἰ μὲν ὑγιὴς γένοιτο, αὐτῶν ἡ δόξα εἴη καὶ ἡ δεξιότης. εἰ δὲ ἀποθάνοι, ἐν ἀσφαλεῖ καθισταῖντο αὐτῶν αἱ ἀπολογίαι. καὶ ἔχοιεν πρόφασιν, ὡς οὐκ αἴτιοι εἰσὶν αὐτοὶ, ἀλλ' οἱ θεοί. οὔτε γὰρ φαγέειν οὔτε πιέειν ἔδοσαν φάρμακον οὐδέν. οὔτε λουτροῖσι καθήψησαν, ὥστε δοκέειν αἴτιον εἶναι. ἐγὼ δὲ δοκέω Λιβύων τῶν τὴν μεσόγειον οἰκεόντων, οὐδένα ὑγιαίνειν, ὅτι ἐν αἰγείοισι δέρμασι κατακέονται, καὶ κρέασιν αἰγείοισι χρέονται, ἐπεὶ οὐκ ἔχουσι οὔτε στρῶμα οὔτε ἱμάτιον, οὔτε ὑπόδημα, ὅ, τι μὴ αἴγειόν ἐστιν. οὐ γάρ ἐστιν αὐτοῖς ἄλλο προβάτιον οὐδὲν, ἢ αἶγες καὶ βόες. εἰ δὲ ταῦτα προσφερόμενα καὶ ἐσθιόμενα τὴν νοῦσον αὔξει, καὶ μὴ ἐσθιόμενα ἰῆται, οὐκ ἔστιν ἄρα ὁ θεὸς αἴτιος οὐδενός, οὐδὲ οἱ καθαρμοὶ ὠφελέουσιν, ἀλλὰ τὰ ἐδέσματα τὰ ἰώμενά τε καὶ βλάπτοντα. τοῦ δὲ θείου ἀφανίζεται ἡ δύναμις. οὕτως οὖν ἔμοιγε δοκέουσιν οἱ τινες τούτῳ τῷ τρόπῳ ἐγχειρέουσιν ἰῆσθαι ταῦτα τὰ νοσήματα, οὔτε ἱερὰ νομίζειν εἶναι, οὔτε θεῖα. ὅκου γὰρ ὑπὸ καθαρμῶν τοιούτων μετάστατα γίνεται, καὶ ὑπὸ θεραπείης τοιῆσδε, τί κωλύει καὶ ὑφ' ἑτέρων τεχνημάτων ὁμοίων τούτοισιν, ἐπιγίνεσθαι τοῖσιν ἀνθρώποισι καὶ προσπίπτειν; ὥστε μηκέτι τὸ θεῖον αἴτιον εἶναι, ἀλλά τι ἀνθρώπινον. ὅστις γὰρ οἷός τε περικαθαίρων καὶ μαγεύων ἀπάγειν

ἐπάγειν τοιοῦτον πάθος, οὗτος κἂν ἐπάγῃ ἕτερα τεχνησάμενος, πάντως κἂν τούτῳ τῷ λόγῳ τὸ θεῖον ἀπόλλυται. τοιαῦτα λέγοντες καὶ μεμηχανημένοι, προσποιέονται πλέον τι εἰδέναι. καὶ ἀνθρώπους ἐξαπατέουσι, προστιθέμενοι τούτοισιν ἁγνείας τε καὶ καθαρότητας, ὅτε πουλὺ αὐτοῖσι τοῦ λόγου ἐς τὸ θεῖον ἀφήκει, καὶ τὸ δαιμόνιον. καίτοι ἔμοιγε οὐ περὶ εὐσεβείης δοκέουσι τοὺς λόγους ποιέεσθαι, ὡς οἴονται, ἀλλὰ περὶ δυσσεβείης μᾶλλον. καὶ ὡς οἱ θεοὶ οὐκ εἰσί. τότε εὐσεβὲς καὶ θεῖον αὐτῶν ἀσεβὲς καὶ ἀνόσιόν ἐστιν, ὡς ἐγὼ διδάξω. εἰ γὰρ σελήνην τε καθαιρεῖν, καὶ ἥλιον ἀφανίζειν, χειμῶνα τε καὶ εὐδίην ποιέειν, καὶ ὄμβρους καὶ αὐχμούς, καὶ θάλασσαν ἄφορον, καὶ γῆν, καὶ τ' ἄλλα τὰ τοιουτότροπα πάντα, ὑποδέχονται ἐπίστασθαι, εἴτε καὶ ἐκ τελετέων, εἴτε καὶ ἐξ ἄλλης τινὸς γνώμης ἢ μελέτης φασὶν οἷοί τε εἶναι, οἱ ταῦτα ἐπιτηδεύοντες, δυσσεβέειν ἔμοιγε δοκέουσι, καὶ θεοὺς οὔτε εἶναι νομίζειν, οὔτ' ὄντας, ἰσχύειν οὐδέν. οὔτε εἴργεσθαι ἂν οὐδενὸς τῶν ἐσχάτων ποιέοντες ἕνεκά γε, πῶς οὐ δεινοὶ ἄρ' αὐτοῖσιν εἰσίν; εἰ γὰρ ἄνθρωπος μαγεύων τε καὶ θύων σελήνην τε καθαιρήσει, καὶ ἥλιον ἀφανίσει, καὶ χειμῶνα καὶ εὐδίην ποιήσει, οὐκ ἂν ἔγωγε τι θεῖον νομίσαιμι τούτων εἶναι, ἀλλ' ἀνθρώπινον. εἰ δὴ τοῦ θείου ἡ δύναμις ὑπὸ ἀνθρώπου γνώμης κρατέεται καὶ δεδούλωται. ἴσως δὲ οὐχ οὕτως ἔχει ταῦτα, ἀλλ' ἄνθρωποι βίου δεόμενοι, πολλὰ καὶ παντοῖα τεχνέονται καὶ ποικίλλουσιν, ἔς τε τ' ἄλλα πάντα καὶ ἐς τὴν νοῦσον ταύτην ἑκάστῳ εἴδει τοῦ πάθεος θεῷ τὴν αἰτίην προστιθέντες. οὐ γὰρ καθάπαξ, ἀλλὰ πλεονάκις τ' αὐτὰ μέμνηνται. κἢν μὲν γὰρ αἶγα μιμῶνται, κἢν βρύχωνται, κἢν τὰ δεξιὰ σπῶνται, μητέρα θεῶν φασὶ αἰτίην εἶναι. ἢν δὲ ὀξύτερον καὶ εὐτονώτερον φθέγγηται, ἵππῳ εἰκάζουσι. καὶ φασὶ, Ποσειδῶνα αἴτιον εἶναι. ἢν δὲ καὶ τῆς κόπρου τι παρίῃ, ὃ πολλάκις τισὶ γίνεται ὑπὸ τῆς νούσου βιαζομένοισιν, Ἐνοδίου πρόσκειται ἡ προσωνυμίη. ἢν δὲ λεπτότερον καὶ πυκνότερον, οἷον ὄρνιθες, Ἀπόλλων νόμιος. ἢν δὲ ἀφρὸν ἐκ τοῦ στόματος ἀφίῃ, καὶ τοῖσι ποσὶ λακτίζῃ, Ἄρης τὴν αἰτίην ἔχει. ὁκόσα δὲ δείματα νυκτὸς παρίσταται, καὶ φόβοι καὶ παράνοιαι, καὶ ἀναπηδήσιες ἐκ τῆς κλίνης, καὶ φόβητρα, καὶ φεύξιες ἔξω, Ἑκάτης φασὶν εἶναι ἐπιβουλάς, καὶ ἡρώων ἐφόδους. καθαρμοῖσί τε χρέονται καὶ ἐπαοιδῇσι, καὶ ἀνοσιώτατόν γε καὶ ἀθεώτατον ποιέουσιν, ὡς ἔμοιγε δοκέει τὸ θεῖον. καθαίρουσι γὰρ τοὺς ἐχομένους τῇ νούσῳ, αἵμασι καὶ τοῖσιν ἄλλοισι τοῖσι μιάσμασιν ἔχοντας, ἢ ἀλάστορας, ἢ πεφαρμαγμένους ὑπὸ ἀνθρώπων, ἤ τι ἔργον ἀνόσιον εἰργασμένους, οὓς ἐχρῆν τἀναντία τούτοισι ποιέειν. θύειν τε καὶ εὔχεσθαι, καὶ ἐς τὰ ἱερὰ φέροντας ἱκετεύειν τοὺς θεούς. νῦν δὲ τούτων μὲν ποιέουσιν οὐδέν, καθαίρουσι δέ. καὶ τὰ μὲν τῶν καθαρμῶν, γῇ κρύπτουσι. τὰ δὲ ἐς θάλασσαν ἐμβάλλουσι. τὰ δὲ ἐς τὰ οὔρεα ἀποφέρουσιν, ὅπῃ μηδεὶς ἅψηται, μηδὲ ἐμβήσηται. τὰ δ' ἐχρῆν ἐς τὰ ἱερὰ φέροντας τῷ θεῷ ἀποδοῦναι, εἰ δὴ θεός γε ἐστὶν αἴτιος. οὐ μέντοι ἔγωγε ἀξιῶ ὑπὸ θεοῦ ἀνθρώπου σῶμα μιαίνεσθαι, τὸ ἐπικηρότατον ὑπὸ τοῦ ἁγνοτάτου. ἀλλὰ κἢν τυγχάνῃ ὑπὸ ἑτέρου μεμιασμένον, ἤ τι πεπονθός, ἐθέλοι ἂν ὑπὸ τοῦ θεοῦ καθαίρεσθαι, καὶ ἁγνίζεσθαι μᾶλλον ἢ μιαίνεσθαι. τὰ γοῦν μέγιστα τῶν ἁμαρτημάτων καὶ ἀνοσιώτατα, τὸ θεῖόν ἐστι, τὸ καθαῖρον καὶ ἁγνίζον, καὶ ἔρυμα γινόμενον ἡμῖν. αὐτοί τε ὅρους τοῖσι θεοῖσι τῶν ἱερῶν, καὶ τῶν τεμενέων ἀποδεικνύμενοι, ὡς ἂν μηδεὶς ὑπερβαίνοι, ἢ μὴ ἁγνεύοι, εἰσιόντες τε περιρραινόμεθα, οὐχ ὡς μιαινόμενοι, ἀλλ' εἴ τι καὶ πρότερον ἔχομεν μύσος, τοῦτο ἀπαγνιούμενοι. καὶ περὶ μὲν τῶν καθαρμῶν, οὕτω μοι δοκέει ἔχειν. τὸ δὲ νούσημα τοῦτο, οὐδέν τί μοι δοκέει θειότερον εἶναι τῶν λοιπῶν, ἀλλὰ φύσιν μὲν ἔχει, ἣν καὶ τὰ ἄλλα νουσήματα. καὶ πρόφασιν, ὅθεν ἕκαστα γίνεται. φύσιν δὲ τοῦτο καὶ πρόφασιν, ἀπὸ ταὐτοῦ τὸ θεῖον γίνεσθαι, ἀφ' ὅτου καὶ τ' ἄλλα πάντα. καὶ ἰητὸν εἶναι. καὶ οὐδὲν ἧσσον ἑτέρων, ὅτι μὴ ἤδη ὑπὸ χρόνου πολλοῦ καταβεβιασμένον ᾖ, ὥστε ἤδη εἶναι ἰσχυρότερον τῶν φαρμάκων τῶν προσφερομένων. ἄρχεται δὲ ὥσπερ καὶ τ' ἄλλα νουσήματα κατὰ γένος. εἰ γὰρ ἐκ τοῦ φλεγματώδεος, φλεγματώδης. καὶ ἐκ χολώδεος, χολώδης γίνεται. καὶ ἐκ φθινώδεος, φθινώδης. καὶ ἐκ σπληνώδεος, σπληνώδης; τί κωλύει ὅτου πατὴρ καὶ μήτηρ εἴχετο τούτῳ τῷ νοσήματι, τούτῳ καὶ τῶν ἐγγόνων ἔχεσθαι τινά; ὡς ὁ γόνος ἔρχεται πάντοθεν τοῦ σώματος, ἀπό τε τῶν ὑγιηρῶν, ὑγιηρός, ἀπό τε τῶν νοσερῶν, νοσερός. ἕτερον δὲ μέγα τεκμήριον, ὅτι οὐδὲν θειότερόν ἐστι τῶν λοιπῶν νουσημάτων. τοῖσι γὰρ φλεγματώδεσι, φύσει γίνεται. τοῖσι δὲ χολώδεσιν, οὐ προσπίπτει. καίτοι εἰ θειότερόν ἐστι τῶν ἄλλων, τοῖσιν ἅπασιν ὁμοίως ἔδει γίνεσθαι

τὴν νοῦσον ταύτην. καὶ μὴ διακρίνειν μήτε χολώδεα, μήτε φλεγματώδεα. ἀλλὰ γὰρ αὐτοῖσιν αἴτιος ὁ ἐγκέφαλος τούτου τοῦ πάθεος, ὥσπερ καὶ τῶν ἄλλων νουσημάτων τῶν μεγίστων. ὅτῳ δὲ τρόπῳ καὶ ἐξ οἵης προφάσιος γίνεται, ἐγὼ φράσω σαφέως. Ὁ ἐγκέφαλος τοῦ ἀνθρώπου, ἐστὶ διπλόος, ὥσπερ καὶ τοῖσιν ἄλλοισι ζώοισιν ἅπασι. τὸ δὲ μέσον αὐτοῦ διαιρέει μῆνιγξ λεπτή. διότι οὐκ αἰεὶ κατὰ τὸ αὐτὸ τῆς κεφαλῆς ἀλγέει, ἀλλ' ἐν μέρει ἑκάτερον. ὁτὲ δὲ ἅπασα. καὶ φλέβες τε ἐς αὐτὸν τείνουσιν ἐξ ἅπαντος τοῦ σώματος, πολλαὶ καὶ λεπταὶ, δύο δὲ παχεῖαι. ἡ μὲν ἀπὸ τοῦ ἥπατος. ἡ δὲ ἀπὸ τοῦ σπληνός. καὶ ἡ μὲν ἀπὸ τοῦ ἥπατος, ὧδ' ἔχει. τὸ μέντοι τῆς φλεβὸς, κάτω τείνει, διὰ τῶν ἐπὶ δεξιὰ παρ' αὐτὸν τὸν νεφρὸν καὶ τὴν ψύαν, ἐς τὸ ἐντὸς τοῦ μηροῦ, καὶ καθήκει ἐς τὸν πόδα, καὶ καλέεται κοίλη φλέψ. ἡ δὲ ἑτέρη, ἄνω τείνει διὰ φλεβῶν τῶν δεξιῶν καὶ τοῦ πνεύμονος. ἀπέσχισται δὲ καὶ ἐς τὴν καρδίην, καὶ ἐς τὸν βραχίονα τὸν δεξιόν. τὸ δὲ λοιπὸν, ἄνω φέρει διὰ τῆς κληΐδος ἐς τὰ δεξιὰ τοῦ αὐχένος, ἐς αὐτὸ τὸ δέρμα, ὥστε κατάδηλός ἐστι. παρὰ δὲ τὸ οὖς κρύπτεται. καὶ ἐνταῦθα σχίζεται. καὶ τὸ μὲν παχύτατον καὶ μέγιστον καὶ κοιλότατον, ἐς τὸν ἐγκέφαλον τελευτᾷ. τὸ δὲ ἐς τὸ οὖς τὸ δεξιὸν, φλέβιον λεπτόν. τὸ δὲ ἐς τὸν ὀφθαλμὸν τὸν δεξιόν. τὸ δὲ ἐς τὸν μυκτῆρα. ἀπὸ μὲν τοῦ ἥπατος, οὕτως ἔχει τῶν φλεβῶν. διατέταται δὲ καὶ ἀπὸ τοῦ σπληνὸς φλὲψ, ἐς τὰ ἀριστερὰ καὶ κάτω καὶ ἄνω, ὥσπερ καὶ ἀπὸ τοῦ ἥπατος. λεπτοτέρη δὲ καὶ ἀσθενεστέρη. κατὰ ταύτας δὲ τὰς φλέβας καὶ ἐσαγόμεθα τὸ πουλὺ τοῦ πνεύματος. αὗται γὰρ ἡμέων εἰσὶν ἀναπνοαὶ τοῦ σώματος, τὸν ἠέρα ἐς σφᾶς ἕλκουσαι. καὶ ἐς τὸ σῶμα τὸ λοιπὸν ὀχετεύουσαι καὶ κατὰ τὰ φλέβια καὶ ἀναψύχουσι καὶ πάλιν ἀφιᾶσιν. οὐ γὰρ οἷόν τε τὸ πνεῦμα στῆναι, ἀλλὰ χωρέει ἄνω καὶ κάτω. ἢν γὰρ στῇ που καὶ ἀποληφθῇ, ἀκρατὲς γίνεται ἐκεῖνο τὸ μέρος, ὅπου ἂν στῇ. τεκμήριον δέ, ὁκόταν γὰρ καθημένῳ ἢ κατακειμένῳ φλέβια πιεσθῇ, ὥστε τὸ πνεῦμα μὴ διεξιέναι ἀπὸ τῆς φλεβὸς, εὐθὺς νάρκη ἔχει. περὶ μὲν τῶν φλεβῶν τῶν λοιπῶν, οὕτως ἔχει. Ἡ δὲ νοῦσος αὕτη γίνεται, τοῖσι μὲν φλεγματίῃσιν. τοῖσι δὲ χολώδεσιν, οὔ. ἄρχεται δὲ φύεσθαι ἐπὶ τοῦ ἐμβρύου ἔτι ἐν τῇ μήτρῃ ἐόντος. καθαίρεται γὰρ καὶ ἀνθέει, ὥσπερ τ' ἄλλα μέρεα πρὶν γενέσθαι, καὶ ὁ ἐγκέφαλος. ἐν ταύτῃ δὲ τῇ καθάρσει, ἢν μὲν καλῶς καὶ μετρίως καθαρθῇ, καὶ μήτε πλεῖον μήτε ἔλασσον τοῦ δέοντος ἀποῤῥυῇ, οὕτως ὑγιεινοτάτην τὴν κεφαλὴν ἔχει. ἢν δὲ πλείων ἀπὸ παντὸς τοῦ ἐγκεφάλου γένηται ἡ ἀπότηξις, νοσώδεά τε τὴν κεφαλὴν ἕξει αὐξόμενος, καὶ ἤχου πλέην. καὶ οὔτε ἥλιον, οὔτε ψῦχος ἀνέξεται. ἢν δὲ ἀπὸ ἑνός τινος γένηται, ἢ ἀπὸ ὀφθαλμοῦ, ἢ ὠτὸς, ἢ φλὲψ τις συνισχνανθῇ, ἐκεῖνος κακοῦται οὕτως, ὁκοίως ἂν καὶ τῆς ἀποτήξιος ἔχῃ. ἢν δὲ κάθαρσις μὴ ἐπιγένηται, ἀλλὰ ξυστραφῇ τῷ ἐγκεφάλῳ, οὕτως ἀνάγκη φλεγματώδεα εἶναι. καὶ ὁκόσοισι μὲν παιδίοισιν ἐοῦσιν ἐξανθέει ἕλκεα ἐς τὴν κεφαλὴν, καὶ ἐς τὰ ὦτα, καὶ ἐς τὸν ἄλλον χρῶτα, καὶ σιαλώδεα γένηται καὶ μυξόῤῥοα, ταῦτα μὲν ῥήϊστα διάγει προϊούσης τῆς ἡλικίης. ἐνταῦθα γὰρ ἀφίει καὶ καθαίρεται τὸ φλέγμα, ὃ ἐχρῆν ἐν τῇ μήτρῃ καθαρθῆναι. καὶ τὰ οὕτω καθαρθέντα, οὐκ ἐπίληπτα γίνεται ταύτῃ τῇ νούσῳ ὡς ἐπὶ τὸ πολύ. ὁκόσα δὲ καθαρά ἐστι καὶ μήθ' ἕλκος μηδὲν, μήτε μύξα, μήτε σίαλον προέρχεται μηδὲν, μήτε ἐν τῇσι μήτρῃσι πεποίηται τὴν κάθαρσιν, τοῖσι τοιούτοισιν ἐπικίνδυνόν ἐστιν ἁλίσκεσθαι ὑπὸ ταύτης τῆς νούσου. ἢν δὲ ἐπὶ τὴν καρδίην ποιήσηται ὁ κατάῤῥους τὴν πορείην, παλμὸς ἐπιλαμβάνει καὶ ἄσθματα, καὶ τὰ στήθεα διαφθείρεται, ἔνιοι δὲ καὶ κυφοὶ γίνονται. ὁκόταν γὰρ ἐπικατέλθῃ τὸ φλέγμα ψυχρὸν ἐπὶ τὸν πνεύμονα, ἢ ἐπὶ τὴν καρδίην, ἀποψύχεται τὸ αἷμα. αἱ δὲ φλέβες πρὸς βίην ψυχόμεναι, πρὸς τῷ πνεύμονι καὶ τῇ καρδίῃ πηδῶσι. καὶ ἡ καρδίη πάλλεται, ὥστε ὑπὸ τῆς ἀνάγκης ταύτης τὰ ἄσθματα ἐπιπίπτειν, καὶ τὴν ὀρθόπνοιαν. οὐ γὰρ δέχεσθαι τὸ πνεῦμα ἐθέλει, μέχρις ἂν κρατηθῇ ὑπὸ τοῦ φλέγματος τὸ ἐπιῤῥυὲν, καὶ διαθερμανθὲν διαχυθῇ ἐς τὰς φλέβας. ἔπειτα παύεται τοῦ παλμοῦ καὶ τοῦ ἄσθματος. παύεται δὲ ὅκως ἂν τοῦ πλήθεος ἔχῃ. ἢν μὲν γὰρ πλέον ἐπικαταῤῥυῇ, σχολαίτερον. ἢν δὲ ἔλασσον, θᾶσσον. καὶ ἢν μὲν πυκνότεροι ἔωσιν οἱ κατάῤῥοι, πυκνότερα ἐπίληπτος γίνεται. ἢν δὲ μὴ, ἀραιότερα. ταῦτα μὲν οὖν πάσχει, ἢν ἐπὶ τὸν πνεύμονα καὶ τὴν καρδίην ἴῃ. ἢν δὲ ἐς τὴν κοιλίην, διάῤῥοιαι λαμβάνουσιν. ἢν δὲ τουτέων μὲν τῶν ὁδῶν ἀποκλεισθῇ, ἐς δὲ τὰς φλέβας ἃς προείρηκα τὸν κατάῤῥοον ποιήσηται, ἄφωνός τε γίνεται καὶ πνίγεται. καὶ ἀφρὸς ἐκ τοῦ στόματος ἐκρέει. καὶ οἱ ὀδόντες συνηρείκασι. καὶ αἱ χεῖρες συσπῶνται. καὶ

…ται, καὶ τὰ ὄμματα διαστρέφονται, καὶ οὐδὲν φρονέουσιν. ἐνίοισι καὶ ὑποχωρέει ἡ κόπρος κάτω. καὶ ταῦτα γίνεται, ὅτε μὲν ἐπ' ἀριστερά. ὅτε δὲ ἐς τὰ δεξιά. ὅτε δὲ ἐς ἀμφότερα.

Ὅκως δὲ τούτων ἕκαστον πάσχει, ἐγὼ φράσω. ἄφωνος μέν ἐστιν, ὁκόταν ἐξαίφνης τὸ φλέγμα ἐπικατελθὸν ἐς τὰς φλέβας, ἀποκλείσῃ τὸν ἀέρα, καὶ μὴ παραδέχηται, μήτε ἐς τὸν ἐγκέφαλον, μήτε ἐς τὰς φλέβας τὰς κοίλας, μήτε ἐς τὰς κοιλίας. ἀλλ' ἐπιλάβῃ τὴν ἀναπνοήν. ὅταν γὰρ ἐπιλάβῃ ἄνθρωπος κατὰ τὸ στόμα καὶ τοὺς μυκτῆρας, τὸ πνεῦμα πρῶτον μὲν ἐς τὸν ἐγκέφαλον ἔρχεται. ἔπειτα δὲ ἐς τὴν κοιλίην τὸ πλεῖστον μέρος. τὸ δὲ ἐπὶ τὸν πνεύμονα. τὸ δὲ ἐπὶ τὰς φλέβας. ἐκ τουτέων δὲ σκίδναται ἐς τὰ λοιπὰ μέρεα κατὰ τὰς φλέβας. καὶ ὅσον ἐς μὲν τὴν κοιλίην, διαψύχει καὶ ἄλλό τι οὐδὲν ξυμβάλλεται. τὸ δ' ἐς τὸν πνεύμονα. ὁ δὲ ἐς τὰς φλέβας ἀὴρ, ξυμβάλλεται ἐς τὰς κοιλίας ἐσιὼν καὶ ἐς τὸν ἐγκέφαλον. καὶ οὕτω τὴν φρόνησιν καὶ τὴν κίνησιν τοῖσι μέλεσι παρέχει. ὥστε ἐπειδὰν ἀποκλεισθῶσιν αἱ φλέβες τοῦ ἠέρος ὑπὸ τοῦ φλέγματος, καὶ μὴ παραδέχωνται, ἄφωνον καθιστᾶσι καὶ ἄφρονα τὸν ἄνθρωπον. αἱ δὲ χεῖρες ἀκρατέες γίνονται καὶ σπῶνται, τοῦ αἵματος ἀτρεμίζοντος καὶ μὴ διαχεομένου ὥσπερ εἰώθει. καὶ οἱ ὀφθαλμοὶ διαστρέφονται τῶν φλεβίων ἀποκλειομένων τοῦ ἠέρος, καὶ σφύζονται. ἀφρὸς δὲ ἐκ τοῦ στόματος προέρχεται, ἐκ τοῦ πνεύμονος. ὅταν γὰρ τὸ πνεῦμα μὴ εἰσίῃ ἐς ἑωυτὸν, ἀφρέει καὶ ἀναβλύει, ὥσπερ ἀποθνήσκων. ἡ δὲ κόπρος ὑπέρχεται ὑπὸ βίης πνιγομένου. πνίγεται δὲ τοῦ ἥπατος καὶ τῆς κοιλίης ἄνω πρὸς τὰς φρένας προσπεπτωκότων. καὶ τοῦ στομάχου τῆς γαστρὸς ἀπειλημμένου. προσπίπτει δὲ ὁκόταν τὸ πνεῦμα μὴ εἰσίῃ ἐς τὸ στόμα ὅσον εἰώθει. λακτίζει δὲ τοῖσι ποσὶν, ὁκόταν ὁ ἀὴρ ἀποκλεισθῇ ἐν τοῖσι μέλεσι, καὶ μὴ οἷός τε ἔῃ διεκδῦναι ἔξω, ὑπὸ τοῦ φλέγματος. ἀΐσσων διὰ τοῦ αἵματος, ἄνω καὶ κάτω σπασμὸν ἐμποιέει καὶ ὀδύνην, διὸ λακτίζει. ταῦτα δὲ πάσχει πάντα, ὁκόταν τὸ φλέγμα ψυχρὸν παραῤῥυῇ, ἐς τὸ αἷμα θερμὸν ἐόν. ἀποψύχει γὰρ καὶ ἵστησι τὸ αἷμα. κἢν μὲν τὸ ῥεῦμα πουλὺ ἔῃ καὶ παχὺ, αὐτίκα ἀποκτείνει. κρατέει γὰρ τοῦ αἵματος τῷ ψύχει καὶ πήγνυσιν. ἢν δὲ ἔλασσον ἔῃ, τὸ μὲν παραυτίκα κρατέει, ἀποφράξαν τὴν ἀναπνοήν. ἔπειτα τῷ χρόνῳ, ὁκόταν σκιδνασθῇ κατὰ τὰς φλέβας, καὶ μιγῇ τῷ αἵματι πολλῷ ἐόντι καὶ θερμῷ, ἢν κρατηθῇ οὕτως, ἐδέξαντο τὸν ἠέρα αἱ φλέβες, καὶ ἐφρόνησαν. καὶ ὁκόσα μὲν παιδία σμικρὰ κατάληπτα γίνεται τῇ νούσῳ ταύτῃ, τὰ πολλὰ ἀποθνήσκει, ἢν πουλὺ τὸ ῥεῦμα ἐπιγένηται, καὶ νότιον ἔῃ. τὰ γὰρ φλέβια λεπτὰ ἐόντα, οὐ δύναται παραδέχεσθαι τὸ φλέγμα ὑπὸ πάχεος καὶ πλήθεος, ἀλλ' ἀποψύχεται καὶ πήγνυται τὸ αἷμα, καὶ οὕτως ἀποθνήσκει. ἢν δὲ ὀλίγον ἐὸν ἐς ἀμφοτέρας τὰς φλέβας τὸν κατάῤῥοον ποιήσηται, ἢ ἐς τὰς ἐπὶ θάτερα, περιγίνεται ἐπίσημα ἐόντα. ἢ γὰρ στόμα παρέσπασται, ἢ ὀφθαλμὸς, ἢ αὐχὴν, ἢ χεὶρ, ὁκόθεν ἂν τὸ φλέβιον πληρωθὲν τοῦ φλέγματος, κρατηθῇ καὶ ἀπισχνωθῇ. τούτῳ οὖν τῷ φλεβίῳ, ἀνάγκη ἀσθενέστερον εἶναι καὶ ἐνδεέστερον τοῦτο τοῦ σώματος τὸ βλαβέν. ἐς δὲ τὸν πλείονα χρόνον, ὠφελέει ὡς ἐπὶ τὸ πολύ. οὐ γὰρ ἔτι ἐπίληπτον γίνεται, ἢν ἅπαξ ἐπισημανθῇ, διὰ τόδε. ὑπὸ τῆς ἀνάγκης ταύτης αἱ φλέβες αἱ λοιπαὶ κακοῦνται, καὶ μέρος τι συνισχναίνονται. ὡς τὸν μὲν ἠέρα δέχεσθαι, τὸν δὲ τοῦ φλέγματος κατάῤῥοον, μηκέτι ὁμοίως παραῤῥέειν. ἀσθενέστερα μέντοι ὁμοίως τὰ μέλεα εἰκὸς εἶναι, τῶν φλεβῶν κακωθεισέων. ὁκόσοισι δ' ἂν τελέοισί τε, καὶ πάνυ ὀλίγον παραῤῥυῇ, καὶ ἐς τὰ δεξιὰ, ἀσήμως περιγίνονται. κίνδυνος δὲ ξυντραφῆναι καὶ ξυναυξηθῆναι, ἢν μὴ θεραπευθῶσι τοῖσιν ἐπιτηδείοισι. τὰ μὲν οὖν παιδίοισιν οὕτω γίνεται, ἢ ὅτι τούτων ἐγγυτάτω. τοὺς δὲ πρεσβυτέρους οὐκ ἀποκτείνει ὁκόταν ἐπιγένηται οὐδὲ διαστρέφει. αἵ τε γὰρ φλέβες εἰσὶ κοῖλαι, καὶ αἵματος μεσταὶ θερμοῦ, διότι οὐδὲ δύναται ἐπικρατῆσαι τὸ φλέγμα, οὐδ' ἀποψύξαι τὸ αἷμα, ὥστε καὶ πῆξαι. ἀλλ' αὐτὸ κρατέεται καὶ καταμίγνυται τῷ αἵματι ταχέως. καὶ οὕτω παραδέχονται αἱ φλέβες τὸν ἠέρα, καὶ τὸ φρόνημα γίνεται. τά τε σημεῖα τὰ προειρημένα, ἧσσον ἐπιλαμβάνει διὰ τὴν ἰσχύν. τοῖσι δὲ πρεσβυτάτοισιν, ὁκόταν ἐπιγένηται τοῦτο τὸ νόσημα, διὰ τοῦτο ἀποκτείνει, ἢ παράπληκτον ποιέει, ὅτι αἱ φλέβες κεκένωνται, καὶ τὸ αἷμα ὀλίγον τέ ἐστι, καὶ λεπτὸν, καὶ ὑδαρές. ἢν μὲν οὖν πολὺ καταῤῥυῇ καὶ χειμῶνος ᾖ καιρὸς, ἀποκτείνει. ἀπέπνιξε γὰρ τὰς ἀναπνοὰς, καὶ ἀπέπηξε τὸ αἷμα ἢν ἐπ' ἀμφότερα ὁ κατάῤῥοος γένηται. ἢν δὲ ἐπὶ θάτερα μοῦνον παράπληκτον ποιέει. οὐ γὰρ δύναται τὸ αἷμα ἐπικρατῆσαι τοῦ φλέγματος, λεπτὸν ἐὸν καὶ ψυχρὸν καὶ ὀλίγον, ἀλλ' αὐτὸ κρατηθὲν, ἐπάγη. ὥστε ἀκρατέα εἶναι ἐκεῖνα, καθ' ἃ τὸ αἷμα διεφθάρη. ἐς δὲ τὰ δεξιὰ μᾶλλον κατα-

λον καταῤῥεῖ, ἢ ἐν τὰ ἀριστερά, ὅτι αἱ φλέβες εἰσὶ κοιλότεραι καὶ πλείονες, ἢ ἐν τοῖσιν ἀριστεροῖσιν· ἀπὸ γὰρ τοῦ ἥπατος τείνουσι, καὶ ἀπὸ τοῦ σπληνός. ἀποκαταῤῥεῖ δὲ καὶ ἀποτήκεται, τοῖσι μὲν παιδίοισι, μάλιστα, οἷσι δ' ἂν διαθερμανθῇ ἡ κεφαλή, ἤντε ὑπὸ ἡλίου, ἤντε ὑπὸ πυρός. ἤντε καὶ ἐξαπίνης φρίξῃ ὁ ἐγκέφαλος, καὶ τότε ἀποκρίνεται τὸ φλέγμα. ἀποτήκεται μὲν γὰρ ἐκ τῆς θέρμης, καὶ διαχύσιος τοῦ ἐγκεφάλου. ἀποκρίνεται δὲ ἀπὸ τῆς ψύξιός τε καὶ ξυστάσιος. καὶ οὕτως ἀποκαταῤῥεῖ. τοῖς μὲν αὕτη ἡ πρόφασις γίνεται. τοῖσι δὲ καὶ ἐπειδὰν ἐξαπίνης μετὰ βόρεια πνεύματα νότος μεταβάλῃ, ξυνεστηκότα τὸν ἐγκέφαλον καὶ ἀσθενέοντα ἔλυσεν καὶ ἐχάλασεν ἐξαίφνης, ὥστε πλημμυρεῖν τὸ φλέγμα, καὶ οὕτω τὸν κατάῤῥοον ποιέεται. ἀποκαταῤῥεῖ δὲ καὶ ἐξ ἀδήλου φόβου γινομένου, ἢν δείσῃ μὲν ἢ βοήσαντός τινος. ἢ καὶ μεταξὺ κλαίων, μὴ οἷός τε ἔῃ τὸ πνεῦμα ταχέως ἀναλαβεῖν, οἷα γίνεται παιδίοισι πολλάκις. ὅ, τι ἂν τούτων αὐτῶν γίνηται, εὐθὺς ἔφριξε τὸ σῶμα. καὶ ἄφωνος γενόμενος τὸ πνεῦμα οὐχ εἵλκυσεν. ἀλλὰ τὸ πνεῦμα ἠρέμησε, καὶ ὁ ἐγκέφαλος ξυνέστη, καὶ τὸ αἷμα ἔστη, καὶ οὕτως ἀπεκρίθη καὶ ἀποκατεῤῥύη τὸ φλέγμα. τοῖσι μὲν παιδίοισιν, αὗται αἱ προφάσιες τῆς ἐπιλήψιος εἰσὶ τὴν ἀρχήν. τοῖσι δὲ πρεσβύτῃσι, χειμὼν πολεμιώτατός ἐστιν. ὅταν γὰρ παρὰ πυρὶ πολλῷ διαθερμανθῇ τὴν κεφαλὴν καὶ τὸν ἐγκέφαλον, ἔπειτα ἐν ψύχει γένηται καὶ ῥιγώσῃ, καὶ ἐκ ψύχεος εἰς ἀλέην ἔλθῃ, καὶ παρὰ πῦρ καθίσῃ, καὶ αὐτὸ τοῦτο πάσχει. καὶ οὕτως ἐπίληπτος γίνεται κατὰ τὰ προειρημένα. κίνδυνος δὲ πολὺς καὶ ἦρος παθέειν, τὸ αὐτὸ τοῦτο ἢν ἡλιωθῇ ἡ κεφαλή. τοῦ δὲ θέρεος, ἥκιστα. οὐ γὰρ γίνονται μεταβολαὶ ἐξαπιναῖοι.

Ὁκόταν δὲ εἴκοσιν ἔτεα παρέλθῃ, οὐκ ἔτι ἡ νοῦσος αὕτη ἐπιλαμβάνει, ἢν μὴ ἐκ παιδίου σύντροφος ἔῃ, ἀλλ' ἢ ὀλίγους, ἢ οὐδένα. αἱ γὰρ φλέβες μεσταί εἰσιν αἵματος. καὶ ὁ ἐγκέφαλος συνέστηκεν, καὶ ἔστι στρυφνός, ὥστε οὐκ ἐπικαταῤῥεῖ ἐπὶ τὰς φλέβας. ἢν δ' ἐπικαταῤῥύῃ, τοῦ αἵματος οὐκ ἐπικρατέει, πολλοῦ καὶ θερμοῦ ἐόντος. ᾧ δὲ ἀπὸ παιδίου συνηύξηται, καὶ συνέτροφεν, ἔθος πεποίηκεν ἐν τῇσι μεταβολῇσι τῶν πνευμάτων τοῦτο πάσχειν, καὶ ἐπίληπτον ὡς τὰ πολλὰ γίνεσθαι, καὶ μάλιστα ἐν τοῖσι νοτίοισιν, ἥτε ἀπάλλαξις χαλεπὴ γίνεται. ὁ γὰρ ἐγκέφαλος ὑγρότερος γίνεται τῆς φύσιος, καὶ πλημμυρεῖ ὑπὸ τοῦ φλέγματος, ὥστε τοὺς μὲν καταῤῥόους, πυκνοτέρους γίνεσθαι. ἐκκριθῆναι δὲ μηκέτι οἷόν τε εἶναι τὸ φλέγμα, μὴ δὲ ἀναξηρανθῆναι τὸν ἐγκέφαλον, ἀλλὰ διαβρέχεσθαι, καὶ εἶναι ὑγρόν. γνοίη δ' ἄν τις τόδε μάλιστα, τοῖσι προβάτοισι, τοῖσι καταλήπτοισι γινομένοισιν ὑπὸ τῆς νόσου ταύτης, καὶ μάλιστα τῇσιν αἰξίν. αὗται γὰρ πυκνότατα λαμβάνονται. ἢν διακόψῃς τὴν κεφαλὴν, εὑρήσεις τὸν ἐγκέφαλον ὑγρὸν ἐόντα, καὶ ἱδρῶτος περίπλεων, καὶ κακὸν ὄζοντα. καὶ ἐν τούτῳ δηλονότι γνώσῃ, ὅτι οὐχ ὁ θεὸς τὸ σῶμα λυμαίνεται, ἀλλ' ἡ νόσος. οὕτω δ' ἔχει καὶ τῷ ἀνθρώπῳ. ὁκόταν γὰρ ὁ χρόνος γένηται τῇ νούσῳ, οὐκ ἔτι ἰήσιμος γίνεται. διεσθίεται γὰρ ὁ ἐγκέφαλος ὑπὸ τοῦ φλέγματος καὶ τήκεται. τὸ δὲ ἀποτηκόμενον, ὕδωρ γίνεται. καὶ περιέχει τὸν ἐγκέφαλον ἐκτὸς καὶ περικλύζει. καὶ διὰ τοῦτο πυκνότερον ἐπίληπτοι γίνονται καὶ ῥᾷον. διὸ δὴ πουλυχρόνιος ἡ νοῦσος, ὅτι τὸ ἐπιῤῥέον λεπτόν ἐστιν ὑπὸ πολυπληθείης. καὶ εὐθὺς κρατέεται ὑπὸ τοῦ αἵματος καὶ διαθερμαίνεται.

Ὁκόσοι δὲ ἤδη ἐθάδες εἰσὶ τῇ νούσῳ, προγινώσκουσιν ὁκόταν μέλλωσι λήψεσθαι, καὶ φεύγουσι ἐκ τῶν ἀνθρώπων. ἢν μὲν ἐγγὺς αὐτῶν ὁ οἶκος ἔῃ, οἴκαδε. ἢν δὲ μή, ἐν τὸ ἐρημότατον, ὅπῃ μέλλουσιν ὄψεσθαι αὐτὸν ἐλάχιστοι πεσόντα, εὐθύς τε ἐγκαλύπτεται. τοῦτο δὲ ποιέει ὑπὸ αἰσχύνης τοῦ πάθεος, καὶ οὐχ ὑπὸ φόβου, ὡς οἱ πολλοὶ νομίζουσι, τοῦ δαιμονίου.

Τὰ δὲ παιδάρια τὸ μὲν πρῶτον πίπτουσιν ὅπῃ ἂν τύχωσιν ὑπὸ ἀηθείης. ὅταν δὲ πλεονάκις κατάληπτοι γίνωνται, ἐπειδὰν προαίσθωνται, φεύγουσι παρὰ τὰς μητέρας, ἢ παρὰ ἄλλον ὅν τινα μάλιστα γινώσκουσιν ὑπὸ δέους καὶ φόβου τῆς πάθης. τὸ γὰρ αἰσχύνεσθαι παῖδες ὄντες, οὔπω γινώσκουσιν.

Ἐν δὲ τῇσι μεταβολῇσι τῶν πνευμάτων, διὰ τάδε φημὶ ἐπιλήπτους γίνεσθαι, καὶ μάλιστα τοῖσι νοτίοισιν. ἔπειτα καὶ τοῖσι βορείοισιν. ἔπειτα καὶ τοῖσι λοιποῖσι πνεύμασι. ταῦτα δὲ ἐστίν, ὅσα τῶν πνευμάτων ἰσχυρότατά ἐστι, καὶ ἀλλήλοισιν ἐναντιώτατα κατὰ τὴν στάσιν καὶ κατὰ τὴν δύναμιν. ὁ μὲν γὰρ βορέης, ξυνίστησι τὸν ἠέρα. καὶ τὸ θολερόν τε καὶ τὸ νεφῶδες ἐκκρίνει, καὶ λαμπρότερον καὶ διαφανέα ποιέει. κα-

τὰ δὲ τ

τὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ τ' ἄλλα πάντα τὰ ἐκ τῆς θαλάσσης ἀρξάμενα, καὶ τῶν ἄλλων ὑδάτων. ἐκεῖνα γὰρ ἐστὶ ἁπάντων τὴν νοτίδα καὶ τὸ δνοφερὸν, καὶ ἐστὶ αὐτῶν τῶν ἀνθρώπων, διὸ καὶ ὑγιεινότατοί εἰσι τῶν ἀνέμων. ὁ δὲ νότος, τἀναντία τούτῳ ἐργάζεται. πρῶτον μὲν γὰρ ἄρχεται τὸν ἠέρα ξυνεστῶτα τήκειν καὶ διαχέειν. καθότι καὶ οὐκ εὐθὺς πνέει μέγας, ἀλλὰ γαληνίζει πρῶτον, ὅτι οὐ δύναται ἐπικρατῆσαι τοῦ ἠέρος αὐτίκα, τοῦ πρόσθεν πυκνοῦ τε ἐόντος, καὶ ξυνεστηκότος, ἀλλὰ τῷ χρόνῳ διαλύει. τὸ δ' αὐτὸ τοῦτο καὶ τὴν γῆν ἐργάζεται, καὶ τὴν θάλασσαν, καὶ τοὺς ποταμοὺς, καὶ τὰς κρήνας, καὶ τὰ φρέατα, καὶ ὅσα φύεται, καὶ ἐν οἷσιν ὑγρόν ἐστιν. ἔστι δὲ ἐν παντὶ, ἐν μὲν τῷ, πλέον. ἐν δὲ τῷ, ἔλασσον. ἅπαντα δὲ ταῦτα, αἰσθάνεται τοῦ πνεύματος τούτου. καὶ ἔκ τε λαμπρῶν, δνοφερώδεα γίνεται. ἔκ τε ψυχρῶν, θερμά. καὶ ἐκ ξηρῶν, νοτώδεα. ὁκόσα τε ἐν οἰκήμασι κεράμια κατὰ γῆς ἐστι μεστὰ οἴνου ἢ ἄλλου τινὸς ὑγροῦ, πάντα ταῦτα αἰσθάνεται τοῦ νότου, καὶ διαλλάσσει τὴν μορφὴν εἰς ἕτερον εἶδος. τὸν δὲ ἥλιον καὶ τὴν σελήνην καὶ τὰ ἄστρα, πουλὺ ἀμβλυωπότερα καθίστησι τῆς φύσιος. ὅτε οὖν καὶ τούτων οὕτω μεγάλων ἐόντων καὶ ἰσχυρῶν τοσοῦτον ἐπικρατέει, καὶ τὸ σῶμα ποιέει αἰσθάνεσθαι, καὶ μεταβάλλειν ἐκ τῶν ἀνέμων τούτων ἐν τῇσι μεταλλαγῇσιν, ἀνάγκη τοῖσι μὲν νοτίοισι λύεσθαί τε καὶ φλεγμαίνειν τὸν ἐγκέφαλον, καὶ τὰς φλέβας χαλαρωτέρας εἶναι. τοῖσι δὲ βορείοισι, ξυνίστασθαι τὸ ὑγιηρότατον τοῦ ἐγκεφάλου. τὸ δὲ νοσερώτατον καὶ ὑγρότατον, ἐκκρίνεσθαι καὶ περικλύζειν ἔξωθεν. καὶ οὕτω τοὺς καταρρόους ἐπιγίνεσθαι ἐν τῇσι μεταβολῇσι τῶν πνευμάτων τούτων. οὕτως ἡ νοῦσος αὕτη γίνεται καὶ θάλλει ἀπὸ τῶν προσιόντων τε καὶ ἀπιόντων. καὶ οὐδὲν ἐστιν ἀπορωτέρη τῶν ἄλλων, οὔτε ἰῆσθαι, οὔτε γνῶναι. οὔτε θειοτέρη ἢ ὡς αἱ ἄλλαι. εἰδέναι δὲ χρὴ ἀνθρώπους, ὅτι ἐστὶ οὐδενὸς ἡμῖν αἱ ἡδοναὶ γίνονται. καὶ αἱ εὐφροσύναι. καὶ γέλωτες. καὶ παιδιαὶ, ἢ ἐντεῦθεν. καὶ λῦπαι. καὶ ἀνίαι, καὶ δυσφροσύναι. καὶ κλαυθμοί. καὶ τούτῳ φρονέομεν μάλιστα καὶ νοέομεν. καὶ βλέπομεν. καὶ ἀκούομεν. καὶ γινώσκομεν τά τε αἰσχρὰ καὶ τὰ καλὰ. καὶ τὰ κακὰ καὶ ἀγαθά. καὶ ἡδέα καὶ ἀηδέα. τὰ μὲν, νόμῳ διακρίνοντες. τὰ δὲ, τῷ συμφέροντι αἰσθανόμενοι. τῷ δὲ τὰς ἡδονὰς καὶ τὰς ἀηδίας, τοῖσι καιροῖσι διαγινώσκοντες. καὶ οὐ ταῦτα ἀρέσκει ἡμῖν, τῷ δὲ αὐτῷ τούτῳ καὶ μαινόμεθα καὶ παραφρονέομεν. καὶ δείματα καὶ φόβοι παρίστανται ἡμῖν. τὰ μὲν, νύκτωρ. τὰ δὲ, μεθ' ἡμέρην. καὶ ἐνύπνια καὶ πλάνοι ἄκαιροι. καὶ φροντίδες οὐχ ἱκνεύμεναι καὶ ἀγνωσίη τῶν καθεστώτων. καὶ ἀηθίη. καὶ ἀπειρίη. καὶ ταῦτα πάσχομεν ἀπὸ τοῦ ἐγκεφάλου πάντα, ὅταν οὗτος μὴ ὑγιαίνῃ, ἀλλ' ἢ θερμότερος τῆς φύσιος γένηται, ἢ ψυχρότερος, ἢ ὑγρότερος, ἢ ξηρότερος, ἤτι ἄλλο πεπόνθῃ πάθος παρὰ τὴν φύσιν, ὃ μὴ εἰώθει. καὶ μαινόμεθα μὲν ὑπὸ ὑγρότητος. ὁκόταν γὰρ ὑγρότερος τῆς φύσιος ᾖ, ἀνάγκη κινέεσθαι. κινευμένου δὲ τοῦ πάθεος, μήτε τὴν ὄψιν ἀτρεμίζειν, μήτε τὴν ἀκοὴν, ἀλλ' ἄλλοτε ἄλλο ὁρᾶν καὶ ἀκούειν. τήν τε γλῶσσαν τοιαῦτα διαλέγεσθαι, οἷα ἂν βλέπῃ τε καὶ ἀκούῃ ἑκάστοτε. ὁκόσον δ' ἂν ἀτρεμήσῃ ὁ ἐγκέφαλος χρόνον, τοσοῦτον καὶ φρονέει ὁ ἄνθρωπος. γίνεται δὲ ἡ διαφθορὴ τοῦ ἐγκεφάλου, ὑπὸ φλέγματος καὶ χολῆς. γνώσῃ δὲ ἑκάτερα, ὧδε. οἱ μὲν γὰρ ὑπὸ τοῦ φλέγματος μαινόμενοι, ἥσυχοί τε εἰσὶ, καὶ οὐ βοῶσιν, οὐδὲ θορυβέουσιν. οἱ δὲ ὑπὸ χολῆς, κεκράκται καὶ κακοῦργοι, καὶ οὐκ ἀτρεμαῖοι, ἀεί τι ἄκαιρον δρῶντες. ἢν μὲν οὖν ξυνεχέως μαίνονται, αὗται αὐτοῖς αἱ προφάσιες εἰσίν. ἢν δὲ δείματα καὶ φόβοι παριστῶνται, ὑπὸ μεταστάσιος τοῦ ἐγκεφάλου. μεθίσταται δὲ, θερμαινόμενος. θερμαίνεται δὲ, ὑπὸ τῆς χολῆς, ὁκόταν ὁρμήσῃ ἐπὶ τὸν ἐγκέφαλον, κατὰ τὰς φλέβας τὰς αἱματίτιδας ἐκ τοῦ σώματος. καὶ φόβος παρέστηκε, μέχρις ἀπέλθῃ πάλιν ἐπὶ τὰς φλέβας καὶ τὸ σῶμα. ἔπειτα πέπαυται. ἀνιᾶται δὲ καὶ ἀσᾶται παρὰ καιρὸν, ψυχομένου τοῦ ἐγκεφάλου, καὶ ξυνισταμένου παρὰ τὸ ἔθος. τοῦτο δὲ ὑπὸ φλέγματος πάσχει. ὑπὸ αὐτοῦ δὲ τοῦ πάθεος καὶ ἐπιλήθεται. ἐκ νυκτῶν δὲ βοᾷ καὶ κέκραγεν, ὁκόταν ἐξαπίνης ὁ ἐγκέφαλος διαθερμαίνηται. τοῦτο δὲ πάσχουσι οἱ χολώδεες. οἱ φλεγματώδεες δὲ, οὐ διαθερμαίνονται. ἐπὴν δὲ τὸ αἷμα ἐπέλθῃ πουλὺ ἐπὶ τὸν ἐγκέφαλον καὶ ἐπιζέσῃ. ἔρχεται δὲ κατὰ τὰς φλέβας πολὺ τὰς προειρημένας. ὁκόσαν τυγχάνῃ ὁ ἄνθρωπος ὁρέων ἐνύπνιον φοβερὸν, καὶ ἐν τῷ φόβῳ ἔῃ, ὥσπερ οὖν καὶ εἰ ἐγρηγόρει, τότε μᾶλλον τὸ πρόσωπον φλογιᾷ. καὶ οἱ ὀφθαλμοὶ ἐρεύθονται, ὁκόταν φοβῆται. καὶ ἡ γνώμη ἐπινοέῃ τι κακὸν ἐργάσασθαι, οὕτω καὶ ἐν τῷ ὕπνῳ πάσχει. ὁκόταν δὲ ἐπέγρηται, καὶ καταφρονήσῃ, καὶ τὸ αἷμα

πάλιν ἀποσκεδασθῇ εἰς τὰς φλέβας τὰς προειρημένας, πέπαυται. κατὰ ταῦτα νομίζω τὸν ἐγκέφαλον δύναμιν πλείστην ἔχειν ἐν τῷ ἀνθρώπῳ. οὗτος γὰρ ἡμῖν ἐστι τῶν ἀπὸ τοῦ ἠέρος γινομένων ἑρμηνεὺς, ἢν ὑγιαίνων τυγχάνῃ. τὴν δὲ φρόνησιν αὐτῷ ὁ ἀὴρ παρέχεται. οἱ δὲ ὀφθαλμοὶ, καὶ τὰ ὦτα, καὶ ἡ γλῶσσα, καὶ αἱ χεῖρες, καὶ οἱ πόδες, οἷα ἂν ὁ ἐγκέφαλος γινώσκῃ, τοιαῦτα ὑπηρετοῦσι. γίνεται γὰρ παντὶ τῷ σώματι τῆς φρονήσιος, ὡς ἂν μετέχῃ τοῦ ἠέρος. ἐς δὲ τὴν σύνεσιν, ὁ ἐγκέφαλός ἐστιν ὁ διαγγέλλων. ὁκόταν γὰρ σπάσῃ τὸ πνεῦμα ὁ ἄνθρωπος ἐς ἑωυτὸν, ἐς τὸν ἐγκέφαλον πρῶτον ἀφικνέεται. καὶ οὕτως ἐς τὸ λοιπὸν σῶμα σκίδναται ὁ ἀὴρ, καταλιπὼν ἐν τῷ ἐγκεφάλῳ ἑωυτοῦ τὴν ἀκμὴν, καὶ ὅτι ἂν ἔῃ φρόνιμόν τε καὶ γνώμην ἔχον. εἰ γὰρ ἐς τὸ σῶμα πρῶτον ἀφικνέεται, καὶ ὕστερον ἐς τὸν ἐγκέφαλον, ἐν τῇσι σαρξὶ καὶ ἐν τῇσι φλεψὶ, καταλελοιπὼς τὴν διάγνωσιν, ἐς τὸν ἐγκέφαλον ἂν ἔῃ θερμὸς ἔτι ἐὼν. καὶ οὐχὶ ἀκραιφνὴς, ἀλλ' ἐπιμεμιγμένος τῇ ἰκμάδι τῇ ἀπὸ τῶν σαρκῶν καὶ τοῦ αἵματος, ὥστε μηκέτι εἶναι ἀκριβής. διότι φημὶ τὸν ἐγκέφαλον εἶναι, τὸν ἑρμηνεύοντα τὴν ξύνεσιν. αἱ δὲ φρένες ἄλλως ὄνομα ἔχουσι τῇ τύχῃ κεκτημένον, καὶ τῷ νόμῳ, τῷ δὲ ὄντι, οὐκ οὐδὲ τῇ φύσει, οὐδὲ οἶδα ἔγωγε, τίνα δύναμιν ἔχουσιν αἱ φρένες, ὥστε φρονέειν τε καὶ νοεῖν. πλὴν εἴ τι ὁ ἄνθρωπος ὑπερχαρῇ ἐξ ἀδοκήτου, ἢ ἀνιαθέῃ, πηδῶσι καὶ ἄσιν παρέχουσιν ὑπὸ λεπτότητος. καὶ ὅτι ἀνατέτανται μάλιστα ἐν τῷ σώματι. καὶ κοιλίην οὐκ ἔχουσι πρὸς ἣν δέξονται, ἢ ἀγαθὸν ἢ κακὸν προσπίπτον, ἀλλ' ὑπ' ἀμφοτέρων τούτων, τεθορύβηνται διὰ τὴν ἀσθενείην τῆς φύσιος, ἐπεὶ αἰσθάνονταί γε οὐδενὸς πρότερον τῶν ἐν τῷ σώματι ἐνεόντων, ἀλλὰ μάτην τοῦτο τὸ ὄνομα ἔχουσιν. καὶ τὴν αἰτίην, ὥσπερ τὰ πρὸς τῇ καρδίῃ ἅπερ ὦτα καλέεται, οὐδὲν ἐς τὴν ἀκοὴν ξυμβαλλόμενα. λέγουσι δέ τινες ὡς φρονέομεν τῇ καρδίῃ, καὶ τὸ ἀνιώμενον τοῦτό ἐστι καὶ τὸ φροντίζον. τὸ δὲ οὐχ οὕτως ἔχει, ἀλλὰ σπᾶται μὲν ὥσπερ αἱ φρένες. καὶ μᾶλλον διὰ τὰς αὐτὰς αἰτίας. ἐξ ἅπαντος γὰρ τοῦ σώματος, φλέβες ἐς αὐτὴν συντείνουσι. καὶ συγκλείσας ἔχει ὥστε αἰσθάνεσθαι, ἤν τις πόνος ἢ σύστασις γίνηται τῷ ἀνθρώπῳ. ἀνάγκη γὰρ καὶ ἀνιώμενον φρίσσειν τὸ σῶμα. καὶ συντείνεσθαι. καὶ ὑπερχαίροντα τὸ αὐτὸ τοῦτο πάσχειν. διότι ἡ καρδίη, αἰσθάνεταί τε μάλιστα καὶ αἱ φρένες. τῆς μέντοι φρονήσιος, οὐδετέρῳ μέτεστιν. ἀλλὰ πάντων τουτέων ὁ ἐγκέφαλος αἴτιός ἐστιν, ὥσπερ οὖν καὶ τῆς φρονήσιος καὶ τοῦ ἠέρος πρῶτος αἰσθάνεται ὁ ἐγκέφαλος τῶν ἐν τῷ σώματι ἐνεόντων. οὕτως καὶ ἤν τις μεταβολὴ ἰσχυροτέρη γένηται ἐν τῷ ἠέρι, ὑπὸ τῶν ὡρέων, καὶ αὐτὸς ἑωυτοῦ διάφορος γίνεται ἐν τῷ ἠέρι. ὁ γὰρ ἐγκέφαλος διὰ τοῦτο πρῶτος αἰσθάνεται, διότι καὶ τὰ νουσήματα ἐς αὐτὸν ἐμπίπτειν φημὶ ὀξύτατα, καὶ μέγιστα, καὶ θανατωδέστατα, καὶ δυσκριτώτατα τοῖσι ἀπείροισι.

Αὕτη δὲ ἡ νοῦσος ἡ ἱερὴ καλεομένη, ἐκ τῶν αὐτῶν προφασίων γίνεται, ἀφ' ὧν καὶ αἱ λοιπαὶ, ἀπὸ τῶν προσιόντων καὶ ἀπιόντων. οἷον ψύξιος. ἡλίου. πνευμάτων, μεταβαλλομένων τε, καὶ μηδέποτε ἀτρεμιζόντων. ταῦτα δ' ἐστὶ θεῖα, ὥστε μηδὲν διακρίνοντα τὸ νούσημα, θειότερον τῶν λοιπῶν νουσημάτων νομίζειν, ἀλλὰ πάντα θεῖα, καὶ ἀνθρώπινα πάντα. φύσιν δὲ ἔχει ἕκαστον καὶ δύναμιν ἐν ἑωυτῷ. καὶ οὐδὲν ἄπορόν ἐστιν οὐδὲ ἀμήχανον. ἀκεστά τε τὰ πλεῖστά ἐστιν αὐτοῖσι τούτοισιν, ἀφ' ὅτων καὶ γίνεται. ἕτερον γὰρ ἑτέρῳ, τροφή ἐστι. τῷ δὲ, κάκωσις. τοῦτο οὖν δεῖ τὸν ἰητρὸν ἐπίστασθαι, καὶ τὸν καιρὸν διαγινώσκειν ἑκάστου, ὡς ἂν τὸ μὲν, ἀποδώσει τροφῇ, καὶ αὐξήσει. τὸ δὲ, ἀφαιρέσει καὶ μειώσει. χρὴ δὲ καὶ ἐν ταύτῃ τῇ νούσῳ, καὶ ἐν τῇσιν ἄλλῃσιν ἁπάσῃσι, μὴ αὔξειν τὰ νουσήματα, ἀλλὰ σπεύδειν τρύχειν προσφέροντας τῇ νούσῳ τὸ πολεμιώτατον ἑκάστῃ, μὴ τὸ φίλον καὶ σύνηθες. ὑπὸ μὲν γὰρ τῆς συνηθείης, θάλλει καὶ αὔξεται. ὑπὸ δὲ τοῦ πολεμίου, φθίνει καὶ ἀμαυροῦται. ὅστις δὲ ἐπίσταται ἐν ἀνθρώποις τὴν τοιαύτην μεταβολὴν, καὶ δύναται ὑγρὸν καὶ ξηρὸν ποιέειν, καὶ θερμὸν καὶ ψυχρὸν ὑπὸ διαίτης τὸν ἄνθρωπον, οὗτος καὶ ταύτην τὴν νοῦσον, ἰῷτο ἂν, εἰ τοὺς καιροὺς διαγινώσκει τῶν ξυμφερόντων, ἄνευ καθαρμῶν καὶ μαγευμάτων, καὶ πάσης ἄλλης βαναυσίης τοιαύτης.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΝΟΥΣΩΝ ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

Ἱπποκράτους γνήσιον ἤ.

Σ ἂν περὶ ἰήσεως ἐθέλῃ ἐρωτᾶν τε ὀρθῶς, καὶ ἐρωτῶντι ἀποκρίνεσθαι, καὶ ἀντιλέγειν ὀρθῶς, ἐνθυμέεσθαι χρὴ τάδε. πρῶτον μὲν, ἀφ' ὧν αἱ νοῦσοι γίνονται πᾶσαι τοῖσιν ἀνθρώποισιν. ἔπειτα δὲ, ὁκόσα ἀνάγκας ἔχει τῶν νοσημάτων, ὥς ὅταν γένηται εἶναι, ἢ μακρὰ, ἢ βραχέα. ἢ θανάσιμα, ἢ μὴ θανάσιμα. ἢ ἔμπηρόν τι τοῦ σώματος γενέσθαι, ἢ μὴ ἔμπηρον. καὶ ὁκόσα ἐπὴν γένηται ἐνδιαστὰ, ἢ κακὰ ἀπ' αὐτέων ἀποβαίνει, ἢ ἀγαθά. καὶ ἀφ' ὁκοίων νουσημάτων, ἐφ' ὁκοῖα μεταπίπτει. καὶ ὁκόσα ἀπὸ τύχης ποιέουσιν οἱ ἰητροὶ θεραπεύοντες τοὺς ἀσθενέοντας. καὶ ὁκόσα ἀγαθὰ ἢ κακὰ οἱ νοσέοντες ἐν τῇσι νούσοισι πάσχουσι. καὶ ὁκόσα ἀκαιρίῃ ἢ λέγεται ἢ ποιέεται ὑπὸ τοῦ ἰητροῦ πρὸς τὸν νοσέοντα, ἢ ἀπὸ τοῦ νοσέοντος πρὸς τὸν ἰητρόν. καὶ ὁκόσα ἀκριβῶς ποιέεται ἐν τῇ τέχνῃ καὶ λέγεται, καὶ ἅ τε ὀρθὰ ἐν αὐτῇ, καὶ ἅ τε μὴ ὀρθά. καὶ ὅ, τι αὐτῆς ἀρχὴ, ἢ τελευτὴ, ἢ μέσον, ἢ ἄλλο τι ἀποδεδειγμένον τῶν τοιούτων, ὅ, τι καὶ ὀρθῶς ἐστὶν ἐν αὐτῇ εἶναι, ἢ μὴ εἶναι. καὶ τὰ σμικρὰ καὶ τὰ μεγάλα. καὶ τὰ πολλὰ καὶ τὰ ὀλίγα. καὶ ὅ, τι ἅπαν ἐστὶν ἐν αὐτῇ ἕν. καὶ πάντα, καὶ ὅ, τι ἕν. καὶ τὰ δυνατὰ νοῆσαί τε καὶ εἰπεῖν. καὶ εἰ δέῃ, μήτε νοῆσαι, μήτε εἰπεῖν, μήτε ποιῆσαι. καὶ ὅ, τι εὐχρείη ἐν αὐτῇ. καὶ ὅ, τι ἀχρείη. καὶ ὅ, τι καιρός. καὶ ὅτι ἀκαιρίη. καὶ τῶν τεχνέων τῶν ἄλλων ἧσι τε ἔοικε, καὶ οἷσιν οὐδὲν ἔοικε. καὶ τὸ σῶμα, ὅ, τι θερμὸν ἢ ψυχρὸν, ἢ ξηρὸν, ἢ ὑγρόν. καὶ ὅ, τι ἰσχυρὸν ἢ ἀσθενές. ἢ πυκνὸν, ἢ ἀραιόν. καὶ ὁκόσα τῶν πολλῶν ὀλίγα γίνεται, ἢ ἐπὶ τὸ κάκιον, ἢ ἐπὶ τὸ ἄμεινον. καὶ ὅ, τι καλῶς ἢ αἰσχρῶς, ἢ βραδέως ἢ ταχέως, ἢ ὀρθῶς ἢ μὴ ὀρθῶς. καὶ ὅ, τι κακὸν ἐπὶ κακῷ, ἀνάγκη γίνεσθαι. ταῦτα ἐνθυμηθέντα διαφυλάσσειν δεῖ ἐν τοῖσι λόγοισιν. ὅ, τι ἂν δήλως τούτων ἁμαρτάνῃ ἢ λέγων, ἢ ἐρωτῶν, ἢ ἀποκρινόμενος. καὶ ἢν πολλὰ ἐόντα σμικρά. καὶ ἢν ἀδύνατα ἐόντα, δυνατὰ φῇ εἶναι. ἢ ὅ, τι ἂν ἄλλο ἁμαρτάνῃ λέγων, ταύτῃ φυλάσσοντα χρὴ ἐπιτίθεσθαι ἐν τῇ ἀντιλογίᾳ. Αἱ μὲν οὖν νοῦσοι γίνονται ἅπασαι, τῶν μὲν ἐν τῷ σώματι ἐνεόντων, ἀπό τε χολῆς καὶ φλέγματος. τῶν δὲ ἔξωθεν, ἀπὸ πόνων καὶ τρωμάτων. ἀλλὰ καὶ τοῦ θερμοῦ καὶ ὑπερθερμαίνοντος, καὶ τοῦ ψυχροῦ καὶ ὑπερψύχοντος. καὶ τοῦ ξηροῦ, καὶ ὑπερξηραίνοντος. καὶ τοῦ ὑγροῦ καὶ ὑπερυγραίνοντος. καὶ ἡ μὲν χολὴ καὶ τὸ φλέγμα, γινομένοισί τε συγγίνεται, καὶ ἔστιν ἐν τῷ σώματι, ἢ πλέον, ἢ ἔλασσον. τὰς δὲ νούσους παρέχεται, τὰς μὲν, ἀπὸ σιτίων καὶ ποτῶν. τὰς δὲ, ἀπὸ τοῦ θερμοῦ ὑπερθερμαίνοντος. καὶ ἀπὸ τοῦ ψυχροῦ ὑπερψύχοντος. Ἀνάγκη δὲ τὰ τοιάδε ἔχει, ὥς τε γίνεσθαι ὁκόταν γίνηται, ἐν μὲν τοῖσι σώμασι, νεῦρα τὰ παχέα τιτρωσκομένους, ἀνάγκη χωλοῦσθαι. καὶ τῶν μυῶν τὰς κεφαλὰς, μάλιστα τῶν ἐν τοῖσι μηροῖσιν. ἀποθνήσκει δὲ, ἤν τις ἐγκέφαλον τρωθῇ. ἢ ῥαχίτην μυελόν. ἢ ἧπαρ. ἢ φρένας. ἢ κύστιν. ἢ φλέβα αἱμοῤῥόον. ἢ καρδίην. μὴ ἀποθνήσκειν δὲ τιτρωσκόμενον, ἐν οἷσι ταῦτα τῶν μελέων μὴ ἐνείη, ἀλλὰ τούτων προσωτάτω ἐστί. τῶν δὲ νουσημάτων τὰ τοιάδε, ἔχει ἀνάγκας ὥς τε ὑπ' αὐτῶν ἀπόλλυσθαι ὅταν γένωνται. φθίσις. ὕδρωψ ὑποσαρκίδιος. καὶ γυναῖκα ὁκόταν ἔμβρυον ἔχουσαν περιπνευμονίη, ἢ καῦσος λάβῃ, ἢ πλευρῖτις, ἢ φρενῖτις, ἢ ἐρυσίπελας ἐν τῇσιν ὑστέρῃσι γένηται. Ἐνδιαστὰ δὲ τὰ τοιαῦτα ἀπαλλάσσεταί τε καὶ μή. περιπνευμονίη. καῦσος. φρενῖτις. πλευρῖτις. κυνάγχη. σταφυλή. ἡπατῖτις. σπληνῖτις. νεφρῖτις. δυσεντερίη. γυναικὶ ῥόος αἱματώδης. τὰ δὲ τοιάδε, οὐ θανάσιμα, ἢν μή τι αὐτοῖσι προσγένηται. κέδματα. μελαγχολίη. ποδάγρη. ἰσχιάς. τεινεσμός. τεταρταῖος. τριταῖος. στραγγουρίη. ὀφθαλμίη. λέπρη. λειχήν. ἀρθρῖτις. ἔμπηροι δὲ πολλάκις ἀπὸ τῶνδε γίνονται πολλοί. ἀπόπληκτοι μὲν χεῖρας καὶ πόδας. καὶ φωνῆς ἀκρατέες. καὶ παραπλῆγες ὑπὸ μελαίνης χολῆς. χωλοὶ δὲ ὑπὸ ἰσχιάδων. ὄμματα δὲ πηροῦνται καὶ ἀκοὴ ὑπὸ φλέγματος ἐπισκήψαντος. Μακρὰ δὲ τάδε ἀνάγκη εἶναι. φθίσιν. δυσεντερίην. ποδάγρην. κέδματα. φλέγμα λευκὸν. ἰσχιάδα, στραγγουρίην. γεραιτέροισι δὲ, νεφρῖτιν. γυναιξὶ δὲ, ῥόον αἱματώδη, αἱμοῤῥοΐδας, σύριγγας. καῦσος. φρενῖτις. περιπνευμονίη. κυνάγχη. σταφυλή. πλευρῖτις ταχέως κρίνει. Μεταπίπτει δὲ τάδε. ἐκ πλευρίτιδος, ἐς καῦσον. καὶ ἐκ φρενίτιδος ἐς περιπνευμονίην. ἐκ δὲ περιπνευμονίης, καῦσος οὐκ ἂν γένοιτο. ἐς δυσεντερίην, τεινασμός. ἀπὸ δὲ δυσεντερίης, λειεντερίη. ἐκ δὲ λειεντερίης, ἐς ὕδρωπα. καὶ ἐκ λευκοῦ φλέγματος, ἐς ὕδρωπα.

ἐς ὕδρωπα. καὶ ἐκ περιπλευμονίης καὶ πλευρίτιδος, ἐς ἔμπυον. τὰ δὲ ἐπὶ κακοῖσιν, ἀνάγκη κακὰ γίνεσθαι. ῥῖγος ἢν λάβῃ, πῦρ ἐπιλαμβάνει. καὶ νεῦρον ἢν διακοπῇ, σπασμὸν ποιεῖ. καὶ μήτε συμφῦναι διακοπὲν, φλεγμῆναι τε ἰσχυρῶς. καὶ ἢν ὁ ἐγκέφαλος σεισθῇ τε καὶ πονέσῃ, πληγέντος, ἄφωνον παραχρῆμα γίνεσθαι ἀνάγκη, καὶ μήτε ὁρᾶν, μήτε ἀκούειν. ἢν δὲ τρωθῇ, πυρετόν τε ἐπιγίνεσθαι, καὶ χολῆς ἔμετον. καὶ ἀποπληκτόν τι τοῦ σώματος γίνεσθαι, καὶ ἀπόλλυσθαι. ἐπίπλοον δὲ ἢν ἐκπέσῃ, ἀνάγκη τοῦτο ἀποσαπῆναι. καὶ ἢν αἷμα, ἐκ τρώματος ἢ φλεβὸς ῥυῇ, ἐς τὴν ἄνω κοιλίην, ἀνάγκη τοῦτο πῦον γίνεσθαι. Καιροὶ δὲ τὸ μὲν καθάπαξ εἰπεῖν, πολλοί τέ εἰσιν ὧδε τῇ τέχνῃ καὶ παντοῖοι, ὥσπερ καὶ τὰ νουσήματα καὶ τὰ παθήματα καὶ τούτων θεραπεῖαι. ἐσὶ δὲ ὀξύτατοι μὲν, ὅσοις ἢ ἐκψυχοῦσι δεῖ τι ὠφελῆσαι. ἢ οὐρῆσαι, ἢ ἀποπατῆσαι μὴ δυναμένοισιν, ἢ πνιγομένοισιν. ἢ γυναῖκα τίκτουσαν, ἢ τιτρωσκομένην ἀπαλλάξαι, ἢ ὅσα τοιαῦτα ἐστί. καὶ οὗτοι μὲν ὀξέες καὶ οὐκ ἀρκέει ὀλίγῳ ὕστερον. ἀπόλλυνται γὰρ οἱ πολλοὶ ὀλίγῳ ὕστερον. ὁ μὲν τοι καιρός ἐστιν ἐπὴν πάθῃ τούτων ὁ ἄνθρωπος ὅ, τι ἢν τις πρὸ τοῦ τὴν ψυχὴν μεθιέναι ὠφεληθῇ, τοῦτο ἐπὰν ἐν καιρῷ λάβῃ ὠφελεῖται. ἔστι μὲν οὖν σχεδόν τι οὗτος ὁ καιρὸς, καὶ ἐν τοῖσιν ἄλλοισι νουσήμασιν. ἀεὶ γὰρ ἐν ᾧ ἄν τις ὠφελήσῃ, ἐν καιρῷ ὠφέλησεν. ὁκόσα δὲ τῶν νουσημάτων ἢ τρωμάτων μὴ ἐστὶ θάνατον φέρει, ἀλλὰ καίριά ἐστιν, ὀδύναι τε γίνονται ἐν αὐτέοισιν, ἀλλ' οἷά τέ ἐστιν, ἤν τις ὀρθῶς θεραπεύσῃ, παύσασθαι. τούτοισι δὲ οὐκ ἀρκέουσι γινόμεναι ὠφέλειαι ἀπὸ τοῦ ἰητροῦ ὅταν γίνωνται. καὶ γὰρ μὴ παρεόντος ἰητροῦ, ἐπαύσαντο ἄν. ἕτερα δὲ νουσήματά ἐστιν, οἷσι καιρὸς ἐστὶ θεραπεύεσθαι τὸ πρωῒ τῆς ἡμέρης. διαφέρει δὲ οὐδὲν ἢ πάνυ πρωῒ, ἢ ὀλίγῳ ὕστερον. ἕτερα δὲ νουσήματά ἐστιν, οἷσι καιρὸς θεραπεύεσθαι, ἅπαξ τῆς ἡμέρης, καὶ ὁπηνίκα γε οὐδὲν διαφέρει. ἕτερα δὲ, διὰ τρίτης ἢ τετάρτης ἡμέρης. καὶ ἕτερα ἅπαξ τοῦ μηνός. καὶ ἕτερα γε διὰ τριῶν μηνῶν. καὶ τοῦ τρίτου ἱσταμένου ἢ φθίνοντος, οὐδὲν διαφέρει. τοιοῦτοι δὲ οἱ καιροί εἰσιν, ἐν οἷσι καὶ ἀκρίβειαν οὐκ ἔχουσιν ἄλλην, ἢ ταύτην. ἀκαιρίη δὲ ἐστὶ τὰ τοιάδε. ὅσα μὲν πρωῒ δεῖ θεραπεύεσθαι, ἢν μεσημβρίη θεραπεύηται. Ακαίρως δὲ ταύτῃ ἐπεὶ ῥοπὴν ἴσχει ἐς τὸ κάκιον, διὰ τὴν μὴ ἐν καιρῷ θεραπείην. ὅσα δὲ ἐς τάχα ἤν τε μεσημβρίης, ἤν τε ὀψὲ, ἤν τε τῆς νυκτὸς θεραπεύηται, ἀκαίρως θεραπεύεται. καὶ ἢν τοῦ ἦρος δέοι θεραπεύεσθαι, θεραπεύοιτο δὲ χειμῶνος. ἢ τοῦ μὲν χειμῶνος δέοι, τοῦ θέρεος δὲ θεραπεύηται. ἢ ὅ, τι ἤδη δεῖ θεραπεύεσθαι, τοῦτο δὲ ἀναβάλληται. ἢ ὅ, τι ἀναβάλλεσθαι δεῖ, τοῦτ' ἤδη θεραπεύηται. τὰ τοιαῦτα ἀκαίρως θεραπεύεται. Ορθῶς δὲ ἐν αὐτῇ, καὶ οὐκ ὀρθῶς τὰ τοιάδε. οὐκ ὀρθῶς μὲν, τήν τε νοῦσον ἑτέρην ἐοῦσαν, ἑτέρην φανέειν. καὶ μεγάλην ἐοῦσαν, μικρὴν φανέειν. καὶ σμικρὴν ἐοῦσαν, μεγάλην. καὶ περιεσόμενον, μὴ φάναι περιέσεσθαι. καὶ μέλλοντα ἀπολέεσθαι, μὴ φάναι ἀπολέεσθαι. καὶ ἔμπυον ἐόντα, μὴ γινώσκειν. μὴ δὲ νούσου μεγάλης τρεφομένης ἐν τῷ σώματι, γινώσκειν. καὶ φαρμάκου δεόμενον ἢ πότου, τοῦ δὲ, μὴ γινώσκειν. καὶ τὰ δυνατὰ, μὴ ἐξιῆσθαι. καὶ τὰ ἀδύνατα, φάναι ἐξιήσεσθαι. Ταῦτα μὲν οὖν εἰσι κατὰ γνώμην οὐκ ὀρθῶς. κατὰ δὲ χειρουργίαν, τάδε. πῦον ἐν ἕλκει ἐνεὸν ἢ ἐν φύματι, μὴ γινώσκειν. καὶ τὰ κατάγματα καὶ τὰ ἐκπτώματα μὴ γινώσκειν. καὶ μηλῶντα κεφαλὴν μὴ γινώσκειν, εἰ τὸ ὀστέον κατέηγε. μὴ δ' ἐς κύστιν αὐλίσκον καθιέντα, δύνασθαι καθιέναι. μὴ δὲ λίθον ἐν κύστει ἐνεόντος, γινώσκειν. μὴ δ' ἔμπυον ἐόντα, διασείοντα γινώσκειν. καὶ τάμνοντα ἢ καίοντα ἐκλείπειν, ἢ τοῦ βάθεος, ἢ τοῦ μήκεος. ἢ καίειν τε καὶ τάμνειν, ἃ οὐ χρή. καὶ ταῦτα μὲν οὐκ ὀρθῶς. ὀρθῶς δὲ, τά τε νουσήματα γινώσκειν ἅ τε ἐστὶ καὶ ἀφ' ὅτων. καὶ τὰ μακρὰ αὐτῶν, καὶ τὰ βραχέα. καὶ τὰ θανάσιμα, καὶ τὰ μὴ θανάσιμα. καὶ τὰ μεταπίπτοντα. καὶ τὰ αὐξανόμενα. καὶ τὰ μαραινόμενα. καὶ τὰ μεγάλα, καὶ τὰ σμικρά. καὶ θεραπεύοντα, τὰ μὲν, ἀνυστὰ ἐκθεραπεύειν, τὰ δὲ, μὴ ἀνυστὰ εἰδέναι, διότι οὐκ ἀνυστά. καὶ θεραπεύοντα τοὺς τὰ τοιαῦτα ἔχοντας, ὠφελέειν ἀπὸ τῆς θεραπείης ἐς τὸ ἀνυστόν. Τὰ δὲ προσφερόμενα τοῖσι νοσέουσιν ὧδε χρὴ φυλάσσειν, τά τε ὀρθῶς καὶ τὰ μὴ ὀρθῶς. ἤν τις ἃ δεῖ ξηραίνειν, ὑγραίνῃ. ἢ παχύνειν δέῃ, μὴ προσφέρῃ ἀφ' ὧν δεῖ παχύνειν. ἢ ἃ δεῖ λεπτύνειν, μὴ λεπτύνῃ. ἢ ψύχειν, μὴ ψύχῃ. ἢ θερμαίνειν, μὴ θερμαίνῃ. ἢ σιτεῖν, μὴ σιτῇ, καὶ τὰ λοιπὰ κατὰ τὸν αὐτὸν λόγον τούτοισι. Τὰ δὲ τοιάδε ἀνθρώποισιν ἀπὸ ταὐτομάτου ἐν τοῖσι νούσοισι γίνονται, τά τε κακὰ καὶ τὰ ἀγαθά. πυρέσσοντι μὲν καὶ χολῶντι, ἐν καιρῷ σκεδασθεῖσα ἔξω ἡ χολὴ, ἀγαθόν. ὑπὸ τὸ δέρμα δὲ κεχυμένη καὶ ἐσκεδασμένη, εὐπετέστερα ἔχειν τε τῷ ἔχοντι, καὶ

τῷ ἰωμένῳ

περὶ ἰωμένῳ ἴησθαι. κεχυμένη δὲ καὶ ἐσκεδασμένη, πρὸς ἕν τι τοῦ σώματος προσπεσοῦσα, κακόν. Κοιλίη ταραχθεῖσα ὑπὸ πλευρίτιδος ἐχομένῳ ἢ περιπνευμονίης, ἢ ἐμπύῳ ἐόντι κακόν. πυρέσσοντι δὲ ἢ τρῶμα τετρωμένῳ κοιλίη ἀποξηρανθεῖσα, κακόν. ὑφύδρῳ καὶ σπληνώδει ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ, ταραχθεῖσα ἡ κοιλίη ἰσχυρῶς, ἀγαθόν. ἐρυσίπελας ἢν ἔξω κατακεχυμένον ἔσω τρέπηται, κακόν. ἢν δ' ἔσω κατακεχυμένον, ἔξω τρέπηται, ἀγαθόν. διαῤῥοίῃ δὲ ἐχομένῳ ἰσχυρῇ, ὁ ἔμετος γενόμενος, ἀγαθόν. Γυναικὶ αἷμα ἐμεούσῃ τὰ καταμήνια ῥαγῆναι, ἀγαθόν. ὑπὸ ῥόου δὲ πιεζομένῃ, εὖ τὰς ῥῖνας ἢ ἐς τὸ στόμα μεταπεσεῖν τὸν ῥόον, ἀγαθόν. γυναικὶ ὑπὸ σπασμοῦ πιεζομένῃ ἐκ τόκου, πυρετὸν ἐπιγενέσθαι, ἀγαθόν. καὶ τετάνου ἔχοντος καὶ σπασμοῦ, πῦρ ἐπιγενέσθαι ἀγαθόν. τὰ γὰρ τοιαῦτα δι' οὐδεμίην οὔτε ἀμαθίην οὔτε σοφίην ἰητρῶν, γίνεταί τε καὶ οὐ γίνεται, ἀλλ' ἀπὸ τοῦ αὐτομάτου καὶ ἐπιτυχίης γενόμενά τε ὠφελέει καὶ βλάπτει κατὰ τὸν αὐτὸν λόγον. Ἐπιτυχίη δὲ τὰ τοιάδε οἱ ἰητροὶ ποιέουσιν ἐν τῇ θεραπείῃ ἀγαθά. ἄνω φάρμακον δόντες, καθαίρουσι, καὶ ἄνω καὶ κάτω καλῶς. καὶ γυναικὶ φάρμακον δόντες κάτω χολῆς ἢ φλέγματος, ἐπιμήνια οὐ γινόμενα κατέῤῥηξαν. καὶ σπλῆνα ἔμπυον ἔχοντι, κάτω φάρμακον δόντες ὥς τε χολὴν καὶ φλέγμα καθῆραι, πῦος κάτω ἐκάθηραν ἀπὸ τοῦ σπληνὸς καὶ ἀπήλλαξαν τῆς νόσου. καὶ λιθιῶντι φάρμακον δόντες, τὸν λίθον ἐς τὸν οὐρητῆρα προσέωσαν ὑπὸ βίης τοῦ φαρμάκου, ὥς τε ἐξουρηθῆναι. καὶ πῦον ἔχοντι ἐν τῇ ἄνω κοιλίῃ ἐν φύματι, οὐκ εἰδότες ὅ,τι ἔχει, δόντες ἄνω φάρμακον, ὅ,τι φλέγμα καθαίρει, ἤμεσε τὸ πῦον καὶ ἐγένετο ὑγιής. καὶ ἐκ φαρμάκου ὑποκαθαιρόμενον ἄνω θεραπεύοντες, καταῤῥαγείσης τῆς κοιλίης ἀπὸ ταὐτομάτου τοῦ ἐμέτου, ὑγιᾶ ἐποίησαν. Κακὰ δὲ τάδε ἀπεργάζονται ἀπὸ ἀτυχίης. φάρμακον δόντες ἄνω χολῆς ἢ φλέγματος, φλέβα ἐν τοῖσι στήθεσιν ἔῤῥηξαν ὑπὸ τοῦ ἐμέτου, οὐδὲν ἔχοντος πρόσθεν ἄλγημα ἐν τῷ στήθει φανερόν, καὶ ἐγένετο νοῦσος. Καὶ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἄνω φάρμακον δόντες, κάτω ῥαγεῖσα ἡ κοιλίη, ἐξέτρωσε τὸ ἔμβρυον. καὶ ἔμπυον θεραπεύοντι ἡ κοιλίη ῥυεῖσα, διαφθείρει. καὶ ὀφθαλμοὺς θεραπεύοντι καὶ ὑπαλείψαντι, ὀδύναι γίνονται ἔτι ὀξύτεραι. καὶ ἢν οὕτω τύχῃ, ῥήγνυνται οἱ ὀφθαλμοὶ καὶ ἀμαυροῦνται, καὶ αἰτιῶνται τὸν ἰητρὸν, ὅτι ὑπήλειψε. καὶ λεχοῖ ἐπὶ γαστρὸς ὀδύνης, ἢν δοίη τι ὁ ἰητρὸς καὶ κακῶς σχῇ ἢ καὶ ἀπόλλυται, ὁ ἰητρὸς αἴτιος. σχεδὸν δὲ ὅσα ἀνάγκας ἔχει ὥς τε γίνεσθαι ἐν τοῖσι νουσήμασι καὶ τρώμασι, κακὰ ἐπὶ κακοῖσι, τὸν ἰητρὸν αἰτιῶνται τούτων γινομένων. καὶ τὴν ἀνάγκην τὴν τὰ τοιαῦτα ἀναγκάζουσαν γίνεσθαι οὐ γινώσκουσιν. καὶ ἢν ἐπὶ πυρέσσοντι ἢ τρῶμα ἔχοντι, ἐσελθὼν ἐπὶ προσενέγκας τὸ πρῶτον μὴ ὠφελήσῃ, ἀλλὰ τῇ ὑστεραίῃ κάκιον ἔχῃ, τὸν ἰητρὸν αἰτιῶνται. ἢν δὲ ὠφελήσῃ, τότε δὲ οὐχ ὁμαλῶς ἐπαινέουσι, χρῆν γὰρ πεπονθέναι αὐτόν, δοκέουσι. τὰ δὲ ἕλκεα φλεγμαίνει, καὶ ἐν τῇσι νούσοισιν, ἔστιν ὀδύνας ᾗσι χρὴ γίνεσθαι αὐτοῖσιν, οὐδὲ τὰ τοιάδε ὥς τε μὴ γίνεσθαι. Νεῦρον διακοπὲν, οὐ συμφύει. οὐδὲ κύστις. οὐδὲ τῶν ἐντέρων τι τῶν λεπτῶν. οὐδὲ φλὲψ αἱμόῤῥους. οὐδὲ γνάθου τὸ λεπτόν. οὐδὲ τὸ ἐπὶ τοῦ αἰδοίου δέρμα. Ἀρχὴ δὲ ἰήσιος ἀποδεδειγμένη μὲν οὐκ ἔστιν ἥτις ὀρθῶς ἀρχὴ δεῖ πάσης τῆς τέχνης. οὐδὲ δεύτερον οὐδέν. οὐδὲ μέσον, οὐδὲ τελευτή. ἀλλὰ ἀρχόμεθά τε αὐτῆς, ἄλλοτε λέγοντες, ἄλλοτε ἐργαζόμενοι. καὶ τελευτῶμεν ὡσαύτως. καὶ οὔτε λέγοντες ἀρχόμεθα ἐκ τῶν αὐτῶν λόγων, οὐδ' ἢν περὶ τῶν αὐτῶν λέγωμεν, οὐδὲ εἰς τοὺς αὐτοὺς τελευτῶμεν. καὶ ἐργαζόμενοι κατὰ τὸν αὐτὸν λόγον, οὔτε ἀρχόμεθα ἐκ τῶν αὐτῶν ἔργων, οὔτε τελευτῶμεν εἰς τὰ αὐτά. Εὐχερείη δὲ δεῖ τὰ τοιάδε. ὅταν τις τάμνων ἢ καίων μήτε νεῦρον τάμνῃ ἢ καύσῃ, μήτε φλέβα. καὶ ἢν ἔμπυον καίῃ, ἐπιτυγχάνῃ τοῦ πύου. καὶ τάμνοντα δὲ κατὰ τὸν αὐτὸν λόγον. καὶ κατήγματα συντιθέναι ὀρθῶς. καὶ ὅ,τι ἂν τοῦ σώματος ἐκπέσῃ ἐκ τῆς φύσιος, ὀρθῶς εἰς τὴν φύσιν τότε ἀπωθεῖν. λαβεῖν τε ἃ δεῖ ἰσχυρῶς, καὶ λαμβάνοντα δὲ πιέζειν, καὶ ὅσα ἀτρέμα λαβεῖν τε δεῖ, καὶ λαβόντα μὴ πιέζειν. καὶ ἐπιδέοντα στρεβλὰ μὴ ποιέειν ἐξ εὐθέων. μηδὲ πιέζειν ἃ μὴ δεῖ. καὶ ψαύοντα ὅκου ἂν ψαύῃ, μὴ ὀδύνην παρέχειν ἐκ περισσοῦ. ταῦτα μὲν οὖν δεῖ εὐχερείη. τὸ δὲ τοῖσι δακτύλοισιν εὐσχημόνως λαμβάνειν ἢ καλῶς, ἢ μὴ καλῶς, ἢ μακροῖσιν, ἢ βραχέσιν. ἢ καλῶς ἐπιδεῖν, καὶ ἐπιδεσίας παντοίας, οὐ πρὸς τὴν τέχνην κρίνεται εὐχερείης πέρι, ἀλλὰ χωρίς. Ὁκόσοι ἔμπυοι γίνονται τὸν πλεύμονα, ἢ τὴν ἄνω ἢ τὴν κάτω κοιλίην, ἢ φύματα ἴσχουσιν, εἴτε ἐν τῇ ἄνω κοιλίῃ, εἴτε ἐν τῇ κάτω, ἢ ἐν τῷ πλεύμονι, ἢ ἕλκεα ἔνδοθεν, ἢ αἷμα ἐμέουσιν ἢ πτύουσιν, ἢ ἄλγημά τι ἔχουσιν, ἢ ἐν τοῖσι στήθεσιν ἢ

ἐν τῷ

ἐν τῷ νώτῳ, ταῦτα πάντα ἴσχουσι. τῶν μὲν ἐν τῷ σώματι γινομένων, ἀπὸ χολῆς καὶ φλέγματος. τῶν δὲ ἔξωθεν, ἀπὸ τοῦ ἠέρος ὑπομιγνυμένου τῷ συμφύτῳ θερμῷ. ἀτὰρ καὶ ἀπὸ πόνων καὶ τρωμάτων. καὶ ὁκόσοι μὲν τὸν πλεύμονα ἔμπυοι γίνονται, ἀπὸ τῶνδε γίνονται. Ἢν περιπλευμονίῃ ληφθεὶς μὴ καθαρθῇ ἐν τῇσι κυρίῃσιν ἡμέρῃσιν, ἀλλ' ὑπολειφθῇ ἐν τῷ πλεύμονι πτύαλόν τε καὶ φλέγμα, ἔμπυος γίνεται. καὶ ἢν μὲν αὐτίκα θεραπευθῇ, διαφεύγει ὡς τὰ πουλλά. ἢν δὲ ἀμεληθῇ ἐν τῷ πλεύμονι, διαφθείρεται, ἐνισταμένου τε καὶ σηπομένου, ἑλκοῦταί τε ὁ πλεύμων, καὶ διάπυος γίνεται. καὶ οὐκ ἔτι ἔσω ἕλκει ἐς ἑωυτὸν, ὅτι καὶ ἄξιον λόγου περὶ τροφῆς, ὅτε τι ἀποκαθαίρεται ἀπ' αὐτοῦ ἄνω οὐδὲν, ἀλλὰ πνίγεταί τε καὶ δυσπνοιεῖ ἀεὶ ἔτι μᾶλλον. καὶ ῥέγχει ἀναπνέων, καὶ ἀναπνέει αὐτόθεν ἄνωθεν ἐκ τῶν στηθέων. τέλος δὲ, ἀποφράσσεται ὑπὸ τοῦ πτύσματος, καὶ ἀποθνήσκει.

Γίνεται δὲ καὶ ἔμπυος, καὶ ἢν ἐκ τῆς κεφαλῆς φλέγμα οἱ καταῤῥυῇ ἐς τὸν πλεύμονα. καὶ τὸ μὲν πρῶτον ὡς τὰ πολλὰ λανθάνει ὑποῤῥέον. καὶ βῆχά τε παρέχει λεπτήν. καὶ τὸ σίαλον πικρότερον ὀλίγῳ τοῦ εἰωθότος. καὶ ἄλλοτε θέρμη λεπτή. ὁκόταν δὲ χρόνος προΐῃ, τρηχύνεταί τε ὁ πλεύμων καὶ ἑλκοῦται ἔνδοθεν ὑπὸ τοῦ φλέγματος, ἐνισταμένου καὶ σηπομένου. καὶ βάρος παρέχει τοῖσι στήθεσι. καὶ ὀδύνην ὀξείην, πρόσω καὶ ὀπίσω. θέρμαι τε ὀξύτεραι ἐμπίπτουσιν ἐς τὸ σῶμα. καὶ πλεύμων ἀπὸ τῆς θερμασίης ἄγει ἐς ἑωυτὸν ἐκ παντὸς σώματος φλέγμα, καὶ μάλιστα ἐκ τῆς κεφαλῆς. ἡ δὲ κεφαλὴ θερμαινομένη ἐκ τοῦ σώματος. καὶ τότε σηπόμενον, πτύει ὑπόπαχυ. ὅσῳ δ' ἂν ὁ χρόνος προΐῃ, εἰλικρινὲς πτύει πύος. καὶ οἱ πυρετοὶ ὀξύτεροι γίνονται. καὶ ἡ βὴξ πυκνὴ καὶ ἰσχυρή. καὶ ἡ ἀσιτίη διακναίει. καὶ τέλος, ἡ κοιλίη ἡ κάτω ταράσσεται. ταράσσεται δὲ ὑπὸ τοῦ φλέγματος. τὸ δὲ φλέγμα ἀπὸ τῆς κεφαλῆς ὑποβαίνει. οὗτος ὅταν ἐς τοῦτο ἀφίκηται, ἀπόλλυται καθάπερ εἴρηται ἐν τοῖσιν ἔμπροσθεν, διαπύου τοῦ πλεύμονος καὶ σαπροῦ γινομένου. ἢ περὶ γαστρὸς ῥυέσιος περὶ κάτω.

Γίνεται δὲ καὶ ἀπὸ τῶνδε ἔμπυος ὁ πλεύμων. ὁκόταν τι τῶν ἐν αὐτῷ φλεβίων ῥαγῇ. ῥήγνυται δὲ ὑπὸ πόνων. καὶ ὅταν ῥαγῇ, αἱμοῤῥοιεῖ τὸ φλέβιον. κἢν μὲν παχύτερον ἔῃ, μᾶλλον. ἢν δὲ λεπτότερον, ἧσσον. καὶ τὸ μὲν, παραυτίκα τοῦ αἵματος πτύει. τὸ δὲ, ἢν μὴ στεγνωθῇ ἡ φλὲψ, χεῖται ἐς τὸν πλεύμονα καὶ σήπεται ἐν αὐτῷ. καὶ ὅταν σαπῇ, πύον ποιεῖ. προϊόντος δὲ τοῦ χρόνου, ἄλλοτε πύον εἰλικρινές. ἄλλοτε πύον ὕφαιμον. ἄλλοτε δὲ αἷμα. καὶ ἢν μᾶλλον πληρωθῇ τὸ φλέβιον, ἀπεμεῖ τὸ πλήρωμα ἀφ' ἑωυτοῦ ἄλλου τοῦ αἵματος. τό, τε πύον πτύεται παχὺ, ὑπὸ τοῦ προσγινομένου καὶ ἐνσηπομένου φλέγματος. οὗτος ἢν ὑποληφθῇ ἀρχομένου τοῦ νουσήματος πρὶν ἢ τὴν φλέβα αἱμοῤῥοεῖν καὶ χαλᾶν ἰσχυρῶς, πρίν τε λεπτυνθῆναι καὶ κλινοπετέα γενέσθαι, καὶ τὴν κεφαλὴν ἄρξασθαι φθίνειν, καὶ τὸ ἄλλο σῶμα τήκεσθαι, ὑγιὴς ἀπὸ τῆς τοιῆσδε νούσου γίνεται. ἢν δ' ἀμεληθῇ καὶ ταῦτα καταλάβῃ, ὥστε παθεῖν ἢ πάντα ἢ τὰ πλεῖστα, ἀπόλλυται. ἀπόλλυται δὲ οὗτος ἢ ὑπὸ τῶν αὐτῶν ἃ εἴρηκα ἔμπροσθεν, ἢ ὑπὸ ἐμέτου, αἵματος πολλοῦ πολλάκις ἐμεομένου. ἢν δὲ τὸ φλέβιον παντάπασι μὲν μὴ διαῤῥαγῇ, σπάδων δ' ἐν αὐτῷ ἐγγένηται, γίνεται δὲ μάλιστα οἷον κιρσός. ὃ καὶ παραυτίκα μὲν ὅταν γένηται, ὀδύνην τινὰ παρέχει λεπτὴν, καὶ βῆχα ξηρήν. ἢν δὲ χρονίσῃ τε καὶ ἀμεληθῇ, διαδιδοῖ αἵματος μὲν πρῶτον ὀλίγον καὶ ὑπομέλαν. ἔπειτα δὲ ἔτι πλεῖόν τε καὶ εἰλικρινέστερον. εἶτα πύον. καὶ πάσχει τε ὅσα περ ἐν τοῖσιν ἔμπροσθεν εἴρηται. συμφέρει δὲ τοῖσι τοιούτοισιν ἢν κατ' ἀρχὰς λάβῃς θεραπεύειν. ὥστε αἴτε φλέβες διειμέναι ἐκ τῶν χειρῶν. καὶ δίαιτα, ὑφ' ἧς ἔσται ὡς ξηρότατός τε καὶ ἀναιμότατος. τὸν αὐτὸν δὲ τρόπον τοῦτον, καὶ τὰ ἐν τῷ πλευρῷ φλέβια πάσχει, ὅσα ἔσω ἀκρόπλοά εἰσιν. ὁκόταν οὖν πονήσῃ, κιρσοειδέα τε γίνεται, καὶ μετέωρα εἴσω. καὶ ἢν μὲν ἀμεληθῇ, τάδε πάσχει. ἐκρήγνυταί τε καὶ πτύουσί τε ἀπὸ σφέων, αἷμα. καὶ ἐνίοτε καὶ ἐμέουσι, καὶ ἔμπυοι γίνονται καὶ ὡς τὰ πουλλὰ διεφθάρησαν. ἢν δὲ θεραπευθῶσιν ἀρχομένου τοῦ νουσήματος, αὖθις κατὰ χώρην ἱζάνουσιν εἰς τὸ πλευρὸν τὰ φλέβια, καὶ γίνεται ταπεινά. καὶ ὁ μὲν πλεύμων ἀπὸ τούτων ἔμπυος γίνεται, καὶ τὰ ἀπ' αὐτοῦ πάσχουσί τε τὰ τοιαῦτα, καὶ τελευτῶσιν οὕτω. τὴν δὲ ἄνω κοιλίην, ἔμπυοι γίνονται πολλαχῶς. καὶ γὰρ ὅταν φλέγμα ῥυῇ ἔκ τε κεφαλῆς, ἁλὲς ἀθρόον ἐς τὴν ἄνω κοιλίην, σήπεταί τε καὶ γίνεται πύος. σήπεται δὲ, ἐν ἡμέρῃσι μάλιστα, μιῇ καὶ εἰκοστῇ. τότε οὖν διασείεται καὶ ἐγκλυδάζεται, τὸ πύος ἐς τὰ πλευρὰ προσπίπτον. οὗτος ἢν καυθῇ ἢ τμηθῇ, πρὶν χρονίσαι τὸ πύος, ὑγιὴς γίνεται ὡς τὰ πολλά. γίνονται δὲ κατὰ τὴν ἄνω κοιλίην, ἔμπυοι, καὶ ἐκ πλευρίτιδος ὁκόταν ἰσχυρὴ

ταυρ ἰσχυρὴ γένηται. καὶ ἐν τῇσι κυρίῃσιν ἡμέρῃσι μήτε σαπῇ μήτε πτυσθῇ, ἀλλ' ἑλκωθῇ τὸ πλευρὸν ὑπὸ τοῦ προσπεπηγότος φλέγματος, καὶ χολῆς. καὶ ὁκόταν ἕλκος γένηται, ἀναδιδοῖ ἀπὸ ἑωυτοῦ πύος. καὶ ἐκ τῶν πλησίον χωρίων ὑπὸ θερμασίης ἄγει ἐφ' ἑωυτὸ φλέγμα. καὶ τοῦτο ὁκόταν σαπῇ, πτύεται πύος. ἐνίοτε δὲ καὶ ἐκ τῶν φλεβίων διαδιδοῖ ἐς τὸ ἕλκος, αἷμα. καὶ γίνεται σηπομένου πύος. οὗτος ἢν μὲν παραχρῆμα ὑποληφθῇ, ὑγιὴς γίνεται ὡς τὰ πολλά. ἢν δὲ ἀμεληθῇ, διαφθείρεται. γίνονται δὲ ἔμπυοι, καὶ ἢν φλέγμα ἐκ τῆς κεφαλῆς ῥυῇ, πρὸς τὸ πλευρὸν προσπαγῇ καὶ σαπῇ. τότε γὰρ τὸ πλευρὸν ὡς τὰ πολλὰ καίεται καὶ πάσχει, ὅσαπερ ἐκ πλευρίτιδος ὅταν ἔμπυος γένηται. γίνονται δὲ καὶ ὁκόταν ὑπὸ ταλαιπωρίης, ἢ ἐκ γυμνασίης, ἢ ἄλλως πως ῥαγῇ, ἢ ἔμπροσθεν ἢ ὄπισθεν. ῥαγῇ δὲ, ὥστε μὴ παραυτίκα πτύσαι αἷμα, ἀλλ' ἐν τῇ σαρκὶ σπάδων γένηται. καὶ ἡ σὰρξ σπαδεῖσα, εἰρύσῃ ἰκμάδα ὀλίγην, καὶ γένηται ὑπόπελιδνος. καὶ παραυτίκα μὲν μὴ αἰσθάνηται ὁ παθὼν ὑπὸ ῥώμης καὶ εὐεξίης. εἰ δὲ καὶ αἰσθάνεται, μηδὲν πρᾶγμα ἡγήσεται. ἔτος ὅταν καταλάβῃ ὥστε αὐτὸν ὑπὸ πυρετῶν ληφθέντα λεπτυνθῆναι, ἢ ποσίων, ἢ λαγνείης, ἢ ἄλλου του, ἡ σὰρξ ἡ τετρωμένη, ὑποξηραίνεταί τε καὶ ὑποθερμαίνεται, καὶ ἕλκει ἰκμάδα ἐς ἑωυτὴν, ἀπὸ τῶν πλησίον καὶ φλεβῶν, καὶ σαρκῶν. ὅταν δὲ εἰρύσῃ, οἰδίσκεταί τε καὶ φλεγμαίνει, καὶ ὀδύνην παρέχει λεπτήν. καὶ βῆχα ἀραιήν τε καὶ ξηρὴν τοπρῶτον. ἔπειτα ἤδη μᾶλλον ἕλκει τε ἐς ἑωυτὴν, καὶ ὀδύνην παρέχει ἰσχυροτέρην, καὶ βῆχα πυκνοτέρην. καὶ πτύει τὸ μὲν πρῶτον, ὑπόπυον. ἐνίοτε δὲ, ὑποπέλιδνον καὶ ὕφαιμον. ὅσῳ δὲ ἂν ὁ χρόνος προΐῃ, ἕλκει τε μᾶλλον ἐς ἑωυτὴν καὶ σήπει. καὶ αὐτῆς τῆς σαρκὸς, ὅσον πελιδνὸν ἐγένετο τὴν ἀρχὴν, τοῦτο πύος γίνεται. καὶ ὀδύνην παρέχει ὀξείην. καὶ πυρετὸν. καὶ βῆχα, πολλήν τε καὶ πυκνήν. καὶ τὸ πτύσμα εἰλικρινὲς πτύει πύος. ἢν δὲ χρονίσῃ τὸ πύος ἐν τῇ κοιλίῃ, διαθερμαίνεται ὑπ' αὐτοῦ τὸ σῶμα πᾶν, μάλιστα δὲ τὰ ἐγγυτάτω. θερμαινομένου δὲ τοῦ σώματος, μάλιστα ἐκτήκεται τὸ ὑγρόν. καὶ τὸ μὲν ἀπὸ τῶν ἄνω, ἐς τὴν ἄνω κοιλίην μάλιστα συῤῥεῖ, καὶ γίνεται πύος, πρὸς τῷ ἐνεόντι. τὸ δὲ καὶ ἐς τὴν κάτω κοιλίην ῥεῖ. καὶ ἐνίοτε ταράσσεται ἡ κοιλίη ὑπ' αὐτοῦ, καὶ διέφθειρε τὸν ἄνθρωπον. τὰ γὰρ ἐσιόντα τῶν σιτίων, διαχωρέει ἄπεπτα. καὶ τροφὴ ἀπ' αὐτῶν οὐ γίνεται τῷ σώματι. καὶ ἡ τοῦ πτύσματος ἄνω κάθαρσις, οὐχ ὁμαλὴ γίνεται. ἅτε διατεθερμασμένης τῆς κοιλίης καὶ ἄγουσης πάντα κάτω, ἐφ' ἑωυτήν. καὶ ὑπὸ μὲν τοῦ πτύσματος, πνίγεταί τε καὶ ῥέγχει οὐ καθαιρόμενος. ὑπὸ δὲ τῆς γαστρὸς ῥεούσης, ἐξασθενέει, καὶ ὡς τὰ πουλλὰ διαφθείρεται. μάλιστα δὲ ἐν τῇσι τοιαύτῃσι τῶν νούσων τὸ ῥεῦμα τοῦτο ἡ κεφαλὴ παρέχει, ἅτε κοίλη ἐοῦσα, καὶ ἄνω ὑπερκειμένη. ὁκόταν γὰρ διαθερμανθῇ ὑπὸ τῆς κοιλίης, ἕλκει οὖν ἐς ἑωυτὴν ἐκ τοῦ σώματος, τὸ λεπτότατον τοῦ φλέγματος. ὅταν δὲ ἁλισθῇ ἐν αὐτῇ, ἀποδιδοῖ πάλιν ἀλὲς καὶ παχὺ, ὥσπερ εἴρηται. καὶ αὐτοῦ τὸ μὲν, ἐς τὴν ἄνω κοιλίην καταῤῥεῖ. τὸ δὲ, ἐς τὴν κάτω. ὁκόταν οὖν ἄρξηται ἡ κεφαλὴ ῥεῖν, καὶ τὸ ἄλλο σῶμα τήκεσθαι, οὐκ ἔτι ὁμαλῶς, οὐδὲ καυθέντες περιγίνονται. κρατέει γὰρ πρὸς μὲν τοῦ πύους τὰ ὑπεῤῥέοντα κακὰ ἢ τὰ ἀποῤῥέοντα. αἱ δὲ σάρκες τηκόμεναι μᾶλλον ὑπὸ τῶν καυμάτων, ἢ τρεφόμεναι, ὑπὸ τῶν εἰσιόντων. οὗτοι ὁκόσοι τοιουτότροπα νουσήματα ἴσχουσι. καὶ ἀπὸ τούτων ἔνιοι μὲν, δι' ὀλίγου ἀπόλλυνται. ἔνιοι δὲ, πουλὺν χρόνον ἕλκουσι. διαφέρει γὰρ σῶμα σώματος. καὶ ἡλικίη ἡλικίης. καὶ πάθημα παθήματος. καὶ ὥρη ὥρης ἐν ᾗ ἂν νοσέωσι. καὶ οἱ μὲν, ταλαιπωρότεροί εἰσιν ἐν τῇσι νούσοισιν. οἱ δὲ, παντάπασι ταλαιπωρέειν ἀδύνατοι. οὐκ ὦν ἔστι τὸ ἀκριβὲς τοῦ χρόνου ἐν ᾧ ἀπόλλυνται, οὔτε εἰ πολλὸν, οὔτ' εἰ ὀλίγον. οὔτε γὰρ οὗτος ὁ χρόνος ἀκριβὴς ὃν ἔνιοι λέγουσιν, ὡς τὰ πολλὰ, οὐδὲ αὐτὸ τοῦτο ἐκπύει. διαφέρει γοῦν καὶ ἔτος ἔτεος. καὶ ὥρη ὥρης. ἀλλ' ἤν τις θέλῃ περὶ αὐτῶν ὀρθῶς γινώσκειν καὶ λέγειν, γνώσεται ὧδε πᾶσαν ὥρην, καὶ ἀπαλλυμένους καὶ περιγενομένους καὶ πάσχοντας ἅπερ ἂν πάσχωσι. τὴν δὲ κάτω κοιλίην, ἔμπυοι γίνονται. μάλιστα μὲν, ὅταν φλέγμα ἢ χολὴ συστῇ ἁλὲς μεσηγὺ τῆς σαρκὸς καὶ τοῦ δέρματος. γίνονται δὲ καὶ ἀπὸ σπασμῶν. καὶ ὅταν φλέβιον σπασθὲν ῥαγῇ, τὸ αἷμα ἐκχυθὲν, σήπεται καὶ ἐμπυΐσκει. ἢν δὲ ἡ σὰρξ σπασθῇ ἢ φλασθῇ, ἕλκει τε ἐκ τῶν παρ' ἑωυτῇ φλεβίων αἷμα, καὶ τοῦτο σήπεται καὶ ἐμπύει. τούτοισιν ἢν μὲν ἔξω ἀποσημήνῃ, καὶ πύος ἐξέλθῃ, ὑγιέες γίνονται. ἢν δὲ ἐκραγῇ αὐτόματον ἔσω, ἀπόλλυνται. κεχυμένου δὲ πύου ἐν τῇ κάτω κοιλίῃ, ὥσπερ ἐν τῇ ἄνω εἴρηται ἐγγίνεσθαι, οὐκ ἂν δύναιτο ἐγγίνεσθαι, ἀλλ' ὥσπερ μοι εἴρηται ἐν χιτῶσί τε καὶ ἐν φύμασιν ἐγγίνεται. καὶ ἢν μὲν ἔνδον ἀποσημήνῃ, δυνατὸς

μένῃ, δυνατέει τις γνῶναι. ὅτε γὰρ διασείσαντα δεῖν εἰδέναι. γινώσκεται δὲ μάλιστα τῇ ὀδμῇ ἔνθα ἔῃ. καὶ ἢν περιπλάσῃς τῇ κεραμίτιδι, ἢ ἄλλῳ τῳ τοιούτῳ, ἀποξηραίνει δι' ὀλίγου.

Ἐρυσίπελας δὲ ἐν τῷ πλεύμονι γίνεται, ὅταν ὑπερξηρανθῇ ὁ πλεύμων. ὑπερξηραίνεται δὲ καὶ ὑπὸ καύματος, καὶ ὑπὸ πυρετῶν, καὶ ὑπὸ ταλαιπωρίης καὶ ἀκρασίης. καὶ ὁκόταν ὑπερξηρανθῇ, ἕλκει τοῦ αἵματος πλεῖστον ἐφ' ἑωυτόν. μάλιστα μὲν καὶ πλεῖστον ἐκ τῶν μεγάλων φλεβῶν. αὗται γὰρ αὐτῷ ἐγγυτάταί εἰσι, καὶ ἐπίκεινται ἐπ' αὐτῷ. ἕλκει δὲ καὶ ἐκ τῶν ἄλλων τῶν πλησίον. ἕλκει δὲ τὸ λεπτότατον καὶ ἀσθενέστατον. ὁκόταν δὲ ἐρύσῃ, πυρετὸς ἀπ' αὐτοῦ γίνεται ὀξύς. καὶ βὴξ ξηρή. καὶ πληθώρη ἐν τοῖσι στήθεσι. καὶ ὀδύνη ὀξείη ἐν τοῖσιν ἔμπροσθεν καὶ ὄπισθεν. μάλιστα δὲ κατὰ τὴν ῥάχιν, ἅτε τῶν φλεβῶν τῶν μεγάλων διαθερμαινομένων. καὶ ἐμέουσιν, ἄλλοτε μὲν, ὕφαιμον. ἄλλοτε δὲ, πελιδνόν. ἐμέουσι δὲ καὶ φλέγμα καὶ χολήν. καὶ ἐκψυχοῦσι πυκνά. ἐκψυχοῦσι δὲ, διὰ τοῦ αἵματος τὴν μετάστασιν ἐξαπίνης γινομένην. καὶ μάλιστα διασημαίνει τοῦτο, ὅταν ἐπὶ τοῦ πλεύμονος ἐπιγένηται ἐρυσίπελας. καὶ τοῦ πυρετοῦ ἐκ συνεχέος λῆψις. τούτῳ εἰ μὲν δύο ἢ τριῶν ἢ τεττάρων τὸ πλεῖστον ἡμερέων διαχυθῇ καὶ μεταστῇ τὸ ἔνδον ἐς τὸ ἔξω, ὑγιὴς γίνεται ὡς τὰ πολλά. ἢν δὲ μὴ διαχυθῇ καὶ μεταστῇ, ἐνσήπεταί τε καὶ ἔμπυος γίνεται καὶ ἀπόλλυται. ἀπόλλυται δὲ δι' ὀλίγου, ἅτε τοῦ πλεύμονος ἐμπύου ἐόντος ὅλου καὶ σαπροῦ. ἢν δὲ ἔξω κατακεχυμένον, εἴσω τράπηται καὶ λάβηται τοῦ πλεύμονος, τούτου οὐδεμίη ἐλπὶς περιγενέσθαι. ὅταν γὰρ προαπεξηραμμένος ὁ πλεύμων, εἰ ῥύσῃ ἐς ἑωυτὸν, οὐκ ἂν ἔτι μεταστάιη, ἀλλὰ παραχρῆμα ὑπὸ τοῦ καύματος καὶ τῆς ξηρασίης, οὐκ ἔτι δέχεται οὐδὲν, ὅτε ἄνω ἀναδιδοῖ οὐδὲν, ἀλλὰ διέφθειρε.

Φῦμα δὲ γίνεται ἐν τῷ πλεύμονι ὧδε. ὁκόταν φλέγμα ἢ χολὴ συστραφῇ, σήπεται. καὶ ἕως μὲν ἂν ἔτι ὠμότερον ἔῃ, ὀδύνην τε παρέχει λεπτήν. καὶ βῆχα ξηρήν. ὁκόταν δὲ πεπαίνηται, ὀδύνη γίνεται καὶ πρόσθεν καὶ ὄπισθεν ὀξείη. καὶ θέρμαι λαμβάνουσι καὶ βὴξ ἰσχυρή. καὶ ἢν μὲν ὅτι τάχιστα πεπανθῇ, καὶ ῥαγῇ καὶ ἄνω τράπηται τὸ πύον, καὶ ἀναπτυσθῇ πᾶν, καὶ κοιλίη ἐν ᾗ τὸ πύον περιαπέσηται καὶ ἀναξηρανθῇ, ὑγιὴς γίνεται παντελῶς. ἢν δὲ ῥαγῇ μὲν ὅτι τάχιστα καὶ πεπανθῇ καὶ ἀνακαθαίρηται, ἀποξηρανθῆναι δὲ παντάπασι μὴ δύνηται, ἀλλ' αὐτὸ ἀφ' ἑωυτοῦ τὸ φῦμα ἀναδιδοῖ τὸ πύον, ὀλέθριον τοῦτο. καὶ ἀπὸ τῆς κεφαλῆς δὲ καὶ τοῦ ἄλλου σώματος φλέγμα καταῤῥέον ἐς τὸ φῦμα, σήπεταί τε καὶ πύον γίνεται καὶ πτύεται, δι' οὗ ἐφθάρη. διαφθείρεται δὲ ὑπὸ γαστρὸς ῥύσιος, ἀφ' ὧν περ καὶ ἐπὶ τῶν πρόσθεν εἴρηται. λεαινομένου τε αὐτοῦ καὶ φρονέοντος, πάντα χρήματα ὁμαλῶς ὡς καὶ ἐν τῷ πρὶν χρόνῳ, ἀποξηραίνεταί τε καὶ ἀποψύχεται. καὶ συμμύει τὰ φλέβια τὰ ἐν τῷ σώματι πάντα, ἅτε τοῦ αἵματος ἐξ αὐτέων ἐκκεκαυμένου ὑπὸ πυρετοῦ. ἐνίοτε δὲ ὑπὸ χρόνου τε πλήθεος, καὶ μεγέθεος τῆς νούσου, καὶ τῶν ἐνεόντων κακῶν, καὶ τῶν προσεπιγινομένων. ἢν δὲ μὴ δύνηται πολλοῦ χρόνου ῥαγῆναι, μήτε ἀπὸ ταὐτομάτου, μήτε ὑπὸ φαρμάκων, τήκεται ὁ ἄνθρωπος ὑπὸ ὀδυνέων ἰσχυρῶν, καὶ ἀσιτίης, καὶ βηχὸς, καὶ πυρετῶν, καὶ ὡς τὰ πολλὰ διαφθείρεται. ἢν δὲ ἤδη λελεπτυσμένῳ καὶ κλινοπετέϊ ἐόντι ῥαγῇ τὸ πύον, οὐδ' οὕτω μάλα ἀναφέρουσιν, ἀλλὰ διαφθείρονται πρότω τοιῶδε. ἢν δὲ ῥαγῇ μὲν ὅτι τάχιστα καὶ πεπανθῇ, πεπανθὲν δὲ ἐκχυθῇ ἐπὶ τὰς φρένας τὸ πολλὸν αὐτοῦ, τὸ παραυτίκα δοκέει μὲν ῥάων εἶναι. προϊόντος δὲ τοῦ χρόνου, ἢν μὲν αὖ ἀναπτύσῃ πᾶν, καὶ ἡ κοιλίη, ἐν ᾗ τὸ πύον ἐνῆ, περιαπέσῃ τε καὶ ἀναξηρανθῇ, ὑγιὴς γίνεται. ἢν δὲ ὅ, τε χρόνος πλέων γένηται, καὶ αὐτὸς ἀσθενέστερος, καὶ ἀναπτύσαι μὴ δύναται, ἀλλὰ καυθῇ ἢ τμηθῇ καὶ τὸ πύον ἐξέλθῃ, παραυτίκα μὲν καὶ οὕτω δή τι δοκέει ῥάων γεγονέναι. προϊόντος δὲ τοῦ χρόνου, διαφθείρεται ὑπὸ τῶν αὐτῶν, ὑφ' ὧν περ καὶ ἐν τῇ πρώτῃ εἴρηται.

Ἐν δὲ τῷ πλευρῷ, γίνεται μὲν φύματα, καὶ ἀπὸ φλέγματος καὶ ἀπὸ χολῆς κατὰ τὸν αὐτὸν λόγον τοῖσιν ἐν τῷ πλεύμονι. γίνεται δὲ καὶ ἀπὸ τῶν πόνων, ὁκόταν τι τῶν φλεβίων σπασθὲν ῥαγῇ. μὴ ῥαγῇ δὲ παντελῶς, ἀλλὰ σπάδιον ἐν αὐτῷ γένηται. ἢν μὲν οὖν ῥαγῇ, παραυτίκα τὸ αἷμα τὸ ἐκχυθὲν ἐκ τοῦ φλεβίου, σήπεταί τε καὶ ἐκπυεῖ. εἰ δὲ σπάδιον ἐν τῷ φλεβίῳ γένηται, τοῦτο κατ' ἀρχὰς μὲν, ὀδύνην τε παρέχει καὶ σφύζει. προϊόντος δὲ τοῦ χρόνου, διαδιδοῖ ἡ φλὲψ τοῦ αἵματος ἐς τὴν σάρκα, καὶ τοῦτο σηπόμενον ἐν τῇ σαρκὶ, πύος γίνεται. κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ ἡ σὰρξ ἢν μὲν μᾶλλον πονέσῃ, πλέον τε τοῦ αἵματος ἕλκει ἐς ἑωυτὴν, ἐκ τῶν ἐγγυτάτω φλεβῶν, καὶ παραχρῆμα ἐκπυεῖ, ἢν δὲ ἧσσον πονέσῃ, χολαίτερόν τε καὶ ἕλκει καὶ ἐκπυεῖ.

ἐνίοισι

ἐνίοισι δὲ ὁκόταν ἀσθενέα γένηται τὰ σπάσματα ἐν τῇσι σαρξὶν, ἢ ἐν τοῖσι φλεψὶν, οὐκ ἐκπυΐσκεται, ἀλλὰ γίνεται ἀλγήματα πολυχρόνια, καὶ καλέουσι ῥήγματα. καὶ ὁκόσα μὲν ἐν τῇ σαρκὶ γίνεται, ὧδε γίνεται. ὁκόταν ἡ σὰρξ πονέσῃ τι, ἢ σπασθεῖσα, ἢ πληγεῖσα, ἢ ἄλλο τι παθοῦσα, γίνεται, ὥσπερ προεῖπον, πελιδνὴ, οὐκ εἰλικρινεῖ αἵματι, ἀλλὰ λεπτῷ τε καὶ ὑδαρεῖ, καὶ τούτῳ ὀλίγῳ. ὅταν δὲ ὑπερξηρανθῇ μᾶλλον τοῦ εἰωθότος, διαθερμαίνεταί τε καὶ ὀδύνην παρέχει, καὶ ἕλκει ἐπὶ ἑωυτὴν ἀπὸ τῶν φλεβίων καὶ σαρκῶν τῶν πλησίον τὸ ὑγρόν. καὶ ὁκόταν ὑπερυγρανθῇ, καὶ ὑπὲρ αὐτὸ τὸ ὑγρὸν ὑπερθερμανθῇ ὑπὸ αὐτῆς τῆς σαρκὸς, σκίδναται ἀνὰ τὸ σῶμα πᾶν, οἷόν περ εἰρύσθη. καὶ μᾶλλον δή τι σκίδναται ἐς τὰς φλέβας ἢ ἐς τὰς σάρκας. ἕλκουσι γὰρ αἱ φλέβες μᾶλλον τῶν σαρκῶν. ἕλκουσι δὲ καὶ αἱ σάρκες. ὁκόταν δὲ ἐπὶ πολλὸν ὑγρὸν, τὸ ἐν τῷ σώματι, ὀλίγον τὸ ἀπὸ τῆς σαρκὸς ἑλκυσθῇ, ἄδηλον γίνεται καὶ ἀνώδυνον. καὶ αὐτίκα νενοσηκότος, γίνεται ὑγιὲς τῷ χρόνῳ. ἢν δὲ διαθερμανθῇ τε μᾶλλον ἡ σὰρξ, καὶ εἰρύσῃ πλέον τὸ ὑγρὸν, ὀδύνην παρέχει. καὶ ὅπῃ ἂν τοῦ σώματος ἀπ' αὐτῆς ὁρμήσῃ καὶ καταστηρίξῃ, ὀδύνην παρέχει ὀξείην. καὶ δοκέουσιν ἔνιοι αὐτοῖσι τὸ ῥῆγμα μεθιστάναι. τὸ δὲ, οὐκ ἀνυστόν. ἐγγυτάτω δὲ ἕλκεός ἐστιν ὁκόσα τοιαῦτα καὶ ἄλλα. τὸ ἀπὸ τῆς σαρκὸς ὑγρὸν, ἀΐσσει διὰ τῶν φλεβίων. ὅταν δὲ διαθερμανθῇ τε καὶ παχυνθῇ, καὶ γένηται πλέον, καὶ ὀδύνην παρέχει, ἔστ' ἂν γένηται ὅμοιον τῷ ἄλλῳ ὑγρῷ κατὰ λεπτότητα καὶ ψυχρότητα. ὁκόσα δὲ ἐν τοῖσι φλεβίοισι γίνεται, αὐτὸ μὲν τὸ φλέβιον ὁκόσον ἐσπᾶσται, κατὰ χώρην μένει. ὅταν δὲ σπασθῇ, σπᾶται δὲ ὑπὸ τόνου καὶ βίης, γίνεται οἷον κιρσός. διαθερμαίνεται δὲ καὶ ἕλκει ἐπὶ ἑωυτὸν, νοτίδα τινὰ ὑγρήν. ἡ δὲ νοτίς ἐστιν ἀπὸ χολῆς καὶ φλέγματος. καὶ ὁκόταν μιχθῇ τό, τε αἷμα καὶ τὸ ὑγρὸν, τὸ ἀπὸ τῆς σαρκὸς, παχύνεται τὸ αἷμα καὶ πολλαπλασίως αὐτὸ ἑωυτοῦ ταύτῃ, ᾗ ἂν ἡ φλὲψ τυγχάνῃ ἐσπασμένη, καὶ νοσωδέστερον γίνεται καὶ στασιμώτερόν τι ἐπὶ πλέον. καὶ ὁκόταν πλέον γένηται, μετανέσῃ τὸ πλήρωμα, ᾗ ἂν τύχῃ. καὶ ὀδύνην παρέχει ὀξείην, ὥστε ἐνίοισι δοκέειν τὸ ῥῆγμα ἑωυτοῖσι μεθιστάναι. καὶ ἢν τύχῃ ὥστε ἐς τὸν ὦμον μεθιστάναι, βάρος τε ἐν τῇ χειρὶ παρέχει, καὶ νάρκην καὶ νωθείην. καὶ ἢν μὲν ἐς τὴν φλέβα σκιμφθῇ, ἢ ἐς τὸν ὦμόν τε καὶ τὸν νῶτον τείνῃ, παύεται ἡ ὀδύνη παραχρῆμα ὡς τὰ πολλά. γίνεται δὲ σπάσματα καὶ ἀπὸ πόνων καὶ πτωμάτων, καὶ ἀπὸ πληγῆς, καὶ ἤν τις ἄχθος μεῖζον αἴρηται, καὶ ἀπὸ δρόμων καὶ πάλης, καὶ τῶν τοιούτων πάντων. ὁκόσοι δὲ ἀπὸ τρωμάτων ἔμπυοι γίνονται, ἢ ὑπὸ δόρατος, ἢ ἐγχειριδίου, ἢ τοξεύματος ἔσω τρωθῶσι, τέως μὲν ἢν ἔχῃ τὸ ἕλκος ἔξω ἀναπνοὴν, ἀνὰ τὸ ἀρχαῖον τρῶμα, ταύτῃ τε τὸ ψυχρὸν ἐπάγεται ἐφ' ἑωυτό. καὶ τὸ θερμὸν ἀφ' ἑωυτοῦ ταύτῃ ἀφίησι, καὶ ἀποκαθαίρεται εὐκόλως τὸ πῦον καὶ δι' ἤν τι ἄλλο. καὶ ἢν μὲν ὑγιανθῇ τό, τε εἴσω καὶ τὸ ἔξω ὁμοῦ, ὑγιὴς γίνεται παντελῶς. ἢν δὲ τὸ μὲν ἔξω ὑγιανθῇ, τὸ δὲ ἔσω μὴ ὑγιανθῇ, ἔμπυος γίνεται. καὶ ἢν ὑγιανθῇ μὲν ὁμοῦ καὶ τὸ ἔσω καὶ τὸ ἔξω, ἡ δὲ οὐλὴ ἔσω ἀσθενὴς γένηται καὶ τρηχείη καὶ πελιδνὴ, ἀνελκοῦται ἐνίοτε, καὶ ὧδε ἔμπυος γίνεται. ἀνελκοῦται δὲ καὶ ἤν τι πονέσῃ πλέον, καὶ ἢν λεπτυνθῇ, καὶ ἢν φλέγμα ἢ χολὴ πρὸς τῇ οὐλῇ προσπαγῇ. καὶ ἢν νούσῳ ἑτέρῃ ληφθεὶς λεπτυνθῇ. ὅταν δὲ γένηται ἕλκος, ἤν τε οὕτως, ἤν τε προσυμφυῇ τὸ ἔξω τοῦ ἔσω, ὀδύνην τε παρέχει ὀξείην, καὶ βῆχα, καὶ πυρετόν. καὶ τήν τε ψύξιν ἐπάγεται αὐτὸ ἑωυτῷ τὸ ἕλκος, διὰ τὸ πλέον τε θερμότερον εἶναι. καὶ αὐτὸ ἀφ' ἑωυτοῦ ἀποπνέει τὸ θερμὸν, καὶ τὸ πῦον ἀποκαθαίρεται. καὶ προσεπιτρίβεταί τε διὰ πλείονος, καὶ σχολαιότερον ὑγιαίνεται. ἐνίοτε δὲ, οὐδ' ὑγιαίνεται. ἡ γὰρ σὰρξ, τό, τε ἕλκος ὑπὸ τοῦ καύματος τοῦ ἐν τῷ σώματι ἕψεται, καὶ ὑπερυγραίνεται, ὥστε μὴ δύνασθαι μήτε ξηρανθῆναι, μήτε σαρκοφυῆσαι, μήτε ὑγιανθῆναι. ἀλλ' ὁκόταν ὁ χρόνος προΐῃ, τελευτᾷ πάσχων τὰ τοιαῦτα, ἃ καὶ ἐν τῇ προόδῳ εἴρηται. ἢν δὲ τύχῃ ὥστε τρωθῆναί τι τῶν φλεβίων τῶν παχυτέρων, καὶ ἔσω ῥυῇ τὸ αἷμα καὶ σαπῇ, ἔμπυον γίνεται. καὶ ἢν μὲν ὑπὸ τὸ πῦον πτυσθῇ πᾶν, καὶ ἡ φλὲψ ἡ τετρωμένη στεγνωθῇ, καὶ τὸ ἕλκος ὑγιανθῇ καὶ τὸ ἔσω καὶ τὸ ἔξω, ὑγιὴς γίνεται παντελῶς. ἢν δὲ μὴ δύνηται μήτε τὸ ἕλκος συμφυῆναι τὸ ἔνδον, μήτε ἡ φλὲψ στεγνωθῇ ἡ τετρωμένη, ἀλλ' ἄλλοτε καὶ ἄλλοτε ἀναδιδοῖ αἷμα, καὶ ἢν παραυτίκα ἐμέηται, καὶ πτύηται, ἢ καὶ σήπηται, καὶ πύον πτύηται, διαφθείρεται ὡς τὰ πολλὰ, ἢ παραυτίκα ἐμέων αἷμα, ἢ ὕστερον χρόνῳ ὑφ' ὧν καὶ ἐν τῇ προόδῳ εἴρηται διαφθειρόμενος. πολλάκις δὲ ὅσοι τι τῶν φλεβίων ἔσω τιτρώσκονται ὑπὸ τρωμάτων, ἢ ὑπὸ

τινων πόνων, ἢ γυμνασίων, ἢ ὑπ᾽ ἄλλου του, ὁκόταν συμφυῇ καὶ δοκέῃ ὑγιὲς εἶναι τὸ φλέβιον, ἀναῤῥήγνυται ἑτέρῳ χρόνῳ. ἀναῤῥήγνυται δὲ ὑπὸ τῶν αὐτῶν, ὑφ᾽ ὧν περ καὶ πρόσθεν πάσχει. ὁκόταν δὲ ἀναῤῥαγῇ, αἱμοῤῥοεῖ. καὶ παραυτίκα ἀπόλλυνται ἐμέοντες αἷμα, πολλόν τε καὶ πολλάκις. ἢ ἄλλοτε μέν τε καὶ ἄλλοτε αἷμα ἐμέουσι πρόσφατον. πύον δὲ πτύοντες ἀνὰ πᾶσαν ἡμέρην πολλόν τε καὶ παχὺ, διεφθάρησαν τρόπῳ τοιούτῳ, ἢ παραπλησίῳ, ὡς καὶ ἐν τῇσιν ἄλλῃσι νούσοισιν εἴρηται. τοῖσι δὲ ταῦτα τὰ νουσήματα ἔχουσι, καὶ ὅσα τοιαῦτα, διαφέρει ἐς τὸ εὐπετεστέρως τε ἀπαλλάσσειν καὶ δυσπετεστέρως. ἀνήρ τε γυναικός. νεώτερος, γεραιτέρου. καὶ γυνὴ νεωτέρη, παλαιοτέρης. καὶ πρὸς τούτοισιν, ἥ τε ὥρη τοῦ ἔτεος, ἐν ᾗ ἂν νοσέωσι. καὶ ἢν ἐξ ἑτέρης νούσου νουσήσωσιν, ἢ μὴ ἐξ ἑτέρης. διαφέρει δὲ καὶ πάθημά τε παθήματος, μέζον τε καὶ ἔλασσον. καὶ χρὼς χρωτός. καὶ θεραπείη θεραπείης. τούτων δὲ οὕτω διαφερόντων, ἀνάγκη διαφέρειν καὶ τὸν χρόνον. καὶ τοῖσι μὲν, πλέω γίνεσθαι, τοῖσι δὲ ἐλάσσω τε καὶ ἀπόλλυσθαι, ἢ μή. καὶ τοῖσι μὲν, παραμόνιμά τε εἶναι καὶ μέζω. τοῖσι δὲ, ἐλάσσω τε καὶ ὀλιγοχρόνια. τοῖσι δὲ, παραμένειν ἐς τὸ γῆρας τὰ νουσήματα, καὶ συναποθνήσκειν. τοὺς δὲ ἀπόλλυσθαι δι᾽ ὀλίγου ὑπ᾽ αὐτῶν. καὶ ὁκόσοι μὲν νεώτεροι πάσχουσι, τούτων ὅσα εἴρηται ἀπὸ πόνων παθήματα γίνεσθαι, πάσχουσι πλέω τε καὶ ἰσχυρότερα. καὶ ἀλγέουσιν οὗτοι μᾶλλον τῶν ἄλλων. καὶ παραυτίκα ἔκδηλα αὐτοῖσιν, ὥστε ἢ πτύσαι, ἢ αἷμα ἐμέσαι. τὰ δὲ καὶ γινόμενα λανθάνει αὐτοὺς, ὑπὸ εὐεξίης τοῦ σώματος. οἱ δὲ γεραίτεροι, πάσχουσι μὲν ὀλιγάκις. καὶ ὅταν πάθωσιν, ἀσθενέστερα πάσχουσιν, ἅτε ἀσθενέστεροι ἐόντες, καὶ ἐπανιοῦσι μᾶλλον, καὶ ἐπιμελέονται μᾶλλον τῶν παθημάτων. γίνεται οὖν τὴν ἀρχὴν τοπαράπαν ἧσσον τοῖσι γεραιτέροισιν ἢ τοῖσι νεωτέροισι. καὶ ὁκόταν γένηται, τοῖσι μὲν γεραιτέροισιν, ἀσθενέστερα γίνεται. τοῖσι δὲ νεωτέροισιν, ἰσχυρότερα. καὶ τοῖσι μὲν νεωτέροισιν, ἅτε τοῦ σώματος τόνον τε ἔχοντος, καὶ ξηρασίην. καὶ τὴν σάρκα πυκνήν τε καὶ ἰσχυρὴν, καὶ πρὸς τοῖσιν ὀστέοισι προσκαθημένην, καὶ περὶ αὐτὴν τοῦ δέρματος περιτεταμένου, ὁκόταν τι πονήσῃ πλέον τοῦ εἰωθότος μᾶλλον καὶ ἐξαίφνης, σπασμοί τε γίνονται ἰσχυροὶ, καὶ ῥήγματα πουλλά τε καὶ παντοῖα τῶν φλεβῶν καὶ τῶν σαρκῶν. καὶ τούτων τὰ μὲν, παραυτίκα ἔκδηλα γίνονται. τὰ δ᾽ ὑστέρῳ χρόνῳ ἀναφαίνεται. τοῖσι δὲ γεραιτέροισι, τόνος ἰσχυρὸς οὐκ ἔνι. αἵ τε σάρκες περὶ τὰ ὀστέα περιῤῥέουσι. καὶ τὸ δέρμα περὶ τὰς σάρκας. καὶ αὐτὴ ἡ σὰρξ, ἀραιή τε καὶ ἀσθενής. καὶ οὔτε τι ἂν πάθοι τοιοῦτον ὁμοίως ὡς καὶ ὁ νεώτερος. καὶ ἤν τι πάθῃ, πάσχει ἀσθενέα τε καὶ παραυτίκα οὐκ ἔκδηλα γίνεται. τοσούτῳ μὲν ἐν τῇ ἀρχῇ τῶν παθημάτων, δυσχερέστερον ἀπαλλάσσουσιν οἱ νεώτεροι τῶν γεραιτέρων. ὁκόταν δὲ ἡ νοῦσος ἐμφανὴς γένηται, καὶ ἢ πύον, ἢ αἷμα πτύωσιν, ἢ ἀμφότερα, ὅσοι μὲν νεώτεροι εἰσιν, ἅτε τοῦ σώματος εὐτόνου τε ὄντος καὶ πυκνοῦ, οὐ δύνανται ἀποκαθαίρεσθαι ὁμαλῶς, ἀπὸ τῶν ἑλκέων τῶν ὧν ἐν τῇ ἄνω κοιλίῃ τὸ πύον. ὅ, τε γὰρ πλεύμων οὐ κάρτα ἕλκει διὰ τὰς ἀρτηρίας, πυκνότερος ἐών. αἵ τε ἀρτηρίαι λεπταὶ καὶ στεγναὶ οὖσαι, οὐκ εἰσδέχονται τὸ πύον, εἰ μὴ ὀλίγον τε καὶ ὀλιγάκις. ὥστε ἀνάγκη τὸ πύον ἐν τῷ θώρακί τε καὶ ἐπὶ τῶν ἑλκέων, ἀθροίζεσθαί τε καὶ παχύνεσθαι. τοῖσι δὲ ἀφηλικεστέροισιν, ὅ, τε πλεύμων ἀραιότερος καὶ κοιλότερος. καὶ αἱ ἀρτηρίαι εὐρύτεραι, ὥστε μὴ ἐγχρονίζειν τὸ πύον ἐν τῇ κοιλίῃ, καὶ ἐπὶ τῶν ἑλκέων. καὶ ὅ, τι ἂν ἐπιγένηται, τοῦτο ἀνάγκη πᾶν ἀνασπᾶσθαι ἄνω ὑπὸ τοῦ πλεύμονος ἐς τὰς ἀρτηρίας, καὶ παραχρῆμα ἐκπτύεσθαι. τοῖσι μὲν οὖν νεωτέροισιν, ἅτε τῶν παθημάτων ἰσχυροτέρων ἐόντων, καὶ τῆς καθάρσιος οὐ γινομένης κατὰ λόγον τοῦ πτύσματος, οἵ τε πυρετοὶ ὀξύτεροι καὶ πυκνότεροι γίνονται. καὶ ὀδύναι ἐμπίπτουσιν ὀξεῖαι αὐτοῦ τε τοῦ παθήματος, καὶ τοῦ ἄλλου σώματος, ἅτε τῶν φλεβίων ἐντόνων τε ἐόντων καὶ ἐναίμων. ὅταν δὲ ταῦτα διαθερμανθῇ, ὑφ᾽ ἑωυτῶν ὀδύναι διαΐσσουσιν ἄλλοτε ἄλλῃ τοῦ σώματος. καὶ οὗτοι μὲν διαφθείρονται ὡς τὰ πολλὰ δι᾽ ὀλίγου. τοῖσι δὲ γεραιτέροισιν, ἅτε τῶν παθημάτων ἀσθενεστέρων ἐόντων, καὶ τοῦ πτύσματος ἀπ᾽ αὐτῶν καθαιρομένου, οἵ τε πυρετοὶ λεπτότεροι καὶ ὀλίγοι γίνονται. καὶ ὀδύναι ἔνεισι μέν. ἔνεισι δὲ, λεπταί. καὶ παντάπασι μὲν τῶν παθημάτων τῶν τοιούτων, οὐκ ἀπαλλάσσονται οὐδὲ οἱ γεραίτεροι, ἀλλ᾽ ἔχοντες αὐτὰ πουλὺν χρόνον, καταφθείρονται. καὶ ἄλλοτε πύον πτύουσιν. ἄλλοτε αἷμα. ἄλλοτε δὲ οὐδέτερον. τέλος δὲ συναποθνήσκει αὐτοῖσιν. ἀποθνήσκουσι δὲ οὕτως, ὅταν τι αὐτοὺς νόσημα τούτῳ, ᾧ ἂν ἔχωσι, παραπλήσιον καταλάβῃ, ὥστε ἔχειν καὶ τοῦτο, καὶ ὃ ἂν ἔχωσι νόσημα ἰσχυρότερον γίγνεται, καὶ ὡς τὰ πολλὰ διαφθείρονται.

ταῦτα

ταῦτα δέ ἐστι τὰ μάλιστα ἐξεργαζόμενα τῶν νουσημάτων, πλευρῖτις τε καὶ περιπλευμονίη.

Πυρετὸς δὲ ἀπὸ τῶνδε γίνεται. ὁκόταν χολὴ ἢ φλέγμα θερμανθῇ, θερμαίνεται τὸ ἄλλο πᾶν σῶμα ἀπὸ τούτων. καὶ καλέεται τοῦτο πυρετός. θερμαίνεται δὲ, ἡ χολὴ καὶ τὸ φλέγμα, ἔνδοθεν μὲν, ἀπὸ σιτίων καὶ ποτῶν, ἀφ᾽ ὧν καὶ τρέφεται καὶ αὔξεται. ἔξωθεν δὲ, ἀπὸ πόνων καὶ τρωμάτων. καὶ ὑπὸ τοῦ θερμοῦ ὑπερθερμαίνοντος, καὶ ὑπὸ τοῦ ψυχροῦ ὑπερψύχοντος. θερμαίνεται δὲ καὶ ἀπὸ ὄψιος καὶ ἀκοῆς. ἐλάχιστα δὲ ἀπὸ τούτων. Τὸ δὲ ῥῖγος ἐν τῇσι νούσοισι, γίνεται μὲν καὶ ἀπὸ τῶν ἔξωθεν ἀνέμων, καὶ ὕδατος, καὶ αἰθρίης, καὶ ἑτέρων τοιούτων. γίνεται δὲ, καὶ ἀπὸ τῶν ἐσιόντων σιτίων καὶ ποτῶν. μάλιστα δὲ καὶ ἰσχυρότερον γίνεται, ὅταν χολὴ καὶ φλέγμα συμμιχθῇ ἀθρόα τῷ αὐτῷ αἵματι, ἢ τὸ ἕτερον, ἢ ἀμφότερα. μᾶλλον δὲ ἢν τὸ φλέγμα μοῦνον ξυμμιχθῇ. ψυχρότατον γὰρ φύσει, τὸ φλέγμα. θερμότατον δὲ, τὸ αἷμα. ψυχρότερον δέ τι καὶ ἡ χολὴ τοῦ αἵματος. ὅταν οὖν ταῦτα συμμιχθῇ, ἢ ἀμφότερα, ἢ τὸ ἕτερον ἐς τὸ αἷμα, πήγνυσι τὸ αἷμα. οὐ παντάπασι δὲ, οὐδὲ γὰρ ἂν δύναιτο ζῆν ὁ ἄνθρωπος, εἰ τὸ αἷμα πυκνότερόν τε καὶ ψυχρότερον γένοιτο πολλαπλασίως αὐτὸ ἑωυτοῦ. ψυχομένου οὖν τοῦ αἵματος, ἀνάγκη ψύχεσθαι καὶ τὸ ἄλλο σῶμα πᾶν. καὶ καλέεται ῥῖγος, ὁκόταν τοῦτο τὸ τοιοῦτον γίνηται. ἢν μὲν ἰσχυρὸν γίνηται ῥῖγος, ἰσχυρότερός ἐστι καὶ ὁ τρόμος. αἱ γὰρ φλέβες, συσπώμεναι καὶ συνιόντος καὶ πηγνυμένου τοῦ αἵματος, συσπῶσί τε τὸ σῶμα καὶ τρέμειν ποιέουσιν. ἢν δέ τι ἧσσον ἡ σύνοδος τοῦ αἵματος γίνηται, τοῦτο δὲ καλέεται ῥῖγος. φρίκη δὲ λέγεται τὸ ἀσθενέστατον. Ὅτι δὲ μετὰ τὸ ῥῖγος ἀνάγκη πυρετὸν ἐπιλαβεῖν ἢ πλέω ἢ ἐλάσσω, ὧδε ἔχει. ὁκόταν τὸ αἷμα διαθερμαίνηταί τε καὶ ἀποβιῆται, καὶ ἀπίῃ πάλιν ἐς τὴν ἑωυτοῦ φύσιν, συνδιαθερμαίνεται καὶ τοῦ φλέγματος καὶ τῆς χολῆς, τὸ ἐν τῷ αἵματι συμμεμιγμένον. καὶ γίνεται τὸ αἷμα θερμότερον αὐτὸ ἑωυτοῦ, πολλαπλασίως. τούτων οὖν διατεθερμασμένων, ἀνάγκη πυρετὸν ἐπιγίνεσθαι, ὑπὸ τῆς θερμασίης τοῦ αἵματος, μετὰ ῥῖγος. Ἱδρὼς δὲ γίνεται, διὰ τόδε. ὁκόσαι ἂν νοῦσοι κρίνωνται ἐν τῇσι κρισίμῃσι τῶν ἡμερέων, καὶ τὸ πῦρ μεθίει, ἐκτήκεται ἀπὸ τοῦ ἐν τῷ αἵματι φλέγματος, καὶ τῆς χολῆς τὸ λεπτότατον, καὶ ἀποκρίνεται. καὶ χωρέει, τὸ μὲν, ἔξω τοῦ σώματος. τὸ δὲ, ἔνδον καὶ αὐτοῦ ἐν τῷ σώματι ὑπολείπεται. τὸ δ᾽ ὑπὸ θερμασίης λεπτυνόμενον, ἀτμὸς γίνεται, καὶ σὺν τῷ πνεύματι μισγόμενον ἔξω χωρέει. ἔστι μὲν οὖν ταῦτα, τοιαῦτα. καὶ ἀπὸ τούτων ἀπογίνεται ὁ ἱδρώς. διότι δὲ ὁτὲ μὲν θερμὸς, ὁτὲ δὲ ψυχρὸς ἐστὶν οὕτως. θερμὸς μὲν, ἀπὸ διατεθερμασμένου τε τοῦ κακοῦ, καὶ ἐκκεκαυμένου, καὶ λελεπτυσμένου, καὶ ἀσθενέος, καὶ οὐ λίην πολλοῦ ἀποκρίνεται, καὶ ἀνάγκη θερμότερον αὐτὸν ἐκκρίνεσθαι ἐκ τοῦ σώματος. ὁ δὲ ψυχρὸς, ἀπὸ πλέονος τοῦ κακοῦ, ἀποκρινόμενος τοῦ τε ὑπολειπομένου καὶ ἔτι ἰσχύοντος, καὶ οὔπω σεσηπότος, οὐδὲ λελεπτυσμένου, οὐδὲ ἐκκεκαυμένου, ψυχρότερος καὶ παχύτερος καὶ κακωδέστερος ἐκχωρέει. δῆλον δὲ τοῦτο ἐν τῷδε. οἱ ψυχρῷ ἱδρῶτι ἱδροῦντες, μακρὰς νόσους νοσέουσιν ὡς ἐπὶ τὸ πουλὺ, ἐπισχύοντος τοῦ κακοῦ, τοῦ ἐν τῷ σώματι ὑπολειπομένου. οἱ δὲ θερμῷ ἱδρῶτι ἱδροῦντες, ταχύτερον ἀπαλλάσσονται τῶν νουσημάτων. Πλευρῖτις δὲ καὶ περιπλευμονίη, γίνονται ὧδε. ἡ μὲν πλευρῖτις, ὁκόταν πόσιες ἅλιες τε καὶ ἰσχυραὶ, κάρτα λάβωσι. διαθερμαίνεται γὰρ τὸ σῶμα ἅπαν ὑπὸ τοῦ οἴνου καὶ ὑγραίνεται. μάλιστα δὲ ἥ τε χολὴ καὶ τὸ φλέγμα, διαθερμαίνεταί τε καὶ ὑγραίνεται. καὶ δὴ τούτων κεκινημένων τε καὶ ὑγρασμένων, συγκυρήσει ὥστε ῥιγῶσαι μεθύοντα ἤν τε νήφοντα, ἅτε ἐὸν τὸ πλευρὸν ψιλὸν φύσει σαρκὸς, μάλιστα τοῦ σώματος, καὶ οὐκ ἐόντος αὐτῷ ἔσωθεν τοῦ ἀντιστηρίζοντος οὐδενὸς, ἀλλὰ κοιλίης, αἰσθάνεται μάλιστα τοῦ ῥίγεος. καὶ ὁκόταν ῥιγώσῃ τε καὶ ψυχθῇ, συνέλκεταί τε καὶ συσπᾶται ἥ τε σὰρξ, ἡ ἐπὶ τῷ πλευρῷ, καὶ τὰ φλέβια. καὶ ὅσον τε ἐν αὐτῇ τῇ σαρκὶ ἔνι χολῆς καὶ φλέγματος, ἢ ἐν τοῖσιν ἐν αὐτῇ φλεβίοισι, τοῦτο πολλὸν, ἢ πᾶν ἀποκρίνεται ἔσω συνωθεόμενον πρὸς τὸ θερμὸν, πυκνουμένης τῆς σαρκὸς ἔξωθεν. καὶ προσπήγνυται πρὸς τῷ πλευρῷ, καὶ ὀδύνην παρέχει ἰσχυρὴν καὶ διαθερμαίνεται. καὶ διὰ τῆς θερμότητος ἄγει ἐφ᾽ ἑωυτὸ, καὶ ἀπὸ τῶν πλησίον φλεβῶν καὶ σαρκῶν, φλέγμα τε καὶ χολήν. γίνεται μὲν οὖν τούτῳ τῷ τρόπῳ. ὁκόταν δὲ τὰ πρὸς τὸ πλευρὸν προσπαγέντα σαπῇ καὶ πτυσθῇ, ὑγιέες γίνονται. ἢν δὲ τό, τε ἀρχαῖον πολλὸν προσπαγῇ πρὸς τὸ πλευρὸν, καὶ ἄλλο προσεπιγένηται, αὐτίκα ἀπόλλυνται, οὐ δυνάμενοι ἀναπτύσαι ὑπὸ πλήθους τοῦ σιάλου,

ἢ ἔμπυοι γίνονται. καὶ οἱ μὲν, ἀπόλλυνται. οἱ δὲ, διαφεύγουσι. διαδηλοῖ δὲ ταῦτα ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν, ἢ ἐννέα, ἢ ἕνδεκα, ἢ τεσσαρεσκαίδεκα. ὀδύνην τε παρέχει, ἐς τὸν ὦμον, καὶ ἐς τὴν κληῗδα, καὶ ἐς τὴν μασχάλην, διὰ τόδε. Η φλὲψ ἡ σπληνῖτις καλεομένη, τείνει ἀπὸ τοῦ σπληνὸς ἐς τὸ πλευρόν. ἐκ δὲ τοῦ πλευροῦ ἐς τὸν ὦμον, καὶ ἐς τὴν χεῖρα τὴν ἀριστερήν. ἡ δὲ ἡπατῖτις ἐς τὰ δεξιά. ὡσαύτως καὶ ὁκόταν ταύτης τὸ ὑπὸ τοῦ πλευροῦ συνειρυσθῇ ὑπὸ τοῦ ῥίγεος καὶ φρίξῃ τὸ αἷμα τὸ ἐν αὐτῇ, ἔς τε τὴν μασχάλην, καὶ τὴν κληῗδα, καὶ τὸν ὦμον, συνεφέλκεταί τε καὶ σπᾶ, καὶ ὀδύνην παρέχει. κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ τὰ περὶ τὸν νῶτον χωρία, διαθερμαίνεται ὑπὸ τοῦ προσπεπηγότος ὑγροῦ πρὸς τῷ πλευρῷ, φλέγματός τε καὶ χολῆς. παρέχει δὲ ὀδύνην ἐνίοτε καὶ τοῖσι τοῦ πλευροῦ κάτωθεν χωρίοισι. πολλάκις δὲ ἢν ἐς τὰ κάτω τράπηται, ὀδύνην διαδιδοῖ ἐς τὴν κύστιν διὰ τῶν φλεβίων, καὶ οὐρέει πολλόν τε καὶ χολῶδες. νομίζουσι δὲ ταύτης τῆς νούσου τὸ ῥῖγος αἴτιον εἶναι καὶ ἀρχήν. Η δὲ περιπλευμονίη γίνεται, ὁκόταν κεκινημένου καὶ ὑγραινομένου τοῦ φλέγματος καὶ τῆς χολῆς, ἑλκύσῃ ὁ πλεύμων ὑπὸ θερμασίης ἐφ᾽ ἑωυτὸν, ἀπὸ τῶν πλησίον χωρίων πρὸς τοῖσιν ὑπάρχουσιν ἐν ἑωυτῷ, διαθερμαίνει μὲν πᾶν τὸ σῶμα καὶ ὀδύνην παρέχει, μάλιστα δὲ τῷ τε νώτῳ, καὶ τῇσι πλευρῇσι καὶ τοῖσιν ὤμοισι, καὶ τῇ ῥάχει, ἅτε ἀπὸ τούτων ἕλκων ἐς ἑωυτὸν τὴν ἰκμάδα τὴν πλείστην, καὶ ὑπερξηραίνονται ταῦτα καὶ ὑπερθερμαίνονται. ὁκόταν δὲ εἰρύσῃ ἐς ἑωυτὸν καὶ ἕδρην λάβῃ, ἥτε χολὴ καὶ τὸ φλέγμα ἐς τὸν πλεύμονα σήπεται καὶ ἐμπυοῦται. καὶ ἢν μὲν ἐν τῇσι κυρίῃσι τῶν ἡμερέων σαπέντα πτυσθῇ, περιγίνεται. ἢν δὲ ταύτας ἐπελθόντα τὴν ἀρχὴν δέχηται, καὶ προσεπιγίνηται ἕτερα, καὶ μήτε πτύων, μήτε σήπων κρατέῃ, ὑπὸ πλήθεος τῶν ἐπιγινομένων, ἀποθνήσκουσιν ὡς τὰ πολλά. ἢν δὲ πρὸς τὰς ἡμέρας διαγίνωνται τὰς δύο καὶ εἴκοσι, καὶ τὸ πῦρ μεθῇ, καὶ ἐν ταύτῃσι μὴ ἐκπτυσθῇ, ἔμπυοι γίνονται. γίνονται δὲ μάλιστα ἐκ τούτων οὖσιν ἰσχυρόταται, ἥτε πλευρῖτις καὶ ἡ περιπλευμονίη. γίνεται δὲ καὶ ἄπτυστος περιπλευμονίη καὶ πλευρῖτις, ἄμφω ὑπὸ τοῦ αὐτοῦ, ὑπὸ ξηρασίης. ξηραίνει δὲ καὶ τὰ θερμὰ, ὅταν ὑπερθερμαίνῃ. καὶ τὰ ψυχρὰ, ὅταν ὑπερψύχῃ. πήγνυται δὲ τὸ πλευρὸν, καὶ τὰ ἐν αὐτῷ τῷ πλευρῷ φλέβια καὶ συσπᾶται. καὶ ὁκόσον ἐν αὐτῷ ἔνι φλέγματος καὶ χολῆς, τοῦτο ὑπὸ τῆς θερμασίης ἐνέσκληκέ τε καὶ ὀδύνην παρέχει, καὶ ὑπὸ τοῦ ὀδύνης πυρετόν. τούτῳ ξυμφέρει τὴν φλέβα ἀποσχάσαι τὴν ἐν τῇ χειρὶ, τὴν σπληνῖτιν καλεομένην, ἢ τὴν ἡπατῖτιν, καθ᾽ ὁποτέρην ἂν εἴη τὸ νούσημα. καὶ οὕτως ἡ ὀδύνη μαλακωτέρη γίνεται τοῦ πλευροῦ τε καὶ τῶν ἄλλων. ἡ γὰρ φλὲψ, ὅσον ἔνι ἐν αὐτῇ χολῆς καὶ φλέγματος, αὐτοῦ τοῦ αἵματος νενοσηκότος, μετὰ τούτων μεθίει τὸ πουλὺ ἔξω. τὸ δὲ ἐκ τῆς σαρκὸς ὑπό τε φαρμάκων, καὶ ποτῶν διαχέεται, καὶ ὑπὸ χλιασμάτων προστιθεμένων ἔξωθεν, ὥστε τὴν νοῦσον σκίδνασθαι ἀνὰ πᾶν τὸ σῶμα. καλέεται δὲ αὕτη πλευρῖτις ἄπτυστος. ἡ δὲ περιπλευμονίη, ὁκόταν ὁ πλεύμων ὑπερξηρανθῇ καὶ αὐτὸς, καὶ ὁκόταν ἐν αὐτῷ ἐνεόντι χολῆς ἢ φλέγματος, οὔτε σήπει ὁμαλῶς, οὔτε τὸ σίαλον ἀναδιδοῖ. ὅσον τε ἐν αὐτῷ ἐστὶν ἰκμάδος, ἢ ἀπὸ ποτοῦ, ἢ ἀπὸ ῥοφήματος, ἢ ἀπὸ τῶν πλησίον χωρίων, τοῦτο πᾶν ἐκκαίει, ὑπὸ τῆς ὑπερξηρασίης τε καὶ θερμασίης. τούτῳ ξυμφέρει πόματα πίνειν ὑφ᾽ ὧν ὑγραίνεται ὁ πλεύμων, καὶ πτύσκεται. ἢν γὰρ μὴ πτυσθῇ σκληρότερός τε γίνεται ὁ πλεύμων, καὶ συναυαίνεται, καὶ τὸν ἄνθρωπον ἀπόλλυσι. Καῦσος δὲ λαμβάνει μὲν μᾶλλον, τοὺς χολώδεας. λαμβάνει δὲ, καὶ τοὺς φλεγματίας. λαμβάνει δὲ, ὧδε. ὁκόταν χολὴ κινηθῇ ἀνὰ τὸ σῶμα καὶ συγκυρήσῃ, ὥστε τὰς φλέβας καὶ τὸ αἷμα εἰρύσαι τῆς χολῆς. εἰρύσαι δὲ τὸ πλεῖστον, ἐκ τῶν σαρκῶν καὶ τῆς κοιλίης. τὸ δὲ πρόσθεν ἐνεὸν, ἅτε καὶ τῇ φύσει θερμότατον ἐὸν ἐν τῷ σώματι τὸ αἷμα. ὁκόταν γοῦν διαθερμανθῇ ἐκ τῶν σαρκῶν καὶ τῆς κοιλίης, πρὸς τῷ ἐνεόντι μᾶλλον ἔτι ὑπὸ τῆς χολῆς, διαθερμαίνει καὶ τὸ ἄλλο σῶμα πᾶν. καὶ τὰ μὲν ὑπὸ τῆς πολλῆς ἰκμάδος, οὐ δύναται ἀποξηραίνεσθαι παντάπασιν. ἢν δὲ ἀποξηρανθῇ, ἀποθνήσκει ὁ ἄνθρωπος. τὰ δὲ ἐν τοῖσιν ἀκρωτηρίοισι τοῦ σώματος, ἅτε ξηρὰ ἐόντα φύσει, ἀποξηραίνεταί τε καὶ ἐκκαίεται διὰ αὐτῶν τὸ ὑγρὸν τὸ πλεῖστον. καὶ εἰ θέλοις ψαύειν, ψυχρά τε εὑρήσεις αὐτὰ καὶ ξηρά. διὰ τοῦτο ὁκόσοι ὑπὸ καύσου ἁλίσκονται, τὰ μὲν εἴσω, καίονται ὑπὸ τοῦ πυρός. τὰ δὲ ἔξω, ψυχροί εἰσιν. ἥτε γλῶσσα καὶ ὁ φάρυγξ τρηχύνεταί τε καὶ αὐαίνεται ὑπὸ τοῦ εἴσω πνεύματος καὶ τῆς θερμότητος.

Οσον

Ὅταν δ᾽ αὖ ἐν τῇ κοιλίῃ καὶ ἐν τῇ κύστει ἐγγένηται χολῆς. τὸ μὲν ἐν τῇ κοιλίῃ, ἐνίοτε μὲν διαταράσσεται κάτω. τὰ δὲ πολλὰ, ἐμέεται ἐν τῇσι πρώτῃσιν ἡμέρῃσιν, ἢ ἐν τέσσαρσιν, ἢ ἐν πέντε. ἐμέεται δὲ διὰ τόδε. ὁκόταν ἡ ἄνω κοιλίη ὑπερθερμανθῇ, ἕλκει ἐφ᾽ ἑωυτὴν, καὶ γίνεται ἔμετος. διὰ τοῦτο δ᾽ αὐτὸ καὶ ἐς περιπνευμονίην, ἐκ καύσου τε καὶ ἐκ πλευρίτιδος μάλιστα μεθίσταται τὰ νουσήματα. ὁκόταν γὰρ ἡ ἄνω κοιλίη ὑπερθερμανθῇ, ἕλκει ἐφ᾽ ἑωυτὴν, καὶ ὑποδέχεται ὁ πλεύμων, καὶ γίνεται περιπλευμονίη. καὶ ὡς τὰ πολλὰ ἀπόλλυνται, ἅτε ἀσθενέες ἤδη ἐόντες. καὶ ἑτέρης νούσου καινῆς ἐπιγενηθείσης, οὐ δυνάμενοι τὰς ἡμέρας διατελέειν, ἄχρις οὗ τὸ σίαλον πεπανθῇ ἐν τῷ πλεύμονι. ἀλλ᾽ ὡς τὰ πολλὰ ἀπόλλυνται ὑπὸ ἀσθενείης. ἔνιοι δὲ περιγίνονται.

Ὁκόσοισι δὲ ἐς τὴν κύστιν συῤῥεῖ τι χολῆς, οὐρέεται παχύ. παχὺ δὲ ὑπὸ φλέγματος. χολῶδες δὲ διαχωρέει, ὑπὸ τοῦ συγκεκαῦσθαι ἐν τῇ κοιλίῃ τὰ ἐνεόντα.

Φρενῖτις δὲ ὧδε ἔχει. τὸ αἷμα τὸ ἐν τῷ ἀνθρώπῳ πλεῖστον ξυμβάλλεται μέρος συνέσιος. ἔνιοι δὲ λέγουσι, τὸ πᾶν. ὁκόταν οὖν χολὴ κινηθεῖσα ἐς τὰς φλέβας καὶ ἐς τὸ αἷμα ἐσέλθῃ, διεκίνησε καὶ διούρησε τὸ αἷμα ἐκ τῆς εἰωθυίης συστάσιός τε καὶ κινήσιος, καὶ διεθέρμηνε. διαθερμανθὲν δὲ διαθερμαίνει καὶ τὸ ἄλλο σῶμα πᾶν, καὶ παρανοεῖται ὁ ἄνθρωπος, καὶ οὐκ ἐν ἑωυτῷ ἐστιν, ὑπό τε τοῦ πλήθεος τοῦ πυρετοῦ, καὶ τοῦ αἵματος, τῆς διουρήσιός τε καὶ κινήσιος γινομένης οὐ τῆς εἰωθυίης. προσεοίκασι δὲ μάλιστα οἱ ὑπὸ τῆς φρενίτιδος ἐχόμενοι, τοῖσι μελαγχολῶσι κατὰ τὴν παράνοιαν. οἵ τε γὰρ μελαγχολώδεες ὁκόταν φθαρῇ τὸ αἷμα ὑπὸ χολῆς καὶ φλέγματος, τὴν νοῦσον ἴσχουσι καὶ παράνοοι γίνονται. ἔνιοι δὲ καὶ μαίνονται. καὶ ἐν τῇ φρενίτιδι ὡσαύτως. οὕτω δὲ ἧσσον ἡ μανίη τε καὶ ἡ παραφρόνησις γίνεται, ὅσῳ περ ἡ χολὴ τοῦ φλέγματος ἀσθενεστέρη ἐστίν. ὕφαιμον δὲ καὶ πελιδνὸν ἐν τῇ πλευρίτιδι καὶ περιπνευμονίῃ τὸ πτύαλον, διὰ τόδε πτύουσι. κατ᾽ ἀρχὰς μὲν ὡς τὸ πουλὺ, οὐδέτερα πτύουσιν, οὔτε πελιδνὸν, οὔτε ὕφαιμον. εἰδέναι δὲ χρὴ τὴν νοῦσον, ἰσχυρὴν ἐοῦσαν. ὁκόταν δὲ τὸ σίαλον ὑπόπαχυ ἄρξωνται πτύειν, καὶ καθαίρονται μάλιστα τότε. πτύεται δὲ ἀπὸ διατάσιος τῶν φλεβῶν. τῆς μὲν πλευρίτιδος, ἐκ τῶν ἐν τῷ πλευρῷ. τῆς δὲ περιπνευμονίης, ἐκ τῶν ἐν τῷ πλεύμονι, καὶ θερμασίην ἐπάγει ἐφ᾽ ἑωυτήν.

Ἢν δὲ ῥηγματίης ᾖ ὁ τὴν νοῦσον ἔχων, καὶ σαβακὸς ἀπὸ τῆς πρώτης ἡμέρης, αἷμα, καὶ ὕφαιμον πύον καὶ πελιδνὸν σὺν σιάλῳ πτύει. τὸ δὲ πελιδνὸν, ἀπὸ τοῦ αἵματος γίνεται, ἢν ὀλίγον συμμίγνηται, ἐς πουλὺ σίαλον, καὶ μὴ παραυτίκα πτύηται, ἀλλ᾽ ἐμμένει ἡμισαπὲς ἐὸν, καὶ ἐκτεθηλυσμένον ἐν τῷ σώματι. ἀποθνήσκουσι δὲ ἀπὸ μὲν τῆς πλευρίτιδος, ὁκόταν πολλὸν μὲν τὴν ἀρχὴν τῷ πλευρῷ προσαγῇ, φλέγμα τε καὶ χολή. πολλὸν δὲ προσεπιῤῥέῃ καὶ ἐκ τοῦ ἄλλου σώματος. καὶ μήτε πτύων κρατέῃ ὑπὸ πλήθεος, μήτε σήπων. πιμπλῶνται δὲ αἱ ἀρτηρίαι ὑπὸ τῶν ἐνεόντων, φλέγματός τε καὶ πύου. τότε δὲ ῥέγχει καὶ ἀναπνεῖ, πυκνόν τε καὶ αὐτόθεν. τέλος δὲ ἀποφράσσεται πάντα καὶ ἀποθνήσκει. τὸν αὐτὸν δὲ τρόπον τοῦτον καὶ ἐκ περιπλευμονίης ἀπόλλυνται. ὅσοι δὲ ὑπὸ καύσου ἀποθνήσκουσι, πάντες ὑπὸ ξηρασίης ἀποθνήσκουσιν. ἀποξηραίνεται πρῶτον μὲν αὐτῶν τὰ ἀκρωτήρια πόδες τε καὶ χεῖρες. ἔπειτα δὲ τὰ ἐπιξηρότερα. ὁκόταν δὲ ἐκκαυθῇ καὶ ἀποξηρανθῇ παντάπασι τὸ ὑγρὸν ἐκ τοῦ σώματος, τὸ μὲν αἷμα, πήγνυταί τε παντελῶς καὶ ψύχεται. τὸ δὲ ἄλλο σῶμα, ἀποξηραίνεται καὶ οὕτως ἀποθνήσκει. ὑπὸ δὲ τῆς φρενίτιδος ἀπόλλυνται ὧδε. παραφρονέουσιν ἐν τῇ νόσῳ διὰ παντὸς, ἅτε τοῦ αἵματος ἐφθαρμένου τε καὶ ἐκκεκινημένου τὴν εἰωθυῖαν κίνησιν. καὶ ἅτε παραφρονέοντες, οὔτε τι τῶν προσφερομένων δέχονται, ὅ,τι ἄξιον λόγου. ὅταν δὲ πλείων ὁ χρόνος, μαραίνονταί τε καὶ μινύθουσιν ὑπό τε τοῦ πυρετοῦ, καὶ ὑπὸ τοῦ μηδὲν τρέφεσθαι. καὶ πρῶτα μὲν τὰ ἐν τοῖσιν ἀκρωτηρίοισι μινύθει τε, καὶ ψύχεται. ἔπειτα δὲ τὰ ἐπ᾽ ἐγγυτάτω. καὶ ψύχεος δὲ καὶ πυρὸς καὶ πόνων, ἀρχὴν ταύτην ἴσχει. ὅταν τὸ αἷμα τὸ ἐν τῇσι φλεψὶν ὑπὸ τοῦ φλέγματος ψυχθῇ, μεταπίπτει τε καὶ συναπτᾶται ἄλλοσε, ἄλλοτε ἄλλο καὶ τρέμει. τέλος δὲ ψύχεται πάντα καὶ ἀποθνήσκει.

Ῥέεται πολλὸν ὅταν ὑπερθερμανθῇ ἡ κεφαλή. τήκεται γὰρ ἐν αὐτῇ τὸ φλέγμα. τηκόμενον δὲ χωρεῖ τὸ μὲν διὰ τὰς ῥῖνας. τὸ δὲ ἐς τὸ στόμα. τὸ δὲ διὰ τῶν φλεβῶν αἳ ἄγουσιν ἐς τὸ αἰδοῖον. ὅταν δὲ ἐς τὸ αἰδοῖον ἀφίκηται, οὐρεῖ καὶ πάσχει οἷά περ ὑπὸ στραγγουρίης. ἀμβλυώσσει δὲ ὅταν ἐς τὰ ἐν τοῖσι ὀφθαλμοῖσι φλέβια ἐσέλθῃ φλέγμα. ὑδαρεστέρη τε γὰρ γίνεται ἡ ὄψις, καὶ θολερωτέρη. καὶ τὸ λαμπρὸν ἐν τῷ ὀφθαλμῷ, οὐχ ὁμοίως λαμπρόν ἐστιν, οὐδὲ καταφαίνεται ἐν αὐτῷ, ἐὰν ἐθέλῃ ὁρᾶν ὁμοίως, ὡς καὶ ὅτε λαμπρὸς καὶ καθαρὸς ἦν. οὗτος ἐν τεσσαράκοντα ἡμέρῃσι μάλιστα ὑγιάζεται. ἢν δὲ χρόνῳ ὕστερον πολλῷ ὑποστρέψῃ ἡ νοῦσος, τὸ δέρμα τῆς κεφαλῆς παχύνεται. καὶ τὸ ἄλλο σῶμα αἴρεται καὶ παχύνεται καὶ εὐχροεῖ. τοῦτο τὸ φλέγμα, ἐς τὰς σάρκας τρέπεται· καὶ ὑπὸ τούτου δοκεῖ παχὺς εἶναι. αἱ γὰρ σάρκες ἅτε διάβροχοι ἐοῦσαι καὶ ἠρεμέαι καὶ ἀραιότεραι, ἕλκουσιν ἐκ τῶν φλεβῶν αἷμα, καὶ διὰ τοῦτο δοκέουσιν εὔχροοι εἶναι. Ἑτέρη νοῦσος.

Ἡ κεφαλὴ ἑλκέων καταπίμπλαται. καὶ τὸ σῶμα οἰδεῖ. καὶ ἡ χροιὴ ἰκτερώδης. καὶ ἄλλοτε ἄλλῃ τοῦ σώματος, ἕλκεα ἐκφύει. καὶ πυρετὸς λαμβάνει, ἄλλοτε καὶ ἄλλοτε. καὶ ἐκ τοῦ νώπυ ὕδωρ ῥεῖ. τούτῳ ὅταν ἐν τῇ κεφαλῇ φλέγμα ὑπόχολον ἐντραφῇ, τὰ μὲν ἕλκεα γίνεται, ὅταν τὸ βρέγμα διάβροχον γένηται τῷ φλέγματι καὶ τῇ χολῇ. καὶ ἀραιὸν ἔῃ καὶ ἅλον τὸ φλέγμα καὶ ἡ χολή. ἴσταται γὰρ τοῦτο καὶ σήπεται καὶ ἑλκοῦται. διὰ δὲ τὰ ὦτα λεπτυνόμενον τὸ φλέγμα, διαδιδοῖ. ἐν δὲ τῷ ἄλλῳ σώματι, τάτε ἕλκεα κατὰ τὸν αὐτὸν λόγον, τοῖσιν ἐν τῇ κεφαλῇ γίνεται, συσηπομένου τοῦ αἵματος καὶ τῆς χολῆς ἢ ἂν τύχῃ ἁλισθέντα. ταύτῃ γὰρ ἡ σὰρξ σήπεται καὶ ἑλκοῦται. καὶ προσκατασήπει τὸ ἐσελθὸν τοῦ φλέγματος καὶ τῆς χολῆς, καὶ γίνεται πύον. Ἑτέρη νοῦσος. Περιωδυνίῃ τὴν κεφαλὴν ἴσχει. καὶ ἐμεῖ χολήν. καὶ δυσουρεῖ. καὶ παραφρονεῖ. οὗτος περιωδυνεῖ μὲν ὑπὸ τῆς ὑπερθερμασίης τῆς κεφαλῆς. παραφρονεῖ δὲ ὅταν τὸ αἷμα τὸ ἐν τῇ κεφαλῇ ὑπὸ χολῆς ἢ φλέγματος ὑποθερμανθῇ, καὶ κινηθῇ μᾶλλον τοῦ εἰωθότος. ἐμεῖ δὲ χολήν, ἅτε κεκινημένης αὐτῆς ἐν τῷ σώματι. καὶ ἡ κεφαλὴ ὑπὸ τῆς θερμασίης ἕλκει ἐφ᾽ ἑωυτήν. καὶ τὸ μὲν παχύτατον, ἐμεῖ. τὸ δὲ λεπτότατον, ἕλκει ἐς ἑωυτήν. οὐρεῖ δὲ καὶ ἐν ταύτῃ ὑπὸ τῶν αὐτῶν, ὡς καὶ ἐν τῇ πρόσθεν εἴρηται. Ἑτέρη νοῦσος. Ἢν περὶ τὸν ἐγκέφαλον φλέβια ὑπερεμέσῃ, τὸ μὲν οὔνομα οὐκ ὀρθὸν τῇ νούσῳ. οὐδὲ γὰρ ἀνυστὸν ὑπερεμέσαι οὐδὲν τῶν φλεβίων. οὔτε τῶν ἐλασσόνων, οὔτε τῶν μεζόνων. ὀνομάζουσι δὲ καὶ φασὶν ὑπερέμεσεν. εἰ δ᾽ ὡς μάλιστα ὑπερεμέσειε, νοῦσος ὑπ᾽ αὐτοῦ οὐκ ἔοικε γίνεσθαι. ἀπ᾽ ἀγαθοῦ γὰρ κακόν, οὐχ οἷόν τε γενέσθαι. οὐδ᾽ ἀπὸ κακοῦ ἀγαθὸν γένοιτο ἄν. οὐδ᾽ αὖ ἀγαθὸν πλέον τοῦ δέοντος οἷόν τε γενέσθαι. ἀλλ᾽ ὑπερεμέειν δοκεῖ, ὅταν ἐς τὰς φλέβας χολὴ ἢ φλέγμα ἐσέλθῃ. μετεωρίζονται γὰρ αἱ φλέβες. καὶ σφύζουσι. καὶ ὀδύνη κατὰ πᾶσαν τὴν κεφαλὴν ἐγγίνεται. καὶ τὰ ὦτα ἠχεῖ καὶ ἀκούει οὐδέν. καὶ ἠχεῖ μὲν ἅτε τῶν φλεβίων σφυζόντων καὶ παλλομένων, τηνικαῦτα γὰρ ἦχος ἔνεστιν ἐν τῇ κεφαλῇ. βαρυηκοεῖ δὲ τὸ μέν τι, ὑπὸ τοῦ ἔσωθεν ψόφου καὶ ἤχου. τὸ δὲ ὅταν ὁ ἐγκέφαλος καὶ τὰ φλέβια τὰ περὶ αὐτὸν ἐπαρθῇ. ὑπὸ γὰρ τῆς ὑπερθερμασίης ἐμπίπλησι τὸ κατὰ τὸ οὖς κενὸν ὁ ἐγκέφαλος ἑωυτοῦ. καὶ ἅτε οὐκ ἐνεόντος τοῦ ἠέρος ἰσοπληθέος, ὡς καὶ ἐν τῷ πρὶν χρόνῳ, οὐδὲ τὸν ἦχον ἴσον παρέχοντος, οὐ συσημαίνει οἱ τὰ λεγόμενα ὁμαλῶς, καὶ ἀπὸ τούτου βαρυηκοεῖ. οὗτος ἢν μὲν ῥαγῇ αὐτῷ ἐς τὰς ῥῖνας, ἢ διὰ τὸ στόμα ὕδωρ καὶ φλέγμα, ὑγιὴς γίνεται. ἢν δὲ μὴ ῥαγῇ, ἑβδομαῖος μάλιστα ἀποθνήσκει. ἢν δ᾽ ἐν τῇ κεφαλῇ ὑπερεμέσωσι φλέβες, ὑπερεμέουσι δὲ ὑπὸ τῶν αὐτῶν, ἃ καὶ ἐν τῷ πρόσθεν εἴρηται. σημήϊον δὲ ὅτι τοιούτῳ τρόπῳ ὑπερεμέουσι τόδε. ὅταν τις ἢ χεῖρα τοῦτο πάσχουσαν ἐντάμῃ, ἢ κεφαλήν, ἢ ἄλλο τι τοῦ σώματος, τὸ αἷμα μέλαν ῥεῖ, καὶ θολερὸν καὶ νοσῶδες. καίτοι οὐδὲ αἷμα δίκαιον εἰπεῖν κατ᾽ οὔνομα, ἀλλ᾽ ἐρυθρὸν καὶ εἰλικρινὲς ῥεῖν. ὅταν δὲ ὑπερεμέσωσιν ἀπὸ τῶν αὐτῶν, ἴσχει ὀδύνη καὶ σκοτοδινίη καὶ βάρος ἔχει τὴν κεφαλήν. ὀδύνη μὲν ὑπὸ τῆς ὑπερθερμασίης τοῦ αἵματος. σκοτοδινίη δὲ ὅταν ἅλον ἐπὶ τὸ πρόσωπον χωρήσῃ τὸ αἷμα. βάρος δὲ ἅτε τοῦ αἵματος πλείονος ἐόντος ἐν τῇ κεφαλῇ, καὶ θολερωτέρου, καὶ νοσωδεστέρου ἢ ἔσωθεν. Σφακελισμὸς ἐγκεφάλου. Ἢν σφακελίσῃ ὁ ἐγκέφαλος, ὀδύνη ἔχει ἐκ τῆς κεφαλῆς τὴν ῥάχιν, καὶ ἐπὶ τὴν καρδίαν φοιτᾷ, ἀψυχίη καὶ ἱδρώς. καὶ ἄϋπνος τελέθει. καὶ ἐκ τῶν ῥινῶν αἷμα ῥεῖ.

πολλάκις

πολλάκις δὲ καὶ αἷμα ἐμεῖ. σφακελίζεται δὲ ὁ ἐγκέφαλος, τρόπῳ τοιῷδε. ὁκόταν ἢ ὑπερθερμανθῇ ἢ ὑπερψυχθῇ, ἢ χολώδης ἢ φλεγματώδης γένηται μᾶλλον τοῦ εἰωθότος. ὅταν δέ τι τούτων πάθῃ, ὑπερθερμαίνει καὶ τὸν νωτιαῖον μυελόν. καὶ διαθερμαινόμενος καὶ οὗτος, ὀδύνην τῇ ῥάχει παρέχει. ἀψυχεῖ δὲ ὅταν προσίστηται πρὸς τὴν καρδίην φλέγμα ἢ χολή. προσίστασθαι δὲ ἀνάγκη, κεκινημένων καὶ ὑγρασμένων. ἱδρὼς δὲ γίνεται ὑπὸ πόνου. τὸ αἷμα δὲ ἐμεῖ, ὅταν αἱ φλέβες μὲν ἐν τῇ κεφαλῇ, ὑπὸ τοῦ ἐγκεφάλου θερμανθῶσιν. αἱ δὲ παρὰ τὴν ῥάχιν, ὑπὸ τῆς ῥάχιος. ἡ δὲ ῥάχις, ὑπὸ τοῦ νωτιαίου μυελοῦ. ὁ δὲ μυελὸς, ὑπὸ τοῦ ἐγκεφάλου ὅθενπερ πέφυκεν. ὅταν οὖν θερμανθῶσιν αἱ φλέβες, καὶ τὸ αἷμα ἐν αὐτῇσι συζέσῃ, διαδιδοῦσιν αἱ μὲν ἀπὸ τῆς κεφαλῆς, ἐς τὰς ῥῖνας. αἱ δ' ἀπὸ τῆς ῥάχιος αἱμοῤῥόοι, ἐς τὸ σῶμα. οὗτος τριταῖος ἀπόλλυται, ἢ πεμπταῖος ὡς τὰ πολλά.

Ἑτέρη νοῦσος. Ἐξαπίνης ὀδύνη λαμβάνει τὴν κεφαλὴν, καὶ παραχρῆμα ἄφωνος γίνεται, καὶ ἀκρατὴς ἑωυτοῦ. οὗτος ἀποθνήσκει ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν μή μιν πῦρ ἐπιλάβῃ. εἰ γὰρ ἐπιλάβῃ, ὑγιαίνει. πάσχει δὲ ταῦτα, ὅταν αὐτῷ μέλαινα χολὴ ἐν τῇ κεφαλῇ κινηθεῖσα ῥυῇ. καὶ μάλιστα καθ' ὃ τὰ πλεῖστά ἐστι φλέβια, ἐν τῷ τραχήλῳ φημὶ καὶ τοῖς στήθεσιν. ἔπειτα καὶ τῇ ἑξῆς ἀπόπληκτος γίνεται καὶ ἀκρατὴς, ἅτε τοῦ αἵματος ἐψυγμένου. καὶ ἢν κρατήσῃ ὥστε τὸ αἷμα θερμανθῆναι, ἤντε ὑπὸ τῶν προσφερομένων, ἤντε ὑφ' ἑωυτοῦ, μετεωρίζεταί τε καὶ διαχέεται καὶ κινέεται. καὶ τὴν πνοὴν ἐσάγεταί τε καὶ ἀφέει, καὶ χωρίζεται τῆς χολῆς, καὶ ὑγιὴς γίνεται. ἢν δὲ μὴ κρατήσῃ, ψύχεται μᾶλλον. καὶ ὅταν παντάπασι ψυχθῇ καὶ ἐκλείπῃ ἐξ αὐτοῦ τὸ θερμὸν, πήγνυται καὶ κινηθῆναι οὐ δύναται, ἀλλὰ ἀποθνήσκει. ἢν δὲ ἐκ θωρήξιων ταῦτα πάθῃ, καὶ γὰρ πάσχει ὑπὸ τῶν αὐτέων, καὶ ἀπόλλυται. Τερηδών. Ὅταν τερηδὼν γένηται ἐν τῷ ὀστέῳ, ὀδύνη λαμβάνει ἐκ τοῦ ὀστέου. χρόνῳ δὲ ἀφίσταται τὸ δέρμα ἀπὸ τῆς κεφαλῆς ἄλλῃ καὶ ἄλλῃ. οὗτος δὲ ταῦτα πάσχει ὥ τινι ἐν τῇ διπλόῃ τοῦ ὀστέου, ὅταν φλέγμα ἐπιγινόμενον ἀποξηρανθῇ. ταύτῃ γὰρ ἀραιὸν γίνεται καὶ ἐκλείπει ἐξ αὐτέου ἡ ἰκμὰς πᾶσα. καὶ ἅτε ξηροῦ ἐόντος, ἀφίσταται τὸ δέρμα ἀπ' αὐτοῦ. αὕτη ἡ νοῦσος οὐ θανάσιμός ἐστιν. Ἑτέρη νοῦσος. Ἢν βλητὸς γένηται, ἀλγέει τῆς κεφαλῆς τὸ πρόσθεν. καὶ τοῖσιν ὀφθαλμοῖσιν, οὐχ ὁμαλῶς ὁρᾷ. καὶ κωμαίνει. καὶ αἱ φλέβες σφύζουσι. καὶ πυρετὸς ἴσχει βληχρός. καὶ τοῦ σώματος ἀκρασίη. οὗτος ταῦτα πάσχει, ὅταν αἱ ἐν τῇ κεφαλῇ φλέβες θερμανθῶσιν. καὶ θερμανθεῖσαι, εἰρύσωσι φλέγμα ἐς ἑωυτάς. ἡ μὲν οὖν ἀρχὴ τῆς νούσου, ἐκ τούτου γίνεται. τὸ δὲ ἔμπροσθεν τῆς κεφαλῆς, διὰ τόδε ἀλγέει. ὅτι αἱ φλέβες ἐν ταύτῃ εἰσὶν αἱ παχύταται. καὶ ὁ ἐγκέφαλος ἐς τὸ πρόσω μᾶλλον κεῖται τῆς κεφαλῆς, ἢ ἐς τοὔπισθεν. καὶ τοῖσιν ὀφθαλμοῖσιν διὰ τοῦτο οὐχ ὁρᾷ προκειμένου τοῦ ἐγκεφάλου καὶ φλεγμαίνοντος. τὸ δὲ σῶμα διὰ τόδε, ἀκρασίαι ἴσχουσιν. αἱ φλέβες ἐπὴν ἐς ἑωυτὰς ἐρύσωσι φλέγμα, ἀνάγκη ὑπὸ ψυχρότητος τοῦ φλέγματος, τὸ αἷμα ἑστάναι μᾶλλον νῦν, ἢ ἐν τῷ πρὶν χρόνῳ, καὶ ἐψύχθαι. μὴ κινουμένου δὲ τοῦ αἵματος, οὐχ οἷόν τε μὴ οὐχὶ καὶ τὸ σῶμα ἀτρεμίζειν καὶ κεκωφῶσθαι. καὶ ἢν μὲν τὸ αἷμα καὶ τὸ ἄλλο σῶμα κρατήσῃ ὥστε διαθερμανθῆναι, διαφεύγει. ἢν δὲ τὸ φλέγμα κρατήσῃ, ἐπιψύχεται μᾶλλον τὸ αἷμα καὶ πήγνυται. καὶ ἢν ἐς τοῦτο ἐπιδιδοῖ ψυχόμενον καὶ πηγνύμενον, πήγνυται παντελῶς καὶ ἐμψύχεται ὁ ἄνθρωπος καὶ ἀποθνήσκει. Κυνάγχη. Κυνάγχη δὲ γίνεται, ὅταν ἐν τῇ κεφαλῇ φλέγμα κινηθὲν ῥυῇ, ἄλλοτε κάτω. καὶ στῇ ἐν τῇσι σιαγόσι, καὶ περὶ τὸν τράχηλον. οὗτος οὔτε τὸ σίαλον δύναται καταπίνειν. ἀναπνεῖ δέ τε βιαίως καὶ ῥέγχει. καὶ ἔστιν ὅτε καὶ πυρετὸς αὐτὸν ἴσχει. τὸ μὲν οὖν νόσημα ἀπὸ τούτου γίνεται. καὶ ἄλλοτε ὑπ' αὐτὴν τὴν γλῶτταν, ἄλλοτε ὑπὲρ τῶν στηθέων, ὀλίγον. Σταφυλή. Σταφυλὴ δὲ γίνεται, ὅταν ἐς τὸν γαργαρεῶνα καταβῇ φλέγμα ἀπὸ τῆς κεφαλῆς. καὶ κατακρήμναται καὶ γίνεται ἐρυθρός. ἢν δὲ πλείων χρόνος γένηται, μελαίνεται. μελαίνεται δὲ ὧδε. ἐπὶ φλεβός ἐστιν ὁ γαργαρεὼν παχέης. καὶ ἐπὴν φλεγμήνῃ, θερμαίνεται. καὶ ὑπὸ τῆς θερμασίης ἕλκει καὶ ἐκ τῆς φλεβὸς τοῦ αἵματος, καὶ μελαίνεται ὑπ' αὐτοῦ. διὰ τοῦτο δὲ καὶ ἢν μὴ ὀργῶντα τάμῃς, παραχρῆμα ἀποπαρθάζουσιν. ἡ γὰρ φλὲψ διαθερμαίνει, καὶ ὑπὸ τῆς θερμασίης ἐμπιπλεῖ τὰ περὶ τὸν γαργαρεῶνα αἵματος. καὶ δι' ὀλίγου ἀποπνίγονται. Ἀντιάδες. Ἀντιάδες

δὲ καὶ

δὲ καὶ ὑπογλωσσίδες. καὶ οὖλα. καὶ γλῶσσα. καὶ ὅσα τοιαῦτα ταύτῃ πεφυκότα, ταῦτα πάντα νοσεῖ ἀπὸ τοῦ φλέγματος. τὸ δὲ φλέγμα, ἀπὸ τῆς κεφαλῆς καταβαίνει. ἡ δὲ κεφαλὴ, ἐκ τοῦ σώματος ἕλκει. ἕλκει δὲ, ὅταν διαθερμανθῇ. διαθερμαίνεται δὲ, ὑπὸ σιτίων καὶ ἡλίου, καὶ πόνων, καὶ πυρός. ὅταν δὲ διαθερμανθῇ, ἕλκει τὸ λεπτότατον ἐς ἑωυτὴν ἐκ τοῦ σώματος. ὅταν δὲ εἰρύσῃ, καταβαίνει αὖ πάλιν ἐς τὸ σῶμα.

Νοῦσοι αἱ ἀπὸ τῆς κεφαλῆς γινόμεναι.

Ὅταν πλήρης γένηται ἡ κεφαλὴ, καὶ τύχῃ ὑπό τινος τούτων διαθερμανθεῖσα, νάρκην ἴσχει τὴν κεφαλήν. καὶ οὐρέει συχνά. καὶ τὰ ἄλλα πάσχει ἅπερ ὑπὸ στραγγουρίης. ὁ αὐτὸς ἡμέρας ἐννέα, ταῦτα πάσχει. καὶ ἢν μὲν ῥαγῇ κατὰ τὰς ῥῖνας, ἢ κατὰ τὰ ὦτα ὕδωρ καὶ βλέννα, ἀπαλλάττεται τῆς νούσου. καὶ παύεται τῆς στραγγουρίης. οὐρέει τε ἀπόνως. καὶ πουλὺ καὶ λευκὸν, ἐς τὰς εἴκοσιν ἡμέρας. καὶ ἡ ἐκ τῆς κεφαλῆς ὀδύνη ἐκλείπει. καὶ ἐκ τῶν ὀφθαλμῶν ἐσορῶντι κλέπτεταί οἱ ἡ αὐγή. καὶ δοκέει τὸ ἥμισυ τοῦ προσώπου ὁρᾶν. οὗτος τεσσαρακοσταῖος, ὑγιὴς παντελῶς γίνεται. ἐνίοτε δὲ πουλλοῖς ὑπανέστρεψεν ἡ νοῦσος ἑβδόμῳ ἔτει, ἢ τεσσαρεσκαιδεκάτῳ. καὶ τὸ δέρμα οἱ παχύνεται τὸ τῆς κεφαλῆς. καὶ ψαυόμενον ὑπείκει. καὶ ἀπ' ὀλίγων σιτίων, ἁπαλὸς καὶ εὔχροος φαίνεται, καὶ ἀκούει οὐκ ὀξέα. ὅταν οὕτως ἔχοντι ἐπιτύχῃς ἀρχομένῳ τῆς νούσου πρόσθεν ἢ ῥαγῆναι κατὰ τὰς ῥῖνας τὸ ὕδωρ, καὶ ἐπὶ τὰ ὦτα, καὶ ἔχει αὐτὸν ἡ περιωδυνίη, ἀποξυρήσαντα χρὴ αὐτοῦ τὴν κεφαλὴν, περιδέοντα περὶ τὸ μέτωπον τὸν ἀσκὸν τὸν σκύτινον, ὕδατος ἐμπιπλῶντα, ὡς ἂν ἀνέχηται θερμοτάτου, ἐᾶν αὐτὸν χλιαίνεσθαι. καὶ ἐπὴν ἀποψυχθῇ, ἕτερον ἔχειν. ἢν δὲ ἀσθενέῃ παύεσθαι. καὶ διαλιπὼν, αὖθις ποιέειν ταῦτα ἔστ' ἂν χαλάσῃ ἡ περιωδυνίη. καὶ ἢν ἡ κοιλίη μὴ ὑποχωρέῃ, ὑποκλύσαι αὐτόν. καὶ πιπίσκοντα τῶν οὐρητικῶν μελίκρητα διδόναι ἐπιπίνειν ὑδαρέα. καὶ θαλπέσθω ὡς μάλιστα. ῥοφανέτω δὲ τὸν χυλὸν τῆς πτισάνης, λεπτόν. ἢν δὲ ἡ γαστὴρ μὴ ὑποχωρέῃ, λινόζωστιν ἑψήσας ἐν ὕδατι τρίβων, διηθέων τὸν χυλὸν, συμμίσγειν ἴσον, τοῦ ἀπὸ τῆς πτισάνης χυλοῦ, καὶ τοῦ ἀπὸ τῆς λινοζώστιος, καὶ μέλι ὀλίγον παραμίσγειν τὸν χυλόν. τοῦτον ῥοφάνειν τρὶς τῆς ἡμέρης. καὶ ἐπιπίνειν οἶνον μελιχρὸν, ὑδαρέα, λευκὸν, ὀλίγον ἐπὶ τῷ ῥοφήματι. ἐπὴν δέ οἱ ῥαγῇ κατὰ τὰς ῥῖνας τὰ βλεννώδεα, καὶ οὐρέει παχὺ, καὶ τῆς ὀδύνης ἀπηλλαγμένος ἐκ τῆς κεφαλῆς, τῷ ἀσκῷ μηκέτι χρήσθω, ἀλλὰ λουόμενος πολλῷ θερμῷ, πινέτω τὰ διουρητικὰ καὶ μελίκρητα ὑδαρέα. καὶ τὰς μὲν πρώτας ἡμέρας κέγχρον λειχέτω. καὶ κολοκύντην ἐσθιέτω, ἢ τεῦτλα τρεῖς ἡμέρας. ἔπειτα σιτίοισι χρήσθω, ὡς μαλθακωτάτοισι καὶ διαχωρητικωτάτοισι, προστιθεὶς ὀλίγον ἀεὶ τῶν σιτίων. ἐπὴν δὲ τεσσαράκοντα ἡμέραι διέλθωσι, καθίσταται γὰρ μάλιστα ἡ νοῦσος ἐν τοσούτῳ χρόνῳ, καθήρας αὐτοῦ τὴν κεφαλὴν, πρότερόν οἱ φάρμακον δοὺς, κάτω κάθηρον, ἢν ὥρη ᾖ τοῦ ἔτεος. ἔπειτα ὀῤῥὸν μεταπίσαι ἑπτὰ ἡμέρας. ἢν δὲ ἀσθενήσῃ, ἐλάσσονας. ἢν δὲ ὑποστρέψῃ ἡ νοῦσος πυριάσας αὐτὸν ὅλον δι' αὔειον, δίδου ἐλλέβορον πίνειν. κἄπειτα διαλείπειν ὅσον ἄν σοι δοκέῃ χρόνον, καὶ τότε τὴν κεφαλὴν καθήρας κατωτερικὸν δοὺς φάρμακον, καῦσον τὴν κεφαλὴν ἐσχάρας ὀκτώ. δύο μὲν παρὰ τὰ ὦτα, δύο δὲ ὄπισθεν τῆς κεφαλῆς, ἔνθεν καὶ ἔνθεν ἐν τῇ κοτίδι. δύο ἐν τῇ ῥινὶ, παρὰ τοὺς κανθούς. τὰς φλέβας καίειν δὲ τὰς μὲν παρὰ τὰ ὦτα, ἔστ' ἂν παύσωνται σφύζουσαι. τοῖσι δὲ σιδηρίοισι, σφηνίσκους ποιησάμενος, διακαίειν πλαγίας τὰς φλέβας. ταῦτα ποιήσαντι, ὑγιέη ἐγγίνεται.

Ἄλλη νοῦσος.

Ἑλκέων καταπίμπλαται τὴν κεφαλὴν, καὶ τὰ σκέλεα οἰδίσκεται, ὥσπερ ἀπὸ ὑδρωποσίης. καὶ ἐν τῇσι κνήμῃσιν ἐμπλάσσεται. καὶ ἢν πιέσῃς, ἡ χροιὴ ἰκτερώδης. καὶ ἐκφύει ἕλκεα ἄλλοτε ἄλλῃ, μάλιστα δὲ περὶ τὰς κνήμας. καὶ φαίνεται πονηρὰ προσιδέειν. ἀποφλεγμήναντα δὲ ταχέως ὑγιέα γίνονται. καὶ πυρετὸς, ἄλλοτε καὶ ἄλλοτε λαμβάνει. ἡ δὲ κεφαλὴ, ἀεὶ θερμὴ γίνεται. καὶ ἐκ τῶν ὤτων ὕδωρ ῥέει. ὅταν οὕτως ἔχει, φάρμακόν οἱ δοῦναι, ὑφ' οὗ φλέγμα καὶ χολὴ καθαιρεῖται ἄνω. ἢν μὲν ψῦχος ᾖ, προπυριάσας καὶ λούσας θερμῷ. ἔπειτα διαλείπων ἡμέρας τρεῖς, τὴν κεφαλὴν καθῆραι. μετὰ δὲ κάτω φάρμακον πίσαι. ἢν δὲ ὥρη ᾖ, καὶ ὀῤῥὸν μεταπιέτω. εἰ δὲ μὴ, γάλα ὄνου. μετὰ δὲ τὰς καθάρσιας, σιτίοισιν ὡς ἐλαχίστοισι χρήσθω, καὶ διαχωρητικωτάτοισι. καὶ ἀλουτείτω. ἢν δὲ ἡ κεφαλὴ ἑλκῶται, τρύγα κατακαίων οἰνηρὴν, σμῆγμα ποιῶν σύμμισγε τῆς βαλάνου τὸ ἔκλεμμα, λεῖον τρίβων. λίτρον συμμίσγων ἴσον ἀπομίξας τούτοισι, λούσθω πολλῷ θερμῷ. χριέσθω δὲ τὴν κεφαλὴν, δαφνίδας

τρίψας

τρίψας καὶ κικίδας. καὶ σμύρναν. καὶ λιβανωτόν. καὶ ἀργυρείου ἄνθος. καὶ ὕειον ἄλειφα. καὶ δάφνινον ἔλαιον. ταῦτα μίξας χρίειν. τὸν δὲ μετὰ ταῦτα χρόνον, ἐμέτοισι χρήσθω τρὶς τοῦ μηνός. καὶ γυμναζέσθω καὶ θερμολουτεέτω. ἤν δέ σοι τάδε ποιέοντι, ἐκ μὲν τοῦ ἄλλου σώματος ἡ νοῦσος ἐξεληλύθῃ. ἐν δὲ τῇ κεφαλῇ ἐπὶ ἕλκεα οἱ γίνηται, καθήρας τὴν κεφαλὴν αὖθις, φάρμακον κάτω μεταπίσαι. ἔπειτα ξυρήσας τὴν κεφαλὴν, καταταμέειν τομὰς ἀραιάς. καὶ ἐπὴν ἀποῤῥυῇ τὸ αἷμα, ἀνατρίψαι. ἔπειτα ἔρια πινόεντα οἴνῳ ῥαίνων, ἐπιδεῖν. καὶ ἐπὴν ἀπολύσῃς, περισπογγίζειν καὶ μὴ βρέχειν. ἔπειτα κυπάρισσον ἐπιπάσσειν, ἐλαίῳ ὑποχρίων. τοῖσι δὲ εἰρίοισι ἐπιδέσμοισι χρήσθω, ἔστ' ἂν ὑγιὴς γένηται.

Ἄλλη νοῦσος.

Περιωδυνίη λαμβάνει τὴν κεφαλὴν, καὶ ἐπὴν κινήσῃ τις ἧσσον ἐμεῖ χολήν. ἐνίοτε δὲ καὶ δυσουρεῖ καὶ παραφρονέει. ἐπὴν δ' ἑβδομαῖος γένηται, ἐνίοτε ἀποθνήσκει. ἢν δὲ τὴν ἑβδόμην φύγῃ, καὶ ἐνναταῖος ἢ ἑνδεκαταῖος, ἢν μή οἱ ῥαγῇ κατὰ τὰς ῥῖνας, ἢ κατὰ τὰ ὦτα. ἢν δὲ ῥαγῇ, ὑπεκφυγγάνει. ῥεῖ δὲ ὑπόχολον ὕδωρ. ἔπειτα τῷ χρόνῳ, πύον γίνεται ἐκ σαπέν. ὅταν οὖν οὕτως ἔχῃ, ἕως μὲν ἂν ἡ περιωδυνίη ἔχῃ κατ' ἀρχὰς, πρὶν ῥαγῆναι ἐκ τῶν ῥινῶν καὶ τῶν ὤτων, σπόγγους ἐν ὕδατι θερμῷ βρέχων, ἅσσον προστιθέναι πρὸς τὴν κεφαλήν. ἢν δὲ μὴ τοιούτοισι χαλᾷ, τῷ ἀσκῷ χρῆσθαι τῷ αὐτῷ τρόπῳ, ὥσπερ ἐπὶ τῆς προτέρης. πινέτω δὲ μελίκρητα ὑδαρέα. ἢν δὲ μὴ ἀπὸ τοῦ μελικρήτου, τὸ ἀπὸ τῶν κριμνῶν ὕδωρ πινέτω. ῥοφανέτω δὲ τὸν χυλὸν τῆς πτισάνης, καὶ ἐπιπινέτω λευκὸν οἶνον ὑδαρέα. ἐπὴν δὲ ῥαγῇ κατὰ τὰ ὦτα, καὶ πυρετὸς ἀνῇ, καὶ ἡ ὀδύνη, σιτίοισι χρήσθω διαχωρητικοῖσιν, ἀρξάμενος ἐξ ὀλίγων, προστιθεὶς ἀεί. καὶ λούσθω θερμῷ κατὰ τῆς κεφαλῆς. καὶ τὰ ὦτα διακλύζειν ὕδατι καθαρῷ. καὶ ἐντιθέτω σπογγίαν μέλιτι ἐμβάπτων. ἢν δέ τοι μὴ ξηραίνηται οὕτως, ἀλλὰ χρόνιον γένηται τὸ ῥεῦμα, διακλύσας, ἐμβάλλειν ἀργύρου ἄνθος. σανδαράχην. ψιμμύθιον, ἴσον ἑκάστου, λεῖα τρίβων ἐμπιπλεὶς τὸ οὖς, σάσσειν. καὶ ἢν παραῤῥέῃ ἐπεμβάλλειν τοῦ φαρμάκου. ἐπὴν δὲ ξηρὸν γένηται τὸ οὖς, ἐκκαθήρας, ἐκλύσαι τὸ φάρμακον. ἔπειτα, κωφὸν γὰρ γίνεται τὸ πρῶτον ἀποξηρανθὲν, πυριᾶν αὐτὸν βληχροῖσι πυρίῃσι τὰ ὦτα. καταστήσεται γὰρ οὕτω, μόλις δὲ ἐν χρόνῳ. ἀποθνήσκουσι δὲ καὶ ἢν τὸ οὖς περιωδυνίῃ γινομένῃ μὴ ῥαγῇ ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν. ἢ ὥσπερ λούειν πολλῷ θερμῷ, καὶ σπόγγους ἐν ὕδατι θερμῷ βρέχων, ἐκπιέσας χλιαροὺς, προστιθέναι πρὸς τὸ οὖς. ἢν δὲ μὴ δὲ οὕτω ῥήγνυται, πυριᾶν αὐτῷ τὸ οὖς. ῥοφήμασι δὲ καὶ πόμασι, τοῖσιν αὐτοῖσι χρῆσθαι, οἷσι περ ἐπὶ τοῖσι πρόσθεν.

Ἑτέρη νοῦσος.

Ἢν ὕδωρ ἐπὶ τῷ ἐγκεφάλῳ γένηται, ὀδύνη ὀξέη ἴσχει διὰ τοῦ βρέγματος καὶ τῶν κροτάφων ἄλλοτε ἄλλῃ. καὶ ῥῖγος καὶ πυρετὸς ἄλλοτε καὶ ἄλλοτε. καὶ τὰς χώρας τῶν ὀφθαλμῶν ἀλγέει καὶ ἀμβλυώσσει. καὶ ἡ κόρη σχίζεται καὶ δοκέει ἐκ τοῦ ἑνὸς δύο ὁρᾶν. καὶ ἢν ἀναστῇ, σκοτοδινίη μιν λαμβάνει. καὶ τὸν ἄνεμον οὐκ ἀνέχεται. οὐδὲ τὸν ἥλιον. καὶ τὰ ὦτα τέτριγε. καὶ τῷ ψόφῳ ἄχθεται ἀκούων. καὶ ἐμεῖ σίελα καὶ λάπην, ἐνίοτε δὲ καὶ τὰ σιτία. καὶ τὸ δέρμα λεπτύνεται τῆς κεφαλῆς, καὶ ἥδεται ψαυόμενος. ὅταν οὕτως ἔχῃ, πρῶτον μὲν δοῦναί οἱ πιεῖν φάρμακον ἄνω, ὅ,τι φλέγμα ἄξει. καὶ μετὰ ταῦτα τὴν κεφαλὴν καθῆραι. ἔπειτα διαλείπων φάρμακον πίσαι κάτω. ἔπειτα σιτίοισιν ἀνακομίζειν αὐτὸν, ὡς ὑποχωρητικωτάτοισιν, ὀλίγα ἀεὶ προστιθείς. ἕως ἂν δὲ κατεσθίῃ ἤδη τὰ σιτία ἀρκοῦντα, ἐμέτοισι χρήσθω νῆστις, τῷ φακέῳ συμμίσγων μέλι καὶ ὄξος, λάχανα προτρώγων. καὶ τῇ ἡμέρῃ ταύτῃ ἂν ἐμέσῃ, πρῶτον μὲν κυκεῶνα πινέτω λεπτόν. ἔπειτα ἐς ἑσπέρην, σιτίοισιν ὀλίγοισι χρήσθω. καὶ ἀλουτεέτω. καὶ περιπατέτω ἀπὸ τῶν σιτίων, καὶ ὄρθρου φυλασσόμενος τὸν ἄνεμον καὶ τὸν ἥλιον. καὶ πρὸς πῦρ μὴ προσιέτω. καὶ ἢν μὲν τοιαῦτα ποιήσαντι ὑγιὴς γένηται, εἰ δὲ μὴ, προκαθήρας αὐτὸν τοῦ ἦρος, πρότερον μὲν ἐλλεβόρῳ, ἔπειτα καὶ ἐς τὰς ῥῖνας ἐγχέαι φάρμακον. καὶ διαλιπὼν ὀλίγον χρόνον, κάτω καθῆραι. ἔπειτα ἀνακομίσας σιτίοισιν, εἶτα καταταμὼν τὴν κεφαλὴν κατὰ τὸ βρέγμα, τρυπῆσαι πρὸς τὸν ἐγκέφαλον καὶ ἐνθεῖναι ὡς πρίσμα.

Ἄλλη νοῦσος.

Ῥῖγος, ὀδύνη καὶ πυρετὸς ἴσχει διὰ τῆς κεφαλῆς, μάλιστα δὲ ἐς τὸ οὖς, καὶ ἐς τοὺς κροτάφους, καὶ ἐς τὸ βρέγμα. καὶ τὰς χώρας τῶν ὀφθαλμῶν ἀλγέει. καὶ αἱ ὀφρύες δοκέουσιν οἱ ἐπικέεσθαι. καὶ τὴν κεφαλὴν βάρος ἔχει. καὶ ἤν τις μιν κινήσῃ, οὐρήσει. καὶ οὐρέει πουλὺ καὶ ῥηϊδίως. καὶ τοὺς ὀδόντας ναρκᾷ, καὶ αἱμωδίη ἔχει. καὶ αἱ φλέβες αἴρονται. καὶ σφύζουσι τῇ κεφαλῇ. καὶ οὐκ ἀνέχεται ἠρεμέων, ἀλλ' ἀλύει καὶ ἀλλοφρονέει ὑπὸ τῆς ὀδύνης. τούτῳ ἢν μὲν κατὰ τὰς ῥῖνας, ἢ κατὰ

τὰ ὦτα ῥαγῇ, ὕδρωψ ῥεῖ ὑπόπυος, καὶ ὑγιὴς γίνεται. ἢν δὲ μὴ ἀποθνήσκει ἐν ἑπτὰ ἡμέρῃσιν ὡς τὰ πολλά. αὕτη ἡ νοῦσος γίνεται μάλιστα ἐκ λιπυρίης, ἐπὴν ἀπαλλαγεὶς τοῦ πυρὸς ἀκάθαρτος ἐὼν, ἢ σιτίων ἐμπλησθήσεται, ἢ θωρήξεται, ἢ ἐν ἡλίῳ κάμῃ. ὅταν οὕτως ἔχῃ, πρῶτον μὲν ἀφεῖναι ἀπὸ τῆς κεφαλῆς τοῦ αἵματος, ὁπόθεν ἄν σοι δοκέῃ. ἐπὴν δὲ ἀφῇς τὴν κεφαλὴν ξυρήσας, ψύγματα οἱ προσφέρειν. καὶ ἢν μὴ ὑποχωρέῃ ἡ γαστὴρ, ὑποκλύσαι. πίνειν δὲ διδόναι τὸν ἀπὸ τῆς πτισάνης χυλὸν ψυχρὸν, καὶ ἐπιπίνειν ὕδωρ. ἢν δέ οἱ πρὸς τὰ ψύγματα μὴ χαλᾷ μεταβαλὼν, τῷ ἀσκῷ χρῆσθαι καὶ θερμαίνειν. ἐπὴν δὲ παύσηται ἡ ὀδύνη, σιτίοισι χρῆσθω διαχωρητικοῖσι, καὶ μὴ ἐμπιπλάσθω. ἐπὴν δὲ γένηται εἰκοσταῖος πεπαυμένης τῆς ὀδύνης, πυριήσας αὐτοῦ τὴν κεφαλὴν πρὸς τὰς ῥῖνας φάρμακον προσθεῖναι. καὶ διαλιπὼν ἡμέρας τρεῖς, φάρμακον πῖσαι κάτω.

Ἑτέρη νοῦσος.

Ἢν ὑπερεμήσαντα τὰ φλέβια, τὰ αἱματα τὰ περὶ τὸν ἐγκέφαλον, θερμήνῃ τὸν ἐγκέφαλον, πυρετὸς ἴσχει ἰσχυρὸς καὶ ὀδύνη ἐς τοὺς κροτάφους, καὶ τὸ βρέγμα, καὶ ἐς τοὔπισθεν τῆς κεφαλῆς. καὶ τὰ ὦτα ἠχεῖ, καὶ πνεύματος ἐμπίπλαται, καὶ ἀκούει οὐδέν. καὶ ἀλύει. καὶ ῥιπτάζει αὐτὸς ἑωυτὸν ὑπὸ τῆς ὀδύνης. οὗτος ἀποθνήσκει πεμπταῖος, ἢ ἑκταῖος. ὅταν οὕτως ἔχῃ, θερμαίνειν αὐτοῦ τὴν κεφαλήν. ἢν γὰρ ῥαγῇ διὰ τῶν ὤτων ἢ τῶν ῥινῶν ὕδωρ, οὗτος ἐκφυγγάνει τὸν ὄλεθρον. ἢν δὲ φύγῃ τὰς ἡμέρας τὰς ἕξ, διαιτᾶν αὐτὸν ὥσπερ τὴν προτέρην.

Ἑτέρη νοῦσος.

Ἢν ὑπερεμήσωσιν αἱ φλέβες ἐς τὴν κεφαλὴν, ὀδύνη ἔχει βραχέη τὴν κεφαλὴν πᾶσαν, καὶ ἐς τὸν τράχηλον. καὶ μεταβάλλει, ἄλλοτε ἄλλα τῆς κεφαλῆς. καὶ ἐπειδὰν ἀναστῇ, σκοτοδινίη μιν ἴσχει. πυρετὸς δὲ οὐ λαμβάνει. ὅταν οὖν οὕτως ἔχῃ, ξυρήσας τὴν κεφαλὴν, ἢν μὴ τοῖσι χλιάσμασιν ὑπακούῃ, σχίσαι ἀπὸ τῆς κεφαλῆς τὸ μέτωπον, ᾗ ἀπολήγει τὸ δασύ. ἐπὴν δὲ τάμῃς διαστείλας τὸ δέρμα ὅταν ἀποῤῥυῇ τὸ αἷμα, ἅλσι λεπτοῖσι διαπάσαι. ἐπὴν δέ τοι τὸ αἷμα ἀποῤῥυῇ, συνθεὶς τὴν τομὴν, κρόκῃ διπλῇ κατειλίξαι πᾶσαν αὐτήν. ἔπειτα περιχρίσας τῇ κηροπίσσῳ σπληνίσκον, ἐπιθεὶς κάτω ἐπὶ τῷ ἕλκει, ἔρειον πινόεν ἐπιτιθεὶς, καταδῆσαι. καὶ μὴ λῦσαι ἄχρις ἑπτὰ ἡμερέων, ἢν μὴ ὀδύνη ἔχῃ. ἢν δὲ ἔχῃ, ἀπολύσασθαι. διδόναι δὲ ἐς ἂν ὑγιὴς γένηται, πίνειν μὲν τὸ ἀπὸ τοῦ κρίμνου. ῥοφάνειν δὲ τὸν χυλὸν τῆς πτισάνης, καὶ ἐπιπίνειν ὕδωρ.

Ἑτέρη νοῦσος.

Ἢν δὲ χολᾷ ὁ ἐγκέφαλος, πυρετὸς ἴσχει βληχρός. καὶ ῥῖγος. καὶ ὀδύνη διὰ τῆς κεφαλῆς πάσης. μάλιστα δὲ ἐς τοὺς κροτάφους, καὶ ἐς τὸ βρέγμα, καὶ ἐς τὰς χώρας τῶν ὀφθαλμῶν. καὶ αἱ ὀφρύες ἐπικρέμασθαι δοκέουσι. καὶ ἐς τὰ ὦτα, ὀδύνη ἐσφοιτᾷ. καὶ ἐνίοτε καὶ κατὰ τὰς ῥῖνας χολὴ ῥεῖ. καὶ ἀμβλυώσσουσι τοῖσιν ὀφθαλμοῖσι. καὶ τοῖσι μὲν πλείστοισιν, ἐς τὸ ἥμισυ τῆς κεφαλῆς ἡ ὀδύνη ἐσφοιτᾷ. γίνεται δὲ καὶ ἐν πάσῃ τῇ κεφαλῇ. ὅταν οὕτως ἔχῃ, ψύγματά οἱ προστιθέναι πρὸς τὴν κεφαλήν. καὶ ἐπὴν ἥ τε ὀδύνη καὶ τὸ πνεῦμα παύηται, σελίνου χυλὸν ἐς τὰς ῥῖνας ἐνστάζειν. καὶ μὴ λουέτω ἕως ἂν ἡ ὀδύνη ἔχῃ. καὶ ῥοφανέτω κέγχρον λεπτὸν, μέλι ὀλίγον παραχέων. καὶ πινέτω ὕδωρ. ἢν δὲ μὴ ὑποχωρέῃ, κράμβας ἐσθιέτω καὶ τὸν χυλὸν ῥοφανέτω. ἢν δὲ μὴ, τῆς αὐτῆς τῶν φύλλων τὸν αὐτὸν τρόπον. καὶ ἐπήν τοι δοκέῃ καιρὸς εἶναι, σιτία προσφέρειν οἱ ὡς ὑποχωρητικώτατα. καὶ ἢν ἀπηλλαγμένου τοῦ ῥεύματος καὶ τῆς ὀδύνης, ὑπὲρ τῆς ὀσφύος αὐτῷ βάρος τι γένηται κατὰ τὸν μυξωτῆρα, ἢν μύξα παχέη ἢ καὶ σαπρὴ, πυριήσας αὐτὸν ὄξει καὶ ὕδατι καὶ ὀριγάνῳ, ἔπειτα λούσας θερμῷ ὕδατι, προσθεῖναι τὸ ἄνθος τοῦ χαλκοῦ, καὶ τὴν σμύρναν πρὸς τὰς ῥῖνας. ταῦτα ποιήσας, ὡς τὰ πουλλὰ ὑγιῆ δείξεις. ἡ δὲ νοῦσος, οὐ θανατώδης.

Ἑτέρη νοῦσος.

Ἢν σφακελίσῃ ὁ ἐγκέφαλος, ὀδύνη λάζεται ἐκ τῆς κοτίδος ἐς τὴν ῥάχιν. καὶ ἐπὶ τὴν καρδίην καταφοιτᾷ ψῦχος. καὶ ἱδρὼς ἐξαπίνης καινὸς τελέθει. καὶ διὰ τῶν ῥινῶν αἷμα ῥεῖ. πολλοὶ δὲ καὶ ἐμέουσιν. οὗτος ἐν τρισὶν ἡμέρῃσιν ἀποθνήσκει. ἢν δὲ τὰς ἑπτὰ ἡμέρας ὑπερφύγῃ, οὐχ ὑπερφεύγουσι δὲ οἱ πολλοί. ἢν οὖν τὸ αἷμα ἐμέῃ ἢ ἐκ τῶν ῥινῶν ῥέῃ, μήτε λούειν αὐτὸν θερμῷ, μήτε χλιάσματα προσφέρειν. πίνειν δὲ διδόναι, ὄξος λευκὸν ὑδαρέα κιρνῶν. καὶ ἢν ἀσθενέῃ, τῆς πτισάνης ῥοφάνειν. ἢν δὲ πλείονός σοι δοκέῃ τοῦ δικαίου ἐμέειν τὸ αἷμα, ἢ ἐκ τῶν ῥινῶν οἱ ῥέῃ, ἀπὸ μὲν τοῦ ἐμέτου πινέτω ἄλητον σητάνιον ἐπὶ ὕδωρ ἐπιπάσσων. ἢν δὲ ἐκ τῶν ῥινῶν ῥέῃ καὶ ἀποδείτω τὰς φλέβας τὰς ἐν τοῖσι βραχίοισι, καὶ τὰς ἐν τοῖσι κροτάφοισι, σπληνίας ὑποτιθείς. ἢν δὲ τὸ τῶν οἱ μὴ δι' ἑτέρου ἐῇ, ἀλγέει δὲ τὴν κοτίδα, καὶ τὸν τράχηλον, καὶ τὴν ῥάχιν, καὶ ἐπὶ τὴν καρδίην ἴῃ τὸ ψῦχος, χλιαίνειν ἐν τοῖσιν ὀρόβοισι τὰ στέρνα, καὶ τὸν νῶτον. καὶ τὴν κοτίδα. καὶ τὸν τράχηλον. ταῦτα ποιέων, μάλιστα ἂν ὠφελέοι. ἐκφεύγουσι δὲ τὴν τοιαύτην νοῦσον, ὀλίγοι.

Ἑτέρη

Ἑτέρη νοῦσος. Ἐξαπίνης ὑγιαίνοντα, ὀδύνη ἔλαβε τὴν κεφαλήν. καὶ παραχρῆμα ἄφωνος γίνεται. καὶ ῥέγχει. καὶ τὸ στόμα κέχηνε. καὶ ἤν τις αὐτὸν καλέῃ ἢ κινήσῃ, στενάζει μοῦνον. συνίει δὲ οὐδέν. καὶ οὐρεῖ πολύ. καὶ οὐκ ἐπαΐει οὐρέων. οὗτος ἢν μὴ πυρετὸς λάβῃ, ἐν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκει. ἢν δὲ λάβῃ, ὡς τὰ πολλὰ ὑγιὴς γίνεται. ἡ δὲ τοιαύτη νοῦσος πρεσβυτέροισι μάλιστα γίνεται, ἢ νεωτέροισι. τοῦτον ὅταν οὕτως ἔχῃ, λούειν χρὴ πολλῷ καὶ θερμῷ. καὶ θάλπειν ὡς μάλιστα. καὶ ἐνστάζειν μελίκρητον χλιαίνων ἐς τὸ στόμα. ἢν δὲ ἔμφρων γένηται καὶ ἐκφύγῃ τὴν νοῦσον, ἀνακομίσας αὐτὸν σιτίοισιν, ἐπάν σοι δοκέῃ ἰσχύειν, ἐς τὰς ῥῖνας ἐνθεὶς αὐτῷ φάρμακον, καὶ διαλιπὼν ὀλίγας ἡμέρας, κατωτερικὸν δὸς πιεῖν. ἢν γὰρ μὴ καθήρῃς, δεῖμα αὖθις τὴν νοῦσον ὑποστρέψαι. ἐκφυγγάνουσι δὲ οὐ μάλα ἐκ τῆς πρώτης.

Ἑτέρη νοῦσος. Ἢν δὲ ἐκ θώρηξιος ἄφωνος γένηται, ἢν μὲν αὐτίκα δὴ καὶ παραχρῆμα λάβῃ μιν πυρετὸς, ὑγιὴς γίνεται. ἢν δὲ μὴ λάβῃ, τριταῖος ἀποθνήσκει. ἢν δὲ μὴ οὕτως ἔχοντι ἐπιτύχῃς, λούειν πολλῷ καὶ θερμῷ. καὶ πρὸς τὴν κεφαλὴν σπόγγους ἐν ὕδατι βάπτων θερμῷ, προστιθέναι. καὶ ἐς τὰς ῥῖνας κρόμμυα ἀπολέπων ἐντιθέναι. οὗτος ἢν μὲν ἀνατείνας τοὺς ὀφθαλμοὺς καὶ φθεγξάμενος παρ' ἑωυτῷ γένηται καὶ μὴ φλυαρῇ, τὴν μὲν ἡμέρην ταύτην κεῖται κωμαίνων. τῇ δ' ὑστεραίῃ ὑγιὴς γίνεται. ἢν δ' ἀνιστάμενος χολὴν ἐμέῃ μαίνεται καὶ ἀποθνήσκει μάλιστα ἐν πέντε ἡμέρῃσιν, ἢν μὴ κατακοιμηθῇ. τοῦτον οὖν χρὴ τάδε ποιέειν. λούειν πολλῷ καὶ θερμῷ, ἕως τ' ἂν αὐτὸς ἐς ἑωυτὸν παρῇ. ἔπειτα ἀλείψας ἀλείφατι πολλῷ κατακλῖναι ἐς στρώματα μαλθακῶς, καὶ ἐπιβάλλειν ἱμάτια. καὶ μήτε λύχνον καίειν παρ' αὐτῷ, μήτε φθέγγεσθαι. ὡς γὰρ ἐπὶ τὸ πολὺ ἐκ τοῦ λουτροῦ κατακοιμᾶται. καὶ ἢν κοιμηθῇ ὑγιὴς γίνεται. ἐπὴν δὲ παρ' ἑωυτὸν γένηται, τὰς πρώτας ἡμέρας τρεῖς ἢ τέσσαρας, διδόναι κέγχρον λεπτὸν ῥοφάνειν, ἢ πτισάνης χυλόν. καὶ οἶνον μελιτοειδέα πίνειν. ἔπειτα σιτίοισι χρῆσθαι, ὡς μαλθακοῖσι καὶ ὀλίγοισιν τοπρῶτον.

Σφάκελος ἐγκεφάλου. Ἢν σφάκελος λάβῃ, ἡ ὀδύνη ἴσχει μάλιστα τὸ πρόσθεν τῆς κεφαλῆς ἐκ τοῦ κατὰ μικρόν. καὶ ἀνοιδέει. καὶ πελιδνὸν γίνεται. καὶ πυρετὸς καὶ ῥῖγος καταλαμβάνει. ὅταν οὕτως ἔχῃ, ταμεῖν χρὴ, ἵν' ἐξοιδέει. καὶ διακαθήραντα τὸ ὀστέον, ξύσαι ἕως ἂν ἀφίκηται ἐς τὴν διπλοΐδα. εἶτα ἰῆσθαι ὡς κάτηγμα.

Τερηδών. Ὅταν τερηδὼν γένηται ἐν τῷ ὀστέῳ, ὀδύνη λαμβάνει ἀπὸ τούτου τὸ ὀστέον. τῷ δὲ χρόνῳ λεπτὸν γίνεται. καὶ ἀναφυσᾶται. καὶ γίνεται ἐπ' αὐτῷ κάτηγμα. καὶ ἢν τοῦτον ἀνατάμῃς, εὑρήσεις ἀνατεῖνον ὀστέον καὶ τρηχὺ καὶ πυῤῥόν. ἐνίοισι δὲ καὶ διαβεβρωμένον πρὸς τὸν ἐγκέφαλον. ὅταν οὕτως ἔχοντι ἐπιτύχῃς, ἢν μὲν ἐκπέρην διαβεβρωμένον, ἐᾶν ἄκεστον. καὶ ἰῆσθαι ὡς τάχιστα τὸ ἕλκος. ἢν δὲ τετρωμένον μὲν μὴ ἔῃ. τρηχὺ δὲ ξύσας μέχρι τῆς διπλοΐδος, ἰῆσθαι ὥσπερ τὴν πρόσθεν.

Ἑτέρη νοῦσος. Ἢν βλητὸς γένηται, καὶ ἀλγέει τὸ πρόσθεν τῆς κεφαλῆς. καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐ δύναται ὁρᾶν. ἀλλὰ κῶμά μιν ἔχει. καὶ ἢν αἱ φλέβες ἐν τοῖσι κροτάφοισι σφύζωσι. καὶ πυρετὸς βληχρὸς ἔχῃ. καὶ τοῦ σώματος παντὸς ἀκρησίη, καὶ μινύθῃ. ὅταν οὕτως ἔχῃ, καὶ λούειν αὐτὸν θερμῷ πολλῷ. καὶ χλιάσματα πρὸς τὴν κεφαλὴν προστιθέναι. ἐκ δὲ τῆς πυρίης ἐγχέειν ἐς τὰς ῥῖνας σμύρναν καὶ ἄνθος χαλκοῦ. ῥοφάνειν δὲ τὸν χυλὸν τῆς πτισάνης. καὶ πίνειν ὕδωρ. καὶ ἢν μὲν ταῦτα ποιέοντι ῥάων γένηται. εἰ δὲ μὴ, ταύτῃ γὰρ μόνη ἐλπὶς, σχίσαι αὐτοῦ τὸ βρέγμα. καὶ ἐπὴν ἀποῤῥυῇ τὸ αἷμα, συνθεὶς τὰ χείλεα, ἰῆσθαι. καὶ καταδῆσαι. ἢν δὲ μὴ σχίσῃς, ἀποθνήσκει ὀκτωκαιδεκαταῖος, ἢ εἰκοσταῖος ὡς τὰ πολλά.

Κυνάγχη. Πυρετὸς λαμβάνει καὶ ῥῖγος καὶ ὀδύνη τὴν κεφαλήν. καὶ τὰ σιαγόνια οἰδίσκεται. καὶ τὸ σίαλον χαλεπῶς καταπίνει. ἀποπτύει δὲ καὶ τὰ σίαλα σκληρὰ κατ' ὀλίγα. καὶ ἐν τῇ φάρυγγι κάτω ῥέγχει. καὶ ἢν καταλαβὼν τὴν γλῶτταν σκέπτῃ, ὁ μὲν γαργαρεὼν οὐ μέγας, ἀλλὰ λαπαρός. ἡ δὲ φάρυγξ ἔσωθεν σιάλου γλίσχρου ἔμπλεως, καὶ οὐ δύναται ἐκχρέμπτεσθαι. καὶ οὐκ ἀνέχεται κεῖσθαι, ἀλλ' ἢν κατακέηται πνίγεται. τοῦτον ἢν οὕτως ἐπιτύχῃς ἔχοντα, ποιέειν τάδε. πρῶτον μὲν σικύας προσβάλλειν πρὸς τὸν σπόνδυλον τὸν ἐν τῷ τραχήλῳ, τὸν πρῶτον. ἔπειτα παραξυρήσας ἐν τῇ κεφαλῇ καὶ παρὰ τὸ οὖς, τιθέναι ἔνθεν καὶ ἔνθεν. καὶ ἐπὴν ἀποσφίγξῃς τὴν σικύην, ἐᾶν προσκέεσθαι ὡς πλεῖστον χρόνον. ἔπειτα πυρίαν αὐτὸν ὄξει καὶ λίτρῳ καὶ ὀριγάνῳ καὶ καρδάμου σπέρματι, τρίψας λεῖα, κεράσας τὸ ὄξος ἰσόχοον ὕδατι. καὶ ἄλειφα ὀλίγον ἐπιστάξας, διεῖναι τοῦτο. ἔπειτα ἐς χυτρίδα ἐγχέας ἐπιθεὶς ἐπίθημα κάλαμον ἐνθεῖναι κοῖλον. ἔπειτα ἐπιθεὶς ἐπ' ἄνθρακας, ἀναζέσαι. καὶ ἐπὴν διὰ τοῦ

αὐλοῦ τοῦ καλάμου ἡ ἀτμὶς ἀνίῃ περιχάσκων ἑλκέτω ἔσω τὴν ἀτμίδα, φυλασσόμενος μὴ κατακαύσῃ τὴν φάρυγγα. ἔξωθεν δὲ σπόγγους βάπτων ἐς ὕδωρ θερμὸν, προστιθέσθω πρὸς τὰς γνάθους καὶ τὰ σιαγόνια. ἀναγαργαρίζειν δὲ αὐτῷ ποιέειν, ὀρίγανον καὶ θύμβραν, καὶ σέλινον, καὶ μίνθην, καὶ λίτρον ὀλίγον. μελίκρητόν τε κεράσας ὑδαρὲς, ὄξος ὀλίγον ἐπιστάξαι. λεῖα τρίψας τὰ φύλλα τῶν προειρημένων βοτανῶν, καὶ τὸ λίτρον τοῦτο δὶς χλιήνας, ἀναγαργαριζέτω. ἢν δὲ τὸ σίαλον ἴσχηται, μύρτου λαβὼν κλάδον λεῖον ποιήσας, καὶ τὸ ἄκρον αὐτῆς ἐπικάμψας τὸ ἁπαλὸν, κατειλίξας αὐτὸ ἐν εἰρίῳ μαλθακῷ καθορῶν ἐς τὴν φάρυγγα, τὸ σίαλον ἐκκαθαίρειν. καὶ ἢν ἡ γαστὴρ μὴ ὑποχωρέῃ, βάλανον προστιθέναι, ἢ ὑποκλύζειν. ῥοφανέτω δὲ τὸν χυλὸν τῆς πτισάνης, καὶ ὕδωρ ἐπιπινέτω. εἰ δέ οἱ οἴδημα ἐκφύῃ καὶ οἰδίσκεται πρὸς τὰ στήθεα καὶ ἐρυθρὸν ἔῃ, καὶ καίηται, ἐλπίδες πλέονες σωτηρίης. ποιέειν δέ οἱ τάδε, ἐπὴν ἔξω τράπηται τὸ φλέγμα, σεῦτλα ἐμβάπτων ἐς ὕδωρ ψυχρὸν, προστιθέναι. ἀναγαργαριζέτω δὲ χλιαροῖσι καὶ ἀλουτεέτω. ταῦτα ποιέων, μάλιστα ἂν ἐκφυγγάνῃ. ἡ δὲ νοῦσος θανατώδης. καὶ ἐκφυγγάνουσιν ὀλίγιστοι.

Ἑτέρα κυνάγχη.

Πυρετὸς καὶ ὀδύνη λαμβάνει τὴν κεφαλήν. καὶ ἡ φάρυγξ φλεγμαίνει. καὶ τὰ σιαγόνια. καὶ τὸ σίαλον καταπίνειν οὐ δύναται. πτύει δὲ παχὺ καὶ πολλόν. καὶ φθέγγεται χαλεπῶς. ὅταν οὕτως ἔχῃ, πρῶτον μὲν σικύην προσβάλλειν, τὸν αὐτὸν τρόπον, ὥσπερ καὶ ἄνωθεν εἴπομεν. ἔπειτα προσίσχειν σπόγγον βρέχων ἐν ὕδατι θερμῷ, πρὸς τὸν τράχηλον καὶ τὰ σιαγόνια. ἀναγαργαρίζειν δὲ διδόναι, μελίκρητον ὑδαρές. ῥοφάνειν δὲ ἀναγκάζειν τὸν χυλὸν τῆς πτισάνης. ἢν δέ οἱ τὰ τοιαῦτα ποιέοντι τὸ σίαλον μὴ ἐξίῃ, πυριᾶν τὸν αὐτὸν τρόπον, ὥσπερ ἐν τῇ πρόσθεν. ἢν δέ οἱ ἐς τὰ στήθεα τράπηται, ἢ ἐς τὸν τράχηλον τὸ φλέγμα, σεῦτλα ἢ κολοκύντας κατατάμνων, ἐμβαλὼν ἐς ὕδωρ χλιαρὸν, ἐπιρροφανέτω καὶ πινέτω ψυχρὸν, ὅπως τὸ σίαλον εὐπετέστερον ἀποχρέμπτηται. ὅταν δὲ ἐξοιδήσῃ ἐς τὰ στήθεα, οἱ πλέονες ἐκφεύγουσιν. ἢν δὲ τῆς φάρυγγος καθεστηκυίης, καὶ τῶν οἰδημάτων στραφῇ ἐς τὸν πλεύμονα ἡ νοῦσος, πυρετὸς εὐθὺς ἐπανέλαβε καὶ ὀδύνη τοῦ πλευροῦ, καὶ ὡς ἐπὶ τὸ πολὺ ἀπέθανε, ἐπ᾽ ἂν τοῦτο γένηται. ἢν δ᾽ ὑπερφύγῃ ἡμέρας πέντε, ἔμπυος γίνεται, ἢν μὴ μὲν βὴξ ἐπιλάβῃ αὐτίκα. ἢν δὲ ὑπολάβῃ, ὑποχρεμψάμενος καὶ ἀποκαθαρθεὶς, ὑγιὴς γίνεται. τοῦτον ἐς τ᾽ ἂν ἡ ὀδύνη τὸ πλευρὸν ἔχῃ, χλιαίνειν τὸ πλευρὸν, καὶ προσφέρειν ὅσα τῇ περιπλευμονίῃ. ἢν δὲ ὑπερφύγῃ τὰς πέντε ἡμέρας, καὶ ὁ πυρετὸς ἀνῇ, ἡ δὲ βὴξ ἔχῃ, τὰς μὲν πρώτας ἡμέρας, ῥοφήμασι διαχρῆσθαι. ἐπὴν δὲ τῶν σιτίων ἄρξηται, ὡς λιπαρώτατα καὶ ἁλικώτατα ἐσθίειν. ἢν δέ τοι βὴξ μὴ ἔῃ, ἀλλὰ γινώσκειν ἔμπυον γινόμενον, δειπνήσαντα ἐπὴν μέλλῃ καθεύδειν, σκόροδα ἐσθιέτω ὠμὰ ὡς πλεῖστα. καὶ ἐπιπινέτω οἶνον οἰνώδεα ἀκρητέστερον. καὶ ἢν μὲν οὕτως οἱ ῥαγῇ τὸ πύον. ἢν δὲ μὴ, τῇ ὑστεραίῃ λούσας θερμῷ θυμιῆσαι. καὶ ἢν ῥαγῇ, ἰῆσθαι ὥσπερ ἔμπυον.

Ἑτέρη κυνάγχη.

Φλεγμαίνει τοὔπισθεν τῆς γλώσσης. καὶ τὸ κλεῖθρον τὸ ὑπὸ τῷ βρόγχῳ. καὶ οὐ δύναται καταπίνειν τὸ σίαλον, οὐδ᾽ ἄλλο οὐδέν. ἢν δ᾽ ἀναγκασθῇ, διὰ τῶν ῥινῶν οἱ ῥέει. ὅταν οὕτως ἔχῃ τρίψας μίνθην χλωρὴν. καὶ σέλινον. καὶ ὀρίγανον. καὶ λίτρον. καὶ τῆς ῥόου τῆς ἐρυθρῆς, μέλιτι δεὺς, παχὺ ποιέων ἐγχρίειν τὴν γλῶσσαν ἔσωθεν οὗ ἂν οἰδέῃ. ἔπειτα ἀναζέσας σῦκα καὶ ἀποζέσας ἐς ὕδωρ, τρίψας τῆς ῥόου ὀλίγην, διεῖναι τῷ συκίῳ τούτῳ καὶ ἀναγαργαρίζειν ἐὰν δύνηται. ἢν δὲ μὴ, διακλύζεσθαι. πίνειν δὲ διδόναι, τὸ ἀπὸ τῶν κρίμνων ὕδωρ. ἔξωθεν δὲ τὸν αὐχένα καὶ τὰ σιαγόνια καταπλάσσειν ἀλήτῳ, ἐν οἴνῳ καὶ ἐλαίῳ ἕψοντα χλιαρῷ. καὶ ἄρτους προστιθέναι θερμούς. ἀποπυΐσκεται γὰρ ὡς τὰ πολλὰ ἐν τῷ κλείθρῳ. καὶ ἢν μὲν ῥαγῇ αὐτόματον, ὑγιὴς γίνεται. ἢν δὲ μὴ ῥήγνυται, ψηλαφήσας τῷ δακτύλῳ ἢν μαλθακὸν ἔῃ, σιδήριον ὀξὺ προσδησάμενος πρὸς τὸν δάκτυλον τρῆσαι. ταῦτα ποιήσαντι, πολλοὶ ὑγιαίνουσιν. ἡ δὲ νοῦσος αὕτη, ἥκιστά ἐστι θανατώδης.

Σταφυλή.

Ἢν σταφυλὶς ἐν τῇ φάρυγγι γένηται, ἐμπίπλαται ἄκρος ὁ γαργαρεὼν, ὕδατος. καὶ γίνεται στρογγύλος τὸ ἄκρον καὶ διαφανής. καὶ ἐπιλαμβάνει τὴν πνοιήν. καὶ ἢν φλεγμαίνῃ τὰ σιαγόνια ἔνθεν καὶ ἔνθεν, ἀποπνίγεται. ἢν δὲ αὐτὸ ὑφ᾽ ἑωυτοῦ γένηται, τούτων μὴ φλεγμαινόντων ἧσσον ἀποθνήσκει. ὅταν οὕτως ἔχῃ, λαβὼν τῷ δακτύλῳ, τὸν γαργαρεῶνα ἄνω ἐς τὴν ὑπερῴην ἀποπιέσας, διατεμνέειν ἄκρον. ἔπειτα διδόναι ἀναγαργαρίζειν, τὸ ἀπὸ τῶν φύλλων. λείχειν δὲ ἄλητον ψυχρόν. καὶ ὕδωρ ἐπιπίνειν καὶ μὴ λούεσθαι.

Ἀντιάδες.

Ἢν ἀντιάδες γένωνται

γίνονται, συνοιδέει ὑπὸ τὴν γνάθον ἔνθεν καὶ ἔνθεν, καὶ ψαυόμενον σκληρόν ἐστιν ἔξωθεν. καὶ ὁ γαργαρεὼν ὅλος φλεγμαίνει. ὅταν οὕτως ἔχῃ, καθεὶς τὸν δάκτυλον, διωθέειν τὰς ἀντιάδας. πρὸς δὲ τὸν γαργαρεῶνα, προσχρίειν ἄνθος χαλκοῦ ξηρόν. καὶ ἀναγαργαρίζειν τὸ ἀπὸ τῶν φύλλων εἰλιθέρῃ. ἔξωθέν τε καταπλάσσειν, ᾗ ἂν ἀκριδέῃ, ὠμήλυσιν ἐν οἴνῳ καὶ ἐλαίῳ ἑψῶν χλιαρήν. ἐπὴν δέ σοι δοκέωσι τὰ φύματα μαλακὰ εἶναι, ἔσωθεν ἀφασσώμενα, ὑποτύψαι μαχαιρίῳ. ἔνια δὲ καὶ αὐτόματα καθίσταται. Ὑπογλωσσίς. Ἣν ὑπογλωσσὶς γένηται, ἡ γλῶσσα οἰδίσκεται. καὶ τὸ ὑποκάτω καὶ τὸ ἔξω ψαυόμενον σκληρόν ἐστι. καὶ τὸ σίαλον καταπίνειν οὐ δύναται. ὅταν οὕτως ἔχῃ, σπόγγον ἐς ὕδωρ θερμὸν ἐμβάπτων, προστιθέναι. καὶ τὴν ὠμήλυσιν ἑψῶν ἐν οἴνῳ καὶ ἐλαίῳ, καταπλάσσειν ἔξω ᾗ ἂν ἀκριδέῃ. ἀναγαργαρίζειν δὲ τῷ συκίῳ, καὶ μὴ λούεσθαι. ἐπὴν δὲ διάπυον γένηται, τάμνειν. ἐνίοτε δὲ αὐτόματον ἐκρήγνυται. καὶ καθίσταται οὐ τμηθέν. ἐπὴν δὲ ἔξω ἀποπυήσῃ, διακαῦσαι. Φλέγμα συστὰν ἐς τὴν ὑπερῴην. Ἢν δὲ φλέγμα συστῇ ἐς τὴν ὑπερῴην, ἀκριδέει καὶ ἐμπυΐσκεται. ὅταν οὕτως ἔχῃ, καίειν τὸ φῦμα. ἐπὴν δὲ ἐξίῃ τὸ πύον, κλύζειν τὸ λοιπόν. πρῶτον μὲν λίτρῳ, καὶ ὕδατι χλιαρῷ. ἔπειτα οἴνῳ. ἐπὴν δὲ ἐκκλύσῃ, σταφίδα τρίψας λευκὴν, ἐξελὼν τὸ γίγαρτον, ἐντιθέναι ἐς τὸ καῦμα. ἐπὴν δὲ ἐκρυῇ, οἴνῳ ἀκρήτῳ χλιαρῷ διακλυζέτω. καὶ ἐπὴν μέλλῃ τι ἐσθίειν ἢ ῥοφάνειν, σπόγγιον ἐντιθέναι. ταῦτα ποιέειν ἔστ' ἂν ὑγιὴς γένηται.

Πώλυπος. Ἢν πώλυπος γένηται ἐν τῇ ῥινὶ, ἐκ μέσου τῶν χόνδρων κατακρέμαται, οἷον γαργαρεών. καὶ ἐπὴν ὤσῃ τὴν πνοιὴν, προσέρχεται ἔξω, καὶ ἐστι μαλθακόν. καὶ ἐπὴν ἀναπνεύσῃ, οἴχεται ὀπίσω. καὶ φθέγγεται σομφόν. καὶ ἐπὴν καθεύδῃ ῥέγχει. ὅταν οὕτως ἔχῃ, σπόγγιον κατατάμνων στρογγύλον καὶ ποιήσας οἷον σπεῖραν, κατειλίξαι λίνῳ αἰγυπτίῳ καὶ ποιῆσαι σκληρόν. εἶναι δὲ μέγεθος, ὥστε ἐσαρτίζειν ἐς τὸν μυκτῆρα. καὶ δῆσαι τὸ σπόγγιον λίνῳ τετραχόθι. μῆκος δὲ ἕστω, ὅσον πυγονιαῖον ἕκαστον. ἔπειτα ποιήσας αὐτῶν μίαν ἀρχὴν, ῥάβδον λαβὼν κασσιτηρείην λεπτὴν, ἐκ τοῦ ἑτέρου κύαρ ἔχουσαν, διείρειν ἐς τὸ στόμα τὴν ῥάβδον, ᾗ τὸ ὀξύ. καὶ ἐπὴν λάβῃ διείρας διὰ τοῦ κύαρος τὸν λίνον ἕλκειν, ἔστ' ἂν λάβῃ τὴν ἀρχήν. ἔπειτα χηλὴν ὑποθεὶς ὑπὸ τὸν γαργαρεῶνα ἀντερείδων ἕλκειν ἔστ' ἐξειρύσῃς τὸν πώλυπον. ἐπὴν δὲ αὐτὸν ἐκσπάσῃς καὶ παύσηται τὸ αἷμα ῥέον, περιθεὶς περὶ τὴν μήλην ξηρὸν ὀθόνιον, μοτῶσαι. καὶ τὸ λοιπὸν ἀναζέσαι τοῦ ἄνθους ἐν μέλιτι, καὶ χρίων τὸν μοτὸν προστιθέναι ἐς τὴν ῥῖνα. καὶ ἐπὴν ἤδη τὸ ἕλκος ἀλθαίνηται, μόλιβδον ποιησάμενος ὥστε καθίκῃ πρὸς τὸ ἕλκος, τοῦτον μέλιτι χρίων, προστιθέναι ἔστ' ἂν ὑγιὴς γένηται. Ἕτερος πώλυπος.

Ἐμπίπλαται ἡ ῥὶς κρέασι. καὶ ψαυόμενον τὸ κρέας, σκληρὸν φαίνεται. καὶ διαπνεῖν οὐ δύναται διὰ τῆς ῥινός. ὅταν οὕτως ἔχῃ, ἐνθέντα χρὴ σύριγγα, καῦσαι σιδηρείοισιν, ἢ τρισὶν, ἢ τέσσαρσιν. ἐπὴν δὲ καύσῃς, ἐμβάλλειν τοῦ ἐλλεβόρου τοῦ μέλανος, τρίψας. καὶ ἐπὴν ἐκσαπῇ καὶ ἐκπέσῃ τὸ κρέας, μοτοὺς τοὺς λιναίους χρίων τῷ μέλιτι, ἐντιθέναι σὺν τῷ ἄνθει. ἐπὴν δὲ ἀλθαίνηται, τοὺς μολίβδους χρίων τῷ μέλιτι ἐντιθέναι, ἄχρις ἂν ὑγιὴς γένηται. Ἕτερος πώλυπος.

Ἔσωθεν ἐκ τοῦ χόνδρου, προέχει κρέας στρογγύλον. ψαυόμενον δὲ μαλθακόν ἐστιν. ὅταν οὕτως ἔχῃ χορδὴν λαβὼν νευρίνην, βρόχον αὐτῇ σμικρὸν ποιήσας, κατειλίξαι λίνῳ λεπτῷ, ἔπειτα τὴν ἀρχὴν τὴν ἑτέρην διεῖναι διὰ τοῦ βρόχου, μείζονα ποιήσας τὸν βρόχον. ἔπειτα τὴν ἀρχὴν διεῖραι διὰ τῆς ῥάβδου τῆς κασσιτερίνης. ἔπειτα ἐνθεὶς τὸν βρόχον ἐς τὴν ῥῖνα, τῇ μήλῃ τῇ ἐντετμημένῃ περιτείνας τὸν βρόχον, περὶ τὸν πώλυπον, ἐπὴν περικάηται, διαίρειν τὴν ῥάβδον ἐς τὸ στόμα. καὶ λαβὼν ἕλκειν τὸν αὐτὸν τρόπον τῆς χηλῆς ὑποτεθείσης. ἐπὴν δὲ ἐξελκύσῃς, ἰῆσθαι ὥσπερ τὸν πρόσθεν. Ἕτερος πώλυπος. Ἔσωθεν παρὰ τὸν χόνδρον, ἀπὸ τοῦ σκληρὸν φύεται. καὶ δοκέει μὲν εἶναι κρέας. ἢν δὲ ψαύσῃς αὐτοῦ, ψοφέει οἷον λίθος. ὅταν οὕτως ἔχῃ, σχίσαντα τὴν ῥῖνα σμίλῃ ἐκκαθῆραι. ἔπειτα ἐπικαῦσαι. τοῦτο δὲ ποιήσας συῤῥάψαι πάλιν τὴν ῥῖνα, καὶ ἰῆσθαι τὸ ἕλκος τῷ χρίσματι ἐναλείφων, ῥάκος ἐντιθέναι. καὶ ἐπὴν περισαπῇ, ἐγχρίειν τὸ ἄνθος τὸ ἐν τῷ μέλιτι. ἀλθίσκειν δὲ τῷ μολίβδῳ. Ἄλλως Φύεται ἐκ πλαγίου τοῦ χόνδρου ἐν ἄκρῳ οἷον καρκίνια. ταῦτα δὲ ταῦτα, καίειν χρή. ὅταν δὲ καύσῃς, ἐπιπάσαι τοῦ ἐλλεβόρου. ἐπὴν δὲ σαπῇ, καθαίρειν τῷ ἄνθει σὺν τῷ μέλιτι. ἀλθίσκειν δὲ τῷ μολίβδῳ.

Ἴκτερος. Ἡ χροιὴ μέλαινα γίνεται. καὶ τὸ πρόσωπον. μάλιστα δὲ τὰ ἐσκιασμένα. καὶ οἱ ὀφθαλμοὶ χλωροί. καὶ ἡ γλῶσσα κάτωθεν. καὶ αἱ φλέβες αἱ ὑπὸ τῇ γλώσσῃ, παχεῖαι καὶ μέ-

λαίνει. καὶ ἄπυρος γίνεται. καὶ οὐρέει παχὺ χολῶδες. ὅταν οὕτως ἔχῃ, πρῶτον μὲν τὰς φλέβας τὰς ὑπὸ τῇ γλώσσῃ ἀποσχάν. ἔπειτα λούοντα πολλῷ τῷ θερμῷ, διδόναι πίνειν νῆστιν τοῦ ἀσφοδέλου τὰς ῥίζας, ἀποκαθαίρων ἑψῶν ἐν οἴνῳ ἴσον πέντε ῥίζας, καὶ σέλινα συμμίξας ὅσον χεῖρα πλήρεα τῶν φύλλων. ἐπιχεῖν δὲ οἴνου γλυκέος, τρία ἡμικοτύλια αἰγιναῖα. καὶ λέπειν ἡμικοτύλιον. τοῦτον κιρνᾶς κὰκ τὴν αὐτὴν διδόναι πίνειν. ἐπὴν δὲ ὀχέῃσι, σιτίοισι χρῆσθαι διαχωρητικοῖσι. καὶ μετὰ τὸ σιτίον ἐρεβίνθους λευκοὺς τρωγέτω. καὶ πινέτω οἶνον λευκὸν, πολὺν, ὑδαρέα. καὶ σέλινα τρωγέτω ἐπὶ τῷ σιτίῳ καὶ πράσα. ποιεέτω δὲ ταῦτα, ἐν ἑπτὰ ἡμέρῃσι. καὶ ἢν μὲν σοι δοκέῃ ἐν ταύτῃσιν ἡ χροιὴ κεκαθάρθαι ἐπιεικῶς. ἢν δὲ μὴ, καὶ ἑτέρας τρεῖς ταῦτα ποιεέτω. μετὰ δὲ διαλιπὼν μίαν ἢ δύο ἡμέρας, πρόσθες φάρμακον πρὸς τὰς ῥῖνας. μετὰ δὲ φάρμακον πίσον κάτω, ὑφ' οὗ χολὴν καθαιρεῖται. καὶ ἢν μὲν σπληνώδης ἔῃ, ὄνου γάλα, ἢ ὀῤῥὸν μεταπίσον. ταῦτα ποιέων, ὑγιῆ ποιέεις. Ἕτερος ἴκτερος. Πυρετὸς λαμβάνει βληχρὸς καὶ τὴν κεφαλὴν βάρος ἔχει. καὶ οἱ πυρετοὶ ἐπαύσαντο ἐνίοισιν. αὐτὸς δὲ γίνεται χλωρὸς, οἵ τε ὀφθαλμοὶ μάλιστα. καὶ ἀσθενέει. καὶ ἀκρησίη τοῦ σώματος; καὶ οὐρέει παχὺ καὶ χλωρόν. τοῦτον θερμῷ λούειν, καὶ διδόναι πίνειν διουρητικά. ἐπὴν δέ σοι δοκέῃ καθαρώτερος εἶναι, καὶ ἡ χροιὴ βελτίων γίνηται, πρόσθες φάρμακον πρὸς τὰς ῥῖνας, καὶ μετάπισον κάτω. σιτίοισι δὲ ὡς μαλθακωτάτοισι χρῆσθαι. οἶνον δὲ πινέτω λευκὸν, γλυκὺν, ὑδαρέα. ταῦτα ποιέων, ὑγιὴς γίνεται. Πυρετοὶ ἀπὸ χολῆς. Ἢν χολᾷ ὁ ἄνθρωπος, πυρετὸς αὐτὸν λαμβάνει καθημερινὴ, καὶ ἀφίει. ἔχει δὲ μάλιστα τὸ μέσον τῆς ἡμέρης. καὶ τὸ στόμα πικρόν. καὶ ὅταν ἄσιτος ᾖ, λυπέει αὐτόν. ἐπὴν δὲ φάγῃ, πνίγεται. καὶ ὑπὸ ὀλίγων ἄνδρων σιτίων ἐμπίπλαται. καὶ βδελύσσεται. καὶ ἐμεσίαι μιν λαμβάνουσιν. καὶ ἐς τὴν ὀσφὺν, βάρος ἐμπίπτει, καὶ ἐς τὰ σκέλεα. καὶ ὑπνώττει πουλλά. τοῦτον ἢν μετὰ τὸ πῦρ ἐξιδρῶσι, καὶ οἱ ψυχροὶ καὶ πουλὺς ᾖ, καὶ τοῦ πυρετοῦ μὴ ἀπαλλάσσηται, ἡ νοῦσος χρονίη γίνεται. ἢν δὲ μὴ ἱδρῶσι, θᾶσσον κρίνεται. ὅταν οὕτως ἔχῃ ἐπὴν γένηται ἐνναταῖος, φάρμακον διδόναι. ἢν γὰρ αὐτίκα ἀρχομένου τοῦ πυρετοῦ διδοῖς, ἐπὴν καθαρθῇ ἐπανέλαβε πυρετὸς, καὶ αὖθις φαρμάκου δέεται. ἐπὴν δὲ τὸ μὲν στόμα μὴ πονέῃ, ἐς δὲ νειαίρην γαστέρα στρόφος ἐμπίπτει, φάρμακον πίσαι κάτω. καὶ μεταπίσαι γάλα ὄνου, ἢ ὀῤῥὸν, ἢ τῶν χυλῶν τινά. ἢν δ' ἀσθενὴς ἔῃ, ὑποκλύσαι. πρὸ δὲ φαρμάκου τῆς πόσιος ἐς ἂν πυρεταίνῃ, ἕωθεν μὲν διδόναι μελίκρητον ὑδαρές. τὴν δὲ ἄλλην ἡμέρην ἐφ' ἣν ὁ πυρετὸς ἔχει, ὕδωρ ὁπόσον ἂν θέλῃ διδόναι ψυχρὸν πίνειν. ἐπὴν δὲ ἀνῇ ὁ πυρετὸς, ῥοφεῖν διδόναι, πτισάνης χυλὸν, ἢ κέγχρον λεπτόν. καὶ ἐπιπίνειν οἶνον λευκὸν, οἰνώδεα, ὑδαρέα. ἢν δὲ ἔμπυρος ἔῃ, καὶ μὴ ἀνῇ μήτε τῆς νυκτὸς μήτε τῆς ἡμέρης. ψαυόμενος δὲ ἢν μὲν τὰ ἄνωθεν ἔχῃ θερμὰ, ἡ κοιλίη δὲ καὶ οἱ πόδες εἰσὶ ψυχροὶ, καὶ ἡ γλῶσσα τρηχέη, τούτῳ μὴ δῶς φάρμακον, ἀλλ' ὑποκλύζειν μαλθακῷ κλύσματι, καὶ διδόναι ῥοφάνειν τὸν χυλὸν τῆς πτισάνης ψυχρὸν δὶς τῆς ἡμέρης. καὶ ἐπιπίνειν οἶνον ὑδαρέα. τὸν δὲ ἄλλον χρόνον, πίνειν ὕδωρ ὡς ψυχρότατον. οὗτος ἢν μὲν ἑβδομαῖος ἐξιδρώσῃ, καὶ τὸ πῦρ αὐτὸν μεθῇ. ἢν δὲ μὴ, τεσσαρεσκαιδεκαταῖος ἀποθνήσκει ὡς τὰ πολλά. Ἄλλος πυρετός. Ἔξωθεν ἀφασσόμενος ἐστὶ βληχρός. ἔσωθεν δὲ καίεται. καὶ ἡ γλῶσσα αὐτοῦ τρηχέη. καὶ πνεῖ διὰ τῶν ῥινῶν καὶ τοῦ στόματος θερμόν. ὅταν δὲ πεμπταῖος γένηται, τὰ ὑποχόνδρια σκληρά. καὶ ὀδύνη ἔνι, καὶ ἡ χροιὴ, οἷον ὑπὸ ἰκτέρου ἐχομένου φαίνεται. καὶ οὐρέει παχὺ καὶ χολῶδες. τοῦτον ἢν μὲν ἑβδομαῖον ὄντα, ῥῖγος λάβῃ καὶ πυρετὸς, ἰσχυρὸς καὶ ἐξιδρώσῃ. ἢν δὲ μὴ, ἀποθνήσκει ἑβδομαῖος ἢ ἐνναταῖος. λαμβάνει δὲ μάλιστα, ἢν μὴ τὸ ἔτος αὐχμηρὸν γένηται. αὕτη ἡ νοῦσος ὅταν οὕτως ἔχῃ, λούειν θερμῷ ἑκάστης ἡμέρης. καὶ πίνειν διδόναι, μελίκρητον ὑδαρὲς πολλόν. καὶ ῥοφάνειν τὸν χυλὸν τῆς πτισάνης ψυχρὸν, δὶς τῆς ἡμέρης. ἐπὶ δὲ τῷ ῥοφήματι, πίνειν οἶνον ὑδαρέα, λευκὸν ὀλίγον. ἢν δὲ ἡ γαστὴρ μὴ ὑποχωρέῃ, ὑποκλύσαι ἢ βάλανον προσθεῖναι. σιτίον δὲ μὴ προσφέρειν, ἕως ἂν ὁ πυρετὸς ἀνῇ. ἐπὴν δὲ παύσηται, φάρμακον πίσαι κάτω. ὑποστρέφει γὰρ ἔστιν ὅτε ἡ νοῦσος, ἢν ἀκάθαρτος διαφέρηται. Ἡ νοῦσος αὕτη πάλιν λαμβάνει, ἢν ὑπερχολήσῃ τὸ αἷμα. ἢν τριταῖος πυρετὸς ἔχῃ. ἢ μὲν οὖν μὴ παρὰ τρεῖς λήψιας τῇ τετάρτῃ λάβῃ, φάρμακον πίσαι κάτω. ἢν δέ σοι δοκέῃ φαρμάκου μὴ δεῖσθαι, τρίψας τοῦ πενταφύλλου τῶν ῥιζῶν, ὅσον ὀξύβαφον ἐν ὕδατι, δοῦναι πιεῖν. ἢν δὲ μὴ δὲ ἐν τούτῳ παύηται, λούσας αὐτὸν πολλῷ θερμῷ

πίσας

πῖσαι τὸ τρίφυλλον καὶ ὀπὸν σιλφίου ἐν οἴνῳ ἰσοκρατεῖ. καὶ κατακλίνας ἐπιβαλέειν ἱμάτια ἕως ἱδρώσῃ. ἐπὴν δὲ ἐξιδρώσῃ, ἢν διψῇ, δοῦναι πιεῖν ἄλφιτον καὶ ὕδωρ. ἐς ἑσπέρην δὲ καὶ κέγχρον ἑψήσας λεπτὸν, ῥοφησάτω. καὶ οἶνον ἐπιπινέτω. ἕως δ' ἂν διαλείπῃ, καὶ σιτίοισιν ὡς μαλθακωτάτοισι χρήσθω.

Πυρετὸς τεταρταῖος.

Τεταρταῖος πυρετὸς ὅταν ἔχῃ. ἢν μὲν ἐξ ἄλλης νούσου λάβῃ ἀκάθαρτον, φάρμακον πῖσαι κάτω. ἔπειτα τὴν κεφαλὴν καθῆραι. ἔπειτα φάρμακον πῖσαι κάτω. ἢν δὲ μὴ ταῦτα ποιήσαντι παύηται, διαλείπων δύο λήψιας, μετὰ τὴν κάτω κάθαρσιν, λούσας αὐτὸν πολλῷ θερμῷ, πίσον τοῦ καρποῦ τοῦ ὑοσκυάμου, ὅσον κέγχρον. καὶ μανδραγόρου ἴσον. καὶ ὀποῦ τρεῖς κυάμους. καὶ τριφύλλου ἴσον ἐν οἴνῳ ἀκρήτῳ πίνειν. ἢν δὲ ἐρρωμένος καὶ ὑγιαίνειν δοκέων ἐκ κόπου ἢ ἐξ ὁδοιπορίης πυρετήνας καταστῇ αὐτῷ ἐς τεταρταῖον, πυριήσας αὐτὸν, σκόροδα δίδου, ἐς μέλι βάπτων. ἔπειτα ἐπιπινέτω φάκιον, μέλι καὶ ὄξος μίξας. ἐπὴν δὲ πλησθῇ, ἐμεσάτω. ἔπειτα λουσάμενος θερμῷ ἐπὴν ψυχθῇ, πιέτω κυκεῶνα ἐφ' ὕδατι. ἐς ἑσπέρης δὲ σιτίοισι μαλθακοῖσι καὶ μὴ πολλοῖσι διαχρήσθω. τῇ δὲ ἑτέρῃ λήψει λούσας θερμῷ πολλῷ, ἱμάτια ἐπιβαλὼν, ἕως ἐξιδρώσῃ, πῖσαι φάρμακα λευκοῦ ἐλλεβόρου τῶν ῥιζέων ὅσον τριῶν δακτύλων μῆκος. καὶ τοῦ τριφύλλου ὅσον δραχμὴν μέγεθος, καὶ ὀποῦ δύο κυάμους ἐν οἴνῳ ἀκρήτῳ. καὶ ἢν ἐμεσίαι μὲν ἔχωσιν, ἐμεσάτω. ἢν δὲ μὴ, ὁμοίως. μετὰ τὸ καθῆραι τὴν κεφαλήν. σιτίοισι δὲ χρήσθω, ὡς μαλθακωτάτοισιν καὶ δριμυτάτοισιν. ὅταν δὲ ἡ λῆψις μὴ ἔχῃ, μὴ νῆστις ἐὼν τὸ φάρμακον πινέτω.

Πλευρῖτις.

Πλευρῖτις ὅταν λάβῃ, πυρετὸς καὶ ῥῖγος ἔχει. καὶ ὀδύνη διὰ τῆς ῥάχιος ἐς τὸ στῆθος. καὶ ὀρθοπνοίη. καὶ βήξ. καὶ τὸ σίαλον λευκὸν, καὶ ὑπόχολον. καὶ ἀποβήσσεται οὐ ῥηϊδίως. καὶ διὰ τῶν βουβώνων ὀδύνη. καὶ οὐρέει αἱματῶδες. ὅταν οὕτως ἔχῃ ἢν μὲν τὸ πῦρ ἀνῇ ἑβδομαῖον ἐόντα, ὑγιὴς γίνεται. ἢν δὲ μὴ ἀνῇ, ἀφικνέεται ἡ νοῦσος ἐς τὰς ἐνδεκα ἡμέρας, ἢ τὰς τεσσαρασκαίδεκα. οἱ μὲν οὖν πουλλοὶ ἐν ταύτῃσιν ἀπόλλυνται. ἢν δὲ ὑπερβάλλῃ τὴν τεσσαρεσκαιδεκάτην, ἐκφυγγάνει. ὅταν οὕτως ἡ ὀδύνη ἔχῃ, χλιάσματα προστιθέναι. πινέτω δὲ καὶ μέλι, ἀναζέσας αὐτὸ καὶ ἐπιχέας ὄξος, ἴσον τῷ μέτρῳ τοῦ μέλιτος. ἔπειτα ὁπόσον ἂν γένηται μέτρον τοῦ ἑφθοῦ μέλιτος καὶ τοῦ ὄξους, ἐπιχέαι ὕδατος ἑνὸς δέοντος τῶν εἴκοσι. τοῦτο διδόναι πίνειν κατ' ὀλίγον πυκνά. καὶ μεταμίσγειν ὕδωρ, ὄξος ὀλίγον παραχέων. ῥοφεέτω δὲ καὶ κέγχρου χυλόν. μέλι ὀλίγον παραστάζων ψυχρὸν, ὅσον τεταρτημόριον κοτύλης, ἐφ' ἑκατέρῳ σιτίῳ. καὶ πινέτω οἶνον λευκὸν, οἰνώδεα, ὑδαρέα ὀλίγον. ὁ δὲ οἶνος ἔστω, ὡς μαλθακώτατος, ὀδμὴν μὴ ἔχων. ὅταν δὲ ὁ πυρετὸς ἀφῇ, ἡμέρας μὲν δύο τὸν κέγχρον ῥοφεέτω δὶς τῆς ἡμέρας. καὶ τεῦτλα ἡδύτατα ἐσθιέτω. ἔπειτα μετὰ ταῦτα σκύλακα ἢ ὄρνιθα καθεφθὸν ποιήσας, τοῦ ζωμοῦ ῥοφεέτω. καὶ τῶν κρεῶν φαγέτω ὀλίγα. τὸν δὲ λοιπὸν χρόνον μάλιστα ὅσον ὑπὸ τὴν νοῦσον ἔχεται, ἀριστιζέσθω μὲν τὸν κέγχρον. ἐς ἑσπέρην δὲ, σιτίοισιν ὡς ἐλαχίστοισι χρήσθω καὶ μαλθακωτάτοισιν.

Ἑτέρη πλευρῖτις.

Πυρετὸς ἔχει καὶ βήξ. καὶ ῥῖγος καὶ ὀδύνη ἐς τὸ πλευρὸν, καὶ ἐς τὴν κληΐδα ἐνίοτε. καὶ τὸ σίαλον πτύει, ὑπόχολον καὶ ὕφαιμον. ὅταν τύχῃ ῥηγματίας ὢν, τούτῳ ἢ ἂν ὀδύνη ἔχῃ, μάλιστα προστιθέναι χλιάσματα, καὶ λούειν θερμῷ, ἢν μὴ πυρετὸς αὐτὸν πολὺς ἔχῃ. ἢν δὲ μὴ, μή. πίνειν δὲ διδόναι, κνεώρον ἐν ὕδατι ἀποβρέχων ἄρτι ὑπόγλυκυ ποιέων. καὶ μεταμίσγειν ὕδωρ. ῥοφάνειν δὲ τὸν χυλὸν τοῦ κέγχρου, δὶς τῆς ἡμέρης. καὶ ἐπιπινέτω οἶνον λευκὸν ὑδαρέα. καὶ ἢν ὑπερφύγῃ τὰς τεσσαρεσκαίδεκα ἡμέρας, ὑγιὴς γίνεται.

Ἄλλη πλευρῖτις.

Πυρετὸς ἴσχει, καὶ βρυγμὸς, καὶ βὴξ ξηρή. καὶ ἐκβήσσεται χλωρά. ἔστι δ' ὅτε καὶ πελιδνά. καὶ τὸ πλευρὸν ὀδύνη λαμβάνει. καὶ τὸ μετάφρενον ὑπέρυθρον γίνεται. χλιαίνεται δὲ τὴν κεφαλὴν καὶ τὰ στήθεα. ποτὲ δὲ τὴν κοιλίην καὶ τοὺς πόδας καὶ τὰ σκέλεα. καὶ ἀνακαθήμενος, μᾶλλον βήσσει. καὶ ἡ γαστὴρ ταράσσεται. καὶ τὸ ἀποπάτημα πάνυ χλωρὸν καὶ κάκοδμον. οὗτος ἐν εἴκοσιν ἡμέραις ἀποθνήσκει. ἢν δὲ ταύτας ἐκφύγῃ, ὑγιὴς γίνεται. τοῦτον ἐπὴν αἱ τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσι, διδόναι πίνειν τὸ ἀπὸ τοῦ κρίμνου. καὶ μεταπίνειν οἶνον λευκὸν, οἰνώδεα, ὑδαρέα. ῥοφέειν δὲ τὸν χυλὸν τῆς πτισάνης ψυχρὸν, δὶς τῆς ἡμέρης. ἀντὶ δὲ τοῦ μέλιτος ὑπὸ τὸν χυλὸν μίσγειν, ῥοιῆς χυλὸν οἰνώδεα, ὅταν ἤδη ὁ χυλὸς ἑφθὸς ᾖ, καὶ λούειν μὴ πολλῷ. ἐπὴν δὲ τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσιν ἔπειτα ἀριστιζέσθω τὸν κέγχρον. ἐς ἑσπέρην δὲ τοῖσι κρέασι τοῖσιν ὀρνιθίοισι καὶ τῷ ζωμῷ, καὶ τοῖσι σιτίοισιν ὀλίγοισι χρήσθω. τὴν δὲ τοιαύτην νοῦσον, ὀλίγοι ἐκφυγγάνουσιν.

Περιπλευμονίη. Πυρετὸς ἴσχει ἡμέρας τεσσαρεσκαίδεκα τὸ ἐλάχιστον. τὸ δὲ μακρότατον, δύο δεούσας εἴκοσι. καὶ βήσσει ταύτας τὰς ἡμέρας, ἰσχυρῶς. καὶ ἀποχρέμπτεται τὸ μὲν πρῶτον, σίαλον παχὺ καὶ καθαρόν, ἑβδόμῃ καὶ ὀγδόῃ. ἐπὴν δὲ ὁ πυρετὸς λάβῃ ἐνάτῃ καὶ δεκάτῃ, ὑπόγλυκυ καὶ πυῶδες, ἔστ' ἂν αἱ τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσι. καὶ ἢν μὲν ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρῃ ξηρανθῇ ὁ πλεύμων καὶ ἐκβήξῃ, ὑγιάζεται. ἢν δὲ μή, δύο δεούσαις εἴκοσι προσέχειν. καὶ ἢν μὲν ἐν ταύτῃσι παύσηται τοῦ βήγματος, ἐκφεύγει. ἢν δὲ μὴ παύηται, ἔρεσθαι αὐτόν, εἰ γλυκύτερον αὐτῷ δοκέει τὸ σίαλον. καὶ ἢν φῇ, ἡ νοῦσος ἐνιαυσίη γίνεται. ὁ γὰρ πλεύμων ἔμπυος γίνεται. τούτῳ χρὴ τὰς μὲν πρώτας ἡμέρας, οἶνον διδόναι γλυκύν, λευκόν, ὑδαρέα, κατ' ὀλίγον πίνειν πυκινά. ῥοφάνειν δὲ τῆς πτισάνης τὸν χυλὸν διδόναι, μέλι παραμίσγων τρὶς τῆς ἡμέρης, ἔστ' ἂν αἱ ὀκτωκαίδεκα ἡμέραι παρέλθωσι, καὶ ὁ πυρετὸς παύσηται. κινδυνεύει δὲ μάλιστα ἐν τῇσιν ἑπτά, ἢ ἐν τῇσι τεσσαρεσκαίδεκα. ἐπὴν δὲ τὰς ὀκτωκαίδεκα ἡμέρας ὑπερβάλλῃ, οὐκέτι ἀποθνήσκει, ἀλλὰ πτύει πύον, καὶ τὰ στήθεα πονέει, καὶ βήσσει. ὅταν οὕτως ἔχῃ, πιπίσκειν νῆστιν τὸ σὺν τῷ ἐλελισφάκῳ. καὶ ῥοφάνειν ἔτνος, στέαρ συμμίσγων πλέον, ἢν μὴ θάλπος ᾖ. ἢν δ' ᾖ, μὴ ῥοφανέτω, ἀλλὰ σιτίοισι χρήσθω ἁλυκοῖσι καὶ λιπαροῖσι, καὶ τοῖσι θαλασσίοισι μᾶλλον ἢ κρέασι. καὶ ἤν σοι δοκέῃ καθαίρεσθαι κατὰ λόγον, ἐγχέειν καὶ πυριᾶν. ἢν μὲν παχὺ ᾖ τὸ πύον, πυριᾶν. ἢν δὲ λεπτόν, ἐγχέειν. καὶ τῶν σιτίων ἔχεσθαι ὡς μάλιστα, καὶ τῶν δριμέων ἀπέχεσθαι, καὶ κρεῶν βοείων, καὶ οἰείων καὶ χοιρείων.

Ὅταν ἐκ περιπλευμονίης ἔμπυος γένηται, πυρετὸς ἴσχει, καὶ βὴξ ξηρή. καὶ δυσπνοίη. καὶ οἱ πόδες οἰδέουσι. καὶ οἱ ὄνυχες ἕλκονται τῶν χειρῶν καὶ τῶν ποδῶν. τοῦτον ὅταν οὕτως ἔχῃ, ἐπὴν δεκαταῖος γένηται, ἀφ' ἧς ἂν ἄρξηται ἔμπυος γίνεσθαι, λούσας πολλῷ θερμῷ τρίψας ἄρου ῥίζαν, ὅσον ἀστράγαλον μέγεθος. καὶ ἁλὸς χόνδρον. καὶ μέλι ὀλίγον, καὶ ὕδωρ. καὶ ἄλειφα ὀλίγον. ἐξειρύσας τὴν γλῶτταν, ἐγχέαι χλιαρόν. ἔπειτα κινῆσαι τὸν ὦμον. καὶ ἢν μὲν ὑπὸ τούτου τὸ πύον ῥαγῇ, εἰ δὲ μή, ἕτερον ποιῆσαι. σιτία δριμέα ἐκχυμώσας καὶ κυκλάμινον ὅσον ὀξύβαφον τῶν μικρῶν ἑκατέρων ἔσω. ἔπειτα ὀπὸν σιλφίου τρίψας ὅσον κύαμον, διεῖναι καὶ συμμίξαι γάλακτος ὅσον ὀξύβαφον αἴγειον ἢ ὄνειον, τοῦτο χλιαρὸν ἐγχέειν. ἢν δὲ ὑπὸ τούτου μὴ ῥαγῇ, ῥαφάνου φλοιὸν καὶ ἄνθος χαλκοῦ ὅσον τρεῖς κυάμους, τρίψας λεῖον, διπλάσιον δὲ ἔσω τῆς ῥαφάνου, ἐλαίῳ διεῖναι, ὅσον τεταρτημορίῳ κοτύλης, τοῦτο ἐγχέειν χλιαρόν. καὶ ἢν ῥαγῇ τὸ πύον, σιτίοισιν ὡς ἁλμυρωτάτοισι καὶ λιπαρωτάτοισι χρῆσθαι. καὶ ἢν μὴ ἴῃ τὸ πύον, κατ' ὀλίγον πυριᾶν κατὰ τὸ στόμα σίου χυλῷ οἴνῳ τορνίῳ. γάλακτι βοείῳ, ἢ αἰγείῳ, ἴσον ἑκάστου συμμίξας. ἔσω δὲ ὅσον τρεῖς κοτύλαι. ἔπειτα ἐμβάλλειν ἰπνοῦ ὄστρακα διαφήνας, τοῦτο ἑλκέτω διὰ τοῦ αὐλοῦ, φυλασσόμενος ὅπως μὴ κατακαίηται. ἐπὴν δὲ καθαρώτερον πτύῃ, ἐγχέειν αὐτῷ κνίκης σπέρμα, λιβανωτόν. ὀρίγανον ἐν οἴνῳ λευκῷ. καὶ μέλιτι. καὶ ἐλαίῳ ὀλίγῳ. ἐγχέειν δὲ διὰ τρίτης ἡμέρης. μετὰ δὲ βούτυρον, ῥητίνην, ἐν μέλιτι διατήκων. καὶ σιτίοισι μηκέτι χρῆσθαι ἁλμυροῖσι μηδὲ λιπαροῖσι. πινέτω δὲ νῆστις τὰς ἐν μέσῳ ἡμέρας τῶν ἐγχύτων, ἐλελίσφακον. πήγανον. θύμβραν. ὀρίγανον ἴσον ἐν οἴνῳ ἀκρήτῳ ὅσον ὀξύβαφον μετὰ πάντων τῶν πάσσων. ἢν δὲ μὴ ῥαγῇ ὑπὸ τῶν ἐγχύτων, πολλάκις γὰρ ἐκρήγνυται ἐς τὴν κοιλίην, καὶ αὐτίκα δοκέει ῥάων εἶναι, ὅταν ἐκ στενοῦ ἐς εὐρυχωρίην ἔλθῃ.

Ἄλλη νοῦσος. Ὁκόταν ὁ χρόνος πλείων γένηται ὅτε πυρετὸς ἰσχυρὸς καὶ ἡ βὴξ ἐπιλαμβάνει. καὶ τὸ πλευρὸν ὀδυνᾶται. καὶ ἐπὶ μὲν τὸ ὑγιὲς οὐκ ἀνέχεται κατακείμενος, ἐπὶ δὲ τὸ ἀλγέον μέρος. καὶ οἱ πόδες οἰδέουσι καὶ τὰ κοῖλα τῶν ὀμμάτων. τοῦτον ὅταν ἡμέρη πέμπτη καὶ δεκάτη γένηται ἀπὸ τῆς ἐκρήξιος, λούσας πολλῷ θερμῷ καθίσας ἐπὶ ἐφέδρου ὅ,τι μὴ ὑποκινήσει. ἕτερος μὲν τὰς χεῖρας ἐχέτω. σὺ δὲ τὸν ὦμον σείων, ἀκροάζεσθαι ἐς ὁκότερον ἂν τῶν πλευρέων, τὸ πάθος ψοφέῃ. βούλεσθαι δὲ ἐς τὸ ἀριστερόν. κατ' αὐτὸν οὖν τὸν τόπον τομέειν. ἧσσον γὰρ θανατῶδες. ἢν δέ σοι ὑπὸ τοῦ πάχεος καὶ τοῦ πλήθεος μὴ ψοφέῃ, ὥστε καταμαθεῖν αὐτό, ποιέει γὰρ τοῦτο ἐνίοτε, ὁκότερον ἂν ἀνοιδέῃ τῶν πλευρέων καὶ ὀδυνᾶται μᾶλλον, τοῦτο τάμνειν ὡς κατωτάτω, ὄπισθεν τοῦ οἰδήματος μᾶλλον ἢ ἔμπροσθεν, ὅκως σοι ἡ ἔξοδος τοῦ πύου εὔροος ᾖ. τάμνειν δὲ μεταξὺ τῶν πλευρέων, στηθοειδεῖ μαχαιρίδι. τὸ πρῶτον δέρμα, ἔπειτα ὀξυβελέει ἀποδήσας ῥάκει, τὸ ἄκρον τοῦ μαχαιρίδος λιπὼν ὅσον τὸν ὄνυχα τοῦ δακτύλου τοῦ μεγάλου, καθεῖναι ἔσω. ἔπειτα ἀφεὶς τὸ πύον ὅσον ἄν σοι δοκέῃ, μοτῷ ὠμολίνῳ μοτῶν λίνον ἐκδήσας.

ἀφεῖναι

ἐκφῆναι δὲ τὸ πύον, ἑκάστης ἡμέρης ἅπαξ. ἐπὴν δὲ γένηται δεκαταῖος, ἀφεὶς ἅπαν τὸ πύον, ὀθονίῳ μοτοῦν. ἔπειτα ἐγχεῖν οἶνον καὶ ἔλαιον χλιαίνων αὐλίσκῳ, ὡς μήτε ὁ πλεύμων ἐξαπίνης εἰωθὼς βρέχεσθαι ὑπὸ τοῦ πύου, ἀποξηρανθῇ. ἐξιέναι δὲ τὸ ἔγχυμα, τὸ μὲν ἕωθεν ἐς ἑσπέρην, τὸ δὲ ἐς ἑσπέρην, ἕωθεν. ἐπὴν δὲ τὸ πύον λεπτὸν οἷον ὕδωρ ᾖ, καὶ γλίσχρον τῷ δακτύλῳ ψαυόμενον, καὶ ὀλίγον, ἐντιθέναι μοτὸν κασσιτέρινον κοῖλον. ἐπὴν δὲ παντάπασι ξηρανθῇ ἡ κοιλίη, ἀποτάμνων τοῦ μοτοῦ κατὰ μικρὸν, συμφύειν τὸ ἕλκος, ἐς ὃ ἂν ἐξέλῃς τὸν μοτόν. σημήϊον δὲ ἢν μέλλῃ ἐκφεύξεσθαι. ἢν μὲν τὸ πύον ᾖ λευκὸν καὶ καθαρὸν, καὶ ἶνες αἵματος ἐνέωσιν, ὡς τὰ πολλὰ ὑγιὴς γίνεται. ἢν δὲ οἷον λεκιθοειδὲς ἀπορρυῇ τῇ πρώτῃ, ἢ τῇ ὑστεραίῃ ἀπορρυῇ παχὺ, ὑπόχλωρον, ὄζον, ἀποθνήσκουσιν ἐπειδὰν ἐκρυῇ τὸ πύον.

Ἑτέρα. Ὅταν πλεύμων, τούτου τὸ σίαλον παχὺ ὑπόχλωρον γλυκὺ βήσσεται. καὶ βρυγμὸς καὶ ὀδύνη ἐς τὸ στέρνον καὶ ἐς τὸ μετάφρενον. καὶ συρίζει ἐν τῇ φάρυγγι λεπτόν. καὶ ἡ φάρυγξ ξηρὴ γίνεται. καὶ τὰ κοῖλα ἐρυθρά. καὶ βαρέη ἡ φωνή. καὶ οἱ πόδες οἰδίσκονται. καὶ οἱ ὄνυχες ἕλκονται. καὶ καταλεπτύνονται τὰ ἄνω, καὶ μινύθει. καὶ μυσάττεται τὸ σίαλον, ἐπὴν ἀποχρεμψάμενος ἔχῃ ἐν τῷ στόματι. καὶ βήσσει τοὺς ὄρθρους καὶ μεσονυκτίου μάλιστα. βήσσει δὲ καὶ τὸν ἄλλον χρόνον. καὶ λαμβάνει μᾶλλον γυναῖκα νεωτέρην ἢ πρεσβυτέρην. τούτῳ ἢν μὲν αἱ τρίχες ἤδη ἐκ τῆς κεφαλῆς ῥέωσι, καὶ ψιλῶται ἤδη ἡ κεφαλὴ ὡς ἐκ νόσου. καὶ πτύοντι ἐπ' ἄνθρακας βαρὺ ὄζῃ τὸ σίαλον, φάναι αὐτὸν ἀποθανεῖσθαι ἐντὸς ὀλίγου χρόνου. τὸ δὲ κτεῖνον, ἔσεσθαι διάρροιαν. ἐπὴν γὰρ ἤδη τὸ πύον τὸ περὶ τὴν καρδίην σήπηται, τοῦτο ὄζει κνίσης ἐπὶ τοῖσιν ἄνθραξι. καὶ ξυνθερμαινόμενος ὁ ἐγκέφαλος, ῥεῖ ἅλμην, ἣ κινεῖ τὴν κοιλίην. σημήϊον δὲ τούτου, ῥέουσιν ἐκ τῆς κεφαλῆς τρίχες. τοῦτον μὴ ἰᾶσθαι ὅταν οὕτως ἔχῃ. ἢν δὲ κατ' ἀρχὰς ἐπιτύχῃς τῇ νόσῳ, φάκιον δὸς πιεῖν. εἶτα διαλιπὼν μίην ἡμέρην, ἐλλέβορον δοῦναι κεκρημένον, ὅκως τὴν κάτω κοιλίην μὴ κινήσῃ. καὶ ἐπὴν ἐς τὸ στόμα τῆς νυκτὸς αὐτῷ φοιτᾷ ἅλμη, πρὸς τὰς ῥῖνας αὐτῷ προστίθει φάρμακα πυκνότερα. ἢν δὲ μὴ ῥέῃ, προστίθει μὲν, διὰ πλέονος δὲ χρόνου, καὶ τοῦ μηνὸς ἅπαξ προπιπίσκοντα ἐλλέβορον, ὅσον τοῖσι δακτύλοισιν δύο ἆραι, ἐν οἴνῳ γλυκεῖ κεκρημένον. φάκιον δὲ αὐτίκα διδοὺς ἐπιπίνειν. φάρμακα δὲ ὡς ἐλάχιστα πινέτω. ἢν μὴ αὐτῷ οἱ πυρετοὶ ὀξύτεροι ἐπιλαμβάνωσι, τὴν ῥίζαν τὴν λευκὴν καὶ τοῦ ἐλλεβόρου λείχειν. ἐν μέλιτι δὲ οὔ. οὕτω γὰρ ἥκιστα τὴν κοιλίην κινήσει. ἢν δὲ στρόφος ἐγγένηται ἐν τῇ κάτω κοιλίῃ, πρῶτον μὲν κλύσαι ἐκείνῳ, ἐν ᾧ ὁ κόκκος συμμίσγεται. ἢν δὲ μὴ δι' οὕτω παύηται, γάλακτι ὀνείῳ ἑφθῷ κάθηρον. φάρμακον δὲ μὴ διδοῦ κατωτερικόν. ἢν δὲ πρὸ τοῦ φαρμακίου προπίνων τὸν ἐλλέβορον χολὴν ἐμέῃ, αὐτῷ τῷ φακίῳ ἐμεέτω. σιτίοισι δὲ χρήσθω, ἢν μὲν οἱ πυρετοὶ ὀξέες ἔχωσι, κρέασι μηλείοισιν ἑφθοῖσι, καὶ ὀρνιθίοισι, καὶ κολοκύνθῃ, καὶ τεύτλοισι. ζωμὸν δὲ μὴ ῥοφεέτω. μὴ δὲ βάπτεσθαι. ἰχθύσι δὲ χρήσθω, σκορπίοισι καὶ σελάχεσιν ἑφθοῖσι. θερμὸν δὲ μηδὲν ἐσθιέτω. μὴ δὲ λουέσθω, ἢν ὁ πυρετὸς ἔχῃ πολύς. μὴ δὲ λαχάνοισι δριμέσι χρήσθω, ὅτι μὴ θύμβρῃ ἢ ὀριγάνῳ. οἶνον δὲ λευκὸν πινέτω. ἢν δὲ ἄπυρος ᾖ, θέρμαι δὲ λαμβάνωσιν ἄλλοτε καὶ ἄλλοτε, ἐσθιέτω ἰχθῦς ὡς ἀρίστους καὶ πιοτάτους. καὶ λιπαρὰ καὶ γλυκέα, καὶ ἁλμυρὰ ὡς μάλιστα. καὶ περιπάτοισι χρήσθω, μήτε ἐν ἀνέμῳ, μήτε ἐν ἡλίῳ. καὶ ἐμεέτω ἀπὸ τῶν σιτίων, ὅταν οἱ δοκέῃ καιρὸς εἶναι. καὶ λοῦσθαι χλιαρῷ, πλὴν τῆς κεφαλῆς. σιτίων δὲ ἄρτος ἀμείνων, ὅσοι μὴ μαζοφάγοι εἰσί. τούτοισι δὲ ἀμφότερα συμμίσγειν.

Ἑτέρη νοῦσος ἥτις καλέεται φθόη. Βὴξ ἔχει καὶ τὸ πτύσμα πολλὸν καὶ ὑγρόν. καὶ ἐνίοτε ῥηϊδίως ἀναβήσσεται. καὶ τὸ πύον οἷον χάλαζα. καὶ διατριβόμενον ἐν τοῖσι δακτύλοισι, σκληρὸν καὶ κάκοδμον γίνεται. ἡ δὲ φωνὴ καθαρὴ καὶ ἀνώδυνος. καὶ οἱ πυρετοὶ οὐ λαμβάνουσι. θέρμη δὲ ἐνίοτε ἄλλως τε καὶ ἀσθενής. τοῦτον χρὴ ἐλλέβορον πιπίσκειν καὶ φάκιον. καὶ εὐωχέειν ὡς μάλιστα ἀπεχόμενον τῶν δριμέων. καὶ κρεῶν βοείων, καὶ χοιρείων, καὶ οἰείων. καὶ γυμνάζεσθαι ὀλίγα καὶ περιπατέειν. καὶ ἀπὸ σιτίων ἐμέτοισι χρῆσθαι. καὶ λαγνείης ἀπέχεσθαι. αὕτη ἡ νοῦσος γίνεται, ἑπτὰ ἔτεα ἢ ἐννέα. οὗτος ἢν ἐξ ἀρχῆς θεραπευθῇ, ὑγιὴς γίνεται.

Ἢν ἀφθήσῃ ἡ σῦριγξ τοῦ πλεύμονος, πυρετὸς ἴσχει βληχρός. καὶ ὀδύνη μέσον τὸ στῆθος. καὶ τοῦ σώματος κνησμός. καὶ ἡ φωνὴ βραγχώδης. καὶ τὸ σίαλον ὑγρόν. καὶ λεπτὸν πτύει. ἐνίοτε δὲ παχὺ καὶ οἷον πτισάνης χυλόν. καὶ ἐν τῷ στόματι ὀδμή οἱ ἐγγίνεται βαρέη, οἷον ἀπὸ ἰχθύων ὠμῶν. καὶ ἄλλοτε καὶ ἄλλοτε ἐν τῷ σιάλῳ

ἐμφαίνεται σκληρά, οἷον μύκης ἀφ' ἕλκεος. καὶ τὰ ἄνω λεπτύνεται, μάλιστα δὲ ἅπας. καὶ οἱ κύκλοι τοῦ προσώπου ἐρυθριῶσι. καὶ οἱ ὄνυχες τῷ χρόνῳ ἕλκονται καὶ ξηροὶ καὶ χλωροὶ γίνονται. τελευτᾷ δὲ αὐτίκα, ἢν μὴ θεραπευθῇ, αἷμα πτύον καὶ πύον. ἔπειτα καὶ πυρετοὶ ἰσχυροὶ ἐπιγινόμενοι αὐτὸν ἔκτειναν. ἢν δὲ θεραπευθῇ, ἐκφυγγάνει ἐκ ταύτης τῆς φθίσιος. θεραπεύειν δὲ χρή, φάκια πιπίσκοντα ἐμέειν. ἢν δέ σοι καιρὸς δοκέῃ εἶναι, ἐλλέβορον πίνειν. ἢν μὲν δυνατὸς ᾖ ὁ ἄνθρωπος, αὐτόθι. ἢν δὲ μή, παραμίσγειν τῷ φακίῳ ἥμισυ πόσιος. διαλείπων οὖν πέμπτῃ ἢ οὖν ἕκτῃ πόσει. τὴν δὲ κάτω κοιλίην, μὴ κινέειν φαρμάκῳ, ἢν μὴ οἱ πυρετοὶ λαμβάνωσιν ἰσχυροί. ἢν δὲ μὴ λαμβάνωσι, γάλακτι ὄνου ὑποκαθαίρειν. ἢν δὲ ἀσθενήσῃ ὥστε πίνειν, ὑποκλύσαι. ἧττον δὲ κεφαλήν. καὶ ἢν μὲν τὸ σίαλον ἐς τὸ στόμα ἴῃ πολλὸν καὶ ἁλμυρόν, πρὸς τὰς ῥῖνας προσθεῖναι ὅ,τι χολὴν μὴ ἄξει. ἢν δὲ μὴ ἴῃ τὸ ῥεῦμα ἐς τὸ στόμα, μὴ προσιθέναι πρὸς τὴν κεφαλήν. ἐπὴν δὲ τὸ σίαλον δυσῶδες ᾖ, τὰς μεταξὺ τῶν φακίων ἐγχέειν ἐς τὸν πλεύμονα φάρμακον. μίαν δὲ διαλιπὼν ἔπειτα ἢν ἔχῃς ἡμέρην θυμιᾶν. σιτίοισι δὲ χρῆσθαι, κρέασι μηλείοισι καὶ ὀρνιθίοισι. καὶ ἰχθύσι σελάχεσι. καὶ σκορπίοισιν ἑφθοῖσι. διὰ τετάρτης ἡμέρης, τάριχον ἐσθιέτω ὡς ἄριστον καὶ πιώτατον. καὶ ἀριστάτω μὲν μᾶζαν. δειπνείτω δέ, ταύτῃ συμμίσγων καὶ ἄρτον, καὶ μήτε ῥοφανέτω μηδέν, μήτε κυκεῶνα πινέτω, ἢν ἐσθίειν δυνατὸς ᾖ. τὰ δ' ὀψὰ ἡδύνειν, καὶ ἐσθίειν σισάμῳ ἀντὶ τοῦ τυροῦ. καὶ κοριάνῳ καὶ ἀνήθῳ. σιλφίῳ δὲ μηδὲν χρῆσθαι, μὴ δέ τινι ἄλλῳ λαχάνῳ δριμεῖ, ὅτι μὴ ὀριγάνῳ, ἢ θύμῳ, ἢ πηγάνῳ. περιπάτοισι δὲ χρήσθω καὶ πρὸ τοῦ σιτίου καὶ μετὰ τὸ σιτίον, φυλασσόμενος τὸν ἄνεμον καὶ τὸν ἥλιον. θωρηξίων ἀπεχέσθω καὶ ἀφροδισίων. λούσθω δὲ χλιαρῷ, πλὴν τῆς κεφαλῆς. ταύτην δὲ ὡς διὰ πλείστου χρόνου.

Φθίσις νωτιάς. Η νωτιὰς φθίσις ἀπὸ τοῦ μυελοῦ γίνεται. λαμβάνει δὲ μάλιστα νεογάμους, καὶ φιλολάγνους. γίνονται δὲ ἄπυροι. καὶ ἐσθίειν ἀγαθοί. καὶ τήκονται. καὶ ἢν ἐρωτᾷς αὐτόν, φήσει οἱ ἄνωθεν ἀπὸ τῆς κεφαλῆς κατὰ τὴν ῥάχιν κατέρχεσθαι δοκέειν οἷον μύρμηκας. καὶ ἐπὴν οὐρέῃ ἢ ἀποπατέῃ, προέρχεταί οἱ θορὸς πουλὺς καὶ ὑγρός. καὶ γονὴ οὐκ ἐγγίνεται. καὶ ὀνειρώσσει, κἂν συγκοιμηθῇ γυναικί, κἂν μή. καὶ ὅταν ὁδοιπορήσῃ ἢ δράμῃ, ἄλλως τε καὶ πρὸς ἔπος ἆσθμά μιν καὶ ἀσθένεια λαμβάνει. καὶ τῆς κεφαλῆς βάρος. καὶ τὰ ὦτα ἠχέει, τοῦτον οὖν τῷ χρόνῳ ὅταν ἐπιλάβωσι πυρετοὶ ἰσχυροί, ἀπώλετο ὑπὸ λειπυρίου. ὅταν οὕτως ἔχῃ, ἢν ἐξ ἀρχῆς μεταχειρίσῃ, πυριάσας αὐτὸν ὅλον, φάρμακον δοῦναι πίνειν ἄνω. καὶ μετὰ τοῦτο τὴν κεφαλὴν καθῆραι. μετὰ δέ, πῖσαι κάτω. ἐγχειρέειν δὲ βούλεσθαι μάλιστα τοῦ ἦρος. καὶ μεταπῖσαι ὀῤῥὸν ἢ γάλα ὄνειον. βόειον δὲ γάλα διδόναι πίνειν τεσσαράκοντα ἡμέρας. ὑπὲρ ἑσπέρην δὲ ἕως ἂν γαλακτοποτέῃ, χόνδρον διδόναι ῥοφεῖν. σιτίων δὲ ἀπεχέσθω. ἐπὴν δὲ παύσηται γαλακτοποτέων, σιτίοισι διακομίζειν αὐτὸν μαλθακοῖσιν ἐξ ὀλίγου ἀρχόμενος. καὶ παχύνειν ὡς μάλιστα. καὶ ἐνιαυτοῦ θωρηξίων ἀπεχέσθω. καὶ ἀφροδισίων. καὶ ταλαιπωριέων, ὅτι μὴ περιπάτοισι, φυλασσόμενος τὰ ψύχεα καὶ τὸν ἥλιον. λούσθω δὲ χλιαρῷ.

Πλεύμονος νοῦσος. Τὸ σίαλον παχὺ καὶ λιγνυῶδες βήσσεται. καὶ ἡ χροιὴ μέλαινα, καὶ ὑποιδαλέη. καὶ ὀδύναι λεπταὶ ὑπὸ τὸ στῆθος καὶ ὑπὸ τὰς ὠμοπλάτας. καὶ δυσελκέες γίνονται. ἡ νόσος δ' ἐπικίνδυνος τοῦ ἑτέρου οὗτος. καὶ ἐκφυγγάνουσι πλέονες. τοῦτον χρὴ ἐλλέβορον πιπίσκειν, καὶ αὐτὸν καὶ τοῖσι φακίοισι μίσγοντα. καὶ ἐγχέειν ἐς τὸν πλεύμονα καὶ θυμιᾶν, καὶ ὑπωχέειν. ἀπεχόμενον κρεῶν βοείων, καὶ οἰέων, καὶ χοιρέων, καὶ λαχάνων δριμέων, ὅτι μὴ ὀριγάνου ἢ θύμβρης. καὶ περιπάτοισι χρήσθω. ἐξ ἠοῦς δὲ πρὸς ἔπος, ὁδοιπορέειν νῆστιν. ἔπειτα πίνειν τῶν φύλλων ἐπ' οἴνῳ ἐπιπάσαντα κεκρημένῳ. τὸ δὲ λοιπὸν σιτίοισι χρήσθω τοῖσιν εἰρημένοισιν.

Ἀρτηρίη τρωθεῖσα. Ἢν τρωθῇ ἡ ἀρτηρίη, βὴξ ἔχει καὶ αἷμα βήσσεται. καὶ λαμβάνει ἡ φάρυγξ πιμπλαμένη τοῦ αἵματος: καὶ ἐκβάλλει θρόμβους. καὶ ὀδύνη γίνεται ἐκ τοῦ στήθεος ἐς τὸ μετάφρενον ὀξείη. καὶ τὸ σίαλον γλίσχρον καὶ πουλύ. καὶ ἡ φάρυγξ ξηρή. καὶ πυρετὸς καὶ ῥῖγος ἐπιλαμβάνει. καὶ κέρχνεται ἡ φάρυγξ, οἷον ὑπὸ λιπαροῦ. ἐς τε μὲν πεντεκαίδεκα ἡμέρας, πάσχει τοιαῦτα. μετὰ δέ, πύον πτύει. καὶ οἷα ἕλκεος κρότωνες, καὶ αὖθις βήξ, καὶ ἐῤῥάγη οὖν τὸ αἷμα. καὶ μετὰ τὸ πύον, παχύτερον πτύει. καὶ ὁ πυρετὸς ἰσχυρότερος γίνεται. καὶ τελευτᾷ ἐς πλεύμονα. καὶ καλέεται ῥηγματίας πλεύμονος. ἢν δὲ μετὰ τὸ πρῶτον αἷμα μὴ πτύσῃ πύον, παυσάμενον χρὴ ταλαιπωρίης καὶ γυμνασίων, καὶ ἐπ' ὄχημα ἀναβαίνειν, σιτίων

ἀπεχόμενον

ἀπεχόμενον καὶ ἁλμυρῶν, καὶ λιπαρῶν, καὶ πιόνων, καὶ λαχάνων δριμέων. καὶ ἐπὴν αὐτὸς ἑωυτοῦ δοκέῃ ἄριστα τοῦ σώματος ἔχειν, καῦσαι τὰ στήθεα καὶ τὸ μετάφρενον, ἐν μοίρῃ ἑκάτερον. καὶ ἔπειτ' ἢν τὰ ἕλκεα ὑγιέα γένηται, ἐνιαυτὸν ἀπεχέσθω θωρήξιος, καὶ μὴ ὑπερπίμπλασθαι. μηδὲ τῇσι χερσὶ ταλαιπωρέειν. μηδὲ ἐπ' ὄχημα ἀναβαίνειν, ἀλλὰ παχύνειν αὐτὸν ὡς μάλιστα τὸ σῶμα.

Ἄρθρα τοῦ πλεύμονος παθόντα. Ἐπὴν ἄρθρα παθῇ τοῦ πλεύμονος, τὸ πτύσμα λευκὸν πτύει. ἐνίοτε δὲ αἱματῶδες. ἀφρονέει τε καὶ πυρετὸς ἴσχει, καὶ ὀδύνη τὸ στῆθος καὶ τὸ μετάφρενον, καὶ τὸ πλευρόν. καὶ ἢν στραφῇ, βήσσεται καὶ πτάρνυται. τοῦτον ἢ ἂν ὀδύνη ἔχῃ, χλιάσματα προστιθέναι. καὶ διδόναι προροφάνειν, κενταύρειον καὶ δαῦκον. καὶ ἐλελισφάκου φύλλα τρίβων. καὶ μέλι καὶ ὄξος ἐπιχέων. καὶ ὕδωρ διδόναι καταροφάνειν. καὶ πτισάνης χυλὸν προροφανέτω. καὶ ἐπιπινέτω οἶνον ὑδαρέα. ἔπειτ' ἢν δὲ τῆς ὀδύνης παύσηται, ἐλελίσφακον κόψας καὶ σήσας. καὶ ὑπερεικόν. καὶ ἐρύσιμον λεῖα. καὶ ἄλφιτον ἴσον ἑκάστου. ταῦτ' ἐπιβαλὼν ἐπὶ οἶνον κεκρημένον, διδόναι πίνειν νήστει. καὶ ἢν μὴ νῆστις ᾖ, διδόναι δὲ ῥοφάνειν ἔτνος ἄναλτον. ἢν δὲ θάλπος ᾖ, σιτίοισι διαχρῆσθαι ὡς μαλθακωτάτοισιν, ἀνάλτοισι, καὶ ἀκνίσοισιν. ἔπειτ' ἢν ἤδη ἐπιεικέως ἔχῃ τὸ σῶμα. καὶ τὸ στῆθος. καὶ τὸν νῶτον.

Ἢν δὲ ἀμφότερα παθῶσι, βὴξ ἴσχει. καὶ τὸ σίαλον βλέπεται παχὺ καὶ λευκόν. καὶ ὀδύνη ὀξέη ἴσχει ἐς τὸ στῆθος. καὶ ὑπὸ τὰς ὠμοπλάτας, καὶ τὸ πλευρόν. καὶ καῦμα ἔχει. καὶ καταπίμπλαται φωδῶν. καὶ ξυσμὴ ἔχει. καὶ οὐκ ἀνέχεται, οὔτε καθήμενος, οὔτε κείμενος, οὔτε ἑστηκὼς, ἀλλὰ δυσθενέει. οὗτος τεταρταῖος μάλιστα ἀποθνήσκει. ἢν δὲ ταύτας ὑπερφύγῃ, ἐλπίδες μὲν οὐ πολλαὶ, κινδυνεύει δὲ καὶ ἐν τῇσιν ἑπτά. ἢν δὲ καὶ ταύτας διαφύγῃ, ὑγιάζεται. τοῦτον ὅταν οὕτως ἔχῃ, λούειν πολλῷ θερμῷ δὶς τῆς ἡμέρης. καὶ ὅταν ἡ ὀδύνη ἔχῃ, χλιάσματα προστιθέναι. καὶ διδόναι πίνειν μέλι, καὶ ὄξος ῥοφάνειν, καὶ χυλὸν πτισάνης. καὶ ἐπιπίνειν οἶνον λευκὸν οἰνώδεα. ἢν δὲ πρὸς τὸ λουτρὸν καὶ τὰ χλιάσματα πονέῃ καὶ μὴ ἀνέχηται, προσφέρειν αὐτῷ ῥάκια ἡμιτυβίου, καὶ βάπτων ἐς ὕδωρ, ἐπὶ τὰ στήθεα καὶ τὸν νῶτον ἐπιτιθέναι. καὶ πίνειν διδόναι κυκεῖον, ἐν ὕδατι ἀποβρέχων ὡς ψυχρότατον. καὶ τὸν χυλὸν ψυχρόν. καὶ ὕδωρ ἐπιπίνειν. καὶ κεῖσθαι πρὸς τὸ ψῦχος. ταῦτα ποιέειν. ἡ δὲ νοῦσος θανατώδης.

Ἐρυσίπελας ἐν πλεύμονι. Ἢν ἐρυσίπελας ἐν πλεύμονι γένηται, βὴξ ἔχει. καὶ τὸ σίαλον ἀποπτύει πουλὺ καὶ ὑγρόν, οἷον ἀπὸ βρόγχου. ἐστὶ δὲ οὐχ αἱματῶδες. καὶ ὀδύνη ἴσχει τὸ μετάφρενον. καὶ τοὺς κενεῶνας. καὶ τὰς λαπάρας. καὶ τὰ σπλάγχνα μύζει. καὶ ἐμέει λάπην, καὶ οἷον ὄξος. καὶ τοὺς ὀδόντας αἱμωδιᾷ. καὶ πυρετὸς καὶ ῥῖγος καὶ δίψα λαμβάνει. καὶ ὅταν τι φάγῃ, ἐπὶ τοῖσι σπλάγχνοισι μύζει, καὶ ἐρεύγεται ὀξύ. καὶ ἡ κοιλίη τρίζει. καὶ τὸ σῶμα ναρκᾷ. καὶ ὅταν ἐμέσῃ, δοκέει ῥάων εἶναι. ὅταν δὲ μὴ ἐμέσῃ ἀπιούσης τῆς ἡμέρης, στρόφος καὶ ὀδύνη ἐγγίνεται ἐν τῇ γαστρί. καὶ ἀπόπατος ὑγρὸς γινόμενος, διεχώρησεν. ἡ δὲ νοῦσος μάλιστα γίνεται ἐκ τῶν θωρήξιων, καὶ ἐκ τῶν κρεοφαγιέων. καὶ ἐξ ὕδατος μεταβολῆς. ἴσχει δὲ καὶ ἄλλως. τοῦτον φάρμακον πιπίσκειν κάτω. καὶ μεταπιπίσκειν γάλα ὄνου, ἢν μὴ σπληνώδης ᾖ φύσει. ἢν δὲ σπληνώδης ᾖ, μὴ καθαίρειν, μήτε χυλοῖσι, μήτε γάλακτι, μήτε ὀρρῷ, ἀλλ' ὅτι ὀλίγον ἐσελθὼν, πολὺ διαξέει. ὑποκλύζειν δὲ τὰς κοιλίας, καὶ βαλάνους προστιθέναι, ἢν μὴ ἡ κοιλίη ὑποχωρέῃ, ἐν πάσῃσι τῇσι νούσοισι. καὶ ψυχρολουτέειν ἐν ταύτῃ τῇ νούσῳ καὶ γυμνάζεσθαι, ὅταν οἱ πυρετοὶ ἀνῶσι, καὶ δοκέῃ ἐπιεικέως ἔχειν τοῦ σώματος. καὶ τοῦ ἦρος καὶ τοῦ μετοπώρου ἐμέτον ἐμποιέειν. σκορόδων δὲ κεφαλὰς, καὶ ὀριγάνου δραγμίδα ὅσην τοῖσι δακτύλοισι περιλαβεῖν, ἑψεῖν ἐπιχέαντα δύο κοτύλας οἴνου γλυκέος. καὶ κοτύλην ὄξεος ὡς ὀξυτάτου. καὶ μέλιτος ὅσον τεταρτημόριον. ἑψεῖν δὲ, ἕως ἂν ἡ τρίτη μοῖρα λειφθῇ. κἄπειτα γυμνώσας τὸν ἄνθρωπον, καὶ λούσας ὕδατι χλιαρῷ, πιέσαι θερμόν. καὶ πιπίσκειν φάκιον, μέλι καὶ ὄξος συμμίσγων ἐς ἂν ἐμπλησθῇ. ἔπειτα ἐμεέτω. καὶ τὴν ἡμέρην ταύτην πιὼν ἄλφιτον καὶ ὕδωρ, ἐκνηστευέτω. ἐς ἑσπέρην δὲ τεῦτλον φαγέτω, καὶ μάζης μικρόν. καὶ πινέτω οἶνον ὑδαρέα. ἀνὰ δὲ τὸν ἄλλον χρόνον, ἐμεέτω τοῖσι φακίοισι καὶ ἀπὸ σιτίων. καὶ ἢν ἀφίστηται ἡ ὀδύνη ὑπὸ τὰς ὠμοπλάτας, σικύην προσβάλλειν. καὶ τὰς φλέβας ἀποτύψαι τὰς ἐν τῇσι χερσί. σιτίοισι δὲ χρῆσθαι ἀνάλτοισι, καὶ μὴ λιπαροῖσι, μηδὲ πίοσι. δριμέα δὲ καὶ ὀξέα, ἐσθιέτω, καὶ ψυχρὰ πάντα. καὶ περιπάτοισι χρήσθω. ταῦτα ποιέων ἄριστα ἂν διαιτῷτο, καὶ διὰ πλείστου χρόνου ἡ νοῦσος γίνοιτο. ἐστὶ

δὲ οὐ

δὲ οὐ θανατώδης, ἀλλ' ἀπογηράσκοντας ἀπολέσθαι. εἰ δὲ βούλοιο νεώτερον ἐόντας, θᾶττον ἀπαλλάξαι τῆς νόσου, καθήρας αὐτὸν, καῦσον τά τε στήθεα καὶ τὰ μετάφρενα.

Νωτιάς.

Ῥῖγος καὶ πυρετὸς καὶ βὴξ, καὶ δύσπνοια λαμβάνει. καὶ τὸ σίαλον πτύει χλωρόν. ἔστι δ' ὅτε καὶ ὕφαιμον. καὶ πονέει μάλιστα τὸ μετάφρενον. καὶ τοὺς βουβῶνας. καὶ ἡμέρῃ τρίτῃ ἢ τετάρτῃ οὐρέει αἱματώδεα. καὶ ἀποθνήσκει ἑβδομαῖος. ἐπὴν δὲ τὰς τεσσαρασκαίδεκα ἐκφύγῃ, ὑγιὴς γίνεται. ἐκφυγγάνει δ' οὐ μάλα. τούτῳ διδόναι μελίκρητον ἀναζέσας ἐν καινῇ χύτρῃ ψύχων, σελίνου φλοιὸν ἀποτέγγων ἢ μαράθρου. τοῦτο διδόναι πίνειν, καὶ πτισάνης χυλὸν δὶς τῆς ἡμέρης. καὶ ἐπιπίνειν οἶνον λευκὸν ὑδαρέα. ἢν ἂν ὀδύνη προσίστηται χλιαίνειν. καὶ λούειν θερμῷ, ἢν μὴ ὁ πυρετὸς πολὺς ἔχῃ. ἐπὴν δὲ αἱ τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσιν, ἀεισιτίζεσθαι μὲν, τὸν κέγχρον. ἐς ἑσπέρην δὲ, κρέα σκυλακείου. ἢ ὀρνίθεια ἑφθὰ ἐσθίειν. καὶ τοῦ ζωμοῦ ῥοφάνειν. σιτίοισι δὲ, ὡς ἐλαχίστοισι χρῆσθαι τὰς πρώτας ἡμέρας.

Φῦμα ἐν τῷ πλεύμονι.

Ἐπὴν φῦμα φύῃ ἐν τῷ πλεύμονι, βὴξ ἔχει καὶ ὀρθόπνοιη. καὶ ὀδύνη ἐς τὸ στῆθος ὀξέη. καὶ ἐς τὰ πλευρά. καὶ ἕως μὲν τῶν τεσσαρεσκαίδεκα ἡμερῶν πάσχει. τοῖσι γὰρ πλείστοισι, τοσαύτας ἡμέρας μάλιστα φλεγμαίνει τὸ πάθος τοῦ φύματος. καὶ τὴν κεφαλὴν δὲ ἀλγέει καὶ τὰ βλέφαρα, καὶ ὁρᾶν οὐ δύναται. καὶ τὸ σῶμα ὑπόπυῤῥον γίνεται. καὶ φλεβῶν ἐμπίπλαται. τοῦτον λούειν πολλῷ θερμῷ. καὶ μελίκρητον διδόναι πίνειν ὑδαρές. καὶ τῆς πτισάνης τὸν χυλὸν ῥοφάνειν. καὶ οἶνον ὑδαρέα ἐπιπίνειν. ἢν δὲ ἡ ὀδύνη πιέζῃ, χλιαίνειν. ἐπὴν δὲ παύσηται, σιτίοισιν ὡς μαλθακωτάτοισι χρῆσθαι. ἢν δὲ ἀπηλλαγμένον τῆς νόσου δύσπνοιη λαμβάνῃ, ἐπὴν πρὸς ὄρθιον χωρίον ἴῃ, ἢ σπεύσῃ τι ἄλλως, φάρμακον διδόναι, ὑφ' οὗ ἡ κοιλίη ἡ κάτω μὴ κινέεται. καὶ ἢν ἅμα τῷ ἐμέσματι πύον ἕπηται, ἢν μὲν τὸ πύον ᾖ λευκὸν, καὶ ἔνδον ἐν αὐτῷ ὕφαιμοι ἔωσιν, ἐκφυγγάνει. ἢν δὲ πελιδνὸν, καὶ χλωρὸν, καὶ κάκοδμον, ἀποθνήσκει. καθαίρονται δὲ ἐν τεσσαράκοντα ἡμέρῃσιν, ἀφ' ἧς ἂν ῥαγῇ, πολλοῖσι δὲ καὶ ἐνιαυσίη γίνεται ἡ νοῦσος. ποιέειν δὲ χρὴ τοῦτον, ἅπερ τὸν ἔμπυον. ἢν δὲ μὴ ῥαγῇ, ἐνίοισι γὰρ τῷ χρόνῳ ἀφίσταται ὡς τὸ πλευρὸν καὶ ἐξοιδίσκεται. τοῦτον χρὴ ἢν τοιοῦτο γένηται, τάμνειν ἢ καίειν.

Πλεύμων πλησθείς.

Ἢν πλησθῇ ὁ πλεύμων, βὴξ ἴσχει καὶ ὀρθόπνοιη, καὶ ἆσθμα. καὶ τὴν γλῶσσαν ἐκβάλλει. καὶ πίμπλαται φωδῶν. καὶ ξυσμὸς ἔχει. καὶ ὀδύνη ὀξέη ἴσχει ἐς τὸ στῆθος καὶ κατὰ τὰς ὠμοπλάτας. καὶ οὐκ ἀνέχεται οὔτε καθήμενος, οὔτε ἀνακείμενος, οὔθ' ἑστηκὼς, ἀλλὰ δυσθνεῖ. οὗτος τεταρταῖος μάλιστα ἀποθνήσκει. ἢν δὲ ταύτας ὑπερφύγῃ, ἐλπίδες ὡς τὰ πολλά. κινδυνεύει δὲ πολλάκις καὶ ἐν τῇσιν ἑπτά. ἢν δὲ ταύτας ὑπερεκφύγῃ, ὑγιάζεται. τοῦτον ὅταν οὕτως ἔχῃ, λούειν πολλῷ καὶ θερμῷ δὶς τῆς ἡμέρης. καὶ ὅταν ὀδύνη ἔχῃ, χλιάσματα προστιθέναι. καὶ ἐπιπίνειν διδόναι, μέλι καὶ ὄξος ἑφθόν. καὶ ῥοφάνειν χυλὸν πτισάνης. καὶ ἐπιπίνειν οἶνον. ἢν δὲ πρὸς τὸ λουτρὸν καὶ τὰ χλιάσματα πονέῃ καὶ μὴ ἀνέχηται, προσφέρειν αὐτῷ ψῦγμα. καὶ πίνειν διδόναι κηρίον ἐν ὕδατι ἀποβρέχων, ὡς ψυχρότατον. καὶ κεῖσθαι πρὸς τὸ ψῦχος, ταῦτα ποιέειν. ἡ δὲ νοῦσος χαλεπὴ καὶ θανατώδης.

Ὁ πλεύμων προσπεσὼν πρὸς τὸ πλευρόν.

Ἢν ὁ πλεύμων πρὸς τὸ πλευρὸν προσπέσῃ, βὴξ ἴσχει καὶ ὀρθόπνοιη. καὶ σίαλον βήσσεται λευκόν. καὶ ὀδύνη τὸ στῆθος καὶ τὸ μετάφρενον ἴσχει. καὶ ὠθέει προσκείμενος. καὶ δοκέει τι ἐγκέεσθαι βαρὺ ἐν τοῖσι στήθεσι. καὶ κεντέουσιν ὀδύναι ὀξεῖαι. καὶ τρίζει τὸ ἅμα οἷον μάσθλης. καὶ τὴν πνοιὴν ἐπέχει. καὶ ἐπὶ μὲν τὸ πονέον, ἀνέχεται κατακείμενος. ἐπὶ δὲ τὸ ὑγιὲς, οὔ. ἀλλὰ δοκέει τι αὐτῷ, οἷον ἐκκρέμασθαι βαρὺ ἀπὸ τοῦ πλευροῦ. καὶ διαπνέειν δοκέει διὰ τοῦ στήθεος. τοῦτον λούειν θερμῷ πολλῷ, δὶς τῆς ἡμέρης. καὶ μελίκρητον πιπίσκειν. καὶ ἐκ τοῦ λουτροῦ, οἶνον λευκὸν κεραννὺς, καὶ μέλι ὀλίγον. καὶ δαύκου καρπὸν τρίψας. καὶ τῆς κενταυρείης δίες, τούτοισι διδόναι χλιαρὸν καταῤῥοφάνειν. καὶ προστιθέναι πρὸς τὸ πλευρὸν ἐς ἀσκίον, ἢ ἐς βοείην κύστιν ὕδωρ χλιαρὸν ἐγχέων. καὶ ταινίῃ συνδεῖν τὰ στήθεα. καὶ κεῖσθαι ἐπὶ τὸ ὑγιές. καὶ τὸν χυλὸν διδόναι τῆς πτισάνης χλιαρόν. καὶ ἐπιπίνειν οἶνον ὑδαρέα. ἢν δὲ ἐκ τρώματος τοῦτο γένηται, ἢ τμηθέντι ἐμπύῳ, γίνεται γὰρ, τούτῳ κύστιν πρὸς σύριγγα προσδήσας, ἐμπιπλάναι τῆς φύσης, καὶ ἐσάγειν ἔσω, καὶ μοτὸν στερεὸν κασσιτέρινον ἐντιθέναι, καὶ ἀπωθέειν πρόσω. οὕτω διαιτῶν, τυγχάνοις ἂν μάλιστα.

Τοῦ πλευροῦ φῦμα.

Ἐπὴν πλευρῷ φῦμα γένηται, ἡ βὴξ ἴσχει στεγνή. καὶ ὀδύνη. καὶ πυρετός. καὶ ἐγκεῖσθαι βαρὺ ἐν τῷ πλευρῷ καὶ ὀ-

δύνη ὀξέη

δ' αὐτὴ ὀξέη ἐς τὸ αὐτὸ ἀεὶ χωρίον λαμβάνει. καὶ δίψα ἰσχυρή. καὶ ἀπερεύγεται τὸ πόμα, θερμόν. καὶ ὁτὲ μὲν τὸ ἀλγέον, οὐκ ἀνέχεται κατακείμενος. ὁτὲ δὲ, τὸ ὑγιές. ἀλλ' ἐπὴν κατακλίνῃ, δοκέει οἷόν περ λίθος ἐκκρέμασθαι. καὶ διοιδέει. καὶ διερυθή. καὶ οἱ πόδες οἰδέουσιν. τοῦτον τάμνειν ἢ καίειν. ἔπειτα ἀφιέναι τὸ πῦον, ἐς ἂν γίνηται δεκαταῖος. καὶ μοτὸν ὠμολίνου. ἐπὴν δὲ γίνηται δεκαταῖος, διεὶς τὸ πῦον πᾶν, ἐσιέναι οἶνον καὶ ἔλαιον χλιήνας, ὡς μὴ ἐξαπίνης ἀποξηρανθῇ. καὶ μοτὸν ὀθονίου. διεὶς δὲ τὸ ἐκκεχυμένον, ἐγχέειν ἕτερον. ποιέειν δὲ ταῦτα, πέντε ἡμέρας. ἐπὴν δὲ τὸ πῦον λεπτὸν ἀπορρέῃ, οἷον πτισάνης χυλός. καὶ ὀλίγον ἐν τῇ χειρὶ ψαυόμενον. ἢ κασσιτέρινον μοτὸν ἐντιθέναι. καὶ ἐπὴν παντάπασι ξηρανθῇ, ἀποτάμνων τε τοῦ μοτοῦ ὀλίγον, ἀεὶ ξυμφύειν τὸ ἕλκος πρὸς τὸν μοτόν. Ὕδερος πλεύμονος.

Ἢν δὲ ὕδερος ἐν τῷ πλεύμονι γίνηται, πυρετὸς καὶ βὴξ ἴσχει. καὶ ἀναπνέει ἀθρόον. καὶ οἱ πόδες οἰδέουσι. καὶ οἱ ὄνυχες ἕλκονται πάντες. καὶ πάσχει οἷά περ ἔμπυος γινόμενος. βληχρότερον δὲ καὶ πολυχρονιώτερον. καὶ ἢν ἐγχέῃς, ἢ πυριᾷς, ἢ θυμιᾷς, οὐχ ὁμαρτέει πῦον. τούτῳ ἢν γνοίης ὅτι, οὐ πῦον ἀλλὰ ὕδωρ ἐστί. καὶ ἢν πολλὸν χρόνον προσέχων τὸ οὖς ἀκουάζῃ, πρὸς τὰ πλευρά, ζέει ἔσωθεν οἷον ὄξος, καὶ ἕως μέν τινος ταῦτα πάσχει. ἔπειτα δὲ ῥήγνυται πρὸς τὴν κοιλίην. καὶ αὐτίκα μὲν δοκέει ὑγιὴς εἶναι καὶ τῆς νούσου ἀπηλλάχθαι. τῷ δὲ χρόνῳ ἡ κοιλίη ἐμπίπραται. καὶ τά τε αὐτὰ κεῖνα πάσχει καὶ μᾶλλον. ἔνιοι δὲ καὶ οἰδίσκονται τὴν γαστέρα. καὶ τὴν ὄσχην. καὶ τὸ πρόσωπον. καὶ ἔνιοι δοκέουσιν εἶναι ἀπὸ τῆς κοιλίης τῆς κάτω, ὁρῶντες τὴν γαστέρα μεγάλην. καὶ τοὺς πόδας οἰδέοντας. οἰδίσκεται γὰρ ταῦτα, ἢν ὑπερβάλλῃς τὸν καιρὸν τῆς τομῆς. τοῦτον χρή, ἢν μὲν ἀποιδήσῃ, ἔξω ταμόντα διὰ τῶν πλευρέων, ἰῆσθαι. ἢν δὲ μὴ ἀποιδέῃ, λούσαντα πολλῷ θερμῷ καθίζειν ὥσπερ τοὺς ἐμπύους. καὶ ὅπῃ ἂν ψοφέῃ, ταύτῃ τάμνειν. βούλεσθαι δὲ ὡς κατωτάτω, ὅκως τοι εὔροον ἔῃ. ἐπὴν δὲ τάμῃς, μοτὸν ὠμολίνου, παχὺν καὶ ἔπακρον ποιήσασθαι τὸν μοτόν, καὶ ἀφιέναι τοῦ ὕδατος φειδόμενος ὡς ἐλάχιστα. καὶ ἢν μέν σοι ἐν τῷ μοτῷ πῦον περιγίνηται, πεμπταίῳ ἐόντι, ὡς τὰ πολλὰ ἐκφυγγάνει. ἢν δὲ μὴ περιγίνηται, ἐπὴν ἐξεράσῃς τὸ ὕδωρ, δίψα ἐπιλαμβάνει καὶ βήξ, καὶ ἀποθνήσκει.

Στῆθος ἢ μετάφρενον ῥαγέν. Ἢν τὸ στῆθος ἢ τὸ μετάφρενον ῥαγῇ, ὀδύναι ἴσχουσι τὸ στῆθος. καὶ τὸ μετάφρενον διαμπερές. καὶ θέρμη ἄλλοτε καὶ ἄλλοτε ἐπιλαμβάνει. καὶ τὸ σίαλον ὕφαιμον βήσσεται. τὸ δ' οἷον θρὶξ διατρέχει διὰ τοῦ σιάλου αἱματώδης. μάλιστα δὲ ταῦτα πάσχει, ἢν τῇσι χερσί τι πονήσῃ. ἢ ἐπ' ἅμαξαν ἐπιβῇ, ἢ ἐφ' ἵππον. τοῦτον καίειν καὶ ἔμπροσθεν καὶ ὄπισθεν μοιρήσῃ ἑκάτερον. καὶ οὕτως ὑγιὴς γίνεται. ἐπισχεῖν δὲ τὸν πόνον ἐνιαυτόν, καὶ παχῦναι ἐκ τῆς καύσιος.

Πυρετὸς καυσώδης. Πυρετὸς ἴσχει καὶ δίψα ἰσχυρή. καὶ ἡ γλῶσσα τρηχείη. καὶ μέλαινα. καὶ χλωρή. καὶ ξηρή. καὶ διέρυθρος ἰσχυρῶς. καὶ οἱ ὀφθαλμοὶ χλωροί. καὶ ἀποπατέει ἐρυθρόν, καὶ χλωρόν. καὶ οὐρέει τοιοῦτο καὶ πτύει πολλόν. πολλάκις δὲ καὶ μεθίσταται ὡς ἐπὶ περιπλευμονίην, καὶ παρακόπτει. τούτῳ ἂν γνοίης ὅτι περιπλευμονίη γίνεται. οὗτος ἢν μὲν γένηται περιπλευμονικός, καὶ τεσσαρεσκαίδεκα ἡμέρας ὑπερφύγῃ, ὑγιὴς γίνεται. ἢν δὲ γένηται ἐν ὀκτωκαίδεκα ἡμέρῃσιν, ἢν μὴ ἀκάθαρτος γενόμενος ἔμπυος γένηται. τοῦτον χρὴ πίνειν τὸ ἀπὸ τοῦ κρίμνου. καὶ μεταπίνειν ὄξος, ὡς εὐωδέστατον λευκόν. καὶ ῥοφάνειν τὸν χυλὸν τῆς πτισάνης, δὶς τῆς ἡμέρης. ἢν δὲ ἀσθενὴς ᾖ, τρίς. καὶ ἐπιπίνειν οἶνον οἰνώδεα, λευκόν, ὑδαρέα. καὶ λούειν ὡς ἐλάχιστα. ἢν δὲ ἔμπυος γένηται, διαιτᾶν ὡς ἔμπυον.

Πυρετὸς λυγγώδης. Πυρετὸς ἴσχει συνεχνός. καὶ ῥῖγος. καὶ βήξ. καὶ λύγξ. καὶ βήσσει ἅμα τῷ σιάλῳ θρόμβους αἵματος. καὶ ἑβδομαῖος ἀποθνήσκει. ἢν δὲ δέκα ἡμέρας ὑπερφύγῃ, ῥάων γίνεται. εἰκοστῇ δὲ ἡμέρῃ ἐμπυΐσκεται. καὶ βήσσει τὰς πρώτας ἡμέρας πῦον ὀλίγον. ἔπειτα, ἐπιπλέον, καθαίρεται δὲ ἐν τεσσαράκοντα ἡμέρῃσι. τοῦτον τὰς μὲν πρώτας ἡμέρας, πιπίσκειν τὸ ὄξος καὶ τὸ μέλι ἑφθόν. καὶ μετὰ μίσγειν ὄξος καὶ ὕδωρ ὑδαρὲς πίνων. ῥοφάνειν μὲν χυλὸν πτισάνης μέλι ὀλίγον παραμίσγων. καὶ οἶνον ἐπιπίνειν λευκὸν οἰνώδεα. ἐπὴν δὲ αἱ δέκα ἡμέραι παρέλθωσιν, ἢν τὸ πῦρ παύσηται, καὶ τὸ πτύαλον καθαρὸν ᾖ, τὴν πτισάνην ὅλην ῥοφανέτω, ἢ τὸν κέγχρον. ἢν δὲ εἰκοσταῖος τὸ πῦον πτύσῃ, πινέτω, κόψας καὶ σήσας τὸν ἐλελίσφακον. καὶ πήγανον. καὶ θύμβρην. καὶ ὀρίγανον, καὶ ὑπερικόν. ἴσον ἑκάστου ξυμμίσγων, ὅσον σκαφίδια σμικρήν, ξυμπάντων, καὶ ἀλφίτων τὸ αὐτό. ἐπὶ οἴνῳ γλυκεῖ κεκρημένῳ, νῆστις πίνειν. καὶ ῥοφανέτω ἢν χειμὼν ᾖ

ἢ μετόπωρον

ἢ μετόπωρον, ἢ ἔαρ. ἢν δὲ θέρος ᾖ, μή. ἀλλ' ἀμυγδάλια τρίβων καὶ σικύου σπέρμα πεφωσμένον, καὶ σήσαμον ἴσον ἑκάστου, σύμπαν δὲ ὅσον σκαφίδα, ἐπιχέας ὕδατος ὅσον κοτύλην αἰγιναίαν, ἄλητον ἐπιπάσσων καὶ κηρίον, τοῦτο ῥοφανέτω μετὰ τὸ πόμα. σιτίοισι δὲ χρήσθω λιπαροῖσι καὶ ἁλμυροῖσι, καὶ θαλασσίοισι μᾶλλον, ἢ κρέασι. λούσθω δὲ θερμῷ τὴν κεφαλὴν ὡς ἐλάχιστα. ταῦτα ποιέων, ἀπαλλάσσεται τῆς νούσου. Νοῦσος ἡ καλουμένη λήθαργος. Βὴξ ἴσχει. καὶ τὸ σίαλον πτύει πουλὺ καὶ ὑγρόν. καὶ φλυηρέει. καὶ ὅταν παύσηται φλυηρέων, εὕδει. καὶ ἀποπατέει κάκοδμον. τοῦτον πιπίσκειν τὸ ἀπὸ τοῦ κρίμνου. καὶ μεταπιπίσκειν οἶνον λευκὸν οἰνώδεα. καὶ ῥοφάνειν τὸν χυλὸν τῆς πτισάνης. ξυμμίσγειν δὲ, σίδης χυλόν. καὶ οἶνον ἐπιπίνειν οἰνώδεα λευκόν. καὶ μὴ λούειν. οὗτος ἐν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκει. ἢν δὲ ταύτας ὑπερφύγῃ, ὑγιὴς γίνεται. Ἑτέρη νοῦσος ἡ λεγομένη, αὐάντη. Οὐκ ἀνέχεται ἄσιτος, οὐδὲ βεβρωκώς, ἀλλ' ὅταν μὲν ἄσιτος ᾖ, τὰ σπλάγχνα μύζει, καὶ καρδιώσσει. καὶ ἐμέει ἄλλοτε ἀλλοῖα. καὶ χολήν. καὶ σίαλα. καὶ λάπην. καὶ δριμύ. καὶ ἐπὴν ἐμέσῃ, ῥάων δοκέει εἶναι ἐπ' ὀλίγον. ἐπὴν δὲ φάγῃ, ἐρύγματά οἱ γίνεται, καὶ φλογιᾷ. καὶ ἀποπατήσειν ἀεὶ οἴεται πουλύ. ἐπὴν δὲ καθίζηται, φῦσα ὑποχωρέει. καὶ τὴν κεφαλὴν ὀδύνη ἔχει. καὶ τὸ σῶμα πᾶν ὥσπερ ῥαφὶς κεντέειν δοκεῖ, ἄλλοτε ἄλλῃ. καὶ τὰ σκέλεα βαρέα καὶ ἀσθενέα. καὶ μινύθει. καὶ ἀσθενὴς γίνεται. τοῦτον φάρμακον πιπίσκειν, πρῶτον μὲν κάτω, ἔπειτα δὲ ἄνω. καὶ τὴν κεφαλὴν καθαίρειν, καὶ σιτίων ἀπέχεσθαι γλυκέων καὶ ἐλαιηρῶν καὶ πιόνων, καὶ θωρηξίων. ἐμέειν δὲ τοῖσι χυλοῖσι, καὶ ἀπὸ σιτίων. καὶ τὴν ὥρην ὄνου γάλα ἢ ὀῤῥὸν πιπίσκων, φάρμακον προσπίσαι, ὁκότερον σοι δοκέῃ μᾶλλον δεῖσθαι. ψυχρολουτέειν τὸ θέρος καὶ τὸ ἔαρ. τὸ φθινόπωρον δὲ καὶ τὸν χειμῶνα ἀλείμματι χρῆσθαι, καὶ περιπατέειν, καὶ γυμνάζεσθαι ὀλίγα. ἢν δὲ ἀσθενέστερος ᾖ, ὥστε γυμνάζεσθαι, ὁδοιπορίῃ χρῆσθαι. καὶ σιτίοισι ψυχροῖσι καὶ διαχωρητικοῖσι χρήσθω. καὶ ἢν ἡ γαστὴρ μὴ ὑποχωρέῃ, ὑποκλύζειν κλύσματι μαλθακῷ. ἡ δὲ νοῦσος χρονίη. καὶ ἀπογηράσκοντας, ἢν μέλλῃ ἀπολείπειν. ἢν δὲ μή, συναποθνήσκει. Πυρετὸς ὁ φονώδης λεγόμενος. Πυρετὸς ἴσχει καὶ ῥῖγος. καὶ αἱ ὀφρύες ἐπικρέμασθαι δοκέουσι. καὶ τὴν κεφαλὴν ἀλγέει. καὶ ἐμέει σίαλον θερμόν. καὶ χολὴν πολλήν. ἐνίοτε καὶ κάτω ὑποχωρέει. καὶ τοὺς ὀφθαλμοὺς αἱ χῶραι οὐ χωρέουσι. καὶ ὀδύνη διὰ τὸν αὐχένα, καὶ ἐς τοὺς βουβῶνας ἴσχει. καὶ δυσθενεῖ καὶ φλυηρέει. οὗτος ἑβδομαῖος, ἢ καὶ πρότερον ἀποθνήσκει. ἢν δὲ ταύτας ὑπερφύγῃ, ὡς τὰ πολλὰ ὑγιαίνει. ἡ δὲ νοῦσος θανατώδης. τούτῳ ψύγματα χρὴ προσίσχειν, πρὸς τὰ σπλάγχνα καὶ πρὸς τὴν κεφαλήν. καὶ πίνειν διδόναι ἐῤῥήξαντα τὰς κάχρυς σὺν τοῖσιν ἀχύροισι, καὶ ἀποβρέχοντα καὶ ἀπηθέοντα τὸ ὕδωρ ἐν τούτῳ μελίκρητον ποιέοντα, ὑδαρὲς τοῦτο διδόναι. σιτίον δὲ μὴ προσφέρειν, μηδὲ ῥόφημα ἑπτὰ ἡμερέων ἄχρις. ἢν μὴ ἀσθενὴς σοι δοκέῃ εἶναι. ἢν δὲ ᾖ, χυλὸν πτισάνης ψυχρὸν καὶ λεπτὸν ὀλίγον διδόναι δὶς τῆς ἡμέρης καὶ ἐπιπίνειν ὕδωρ. ἐπὴν δὲ ἑπτὰ ἡμέραι παρέλθωσι καὶ τὸ πῦρ μεθῇ, κέγχρον λείχειν. τὴν ἑσπέρην δὲ κολοκύντην, ἢ τεῦτλα διδόναι ὀλίγα. καὶ οἶνον λευκὸν ὑδαρέα ἐπιπίνειν, ἐς ἂν γένηται ἐνναταῖος. ἔπειτα σιτίῳ ὡς ἐλαχίστῳ χρήσθω, ἀεὶ σιτιζόμενος κέγχρον. λουτρῷ δὲ, ἐς ἂν ἡ ὀδύνη ἔχῃ, καὶ ὁ πυρετός, μὴ χρήσθω. ἐπὴν δὲ παύσηται, λούσθω πολλῷ. ἢν δὲ ἡ γαστὴρ μὴ ὑποχωρέῃ, ὑποκλύζειν κλύσματι μαλθακῷ ἢ βαλάνους προσθεῖναι. ἐπὴν δὲ ἰσχύσῃ, προσθεὶς πρὸς τὰς ῥῖνας φάρμακον μαλθακόν, τὴν κοιλίην κάτω κάθηρον. ἔπειτα γάλα ὄνου μεταπίσον. Πελίη νοῦσος. Πυρετὸς ἴσχει ξηρός. καὶ φρὶξ ἄλλοτε καὶ ἄλλοτε, καὶ τὴν κεφαλὴν ἀλγέει. καὶ τὰ σπλάγχνα ὀδύνη ἔχει. καὶ ἐμέει χολήν. καὶ ὅταν ἡ ὀδύνη ἔχῃ, οὐ δύναται ἀνορᾶν, ἀλλὰ βαρύνεται. καὶ ἡ γαστὴρ σκληρὴ γίνεται. καὶ ἡ χροιὴ πελιδνή. καὶ τὰ χείλεα, καὶ τῶν ὀφθαλμῶν τὰ λευκά, πελιδνά. καὶ ἐξορᾷ ὡς ἀγχόμενος. ἐνίοτε καὶ τὴν χροιὴν μεταβάλλει. καὶ ἐκ πελιδνοῦ, ὑπόχλωρος γίνεται. τοῦτον φάρμακον πιπίσκειν καὶ κάτω καὶ ἄνω. καὶ ὑποκλύζειν. καὶ ἀπὸ τῆς κεφαλῆς ἀποκαθαίρειν. καὶ θερμῷ ὡς ἥκιστα λούειν, ἀλλὰ καὶ ἐπὴν λούηται, ἐληθερεῖν. καὶ ὀῤῥὸν τὴν ὥρην καὶ γάλα ὄνου πιπίσκειν. καὶ σιτίοισιν ὡς μαλθακωτάτοισι χρῆσθαι, καὶ ψυχροῖσιν, ἀπεχόμενον τῶν δριμέων καὶ τῶν ἁλμυρῶν. λιπαρωτέροισι δὲ καὶ γλυκυτέροισι καὶ πιοτέροισι χρήσθω. ἡ δὲ νοῦσος ὡς τὰ πολλὰ συναποθνήσκει τῷ κάμνοντι. Νοῦσος ἐρυγματώδης. Ὀδύνη λάζεται ὀξέη. καὶ πονέει ἰσχυρῶς. καὶ ῥιπτάζει αὐτὸς ἑωυτόν. καὶ βοᾷ. καὶ ἐρεύγεται θαμινά. καὶ ἢν ἀπερεύγῃ, δοκέει ῥάων εἶναι. πολλάκις δὲ καὶ χολὴν ἀπεμέει

λὴν ἀπεμέει ὀλίγην, ὅσον βρόχθον. καὶ ὀδύνη λαμβάνει ἀπὸ τῶν σπλάγχνων, ἐς τὴν νειαίρην γαστέρα καὶ τὴν λαπάρην. καὶ ἐπὴν ἦν σῖτος γένηται, ῥάων δοκέει εἶναι. καὶ ἡ γαστὴρ φυσᾶται. καὶ σκληρὴ γίνεται. καὶ ψοφέει. καὶ ἡ φῦσα οὐ διαχωρέει, οὐδὲ ὁ ἀπόπατος. τοῦτον ἢν ὀδύνη ἔχῃ, λούειν πολλῷ θερμῷ. καὶ χλιάσματα προστιθέναι. ὅταν δὲ ἐν τῇ γαστρὶ ἡ ὀδύνη ἢ καὶ ἡ φῦσα, ὑποκλύζειν. καὶ τῆς λινοζώστιος ἑψῶν τὸν χυλὸν, ξυμμίσγειν τὸ πτισάνης τοῦ χυλῷ. καὶ ἐπιπίνειν οἶνον γλυκὺν ὑδαρέα. σιτίον δὲ μὴ προσφέρειν ἕως ἂν ἡ ὀδύνη χαλάσῃ. πινέτω δὲ ἐξ ἡμέρας ἐκ νυκτὸς, σέμφυλα βρέχων γλυκέα, τὸ ὕδωρ τὸ ἀπὸ τούτων. ἢν δὲ μὴ ἔχῃ σέμφυλα, μέλι καὶ ὄξος ἑφθόν. ἔπειτα ἢν δὲ τῆς ὀδύνης ἀποκινήσῃ, φαρμάκῳ κάτω τὴν κοιλίην καθαίρειν. σιτίοισι δὲ χρήσθω μαλθακοῖσι καὶ ὑποχωρητικοῖσι, καὶ θαλασσίοισι μᾶλλον, ἢ κρέασι. κρέασι δὲ ὀρνιθείοισι καὶ μηλείοισιν ἑφθοῖσι. καὶ τεῦτλα καὶ κολοκύντην. τῶν δ' ἄλλων ἀπεχέσθω. ἡ δὲ νοῦσος ὅταν μὲν νέον λάβῃ, χρόνῳ διεξέρχεται. ἢν δὲ πρεσβύτερον, συναποθνήσκει.

Νοῦσος φλεγματώδης. Λάζεται μὲν καὶ ἄνδρα. μᾶλλον δὲ γυναῖκα. καὶ παχέη μὲν ἐστὶ καὶ εὔχρως. ὁδοιπορέουσα δὲ ἀσθενέει. μάλιστα δὲ ἔπειτα ἢν πρὸς ἔτος ᾖ. καὶ πυρετὸς λεπτὸς λαμβάνει. ἐνίοτε καὶ πνίγμα. καὶ ἀπεμέει μὲν ὅταν ἄσιτος ᾖ, χολὴν, καὶ σίαλα πολλά. πολλάκις δὲ καὶ ὅταν φάγῃ. τοῦ δὲ σιτίου οὐδέν. καὶ ὅταν πονήσῃ ὀδυνᾶται, καὶ ἄλλοτε ἄλλη τὸ στῆθος καὶ τὸ μετάφρενον. καὶ καταπίμπλαται πομφῶν ὡς ὑπὸ κνίδης. τοῦτον φάρμακον πιπίσκειν. καὶ ὀρρὸν καὶ γάλα ὄνου πινέτω. ἢν δὲ ὀρροποτέῃ, προπίσαι φάρμακον κάτω ὡς πλείστας ἡμέρας. καὶ ἢν ἀπολήγῃ τῆς ὀρροποσίης, μεταπινέτω γάλα ὄνειον. ἔπειτα ἢν δὲ πίνῃ, σιτίων μὲν ἀπεχέσθω. οἶνον δὲ πινέτω ὡς ἥδιστον, ἔπειτα ἢν παύσηται καθαιρόμενος. ἔπειτα ἢν δὲ ἀπολήξῃ τῆς πόσιος, ἀριστιζέτω μὲν κέγχρον. ἑσπέρην δὲ σιτίῳ ὡς μαλθακωτάτῳ χρήσθω, καὶ ἐλαχίστῳ. ἀπεχέσθω δὲ πιόνων καὶ γλυκέων, καὶ ἐλαιηρῶν. καὶ ἄλλοτε καὶ ἄλλοτε, μάλιστα τοῦ χειμῶνος. ἀπεμεέτω ἀπὸ φακίων λάχανα προτρώγων. καὶ θερμῷ ὡς ἥκιστα λούσθω, ἀλλὰ καὶ εἰληθερεέτω. ἡ δὲ νοῦσος συναποθνήσκει.

Φλέγμα λευκόν. Οἰδέει ἅπαν τὸ σῶμα λευκῷ οἰδήματι. καὶ ἡ γαστὴρ παχέη φαίνεται. καὶ οἱ πόδες καὶ οἱ μηροὶ, οἰδέουσι. καὶ αἱ κνῆμαι καὶ ἡ ὄσχη. καὶ ἀναπνεῖ ἀθρόον. καὶ τὸ πρόσωπον ἐνέρευθες. καὶ τὸ στόμα ξηρόν. καὶ δίψα ἴσχει. καὶ ἐπὴν φάγῃ, τὸ πνεῦμα πυκνὸν ἐπιπίπτει. οὗτος τῆς αὐτῆς ἡμέρης, τότε μὲν, ῥάων γίνεται. τότε δὲ, κάκιον ἴσχει. τοῦτον ἢν μὲν ἡ γαστὴρ ταραχθῇ αὐτομάτη ἀρχομένης τῆς νούσου, ἐγγυτάτω ὑγιὴς γίνεται. ἢν δὲ μὴ ταραχθῇ, φάρμακον διδόναι κάτω, ὑφ' οὗ ὕδωρ καθαιρεῖται. καὶ θερμῷ μὴ λούειν. καὶ πρὸς τὴν αἰθρίην κομίζειν. καὶ τὴν ὄσχην ἀποτύπτειν, ἐπὴν πίμπρηται. σιτίοισι δὲ χρήσθω, ἄρτῳ καθαρῷ ψυχρῷ. καὶ τεύτλῳ. καὶ ἰχθύσι σκορπίοισιν ἑφθοῖσι. ἀπὸ δὲ ζωμῶν, ὡς ἐλαχίστῳ. καὶ ψυχρὰ πάντα. καὶ μὴ γλυκέα, μὴ δὲ λιπαρά. ἀλλὰ τετριμμένα καὶ ὀξέα καὶ δριμέα. τὴν σκορόδου, ἢ κρομμύου, ἢ πράσου. ὀρίγανον δὲ καὶ θύμβρην πολλὴν ἐσθίειν. καὶ οἶνον ἐπιπίνειν οἰνώδεα. καὶ ὁδοιπορέειν πρὸ τοῦ σιτίου. ἢν δ' ὑπὸ τοῦ φαρμάκου οἰδίσκεται, κλύζειν καὶ ἀπὸ σιτίων πιέζειν, καὶ περιπάτοισι. καὶ ἀλουσίῃ. φάρμακα δὲ, ὡς ἐλάχιστα διδόναι. ἄνω δὲ μὴ δ' ἔμπροσθεν, ἢ τὰ οἰδήματα κατέλθοι ἐς τὸ κάτω. ἢν δὲ ἰσχνοῦ ἤδη ἐόντος πνίγμα ἐν τοῖσι στήθεσιν ἐγγίνεται, ἐλλέβορον δὸς πίνειν. καὶ τὴν κεφαλὴν καθῆραι. κἄπειτα κάτω πίσαι. ἡ δὲ νοῦσος μάλιστα διακρίνει ἐν οὐδενί.

Φροντὶς νοῦσος χαλεπή. Δοκέει ἐν τοῖσι σπλάγχνοισιν εἶναι οἷον ἄκανθα, καὶ κεντέειν. καὶ ἄση αὐτὸν λάζεται. καὶ τὸ φῶς φεύγει, καὶ τοὺς ἀνθρώπους. καὶ τὸ σκότος φιλέει. καὶ φόβος λάζεται. καὶ αἱ φρένες οἰδέουσιν ἐκτός. καὶ ἀλγέει ψαυόμενος. καὶ φοβεῖται. καὶ δείματα ὁρᾷ καὶ ὀνείρατα φοβερά. καὶ τοὺς τεθνηκότας ἐνίοτε. καὶ ἡ νοῦσος ἐνίοτε τοὺς πλείστους λαμβάνει τοῦ ἦρος. τοῦτον πιπίσκειν ἐλλέβορον. καὶ τὴν κεφαλὴν καθαίρειν. καὶ μετὰ τὴν κάθαρσιν τῆς κεφαλῆς, κάτω πῖσαι φάρμακον. καὶ μετὰ ταῦτα πίνειν γάλα ὄνου. σιτίοισι δὲ χρῆσθαι ὡς ἐλαχίστοισιν, ἢν μὴ ἀσθενὴς ᾖ. καὶ ψυχροῖσι καὶ διαχωρητικοῖσι. καὶ μὴ δριμέσι. μὴ δ' ἁλμυροῖσι, μηδὲ λιπαροῖσι. μὴ δὲ γλυκέσι. μὴ δὲ θερμολουέσθω. μὴ δὲ οἶνον πινέτω. ἀλλὰ μάλιστα μὲν, ὕδωρ. εἰ δὲ μὴ, οἶνον ὑδαρέα. μὴ δὲ γυμναζέσθω. μὴ δὲ περιπατέτω. ταῦτα ποιέων, ἀπαλλάσσεται τῆς νούσου, χρόνῳ. ἢν δὲ μὴ ἐπιμελήσῃ, ξυναποθνήσκει.

Μέλαινα νοῦσος. Μέλαιναν ἐμέει οἷον τρύγα, ὅτε μὲν, αἱματώδεα. ὅτε δὲ οἷον οἶνον τὸν δεύτερον. ὅτε δὲ οἷον πολύπου θολόν. ὅτε δὲ, δριμὺ οἷον ὄξος. ὅτε δὲ

σίαλον καὶ λάπην. ὅτε δὲ, χολὴν χλωρήν. καὶ ὅταν μὲν τὸ μέλαν τὸ αἱματῶδες ἐμέῃ, δοκεῖ οἷον φόνου ὄζειν. καὶ ἡ φάρυγξ καὶ τὸ στόμα καίεται ὑπὸ τοῦ ἐμέσματος. καὶ τοὺς ὀδόντας αἱμωδιᾷ. καὶ τὸ ἔμεσμα τὴν γῆν αἴρει. καὶ ἐπὴν ἀπεμέσῃ, δοκέει ῥάων εἶναι ἐπ' ὀλίγον. καὶ οὐκ ἄχθεται οὔτ' ἄσιτος ὤν, οὔτε πλέον βεβρωκώς. ἀλλ' ὁκόταν μὲν ἄσιτος ᾖ, τὰ σπλάγχνα μύζει. καὶ τὰ σίαλα ὀξέα. ὅταν δέ τι φάγῃ, βάρος ἐπὶ τοῖσι σπλάγχνοισι. καὶ τὸ στῆθος καὶ τὸ μετάφρενον, δοκέει οἷον γραφείοισι κεντεῖσθαι. καὶ τὰ πλευρὰ ἔχει ὀδύνη, καὶ πυρετὸς βληχρός. καὶ τὴν κεφαλὴν ἀλγεῖ. καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐχ ὁρᾷ. καὶ τὰ σκέλεα βαρέα. καὶ ἡ χροιὴ μέλαινα. καὶ μινύθει. τοῦτον φάρμακον πιπίσκειν θαμὰ, καὶ ὀῤῥὸν καὶ γάλα τὴν ὥρην. καὶ σιτίων ἀπέχειν γλυκέων, καὶ ἐλαιηρῶν, καὶ πιόνων. καὶ χρῆσθαι ὡς ψυχροτάτοισι καὶ ὑποχωρητικωτάτοισι. καὶ τὴν κεφαλὴν καθαίρειν. καὶ μετὰ τὰς φαρμακοποσίας τὰς ἄνω, ἀπὸ τῶν χειρῶν τοῦ αἵματος ἀφιέναι, ἢν μὴ ἀσθενὴς ᾖ. ἢν δὲ ἡ κοιλίη μὴ ὑποχωρέῃ, ὑποκλύζειν μαλθακῷ κλύσματι. καὶ θωρηξίων ἀπέχεσθαι, καὶ λαγνείης. ἢν δὲ λαγνεύῃ νῆστις, πυελᾶσθαι. καὶ τοῦ ἡλίου ἀπέχεσθαι. μὴ δὲ γυμνάζεσθαι πουλλά. μὴ δὲ περιπατέειν. μὴ δὲ θερμολουτέειν. μὴ δὲ δριμέα ἐσθίειν, μὴ δὲ ἁλυκά. ταῦτα ποιέειν, καὶ ἅμα τῇ ἡλικίῃ ἀποφεύγει καὶ ἡ νοῦσος, εἰ καὶ καταγηράσκει σὺν τῷ σώματι. ἢν δὲ μελανθῇ, συναποθνήσκει. Ἄλλη μέλαινα νοῦσος. Ὑπόπυρος καὶ ἰσχνὸς, καὶ τοὺς ὀφθαλμοὺς ὑπόχλωρος γίνεται. καὶ λεπτόδερμος καὶ ἀσθενὴς τελέθει. ὅσῳ δ' ἂν χρόνος πλείων ᾖ, ἡ νοῦσος μᾶλλον πονέει. καὶ ἐμέει πᾶσαν ὥρην, οἷον σταλαγμὸν ὀλίγον, κατὰ δύο βρόχθους. καὶ τὸ σιτίον θαμινά. καὶ σὺν τῷ σιτίῳ, χολὴν καὶ φλέγμα. καὶ μετὰ τὴν ἔμεσιν ἀλγεῖ τὸ σῶμα πᾶν, ἔστι δ' ὅτε καὶ πρὶν ἐμέσαι. καὶ φρῖκαι λεπταὶ, καὶ πυρετὸς ἴσχει. καὶ πρὸς τὰ γλυκέα καὶ ἐλαιώδεα μάλιστα ἐμέει. τοῦτον καθαίρειν χρὴ φαρμάκοισι, καὶ κάτω καὶ ἄνω. καὶ μεταπιπίσκειν γάλα ὄνου. καὶ σιτίοισι χρῆσθαι, ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσι. καὶ ἰχθύσιν ἀκταίοισι, καὶ σελάχεσι. καὶ τευτλίοισι καὶ κολοκύντῃσι. καὶ κρέασι τετριμμένοισιν. οἶνον δὲ πίνειν λευκὸν οἰνώδεα, ὑδαρέστερον. ταλαιπωρέειν δὲ ἐν περιπάτοισι χρῆσθαι. καὶ μὴ θερμολουτέειν. καὶ τοῦ ἡλίου ἀπέχεσθαι. ταῦτα ποιέειν. ἡ δὲ νοῦσος, θανατώδης μὲν, οὔ. ξυγκαταγηράσκει δέ. Σφακελώδης. Τὰ ἄλλα μὲν τὰ αὐτὰ πάσχει. ἐμέει δὲ, θρόμβους πεπηγότας χολῆς. καὶ κάτω ὁμοίως, ἐπὴν τὰ σιτία ἀποπατήσῃ. δρᾶν δὲ χρὴ τὰ αὐτὰ ἅπερ ἐπὶ τῆς προτέρης ἐλέχθη, καὶ ὑποκλύζειν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΝΟΥΣΩΝ ΤΟ ΤΡΙΤΟΝ.

Π

Ερὶ μὲν οὖν πυρετῶν ἁπάντων, εἴρηταί μοι. ἀμφὶ δὲ τῶν λοιπῶν, φράσω ἤδη.

Οἴδημα ἐγκεφάλου. Ὁκόταν ὁ ἐγκέφαλος οἰδήσῃ ὑπὸ φλεγμασίης, ὀδύνην ἴσχει ἅπασαν τὴν κεφαλήν. μάλιστα δὲ, ὅπῃ στάῃ ἡ φλεγμασίη. ἵσταται δὲ ἐν τῷ κροτάφῳ. καὶ τά τε ὦτα ἤχους πλήρεα γίνεται. καὶ ἀμβλύνει ἡ ἀκοή. καὶ φλέβες τέτανται, καὶ σφύζουσι. πυρετός τε καὶ ῥῖγος ἐνίοτε ἐπιλαμβάνει. ἥ τε ὀδύνη ἐκλείπει οὐδέποτε. ἀλλὰ ποτὲ μὲν, ἀνίησι. ποτὲ δὲ, μᾶλλον πιέζει. βοᾷ τε καὶ ἀναΐσσει ὑπὸ τῆς ὀδύνης. καὶ ὁκόταν ἀναστῇ, αὖθις σπουδῇ ἐπὶ τὴν κλίνην καταπεσεῖν. καὶ ῥιπτάζει ἑωυτόν. οὗτος ἔστι μὲν θανατώδης. ὁκόσων δὲ ἡμερέων ἀποθανεῖται, οὐκ ἔχει κρίσιν. ἄλλοι γὰρ ἄλλως ἀπόλλυνται. ὡς μέντοι ἐπὶ τὸ πολὺ, ἐν τῇσιν ἑπτὰ ἡμέρῃσι τελευτῶσιν. εἴκοσι δὲ καὶ μίαν διαφυγόντες, ὑγιέες γίνονται. χρὴ δὲ ὁκόταν περιωδυνέῃ, ψύχειν τὴν κεφαλήν. μάλιστα μὲν ξυρῶντα, ἢ ἐς κύστιν, ἢ ἐς ἔντερα ἐγχέαντα τῶν ψυκτικῶν τι. οἷον χυλὸν στρύχνου, καὶ γῆν κεραμῖτιδα. τὸ μὲν, προστιθέναι. τὸ δὲ, ἀφαιρέειν, πρὶν ἢ χλιαρὸν γένηται. καὶ τοῦ αἵματος ἀφαιρέειν. καὶ τὴν κεφαλὴν καθαίρειν σελίνου χυλοῖσι μιγνύντα εὐώδεα. ἀοινέειν δὲ τὸ πάμπαν. ῥοφεῖν δὲ πτισάνης χυλὸν, καὶ τὴν κάτω κοιλίην λύειν.

Πλήρωμα ὀδυνῶδες ἐγκεφάλου. Ὁκόταν δὲ περιωδυνέῃ ἡ κεφαλὴ ὑπὸ πληρώσιος τοῦ ἐγκεφάλου, ἀκαθαρσίην σημαίνει. καὶ τὴν κεφαλὴν ὅλην περιωδυνίαι ἴσχουσι. καὶ παραφρονέει. καὶ ἀποθνήσκει ἑβδομαῖος. καὶ οὐκ ἂν ἐκφύγῃ, ἢν μὴ ῥαγείη τὸ ὑγρὸν ἑβδομαῖον κατὰ τὰ οὔατα. οὕτω τε ἡ ὀδύνη παύεται καὶ ἔμφρων γίνεται. ῥεῖ δὲ πολλὸν καὶ ἄνοσμον. τούτου μᾶλλον μὲν μὴ θεραπεύειν τὰ ὦτα, πρὶν ἂν ἐῤῥωγὸς ἴδῃς τὸ πύον. ἢν δὲ

Βούλῃ

βούλῃ καθῆραι τὴν ἄνω καὶ τὴν κάτω κοιλίην, λύσου χωρὶς ἑκατέρην. ἔπειτα πυριᾶν μὲν τὴν κεφαλὴν ὡς μάλιστα, ὅλην τε καὶ διὰ τῶν ὤτων, καὶ διὰ τῶν ῥινῶν. ῥοφεῖν δὲ πτισάνης χυλόν. καὶ ἀοινέειν τὸ πάμπαν. ἐπὴν δὲ ῥαγῇ τὸ πύον, ἐπίσχειν, ἐς ἂν ἡ πολλὴ τῆς ῥύσιος παύσηται. ἔπειτα κλύζειν τὰ ὦτα, οἴνῳ γλυκέϊ, ἢ γάλακτι γυναικείῳ, ἢ ἐλαίῳ παλαιῷ. χλιεροῖσι δὲ κλύζειν. καὶ πυριᾶν τὴν κεφαλὴν θαμινὰ ἐν μαλθακοῖσι πυρίῃσι καὶ εὐόδμοισιν, ὡς βάστον καθαίρηται ὁ ἐγκέφαλος. οὗτος μὲν τάχα πρῶτα οὐκ ἀΐει. προϊόντος δὲ τοῦ χρόνου, ἤτε ῥύσις ἧσσον ἐστί. καὶ ἡ ἀκοὴ ἅμα τῇ ῥύσει παντελῶς παυομένῃ, παραγίνεται καὶ ὁμοιοῦται μάλιστα ἑωυτῷ. φυλάττεσθαι δὲ χρὴ, ἡλίους, ἀνέμους, πῦρ, καπνὸν, δριμέων ὀδμὰς, καὶ τὰ τοιαῦτα. καὶ ἡσυχάζειν, διαίτῃ μαλθακῇ χρώμενον. καὶ ὑπὸ κνεαγγέων ὑπόλυτος ἔστω ἡ κοιλίη ἡ κάτω. Βλητοί. Οἱ δὲ βλητοὶ λεγόμενοι ἢν, ὁκόταν ὁ ἐγκέφαλος πλησθῇ πολλῆς ἀκαθαρσίης, ὀδύνην παρέχει τὸ πρόσθεν τῆς κεφαλῆς πρῶτον. καὶ ἀναβλέπειν οὐ δύνανται. οἱ μὲν, ἀμφοῖν τοῖν ὀφθαλμοῖν. οἱ δὲ, θατέρῳ. καὶ κῶμα μιν ἔχει. καὶ ἔκφρονές εἰσι. καὶ οἱ κρόταφοι πηδῶσι. καὶ πυρετὸς λεπτὸς ἔχει, καὶ τοῦ σώματος ἀκρασίη. οὗτος ἀποθνήσκει τριταῖος ἢ πεμπταῖος. ἐς δὲ τὰ ἑπτὰ, οὐκ ἀφικνέεται. ἢν δ' ἄρα ἀφίκηται, ἐξάντης γίνεται. τοῦτον ἢν βούλῃ θεραπεύειν, πυριᾶν τὴν κεφαλήν. καὶ ταμὼν ἀνάπνευσιν ποιέειν. ἢν δὲ ὀδύνη ἔχῃ, καὶ πταρμὸς ἐμποιέειν χρή. καὶ τὴν κεφαλὴν καθαίρειν κούφοισι καὶ εὐώδεσι. καὶ τὴν κάτω κοιλίην καθαίρειν. ἀοινέειν δὲ τὸ πάμπαν. πτισάνης δὲ χυλῷ χρῆσθαι. Σφακελισμὸς ἐγκεφάλου. Ην δὲ σφακελίσῃ ὁ ἐγκέφαλος, ὀδύνη ἴσχει τὴν κεφαλήν. καὶ διὰ τοῦ τραχήλου φοιτᾷ ἐς τὴν ῥάχιν. καὶ αὐτὸν ἐπιλαμβάνει ἀνηκουστίη. καὶ ψῦχος ἐπέρχεται ἐπὶ τὴν κεφαλήν. καὶ οἰδέει ὅλος καὶ ἐξαίφνης ἄφωνος δείκνυται. καὶ ἐκ τῶν ῥινῶν αἷμα ῥεῖ. καὶ πελιδνὸς γίνεται. τοῦτον ἢν μὲν ἡ νοῦσος χαλαρῶς λάβῃ, τοῦ αἵματος ἀπελθόντος, ῥαΐζει. ἢν δὲ σφόδρα εἰλημμένος ᾖ, θνήσκει τάχα. τούτῳ πταρμούς τε ἐμποιέειν διὰ τῶν εὐωδέων, καὶ τὰς κοιλίας ἄμφω καθαίρειν ἐν μέρει ἢ ἑκατέρην. καὶ τῶν εὐωδέων, κούφας δὲ ὀδμὰς ἐχόντων, τῇσι ῥισὶν ἀείρειν. καὶ ῥόφημα λεπτόν τε καὶ χλιαρόν. ἀοινέειν δὲ τὸ πάμπαν. Λήθαργοι.

οἱ δὲ λήθαργοι, στάσις μὲν ἡ αὐτὴ τοῦ κακοῦ, τῇ περιπλευμονίῃ. χαλεπωτέρη δὲ, καὶ οὐ πάμπαν ἀπήλλακται ὑγρῆς περιπλευμονίης. βραδυτέρη δὲ πουλὺ ἡ νοῦσος. πάσχει δὲ τάδε. βὴξ καὶ κῶμα μιν ἔχει. καὶ τὸ σίαλον ὑγρὸν καὶ πολὺ ἀνάγει. καὶ ἀδυνατέει σφόδρα. καὶ ὁκόταν μέλλῃ ἀποθανεῖσθαι, κάτω ὑποχωρέει ἐπὶ πολὺ καὶ ὑγρόν. τούτῳ ἐλπὶς μὲν πάνυ βραχεῖα περιγενέσθαι. ὅμως δὲ, πτύειν τε ποιέειν ὡς πλεῖστον. καὶ θερμαίνειν. καὶ ἀοινέειν. ἢν δὲ ἐκφύγῃ, ἔμπυος γίνεται. Καυσώδης. Η δὲ καυσώδης λεγομένη, δίψα τε ἔχει πολλή. καὶ ἡ γλῶσσα πέφρικε. τὸ δὲ χρῶμα αὐτῆς τὸν μὲν πρῶτον χρόνον, οἷόν περ εἴωθε, ξηρὴ δὲ σφόδρα. προϊόντος δὲ τοῦ χρόνου, σκληρύνεται. καὶ τρηχύνεται. καὶ παχύνεται. καὶ ἐπιμελαίνεται. ἢν μὲν ἐν ἀρχῇ ταῦτα πάθῃ, θᾶσσους αἱ κρίσιες γίνονται. ἢν δὲ ὕστερον, χρονιώτεραι. τῆς δὲ ἀφέσιος, ταῦτα πάντα ἡ γλῶσσα σημαίνει, ἅπερ ἐν τῇ περιπλευμονίῃ. καὶ τὰ οὖρα, χολώδεα μὲν ἢ αἱματώδεα ἐόντα, ἐπίπονα. ξανθὰ δὲ, ἀπονώτερα. καὶ τὸ πτύσμα ὑπὸ θερμασίης καὶ ξηρασίης, ξυγκεκαυμένον καὶ παχὺ ἐστί. πολλάκις δὲ καὶ ἐς τὴν περιπλευμονίην μεθίσταται. καὶ ἢν μεταστῇ, τάχα ἀποθνήσκει. τοῦτον δὲ ὧδε χρὴ θεραπεύειν. λούειν θερμῷ δὶς ἢ τρὶς τῆς ἡμέρης ἑκάστης, πλὴν τῆς κεφαλῆς. καὶ ἐν τῇσι κρίσεσι οὐ χρὴ λούειν. καὶ τὰς μὲν πρώτας τῶν ἡμερέων, ὑποκαθαίρειν καὶ ὑδροποτέειν. καὶ γὰρ ἔμετον ἄγει τὸ ὕδωρ ὡς ἐπιτοπολύ. τὰς δὲ ὑστέρας μετὰ τὴν κάθαρσιν ὑγραίνειν. καὶ ῥοφήμασι χρῆσθαι καὶ οἴνοισι γλυκέσιν. ἢν δὲ μὴ ἐξ ἀρχῆς παραλάβῃς, ἀλλὰ ἤδη τῶν ἐν τῇ γλώσσῃ σημηΐων γινομένων, ἐᾶν χρὴ ἕως ἂν αἱ κρίσιες παρέλθωσιν καὶ τὰ τῆς γλώσσης σημεῖα ἠπιώτερα γένηται. καὶ μήτε φάρμακον διδῷς, μήτε κλύσιος ἐς κάθαρσιν, πλὴν αἱ κρίσιες παρέλθωσιν. Ὁ πλεύμων οἰδέων ὑπὸ τῆς θερμασίης. ὁκόταν ὁ πλεύμων οἰδήσῃ ὑπὸ θερμασίης πλησθείς, βὴξ ἴσχει ἰσχυρή, καὶ σκληρή. καὶ ὀρθοπνοίη. καὶ ἀναπνεῖ ἀθρόον. καὶ ἀσθμαίνει πυκνόν. καὶ οἰδέει. καὶ τοὺς μυκτῆρας ἀναπετάννυσιν ὥσπερ ἵππος ἐκ δρόμου. καὶ τὴν γλῶσσαν θαμινὰ ἐκβάλλει. καὶ τὰ στήθεα αὐτῷ ἀείδειν δοκέει. καὶ βάρος ἐν ἔνι. διὸ χωρέειν οὐ δύναται τὰ στήθεα, ἀλλὰ διαῤῥήγνυνται. καὶ ἀδυνατέει. ἥ τε ὀδύνη ὀξέη ἴσχει. καὶ τόν τε νῶτον καὶ τὰ στήθεα καὶ τὰς πλευρὰς ὡς βελόναι κεντέουσι. καὶ καίεται ταῦτα, ὡς πρὸς πῦρ καθήμενος. καὶ ἐρυθήματα ἐκφύει ἐς τὸ

στῆθος καὶ τὸ νῶτον, ὡς φλογώδεα. καὶ λυγμὸς ἰσχυρὸς ἐμπίπτει καὶ ἀπορίη, ὥστε οὔτε ἑστάναι, οὔτε καθῆσθαι, οὔτε κατακεῖσθαι οἷός τέ ἐστιν. ἀλλ' ὧδε ἀπορέων βληστρίζει ἑωυτὸν, καὶ δοκέει ἤδη ἀποθανεῖσθαι. ἀποθνήσκει δὲ μάλιστα τεταρταῖος ἢ ἑβδομαῖος. ἢν δὲ ταύτας διαφύγῃ, οὐ μάλα θνήσκει. τοῦτον ἢν θεραπεύῃς, χρὴ τὴν κάτω κοιλίην ὡς τάχιστα καθῆραι κλύσματι καλῶς. καὶ ἀπὸ τῶν ἀγκώνων καὶ τῆς ῥινὸς καὶ τῆς γλώττης καὶ πάντοθεν τοῦ σώματος, αἷμα ἀφιέναι. καὶ πόματα διδόναι ψυκτικὰ, καὶ ῥοφήματα τὰ αὐτὰ δυνάμενα. καὶ τῶν οὐρητικῶν μὴ θερμαινόντων δὲ, πολλάκις διδόναι. καὶ πρὸς μὲν τὰς ὀδύνας αὐτὰς, ὁκόταν καταιγίζωσι, χλιάσματα κοῦφα καὶ ὑγρὰ χρὴ προσφέροντα, χλιαίνειν καὶ ὑγραίνειν τὸν τόπον οὗ ἂν ᾖ ἡ ὀδύνη. πρὸς δὲ τὰ ἄλλα, ψυκτήρια προσίσχειν. τὰ μὲν, ἀφαιρέοντα. τὰ δὲ, προστιθέντα, καὶ ὅκου ἂν κατακέηται, ψῦχος ποιέειν. ἀοινέειν δὲ τὸ πάμπαν. Κεφαλῆς ὀδύνη. Ὁκόταν δὲ ἀπὸ τῆς κεφαλῆς ἀρξαμένη ἡ ὀδύνη ὀξέη, ἄφωνον ποιήσῃ παραχρῆμα, ἄλλως τε καὶ ἐκ μέθης ὅταν γίνηται, οὗτος ἀποθνήσκει ἑβδομαῖος. ἧσσον δὲ οἱ ἐκ τῆς μέθης τοιοῦτόν τι παθόντες καὶ ἄφωνοι μείναντες θνήσκουσιν. ἢν γὰρ ῥήξωσι φωνὴν αὐθημερὸν, ἢ τῇ ὑστεραίῃ, ἢ τῇ τρίτῃ, ὑγιέες γίνονται. ποιέουσι δὲ οἱ ἐκ τῆς μέθης ἔνιοι τοῦτο, καὶ οὐδέτεροι ἀπόλλυνται. τούτοισι σπασμούς τε ἐμποιέειν ἰσχυρούς. καὶ ὑποκλύζειν, ὅ,τι ἂν χολὴν ἄξει σφόδρα. καὶ ἢν ἐπαισθήται, ὀπὸν θαψίης δοῦναι, ἐν πολλῷ τῷ ὑγρῷ καὶ θερμῷ, ἵνα ὡς τάχιστα ἀπεμέσῃ. ἔπειτα ἰσχναίνειν καὶ ἀοινέειν ἑπτὰ ἡμέρας. ἀφαιρέειν δὲ καὶ ἀπὸ τῆς γλώττης αἷμα, ἢν δύνῃ λαβεῖν φλέβα. Φρενίτιδες. Φρενίτιδες δὲ γίνονται, καὶ ἐξ ἑτέρων νούσων. πάσχουσι δὲ τάδε. τὰς φρένας ἀλγέουσιν, ὥς τε μὴ ἐάσαι ἂν ἅψασθαι. καὶ πῦρ ἔχει. καὶ ἔκφρονές εἰσι. καὶ ἀτενὲς βλέπουσι. καὶ τἄλλα παραπλήσια ποιέουσι, τοῖσιν ἐν τῇ περιπλευμονίῃ, ὁκόταν οἱ ἐν τῇ περιπλευμονίῃ ἔκφρονες ἔωσι. τοῦτον χλιαίνειν δεῖ, χλιάσμασιν ὑγροῖσι, καὶ πόμασι πλὴν οἴνου. καὶ ἢν μὲν οἷός τε ᾖ, ἀποκαθαίρειν ἄνω, βηχί τε καὶ πτύσει ἀνάγειν χρὴ, ὥσπερ ἐν τῇ περιπλευμονίῃ. εἰ δὲ μὴ, τὴν κάτω κοιλίην παρασκευάζειν, ὅκως ὑποχωρέει. ὑγραίνειν δὲ πόματι. ἀγαθὸν γάρ. ἡ δὲ νοῦσος θανατώδης. ἀποθνήσκουσι γὰρ, τριταῖοι, ἢ πεμπταῖοι, ἢ ἑβδομαῖοι. ἢν δὲ ἠπίως ληφθῇ, κρίνει ὡς περιπλευμονίη. Κυνάγχη. Ὑπὸ δὲ τῆς κυνάγχης καλεομένης, πνίγεται ὁ ἄνθρωπος. καὶ ἐν τῇ φάρυγγι μᾶλλον οἱ δοκέει ἐνέχεσθαι. καὶ οὔτε τὸ σίαλον καταπιᾷ, οὔτ' ἄλλο οὐδέν. καὶ τὼ ὀφθαλμὼ πονέετόν τε καὶ ἐξέχετον, ὡς ἀπαγχομένοισι. καὶ βλέπει αὐτοῖσι ἀτενὲς. καὶ ἐπιστρέφειν οὐχ οἷός τέ ἐστιν αὐτούς. καὶ λύζει, καὶ ἀναΐσσει θαμινά. καὶ τὸ πρόσωπον καὶ ἡ φάρυγξ πίμπραται, ἀτὰρ καὶ ὁ τράχηλος. τοῖσι δὲ ὁρέουσιν, οὐδὲν κακὸν ἔχειν δοκέει. καὶ ὁρᾷ καὶ ἀκούει ἀμβλύτερον. καὶ ὑπὸ τοῦ πνιγμοῦ οὐκ ἔννοός ἐστιν. οὔτε ἤν τι λέγῃ, οὔτε ἤν τι ἀκούῃ, ἢ ποιέῃ. ἀλλὰ κεχηνὼς κέεται σιαλοχέων, τοιάδε ποιέων. οὗτος ἀποθνήσκει πεμπταῖος ἢ ἑβδομαῖος, ἢ ἐνναταῖος. Παρακυνάγχη. Ὅταν δὲ τούτων ἀπῇ τι τῶν σημείων, χαλαρωτέρην δηλοῖ τὴν νοῦσον. καὶ καλέουσιν αὐτὴν παρακυνάγχην. τοῦτον φλεβοτομέειν χρὴ. μάλιστα δὲ ὑπὸ τὸν τιτθόν. συνακολουθέει γὰρ ταύτῃ ἐκ τοῦ πλεύμονος, θερμὸν πνεῦμα. χρὴ δὲ, καὶ τὰ κάτω καθαίρειν, φαρμάκῳ, ἢ κλύσματι. καὶ τοὺς αὐλίσκους παρῶσαι ἐς τὴν φάρυγγα κατὰ τὰς γνάθους, ὡς ἕλκηται τὸ πνεῦμα ἐς τὸν πλεύμονα. καὶ ποιέειν ὡς τάχιστα πτύσαι, καὶ ἰσχναίνειν τὸν πλεύμονα. καὶ ὑποθυμιᾶν δὴ ὕσσωπον κιλίκιον. καὶ θεῖον, καὶ ἄσφαλτον. καὶ ἕλκειν διὰ τῶν αὐλίσκων, καὶ διὰ τῶν ῥινῶν, ὡς ἐξίῃ φλέγμα. καὶ τὴν φάρυγγα καὶ τὴν γλῶτταν ἀνατρίβειν, τοῖσι φλέγμα ἄγουσι. καὶ τὰς φλέβας τὰς ὑπὸ τῇ γλώσσῃ τάμνειν. ἀφιέναι δὲ αἷμα καὶ ἀπὸ τῶν ἀγκώνων, ἢν ἰσχύῃ. ἀοινεῖν δὲ, καὶ ῥοφεῖν πτισάνης χυλὸν λεπτόν. ἐπειδὰν δὲ ἀφῇ ἡ νοῦσος, καὶ σιτίων γεύηται, ἐλατηρίῳ νέῳ καθῆραι, ἵνα μὴ ἑτέρῳ κακῷ περιπέσῃ. Νοῦσος ἴκτερος. Ἴκτερος τοιόσδε ἐστὶν ὁ ὀξὺς, καὶ διὰ ταχέος ἀποκτείνων. ἡ χροιὴ ὅλη, σιδιοειδὴς σφόδρα ἐστι, χλωροτέρη, οἷοι οἱ σαῦροι οἱ χλωροί. παρόμοιος δὲ καὶ ὁ χρώς. καὶ τῷ οὔρῳ ὑφίσταται, οἷον ὀρόβιον πυῤῥόν. καὶ πυρετὸς καὶ φρίκη βληχρὴ ἔχει. ἐνίοτε δὲ, καὶ τὸ ἱμάτιον οὐκ ἀνέχεται ἔχων, ἀλλὰ δάκνεται καὶ ξύεται. καὶ ἄσιτος ἐὼν τὰ ἑωθινὰ, τὰ σπλάγχνα ἀμύσσεται ὡς ἐπὶ τὸ πουλύ. καὶ ὁκόταν ἐγείρῃ τις αὐτὸν ἢ προσδιαλέγηται, οὐκ ἀνέχεται. οὗτος ὡς ἐπὶ τὸ πολὺ, ἀποθνήσκει ἐντὸς τεσσαρεσκαίδεκα ἡμερῶν. ταύτας δὲ διαφυγὼν, ὑγιὴς γίνεται. χρὴ δὲ θερμολουτέειν. καὶ

πίνειν

πίνειν μελίκρητον, σὺν καρύων θασίων, λεπισθέντων. καὶ ἀψινθίου κόμης, ἴσον ἀνίσου σεσησμένου ἥμισυ πίνειν ὁλκῆς τριόβολον νῆστις. καὶ πάλιν ἐς κοίτην τὸ μελίκρητον ἐπὶ. καὶ οἶνον παλαιὸν λεπτόν. καὶ ῥοφήματα. ἀσιτέειν δὲ, μή. Τέτανος. Οἱ τέτανοι ὅταν ἐπιλάβωσιν, οἱ γένυες πεπήγασιν ὡς ξύλα. καὶ τὸ στόμα διοίγειν οὐ δύνανται. καὶ οἱ ὀφθαλμοὶ δακρύουσί τε καὶ ἰλλαίνονται. καὶ τὸ μετάφρενον πέπηγε. καὶ τὰ σκέλεα, οὐ δύνανται συνάγειν. ὁμοίως οὐδὲ τὼ χεῖρε. καὶ τὸ πρόσωπον ἐρεύθει. καὶ σφόδρα ὀδυνῶνται. καὶ ὁκόταν ἀποθνήσκειν μέλλῃ, ἀνεμέει διὰ τῶν ῥινῶν, καὶ τὸ πόμα, καὶ τὸ ῥόφημα, καὶ τὸ φλέγμα. οὗτος τριταῖος ἢ πεμπταῖος, ἢ ἑβδομαῖος, ἢ τεσσαρασκαιδεκαταῖος, ἀπόλλυται. ταύτας δὲ διαφυγὼν, ὑγιὴς γίνεται. τούτῳ διδόναι καταπότια, πέπερι. καὶ ἐλλέβορον μέλανα. καὶ ζωμὸν ὀρνιθείων πίονα θερμόν. καὶ πταρμοὺς ἰσχυροὺς καὶ πολλοὺς ἐμποιέειν, καὶ πυριᾶν. ὁκόταν δὲ μὴ πυριῆται, τὰ χλιάσματα προστιθέναι ὑγρὰ καὶ λιπαρὰ, ἐν κύστεσι καὶ ἀσκίοισι πανταχόθεν. μάλιστα δὲ πρὸς τὰ ὀδυνώμενα. καὶ ἀλείφειν θερμῷ καὶ πολλῷ, καὶ πολλάκις. Ὀπισθότονος. Ὅταν δὲ ὀπισθότονος ἔχῃ. τὰ μὲν ἄλλα, ὡς ἐπὶ τὸ πολὺ τὰ αὐτά. σπᾶται δὲ εἰς τοὔπισθεν. καὶ βοᾷ ἐνίοτε. καὶ ὀδύνας ἴσχουσιν ἰσχυράς. καὶ συνάγειν ἐνίοτε οὐκ ἐᾷ τὰ σκέλεα, οὐδὲ τὰς χεῖρας ἐκτεῖναι. ξυγκεκαμμένοι γὰρ οἱ ἀγκῶνες γίνονται. καὶ τοὺς δακτύλους πὺξ ἔχει. καὶ τὸν μέγαν δάκτυλον τοῖσιν ἄλλοισι κατέχει ὡς ἐπὶ τὸ πουλύ. καὶ βοᾷ. καὶ φλυαρέει ἐνίοτε. καὶ οὐ δύναται ἑωυτὸν κατέχειν, ἀλλ' ἀναΐσσει ἐνίοτε, ὅταν ἡ ὀδύνη ἔχῃ. ὅταν δὲ ἀνῇ ἡ ὀδύνη, ἡσυχίην ἔχει. ἐνίοτε δὲ καὶ ἄφωνοι γίνονται ἅμα ἁλισκόμενοι, ἢ μανικοί τε καὶ μελαγχολικοί. οὗτοι τριταῖοι θνήσκουσι, τῆς φωνῆς λυθείσης. καὶ ἀνεμέουσι διὰ τῶν ῥινῶν. εἰ δὲ φθάσουσι φυγεῖν τὰς τεσσαρεσκαίδεκα, ὑγιέες γίνονται. θεραπεύειν δὲ ὡς τὸν ἄνω. ἢν δὲ βούλῃ καὶ ὧδε ποιέειν. ὕδωρ ὡς πλεῖστον ψυχρὸν καταχέας, ἔπειτα ἱμάτια λεπτὰ, καὶ καθαρὰ, καὶ θερμὰ ἐπιβάλλειν. πῦρ δὲ τότε μὴ προσφέρειν. οὕτως χρὴ ποιέειν καὶ τοὺς τετάνους, καὶ τοὺς ὀπισθοτόνους. Εἰλεοί. Εἰλεοὶ δὲ γίνονται, τῆς μὲν ἄνω κοιλίης, θερμαινομένης. τῆς δὲ κάτω, ψυχομένης. ξυναυαίνεται γὰρ τὸ ἔντερον, καὶ ξυμπλέκεται ὑπὸ τῆς φλεγμασίης, ὥστε μήτε τὸ πνεῦμα, μήτε τὰς τροφὰς διεξιέναι, ἀλλὰ τὴν γαστέρα σκληρὴν εἶναι. καὶ ἐμέειν ἐνίοτε. πρῶτον μὲν, φλεγματώδεα. ἔπειτα δὲ, χολώδεα. τελευτῶν δὲ, κόπρον. καὶ δίψαν ἔχει, καὶ ὀδύνην μάλιστα μὲν περὶ τὰ ὑποχόνδρια. ἀλγέει δὲ καὶ πᾶσαν τὴν γαστέρα, καὶ πεφύσηται. καὶ λύζει. καὶ πυρετοὶ ἐπιλαμβάνουσι. γίνονται δὲ μάλιστα ἑβδομαῖοι. τούτους ὧδε χρὴ θεραπεύειν. καθῆραι τὴν ἄνω κοιλίην ὡς τάχιστα. καὶ αἷμα ἀφαιρέειν ἀπὸ τῆς κεφαλῆς καὶ τῶν ἀγκώνων, ἵνα παύσηται ἡ ἄνω κοιλίη θερμαινομένη. καὶ ψύχειν τὰ ἄνω τῶν φρενῶν, πλὴν τῆς καρδίης. τὰ δὲ κάτω θερμαίνειν ἐν σκάφῃ ὕδατος θερμοῦ καθίζων τὸν ἄνθρωπον καὶ ἀλείφων ἀεί. καὶ χλιάσματα ὑγρὰ προστιθέναι. καὶ βάλανον μέλιτος μόνον ποιέων, ὡς δεκαδάκτυλον ἐξ ἄκρου χολὴν ταύρου ἐς τὸ πρόσθεν ἐπιπλάσσων πρόσθες καὶ δὶς καὶ τρὶς, ὡς πάντα τὰ ξυγκεκαυμένα περὶ τὸν ἀρχὸν ἐξαγάγῃς τῆς κόπρου. κἢν μὲν οὕτως ὑπακούῃ, κλύζειν ἐπὶ τούτοισιν. ἢν δὲ μὴ, φῦσαν χαλκευτικὴν ἐσιέναι καὶ φυσᾶν ἐς τὴν κοιλίην, ἵνα διαστήσῃς τήν τε κοιλίην, καὶ τὴν τοῦ ἐντέρου σύστασιν. εἶτα πάλιν ἐξελὼν τὴν φῦσαν, κλύσαι. εὐθὺς δὲ ἕτοιμον ἔστω τὸ κλύσμα, μὴ πάνυ τῶν θερμαντικῶν. ἀλλὰ τῶν διαλυόντων τὰς κόπρους καὶ τηκόντων. εἶτα βύσας τὴν ἕδρην σπόγγῳ, καθήσθω ἐν ὕδατι θερμῷ, κατέχων τὸ κλύσμα. καὶ ἢν διεξίῃ τὸ κλύσμα, καὶ πάλιν μεθῇ, ὑγιὴς γίνεται. ἐν δὲ τῷ πρόσθεν χρόνῳ, μέλι τε ὡς κάλλιστον λειχέτω. καὶ οἶνον αὐγίτην πινέτω ἔγχωρον. ἢν δὲ τοῦ εἰλεοῦ ἀφέντος, πυρετὸς αὐτὸν ἐπιλάβῃ, ἀνέλπιστος. ἴσως γὰρ καὶ ἡ κάτω κοιλίη λυθεῖσα, ἀποκτένειεν ἄν. Περιπλευμονίη. Ἡ δὲ περιπλευμονίη, τοιάδε ποιέει. πυρετός τε ὀξὺς ἔχει. καὶ τὸ πνεῦμα πυκνὸν καὶ θερμὸν ἀναπνέει. καὶ ἀπορεῖ, καὶ ἀδυναμίη. καὶ ῥιπτασμός. καὶ ὀδύνη ὑπὸ τὴν ὠμοπλάτην, καὶ ἐς τὴν κληΐδα, καὶ ἐς τὸ στῆθος. καὶ βάρος ἐν τοῖσι στήθεσιν. ἐνίοτε δὲ καὶ παραφροσύνη. ἔστι δ' οἷσιν ἀνώδυνός ἐστιν, ἕως ἂν ἄρξωνται βήσσειν. πολυχρονιωτέρη δὲ καὶ χαλεπωτέρη κείνης. τὸ δὲ σίαλον, λεπτὸν καὶ ἀφρῶδες πτύει τὸ πρῶτον. ἡ δὲ γλῶσσα, ξανθή. προϊόντος δὲ τοῦ χρόνου μελαίνεται. ἢν μὲν οὖν ἐν ἀρχῇ μελαίνηται θᾶσσους αἱ ἀπαλλαγαί. ἢν δὲ ὕστερον, σχολαίτεραι. τελευτῶσι δὲ καὶ ῥήγνυται ἡ γλῶσσα. καὶ ἢν προσθεὶς τὸν δάκτυλον ἔχεται. τὴν δὲ ἀπάλλαξιν τῆς νούσου

σημαίνει ἡ γλῶσσα, ὥσπερ καὶ ἐν τῇ πλευρίτιδι ὁμοίως. ταῦτα δὲ πάσχει ἡμέρας τεσσαρεσκαίδεκα, τοὐλάχιστον. τὸ πλεῖστον δὲ, εἴκοσι καὶ μίαν. καὶ βήσσει τὸν πάντα χρόνον σφόδρα. καὶ καθαίρεται ἅμα τῇ βηχί. τὸ μὲν πρῶτον, πολὺ καὶ ἀφρῶδες σίαλον. ἑβδόμῃ δὲ καὶ ὀγδόῃ, ὁκόταν ὁ πυρετὸς ἐνακμάζῃ, ἢν ὑγρὴ ἔῃ ἡ περιπλευμονίη, ἴῃ παχύτερον. ἢν δὲ μὴ, οὔ. ἐννάτῃ δὲ καὶ δεκάτῃ, ὑπόχλωρον καὶ ὕφαιμον. δωδεκάτῃ δὲ μέχρι τῆς τεσσαρεσκαιδεκάτης πουλὺ καὶ πυῶδες. ὧν καὶ ὑγραί εἰσιν αἵτε φύσιες καὶ διαθέσιες τοῦ σώματος, αὐτὰρ καὶ ἡ νοῦσος ἰσχυρή. ὧν δὲ ἥτε φύσις καὶ ἡ κατάστασις τῆς νούσου ξηρὴ, ἧσσον οὗτοι. ἢν μὲν οὖν τῇ τετάρτῃ καὶ δεκάτῃ ξηρανθῇ, καὶ μηκέτι ἀναβήσσῃ πυώδεες, ὑγιὴς ἐστιν. ἢν δὲ μὴ, πρόσεχε ἐς τὰς εἴκοσι, δυοῖν δεουσῶν, καὶ τὰς εἴκοσι καὶ μίαν, τὸν νόον. καὶ ἢν μὲν ἐνταῦθα παύσηται, ἐκφεύγει τοῦ πτύσματος. ἢν δὲ μὴ, ὅρον αὐτὸν, εἰ γλυκύτερον τὸ σίαλον. καὶ ἢν φῇ, ἴσθι ὅτι ὁ πλεύμων αὐτῷ ἔμπυος ἐστί. καὶ ἡ νοῦσος καθίσταται ἐνιαυσίη, ἢν μὴ ἐν τῇσι τεσσαράκοντα ἡμέρῃσι περιόδων, ἀναγάγῃ τὸ πύον. ἢν δὲ φῇ ἀηδὲς εἶναι τὸ σίαλον, θανατώδης ἡ στάσις τῆς νούσου. ἀλλ' ἐν τῇσι πρώτῃσιν ἡμέρῃσι μάλιστα διάδηλοι. ἢν γὰρ ἐκπτύσῃ τὸ σαπρὸν καὶ τὸ πυωθὲν ἐν ἡμέρῃσι δύο καὶ εἴκοσι, καὶ μὴ ἑλκωθῇ, ἐκφεύγει. ἢν δὲ μὴ, οὔ. αὕτη ἡ περιπλευμονίη, οὐδὲν ἀπολείπει τῶν ἐν τῷ πλεύμονι ἐόντων κακῶν. ἢν οὖν τι τούτων ἀπῇ τῶν κακῶν εἰδέναι χρὴ ὅσα τε τῷ κάμνοντι ἔχειν, καὶ τῷ ἰητρῷ μεταχειρίζεσθαι. ἢν δὲ ὀλίγα ἔχῃ τουτέων τῶν σημείων, μὴ ἐξαπατάτω. ἐπεὶ οὐκ ὀλέθριος περιπλευμονίη ἐστὶν, ἀλλά τις μαλθακή. θεραπεύειν δὲ χρὴ τὴν περιπλευμονίην, οὕτως. οὐ μέντοι ἐξαμαρτήσει καὶ πλευρῖτιν καὶ φρενῖτιν οὕτω μεταχειριζόμενος, Ἄρχου τὸ πρῶτον καθαίρειν τὴν κεφαλὴν, ἵνα μηδὲν ἐπιῤῥέῃ πρὸς τὸ στῆθος. τὰς δὲ πρώτας ἡμέρας, τὰ ῥοφήματα ἔστω γλυκύτερα. οὕτω γὰρ ἂν μάλιστα τὸ ξυγκαθήμενον καὶ τὸ ξυνεστηκὸς, ἀποπλύνοις καὶ κινέοις. τεταρταίοισι δὲ καὶ πεμπταίοισι καὶ ἑκταίοισι, μηκέτι γλυκύτερα, ἀλλὰ λιπαρά. ὅταν γὰρ τὴν ἄνω πτύσιν ὑποχρέμπτεσθαι ξυμφέρει. ἢν δὲ μὴ δύνηται κατὰ λόγον πτύειν, τῶν ἀναγόντων φαρμάκων διδόναι. τὰς δὲ κοιλίας ἐν μὲν τῇσι πρώτῃσιν ἡμέρῃσι τέσσαρσιν ἢ πέντε, ὑποχωρέειν χρὴ, καὶ ὀλίγῳ μᾶλλον, ἵνα οἵ τε πυρετοὶ ἀμβλύτεροι ἔωσι, καὶ τὰ ἀλγήματα κουφότερα. ὁκόταν δὲ κεκενωμένον ἢ καὶ ἀσθενὴς τὸ σῶμα, τὴν κάτω κοιλίην διὰ τρίτης ὑποκινέειν, ἵνα τό τε σῶμα δυνατὸν ἦ, καὶ τὰ ἄνω χωρία, ἄνικμα. ἢν γὰρ κάτω ὑγρὸν πολλὸν ὑποχωρέῃ, ἀπὸ τῆς πέμπτης ἡμέρης, θάνατον ποιέει. κάτω γὰρ τοῦ ὑγροῦ ὑποχωρέοντος, τὰ ἄνω ξηραίνεται. καὶ ἡ κάθαρσις τοῦ πτύσματος οὐ χωρέει ἄνω. δεῖ οὖν καὶ τὴν κάτω κοιλίην, μήτε ἑστάναι λίην, ἵνα μὴ ὀξέες ἔωσιν οἱ πυρετοί. μήτε λίην ὑποχωρέειν, ἵνα τὸ σίαλον ἀνιέναι δύνηται, καὶ ἰσχύῃ ὁ κάμνων. φάρμακα δὲ τῆς ἀναγωγῆς, ἑκταίοισι καὶ ἑβδομαίοισι καὶ ἐνναταίοισι καὶ ἔτι περαιτέρω ἐοῦσι τῆς νόσου, μᾶλλον δίδου. τὸ δὲ φάρμακον ἔστω, ἐλλέβορος λευκός. θαψίη. ἐλατήριον νέον, ἴσον ἑκάστου. ἢν δὲ τὸ σίαλον μὴ καθαίρηται εὖ, καὶ τὸ πνεῦμα πυκνὸν ἦ, καὶ τῆς καθάρσιος μὴ ἐπικρατέῃ, προειπεῖν ὅτι ἀνέλπιστός ἐστι τοῦ ζῆν, ἢν μὴ δύνηται τῇ καθάρσει ὑπουργέειν. ποιέειν δὲ καὶ τὰ ἐν τῇ περιπλευμονίῃ, ἢν σοι τὰ τῆς κοιλίης τῆς κάτω, καλῶς ὑπουργέῃ. ποιέειν δὲ καὶ ἄλλως ἀπὸ τῆς πρώτης ἡμέρης ἀρξάμενος, δίδου ἄρου τοῦ μεγάλου κόγχην χηραμύδα δαύκου καὶ ἀκαλήφης μίαν. καὶ νάπυος, καὶ πηγάνου, ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν. καὶ ὀπὸν σιλφίου, ὅσον κύαμον. ταῦτα ἐν ὄξει γλυκεῖ καὶ ὕδατι κεράσας καὶ διηθήσας, δίδου νήστει χλιαρόν. ἐπειδὰν δὲ ἄρχηται καθαρὸν ἐκπτύειν, ἄρου χηραμύδα καὶ σήσαμον. καὶ ἀμύγδαλα καθήρας, ἐν ὄξει γλυκεῖ κεκρημένῳ πίνειν. ἢν δὲ μᾶλλον βούλῃ ἄγειν, καππάριος τῆς ῥίζης φλοιὸν, μίγνυσθαι τούτοισιν.

Πλευρῖτις.

Ὁκόταν δὲ πλευρῖτις λάβῃ, τάδε πάσχει. ὀδύνη τὴν πλευρὴν καὶ πυρετὸς καὶ φρίκη ἴσχει. καὶ ἀναπνεῖ πυκνόν. καὶ ὀρθοπνοίη ἔχει. καὶ ἀναβήσσει ὑπόχολα οἷον ἀπὸ σιδίου, ἢν μὴ ῥήγματα ἔχῃ. ἢν δὲ ἔχῃ καὶ αἷμα ἀπὸ τῶν ῥηγμάτων. ἔστι δὲ καὶ αἱματώδης. ἐν δὲ τῇ αἱματώδει ὕφαιμον. ἔστι δὲ ἡ μὲν χολώδης ἠπιωτέρη, ἢν μὴ ῥήγματα ἔχῃ ὁ κάμνων. εἰ δὲ μὴ, ἐπιπονωτέρη μὲν, θανατωδεστέρη δὲ οὔ. ἡ δὲ αἱματώδης ἰσχυρὴ καὶ ἐπίπονος καὶ θανατώδης. ὁπόταν οὖν προσῇ καὶ λὺγξ ἅμα καὶ αἵματος θρόμβους ἀποβήσσῃ ἅμα τῷ σιάλῳ μέλανας οὗτος ἀποθνήσκει ἑβδομαῖος. δέκα δὲ ἡμέρας διαφυγὼν, τὴν μετὰ πλευρῖτιν ὑγιὴς γίνεται. εἰκοστῇ δὲ, ἐκπυΐσκεται καὶ ἀποβήσσει πύον. τελευτῶν δὲ, ἀπεμέει. καὶ πάνυ δυσθεράπευτος γίνεται.

Ξηραὶ πλευρίτιδες. Εἰσὶ δὲ καὶ ξηραὶ πλευρίτιδες ἄπτυστοι. χαλεπαὶ δὲ αὗται. αἱ δὲ κρίσιες ὅμοιαι τῇσιν ἄλλῃσιν ὑγρασίῃσι, πλέονος δέονται τῶν ἄλλων ἐν τῷ ποτῷ. αἱ δὲ χολώδεες καὶ αἱματώδεες κρίνουσιν ἐνναταῖαι καὶ ἑνδεκαταῖαι. καὶ οὗτοι ὑγιέες μᾶλλον γίνονται. ἢν δὲ κατ᾽ ἀρχὰς μὲν μαλθακαί τινες ἔχωσιν ὀδύναι, ἀπὸ τῆς πέμπτης δὲ ἢ ἕκτης ὀξεῖαι, αὗται δὲ τελευτῶσι μέχρι δυοκαιδεκάτης, καὶ οὐ μάλα ἐκφεύγουσι. κίνδυνος δὲ μάλιστα μέχρις ἑβδόμης. ἀτὰρ καὶ ἐς τὴν δυοκαιδεκάτην. μετὰ δὲ ταύτας, ὑγιαίνονται. αἱ δὲ ἐξ ἀρχῆς μὲν μαλθακαὶ, ἀπὸ δὲ τῆς ἑβδόμης καὶ ὀγδόης ὀξεῖαι, πρὸς τὰς τεσσαρεσκαίδεκα κρίνουσί τε καὶ ὑγιαίνονται. **Πλευρῖτις ἐν νώτῳ.** Ἡ δὲ ἐς τὸν νῶτον πλευρῖτις τοσόνδε διαφέρει τῶν ἄλλων. τὸν νῶτον ὀδυνᾶται ὡς ἐκ πληγῆς. καὶ στένει. καὶ ἀναπνεῖ ἀθρόον. εὐθὺς δὲ πτύει ὀλίγα. καὶ κοπιᾷ τὸ σῶμα. τρίτῃ ἢ τετάρτῃ, οὐρεῖ ἰχῶρα ὕφαιμον. ἀποθνήσκει δὲ μάλιστα πεμπταῖος. εἰ δὲ μή γε, ἑβδομαῖος. ταύτας δὲ διαφυγὼν ζώει. καὶ ἡ νοῦσος ἠπίη, καὶ ἧσσον θανατώδης. φυλάσσειν δὲ χρὴ, μέχρι τῶν τεσσαρεσκαίδεκα. μετὰ δὲ ταῦτα ὑγιὴς γίνεται. ἐνίοις δὲ τῶν πλευριτικῶν, τὸ μὲν σίαλον, καθαρόν. ἡ δὲ οὔρησις, αἱματώδης, οἷον ἀπὸ κρεῶν ὀπτῶν ἰχωρῶδες. ὀδύναι δὲ ὀξεῖαι διὰ τῆς ῥάχιος ἐς τὸ στῆθος καὶ ἐς τὸν βουβῶνα τείνουσιν. οὗτος τὴν ἑβδόμην διαφυγὼν, ὑγιαίνει. ὁπόταν δὲ τούτων τῶν πλευριτίδων τινὶ προσγένηται τὸν νῶτον ἐρυθειᾶν, καὶ τοὺς ὤμους θερμαίνεσθαι, καὶ ἀνακαθίζοντα βαρύνεσθαι, καὶ ἡ γαστὴρ ἐκταράσσεται χλωρὰ καὶ δυσώδεα σφόδρα, οὗτος διὰ τὴν ὑποχώρησιν τῆς γαστρὸς, εἰκοστῇ καὶ μιῇ ἀποθνήσκει. ταύτας δὲ διαφυγὼν, ὑγιαίνει. οἷσι δὲ αἱ πτύσεις εὐθὺς παντοδαπαί εἰσι, καὶ τὰ ἀλγήματα πάνυ ὀξέα, οὗτοι τριταῖοι θνήσκουσι. ταύτας δὲ διαφυγόντες, ὑγιαίνουσιν. ὁ μὴ γινόμενος δὲ ὑγιὴς, τῇ ἑβδόμῃ ἢ τῇ ἐνάτῃ, ἢ τῇ δεκάτῃ, ἄρχεται ἐμπυΐσκεσθαι. κρεῖσσον δὲ ἐμπυῆσαι. ἧσσον γὰρ θανατῶδες, κἂν ἐπίπονον ᾖ. πρὸς δὲ τοῖσι σημείοισι τοῖσιν εἰρημένοισιν, ἐν ἑκάστῃ τῶν πλευριτίδων, καὶ τάδε χρὴ σκοπέεσθαι τὴν γλῶτταν. πομφόλυγος γὰρ ὑποπελίδνου γινομένης ἐπὶ τῆς γλώσσης, οἷα σιδηρείου βαφέντος ἐς ἔλαιον, ἢν μὲν ἐν ἀρχῇ γένοιτο τρηχεῖα, χαλεπωτέρη ἡ ἀπάλλαξις τῆς νούσου. καὶ ἀνάγκη αἷμα ἀποβῆξαι ἐν τῇσιν ἡμέρῃσιν, ἐν ᾗσι δεῖ. εἰ δὲ καὶ προκεχωρηκυίης τῆς νούσου γένοιτο, αἱ μὲν κρίσιες, ἐς τὴν τετάρτην καὶ δεκάτην ἡμέραν, ἀνάγκη δὲ πτύσαι αἷμα. ἔχει δὲ οὕτως περὶ τῆς ἀπαλλάξιος. εἰ μὲν τριταίῳ ἄρχοιτο πεπαίνεσθαι καὶ πτύεσθαι, θᾶττους αἱ ἀπαλλάξιες. εἰ δὲ ὕστερον πεπαίνοιτο, ὕστερον καὶ αἱ κρίσιες γίνονται, ὡς ἐν τοῖσι τῆς κεφαλῆς σημηΐοισι. τὰ δὲ ἀλγήματα τὰ ἐν ἁπάσῃσι τῇσι πλευρίτισιν ὡς ἐπὶ τὸ πουλὺ, κουφίζει μεθ᾽ ἡμέρην μᾶλλον, ἢ νύκτωρ. θεραπεύειν δὲ χρὴ τὰς πλευρίτιδας οὕτως. τὰ μὲν πουλλὰ ὡς τὴν φρενῖτιν καὶ περιπλευμονίην, πλὴν λουτροῖσι χρῆσθαι θερμοῖσι, καὶ οἴνοισι γλυκέσιν. ἢν μὲν οὖν τῇ πρώτῃ ἢ τῇ ἐπιούσῃ λαβὴς τῆς ἐπιλήψιος, ἢν μὲν ὑπεληλύθῃ ἡ κόπρος καθαρὴ, ἢ ἀτρέμα χολώδης καὶ ὀλίγη, ὑποκλύσαι θαψίῃ. ἢν δὲ κινηθεῖσα ἡ κοιλίη, τὴν μὲν νύκτα χαλάσῃ, τῇ δὲ ὑστεραίῃ ὀδύνη καὶ στρόφος ἔχῃ, πάλιν ὑποκλύσαι. ἢν δὲ ὁ κάμνων χολώδης ᾖ τῇ φύσει, καὶ ληφθῇ τῇ νούσῳ ἀκάθαρτος ἐὼν, πρὶν ἀναπτύεσθαι τὸ σίαλον χολῶδες καὶ τῷ φαρμάκῳ καθῆραι χολὴν εὖ. ἐκπτύοντι δὲ ἤδη χολώδεα, μὴ δίδου τὸ φάρμακον. ἢν γὰρ δῷς, τὸ πτύσμα οὐ δυνήσεται ἄνω ἀνιέναι, ἀλλ᾽ ἑβδομαῖος ἢ ἐνναταῖος ἀποπνιγήσεται, ἢν μᾶλλον καὶ τὰ ὑποχόνδρια ἀλγέῃ. ἢν δὲ πρὸς τῇσι ἐν τῇσι πλευρῇσι ὀδύνῃσι καὶ τὰ ὑποχόνδρια ἀλγέῃ, ὑποκλύσαι δεῖ. καὶ πιέειν δοῦναι νήστει, ἀριστολοχίαν. καὶ ὕσσωπον. καὶ κύμινον. καὶ σίλφιον. καὶ μήκωνα λευκήν. καὶ ἄνθος χαλκοῦ. καὶ μέλι. καὶ ὄξος. καὶ ὕδωρ. πρὸς μὲν τὰ φάρμακα, οὕτω δεῖ ποιέεσθαι τὰς θεραπείας τὰς πρώτας. τὰ δ᾽ ἄλλα ὧδε ἔχει. λούειν πολλῷ θερμῷ πρὸς τὴν δύναμιν τοῦ κάμνοντος, πλὴν τῆς κεφαλῆς. καὶ ὁπόταν αἱ κρίσιες ὦσι, τὰ ὀδυνώμενα χλιαίνειν ὑγροῖσι πυρίῃσιν, ὑπαλείφων ἐλαίῳ. ὁπόταν δὲ καταιγίζουσιν αἱ νοῦσοι, ἡσυχάζειν καὶ τὸν κάμνοντα καὶ τὸν ἰητρὸν τῇσι θεραπείῃσιν, ὅκως μὴ κατεργάσηταί τι κακόν. πτισάνης δὲ χυλὸν κατεφθὸν διδόναι, ὀλίγῳ παχύτερον μελιχροποιέων. μετὰ δὲ τὰ λουτρὰ, καὶ οἶνον γλυκὺν καὶ ὑδαρέα προπίνειν, μὴ ψυχρὸν, ὀλίγον ἐκ βομβυλίου εὐρυστόμου. καὶ ὁπόταν βῆχες ἐπίωσιν, ἐπιπίνειν καὶ χρέμπτεσθαι ὡς μάλιστα. καὶ τῷ ποτῷ ὑγραίνειν, ἵνα ὁ πλεύμων ὑγρότερος ἐὼν, ῥᾷον καὶ θᾶσσον ἀποδιδῷ τὸ πτύσμα, καὶ ἡ βὴξ ἧσσον πονέῃ. καὶ ῥοιῆς δὲ γλυκέης οἰνώδεος χυλὸν, γάλακτι αἰγείῳ ὀλίγῳ

καὶ μέλιτι μαγνὺς, κατὰ μικρὸν πολλάκις δίδου. νύκτωρ τε καὶ μεθ' ἡμέρην καὶ ὕπνον ὡς μάλιστα διακωλύειν, ἵνα κάθαρσις γένηται, θᾶσσον τε καὶ πλεῖον. τὴν δὲ αἱματώδεα πλευρῖτιν, θεραπεύειν χρὴ οὕτως. μετὰ δὲ τὰς κρίσιας, ἀνακομίζειν σιτίοισι κούφοισι καὶ ἡσυχάζειν. καὶ φυλάσσεσθαι περισσῶς, ἡλίους. ἀνέμους. πλησμονάς. ὀξέα. ἁλυκά. λιπαρά. καπνόν. φύσας τὰς ἐν τῇ κοιλίῃ. πόνους. λαγνείας. ἢν γὰρ ἡ νοῦσος ὑποστροπιάσῃ, θάνατος ἔψεται. ἐν δὲ τῇσι πτύσεσιν, ἢν ὀδύνην τε ἔχῃ, καὶ μὴ δύνηται ἀποπτύειν, νῆστει δίδου ἄνθος χαλκοῦ, ὅσον κοτινάδια. καὶ ὀποῦ σιλφίου τούτου τὸ ἥμισυ. καὶ τριφύλλου καρποῦ ὀλίγον, ἐν μέλιτι λείχειν. ἢ πεπέρεος κόκκους πέντε. καὶ ὀποῦ σιλφίου, ὅσον κύαμον. καὶ μέλι. καὶ ὄξος. καὶ ὕδωρ πίνειν χλιαρὸν, νῆστει δίδου. ἔπειτα καὶ τὰς ὀδύνας παύει. ἢν δὲ μὴ δύνηται πτύειν κατὰ λόγον, ἀλλ' ἐνίσχηται ἐν αὐτῷ, καὶ ῥέγχῃ ἐν τοῖσι στήθεσιν, ἄρου τοῦ μεγάλου ῥίζης χυραμίδα, καὶ ἔλαιον σὺν μέλιτι μῖξαι. ἐπιῤῥοφεῖν δὲ, ὄξος κεκρημένον ἄλλο ἰσχυρόν. ἄνθος χαλκοῦ ὅσον κύαμον. καὶ νίτρον ὀπτὸν διπλάσιον. καὶ ὕσσωπον, ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν μέλιτι μίξας. καὶ ὕδωρ καὶ ἔλαιον μικρὸν ἐπιστάξας, χλιήνας ἐν χυραμίδι ἐγχέειν ἵνα μὴ ἀποπνιγῇ. καὶ ἐν περιπλευμονίῃ ἢν μὴ καθαίρηται, ταῦτα δεῖ ποιέειν. ἢν δὲ μήτε ῥέγχῃ, μήτε πτύῃ ὡς δεῖ, καππάρεως καρποῦ ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν. καὶ πέπερι. καὶ νίτρον ὀλίγον. καὶ μέλι. καὶ ὄξος. καὶ ὕδωρ μίξας, ἔπειτα χλιαρὸν ἐπιῤῥοφεῖν. τὴν δὲ ἄλλην ἡμέρην, ἐν ὄξει καὶ μέλιτι καὶ ὕδατι ἀναζέσας ἐπιῤῥοφεῖν. ἔπειτα καὶ τοῖσι ῥέγχουσι διδόναι, καὶ μὴ δυναμένοισι καθαίρεσθαι. εἰ δὲ ἰσχυρότερον βούλοιο ποιέειν, ὑσσώπου, καὶ νάπυος, καὶ καρδάμου κόγχην ἢ χυραμίδα τρίψας ἐν μέλιτι καὶ ὕδατι, καὶ ἀναζέσας καὶ διηθήσας, ἐπιῤῥοφεῖν χλιαρὸν δίδου. οὕτω ταῦτα τὰ νουσήματα θεραπευθέντα, ὑγιέα γίνονται, ἢν μήτι τοῦ πτύσματος ὑπολειφθὲν ἐν τῷ πλεύμονι πύος γένηται, ὑφ' οὗ βήσσουσι ξηρὰ βηχία. καὶ πῦρ καὶ φρίκη ἴσχει. καὶ ὀρθοπνοίη ἔχει. καὶ πυκνὸν καὶ ἀθρόον ἀναπνεῖ. καὶ ἡ φωνὴ βαρυτέρη ὀλίγῳ. καὶ χροιὴ σὺν τῇ θέρμῃ τὸ πρόσωπον ἴσχει. προϊόντος δὲ τοῦ χρόνου, μᾶλλον καὶ ἡ νοῦσος σάφα δηλοῦται. ἔπειτα ἢν εἰ ἐντὸς τῶν δέκα ἡμερέων λάβῃς θερμήναντα χρὴ διαίτῃ καὶ λουτρῷ θερμῷ, ἐγχέαι ἐς τὸν πλεύμονα, ὅ, τι πύον ἄξει. καὶ τοῖσιν ἄλλοισι χρῆσθαι, τοῖσι τὸ πύον ἄγουσι, καὶ διαιτᾶν ὧδε ὡς ἔμπυον. καὶ τὴν κεφαλὴν ἀποξηραίνειν, ἵνα μὴ ἐπιῤῥέῃ. ἢν δὲ τῷ ἐγχύτῳ μὴ ἀνάγηται τὸ πύον, ῥήγνυται αὐτὸ ἐκ τοῦ πλεύμονος εἰς τὸν θώρηκα. καὶ μετὰ τὴν ῥῆξιν, δοκέει ὑγιὴς εἶναι, ὅτι ἐκ τῆς στενοχωρίης εἰς τὴν εὐρυχωρίαν ἦλθε τὸ πύον. καὶ τὸ πνεῦμα ὃ ἀναπνέομεν, ἕδρην ἔχει ἐν τῷ πλεύμονι. προϊόντος δὲ τοῦ χρόνου, τὰ στήθεα πύου πληροῦται. καὶ βῆχες. καὶ πυρετοὶ, καὶ τἆλλα ἀλγήματα πάντα μᾶλλον πιέζει αὐτόν. καὶ ἡ νοῦσος διαδηλοῦται. ἔπειτα μετὰ τὴν ἔκρηξιν, ἐᾶσαι δεῖ ἡμέρας πεντεκαίδεκα, ὅκως πάλιν πεπανθῇ τὸ πύον. ἅτε γὰρ εἰς εὐρυχωρίην ἐλθὸν τὸ πύον, ἀνέψυχέ τε καὶ τὸ ὑπάρχον ὑγρὸν ἐν τῷ θώρακι προσηγάγετο πρὸς ἑωυτὸ, ὥστε αὐτὸ ἡμιβαπὲς εἶναι. ἢν μὲν οὖν αὐτόματον ἄρξηται πτύεσθαι ἐν τούτῳ τῷ χρόνῳ, ἢν μὴ φαρμάκοισι τιμωρέειν ἢ ποτοῖσιν, ἐν τῇσι τελευταίῃσιν ἡμέρῃσι τῶν ἡμερέων τῶν πεντεκαίδεκα, σπεύδειν ἀναστῆσαι πρὶν μᾶλλον τρύχεσθαι τὸ σῶμα, φυλάσσων τὴν κεφαλὴν καθαρὴν τῶν ἐπιῤῥοῶν εἵνεκα. ἢν δὲ μὴ πτύηται, ἀποσημαίνηται δὲ ἐπὶ τὰς πλευρὰς, ταμέειν ἢ καῦσαι. ἢν δὲ μήτε πτύηται, μήτε ἀποσημαίνηται ἐς τὰς πλευρὰς, λούσας πολλῷ καὶ θερμῷ νῆστιν, καὶ ἄποτον καθίσας ἐπὶ ἕδρης ἀκινήτου. ἕτερος δὲ τῶν ὤμων ἀναλαβέτω. αὐτὸς δὲ σεῖε τοῦτον, τὸ οὖς παραβάλλων ἐπὶ τὰς πλευρὰς, ἵν' εἰδῇς ὁκοτέρωθεν ἀποσημαίνει. βούλου δὲ μᾶλλον πρὸς τὰ ἀριστερά. θανατωδέστερον γὰρ πρὸς τὰ δεξιὰ καίειν ἢ τάμνειν. ὁκόσῳ γὰρ αὐτὰ ἰσχυρότερά ἐστι τὰ δεξιὰ, τόσῳ καὶ τὰ νουσήματα ἐν αὐτοῖσιν ἰσχυρότερα δείκνυται. ἢν δὲ ὑπὸ πάχεος τὸ ὑγρὸν μὴ κλυδάζηται, μὴ δὲ ψόφος ᾖ ἐν τῷ στήθει, πυκνὸν δὲ ἕλκῃ τὸ πνεῦμα. καὶ οἱ πόδες οἰδέωσι. καὶ βηχίον τι προσῇ, μὴ ἐξαπατάτω, ἀλλ' εὖ ἴσθι πλήρεα ἐόντα τὸν θώρηκα πύου. ἐς τὴν ἐρετρίδα γῆν ὑγρὴν, καὶ λίην τετριμμένην καὶ χλιαρὴν, ἐπιβάψας ὀθόνιον λεπτὸν, περικάλυψον κύκλῳ τὸν θώρηκα. καὶ ὅκου ἂν πρῶτον ξηραίνηται, ταύτῃ χρὴ τάμνειν ἢ καίειν, ὡς ἐγγυτάτω τῶν φρενῶν, φυλασσόμενος αὐτῶν τῶν φρενῶν. ἢν δὲ βούλῃ ἀλείφων τῇ ἐρετριάδι, σκόπει ὁμοίως ὡς ἐν τῷ ὀθονίῳ. πολλοὶ δὲ ἅμα ἀλειφόντων, ἵνα μὴ τὰ πρῶτα ἀλειφόμενα ἀποξηραίνηται. μετὰ δὲ τὴν τομὴν ἢ τὴν καῦσιν, τῷ μοτῷ ἐκ

τοῦ ὤμο-

τοῦ ἀπολίνου χρῶ. καὶ ἐξίει κατ' ὀλίγον τὸ πύον. ὁκόταν δὲ μέλλῃς τάμνειν ἢ καίειν, ὑποσημαίνου τὸ αὐτὸ σχῆμα ἔχοντα, ὅπερ ἂν, ὁκόταν μέλλῃς τάμνειν ἢ καίειν, ἵνα μὴ ἐξαπατήσῃ ἀνωτέρω γινόμενον ἢ κατωτέρω τὸ δέρμα, ἐν τῇ μεταβολῇ τοῦ σχήματος. καὶ τὰς βῆχας φυλάσσειν ἐκ τῆς διαίτης, ὅκως μὴ ἀντισπάσωσι πάλιν ἐς τὸν πλεύμονα τὸ πύον, κακὸν γάρ, ἀλλ' ἐᾶν κατὰ τὴν τομὴν ὡς τάχιστα ὑποξηραίνεσθαι. ἐπειδὰν δὲ δωδεκαταῖος ᾖ, ἅπαν ἀφιέναι τὸ λοιπὸν πύον, καὶ ἀπὸ τοῦ ὀθονίου μοτοῦ. καὶ ἀφιέναι δὶς τῆς ἡμέρης τὸ πύον. καὶ τὴν ἄνω κοιλίην ἐκ τῆς διαίτης ὡς μάλιστα ξηραίνειν. ὧδε χρὴ καὶ τὰς ἐκ τῶν τρωμάτων, καὶ τὰς ἐκ τῆς περιπλευμονίης, καὶ ἐκ καταῤῥόων μεγάλων ἐκπυήσιας, καὶ περιπεσόντος τοῦ πλεύμονος τῇσι πλευρῇσι σκοπεῖν καὶ θεραπεύειν. ψυκτήρια δὲ τάδε δίδου ἐπὶ τοῖσι καύσοισι πίνειν ὁκόταν βούλῃ. πολλὰ δὲ ἀπεργάζεται. τὰ μὲν γάρ, οὔρησιν ἐμποιέει. τὰ δὲ διαχώρησιν. τὰ δὲ ἄμφω. τὰ δὲ οὐδέτερα, ἀλλὰ ψύχει μοῦνον, ὡς ἄγγος ὕδατος ζέων, ἤν τις ἐπιχέῃ ψυχρὸν ὕδωρ, ἢ ψυχροῦ αὐτὸ τὸ ἄγγος πνεύματι προσαγάγοι. δίδου δὲ ἄλλα ἄλλοισιν. οὔτε γὰρ τὰ γλυκέα πᾶσι συμφέρει. οὔτε τὰ στρυφνά. οὔτε τὰ αὐτὰ πίνειν δύνανται.

Τοῦτο μὲν κηρίων ξηρῶν, ὅσον δύο κοτύλας, βρέχων ὕδατι, καὶ ἀνατρίβων γευέσθω, ἕως ἂν ὑπόγλυκυ γένηται. εἶτα διηθήσας, σέλινα ἐμβαλὼν, δίδου πίνειν. Τοῦτο δὲ λίνου καρποῦ ὀξύβαφον, ὕδατος κοτύλας δέκα ἐπιχέας, ἕψειν ἐν καινῇ χύτρῃ ἐπὶ ἀνθράκων ἄζεστον, ἵνα ἀναπνέῃ ἕως ἂν ὁ χυλὸς ἀπτομένῳ λιπαρὸς γένηται. Τοῦτο δὲ μελικρήτου ὑδαρέος καθεψήσας, τὸ ἥμισυ λείπειν. ἔπειτα σέλινα ἐπιβάλλων, τοῦτο ψυχρὸν κατ' ὀλίγον δίδου. Τοῦτο δὲ κριθὰς ἀχιλληΐδας κοτύλην αὐήνας, ἄρας τὸν ἀθέρα καὶ πλύνας εὖ, ἐπιχέας ὕδατος χόεα, ἕψε. καὶ τὸ ἥμισυ ἀπολείπων, ψύχων δίδου πίνειν.

Τοῦτο δὲ αἰθιοπικοῦ κυμίνου, κοτύλης δέκατον μέρος, ἐπιχέας τρία ἡμιχόεα ἕψε πηλῷ τριχώδεϊ καταλείψας ἄζεστον, ἕως τρίτον μέρος λείπῃ. καὶ ψύχων, δίδου τοῦτο πρὸς πάντα καῦσον καὶ λοιπὸν πυρετόν. Τοῦτο δὲ ὕδωρ οὐράνιον αὐτὸ καθ' αὑτό.

Τοῦτο δὲ πτισάνης κοτύλην, χόεα ὕδατος ἐπιχέας, λείπειν τὸ ἥμισυ ἕψων. ἔπειτα διηθήσας σέλινα ἐπιβαλὼν, δίδου ψυχρόν. Τοῦτο δὲ οἱ σταφίδιοι λευκοὶ οἶνοι ὑδαρέες.

Τοῦτο δὲ τρύγες στεμφυλίτιδες σταφιδευταῖαι ὑδαρέες. Τοῦτο δὲ ἄσταφις λευκὴ ἄνευ γιγάρτων κοτύλη. καὶ πενταφύλλου ῥιζέων χειροπληθῆ φλάσας, εἴκοσι κοτύλας ὕδατος ἐπιχέας, ἀφεψήσας, καὶ τὸ ἥμισυ λείπων, δίδου ψυχρὸν κατ' ὀλίγον.

Τοῦτο δὲ κριμνῶν κριθέων ἁδρῶν ἡμιχοίνικα, ὕδατος χόεα ἐπιχέας, ὁκόταν ἤδη ἀνοιδέῃ τὰ κρίμνα, τρίβειν τῇσι χερσὶν, ἕως ἂν λευκὸν τὸ ὕδωρ γένηται. καὶ ἀδιάντου δραχμίδα ἐμβαλὼν, ἀπαιθριάσας δίδου. Τοῦτο δὲ ὠῶν τὸ λευκὸν τριῶν ἢ τεττάρων, κατακυκῶν ἐν ὕδατος χοΐ πινέτω. τοῦτο δὲ ψύχει σφόδρα, καὶ τὴν κοιλίην ὑπάγειν τὸν νοσέοντα προσκατακυκᾷ. Τοῦτο δὲ ἡμιχοίνικον καρύων εὖ ἀποπλύνας ἐν ὕδατος χοΐ, ζέσας δὶς ἢ τρὶς, ψυχρὸν δίδου. Τοῦτο δὲ πτισάνης χυλὸν, κάθεφθον λευκὸν, καὶ οἶνον γλυκὺν δίδου. τοῦτο οὐκ ἄγει. Τοῦτο δὲ σικύου πέπονος, ἄνευ τοῦ δέρματος πάλης, ἐφ' ὕδατι. τοῦτο οὐρέεται, καὶ ψύχει, καὶ τὴν δίψαν παύει.

Τοῦτο δὲ ὀρόβους ἐν ὕδατι περιεψήσας, εἶτα χύτραν καινὴν ἐν χύτρῃ μείζονι θεὶς, πλέῃ ὕδατος, ἐπιχέας ἕτερον ὕδωρ τοῖσιν ὀρόβοισιν ἕψε ὀλίγον χρόνον. εἶτα ἀποχέας τὸ τρίτον μέρος, ἐπειδὰν κάθεφθοι ἔωσιν οἱ ὄροβοι ψύξας δίδου. κατὰ κύαθον ἐπιπάσσων τῆς τοῦ σικύου πάλης, τὴν ἐκ τῶν ὀρόβων πάλην. τοῦτο δὲ βεβαίως δίψαν παύει. Τοῦτο δὲ θάσιον οἶνον παλαιὸν, πέντε καὶ εἴκοσιν ὕδατος καὶ ἕνα οἴνου δίδου. Τοῦτο δὲ τρίφυλλον τὸ σικυῶδες, ἐν ὕδατι καὶ κρίμνα κριθέων, βρέχων δίδου. Τοῦτο δὲ σέλινα, ὅσον τρὶς τῇ χειρὶ περιλαβεῖν, καὶ γλήχους δραχμίδας δύο ἕψων, ἐν ὄξεος κοτύλῃσι δέκα ὡς τρίτον μέρος λείπῃς. τοῦτο μέλιτι καὶ ὕδατι κεραννὺς ὑδαρὲς, πινέτω, ἀδιάντου δραχμίδα ἐμβάλλων. τοῦτο δὲ οὖρον ἄγει καὶ τὴν κοιλίην λύει. Τοῦτο δὲ μῆλα εὐώδεα γλυκέα φλάσας, καὶ ἐν ὕδατι ἀποβρέξας, δίδου πίνειν τὸ ὕδωρ. Τοῦτο δὲ μῆλα κυδώνια ὡσαύτως ἢν ἡ κοιλίη λελυμένη ᾖ, ἐν πυρετῷ καυσώδεϊ. Ἰκτέρου δὲ ἐπιλαβόντος, ἀσταφίδος λευκῆς ἄνευ γιγάρτων καὶ ἐρεβίνθων λευκῶν, ἡμικοτύλιον ἀμφοτέρων, καὶ κριθέων ἀχιλληΐδων ἴσον καὶ κνίκου ἴσον. ὕδατος κοτύλας δέκα. καὶ σέλινα. καὶ μίνθην.

καὶ κορίανον, ὀλίγον ἑκάστου ἀνατρίβειν, ἕως ἂν ἠρέμα γλυκανθῇ. καὶ ἀδιάντου δραχμίδα ὕστερον ἐμβαλὼν, ἀθερίκας δίδου. Τοῦτο δὲ καὶ τὰ τούτοισιν ὅμοια μιμέεσθαι. πάντα δὲ τῷ πυρέσσοντι ἀθεριασμένα δίδου, πλὴν οἷσιν αἱ κοιλίαι μᾶλλον τοῦ δέοντος ῥέουσιν.

Τοῦτο δὲ γλήχωνος δραχμίδας τρεῖς, σελίνου διπλάσιον οἴνῳ κεκρημένῳ ἑψῶν, δίδου. τοῦτο δὲ οὐρεῖται, καὶ διὰ τῆς κοιλίης χολὴν ἄγει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΝΟΥΣΩΝ ΤΟ ΤΕΤΑΡΤΟΝ.

Τ

οῦ ἀνθρώπου ἐς τὴν γένεσιν ἀπὸ πάντων τῶν μελέων τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς ἐλθὸν τὸ σπέρμα, καὶ ἐς τὰς μήτρας τῆς γυναικὸς πεσὸν, ἐπάγη. χρόνου δὲ γενομένου, φύσις ἀνθρωποειδὴς ἐγένετο ἐξ αὐτέου. ἔχει δὲ καὶ ἡ γυνὴ καὶ ὁ ἀνὴρ, τέσσαρας ἰδέας ὑγροῦ ἐν τῷ σώματι, ἀφ' ὧν νοῦσοι γίνονται. ὁκόσα μὴ ἀπὸ βίης νουσήματα γίνωνται. αὗται δὲ αἱ ἰδέαι εἰσὶ, φλέγμα. αἷμα. χολή. καὶ ὕδρωψ. καὶ ἀπὸ τούτων ἐς τὸ σπέρμα, οὐκ ἐλάχιστον οὐδὲ ἀσθενέστατον συνέρχεται. καὶ ἐπειδὴ τὸ ζῶον ἐγένετο κατὰ τὰς τοκῆας, τοσαύτας ἰδέας ὑγροῦ ὑγιηροῦ τε καὶ νοσηροῦ, ἔχει ἐν ἑωυτῷ. ἀποφανέω δὲ ὁκόσα ἐν ἑκάστῃ τουτέων τῶν ἰδέων καὶ πλείω καὶ ἐλάσσω ἐν τῷ σώματι γίνεται. καὶ ὑπὸ τούτου νοσέουσι. καὶ ὅ, τι αἱ νοῦσοι κρίνονται ἐν τῇσι περισσῇσιν ἡμέρῃσι. καὶ τίνες ἀρχαὶ τῶν νούσων εἰσί. καὶ ὁκοῖα αὐτέων ἑκάστη ἐν τῷ σώματι ἐργασαμένη τὴν νοῦσον ἐπάγει. καὶ ὑπὸ τὸ αὐτὸ ῥῖγος πυρετῶδες γίνεται. καὶ διατί τὸ πῦρ ἐπιπίπτει μετ' αὐτό. ἐθέλω δὲ ἀποφῆναι πρῶτον, πῶς ἡ χολὴ, καὶ τὸ αἷμα, καὶ ὁ ὕδρωψ, καὶ τὸ φλέγμα, πλείονα καὶ ἐλάσσονα γίνεται, ἀπὸ τῶν βρωμάτων καὶ τῶν πομάτων, τρόπῳ τοιῷδε. Η κοιλίη τῷ σώματι πάντων πηγή ἐστι πλέη ἐοῦσα. κενεὴ δὲ γενομένη, ἐπαυρίσκεται ἀπὸ τοῦ σώματος τηκομένου. εἰσὶ δὲ καὶ ἄλλαι πηγαὶ τέσσαρες ἀφ' ὧν χωρέει τούτων ἕκαστον ἐς τὸ σῶμα. ἐπ' ἢν οὖν αὗται ἀπὸ τῆς κοιλίης λάβωσι, καὶ αὗται ἐπ' ἢν κενῶνται, ἀπὸ τοῦ σώματος ἐπαυρίσκονται. ἕλκει δὲ καὶ αὐτὸ τὸ σῶμα, ἐπ' ἢν ἡ κοιλίη τι ἔχῃ ἐν ἑωυτῇ. τῷ μὲν δὴ αἵματι ἡ καρδίη, πηγή ἐστι. τῷ δὲ φλέγματι, ἡ κεφαλή. τῷ δὲ ὕδατι, ὁ σπλήν. τῇ δὲ χολῇ, τὸ χωρίον, τὸ ἐπὶ τῷ ἥπατι. αὗται αἱ τέσσαρες τουτέοισιν εἰσὶ πηγαὶ, ἄνευ τῆς κοιλίης. ἀπὸ τούτων δὲ εἰσὶ κοιλόταται, ἡ κεφαλὴ, καὶ ὁ σπλήν. εὐρυχωρίη γὰρ ἐν αὐτῷ πλείστη ἐστίν. ἀλλὰ περὶ τούτου, ὀλίγον ὕστερον ἀποφανέω κάλλιον. ἔχει δὲ καὶ τόδε οὕτως. ἐν τοῖσι βρωτοῖσι καὶ τοῖσι ποτοῖσιν ἔνεστι πᾶσι, καὶ χολῶδές τι. καὶ ὑδρωποειδές. καὶ αἱματῶδες. καὶ φλεγματῶδες. τῇ μὲν πλέον. τῇ δὲ ἔλασσον. διότι καὶ διαφέρει τὰ ἐσθιόμενα καὶ πινόμενα ἀλλήλων ἐς τὴν ὑγείην. καὶ ταῦτά μοι ἐς τοῦτο εἴρηται. ἐπ' ἢν δὲ φάγῃ ἢ πίῃ ὁ ἄνθρωπος, ἕλκει τὸ σῶμα ἐς ἑωυτὸν ἐκ τῆς κοιλίης τῆς ἰκμάδος τῆς εἰρημένης. καὶ αἱ πηγαὶ ἕλκουσι διὰ τῶν φλεβῶν, ἀπὸ τῆς κοιλίης, ἡ ὁμοίη ἰκμὰς, τὴν ὁμοίην, καὶ διαδιδῶσι τῷ σώματι. ὥσπερ ἐπὶ τῶν φυτῶν ἕλκει ἀπὸ τῆς γῆς ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην. ἔχει γὰρ ὧδε ἡ γῆ ἐν ἑωυτῇ δυνάμιας παντοίας καὶ ἀναριθμους. ὁκόσα γὰρ ἐν αὐτῇ φύεται, πᾶσιν ἰκμάδα παρέχει ὁμοίην ἑκάστῳ. οἷον καὶ αὐτὸ τὸ φυόμενον αὐτῷ ὁμοίην κατὰ ξυγγενὲς ἔχει. καὶ ἕλκει ἕκαστον ἀπὸ τῆς γῆς τροφὴν, οἷόν περ καὶ αὐτό ἐστι. τό, τε γὰρ ῥόδον ἕλκει ἀπὸ τῆς γῆς ἰκμάδα τοιαύτην, οἷόν περ καὶ αὐτὸ δυνάμει ἐστὶ. καὶ τὸ σκόροδον ἕλκει ἀπὸ τῆς γῆς ἰκμάδα τοιαύτην, οἷόν περ καὶ αὐτὸ δυνάμει ἐστὶ, καὶ τὰ ἄλλα πάντα τὰ φυόμενα, ἕλκει ἐκ τῆς γῆς καθ' ἑωυτὸ ἕκαστον. εἰ γὰρ μὴ τοῦτο οὕτως εἶχεν, οὐκ ἂν ἐγένετο τὰ φυόμενα, ὅμοια τοῖσι σπέρμασιν. ὅτῳ δὲ τῶν φυομένων ἐν τῇ γῇ ἰκμὰς κατὰ συγγένειαν τοῦ δέοντος, πολλῷ πλέων ἐστὶ, νοσέει ἐκεῖνο τὸ φυτόν. ὅτῳ δὲ ἐλάσσων τοῦ καιροῦ, ἐκεῖνο αὐαίνεται. ἢν δὲ ἐξ ἀρχῆς μὴ ἐνῇ ἰκμὰς τῷ φυτῷ, ἣν ἕλκει κατὰ τὸ συγγενὲς, οὐδ' ἂν βλαστῆσαι δύναιτο. παρέχει δὲ νοηθῆναι, ὅτι εἰ μὴ ἔχει ἰκμάδα κατὰ φύσιν τὸ φυτὸν, οὐ βλαστάνει τὴν ἀρχήν. ἡ γὰρ Ἰωνίη χώρη καὶ ἡ Πελοπόννησος, ὑπὸ τοῦ ἡλίου τῶν ὡρέων οὐχ ἥκιστα καίεται, ὥστε δύνασθαι ἐξαρκεῖν τοῖσι φυομένοισι τὸν ἥλιον. ἀλλ' ὅμως οὐ δυνατὸν πολλὸν ἤδη πειραζομένων, οὔτε ἐν Ἰωνίῃ, οὔτε ἐν Πελοποννήσῳ, σίλφιον φῦσαι. ἐν δὲ τῇ Λιβύῃ, αὐτόματον φύεται. οὐ γάρ ἐστιν οὔτε ἐν Ἰωνίῃ οὔτε ἐν Πελοποννήσῳ ἰκμὰς τοιαύτη, ὥστε τρέφειν αὐτό. ὅτι δὲ πολλὰ καὶ ἄλλα, ὅσα τοῦ ἡλίου ἐξαρκέοντος αἱ χῶραι οὐ

δύνανται

δυνάμεναι τῶν θεραπευμάτων τρέφειν, ἄλλαι δὲ φύουσιν αὐτόμαται, παρέχει δὲ περὶ σκέψασθαι ὃ μέλλω ἐρέειν. ὁκόσον χῶρος χώρου κάρτα πλησιάζων διαφέρει ἐς τὴν ἡδυοινίην τοῦ ἡλίου ὁμοίως ἐξαρκέοντος. ἔνθα μὲν γὰρ, τῆς γῆς ἰκμάς ἐστιν ἥτις τὸν οἶνον ἡδίω παρέχει. ἔνθα δὲ, οὔ. ἔστι δὲ καὶ ἄγρια φυόμενα ἐν χωρίῳ οὐκ ὀλίγα. μεταρθέντα δὲ ὁκόσον ὀργυιὴν, οὐκ ἂν εὕροις ἔτι φυόμενα. οὐ γὰρ ἔχει ἡ γῆ μεταρθέντι τοιαύτην ἰκμάδα οἵην τοῖσιν ἀγρίοισι φυτοῖσιν ἐκεῖ νῦν παρέχειν. ἔστι γὰρ αὐτοῖσι, τὰ μὲν ἰωδέστερα. τὰ δὲ ὑγρότερα. τὰ δὲ γλυκύτερα. τὰ δὲ ξηρότερα. τὰ δὲ τρηχύτερα. ἀλλὰ δὲ μυρία ἄλλως ἔχει. μυρίαι γὰρ ἐν αὐτῇ δυνάμιές εἰσι. καὶ διὰ ταῦτα τὰ γινόμενα ἐκ τῆς γῆς πρῶτον οὐδὲν ἕτερον ἑτέρῳ ὅμοιον ἔφυ, ὅτι μὴ συγγενές. ἄγρια δέ μοι δοκέει ταῦτα πάντα εἶναι. ἄνθρωποι δὲ ταῦτα ἡμερώσαν ἐργαζόμενοι καρποφορέειν καὶ τὰ τὸ σπέρμα ἕκαστον. ἕλκει γὰρ ἐκ τῆς γῆς ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην. καὶ τούτοισιν αὔξεται καὶ τρέφεται. καὶ οὐδὲν ἕτερον ἑτέρῳ ὅμοιόν ἐστι τῶν φυομένων, οὔτε ἴσην, οὔτε ὁμοίην ἐκ τῆς γῆς ἰκμάδα ἕλκον. ἕλκει δὲ ἕκαστον τῶν φυομένων βρωτῶν τε καὶ ποτῶν ἐν ἑωυτῷ, πολλὰς δυνάμιας ἀπὸ τῆς γῆς. ἐν παντὶ δέ ἐστι τὶ φλεγματῶδες, καὶ αἱματῶδες. ἀναγκαίην δὲ τῷδε προσηγαγόμην, ὅτι ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν ἐς τὴν κοιλίην χωρεόντων, ἕλκει τὸ σῶμα, αὐτὰς πηγὰς ἃς ὠνόμασα. ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην διὰ φλεβῶν. σημήϊον δὲ ἀποφανέω ἕτερον τόδε, ὅτι ἕλκει ἕκαστον κατὰ τὰ εἰρημένα. καὶ ἅμα φράσω, ὅθεν τὸ φλέγμα γίνεται ἐν τῷ σώματι.

Ἐπὰν τις φάγῃ τυρὸν, ἢ ὅ, τι ἐστὶ δριμὺ, ἢ ἄλλό τι φάγῃ, ἢ πίῃ, ὅ, τι ἐστὶ φλεγματῶδες, αὐτίκα οἱ ὑπερθέει ὑπὸ τὸ στόμα καὶ τὰς ῥῖνας. καὶ τοῦτο οὕτως γινόμενον πάντες ἑωρῶμεν. τοῦτο δὲ χρὴ ἐλπίσαι, ὅθεν ἐγὼ ἐρέω. φημὶ δὲ, ὁκόσον ἐν τῷ βρώματι ἢ πόματι φλεγματῶδες ἐνῇ, κείνου ἐς τὴν κοιλίην ἐλθόντος, τὸ μὲν σῶμα ἕλκει ἐς ἑωυτό. τὸ δὲ ἡ κεφαλὴ κοίλη ἐοῦσα. καὶ ὥσπερ σικύη ὑποκειμένη, ἕλκει τὸ φλέγμα, ἅτε γλίσχρον ἐόν. ἕπεται δὲ τούτῳ τὸ ἕτερον διὰ τοῦ ἑτέρου ἐς τὴν κεφαλήν. τὸ μὲν νέον φλέγμα τὸ γινόμενον ἐκ βρώματος, μένει ἐν τῇ κεφαλῇ. τὸ δὲ παλαιὸν ὁκόσῳ πλεῖον, τὸ νέον ὑπ' ἐκείνου βιώμενον ἐξέρχεται. καὶ διὰ τοῦτο ἐπὴν τις φάγῃ ἢ πίῃ ὅ, τι φλεγματῶδες, ἀποχρέμπτεται φλέγμα, ἔχει δὲ καὶ τόδε οὕτως. ἢν φαγόντος τι ἢ πιόντος τοῦ ἀνθρώπου ὅ, τί ἐστι φλεγματῶδες, μὴ ἐξέλθοι πάλιν, ἐν ὅσῳ πλέον ἐγγένηται μήτε κατὰ τὸ στόμα, μήτε κατὰ τὰς ῥῖνας, ἀναγκαίη ἐστὶ μένειν αὐτὸ ἐν τῇ κεφαλῇ, ἢ ἐς τὸ σῶμα κατελθεῖν ἀπὸ τῆς κεφαλῆς καὶ ἐς τὴν κοιλίην ἀφικέσθαι. καὶ ἄριστον ἂν συμβαίνῃ, εἰ ἐς τὴν κοιλίην ἀφίκοιτο, ἐξέλθοι γὰρ ἂν σὺν τῇ κόπρῳ. εἰ μὲν πολλὸν εἴη καὶ ὑγρὸν, ὑγρανέει τὴν κόπρον. εἰ δὲ ὀλίγον, οὐκ ἂν ποιήσειεν. εἰ δὲ ἐν τῇ κεφαλῇ μένει, πολλὸν ἂν πόνον παρέχοι τῇ κεφαλῇ, ἐν τῇσι φλεψὶν ἐόν. εἰ δὲ ὀλίγον, οὐκ ἂν ποιήσειε τοῦτο. ὑποσημήνοι δ' ἂν, ἢ πλέον ἢ ἔλασσον. ἢν δὲ ἐς τὸ σῶμα ἀφίκηται, κεῖσέ οἱ μέμικται τῇ ἄλλῃ ἰκμάδι. κἢν μὲν πολλὸν ἔῃ τὸ φλέγμα, ἐστάσειεν ἐς τὸ σῶμα αὐτίκα. ἢν δὲ ὀλίγον, οὐκ ἂν ἐστάσειεν, ἅτε μέγα τὸ σῶμα ἐόν, εἰ μήτις οἱ ἀρχὴ ὑπολείποιτο καὶ ἄλλη. χρόνῳ δὲ ἢν μὲν ἕτερον ὑπογένηται φλέγμα, σινοίατο ἄν. ἢν δὲ τὸ σῶμα τῇ κύστει καὶ τῇ κοιλίῃ διαφορῇ, καὶ ταῦτα ἔξω διοίσῃ, οὐδὲν ἂν κακὸν ἐξ αὐτέου σχοίη. ἐν τούτῳ μὲν οὖν τῷ λόγῳ ἀποπέφανται ὅκως ἡ κεφαλὴ ἐκ τῆς κοιλίης φλέγμα ἕλκει. τό, τε ὅμοιον ἔρχεται πρὸς τὸ ὅμοιον. καὶ ἅμα εἴρηταί μοι, ὅκως τε καὶ διότι πλεῖον γίνεται ἀνθρώπῳ, ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν. νῦν δὲ ἐρέω περὶ χολῆς, ὅκως τε καὶ διότι πλείων γίνεται ἐν τῷ σώματι. καὶ ὅκως ἕλκῃ τὸ χωρίον αὐτέην, τὸ ὑπὸ τοῦ ἥπατος. ἔχει δὲ οὕτως.

Ἐπὴν φάγῃ καὶ πίῃ ὁ ἄνθρωπος, ὅ, τί ἐστι πικρὸν, καὶ ἄλλως χολῶδες, καὶ κοῦφον, πλείων καὶ ἡ χολὴ γίνεται ὑπὸ τῷ ἥπατι. καὶ αὐτίκα ἀλγέει τὸ ἧπαρ, ὅπερ οἱ παῖδες καρδίην καλέουσι. καὶ τοῦτο εἰσείδομεν γινόμενον. καὶ ἐμφανὲς ἡμῖν ἐστιν, ὅτι ἀπὸ τοῦ βρώματος ἢ τοῦ ποτοῦ ἐγένετο. ἕλκει μὲν γὰρ τὸ σῶμα εἰς ἑωυτό, ἀπὸ τῶν βρωμάτων τὴν πᾶσαν ἰκμάδα τὴν εἰρημένην. ἕλκει δὲ καὶ τὸ χωρίον τὸ ὑπὸ τῷ ἥπατι ἐς ἑωυτό, ὅ, τι ἂν αὐτόθι οἱ χολῶδες ἐνῇ. καὶ ἢν ἐξαπίνης πολλὴ γένηται ἡ χολὴ, ὀδυνᾶται τὸ ἧπαρ ὁ ἄνθρωπος, καὶ ἀπὸ τῆς νηδύος πλέον γίνεται. τούτου γὰρ γινομένου, ἔρχεται ἀπὸ τῆς παλαιῆς χολῆς διὰ τὴν πληθὼ ἐς τὴν κοιλίην. καὶ στρόφος ἐκ τούτου τῇ κοιλίῃ γίνεται. καὶ ἐξέρχεται αὐτέης, τὸ μὲν κατὰ τὴν κύστιν. τὸ δὲ κατὰ τὴν κοιλίην, καὶ οὕτως ἐλάχιστον ἐς τὸν ἄνθρωπον γίνεται. καὶ παύονται οἱ πόνοι. ἢν δὲ τούτων μὴ δι' ἕτερον γένηται, χωρέει τὸ πρῶτον ἀπὸ τῆς παλαιῆς ἐς τὸ σῶμα. διαδίδοται

γὰρ ἐστιν αὐτό. κἢν μὲν πουλὺ ἔῃ, αὐτίκα ἐπισημαίνει μιχθεῖσα τῷ ἄλλῳ ὑγρῷ. ἢν δὲ ὀλίγη, οὐκ ἂν ἐσάσειεν, ἅτε μέγα τὸ σῶμα ἐόν, ἢν μήτις καὶ ἄλλη ἀρχὴ ὑπογένηται. χρόνῳ δὲ ἢν μὲν ἑτέρη χολὴ ἐπιγένηται, πλείω σίνεται τὸν ἄνθρωπον. ἢν δὲ μὴ ἐπιγένηται, διηθήσειεν ἂν τὸ σῶμα, ὥστε τὴν χολὴν περιεῖναι. ὅσα δέ ἐστι χολώδεα, ἕτερα γὰρ τῶν ἑτέρων τὰ ἐσθιόμενα καὶ πινόμενα φαρμακά ἐστιν, οὕτω δὴ καὶ τὰ ἄλλα ὁκόσα σινεόμενα φαρμακά ἐστιν, ὑφ' ἑτέρου ἑτέρου ἐμπεσὸν ἐς τὴν κοιλίην τῇ ἑωυτοῦ δυνάμει, ἀντίην ἔχον τὸ κρατηθὲν ἔξω καὶ σίνεται τοῦτο. ἐπὴν δὲ ἐπιγένηται ἄλλη χολὴ ἐν τῷ σώματι ἀπὸ τῶν ἐς τὴν κοιλίην πιπτόντων, νόσος ἐν τουτέοισι γίνεται. ἐν τούτῳ δὲ ἐγὼ ἐπεσήμηνον, ὅκως ἡ χολή. καὶ διότι πλείων γίνεται ἐν τῷ σώματι ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν. καὶ ὅτι ἕλκει ἐς ἑωυτὸ χωρίον τὸ ἐπὶ τῷ ἥπατι κατὰ τὸ ὅμοιον τὸ χολῶδες ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν.

Νῦν δὲ ἐρέω περὶ ὕδρωπος, ὥστε καὶ διατὶ πλείων γίνεται ἐν τῷ σώματι. καὶ ὅκως ἕλκει ὁ σπλὴν ἐς ἑωυτόν. φημὶ δὲ ἐπὴν ὁ ἄνθρωπος πίνῃ πλέον, ἕλκειν ἐς ἑωυτὸν ἐκ τῆς κοιλίης τοῦ ὕδατος, καὶ τὸ σῶμα καὶ τὸν σπλῆνα. καὶ ἢν πλεῖον εἰρύσῃ τοῦ καιροῦ, πονέειν αὐτίκα τὸν ἄνθρωπον. καὶ τοῦτο ἐπαΐουσι γινόμενον, ὁκόσοι σπληνώδεες τῶν ἀνθρώπων εἰσίν. ἐπὴν δὲ εἰρύσῃ ὁ σπλήν, ἄλλοτε μὲν εἰ ἐν τῇ κύστει διηθέει ἀπὸ τοῦ ὕδατος τὸ παλαιὸν τοῦ ἐνεόντος ἐν τῷ σπληνὶ ἢ τῇ κοιλίῃ, καὶ ταῦτα ἐκδιηθέσειε. καίτοι τὰ ἄνω γὰρ χωρία οὐκ ἀποκαθαίρεται τὸ ὕδωρ ἀπὸ τοῦ σπληνός, ἢν μὴ ὁκόσον δὴ ἐν τοῖς ἀγγείοις ἐνεόν ἐστι, τοῖσιν ἀπὸ τοῦ σπληνός. ἀλλ' οἵα ἐστὶν ἀποκάθαρσις ἐς τὴν κοιλίην καὶ ἐς τὴν κύστιν. ἢν δὲ ταῦτα μὴ εὔροα ᾖ, μὴ δὲ διηθῇ ἔξω, ἀπὸ τοῦ σπληνὸς ἔρχεται τὸ ὕδωρ ἐς τὰ κάτω. κἀκεῖθι δὲ μίσγεται τῇ ἄλλῃ ἰκμάδι. κἢν μὲν ὀλίγον ἔῃ, οὐκ ἂν ἐσάσειεν, ἀλλὰ διηθέῃ ἂν ἀπὸ τοῦ σώματος ἐς τὴν κύστιν, καὶ ἐς τὴν κοιλίην διὰ φλεβῶν. εἰσὶ γὰρ ἐκ τούτου κατατείνουσαι πολλαί, αἳ ἕλκουσιν ἐς ἑωυτὰς ἐκ τῶν κάτωθεν χωρίων, ἐπὴν ξηρότεραι γίνωνται, ἢ πρὶν ἦσαν. ἢν δὲ γίνεται ἕτερον ὕδωρ, καὶ ἡ κοιλίη, καὶ ἡ κύστις μὴ διηθῇ ἔξω, αἴρεται ὁ σπλήν. καὶ τὰ κάτω τοῦ σώματος ἐπίπονα γίνεται. ταῦτα δέ μοι εἴρηται, ὅκως τε καὶ διότι τὸ ὕδωρ πλεῖον γίνεται ἐν τῷ σώματι ἀπὸ τοῦ ποτοῦ. καὶ ὅκως ὁ σπλὴν ἕλκει.

Νῦν δὲ ἐρέω περὶ αἵματος ὅκως τε καὶ διότι πλεῖον γίνεται ἐν τῷ σώματι. ἐπὰν τι πίῃ ἢ φάγῃ ὁ ἄνθρωπος, ὅ, τι ἐστὶν αἱματῶδες, ἕλκει μὲν καὶ τὸ σῶμα ἅπαν ἐς ἑωυτό. ἕλκει δὲ καὶ ἡ καρδίη τὸ αἱματῶδες ἐς ἑωυτήν. καὶ ἐπὴν πλέον εἰρύσῃ, οὐ γίνεταί οἱ τῇ καρδίῃ πόνος. στερεὸν γάρ τι χρῆμα καὶ πυκνόν ἐστιν ἡ καρδίη, καὶ διὰ τοῦτο οὐ πονέει. καὶ ἐξ αὐτῆς παχεῖαι φλέβες τείνουσιν αἱ σφάγιαι καλεόμεναι, ἐς ἃς ταχέως ἢν πλεῖον προσγένηται, διαδίδοται τὸ αἱματῶδες. καὶ πιμπλάμεναι κεῖναι, τῇ κεφαλῇ καὶ τῷ σώματι διδόασιν ἐν τάχει. καὶ ἐπὴν τι φάγῃ ἢ πίῃ, ὅ, τι ἐστὶν αἱματῶδες, αὐτίκα αἱ σφάγιαι φλέβες αἴρονται. καὶ τὸ πρόσωπον ἐρυθεῖ. προσγενομένου δὲ τῇ καρδίῃ καὶ τῷ σώματι τοῦ αἵματος πλείονος τοῦ ἱκανοῦ, ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν, καὶ μισγομένου τῷ ἄλλῳ ὑγρῷ, ἢν μὴ ἀπ' αὐτοῦ ἐξέλθῃ κατὰ τὴν κοιλίην ἢ κατὰ τὴν κύστιν, μισγὲν τῇ ἄλλῃ ἰκμάδι, ἐν τῷ σώματι πόνον παρέχει. ἢν δὲ ὀλίγον προσγένηται, οὐκ ἐσάσειεν ἂν τὸ σῶμα. χρόνῳ δὲ διαδίδοται ἀπ' αὐτοῦ ἐς τὴν κοιλίην ἢ κατὰ τὰς ῥῖνας. τὰ δὲ διηθέει ἔξω, καὶ ἀσινέες γίνονται. ἢν δὲ ἐξ ὀλίγου πλέον γένηται, ἐπίνοσον γίνεται. ὅκως δὲ πλέον τὸ αἷμα γίνεται, ἠρμήνευταί μοι. τέσσαρα ἐόντα, τό τε αἷμα καὶ ἡ χολὴ καὶ τὸ φλέγμα καὶ ὁ ὕδρωψ, ἀποπέφανται ταῦτα πάντα ὅκως τε καὶ διότι πλεῖον γίνεται ἐν τῷ σώματι ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν. ὅτι δὲ γίνεται ἀπὸ τούτων, σημεῖον τόδε ἐστίν. εἰ ἄνθρωπος ὀλίγα ἐσθίει καὶ ὀλίγα πίνει, οὐδεμίαν τούτῳ νοῦσον ἐπάγει. καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται. παρέψαυσαι δέ μοι δηλῶσαι τῷ συνετῷ, καὶ ὅκως ταῦτα ἐλάσσονα γίνεται. δηλώσω δὲ περὶ αὐτοῦ κάλλιον ὀλίγῳ ὕστερον. τὰς δὲ πηγὰς ἃς ὠνόμασα, αὗται τῷ σώματι, ὁκόταν πλήρεες ἐῶσιν, ἀεὶ ἐπιδιδόασιν. ὁκόταν δὲ κεναί, περιίστανται ἀπ' αὐτοῦ. οὕτω δὲ καὶ ἡ κοιλίη ποιέει. ἔχει γὰρ οὕτως, ὥσπερ εἴ τις ἐς χαλκεῖα τρία καὶ πλείονα ὕδωρ ἐγχέας, καὶ συνθεὶς ὡς ἐπὶ ὁμαλωτάτου χωρίου, καὶ συναρμόσας ὡς κάλλιστα διαθείη αὐλοὺς ἐναρμόσας ἐς τὰ τρυπήματα. καὶ ἐγχέῃ ἡσυχῇ ἐς ἓν τῶν χαλκείων ὕδωρ μέχρις οὗ πλησθῇ ἀπὸ τοῦ ὕδατος πάντα. ἀπὸ γὰρ τοῦ ἑνός, ῥεύσεται ἐς τὰ λοιπὰ χαλκεῖα μέχρις ὅτου καὶ τὰ ἄλλα πλησθῇ. ἐπὴν δὲ πλήρεα γένηται τὰ χαλκεῖα, ἤν τις ἀπὸ τοῦ ἑνὸς ἀπαρύσῃ τοῦ ὕδατος, ἀνταποδώσειεν ὀπίσω ῥέον τὸ ὕδωρ εἰς τὸ χαλκεῖον. καὶ κενεὰ ἔσται τὰ χαλκεῖα πάλιν ὥσπερ καὶ ἐδέξατο. οὕτω δὴ καὶ ἐν τῷ σώματι ἔχει. ἐπὴν γὰρ ἐς τὴν κοιλίην πέσῃ τὰ βρώματα

ματα καὶ τὰ ποτὰ, ἐπαυρίσκεται τὸ σῶμα ἀπὸ τῆς κοιλίας, καὶ πληροῦνται σὺν τῇσι πηγῇσιν. ἐπὴν δὲ ἡ κοιλίη κενῶται, ἀποδίδοται αὖθις ὀπίσω ἡ ἰκμὰς, ὥσπερ καὶ ἐπεδέξατο, ὡς ἐκ τῶν ἄλλων τῶν ἐν χαλκείον. φλέβες τε γάρ εἰσι διὰ παντὸς τοῦ σώματος τείνουσαι, αἱ μὲν λεπτότεραι. αἱ δὲ παχύτεραι πολλαὶ καὶ πυκναί. αὗται δὲ μέχρις οὗ ἂν ζώῃ ὁ ἄνθρωπος, ἀνεώγασι, καὶ δέχονται, καὶ ἀφιᾶσι τε καὶ νέον ὑγρόν. ἐπὴν δὲ ἀποθάνῃ, συμμύουσι καὶ γίνονται λεπταί. μέχρι μὲν οὖν ζώῃ ὁ ἄνθρωπος, ἐπαυρίσκεται μὲν τὸ σῶμα ἀπὸ τῆς κοιλίης, ἐπὴν τι ἔχῃ ἐν ἑωυτῇ. ἐπαυρίσκονται δὲ αἱ πηγαὶ καὶ πιμπλάμεναι διαδιδόασι τῷ σώματι. εἰ γὰρ τὸ σῶμα μὴ ἕλκῃ ἀπὸ τῆς ἰκμάδος τῆς κοιλίης, ἀλλ᾽ αἱ πηγαὶ μόναι, καὶ ἐς τὸ σῶμα μὴ ἐδίδοσαν, οὐκ ἂν εἶχε τὸ σῶμα τροφὴν ἀρκέουσαν, ἀλλὰ ἐλάσσονα. οὐ γὰρ ἂν ἔτι εἶχον τῷ σώματι τὴν τροφὴν διεκδιδοῦσαι πηγαί. αἱ δὲ πηγαὶ αὗται, εἰ μὴ ἦσαν ἐσθίοντες ἂν καὶ πίνοντες, οὐκ ἂν διεγινώσκομεν ἀτρεκέως, οὔτε ὅ,τι ἡδὺ ἐστιν, οὔτε ὅ,τι ἀηδές. κατὰ ἀνάγκην τοιήνδε, ἣν μέλλω ἐρέειν. ταῦτα τὰ χωρία ἅτε μικρότερα ἐόντα, καὶ ἔνδοθεν τοῦ ἄλλου σώματος, ἀεὶ καὶ πρὸ τοῦ ἐστάσαι ἕκαστον κατὰ τὴν ἑωυτοῦ δύναμιν, ἑρμηνεύει τῷ ἄλλῳ σώματι τῶν ἐσθιομένων καὶ πινομένων, ὅ,τι τε χολῶδές ἐστι, καὶ ὅ,τι φλεγματῶδες. καὶ ὅ,τι αἱματῶδες, καὶ ὅ,τι ὑδρωποειδές. τούτων γὰρ ἡμῖν, ὅ,τι ἂν ἑκάστου πλεῖον τοῦ καιροῦ γίνεται, καὶ ἐν τοῖσι ποτοῖσι καὶ ἐν τοῖσι βρωτοῖσιν, κεῖνα οὐδὲ ἡδέα γίνεται. ὅσα δὲ χατίζει μάλιστα, κατὰ ταῦτα κεῖνα ἡδέα ἐστίν. ἢν δὲ βρωτῶν καὶ ποτῶν ἐνδεήσεται τῶν πηγέων τις, κατὰ τοῦτο καὶ τὸ σῶμα ἑλκύσει ἀπ᾽ αὐτέων τέως καὶ τὸ ὑγρὸν ἔλασσον τοῦ καιροῦ γένηται, τότε ἱμείρεται ἄνθρωπος, ἢ φαγέειν ἢ πιέειν τοιοῦτον, ὅτι τὴν μοίρην ἐκείνην ἀναπλήσει, καὶ ἰσώσει τῇσιν ἄλλῃσι. καὶ διὰ τοῦτο βεβρωκότες πολλὰ ἢ πεπωκότες, ἔστιν ὅ,τι ἱμειρόμεθα ἢ βρωτοῦ ἢ ποτοῦ. καὶ ἄλλο οὐδὲν ἂν ἡδέως φάγοιμεν, εἰ μὴ ὅ,τι ἱμειρόμεθα. ἐπὴν δὲ φάγωμεν καὶ ἰσωθῇ ἡ ἰκμὰς κατὰ ταῦτα ἅπαντα ἐν τῇσι πηγῇσι καὶ ἐν τῷ σώματι, τότε οἱ πέπαυται ὁ ἵμερος. καὶ ταῦτα μὲν ἐς τοῦτο μοι εἴρηται. ἔχει δὲ καὶ τόδε. ὅτι ἐς μὲν τὸ χωρίον τὸ ἐπὶ τῷ ἥπατι, ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν ἀποκρίνεται ἡ χολὴ μόνον. τὰ γὰρ φλέβια ἀσθενέα καὶ λεπτὰ ὑπάρχοντα, οὐ δύνανται ἕλκειν τὴν ἄλλην ἰκμάδα παχυτέρην καὶ βαρυτέρην ἐοῦσαν. καὶ ἅμα εὐρυχωρίη οὐκ ἔστι τῇ ἄλλῃ ἰκμάδι, ὥστε ἐν τούτῳ τῷ χωρίῳ εἶναι. συνηθές τε ἐστὶ τῇ χολῇ τοῦτο τὸ χωρίον κατὰ φύσιν μάλιστα. καὶ διὰ τοῦτο ἐν αὐτῷ, οὐδεμία νοῦσος γίνεται ἄλλη, ἢ ἥν τινα καρδιωγμὸν οἱ ἄνθρωποι καλέουσιν. ἡ δὲ κεφαλὴ καὶ ἡ καρδίη καὶ ὁ σπλὴν, μετέχουσι τῆς ἰκμάδος πάσης ἕκαστον, ἢν μή τι νοσέῃ, μετέχει πλεῖστον κατὰ φύσιν τὴν ἑωυτοῦ τῶν εἰρημένων. ἡ μὲν κεφαλὴ, τοῦ φλέγματος. ἡ δὲ καρδίη, τοῦ αἵματος. ὁ δὲ σπλὴν, τοῦ ὕδατος. ἕλκουσι δὲ καὶ τῆς ἄλλης ἰκμάδος αἱ φλέβες ἐς ἑωυτὰς, εὐρεῖαι, καὶ παχεῖαι καὶ ἑλικοειδέες ἐοῦσαι. ὥστ᾽ ἐπὴν ἕλκωσιν, ἕπεται ἕτερον ἑτέρῳ τῆς ἄλλης ἰκμάδος. καὶ τῇ μὲν καρδίῃ, πλησιάζουσιν αἱ σφάγιαι φλέβες, παχεῖαι οὖσαι, ἐς ἃς διαδίδοται ταχέως, ἐπὴν οἱ πλεῖον τοῦ καιροῦ προσγένηται. αἱ δὲ τῷ ἄλλῳ σώματι ἐκδιδόασι. καὶ ἅμα αὐτὴ ἡ καρδίη στερεὴ καὶ πυκνή ἐστιν, ὥστε μὴ νοσέειν ὑπὸ τῆς ἰκμάδος. καὶ τοῦτο νόσημα ἐν τῇ καρδίῃ οὐδὲν γίνεται. ἡ δὲ κεφαλὴ καὶ ὁ σπλὴν, μάλιστα ἐπίνοσά ἐστι. νοσέει γὰρ καὶ ἀπὸ τῶν φύσει ἐόντων, ὅταν πλείονα προσγένηται τοῦ καιροῦ. νοσέει δὲ καὶ ἀπὸ τῆς ἄλλης ἰκμάδος. φλέβες γὰρ ἐς αὐτὰ, παχεῖαί τε καὶ πολλαί εἰσι. καὶ αὐτὰ φλεβώδεα κάρτα ἐστὶ καὶ ἔγκοιλα, ὥστε εὐρυχωρίην καὶ τῇ ἄλλῃ ἰκμάδι ἐν αὐτῇσιν εἶναι χωρεούσῃ κατ᾽ ὀλίγον καὶ μισγομένῃ τῇ φύσει ἐούσῃ. ὥσπερ ἐν ἀγγείῳ μεγάλῳ εὐρυχωρίη ἐστὶ πολλὴ, ἢ ἐν μικρῷ. οὕτω δὲ καὶ ἐν τῇ κεφαλῇ, ἢ ἐν σπληνὶ, ἔχει. εὐρυχωρίη γὰρ τούτων τῶν χωρίων μάλιστα ἐν αὐτοῖσιν ἐστί. ἢν δὲ πληθώσιν ἰκμάδος αἱ φλέβες αὐτόθι, ἀπ᾽ ἐκείνης ἐν αὐτοῖσι νοῦσος γίνεται. ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται νῦν. ἐθέλω δὲ ἀποφῆναι κάλλιον, ὅκως ἑκάστη ταύτης τῆς ἰκμάδος ἐν τῷ σώματι ἐλάσσων γίνεται. Τέσσαρα μὲν δὴ ὑγρὰ ἐόντα ἀπέδειξα τὸν ἄνθρωπον συνεόμενα. τέσσαρας δὲ πηγὰς λέγω εἶναι, οἷσιν ἀποκαθαίρεται ὁ ἄνθρωπος τούτων ἕκαστον. ταῦτα δέ ἐστι, τό, τε στόμα, καὶ αἱ ῥῖνες, καὶ ὁ ἀρχὸς, καὶ ἡ οὐρήθρη. καὶ ἐπὴν τις πλείων γένηται τῆς ἰκμάδος τῆς πονεούσης, ἣν ἀποκαθαίρηται ὁ ἄνθρωπος ταύτῃ, οὐδεμία μὴν νοῦσος πιέζει ἀπὸ ταύτης. καὶ ἢν ἡ κοιλίη πλήρης ᾖ, τηκομένου τοῦ σώματος ἀπὸ τῆς ἰκμάδος, καταῤῥέει ἐς αὐτὴν καὶ ἔξω ἔρχεται κατά τι τῶν χωρίων τούτων. καὶ διὰ ταῦτα τὸ ὑγρὸν ἔλασσον γίνεται ἐν τῷ σώματι. τὸ γὰρ σῶμα ὥσ-

περ μοι καὶ πρότερον εἴρηται, τῇ κοιλίῃ ἐπιδιδοῖ, ἐπὴν κενεὴ ᾖ. καὶ ἐπαυρίσκεται, ἐπὴν πλήρης ᾖ ἀπ' αὐτῆς. ταῦτα δέ μοι εἴρηται, ὅκως τε καὶ διότι ἐλάσσονα γίνεται τὰ πονέοντα τὸν ἄνθρωπον. ὅκως δὲ καὶ διὰ τί ὁ ἄνθρωπος ὑγιαίνῃ, ἐρῶ. Ἐπὴν φάγῃ, καὶ πίῃ καὶ ἀφίκηται ἡ ἰκμὰς ἐς τὸ σῶμα, τρόπῳ ὥσπερ εἴρηται, μιγεῖσα καὶ τῇ ἄλλῃ, καὶ τῇ ἐν τῷ σώματι, καὶ τῇ ἐν τῇ πηγῇ ἐούσῃ, τῇ μὲν ἡμέρῃ ἣ προσγένηται, μένει ἐν τῷ σώματι. τῇ δὲ ὑστεραίῃ, ἄλλη οἱ ἰκμὰς προσγίνεται. αὗται δύο μὲν ἡμέραι εἰσί. δύο δὲ ἰκμάδες ἐν τῷ σώματι. τῇ μὲν ἑτέρῃ τῶν ἰκμάδων, δύο ἡμέραι εἰσί. τῇ δὲ ἑτέρῃ, μία. ἡ μὲν δὴ ὑστεραίη μένει ἐν τῷ σώματι, ἅτε παχεῖα ἐοῦσα. ἡ δὲ ἑτέρη περιεφθεῖσα ὑπὸ τῆς θέρμης, διακέχυται. καὶ λεπτὴ γενομένη, παραγίνεται ἐν τῇ ὑστεραίῃ ἡμέρῃ ἐς τὴν κοιλίην, διὰ παντὸς τοῦ χρόνου ἐξωθευμένη ὑπὸ τῆς νέης. ἐλθοῦσα δὲ ἐς τὴν κοιλίην, πέσσει τὰ σιτία ἐν τῷ τόπῳ. καὶ ποιεῖ τὸ αἷμα ἀπ' αὐτῆς ἐν τῷ σώματι. μείνασα δὲ ἐγγύς ὑπὸ τοῦ χρόνου κάκοδμος. τῇ δὲ τρίτῃ ἡμέρᾳ, ἐξέρχεται σὺν τῇ κόπρῳ καὶ τῷ οὔρῳ, πλῆθος αὐτῇ ἑωυτῇ πάσῃ, ἴση τε καὶ παραπλησίη, καὶ ἰσόῤῥοπος. καὶ ἢν ἑωυτῆς μέρος τι ᾖ, ὅμως ἡ ἰκμὰς μένει ἐν τῷ σώματι κατὰ λόγον τὸν εἰρημένον. ὑπεξέρει δὲ καὶ τῇ τρίτῃ ἡμέρῃ τῆς ἰκμάδος ἀπὸ τοῦ σώματος ἐπὶ τὴν κοιλίην, πλεῖον καὶ κακοδμότερον, τὸ ὑπόλοιπες γενόμενον ὑπὸ τῆς ἑτέρης. καὶ καταφέρει τὰ βρώματα πεπεμμένα, καὶ ὅ,τι ἐν τῷ σώματι νοσερόν ἐστι. καὶ αὖθις συνέρχεται. σημαίνει δὲ τὸ οὖρον ἁλμυρὸν ἐὸν, ὅτι καὶ καταφέρει ἀπὸ τοῦ σώματος τὸ νοσερὸν τὰ σιτία. ἐς δὲ τὴν ὑστεραίην, ἀεὶ διαχωρέει. ἡ δὲ ἰκμὰς, ἐς τὴν τρίτην. οὕτως ὑγιέειν συμβαίνει γίνεσθαι. καὶ ταῦτα μὲν εἴρηται, ὅκως τε καὶ διότι ὑγιαίνουσιν οἱ ἄνθρωποι. ἡ δὲ ἰκμὰς αὕτη, εἰ κατὰ μέρος ἔξω χωρέοι ἐς τὴν ὑστεραίην, τὰ σιτία οὐχ ὁμοίως ἂν ἐκ τῆς κοιλίης κάκοδμα γενόμενα, ἔξω χωρέει, ἀλλ' ὥσπερ ἔφθα. καὶ τὸ οὖρον, τῷ ποτῷ παρόμοιον. καὶ τὸ σῶμα ἀνεκαινοῦτο ἀεί. καὶ ἔχρῃζε διὰ παντὸς τοῦ χρόνου ὁ ἄνθρωπος, ἐπὴν ἀποπατήσειε καὶ οὐρήσειεν, αὐτίκα πόσιος καὶ βρώσιος κατὰ τὸν ἀπόπατον, πλῆθος ἔμελλεν ἰσχύειν, ἰκμάδος μὴ ὑπολειπομένης ἐν τῷ σώματι ἀρκεούσης, ἀλλὰ χωρεούσης σὺν τῇ κόπρῳ ἔξω τῇ ὑστεραίῃ, ἢ τῇ αὐτῇ ἡμέρῃ. καὶ εἰ μέν τι ἔφαγεν, εἰ δὲ μὴ κενωθεῖσα ἄκικύς τε ἦν, οὐδ' ἂν δύναιτο παχυνθῆναι ἡ ἰκμὰς τῇ ὑστεραίῃ ἔξω χωρέειν. οὐ γὰρ περιλιμπάνεται ἐν τῷ σώματι ἀρκέουσα. νῦν δὲ ἐξαποπατέοντες εὐροοῦμεν. καὶ δύο ἡμερέων μηδὲν φαγόντες, καὶ εἶναι καὶ πρήσσειν τι ὑπομένομεν. καὶ οὐκ ἐξασθενέομεν τελέως ὑπὸ κενώματος ἐν τούτῳ τῷ χρόνῳ. ἡ γὰρ ἰκμὰς ἡ ἐν τῷ σώματι μένουσα, τὴν ἰσχὺν παρέχει. καὶ ταῦτα μὲν εἴρηταί μοι, ὅκως τε καὶ διότι οὐχ οἷόν τε τὴν ἰκμάδα, τὴν προσγενομένην ἐν τῷ σώματι, ἐξελθεῖν ἔξω αὐθημερὸν, ἀλλ' οὐδὲ τῇ ὑστεραίῃ. φημὶ δὲ ἤν τε ἐμμένῃ πλείονας τῶν τριῶν ἡμερῶν ἡ ἰκμὰς ἐν τῷ σώματι, ἢ ἄλλη προσγένηται πολλὴ πιμπλαμένη, τῶν φλεβῶν θερμαινομένων καὶ ἱσταμένων, ὑποσημαίνει τῷ ἀνθρώπῳ κακὸν ἢ μεῖζον, ἢ ἔλασσον. χειμῶνος μὲν ἔλασσον καὶ ὕστερον. θέρεος δὲ μεῖζον καὶ πρόσθεν. ταῦτα δέ μοι εἴρηται, ὅ,τι συμβαίνει γίνεσθαι, ἢν μένῃ ἡ ἰκμὰς ἐν τῷ σώματι. Εἰ δὲ βρώματα διαχωρέει τὸ σῶμα, οὐκ ἂν ἐπαυρίσκοιτο ἡμῖν τῆς ἰκμάδος ἐπαρκέον, ἀλλ' ἦσαν οἱ ἄνθρωποι, λεπτοὶ καὶ ἀσθενέες. νῦν δὲ ἐμμενόντων τῶν βρωμάτων καὶ τῶν ποτῶν, ὁκόσον χρόνον διαμένει, τὸ σῶμα ἐπαυρίσκεται καθ' ἡσυχίαν, ἕλκον ἀπὸ τῆς κοιλίης καὶ πίμπλαται. ταῦτα δέ μοι εἴρηται. ὅκως τε καὶ διότι τὰ βρώματα, οὐχ οἷά τέ ἐστιν αὐθημερὸν ἐξιέναι. ἢν δὲ ἐμμένῃ τὰ σιτία ἐν τῇ κοιλίῃ πλείονα τοῦ δέοντος χρόνου, καὶ ἕτερα εἰς αὐτὰ πίπτῃ, τὸ σῶμα πληρωθείη ἄν. καὶ πιεζευμένων τῶν φλεβῶν ὑπὸ τῆς πληθώρης, θέρμη ἂν καὶ πόνος τῷ σώματι παραγίνοιτο, θέρεος μὲν θᾶσσον. χειμῶνος δὲ ὕστερον. τοῦ μὲν γὰρ θέρεος τὸν ἄνθρωπον θερμόν ἐστι τὸ περιέχον, καὶ θερμότερον ἕλκει τὸ σῶμα ἐς ἑωυτόν. κἢν ἔτι θερμῆς τῆς κοιλίης ἐούσης, θερμότερον τοῦ καιροῦ τὸ πνεῦμα τῷ ἀνθρώπῳ προσγίνηται, οὐ θαῦμά ἐστι τὸν ἄνθρωπον ἐκ τοῦ τοιούτου πυρετῆναι. χειμῶνος δὲ ψυχρὸν ἕλκοντος τὸ πνεῦμα ἐς ἑωυτὸν, μᾶλλον πολλῷ δύναιτ' ἂν τὴν πληθώρην ἀναφέρειν τὸ σῶμα τοῦ ἀνθρώπου ἀποπατέοντος ὀλίγον. Ταῦτα δέ μοι εἴρηται, ὅ,τι συμβαίνει γίνεσθαι. ἢν μὲν μένῃ τὰ σιτία πλείονα χρόνον ἐν τῇ κοιλίῃ, καὶ παρεψαῦσαί μοι ἀποφῆναι ἅπαντα περὶ τῆς ἰκμάδος καὶ τῆς βρώσιος τοῦ χρόνου τοῦ πλείονος καὶ τοῦ ἐλάσσονος, τὸ διαφέρον, διότι νοσέουσιν οἱ ἄνθρωποι. δηλώσω δὲ περὶ τούτου κάλλιον, τοῦ χρόνου προϊόντος. ἀναβήσομαι δ' αὖθις ὀπίσω, περὶ τῆς ὑγιείης ἐρέων, ὅτι δὴ τὸ σῶμα τοῦ ἀνθρώπου ἀπὸ

ε. τοῦ ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν τῆς ἰκμάδος ἐπανεισκέεται. καὶ χωρέει ἔξω τῷ ὑγιέϊ κατὰ τὸν εἰρημένον λόγον, τάτε βρώματα καὶ ἡ ἰκμάς. καὶ ἢν μὲν ἔξω χωρέῃ τῆς ἰκμάδος πλεῖον ἢ ὅσον προσεγένετο ἀπὸ τῶν σιτίων καὶ ἀπὸ τῶν ποτῶν, λεπτὸς γίνεται ὁ ἄνθρωπος. πλείω δὲ χωρέει ἔξωθεν τῆς προσγινομένης, διὰ τόδε. Ην μὲν δὴ ἡσυχίης ἢ ὁ ἄνθρωπος καὶ μὴ ταλαιπωρέῃ, κακόν τι οἱ ἐν τῷ σώματι ἔνεσιν, ὑπὸ δὲ τῆς ἄλλης ὑγιείης πολλῆς ἐούσης, οὐκ ἐσάσει κάρτα. τὸ δὲ κακὸν τοιόνδε ἐστίν. ἐπὴν τούτων τι τῶν τεσσάρων τῶν γινομένων τῷ σώματι, ἐπέλθῃ πλέον τι μὴ πολλῷ, τὸ σῶμα θερμαίνηται καθ' ἡσυχίην, ὡς μὴ ἐσάσειν κάρτα. καὶ τήκεται ἐν τῇ κοιλίῃ. καὶ τὸν σῖτον ἀκλέα τῷ ἀνθρώπῳ ποιέει. ἢν δὲ πλέον εἴη ἡ ἰκμὰς ἢ ἑτέρη τῆς ἑτέρης, πυρετὸς ἐκ τούτου τῷ ἀνθρώπῳ προσγίνεται. ἀλλὰ περὶ τούτου ἀτρεκέστερον ὀλίγῳ ὕστερον ἀποφανέω. ἔστι δ' ὅτε καὶ τοῦ σίτου ἐόντος ἠδέος, λεπτὸς γίνεται ὁ ἄνθρωπος. αἴτιον δὲ τὸ αὐτό. Τούτων δὲ γινομένων, ἐξέρχεται τῆς ἰκμάδος πλέον, ἢ κατατάσσεται. καὶ διὰ ταῦτα τῷ μὲν ἡσυχάζοντι συμβαίνει λεπτῷ γίνεσθαι. ταλαιπωρεόντων δὲ τῶν ἀνθρώπων, καὶ τὸ σῶμα θερμαίνεται. καὶ γὰρ ἀπὸ τῆς ταλαιπωρίης τούτου θερμαινομένου, καὶ ἡ ἰκμὰς ἐν αὐτῷ διαχέεται. καὶ γίνεται ἡ νοῦσος ἤδε λεπτή. ἀχρεῖος δὲ γινομένη, καταῤῥέει καὶ ἐς τὴν κοιλίην, καὶ ἐς τὴν κύστιν. ταῦτα δὲ διηθέει ἔξω. τὸ δὲ, δι' αὐτῆς διατμέει ἔξω, διὰ τὸ ἔνδον ἀραιώματος. τὸ δ' ἔτι καὶ ἐμμένον, ἱδρὼς γινόμενος, ἔξω χωρέει κατὰ τὸ σῶμα. ὡσαύτως δὲ καὶ τὰ γυμνάσια τῶν νέων, τὸ αὐτὸ τῇ ταλαιπωρίῃ προσεργάζεται. ἢν δὲ καὶ μὴ ἔῃ ἐλάσσων ἡ ἰκμὰς τῆς πρότερον ἐξιούσης, προσγινομένη τε ἔτι ἄλλη ἀπὸ τῶν ποτῶν, καὶ πρόσετι ἀπὸ τῶν βρωτῶν, λεπτὸς γίνεται διὰ ταῦτα ὁ ἄνθρωπος. ἐλάσσων δὲ προσγίνεται, ἢν μὴ ἄλλό τι δύνηται ἐσθίειν. καὶ πρὸς μὲν τὸ πονέειν κατὰ τὴν προτέρην ταλαιπωρίην ἢ γυμνασίην ἄλλοισιν ἄλλα ἔλασσον γίνηται. Επιγίνεται δὲ κατὰ τὴν βρῶσιν εὐεξίη, διὰ τόδε. ἐπὴν ἀναίνηται ἐν τῷ τῆς ἰκμάδος χρόνῳ, ἢ ἐν τῇ προτέρῃ ταλαιπωρίῃ ἐξέλθῃ πρότερον ἑτέρη τῆς ἑτέρης ἔστιν ὅτε πλείων, καὶ κρατέῃ μὴ ἄλλη τῶν ἄλλων κάρτα, πληθώρης ἐστίν. ἢν μὲν δὴ ὑπὸ πολλῶν κάρτα κρατέηται, πῦρ ἐκ τοῦ τοιούτου τρόπου γίνεται. ἢν δὲ ὑπὸ ὀλίγων, ὀλίγα. καὶ τὸ σῶμα δὲ οὕτως ἀναφέρειν δύναται, τῆς ὑγρότητος πλείονος αὐτοῖσιν ἐούσης, τὴν θέρμην ἀπολύεται. θερμαίνεται γὰρ τὸ σῶμα τῷ πυρί. κὴν μὲν ὀλίγον ἔῃ τὸ λυπέον, τῇ τρίτῃ ἡμέρῃ μεθῆκε τρόπῳ τῷ αὐτῷ. τὰς δὲ δύο ἔχει συνεχέως. ἢν δὲ πλείων, πέμπτῃ ἡμέρῃ. τὰς δὲ τέσσαρας ἔχει κατὰ λόγον. οὕτω τῶν ἡμερέων αἱ νοῦσοι κρίνονται. ἢν δὲ μεθῇ τὸ πῦρ ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, καὶ ὑγιὴς γίνεται ὁ ἄνθρωπος, καὶ θνήσκει. διὸ δὲ ὀλίγον ὕστερον ἀποφανέω. νῦν δὲ ἐρέω, διότι μεθίει τὸ πῦρ. φημὶ δὲ εἶναι, ὅ, τι ἂν ἀπὸ τοῦ σώματος πῦρ λάβῃ τὸν ἄνθρωπον. ἀνάγκη δεῖ τῇ τρίτῃ ἡμέρῃ ἐξιέναι τὴν ἰκμάδα τὴν λυπέουσαν ἀπὸ τοῦ σώματος, ἢ ἐν ἄλλῃ τινὶ τῶν περισσῶν ἡμερέων, κατὰ τὸν πρότερον εἰρημένον λόγον. οὐ γὰρ ἐξέρχεται πρὶν ἢ οἱ ἑτέρη προσγένηται ἀπὸ τῆς κοιλίης ἀγαθή. τῇ γὰρ μέσῃ καὶ τῇ ὑστεραίῃ, ἕλκει τὸ σῶμα ἀπὸ τῆς κοιλίης, ὅ, τι ἂν αὐτῷ ἐς ἑωυτὸ ἀφῇ, τῇ προτέρῃ ἡμέρῃ, ἢν μὴ ἡ κοιλίη διηθήσῃ, καὶ ἑτέρην ἔχῃ ἰκμάδα. καὶ τότε πονηρὸν τῷ ἀνθρώπῳ γίνεται. ἢν δὲ μεθῇ τὸ πῦρ τριταῖον, τῷ αὐτῷ τρόπῳ μεθίει, ὥσπερ καὶ ἀμφημερὸν ὡς εἴρηται. καὶ οὕτω μὲν συμβαίνει τὸ πῦρ γινόμενον ἀπὸ τοῦ σώματος, ἐν τῇ τρίτῃ ἡμέρῃ ἀνιέναι. φημὶ δὲ καὶ ἢν πέμπτῃ ἡμέρῃ καὶ ἢν ἑβδόμῃ καὶ ἢν ἐννάτῃ μεθῇ, τρόπῳ τῷ αὐτῷ μεθιέναι, ὥσπερ καὶ τὸ τριταῖον ἐξέρχεται. ἢ γὰρ ἡ τροφὴ τῷ πυρὶ κατὰ τὰ χωρία, ὁκοῖα ὀλίγῳ πρότερον εἴρηκα. ἐπικρατήσαντος γὰρ μᾶλλον τοῦ ὑγροῦ, πλείονος ἐόντος ἀνέθη ὁ ἄνθρωπος. μεθίει δὲ τὸ πῦρ ἐν τῇσι περισσῇσι, διὰ τόδε. ὅτι ἐν τῇσιν ἀρτίοισι τῶν ἡμερέων, ἕλκει τὸ σῶμα ἀπὸ τῆς κοιλίης. ἐν δὲ τῇσι περισσῇσιν, ἀφίει. ἡ δὲ κοιλίη, διηθέει ἔξω τῷ ὑγιέϊ. κατ' ἀνάγκην τοιῇδε αἱ νοῦσοι κρίνονται ἐν τῇσι περισσῇσι τῶν ἡμερέων. καὶ ἐν τούτῳ μὲν τῷ λόγῳ ὁ ἄνθρωπος πυρέξας, ὑγιὴς ἐγένετο. φημὶ δὲ καὶ τὸ πονέεσθαι μάλιστα τοὺς νοσέοντας ἐν τῇσι περισσῇσιν ἡμέρῃσι, διὰ τόδε καὶ κατὰ λόγον γίνεσθαι. τετάρακται μὲν δὴ ὁ ἄνθρωπος, ὁκόταν πυρεταίνει. σημεῖον δὲ τοῦτο, ὅτι φρίκη διαΐσσει διὰ τοῦ σώματος, ἄλλοτε καὶ ἄλλοτε. τοῦτο δὲ οὐκ ἂν ἐγίνετο οὕτως, εἰ μὴ ἐταράσσετο τὸ ὑγρὸν, καὶ ἀπεκρίνετο ἀπ' αὐτοῦ ἢ πλέον, ἢ ἔλασσον. καὶ ἐκράτει ἄλλοτε ἄλλου. μάλιστα δὲ καὶ τετάρακται ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, ὁκόταν νοσέῃ. καὶ ἡ φρίκη δὲ μάλιστα τότε γίνεται. ἔχει γὰρ ὧδε. ἀπὸ τοῦ ὑγροῦ τοῦ πονέοντος, ἐξωθέεταί τι ἐκ τοῦ σώματος, ὑπὸ

τῆς νεωτάτης ἰκμάδος νικώμενον. καὶ χωρέει ἐς τὴν κάτω κοιλίην, καὶ ἡ κοιλίη προσσυνθερμαίνεται τοῦ πονέοντος, δεχομένη ἐν ἑωυτῇ μᾶλλον, ἢ τῷ πρὶν χρόνῳ. τοῦτο δὲ γίνεται μάλιστα ἐν τῇ κρίσει τῆς νούσου. καὶ ἢν κατ' ὀλίγον τὸ σῶμα ἐς τὴν κοιλίην ἀφίῃ, καὶ μὴ πολλὸν ἐῇ τὸ λυπέον τὸν ἄνθρωπον, ἀναφέρει τὴν θέρμην ἡ κοιλίη, καὶ τὸ σῶμα δύναται ἐν τῇ κρίσει, καὶ γίνεται ὑγιὴς ὁ ἄνθρωπος, ἐπὴν ἐξέλθῃ ἡ ἰκμὰς ἡ πονέουσα. καὶ ἢν ἡ τροφὴ τοῦ πυρὸς ἐοῦσα, ἐξαναλωθῇ. ἢν δὲ ἡ ὑγιηρὴ ἐπικρατήσῃ, ἐν τούτῳ τῷ λόγῳ νοσήσας ὁ ἄνθρωπος, ὑγιὴς ἐγένετο, δι' αἰτίας τὰς εἰρημένας. νῦν δὲ ἐρέω διότι θνήσκουσιν, ἐν τῇσι περιοσῇσι τῶν ἡμερέων. φημὶ δέ, ἢν πολλὸν ἐῇ τὸ πονέον ἐν τῷ σώματι, μᾶλλον τοῦ καιροῦ τετάρακται, καὶ ἄλλον ἰσχυρὸν ἐς τὴν κοιλίην καὶ μὴ δυνάμενον ἀναφέρειν τὴν θέρμην, τὸ σῶμα ἐπανείσκεται. καὶ δυσωδίαν δεῖ γενέσθαι περὶ τὸ πνεῦμα. καὶ οὐ δυνάμενον τὸ σῶμα ὑπὸ ἀσθενείης, ἅτε τοῦ ὑγροῦ παντὸς νοσεροῦ γινομένου, τὴν πνοὴν ἕλκειν, ὡς διαψύχηται τὰ ἐν τῇ κοιλίῃ ἐξατμεῖ ἔξω τοῦ ὑγροῦ πᾶν τὸ ζωτικόν, καὶ οὕτω θνήσκει ὁ ἄνθρωπος. οὐ γὰρ ἐπικρατέει ἑτέρη ἡ ὑγιηρὴ ἰκμάς, ἀλλὰ πᾶσα ὑπὸ τῆς νοσερῆς πολλῆς ἐούσης ἐπαιρομένη, ἐξαναλωμένη ὑπὸ τοῦ πυρὸς διεξήτμησεν. οὕτω δὴ περὶ ἐν τῇσι περιοσῇσιν ἡμέρῃσι μάλιστα ὁ πόνος γίνεται. τοῦτο πᾶς οἶδεν ὅς τις ποτέ. καὶ μὴν ὅτι γε τὸ ὑγρὸν τετάρακται ἐν αὐτῇσι τῇσιν ἡμέρῃσι, σημεῖον ἐστὶ τόδε.

Ὁκόσοι ἤδη ὑπὸ πυρὸς ξυνεχέος ἐχόμενοι ἐφαρμακεύθησαν ἐν τῇσιν ἀρτίῃσι τῶν ἡμερέων, οὗτοι οὐ μὴν ὑπεκαθάρθησαν. ὁκόσοι δὲ ἐν τῇσι περιοσῇσιν ἐφαρμακεύθησαν ἰσχυρῇ φαρμακείῃ, ἐκαθάρθησαν. πολλοὶ δὲ καὶ ἀπώλλοντο ὑπερκαθαρθέντες. οἱ γοῦν πρόσθεν ἰητροί, ἐν τούτῳ μάλιστα ἡμάρτανον. ἐφαρμάκευον γάρ, ἐν τῇσι περιοσῇσιν ἡμέρῃσι, καὶ ἀπώλλυον τοὺς ἀνθρώπους, οὐ γινώσκοντες ὅτι τοῦθ' οὕτως ἔχει. τὸ γὰρ ὑγρὸν ἐν τῷ σώματι τοῦ νοσέοντος τετάρακται μᾶλλον, ἐν τῇσι περιοσῇσι τῶν ἡμερέων. οἷα τοῦ σώματος ἐν τὴν κοιλίην μεθιέντος τῆς ἰκμάδος. καὶ ἢν τις ἐπιτεταραγμένῳ ἐόντι, ἔτι μᾶλλον ταράξῃ, φάρμακον ἐμβαλών, οὐ θαῦμα ἐστίν, ἐκ τῶν τοιούτων ἀπόλλυσθαι τὸν ἄνθρωπον. καὶ τὰ ἕλκεα ἢν μὲν μελεδαίνηται, φλεγμαίνει μάλιστα ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν. ἔρχεται γὰρ τὸ ὑγρὸν ἐς ἁπάσας τὰς φλέβας, ὁκόταν ταράσσηται. καὶ πληροῖ, ἐπὴν ἔλθῃ ἐς τὸ ἕλκος ἡ νοῦσος. καὶ ἢν μὲν μελεδαίνηται καὶ ἔχῃ ἔξοδον τὸ πῦον, ἐξωθεόμενον ὑπὸ τοῦ ὑγροῦ τοῦ ἐλθόντος ἐν τῇ ταραχῇ, ἔξω ἀποκαθαίρεται τὸ ἕλκος. ἢν δὲ μελεδαίνηται, οὐκ ἔχον ἔξοδον τὸ πῦον, αὐτοῦ καταμένον σὺν τῷ κατελθόντι, πόνον παρέχει, καὶ ἀείρει τὴν σάρκα τὴν περὶ τὸ ἕλκος. καὶ ἀπ' ἐκείνου κἢν μὲν ἐν τοῖσι σκέλεσιν ἔχῃ τὸ ἕλκος, ἀείρονται αἱ φλέβες αἱ ἐν τῇσι προσφύσεσι τῶν σκελέων ἐοῦσαι. ἢν δὲ ἐν τῇσι χερσίν, αἱ τῶν χειρῶν τῇσι προσφύσεσι ἐοῦσαι, καὶ ἐκ τούτου βουβῶνες γίνονται. ὁκόσοισι δὲ τῶν ἀνθρώπων πῦρ ἐμπίπτῃ, ἄλλο μηδὲν τοῦ ἀνθρώπου κακὸν ἔχοντος, ἀπὸ τῆς προτέρης ἐούσης τοῦ καιροῦ ἐμπίπτει. καὶ πληρεύμεναι αἱ φλέβες πόνον καὶ θέρμην τῷ ἕλκει παρέχουσι. τὸ δὲ θερμανθέν, καὶ τὸ ἄλλο σῶμα θερμαίνει. καὶ ἡ θερμασίη, οὕτως ἐς τὰ ἕλκεα γίνεται. θερμαίνεται γὰρ τὸ σῶμα, καὶ τὰ ἕλκεα ὑπὸ τῆς κινήσεως τοῦ ὑγροῦ. καὶ ἡ ταλαιπωρίη τοιοῦτον ἐργάζεται. ἀποφλεγμαίνει δὲ τὰ ἕλκεα πεμπταῖα. καὶ κατὰ λόγον τουτέων τῶν ἡμερέων, ὡς ἂν καὶ τὰ ἕλκεα μέγεθος ἔχῃ, καὶ τριταῖα. καὶ πεμπταῖα. καὶ ἑβδομαῖα. καὶ ἐνναταῖα. καὶ ἐνδεκαταῖα. εἶτα ἀπηρτισμένης πρώτης περιόδου, πάλιν δευτέρας ἀρχῆς ἐστί, ἥ τις ἐστὶν ἀπὸ τῆς πρώτης τεσσαρεσκαιδεκάτη. τὰ δὲ μέγιστα αὐτῶν τεσσαρεσκαιδεκαταῖα ἀποφλεγμαίνει. οὗτος ὁ λόγος ἐρεῖ, τὰ νοσήματα κρίνεσθαι ἐν τῇσι περιοσῇσι τῶν ἡμερέων. καὶ τὴν ἰκμάδα τῷ ὑγιεῖ, τριταίην ἐξιέναι. τὴν δὲ κόπρον, δευτεραίην. καὶ ταῦτα τριταῖα ἐόντα, ἰσορρέει ἀλλήλοισιν, ὅτι οὕτως ἔχει. οὕτω δέ μοι ὁ λόγος οὗτος πᾶς ἐκκεκορύφωται. νῦν δὲ ἐθέλω ἀτρεκέστερον εἰπεῖν, διότι νοσέουσιν οἱ ἄνθρωποι. ἐρέω δὲ σὺν τούτῳ τῷ λόγῳ, καὶ τίνες ἀρχαὶ τῶν νούσων εἰσί. καὶ ὁκοῖα ἑκάστη αὐτέων ἐργάζεται. φημὶ δέ. ἢν μὲν ἐμμένῃ τὰ σιτία πλείονα τοῦ καιροῦ ἤδη πεπεμμένα ἐόντα, καὶ ὁ ἄνθρωπος μὴ ἀποκαθαίρηται, καὶ ἕτερα σιτία ἐπιπίπτῃ, τὸ σῶμα πληρεύμενον ὑπὸ τῆς ἰκμάδος τῆς προτέρης καὶ τῆς νέης, θερμαίνεται. καὶ πῦρ ἐκ τούτου γίνεται τῷ ἀνθρώπῳ. τὸ δὲ πῦρ οὕτως γενόμενον, οὐκ ἄπειρον, οὐδὲ ἰσχυρόν ἐστιν. ἐν ᾧ ἰκμὰς ἰσάζει, κατὰ πλῆθος ἡμέας λυπέουσα ὀλίγῳ πλέον. ἢν γὰρ τοῦθ' οὕτως ἔχῃ, καί τις κάρτα ἰσχύῃ καὶ τὰ ἐπιτήδεια προσενέγκῃ, ὑγιὴς γίνεται. ἐν δὲ νούσημα

μόνον

μόνον ἀπὸ πάσης τῆς ἰκμάδος, καὶ σημεῖα ἴσχει ἑπτά. βήξ τε γὰρ ἴσχει μιν βληχρὴ καὶ ξηρὴ ἐοῦσα. γαστήρ τε σκληρὴ γίνεται, ἅτε τοῦ ἀπὸ πάχου ἐόντος ἐντός. καὶ τὴν κεφαλὴν βαρέεται. καὶ ὀξέα. καὶ πυρεταίνει. καὶ οὖρον οὐ χρηστῶς διέρχεται. ταῦτα δέ ἐστι τῆς νούσου ταύτης ἀπὸ πάσης τῆς ἰκμάδος γινομένης, σημεῖα ἑπτά. ἢν δὲ τοῦ ἀπὸ πάχου μὴ διαχωρέοντος κρατέῃ μία τῶν ἄλλων ἰκμὰς, κάλλιον ἐμπολήσει ὁ ἄνθρωπος. καὶ ἤν τις τῷ πυρετῷ γινομένῳ ἀπὸ πάσης τῆς ἰκμάδος τὰ ἐπιτήδεια μὴ προσενέγκῃ, περιοίσεται ἡ νοῦσος. ὅσῳ δ' ἂν αὐτέη κρατέῃ τῶν ἰκμάδων, τρόπῳ τοιῷδε. θερμαινομένου τοῦ αἵματος, ἐξατμιεῖ μάλιστα διὰ τούτου τοῦ ὑδρωποειδέος, ὅ,τι ἐστὶ τῷ πυρὶ πολεμιώτατον. καταλείπεται δὲ τὸ λιπαρὸν καὶ κοῦφον, ὅ,τι ἐστὶ χολῶδες, καὶ τῷ πυρὶ τροφὴ μάλιστά ἐστιν. Ἐξατμιᾷ δὲ τρόπῳ τοιῷδε. ὥσπερ εἴ τις ὕδωρ καὶ ἄλειφα ἐν χαλκεῖον ἐγχέας, ξύλα πουλὰ ὑποκαίῃ πουλὺν χρόνον. τὸ μὲν δὴ ὕδωρ, πολλῷ ἔλασσον ἔσται, ἐξατμισθήσεται γὰρ ἐκ τοῦ χαλκείου. τὸ δὲ ἄλειφα, ὀλίγῳ ἔλασσον. ὅτι τὸ μὲν ὕδωρ, ὑπὸ τῆς ἀραιότητος καταλεπτύνεσθαι δύναται ὑπὸ τοῦ πυρὸς, καὶ κοῦφον γενόμενον ἐξατμιᾷ. τὸ δὲ ἄλειφα, ἅτε συναφὲς ἐὸν καὶ πυκνὸν, οὐ δύναται καταλεπτύνεσθαι, οὐδὲ ἀτμιᾶν ὁμοίως τῷ ὕδατι. οὕτω δὴ καὶ ἐν τῷ ἀνθρώπῳ ἔχει. ὁ μὲν γὰρ ὕδρωψ θερμαινομένου τοῦ σώματος ἐξατμιᾷ ἔξω. τὸ δὲ χολῶδες, ἅτε συναφὲς ἐὸν καὶ πυκνὸν, οὐ δύναται ἀτμιᾶν καταλεπτυνόμενον ὁμοίως. τὸ δὲ χολῶδες καταλεπτυνόμενον, μᾶλλον ποιεῖ θερμαίνεσθαι τὸ σῶμα. πλείων γὰρ καὶ καλλίων τροφὴ τῷ πυρὶ γίνεται ἡ χολὴ, καὶ ξηραινόμενον ἐν τῷ σώματι ἢ στηριξάμενον, τὴν νοῦσον ἐπικρατύνει πρὸς τὰ πρόσθεν. καὶ ταῦτα μὲν εἴρηται, ὅ,τι πάσχει ὁ ἄνθρωπος, ἢν μὴ καθαίρηται καὶ μελεδαίνηται. ἢν δὲ μὴ αὐτῶν πλήθει κρατήσῃ, εἴτε ἐς ἅπαξ πολλὴ γινομένη, εἴτε καὶ κατὰ μικρὸν συλλέγηται, καὶ τὸ ἄλλο σῶμα ὀδυνᾶται. τοῦτο γινόμενον ὑπὸ ἰσχύος ἀναφορέει, μέχρις οὗ ἀρχή τις τούτου γένηται. καὶ ἢν τὸ πλεῖον γινόμενον ὑγρὸν, μὴ ἀποκαθαίρηται ὁ ἄνθρωπος, νοῦσος ἔνθεν γίνεται τρόπῳ τοιῷδε.

Ἀρχαὶ εἰσὶ τρεῖς, ἀφ' ὧν αἱ νοῦσοι γίνονται. καὶ μία μὲν ἤδη εἴρηταί μοι, ὁκοῖα καὶ ὅσα ἐργάζεται ἐν τῷ σώματι. ἀπέδειξα γὰρ, ὅκως τε καὶ διότι ἢν μὴ ἀποκαθαίρηται ὁ ἄνθρωπος νοσέει. δευτέρα δέ ἐστιν, ἢν συμβῇ τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια, καὶ παρὰ δίαιταν εἶναι. τρίτη δέ ἐστιν ἤν τι βίαιον προσπέσῃ. βίαιον δὲ λέγω εἶναι, καὶ πτῶμα. καὶ τραῦμα. καὶ πληγὴν. καὶ ταλαιπωρίην. καὶ ἔτι ἄλλο ἐστὶ τοιοῦτον. τούτων δὲ τῶν ἀρχέων μεγίστη ἐστὶ βίη, ἢν μεγάλη ἔῃ. ἢν δὲ μικρὰ, οὐ μεγίστη. δευτέρη δὲ, ἢν μὴ ἀποκαθαίρηται ὁ ἄνθρωπος. τρίτη δὲ ἢν τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια ἔῃ πρὸς ὑγείην. τούτων τοιγαροῦν δεῖ φυλακὴν ἔχειν. ἕκαστα δ' αὐτῶν τοιοῦτον ἐργάζεται ἐν τῷ σώματι, ὁκοῖον ἐγὼ ἐρέω. ἢν μὲν τρῶμα γένηται, δῆλον ὅτι σὰρξ διεκόπη, καὶ ἕλκος ἐγένετο. τοῦτο δὲ νούσημα ὀνομάζω εἶναι. ἢν δὲ φλάσμα γένηται πληγέντος, ἢ πεσόντος, ἢ τι ἄλλο τοιοῦτο παθόντος καὶ οἴδημα γένηται, τὸ αἷμα αὐτίκα θερμανθὲν ὑπὸ τῆς βίης, καὶ ὑποδραμὸν ἐν τὰς φλέβας χαύνους, οὐκ ἔχον ἔξοδον ὑπὸ πλήθεος ἀπελθεῖν, συνεστράφη. καὶ τὸ οἴδημα διὰ τοῦτο ἐγένετο, καὶ μέχρι τούτου πάρεστι, μέχρις ἀποκαθαρθῇ, καθότι ἀπὸ τῶν χωρίων εἴρηται, ἢ κατ' αὐτὸ τὸ οἴδημα. καὶ εἴτε σὺν χειρουργίῃ, εἴτε καὶ μὴ δίοδος γένηται τῷ αἵματι, ἢ πυωθέντι ὑπὸ χρόνου, ἢ καὶ μή. καὶ ἡ ταλαιπωρίη δὲ, τοιοῦτον ἐργάζεται. ὁκόταν γὰρ οἱ ἄνθρωποι ταλαιπωρέωσιν, οἷσιν ἂν μάλιστα τοῦ αἵματος ταλαιπωρίη ᾖ, κεῖθι στηρίζεται. καὶ θερμαίνεται. καὶ πόνος ἐκ τοῦ τοιούτου γίνεται. ἢν δὴ κρατηθῇ μὲν τούτων, κάρτα δὲ πλῆθος γένηται ταλαιπωρίης, καὶ ἡ κοιλίη καὶ κύστις μηδαμῶς διηθέῃ ἐν τάχει τὸ πλῆθος, πῦρ ἐπιπέσοι ἂν ἐκ τούτου. κἢν μὲν ἡ πρόσθεν ἰσάσῃ ἰκμὰς, οὐδαμῶς. ἢν δ' ἐν τῇ ταλαιπωρίῃ αὐτέων πλείστη ἐν τῷ σώματι καταμένῃ, κρατέει κείνη. ταῦτα δέ μοι εἴρηται περὶ βίης, ὁκοῖα ἐν τῷ σώματι κατεργάζεται. καὶ αὗται μὲν δύο ἀρχαὶ ἐοῦσαι, ἥ τε βίη, καὶ ἡ πληθώρη, ἢν μὴ ἀποκαθαίρωνται οἱ ἄνθρωποι, θερμαίνουσι τὰ σώματα. ἡ δὲ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδειος γινομένη ἐν τῷ ἀνθρώπῳ, ἐκράτησέ τι τοῦ ὑγροῦ, καὶ θερμαίνει ὡς ἐν νόσῳ, καὶ ψύχει πρότερον, ἢν τύχῃ γινόμενον. ἐρέω δὲ πρότερον περὶ τοῦ ὡς θερμαίνει. φημὶ ἐν. ἢν ἐν τῷ αὐτῷ ἀνθρώπῳ ἐνέῃ τι νοσηρὸν ὁκοῖον ἐν τῷ προτέρῳ εἴρηκα, καὶ τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια γένηται καὶ θερμαίνηται ὁ ἄνθρωπος, ταράσσεσθαι τὸ ὑγρὸν πᾶν θερμαινόμενον ἐν τῷ σώματι, τοῦτο δὲ ποιεῖ βίη. καὶ ἢν μὲν ἀποκαθαίρηται ὁ ἄνθρωπος, τοῦ δὲ ταρασσομένου, ἀποκρίνεται ὁκόσον ἂν πλεῖον ᾖ τοῦ καιροῦ. ἔοικε δὲ τοῦτο, ὥσπερ οἱ Σκύθαι ποιέουσιν, ἐκ τοῦ

ἱππείου γάλακτος. ἐγχέοντες γὰρ τὸ γάλα ἐς ξύλα κοῖλα, σείουσι. τὸ δὲ ταρασσόμενον, ἀφρέει καὶ διακρίνεται. καὶ τὸ μὲν πῖον, ὃ βούτυρον καλέουσιν, ἐπιπολῆς διΐσταται, ἐλαφρὸν ἐόν. τὸ δὲ βαρὺ καὶ παχὺ, κάτω ἵσταται, ὃ καὶ ἀποκρίναντες ξηραίνουσιν. ἐπὴν δὲ παγῇ καὶ ξηρανθῇ, ἱππάκην μιν καλέουσιν. ὁ δὲ ὀῤῥὸς τοῦ γάλακτος, ἐν μέσῳ ἐστίν. οὕτως δὲ καὶ ἐν τῷ ἀνθρώπῳ, ταρασσομένου τοῦ ὑγροῦ, παντὸς τοῦ ἐν τῷ σώματι, ὑπὸ τῶν ἀρχῶν διΐσταται ὧν εἴρηκα οἱ πάντα. καὶ ἐπιπολῆς μὲν τὸ τῆς χολῆς διΐσταται, κουφότατον γάρ ἐστι. δεύτερον δὲ τοῦ αἵματος. τρίτον δὲ τοῦ φλέγματος. βαρύτατον δέ ἐστι τῶν ὑγρῶν τούτων, ὁ ὕδρωψ. τούτων δὲ ὄντων, ὅ,τι ἂν ἐν νούσῳ πλεῖστον ᾖ, ἐν ἀρχῇσι γινομένης τῆς ταραχῆς, ἔρχεται εἰς χωρίον, ἵνα ἂν πλεῖστον εἴη. ἐν δὲ τῇ ταραχῇ εὐρυχωρίης γινομένης εἰλέεται ἀποκεκριμένον, καὶ θερμαίνει τὸ σῶμα, ἢ στήριξιν ἔχον πῃ τοῦ σώματος σὺν τῷ ἄλλῳ ὑγρῷ τῷ συνεόντι ἐν τῷ ἄλλῳ χωρίῳ, πόνον καὶ θέρμην παρέχει. τὸ δὲ θερμαινόμενον, προσξυνθερμαίνει καὶ τὸ ἄλλο σῶμα, κἀκ τούτου ὁ πυρετὸς γίνεται. καὶ γίνεται μᾶλλον ἀπὸ τῆς χολῆς, καὶ τοῦ φλέγματος, καὶ ἀπὸ τοῦ αἵματος. θερμότατα γὰρ ταῦτά ἐστι. καὶ ἤν τι τούτων ἀποστηρίξῃ πῃ τοῦ σώματος ὡς ἐπὶ τὸ πλεῖστον, ὠνόμασται κεῖθεν τὸ νούσημα, καὶ ἐπωνυμίην ἔχει. ἀπὸ δὲ τοῦ ὕδρωπος οὐ γίνεται πυρετὸς ἰσχυρὸς κάρτα, οὐδὲ πολυχρόνιος. τῷ γὰρ πυρὶ, οὐκ ἀγαθὴ τροφὴ ὁ ὕδρωψ ἐστίν. καὶ ταῦτα μὲν ἐς τοῦτο εἴρηται.

Πρὶν δὲ ταραχθῆναι, οὐκ ἔχει ἐκχωρέειν τὸ πλεῖον τοῦ ὑγροῦ, ἀλλ᾽ ἄνω καὶ κάτω εἰλέεται μεμιγμένον τῷ ἄλλῳ ὑγρῷ. πάντα γὰρ πλήρεα ἐστίν. ἐν δὲ τῇ ταραχῇ κενοῦται. κενοῦται δέ τι ἕτερον ἑτέρου μᾶλλον. καὶ τὸ πλεῖον ἐὸν χωρίον κατίσχει. καὶ τὸ μὲν ἀλλότριον, οὐκ ἐπιμίσγεται τῷ ἄλλῳ, ἢν περιστηρίξῃ, πρὶν ἰσωθῇ ἐς δύναμιν. ἔστι δέ μιν ἰσοῦσθαι καὶ ὃ ἐπ᾽ αὐτοῦ ἐπανέλθοι ἐς τὴν νοῦσον, ἕως οὗ ἀποκαθαρθῇ τὸ χωρίον, ὁποίη ἡ κάθαρσίς ἐστιν. ἢν δὴ πολλὸν ἔῃ τὸ πονέον, ἐπαυρίσκεται καὶ ἐξαναλίσκεται ἐς τὴν νοῦσον καὶ τὸ ἄλλο πρὶν ὑγιηρὸν ἐόν. καὶ θνήσκει ὁ ἄνθρωπος τρόπῳ τοιῷδε. προσεπαυρίσκεται γὰρ, ἢν μηκέτι τροφὴν ἀρκέουσαν ἔχῃ τὸ νούσημα, ἀλλ᾽ ἐξαναλίσκεται ὑπὸ τοῦ ὑγροῦ, τοῦ ἐν τῷ ἐπιπόνῳ χωρίῳ ἐόντος. πρῶτον τὸ πλησίον προσλαμβάνει. εἶτα ἤδη τῷ προσωτέρῳ νέμεται, μέχρις ἂν ἐξαναλωθῇ, καὶ μηκέτι ἐνῇ τῷ σώματι τροφή. τροφὴ δέ ἐστιν ἀνθρώπῳ, τὸ κοῦφον ὑγρόν. ὥσπερ οὖν χρὴ τὸ πρῶτον κατὰ μικρὸν σηπεδὼν ἐγγίνεται, ἢν μάλιστα θερμαίνηται. ἔπειτα ἐπὴν κεῖθι τῇ σηπεδόνι τροφὴ μηκέτι ἀρκέῃ, νέμεται ἀπὸ τοῦ ὑγιέος τοῦ πλησίον ἀρξαμένη πρὸς τὸ σῶμα, μέχρις ἂν ὅλον τὸ σαρκῶδες σήψῃ. ἐπεὶ δὲ ὡς ἐπίπαν νέμηται, ἀναλοῦται ἡ τροφὴ τῇ σηπεδόνι. οὕτω δὴ καὶ τῇ νούσῳ, ἀπὸ τοῦ χωρίου κείνου ἀρξαμένη, ἐπὴν κεῖθι ἡ τροφὴ μηκέτι ἀρκέουσα ἐνῇ, νέμεται ἐς τὸ πρόσω ἀπὸ τοῦ πλησίον ἀρξαμένη. ἐπὴν γὰρ ἐπίπαν ἔλθοι, ἀνάλωται ἡ τροφὴ τῇ νούσῳ, καὶ ἕτερον ὑγιηρὸν οὐκ ἐπικρατέει. κἢν τοῦτο γένηται, θνήσκει ὁ ἄνθρωπος. ἔτι δὲ ἐν τῇ ταραχῇ ἐπὴν τοῦτο πλέονος χωρίου λάβηται καὶ μὴ στηρίξῃ, ἀλλὰ εἰλέηται, οὐκ ἔτι τῷ ἄλλῳ μίσγεται, ἀλλ᾽ ἐξαναλίσκεται ἐς τὴν νοῦσον, ἢν μὴ ἀποκαθαίρηται. εἶτα αἱ φλέβες ὑπερπίμπλανται. πλήθουσαι δὲ κάρτα οὐ χαλῶσιν ἐξ αὐτέων, πρὶν εὐρυχωρίη σφιν γένηται. ὥσπερ ἐπήν τις πληγῇ καρτερῶς, ὑποτρέχει ὑπὸ τὴν πληγὴν αἷμα, ἅτε τῶν φλεβέων κενωθεισέων ὑπὸ τῆς πληγῆς. ἐπὴν δὲ αἱ σάρκες πλησθῶσιν ὅκως περ σπόγγος, οὐκ ἔτι χαλῶσιν, ἀλλὰ ἔχουσιν ἐν ἑωυτῇσι μέχρις οὗ κενωθῇ κατὰ χωρίον τι αὐτέων. ἀπολαμβάνει γὰρ ἐπὴν ξυλλεχθῇ τὸ αἷμα τὴν ὁδὸν ὑπὸ πλήθεος. ὥσπερ εἴ τις λήκυθον σκυτίνην στενόστομον ἐμπλήσας ἀλείφατος, καταστρέψειεν ἐπὶ τὸ στόμα κατ᾽ ἰθὺ, κἂν τοῦτο ποιήσειεν, οὐ δυνήσεται ἐξ αὐτῆς χωρέειν τὸ ἔλαιον. ἐπνίξε γὰρ τὴν ὁδὸν τὸ ἄλειφα, ἅτε πολλὸν καὶ ἀλὲς ἐπικείμενον. ἢν δὲ ἤδη κλίνῃ τις τὴν λήκυθον, κενεὴ ἔσται ἡ ἀπὸ τοῦ στόματος πνὶξ, ἢ ῥεύσεται ἐξ αὐτῆς τὸ ἄλειφα. τὸ δ᾽ αὐτὸ ποιήσει καὶ ἐπὶ τραπέζης ὕδωρ. οὕτω δὴ καὶ ἐπὴν τὸ πλεῖστον ὑγρὸν ἐν τῷ σώματι ὑπὸ τῆς ταραχῆς χωρίου λάβηται καὶ πλήσει τὰς φλέβας, οὐκ ἔτι ἀπέρχεται ἐξ αὐτέων, πρὶν ἢ ὅκου ἐστὶ τὸ χωρίον κενεὸν, τῆς τροφῆς ἐξαναλισκομένης τῇ νούσῳ. καὶ ταῦτα μὲν εἴρηταί μοι, ἐπήν τι ἐν τῷ σώματι ᾖ, ἀφ᾽ ὧν αἱ νοῦσοι γίνονται, πληθυόντων καὶ τῶν ἄλλων. καὶ ὅκως ἐργάζονται αἱ ἀρχαὶ τὴν θέρμην καὶ τὴν ταραχὴν τῷ ὑγρῷ ὑπάγουσαι ἐς νοῦσον. νῦν δὲ ἐρέω, τὰ ἐκ τοῦ οὐρανοῦ.

Ην ἀνεπιτήδεια γένηται φῦτα ἐν τῷ σώματι, τίνα ἐργάζεται, καὶ ὁκόταν κρατέῃ ἐν τῷ σώματι τοῦ ὑγροῦ. φημὶ δὲ τὸ μέντοι ξυστρέφεσθαι καὶ παχύνεσθαι τῆς ἐν τῷ ἀνθρώπῳ ἰκμάδος ἐπὴν τύχῃ ἕως νοῦσον ἀποτέκῃ, τό, τε διουρέεσθαι καὶ διακρί

γενέσθαι. ἔοικε δὲ καὶ τοῦτο τὸ πάθος, γάλακτι. ἐπὴν τις ὀπὸν ἐμβάλῃ, ἐς τὸ γάλα, ψύξις γενομένη ἐπὶ αὐτῷ τῷ γάλακτι, συνεπάχυνε τὸ γάλα καὶ ὁμοῦ ἐποίησε. περὶ δὲ τὸ παχυνθὲν, ὁ ὀῤῥός ἐστιν. οὕτω δὴ καὶ ἐπὶ ἀνθρώπῳ τὸ ὑγρὸν τῆς ὧδε νούσου ψύξιος γινομένης, ξυνεστράφη καὶ ξυνεπαχύνθη. περὶ δὲ αὐτὸν τὸν ὕδρωπά ἐστι καὶ τὸ ἄλλο ὑγρὸν, ὁκόσῳ ἂν πλεῖον ἔῃ ἐν τῷ ἄλλῳ σώματι ξυμμέμικται. ἀλλ' ἢν μὲν ἐς τὴν κοιλίην ἔλθῃ, διετάραξε τὴν κόπρον, καὶ στρόφον ἐν τῇ κοιλίῃ ἐποίησε, καὶ διεξῆλθεν ἔξω, οὐδὲν μέγα σίνος παρασχών. ἢν δὲ μὴ ἐς τὴν κοιλίην ἔλθῃ, στηρίζει τοῦ σώματός πῃ, ἵνα οἱ εὐρυχωρίη πλείστη. εἰλέεται οὖν ἐξ οὐρὸν ἑωυτῷ εὐρυχωρίην. καὶ τοῦ μὲν ὕδρωπος τὸ ἀκριβὲς ἀπὸ τῆς συστροφῆς ἔρχεται, ἅτε ψυχρότατον καὶ βαρύτατον ἐὸν ἐν τῷ σώματι, ἐς τὸ κάτω, καὶ περὶ τὰ ὀστέα καὶ περὶ τὰ νεῦρα εἰλεύμενα ἔτι μᾶλλον τὸ σῶμα ἐς φλεγμονὴν ἄγει, καὶ δηλονότι περὶ τὰ νεῦρα καὶ μάλιστα περὶ τὰ ὀστέα ὁ ὕδρωψ ὁ τὸν χυμὸν ποιέων ἐστί. τὰ γὰρ ὀστώδεα τοῦ σώματος, μάλιστα ῥιγᾷ ὁ ἄνθρωπος. καὶ αἱ τρίχες ὀρθαὶ ἵστανται, ξυστραφείσης τῆς ὧδε δερμίδος, καὶ ξηροτέρης γινομένης, ἢ ἐν τῷ πρὶν χρόνῳ, ἅτε τοῦ ὕδρωπος ἐκλείποντος αὐτόθεν, καὶ περὶ τὰ ὀστέα εἰληθέντος. ἐν τοῦθεν δὴ μοῦνον τὸ χωρίον ὅκου ἐστὶ τὸν πρῶτον χρόνον, οὐ δύναται χυμὸν ποιέειν, ὅθεν καὶ τὸ ῥῖγος γίνεται.

Τὸ δὲ ἄλλο ὑγρὸν τὸ ἰσώτατον παχυνθὲν, τὸ ἐν τῷ σώματι παντί ἐστι. τὸ δὲ ὅσῳ πλεῖον, ἢν μὲν δὴ τύχῃ ἡ κοιλίη πλέη ἐοῦσα καὶ ὀλίγον ᾖ τὸ λυπέον, ἔρχεται ἔστιν ὅτε ἐς τὴν κοιλίην, καὶ σίνος οὐδὲν μέγα ἐποίησε. καὶ ποτὲ μὲν πῦρ οὐκ ἐπήγαγε. ποτὲ δὲ βληχρὸν καὶ ἀσινές. καὶ ἐξῆλθε τὸ πονέον, ξὺν τῇ κόπρῳ. ἢν δὲ ἡ κοιλίη πλήρης ἐοῦσα πολλὸν ἔχῃ τὸ λυπέον, κίνδυνός ἐστιν ἐξ αὐτέου νοῦσον τινὰ γενέσθαι, ἢν πῃ στηρίξῃ τὸ σινεόμενον, ἢ πρὸς πλευρὸν, ἢ πρὸς σπλάγχνον, ἢ πῃ ἄλλῃ ξυνθερμαίνῃ, ἵνα ξυνταράξῃ πρῶτον ἐκεῖνο. ὁκόσοισι δὲ οὐχὶ κάρτα πρὸς τῆς θέρμης ὑπὸ τοῦ ὕδρωπος νενικημένον, ἅτε περὶ τοῖσιν ὀστέοισιν ἐόντος, καὶ πλησίον τοῦ μυελοῦ. χρόνῳ δὲ μᾶλλον ὅσα ἔῃ, πρῶτον μὲν αὐτὸ τὸ χωρίον. ἔπειτα τὸ πλησίον αὐτοῦ. καὶ δὴ νέμεται ἐς τὸ προσωτέρω, καὶ ἡ κοιλίη οἱ προσλαμβάνει, θερμὴ ἐοῦσα. ἔπειτα ὧδε μᾶλλον θερμαίνει ἥ, τε κοιλίη καὶ τὸ σινόμενον. τὸ δὲ ὑγρὸν παχὺ θερμαινόμενον, διαχέεται πρῶτον, τὸ πλησίον τοῦ πονέοντος ἐόν. διαχεόμενον δὲ, μίσγεται τῷ πονέοντι ὕδρωπι, εἶτα κενεωτέρων ἐγένετο τοῦ σώματος ἐν τῇ ξυστροφῇ. καὶ μέχρι τούτου ῥῖγος ἔχει, μέχρις οὗ ὁ ὕδρωψ τῷ ἄλλῳ ὑγρῷ. καὶ τὸ πῦρ ὧδε γενηθὲν γίνεται, τὰ γὰρ πονέοντα πρὸς τὸ χωρίον στηρίξαντα θερμαινόμενον τὸ σῶμα, ἀναγκάζει ἐς ἑωυτὸ πῦρ γίνεσθαι. καὶ ὑπὸ τοῦ σινεομένου καὶ ὑπὸ τῆς κοιλίης θερμανθὲν, ἐπικρατέει τοῦ ἄλλου ὕδρωπος. καὶ οὕτω τὸ μὲν πῦρ μετὰ τὸν κρυμὸν, ἢν πῃ τοῦ σώματος στηρίξῃ τὸ ὑγρὸν τὸ πλεῖον. ἢν δὲ εἰλέηται τρόπῳ τοιῷδε γίνεται. μετὰ τὸν κρυμὸν τὸ πῦρ εἰλέηται μάλιστα πονεόμενον, περὶ τὴν κοιλίην καὶ τὴν ἄνω καὶ τὴν κάτω, ἔνθεν γὰρ ἡ εὐρυχωρίη πλείστη ἐστίν. εἰλεομένου δὲ αὐτοῦ, πρῶτον τὰ πλησίον θερμαίνεται, τά τε σπλάγχνα, καὶ τὰ ἐν τῇ κοιλίῃ ἐς τὴν θέρμην. ἔπειτα ἐπαυρίσκεται τῆς θέρμης. καὶ τὸ ἄλλο ὑγρὸν διαχεόμενον, μίσγεται τῷ ὕδρωπι. καὶ τὸ πῦρ μετὰ τὸ ῥῖγος, ἐνθάδε γίνεται. ἐπὴν μὴ εἰλέηται τὸ πονέον, ἀλλὰ στηρίξῃ πρὸς τοῦ σώματός πῃ. ταῦτα δέ μοι εἴρηται, ὅκως τε τὸ ῥῖγος γίνεται τὸ νοσῶδες. καὶ ὁκότε. καὶ ὅκως. καὶ ὁκοίης ἐξ ἀνάγκης, ὁ πυρετὸς μετὰ τοῦτο ἐπιφαίνεται. καὶ αἵτινες αἱ ἀρχαὶ τῶν νούσων εἰσί. καὶ ὁκοίην ἑκάστη αὐτέων νοῦσον ἐν τῷ σώματι ἐπάγει. καὶ ὅκως τε καὶ διότι ἐν τῇσι περισσῇσιν ἡμέρῃσιν αἱ νοῦσοι κρίνονται. καὶ ὑπὸ τοῦ ὑγιαίνουσιν οἱ ἄνθρωποι. καὶ ὑπὸ τοῦ νοσέουσι. καὶ ἥ, τε χολὴ καὶ τὸ φλέγμα, πλέον καὶ ἔλασσον γίνεται, καὶ τἄλλα ἐν αὐτῷ φύσει ἐόντα ἐν τῇ ἀνθρωπίνῃ, ἀπέδειξα πουλλὰ, ὁκόσα καὶ ἀπεδέχετο οὗτος ὁ λόγος. καὶ ταῦτα μὲν εἰρημένα οὕτως, τέλος ἔχει.

Νῦν δὲ φράσω περὶ ἑλμίνθων τῶν πλατειῶν. γίνεσθαι γάρ φημι ἐν τῷ παιδίῳ, ἐν τῇσι μήτρῃσιν ἐόντι. οὐ γάρ ἐστιν ἐπὴν ἅπαξ ἐκ τῶν μητρέων ἐξέλθῃ χρόνος τῇ κόπρῳ ἐν τῇ κοιλίῃ τοσοῦτος, ὥστε σαπείσης καὶ χρονισάσης, ζῶον παγῆναι ἐν αὐτῇ, ὅ, τι τοσοῦτον μεγέθει γίνεται. ἀποπατέει γὰρ ἀεὶ τὴν ἕωλον κόπρον ἀνὰ πάσας ἡμέρας, ἢν μέλλῃ ὑγιαίνειν ὁ ἄνθρωπος. γίνοιτο δ' ἂν τοιοῦτο ζῶον, οὐ δ' ἢν πολλῶν ἡμερέων μὴ ἀποπατήσει ἄνθρωπος. πολλὰ γὰρ γίνεται, ἐν τῇσι μήτρῃσιν ἐόντι τῷ παιδίῳ, τρόπῳ τοιῷδε. ἐπὴν γένηται πύος καυσῶδες ἀπὸ τοῦ γάλακτος καὶ τοῦ αἵματος συσσηπομένου καὶ πλεονάζοντος, ἅτε γλυκέος ἐόντος, ζῶον ἀπογεννᾶται αὐτόθι. γίνονται δὲ καὶ στρογγύλαι ἕλμινθες αὐτοῦ, τρόπῳ τῷ αὐτῷ. σημήιον δὲ ὅτι τοῦθ' οὕτως ἔχει, ἐπὴν τὰ παιδία γένηται, ψωμίζουσιν

ζουσιν αὐτὰ αἱ γυναῖκες, τὰ αὐτὰ φάρμακα, ὥς τε ἂν κόπρος ἐξέλθῃ ἐκ τοῦ ἐντέρου, καὶ μὴ ξυγκαυθῇ καὶ ἅμα τὸ ἔντερον ξηρανθῇ, ἐπὴν ψωμίσωσι. πουλλὰ δὴ τῶν παιδίων, καὶ στρογγύλας καὶ πλατείας ἕλμινθας ἀπεπάτησαν ἅμα τῇ κόπρῳ τῇ πρώτῃ. ἢν δὲ μὴ ἀποπατήσῃ, γίνονται καὶ ἐν τῇσι γαστῆρσι. καὶ αἱ μὲν στρογγύλαι, τίκτουσιν. αἱ δὲ πλατεῖαι, οὐκ ἔτι. καίτοι φασὶ τίκτειν αὐτάς. ἀποπατέει γὰρ ὁ ἄνθρωπος ἔχων τὴν ἕλμινθα τὴν πλατεῖαν, ὁκοῖον σικύου σπέρμα, ἄλλοτε καὶ ἄλλοτε σὺν τῇ κόπρῳ. καὶ οὗτοι εἰσιν οἱ φήσαντες τῶν ἀνθρώπων, τῆς ἕλμινθος τέκνα εἶναι. ἐμοὶ δὲ δοκέουσι λέγειν οὐκ ὀρθῶς, οἱ τὰ τοιαῦτα λέγοντες. οὔτε γὰρ ἀφ' ἑνὸς ζώου γένοιτ' ἂν τοσαῦτα νεόσσια, οὔτ' ἐνεχωρέει ἐστὶν ἐν τῷ ἐντέρῳ, ὡς ἐκτρέφειν τέκνα. τοῦ δὲ παιδίου αὐξανομένου, αὔξεται ἐν τῷ ἐντέρῳ καὶ ἕλμινς, ἀπὸ τῶν ἐς τὴν κοιλίην ἐσιόντων. καὶ γίνεται ἴση τῷ ἐντέρῳ. τοῖσι μὲν, ἅμα τῇ ἥβῃ. τοῖσι δὲ, ὕστερον. τοῖσι δὲ, πρόσθεν ὀλίγῳ. καὶ ἐπὴν ἰσωθῇ τῷ ἐντέρῳ, ὁμοίως ἐπαύξεται. καὶ ὁκόσα ἂν μείζω γένηται, ἀποκρίνεται, ἀπὸ τοῦ ἀρχοῦ σὺν τῷ ἀποπάτῳ. καὶ ἐκπίπτει οἷον σικύου σπέρμα. πολλάκις δὲ καὶ μέζω. ἔστι δὲ οἷσιν ὁδοιπορέουσιν ἢ ταλαιπωρέουσι, καὶ τῆς κοιλίης θερμαινομένης, ἔρχεται ἐς τὸ κάτω καὶ ἐξίσχει ἐκ τοῦ ἀρχοῦ αὐτοῖσι τὸ πεφυσηκός. τοῦτό τε ποιέει, καὶ ἀποπρίεται ἀπὸ τοῦ ἀρχοῦ, ἢ ὀπίσω ἔρχεται. σημεῖα δὲ ἐστὶν ὅτι οὐ τίκτει, ἀλλ' οὕτως ἔχει ὡς ἐγὼ λέγω. ἐπὴν τις ἰῆται τὸν ἄνθρωπον τὴν ἕλμινθα, καὶ φάρμακον διδοῖ ἢ ποτὸν, ἢν μὲν τύχῃ ὁ ἄνθρωπος καλῶς παρεσκευασμένος, ἐξέρχεται ὅλη στρογγύλη γινομένη ὥσπερ σφαῖρα, καὶ ὑγιὴς γίνεται ὁ ἄνθρωπος. ἢν δὲ ἐς τὴν φαρμακείην ἔρχηται, καὶ εὐθέα ἀπορρήγνυται ἀπὸ τῆς ἕλμινθος, ὁκόσον δύο ἢ τρεῖς πήχεας, ἢ καὶ πλεῖον πολλῷ. καὶ ἐπὴν ἀπορραγῇ χρόνῳ πολλῷ, οὐ γίνεται σὺν τῷ ἀποπάτῳ τὰ σημεῖα. ὕστερον δὲ αὔξεται. ταῦτα δὲ ἱστόρια ἐστὶν, ὅτι οὐ τίκτει ἕλμινς, ἀλλὰ περιρρήγνυται. ἔστι δὲ τὸ εἶδος αὐτῆς, ὁκοῖον περ ἐντέρου ξύσμα λευκόν. σημεῖα δὲ ἴσχει, ἀποπατέει τε ἄλλοτε καὶ ἄλλοτε, οἷον σικύου σπέρμα. καὶ ἐπὴν νῆστις ὁ ἄνθρωπος ᾖ, ἀΐσσει πρὸς τὸ ἧπαρ ἄλλοτε καὶ ἄλλοτε, καὶ πόνον παρέχει. καὶ ἔστι μὲν ὅτε πτύαλα ὑπορρέει τῷ στόματι, ἐπὴν ἀΐξῃ πρὸς τὸ ἧπαρ. ὅτε δὲ, οὐχί. ἔστι δὲ καὶ οἷσιν ἀναυδίην ἐμβάλλει ἐπὴν ἰσχυρῶς προσπέσῃ πρὸς τὸ ἧπαρ. καὶ πτύαλά τε πουλλὰ, ῥέει ἐκ τοῦ στόματος κάρτα. ὀλίγῳ δὲ ὕστερον ἀνίσταται. καὶ στρόφος ἐγγίνεται πολλὸς ἐν τῇ κοιλίᾳ, ἄλλοτε καὶ ἄλλοτε. ἔστι δ' ὅτε καὶ ἐς τὸ μετάφρενον ὀδύνη ἐμπίπτει. στηρίζει γὰρ καὶ ἐνθάδε. ἔστι δ' ὅτε ταῦτα σημεῖά ἐστιν ἕλμινθος πλατείης. γίνεται δὲ καὶ τόδε. ὃς ἔχει τοῦτο τὸ θηρίον ἐν μὲν τῷ ξύμπαντι χρόνῳ τείνοντι κάρτα, οὐκ ἂν γένοιτο, ἐπειδὰν δὲ ἀσθενήσῃ, μόλις ἀναφέρεται. καὶ γὰρ ἡ ἕλμινς, μετέχει τι μόριον τῶν εἰσιόντων ἐς τὴν κοιλίην. ἢν μὲν οὖν μελανθῇ κατὰ τρόπον, ὑγιαίνεται. ἢν δὲ μὴ μελανθῇ, αὐτομάτη οὐκ ἐξέρχεται. θάνατον μέντοι οὐκ ἐπάγει, ἀλλὰ ξυγκαταγηράσκει. ταῦτα δέ μοι εἴρηται περὶ ἕλμινθος πλατείης, ὅθεν γίνεται καὶ τὰ σημεῖα τοῦ νοσήματος αὐτῆς. Περὶ δὲ λιθιῶντος, ἀρχὴ μὲν ἐγγίνεται ἀπὸ τοῦ γάλακτος τῇ νούσῳ, ἐπὴν τὸ παιδίον θηλάζῃ γάλα μὴ καθαρόν. τὸ δὲ γάλα γίνεται ἐν τῇ τροφῷ οὐ καθαρὸν, ἐπὴν φλεγματώδεσι τροφῇσι, καὶ σιτίοισι, καὶ ποτοῖσι χρῆται μὴ καθαροῖσιν ἡ τροφός, ξυμβάλλεται γὰρ πάντα ἐς τὴν κοιλίην πίπτοντα ἐπ' αὐτῷ, ἐς τὸ γάλα. ἔχει δὲ καὶ τόδε, οὕτως. ἢν ἡ τροφὸς μὴ ὑγιηρὴ ἔῃ, ἀλλὰ χολώδης, ἢ ὑδρωποειδὴς, ἢ αἱματώδης, ἢ φλεγματώδης. καὶ γάλα γίνεται πονηρὸν τῷ παιδίῳ. συμβάλλεται γὰρ τὸ σῶμα καὶ ἡ κοιλίη. πλεῖστον δὲ ἄγει αὐτῷ ἐς τὸ γάλα, ὅ, τι ἂν αὐτὸ πλεῖστον ἔχῃ ἐν ἑωυτῷ. καὶ τὸ παιδίον ἢν θηλάζῃ ἀπὸ τῆς τροφοῦ γάλα μὴ καθαρὸν, ἀλλὰ χολῶδες, ὡς ἔλεξα, ἐπίνοσον γίνεται καὶ ἀσθενές. καὶ τὸ παρὸν μάλιστα λυπέει, μέχρις ἂν θηλάζῃ γάλα πονηρὸν καὶ ἐπίνοσον. καὶ ἐπὴν θηλάζῃ γάλα μὴ καθαρὸν, ἀλλὰ γεῶδες καὶ φλεγματῶδες, καὶ ἔχῃ τὸ παιδίον τὰς φλέβας, τὰς ἀπὸ τῆς κοιλίης ἐς τὴν κύστιν τεινούσας, εὐρείας καὶ ὁλκούς. χωρέεται δὲ καὶ τὸ ποτὸν καὶ τὸ γάλα ὑπὸ τῆς τροφοῦ ἐς τὴν κοιλίην τοῦ παιδίου, ὁκοίην ἕλκει ἀπὸ τῆς κοιλίης ἀπὸ τοῦ γάλακτος, τὸ πᾶν ὁμοίως, ὅ, τι ἂν αἱ φλέβες διωθέειν δύνωνται ἐς τὴν κοιλίην. καὶ ἤν τι ὦδε τῷ γάλακτι μὴ καθαρὸν ᾖ, τὸ ἐπαυρισκόμενον ἐν τῇ κύστει, γίνεται λίθος, τρόπῳ τοιῷδε. ὥσπερ ἐφ' ὕδατι μὴ καθαρῷ ταραχθέντι ἐν κύλικι, ἢ ἐν χαλκῷ, καὶ καταστάντι ὑπόσταθμη ἅλις γίνεται ἐν τῷ μέσῳ. οὕτω καὶ ἐν τῇ κύστει ἀπὸ τοῦ οὔρου, μὴ καθαροῦ ἐόντος. καὶ οὐκ ἐξουρέεται, ἅτε ἐν τῷ κοίλῳ ἐοῦσα, καὶ μάλιστα ἅλις γινομένη ὑπὸ ὀδύνης, οὐ διέρχεται διὰ τῆς οὐρήσιος, πήγνυταί τε ὑπὸ τοῦ φλέγματος

τος ὁμοῦ

τος ὠμοῦ ἐόντος. κόλλα γὰρ γίνεται τῇ ὑποστάθμῃ τὸ φλέγμα μεμιγμένον, καὶ τὸ πρῶτον μικρὴ ἄχνη ἐπιγίνεται. ἔπειτα τὸ ἐπιὸν, ψαμμώδεες προσγίνεται, κόλλης γινομένης τοῦ φλέγματος τοῦ ἐν τῇ κύστει ἐνεόντος ἀπὸ τοῦ γάλακτος, καὶ αὔξεται. καὶ ὅ, τι μὲν ἂν ὑγρὸν ἐν τῇ κολλήσει ἐπιγένηται, ἐξουρέεται. αὖθις δὲ ἡ ὑποστάθμη στερεοῦται ἢ λιθοειδὴς γίνεται. ὥσπερ σίδηρος ἐκ τῶν λίθων καὶ τῆς γῆς συγκαιομένης γίνεται. καὶ ἐν μὲν τῇ πρώτῃ ἐς τὸ πῦρ ἐμβολῇ, κεκόλληνται τῇ σκωρίῃ λίθοι, καὶ ἡ γῆ πρὸς ἄλληλα. καὶ ἐπὴν τὸ δεύτερον καὶ τὸ τρίτον ἐς τὸ πῦρ ἐμβληθῇ, ἡ μὲν σκωρίη οἱ ἔξω ἔρχεται, τηκομένη ἐκ τοῦ σιδήρου, καὶ ὄψει ὁρᾶται τὸ γινόμενον. ὁ δὲ σίδηρος, λιμπάνεται ἐν τῷ πυρὶ καὶ συμπίπτει περιδιδούσης τῆς σκωρίης, καὶ γίνεται στερεός τε καὶ πυκνός. οὕτω δὴ καὶ ἡ ὑποστάθμη ἐν τῇ κύστει, κόλλης γινομένης τοῦ φλέγματος, ἐξουρέεται τηκόμενον ὑπὸ τοῦ οὔρου. αὕτη δὲ συμπίπτει καὶ πυκνὴ γίνεται, καὶ στερεοῦται ὥσπερ σίδηρος, ἐπὴν δὲ συμπέσῃ καὶ στερεωθῇ, κλονέεται ἐν τῇ κύστει ἄνω καὶ κάτω. καὶ πόνον παρέχει κόπτουσα τὴν κύστιν. καὶ ἀποφορέει τι ἀπ' αὐτῆς ἐπὴν ἰσχυρῶς κόπτῃ καὶ ἑλκοῖ. τὸ δὲ ὑποφερόμενον ἔτι μᾶλλον ἐν τῷ ἀπιόντι ψαμμῶδες, σύμπηξιν ἐργάζεται ὁ λίθος. καὶ γίνεται τρόπῳ τοιῷδε ἀπὸ τοῦ γάλακτος ἐς τὴν κύστιν. ἔστι δ' ὅτε γίνεται, ἢν τὸ παιδίον ἐόν γε ἢ ἄλλη τις ἀπὸ τούτου γένηται. ἄλλοτε γὰρ καὶ ἄλλοτε ἐπὴν οὐρήσῃ ταχέως ἐπιλαμβάνεται τῆς οὐρήθρης. ἢν δὲ τοῦ παιδίου ἤδη αὐξανομένου λίθος γένηται ἀπὸ γεωτραγίης, ὁ πόνος οὐ πάρεστιν οἱ πρὶν ἢ σῖτον αὐτὸς ἑωυτῷ αἱρέηται. καὶ ταῦτα μὲν ἐς τοῦτο μοι εἴρηται.

Σημεῖα δὲ ἡ νοῦσος ἔχει τάδε. ἐπὴν τι οὐρῆσαι θέλῃ, πονέεται. καὶ τὸ οὖρον κατ' ὀλίγον ῥέει ὥσπερ στραγγουριῶσι. καὶ ἔστιν ὕφαιμον οἷα τῆς κύστιος ἡλκωμένης ὑπὸ τοῦ λίθου. καὶ καὶ ἡ κύστις φλεγμαίνει. ἀλλὰ τοῦτο μὲν, ἀφανές. σημεῖον δὲ, ἀκροποσθίη. ἔστιν ὅτε διουρέεται ψαμμώδεα. ὑπὸ τοιούτων δὲ, οἵων ἐγὼ ἐρέω. διουρέεται δ' ἔστιν ὅτε, λίθους δύο ἢ καὶ πλείονας. ἕτεροι δὲ σμικροί, τρόπῳ τῷ αὐτῷ, ὥσπερ καὶ τὴν μίαν εἴρηκα. γίνεται δὲ καὶ ὑπὸ τοῦ τοιούτου. ἐπὴν ὁ λίθος συμπαγῇ καὶ βάθος γένηται ἐς τὴν κύστιν τῇ ψάμμῳ τῇ γινομένῃ χωρίς. ἐλθούσης δὲ τῆς ψάμμου, ὁ λίθος μὴ προσλάβῃ πρὸς ἑωυτῷ, ἀλλὰ βαρύτερος καὶ πλείων γένηται, ὥστε μὴ πήγνυσθαι αὐτὴν πρὸς ἑωυτήν, καὶ οὕτως δύο λίθοι γίνονται. γίνονται δὲ καὶ πλείονες, τρόπῳ τῷ αὐτῷ. καὶ ξυγκρουομένων πρὸς ἀλλήλους τῇ κλονήσει περιθραύεται, καὶ διουρέεται τὸ ψαμμῶδες. ἔστι δ' ὅτε καὶ ἐπὴν κατέλθῃ ψάμμος πρὸς τὴν κύστιν καὶ μὴ περιπαγῇ. λέγουσι δέ τινες ὅτι τὸ πινόμενον, ἐς τὸν πλεύμονα ἔρχεται, ἐκ δὲ τούτου ἐς τὸ ἄλλο σῶμα. οὗτοι δὲ οἱ ταῦτα λέγοντες, διαβάλλονται τούτῳ, ᾧ μέλλω ἐρέειν. ὅτι ὁ πλεύμων κοῖλος ἐστὶ, καὶ πρὸς αὐτῷ ἐστὶ σύριγξ. ὁ δὲ πλεύμων εἰ μὴ κοῖλος ἦν, καὶ ἡ σύριγξ προσεῖχετο, οὐκ ἂν ἐφώνει τὰ ζῷα. φθεγγόμεθα γὰρ ἀπὸ τοῦ πλεύμονος ὅτι κοῖλός ἐστι, καὶ ἡ σύριγξ πρόσεστι. διαρθροῖ δὲ τὸν φθόγγον, τὰ χείλεα καὶ ἡ γλῶσσα. κάλλιον δέ μοι περὶ τούτου δεδήλωται, ἐν τῇ περὶ τῶν δυμονίῃ. τοῖσιν οὖν δοκέουσιν ἀνθρώποισι τὸ ποτὸν ἐς τὸν πλεύμονα φέρεσθαι ἐναντιώσομαι. ἔχει δὲ οὕτως. χωρέει τὸ ποτὸν ἐς τὴν κοιλίην, ἀπὸ δὲ τῆς κοιλίης ἐς τὸ ἄλλο σῶμα ἀπαυρίσκεται. νοῆσαι δὲ χρὴ, ὁκόσα μέλλω ἐρέειν. λέγω δὲ ἱστόρια, ὅτι τὸ ποτὸν οὐ χωρέει ἐς τὸν πλεύμονα, ἀλλ' ἐς τὴν κοιλίην, τάδε. εἰ γὰρ τὸ ποτὸν χωρέει ἐς τὸν πλεύμονα, ὁκόταν ὁ πλεύμων πλησθῇ, οὐκ ἂν ῥηϊδίως τὸν ἄνθρωπον ἀναπνέειν, οὐδὲ φθέγγεσθαι δύνασθαι. οὐ γὰρ ἂν εἴη τὸ ἀντηχέον ἐν τῷ πλεύμονι πλήρει ἐόντι. καὶ ἓν μὲν τοῦτο ἱστόριόν ἐστιν. ἔπειτα εἰ ἐχώρεε τὸ ποτὸν ἐς τὸν πλεύμονα, τὰ σιτία ἂν ἡμῖν ξηρὰ ἐόντα, οὐκ ἂν ὁμοίως ἐπέσσετο. δύο δὲ ἱστόρια ταῦτα ἐστί. καὶ τὰ φάρμακα δὲ τὰ ὑπήλατα ἐπὴν πίωμεν, χωρέει τῆς κοιλίης ἔξω. ἔχει δὲ καὶ τόδε οὕτως. ὁκόσα φάρμακα καθαρτικά ἐστιν ἢ ἄνω ἢ κάτω, ἢ καὶ ἀμφότερα, ταῦτα ποιέει. πάντα καίει κάρτα. καὶ τὰ μὲν ἰσχυρὰ αὐτῶν ἢν τύχῃ ἅψασθαί τι τῶν ἁπαλῶν τοῦ σώματος, ἑλκοῖ. τὰ δὲ μαλακώτερα, ἀραιὸν ποιέει τὸν χρῶτα ὅτι ἂν ἀλειφθῇ. εἰ δὲ ἔλθοι τι τούτων τῶν φαρμάκων ἐς τὸν πλεύμονα, δοκέει ἄν μοι τι μέγα ποιῆσαι κακόν. τὸ γὰρ φλέγμα τὸ ἀπὸ τῆς κεφαλῆς, ἐν κάρτα ὀλίγῳ χρόνῳ ἑλκοῖ. ἁπαλὸν γὰρ καὶ ἀραιὸν χρῆμα ἐστὶν ὁ πλεύμων. καὶ ἢν ἑλκωθῇ, οὐ καλῶς ἕξει κεῖνος ὁ ἄνθρωπος διάγει πουλλά. ἡ δὲ κοιλίη ὑπὸ τοῦ φαρμάκου οὐχ ἑλκοῦται, ὅτι χρῆμα ἐστὶν ἰσχυρὸν, ὥσπερ δηλαδὴ ἡ δέρμα. καὶ τῶν μὲν Λιβύων χρέονται οἱ πλεῖστοι, τῶν κτηνέων τοῖσι μὲν δέρμασιν ἀντὶ ἱματίων. τῇσι δὲ κοιλίῃσιν, ἀντὶ θυλάκων. ἰσχυρὸν γὰρ χρῆμα ἡ κοιλίη ἐστίν. ἔπειτα ἐπὴν ὑπὸ οἴνου μέ-

λανος.

λαιος θωρηχθῶσιν οἱ ἄνθρωποι, ἀποπατέουσι μέλανα. ταῦτα δὲ πάντα ἱστόριά ἐστι. καὶ ἐπὴν σκόροδα φάγωμεν, ἢ τι ἄλλο ὀδμαλέον βρῶμα, διουρέομεν ὀζόμενον τοῦ βρώματος. ταῦτα μὲν τὰ ἱστόρια ἔξεστι, σκέψασθαι δὲ καὶ τόδε ὅ, τι μέλλω ἐρέειν. εἴ τις κυκεῶνα πίνοι ἢ ἄλητον ἐφθὸν ῥοφοίη, ἢ τι ἄλλο τοιοῦτο, καὶ ἔλθοι ἐς τὸν πλεύμονα τοῦτο, δοκέομεν ἂν αὐτὸν, οὐδὲ ζώειν οὐδὲ ὀλίγον χρόνον. ἐπὴν γάρ τι μικρὸν ἔλθῃ ἐς τὸν πλεύμονα φλέγμα ἢ ἐς τὴν σύριγγα αὐτοῦ, πολλὴ βήξ τε καὶ ἰσχυρὴ γίνεται καὶ σπασμός. εἰ δ' οὖν ἄρα καὶ ζώῃ ὁ ἄνθρωπος πιὼν τὸν κυκεῶνα ἢ τὸ ἄλητον ῥοφέων, προσσουμένου γὰρ τοῦ ῥοφήματος, θέρμην ἂν δοκέω πολλήν τε καὶ ἰσχυρὴν τῷ σώματι γίνεσθαι, καὶ πόνον πολλόν, ὥς τε εἰ ἀποπατοίη κατὰ τρόπον ἢ ἐς τὸν πλεύμονα ἔλθοι. ταῦτα δὲ ἱστόρια ἑπτά ἐστιν. ἔπειτα τὸ γάλα πῶς ἂν ἔτρεφε τὰ παιδία, εἴ γε χωρέει πρὸς τὸν πλεύμονα. τοῦτο δὲ ἱστόριον ἄλλο μοι. καὶ ταῦτα οὐ δ' ἂν ἐπηγαγόμην ἔγωγε τῷ λόγῳ, τοιοῦτο ἱστόριον οὐδέν, εἰ μὴ ὅτι πολλοὶ κάρτα τῶν ἀνθρώπων, τὸ ποτὸν δοκέουσιν ἐς τὸν πλεύμονα χωρέειν. καὶ ἀνάγκη ἐστὶ πρὸς τὰ ἰσχυρῶς δοκέοντα, τὰ πολλὰ ἱστόρια ἐπάγεσθαι, εἰ μέλλει τὸν ἀκούοντα ἐκ τῆς πρὶν γνώμης μεταστρέψαι τοῖς ἑωυτοῦ τε λόγοισι πείσειν. καὶ διὰ τόδε οὐ χωρέει τὸ ποτὸν ἐς τὸν πλεύμονα, ἀλλ' ἐς τὴν κοιλίην, ὅτι προσαφής αὐτῷ ἐστιν ὁ στόμαχος τοῦ ἀνθρώπου ἀεὶ χάσκων. καὶ χωρέει ἐς ἐκεῖνον. καὶ ἅμα ἐπίκειται τῇ σύριγγι τοῦ πλεύμονος, ὥσπερ κισσοῦ φύλλον. ὥς τε οὐκ ἂν παρακαθιεῖ ἐν τῇ καταπόσει, εἰ χωρέει ἐς ἑωυτόν. καὶ ταῦτα ἐς τοῦτο μοι εἴρηται. χωρέει δὲ καὶ τὸ ποτὸν ἐς τὴν κοιλίην. καὶ ἐπὴν πλησθῇ, ὁ σπλήν τε ἀπ' αὐτῆς δέχεται καὶ διδοῖ ἐς τὰς φλέβας, καὶ ἐς τὸ ἐπίπλοον, καὶ ἐς τὸ κάταντες, ἔς τε τὴν ὀσχήν, καὶ ἐς τὰ σκέλεα, καὶ ἐς τοὺς πόδας. καὶ ἐπὴν νοῦσος ἐπιγένηται, τῷ ὕδατι πολλῷ χωρέει ὑπὸ τῆς κοιλίης. καὶ ἐς τὸν σπλῆνα ἔρχεται ἀεὶ ἀπὸ τοῦ ποτοῦ, ἐπὴν πίῃ ὁ ἄνθρωπος. γίνεται δὲ ὧδε τῆς νούσου ταύτης, ὥς τε μὴ πυρεταίνειν ἄλλως ἐν τῇ κοιλίῃ, ἢ ὁκόταν ὁ ἄνθρωπος διψῇ. ἡ δὲ κύστις καὶ ἡ κοιλίη μὴ διηθέωσι κατὰ τρόπον. μὴ δὲ ἐπιτηδείῃ διαίτῃ ὁ ἄνθρωπος χρῆται. ὁ δὲ σπλὴν ὑπὸ νουσέων ἕλκει ἀπὸ τῆς κοιλίης ἀπὸ τοῦ ποτοῦ. ἡ δὲ νοῦσος γίνεται. καὶ ἡ ὀσχὴ διαφανὴς γίνεται. καὶ αἱ κληΐδες. καὶ ὁ τράχηλος. καὶ τὰ στήθεα καταλεπτύνεται. τήκεται γὰρ ὑπὸ τῆς νούσου ταύτης, καὶ καταῤῥέει ἐς τὴν κοιλίην. τά τε κάτω, ὕδατος πλέα ἐστί. καὶ ἀσιτέει ἡ κοιλίη. καὶ ὅτε μὲν, κάρτα στεγνή. ὅτε δὲ, καταῤῥέει, ἥ τε κύστις οὐ διηθέει κατὰ τρόπον. ὡς ὧδε τὸ πλεῖον φρίκη τε διαΐσσει ἄλλοτε καὶ ἄλλοτε διὰ τοῦ σώματος. καὶ πῦρ ἔστιν ὅτε ἐπιλαμβάνει. καὶ τὸ πρόσωπον, τῶν μὲν, οἰδαλέον γίνεται, τῶν δὲ, οὔ. ἔστι δ' οἷσι καὶ καταῤῥήγνυνται αἱ κνῆμαι, ἐπὴν χρόνιον τὸ νόσημα γένηται. καὶ ῥεῖ αὐτόθεν ὕδωρ. καὶ ἀγρυπνίη ἐπιπίπτει καὶ ἀδυναμίη τοῦ σώματος, καὶ μάλιστα τῆς ὀσφύος. καὶ ἐπήν τι φάγῃ ἢ πίῃ, καὶ ὀλίγῳ πλέον πονέεται ὁ σπλήν, καὶ τὸ πνεῦμα πυκνὸν ἀεὶ ἀφίει. ταῦτα δὲ σημήϊα ὕδρωπός εἰσιν. ἔστι δὲ καὶ περὶ τὴν κοιλίην μοῦνον, ἢ καὶ πυρὸς λαβόντος, ἢ καὶ οὐχί. καὶ ἡ γαστὴρ μεγάλη γίνεται. καὶ τὰ σκέλεα πίμπλαται ὕδατος. τὰ δὲ ἄνω τοῦ σώματος, λεπτὰ γίνεται, οὕτω οἰηθεῖσι. τὰ δὲ σημήϊα ἅπαντα, βληχρότερά ἐστι καὶ ἅμα καὶ ἐν τοῖσι σκέλεσιν ὕδωρ οὐκ ἐπιγίνεται. καὶ ὁ πόνος τοσούτῳ ἐλάσσων. περὶ δὲ τὴν κοιλίην μοῦνον διὰ τόδε ὕδρωψ γίνεται. ἐπὴν γὰρ ἁλὲς ἐπιγένηται, καὶ ὁδὸς ἐν ἀρχῇσι μὴ γίνηται ἐς τὸ κάτω, ἀλλ' ἀποβληθῇ ἁλὲς ἐν τοῖσι φλεβίοισιν, ἅτε καὶ ἀναπνοὴν μὴ ἔχον, μήτε ἄνω μήτε κάτω ἀποστήριξιν ἔχει. ὥσπερ εἴ τις ἄγγος μέγα μακρόστομον ἀπολαβὼν, καταστρέψειεν ἐν τάχει. εἶτα καθ' ἡσυχίην ἀπὸ τοῦ στόματος ἀφέλοι τὸ ἐπικείμενον. καὶ ἢν τοῦτο ποιήσῃ τὸ ὕδωρ οὐκ ἂν ῥεύσειεν ἔξω. οὐδὲ γὰρ ἔχει πνοήν, ἀλλ' ἀποκέκλεισται ἀπὸ τοῦ ἐντὸς πνεύματος. ἐνεὸν γὰρ τὸ πνεῦμα πληροῖ τὸ ἄγγος καὶ ἀντιστηρίζει τῷ ἔξω πνεύματι, καὶ οὐκ ἔστι τῷ ὕδατι ἐκδρομὴ ὑπὸ τοῦ πνεύματος, τοῦ πληροῦντος τὸ ἄγγος, καὶ ἅμα ἐπικειμένου τοῦ ἠέρος. ἢν δέ τις κλίνειε καθ' ἡσυχίην τὸ ἄγγος, ἢ κατὰ πυθμένα τρήσειεν, ἐξελεύσεται τὸ πνεῦμα ἐκ τοῦ ἄγγεος. ἐξιόντος δὲ τοῦ πνεύματος, χωρέει καὶ τὸ ὕδωρ ἔξω. οὕτω δὴ καὶ τῷ ὕδρωπι. ἢν μὲν παραπνοὴ ἄνω ἢ κάτω διὰ τῶν φλεβίων γένηται, ἐν ἀρχῇ τῆς νούσου, ἔρχεται ἐς τὰ σκέλεα καὶ ἐς τοὺς πόδας ὁ ὕδρωψ. ἢν δὲ μὴ, αὐτοῦ μοῦνον εἰλέεται περὶ τὴν κοιλίην. καὶ οὕτω μέν μοι περὶ τούτων εἴρηται. γίνεται δὲ καὶ τῇσι γυναιξὶν ὁ ὕδρωψ ἐν τῇσι μήτρῃσι, καὶ τὰ ἐν τῇσι κοιλίῃσι, καὶ τὰ ἐν τοῖσι σκέλεσι καὶ τὰ ἄλλα σημήϊα ταῦτα ἴσχει. ἀποπέφανται δέ μοι ἐν τοῖσι γυναικείοισι νοσήμασι περὶ αὐτῶν. αὗται αἱ τρεῖς ἰδέαι τῶν νοσημάτων, ἀπὸ τοῦ ὕδρωπος. γίνεται δὲ τὰ νοσήματα πάντα ταχέως

χαλεπά

χαλεπά. καὶ ταῦτα αὔξεται ταχέως. ἔτι δὲ χαλεπώτερα γίνεται, ἢν δὲ ἑτέρης νούσου τὸ σῶμα τυχθὲν, ἐς ταύτην περιέλθῃ. ἢν μὲν οὖν ἐν τάχει προκαταλάβηται τὸ νόσημα τὸν ἄνθρωπον, θνήσκει, ἅτε τῆς νόσου χρονιωτάτης γινομένης. ἐπὴν δὲ καὶ ἡ κοιλίη ῥόος γένηται, κάρτα θνήσκει τάχιστα, ἐπιπαίων τε καὶ διαλεγόμενος. ταῦτα δέ μοι εἴρηται περὶ ὕδρωπος, ὅθεν τε γίνεται, καὶ ὅτι τὰ σημεῖα αὐτοῦ τάδε.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΠΑΘΩΝ

Τοῦτο δὲ ὁ Γαληνὸς τοῦ Πολύβου λέγει εἶναι.

A Ἄνδρα χρὴ ὅστις ἐστὶ συνετὸς λογισάμενον ὅτι τοῖσιν ἀνθρώποισι πλείστου ἄξιόν ἐστιν ὑγιείη, ἐπίστασθαι ἀπὸ τῆς ἑωυτοῦ γνώμης ἐν τῇσι νούσοισιν ὠφελέεσθαι. ἐπίστασθαι δὲ, τὰ ἀπὸ τῶν ἰητρῶν καὶ λεγόμενα καὶ προσφερόμενα, πρὸς τὸ σῶμα τὸ ἑωυτοῦ καὶ διαγινώσκειν. ἐπίστασθαι δὲ τούτων ἕκαστα, ὅσον εἰκὸς ἰδιώτην. ταῦτ' οὖν ἐπίσταιτο ἄν τις μάλιστα εἰδὼς καὶ ἐπιτηδεύων τάδε. νουσήματα τοῖσιν ἀνθρώποισι γίνεται ἅπαντα, ὑπὸ χολῆς καὶ φλέγματος. ἡ δὲ χολὴ καὶ τὸ φλέγμα τὰς νούσους παρέχει, ὅταν ἐν τῷ σώματι, ἢ ὑπερξηραίνηται, ἢ ὑπερυγραίνηται, ἢ ὑπερθερμαίνηται, ἢ ὑπερψύχηται. πάσχει δὲ ταῦτα τὸ φλέγμα καὶ ἡ χολὴ. καὶ ἀπὸ σιτίων. καὶ ἀπὸ ποτῶν. καὶ ἀπὸ πόνων. καὶ ἀπὸ τρωμάτων. καὶ ὀσμῆς. καὶ ἀκοῆς. καὶ ὄψιος. καὶ λαγνείης. καὶ ἀπὸ τοῦ θερμοῦ. καὶ ἀπὸ τοῦ ψυχροῦ. πάσχει δὲ ὅταν τούτων ἕκαστα τῶν εἰρημένων, ἢ μὴ ἐν τῷ δέοντι προσφέρηται τῷ σώματι, ἢ μὴ τὰ εἰωθότα. ἢ πλείω τε καὶ ἰσχυρότερα. ἢ ἐλάσσω τε καὶ ἀσθενέστερα. τὰ μὲν οὖν νουσήματα γίνεται τοῖσιν ἀνθρώποισιν ἅπαντα ἀπὸ τούτων. δεῖ δὲ πρὸς ταῦτα τὸν ἰδιώτην ἐπίστασθαι, ὁκόσα εἰκὸς γινώσκειν ἰδιώτην. ὅσα δὲ τοὺς χειροτέχνας εἰκὸς ἐπίστασθαι καὶ προσφέρειν καὶ διαχειρίζειν. περὶ δὲ τούτων τῶν λεγομένων καὶ τῶν ποιουμένων, οἷόν τε εἶναι τὸν ἰδιώτην γνώμῃ τινὶ ξυμβάλλεσθαι. ἤδη οὖν τούτων ὁπόθεν ἕκαστα δεῖ ἐπίστασθαι, ἐγὼ φράσω.

Ἢν ἐς τὴν κεφαλὴν ὀδύναι ἐμπέσωσι, τούτου τὴν κεφαλὴν ξυμφέρει διαθερμαίνειν, λούοντα πολλῷ καὶ θερμῷ, καὶ πταρμὸν ποιέοντα, φλέγμα καὶ μύξας ὑπάγειν. καὶ ἢν μὲν πρὸς ταῦτα ἀπαλλάσσηται τῆς ὀδύνης, ἀρκεῖ ταῦτα. ἢν δὲ μὴ ἀπαλλάσσηται, καθῆραι τὴν κεφαλὴν φλέγμα. διαιτᾶν δὲ, ῥοφήματι καὶ ποτῷ ὕδατι. οἶνον δὲ μὴ προσφέρειν, ἐς τ' ἂν ἡ περιωδυνίη παύσηται. τὸν γὰρ οἶνον ὅταν θερμὴ ἐοῦσα ἡ κεφαλὴ σπάσῃ, ἡ περιωδυνίη, ἰσχυροτέρη γίνεται. Τὰ δὲ ἀλγήματα ἐμπίπτει ὑπὸ τοῦ φλέγματος, ὅταν ἐν τῇ κεφαλῇ κινηθὲν ἀθροισθῇ. ἢν δὲ ἄλλοτε καὶ ἄλλοτε ὀδύνη καὶ σκοτοδινίη ἐμπίπτει ἐς τὴν κεφαλὴν, ὠφελέει μὲν καὶ ταῦτα προσφερόμενα. ὠφελέει δὲ, καὶ ἢν αἷμα ἀφαιρεθῇ ἀπὸ τῶν μυκτήρων, ἢ ἀπὸ τῆς φλεβὸς τῆς ἐν τῷ μετώπῳ. ἢν δὲ πουλυχρόνιον καὶ ἰσχυρὸν τὸ νούσημα ἐν τῇ κεφαλῇ γίνηται, καὶ μὴ ἀπαλλάσσηται καθαρθείσης τῆς κεφαλῆς, ἢ σχάσαι δεῖ τούτου τὴν κεφαλὴν, ἢ τὰς φλέβας κύκλῳ ἀποκαῦσαι. τῶν γὰρ λοιπῶν ἀπὸ τούτων μοῦνον, ἐλπὶς ὑγιέα γενέσθαι. τοὺς νοσέοντας χρὴ σκοπεῖν, εὐθὺς ἀρχομένους ἐν τῇ καταστάσει τῶν νουσημάτων, ὅτου ἂν δέωνται. καὶ οἵους τε ὄντας, φαρμακευθῆναι. καὶ ἄλλο ὅπερ ἄν τις θέλῃ προσενεγκεῖν. ἢν δὲ τὴν ἀρχὴν παρεὶς τελευτώσης τῆς νούσου προσφέρῃς, ἐν ἀπειρηκότι ἤδη τῷ σώματι, δεδιὼς ἰσχυρόν τι προσενέγκαι, κίνδυνος ἁμαρτάνειν μᾶλλον, ἢ ἐπιτυγχάνειν. Ἢν ἐς τὰ ὦτα ὀδύνη ἐμπέσῃ, λούειν ξυμφέρει πολλῷ καὶ θερμῷ, καὶ πυριῆν τὰ ὦτα. καὶ ἢν μὲν πρὸς ταῦτα περιίστηται τὸ φλέγμα λεπτυνόμενον ἀπὸ τῆς κεφαλῆς, καὶ ἡ ὀδύνη ἀπολείπει, ἀρκεῖ ταῦτα. ἢν δὲ μὴ, τῶν λοιπῶν ἄριστον φαρμάκων, πῖσαι ἄνω ὅ, τι φλέγμα καθαίρει. ἢ τὴν κεφαλὴν καθῆραι, ᾧ καθαίρεται τὸ τῆς κεφαλῆς φλέγμα. τὸ δὲ ἄλγημα καὶ τοῦτο γίνεται, ὅταν ἔσωθεν πρὸς τὴν ἀκοὴν φλέγμα ἐκ τῆς κεφαλῆς προσπέσῃ. Ἢν δὲ τὰ παρὰ τὴν φάρυγγα φλεγμαίνῃ, ἀναγαργαρίζειν χρή. γίνεται δὲ καὶ ταῦτα, ἀπὸ φλέγματος. Ἢν δὲ τὰ οὖλα, ἤ τι τῶν ὑπὸ τῇ γλώσσῃ φλεγμαίνῃ, διαμασσῆσθαι χρῆσθαι. ἀπὸ φλέγματος δὲ καὶ ταῦτα γίνεται. Ἢν δὲ ἡ σταφυλὴ καταρκεμασθῇ καὶ πνίγῃ, ἔνιοι δὲ τοῦτο καλέουσι γαργαρεῶνα, παραχρῆμα μὲν τοῖσιν ἀναγαργαλίκτοισι χρῆσθαι, σκευάζων ὡς γέγραπται ἐν τοῖσι φαρμάκοισιν. ἢν δὲ πρὸς ταῦτα μὴ ἰσχνὴ γένηται, ὄπισθεν ξυρήσαντα τὴν κεφαλὴν, σικύας προσβάλλειν

δύο. καὶ

δύο. καὶ τοῦ αἵματος ἀφαιρέειν ὡς πλεῖστον, καὶ ἀναπαῦσαι ὀπίσω τὸ ῥεῦμα τοῦ φλέγματος. ἢν δὲ μὴ δὲ τούτοισι καθίσταται, χαλάσαντα μαχαιρίῳ τὸ ὕδωρ ἐξαγαγεῖν. χαλᾶν δὲ, ὅταν τὸ ἄκρον ὑπέρυθρον γίνηται. ἢν δὲ μὴ τοιοῦτον γενόμενον τμηθῇ, φλεγμαίνειν θέλει. καὶ ἔστιν ὅτε ἐξαπίνης ἔπνιξε. γίνεται δὲ καὶ τοῦτο ὑπὸ φλέγματος, ὅταν ἐκ τῆς κεφαλῆς θαλφθείσης, ἀθρόον καταῤῥυῇ.

Ὅσα δὲ περὶ ὀδόντας γίνεται ἀλγήματα, ἢν μὲν βεβρωμένος ᾖ καὶ κινέεται, ἐξαιρέειν. ἢν δὲ μὴ βέβρωται, μηδὲ κινέηται, ὀδύνην δὲ παρέχῃ, καύσαντα ἀποξηρῆναι. ὠφελέει δὲ, καὶ τὰ διαμασήματα. αἱ δὲ ὀδύναι γίνονται, ὅταν φλέγμα ὑπέλθῃ, ὑπὸ τὰς ῥίζας τῶν ὀδόντων. ἐσθίονται δὲ καὶ βιβρώσκονται, οἱ μὲν, ἀπὸ φλέγματος. οἱ δὲ, ἀπὸ σιτίων, ἢν φύσει ἀσθενέες ἔωσι, καὶ κοιλίην ἔχοντες καὶ πεπηγότες ἐν τοῖσιν ὅλοισι κακῶς.

Ἢν δὲ ἐν τῇ ῥινὶ πολύπος ἐγγένηται, οἷον πρῆγμα, πνέεταί τε καὶ ἀπαγκέει ἐκ τοῦ μυκτῆρος ἐς τὸ πλάγιον. ἐξαιρέεται δὲ, βρόχῳ διελκόμενος ἐς τὸ στόμα ἐκ τῆς ῥινός. οἱ δὲ καὶ φαρμάκοισιν ἐκσήπονται. φύεται δὲ, ὑπὸ φλέγματος. ταῦτα μὲν ὅσα ἀπὸ τῆς κεφαλῆς φύονται νουσήματα, πλὴν ὀφθαλμῶν. ταῦτα δὲ ἰδίως γεγράψεται.

Περὶ δὲ τῶν κατὰ κοιλίην νουσημάτων, ἐνθυμέεσθαι χρὴ, τάδε. πλευρῖτις. περιπνευμονίη. καῦσος. φρενῖτις. αὗται καλέονται ὀξεῖαι. καὶ γίνονται μὲν μάλιστα καὶ ἰσχυρόταται τοῦ χειμῶνος. γίνονται δὲ, καὶ τοῦ θέρεος. ἧσσον δὲ, καὶ μαλακώτεραι. ἢν δὲ παρατυγχάνῃς, ταῦτα ἂν καὶ ποιέων καὶ ξυμβουλεύων τυγχάνῃς μάλιστα.

Πλευρῖτις. πυρετὸς ἴσχει, καὶ τοῦ πλευροῦ ὀδύνη. καὶ ὀρθοπνοίη. καὶ βὴξ. καὶ τὸ σίαλον κατ' ἀρχὰς μὲν, ὑπόχολον πτύει. ἐπειδὰν δὲ πεμπταῖος γένηται ἢ ἑκταῖος, καὶ ὑπόπυον. τούτῳ τοῦ μὲν πλευροῦ τῆς ὀδύνης διδόναι, ὅ, τι ἀποστήσει ἀπὸ τοῦ πλευροῦ, τό τε φλέγμα καὶ τὴν χολήν. ἡ γὰρ ὀδύνη, οὕτως ἂν εἴη μαλακωτάτη. τὴν δὲ κοιλίην θεραπεύειν ὑπάγοντι καὶ ψύχοντι κλύσματι, ὅτω γ' τῇ νόσῳ τῇ ξυμπάσῃ συμφορώτατα. προσφέρειν δὲ ποτόν τε καὶ ῥόφημα, καὶ τὰ πόματα διδόναι ὀξύτερα, ὡς τὸ σίαλον ἀνακαθαίρηται ἀπὸ τοῦ πλευροῦ. ὅταν δὲ καθαίρεσθαι ἄρξηται τὸ πύον, θερμαίνοντα ξυμφέρει τὸ πλευρὸν, ἔξωθεν πεπαίνειν τὰ πρὸς τὸ πλευρόν. πρόσθεν δὲ, οὐ ξυμφέρει. ξηραίνεται γάρ. γίνεται δὲ ἡ νοῦσος αὕτη, μάλιστα μὲν ἐκ πόσιος, ὅταν τις ὑγράζοντος τοῦ σώματος, ἢ μεθύων, ἢ νήφων, ῥιγώσῃ. γίνεται δὲ καὶ ἄλλως. κρίνεται δὲ ἡ νοῦσος. ἡ μὲν βραχυτάτη, ἑβδόμη. ἡ δὲ μακροτάτη, τετάρτη καὶ δεκάτη. καὶ ἢν μὲν ἐν ταύτῃ πτυσθῇ καὶ καθαρθῇ τὸ πύον ἀπὸ τοῦ πλευροῦ, ὑγιὴς γίνεται. ἢν δὲ μὴ πτυσθῇ, ἔμπυος γίνεται. καὶ ἡ νοῦσος μακρή. κρίνεσθαι δὲ ἔστιν ἐν τῇσι νούσοισιν, ὅταν αὔξωνται αἱ νοῦσοι, ἢ μαραίνονται, ἢ μεταπίπτωσιν ἐς ἕτερον νόσημα, ἢ τελευτῶσιν.

Περιπλευμονίη. πυρετὸς ἴσχει. καὶ βὴξ. καὶ ἀποχρέμπτεται τὸ μὲν πρῶτον, φλέγμα παχὺ καὶ καθαρόν. τῇ ἕκτῃ δὲ καὶ ἑβδόμῃ, ὑπόχολον καὶ ὑποπέλιον. ὀγδόῃ δὲ καὶ ἐνάτῃ, ὑπόπυον. τούτῳ ἢν μὲν ὀδύνη ἐγγίνηται ἢ τοῦ νώτου ἢ τῶν πλευρέων, διδόναι ἅπερ ἐν τῇ πλευρίτιδι τοῦ πλευροῦ τῆς ὀδύνης ἐν τῇ φαρμακίτιδι γέγραπται. ποτοῖσι δὲ καὶ ῥοφήμασι, καὶ τῆς κοιλίης ἐς τὴν ὑποχώρησιν καὶ ψύξιν, κατὰ ταὐτὰ θεραπεύειν τῇ πλευρίτιδι. ὅκως δὲ τὸ σίαλον ἐκ τοῦ πλεύμονος ἀνακαθαίρῃ καὶ τὸ πύον, διδόναι φάρμακα ποτά, οἷσιν πλεύμων ὑγραίνεται καὶ καθαίρεται τὸ πύον ἄνω. ἡ δὲ νοῦσος αὕτη γίνεται, ὅταν ἐκ τῆς κεφαλῆς φλέγμα ἀθρόον ῥυῇ ἐς τὸν πλεύμονα. ἔστι δ' ὅτε καὶ ἐκ πλευρίτιδος μεθίσταται ἐς περιπλευμονίην καὶ καῦσον. κρίνεται δὲ ἐν ἡμέρῃσιν, ἡ μὲν βραχυτάτη, ἐν τεσσαρεσκαίδεκα. ἡ δὲ μακροτάτη, ἐν δυοῖν δεούσαις εἴκοσι. διαφεύγουσι δὲ ταύτην ὀλίγοι. γίνονται δὲ καὶ ἔμπυοι ἐκ ταύτης τῆς νούσου, ἢν μὴ ἐν τῇσι κρίσεσιν ὁ πλεύμων καθαρθῇ.

Φρενῖτις ὅταν λάβῃ, πυρετὸς ἴσχει βληχρὸς τὸ πρῶτον, καὶ ὀδύνη πρὸς τὰ ὑποχόνδρια. μᾶλλον δὲ πρὸς τὰ δεξιά, ἐς τὸ ἧπαρ. ὅταν δὲ τεταρταῖος γένηται καὶ πεμπταῖος, ὅ, τε πυρετὸς ἰσχυρότερος γίνεται, καὶ αἱ ὀδύναι, καὶ τὸ χρῶμα ὑπόχολον γίνεται. καὶ τοῦ νοῦ παρακοπή. τούτῳ τῆς μὲν ὀδύνης, ἅπερ ἐν τῇ πλευρίτιδι διδόναι. καὶ χλιαίνειν, ἵν' ἡ ὀδύνη ἔχῃ. τὴν κοιλίην δὲ θεραπεύειν καὶ τὰ ἄλλα ποιέειν τὰ αὐτά, πλὴν τοῦ ποτοῦ. ποτῷ δὲ χρῆσθαι τῶν ἄλλων ὅτῳ ἂν ἐθέλῃς, πλὴν οἴνου. ἢ ὄξος καὶ μέλι καὶ ὕδωρ διδόναι. οἶνος δὲ οὐ ξυμφέρει τοῦ νοῦ παρακόπτοντος, οὔτε ἐν ταύτῃ τῇ νούσῳ, οὔτε ἐν ἑτέρῃσιν ἄλλῃσι. λούειν δὲ πολλῷ καὶ θερμῷ καὶ κατὰ τὴν κεφαλὴν ἐν ταύτῃ τῇ νόσῳ ξυμφέρει. μαλασσομένου γὰρ τοῦ σώματος, καὶ ἱδρὼς μᾶλλον γίνεται, καὶ ἡ κοιλίη καὶ τὸ οὖρον διαχωρέει. καὶ αὐτὸς ἑωυτοῦ ἐγκρατέστερος γίνεται. ἡ δὲ νοῦσος γίνεται ὑπὸ χολῆς, ὅταν κι-

νηθεῖσα

νηθεῖσα πρὸς τὰ σπλάγχνα καὶ τὰς φρένας προσίζῃ. ἡ δὲ νοῦσος κρίνεται. ἡ μὲν βραχυτάτη, ἑβδομαίη. ἡ δὲ μακροτάτη, ἐνδεκαταίη. διαφεύγουσι δὲ καὶ ταύτην, ὀλίγοι. μεθίσταται δὲ καὶ αὕτη, ἐς περιπλευμονίην. καὶ ἢν μεταστῇ ὀλίγοι διαφεύγουσιν. Καῦσος δὲ ὅταν ἔχῃ, πυρετὸς ἴσχει, καὶ δίψα ἰσχυρή. καὶ ἡ γλῶσσα τρηχείη, καὶ μέλαινα γίνεται, τοῦ πνεύματος ὑπὸ τῆς θερμότητος. καὶ τὸ χρῶμα ὑπόχολον γίνεται. καὶ τὰ σίαλα χολώδεα. καὶ τὰ μὲν ἔξω, ψυχρὸς γίνεται. τὰ δὲ ἔσω, λίαν θερμός. τούτῳ ξυμφέρει ψύγματα προσφέρειν, καὶ πρὸς τὴν κοιλίην, καὶ ἔξωθεν πρὸς τὸ σῶμα, φυλασσόμενος μὴ φρίξῃ. καὶ τά τε πόματα καὶ τὰ ῥοφήματα διδόναι πυκνὰ, καὶ κατ' ὀλίγον ὡς ψυχρότατα. τὴν δὲ κοιλίην θεραπεύειν. κἢν μὲν, μὴ ὑποχωρέῃ τὰ ἐνεόντα, κλύσαι. ψύχειν τε κλύσμασι ὡς ψυχροτάτοισιν, ἢ ὁσημέραι, ἢ διὰ τρίτης. ἡ δὲ νοῦσος αὕτη, γίνεται ὑπὸ χολῆς ὅταν κινηθεῖσα ἐντὸς τοῦ σώματος καταστηρίξῃ. φιλέει δὲ καὶ ἐς περιπλευμονίην μεθίστασθαι. κρίνεται δὲ ἡ μὲν βραχυτάτη, ἐνάτη ἢ δεκάτη. ἡ δὲ μακροτάτη, τεσσαρεσκαιδεκάτη. καὶ ἢν μὲν καταστῇ ἐς περιπλευμονίην, ὀλίγοι διαφεύγουσιν. ἢν δὲ μὴ μεταστῇ, διαφεύγουσι πουλλοί. αὗται μὲν οὖν ὀξεῖαι καλέονται. καὶ δεῖ ταύτας οὕτω θεραπεύειν. Ὁκόσοι δὲ ἄλλοι τοῦ χειμῶνος πυρετοὶ γίνονται, εἴτε διὰ οἴνου, εἴτε ἐκ κόπου, εἴτε δι' ἄλλου τινὸς, φυλάσσεσθαι χρή. μεθίστανται γὰρ ἐνίοτε ἐς τὰς ὀξείας νούσους. ἡ δὲ μετάστασις αὐτῶν, τοιαύτη γίνεται. ὅταν τῶν δύο κεκινημένων τοῦ φλέγματός τε καὶ τῆς χολῆς, μὴ τὰ ξυμφέροντα προσφέρηται τῷ σώματι, συστρεφόμενα αὐτὰ πρὸς ἑωυτὰ, τό, τε φλέγμα καὶ ἡ χολὴ προσπίπτει τοῦ σώματος ὅπου ἂν τύχῃ. καὶ γίνεται ἡ πλευρῖτις. ἢ φρενῖτις, ἢ περιπλευμονίη. φυλάσσεσθαι οὖν χρὴ, τοὺς πυρετοὺς τοὺς ἐν χειμῶνι. ἡ δὲ φυλακὴ αὐτῶν ἔστω, ἡσυχίη, καὶ ἰσχνασίη. καὶ τῆς κοιλίης κένωσις. ῥοφήμασι δὲ καὶ πόμασι διάγειν, ἕως ἂν ὁ πυρετὸς μεθῇ. τῶν νούσων σχεδόν τι μάλιστα αἱ ὀξεῖαι, καὶ ἀποκτείνουσι καὶ ἐπιπονώταταί εἰσι. καὶ δεῖ πρὸς αὐτὰς, φυλακῆς τε πλείστης, καὶ θεραπείης ἀκριβεστάτης. καὶ ἀπὸ τοῦ θεραπεύοντος, κακὸν μὲν μηδὲν προσγίνεσθαι, ἀλλ' ἀρκέειν τὰ ἀπ' αὐτῶν τῶν νουσημάτων ὑπάρχοντα. ἀγαθὸν δὲ ὅ, τι ἂν οἷός τε ᾖ. καὶ ἢν μὲν ὀρθῶς θεραπεύοντος τοῦ ἰητροῦ ὑπὸ μεγέθεος τῆς νούσου κρατέηται ὁ κάμνων, οὐχὶ καὶ αὕτη ἡ ἁμαρτία τοῦ ἰητροῦ ἐστίν. ἢν δὲ μὴ θεραπεύοντος ὀρθῶς, μὴ δὲ γινώσκοντος, ὑπὸ τῆς νούσου κρατέηται, τοῦ ἰητροῦ. Τοῦ δὲ θέρεος τάδε γίνονται. πυρετὸς ἴσχει ἰσχυρὸς, καὶ δίψα. καὶ ἐμέουσιν ἔνιοι χολήν. ἐνίοισι δὲ, καὶ κάτω διαχωρέει. τούτοισι δὲ πίνειν διδόναι καὶ ῥοφεῖν, ὅ, τι ἂν σοι δοκέῃ ἐπιτήδειον εἶναι. ἢν δὲ προσίστηται πρὸς τὴν καρδίαν χολὴ ἢ φλέγμα, ἐπιπίνοντες ὕδωρ ψυχρὸν, ἢ μελίκρητον, ἐμέειν. ἢν δὲ ἡ γαστὴρ μὴ ὑποχωρέῃ, κλύσματι χρῆσθαι, ἢ βαλάνῳ. ἡ δὲ νοῦσος γίνεται ὑπὸ χολῆς. ἀπαλλάσσονται δὲ μάλιστα ἑβδομαῖοι, ἢ ἐνναταῖοι. ἢν δὲ τοῦ πυρετοῦ ἔχοντος μὴ καθαίρωνται, μήτε κάτω, μήτε ἄνω, πόνος δὲ ἐνῇ καθ' ἅπαν τὸ σῶμα, ὅταν ἢ τριταῖος ἢ τεταρταῖος, φαρμάκῳ ὑποκαθῆραι ἐλαφρῷ κάτω, ἢ πόματι. ποιέειν δὲ ῥόφημα ἀπὸ κέγχρου, ἢ ἀλήτου. καὶ πόμασι τοῖσιν αὐτοῖσι θεραπεύειν. πάσχουσι δὲ καὶ ταῦτα ὑπὸ χολῆς. ἢν δὲ τὰ μὲν ἔξω μὴ πυρώδης ἢ σφόδρα, τὰ δ' ἔσω, καὶ ἡ γλῶσσα τρηχείη καὶ μέλαινα γίνεται, καὶ οἱ πόδες, καὶ αἱ χεῖρες ἄκραι ψυχραὶ, τούτῳ φάρμακον μὲν μὴ διδόναι, θεραπεύειν δὲ προσφέρων ψύγματα, καὶ πρὸς τὴν κοιλίην, καὶ πρὸς τὸ ἄλλο σῶμα. καλέεται δὲ ὁ πυρετὸς καυσώδης οὗτος. κρίνεται δὲ μάλιστα δεκαταῖος, καὶ τεσσαρεσκαιδεκαταῖος. ἢν δὲ τὸ πῦρ λαμβάνῃ καὶ μεθίῃ, τοῦ δὲ σώματος βάρος αὐτὸν ἔχῃ, τοῦτον ἕως μὲν ἂν τὸ πῦρ ἔχῃ ῥοφήμασι καὶ πόμασι θεραπεύειν. ὅταν δὲ μὴ ἔχῃ, διδόναι καὶ σιτία. καθῆραι δὲ ὡς τάχιστα φαρμάκῳ, ἤν τε ἄνω δοκέῃ σοι δεῖσθαι, ἤν τε κάτω. ἢν δὲ πυρετὸς μὲν μὴ ἔχῃ. τὸ δὲ στόμα πικρὸν ἔχῃ, καὶ τὸ σῶμα βαρύνηται καὶ ἀσιτέῃ, φάρμακον διδόναι. πάσχει δὲ ταῦτα ὑπὸ χολῆς ὅταν ἐς τὰς φλέβας καὶ τὰ ἄρθρα καταστηρίξῃ. ὁκόσαι δὲ ἄλλαι ὀδύναι ἐν τῷ θέρει κατὰ κοιλίην γίνονται. ὁκόσαι μὲν πρὸς τὰ ὑποχόνδρια καὶ τὴν καρδίην, μελίκρητον ὑδαρὲς ποιέων, ὅσον τρεῖς κοτύλας ὄξος παραχέας, δὸς πιεῖν χλιαρόν. καὶ ἐπισχὼν ὀλίγον χρόνον καὶ ξυνθαλφθεὶς πυρὶ καὶ ἱματίοισιν, ἐμείτω. ἢν δὲ ἀπεμέσαντι αὖθις προσίστηται καὶ πνίγῃ αὖθις ἔμετον ποιείσθω. ἢ λούσας αὐτὸν πολλῷ, καὶ θερμῷ, ὑποκλύσαι. καὶ χλιάσματα προστιθέναι ἐὰν ἡ ὀδύνη ἔχῃ. πάσχουσι δὲ ταῦτα μάλιστα ὑπὸ τοῦ φλέγματος, ὅταν κινηθὲν προσπέσῃ πρὸς τὴν καρδίην. διδόναι δὲ τοῖσι τὰ τοιαῦτα ἀλγήματα ἀλγέουσι, καὶ τῶν φαρμάκων ἃ γέγραπται παύοντα τὴν τοιαύτην νοῦσον ἐν τῇ

φαρμακίτιδι. ἢν δὲ μεθίστηται ἡ ὀδύνη ἄλλοτε ἄλλῃ τῆς κοιλίης καὶ ἀπύρετος ᾖ, λούειν πολλῷ καὶ θερμῷ. καὶ πίνειν διδόναι, τῆς ὀδύνης εἵνεκα, ἃ ἐν τῇ πλευρίτιδι γέγραπται. ἢ τῶν ἄλλων ὅ, τι ἄν σοι δοκέῃ. ἢν δὲ μὴ ἀπαλλάσσηται τῆς ὀδύνης, ὑποκαθῆραι φαρμάκῳ κάτω. σιτίων δὲ ἀπέχεσθαι, ἕως ἂν ἡ ὀδύνη ἔχῃ. τὰ δὲ τοιαῦτα ἀλγήματα ὅσα οὕτως πλανᾶται, ὑπὸ χολῆς γίνεται. ὅσαι δὲ κάτωθεν τοῦ ὀμφαλοῦ ὀδύναι γίνονται, ὑποκλύσαι μαλακῷ κλύσματι, ἢν δὲ μὴ παύηται, φάρμακον δοῦναι κάτω. ὁκόσαι δὲ ὀδύναι ἐξαπίνης γίνονται ἐν τῷ σώματι ἄνευ πυρετοῦ, ξυμφέρει λούειν πολλῷ καὶ θερμῷ, καὶ χλιαίνειν. τὸ γὰρ φλέγμα καὶ ἡ χολὴ, ξυνεστηκότα μὲν ἰσχυρά γε ἐστὶν, καὶ κρατέει καθ' ὁκοῖον ἂν τοῦ σώματος ᾖ. καὶ πόνον τε καὶ ὀδύνην ἰσχυρὴν παρέχει. διακεχυμένα δὲ ἀσθενέστερά ἐστι καθ' ὅ ἂν ἔνδηλα ᾖ τοῦ σώματος. τὰ δὲ νουσήματα ὅσα τοῦ θέρεος γίνονται, εἴωθε γίνεσθαι οὕτως. ὅταν τὸ σῶμα ὑπὸ τοῦ ἡλίου θαλφθῇ, ὑγραίνεται. ὑγραινόμενον δὲ, νοσέει, ἢ πᾶν, ἢ ἐς ὃ μέρος ἂν κατασκήψῃ τὸ φλέγμα καὶ ἡ χολή. ἢν μὲν οὖν τις αὐτὰ ἀρχόμενα θεραπεύῃ, οὔτε μακρὰ γίνεται, οὔτε ἐπικίνδυνα. ἢν δὲ μὴ θεραπεύῃ, ἢ κακῶς θεραπεύῃ, φιλέει καὶ μακρότερα γίνεσθαι, πολλάκις δὲ καὶ κτείνει. καὶ τριταῖοι δὲ καὶ τεταρταῖοι πυρετοὶ, ἐκ τῶν τοιούτων γίνεσθαι πεφύκασιν. αὕτη ἡ κατάστασις τῶν νουσημάτων, μάλιστα μὲν τοῦ θέρεος γίνεται. ἐνίοισι δὲ καὶ τοῦ χειμῶνος.

Τριταῖος δὲ πυρετὸς ὅταν ἔχῃ, ἢν μέν σοι δοκέῃ ἀκάθαρτος εἶναι, τῇ τετάρτῃ φάρμακον δοῦναι. ἢν δὲ μή σοι δοκέῃ φαρμάκου δέεσθαι, διδόναι φάρμακα ποτὰ, οἷσιν ἢ μεταστήσεται ὁ πυρετὸς, ἢ ἀπολείψει. διδόναι δὲ ὥσπερ γέγραπται ἐν τοῖσι φαρμάκοισι. καὶ τῇ μὲν λήψει, ῥοφήματι καὶ ποτῷ διαιτᾷν. ταῖς δὲ διὰ μέσου, σιτίοισι διαχωρητικοῖσι. λαμβάνει δ' ὡς ἐπὶ τὸ πουλὺ, οὐκ ἐπὶ πλεῖστον. ἢν δὲ μὴ θεραπεύηται, ἐθέλει μεθίστασθαι ἐς τεταρταῖον καὶ γίνεσθαι πουλυχρόνιος.

Ἢν δὲ τεταρταῖος λαμβάνῃ. ἢν μὲν ἀκάθαρτος ᾖ, καθαίρειν πρῶτον μὲν τὴν κεφαλήν. καὶ διαλείπων τρεῖς ἢ τέσσαρας ἡμέρας, φάρμακον διδόναι ἄνω κατ' αὐτὴν τὴν λῆψιν. διαλιπὼν δὲ, κάτω δοῦναι ἕτερον ἐν αὐτῇ τῇ λήψει. ἢν δὲ πρὸς ταῦτα μὴ παύηται, διαλιπὼν πάλιν, λούσας πολλῷ καὶ θερμῷ, δοῦναι τῶν φαρμάκων ἃ γέγραπται. ποτήμασι δὲ καὶ ῥοφήμασι καὶ τῇ ἄλλῃ διαίτῃ χρῆσθαι, ὥσπερ ἐπὶ τοῦ τριταίου. λαμβάνει δὲ οὗτος ὁ πυρετὸς, τοὺς μὲν πλείστους, πουλὺν χρόνον. τοὺς δὲ, καὶ ὀλίγον. καὶ γίνεται μὲν, ὅ, τε τριταῖος καὶ τεταρταῖος ὑπὸ χολῆς καὶ φλέγματος. διότι δὲ ὁ τριταῖος καὶ ὁ τεταρταῖος ἑτέρωθί μοι γέγραπται. δύναμιν δὲ ἔχει τῶν πυρετῶν τὰ φάρμακα τούτων, ὥστε πινόμενα, τὸ σῶμα κατὰ χώρην εἶναι, ἐν τῇ εἰωθυίῃ θερμότητι τε καὶ ψυχρότητι. καὶ μήτε θερμαίνεσθαι παρὰ φύσιν, μήτε ψύχεσθαι. διδόναι δὲ, ὡς ἐν τῇ φαρμακίτιδι γέγραπται.

Φλέγμα λευκὸν ὅταν ἔχῃ, τὸ σῶμα οἰδέει πᾶν, λευκῷ οἰδήματι. καὶ τῆς αὐτῆς ἡμέρης, τὸ μὲν, δοκέει ῥᾴων εἶναι. τὸ δὲ, φλαυρότερος. καὶ τὸ οἴδημα ἄλλοτε ἄλλῃ τοῦ σώματος, μέζον τε καὶ ἔλασσον γίνεται. τούτῳ φάρμακα διδόναι κάτω, ὑφ' ὧν ὕδωρ ἢ φλέγμα καθαίρεται. διαιτᾷν δὲ, σιτίοισι καὶ ποτοῖσι καὶ πόνοισιν, ὑφ' ὧν ὡς ξηρότατος ἔσται καὶ ἰσχνότατος. ἡ δὲ νοῦσος αὕτη γίνεται ἀπὸ φλέγματος. ὅταν τις ἐκ πυρετῶν πολυχρονίων φλεγματώδης ὢν, ἀκάθαρτος γένηται, τρέπηταί τε τὸ φλέγμα αὐτοῦ ἀνὰ τὰς σάρκας. καὶ λευκότερον μὲν οὐδὲν τοῦτο τοῦ ἄλλου ἢ φλέγματος. ὁ δὲ χρὼς, φαίνεται λευκότερος. τὸ γὰρ αἷμα ὑπὸ πλήθους τοῦ φλέγματος, ὑδαρέστερον γίνεται. καὶ οὐκ ἔνι ὁμοίως ἐν αὐτῷ τὸ εὔχροον. καὶ διὰ τοῦτο λευκότεροί τε φαίνονται. καὶ καλέεται ἡ νοῦσος, φλέγμα λευκόν. ἢν μὲν οὖν θεραπευθῇ ἀρχομένης τῆς νούσου, ὑγιὴς γίνεται. ἢν δὲ μὴ, ἐς ὕδρωπα μεθίσταται ἡ νοῦσος, καὶ διέφθειρε τὸν ἄνθρωπον.

Ὁκόσοι δὲ σπλῆνα ἔχουσι μέγαν, ὅσοι μὲν εἰσὶ χολώδεες, κακόχροοί τε γίνονται καὶ κακελκέες καὶ δυσώδεες ἐκ τοῦ στόματος καὶ λεπτοί. καὶ ὁ σπλὴν σκληρὸς, καὶ ἀεὶ παραπλήσιος τὸ μέγεθος. καὶ τὰ σιτία οὐ διαχωρέει. ὁκόσοι δὲ φλεγματίαι, ταῦτα τε ἧσσον πάσχουσι, καὶ ὁ σπλὴν ἄλλοτε μείζων γίνεται, ἄλλοτε δὲ ἐλάσσων, τούτοισι ξυμφέρει ἢν μὲν ἀκάθαρτοι φαίνονται, καθαίρειν καὶ τὴν κεφαλὴν καὶ τὸ ἄλλο σῶμα. ἢν δὲ μὴ δέωνται φαρμακείης, διαιτᾷν. τοῖσι μὲν φλεγματώδεσι, ξηραίνοντα τὸ σῶμα καὶ ἰσχναίνοντα σιτίοισι καὶ ποτοῖσι, καὶ ἐμέτοισι, καὶ γυμνασίοισιν ὡς πλείστοισι, καὶ περιπάτοισι. καὶ τοῦ ἦρος ἐλλεβόρῳ καθαίρειν ἄνω. ὁκόσοι δὲ χολώδεες, ξυμφέρει διυγραίνοντα τῇ διαίτῃ ὑπάγειν τὴν κοιλίην, καὶ τὴν κύστιν καὶ τὴν φλέβα τὴν σπληνῖτιν, ἀφιέναι πυκνά. καὶ τοῖσι διουρη-

τικοῖσι

τοῖσι φαρμάκοισι χρῆσθαι, ἃ γέγραπται μαλθάσσειν τὸν σπλῆνα. καὶ καθαίρειν ἔτεος ὥρῃ, καὶ ἄνω χολήν. ἔνιοι δὲ τῶν σπληνιώντων, ὑπὸ μὲν τῶν φαρμάκων πίνοντες οὐκ ὠφελέονται, οὐδ' ὑπὸ τῆς ἄλλης θεραπείης οὐδὲν ἰσχνότερος γίνεται αὐτῶν ὁ σπλὴν, ἀλλὰ κρατέεται τὰ προσφερόμενα ὑπὸ τοῦ μεγέθεος τῆς νούσου. προϊόντος δὲ τοῦ χρόνου, ἐνίοισι μὲν ἐς ὕδρωπα περιΐσταται ἡ νοῦσος, καὶ διεφθάρησαν. ἐνίοισι δὲ, καὶ ἐμπυΐσκεται. καὶ καυθέντες, ὑγιέες γίνονται. ἐνίοισι δὲ, καὶ ξυγκαταγηράσκει, σκληρός τε ὢν καὶ μέγας. τὸ δὲ νούσημα γίνεται, ὅταν ἐκ πυρετῶν καὶ κακοθεραπείης, χολὴ ἢ φλέγμα ἢ καὶ ἀμφότερα ἐς τὸν σπλῆνα καταστηρίξῃ. καὶ πολυχρόνιον μὲν, ἐστὶ τὸ πάθος. θανατῶδες δὲ, οὔ. τῶν δὲ φαρμάκων ὅσα δίδοται τοῦ σπληνὸς, τὰ μὲν καὶ διὰ τῆς κύστιος καθαίρει, καὶ ποιεῖ λαπαρώτερον. τὰ δὲ καθαίρει μὲν, οὔτε διὰ τῆς κύστιος οὐδὲν, ὅ, τι καὶ φανερώτερον, οὔτ' ἄλλῃ οὐδαμῇ. λαπάσσει δὲ τὸν σπλῆνα.

Εἰλεὸς ὅταν λάβῃ, ἡ γαστὴρ σκληρὴ γίνεται. καὶ διαχωρέει οὐδέν. καὶ ὀδύνη κάτω πᾶσαν τὴν κοιλίην ἔχει, καὶ πυρετὸς, καὶ δίψα. ἐνίοτε δὲ ὑπὸ πόνου ἐμέει καὶ χολήν. τοῦτον χρὴ διυγραίνειν, καὶ ἔσωθεν, καὶ ἔξωθεν. λούειν τε πολλῷ καὶ θερμῷ. καὶ πίνειν ὅσα τήν τε κοιλίην κινέει, καὶ τὸ οὖρον ὑπάγει. καὶ ὑποκλύζειν ἢν δέχηται. ἢν δὲ μὴ δέχηται τὸ κλύσμα, αὐλίσκον προσδήσας πρὸς ποδεῶνα, ἀσκίου φυσήσας, ἐνιέναι τὴν φῦσαν πολλήν. καὶ ἐπειδὰν ἀρθῇ τὸ ἔντερον ὑπὸ τῆς φύσης καὶ ἡ γαστὴρ, ἐξελὼν τὸν αὐλίσκον, ἐνιέναι παραχρῆμα κλύσμα. καὶ ἢν δέξηται, ὑποχωρήσει καὶ ὑγιὴς ἔσται. ἢν δὲ μὴ οὕτω δέξηται τὸ κλύσμα, ἀποθνήσκει μάλιστα ἑβδομαῖος. ἡ δὲ τοιαύτη νοῦσος γίνεται, ὅταν τῆς κόπρου ξυγκαυθῇ ἀθρόον ἐν τῷ ἐντέρῳ, περὶ δὲ περιΐσταται φλέγμα. καὶ τὸ ἔντερον ἅτε τούτων ἀθρόων ἐνεσκληκότων, περιοιδέει. καὶ οὔτε τῶν ἄνωθεν πινομένων φάρμακον δέχεται, ἀλλὰ ἀνεμέει, οὔτε τῶν κάτωθεν προσφερομένων κλυσμάτων δέχεται. ἔστι δὲ τὸ νούσημα ὀξὺ καὶ ἐπικίνδυνον.

Ὕδερος δὲ γίνεται τὰ μὲν πλεῖστα, ὅταν τις ἐκ νόσου μακρῆς ἀκάθαρτος διαφέρηται πολὺν χρόνον. φθείρονται γὰρ αἱ σάρκες, καὶ τήκονται, καὶ γίνονται ὕδωρ. γίνεται δὲ ὕδρωψ, καὶ ἀπὸ τοῦ σπληνὸς ὅταν νοσήσῃ. καὶ ἀπὸ τοῦ ἥπατος. καὶ ἀπὸ λευκοῦ φλέγματος. καὶ ἀπὸ δυσεντερίης. καὶ λειεντερίης. καὶ ἢν μὲν ἐξ ἀκαθαρσίης γένηται ὕδρωψ, ἡ μὲν γαστὴρ, ὕδατος πίμπλαται. οἱ δὲ πόδες καὶ αἱ κνῆμαι, ἐπαίρονται. οἱ δὲ ὦμοι καὶ αἱ κλεῖδες καὶ τὰ στήθεα καὶ οἱ μηροὶ τήκονται. τοῦτον ἢν ἀρχόμενον λάβῃς πρὸ τοῦ ὑπέρυδρον γενέσθαι, φάρμακα πιπίσκειν κάτω, ὑφ' ὧν ὕδωρ ἢ φλέγμα καθαίρεται. χολὴν δὲ κινέειν. σιτίοισι δὲ καὶ ποτοῖσι καὶ πόνοισι καὶ περιπάτοισι διαιτᾷν, ὑφ' ὧν ἰσχνὸς καὶ ξηρὸς ἔσται, καὶ αἱ σάρκες ὡς ἰσχυρόταται. ἡ δὲ νοῦσος, θανατώδης, ἄλλως τε καὶ ἢν φθῇ ἡ γαστὴρ μεστωθεῖσα ὕδατος. ὅταν δὲ ἀπὸ σπληνὸς, ἢ ἥπατος, ἢ λευκοῦ φλέγματος, ἢ δυσεντερίης ἐς ὕδρωπα μεταστῇ, θεραπεύειν μὲν τοῖσιν αὐτοῖσι ξυμφέρει, διαφεύγουσι δὲ οὐ μάλα. τῶν γὰρ νουσημάτων ὅ, τι ἂν ἕτερον ἐφ' ἑτέρῳ γένηται, ὡς τὰ πολλὰ ἀποκτείνει. ὅταν γὰρ ἀσθενεῖ τῷ σώματι ὄντι ὑπὸ τῆς παρεούσης νούσου, ἑτέρη νοῦσος ἐπιγένηται, προαπόλλυται ὑπὸ ἀσθενείης, πρὶν ἢ τὴν ἑτέρην νοῦσον, τὴν ὑστέρην γενομένην, τελευτῆσαι. τὸ δὲ ὕδωρ γίνεται οὕτως. ἐπειδὰν αἱ σάρκες ὑπὸ φλέγματος. καὶ χρόνου. καὶ νόσου. καὶ ἀκαθαρσίης. καὶ κακοθεραπείης. καὶ πυρετῶν διαφθαρῶσι, τήκονται καὶ γίνονται ὕδωρ. καὶ ἡ μὲν κοιλίη, οὐ μεταδιδοῖ ὕδωρ ἐς ἑωυτήν. κύκλῳ δὲ, περὶ αὐτὴν γίνεται. καὶ ἢν μὲν οὖν ὑπὸ τῶν φαρμάκων καὶ τῆς ἄλλης διαίτης ὠφελέηται, καὶ ἡ γαστὴρ λαπάσσεται αὐτοῦ. ἢν δὲ μὴ, ταμὼν ἀφεῖναι τοῦ ὕδατος. τέμνεται δὲ, ἢ παρὰ τὸν ὀμφαλὸν, ἢ ὄπισθεν κατὰ τὴν λαγόνα. διαφεύγουσι δὲ καὶ ἐντεῦθεν ὀλίγοι.

Δυσεντερίη ὅταν ἔχῃ ὀδύνη ἔχει κατὰ πᾶσαν τὴν κοιλίην, καὶ στρόφος. καὶ διαχωρεῖ χολήν τε καὶ φλέγμα, καὶ αἷμα ξυγκεκαυμένον. τοῦτον καθήρας τὴν κεφαλὴν, φάρμακον πῖσαι ἄνω, ὅ, τι φλέγμα καθαίρει. καὶ τὴν κοιλίην γάλακτι ἑφθῷ διανίψας, τὸ ἄλλο σῶμα θεραπεύειν. καὶ ἢν μὲν ἄπυρος ᾖ, τὴν μὲν κοιλίην λιπαροῖσι, καὶ πίοσι, καὶ γλυκέσι, καὶ ὑγροῖσιν ὑπάγειν αἰεὶ τὰ ἐνεόντα. καὶ λούειν πολλῷ καὶ θερμῷ, τὰ κάτω τοῦ ὀμφαλοῦ, ἢν ὀδύνη ἔχῃ. τὰ δὲ πόματα καὶ τὰ ῥοφήματα καὶ τὰ σιτία προσφέρειν, κατὰ τὰ γεγραμμένα ἐν τῇ φαρμακίτιδι. ἡ δὲ νοῦσος γίνεται, ἐπειδὰν χολὴ καὶ φλέγμα καταστηρίξῃ ἐς τὰς φλέβας καὶ τὴν κοιλίην, νοσέει μὲν τὸ αἷμα καὶ διαχωρέει ἐφθαρμένον. νοσέει δὲ καὶ τὸ ἔντερον, καὶ ξύεται καὶ ἑλκοῦται. γίνεται δὲ αὕτη ἡ νοῦσος, καὶ μακρὴ, καὶ πολύπονος, καὶ θανατώδης. καὶ ἢν μὲν ἔτι τοῦ σώματος ἰσχύοντος θε-

ρατεύηται, ἐλπὶς διαφυγεῖν. ἢν δὲ ἤδη ἐκτετηκότος, καὶ τῆς κοιλίης παντάπασιν ἡλκωμένης, ζωῆς οὐδεμία ἐλπίς. Λειεντερίη. τὰ σιτία διαχωρέει, ἄσηπτα, ὑγρά. ὀδύνη δὲ οὐκ ἔνι. λεπτύνεται δὲ, καὶ τὸ σῶμα. τοῦτον θεραπεύειν ἐν τοῖσιν αὐτοῖσι, τοῖς ὑπὸ δυσεντερίης ἐχομένοις. ἡ δὲ νοῦσος γίνεται, ὅταν ἐκ τῆς κεφαλῆς καὶ τῆς ἄνω κοιλίης καταῤῥόος γένηται τοῦ φλέγματος, ἐς τὴν κάτω κοιλίην. ὅταν δὲ ἔσω, τὰ σιτία ὑπ' αὐτοῦ ψύχεται καὶ ὑγραίνεται. καὶ ἡ ἄφοδος αὐτῶν ἀσήπτων ταχέη γίνεται. καὶ τὸ σῶμα τήκεται. ἅμα μὲν οὐ προσμένων τῶν σιτίων ἐν τῇ κοιλίῃ χρόνον ἱκανόν. ἅμα δὲ ὑπὸ τῆς κοιλίης θερμῆς ἐούσης παρὰ φύσιν θερμαινόμενον. Διάῤῥοια δὲ ἡ μακρὴ ὅταν ἔχῃ, διαχωρέει πρῶτον μὲν, τὰ εἰσιόντα ὑγρά. ἔπειτα φλέγμα. καὶ ἐσθίει μὲν ἐπιεικῶς. ὑπὸ δὲ τῆς πολλῆς διαχωρήσιος ἀσθενὴς καὶ λεπτὸς γίνεται. τοῦτον ἄνω ἀποξηραίνειν, ἐλλέβορον πιπίσκων. καὶ τὴν κεφαλὴν καθαίρων φλέγμα. διανίψαι δὲ καὶ τὴν κοιλίην, γάλακτι ἑφθῷ. ἔπειτα τ' ἄλλα σιτίοισι καὶ ποτοῖσι θεραπεύειν ὑφ' ὧν ξηρανεῖται ἡ κοιλίη καὶ τὸ σῶμα πᾶν. ἡ δὲ νοῦσος ἀπὸ τῶν αὐτῶν γίνεται, ἀφ' ὧν καὶ ἡ λειεντερίη. αὗται αἱ νοῦσοι ἥτε δυσεντερίη, καὶ ἡ λειεντερίη καὶ διάῤῥοια, παραπλήσιαί εἰσι. καὶ δεῖ αὐτὰς, οὕτως ἰῆσθαι. τὸ μὲν καταῤῥέον ἀπολαμβάνειν τὸ ἀπὸ τῆς κεφαλῆς καὶ τῆς ἄνω κοιλίης, ἢ ἀποτρέπειν. τοῦ γὰρ νουσήματος ἡ φύσις ἐντεῦθεν γίνεται, καὶ οὐδεὶς οὐδέν σου μέμψεται τὴν διάνοιαν. σχεδὸν δὲ καὶ τἄλλα νουσήματα, ὧδε δεῖ σκοπεῖν, ὁκόθεν ἑκάστῳ ἡ φύσις γίνεται. καὶ οὕτω σκοπῶν καὶ λαμβάνων τὴν ἀρχὴν τῶν νουσημάτων ἥκιστ' ἂν ἁμαρτάνοις. Τεινεσμὸς ὅταν λάβῃ, διαχωρέει αἷμα καὶ μύξα. καὶ πόνος ἐν τῇ κάτω κοιλίῃ γίνεται καὶ μάλιστα ὅταν ἐς ἄφοδον ἴξῃ. τοῦτον ξυμφέρει τὴν κοιλίαν διυγραίνειν καὶ λιπαίνειν, καὶ λεαίνειν. καὶ ὑπάγειν τὰ ἐνεόντα. καὶ λούειν θερμῷ, πλὴν τῆς κεφαλῆς. φιλέει δὲ ἡ νοῦσος αὕτη τὰ σιτία πλείω τελέειν. οἱ γὰρ στρόφοι γινομένης τῆς κοιλίης ὑπὸ τοῦ αἵματος διεξιόντος καὶ τῆς μύξης, καὶ προσιζόντων πρὸς τὸ ἔντερον, γίνονται. ἐνεόντων δὲ τῶν σιτίων, ἧττον δῆξιν παρέχει τῷ ἐντέρῳ. καὶ γίνεται μὲν ἀπὸ τῶν αὐτῶν, ὧν καὶ ἡ δυσεντερίη. ἀσθενεστέρη δὲ καὶ ὀλιγοχρονίη, καὶ οὐ θανατώδης. Ὅταν δὲ ἐξ οἴνου ἢ ὑπὸ εὐωχίης χολέρη λάβῃ ἢ διάῤῥοια, τῇ μὲν διαῤῥοίᾳ ξυμφέρει διανηστεύειν καὶ ἢν δίψος ἔχῃ, οἶνον διδόναι γλυκὺν, ἢ στέμφυλα γλυκέα. ἐς ἑσπέρην δὲ διδόναι ταῦτα, ἃ καὶ τοῖσιν ὑπὸ φαρμάκου κεκαθαρμένοισιν. ἢν δὲ μὴ παύηται, ἐθέλῃς δὲ παῦσαι, ἔμετον ἀπὸ σιτίου ἢ φακίου ποιῆσαι. καὶ παραχρῆμα ἀναπαύεται ἄνω ἢ κάτω ἄφοδος, καὶ ἢν διακλύσῃς χυλῷ φακῶν ἢ ἐρεβίνθων, καὶ οὕτως που παύσεται. Τῇ δὲ χολέρῃ ξυμφέρει, ἢν μὲν ὀδύνη ἔχῃ, διδόναι ἃ γέγραπται ἐν τοῖσι φαρμάκοισι, παύοντα τὴν ὀδύνην. τὴν δὲ κοιλίην θεραπεύειν τήν τε ἄνω καὶ τὴν κάτω, διυγραίνοντα πόμασι, καὶ μαλάσσοντα τὸ σῶμα λουτροῖσι θερμοῖσι, πλὴν τῆς κεφαλῆς. καὶ ὅ, τε ἔμετος, οὕτως εὐπετέστερος γίνεται, καὶ ἢν ἐσίῃ τι ὑγρὸν, τὰ προσεστηκότα ἄνω ἀπεμέεται, καὶ ἡ κάτω ὑποχώρησις μᾶλλον διαχωρέει. ἢν δὲ κενώσῃ, ἐμέεται βιαίως, καὶ ὑποχωρέει βιαιότερον. ἐς ἑσπέρην δὲ διδόναι καὶ τούτῳ, ὅσαπερ τῷ φαρμακοποτέοντι. γίνεται δὲ καὶ ταῦτα τὰ ἀλγήματα, ὅσα ἐκ ποσίων γίνεται. ἢ ἐξ εὐωχίης, ὅταν τὰ σιτία καὶ τὰ ποτὰ πλέον τοῦ εἰωθότος, ἐς τὴν κοιλίην εἰσέλθῃ. καὶ τὰ ἔξωθεν εἰωθότα ὑπερθερμαίνειν τὸ σῶμα, κινέει χολὴν καὶ φλέγμα. Στραγγουρίης, τρόποι μὲν πολλοὶ καὶ παντοῖοι. ξυμφέρει δὲ ἔξωθεν μὲν τὸ σῶμα μαλάσσειν λουτροῖσι θερμοῖσιν. ἔσωθεν δὲ διυγραίνειν, τὴν μὲν κοιλίην, σιτίοισιν ὑφ' ὧν εὔροος ἔσται. τὴν δὲ κύστιν, ποτοῖσιν ὑφ' ὧν τὸ οὖρον ὡς πλεῖστον διαχεῖται. διδόναι δὲ καὶ τῶν διουρητικῶν φαρμάκων, ἃ γέγραπται ἐν τῇ φαρμακίτιδι παύοντα τῆς ὀδύνης. ἡ δὲ νοῦσος ὑπὸ τοῦ φλέγματος γίνεται. καὶ ὅταν μὲν ἡ κύστις ξηρανθῇ, ἢ ψυχθῇ, ἢ κενωθῇ, ὀδύνην παρέχει. ὅταν δὲ ὑγρή τε ᾖ καὶ πλήρης, ἢ καὶ κεχυμένη, ἧσσον. ἡ δὲ νοῦσος τοῖσι μὲν παλαιοτέροισι, μακροτέρη γίνεται. τοῖσι δὲ νεωτέροισι, βραχυτέρη. θανατώδης δὲ, οὐδετέροισιν.

Ἰσχιὰς δὲ ὅταν γένηται, ὀδύνη λαμβάνει ἐς τὴν πρόσφυσιν τοῦ ἰσχίου, καὶ ἐς ἄκρον τὸ πυγαῖον, καὶ ἐς τὸν γλουτόν. τέλος δὲ καὶ διὰ παντὸς τοῦ σκέλεος πλανᾶται ἡ ὀδύνη. τούτῳ συμφέρει ὅταν ἡ ὀδύνη ἔχῃ μαλάσσειν καθ' ὁκοῖον ἂν τυγχάνῃ τοῦ σκέλεος στηρίζουσα ἡ ὀδύνη, ἐν λουτροῖσι καὶ χλιάσμασι καὶ πυρίῃσι. καὶ τὴν κοιλίην ὑπάγειν. ὅταν δὲ λωφήσῃ ἡ ὀδύνη, φάρμακον δοῦναι κάτω. καὶ μετὰ ταῦτα πιεῖν, γάλα ὄνου ἑφθόν. διδόναι δὲ τῆς ὀδύνης ἃ γέγραπται παρὰ τοῖσι φαρμάκοισιν. ἡ δὲ νοῦσος γίνεται, ἐπειδὰν χολὴ καὶ φλέγμα ἐς τὴν αἱ-

μόῤῥοον

μόῤῥοον φλέβα κατασκήψῃ, ἢ δι' ἑτέρης νόσου, ἢ ἄλλως ὁκόσον ἂν τοῦ αἵματος ὑπὸ φλέγματος καὶ χολῆς νουσήσῃ ξυνεστηκός. τοῦτο γὰρ πλανᾶται ἀνὰ τὸ σκέλος διὰ τῆς φλεβὸς τῆς αἱμοῤῥόου. καὶ ὅκου ἂν στῇ, κατὰ τοῦτο καὶ ἡ ὀδύνη ἔνδηλος γίνεται μάλιστα καὶ ἐπίπονος. θανατώδης δὲ οὔ. εἰ δὲ ἔς ἔν τι χωρίον κατασκήψῃ ἡ ὀδύνη καὶ στῇ, καὶ τοῖσι φαρμάκοισι μὴ ἐξελαύνηται, καῦσαι καθ' ὁκοῖον ἂν τυγχάνῃ ἐοῦσα ἡ ὀδύνη. καίειν δὲ περὶ ὠμολίνῳ. Ἀρθρῖτις νοῦσος ὅταν ἔχῃ, λαμβάνει πῦρ καὶ ὀδύνη τὰ ἄρθρα τοῦ σώματος. λαμβάνει δὲ καὶ ὀξέη. καὶ ἐς ἄλλο τε καὶ ἄλλο τῶν ἄρθρων, ὀξύτεραί τε καὶ μαλακώτεραι κατασκήψουσιν αἱ ὀδύναι. τούτῳ ξυμφέρει προσφέρειν ἣν ἂν ἡ ὀδύνη ἔχῃ, ψύγματα. καὶ ἐκ τῆς κοιλίης ὑπάγειν τὰ ἐνεόντα, κλύσμασιν ἢ βαλάνῳ. καὶ ῥοφᾶν διδόναι καὶ πιεῖν, ὅ, τι ἂν δοκέῃ σοι ξυνοίσειν. ὅταν δὲ ἡ ὀδύνη ἐνῇ, φάρμακον κάτω πῖσαι. καὶ μετὰ τοῦτο πίνειν ὀῤῥὸν ἑφθόν. καὶ ὄνου γάλα. ἡ δὲ νοῦσος γίνεται ὑπὸ χολῆς καὶ φλέγματος, ὅταν κινηθέντα εἰς τὰ ἄρθρα κατασκήψῃ. καὶ ὀλιγοχρονίη μὲν, γίνεται καὶ ὀξέη. θανατώδης δὲ, οὔ. νεωτέροισι δὲ εἴωθε μᾶλλον ἢ γεραιτέροισι γίνεσθαι. Ποδάγρη βιαιότερον μὲν τῶν τοιούτων ἁπάντων ὁκόσα περὶ τὰ ἄρθρα. καὶ πολυχρονιώτατον, καὶ δυσαπαλλακτότατον. καὶ ἔστι μὲν ἡ νοῦσος αὕτη, τοῦ αἵματος ἐφθαρμένου, τοῦ ἐν τοῖσι φλεβίοισιν, ὑπὸ χολῆς καὶ φλέγματος. ὅσῳ δὲ ἐν λεπτοτάτοισιν ἢ φλεβίοισιν, καὶ ἐν ἀνάγκῃ πεφυκόσι πλείστῃ τοῦ σώματος, καὶ ἐν νεύροισι καὶ ὀστέοισι πουλλοῖσί τε καὶ πυκνοῖσι, τοσούτῳ δὴ παραμονιμώτατόν τέ ἐστι τὸ νόσημα καὶ δυσαπαλλακτότατον, ξυμφέρει δὲ καὶ ταύτῃ τὰ αὐτὰ, ἃ καὶ τῇ ἀρθρίτιδι. καὶ μακρὴ μὲν καὶ αὕτη ἡ νοῦσος καὶ ἐπίπονος. θανατώδης δὲ οὔ. ἢν δὲ τοῖσι δακτύλοισιν ἡ ὀδύνη ἐγκαταλείπηται, καῦσαι τὰς φλέβας τὰς τῶν δακτύλων ὑπὲρ τῶν κονδύλων ὀλίγον. καίειν δὲ ὠμολίνῳ. Τὸν δὲ ἴκτερον, ὧδε χρὴ θεραπεύειν. ἔξωθεν μὲν τὸ σῶμα μαλθάσσειν λουτροῖσι θερμοῖσι. τὴν δὲ κοιλίην διυγραίνειν, καὶ τὴν κύστιν. καὶ τῶν διουρητικῶν διδόναι, ἃ προγέγραπται. ἢν δὲ ἰσχυρὸς ᾖ, καθήρας τὴν κεφαλὴν, φάρμακόν τι πῖσαι κάτω, ὃ χολὴν καθαίρει. ἔπειτα δὲ τοῖσι διουρητικοῖσι χρῆσθαι. ἡ δὲ νοῦσος γίνεται, ὅταν χολὴ κινηθεῖσα ὑπὸ τὸ δέρμα τράπηται. ταῦτα δὲ ἐπιστάμενος ἀνὴρ ἰδιώτης, οὐκ ἂν ὁμοίως ἐμπίπτοι εἰς ἀνήκεστα νουσήματα. καὶ γὰρ νουσήματα εἴωθεν ἀπὸ μικρῶν προφασίων μεγάλα καὶ πολυχρόνια γίνεσθαι. καὶ ὅσα μὲν σιτίων ἢ ποτῶν ἐχόμενά ἐστιν, ἢ ῥοφημάτων ἢ φαρμάκων ὅσα ὀδύνης εἵνεκα δίδοται, ἀκίνδυνά ἐστιν ἅπαντα προσφέρειν ἀεὶ, ἐὰν κατὰ τὰ γεγραμμένα προσφέρῃς. ὅσα δὲ καθαίρει τῶν φαρμάκων, χολὴν ἢ φλέγμα, ἐν τούτοισιν οἱ κίνδυνοι γίνονται, καὶ αἱ αἰτίαι τοῖσι θεραπεύουσι. φυλάσσεσθαι οὖν χρὴ τὰ μάλιστα, ταῦτα μὲν ὅσα κατὰ κοιλίην γίνεται νουσήματα, πλὴν περὶ ἐμπύων καὶ φθινόντων, καὶ τῶν γυναικείων. ταῦτα γὰρ χωρὶς γεγράψεται. Φύματα ὅσα φύεται πάντα, ὑπὸ φλέγματος ἢ αἵματος φύεται. ὅταν δὲ ὑπὸ τρώματος ἢ πτώματος ἀθροισθῇ, ξυμφέρει δὴ τούτων, τὰ μὲν καταπλάσσοντα καὶ φάρμακα πιπίσκοντα διαχεῖν. τὰ δὲ καταπλάσσοντα, πεπαίνειν. καὶ διαχέει μὲν τῶν καταπλασμάτων ὅσα θερμὰ ὄντα ὑγραίνει, καὶ μὴ σπᾷ ἐς ἑωυτά. πεπαίνει δὲ, ὅσα θερμαίνοντα ξυνάγει. ὅταν δὲ ἢ τμηθῇ ἢ αὐτόματον ῥαγῇ φαρμάκῳ ἀνακαθαίρειν τὸ ὑγρόν. ὅταν δὲ πυοῤῥοοῦντα παύσηται, ὡς ἕλκος ἰῆσθαι. Λέπρη. καὶ κνησμὸς καὶ ψώρη. καὶ λειχῆνες. καὶ ἀλφός. καὶ ἀλώπεκες, ὑπὸ φλέγματος γίνονται. ἔστι δὲ τὰ τοιαῦτα, αἶσχος μᾶλλον, ἢ νουσήματα. κηρίον. καὶ χοιράδες. καὶ φύγεθλα. καὶ δοθιῆνες. καὶ ἄνθραξ, ὑπὸ φλέγματος φύεται. τούτοισι τοῖσι φαρμάκοισιν ἀνακαθαίροντα, ὧδε χρῆσθαι. ὅσοι μὲν χολώδεές εἰσι, διδόναι, τὰ ὑφ' ὧν χολὴ καθαίρεται. ὅσοι δὲ φλεγματώδεες, τὰ ὑφ' ὧν φλέγμα. ὅσοι δὲ μελαγχολοῦσι, τὰ ὑφ' ὧν μέλαινα χολή. τοῖσι δὲ ὑδρωπιῶσι, τὰ ὑφ' ὧν ὕδωρ. ὅσα δὲ δίδοται φάρμακα ποτὰ καὶ μὴ καθαίρει μήτε χολὴν μήτε φλέγμα, ὅταν ἐς τὸ σῶμα ἐσέλθῃ, τὴν δύναμιν αὐτὰ παρέχεσθαι δεῖ, ἢ ψύχοντα, ἢ θερμαίνοντα. ἢ ξηραίνοντα, ἢ ὑγραίνοντα. ἢ ξυνάγοντα, ἢ διαχέοντα. ὅσα δὲ ὕπνον ποιεῖ, ἀτρεμίην δεῖ περὶ αἵματι παρέχειν τὸ φάρμακον. Ὅταν δὲ ἐπὶ νοσέοντα ἀφίκῃ, ἐπανερωτᾷν χρὴ ἃ πάσχει. καὶ ἐξ ὅτου. καὶ ποσταῖος. καὶ τὴν κοιλίην εἰ διαχωρεῖ. καὶ δίαιταν ἥν τινα διαιτᾶται. καὶ ἐνθυμέεσθαι πρῶτα μὲν τὸ νούσημα πότερον ἀπὸ χολῆς ἢ φλέγματος γεγένηται, ἢ ἀμφότερα. καὶ τοῦτο εὖ εἰδέναι, ὅτι ἀνάγκην ἔχει, ὥστε ὑπὸ τούτων τοῦ ἑτέρου, ἢ ἀμφοτέρων γίνεσθαι. ἔπειτα πότερον ξηρασίης ἢ ὑγρασίης χρήζει. ἢ τὰ μὲν τοῦ σώματος, ξηρασίης. τὰ δὲ, ὑγρασίης. ἔπειτα τὴν νοῦσον,

σου, εἴτε ἄνω δεῖ θεραπεύειν, εἴτε κάτω, εἴτε διὰ τῆς κύστιος. καὶ εἴτε αὔξεται ἡ νοῦσος, εἴτε μαραίνεται, εἴτε λύεται, εἴτε μεταπίπτει ἐς ἑτέραν νοῦσον.

Τοὺς τρωματίας, λιμοκτονέειν, καὶ ἐκ τῆς κοιλίης ὑπάγειν τὰ ἐνεόντα, ἢ ὑποκλύζοντα, ἢ φάρμακον κάτω διδόντα. καὶ πίνειν ὕδωρ ἢ ὄξος, ἢ ῥοφεῖν. τὰ φλεγμαίνοντα ψύχειν καταπλάσμασι. τὰ δὲ τοιαῦτα καταπλάσματα ἐστίν, ἢ τεῦτλα ἑφθὰ ἐν ὕδατι, ἢ σέλινον, ἢ ἐλαίης φύλλα, ἢ συκῆς φύλλα, ἢ βάτου, ἢ βαλάνου, ἢ ῥοιῆς γλυκείης. ἑφθοῖσι δὲ τούτοισι χρῆσθαι. ὠμοῖσι δὲ ῥάμνου φύλλοισιν. ἢ ἄγνου. ἢ ἐλελισφάκου, ἢ τιθυμάλλου. ἢ γλήχωνα χλωρήν, ἢ πράσα. ἢ σέλινα. ἢ κορίανον. ἢ ἰσάτιος φύλλα. ἢν δὲ μηδὲν ἀπὸ τούτων ἔχῃς, μὴ δὲ ἄλλο τι μηδὲν κατάπλασμα, ἄλφιτον φυρήσας ὕδατι ἢ οἴνῳ, καταπλάσαι. τοσοῦτον δὲ χρόνον καταπλάσματα τάδε ὠφελέει, ὁκόσον ἂν ψυχρότερα ᾖ ἢ τὸ ἕλκος. ὅταν δὲ ἢ θερμότερα, ἢ ὁμοίως θερμὰ, βλάπτει. τὰ λιπαρὰ πρὸς τὰ φλεγμαίνοντα οὐ ξυμφέρει, οὐδὲ πρὸς τὰ ἀκάθαρτα, οὐδὲ πρὸς τὰ σηπόμενα. ἀλλὰ πρὸς μὲν τὰ φλεγμαίνοντα, ξυμφέρει τὰ ψυχρὰ, πρὸς δὲ τὰ ἀκάθαρτα καὶ τὰ σηπόμενα, τὰ δριμέα, καὶ ὅσα δῆξίν τινα παρεχόμενα, καθαίρει. ὅταν δὲ σαρκοφυῆσαι βούλῃ, τὰ λιπαρὰ καὶ τὰ θερμὰ μᾶλλον ξυμφέρει, πρὸς ταῦτα γὰρ ἡ σὰρξ θάλλει. ὁκόσοισιν ἄνθρωποι σιτίοισιν ἢ ποτοῖσιν ὑγιαίνοντες ἐς δίαιταν χρῶνται, ἐκ τούτων χρὴ τῶν παρεόντων χρῆσθαι, πρὸς τοὺς νοσέοντας σκευάζοντα, θερμὰ καὶ ψυχρὰ, καὶ ὑγρὰ καὶ ξηρά. ἐκ μὲν ψυχρῶν, θερμά. καὶ θερμὰ μὲν, ἐκ μὴ θερμῶν. καὶ ξηρὰ, ἐκ μὴ ξηρῶν. καὶ τὰ λοιπὰ κατὰ τὸν αὐτὸν τρόπον. ἀπορέειν δὲ οὐ χρὴ οὐδὲ τοῖσι παρεοῦσι μὲν μὴ δύνασθαι. τὰ ἀπόντα δὲ ζητοῦντα μηδὲν ὠφελέειν τὸν κάμνοντα οἷόν τε εἶναι. εὑρήσεις δὲ ἢν ὀρθῶς σκοπέῃς ἔξω τουτέων, οἷσι πρὸς τὸν νοσέοντα χρῶνται ὀλίγα. ῥοφήματα δὲ ἐν τοῖσι νούσοισι ἁπάσῃσι διδόναι, ἢ πτισάνην, ἢ κέγχρον, ἢ ἄλητον, ἢ χόνδρον. τούτων ὁκόσα μὲν δεῖ δίδως εἰς διαχώρησιν, λεπτὰ διδόναι, καὶ διεφθότερα καὶ γλυκύτερα, ἢ ἁλυκώτερα, ἢ θερμώτερα. ὁκόσα δὲ ἐς ἰσχὺν ἢ ἀνακομιδὴν, παχύτερα, λιπαρώτερα, καὶ μετρίως ἑφθά. ποτοῖσι δὲ χρῆσθαι, ἢν μὲν ὑπάγειν ἐθέλῃς τὴν κοιλίην καὶ τὴν κύστιν, γλυκὺν οἶνον, ἢ μελίκρητον. ἢν δὲ στύφειν, αὐστηρὸν, λευκὸν, λεπτὸν, ὑδαρέα. ἢν δὲ ἰσχύειν, αὐστηρὸν, μέλανα.

ὁκόσοι τὸν οἶνον πίνουσιν ἀνηλεῶς, τούτοισι διδόναι, ἃ γέγραπται ἐν τῇ φαρμακίτιδι ποτὰ σκευαζόμενα. τοῖσι φαρμακοποτέουσι διδόναι μετὰ τὴν κάθαρσιν, τοῖσι μὲν πυρέσσουσιν, ἢ φακὸν, ἢ κέγχρον λεπτὸν, ἢ πτισάνης χυλόν. διδόναι δὲ πτισάνην μὲν καὶ κέγχρον, ὡς κοῦφα ἐόντα. χόνδρον δὲ, ὡς ἰσχυρότατον πάντων. καὶ ἄλητον, ὡς ἰσχυρότερον τούτων. φακὸν δὲ εὐώδεα σκευάσαι, καὶ ὀλίγον διεφθότερον διδόναι, ὡς καὶ κοῦφον ὂν ῥόφημα καὶ εὐκάρδιον ἄνω. παραμίσγειν δὲ ἢ ἅλας. ἢ μέλι. καὶ κύμινον, καὶ ἔλαιον. ἐς δὲ φακὸν παραμίσγειν ἢ χλόης γλήχωνος καὶ ὄξους ὀλίγον. τοῖσι δὲ ἀπύροισιν, ἄρτου καθαροῦ τὸ ἔσωθεν ἐντρίψας ἐν ζωμῷ. ἢ μάζαν καὶ τέμαχος ἑφθὸν, ἢ κρέας οἰὸς ὡς νεωτάτης, ἢ ὄρνιθος, ἢ σκύλακος ἑφθόν. καὶ τοῖσι πυρέσσουσιν, ἢ τεῦτλον, ἢ κολοκύντην, ἢ βλῆτον. καὶ μετὰ τὸ σιτίον, πίνειν οἶνον οἰνώδεα, παλαιὸν, λευκὸν, ὡς ὑδαρέα.

Οἷσι λούεσθαι μὴ ξυμφέρει, ἀλείφειν οἴνῳ καὶ ἐλαίῳ θερμῷ. καὶ ἐκμάσσειν διὰ τρίτης.

Ὅταν κοιλίην ὑγραίνειν ἀπὸ σιτίων ἀσθενέοντος ἐθέλῃς, διδόναι μάζαν καὶ ὄψα. θαλασσίων μὲν τεμάχια ἑφθὰ ἐν ὑποτρίμματι. κρέα δὲ οἰὸς ὡς νεωτάτης. ἢ ἐρίφου, ἢ σκύλακος. ἢ ὄρνιθος ἑφθά. καὶ τεῦτλα ἢ βλῆτα ἢ λάπαθα ἢ κολοκύντην ἢν ὥρη ᾖ. λάχανα δὲ σέλινα, καὶ ἄνηθα, καὶ ὤκιμα. καὶ τὸν οἶνον μελιχρὸν, παλαιὸν, λευκὸν, ὑδαρέα. ὅταν δὲ ξηραίνῃς τὸ σῶμα, διδόναι ἄρτον. καὶ ὄψα ὀπτὰ καὶ ξηρὰ καὶ θερμότερα ταῦτα πάντα. καὶ κρεῶν τὰ μέλεα, ὅσα σαρκώδεα ἰχθύων τοὺς πετραίους. λάχανα πήγανον. ἢ θύμον. ἢ ὀρίγανον. τὸν δὲ οἶνον μέλανα αὐστηρόν. σκευάζειν δὲ τὰ ὄψα, ἁλσὶ καὶ κυμίνῳ, καὶ τοῖσιν ἄλλοισιν ἀρτύμασιν ὡς ἐλαχίστοισι χρῆσθαι.

ὅταν δὲ ἀνακομίσαι ἐκ νόσου ἐθέλῃς, διδόναι τὰ μὲν ἄλλα ταυτὰ, ἃ καὶ ὅταν διυγραίνῃς τὴν κοιλίην. τὰ δὲ κρέα ἀντὶ τῶν γαλαθηνῶν ἰσχυρότερα. καὶ ἀντὶ τῶν κυνείων, ὀρνίθεια, καὶ λάγεια. καὶ τούτων ἔνια ὀπτὰ καὶ τῶν κρεῶν καὶ τῶν ἰχθύων. καὶ ἐσκευασμένα ὡς ἄριστα. ὁκόσοισι τῶν νουσημάτων ξηρασίη ξυμφέρει, μονοσιτίη ξυμφέρει, καὶ τὰ σιτία καὶ τὰ ποτὰ ἐλάσσω τελέειν ἢ ὥστε πλήρη εἶναι. καὶ ταῦτα ἐκπονέειν καὶ περιπατεῖν καὶ κοιμᾶσθαι ὡς ἐλάχιστα. ὁκόσοισι δ' αὖ ὑγρασίη ξυμφέρει, μὴ ἀσιτέειν. καὶ τοῦ σιτίου καὶ τοῦ ποτοῦ, μὴ ἐνδεᾶ εἶναι. μὴ δὲ πονέειν. καὶ κοιμᾶσθαι ὁκόσα ἂν ἐθέλῃ. ὁκόσων ἐπιθυμέουσιν οἱ κάμνοντες ἢ σιτίων, ἢ ὄψων, ἢ ποτῶν, ὑπαρχέτω ταῦτα

ἢν μὲ

ἢν μὴ μέλλῃ τῷ σώματι βλάβος ἔσεσθαι. ὁκόταν ἢ σιτίων ἢ ποτῶν προσθεῖναι ἄρξῃ, ἢ ἀφαιρέειν, κατ' ὀλίγον χρὴ, καὶ τὰς προσθέσιας ποιέεσθαι καὶ τὰς ἀφαιρέσιας. ὁκόσοι σιτία ἱκανὰ οἷοί τε εἰσι τελέειν, ῥοφήματα μὴ διδόναι. ἀποκλείει γὰρ τοῦ σιτίου. ὁκόσοι δὲ μὴ οἷοί τε, τούτοισι διδόναι. ἐὰν δέ τι διδόναι θέλῃς κομιδῆς εἵνεκα, διδόναι χόνδρον, ἢ πτισάνην παχείην. ταῦτα γὰρ τῶν ῥοφημάτων τὰ ἰσχυρότερα. διδόναι δὲ μετὰ δεῖπνον. τὰ φάρμακα ὅσα ποτὰ, καὶ ὅσα πρὸς τὰ τρώματα προσφέρεται μανθάνειν χρὴ, ἄξιον γὰρ ἅπαντος. οὐ γὰρ ἀπὸ γνώμης ταῦτα εὑρίσκουσιν οἱ ἄνθρωποι, ἀλλὰ μᾶλλον ἀπὸ τύχης. οὐδέ τι οἱ χειροτέχναι μᾶλλον ἢ οἱ ἰδιῶται. ὅσα δὲ ἐν τῇ τέχνῃ τῇ ἰητρικῇ γνώμῃ μανθάνεται καὶ εὑρίσκεται, ἢ περὶ σιτίων ἢ περὶ φαρμάκων, παρὰ τῶν οἵων τε διαγινώσκειν, τὰ ἐν τῇ τέχνῃ μανθάνειν χρὴ, ἢν τι θέλῃς μανθάνειν. μετὰ τὰ ῥοφήματα διδόναι τὸ σιτίον πᾶσιν ἀσθενέουσιν. ἐπιπίνειν δὲ οἶνον οἰνώδεα. πρὸ δὲ τῶν σιτίων καὶ ποτῶν ἢ ῥοφημάτων, καὶ μετὰ ταῦτα ὅ, τι ἂν σοι δοκέῃ τοῖσιν ἀσθενέουσιν ἐσορῶν τὸ σῶμα καὶ τὴν ψυχὴν, προσφέρειν καὶ τὸ σιτίον καὶ τὸ ποτόν. μάλιστα γὰρ ἂν οὕτως ὠφελέοις. τῶν σιτίων ἃ δύναμιν ἕκαστα ἔχει, τεκμαίρεσθαι χρὴ, ἀπὸ τῶν φανερῶν τὴν δύναμιν παρεχομένων. ὁκόσα ἢ φῦσαν, ἢ δῆξιν, ἢ πλησμονὴν, ἢ ὀξυρεγμὸν παρέχει. ἢ στρόφον, ἢ διαχωρέει, ἢ μὴ διαχωρέει. καὶ φανερὰ ὅ, τι ταῦτα ἐργάζεται. καὶ ἀπὸ τούτων χρὴ, τά τε ἄλλα σκοπέειν. ἔχει γὰρ ἕκαστα τῶν ἐδεσμάτων, διότι καὶ ὠφελέει καὶ βλάπτει. ἀλλὰ τὰ ἄλλα τὰ μὲν φανερώτατά ἐστιν ἐργαζόμενα, ἃ ἐργάζεται. τὰ δὲ ἀμυδρότερα. τὰ σιτία καὶ τὰ ὄψα σκευάζειν καὶ διδόναι τοῖσιν ἀσθενέουσιν, ὑφ' ὧν μήτε φῦσα ἔσται, μήτε ὀξυρεγμίη, μήτε στρόφος, μήτε λίην διαχωρέῃ, μήτε λίην ξηραίνηται. ταῦτα δὲ γίνεται ὧδε. ὅσα μὲν ἡ κοιλίη κρατέει, καὶ τὸ σῶμα αὐτὰ ἀναδέχεται, ταῦτα μὲν οὔτε φῦσαν παρέχεται, οὔτε στρόφον. ἢν δὲ μὴ ἡ κοιλίη κρατέῃ, ἀπὸ τούτων καὶ φῦσα, καὶ στρόφος, καὶ τἄλλα τὰ τοιαῦτα γίνεται. κουφότατα τῶν σιτίων καὶ τῶν ὄψων καὶ τῶν ποτῶν, ὅσα μέτρια ἐσιόντα ἐς τὸ σῶμα, ἢ ὀλίγῳ πλέω τῶν μετρίων, μήτε πλήρωσιν παρέχει, μήτε στρόφον, μήτε φῦσαν, μήτε ἄλλο τῶν τοιούτων μηδέν. καὶ πέσσεταί τε τάχιστα. καὶ πεσσόμενα διαχωρέει. καὶ ἀνὰ πᾶσαν τε τὴν ἡμέρην ἐσιόντα ἐς τὴν κοιλίην, ἀλυπότατά ἐστι, καὶ ὅταν διὰ παλαιοῦ ἐσέλθῃ. βαρέα δὲ ὅσα μέτρια τελεύμενα ἢ ἐλάσσω τῶν μετρίων, πλήρωσιν καὶ πόνον παρέχει, καὶ μὴ τελέειν, μὴ δεῖον τε ἐσθίειν αὐτὰ μηδὲ πίνειν, ἀλλὰ πόνον παρέχει. διὰ χρόνον δὲ αὖθις αὐτὰ ἢ πίνει ἢ ἐσθίει, καὶ οὕτω πόνον παρέχει, καὶ οὐ διαχωρέει ἀνὰ λόγον. ἐς ὑγείην ἄριστα, ὅσα ὀλίγιστα ἐσιόντα, αὐτάρκεά ἐστι, καὶ λιμοῦ καὶ δίψης ἄκος εἶναι. καὶ πλεῖστον χρόνον τὸ σῶμα αὐτὰ δέχεται, καὶ διαχωρέει κατὰ λόγον.

Ἐς ἰσχὺν δὲ ἄριστα, ὅσα σάρκα φύει πλείστην, καὶ πυκνοτάτην. καὶ τὸ αἷμα παχύνει. καὶ διαχωρέει κατὰ λόγον τῶν εἰσιόντων. καὶ τὸ σῶμα πλεῖστον χρόνον ἀναδέχεται. τὰ λιπαρὰ καὶ τὰ πίονα, καὶ τὰ τυρώδεα καὶ μελιτώδεα, καὶ τὰ σησαμόεντα ὀξυρεγμίην ὡς μάλιστα παρέχει, καὶ χολέρην. καὶ στρόφον. καὶ φῦσαν. καὶ πλησμονήν. ποιέει δὲ τοῦτο αὐτὸ, καὶ ὅταν πλέω τις φάγῃ ἢ πίῃ, ἢ ὅσα οἵα τε πέψαι ἡ κοιλίη.

Τοῖσιν ἀσθενέουσι, ἢν μὲν κατὰ λόγον τῆς νούσου καὶ τοῦ σώματος δίδως ἃ ἂν δίδως, ἐπαναλίσκει ταῦτα τὸ σῶμα. καὶ οὔτε ἐνδεές ἐστιν, οὔτε πλῆρες. ἢν δὲ ἁμαρτάνῃς τοῦ καιροῦ ἢ ἔπειτα, βλάβος ἐπ' ἀμφότερα. ὅσα τῶν σιτίων ἢ τῶν ὄψων ἢ τῶν ποτῶν τὸ σῶμα ἀναδέχεται, μάλιστα ἀπὸ τούτων, οὔτε στρόφος γίνεται, οὔτε φῦσα, οὔτε ὀξυρεγμίη. ὅταν γὰρ ἐς τὴν κοιλίην εἰσέλθῃ, ἀπ' αὐτοῦ πᾶν τὸ σῶμα τὸ αὐτῷ ἐπιτήδειον, καὶ ἀσθενέστερον ἤδη τὸ λοιπὸν ἀνάγκη εἶναι, ὥστε στρόφον, ἢ φῦσαν, ἢ ἄλλο τι τῶν τοιούτων ἐν τῇ κοιλίῃ μὴ ποιῆσαι.

Τῶν οἴνων καὶ οἱ γλυκέες, καὶ οἱ αὐστηροὶ, καὶ οἱ μελιχροὶ παλαιοὶ, τὴν κοιλίην ὑπάγουσι. μάλιστά τε διουρέονται καὶ τρέφουσι. καὶ οὔτε φῦσαν παρέχουσιν, οὔτε στρόφον οὔτε πλησμονήν.

Κρεῶν τὰ δίεφθα, καὶ τὰ ἔξοπτα, ἀσθενέα μὲν πρὸς τὴν ἰσχὺν ἀμφότερα. ἐς δὲ τὴν διαχώρησιν, τὰ μὲν δίεφθα, ἐπιτήδεια. τὰ δὲ ὀπτὰ, στασιμώτερα. τὰ δὲ μετρίως ἔχοντα καὶ ἑψήσιος καὶ ὀπτήσιος, μετρίως καὶ ἐς τὴν ἰσχὺν ἔχει, καὶ ἐς τὴν διαχώρησιν. τὰ δὲ ὠμότερα πρὸς μὲν τὴν ἰσχὺν, ἐπιτήδεια. πρὸς δὲ τὴν διαχώρησιν, οὔ.

Τῶν σιτίων καὶ τῶν ποτῶν τὰ προσφορώτατα τῷ σώματι, καὶ μάλιστα αὐτάρκεα καὶ ἐς τροφὴν καὶ ἐς ὑγείην. καὶ ἀπὸ τούτων αὐτῶν, ὅταν τις αὐτοῖσι μὴ ἐν καιρῷ χρῆται, ἢ πλέοσι τοῦ καιροῦ, αἵ τε νοῦσοι καὶ ἐκ νούσων οἱ θάνατοι γίνονται. τὰ δ' ἄλλα σιτία καὶ ποτὰ ὅσα μὴ τοιαύτην

δύναμιν ἔχει, σμικρὸν μέντοι ὠφελεῖ, ἤν τις καὶ τὰ πάντα αὐτοῖσιν ἐν καιρῷ χρῆται. σμικρὰ δὲ καὶ βλάπτει ἐπ' ἀμφότερα δέ ἐστιν ἀσθενέα, ὥστε ἀγαθόν τι ποιῆσαι. καὶ ὥστε κακόν. ἔστι δὲ τῶν σιτίων καὶ τῶν ποτῶν ἃ τὴν δύναμιν ἔχει ταύτην τάδε. ἄρτος. μάζα. κρέα. ἰχθύες. οἶνος. τούτων μέντοι τὰ μὲν μᾶλλον. τὰ δὲ ἧσσον. Ὁκόσοι ξηρὴν δίαιταν διαιτῶνται, τούτοισι μὴ ξὺν τῷ σιτίῳ τὸ ποτὸν διδόναι, ἀλλὰ μετὰ τὸ σιτίον, διαλιπὼν πουλὺν χρόνον. καὶ οὕτω μὲν ξηρὴ ἡ ἰκμὰς ἀπὸ ξηρῶν σιτίων γινομένη, τὸ σιτίον ξηραίνει. ἢν δὲ ἅμα τῷ σιτίῳ πίνῃ, νοτερωτέρη ἡ τροφὴ γινομένη, ὑγρότερον τὸ σῶμα ποιέει. Ἄρτος ὁ θερμὸς καὶ τὰ κρέα τὰ θερμὰ αὐτὰ ἐφ' ἑωυτῶν ἐσθιόμενα, ξηραίνει. ἢν δὲ ξὺν ὑγρῷ διδῷς, ἢ ἐπιπίνειν παραχρῆμα ἐπὶ τῷ σιτίῳ, οὐ ξηραίνει. Ἄρτος ὁ καθαρὸς τῶν ἀλεύρων, ἐς ἰσχὺν καὶ κομιδὴν ξυμφορώτερος ἢ ὁ ἄνθρεκτος, καὶ πρόσφατος ἢ ἕωλος. καὶ τῶν ἀλεύρων προσφάτων ἢ παλαιοτάτων. Τὰ ἄλφιτα τῶν κριθέων ἀποβρέχων περίχυδα ἐπιπισμένων ἰσχυρότερα ἢ βεβρεγμένων. καὶ πρόσφατα ἢ παλαιότερα. καὶ ἡ μάζα προπεφυρημένη ἰσχυροτέρη, ἢ μὴ προπεφυρημένη. Ὁ οἶνος διαχεόμενος καὶ ἀποψυχόμενος καὶ διηθούμενος, λεπτότερος γίνεται καὶ ἀσθενέστερος.

Τὰ κρέα τὰ μὲν ἑφθὰ, ἢν μὲν δίεφθα ποιήσῃς, ἀσθενέστερα καὶ ἐλαφρότερα. τὰ δὲ ὀπτὰ, ἢν ἔξοπτα γένωνται, καὶ τὰ παλαιὰ ἐξ ὄξους ἢ ἁλῶν, ἀσθενέστερα καὶ ἐλαφρότερα τῶν προσφάτων. Τὰ ἀσθενέα τῶν σιτίων καὶ τὰ κοῦφα, τὴν μὲν κοιλίην οὐ λυπέει, οὐδὲ τὸ σῶμα, διότι οὐκ ἀνοιδέει θερμαινόμενα, οὐδὲ πληροῖ, ἀλλὰ λαπάσσεται ταχὺ, καὶ πεσσόμενα διαχωρέει. ἡ δὲ ἰκμὰς ἀπ' αὐτῶν τῷ σώματι ἀσθενὴς γίνεται, καὶ οὔτε αὔξει, οὔτε ἰσχὺν ἀξίην λόγου παρέχει. τὰ δὲ ἰσχυρὰ τῶν σιτίων, ἀνοιδέει τε ὅταν ἐς τὴν κοιλίην ἐσέλθῃ. καὶ πλήρωσιν παρέχει. καὶ πέσσεται μὲν χαλεπώτερον, καὶ οὐ διαχωρέει. ἡ δὲ ἰκμὰς ἀπ' αὐτῶν ἰσχυροτέρη καὶ ἀκήρατος προσγινομένη, ἰσχύν τε παρέχει τῷ σώματι πολλὴν, καὶ αὔξην. Κρεῶν κουφότατα ἐς τὸ σῶμα, κύνεια. καὶ ὀρνίθεια. καὶ λαγῷα ἑφθά. βαρέα δὲ τὰ βόεια. καὶ τὰ χοίρεια μετριώτερα, πρὸς δὲ τὴν φύσιν καὶ ἑφθὰ καὶ ὀπτά. ὑγιαίνουσι καὶ ἀσθενέουσι τὰ μήλεια. τὰ δὲ ὕεια ἐς καὶ εὐεξίην μὲν καὶ ἰσχὺν πονέουσι, καὶ γυμναζομένοισιν ἀγαθά. ἀσθενέουσι δὲ καὶ ἰδιώτῃσιν, ἰσχυρότερα. καὶ τὰ θήρεια τῶν ἡμέρων, κουφότερά ἐστι, διότι καρπὸν οὐχ ὅμοιον ἐσθίει. διαφέρει δὲ τὰ κρέα τῶν κτηνέων, καὶ ὁκόσα καρπὸν ἐσθίει καὶ ὁκόσα μὴ ἐσθίει. καὶ ὁ καρπὸς, οὐ τὸ αὐτὸ ἅπασι ποιέει. ἀλλὰ τὸ μὲν πυκνήν τε τὴν σάρκα τοῦ ἱερείου παρέχει καὶ ἰσχυρήν. τὸ δὲ ἀραιήν τε καὶ ὑγρὴν καὶ ἀσθενέα. Ὡς μὲν τὸ ξύμπαν εἰρῆσθαι, ἰχθύες κοῦφον ἔδεσμα, καὶ ἑφθοὶ καὶ ὀπτοὶ, καὶ αὐτοὶ ἐφ' ἑωυτῶν, καὶ μεθ' ἑτέρων σιτίων. αὐτοὶ δὲ ἐφ' ἑωυτῶν, διαφέρουσιν ὧδε. καὶ οἱ μὲν λιμναῖοι, καὶ πίονες, καὶ οἱ ποτάμιοι, βαρύτεροι. οἱ δὲ ἀκταῖοι θαλάσσιοι, κουφότεροι. καὶ δίεφθοι ὀπτῶν κουφότεροι. ἀπὸ τούτων τὰ μὲν ἰσχυρὰ διδόναι, ὅταν ἀνακομίσαι τινὰ βούλῃ. τὰ δὲ κοῦφα, ὅταν ἰσχνὸν δέοι καὶ λεπτὸν ποιῆσαι. Τὸ λουτρὸν τὸ θερμόν. τὸ μὲν μέτριον, μαλάσσει τὸ σῶμα καὶ αὔξει. τὸ δὲ πλέον τοῦ καιροῦ, τὰ μὲν ξηρὰ τοῦ σώματος, διυγραίνει. τὰ δὲ ὑγρὰ, ἀποξηραίνει. καὶ τὰ μὲν ξηρὰ ὑγραινόμενα, ἀσθενείην καὶ λυποθυμίην παρέχει. τὰ δὲ ὑγρὰ ξηραινόμενα, ξηρασίην καὶ δίψος. Λαχάνων δὲ τὰ σκόροδα καὶ ἑφθὰ καὶ ὀπτὰ, καὶ διουρητικὰ καὶ ὑποχωρητικὰ, καὶ πρὸς τὰ γυναικεῖα σύμφορα.

Κρόμμυα ἐς τὰ οὖρα ἐπιτήδεια. ὁ γὰρ ὀπὸς, δριμύτητά τινα παρέχει, ὥστε διαχωρέειν. τούτοισιν ὧδε χρῆσθαι, ἀλλὰ τοῖσιν ἀσθενέουσι μὴ προσφέρειν. Σέλινα καὶ ἑφθὰ καὶ ὠμὰ, διουρητικά. καὶ μᾶλλον τὰ ἕλεια τῶν ἡμέρων, ἃ καὶ πλέονα ἔχει δύναμιν. Κορίανον εὐκάρδιον, καὶ διαχωρητικὸν, καὶ ἑφθὸν καὶ ὠμόν. Ὤκιμον καὶ ὑγρὸν καὶ ψυχρὸν, καὶ εὐκάρδιον. Γράσα τὰ μὲν ἑφθὰ, διουρητικὰ καὶ διαχωρητικά. τὰ ὠμὰ δὲ, καυματώδεα καὶ φλεγματώδεα.

Ῥοιὴ κομιστικὸν καὶ φλεγματῶδες. καὶ ξὺν μὲν τῷ πυρῆνι στάσιμον. ἄνευ δὲ τοῦ πυρῆνος, διαχωρητικόν. Τὰ θερμὰ τῶν σιτίων, ξηρὰ μὲν ἵστησι. τὸ γὰρ ὑγρὸν τὸ ἐν τῇ κοιλίῃ, ἀναξηραίνει. ὑγρὰ δὲ ὄντα, διυγραίνοντα τῇ θερμότητι, ὑπάγει. Τὰ στρυφνὰ ξηραίνει καὶ συνάγει τὸ σῶμα. εἰσὶ δὲ καὶ στάσιμα. Τὰ ὀξέα λεπτύνει, δῆξιν ἐμποιέοντα. Τὰ ἁλμυρὰ, διαχωρέει καὶ διουρέεται. Τὰ λιπαρὰ καὶ τὰ πίονα καὶ τὰ γλυκέα, ὑγρασίην μὲν καὶ φλέγμα παρέχει. Κομιστικὰ δὲ κολοκύνται. καὶ τεῦτλα. καὶ βλῖτα. καὶ λάπαθα. καὶ τῇ ὑγρότητι διαχωρητικά. Κράμβη δὲ ἔχει τινὰ δριμύτητα ἐς τὸ διαχωρέειν, καὶ ἅμα εὔχυμος. Τυρὸς, καὶ σήσαμα, καὶ σταφὶς, κομιστικὰ καὶ φλεγματώδεα. Γλυκὺς οἶνος καὶ μελιηδὴς, ἄμφω καὶ

φω καὶ κωμαστικοὶ καὶ διουρητικοὶ καὶ φλεγματωδέστεροι. οἱ δὲ αὐστηροὶ, ἐς ἰσχὺν καὶ ξηρασίην ἐπιτήδειοι. οὐρητικοὶ δὲ καὶ αὐστηροὶ παλαιοὶ, ὅσοι λευκοί τε καὶ λεπτοὶ τυγχάνουσιν.

Ἔλαιον καὶ ὅσα ἐλαιώδη, κωμιστικὰ καὶ φλεγματώδεα. Λαχάνων τῶν ἑφθῶν διαχωρέει, ὅσα φύσει ὑγρότατα, ἢ δριμύτατά ἐστιν, ἢ θερμότητα ἔχει. διδόναι δὲ ταῦτα, ξύμφορά ἐστιν εἰς ἄφοδον, χλιαρώτερα καὶ τακερώτερα. Σίκυος πέπων, καὶ διουρητικὸν, καὶ διαχωρητικὸν, καὶ κοῦφον. ὁ δὲ ἕτερος πέπων, ψύξιν τινὰ παρέχει καὶ δίψαν παύει. τροφὴ δὲ ἀπ' οὐδετέρου τούτων οὐ γίνεται, εἰ μὴ λεπτή τις. ἀλλ' οὐδὲ φλαῦρον ἀπ' οὐδετέρου οὐδὲν ἄξιον λόγου. Τὸ μέλι, ξὺν μὲν ἑτέροις ἐσθιόμενον, καὶ τρέφει καὶ εὔχροιαν παρέχει. αὐτὸ δὲ ἐφ' ἑωυτῶ, λεπτύνει μᾶλλον ἢ κομίζει. καὶ γὰρ διουρέεται καὶ διακαθαίρεται μᾶλλον τοῦ μετρίου. Τὰ διουρητικὰ θερμαινόμενα ἐν τῇ κοιλίῃ, θερμαίνεταί τε ταχὺ, καὶ θερμαινόμενα μαραίνεται καὶ τήκεται. καὶ τὴν διαχώρησιν διὰ τοῦτο ταχείην παρέχει. Ὅσα δὲ στάσιμα τῶν σιτίων, καὶ θερμαίνεται, καὶ ταχέως θερμαινόμενα ξηραίνεται καὶ συνίσταται. καὶ διὰ τοῦτο περίσκληρα γινόμενα, οὐ διαχωρέει. Τὰ διαχωρητικὰ, ἔγχυλά ἐστι καὶ φύσει θερμά. τὰ δὲ οὐρητικὰ, ξηρὰ καὶ ψυχρά. Ὁ σῖτος καὶ ὁ οἶνος, διαφέρουσι μὲν καὶ αὐτοὶ ἑωυτῶν φύσει ἐς ἰσχὺν καὶ ἀσθενείην, καὶ κουφότητα καὶ βαρύτητα. διαφέρει δὲ καὶ χώρη χώρης ἐξ ὁκοίης ἂν ᾖ. καὶ εὔυδρος ἐοῦσα, καὶ ἄνυδρος. καὶ εὐήλιος, καὶ πολύσκιος. καὶ ἀγαθὴ, καὶ φλαύρη. ὥστε ἅπαντα ταῦτα ξυμβάλλεται ἐς τὸ, ἰσχυρότερά τε ἕκαστα τῶν σιτίων εἶναι, καὶ ἀσθενέστερα. Ὁκόσοι ὑγιαίνοντες ἀρτοφαγεῖν εἰώθεσαν, ταῦτα διδόναι τούτοισι, καὶ ἐν τῇσι νούσοισιν. ὅταν ἢ σιτία ἢ ποτὰ πλέω τοῦ εἰωθότος τις λάβῃ, ἢν μὴ τὰ εἰωθότα τελέσῃ, ἀπεμέσαι παραχρῆμα ἄριστον. Ὀπώρη καὶ ἀκρόδρυα, διὰ τόδε μετὰ τοῦ σιτίου λυπηρότερά ἐστι καὶ ὑγιαίνοντι καὶ ἀσθενέοντι, ὅτι βεβρωκότος μὲν ἀπ' αὐτῶν ἰκμάδας σπᾷ τὸ σῶμα. ἢν δὲ νῆστις ἐσθίῃ, πλείω. Ὅσα τῶν σιτίων ἢ φῦσαν, ἢ καῦμα, ἢ δῆξιν παρέχει, ἢ πλησμονὴν, ἢ στρόφον, οἶνος ἐπιπινόμενος ἄκρητος, ἀπαλλάσσει τῶν τοιούτων. τὸ γὰρ σῶμα διαθερμαινόμενον ὑπὸ τοῦ οἴνου, ἀπαλλάσσεται τὰ ἐνεόντα τῇ θερμότητι, ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν, καὶ τῶν ὁμοίων. ἐνίοτε μὲν διαταράσσεται ἡ κοιλίη, ἐνίοτε δὲ ἵσταται. ἐνίοτε δὲ καὶ κατὰ λόγον διαχωρέει. διότι δὲ ταῦτα οὕτως ἔχει. πρῶτον μὲν ἡ κοιλίη ὅταν ὑγροτέρη ἐοῦσα, καὶ ὅταν ξηροτέρη, ὑποδέχηται τὸ σιτίον, διαφθείρει. ἔπειτα ὅταν μεταβολὴ γίνηται, εἴτε ἐκ ψύχεος ἐς θάλπος, εἴτε ἐκ θάλπεος ἐς ψῦχος, διαφθείρει. ὥστε ἀνάγκη τὴν κοιλίην, ἀπὸ τῶν σιτίων τῶν αὐτῶν καὶ ποτῶν, δι' αὐτὰ ταῦτα καὶ μαλακωτέρην γίνεσθαι καὶ σκληροτέρην. Τῶν σιτίων καὶ τῶν ποτῶν καὶ τῶν ὄψων, πλὴν ἄρτου, καὶ μάζης, καὶ κρεῶν, καὶ ἰχθύων, καὶ οἴνου, καὶ ὕδατος, τ' ἄλλα πάντα, λεπτὰς μὲν καὶ ἀσθενέας καὶ τὰς ὠφελείας παρέχει, ἐς τὴν αὔξησιν, καὶ ἐς τὴν ἰσχὺν, καὶ ἐς τὴν ὑγιείην. λεπτὰ δὲ καὶ ἀσθενέα καὶ τὰ κακὰ ἀπ' αὐτέων γίνεται. Ὁκόσους τῶν νοσεόντων μὴ ξυνεχέως οἱ πυρετοὶ ἔχουσιν, ἀλλὰ διαλείποντες λαμβάνουσι, τούτοισι τὰ σιτία διδόναι μετὰ τὴν λῆψιν, τεκμαιρόμενος μήπως ἐπὶ νεοβρῶτι ὁ πυρετὸς ἐπιπέσηται, ἀλλ' ἤδη πεπεμμένων τῶν σιτίων. οἶνος καὶ μέλι κάλλιστα κέκριται ἐν ἀνθρώποισιν, ἢν πρὸς φύσιν καὶ ὑγιαίνουσι καὶ ἀσθενέουσι σὺν καιρῷ καὶ μετριότητι προσφέροιντο. καὶ ἀγαθὰ μὲν αὐτὰ ἐφ' ἑωυτῶν. ἀγαθὰ δὲ καὶ συμμισγόμενα, τά τε ἄλλα, καὶ ὅσα γε καὶ ἀξίην λόγου ὠφελείην παρέχει. ὅσα ὑγιαίνουσι ξύμφορα, ταῦτα καὶ νοσέουσι προσφερόμενα, ἰσχυρότερά ἐστι, καὶ δεῖ αὐτῶν ἀφαιρέοντα τὴν ἀκμὴν διδόναι. ἢ οὐ φέρει αὐτὰ τὸ σῶμα, ἀλλὰ μᾶλλον βλάπτει, ἢ ὠφελέει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΤΩΝ ΕΝΤΟΣ ΠΑΘΩΝ.

ΗΝ ἡ τοῦ πλεύμονος ἀρτηρίη ἑλκωθῇ, ἢ τι ῥαγῇ τῶν φλεβίων τῶν λεπτῶν, τῶν κατακρεμαμένων ἐς τὸν πλεύμονα, ἢ τῶν συρίγγων, τῶν διὰ τοῦ πλεύμονος τεταμένων, καὶ συρραγέωσιν ἐς ἀλλήλας, καὶ αἵματος πληθῶσι, διασπῶνταί τε καὶ καταρρήγνυνται διὰ τάσδε τὰς αἰτίας μάλιστα. διὰ ταλαιπωρίην. διὰ δρόμον. διὰ πτώματα. διὰ πληγὰς. δι' ἐμέτους βιαίους γινομένους. διὰ πυρετούς. τάδε αὖ πάσχει. τὸ μὲν πρῶτον, βὴξ ἴσχει ξηρή. ἔπειτα ὀλίγῳ ὕστερον, ἀποπτύει τὸ σίαλον ὕφαιμον.

τότε δὲ

τότε δὲ καθαρόν. οὕτως ἢν μὲν ἐν τάχει παύσηται τῆς νούσου. ἢν δὲ μή, προϊόντος τοῦ χρόνου, τὸ αἷμα πλεῖον χωρέει. ἐνίοτε μὲν καθαρόν. ἔστι δ' ὅτε καὶ ὑπόσαπρον. πολλάκις δὲ καὶ ἡ φάρυγξ λανθάνει αἵματος πιμπλαμένη. ἔπειτα θρόμβους αἵματος ἐκβράσσεται κατ' ὀλίγον καὶ θαμινά. ἐνίοτε δὲ καὶ ὀδμὴ βαρέη ἀπ' αὐτῶν γίνεται. καὶ ἡ φάρυγξ ἐστὶν ὅτε τινὸς ἄχνης πίμπλαται. καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει, κατ' ἀρχὰς μὲν τῆς νούσου, σφόδρα. προϊούσης δὲ βληχρότερον. καὶ ἄλλοτε καὶ ἄλλοτε ἐπιλαμβάνει. καὶ ὀδύνη ἐνίοτε ἔγκειται ἐν τοῖς στήθεσι. καὶ ἐν τῷ μεταφρένῳ. καὶ ἐν τῇσι πλευρῇσι. καὶ ὁκόταν τὸ αἷμα παύσηται πτύων, σίαλον πολλὸν ἀποπτύει ὑγρόν. ἐνίοτε δὲ καὶ γλίσχρον. ταῦτα μὲν οὖν οὕτω πάσχει, μέχρι τεσσαρεσκαίδεκα ἡμέραι παρέλθοιεν. μετὰ δὲ ταύτας ἢν μὴ παύσηται τὸ νούσημα, λεπίδας ἀπὸ τῆς ἀρτηρίης ἀποβήσσων ἀναπτύει, οἵας περ ἀπὸ φλυκταινίδων. καὶ ὀδύνη ἐμπίπτει ἐς τὰ στήθεα. καὶ ἐς τὸ μετάφρενον. καὶ ἐς τὸ πλευρόν. καὶ τῶν ὑποχονδρίων ὡς ἕλκος ψαυόμενον ἀλγέει. τούτῳ ξυμφέρει ἡσυχίην ὡς μάλιστα τῷ νοσήματι ἔχειν ἔσω, ἢν οὕτως ἔχῃ. ἢν γὰρ καὶ πονήσῃ, ὅ, τε πόνος ὀξύτερος, καὶ ἡ βὴξ μᾶλλον ἢ τὸ πρότερον πιέζει. καὶ τὸ ῥῖγος καὶ ὁ πυρετὸς μᾶλλον ἔχει. καὶ ἢν πταρῇ, ἡ ὀδύνη ὀξέη προσέβαλεν. ἀλγέει δὲ καὶ ἐν τῇ εὐνῇ, ὁκόταν περιστρέφηται. τούτῳ χρὴ προσφέρειν, σιτία μὲν τὰ αὐτά, ἃ καὶ τῷ ἐμπύῳ. ταῦτα δὲ οὐ πολλά. τῶν δὲ ὄψων τούτοισι χρέεσθαι. ἰχθύσι μέν, ῥίνης ἢ φάγρου. ἢ γαλαιοῦ τοῦ μεγάλου τοῦ λευκοῦ. ἢ τῶν ἄλλων τῶν ὁμοίων, πᾶσιν ἐν ῥόῳ καὶ ὀριγάνῳ ἠρτυμένοις. κρέας δὲ ἐσθιέτω, ἀλέκτορος, ὀπτόν. ἄναλτον. ἢ αἰγὸς ἑφθόν. καὶ οἴνῳ αὐστηρῷ ὡς παλαιοτάτῳ, καὶ ἡδίστῳ μέλανι χρέεσθω. περιπάτοισι δὲ μετρίοισι, πλὴν ταῦτα πυρετοῦ μὴ ἔχοντος. ἢν δὲ πυρετὸς ἔχῃ, ῥοφήματι ἀλεύρου ἢ κέγχρου χρέεσθω. ἢν δὲ σιτία προσφέρηται, ὀλίγα προσφερέσθω. καὶ ὄψα τὰ διαχωρητικά. κἢν φαρμάκου σοι δοκέῃ χρέεσθαι, ὑποκαθῆραι αὐτὸν τῷ κνιδίῳ κόκκῳ, ἢ τῇ τιθυμαλλίδι. καὶ μετὰ τὴν κάθαρσιν ἀλεύρου ἑφθοῦ δοῦναι τρυβλίον ἐκροφεῖν λιπαροῦ. εἶτα ἀνακομίζειν ὡς μάλιστα, ὅκως ἂν ἥκιστα λεπτὸς ᾖ. πρὸς γὰρ τὴν τοιαύτην νοῦσον, οὐ ξυμφέρει λεπτὸν εἶναι. καὶ περιπάτους ὀλίγους τὸ πρῶτον ποιέεσθαι, ὡς μὴ κόπος ἐπιλάβηται. πυρίην δὲ ἄλλοτε καὶ ἄλλοτε. καὶ ᾗ ἂν πυριηθῇ ἡμέρῃ, ἄσιτος ἔσω πλὴν ἀλεύρου ἑφθοῦ ὅσον περ τρυβλίον ἐκροφεέτω. ὕδωρ δὲ πινέτω. τῇ δὲ ὑστεραίῃ, ἔλασσον ἢ ὡς μεμαθήκει φαγέτω. καὶ πιέτω οἶνον μέλανα, ἡδύν, αὐστηρόν, ὀλίγον. τὸ δὲ λοιπόν, δὶς ἢ τρὶς τῆς ἡμέρης, τὰ σιτία διδόναι. οὕτω δὲ δίδου τούτῳ κατ' ὀλίγον, μέχρι καταστήσῃς τὴν κοιλίην. ἐκ γὰρ τῶν πυρετῶν καὶ τῆς ἀσιτίης, ἢν μὲν τὸ σῶμα ζητῇ, ἡ δὲ κοιλίη οὐκ ἐθέλει δέξασθαι, ἀθρόον δεξαμένη, φλεγμαίνει. ἀλλὰ κατ' ὀλίγον διδόναι χρή. ἢν δὲ ἀθρόον δῷς καὶ ὀλίγα πονήσῃ, τοῖσι περιπάτοισιν οὐ διαψύχεται ἡ κοιλίη, ἅτε ἀτρέμα ξυνεστηκότων τῶν βρωτῶν. διὸ καὶ πυρετὸς φιλέει ἐπιγίνεσθαι. καὶ τοῦ μὲν χειμῶνος ἧσσον. τοῦ δὲ θέρεος, κίνδυνος ἐξαμαρτεῖν. τοῦτον ἀνακομίζειν δεῖ ὡς μάλιστα, ὅκως ἂν ὡς παχύτατος ᾖ. καὶ περιπάτοισι μετρίοισι χρέεσθω. καὶ παλαιέτω ἧσσον ἑωυτοῦ. καὶ πονεέτω ὀλίγα, τὸ πρῶτον. ἔπειτα δὲ πλέω. πουλλὰ δὲ οὐδέποτε. ταῦτα ἢν ποιέῃ, ὑγιὴς ἔσται τάχιστα. ἢν δὲ λεπτὸς γίνηται διὰ ταλαιπωρίην, ἀνιέτω καὶ ἡσυχίην ἐχέτω. οὗτος μήτε πρὸς ἄνεμον δραμῇ ὑγιὴς ἐὼν ὀξέως, μήτε ἐφ' ἵππον, μήτε ἐπὶ ζεῦγος ἀναβῇ. φυλασσέσθω δὲ καὶ βοὴν καὶ ὀξυθυμίην. κίνδυνος γὰρ τὴν νοῦσον πάλιν ἀναλαβεῖν, ἀλλὰ φυλάσσεσθαι χρὴ τούτων ἁπάντων. ἢν δὲ τοῦ σίτου ἀποκλεισθῇ, ὀρόβους φώξας, τὰ κέλυφα ἀποκαθῆραι. εἶτα βρέξας αὐτοὺς ἐν ὕδατι τρεῖς ἡμέρας. ἐφ' ἑκάστην δὲ ἡμέρην, ἀποχέειν τὸ ὕδωρ, καὶ ἄλλο ἐπεγχέειν. ἔπειτα τῇ τετάρτῃ ἡμέρῃ ἀπηθῆσαι, καὶ ξηρῆναι. εἶτα ἀλέσας λεπτότατα διασῆσαι. καὶ λίνου καρπὸν φώξας, κόψαι λεῖον. καὶ σήσαμον φώξας κόψαι, λεῖον. καὶ ἄλφιτα ἄναλτα καθαρὰ λεπτά. καὶ τῶν μὲν ὀρόβων καὶ ἀλφίτων, ἴσον ἑκατέρων ἔσω. τοῦ δὲ σησάμου, τρίτον μέρος. τοῦ δὲ λίνου, ἥμισυ μιῆς μερίδος. ταῦτα ἐν αἰγείῳ ἑψήσας, ὡς ὑγρότατα ῥοφέειν. μετὰ δὲ ταῦτα, διδόναι αὐτῷ τὸ ἄριστον, σῖτα καθαρά, καὶ ὄψα ἀπὸ τῶν ἰσχυροτέρων. οἶνον δὲ τὸν αὐτὸν πινέτω. διδόναι δὲ αὐτῷ καὶ τῶν ῥιζέων, τῶν πρὸς ταῦτα τὰ ῥήγματα, τῆς κενταυρείης, ἐπ' οἶνον ἐπιξύων. διδόναι δὲ καὶ τοῦ δρακοντίου ἐπ' οἶνον ἐπιξύων. διδόναι δὲ καὶ τῆς τοῦ βηχίου ἐν μέλιτι, καὶ τὸ δρακόντιον ξύων, λείχειν. κἢν τὸ ἕψημα τὸ ἐν τῷ γάλακτι μὴ φάσκῃ δυνατὸς εἶναι ῥοφέειν, γάλα βόειον ὡς πλεῖστον πινέτω, τρίτον μέρος τοῦ μελικρήτου προσμίσγων. καὶ οὕτω τάχιστα

ὑγιὴς

ὑγιὴς ἔσται, ἡ δὲ νοῦσος θεραπείης δέεται πουλῆς. χαλεπὴ γάρ. ἢν γὰρ θεραπευθεὶς ὑγιής τε γενόμενος, μὴ ἐν φυλακῇ ἔχῃ ἑωυτὸν, τοῖσι πολλοῖσιν ὑποτροπιάζουσα ἡ νοῦσος, αὐτίκα ἀπωλέας ἐγένετο. οὗτος ἢν μὲν ὑπὸ ταύτης τῆς θεραπείης ἰηθῇ, ἅλις. ἢν δὲ μὴ, παχύνας αὐτὸν γάλακτι, καῦσαι τά τε στήθεα καὶ τὸ μετάφρενον. ἢν γὰρ τύχῃς καύσας, ἐλπὶς ἐκφυγεῖν τὴν νοῦσον.

Ην δὲ ἀρτηρίη ἀπαθῇ ἤ τις τῶν φλεβῶν τεινουσῶν ἐς τὸν πλεύμονα, τάδε πάσχει. κατ᾽ ἀρχὰς μὲν τῆς νούσου, βὴξ ἴσχει ὀξείη. καὶ ῥῖγος. καὶ πυρετός. καὶ τὸ σίαλον ἀποπτύει, πουλύ τε καὶ λευκὸν, καὶ ἀφρῶδες. ἄλλοτε δὲ ὕφαιμον. καὶ ὀδύνη τὴν κεφαλὴν καὶ τὸν τράχηλον ἴσχει. αὕτη ἡ νοῦσος ἰσχυροτέρη τῆς πρόσθεν. καὶ μέχρι μὲν δέκα ἡμερέων τῶν πρώτων, τοιαῦτα πάσχει. ἔπειτα οἱ πολλοὶ τῇ ἑνδεκάτῃ, πύα ἀποπτύουσι παχέα βιαίως. ἡμέρῃ δὲ καθαρώτερα ἀποπτύει. ἢν φύξιμος ᾖ, καὶ τῇ ὀδύνῃ ἧσσον πονέει, καὶ ἐν τάχει ὑγιὴς γίνεται. ἢν δὲ μέλλῃ πουλυχρόνιος ἡ νοῦσος ἔσεσθαι, τά τε πύα πολλῷ πλείονα ἀποπτύει, καὶ ὁ ἄλλος πόνος ἐν τῷ σώματι, πολλῷ ἔνι πλέων. αἱ δὲ θέρμαι βληχρότεραι ἔχουσιν, ἢ τὸ πρίν. τοῦτον ἢν λάβῃς κατ᾽ ἀρχὰς ὑποκαθῆραι κάτω, ὅπως σκαμμωνίῃ ἢν ἀπύρετος ᾖ. μετὰ δὲ τὴν κάθαρσιν, προσφερέσθω ταῦτα ἃ καὶ πρόσθεν. καὶ τἄλλα τὰ αὐτὰ προσφερέσθω, ἡσυχίην ἔχων ὡς μάλιστα τῷ σώματι, καὶ μαλθακῶς κοιμάσθω. ταῦτα μὲν κατ᾽ ἀρχὰς ποιεέτω, μέχρι τῶν δέκα ἡμερέων. ἢν δὲ ἔμπυος γένηται, τὰ αὐτὰ ἃ καὶ ὁ πρόσθεν ποιεέτω. ἢν δὲ ὑγιὴς γένηται, τῶνδε χρὴ ἀπέχεσθαι, σιτίων καὶ ποτῶν. ὀξέων, καὶ δριμέων, καὶ ἁλικῶν, καὶ λιπαρῶν. ταλαιπωρίης δὲ ἀπέχεσθαι, καὶ τῶν αὐτῶν ὧν καὶ ὁ πρόσθεν. ταῦτα ἢν ποιέῃ, τάχιστα τῆς νούσου ἀπαλλαγήσεται. ἢν δέ τι τουτέων οὐ ποιήσῃ, κινδυνεύσει πάλιν ὑποτροπιάσαι. καὶ ἡ νοῦσος κάκιον ἔχει. καὶ γὰρ οἱ πολλοὶ πλευμοῤῥωγέες ἐόντες διατελέουσιν, ἕως ἂν ἀποθάνωσι. τοῦτον ἢν μὴ παραχρῆμα τις ἰήσηται, ὑποτροπιασάσης τῆς νούσου, οὐκ ἂν μετὰ ταῦτα ἔχοις ὠφελῆσαι, ἢν μὴ τάδε ποιήσῃς. γάλακτι βοείῳ παχύνας, καῦσαι τὰ στήθεα καὶ τὸ μετάφρενον. ἢν γὰρ τύχῃς καύσας, ὠφελήσεις. ἡ δὲ νοῦσος ἀπὸ τῶν αὐτέων ἁμαρτάδων γίνεται, ὧν καὶ ἡ πρόσθεν.

Πλευμονὶς δὲ γίνεται, ἀπὸ τῶνδε μάλιστα. ὁκόταν ὁ πλεύμων ἅμα ἑλκύσας ἐφ᾽ ἑωυτὸν, ἢ φλέγμα ἁλμυρὸν μὴ ἀπῇ πάλιν, ἀλλ᾽ αὐτοῦ ξυστραφῇ καὶ ξυμπαγῇ, ὑπὸ τουτέων φύματα φιλεῖ γίνεσθαι ἐν πλεύμονι καὶ ἐμπυοῦσθαι. οὗτος τάδε πάσχει. κατ᾽ ἀρχὰς καὶ διὰ παντὸς τοῦ νουσήματος, βὴξ ὀξείη ξηρὴ ἴσχει. καὶ ῥῖγος. καὶ πυρετός. καὶ ὀδύνη ἐν τοῖσι στήθεσι καὶ ἐν τῷ μεταφρένῳ ἐγγίνεται. ἐνίοτε δὲ καὶ ἐν τῷ πλευρῷ. καὶ ὀρθοπνοίη σφοδρὴ ἐμπίπτει. οὗτος μέχρι μὲν τεσσαρεσκαίδεκα ἡμερέων, τοιαῦτα πάσχων διατελέει. πολλάκις δὲ καὶ πλέονας ἢ δεκατέσσαρας ἡμέρας. ἔπειτα ῥήγνυται πύα καὶ ἀποπτύει πολλόν. πολλάκις δὲ ἀποπτύει, καὶ οἷον ἀραχνίων χιτῶνας. πολλάκις δὲ καὶ ὕφαιμον. κἢν μὲν ἀποκαθαρθῇ καὶ ἀπισχνωθῇ ἐν τάχει ὁ πλεύμων, ἐκφυγέει τὸν ὄλεθρον. ἢν δὲ μὴ προσέχῃ, ἐνιαυτὸν ἴσχει ἡ νοῦσος, καὶ μεταβάλλει, ἄλλοτε ἀλλοῖα πάσχων. τούτῳ χρὴ κατ᾽ ἀρχὰς μὲν πρὶν ἢ τὰ πύα ῥαγῆναι, προσφέρειν τάδε. ὁκόταν ἀνῇ ὁ πυρετὸς, λούειν πολλῷ θερμῷ, καὶ ῥοφήμασι πολλοῖσι χρέεσθαι. πτισάνης χυλὸν καθεψῶ μέλι παραχέας ὁκόταν ἑφθὸν ᾖ, ῥοφείτω. καὶ οἶνον πινέτω γλυκὺν λευκὸν. ἢ μελίκρητον ἑφθόν. ὁκόταν δὲ ἄρξηται πύα ἀποπτύειν, πινέτω τὰ αὐτὰ, ἃ καὶ ὁ πρόσθεν ἔμπυος. καὶ σιτίοισι καὶ ποτοῖσι καὶ ὄψοισι τοῖς αὐτοῖς χρεέσθω, ἀπεχόμενος ὀξέων, καὶ δριμέων, καὶ ἁλυκῶν, καὶ λιπαρῶν, καὶ λαγνείης, καὶ θωρηξίων, ἢν μὴ τῇ νούσῳ πρόσφορον ᾖ. τὸ χρῶμα δὲ ὁρέων, μελετᾶν, ὁκοίων δή τινων δοκέει σοι δεῖσθαι. τὰ δ᾽ ἄλλα τὰ αὐτὰ ποιείτω. πινέτω δὲ καὶ γάλα βοὸς καὶ αἰγὸς τὴν ὥρην. πρόσθεν δὲ ὑποκαθηράσθω γάλακτι ὀνείῳ ἑφθῷ. πινέτω δὲ καὶ τὸ ἵππειον γάλα σεσεισμένον ἑκάστης ἡμέρης ἕωθεν τρικότυλον κύλικα, ἢν ἡ δύναμις. ἢν μὲν οὖν οὕτω μελετώμενος ῥήσσῃ, ἅλις. καὶ ἢν μὴ ῥαγῇ τὰ πύα διὰ τὰ στήθεα, αὐτὸς ἑωυτὸν θεραπευέτω ἡσυχίην ἔχων τῷ σώματι ὡς μάλιστα, καὶ τὰ ξύμφορα προσφέρων ἑωυτῷ. ἢν δὲ ῥαγῇ τὰ πύα διὰ τὰ στήθεα, ὅπῃ ἄν σοι δοκέῃ ἀποσημαίνειν, ἐκεῖσε μάλιστα ταμὼν ἢ καύσας, ἀφιέναι τοῦ πύου ὀλίγον τὸ πρῶτον. τὰ δ᾽ ἄλλα ποιέειν τὰ αὐτὰ, ἃ καὶ ἐπὶ τοῦ πρόσθεν ἐμπύου γενομένου γέγραπται.

Ην ἐν πλεύμονι κιρσὸς ἐγγένηται, βὴξ ξηρὴ ἐπιλαμβάνει. καὶ ῥῖγος. καὶ πυρετός. κατ᾽ ἀρχὰς μὲν τῆς νόσου, πάνυ σφόδρα. ἔχει δὲ καὶ ὀρθοπνοίη. καὶ ἐν τῇ κεφαλῇ ἐνέστηκε. καὶ αἱ ὀφρύες δοκέουσιν ἐπικρέμασθαι. καὶ

οἴδημα

οἴδημα κατέρχεται ἐς τὸ πρόσωπον, καὶ ἐς τὰ στήθεα, καὶ ἐς τοὺς πόδας. πολλάκις δὲ καὶ ἐν τὴν κεφαλὴν βρέφει. καὶ ὑπὸ τῆς ὀδύνης ὅταν ὁ πόνος ἔχῃ, οὐ δύναται ἀνορᾶν. τό, τε σῶμα ὕπωχρος. καὶ αἱ φλέβες δι' αὐτοῦ τείνουσιν, ἢ φλόγιαι, ἢ μέλαιναι. τοῦτον ὁπόταν οὕτως ἔχῃ, καὶ ὁ πόνος μάλιστα πιέζῃ πρῶτον μὲν αἷμα ἀφαιρέειν. ἔπειτα λούειν πολλῷ καὶ θερμῷ. καὶ ὁπόταν δίψα ἔχῃ, πίνειν διδόναι κυκεῶνα ἐν οἴνῳ μέλανι αὐστηρῷ, ὡς ἥδιστα ἶσον ἴσῳ κεράσας. ψυχρὸν δὲ χρὴ μάλιστα πίνειν. ῥοφήμασι χρέεσθαι πτισάνης χυλῷ καθέφθῳ, μέλι χρηστὸν παραχέας. ταῦτα χρὴ προσφέρειν, ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων τῇσι τεσσαρεσκαίδεκα. ἢν δὲ ἐπὶ πλεῖον ἡ νοῦσος ἔχῃ, ὅ, τε πόνος πλέων ᾖ ἐν τῷ σώματι, καὶ ἀδυναμίη ἐνῇ. τούτῳ δὴ οὕτως ἔχοντι, ταῦτα προσφέρειν, ἃ καὶ ἐν τῷ πυοῦντι τὸν πλεύμονα, ὁπόταν αἱ δεκατέσσαρες ἡμέραι παρέλθωσιν. αὕτη ἡ νοῦσος γίνεται, ἀπὸ ταλαιπωρίης καὶ χολῆς μελαίνης.

Ὁπόταν τὰ κοῖλα φλέβια τὰ διέχοντα ἐν τῷ πλεύμονι, πληθεῖ αἵματος ἢ χολῆς μελαίνης, ξυρρήξηται τὰ φλέβια ἐς ἄλληλα, ἅτε ἐν στενοῖσιν ἐόντα καὶ ἐπειλημμένα, καὶ ἔξοδον οὐκ ἔχοντα, ὀδύνην παρέχει καὶ φῦσαν ἐν τῷ πλεύμονι. αὕτη ἡ νοῦσος χαλεπή. καὶ θεραπείης δεομένη πολλῆς. εἰ δὲ μὴ, οὐκ ἐθέλει ἐκλιπεῖν τὸν κάμνοντα. καὶ ὡς τὰ πολλὰ ἐν τοῖσι πολλοῖσι ξυναποθνήσκει.

Ἢν φλεγμονὴ ἐν πλεύμονι γένηται, γίνεται δὲ μάλιστα ἀπὸ οἰνοφλυγίης καὶ γαστριμαργίης ἰχθύων κεφάλων, καὶ ἐγχελύων. ταῦτα γὰρ τὴν πιμελὴν πολεμιωτάτην ἔχει πρὸς τὴν φύσιν τοῦ ἀνθρώπου. ἤδη δὲ τὸ νούσημα ἐγένετο ἀπὸ φλέγματος, ὁπόταν μιγῇ ἐν τῷ αἵματι, ἐπερρυῇ ἐπὶ τὸν πλεύμονα. προσπίπτει δὲ καὶ ἐκ κρεοφαγίης, καὶ ἐξ ὕδατος μεταβολῆς. τάδε οὖν πάσχει. βήσσει ἰσχυρῶς. καὶ τὸ σίαλον ἀποπτύει ὑγρὸν καὶ πολλόν. πολλάκις δὲ καὶ παχὺ καὶ λευκὸν, οἷον ἀπὸ βράγχου. καὶ ὀδύνη πιέζει ὀξέη, ἐς τὰ στήθεα, καὶ τὸ μετάφρενον, καὶ τοὺς κενεῶνας, καὶ τὰ πλευρά. καὶ βρύχεται ὀξύ. καὶ ἐκ τῶν στηθέων καὶ πλευμόνων, οἷον γαστὴρ τρυλλίζει. καὶ ἐμέει λάπην ὀξεῖην. καὶ τὸ ἔμεσμα ἢν ἐκχέῃς χαμαὶ, ξύει τὴν γῆν ὥσπερ ὄξος ἐπιχέοντι. καὶ τοὺς ὀδόντας αἱμωδιᾷ. καὶ ῥῖγος καὶ πυρετὸς καὶ δίψα ἔχει ἰσχυρή. καὶ ἤν τι θέλῃ λιπαρὸν φαγέειν, μύζει πρὸς τὰ σπλάγχνα, καὶ ἔμετον ἄγει, καὶ τὸ σῶμα ἅπαν νάρκην ἔχει. ὁπόταν δὲ ἀπεμέσῃ, ἐπ' ὀλίγον δοκέει ῥάων εἶναι. ἔπειτα ἐπειδὰν τῆς ἡμέρης ὀψίτερον γένηται, βρέμει ἡ κοιλίη. καὶ στρέφει. καὶ βορβορύζει. τοῦτον ὁπόταν οὕτως ἔχῃ καὶ δοκέῃ καιρὸς εἶναι, προσαίρειν ὧδε μελέτην. μίξας μέλι, καὶ γάλα, καὶ ὄξος, καὶ ὕδωρ, ταῦτα ἐγχέας ἐς χυτρίδια χλιαίνειν. καὶ ὀριγάνου κλωνίοισι τῆς κεφαλῆς δέεται ταράσσειν. ἐπειδὰν δὲ χλιαρὸν ᾖ, δοῦναι πιεῖν. ἢ λαβόμενος τῆς γλώσσης, ἐγχέειν ἡσυχῇ διὰ σύριγγος. εἶτα κελεύειν συνειληθέντα ἡσυχίην ἔχειν. ἔπειτα ἢν ἔμετος ἐπέλθῃ αὐτῷ, ἐμέειν προθύμως. ἢν δὲ μὴ ἐπέλθῃ, καταματτευόμενος πτερῷ, ἐμέτω. καὶ ἤν τι φλέγματος ἐμέσῃ, ἐπὶ πέντε ἡμέρας τὸ αὐτὸ ποιεέτω. ῥάων γὰρ ἔσται οὕτω ποιῶν. πινέτω δὲ τοῦτο γυμνασάμενος ἢν οἷός τε ᾖ, καὶ λουσάμενος πολλῷ θερμῷ. ἢν δὲ μὴ, ἀλλὰ λουσάμενος. ὁπόταν δὲ αἱ πέντε ἡμέραι παρέλθωσιν, πρωῒ ὁ νῆστις πινέτω ἐν μελικρήτῳ ἢ οἰνομέλιτι ὀποῦ σιλφίου ὁκόσον ὄροβον. καὶ σκόροδον τρωγέτω, καὶ ῥαφανίδας νῆστις. καὶ ἄκρητον οἶνον ἐπιρροφανέτω μέλανα, ἢ λευκὸν αὐστηρόν. πινέτω δὲ καὶ ἐπὶ σίτῳ, καὶ μετὰ τὸ σῖτον. σιτίοισι δὲ ξηροῖσι καὶ κρέασι κυνείοισι χρεέσθω ἑφθοῖσιν, ἢν τὸ ῥῖγος καὶ ὁ πυρετὸς μὴ ἐπιλαμβάνῃ. οὕτως ἢν ἀπὸ τοῦ τοιοῦδε ἐγχύματος καθαίρηταί τι, ἢν δὲ μὴ, ἄνω αὐτὸν καθαίρειν, ἐλλεβόρῳ. μετὰ δὲ τὴν κάθαρσιν, ἀλεύρου ἑφθοῦ διδόναι δύο τρυβλία ἐκροφέειν, μέλι παραχέας. οἶνον δὲ τὸν αὐτὸν πινέτω ὑδαρέα. ἢν δὲ μὴ κατ' ἀρχὰς παραγένηται τῇ νούσῳ, παχύνας αὐτὸν γάλακτι, καῦσαι τὰ στήθεα καὶ τὸ μετάφρενον. οὕτω γὰρ ἂν μάλιστα τῆς νούσου ἀπαλλαγείη. ἢν δὲ μὴ καυθῇ, ξυμπαραμένει καὶ οὐ μάλα ἐκλείπει, ἀλλ' ἕως γήρους προσέχει. πολλάκις δὲ καὶ συναποθνήσκει, ἢν μὴ ἐν τῇσι πρώτῃσιν ἡμέρῃσι τεσσαράκοντα ἀποθάνῃ. ἀλλὰ χρεία πολλῆς ὅτι μάλιστα μελεδώνης. καὶ ὀῤῥὸν καὶ γάλα τὴν ὥρην πινέτω βοός, καὶ αἰγὸς, καὶ ὀνείου, καὶ ἱππείου. οὕτω γὰρ ἂν ῥήϊστα διάγοι. ἡ δὲ νοῦσος χαλεπή.

Ἐὰν πλεύμων ἀπὸ ἐρυσιπέλατος οἰδήσῃ. τόδε τὸ οἴδημα μάλιστα ἀπὸ αἵματος γίνεται, ὅταν ἐν ἑωυτῷ ὁ πλεύμων ἑλκύσῃ αἷμα καὶ ἔχῃ ἀναλαβών. τὸ δὲ νούσημα θέρεος ἐν ὥρῃ μάλιστα γίνεται. τάδε οὖν ἀπ' αὐτοῦ πάσχει. βὴξ ἐμπίπτει ξηρή. καὶ ῥῖγος. καὶ πυρετὸς, καὶ ὀρθόπνοιη. καὶ ὁ πόνος ἰσχυρὸς, ἐν τοῖσι στήθεσι. καὶ τὰς ῥῖνας ἀνοίγει, ὡς ἵππος δραμών. καὶ τὴν γλῶσσαν ἐξαίρει, ὡς κύων θέρεος ὑπὸ τοῦ πνεύματος τοῦ ἐν τῷ καύματι καιόμενος. καὶ οἴδημα κατέχει τὰ

τέχει τὰ στήθεα, καὶ φθέγγεται βραχέως. καὶ ἐρύθημα ἐν τῇ ὄψει. καὶ κνησμὸν φέρει ἐν τῷ σώματι. καὶ ὑπὸ τοῦ πόνου κατακέεσθαι οὐ δύναται, ἀλλ' αὐτὸς ἑωυτὸν ῥιπτεῖ ἀλύων. οὗτος ἐν ἑπτὰ ἡμέρῃσι θνήσκει. πλὴν κατ' ἀρχὰς ὁκόταν ὧδε ἔχῃ, ἰῆσθαι. ἐν τούτοισι ψύχειν μὲν τὸ σῶμα, ἐν ὕδατι ψυχρῷ βάπτων σεῦτλα καὶ τῷ σώματι ἐπιτιθεὶς, μάλιστα πρὸς τὸν πόνον νέον. ἢ ῥάκια βάπτων ἐν ψυχρῷ ὕδατι καὶ ἐκθλίβων προστιθέναι. κἢν μὲν οὕτω ῥηΐσῃ, ἢν δὲ μὴ, κεραμικῇ γῇ ψυχρῇ καταπλάσσειν. καὶ ἐν τῇ αἰθρίῃ κοιμάσθω. οὕτω γὰρ ἂν μελεδώμενος, πολλάκις ἂν φύγῃ τὰς ἑπτὰ ἡμέρας. ὁκόταν δὲ αἱ ἑπτὰ ἡμέραι παρέλθωσι, καὶ ἡ ὀδύνη προσέχῃ, χρίειν ἐλαίῳ τὸ πονέον μέρος ἔσω. καὶ χλιάσματα μάλιστα προστιθέναι τὰ αὐτὰ, ἃ καὶ τῇ πλευρίτιδι. καὶ πίσαι αὐτὸν ἐς ὑποκάθαρσιν τοῦ πεπλίου, καὶ τῆς μηκωνίδος, καὶ τοῦ κόκκου τοῦ κνιδίου. καὶ μετὰ τὴν κάθαρσιν, φακῆς τρυβλίον δοῦναι ῥοφῆσαι. πινέτω δὲ ὕδωρ. τῇ δὲ ὑστεραίῃ, λοῦσαι αὐτὸν πολλῷ καὶ θερμῷ πλὴν τῆς κεφαλῆς. ἔπειτα πίσαι ὀρίγανον ἐν μελικρήτῳ ἀποβρέξας. ποτοῖσι δὲ ὡς θερμοτάτοισι χρεέσθω. σιτία δὲ προσφερέσθω, τὰ αὐτὰ ταῦτα, ἃ καὶ ὁ ὑπὸ τῆς πλευρίτιδος ἑαλωκὼς, ἢν μὴ πυρετὸς προσίσχῃ. αὕτη ἡ νοῦσος χαλεπὴ καὶ παῦροι ἐκφυγγάνουσιν.

Ἢν τὸ στῆθος καὶ τὸ μετάφρενον ἀναῤῥαγῇ. ἀναῤῥήγνυται δὲ μάλιστα ὑπὸ ταλαιπωρίης, καὶ τάδε πάσχει. βὴξ ἴσχει ὀξείη. καὶ τὸ σίαλον ἐνίοτε ἀποπτύει ὕφαιμον. καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει τὰ πολλὰ, καὶ ἐν τῷ στήθει, καὶ ἐν τῷ μεταφρένῳ ὀδύνη ὀξείη ἔνεστι. καὶ ἐν τῷ πλευρῷ δοκεῖ οἷον λίθος ἐγκέεσθαι. καὶ κεντέεται ὑπὸ τῆς ὀδύνης διαμπερέως, ὡς εἰ βελόνη τις κεντοίη. τοῦτον ὁκόταν ὧδε ἔχῃ, παραχρῆμα γάλακτι πιήνας, καῦσαι τὰ στήθεα καὶ τὸ μετάφρενον. καὶ οὕτω τάχιστα ὑγιὴς ἔσται. τὸ δὲ λοιπὸν ἡσυχάζων τῷ σώματι μάλιστα διαιτῆσθαι. ἢν γάρ τι πονήσῃ ἢ ἐπὶ ἅμαξαν ἀναβὰς, ἢ ἐφ' ἵππον, ἢ τοῖς ὤμοισιν ἐν ἄχθεϊ ταλαιπωρήσῃ, κινδυνεύσει πάλιν ὑποτροπιάσαι ἡ νοῦσος. καὶ ἢν γένηται, κίνδυνος διαφθαρῆναι. τὸ γὰρ νούσημα ὑποστραφὲν, μᾶλλον πιέζει ἢ κατ' ἀρχάς. ἢν δὲ μὴ καυθῇ, τοῖσιν αὐτοῖσιν αὐτὴν ἰῆσθαι οἷσι καὶ τὸν ἔμπυον, ῥοφήμασι καὶ ποτήμασι καὶ σιτίοισι. τὸ δὲ ξύμπαν ἡσυχίην ἔχοντα εὐωχέειν τοῖσιν ἐπιτηδείοισιν. ἢν γὰρ οὕτω μελετηθῇ, τάχιστα ὑγιὴς ἔσται. ἡ δὲ νοῦσος χαλεπή.

Ἢν ἐν πλευρῷ φῦμα φύηται καὶ ἔμπυος γένηται, τάδε πάσχει. ῥῖγος ἴσχει καὶ πυρετός. καὶ βὴξ ξηρὴ, πουλλὰς ἡμέρας. καὶ ἀλγέει τὸ πλευρόν. καὶ ἐς τὸν τιτθὸν, καὶ ἐς τὴν κληΐδα, καὶ ἐς τὰς ὠμοπλάτας, ὀδύνη ἴσχει ἀΐσσουσα. οὗτος ὅταν οὕτως ἔχῃ, ἐν μὲν τῇσι πρώτῃσιν ἡμέρῃσι δέκα, ῥοφήμασι χρεέσθω. πτισάνης χυλῷ καθέφθῳ, μέλι παραχέων, ὁκόταν ἑφθὸν τὸ ῥόφημα ᾖ. οἴνῳ δὲ χρεέσθω λευκῷ, γλυκεῖ, ἢ αὐστηρῷ, ἢ ὑδαρεῖ. καὶ ῥοφανόντα πλεονάκις τοῦ οἴνου, ἐκπτύειν κελεύειν. καὶ τοῦ ὕπνου κωλύειν, ἔστ' ἂν αἱ ἕνδεκα ἡμέραι παρέλθωσιν. μετὰ δὲ ταύτας τὰς ἡμέρας, σιτίοισιν ὀλίγοισιν ὡς μάλιστα χρεέσθω. κρέασι σκυλακείοισιν, ἢ ἀλεκτρυονίοισι θερμοῖσι. διαζωννῦσθαι δὲ χρὴ καλῶς, καὶ τὸν ζωμὸν ῥοφανέτω. καὶ τοῖσι ῥοφήμασι πρόσθεν χρεέσθω τοῦ σίτου. καὶ μὴ διψήτω, ἕως ἂν ἔμπυον γένηται τὸ πλευρόν. πυΐσκεται δὲ μάλιστα, ἐν τεσσαράκοντα ἡμέρῃσιν ἢ ὀλίγῳ πρόσθεν. τοῦτο δὲ γνώσῃ, ὁκόταν ἔμπυον γένηται τὸ πλευρόν. πῦον γὰρ οὐκ ἀποπτύεται, οὐδ' αἱμέεται. τοῦτον ὁκόταν οὕτως ἔχῃ, ὅκου ἂν ἀποσημήνῃ τὸ οἴδημα, τάμνειν ἢ καίειν. ἔπειτα, ἀφιέναι τὸ πῦον κατ' ὀλίγον, καὶ ἐπειδὰν ἀπαρύσῃς, μοτὸν καθιέναι ὠμολίνου. καὶ αὖθις τῇ ὑστεραίῃ ἐξελὼν, ἀπαρύσαι κατ' ὀλίγον τοῦ πύους. ἔπειτα, μοτῶσαι. καὶ αὖθις τῇ τρίτῃ, καὶ τῇσιν ἄλλῃσιν ἡμέρῃσι, δὶς τῆς ἡμέρης ἀπαρύειν, ἕως ἂν ξηρανθῇ. διδόναι δὲ καὶ τὰ σιτία καὶ τὰ ὄψα, ὁκόταν προσίηται. καὶ πινέτω ὀλίγον μὴ πολλὸν, ἤν τε οἶνον, ἤν τε ὕδωρ. τρωγέτω δὲ καὶ τῆς ὀριγάνου τῆς ἁπαλῆς, ὡς πλεῖστον ἐς μέλι ἀποβάπτων. ἢν δὲ μὴ ἁπαλὴν ἔχῃ, ἀλλ' αὔην λεπτὴν ποιήσας ἐς τὸ μέλι τε μίξας, λείην διδόναι ὡς πλείστην. καὶ μηδὲ ῥιγούτω. καὶ τοῖσι λουτροῖσι λούειν. καὶ μαλθακῶς κοιμάσθω. οὕτω ταύτην τὴν νοῦσον θεραπεύων, τάχιστα ἂν ὑγιέα ποιήσαις. ὁκόταν δὲ ὑγιὴς γένηται, φυλασσέσθω τὸ ψῦχος. τὸ θάλπος. τὸν ἥλιον. καὶ τοῖσι περιπάτοισιν ὀλίγοισι χρεέσθω, μετὰ τὸ σῖτον, ὅκως ἢν μὴ κόπος λάβῃ τὸ σῶμα. ταῦτα ποιέων, ὑγιὴς ἔσται. τούτων τῶν νούσων ἅς τινας ἂν καύσῃς, ἐπὶ τὰ καύματα πράσα τρίψας πουλλὰ καταπλάσσειν εὐθὺς μετὰ τὴν καῦσιν, καὶ καταλιμπάνει μίην ἡμέρην.

Τρεῖς δὲ εἰσὶ φθίσιες. πρώτη. αὕτη μὲν γίνεται ἀπὸ φλέγματος, ἐπὴν ἡ κεφαλὴ φλέγματος πλησθεῖσα, νοσήσῃ καὶ θέρμη ἐγγένηται, συσσήπεται τὸ φλέγμα ἐν τῇ κεφαλῇ, ἅτε οὐ δυνάμενον κινέεσθαι, ὥστε ὑποχω-

ρῆσαι. ἔπειτα ὁκόταν παχυνθῇ καὶ συστατῇ καὶ ὑπερπλησθῇ τὰ φλέβια, ῥεῦμα ἐπὶ τὸν πλεύμονα ἐγγίνεται. καὶ ὁ πλεύμων ὁκόταν ἀναλάβῃ, νοσέει παραχρῆμα, ἅτε δακνόμενος ὑπὸ τοῦ φλέγματος, ἁλυκοῦ ἐόντος καὶ σαπροῦ. τάδε οὖν πάσχει. πυρετὸς ἄρχεται βληχρὸς ἐπιλαμβάνειν, καὶ ῥῖγος, καὶ πονέει τὰ στήθεα, καὶ τὸ μετάφρενον. ἐνίοτε δὲ βὴξ πιέζει ὀξείη. καὶ ἀποπτύει τὸ σίαλον, πουλὺ, καὶ ὑγρὸν, καὶ ἁλμυρόν. ταῦτα μὲν κατ' ἀρχὰς τῆς νούσου πάσχει. προϊούσης δὲ, τότε γυῖον λεπτύνεται, πλὴν τῶν σκελέων. ταῦτα δὲ οἰδέει. καὶ οἱ πόδες, καὶ οἱ ὄνυχες ἕλκονται. ἐκ δὲ τῶν ὤμων λεπτὸς, καὶ ἀσθενὴς ὁ φάρυγξ, ὡς χνόου πίμπλαται. καὶ συρίζει ὡς διὰ καλάμου. καὶ διψῇ ἰσχυρῶς διὰ παντὸς τοῦ νοσήματος. καὶ ἀκρασίη πουλλὴ τὸ σῶμα ἔχει. οὗτος ὁκόταν οὕτως ἔχῃ, ἐνιαυτῷ φθειρόμενος φαῦλος θνήσκει. μελεταῖν δὲ χρὴ ὡς μάλιστα καὶ ἀνακομίζειν πρῶτον μὲν πῖσαι ἐλλέβορον. κάτω δὲ ὑποκαθῆραι ἐπιθύμῳ. ἢ πεπλίῳ. ἢ τῷ κόκκῳ τῷ κνιδίῳ. ἢ τῇ τιθυμαλίδι. ταῦτα χρὴ τετράκις τοῦ ἐνιαυτοῦ δοῦναι, ἄνω δὶς, κάτω δίς. διδόναι δὲ καὶ ὄνειον γάλα ἑφθὸν ἐν ὑποκάθαρσιν, ἢ βόειον, ἢ αἴγειον. πινέτω δὲ καὶ ὠμὸν τὸ βόειον γάλα, τρίτον μέρος μελικρήτου ξυμμίσγων, πέντε καὶ τεσσαράκοντα ἡμέρας ξυμπαραμίσγων καὶ τὸ ὀρίγανον. τὴν δὲ κεφαλὴν αὐτοῦ πρόσθεν καθαίρειν, πρὸς τὰς ῥῖνας προστιθεὶς φάρμακον. σιτία δὲ καὶ ὄψα διδόναι, μήτε λιπαρὰ, μήτε κνισσώδεα, μήτε λίην δριμέα. τεκμαιρόμενος δὲ τὸ νούσημα, ταῦτα ποιέειν δεῖ. καὶ περιπάτοισι χρέεσθαι πρὸς τὰ σιτία, τεκμαιρόμενος μὴ ῥιγώῃ. τοῦ δὲ χειμῶνος, παρὰ πυρὶ τὴν οἴκησιν ποιέεσθω. οἶνον δὲ πινέτω, αὐστηρὸν, μέλανα, ὡς παλαιότατον καὶ ἥδιστον. ὀλίγον δέ. κἢν δοκέῃ σοι πρὸ τοῦ φαρμάκου πυριῆσαι, καὶ οὕτω δοῦναι τὸ φάρμακον. ἢν δὲ μὴ βούλῃ δοῦναι, πυριήσας, ἔμετον ἐκ τῶν σιτίων καταναγκάσαι ποιήσασθαι, ὡς τὸ πρόσθεν γέγραπται. τούτῳ ἢν ξυμφέρωσι, περιπάτοισι χρεέσθω. ἢν δὲ μὴ ξυμφέρωσιν, ἡσυχαζέτω ὡς μάλιστα τῷ σώματι. οὗτος οὕτω μελετώμενος, ῥῆιστα ἂν διάγοι ἐν τῷ νουσήματι. ἡ δὲ νοῦσος θανασίμη, καὶ παῦροι ταύτην διαφυγγάνουσιν.

Φθίσις δευτέρα.

Γίνεται δὲ ἀπὸ ταλαιπωρίης. τὰ αὐτὰ δὲ πάσχει ὡς ἐπὶ τὸ πλεῖστον, ἃ καὶ ὁ πρόσθεν. ἡ δὲ νοῦσος διαπαύει αὕτη μᾶλλον τῆς προτέρης. καὶ τοῦ θέρεος ἀνίησι. τὸ δὲ σίαλον ἀποπτύει, παχύτερον μὲν τῆς πρόσθεν. καὶ βὴξ πιέζει μάλιστα τοὺς γεραιούς. καὶ ὁ πόνος ἰσχυρότερος ἐν τοῖσι στήθεσι. καὶ δοκέει οἷον περ λίθον ἐν αὐτοῖσιν ἐγκέεσθαι. πονέει δὲ καὶ τὸ μετάφρενον. καὶ ἡ χροιὴ διϋγρος αὐτέου ἐστί. καὶ ἤν τι πονήσῃ, φῦσα καὶ ἆσθμα ἴσχει. οὗτος ἐκ ταύτης τῆς νούσου, ἐν τρισὶν ἔτεσι μάλιστα θνήσκει. μελεταῖν δὲ χρὴ τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τὸν πρόσθεν. αὕτη ἡ νοῦσος προσέχει τοῖσι πουλλοῖσι, μέχρι τριῶν ἐτέων, ἀλλ' ἀποθνήσκουσιν. ἡ γὰρ νοῦσος χαλεπή.

Φθίσις τρίτη.

Ὑπὸ ταύτης, τάδε πάσχει. ὁ μυελὸς αὐτέου ὁ νωτιαῖος, αἵματός τε μεστὸς γίνεται. φθίνει δὲ ὁμοίως καὶ ἀπὸ τῶν κοίλων φλεβῶν. αὗται δὲ φλέγματος ὑδροποειδέος ἐμπίπλανται καὶ χολῆς. πάσχουσι δὲ τὰ αὐτὰ, ἀφ' ὁκοτέρων ἂν φθίνῃ. καὶ ὁ ἄνθρωπος εὐθὺς μέλας γίνεται καὶ ὑποιδαλέος. καὶ τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς ὑπόπυα, ὠχρά. καὶ αἱ φλέβες αἱ ἐν τῷ σώματι, ὠχραὶ διατέτανται. ἔνιαι δὲ σφόδρα ἐρυθραί. μάλιστα δὲ δῆλαι, αἱ ὑπὸ τῇσι μασχάλῃσι. καὶ ἀποπτύει ὠχρά. καὶ ὅταν αὐτέῳ ἐπίῃ, πνίγεται, καὶ βῆξαι οὐ δύναται ἐνίοτε βουλόμενος. ἐνίοτε δὲ ὑπὸ τοῦ πνίγματος καὶ τῆς προθυμίης τοῦ βήσσειν, ἀθρόον ἤμεσε χολήν. ποτὲ δὲ λάπην. πολλάκις δὲ, καὶ τὰ σιτία, ὅταν φάγῃ. καὶ ὁκόταν ἀπεμέσῃ, δοκέει κουφότερος εἶναι. εἶτ' αὖθις ὀλίγον χρόνον διαλιπὼν, ἐν τοῖσιν αὐτοῖσι πόνοισι κέεται. οὗτος καὶ φθέγγεται ὀξύτερον ἢ ὑγιαίνων. καὶ ῥῖγος καὶ πυρετὸς διαπαύων, ἐπιλαμβάνει ἱδρώδης. τοῦτον ὁκόταν ὧδε ἔχῃ, βρωτοῖσι καὶ ῥοφήμασι, καὶ ποτοῖσι, καὶ φαρμάκοισι, καὶ τοῖσιν ἄλλοισι πᾶσι μελετᾶν, ὥσπερ τοὺς πρόσθεν. ἡ δὲ νοῦσος, διαφέρει μάλιστα ἐννέα ἔτεα, ἔπειτα διαφέρει φθειρόμενος. παῦροι δὲ φυγγάνουσιν ἐξ αὐτῆς. χαλεπὴ γὰρ ἡ νοῦσος. ἢν δὲ βούλῃ ὧδε ἰῆσθαι αὐτόν. πρῶτα μὲν πυριῆσαι. καὶ ὁκόταν πυριηθῇ, τῇ ὑστεραίῃ δοῦναι αὐτῷ πιεῖν, μελίκρητον ἡμίχοον καὶ ὄξος παραχέαι ὀλίγον. καὶ κέλευε ἀπνευστὶ τοῦτο πιεῖν. ἔπειτα τῶν ἱματίων ἀμφιέσαι αὐτὸν, πολλὰ καὶ ὡς πλεῖστον χρόνον. ἢν δὲ μὴ ἀνέχηται ἀλλ' ἐξεμέσαι βούληται, ἐξεμεέτω. ἢν δὲ μὴ ἔμετος ἔχῃ χρόνου ἤδη γινομένου, ἐπιπιὼν ὕδατος χλιαροῦ μεγάλην κύλικα, ἐμεέτω καταμαστιόμενος πτερῷ. ὁκόταν δὲ ἀπεμέσῃ ὥστε καλῶς ἔχειν, ἡσυχίην ἐχέτω ταύτην τὴν ἡμέρην. ὁκόταν δὲ ὥρη δείπνου ᾖ, δειπνεέτω μᾶζαν ὀλίγην. καὶ ὄψον ἐχέτω

τα ειχος

ταρίχη καὶ πράσα. ταῦτα δὲ ἐσθιέτω ὡς πλεῖστα. οἶνον δὲ πινέτω γλυκύν. τὸν δὲ λοιπὸν χρόνον, λουέσθω πᾶσαν ἡμέρην ἅμα ἕωθεν θερμῷ πολλῷ. καὶ μετὰ τὸ λουτρὸν, φυλάσσειν χρὴ ὡς μὴ ῥιγώσῃ, ἀλλὰ κατακλιθεὶς, εὑδέτω ὡς πλεῖστον χρόνον. ὁκόταν δὲ ἀναστῇ ἐνδίων, περιελθέτω σταδίους εἴκοσι τὸ βραχύτατον, ταύτῃ τῇ ἡμέρῃ. τῇσι δὲ ἄλλῃσιν ἡμέρῃσι, πέντε σταδίους, ἄλλους ὑπερβάλλων βαδιζέτω. ἑκάστης ἡμέρης προστιθεὶς, ἄχρις ἂν ἀφίκηται εἰς τοὺς ἑκατὸν σταδίους. τὴν δὲ κοιλίην ὑποκαθαίρειν δεῖ ἐκ τῆς ἡμέρης χυλοῖσι τεύτλων, καὶ ἀπὸ κράμβης, χοεῖς ἑκάτερα ἑψήσας, ἀπηθῆσαι χόεα ἑκατέρου. εἶτα ξυμμίξας ἅμα, συνεψεῖν τὸ στέαρ, τὸ ἀπὸ τῶν νεφρῶν τεταρτημόριον μνᾶς ἐν ἀμφοτέροισιν ἑψεῖν διελών. ὁκόταν δὲ μέλλῃ πίεσθαι πρὸς μὲν τῆς κράμβης τὸν χυλὸν, ἅλας παραβάλλειν. πρὸς δὲ τὸν τῶν τευτλίων, μέλι παραχέειν. ἐξὸν δὲ χοεῖς ἑκάτερον πίνειν, ἢ μέλι παρεγχέας παρὰ τὴν ἑτέρην κύλικα, πίνειν. παρὰ δὲ τὴν ἑτέρην, ἅλας. ἐκπιεῖν δὲ χρὴ πάντα τὸν χυλόν. ταῦτα μὲν ποιέειν χρὴ, τριάκοντα ἡμέρας. τῷ δὲ δευτέρῳ μηνὶ, ἐσθιέτω ἄρτον καὶ κρέα πίονα ὑὸς, ἑφθὰ, ἄλλο δὲ μηδέν. οἶνον δὲ πινέτω λευκὸν, αὐστηρόν. καὶ ὁδὸν ὁδοιπορεέτω, μὴ ἐλάσσω σταδίων τριάκοντα, πρὸ τοῦ δείπνου. μετὰ δὲ τὸ δεῖπνον, δέκα. καὶ μὴ ῥιγούτω ἀλλ᾽ εὐκεπάσθω. ταῦτα ἢν ποιέῃ, ῥήϊον οἴσει τὴν νοῦσον. τῷ δὲ τρίτῳ μηνὶ, κυκεῶνα ἀνθινὴν πινέτω. σελίνου ῥίζας. καὶ ἄνηθον. καὶ πήγανον. καὶ μίνθην. καὶ κορίανον. καὶ μήκωνας ἁπαλάς. καὶ ὤκιμον. καὶ φακόν. καὶ ῥοιῆς γλυκέης, καὶ οἰνώδεος χυλόν. εἰσὶν δὲ χρὴ τὰς γλυκείας, διπλασίας. εἶναι δὲ χρὴ καὶ τοῦ χυλοῦ ξὺν ἀμφοτέρων, ἡμικοτύλιον καὶ οἴνου μέλανος ἡδέος αὐστηροῦ ἡμικοτύλιον, καὶ ὕδατος κοτύλης ἥμισυ. ἔπειτα ἄνθεα τρίψας λεῖα, διῆσαι τούτῳ τῷ κεκρημένῳ, καὶ ἐγχέαι ἐν κύλικι. ἔπειτα ἐπιβαλεῖν ἄλευρα ὀρόβων, ὁκόσον ὀξύβαφον. καὶ ἄλφιτον ἴσον. καὶ τυροῦ παλαιοῦ αἰγέου ξέσας τὸ ἴσον τοῖσιν ὀρόβοισι ταῦτα ξυγκυκήσας ἐκπιέτω. ἔπειτα διαλιπὼν ὀλίγον χρόνον, ἀριστάτω ἄρτον. καὶ ὄψον ἐχέτω, τέμαχος νάρκης. ἢ ῥίνης, ἢ γαλεοῦ. ἢ βατίδος. καὶ κρέα ὑὸς ἐσθιέτω ἑφθά. καὶ παχυνέτω ἑωυτὸν, ἡσυχίην ἄγων ὡς μάλιστα. καὶ πυελίῳ διὰ δεκάτης ἡμέρης ἐν ἑωυτὸν ἡσυχῇ. τῷ δὲ τετάρτῳ μηνὶ, πυελίῳ διὰ πέμπτης ἡμέρης ἀτρέμα. καὶ ἐσθιέτω ὄψον ὡς πλεῖστον. ὄψα δὲ χρεέσθω, πυροῖσι καὶ κρέασιν ὀλίγοισιν, οἷος ἑφθοῖσιν. ὁδοιπορεέτω δὲ καὶ σταδίους, ὡς πρόσθεν εἴρηται. ἀρξάμενος δὲ τοῦ τετάρτου μηνὸς, τῇ πρώτῃ ἡμέρῃ, ἀπὸ δέκα σταδίων βαδιζέτω. καὶ καθ᾽ ἑκάστην προστιθέτω, μέχρις ἂν αὐτῷ ὀγδοήκοντα γένωνται στάδιοι, καὶ περιπατεέτω τῆς ἡμέρης, ὀγδοήκοντα σταδίους. μετὰ τὸ δεῖπνον, εἴκοσι. ὄρθρου, τριάκοντα. τὸ δὲ λοιπὸν τοῦ χρόνου διαιτάσθω, μάζαν καὶ ἄρτον ἐσθίων ἀμφότερα. καὶ ὄψον ἐχέτω, σελάχια. καὶ κρέα δὲ πάντα ἐσθιέτω, πλὴν βοείων καὶ χοιρείων. ἰχθύων δὲ τῶνδε ἀπεχέσθω, κεστρέος, καὶ ἐγχέλυος, καὶ μελανούρου. ἐσθιέτω δὲ νάρκην. καὶ ῥίνην. καὶ βατίδα. καὶ γαλεόν. καὶ τρυγόνα. καὶ βατράχους. τῶν δὲ ἄλλων, μηδέν. ἢν δὲ δοκέῃ ἀσινέα εἶναι, καὶ κυκεῶνα. ἐπειδὰν θέλῃ καθευδῆσαι πινέτω ἀπὸ οἴνου μέλανος, ἡδέος, παλαιοῦ, δὲ κότυλον κύλικα. καὶ μεθ᾽ ἡμέρην, τῷ αὐτῷ οἴνῳ χρεέσθω ἐπὶ σιτίῳ. καὶ ὁδοιπορεέτω τῆς ἡμέρης, ἑκατὸν πεντήκοντα σταδίους. μετὰ τὸ δεῖπνον, εἴκοσιν. ὄρθρου δὲ τεσσαράκοντα. οὗτος οὕτως θεραπευόμενος, γίνεται ἐν ἐνιαυτῷ ὑγιής.

Αὐαίνεται μυελὸς ὁ κατὰ τὴν ῥάχιν μάλιστα, ὁκόταν τὰ φλέβια ἀποφραχθῇ, τὰ ἐς τὸν μυελὸν τείνοντα, καὶ ἡ ἐκ τοῦ ἐγκεφάλου ἔφοδος. διὰ κάκωσιν δὲ τοῦ σώματος, τάδε πάσχει καὶ νοσέει. αὐαίνεται μάλιστα καὶ ἀπὸ λαγνείης. τάδε οὖν πάσχει. ὀδύνη ὀξέη ἐμπίπτει αὐτῷ ἐν τὴν κεφαλήν. καὶ ἐν τὸν τράχηλον. καὶ ἐς τὴν ὀσφὺν, καὶ ἐν τοὺς μύας τῆς ὀσφύος. καὶ ἐν τὰ ἄρθρα τῶν σκελέων, ὥστε ἐνίοτε οὐ δύναται ξυγκάμπτειν. καὶ ἡ κόπρος οὐ διαχωρέει, ἀλλ᾽ ἵσταται. καὶ δυσουρέεται. οὗτος κατ᾽ ἀρχὰς μὲν τῆς νούσου, ἡσυχέστερον διάγει. ὁκόσῳ δ᾽ ἂν ὁ χρόνος τῇ νούσῳ ἀπομηκύνηται, πονέει ἅπαντα μᾶλλον. καὶ τὰ σκέλεα οἰδέει ὡς ἀπὸ ὑδέρου. καὶ ἕλκεα ἐκφλυνδάνει ἀπὸ τῆς ὀσφύος. καὶ τὰ μὲν ἄλλα, ὑγιαίνεται. τὰ δὲ ἄλλα, φύεται. τοῦτον ὁκόταν οὕτως ἔχῃ, καθῆραι τὴν κεφαλὴν, τῷ ἱπποφαέος ὀπῷ, ἢ τῷ κνιδίῳ κόκκῳ, πυριήσας πρῶτον τὸ σῶμα, εὖ μάλα. τῆς δὲ ἑσπέρης μετὰ τὴν κάθαρσιν, πτισάνης δύο ζυβλία ῥοφεέτω, μέλι παραχέας. οἶνον δὲ λευκὸν πινέτω, μαλθακόν. τῇ δὲ ὑστεραίῃ, ὀνείου γάλακτος διδόναι αὐτῷ ἑφθοῦ, μέλι παραχέας ὀκτὼ κοτύλας ἐκπιεῖν. ἢν δὲ μὴ ὄνειον ἔχῃς, βόειον ἢ αἴγειον ἑφθὸν, τρία ἡμιχόεα, παραχέας μέλι. καὶ τὴν ὥρην γαλακτοποτεέτω ἐν ὀροβίῳ καὶ γάλακτι, πέντε καὶ τεσσαράκοντα

ἡμέρας. σιτίοισι δὲ καὶ ὄψοισι χρεέσθω, ὡς διαχωρητικωτάτοισιν. οἶνον δὲ πινέτω λευκὸν μαλθακὸν μενδήσιον. ὁκόταν δὲ παχύτατος ᾖ, καῦσαι αὐτοῦ ἐν τὴν ὀσφὺν ἑκατέρωθεν τῶν σπονδύλων τέσσαρας ἐσχάρας. καὶ ἐν τὸ μετάφρενον, δεκαπέντε ἑκατέρωθεν. καὶ ἐν τὸν αὐχένα δύο, μεταξὺ τῶν τενόντων. ἢν γὰρ τύχῃς καύσας, ὑγιέα ποιήσεις. ἡ δὲ νοῦσος χαλεπή.

Αἱ τέσσαρες αὗται νοῦσοι αἱ ἀπὸ τῶν νεφρῶν γινόμεναι. ἀπὸ τῆς πρώτης, τάδε πάσχει. ὀδύνη ὀξείη ἐμπίπτει εἰς τὸν νεφρὸν, καὶ ἐν τὴν ὀσφὺν, καὶ ἐν τὸν ὄρχιν τὸν κατὰ τὸν νεφρόν. καὶ οὐρέει πυκνά. καὶ στύφει κατ' ὀλίγον τὸ οὖρον. καὶ ἅμα τῷ οὔρῳ, προέρχεται ψάμμος. καὶ ὁκόταν διεξίῃ διὰ τῆς οὐρήθρης ἡ ψάμμος, ὀδύνην παρέχει ἰσχυρὴν ἐν τῇ οὐρήθρῃ. ὁκόταν δὲ διεξουρήσῃ, ἡ ὀδύνη ἀνίησιν. ἔπειτα αὖθις ἐν τοῖσιν αὐτοῖσιν ἄλγεσι κέεται. ὁκόταν δὲ οὐρέῃ, καὶ τὸν καυλὸν ὑπὸ τῆς ὀδύνης τρίβει. πολλοὶ δὲ τῶν ἰητρῶν οἱ μὴ συνιέντες τὴν νοῦσον, ὁκόταν ἴδωσι τὴν ψάμμον, δοκέουσι λιθιῆν τὴν κύστιν. καὶ ταύτην μὲν οὔ. τὸν δὲ νεφρὸν, λιθιῇ. αὕτη ἡ νοῦσος γίνεται ἀπὸ φλέγματος, ὁκόταν ὁ νεφρὸς ἐν ἑωυτὸν ἀναλαβὼν φλέγμα, μὴ ἀφίῃ πάλιν, ἀλλ' αὐτοῦ ξυμπωρωθῇ. τούτου γίνεται λίθοι λεπτοί, οἷον ψάμμος. τοῦτον ὁκόταν οὕτως ἔχῃ τῷ ὀπῷ τῆς σκαμμωνίης, ἢ αὐτῇ τῇ ῥίζῃ πυριῆσαι. πρόσθεν δὲ ἅπαν τὸ σῶμα ὑποκαθῆραι. τῇ δὲ ὑστεραίῃ τῷ ἀπὸ ἐρεβίνθων λευκῶν χυλῷ ὑποκαθῆραι δύο χοεῦσιν, ἅλας δὲ παρεμβαλὼν, διδόναι πίνειν. μετὰ δὲ ταῦτα ποτοῖσι καὶ βρωτοῖσι καὶ λουτροῖσι μελετᾶν, διδοὺς τὰ αὐτὰ ἃ τῷ στραγγουριῶντι δίδοται φάρμακα. ὁκόταν δὲ ἡ ὀδύνη πιέσῃ, λούειν πολλῷ καὶ θερμῷ. καὶ χλιάσματα προστιθέναι ὅπῃ πονέει μάλιστα. ὁκόταν δὲ ἀποιδήσῃ καὶ ἐξαρθῇ, ὑπὸ τοῦτον τὸν χρόνον τάμνειν κατὰ τὸν νεφρόν. καὶ ἐξελὼν τὸ πῦον, τὴν ψάμμον διουρητικοῖσιν ἰῆσθαι. ἢν μὲν γὰρ τμηθῇ, ἐλπὶς ἐκφυγεῖν. ἢν δὲ μὴ, ἡ νοῦσος τῷ ἀνθρώπῳ συναποθνήσκει.

Δευτέρη νοῦσος νεφρῶν. Αἱ μὲν ὀδύναι, ἰσχυρῶς πιέζουσιν ὡς ἐν τῇ πρόσθεν. γίνεται δὲ τὸ νούσημα ἀπὸ ταλαιπωρίης. ὁκόταν ῥαγῇ τὰ φλέβια, τὰ ἐν τὸν νεφρὸν τείνοντα, ἔπειτα ὁ νεφρὸς αἵματος ἐμπλησθῇ. οὗτος ὁκόταν ταῦτα πάθῃ, ἐξουρέει ἅμα τῷ οὔρῳ αἷμα κατ' ἀρχὰς τοῦ νοσήματος. ἔπειτα πύον προϊόντος τοῦ χρόνου. οὗτος ἢν ἡσυχίην ἔχῃ τῷ σώματι, τάχιστα ὑγιὴς ἔσται. ἢν γάρ τι πονήσῃ, αἱ ὀδύναι πολλῷ μᾶλλον ἕξουσιν. ὁκόταν γοῦν ἔμπυος ᾖ ὁ νεφρὸς, ἀποιδέῃ περὶ τὴν ῥάχιν. τοῦτον ὅταν οὕτως ἔχῃ, τάμνειν κατὰ τὸ ἀποιδέον μάλιστα μὲν βαθείην τομὴν κατὰ τὸν νεφρόν. κἢν μὲν τύχῃς ταμὼν, παραχρῆμα ὑγιέα ποιήσεις. ἢν δὲ ἁμάρτῃς, κίνδυνος ἕλκος ἔμμοτον γενέσθαι. ἢν δὲ ξυμφυῇ τὸ ἕλκος, ἐκπυοῦται ἔσωθεν ἡ κοιλίη ἡ ἀπὸ τοῦ νεφροῦ. κἢν μὲν ῥαγῇ ἔσωθεν καὶ χωρήσῃ κατὰ τὸν ἀρχὸν τὰ πύα, ἐλπὶς ἐκφυγέειν. ἢν δὲ ψαύσῃ τοῦ ἑτέρου νεφροῦ, κινδυνεύσει καταφθαρῆναι. μελετᾶν δὲ φαρμάκοισι καὶ τοῖσιν αὐτοῖσι πᾶσιν, οἷσι καὶ τὴν πρόσθεν. καὶ τὴν δίαιταν τὴν αὐτὴν ἐχέτω. αὕτη δὲ ἡ νοῦσος χαλεπή. καὶ πολλοὶ ἐκ ταύτης τῆς νούσου ἐν φθίσιν νεφρῖτιδα κατέστησαν.

Τρίτη νοῦσος νεφρῶν. Τὸ μὲν οὖρον προέρχεται, οἷον ἀπὸ κρεῶν βοείων ὀπτῶν χυλός. γίνεται δὲ τὸ νόσημα, ἀπὸ χολῆς μελαίνης, ὁκόταν χολὴ ἐν τὰ φλέβια συῤῥέῃ τὰ τείνοντα ἐν τὸν νεφρόν. καὶ ὁκόταν στῇ, ἑλκοῖ τὰ φλέβια καὶ τὸν νεφρόν. ὑπὸ οὖν τῆς ἑλκώσιος, τοιοῦτον ὑποχωρέει ἅμα τῷ οὔρῳ. αἱ δὲ ὀδύναι, ἔχουσιν ἐν τῇ ὀσφύϊ. καὶ ἐν τῇ κύστει, καὶ ἐν τῷ περινέῳ. καὶ ἐν αὐτῷ τῷ νεφρῷ, ἐπ' ὀλίγον χρόνον. ἔπειτα ἀνῆκεν ὁ πόνος, καὶ αὖθις ἐπέλαβεν ὀξὺς δι' ὀλίγου. καὶ ἐν τὸ λεπτὸν τῆς γαστρὸς ἔστιν ὅτε ὀδύνη ἐμπίπτει. τοῦτον ὁκόταν οὕτως ἔχῃ, ὑποκαθῆραι τὴν κοιλίην, ἐπιθύμῳ, ἢ τῆς σκαμμωνίης ῥίζῃ. πίνειν διδόναι τὰ αὐτὰ ἃ καὶ τῷ στραγγουριῶντι. καὶ ὁκόταν ἡ ὀδύνη ἔχῃ, λούειν πολλῷ καὶ θερμῷ. χλιάσματα προστιθέντα πρὸς τὸ πονέον μάλιστα. καὶ ῥοφήματι χρεέσθω ἀλεύρῳ ἑφθῷ, μέλι παραχέας. καὶ τῇ ἄλλῃ διαίτῃ χρεέσθω, ὡς διαχωρητικωτάτῃ. καὶ οἶνον πινέτω λευκὸν μενδαῖον μελίχροον. ἢ ἄλλον λευκὸν τὸν ἥδιστον καλῶς κεκρημένον. αὕτη ἡ νοῦσος, οὐ μάλα ἐκλείπει. καὶ τὴν ὥρην ὀῤῥοποτεέτω, καὶ γαλακτοποτεέτω. ἐν κάθαρσιν μὲν τῷ ὀῤῥῷ. τὴν δὲ γαλακτοποσίην ποιέεσθω ἐν ὥρῃ, πέντε καὶ τεσσαράκοντα ἡμέρας. ταῦτ' ἢν οὕτω ποιέῃς, ἐπὶ τὸ κρέσσον διαθήσεις τὴν νοῦσον.

Τετάρτη νοῦσος νεφρῶν. Τὸ μὲν νούσημα γίνεται ἀπὸ χολῆς καὶ φλέγματος. ἐν καιρῷ δὲ τοῦ θέρεος μάλιστα. γίνεται δὲ καὶ ἀπὸ λαγνείης ἡ νοῦσος. οὗτος τάδε πάσχει. ὀδύναι πιέζουσιν αὐτὸν ἐς τὴν λαπάρην, καὶ ἐς τὸν κενεῶνα, καὶ ἐς τὴν ὀσφὺν, καὶ ἐς τοὺς μύας τῆς ὀσφύος, καὶ πάσχει ὁκοῖα γυνὴ ὠδίνουσα. καὶ οὐκ ἀνέχεται ἐπὶ τοῦ ὑγιέος κατακεῖσθαι, ἀλλ' ἄγαν

πονέει

ἐπονέει. καὶ τοῦ ἰσχνεῶνος δοκέει κατακρεμᾶσθαι ὡς ἀπορρηγνυσόμενα. ἐπὴν δὲ τὰ πρῶτα ἢν κατακέηται, οὐκ ἀλγέει. οἱ δὲ πόδες καὶ αἱ κνῆμαι αὐτοῦ, ἀεὶ ψυχρά. τὸ δὲ οὖρον μόλις προέρχεται ὑπὸ τῆς φλεγμασίης καὶ παχύτητος τοῦ οὔρου. κἢν μὲν ἐάσῃς αὐτὸ ὀλίγον χρόνον, καταθεὶς ἕως ἂν καταστῇ, ὄψει τὸ ὑφεστηκὸς παχὺ, οἷόν περ ἄλευρον. κἢν μὲν χολὴ ἐπικρατέῃ, ὑπόπυρρον αὐτὸ ὄψει. ἢν δὲ ἀπὸ φλέγματος ᾖ τὸ νούσημα, λευκὸν καὶ παχὺ ἔσται. καὶ τὸ μὲν πρῶτον ἐς ἐνιαυτὸν, ἢ ὀλίγῳ πλέονα, ἢ ὀλίγῳ ἐλάσσονα χρόνον τοιαῦτα πάσχων διατελέει. ἢν δὲ ἐπιμηκύνηται ἡ νοῦσος, πονέει τε μᾶλλον καὶ ἐμπυοῦται. καὶ ὁκόταν ἔμπυος γενόμενος ἀποιδέῃ, ὅκου ἂν μάλιστα ἀποιδέῃ, τάμνειν ἐς τὸν νεφρὸν καὶ ἀφιέναι τὸ πύον. καὶ ἢν μὲν τύχῃς ταμὼν, παραχρῆμα ὑγιέα ποιήσεις. τοῦτον ὁκόταν οὕτως ἔχῃ, τοῖσιν αὐτοῖσι πάθεσι θεραπεύειν, οἷσι κατὰ τὸ πρόσθεν καὶ κατ᾽ ἀρχὰς τῆς νούσου. δεῖ τε καθῆραι καὶ πρὸ τῆς ὑποκαθάρσιος πυριῆσαι καὶ τοῖσι λουτροῖσι πυκινὰ λούειν. ἀλειφέσθω δὲ καὶ θαλπέσθω μᾶλλον. μὴ δὲ ῥιγούτω. καὶ τοῦ ἡλίου ἀπεχέσθω. καὶ μὴ λαγνευέτω. ταῦτα ἢν ποιέῃ καὶ μὴ τάχιστα ὑγιαίνῃ, οὐ καινὸν, ἡ νοῦσος γὰρ ὡς χαλεπή. ἢν δὲ βούληται ἄνευ φαρμάκων ἰῆσθαι, χρὴ παχὺν ποιῆσαι ἀπὸ διαίτης, ἥν τε ταύτην τὴν νοῦσον κάμνοντα, ἥν τε τῶν ἑτέρων τινὰ, τὰ σιτία διελὼν, ἃ μεμαθήκει ἐσθίειν. ἤγουν δέκα μερίδας. ἔπειτα μίαν ἀφελὼν μερίδα, τὰ λοιπὰ καταφαγέτω. ὄψον δὲ ἐχέτω, κρέας ὑὸς τετριμμένον. καὶ περιπατεέτω δέκα σταδίους ταύτης τῆς ἡμέρης. τῇ δὲ ὑστεραίῃ καὶ τῇ τρίτῃ μέχρι τῶν δέκα ἡμερέων προστιθεὶς μερίδια, ἐλάσσω ἐσθιέτω. καὶ περιπατεέτω δέκα σταδίους ἢ πλέω ἑκάστης ἡμέρης. ὁκόταν δὲ ἐς τὴν ἐσχάτην μερίδα ἀφίκηται τοῦ σιτίου, καὶ ἐς τοὺς ἑκατὸν σταδίους βαδιζέτω. καὶ ἐσθιέτω τὴν μίαν μερίδα μούνην. καὶ ταύτης τῆς ἡμέρης περιπατησάτω τοὺς ἑκατὸν σταδίους. μετὰ δὲ τὸ δεῖπνον, εἴκοσι. ὄρθρου δὲ τεσσαράκοντα. οἶνον δὲ πινέτω, μενδαῖον, λευκὸν, αὐστηρόν. ταῦτα δὲ ποιεέτω, τρεῖς μῆνας. ἔπειτα τὸν λοιπὸν χρόνον ὑποβαίνων τῶν περιπάτων, καὶ τῶν σιτίων, πλέω ἐσθιέτω. τὸν αὐτὸν τρόπον ὥσπερ ἀφῄρει, οὕτω δὴ προστιθείς. τὸν δὲ περίπατον ἀφαιρέτω, μέχρι τῶν δέκα ἡμερέων. ἔπειτα ἡσυχίην ἐχέτω ὡς μάλιστα. καὶ εὐωχεέσθω σιτία τε καθαρὰ, καὶ ὄψα ὡς πιότατα. καὶ τὰ γλυκέα πάντα, ξύμφορα αὐτῷ. λαχάνων δὲ καὶ ὀξέων πάντων, ἀπεχέσθω καὶ τῶν δριμέων. καὶ ὁκόσα φῦσαν παρέχει. λουέσθω τε πολλῷ καὶ θερμῷ. καὶ μὴ ῥιγούτω. ταῦτ᾽ ἢν ποιέῃ, τάχιστα ὑγιὴς ἔσται.

Ἀπὸ δὲ νεφρίτιδος ἐπιλαμβάνει. ἡ δὲ νοῦσος μεγάλη τῶν φλεβῶν τῶν κοίλων, αἳ τείνουσιν ἀπὸ τῆς κεφαλῆς παρὰ τὰς σφαγὰς διὰ τῆς ῥάχιος, ἐς τὸ σφυρὸν, τὸ ἐκτὸς τοῦ ποδὸς, καὶ ἐς τὸ μεταξὺ τοῦ μεγάλου δακτύλου. τὸ δὲ νούσημα γίνεται μὲν ἀπὸ φλέγματος καὶ χολῆς, ὁκόταν ἐς τὰς φλέβας συῤῥυῇ. αἱ δὲ φλέβες αὗται, αἵματος εἰσὶ πλήρεες. ἢν οὖν τι παρέλθοι ἀλλοῖον ἐς αὐτὰς νοσεῦσι. τάδε οὖν πάσχει. ἢν μὲν τὰ δεξιὰ νοσέῃ ἄρχεται τὴν ὀδύνην παρέχουσα, ἐκ τῆς κοτυληδόνος τοῦ ἰσχίου, κατ᾽ ἀρχάς. ὁκόσῳ δὲ πλέω ὁ χρόνος προΐῃ καὶ ἀπομηκύνηται, ἥ τε ὀδύνη ὀξυτέρη κατέρχεται κατωτέρω. καὶ ὁκόταν ἐς τὸ σφυρὸν ἀφίκηται τὸ ἐκτὸς τοῦ ποδὸς καὶ τὸ μεταξὺ τοῦ μεγάλου δακτύλου, ἄρχεται πάλιν ἐς τὴν κεφαλὴν ἔρχεσθαι. καὶ ὁκόταν ἐς αὐτὴν τὸ ἕλκος στῇ, πιέζει ἰσχυρῶς. καὶ δοκέει ὁ ἄνθρωπος διαῤῥήγνυσθαι τὴν κεφαλήν. καὶ οἱ ὀφθαλμοὶ φλέγματος πληροῦνται, καὶ τὸ πᾶν σῶμα. τοῦτον ὅταν οὕτως ἔχῃ, ἐλατήριον πίσαι, ἢ δάφνης ῥίζαν, ἢ ἐλλεβόρου, ἢ ὀπὸν σκαμμονίης. μετὰ δὲ τὴν κάθαρσιν ταῦτα προσφέρειν, ἃ καὶ τοῖσι πρόσθεν. ἢν δὲ μὴ ὑπὸ ταύτης τῆς θεραπείης παύηται, γάλακτι παχύνας, καῦσαι κάτω τὴν ὠμοπλάτην τὴν δεξιὴν, τέσσαρας ἐσχάρας. καὶ ἐς τὴν κοτυληδόνα τοῦ ἰσχίου τοῦ δεξιοῦ, τρεῖς. καὶ ὑπὸ τὸν γλουτὸν, δύο. καὶ ἐν τῷ μέσῳ τοῦ μηροῦ, δύο. καὶ ὑπὲρ τοῦ γούνατος, μίαν. καὶ ὑπὲρ τοῦ σφυροῦ, μίαν. οὗτος ἢν οὕτω καυθῇ, οὐκ ἀφίησιν οὔτε ἄνω οὔτε κάτω τὴν νοῦσον διαχωρέειν. ἢν δέ κου ἡ ὀδύνη ὀφθῇ, ῥαγεῖσα. ἢν μὲν στηρίξῃ ἐς τὸ σκέλος πρὶν ἢ καυθῆναι, χωλὸς ἔσται. ἢν δὲ ἐς τὴν κεφαλὴν, κωφὸς ἢ τυφλός. ἢν δὲ ἐς τὴν κύστιν καὶ προχωρέῃ ἅμα τῷ οὔρῳ αἵματος μάλιστα, τεσσαράκοντα ἡμέρας. ἀλλὰ χρὴ ἢν ἐς τὴν κύστιν ῥαγῇ, διδόναι τὰ αὐτὰ φάρμακα, ἃ καὶ τῷ στραγγουριῶντι. ἢν κου ἡ ὀδύνη ἀλισθῇ, καῦσαι. καίειν δὲ χρὴ τὰ μὲν σαρκώδεα σιδηρείοισι. τὰ δὲ ὀστώδεα καὶ νευρώδεα, μύκησι. πλὴν τάδε πρότερον τούτων χρὴ ποιῆσαι. ἢν κατ᾽ ἀρχὰς τῇ νούσῳ παραγένῃ, ἐς μὲν τὸ ποτὸν χρὴ διδόναι, οἶνον λευ-

κὸν μυδαλαῖον, ὑδαρέστερον ὡς πλεῖστον μεθ' ἡμέρην. καὶ μεθυσκέσθω ἄχρις ἂν αἱμοῤῥαγήσῃ κατὰ τὰς ῥῖνας. ὁκόταν δὲ ἄρξηται ῥέειν τὸ ἐλάχιστον ἡμέρας ῥεῖ, δέκα καὶ τρεῖς. ὅταν δὲ αὗται αἱ ἡμέραι διέλθωσι, μηκέτι μεθυσκέσθω, μὴ δὲ ὅταν ἄρξηται ἅπαξ ῥέειν. πινέτω μέντοι ὀλίγῳ πλέονα τὸν οἶνον ἐπὶ σιτίῳ, ὅκως ἂν ῥέῃ τὸ αἷμα. ἤδη δέ τισι παυσαμένου τοῦ αἵματος, ἐῤῥάγη ἐς τὴν κύστιν καὶ ἐχώρησεν αἷμα καὶ πύα. ἢν γοῦν ῥαγῇ, διδόναι τὰ αὐτὰ φάρμακα, ἃ καὶ τῷ στραγγουριῶντι. καὶ ἀπὸ τοῦ αὐτοῦ οἴνου διδόναι πλέον πιεῖν. οὗτος οὕτω μελετώμενος, καὶ τὰ σιτία προσφερόμενος διαχωρητικὰ, καὶ τὰ ὄψα, τάχιστα ὑγιὴς ἔσται. ἡ δὲ νοῦσος χαλεπή.

Ἄλλη ἀπὸ τῆς ἀριστερῆς φλεβός. τὰ μὲν ἄλλα πλῆθος τὰ αὐτὰ πάσχει, ἃ καὶ ὁ πρόσθεν. ἐς δὲ τὸν σπλῆνα ὀδύνη στηρίζει ὀξέη εὐθὺς, καὶ κατ' ἀρχὰς τοῦ νοσήματος. καὶ ἢν μὴ ξυνίῃ παραχρῆμα πρὶν καταστηρίξῃ ἀλλ' ἢ ἐς τὸν πνεύμονα, μύκησι καῦσαι ὀκτὼ ἐσχάρας, τὰς κεφαλὰς ἀπολαβὼν τοῦ σπληνὸς, ὡς τάχιστα. καὶ ὅκου ἂν ἄλλῃ ὀδύνη καταστηρίξῃ, καῦσαι. καὶ οὕτω παραχρῆμα ὑγιὴς ἔσται. ἢν δὲ μὴ καυθῇ, ὑγιὴς δὲ γένηται ἀπὸ ταὐτομάτου, τοῖσι πολλοῖσι μετὰ δυοκαίδεκα ἔτη, ἡ νοῦσος αὖθις ὑποτροπιάσει. καὶ ἢν λάβηται τοῦ σπληνὸς, τοῖσι πολλοῖσιν ὕδερον ἐποίησεν. ἀλλὰ χρὴ παραχρῆμα θεραπεύειν ὡς τὴν πρόσθεν. καὶ ἢν δοκέῃ, καῦσαι ὥσπερ δὴ καὶ τὸν πρότερον. ἢν ἡ ὀδύνη καθεστήκῃ ἐν τοῖσιν αὐτοῖσιν ἄρθροισιν. ἢν δὲ μὴ οὕτω μελετηθῇ, τὸ λοιπὸν τηκόμενος θνήσκει. ἡ γὰρ νοῦσος χαλεπή.

Περὶ δὲ τοῦ φλέγματος, τὰς αὐτὰς γνώμας ἔχω, ἃς καὶ περὶ χολῆς, καὶ φημὶ τὰς ἰδέας αὐτοῦ πολλὰς εἶναι. καὶ τὸ μὲν ἐπιδήμιόν ἐστι, τὸ δὲ νεώτατον. οὗ καὶ ἡ ἴησις ῥάστη. ἐμέτους γὰρ δεῖ ποιέεσθαι μετὰ τὸ σιτίον ἡμέρας δύο ἢ τρεῖς προσαριστῶντα καὶ ἡσυχάζοντα, ἢν εἰώθῃ τὰς πρόσθεν ἡμέρας μονοσιτέειν καὶ ταλαιπωρέειν. ἢν δὲ μὴ τοιαύτη διαίτῃ χρέεσθω. πρῶτον λουέσθω πολλῷ καὶ θερμῷ, ὁκόταν μέλλῃ ἔμετον ποιέεσθαι. καὶ ἐσθιέτω μάζαν ψαιστήν. καὶ ἄρτον ἐξοπτὸν ἕωλον. ἕλκει γὰρ ἂν μᾶλλον ταῦτα τὸ φλέγμα. ὄψοισι δὲ χρέεσθω, καὶ λαχάνοισι δριμέσι. καὶ τὰ λιπαρὰ καὶ τὰ γλυκέα καὶ ὀξέα. ταῦτα πάντα ἐπιτήδεια ξυμμεμιγμένα προσφέρεσθαι, καὶ τοῖσι λαχάνοισι πᾶσι χλωροῖσι χρέεσθω. καὶ πινέτω ἐπὶ τῷ σιτίῳ ὀλίγον πυκινὰ, οἶνον γλυκύν. καὶ πλακοῦντος ἐπιφαγέτω ἐπὶ τελευτῆς, καὶ μέλι καὶ σῦκα. καὶ ὁκόταν δειπνήσῃ, πινέτω λάβρως τὰς κύλικας. καὶ ὁκόταν ἤδη πλήρης ᾖ, κατακοιμηθήτω ὀλίγον, εἶτα ἐπεγερθεὶς ἐμεέτω, πιὼν οἴνου μεγάλην κύλικα, καὶ χλιαρῷ ὕδατι κεκρημένην. ἕλκει γὰρ μᾶλλον τὸ φλέγμα ἐκ τῶν σαρκῶν καὶ τὸν χυμὸν, καὶ ξηραίνει μᾶλλον τὸ σῶμα. ἐξεμεέτω δὲ ἕως ἂν τὰ σῦκα ἐξεμέσῃ. ὕστατα γὰρ ταῦτα ἐξεμέεται. ταῦτα μὲν τῇδε. τῇ δὲ ὑστεραίῃ, συνεχέτω ἑωυτὸν, μέχρι δείπνου. καὶ δειπνεέτω ἄρτον αὐτοπυρίτην, τὸ δὲ ὄψον ἔστω ἀπὸ τῶν ἰσχυροτέρων. οἶνον δὲ πινέτω μέλανα αὐστηρόν. αὕτη μὲν οὖν τοῦ ἐπιδημίου φλέγματος ἡ ἴησις. ἢν δὲ δυνατὸς ἐὼν ἐσθίειν καὶ πίνειν, καὶ ἥδηται τοῖσι σιτίοισιν, εἶτα τὰ σκέλεα βαρύνοιτο, καὶ ἡ χροιὴ μετηλλαγμένη ᾖ, τούτῳ φάναι ἐν τῇ κοιλίῃ φλέγμα τὸ λυπέον εἶναι. ἀλλὰ χρὴ ὁκόταν οὕτως ἔχῃ, μέλιτι καὶ οἴνῳ γλυκεῖ, καὶ ἐλαίῳ, καὶ νίτρου ὁκόσον οἷος ἀστράγαλος παραμίξας, κλύζειν, ταῦτα γὰρ τῇ φύσει τοῦ ἀνθρώπου εὐμενέστατα εἰς τὸν κλυσμόν. μέτρον δὲ χρὴ ἑκάστου εἶναι. τοῦ μὲν οἴνου κοτύλην. ἡμικοτύλιον δὲ ἐλαίου. καὶ μέλιτος ἴσον. ἢν δὲ μὴ κλύζειν βούλῃ, δίυγρον χρὴ τὸν ἄνθρωπον ποιῆσαι, πυριήσαντα ἐν ὑγρῇ τῇ πυρίῃ. τάχα γὰρ ἂν καὶ οὕτως ἀποκριθῇ ἡ κόπρος. ὑπὸ γὰρ τῆς ἀποξηρασίης τῶν σιτίων, ταῦτα πάσχει. ἢν μὲν οὖν τις ἐσθίῃ τὰ σιτία λίην ἔγχυλα, οὐκ ἂν ἴσως πάσχῃ ταῦτα οὕτω σφόδρα. ἢν δὲ καὶ πάσχοι ποτὲ, ὀλίγης ἂν ἰήσεως δέοιτο. τοῦτον οὕτως ἰώμενος, τάχιστα ἂν ὑγιέα ποιήσῃς.

Ἢν δὲ τύχῃ παλαιότερον ἐὸν φλέγμα, λευκὸν δὲ καλέεται τοῦτο τὸ φλέγμα, πάσχει τάδε. βαρύνει τὸν ἄνθρωπον μᾶλλον, καὶ ἰδέην ἀλλοίην ἔχειν τοῦ ἐπιδημίου δοκέει ὠχροτέρην. καὶ οἰδέει οἰδήμασι πᾶν τὸ σῶμα, καὶ τὸ πρόσωπον ἐρεύθει. καὶ τὸ στόμα ξηρόν. καὶ δίψα ἐπέχει. καὶ ὁκόταν φάγῃ, τὸ πνεῦμα πυκνὸν ἐπιπίπτει αὐτῷ. οὗτος τῆς αὐτῆς ἡμέρης, ποτὲ μὲν γίνεται ῥάων, ποτὲ δὲ πονέει ἐξαπίνης, καὶ δοκέει ἀποθανέεσθαι. τούτῳ ἢν μὲν ἡ γαστὴρ αὐτομάτως ταραχθῇ, ἐγγυτάτω ὑγιὴς ἔσται. ἢν δὲ μὴ ταραχθῇ αὐτομάτη ἡ κοιλίη, καθαίρειν δεῖ διδόντα τοῦ κνεώρου, ἢ τοῦ ἱπποφαέος, ἢ τοῦ κνιδίου κόκκου, ἢ τῆς μαγνησίης λίθου. καὶ μετὰ τὴν κάθαρσιν, φακῆς δοῦναι τρυβλίον ῥοφέειν, ἓν ἢ δύο. συνεψέσθω δὲ ἐν τῇ φακῇ σκόροδα. καὶ τεύτλου λιπαροῦ ἀνυδρώτου τρυβλίον, ἐπ' ἀλφίτων περιπάσσοντα.

πινέτω δὲ οἶνον μέλανα αὐστηρόν τε καὶ ἰσχυρόν. τῇ δὲ ὑστεραίῃ, περιπατεέτω σταδίους εἴκοσι τὸ ἑωθινόν. ἐλθὼν δὲ, φαγέτω ἄρτον μικρὸν ἔξοπτον καὶ ὄψον ἐχέτω σκόροδα ἑφθά. καὶ πινέτω τοῦ αὐτοῦ οἴνου ὀλίγον ἀκρητέστερον. εἶτα βαδιζέτω σταδίους τριήκοντα. καὶ ὁκόταν ὥρη ᾖ, δειπνεέτω ὁκόσον περ καὶ εἴθιστο ἀεισιτεῖν. ὄψον δὲ ἐχέτω μάλιστα μὲν, πόδας συὸς καὶ κεφαλάς. εἰ δὲ μὴ, ἀλεκτρυόνος κρέασιν, ἢ ὑὸς τετριμμένοισι χρεέσθω. ἰχθύων δὲ, σκορπίῳ, ἢ δρακοντίῳ, ἢ κόκκυγι, ἢ καλλιωνύμῳ, ἢ κωβιῷ, ἢ τῶν ἄλλων ἰχθύων, ὁκόσοι τὴν ἴσην δύναμιν ἔχουσι. λαχάνοισι δὲ χρεέσθω, σκορόδοισι μόνοις, καὶ ἄλλων τῶν λαχάνων μηδενί. ταῦτα δὲ ὡς πλεῖστα τρωγέτω, καὶ ὠμὰ, καὶ ὀπτὰ, καὶ ἑφθὰ, αἰεὶ πλείω ἑκάστης ἡμέρης. καὶ ταλαιπωρεέτω πρὸς τὰ σιτία τεκμαιρόμενος καὶ ἐς ὀλίγον πλέον. τοῦτο τὸ νούσημα μάλιστα γίνεται, θέρεος ὥρῃ ἀπὸ ὑδροποσίης, ἔτι δὲ καὶ ὕπνων πολλῶν. κρίνεται δὲ ἐν τριήκοντα ἡμέρῃσιν, εἰ θανάσιμον, ἢ οὔ. ταῦτα μὲν ποιεέτω, ὁκόταν αἱ τριάκοντα ἡμέραι παρέλθωσιν. ἐν δὲ τῇσι πρώτῃσι τῶν ἡμερέων, ῥοφήμασι διαχρεέσθω, φακῇ ἑφθῇ, ἐπωκεσμένῃ τῷ ὄξει. καὶ πτισάνῃ ὀξείῃ. πινέτω δὲ χλιαρὸν μελίκρητον, ἀλφίτων ἐπιπάσσων ὀλίγα, ἵνα γοῦν ὠργισμένον τὸ σῶμα ᾖ πρὸς τὴν φαρμακοποσίην. καὶ εὑδέτω ὑπαίθριος ταύτας τὰς ἡμέρας. καὶ ἤν σοι δοκέῃ τοῦ αἵματος ἀφελεῖν ἀπὸ τῆς ὀσφύος, σικύην προσβαλεῖν, καὶ τὰς ἐν τῇ ὄχῃ φλέβας σχάσαι τὰς παχυτάτας. οὗτος οὕτω θεραπευόμενος, τάχιστα ὑγιὴς ἔσται.

Γίνεται ἀπὸ φλέγματος μάλιστα ἐς ὕδερον, τρόπῳ τοιῷδε. ἡ πιμελὴ συντήκεται, καὶ γίνεται ὑπὸ τοῦ καύματος τοῦ ἐν τῷ φλέγματι ἐόντος, ὕδωρ. γνώσῃ δὲ τοῦτο, ὅς τις δυνατός ἐστιν ἐσθίειν καὶ ὅς τις μή. ἕως γὰρ ἄν τις ἐπὶ τῷ ἥπατι ἔχῃ πιμελὴν, ἀδύνατόν ἐστιν ἐσθίειν. γνῶσις δὲ τούτοισι μάλιστα, εἰ ἔπεστι πιμελὴ ἐπὶ τῷ ἥπατι, ἢ οὔ. ἢν μὲν πυρετοὶ ἐπιγίνωνται καὶ μὴ δύνηται ἀνίστασθαι, καὶ ὁ ὀμφαλὸς ἔξω ἐξίσχῃ πεφυσημένος, φάναι μηκέτι ἐπεῖναι πιμελὴν, καὶ ἰήσιμον εἶναι. τούτῳ ξυμφέρει τὴν κοιλίην ξηραίνειν. διδόναι μὲν ἄρτον αὐτοπυρίτην, δίαλον θερμόν. ὄψον δὲ λαγωοῦ κρέας. καὶ ἴννος τελείου. καὶ ὄϊος. καὶ ὑὸς ὡς ὀπτά. καὶ ἀλεκτρυόνος ὀπτὰ θερμά. καὶ πολύποδας ἐσθιέτω ἑψῶν, ἐν οἴνῳ μέλανι αὐστηρῷ. οἶνον δὲ πινέτω μέλανα ὡς παχύτατον καὶ στρυφνότατον. ἰχθύων δὲ χρεέσθω, κωβιῷ. δράκοντι. καλλιωνύμῳ. κόκκυγι. σκορπίῳ. καὶ ἄλλοισι τοῖσι τοιούτοισι, πᾶσιν ἑφθοῖσι, ἑώλοισι, καὶ ψυχροῖσιν. ὡς ξηρότατοι γὰρ οὗτοι μάλιστά εἰσι. καὶ ἐς τὸν ζωμὸν μὴ ἐμβαπτέσθω. καὶ ἄναλτοι ἔστωσαν οἱ ἰχθύες. λαχάνων δὲ χρεέσθω, ῥαφάνοισι καὶ σελίνοισι. ὀπτήτω δὲ φακὴν τῷ ὄξει ἐπωκεσμένην, καὶ ἐσθιέτω. καὶ περιπατεέτω καθ' ἡμέρην. καὶ μετὰ τὸ δεῖπνον καὶ ὄρθρου καὶ ὄψιος εὑδέτω. καὶ πρωῒ ἐξεγειρέσθω. κἢν μὲν ὑπὸ τούτων καθίστηται, ἅλις. ἢν δὲ μὴ, πίσαι αὐτὸν κνέωρον, ἢ ἱπποφαέως τὸν ὀπόν. ἢ κνίδιον κόκκον. καὶ μετὰ τὴν κάθαρσιν, φακῆς δύο τρυβλία ὑπορροφεέτω. καὶ ἄρτον μικρὸν καταφαγέτω. οἶνον δὲ πινέτω μέλανα, στρυφνὸν ὀλίγον. πινέτω δὲ φάρμακον δὶς τῆς ἡμέρης, ἕως ἂν λαπαρὸς γένηται. ἢν δὲ τὸ οἴδημα καθεστήκῃ ἐν τῇ ὄχῃ, καὶ τοῖσι μηροῖσι, καὶ τῇσι κνήμῃσι καταχαῦ χρὴ ὀξυτάτῳ μαχαιρίῳ πολλὰ πυκινά. ταῦτα ἢν ποιέῃς ταχὺ ὑγιέα ποιήσεις. Ὕδερος.

Ὁ δὲ ὕδερος ἀπὸ τῶνδε γίνεται. ὁκόταν θέρεος ὥρῃ διψήσας, ὕδωρ πολὺ πίῃ. ἐπεί περ ἐκ τοῦδε γίνεσθαι φιλεῖ μάλιστα. καὶ ὁ πνεύμων ἐκπλησθεὶς, ἀφίησιν αὖθις ἐς τὰ στήθεα. καὶ ὁκόταν ἐν τοῖσι στήθεσι γένηται, καῦμα παρέχει σφόδρα ὥστε τήκειν τὴν πιμελὴν, τὴν ἐπὶ τῇσιν ἀρτηρίῃσιν ἐνεοῦσαν. καὶ ἢν ἅπαξ ἄρξηται τήκεσθαι τὸ στέαρ πουλὺ πλέον, ἐν ὀλίγῳ χρόνῳ τὸν ὕδερον ἐποίησε. γίνεται δὲ καὶ ἢν φύματα ἐν τῷ πνεύμονι ἐμφυῇ, καὶ πλησθῇ ὕδατος, καὶ ῥαγῇ ἐς τὰ στήθεα. ὡς δὲ γίνεται καὶ ἀπὸ φυμάτων ὕδερος, τόδε μοι μαρτύριον, καὶ ἐν βοῒ, καὶ ἐν κυνὶ, καὶ ἐν ὑΐ. μάλιστα γὰρ τῶν τετραπόδων ἐν τούτοισι γίνεται φύματα ἐν τῷ πνεύμονι ἅπερ ἔχουσιν ὕδωρ. διαταμὼν γοῦν, γνοίης τάχιστα. ῥεύσεται γοῦν ὕδωρ. δοκέει δὲ καὶ ἐν ἀνθρώπῳ γίνεσθαι τοιαῦτα πολλῷ μᾶλλον, ἢ ἐν προβάτοισιν, ὁκόσῳ καὶ τῇ διαίτῃ ἐπινοσωτέρῃ χρεόμεθα μᾶλλον. ἐγένοντο δὲ πολλοὶ καὶ ἔμπυοι φυμάτων ἐγγινομένων. τάδε οὖν κατ' ἀρχὰς τοῦ νοσήματος ἐπιγίνεται. βὴξ ξηρὴ. καὶ ὁ φάρυγξ δοκέει κέρχνειν. καὶ ῥῖγος καὶ πυρετὸς ἐπιγίνεται, καὶ ὀρθοπνοίη. καὶ ὁ χρὼς ἐποιδαλέος. καὶ οἱ πόδες οἰδέουσι. καὶ οἱ ὄνυχες ἕλκονται. καὶ ἕως μὲν ἂν ᾖ ἐν τῇ ἄνω κοιλίῃ ὁ ὕδερος, ἔστιν ὁ πόνος ὀξύς. ἐπειδὰν δὲ ἐς τὴν κάτω κοιλίην ἔλθῃ, δοκέει ῥάων εἶναι. ἔπειτα πάσχει προϊόντος τοῦ χρόνου, οἷάπερ πρόσθεν, πιμπλαμένης τῆς κοιλίης. ἔστι δ' ὅτε καὶ ἀποιδέει πρὸς τὸ πλευρὸν, καὶ δηλοῖ ᾗ χρὴ τάμνειν. ἢν δὲ μὴ ἀποδηλοῖ, λούσας πολλῷ

καὶ θερμῷ τῶν ὤμων λαβόμενος, σείειν. εἶτ' ἀκροᾶσθαι ἐν ὁκοτέρῳ ἂν τῶν πλευρέων μᾶλλον κλύζηται. ξυνεὶς δὲ, τάμνειν τὴν πλευρὴν τὴν τρίτην, ἀπὸ τῆς νεάτης μέχρι τοῦ ὀστέου. εἶτα τρυπῆσαι πέρην τρυπάνῳ τρυγλητηρίῳ. καὶ ὁκόταν τρυπηθῇ, ἀφεῖναι τοῦ ὕδατος ὀλίγον. καὶ ὁκόταν ἀφῇς, μοτῶσαι ὠμολίνῳ. καὶ ἄνωθεν ἐπιθεῖναι σπόγγον μαλθακόν. εἶτα καταδῆσαι ὅπως μὴ ἐκπέσῃ ὁ μοτός. ἀφιέναι δὲ χρὴ δυοκαίδεκα ἡμέρας τὸν ὕδρωπα, ἅπαξ τῆς ἡμέρης. μετὰ δὲ τὰς δυοκαίδεκα ἡμέρας, τῇ τρισκαιδεκάτῃ ἅπαν ἀφιέναι τὸ ὕδωρ. καὶ τὸν λοιπὸν χρόνον ἢν ὑποτείνηται ὕδατος ἀφιέναι. καὶ τὴν κοιλίην τοῖσι σιτίοισιν ἀποξηραίνειν. τάδε δὲ δεῖ μετὰ τὴν τμῆσιν διδόναι. σκευάσας ὀποῦ σιλφίου δραχμῆς σταθμόν. καὶ ἀριστολοχίης. κνῆσαι ὁκόσον ἀστράγαλον ἐλάφου. καὶ φακῶν καὶ ὀρόβων πεφρυγμένων ἄλφιτα καθάρας ὁκόσον ἡμιχοίνικον ἑκατέρων, ξυμφυρῆσαι ταῦτα μέλιτι καὶ ὄξει. εἶτα πλάσαι κόλλικας ἑξήκοντα, καὶ καθ' ἑκάστης ἡμέρης τρίβων ἕνα, διεῖναι οἴνου μέλανος ἡμικοτυλίῳ, αὐστηρῷ ὡς ἡδίστῳ. εἶτα διδόναι νήστει πιεῖν. τὴν δὲ ἄλλην δίαιταν καὶ ταλαιπωρίην, τὴν αὐτὴν κελεύειν διαιτεῖσθαι, ἥν καὶ τὸν πρόσθεν χρόνον. καὶ ἢν οἰδήσῃ τὰ αἰδοῖα καὶ τοὺς μηροὺς θαρσέως καταχαῦ. τοῦτον ἢν οὕτω μελετᾷς, τάχιστα ὑγιῆ ποιήσεις.

Ὕδερος ἀπὸ τοῦ ἥπατος.

Ὁ ἀπὸ τοῦ ἥπατος ὕδερος γίνεται, ὁκόταν ἐς τὸ ἧπαρ φλέγμα ἐπιγένηται. καὶ ἀναλάβῃ τὸ ἧπαρ καὶ ὑγρανθῇ. εὐθὺς οὖν καῦμα τούτῳ παρέχει, καὶ φῦσαν ἐμποιέει. ἔπειτα δὲ χρόνῳ, ὕδατος πίμπλαται. κἄπειτα δηγμὸς ἐς τὸ σῶμα ἐμπίπτει. καὶ οἴδημα ἐν τῇσι κνήμῃσι, καὶ ἐν τοῖσι ποσὶν ἔνεστι. καὶ τὸ ἧπαρ σκληρὸν καὶ οἰδέει. καὶ αἱ κληῗδες λεπτύνονται. τούτῳ ὁκόταν οὕτως ἔχῃ, κατ' ἀρχὰς τοῦ νοσήματος διδόναι ἢν ἀλγέῃ τὸ ἧπαρ, ὀρίγανον τρίβων. ὀπόν τε σιλφίου, ὁκόσον ὄροβον, διεὶς ἐν οἴνῳ λευκῷ, ἡμικοτυλίῳ πίνειν. καὶ γάλα αἰγὸς τρίτον μέρος μελικρήτου προσμίσγων τετρακότυλον κύλικα. σιτίων δὲ ἀπεχέσθω τὰς πρώτας ἡμέρας δέκα. αὗται γὰρ κρίνουσι τὸ νούσημα εἰ θανάσιμον ἢ οὔ. ῥοφανέτω δὲ πτισάνης χυλὸν, κάθεφθον μέλι παραχέων. οἶνον δὲ πινέτω λευκὸν μενδαῖον, ἢ ἄλλον τὸν ἥδιστον ὑδαρέα. ὁκόταν δὲ αἱ δέκα ἡμέραι παρέλθωσι, σιτία προσφερέσθω καθαρὰ, καὶ ὄψον ἐχέτω, ἀλεκτρυόνος κρέα ὀπτὰ θερμά. ἐχέτω δὲ καὶ σκύλακος ἑφθά. ἰχθύι δὲ γαλαίῳ καὶ νάρκῃ χρήσθω ὀπτοῖσιν. οἶνον δὲ τὸν αὐτὸν πινέτω. κἢν μὲν ἀπὸ τούτων παύσηται, ἅλις. ἢν δὲ μὴ, ἐπεὶ γοῦν αὐτὸς ἑωυτοῦ παχύτατος ᾖ, καὶ τὸ ἧπαρ μέγιστον, καῦσαι μύκησιν. οὕτω γὰρ ἂν τάχιστα ὑγιέα ποιήσαις. καῦσαι δὲ χρὴ ἐσχάρας ὀκτώ. ἢν δὲ ὁ ὕδερος ἐγγένηται, καὶ ῥαγῇ ἐς τὴν κοιλίην, τοῖσιν αὐτοῖσιν ἰῆσθαι, οἷσι καὶ τὰ πρόσθεν φαρμάκοισι καὶ ποτοῖσι, καὶ βρωτοῖσι, καὶ ταλαιπωρίῃσιν. οἶνον δὲ πινέτω μέλανα αὐστηρόν. ἢν δέ σοι δοκέῃ ἀφίστασθαι τοῦ ἥπατος, καῦσαι ὅκου φανῇ σιδηρίῳ. καὶ ἀφιέναι τοῦ ὕδατος κατ' ὀλίγον. καὶ ἰῆσθαι ὡς καὶ τὰ λοιπὰ πρόσθεν. ἢν δὲ μὴ ὑπὸ τούτων ὑγιὴς γένηται, φθειρόμενος θνήσκει χρόνῳ. ἡ γὰρ νοῦσος χαλεπὴ, καὶ παῦροι ταύτην διαφυγγάνουσιν.

Ὕδερος ἀπὸ τοῦ σπληνός.

Ὁ δὲ ὕδερος ὁ ἀπὸ τοῦ σπληνὸς, γίνεται τρόπον τοιόνδε, καὶ ἀπὸ τῆς τοιαύτης προφάσιος μάλιστα, ὁκόταν φάγῃ σύκων χλωρῶν καὶ μήλων ὀπώρην πολλήν. πολλοὶ δὲ ἤδη καὶ ἀπὸ ῥοφῆς βοτρύων πουλλῶν καὶ πουλλοῦ γλεύκεος, τὴν νοῦσον ἔλαβον. κἢν μὲν οὖν μέλλῃ δὴ τὸ νούσημα ἐμπεσεῖσθαι, ταράχημα ἐν τοῖσι πόνοισιν ἐστίν. ὀδύναι τε γὰρ ὀξεῖαι ἐν τῷ σπληνὶ καθεστᾶσι. μεταπίπτουσι δὲ καὶ ἐς τὸν ὦμον, καὶ ἐς τὴν κληῗδα, καὶ ἐς τὸν τιτθὸν, καὶ ἐς τὸν λαγόνα. καὶ πυρετοὶ ἔχουσιν ἰσχυροί. καὶ μικρόν τι κἢν φάγῃ, ἡ γαστὴρ πίμπλαται. καὶ ὁ σπλὴν ἀείρεται καὶ ὀδύνην παρέχει. ἐπὴν ἢν χρονίσῃ τὸ νούσημα, τὸν μὲν ἄλλον χρόνον, ἧσσον πονέει. ὁκόταν δὲ ὀπώρη ᾖ καὶ φάγῃ ταύτην, ἀντὶ τοῦ πρόσθεν μᾶλλον πονέει. τοῦτον ὁκόταν ὧδε ἔχῃ, κατ' ἀρχὰς μελετᾶν, ἄνω μὲν ἐλλέβορον δοῦναι. κάτω δὲ, κνέωρον, ἢ ἱπποφαέως ὀπὸν, ἢ κνίδιον κόκκον. καὶ γάλα ὄνειον, ὀκτὼ κοτύλας μέλι παραχέων. κἢν μὲν ἀπὸ τουτέων καθίστηται, ἅλις. ἢν δὲ μὴ, ὁκόταν μέγιστος ᾖ ὁ σπλὴν καὶ οἰδέῃ μάλιστα, καῦσαι μύκησι τὰς κεφαλὰς ἀπολαβὼν, ἢ σιδηρίοισι μετὰ φυλακῆς πουλλῆς καὶ τηρήσιος, ὅκως μὴ πέρην διακαύσῃς. ταῦτα δὲ κατ' ἀρχὰς ποιέειν τοῦ νοσήματος, καὶ τήνδε τὴν δίαιταν προσφερέσθω, πυρετὸν μὴ ἔχοντος. ἄρτῳ μὲν χρήσθω πυρίνῳ ὀπτῷ, ἢ τῶν σκληρῶν πυρῶν, διπυρίτῃ. ὄψον δὲ ἐχέτω, τάριχος γαδειρικὸν, ἢ σαπέρδην. καὶ κρέας τετριμμένον οἰός. καὶ τὰ ὀξέα καὶ τὰ ἁλμυρὰ πάντα ἐσθιέτω. καὶ πινέτω οἶνον αὐστηρὸν κῷον ὡς μελάντατον. τῶν δὲ γλυκέων

ἀπεχέσθω

ἀπεχέσθω. ἢν δὲ ἐξανίστηται καὶ δύνηται, παλαιέτω ἐπ᾽ ἄκρων τῶν ὤμων. καὶ ταλαιπωρεέτω περιόδοισι πολλοῖς δι᾽ ἡμέρης. καὶ εὐωχεέσθω ἅπερ εἴρηται.

Ἢν δὲ ὕδερος γένηται, ἰῆσθαι κατὰ ταῦτα καὶ τοῖσιν αὐτοῖσιν, οἷς καὶ τὸν πρόσθεν. ὁ δὲ ὕδερος ἀπὸ τῶνδε γίνεται. θέρεος ὥρην, ἢν ὁδοιπορέων ὁδὸν μακρὴν, ἐπιτύχῃ ὀμβρείῳ ὕδατι καὶ στασίμῳ, καὶ πίῃ αὐτοῦ ἐπισπάδην, πουλλόν. ἢν οὖν αἱ σάρκες ἀναπίωσι καὶ ἐνίσχωσιν ἐν ἑωυτῇσι τὸ ὕδωρ, ὑποχώρησις δὲ μὴ γένηται μηδαμῇ, τάδε πάσχει. ἢν μὲν ἡ ἐν τῇ σαρκὶ, καῦμα παρέχῃ, ἔν τε τῇ κοιλίῃ καὶ ἐν τῷ σώματι. ὥς τε τὸ στέαρ τὸ ἐπιὸν τῇ κοιλίῃ, τήκεται. οὗτος τέως μὲν ἢν βαδίζῃ, οὐδὲν δοκέει κακὸν ἔχειν, ὁκόταν δὲ παύσηται βαδίζων καὶ ὁ ἥλιος δύνῃ, παραχρῆμα τὸν πόνον παρέχει πουλύν. προϊούσης δὲ τῆς νούσου, λεπτύνεται σφόδρα. ἢν δὲ καὶ ἀσιτίη ἐπιγένηται, πουλλῷ πλέον λεπτύνεται. ἢν δὲ τὰ σιτία μὲν ἐσθίειν μὴ δύνηται, ταλαιπωρέειν δὲ ἀδυνάτως ἔχῃ καὶ ἔτι πλέον σίνεται, τοῖσι πολλοῖσι τουτέων καὶ οἴδημα καθίσταται ἐς ὅλον τὸ σῶμα. καὶ τῷ μὲν λεπτῷ ἡ χροιὴ πελίη γίνεται. καὶ ἡ γαστὴρ μεγάλη. καὶ δίψα ἔχει ἰσχυρή. καὶ τὰ σπλάγχνα αὐτέου ξηραίνεται ὑπὸ τῆς θέρμης. τοῦ δὲ χρόνου προϊόντος ἐς μὲν τὸ ἐσθίειν πρόθυμος ἔῃ, καὶ ἐσθίει ὅπερ ἄν τις διδῷ. καὶ πίνει. καὶ ἀλγέει οὐδέν. ἢν δὲ τὸ οἴδημα κατέχῃ, ἡ χροιὴ γίνεται τουτέῳ ὠχρή. καὶ διὰ τοῦ σώματος φλέβες διατέτανται μέλαιναι πυκναί. θυμαίνει δὲ καὶ λυπέεται ἐπὶ παντὶ, οὐδενὸς νεωτέρου ἐόντος. ἡ δὲ γαστὴρ δίυδρος καὶ μεγάλη ὥσπερ λαπτήρ. καὶ τοῦ χρόνου προϊόντος, τὰ σιτία οὐ προσίεται. ἀλλὰ δοκέει αὐτὰ ὄζειν σικύου ἀγρίου ὑπὸ τῆς βδελυρίης. τούτῳ ὁκόταν οὕτως ἔχῃ, διδόναι τοῦ κνεώρου, ἢ τοῦ ἱπποφαέος τὸν ὀπὸν, ἢ τὸν κνίδιον κόκκον. ταῦτα δὲ τὰ φάρμακα, οὕτω διδόναι χρή. τὸ μὲν κνέωρον δι᾽ ἕκτης ἡμέρης. τὸν δὲ τοῦ ἱπποφαέος ὀπὸν, δι᾽ ὀγδόης. τὸν δὲ κνίδιον κόκκον, διὰ δεκάτης ἡμέρης. διδόναι δὲ τὰ αὐτὰ χρή, ἕως ἂν ἐκκαθαρθῇ, καὶ λαπαρὸς γένηται. τὰς δὲ μεταξὺ τῶν ἡμερέων, εὐωχέειν τοῖσιν αὐτοῖσιν. οἷσι καὶ τὸν πρόσθεν. μάλιστα δὲ τοῦ ὕδατος τοῦ αὐτοῦ πίνειν διδόναι ὑπ᾽ ὅτου καὶ τὸ νούσημα ἔλαβεν, ὡς πλεῖστον ὅκως ταράξῃ αὐτέου τὴν κοιλίην καὶ ὑποχωρήσῃ σφόδρα. οὕτω γὰρ μάλιστα ὑγιέα ποιήσεις. ἢν δέ σοι δοκέῃ, καὶ κλύζειν θαμινὰ, τοῦ κνεώρου τρίψας, ἥμισύ τε ποιήσας, μέλιτος παραμίξας τρίτον μέρος κοτύλης διεῖναι. καὶ τευτλίου τέταρτον κοτύλης. εἶθ᾽ οὕτω κλύζειν. καὶ ὀνείου γάλακτος ἑφθοῦ τῇ ὑστεραίῃ δοῦναι, ὀκτὼ κοτύλας μέλι παραχέων, ἢ ἅλας παραβαλὼν, πίνειν. καὶ μετὰ τὴν κάθαρσιν, τοῖσιν αὐτοῖσι χρεέσθω, οἷσι καὶ ὁ πρόσθεν. καὶ τὰς μεταξὺ τῶν ἡμερέων, σιτίοισι καὶ ποτοῖσι τοῖσιν αὐτοῖσι χρεέσθω, καὶ τοῖσι περιπάτοισιν ὁμοίως. οὕτω θεραπευόμενος, ἐν τάχει τῆς νούσου ἀπαλλαγήσεται τρίμηνος ἢ ἑξάμηνος. ἢν δὲ ἀμελείη τις ἐγγένηται καὶ μὴ παραχρῆμα μελετηθῇ, ἐν τάχει ἀποθνήσκει. καὶ τὸν καταλεπτυνόμενον, τοῖσιν αὐτοῖσι χρῆσθαι πρὸς ἴησιν. προϋγρῆναι δὲ χρὴ πρότερον αὐτοῦ τὸ σῶμα πυριήσαντα ὅκως ἂν μᾶλλον τῶν φαρμάκων ὑπακούῃ. ἀλλὰ χρὴ παραχρῆμα μελετᾶν. ἢν δὲ μή, τοῖσι πολλοῖσι ξυγγηράσκει ἡ νοῦσος. κλύζειν δὲ χρὴ καὶ τοῖσδε, ὁκότερον ἂν βούλῃ τῶν νούσων. οἴνου λευκοῦ δύο κοτύλας λαβὼν. καὶ μέλιτος ἡμικοτύλιον. καὶ ἐλαίου ἡμικοτύλιον. νίτρου τεταρτημόριον. αἰγυπτίου ὀποῦ, σικύου ἀγρίου τῶν φύλλων κόψας καὶ ἐκπιέσας τοῦ χυλοῦ κοτύλην, ταῦτα μίξας πάντα, ἔς τι χυτρίδιον ἐγχέαι, καὶ ἐπιζέσας οὕτω κλύζειν.

Νοῦσος ἡπατῖτις. Ἡ δὲ νοῦσος γίνεται ἀπὸ χολῆς μελαίνης, ὁκόταν ἐπιῤῥυῇ ἐς τὸ ἧπαρ. προσπίπτει δὲ μάλιστα μετοπώρου, ἐν τῇσι μεταβολῇσι τοῦ ἐνιαυτοῦ. τάδε οὖν πάσχει. ὑπὸ τὸ ἧπαρ ὀδύνη ὀξείη ἐμπίπτει αὐτῷ. καὶ ὑπὸ τὰς νεάτας πλευρὰς, καὶ ἐς τὸν ὦμον, καὶ ὑπὸ τὴν κληῗδα, καὶ ὑπὸ τὸν τιτθόν. καὶ πνὶξ ἔχει ἰσχυρή. καὶ ἐνίοτε ἀπεμέει πελιδνὴν χολήν. καὶ ῥῖγος καὶ πυρετὸς τὰς πρώτας ἡμέρας βληχρότερος ἔχει. καὶ ψαυόμενος, ἀλγέει τὸ ἧπαρ. καὶ ἡ χροιὴ ὑποπέλιδνος αὐτέου. καὶ τὰ σιτία ἃ πρόσθεν ἐβεβρώκει, πνίγει αὐτόν. καὶ προσπίπτοντα, καίει καὶ στρέφει τὴν κοιλίην. ταῦτα μὲν πάσχει κατ᾽ ἀρχάς. τῆς δὲ νούσου προϊούσης, οἵ τε πυρετοὶ ἀφιᾶσι, καὶ ἀπ᾽ ὀλίγων σιτίων πίμπλαται. ἐν δὲ τῷ ἥπατι, ἡ ὀδύνη μούνη λείπεται. καὶ αὐτὴ ποτὲ μὲν ἰσχυρὴ, ποτὲ δὲ ἧσσον διαπαύουσα. ἐνίοτε δὲ ὀξείη λαμβάνει. καὶ πολλάκις ἐξαπίνης ἀφῆκε τὴν ψυχήν. τούτῳ ξυμφέρει ὁκόταν μὲν ἡ ὀδύνη ἔχῃ, τά τε ἄλλα καὶ μὴν καὶ τὰ χλιάσματα προστιθέναι ταῦτα, ἃ καὶ τῇ πλευρίτιδι. ὁκόταν δὲ ἀνῇ ὁ πόνος, λούειν αὐτὸν πολλῷ, καὶ θερμῷ. μελίκρητόν τε διδόναι πίνειν καὶ οἶνον

λευκὸν

λευκὸν γλυκὺν, ἢ αὐστηρὸν, ὁκότερον ἂν ξυμφέρῃ. καὶ ῥοφήματα ταῦτα, ἃ καὶ τῷ ὑπὸ πλευρίτιδος ἑαλωκότι. ὑπὸ δὲ τῆς ὀδύνης τάδε χρὴ διδόναι πίνειν. ἀλεκτορίδος ᾠοῦ ἑφθοῦ τὸ ὑγρὸν τρίψας, παραχέας τε στρύχνου χυλοῦ ἡμικοτύλιον, καὶ μελίκρητον ἐν ὕδατι πεποιημένον, ἥμισυ ἡμικοτύλιον, τούτοισι δεὶς, διδόναι πίνειν, καὶ παύσει τὴν ὀδύνην. διδόναι δὲ καὶ ἑκάστης ἡμέρης, ἕως ἂν ἡ ὀδύνη παύσηται. πινέτω δὲ καὶ σιλφίου ὀπὸν, ὁκόσον ὄροβον. καὶ ὀρίγανον τρίβων, διεῖναι οἴνῳ λευκῷ. καὶ οὕτως πίνειν νῆστις. ἐπὶ πινέτω δὲ, καὶ τὰ ἐν τῇ πλευρίτιδι διδόμενα φάρμακα, εἵνεκα τῆς ὀδύνης. πινέτω δὲ καὶ γάλα αἰγὸς, τρίτον μέρος μέλιτος παραμίσγων. τοῦ δὲ γάλακτος ἔστωσαν τέσσαρες κοτύλαι. τοῦτο ἕωθεν πινέτω ὁκόταν τ᾽ ἄλλα μὴ πίνῃ. σιτίων δὲ ἀπεχέσθω, ἕως ἂν κριθῇ ἡ νοῦσος. κρίνεται δὲ μάλιστα ἐν ἑπτὰ ἡμέρῃσι. ταύτῃσι γὰρ δηλοῦται, εἰ θανάσιμος ἢ οὔ. ἢν δὲ καὶ πνίγμα προσίστηται, τάδε χρὴ διδόναι, ὅκως ἂν ἀπεμέσῃ. μέλι. καὶ ὕδωρ. ὄξος. ἅλας. ταῦτα μίξας ἐγχέαι ἐς χυτρίδιον καινόν. εἶτα χλιαίνειν καὶ ταράσσειν ὀριγάνου κλωνίοισι τῆς κεφαλαιάδος ξὺν τῷ καρπῷ. ὁκόταν δὲ χλιανθῇ, ἐκπιεῖν δοῦναι χλιαρόν. εἶτα περιβαλὼν ἱμάτια ἐᾶν, περιστείλας ἕως ἂν ἱδρώσῃ μάλιστα. καὶ ὁκόταν ἔμετος αὐτὸν ἔχῃ, ἐμεέτω προθύμως, καταματευόμενος πτερῷ. ἢν δὲ μὴ δύνηται ἐμέσαι, ἐπιπιὼν μελικρήτου χλιαροῦ κύλικα δικότυλον, οὕτως ἐμεέτω. καὶ ἤν τι ἀπεμέσῃ χολῆς ἢ φλέγματος, αὖθις τὸ αὐτὸ χρὴ ποιέειν, ἐπὶ τέσσαρας ὥρας. ὠφελήσει γάρ. μετὰ δὲ τῆς νούσου τὴν κρίσιν, μελετᾷν σιτία ὀλίγα διδοὺς καθαρά. καὶ ἢν μὲν ἄρτον θέλῃ ἐσθίειν, ἄρτον θερμὸν ὡς μάλιστα καθαρὸν ἐσθιέτω. ἢν δὲ μάζαν, ἄτριπτον ἐσθιέτω, πρότερον προφυρήσας. ὄψον δὲ ἐχέτω, κρέα σκυλακίου ἑφθὰ, ἢ πελειάδος, ἢ ἀλεκτορίδος νεοσσοῖς ἑφθοῖσι πᾶσιν. ἰχθύων δὲ, γαλαίῳ. νάρκῃ. τρυγόνι τε καὶ βατίσι τῇσι μακρῇσι, πᾶσι ἑφθοῖσι. λουέσθω δὲ καὶ ἡμέρης ἑκάστης, καὶ τὸ ψῦχος φυλασσέσθω. καὶ περιπατεέτω ὀλίγα, τέως ἐν ἀσφαλείῃ. ταῦτα δὴ ἢν φυλάσσηται οὐκ ὑποτροπιάσαι τὴν νοῦσον δέος πάλιν. καὶ γὰρ ἡ τοιαύτη νοῦσος, χαλεπή ἐστι καὶ χρονίη.

Ἄλλη ἡπατῖτις. αἱ μὲν ὀδύναι πιέζουσι κατὰ τὰ αὐτὰ ἐς τὸ ἧπαρ. καὶ ἡ χροιὴ διαφορέει τῆς πρόσθεν. σιδιοειδὴς γάρ ἐστιν. ἐν δὲ τῷ καιρῷ τοῦ θέρεος μάλιστα ἐμπίπτει. γίνεται δὲ ἀπὸ κρεοφαγίης βοείων κρεῶν, καὶ ἐξ οἰνοφλυγίης. ταῦτα γὰρ πάντα τὴν τοιαύτην τοῦ ἔτους ὥρην, πολεμιώτατα τῷ ἥπατι. ἐπεὶ χολὴν μάλιστα προσίστησι πρὸς τὸ ἧπαρ. τάδε οὖν πάσχει. ὀδύναι ὀξεῖαι ἐπιπίπτουσι, καὶ οὐκ ἐκλείπουσιν οὐδὲ μίαν ὥρην, ἀλλ᾽ αἰεὶ μᾶλλον πιέζουσιν. ἔστι δ᾽ ὅτε καὶ ἐμέει χολὴν ὠχρήν. καὶ ὁκόταν ἐμέσῃ, ἐπ᾽ ὀλίγον δοκέει ῥάων εἶναι. ἢν δὲ μὴ ἀπεμέσῃ, ἐς τοὺς ὀφθαλμοὺς ἡ χολὴ καθίσταται, καὶ ὠχροὶ γίνονται σφόδρα. καὶ οἱ πόδες οἰδέουσι. ταῦτα πάσχει. ποτὲ μὲν, σφόδρα. ποτὲ δὲ, ἧσσον. ὁκόταν δὲ αἱ ἡμέραι παρέλθωσιν ἐν ᾗσι κρίνεται τὸ νούσημα, ὅτε πόνος ἐλασσόνως ἔχῃ, ἢν ἀναμάρτητος ᾖ, διαιτῆσθαι χρὴ τοιαύτῃ διαίτῃ, ἣ καὶ πρόσθεν. ἢν γὰρ μεθυσθῇ παρὰ καιρὸν, ἢ λαγνεύσῃ, ἢ ἄλλο τι ποιήσῃ μὴ ἐπιτήδειον, τὸ ἧπαρ παραχρῆμα γίνεται σκληρὸν αὐτέῳ, καὶ οἰδέει, καὶ σφύζει ὑπὸ τῆς ὀδύνης. καὶ ἤν τι πάθῃ, πονέει ἐξαπίνης τὸ ἧπαρ καὶ τὸ σῶμα ἅπαν. τοῦτον ὁκόταν οὕτως ἔχῃ, ἐπεὶ αἱ πρῶται ἡμέραι παρέλθωσι, πυριῆσαι. εἶτα ὑποκαθῆραι τῷ σκαμμωνίῳ. ἢν δὲ ἡ κοιλίη ξυγκεκαυμένη ᾖ, κλύσαι ἐν τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τοὺς πρόσθεν, ὅ, τι ἄξει καλῶς. καὶ μετὰ τὸν κλυσμὸν, ὀνείῳ γάλακτι ἑφθῷ ὑποκαθῆραι, ὀκτὼ κοτύλῃσι. μέλι δὲ παραχέων, διδόναι πίνειν. διδόναι δὲ καὶ τὸ αἴγειον γάλα, τρίτον μέρος μελικρήτου παραμίσγων τὸ ἑωθινὸν, τετρακότυλον κύλικα. διδόναι δὲ καὶ ἑφθοῦ τοῦ αἰγείου δύο κοτύλας, τρίτον μελικρήτου παραμίσγων, ἢ αὐτὸ μόνον μέλι παραχέων. διδόναι δὲ καὶ τὸ ἵππειον γάλα τὸν αὐτὸν τρόπον τῷ ὀνείῳ. κἢν μὲν ὑπὸ τούτων μελετωμένη ἡ νοῦσος ἐξέλθῃ, ἅλις. ἢν δὲ μὴ, τάμνειν τοῦ δεξιοῦ ἀγκῶνος τὴν ἔσω φλέβα, καὶ ἀφιέναι τοῦ αἵματος. ἢν δέ σοι μὴ δοκέῃ, ὀνείῳ γάλακτι ὑποκαθῆραι ἢ βοείῳ. καὶ γάλακτος ὠμοῦ διδόναι δύο κοτύλας, τρίτον μελικρήτου παραμίσγων ἑκάστης ἡμέρης, ἐπὶ ἡμέρας δέκα. εἶτα ἄλλας δώδεκα, ἕκτον μέρος τοῦ μελικρήτου παραχέων, πίνειν διδόναι. τὸ δὲ γάλα αὐτὸ τὸ λοιπὸν διδόναι ἕως ἂν ἀναπαυθῇ, δύο κοτύλας. ἢν δὲ μὴ δὲ οὕτω παύηται, καῦσαι χρὴ, ὁκόταν μέγιστον τὸ ἧπαρ γίνηται, καὶ ἐξεστήκῃ μάλιστα. καῦσαι δὲ ἐν πυξίνοισιν ἀτράκτοισι, βάπτων ἐς ἔλαιον ζέον. προστιθέναι δὲ, ἕως ἂν σοι δοκέῃ καλῶς ἔχειν, καὶ κέκαυσαι. ἢ μύκῃσιν ὀκτὼ ἐσχάρας καῦσαι. ἢν γὰρ τύχῃς καύσας, ὑγιέα ποιήσεις, καὶ τὸν λοιπὸν χρόνον ῥᾷον διάξει. ἢν δὲ μὴ τύχῃ καυθεὶς, ὑπὸ τῶν ἄλλων λοιπὸν ὑγιὴς μὴ γενόμενος.

μὴ γινόμενος, φθειρόμενος ἀποθνήσκει.

Ἡπατῖτις ἄλλη.

Τὰ μὲν ἄλλα, πλῆθος τὰ αὐτὰ πάσχει τῇσι πρόσθεν. ἡ δὲ χροιὴ μέλαινα. τοῦ δὲ ἥπατος ἡ χολὴ, φλέγματος καὶ αἵματος πληθεῖσα, ὡς λογιζόμεθα, διαῤῥήγνυται. καὶ ὁκόταν διαῤῥηχθῇ, τάχιστα μαίνεται. καὶ ἀγανακτεῖ. καὶ διαλέγεται ἀσυνέτα. καὶ ὑλακτέει ὡς κύων. καὶ οἱ ὄνυχες, φοινίκεοι εἰσί. καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐ δύναται ὁρῇν. καὶ τρίχες αἱ ἐν τῇ κεφαλῇ, ὀρθαὶ ἵστανται. καὶ πυρετὸς ὀξὺς ἐπιλαμβάνει. τούτῳ χρὴ προσφέρειν τὰ αὐτὰ, ἃ καὶ τοῖσι πρόσθεν. οἱ δὲ πολλοὶ, ἀποθνήσκουσιν ἐν τῇσιν ἕνδεκα ἡμέρῃσι. παῦροι δὲ διαφυγγάνουσιν.

Σπληνὸς νοῦσος πρώτη.

Γίνεται δὲ ἡ τοιαύτη νοῦσος, διὰ θερμασίην τοῦ ἡλίου χολῆς κινηθείσης, ὁκόταν ἑλκύσῃ ἐφ' ἑωυτὸν χολὴν ὁ σπλήν. τάδε οὖν πάσχει. πυρετὸς ὀξὺς ἐπιγίνεται κατ' ἀρχάς. προϊούσης δὲ τῆς νόσου ἀφίησι, πλὴν κατ' αὐτὸν τὸν σπλῆνα. ταύτῃ δὲ αἰεὶ θέρμην ἔχει, καὶ ὀδύνη ἄλλοτε καὶ ἄλλοτε ἐμπίπτει ὀξείη, καὶ ἐς τὴν λαπάρην, καὶ ἐς τὴν κοιλίην. τὰ δὲ σιτία κατ' ἀρχάς, προσίεται μὲν, διαχωρέει δὲ οὐ μάλα. προϊούσης δὲ τῆς νούσου, ἥ τε χροιὴ ὠχρὴ γίνεται, καὶ ὀδύνη ἰσχυρὴ ἐμπίπτει. καὶ αἱ κληΐδες λεπτύνονται. καὶ τὰ σιτία οὐκ ὁμοίως προσίεται, ὥσπερ κατ' ἀρχάς. καὶ ἀπ' ὀλίγου πίμπλαται. ὁ δὲ σπλὴν ἄλλοτε καὶ ἄλλοτε μέγας τῆς αὐτῆς ἡμέρης, καὶ ἄλλοτε ἐλάσσων γίνεται. τοῦτον ὁκόταν οὕτως ἔχῃ, πίσαι ἐλλέβορον κάτω, ὑποκαθῆραι τε τῷ κνιδίῳ κόκκῳ. ἐς ἑσπέρην δὲ μετὰ τὴν κάθαρσιν, φακῆς δοῦναι τρυβλίον ῥοφέειν ὀξυτέρης. καὶ τεύτλων τρυβλίον λιπαρῶν, ἄλφιτα παραπάσας. τῇ δ' ὑστεραίῃ καὶ τῇ τρίτῃ, ἄρτον μικρὸν δοῦναι. ὄψῳ δὲ, φακῇ χρεέσθω. καὶ ὑὸς κρέας ἐν τῇ φακῇ ἑφθὸν τετριμμένον. οἶνον δὲ πινέτω αὐστηρὸν, μέλανα, ἀκρητέστερον κατ' ὀλίγον. καὶ ἡσυχίην ἐχέτω ταύτας τὰς ἡμέρας, πλὴν ἔνδον ὀλίγα περιπατείτω ἐν τῇ σκιῇ. τὸν δὲ λοιπὸν χρόνον τάδε χρὴ προσφέρεσθαι. σιτίον μὲν ἄρτον αὐτοπυρίτην. ὄψον δὲ ἐχέτω, κρέας κυνὸς μέζονος. ἢ αἰγός. ἢ οἰὸς τετριμμένον. καὶ τάριχος γαδειρικὸν, ἢ σαπέρδην. καὶ τὰ ὀξέα καὶ τὰ ἁλμυρὰ πάντα προσφερέσθω, καὶ τὰ στρυφνά. πινέτω δὲ οἶνον κῷον ὑπόστρυφνον ὡς μελάντατον. τῶν δὲ γλυκέων καὶ λιπαρῶν ἀπεχέσθω, καὶ κνισωδέων. καὶ σίλφιον μὴ προσφερέσθω. μὴ δὲ σκόροδα. μὴ δὲ κρέας χοίρειον. μὴ δὲ κεστρέα, μὴ δὲ νέαρον, μὴ δὲ τάριχος. μήτε ἔγχελυν. μήτε λάχανον. μὴ δὲ ἑφθὸν ἄνευ ὄξους. τρωξίμων δὲ, ῥαφανίδι χρεέσθω. καὶ σελίνῳ, ἐς ὄξος βάπτων. καὶ οἴνῳ ἄλφιτα φυρῶν, ἐσθιέτω. καὶ τοῦ οἴνου ῥοφεέτω ἄκρητον. ἢν δὲ βούληται, καὶ τὸν ἄρτον ἐς τὸν οἶνον ἐνθρυπτόμενος, ἐσθιέτω θερμόν. διδόναι δὲ καὶ ἰχθύων. σκορπίον. δράκοντα. κόκκυγα. κωβιόν. καλλιώνυμον. τούτους ἑφθοὺς καὶ ψυχροὺς διδόναι. διδόναι δὲ καὶ ἃ μέλλει τὸν σπλῆνα λεπτύνειν ἑκάστης ἡμέρης, ἀσφοδέλου τοῦ καρποῦ, ἢ ἰξοῦ τὰ φύλλα. ἢ αἰγὸς κέρας. ἢ ἄγνου καρπόν. ἢ πήγανον. ἢ ἡδυόσμου ῥίζην. τούτων τρίβων ὅ, τι ἂν βούλῃ, διδόναι ἐν οἴνῳ αὐστηρῷ, νήστει. ἢν δὲ δυνατὸς ᾖ, ἀναγκάζειν αὐτὸν πρίειν ξύλα τριήκοντα ἡμέρας. καὶ ἀπὸ ἄκρων τῶν ὤμων παλαιέτω. καὶ περιπατείτω δι' ἡμέρης. καὶ ὄψιος εὑδέτω. πρωΐος δὲ ἐγειρέσθω. καὶ εὐωχεέσθω ἃ προείρηται. ἢν δὲ μὴ ὑπὸ τούτων ῥηΐσῃ, καῦσαι τὸν σπλῆνα μύκησι, δέκα ἐσχάρας μεγάλας, ὁκόταν μέγιστος ᾖ ὁ σπλὴν καὶ ἐξηρμένος μάλιστα. ἢν γὰρ τύχῃς καύσας ὡς δεῖ, ὑγιέα ποιήσεις, πλὴν οὐκ ἐν τάχει. ἡ δὲ νοῦσος δέεται θεραπείης. χαλεπὴ γὰρ καὶ χρόνιος, ἢν μὴ παραχρῆμα μελετηθῇ.

Ἄλλη νοῦσος σπληνός.

Γίνεται μὲν ἀπὸ τῶν αὐτῶν, ἀφ' ὧν καὶ ἡ πρόσθεν. πάσχει οὖν ὑπὸ τούτου τοῦ νοσήματος, τάδε. ἡ γαστὴρ φυσᾶται. μετὰ δὲ καὶ ὁ σπλὴν οἰδέει, καὶ σκληρός ἐστι. καὶ ὀδύναι ὀξεῖαι ἐμπίπτουσιν ἐς τὸν σπλῆνα. ἡ δὲ χροιὴ, τρέπεται καὶ ὁρᾶται μέλας. ἔπωχρος, σιδιοειδής. καὶ ἐκ τοῦ ὠτὸς κακὸν ὄζει. καὶ τὰ οὖλα κακὸν ὄζει. καὶ τὰ ἀπὸ τῶν ὀδόντων ἀφίσταται. καὶ ἐκ τῶν κνημέων ἕλκεα ἐκρήγνυται, ὁκοῖα περ ἐπινυκτίδες. τὰ δὲ γυῖα λεπτύνεται. καὶ ἡ κόπρος οὐχ ὑποχωρέει. τοῦτον ὁκόταν οὕτως ἔχῃ, μελετᾷν τοῖσιν αὐτοῖσι φαρμάκοισι καὶ ἐδέσμασι, καὶ ποτῷ. καὶ ταλαιπωρίῃσι, καὶ τοῖσιν ἄλλοισι πᾶσι. καὶ κλύζειν ὁκόταν μὴ θέλῃ ἡ κόπρος διαχωρέειν ἐν τούτοισι, μέλιτος ἡμικοτύλιον, καὶ νίτρου αἰγυπτίου ὁκόσον ἀστράγαλον οἰός. ταῦτα τρίψας διεῖναι ἀπὸ τεύτλων ἑφθῶν ὕδατι τέσσαρσι κοτύλῃσιν. εἶτα οὕτω κλύζειν. ἢν δὲ μὴ ὑπὸ τούτων ἡ νοῦσος καθίστηται, καῦσαι αὐτοῦ τὸν σπλῆνα ὡς τὸν πρόσθεν. καὶ ἢν τύχῃς καύσας, ὑγιέα ποιήσεις.

Ἄλλη νόσος σπληνός.

Γίνεται μὲν τοῦ ἔτεος, ἔαρος ὥρῃ μάλιστα. ἀπὸ δὲ αἵματος. ὁκόταν γὰρ ἐμπλησθῇ ὁ σπλὴν αἵματος, ἐκρήγνυται ἐς τὴν κοιλίην. καὶ ὀδύναι ὀξεῖαι ἐς τὸν

σπλῆνα

σπλῆνα ἐμπίπλουσι, καὶ ἐς τὸ στῆθος, καὶ ἐς τὴν κληῖδα, καὶ ἐς τὸν ὦμον, καὶ ὑπὸ τὴν ὠμοπλάτην. ἡ δὲ χροιὴ τοῦ γυίου, μολιβδοειδής. καὶ ἀμυχὰς ἐν τῇσι κνήμῃσι λαμβάνει. καὶ ἕλκεα μελάγχλα γίνεται ἐξ αὐτέων. καὶ τὰ κάτω ὑποχωρέοντα ἅμα τῷ πρώτῳ, αἱματώδεα καὶ ἰώδεα. καὶ ὑπάρχεται ἡ γαστὴρ σκληρή. καὶ ὁ σπλὴν καθάπερ λίθος δοκεῖ. οὗτος τῶν πρόσθεν θανατωδέστερος, καὶ ἐξ αὐτέου παῦροι διαφυγγάνουσι. τοῦτον ὁκόταν ὧδε ἔχῃ, τοῖσιν αὐτοῖσι θεραπεύειν, οἷσι καὶ τὸν ἔμπροσθεν, πλὴν ἄνω φάρμακον μὴ διδῶς. κάτω δὲ τοῦ κόκκου τοῦ κνιδίου, δοῦναι τῇ ὑστεραίῃ. καὶ ἱππείου γάλακτος ἑφθοῦ ὀκτὼ κοτύλας μέλι παραχέων. εἰ δὲ μή, βοείου ἢ αἰγείου ἑφθοῦ, δύο χοῦσι μέλι παρὰ τὴν ἑτέρην κύλικα. ἐναλλὰξ δὲ πίνειν χρή. ἐς δὲ τὴν ἑσπέρην διδόναι μετὰ τὴν κάθαρσιν ταῦτα ἃ καὶ τῷ πρόσθεν, μετὰ τὸ φάρμακον. καὶ ἢν σοι δοκέῃ, τοῦ αἵματος ἀφελεῖν ἀπὸ τοῦ ἀγκῶνος τοῦ ἀριστεροῦ τῆς εἴσω φλεβός. τὰς δὲ λοιπὰς τῶν ἡμερέων διδόναι ὑπὲρ ἑκάστης ἡμέρης βοείου γάλακτος τέσσαρας κοτύλας, τρίτον μέρος ἅλμης παραμίσγων. σιτίοισι δέ, καὶ ποτοῖσι, καὶ τοῖσι ἄλλοισι, τοῖσι αὐτοῖσι θεραπεύειν, οἷσι καὶ τὸν πρόσθεν. ἀπέχεσθαι δὲ λαγνείης καὶ οἰνοφλυγίης, καὶ ὥσπερ καὶ τὸν πρόσθεν. καὶ ἢν σοι δοκέῃ, καῦσαι ὁκόταν παχύτατος καὶ μέγιστος ὁ σπλὴν γένηται. καὶ ἢν τύχῃς καύσας τοῦ καιροῦ, ὑγιέα ποιήσεις. ἢν δὲ μὴ ὑπὸ ταύτης τῆς ἰήσιος ὑγιὴς γένηται, φθειρόμενος χρόνῳ θνήσκει. ἡ γὰρ νοῦσος λίην ἐστὶ χαλεπή.

ἄλλη νοῦσος σπληνός.

Προσπίπτει καὶ αὕτη ἡ νοῦσος, ἔαρος μάλιστα. ὁκόταν φλέγμα ἀναλάβῃ ὁ σπλὴν ἐς ἑωυτόν, καὶ μέγας παραχρῆμα γένηται καὶ σκληρός. εἶτ' αὖθις καθίσταται. καὶ ὅταν μὲν ἐξηρμένος ᾖ, ὀδύναι ὀξεῖαι ἐμπίπτουσιν. ὁκόταν δὲ λαπαρὸς ᾖ, ἀνώδυνός ἐστι. καὶ ὁκόταν χρόνος γένηται τῇ νούσῳ, ἀμαυρότερος δοκεῖ, καὶ ἐπανίσταται, καὶ ταχέως καθίσταται. οὗτος ὁκόταν οὕτως ἔχῃ, κατ' ἀρχὰς τοῦ νοσήματος τὰ σιτία οὐ δύναται προσίεσθαι. καὶ ταχέως καταλεπτύνεται, καὶ ἀκρησίην ἔχει τὸ σῶμα πουλλήν. τὸ δὲ νόσημα, ἢν μὴ παραχρῆμα θεραπευθῇ, ἢ αὐτόματον καταστῇ, διαλιπὸν πέντε μῆνας ἢ ἕξ, αὖθις ἐπανίσταται. διαλιμπάνει δὲ μάλιστα τὸν χειμῶνα. τοῦτον κατ' ἀρχὰς ἢν λάβῃς, καῦσον δέκα ἐσχάρας ἐς τὸν σπλῆνα, καὶ παραυτίκα ὑγιέα ποιήσεις. ἢν δὲ μὴ καύσῃς, τοῖσιν αὐτοῖσι φαρμάκοισιν ἰῆσθαι, οἷσι καὶ τὸν πρόσθεν, καὶ ἐδέσμασι, καὶ ποτοῖσι, καὶ ταλαιπωρίῃσιν. οὕτω γὰρ ἂν τάχιστα ὑγιέα ποιήσῃς. τούτου δὲ ἡ χροιὴ γίνεται ἔκλευκος, ἀρτιύπωχρος, καὶ αὐχμηρή.

ἄλλη νοῦσος σπληνός.

Γίνεται μετοπώρου μάλιστα ἀπὸ χολῆς μελαίνης. γίνεται δὲ ἀπὸ λαχανοφαγίης τρωξίμων πολλῶν καὶ ὑδροποσίης. πάσχει οὖν τάδε. ὁκόταν τὸ νόσημα λάβῃ, ἀλγεῖ τὸν σπλῆνα σφόδρα. καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει. καὶ ἀσιτίη ἔχει αὐτόν. τό, τε γυῖον ξυμπίπτει ταχέως. ὁ δὲ σπλήν, μέγας μὲν πάνυ οὐ γίνεται, σκληρὸς δέ. καὶ παραπίπτει παρὰ τὰ σπλάγχνα, καὶ μύζει προσκείμενος. τοῦτον ὁκόταν οὕτως ἔχῃ, τοῖσιν αὐτοῖσιν ἰῆσθαι καὶ φαρμάκοισι καὶ βρωτοῖσι καὶ ταλαιπωρίῃσιν, οἷσιν ἂν καὶ τὸν πρόσθεν. καὶ ἢν σοι παρέξῃ, καῦσαι αὐτόν, τρόπον ὅν περ καὶ τοὺς ἄλλους. αὕτη ἡ νοῦσος τοῖσι πολλοῖσι ἢν παραχρῆμα μελετηθῇ, ἐν τάχει ἐξέρχεται.

Ἴκτεροι τέσσαρες.

Ὁ μὲν τοῦ θέρεος μάλιστα ἐπιλαμβάνει χολῆς κινηθείσης. ἵσταται οὖν ἡ χολή, ὑπὸ τῷ δέρματι καὶ ἐν τῇ κεφαλῇ. ὥστ' εὐθὺς ἀλλοχροεῖ τὸ σῶμα. καὶ γίνεται ὠχρὸν ὁκοῖον περ σίδιον. καὶ οἱ ὀφθαλμοὶ ὠχροί. καὶ ἐν τῇ κεφαλῇ ὑπὸ τὰς τρίχας, οἷον φλοῦς ὕπεστι. καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει. καὶ οὐρεῖ ὠχρὸν τὸ οὖρον. καὶ ὑφίσταται ὑπ' αὐτῷ παχὺ ὕπωχρον. καὶ τὸ ἕωθεν ἕως ἂν νῆστις ᾖ πρὸς τὴν καρδίην καὶ τὰ σπλάγχνα μύζει. καὶ ὁκόταν τις αὐτῷ προσφθέγξηται ἢ ἐρωτήσῃ, ἀσᾶταί τε καὶ λυπέεται. καὶ οὐκ ἀνέχεται ἀκροώμενος. ὁ δὲ ἀπόπατος προϊών, ὠχρόλευκος. καὶ κάκοδμος. οὗτος ὁκόταν ὧδε ἔχῃ, θνήσκει μάλιστα, ἐν τῇσι τεσσαρεσκαίδεκα ἡμέρῃσιν. ἢν δὲ ταύτας διαφύγῃ, ὑγιαίνεται. μελετᾶν δὲ αὐτὸν χρή, ὧδε. ὁκόταν ὁ πυρετὸς ἀνῇ, λούειν πολλῷ καὶ θερμῷ. πίνειν τε διδόναι μελίκρητον. καὶ ῥοφήμασι διαχρέεσθω, πτισάνης χυλῷ μέλι παραχέων. καὶ μὴ συνεψεῖν τὸ μέλι, ἕως ἂν αἱ δεκατέσσαρες ἡμέραι παρέλθωσιν. αὗται γὰρ κρίνουσιν ἢν θανάσιμον ᾖ ἢ οὔ. μετὰ δὲ ταῦτα, λούειν δὶς τῆς ἡμέρης, καὶ εὐωχέειν. τὸ πρῶτον ὀλίγοισιν ὅσα ἂν μάλιστα προσίηται. ἔπειτα πλείω μέντοι διδόναι. πινέτω δὲ οἶνον λευκὸν ὡς πλεῖστον δι' ἡμέρης, καὶ ἢν σοι δοκέῃ προϊόντος τοῦ χρόνου ὠχρὸς εἶναι καὶ ἀσθενής, ἔμετον κελεύειν ποιέεσθαι ἀπὸ τῶν σιτίων, ὡς ἐν τῇσιν ἄνω νούσοισιν ἔχει. καὶ ἢν μὲν ἀπὸ τούτων παύσηται, ἅλις. ἢν δὲ μή, ἐλλέβορον πιέτω. μετὰ δὲ τὴν τοιαύτην κάθαρσιν, ἑσπέρην

φαγέτω μάζαν μαλθακὴν, ἢ ἄρτου τὸ ἐντός. ὄψον δὲ ἐσθιέτω, νεοσσὸν ἀλεκτορίδος ἑφθὸν ἠρτυμένον κρομμύῳ, καὶ κοριάνῳ, καὶ τυρῷ, καὶ ἁλὶ, καὶ σησάμῳ, καὶ σταφίδι λευκῇ. οἶνον δὲ πινέτω, λευκὸν, αὐστηρὸν, ὡς παλαιότατον. τὴν δὲ κάτω κοιλίην ὑποκαθῆραι. τῇ δὲ ὑστεραίῃ, χυλῷ ἀπὸ ἐρεβίνθων λευκῶν, μέλι δὲ χρὴ τῷ χυλῷ παραχέαι, τούτῳ δὲ χρεέσθω, καὶ ἐκπιέτω δύο κοτύλας τοῦ τοιούτου χυλοῦ. τῇ δὲ τρίτῃ ἀρξάμενος ἀφ' ἑκάστης ἡμέρης πινέτω τόδε τὸ ὕδωρ, ἀπὸ τῶνδε ἑψήσας. μαράθρου ῥίζας λεπτὰς, πλῆθος ὁκόσον τρισὶ δακτύλοισι περιλαβεῖν τὴν δραγμίδα ἐμβάλλειν καὶ ἕψειν, ἐν δύο χοεῦσιν ὕδατος. ἕψειν δὲ ἕως ἂν λειφθῇ τὸ ἥμισυ. καὶ ἐρεβίνθων λευκῶν χοίνικα ἐν δυσὶ χοεῦσι. καὶ τούτου δὲ πιέτω τὸ ἥμισυ. ταῦτα ὁκόταν λειφθῇ διηθήσας ἐξαιθριάσαι, καὶ ἀμφότερα μίξας τούτῳ τῷ ὕδατι, καὶ τὸν οἶνον κρήσας, πινέτω. καὶ αὐτὸ τὸ ὕδωρ μοῦνον ἢν βούληται, πινέτω ὡς πλεῖστον. καὶ ἄλλο ὕδωρ μὴ πινέτω. ἢν δὲ τοῦτο τὸ ποτὸν μὴ προσίηται, τόδε σκευάσας οὕτω διδόναι. ἰσχάδων λευκῶν χοίνικα ἑψήσας ἐν δυσὶ χοεῦσι, διηθῆσαι καὶ ἐξαιθριάσαι. ἔπειτα τὸ ὕδωρ τοῦτο πινέτω ἤν τε ψιλὸν αὐτὸ βούληται, ἤν τε σὺν τῷ οἴνῳ κιρνάς. πινέτω δὲ μὴ ἀθρόον πουλὺ, ἀλλὰ κατὰ φορὰν, ἡμικοτύλιον, ὅκως μὴ διάῤῥοια αὐτῷ ἐπιγίνηται. καὶ διαλιπὼν χρόνον ὀλίγον, πινέτω. ἀγαθὰ δὲ καὶ τάδε διδόναι πίνειν, νῆστις ἑκάστης ἡμέρης, τρίβοντα λεῖα καὶ διέντα. κοτύλην οἴνου παλαιοῦ λευκοῦ. σελίνου καρπόν. σικύου σπέρμα. μαράθρου καρπόν. αἰθιοπικὸν κύμινον. ἀδίαντον. κόρειον τὴν ποίην. ἀσταφίδας λευκάς. ταῦτα πίνων κἀκεῖνα, ὠφεληθήσεται, καὶ τάχιστα ὑγιὴς γενήσεται. Ἄλλος ἴκτερος. Οὗτος ἐπιλαμβάνει χειμῶνος ἐν ὥρῃ, ἐκ μέθης καὶ ῥίγεος. ἄρχεται δὲ τὸ πρῶτον, ῥῖγος ἐπιλαμβάνειν. ἔπειτα καὶ πυρετὸς κατέχει. τὸ δὲ ὑγρὸν τὸ ἐν τῷ σώματι, πήγνυται ἐν τῷ δέρματι. Ἐν τοῖσι δὲ δείκνυται ὅτι οὕτως ἔχει. πελιδνὸν γὰρ αὐτοῦ τὸ σῶμα καὶ ὑπόσκληρον. καὶ αἱ φλέβες διὰ τοῦ σώματος τέτανται ὠχραί. μέζονες δὲ καὶ παχύτεραι ἢ πρόσθεν εἰσί. τέτανταί τε ὑπομελάντεραι καὶ ἄλλαι φλέβες. καὶ ἢν τάμνῃ τις τινὰ αὐτῶν, ῥεύσει ἐξελεύσεται τὸ αἷμα ὠχρὸν, ἐάνπερ ὠχραὶ ἔωσιν αἱ φλέβες. ἢν δὲ μέλαιναι ἔωσι, μέλαν τὸ αἷμα ῥεύσεται. καὶ τὸ ἱμάτιον πρὸς τῷ χρώματι προσκείμενον, οὐκ ἀνέχεται ὑπὸ τοῦ κνησμοῦ. οὗτος πρόθυμός ἐστι πρὸς τὸ πορεύεσθαι καὶ φοιτῆν, ἀλλ' ὑπὸ τῆς ἀσθενείης αὐτοῦ τὰ σκέλεα ὑποφέρεται. καὶ διψῇ σφόδρα. αὕτη ἡ νοῦσος, οὔπω ἧσσον τῆς ἑτέρης θανασίμη. περιέρχεται δὲ πλείω χρόνον, ἢν μὴ ἐν τῇσι πρώτῃσιν ἡμέρῃσιν ἔπειτα ὑγιὴς γίνηται. ἢν δὲ ἡ νοῦσος ἀρμηκύνηται, καὶ γένηται ὄγδοος ἢ ἔνατος συμπίπτει ἐς νοῦσον. καὶ ἡ νοῦσος καὶ ἡ ἀλγηδὼν, πιέζει μᾶλλον. καὶ ἀνίστασθαι οὐ δύναται. καὶ οἱ πολλοὶ ἐν τούτῳ τῷ χρόνῳ παραχρῆμα φθείρονται. τοῦτον ὁκόταν οὕτως ἔχῃ, κατ' ἀρχὰς μὲν τῆς νούσου ἢν παραγένηται, ὁκόταν ἤδη αἱ ἑπτὰ ἡμέραι παρέλθωσιν, ἐλλέβορον πίσαι. τὴν δὲ κάτω κοιλίην, χυλῷ ὑποκαθῆραι, ὡς ἐν τῷ πρόσθεν. καὶ τἄλλα τὰ αὐτὰ διδόναι φάρμακα. διδόναι δὲ καὶ κανθαρίδας, ἄνευ πτερῶν καὶ κεφαλῆς, τέσσαρας τρίβων, καὶ διεὶς οἴνῳ λευκῷ ἡμικοτυλίῳ. ἤδη δὲ καὶ μέλι παραχέαι ὀλίγον. εἶτα οὕτω διδόναι πιεῖν. τοῦτο πινέτω δὶς ἢ τρὶς τῆς ἡμέρης. παυούσης δὲ τῆς νούσου, λουτροῖσι καὶ πυριήμασι θεραπεύειν. ἐσθιέτω δὲ ὅσα προσίεται. οἶνον δὲ πινέτω, λευκὸν, αὐστηρόν. καὶ τἄλλα τὰ αὐτὰ προσφερέσθω, ἃ καὶ τῇ πρόσθεν. αὕτη ἡ νοῦσος, χρονίη καὶ χαλεπὴ, ἢν μὴ κατ' ἀρχὰς καλῶς μελετηθῇ. Ἄλλος ἴκτερος.

Ἐπιδήμιος οὗτος καλέεται, διότι πᾶσαν ὥρην ἐπιλαμβάνει. γίνεται δὲ ἀπὸ πλησμονῆς μάλιστα καὶ μέθης. καὶ ἐπειδὰν ῥιγώσῃ, εὐθέως οὖν τὸ σῶμα ἀλλοιοτροπέει καὶ γίνεται ὠχρόν. καὶ οἱ ὀφθαλμοὶ σφόδρα ὠχροί. καὶ ὑπὸ τὰς τρίχας καὶ ὑπὸ τοὺς ὄνυχας ἡ νοῦσος ὑπέρχεται. καὶ ῥῖγος καὶ πυρετὸς βληχρὸς ἔχει. καὶ ἀσθενέει τὸ σῶμα. καὶ ἐν τῇ κεφαλῇ ὀδύνη ἔχει. καὶ οὐρέει ὠχρὸν καὶ παχύ. οὗτος ὁ ἴκτερος, ἧσσον θανατώδης τῶν πρόσθεν. καὶ θεραπεύεται μελετώμενος ἐν τάχει. τοῦτον ὁκόταν οὕτως ἔχῃ, σχάσαι αὐτοῦ τοὺς ἀγκῶνας καὶ ἀφαιρέειν τοῦ αἵματος. ἔπειτα πυριήσας, πίσαι ἐλατήριον. κάτω δὲ αὖθις ὑποκαθῆραι τῇ ζύτῃ, ὀνείῳ γάλακτι. τὰ δὲ ἄλλα ῥοφήματά τε καὶ πόματα καὶ ἐδέσματα, τὰ αὐτὰ διδόναι, ἃ καὶ τῷ πρόσθεν. καὶ καθαίρειν αὐτοῦ τὴν κεφαλὴν θαμινά. καὶ ἀπὸ χαλαρίου πίνειν. καὶ λούειν αὐτὸν, πολλῷ καὶ θερμῷ, καὶ ξύων τὴν σάρκα, ἐν οἴνῳ λευκῷ διδόναι πίνειν. καὶ οὖν τὰ ἄλλα πάντα τοῖσιν αὐτοῖσι χρεέσθω, καὶ ἐν τάχει ὑγιὴς ἔσται. Ἄλλος ἴκτερος. Γίνεται μὲν ἀπὸ φλέγματος, ὅδε δὲ χειμῶνος μάλιστα ἐπιλαμβάνει. καὶ ἡ χροιὴ αὐτέης

λευκή. καὶ τὰ στήθεα αὐτέου, πλήρεα γίνεται φλέγματος. καὶ πτύει τὸ σίαλον. καὶ ὁκόταν ἀποχρέμπτηται, λυγμὸς αὐτῷ γίνεται. καὶ οὐρέει λευκὸν καὶ παχύ. καὶ ὑπὸ αὐτῷ ὑφίσταται, οἷον ἄλευρον. οὗτος ὁ ἴκτερος, οὐκ ἔστι θανατώδης, καὶ ἐν τάχει ὑγιαίνεται. τοῦτον ὁκόταν οὕτως ἔχῃ, πῖσαι κνίδιον κόκκον. καὶ μετὰ τὴν κάθαρσιν πτισάνης χυλὸν, μέλι παραχέας, δοῦναι ἐκροφέειν τέσσαρας κοτύλας. τὴν δὲ ἄνω κοιλίην ἐμετοποιεύμενος, κάθαρσιν παρεχέτω ὡς ἐν τῇσι πρόσθεν. οὕτω γὰρ ἂν ῥήϊστα τὸ φλέγμα ἀπάγοι τοῦ πλεύμονος καὶ τῶν ἀρτηριῶν. καὶ ἀναγαργαρισμὸν σκευάζειν αὐτῷ θαμινά. οὗτος ἐνίοτε καὶ πυρεταίνει βληχρῷ πυρετῷ. καὶ φρίκη λεπτὴ ἐπιγίνεται. καὶ τἄλλα μελετᾶν οἷσι καὶ τοὺς πρόσθεν ἰκτέρους. καὶ φαρμάκοισι. καὶ πυρίῃσι. καὶ λουτροῖσι, καὶ ἐδέσμασι. καὶ ποτοῖσι. καὶ ῥοφήμασιν. οὕτω γὰρ ἂν μάλιστα ὑγιέα ποιήσεις. Νούσημα ὅπερ καλεῖται τῦφος. Τῦφος μὲν τοῦτο τὸ νούσημα καλέεται. ἐπιλαμβάνει δὲ θέρεος ἐν ὥρῃ, ὁκόταν ὁ κύων τὸ ἄστρον ἐπιτέλλῃ, χολῆς κινηθείσης ἀνὰ τὸ σῶμα. εὐθέως οὖν αὐτὸν πυρετοὶ ἔχουσιν ἰσχυροί. καὶ καῦμα ὀξύ. καὶ ἀπὸ τοῦ βάρεος ἀσθενείη. καὶ ἀκρασίη τῶν σκελέων καὶ τῶν χειρῶν. ἀχρεῖα γὰρ μάλιστα γίνεταί οἱ. καὶ ἡ γαστὴρ ταράσσεται. καὶ τὰ ὑποχωρέοντα δυσώδεα. καὶ στρόφος ἰσχυρὸς ἐπιγίνεται. ταῦτά τε πάσχει. καὶ ἤν τις ἀναστῆσαι θέλῃ αὐτὸν, οὐ δύναται ὀρθοῦσθαι. οὐ δὲ τοῖσιν ὀφθαλμοῖσιν ἀνορῇν δύναται ὑπὸ τοῦ καύματος. καὶ ἤν τις αὐτὸν ἐρωτᾷ, ὑπὸ τοῦ πόνου οὐ δύναται ἀποκρίνασθαι. ὁκόταν δὲ μέλλῃ ἀποθνήσκειν, ὀξύτερά τε ὁρῇ, καὶ φθέγγεται θαρσαλέως. καὶ πιέειν καὶ φαγέειν αἰτέει. καὶ ἢν δῶ τις καταφαγεῖν, ἐν τάχει μεθῇ καὶ τὴν ψυχὴν, ἢν μὴ ἐξεμέσῃ. τούτῳ ἡ νοῦσος αὕτη κρίνεται, ἐν ἑπτὰ ἡμέρῃσιν ἢ δεκατέσσαρσι. πολλοὶ δὲ διατρέχουσι καὶ ἐς τὰς εἰκοσιτέσσαρας. ἢν γοῦν ταύτας διέλθῃ, ὑγιὴς ἔσται. καὶ γὰρ ἐν ταύτῃσι τῇσιν ἡμέρῃσι, δηλοῦται εἰ θανάσιμος, ἢ οὔ. τοῦτον ὁκόταν οὕτως ἔχῃ, ὧδε ἰῆσθαι. ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων, λουτροῦ μὲν, ἀπέχεσθαι. ἀλείφειν δὲ, οἴνῳ καὶ ἐλαίῳ χλιαίνων ἐν κοίτῃ. καὶ σιτίων ἀπέχεσθαι. ῥοφήματα δὲ λεπτὰ καὶ ψυχρὰ διδόναι. οἶνον δὲ πινέτω, μέλανα, αὐστηρὸν, ἢν ξυμφέρῃ αὐτῷ. ἢν δὲ μὴ, λευκὸν, ὑδαρὸν, αὐστηρόν. ἢν δὲ δίψα ἰσχυρὴ πιέζῃ τοῦ καύματος, ἀθρόον διδοὺς πίνειν, κέλευε ἐξεμέειν, ταῦτα δὶς ἢ τρὶς ποιήσας. καὶ ὁκόταν τὸ καῦμα ἔχῃ, ῥάκεα βάπτων ὕδατι ψυχρῷ προστιθέναι, ᾗ ἂν μάλιστα φῇ καίεσθαι. ἢν δὲ φρίκην ἔχῃ τὸ σῶμα, ἀνιέναι τὰ ψύγματα. οὗτος ὁκόταν πονῇ, μάλιστα ἀπὸ τῆς τοιαύτης ὀδύνης, ἄφνης κινδυνεύσει καταλιπὼν τὴν ψυχήν. ἀλλὰ διδόναι χρὴ αὐτῷ τῆς ὀδύνης τὰ φάρμακα μετὰ σπουδῆς, τὰ αὐτὰ ἃ καὶ τῷ ὑπὸ τῆς πλευρίτιδος ἐχομένῳ. ὁκόταν δὲ ἐξαναστῇ, ἀνακομίζειν σιτίοις, καὶ ποτῷ, καὶ λουτροῖσιν ὡς τάχιστα. ἡ γὰρ νοῦσος χαλεπὴ καὶ παῦροι διαφεύγουσιν. Ἄλλος τῦφος. Ἐπιλαμβάνει μὲν τὸ νούσημα πᾶσαν ὥρην. γίνεται δὲ δι᾽ ὑγρασίην τοῦ σώματος, ὁκόταν τὰ σιτία ὑγρὰ ἐόντα, καὶ τὸ ποτὸν πουλὺ, αἱ σάρκες ἀναπίωσι καὶ πλαδαραὶ γίνωνται, ἀπὸ τούτων τὸ νούσημα γίνεται μάλιστα. ἄρχεται οὖν ὁ πυρετὸς τριταῖος ἢ τεταρταῖος κατ᾽ ἀρχὰς γινόμενος. καὶ πόνος ἰσχυρὸς ἐν τῇ κεφαλῇ ἐνίσταται. ἐνίοτε δὲ καὶ ἐν τῷ σώματι διαλείπων. καὶ ἐμέει σίαλον. καὶ ἐρεύγεται πυκνά. καὶ ἀλγέει τὰς χώρας τῶν ὀφθαλμῶν καὶ τὸ πρόσωπον ἀφύει. καὶ ἐς τοὺς πόδας οἴδημα κατέρχεται. ἐνίοτε δὲ καὶ ὅλον τὸ σῶμα ἀποιδέει καὶ ἐς τὰ στήθεα καὶ ἐς τὸ μετάφρενον ἐνίοτε ἡ ὀδύνη τρέχει. καὶ ἡ γαστὴρ τετάρακται. καὶ τοῖσιν ὀφθαλμοῖσιν ἐξορεῖσαι ἰσχυρῶς. καὶ τὸ σίαλον ἀποπτύει πολλὸν καὶ ἀφρῶδες. καὶ ἐν τῇ φάρυγγι δοκέει ἐνέχεσθαι. καὶ κέρχνει αὐτόν. πολλάκις δὲ καὶ φλεγμαίνει ὁ φάρυγξ. τοῦτον ὁκόταν οὕτως ἔχῃ, καὶ οὕτως ὁ πόνος πιέζῃ, καὶ ὀρθόπνοια ἰσχυρὴ ἐμπίπτῃ, ἔστιν ὅτε καὶ πολλάκις ἐξαπίνης ὑπὸ τοῦ πόνου τὴν ψυχὴν ἀφῆκεν ἐν ἑπτὰ ἡμέρῃσιν, ἢ ἐν δεκατέσσαρσι. πουλλοὶ δὲ διαφέρουσι καὶ ἕως τῶν εἰκοσιτεσσάρων ἡμερέων. πολλάκις δὲ καὶ ἐξαπίνης ἡ νοῦσος ἀνῆκε. καὶ δοκέει ὑγιὴς εἶναι. ἀλλὰ φυλάσσεσθαι χρὴ, ἄχρις ἂν αἱ τέσσαρες καὶ εἴκοσιν ἡμέραι παρέλθωσιν. ἢν γὰρ ταύτας διαφύγῃ, οὐ μάλα θνήσκει. τούτῳ ὁκόταν ὧδε ἔχῃ, ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων, χρὴ ῥοφήματα διδόναι, ἄλητον κάθεφθον, μέλι λεπτὸν παραχέων. πίνειν δὲ διδόναι, μέλανα οἶνον κατ᾽ ὀλίγον, ὅκως ἂν βούληται κεκρημένον. σιτία δὲ μὴ προσφέρειν, πρὶν ἂν αἱ ἡμέραι παρέλθωσι. πολύποδας δὲ ἐν οἴνῳ ἑφθοὺς διδόναι ἐσθίειν. καὶ τὸν ζωμὸν ῥοφάνειν. καὶ ῥαφανίδας τρώγειν πολλάς. καὶ καρδάμου καρπὸν φώσας, ἀλέσαι καὶ σῆσαι λεπτά. εἶτα πινέτω οἶνον μέλανα, ἐπιβαλὼν στρυφνόν. καὶ ἄλφιτα λεπτὰ ὀλίγα διδόναι

πίνειν

πίνειν ἕωθεν. λουτροῦ δὲ ἀπεχέσθω, μέχρις ἂν αἱ ἡμέραι παρέλθωσιν. οἴνῳ δὲ καὶ ἐλαίῳ χλιήνας, ἀλείφειν ἐν κοίτῃ, καὶ ἐκμάσσειν. καὶ γλυκυσίδης καρποῦ δέκα κόκκους ἑψῶν ἐν οἴνῳ μέλανι, διδόναι πίνειν. καὶ γογγυλίδας διέφθους ποιέων, ῥοφανέτω τὸν χυλὸν, ἀρτύσας τυρῷ ἀνάλτῳ, καὶ μήκωνι, καὶ ἁλὶ, καὶ ἐλαίῳ, καὶ σιλφίῳ, καὶ ὄξει. ἢν δὲ καὶ φάρμακον βούλῃ πῖσαι, τοῦ κνιδίου κόκκου πίσαι. καὶ μετὰ τὴν κάθαρσιν, ἀλεύρου ἑφθοῦ καὶ λιπαροῦ δοῦναι δύο τρυβλία ἐκροφέειν. οἶνον δὲ πινέτω τὸν αὐτόν. καὶ τῶν φαρμάκων καὶ ῥοφημάτων καὶ ποτῶν ὅ,τι ἂν διδῷς, ὀνήσειν, ἤν τε κατὰ ἓν, ἤν τε κατὰ πλείω προσφέρῃς. καὶ οὕτω τάχιστα ὑγιέα ποιήσεις. ἡ δὲ νοῦσος χαλεπή. καὶ παῦροι διαφυγγάνουσιν. Ἄλλος τῦφος. Γίνεται μὲν καὶ οὗτος, διὰ τόδε. ὁκόταν ἡ χολὴ σαπεῖσα μιγῇ τῷ αἵματι ἀνὰ τὰς φλέβας καὶ τὰ ἄρθρα, ὁκόταν τὸ αἷμα στῇ, ἐνίσταται δὲ μάλιστα ἐν τοῖσιν ἄρθροισι. κατασκηρίζεται δὲ ἐνίοτε καὶ ἐς τὸ ἄλλο πᾶν σῶμα. καὶ ὀδύνας παρέχει ὀξείας. καὶ οἱ πουλλοὶ ἐκ τῆς τοιαύτης νόσου, χωλοὶ γίνονται, ὁκόταν ἀποληφθεῖσα ἐν τοῖσιν ἄρθροισιν ἡ χολὴ πωρωθῇ. ἡ δὲ ὀδύνη διαλείπουσα ἐπιλαμβάνει, καὶ διὰ τριῶν ἡμερέων, καὶ διὰ τεττάρων. τοῦτον ὁκόταν ὧδε ἔχῃ, μελετᾶν οὕτως. τῆς ὀδύνης ἐπικρατούσης ἐν τῷ σώματι, χλιάσματα χρὴ ποιέειν καὶ προστιθέναι, ἐλαίῳ ὑπαλείψας. ὁκόταν δὲ ἀνῇ, δοῦναι αὐτῷ ἐλλέβορον, πυριήσας πρόσθεν ἅπαν τὸ σῶμα. τῇ δὲ ὑστεραίῃ, ὀῤῥὸν αἰγὸς ἑψήσας, δοῦναι πιεῖν, δύο χόας, παρὰ τὸν ἕτερον χόα, μέλι παραχέας. παρὰ δὲ τὸν ἕτερον, ἅλας παραβαλών. εἶτα κύλικα παρὰ κύλικα παραλλάσσων, πινέτω ἕως ἂν ἐκπίῃ ἅπαν. ἐς ἑσπέρην δὲ μετὰ τὴν κάθαρσιν, φακῆς τρυβλίον ῥοφεέτω. καὶ τοὔτερον τρυβλίον λιπαρῶν ἄλφιτα παραπάσας, ἐκπιέτω. καὶ νεοσσοῦ ἀλεκτορίδος κρέας, ἢ πελειάδος, ἢ τρυγόνος, ἢ οἰὸς, ἢ ὑὸς πίον τρωγέτω. τὸν δὲ ἐλλέβορον, δι' ἕκτης ἡμέρης διδόναι. καὶ ἤν κου τῶν ἄρθρων ἀποιδίσκεται καὶ μὴ θέλῃ ἀφίστασθαι, σικύην προσβαλὼν, ἀφαιρέειν τοῦ αἵματος. κατακεντῶν ἀκίδι τριγώνῳ, ἐν τὰ γούνατα, καὶ ἐν τοῖσι γούνασιν ἐν οἷς τὸ οἴδημα. τῶν δὲ ἄλλων ἄρθρων μηδὲν κεντριώσῃς. τὰς δὲ μεταξὺ τῶν ἡμερέων, σιτίον προσφερέσθω. ἄρτον μὲν, ὡς ὀπτότατον. μάζαν δὲ, ψαιστὴν ὡς μάλιστα. ὄψα δὲ ἐχέτω ὡς μάλιστα μὲν ὀπτά. ὀρνίθεια δὲ, ἄναλτα. εἰ δὲ μὴ, καὶ ἑφθὰ, ἐζωμευμένα, πλὴν ἄνευ τυροῦ, καὶ σησάμου, καὶ ἁλός. ἰχθύεσι δὲ χρεέσθω, τοῖσι σαρκωδεστάτοισιν. ὀπτοῖσι δὲ, τὸν ἴσον τρόπον τοῖς κρέασιν ἑψῶν, δι' ὀριγάνου πάσας, ἐλαίῳ αὐτὰ ὑποχρίσας. οἶνον δὲ πινέτω λευκὸν, ἢν ξυμφέρῃ. ἢν δ' οὐ ξυμφέρῃ, μέλανα. καὶ ἐν περιόδοισι ταλαιπωρεέτω δι' ἡμέρης. καὶ μετὰ τὸ δεῖπνον, καὶ ὄρθριος. ὀῤῥὸν δὲ καὶ γάλα τὴν ὥρην πινέτω αἰεί. ἢν δέ σοι δοκέῃ, καὶ ὄνειον γάλα διδόναι ἀφεψήσας. καὶ ἢν ὑγιὴς γένηται, ἐν φυλακῇ αὐτὸν ἔχειν τοῦ ψύχεος, καὶ τοῦ πνίγεος. καὶ τῶν σιτίων, μὴ λίην ἐμπιπλάσθω. κίνδυνος γὰρ αὖθις ὑποτροπιάσαι τὴν νοῦσον. αὕτη τοιγαροῦν ἡ νοῦσος οὕτω θεραπευομένη, ἐν ἓξ μησὶν, ὑγιὴς γίνεται. ἐν γὰρ τῷ τοσούτων μηνῶν τῷ διαστήματι κρίνεται ἤν τε θανάσιμος, ἤν τε μὴ, ἢν καὶ παραχρῆμα θεραπεύητε, πλὴν ἡ νοῦσος χαλεπή. καὶ τοῖσι πλέοσι συναποθνήσκει. Ἄλλος τῦφος. Γίνεται μὲν τὸ νόσημα ἐν ὀπώρης καιρῷ, ὁκόταν τις πλησθῇ παντοίης ὀπώρης. τοῖσι δὲ πουλλοῖσι καὶ ἀπὸ τῶνδε ἐγένετο ἡ τοιάδε νοῦσος. φαγόντες πλακοῦντος καὶ σησάμης καὶ τῶν ἄλλων μελιτωθέντων ἀπλέστως. τὸ γὰρ μέλι τὸ ἑφθὸν, καυματῶδές ἐστι, καὶ προσπλάσσεται τῇ κοιλίῃ. ἔπειτα ὁκόταν κατεψυχθῇ ἐν τῇ κοιλίῃ, ἀναζέεται. καὶ ἐξαπίνης ἡ γαστὴρ αἴρεται. καὶ πίμπραται. καὶ δοκέει διαῤῥήσσεσθαι. ἔπειτα δὲ ἐξαπίνης διάῤῥοια ἐπεγένετο. καὶ ὁκόταν ἅπαξ ἄρξηται χωρέειν, πολλὰς ἡμέρας καθαίρεται. καὶ πουλλοὶ μετὰ ταύτην τὴν κάθαρσιν, ὑγιέες ἐγένοντο. ὁκόταν οὖν παύσηται αὐτόματος καθαιρόμενος, φακῶν χυμοῦ ἀναγκάσαι αὐτὸν ἐκπιεῖν τρία ἡμίχοα, ἅλας παραβάλλων. μετὰ δὲ τὴν κάθαρσιν τοῦ χυμοῦ, ἐς ἑσπέρην, φακῆς τρυβλίον ῥοφεέτω ψυχρῆς ἀνάλτου. σιλφίου δὲ ἐπιξέσθω πουλύ. καὶ τοὔτερον τρυβλίον, ἀνήθου λιπαροῦ, ἄλφιτα παραπάσσων. οἶνον δὲ πινέτω, μέλανα αὐστηρὸν κατ' ὀλίγον. τὸ δὲ λοιπὸν τοῦ χρόνου, τὰ αὐτὰ ποιεέτω. καὶ σιτία προσφερέσθω, ἄρτον ἐξοπτὸν. μάζαν τε ψαιστὴν ὡς μάλιστα. τὰς δὲ πρώτας τῶν ἡμερέων, ἄλευρον φαγέτω κάθεφθον, ἀποψύχων, καὶ μέλι παραχέων. οἶνον δὲ πινέτω μέλανα στρυφνὸν, ἕως ἂν κατάστῃ ἡ νοῦσος, ταῦτα προσφερέσθω. ὁ δὲ ὑπὸ τῆς ὀπώρης ληφθεὶς τῇ νούσῳ, φῦσαν παρέχει, καὶ στρόφον, καὶ ὀδύνην. καὶ τὰ σιτία οὐκ ἐθέλει διαχωρέειν. καὶ ἡ γαστὴρ μεγάλη καὶ σκληρὴ αὐτοῦ ἐστι. καὶ ῥῖγος καὶ πυρετὸς ἔχει. τούτῳ ἢν μὲν αὐτομάτη ταραχθῇ ἡ κοιλίη

ἐν εἴκοσιν ἡμέρῃσι τὸ ἐλάχιστον καθαίρεται. καὶ ὁκόταν παύσηται καθαιρόμενος, ὑγιὴς παραχρῆμα ἔσται. ἢν δὲ μὴ καθαρθῇ, καθαίρειν αὐτὸν, τῷ ἱπποφαέως ὀπῷ, ἢ τῷ κνιδίῳ κόκκῳ. ἐς ἑσπέρην δὲ ταῦτα διδόναι, καὶ τῷ αὐτομάτῳ καθαιρομένῳ. τῇ δ' ὑστεραίῃ, ἢν μὲν πυρετὸς ἔχῃ, ἡσυχίην ἐχέτω. διδόναι δὲ αὐτῷ πίνειν τοῦ αὐτοῦ οἴνου, ὡς ἐν ψυχροτάτῳ ὕδατι. ἢν δὲ μὴ ἔχῃ πυρετὸς, διαιτάσθω δίαιταν μὴ ὑγρὴν, ἀλλ' ἰσχυροτέρην. καὶ περιπατείτω πρὸς τὰ σιτία τεκμαιρόμενος. ὑπὸ τουτέου τοῦ νοσήματος, πολλοῖσιν ἤδη ὕδερος ἐξεγένετο. καὶ ἢν δοκέῃ σοι κλύζειν, τοῖσιν αὐτοῖσι κλύσον, οἷσι καὶ τὰ ὑδεριῶντα. ἢν δὲ βούλῃ τοῖσιδε κλύζειν. ἐν μελικρήτου κοτύλῃ ποίην θαψίης ἐγχύσαι, εἶτα οὕτως ἐγκλύσαι. οὗτος οὕτω θεραπευόμενος τάχιστα ὑγιὴς ἔσται.

ἄλλος τῦφος.

Γίνεται δὲ τὸ νόσημα, ὁκόταν τὸ ὑγρὸν τὸ ἐν τῷ σώματι σαπῇ, καὶ ἀναξηρανθῇ μᾶλλον τοῦ καιροῦ. γίνεται οὖν τὴν εἰδέην, ὁκόταν τῷ νουσήματι ἔχηται, δίυγρος. ὕπωχρος. διαφανής. κύστει ἔοικεν οὔρου, πλὴν οὐκ οἰδέει. ἀλλὰ λεπτὸς καὶ σκελιφρὸς ἐστὶ καὶ ἀσθενής. μάλιστα δὲ τοῦ σώματος λεπτύνεται τὰς κληΐδας. καὶ τὸ πρόσωπον ἰσχυρῶς κάτισχνος. καὶ οἱ ὀφθαλμοὶ ἔγκοιλοι σφόδρα. ταῦτα μὲν ὑπὸ τοῦ νοσήματος πάσχει. ἢν δὲ ἡ χροιὴ τοῦ σώματος μέλαινα ᾖ, τάδε αἴτιά ἐστιν. ἐς τὰ φλέβια καὶ ἐς τὸ δέρμα, ὁκόταν χολὴ μέλαινα ὑπέλθοι, καὶ αὐτῇ τούτοισιν ὁκόταν θέρμη ἐπιγένηται, ἀνάγκη ὑπὸ τοῦ θερμοῦ ξυγκέεσθαί τε καὶ ἀναξηραίνεσθαι τὰ φλέβια, ὥστε τὸ αἷμα ἐκχωρέειν κατὰ τὰ φλέβια. τάδε οὖν πάσχει. οὗτος λεπτὸς γίνεται. καὶ κάτισχνος ἰσχυρῶς. καὶ τοῖσιν ὀφθαλμοῖσιν ἀραιὰ σκαρδαμύσσει, καὶ τὰς μυίας ἀπὸ τοῦ ἱματίου θηρεύει. καὶ βάρος τῶν σιτίων ἐστὶν, ἢ ὑγιαίνων. καὶ λύχνου ἀποσβεσμένου τῇ ὀσμῇ ἥδεται. καὶ ἐξονειρώσσει θαμινά. πολλάκις δὲ καὶ βαδίζοντι αὐτῷ, ἐξέρχεται ἡ γονή. τοῦτον ὁκόταν οὕτως ἔχῃ, καθαίρειν τὴν κοιλίην τῷ μέλανι ἐλλεβόρῳ, τὴν ἄνω δηλονότι. τὴν δὲ κάτω, ὀπῷ σκαμμωνίης. μετὰ δὲ τὴν κάθαρσιν, τὰ αὐτὰ διδόναι, ἃ καὶ τοῖσιν ἄλλοισι. καὶ ὀῤῥὸν. καὶ γάλα βοὸς, ἢ αἰγὸς διδόναι τὴν ὥρην. διδόναι δὲ καὶ ὄνειον γάλα ἀφεψῶν ἐς ὑποκάθαρσιν. οὗτος οὕτω μελετώμενος, μάλιστα ἐν δυσὶν ἔτεσιν ὑγιὴς γίνεται. σιτία δὲ ἃ βούλεται προσφερέσθω. εὐωχέεσθω δὲ ὡς μάλιστα καὶ περιπατείτω, πρὸς τὰ σιτία τεκμαιρόμενος. αὕτη ἡ νοῦσος λαμβάνει πρεσβύτερον εἰκοσαέτεος. ὁκόταν δὲ λάβῃ, ἢν μὴ κατ' ἀρχὰς τοῦ νοσήματος μελετηθῇ, οὐκ ἐκλείπει, εἰ μὴ εἴκοσιν ἔτεα παρέλθῃ, ἀλλὰ προσέχει. ἔπειτα ἐνίοισι μελετωμένοισιν ἐξέρχεται. ἡ δὲ νοῦσος χαλεπή.

Εἰλεοί.

Εἰλεοὶ δὲ τάδε τὰ νουσήματα καλέεται. γίνεται δὲ ἀπὸ τῶνδε μάλιστα. ἢν τοῦ χειμῶνος θερμῇ τῇ διαίτῃ καὶ ὑγρῇ χρέεται, καὶ μήτε περιόδοισι ταλαιπωρέῃ πρὸς τὰ σιτία τεκμαιρόμενος. πιμπλάμενος δὲ, εὕδει αἰεί. εἶτα ἐξαπίνης ἀναγκασθῇ βαδίσαι μακρὴν ὁδὸν, ψύχεος ἐόντος. εἶτα ῥιγώσῃ ὑπὸ τὰ ὀστέα. τάδε οὖν πάσχει. φῦσα ἐγγίνεται ἐν τῷ σώματι παντί. καὶ ἡ χροιὴ αὐτέου γίνεται μολιβδοειδής. καὶ ῥιγοῖ αἰεί, ὥστε οἱ θερμὸν καταχυθὲν, οὐ δοκέεται θερμὸν εἶναι. τὸ δὲ σῶμα λουόμενον αὐτοῦ, λεπίζεται ἀπὸ τοῦ θερμοῦ. μάλιστα δὲ ἡ ὄσχη. καὶ ἢν τῷ δακτύλῳ τοῦ σώματος ὑποπιέζῃς, ἐνθλάσεις. καὶ σημαίνεταί σοι ὥσπερ ἐν σταιτί. μάλιστα δὲ ἐν τοῖσι ποσὶν ἐνθλᾶται. τὰ δὲ σκέλεα βαρέα αὐτοῦ. καὶ ἢν περιφοιτήσῃ τρέμει. καὶ ἢν πρὸς ἔτος βαδίζῃ, πνευστιᾷ σφόδρα. καὶ αἱ ὠλέναι δοκέουσιν ἀποκρέμασθαι. καὶ δίψη ἔχει τὰς νύκτας. τὰ δὲ σιτία ὠμὰ διαχωρέει, ὅσα περ φάγῃ. τοῦτον ὁκόταν οὕτως ἔχῃ, πυριήσας αὐτὸν, κνεώρου διδόναι πίνειν, ἢ τοῦ ἱπποφαέως ὀποῦ, ἢ τοῦ κνιδίου κόκκου. μετὰ δὲ τὴν κάθαρσιν ταῦτα διδόναι, ἃ καὶ τοῖσι πρόσθεν. τῇ δὲ ὑστεραίῃ, ὀνείου γάλακτος ἑφθοῦ χόεα διδόναι, δὶς ἐκπιεῖν, ἅλας παραβάλλων. ἐς ἑσπέρην δὲ, δειπνείτω ἄρτον. ὄψον δὲ ἐχέτω, οἴος κρέα ἑφθά. καὶ πουλύποδας ἑφθοὺς ἐν οἴνῳ μέλανι. καὶ τὸν ζωμὸν ῥοφανέτω. καὶ φακῆν ἐχέτω, ὧδε ἐσκευασμένην. κοτύλην φακοῦ ἑψήσας, τρίψαι λείην. ἔπειτα ἄλευρον παραμῖξαι. καὶ σίλφιον ἐπιξέσαι, καὶ ἅλας ἐμβαλεῖν. καὶ ὄξος ἐπιχέαι. καὶ σκόροδα πρὸς τούτοις συνεψεῖν. ἔπειτα ὕδωρ ἐπιχέας ζέσαι δὶς ἢ τρίς. καὶ τορυνᾶν ἅμα αὐτοῖς. ἔπειτα ἀφελὼν, ἑψήσθω. ἔστω δὲ μὴ λίην παχείη. ἐμβεβλήσθω δὲ καὶ ἡ γλήχων ἑψομένη τῆς εὐωδίης εἵνεκα. τὰς δὲ μεταξὺ τῶν ἡμερέων, ἐμέτους ποιεέσθω δι' ἕκτης ἡμέρης. πυριῆσθαι δὲ χρὴ ἄλλοτε καὶ ἄλλοτε πρὸ τοῦ ἐμέτου καὶ τῆς φαρμακοποσίης. καὶ διὰ τρίτης ἡμέρης, λουέσθω ἢν συμφέρῃ. εἰ δὲ μὴ ἀλειφέσθω, καὶ περιπατείτω ἢν δυνατὸς ᾖ, πρὸς τὰ σιτία τεκμαιρόμενος καὶ ἀκτῆς φύλλα καὶ κονύζης τῆς αἰεὶ ἁπαλῆς ἑψῶν, διδόναι ἐσθίειν. οὕτω γὰρ ἂν μελετώμενος, ῥήϊστα διάγοι. καὶ

ἡ νοῦσος

ἡ νοῦσος ἐκλείπῃ αὖ ἐνιαυσιαίη. πολλοῖσι δὲ ἤδη ὑγιέσι γινομένοισι, διὰ δύο ἐτέων ἡ νοῦσος ὑποστροφίας ἐν. ἀλλὰ χρὴ ἢν ὑποστροπιάσῃ, τὴν αὐτὴν ἴησιν ἰῆσθαι. ἢν δὲ τρίτον ὑποστροπιάσῃ, οἴδημα μὲν οὐκ ἔτι γίνεται. λεπτὸς δὲ γίνεται καὶ κάτισχνος. ἄρχεται δὲ λεπτύνεσθαι, ἀπὸ τοῦ προσώπου καὶ τὴν χροιὴν ἔκλευκος γίνεται, μᾶλλον ἢ τὸ πρόσθεν. τούτῳ ὕδερος ἐνίοτε ἐγγίνεται ἐν τῇ κοιλίῃ. ἢν οὖν ἐγγένηται, τάμνειν αὐτὸν οὐ χρή. ἀποθανέεται γάρ. θεραπεύειν δὲ τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τὸν ἀπὸ σπληνὸς ὑδεριῶντα. τοῦτον μάλιστα μὲν κατ' ἀρχὰς βούλεσθαι μελετᾶν, καὶ οὕτω ταχέως ὑγιέα ποιήσεις. ἡ δὲ νοῦσος δέεται μελέτης πολλῆς. χαλεπὴ γάρ. Ἄλλος εἰλεὸς ἰκτερώδης. Ἐπιλαμβάνει μάλιστα μὲν θέρεος ὥρῃ ἐν ἑλώδεσι χωρίοισιν οὗτος. μᾶλλον δὲ ἀπὸ ὑδροποσίης. πολλοὶ δὲ ἤδη ὑπὸ τοιούτου συνεχέθησαν καὶ ὑπὸ τοῦ ἡλίου εἰληθέντες, τὴν κεφαλὴν ἀλγήσαντες. ἀλλὰ παραπλήσια τοῖσι πρόσθεν πάσχουσι, πλὴν τῆς χροιῆς. καὶ γὰρ ὠχρὸς γίνεται, οἷον σίδιον. καὶ οἱ ὀφθαλμοὶ ἔστιν ὅτε ἰκτέρου πίμπλανται. τοῦτον ὁκόταν οὕτως ἔχῃ, θεραπεύειν χρὴ τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τὸν πρόσθεν. διδόναι τὸ ἀπὸ ὀρεβίνθων λευκῶν ὕδωρ ἑψῶν πίνειν. καὶ ἐν τῷ οἴνῳ διακιρνᾶν καὶ διδόναι. καὶ τὴν κεφαλὴν αὐτέου καθαίρειν τῷ τετραγώνῳ. οὗτος ἧσσον τοῦ προτέρου θανατώδης. καλέεται δὲ εἰλεὸς ἰκτερώδης.

Εἰλεὸς αἱματίτης. Τὰ μὲν ἄλλα πάσχει πλῆθος τὰ αὐτὰ τοῖσι πρόσθεν. ἄρχεται δὲ μετοπώρου γίνεσθαι τὸ νούσημα. τάδε δὲ ἐν τῷ νουσήματι προσγίνεται. ἐκ τοῦ στόματος κακὸν ὄζει ἀπὸ τῶν ὀδόντων, καὶ τὰ οὖλα ἀφίσταται. καὶ ἀπὸ τῶν ῥινῶν αἷμα ῥέει. ἐνίοτε δὲ καὶ ἐκ τῶν σκελέων ἕλκεα ἐκφλυνδάνει. καὶ τὰ μὲν, ὑγιαίνεται. τὰ δὲ ἄλλα, προσγίνεται. καὶ ἡ χροιὴ μέλαινα, καὶ λεπτόδερμος. περιφοιτᾶν δὲ καὶ ταλαιπωρέειν πρόθυμος. τοῦτον ὁκόταν οὕτως ἔχῃ, τούτοισιν ἰῆσθαι, οἷσι καὶ τὸν πρόσθεν. καὶ κλύζειν τοῖσδε. σικύου τοῦ ἀγρίου πέντε φύλλα τρίψαι λεῖα, καὶ συμμῖξαι μέλιτος ἡμικοτύλιον. καὶ ἁλῶν δραξάμενος τῇ μιῇ χειρί, καὶ ἐλαίου, ἡμικοτύλιον. καὶ ἀπὸ τεύτλων ἑφθῶν τοῦ χυλοῦ τέσσαρας κοτύλας. διδόναι δὲ ἐς ὑποκάθαρσιν ὀνείου γάλακτος ἑφθοῦ, κοτύλας ὀκτώ, μέλι παραχέων. πινέτω δὲ καὶ βόειον τὴν ὥρην, τεσσαράκοντα ἡμέρας. πινέτω δὲ καὶ τὸ ἕωθεν τοῦ βοείου γάλακτος, δύο κοτύλας, τρίτον μελικρήτου συμμίσγοντας. καὶ μεταξὺ τῶν ἡμερέων. αὕτη ἡ νοῦσος, δέεται πουλλῆς ἰήσιος. εἰ δὲ μή, οὐκ ἐξέρχεται, ἀλλὰ ξυναποθνήσκει τῷ ἀνθρώπῳ. καλέεται δὲ εἰλεὸς αἱματίτης.

Τὰ παχέα καλούμενα νοσήματα. Ἐκ δὲ τῶν παχέων καλουμένων νουσημάτων, τάδε μάλιστα γίνεται. ὁκόταν φλέγμα καὶ χολὴ μιχθῇ κατὰ τὸ σῶμα, ἔρχεται ἐς τὴν κοιλίην. καὶ ὁκόταν ἁλισθῇ ἐν τῇ κοιλίῃ, αἴρεται. ἄνω τε καὶ κάτω ἀναπτύει, ὥσπερ κῦμα. καὶ ῥῖγος, καὶ πυρετὸς ἐπιλαμβάνει. καὶ ἐν τῇ κεφαλῇ ἡ ὀδύνη καθέστηκε. καὶ ὁκόταν πρὸς τὰ σπλάγχνα ἡ ὀδύνη καταστῇ, τηνικαῦτα παρέχει. ἐνίοτε δὲ ἐμέει λάπην ὀξείην. ἐνίοτε δὲ καὶ ἁλμυρήν. καὶ ὁκόταν ἀπεμέσῃ, πικρὸν τὸ στόμα δοκέει αὐτῷ εἶναι. ἐν δὲ τῇσι πλευρῇσιν ἐρυθήματα κατέχεται. ἅτε γὰρ τοῦ φλέγματος ἐν τῇ κοιλίῃ ἐόντος, τὸ αἷμα ὑπὸ θερμασίης ἁλισθὲν, προσέπεσεν ἐς τὰς πλευράς. καὶ ἐρυθήματα παρέχει ἐν τῇσι πλευρῇσι. καὶ θερμασίην ἔχει μάλιστα τὰς πλευράς. καὶ τὸ μετάφρενον αὐτοῦ ἔγκυρτον γίνεται. καὶ ὁκόταν πονῇ μάλιστα, οὐκ ἀνέχεται ψαυόμενος τοῦ σώματος. ἀλγέει γὰρ ὁκοῖον περ ἕλκος. καὶ αἱ σάρκες πάλλονται ὑπὸ τῆς ἀλγηδόνος. καὶ οἱ ὄρχιες ἕλκονται. καὶ ἐς τὴν ἕδρην, καὶ ἐς τὴν κύστιν, θέρμη τις καὶ ὀδύνη ἐμπίπτει. καὶ οὐρέει παχὺ ὁκοῖόν περ ὑδρωπευ. καὶ ἐκ τῆς κεφαλῆς αἱ τρίχες ῥέουσι. καὶ οἱ πόδες ἀεὶ ψυχροί. καὶ ἡ ὀδύνη πιέζει μάλιστα τὰς πλευράς, καὶ τὸ μετάφρενον, καὶ τὸν τράχηλον. πρὸς δὲ τῷ δέρματι δοκέει οἵ τι προσέρπειν. ἡ δὲ νοῦσος ὅτε μὲν, πιέζει. ὅτε δὲ, ἀνίησι. προϊούσης δὲ τῆς νούσου, συνεχέστερον πιέζει. καὶ τῆς κεφαλῆς τὸ δέρμα παχὺ καὶ ἐρυθρόν ἐστιν. οὗτος μέχρι μὲν ἓξ ἐτέων, τοιαῦτα πάσχων διατελέει. ἔπειτα ἱδρώς τε πουλὺς καταχέεται καὶ κάκοδμος γίνεται. πολλάκις δὲ καὶ ὀνειρώσσει. τὸ δὲ λάγνευμα τούτῳ, ὕφαιμον προσέρχεται ὑποπέλιδνον. τοῦτο τὸ νόσημα γίνεται, διὰ θερμασίην τοῦ ἡλίου καὶ ὑδροποσίην. τοῦτον τοιγαροῦν ὁκόταν οὕτως ἔχῃ, τοῦ κνεώρου διδοὺς ὑποκαθαίρειν, ἢ τοῦ κνιδίου κόκκου. ἢ τοῦ ἱπποφαέος. διδόναι δὲ πίνειν καὶ γάλα ὄνειον ἑψήσας ὀκτὼ κοτύλας μέλι παραχέων. τῇ δὲ ὑστεραίῃ μετὰ τὴν κάθαρσιν τὰ αὐτὰ προσφέρειν, ἃ καὶ τοῖσιν ἄλλοισι. τὰς δὲ πρώτας ἡμέρας, ἐγχεέσθω τὰ αὐτὰ, ἃ καὶ ὅστις ὑπὸ ὕδρωπος ἑάλω. καὶ πονεέτω περιόδοισιν ἢν δυνατὸς ᾖ. ἢν δὲ ἀδύνατος ᾖ ὑπὸ τῶν πυρετῶν, καὶ ἐσθίειν μὴ δύνηται τὰ σιτία, χρέεσθω ῥοφήματι φακῆς. ποτῷ δὲ οἴνῳ μέλανι ὡς αὐστηροτάτῳ. αὐτὴ

τω. αὕτη ἡ νοῦσος ἐπιλαμβάνει μάλιστα μετοπώρου, καὶ ὀπώρης ἐούσης. οὗτος ἢν μὲν ἰηθῇ ἐν τοῖς ἓξ ἔτεσιν. εἰ δὲ μὴ προσέχει καὶ ἄχρι τῶν δέκα ἐνιαυτῶν. πουλλοῖσι δὲ καὶ ξυναποθνήσκει, ἢν μὴ πρᾶγμα μελετηθῇ παχέα. Τὰ δὲ τοιάδε τῶν νουσημάτων γίνεται ἀπὸ χολῆς. ὁκόταν χολὴ ἐπὶ τὸ ἧπαρ ὑπερρυῇ, καὶ κατὰ τὴν κεφαλὴν καταστῇ. τάδε οὖν πάσχει. τὸ ἧπαρ οἰδέει καὶ ἀναπτύσσεται πρὸς τὰς φρένας ὑπὸ τοῦ οἰδήματος. καὶ εὐθὺς ἐν τὴν κεφαλὴν ὀδύνη ἐμπίπτει. μάλιστα δὲ ἐν τοὺς κροτάφους. καὶ τοῖσιν ὠσὶν οὐκ ὀξὺ ἀκούει. πολλάκις δὲ καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐχ ὁρᾷ. καὶ φρίκη καὶ πυρετὸς ἐπιλαμβάνει. ταῦτα μὲν κατ' ἀρχὰς τοῦ νουσήματος αὐτῷ γίνεται διαλιμπάνοντα. ὅτε μὲν, σφόδρα. ὅτε δὲ, ἧσσον. ὁκόσῳ δ' ἂν ὁ χρόνος τῇ νούσῳ προΐῃ, ὅ, τε πόνος πλέων ἐν τῷ σώματι. καὶ αἱ κόραι σκιδνάνται τῶν ὀφθαλμῶν. καὶ σκιαυγέει. καὶ ἢν προσφέρῃς τὸν δάκτυλον πρὸς τοὺς ὀφθαλμοὺς, οὐκ αἰσθήσεται, διὰ τὸ μὴ ὁρῆν. τούτῳ δ' ἂν γνοίης ὅτι οὐχ ὁρῇ, ὅτι οὐ σκαρδαμύσσει προσφερομένου τοῦ δακτύλου. καὶ τὰς κροκίδας ἀφαιρέει τοῦ ἱματίου, ἢν πρὸ ἴδῃ, δοκέων φθεῖρας αὐτὰς εἶναι. καὶ ὁκόταν τὸ ἧπαρ μᾶλλον ἀναπτυγῇ πρὸς τὰς φρένας, παραφρονέει. καὶ προφαίνεσθαί οἱ δοκέει πρὸ τῶν ὀφθαλμῶν, ἑρπετά. καὶ ἄλλοια παντοδαπὰ θηρία. καὶ ὁπλῖται μαχόμενοι. καὶ αὐτὸς ἐν αὐτοῖς δοκέει μάχεσθαι. καὶ τοιαῦτα λέγει, ὡς ὁρέων μάχας καὶ πολέμους. καὶ ἐπέρχεται. καὶ ἀπειλέει, ἢν μή τις αὐτὸν ἐῇ ἐξιέναι. κἂν ἀναστῇ, οὐ δύναται ἀείρειν τὰ σκέλεα, ἀλλὰ καταπίπτει. καὶ οἱ πόδες αὐτοῦ αἰεὶ ψυχροί. καὶ ὁκόταν καθεύδῃ, ἀναΐσσει ἀπὸ τοῦ ὕπνου, καὶ φοβέεται ὁκόταν ἐνύπνια ἴδῃ φοβερά. τῷδε δὲ γινώσκομεν. ὅτι ἀπὸ ἐνυπνίων ἀΐσσει, φοβέεται. ἐπὴν ὁκόταν ἔννοος γένηται, ἀφηγεῖται τὰ ἐνύπνια, ὁκοῖα καὶ τῷ σώματι ἐποίει, καὶ τῇ γλώσσῃ ἔλεγε. ταῦτα μὲν, οὕτω πάσχει. ἔστι δ' ὅτε καὶ κέεται ἄφωνος ὅλην τὴν ἡμέρην καὶ τὴν νύκτα, ἀναπνέων πολλὸν τὸ πνεῦμα ἀθρόον. ὁκόταν δὲ παύσηται παραφρονέων, εὐθὺς παραχρῆμα ἔννοος γίνεται. καὶ ἢν ἐρωτῇ τις αὐτὸν, εὐθὺς ἀποκρίνεται. καὶ γινώσκει πάντα τὰ λεγόμενα. εἶτ' αὖθις ὕστερον ὀλίγῳ χρόνῳ, ἐν τοῖσιν αὐτοῖσιν ἄλγεσι κέεται. αὕτη ἡ νοῦσος προσπίπτει μάλιστα ἐν ἀλλοδημίῃ. καὶ ἤν κου ἐρήμην ὁδὸν βαδίζῃ, καὶ ὁ φόβος αὐτὸν λάβῃ ἐκ φάσματος. λαμβάνει δὲ καὶ ἄλλως. τοῦτον ὁκόταν οὕτως ἔχῃ, πίσαι τοῦ μέλανος ἐλλεβόρου πέντε ὀβολοὺς στήσας. διδόναι δὲ ἐν οἴνῳ γλυκεῖ, ἢ κλύζειν αὐτὸν ἐν τούτοισι. νίτρου αἰγυπτίου, ὁκόσον ἀστράγαλον οἰὸς. τοῦτο τρίψαι λεῖον. καὶ παραμῖξαι μέλιτος καλλίστου. ἡμικοτύλιον δὲ ἑψήσας ἐν θυείῃ, καὶ ἡμικοτύλιον ἐλαίου, καὶ ἀπὸ τεύτλων ἑφθῶν ὕδατος τέσσαρας κοτύλας ἐξαιθριάσας. ἢν δὲ βούλῃ ἀντὶ τεύτλου ὄνειον γάλα ἑψήσας, παραμῖξαι. ταῦτα μίξας κλύζειν, ἤν τε πυρετὸς ἔχῃ, ἤν τε μή. ῥοφήμασι δὲ χρέεσθω, πτισάνῃ καθεφθῷ, μέλι παραχέων. πινέτω δὲ καὶ μέλι καὶ ὕδωρ καὶ ὄξος συγκεράσας ἅμα. ἕως ἂν κριθῇ ἡ νοῦσος. κρίνεται δὲ ἐν δεκατέσσαρσιν ἡμέρῃσι τὸ μακρότατον, ἤν τε θανάσιμον, ἤν τε οὔ. πουλλοῖσι δὲ ἤδη ἡ τοιαύτη νοῦσος πεπαυμένη, πάλιν ὑποτροπιάσειν. ἢν οὖν ὑποτροπιάσῃ, κίνδυνος αὐτὸν διαφθαρῆναι. κρίνεται δὲ ἡ νοῦσος ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν θανάσιμος, ἢ οὔ. ἢν δὲ ταύτας ἐκφύγῃ, οὐ μάλα θνήσκει, ἀλλὰ τοῖσι πουλλοῖσι μελεδαινομένη ἐξέρχεται. ὁκόταν δὲ παύσηται ἡ νοῦσος, διαίτῃ χρέεσθω καλῇ, ἡσύχως προσάγων, ὁκόσα ἡ κοιλίη προσδέξηται καὶ μὴ ξυγκαυθῇ, μήτε διάρροια ἐπιγίνηται. ἀμφότερα γὰρ δοκέει κινδυνώδεα εἶναι. λουέσθω δὲ ἑκάστης ἡμέρης, καὶ περιπατέετω μετὰ τὰ σιτία, ὀλίγα. ἐσθῆτα δὲ ἐνέσθω κούφην, καὶ μαλθακήν. καὶ γαλακτοπιέτω τὴν ὥρην, καὶ ὀῤῥοποτεέτω, πέντε καὶ τεσσαράκοντα ἡμέρας. ταῦτα ἢν ποιέῃ, τάχιστα ὑγιὴς ἔσται. ἡ δὲ νοῦσος χαλεπὴ, καὶ δέεται μελέτης πολλῆς. Ἕτερον παχύ. Γίνεται δὲ ἀπὸ φλέγματος σαπέντος. τῷδε δὲ δῆλον ὅθεν γίνεται, ὅτι σαπρόν ἐστιν, βρύεται ἀπὸ τοῦ τοιοῦδε ἔχον τὴν ὀσμὴν, ὁκοῖον τις ῥαφανίδας φαγών. ἄρχεται δὲ γίνεσθαι τὸ τοιοῦτον νόσημα, ἀπὸ τῶν σκελέων. εἶτ' ἀπὸ τούτων, ἄνεισιν ἐν τὴν κοιλίην. καὶ ὁκόταν ἐν τῇ κοιλίῃ στῇ, αὖθις ἀνατρέχει πρὸς τὰ σπλάγχνα. καὶ ὁκόταν ἐπὶ τούτοισι στῇ, μύζει καὶ ἔμετον ἄγει ἅμα, λάπην ἐμέων ὀξείην ὑπόσαπρον. καὶ ὁκόταν ἀπεμέσῃ, οὐκ ἔχει ἑωυτόν. ἔπειτα ἀπορείη πρὸς τοῖσι σπλάγχνοισιν, ἐνίοτε δὲ καὶ ἐν τὴν κεφαλὴν ἐξαπίνης ὀδύνη στηρίζει ὀξείη. καὶ τοῖσιν ὠσὶν ὀξέως ἀκούειν οὐ δύναται. οὐδὲ τοῖσιν ὀφθαλμοῖσιν ὁρῆν, ὑπὸ τοῦ βάρεος. ἱδρώς τε πουλλὸς καταχέεται κάκοδμος. καὶ μάλιστα ὅταν ἡ ὀδύνη ἔχῃ, καὶ ποιέει λωφᾶν τῆς νούσου. ἡ δὲ χροιὴ αὐτοῦ, ἰκτερώδης δέκνυται. αὕτη ἡ νοῦσος τὸ προ-

τέρης

πόρης, ὅσον μικρῷ θανατώδης. τοῦτον ὁκόταν οὕτως ἔχῃ, καθαίρειν τὴν κοιλίην, κάτω μὲν τῷ ἱπποφεῷ. ἄνω δὲ τῷ ἐλλεβόρῳ. καὶ τὴν κεφαλὴν καθαίρειν τῷ τετραγώνῳ. καὶ ὁκόταν ὑπὸ τοῦ ἐλλεβόρου κεκαθαρμένος ᾖ, τῇ ὑστεραίῃ ὀνείῳ ἑφθῷ γάλακτι ὑποκαθαίρειν. τῇ δὲ τρίτῃ, αἰγείῳ ἑφθῷ. ὡσαύτως δὲ καὶ τῇ τετάρτῃ καὶ τῇ πέμπτῃ. εἴκοσι δὲ ἄλλας ἡμέρας διδόναι ὠμὸν γάλα βόειον. εἴτε καὶ αἴγειον. τρίτον μέρος μελικρήτου παραμίσγων. πινέτω δὲ τοῦ γάλακτος χόεα. μετὰ δὲ τὴν κάθαρσιν τὴν κάτω, τῶν φαρμάκων τὰ αὐτὰ προσφέρειν, ἃ καὶ τοῖσιν ὑπὸ ὕδερου κατεχομένοισι. τὸν δὲ λοιπὸν χρόνον ὁκόταν τὸ γάλα πίνῃ, δειπνείτω ἄρτον ἔξοπτον. ὄψον δὲ ἐχέτω, ἐν ἰχθύσι μὲν σκορπίον, ἢ καλλιώνυμον, ἢ κόκκυγα, ἢ ῥίνης τέμαχος ἑφθὸν ἐν ἀρτύμασιν. ἐν κρέασι δὲ οἷος ἢ ἀλεκτρυόνος νεοσσὸς, ταῦτα ἑφθά. οἶνον δὲ πινέτω λευκὸν, ἢν ξυμφέρῃ. ἢν δὲ μὴ, μέλανα αὐστηρόν. εἶτα περιπατείτω μετὰ τὸ φαγεῖν, ὅκως ἂν μὴ ῥιγώσῃ. οὕτω ἢν μὲν ὦν ξυμφέρῃ, τὰ σιτία διδόναι ἃ εἴρηται. ἢν δὲ μὴ ξυμφέρῃ, ῥοφήματα διδόναι πτισάνης ἢ κέγχρου. ταύτῃ τῇ νούσῳ ἢν τριήκοντα ἡμέρας παρέλθῃ ὁ νοσέων, ὑγιαίνεται. αὗται γὰρ κρίνουσιν ἢν θανάσιμος, ἢ μή. ἡ δὲ νοῦσος χαλεπή.

Ἄλλο παχύ.

Γίνεται τὸ νούσημα, ὑπὸ φλέγματος λευκοῦ. ξυνίσταται δὲ ἐν τῇ κοιλίῃ, ὁκόταν πουλυχρόνιοι κατάσχωσι τὸ σῶμα πυρετοί. ἄρχεται δὲ τὸ νούσημα ἐκ τοῦ προσώπου γίνεσθαι. καὶ οἰδέει τὸ πρόσωπον. εἶτα κατέρχεται ἐς τὴν κοιλίην. καὶ ὁκόταν στῇ ἐν αὐτῇ, ἀείρει μεγάλα τὴν γαστέρα. καὶ τὸ σῶμα κοπιᾷ ὡς ὑπὸ ταλαιπωρίης. καὶ ἐς τὴν κοιλίην βάρος ἔνι, καὶ πόνος ἰσχυρός. καὶ οἱ πόδες οἰδέουσι. καὶ ἢν χυθῇ ὕετος ἐπὶ τῆς γῆς, τῆς κόνιος ὀδμώμενος οὐκ ἀνέχεται. ἢν δὲ ἑστηκὼς τύχῃ ἐν τῷ ὑετῷ καὶ ὀδμηθῇ τῆς γῆς, ἐξαπίνης πίπτει. αὕτη ἡ νοῦσος διαπαύουσα τῆς προτέρης, πλείονα χρόνον ἐπιλαμβάνει. καὶ χρονιωτέρη ἀπαλλάσσεται. μελεταῖν δὲ χρὴ ταύτην, ἐν τοῖσιν αὐτοῖσιν, οἵοισι καὶ τὸν ὑδερῶντα. ἤγουν πυριῇσι, καὶ φαρμάκοισι, καὶ ἐδέσμασι, καὶ ταλαιπωρίῃσιν. αὕτη ἡ νοῦσος ἐπικρατεῖ μάλιστα ἓξ ἔτεα. εἶτα διέρχεται μελετωμένη καλῶς ἐν χρόνῳ, ἤν γε καὶ μὴ κατ' ἀρχὰς ἰηθῇ. αὕτη ἡ νοῦσος χαλεπὴ, καὶ δέεται μελέτης πουλλῆς.

Περὶ ἰσχιάδος.

Ἰσχιὰς δὲ ἀπὸ τῶνδε τῶν ἀφορμῶν γίνεται μάλιστα τοῖσι πολλοῖσιν, ἢν ἔλθῃ ἐν τῷ ἡλίῳ πουλὺν χρόνον, καὶ τὰ ἰσχία διαθερμανθῇ, καὶ τὸ ὑγρὸν ἀναξηρανθῇ ὑπὸ τοῦ καύματος τὸ ἐνεὸν ἐν τοῖσιν ἄρθροισιν. ὡς δὲ ἀναξηραίνεται πήγνυται. τόδε δέ μοι τεκμήριον. ὁ γὰρ νοσέων στρέφεσθαι ἢ κινέειν τὰ ἄρθρα οὐ δύναται ὑπὸ τῆς ἐν αὐτοῖσιν ἀλγηδόνος, καὶ τοῦ ξυμπεπηγέναι τοὺς δακτύλους. ἀλγέει δὲ μάλιστα τὴν ὀσφὺν, καὶ τοὺς σπονδύλους, τοὺς ἐκ πλαγίων τῶν ἰσχίων, καὶ τὰ γούνατα. ἵσταται δὲ ἡ ὀδύνη, ἐν τοῖσι βουβῶσι πλεῖστον χρόνον ἅμα καὶ τοῖσιν ἰσχίοισιν, ὀξέη καὶ καυματώδης. κἢν τις αὐτὸν ἀναστῇ, ἢ μετακινέῃ, ὑπὸ τῆς ἀλγηδόνος οἰμώζει ὁκόσον ἂν μέγιστον δύνηται. ἐνίοτε δὲ καὶ σπασμὸς ἐπιγίνεται καὶ ῥῖγος καὶ πυρετός. γίνεται δὲ καὶ ἀπὸ χολῆς καὶ φλέγματος. γίνεται δὲ καὶ ἀπὸ αἵματος, ὀδύνη παραπλήσιος ὡς ὑπὸ πάντων τῶν νουσημάτων. καὶ ῥῖγος καὶ πυρετὸς ἐνίοτε ἐπιλαμβάνει βληχρός. ἀλλὰ χρὴ ὧδε μελετᾶν τὸν ἀπὸ τοῦ ἡλίου ταύτην τὴν νοῦσον λαβόντα. ὑγραίνειν αὐτοῦ τὸ σῶμα τῇ πυριήσει. καὶ ἀπὸ τῶν σιτίων, καὶ ἀπὸ τῶν ποτῶν, καὶ τῶν ἄλλων τῶν διδομένων, διδόναι χλιαρὰ καὶ ὑγρά. ταῦτα δὲ πάντα ἑφθά. σιτεῖσθω δὲ καὶ μάζῃ χρέεσθω μαλθακῇ ἀτρίπτῳ. οἶνον δὲ πινέτω, λευκὸν, ὑδαρέα. καὶ τῷ σώματι ἡσυχίην ἐχέτω, ἢν καὶ ἀδύνατος ᾖ ἀνίστασθαι, πλὴν ὀλίγα περιπατείτω ἑκάστης ἡμέρης. καὶ μὴ ῥιγούτω καὶ λουέσθω μὴ πολλῷ. καὶ ὁκόταν σοι δοκέῃ καλῶς ἔχειν καὶ ὑγρὸς εἶναι τῷ σώματι, πυριῆσαι σφόδρα βληχρῇ τῇ πυριῇ. μᾶλλον γὰρ ἀνήσει καὶ ἀνυγραίνει τὸ συμπεπηγὸς ἐκ τῶν ἄρθρων. εἶτα τῇ ὑστεραίῃ πίσαι τοῦ κνιδίου κόκκου. ἢν δὲ μὴ ὠφελήσῃ, κλύσαι τούτοισι χρὴ αὐτόν. τρίβειν κυμίνου ἡμικοτύλιον. σικύην ἄτμητον τῶν μικρῶν καὶ στρογγύλων ξυγκόψας ἐν τῷ ὅλμῳ. καὶ σήσας ὡς λεπτότατον νίτρου ἐρυθροῦ αἰγυπτίου τεταρτημόριον μνᾶς, ὀπτήσας. τρίψας τε λεῖον, ταῦτα ἐμβάλλειν ἐς χυτρίδια, καὶ ἐγχέαι ἐλαίου κοτύλην. μέλιτος ἡμικοτύλιον. οἴνου λευκοῦ κοτύλην, καὶ σευτλίου χυλοῦ. ταῦτα ἕψειν ἕως ἂν σοι δοκέῃ καλῶς ἔχειν τοῦ πάχεος. εἶτα διηθήσας δι' ὀθονίου, παραμῖξαι αὐτοῖσι μέλιτος ἀττικοῦ κοτύλην, ἢν μὴ ἐθέλε ξυνεψεῖν τὸ μέλι. ἢν δὲ μὴ ἔχῃς ἀττικὸν κοτύλην τοῦ καλλίστου παραμίξας, ἑψῆσαι ἐν θυείῃ. ἢν δὲ τὸ κλύσμα παχύτερον ᾖ, παραχέαι οἴνου τοῦ αὐτοῦ πρὸς τὸ πάχος τεκμαιρόμενος, ἐν τούτῳ κλύζειν. εἶτα ἐὰν χρὴ, μέχρι τριῶν ἡμερέων καθαίρεσθαι. ἢν δὲ πλείονας

ἡμέρας καθαίρηται, τοῦ βοέου ἢ τοῦ αἰγέου γάλακτος τρεῖς κοτύλας δοῦναι ἐκπιεῖν. ἔπειτα τεῦτλα λιπαρὰ περίπαστα ἐν ἀρτύμασιν ἄναλτα, δοῦναι ἐσθίειν. ἐκ ταύτης οὖν τῆς νούσου, πολλοὶ χωλοὶ ἐγένοντο. Ἢν δὲ ἀπὸ χολῆς ἡ νοῦσος γένηται, πίσαι αὐτὸν ἐλλέβορον κάτω, ἢ ὀπὸν σκαμμωνίης. μετὰ δὲ τὴν τοιαύτην κάθαρσιν, πτισάνης χυλὸν, μέλι ἐπιβραχέων, δύο τρυβλία δοῦναι ἐκροφέειν. τῇ δὲ ὑστεραίῃ ἢ τῇ τρίτῃ πυριήσας, γάλακτι ὀνείῳ ἑφθῷ ὑποκαθῆραι. ὑπὸ ἑσπέρην δὲ τεύτλου λιπαροῦ, δύο τρυβλία ἐμφαγέτω, ἄλφιτα παραπάσσας. οἶνον δὲ πινέτω, λευκὸν, ὑδαρέα, γλυκὺν, καὶ νῦν καὶ μετὰ τὴν τοῦ φαρμάκου κάθαρσιν. ἢν δὲ ἀπὸ φλέγματος νοσέῃ, πίσαι αὐτὸν τοῦ κνιδίου κόκκου, ἢ τοῦ ἱπποφέως πυριήσας. μετὰ δὲ τὴν κάθαρσιν, τὰ αὐτὰ χρὴ προσφέρειν, καὶ ῥοφήματα καὶ ποτά. καὶ γαλακτοποσίην. τὰς δὲ μεταξὺ τῶν ἡμερέων, διαίτῃ χρεέσθω, ὡς κουφοτάτῃ. καὶ ἢν μὲν ἀπὸ τούτων ὠφελῆται, ἢν δὲ μὴ, καῦσαι αὐτόν. τὰ μὲν ὀστώδεα, μύκησι· τὰ δὲ σαρκώδεα, σιδηρείοισι πολλὰς ἐσχάρας καὶ βαθείας. ἢν δὲ ὑφ' αἵματος νοσέῃ, πυριῆσαι, καὶ σικύην προσβάλλειν, καὶ φλεβοτομέειν τὰς ἐν τῇσιν ἰγνύησι φλέβας. ἢν δέ σοι δοκέῃ, καὶ τοῦ κνιδίου κόκκου πίσαι αὐτόν. διαίτῃ δὲ χρεέσθω, ὡς ξηροτάτῃ. οἶνον δὲ μᾶλλον μὲν μὴ πινέτω. ἢν δὲ ἄρα καὶ πίνειν θέλῃ, ὡς ἐλάχιστον καὶ ὑδαρέστερον δίδου. καὶ περιπατέειν ὀλίγα κέλευε. ἢν δὲ δυνατὸς ᾖ, πλεῖστα. ξυμφέρει δὲ καὶ τῷ ἀπὸ τοῦ φλέγματος νοσέοντι, τὰ τοιαῦτα ποιέειν. ἢν δὲ μὴ δύνηται ἵστασθαι, ἐν τῇ κλίνῃ χρὴ περιφέρειν ὡς πυκνότατα, ἀφ' οὗ ἂν νοσέῃ, καὶ ἅπαντα ὁμοίως, ὅκως ἂν ἐν τοῖς μὴ ξυμφυῇ ὁ χόνδρος. ἢν δὲ ξυμφυῇ καὶ τὰ ἄρθρα ξυμπαγῇ, πᾶσα ἀνάγκη χωλὸν γενέσθαι τὸν ἄνθρωπον. καὶ ἢν βούλῃ κλύσαι τὸν ἀπὸ τοῦ αἵματος νοσέοντα, ὥστε αἷμα ἀπάγειν καὶ φλέγμα ἀπὸ τῶν ἰσχίων. τοῖσι δὲ δεῖ κλύζειν. ἁλὸς δραχμίδα τρίψας παραμῖξαι ἐλαίου κοτύλην. καὶ ἀπὸ κριθέων ἑφθῶν, δύο κοτύλας. ἔπειτα οὕτω κλύζειν τοῦτον. οὕτω μελετῶν, τάχιστα ὑγιέα ποιήσεις. ἡ δὲ νοῦσος χαλεπὴ λίην ἐστὶ καὶ χρονίη.

Τέτανοι τρεῖς.

Ἢν μὲν ὑπὸ τρώματι τέτανος γένηται, πάσχει τάδε. αἱ γένυες πήγνυνται. καὶ τὸ στόμα διαίρειν οὐ δύναται. καὶ οἱ ὀφθαλμοὶ δακρύουσι καὶ ἕλκονται. καὶ τὸ μετάφρενον πέπηγε. καὶ τὰ σκέλεα οὐ δύναται ξυγκάμπτειν, οὐδὲ τὰς χεῖρας, οὐδὲ τὴν ῥάχιν. ὁκόταν δὲ θανατώδης ᾖ, τὸ ποτὸν, καὶ τὰ βρώματα ἃ πρότερον ἐβεβρώκει, ἀνὰ τὰς ῥῖνας ἀνέρχεται ἐνίοτε. τοῦτον ὁκόταν οὕτως ἔχῃ, πυριᾶν δεῖ. καὶ ἀλείψαντα λιπαρῶς, πρὸς τὸ πῦρ ἔκαθεν θάλπειν. καὶ χλιάσματα προστιθέναι, ὑπαλείψας τὸ σῶμα. καὶ ἀψίνθιον, ἢ φύλλα δάφνης, ἢ τοῦ ὑοσκυάμου τὸν καρπὸν τρίψας, καὶ λιβανωτόν. ἔπειτα οἴνῳ λευκῷ δεύσας, ἐγχέαι ἐς χυτρίδα καινήν. ἔπειτα ἐπιχέαι ἔλαιον ἴσον τῷ οἴνῳ. καὶ θερμήνας ἀλεῖψαι πολλῷ θερμῷ, τὸ σῶμα καὶ τὴν κεφαλήν. ἔπειτα κατακλίνας ἐμβάλτη, ἄνω τὴν σάρκα ποιήσαντα, καὶ ἀμφιέσαι ἱμάτια λευκὰ μαλθακὰ καθαρὰ, ὅκως ἂν ἐξιδρώσῃ σφόδρα. μελίκρητον δὲ χλιαρὸν διδόναι, ἢν μὲν δύνηται τοῦτον πιεῖν κατὰ στόμα. ἢν δὲ μὴ δύνηται, ἐγχέειν κατὰ τὰς ῥῖνας. διδόναι δὲ οἶνον λευκὸν πίνειν, ὡς ἥδιστον καὶ πλεῖστον. ταῦτα χρὴ ποιέειν ἑκάστης ἡμέρης ἕως ἂν ὑγιὴς γένηται. ἡ δὲ νοῦσος χαλεπή. καὶ δέεται μελέτης παραχρῆμα.

Ὀπισθότονος.

Ὁ δὲ ὀπισθότονος, τὰ μὲν ἄλλα πάσχει πλῆθος τὰ αὐτά. γίνεται δὲ ὁκόταν τοὺς ἐν τῷ αὐχένι τένοντας τοὺς ὄπισθεν νοσήσῃ. νοσέει δὲ ἢ ὑπὸ κυνάγχης, ἢ ὑπὸ σταφυλῆς, ἢ ὑπὸ τῶν ἀμφιβραγχίων ἐμπύων γενομένων. ἐνίοτε δὲ καὶ ἀπὸ τῆς κεφαλῆς πυρετῶν ἐπιγενομένων, σπασμὸς ἐπιγένηται. ἤδη δὲ καὶ ὑπὸ τρωμάτων. οὗτος ἕλκεται εἰς τοὔπισθεν. καὶ ὑπὸ τῆς ὀδύνης τὸ μετάφρενον καὶ τὰ στήθεα ἔχεται καὶ οἰμώζει. οὗτος σπᾶται σφόδρα, ὥστε μόλις μὲν κατέχουσιν οἱ παρεόντες, ὡς μὴ ἐκ τῆς κλίνης ἐκπίπτειν. οὗτος πολλάκις μετὰ τῆς ἡμέρης πονέει. πολλάκις δὲ κουφότερον διάγει. τούτῳ οὕτως ἔχοντι, ταῦτα χρὴ προσφέρειν, ἃ καὶ τῷ πρόσθεν. ἡ δὲ νοῦσος προσίσχει τὸ μακρότατον, ἄχρι τεσσαράκοντα ἡμερέων. ἢν δὲ ταύτας διαφύγῃ, ὑγιαίνεται.

Ἄλλος τέτανος.

Ὁ δὲ τέτανος ἧττον θανατώδης ἢ οἱ πρόσθεν. γίνεται δὲ ἀπὸ τῶν αὐτῶν. πουλλοὶ δὲ καὶ πεσόντες ἐς τὰ ὄπισθεν, ἔλαβον τὸ νούσημα. πάσχει οὖν τάδε. σπᾶται ὅλον τὸ σῶμα. ἐνίοτε δὲ καὶ ὅπῃ ἂν τύχῃ τοῦ σώματος, σπᾶται. καὶ περιφοιτᾷ μὲν τὸ πρῶτον. ἔπειτα τοῦ χρόνου προϊόντος, εἰς τὴν κλίνην πίπτει, καὶ αὖθις ἀνῆκεν ὁ πόνος καὶ ὁ σπασμός. καὶ ἀναστὰς ἢν ἴσως περιέλθῃ ὀλίγας ἡμέρας, ἔπειτα αὖθις ἐν τοῖσιν αὐτοῖσιν ἄλγεσι κεῖται. ταῦτα πάσχει καὶ μεταβάλλει συχνὸν χρόνον. καὶ ἤν τι φάγῃ, οὐ διαχωρέει κάτω, ἢν μὴ μόλις, καὶ ταῦτα ξυγκεκαυμένα. ἀλλ' ἐν τοῖσι στήθεσιν

ἔρχεται

ἔρχεται τὸ σῖτον. καὶ τηνίκα παρέχει τὴν κρίσιν αὐτοῖσι θεραπεύων, οἷσι καὶ τοὺς πρόσθεν, τάχιστα ὑγιέα ποιήσεις. κλύζειν δὲ ἐν πτισάνῃ ἑφθῇ τῇ λεπτῇ καὶ μέλιτι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΠΑΡΘΕΝΙΩΝ.

Ἀρχή μοι τῆς ξυνθέσιος τῶν αἰειγενέων ἰητρικῆς. οὐ γὰρ δυνατὸν τῶν νοσημάτων τὴν φύσιν γνῶναι, ὅπερ ἐστὶ τῆς τέχνης ἐξευρεῖν, ἢν μὴ γνῷ τὴν ἐν τῷ ἀμερεῖ, A κατὰ τὴν ἀρχὴν ἐξ ἧς διεκρίθη, πρῶτον περὶ τῆς ἱερῆς νούσου καλεομένης, καὶ περὶ τῶν ἀποπληκτῶν, καὶ περὶ τῶν δειμάτων, ὁκόσα φοβεῦνται οἱ ἄνθρωποι ἰσχυρῶς, ὥστε παραφρονέειν. καὶ ὁρῆν δοκέειν δαίμονάς τινας ἐφ' ἑωυτῶν δυσμενέας, ὁκότε μὲν νυκτὸς, ὁκότε δὲ ἡμέρης, ὁκότε δὲ ἀμφοτέρῃσι τῇσιν ὥρῃσιν. ἔπειτα ἀπὸ τῆς τοιαύτης ὄψιος, πολλοὶ ἤδη ἀπηγχονίσθησαν. πλέονες δὲ γυναῖκες, ἢ ἄνδρες. ἀθυμοτέρη γὰρ καὶ ὀλιγωτέρη φύσις ἡ γυναικείη. Αἱ δὲ παρθένοι ὁκόσῃσιν ὥρη γάμου παρανδρούμεναι, τοῦτο μᾶλλον πάσχουσιν, ἅμα τῇ καθόδῳ τῶν ἐπιμηνίων, πρότερον οὐ μάλα ταῦτα κακοπαθεῦσαι. ὕστερον γὰρ τὸ αἷμα ξυλλείβεται ἐς τὰς μήτρας, ὡς ἀπορευσόμενον. ὁκόταν οὖν τὸ στόμα τῆς ἐξόδου μὴ ᾖ ἀνεστομωμένον, τὸ δὲ αἷμα πλέον ἐπιρρέῃ, διά τε σιτία καὶ τὴν αὔξησιν τοῦ σώματος, τηνικαῦτα οὐκ ἔχον τὸ αἷμα ἔκρουν, ἀναΐσσει ὑπὸ πλήθεος, ἐς τὴν καρδίαν, καὶ ἐς τὴν διάφραξιν. ὁκόταν οὖν ταῦτα πληρωθέωσιν, ἐμωρώθη ἡ καρδίη. εἶτα ἐκ τῆς μωρώσιος, νάρκη. εἶτ' ἐκ τῆς νάρκης, παράνοια ἔλαβεν. ὥσπερ ὁκόταν καθημένῳ πουλὺν χρόνον, τὸ ἐκ τῶν ἰσχίων καὶ μηρῶν αἷμα, ἀποπιεχθὲν ἐς τὰς κνήμας καὶ τοὺς πόδας, νάρκην παρέχει. ὑπὸ δὲ τῆς νάρκης, ἀκρατέες οἱ πόδες, ἐς ὁδοιπορίην γίνονται ἕως ἂν ἀναχωρήσῃ τὸ αἷμα ἐς ἑωυτό. ἀναχωρέει δὲ τάχιστα, ὁκόταν στῇ ἐν ὕδατι ψυχρῷ. τεγγέτω δὲ ἄνω τῶν σφυρῶν. αὕτη μὲν οὖν ἡ νάρκη, εὐήνιος. ταχὺ γὰρ παλιρροεῖ, διὰ τὴν ἰθύτητα τῶν φλεβῶν. καὶ ὁ τόπος τοῦ σώματος, οὐκ ἐπίκαιρος. ἐκ δὲ τῆς καρδίης καὶ τῶν φρενῶν, βραδέως παλιρροεῖ. ἐπικάρσιαι γὰρ αἱ φλέβες, καὶ ὁ τόπος ἐπίκαιρος, ἔστε παραφροσύνην καὶ μανίην ἕτοιμος. ὁκόταν δὲ πληρωθέωσι ταῦτα τὰ μέρεα, καὶ φρίκη ξὺν πυρετῷ ἀναΐσσει, πλανήτας τοὺς πυρετοὺς καλέουσιν. ἐχόντων δὲ τουτέων ὧδε, ὑπὸ μὲν τῆς ὀξυφλεγμασίης, μαίνεται. ὑπὸ δὲ τῆς σηπεδόνος, φονάει. ὑπὸ δὲ τοῦ ζοφεροῦ, φοβέεται καὶ δέδοικεν. ὑπὸ δὲ τῆς περὶ τὴν καρδίην πιέξιος, ἀγχόνας κραίνουσιν. ὑπὸ δὲ τῆς κακίης τοῦ αἵματος, ἀλύων καὶ ἀδημονέων ὁ θυμὸς κακὸν ἐφέλκεται. ἕτερον δὲ καὶ φοβερὰ ὀνομάζει. καὶ κελεύουσιν ἅλλεσθαι καὶ καταπίπτειν ἐς τὰ φρέατα, καὶ ἄγχεσθαι. ἅτε ἀμείνονά τε ἐόντα καὶ χρείην ἔχοντα παντοίην. ὁκότε δὲ ἄνευ φαντασμάτων, ἡδονή τις ἀφ' ἧς ἐρᾷ τοῦ θανάτου ὥσπερ τινὸς ἀγαθοῦ. φρονησάσης δὲ τῆς ἀνθρώπου, τῇ Ἀρτέμιδι αἱ γυναῖκες ἄλλα τε πολλὰ, ἀλλὰ δὴ καὶ τὰ πολυτελέστατα τῶν ἱματίων καθιεροῦσι τῶν γυναικείων, κελευόντων τῶν μάντεων, ἐξαπατώμεναι. ἡ δὲ τῆσδε ἀπαλλαγῆς θεραπεία, ὁκόταν τι μὴ ἐμποδίζῃ τοῦ αἵματος τὴν ἀπόρρυσιν. κελεύω δ' ἔγωγε τὰς παρθένους ὁκόταν τὸ τοιοῦτον πάσχωσιν, ὡς τάχιστα ξυνοικῆσαι ἀνδράσιν. ἢν γὰρ κυήσωσιν, ὑγιέες γίνονται. εἰ δὲ μὴ, ἢ αὐτέων ἅμα τῇ ἥβῃ, ἢ ὀλίγον ὕστερον ἁλώσεται, εἴπερ μὴ ἠνδρωθῶσι. τῶν δὲ ἠνδρωμένων γυναικῶν, αἱ στεῖραι μᾶλλον ταῦτα πάσχουσιν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΓΥΝΑΙΚΕΙΗΣ ΦΥΣΙΟΣ

Περὶ δὲ τῆς γυναικείης φύσιος καὶ νοσημάτων, τάδε λέγω. μάλιστα μὲν τὸ θεῖον ἐν τοῖσιν ἀνθρώποισιν αἴτιον εἶναι. ἔπειτα αἱ φύσιες τῶν γυναικῶν καὶ χροιαί. αἱ ω μὲν γὰρ ὑπέρλευκοι, ὑγρότεραί τε καὶ ῥοωδέστεραι. αἱ δὲ μέλαιναι, σκληρότεραι καὶ στρυφνότεραι. αἱ δὲ οἰνωπαὶ, μέσον τι ἀμφοτέρων ἔχουσιν. οὕτω δὲ καὶ περὶ τῶν ἡλικιῶν ξυμβαίνει. αἱ μὲν νέαι, ὑγρότεραι καὶ πολύαιμοι ὡς ἐπὶ τὸ πουλύ. αἱ δὲ πρεσβῦτιδες, ξηρότεραι καὶ ὀλίγαιμοι. αἱ δὲ μέσαι, μέσον τι ἀμφοτέρων ἔχουσιν. δεῖ δὲ τὸν ὀρθῶς ταῦτα χειρίζοντα, πρῶτον μὲν ἐκ τῶν θείων ἄρχεσθαι. ἔπειτα διαγινώσκειν, τάς τε φύσιας τῶν γυναικῶν, καὶ τὰς ἡλικίας, καὶ τὰς ὥρας, καὶ τοὺς τόπους οὗ ἂν ᾖ. οἱ μὲν γὰρ τῶν τόπων ψυχροὶ, ῥοώδεες. οἱ δέ γε θερμοὶ, ξηροὶ καὶ στάσιμοί εἰσιν. ἄρχομαι δὲ διδάσκειν ἀπὸ τοῦ ὑγροῦ κατὰ φύσιν. ἢν ὕδερος ἐν τῇσι μήτρῃσιν ἐγγένηται, τὰ ἐπιμήνια ἐλάσσω καὶ κακίω γίνεται. ἔπειτα ἐξαπίνης ἐκλείπει. καὶ ἡ γαστὴρ ἐπανοιδέει. καὶ οἱ μαζοὶ ξηροὶ γίνονται. καὶ τἆλλα πονήρως ἔχει. καὶ δοκέει ἐν

γαστρὶ ἔχειν. καὶ τουτέοισι γνῶσις, ὅτι ὑδεραίνει. σημαίνει δὲ τὸ ἐν τῷ στόματι τῶν ὑστερέων, ψαύουσι γὰρ ἰσχνὸν φαίνεται. καὶ πῦρ καὶ ὕδωρ αὐτὴν λαμβάνει. ὁκόσῳ δ' ἂν ὁ χρόνος πλείων γίνηται, ὀδύνη τὴν νειαίραν γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας ἴσχει. αὕτη ἡ νοῦσος ἐκ τρωσμοῦ μάλιστα γίνεται. προσγίνεται δὲ καὶ ἐξ ἄλλων. ὁκόταν ὧδε ἔχῃ, λούειν χρὴ θερμῷ, καὶ χλιάσματα προστιθέναι, ἢν ἂν ἡ ὀδύνη μὴ ἔχῃ. φάρμακον χρὴ πῖσαι κάτω. μετὰ δὲ τὸ φάρμακον, πυριῆν ἐν τῷ βολβίτῳ τὰς ὑστέρας. ἔπειτα προσθεῖναι, τὸ ξὺν τῇ κανθαρίδι. διαλιπὼν ἡμέρας τρεῖς, τὸ ξὺν τῇ χολῇ. μίαν δὲ διαλιπὼν, τρεῖς ἡμέρας κλυσάτω ἐν τῷ ὄξει. τὸ ἢν μὲν ἡ γαστὴρ γίνεται λαπαρὴ, καὶ οἱ πυρετοὶ πεπαυμένοι ἔωσι, καὶ τὰ ἐπιμήνια γίνηται, τῷ ἀνδρὶ ξυγκοιμάσθω. ἢν δὲ μὴ, αὖθις τὰ αὐτὰ ποιέειν, ἐς ἂν γίνηται τὰ ἐπιμήνια. καὶ ἐνίοις προσθέτοις χρήσθω. μεταξὺ δὲ ἡμέρας πινέτω τὸν ἐρυθρὸν τὸν φλοιόν. καὶ γλυκυσίδης τοὺς μέλανας κόκκους. καὶ τῆς ἀκτῆς τὸν καρπὸν, ἐν οἴνῳ νῆστις. καὶ τὴν λινόζωστιν ἐσθιέτω, ὡς πλείστην. καὶ σκόροδα ἑφθά. καὶ ὠμά. καὶ σιτίοισι μαλθακοῖσι. καὶ τοῖσι πουλύποσι. καὶ τοῖσιν ἄλλοισι μαλθακοῖσιν. ἢν δὲ τέκῃ, ὑγιὴς γίνεται.

Ην αἱ μῆτραι πρὸς τὸ ἧπαρ ἔλθωσιν, ἄφωνος ἐξαπίνης γίνεται. καὶ τοὺς ὀδόντας ξυνερείδει. καὶ ἡ χροιὴ μέλαινα γίνεται. ἐξαπίνης δὲ ταῦτα πάσχει, ὑγιὴς ἐοῦσα. γίνεται δὲ τὸ τοιοῦτον πάθος, παρθένοισι μάλιστα παλαιῇσι ἐούσῃσι. καὶ χήρῃσιν, αἳ νέαι ἐοῦσαι καὶ τοκέουσαι χηρεύουσιν. ὁκόταν ὧδε ἔχῃ, τῇ χειρὶ πρώσασα κάτω ὑπὸ τοῦ ἥπατος, ἀποδῆσαι ταινίῃ. ἢ ὑπὸ τὰ ὑποχόνδρια καὶ τὸ στόμα διάγων οἶνον εὐωδέστατον ἐγχέαι, καὶ προσέχειν τὰς ῥῖνας, καὶ ὑποθυμιῇν τὰ κακώδεα. ὑπὸ δὲ τὰς ὑστέρας, τὰ εὐώδεα. ἐπὴν δὲ καταφρονήσῃ, πῖσαι φάρμακον κάτω. καὶ μετὰ πῖσαι γάλα ὄνου. ἔπειτα πυριῆσαι τὰς ὑστέρας εὐώδεσι καὶ προστιθέναι τὰ ξὺν τῇ βουπρήστει. τῇ δ' ὑστεραίῃ, νέτωπον. διαλιπὼν δὲ δύο ἡμέρας, κλύσαι τὰς ὑστέρας, εὐώδεσι. τῇ δ' ὑστεραίῃ προσθεῖναι τὴν γλήχωνα. διαλιπὼν δὲ μίαν ἡμέρην, θυμιῆσαι τοῖσιν ἀρώμασι. ταῦτα ποιέειν τὴν χήρην. τὴν δὲ παρθένον, πείθειν συνοικῆσαι ἀνδρί. πρὸς δὲ τὰς ὑστέρας, προσφέρειν μηδὲν, μὴ δὲ τὸ φάρμακον πίνειν. κόνυζαν δὲ καὶ καστόρειον, διδόναι ἐν οἴνῳ νῆστει. καὶ τὴν κεφαλὴν μὴ ἀλειφέσθω τισὶν εὐώδεσι, μὴ δὲ ὀσφραινέσθω.

Ην προσέλθωσιν αἱ μῆτραι καὶ ἐξέλθωσιν ἔξω, πῦρ ἔχει μάλιστα τὰ αἰδοῖα καὶ τὴν ἕδρην. καὶ τὸ οὖρον στάζει κατ' ὀλίγον, καὶ δάκνεται. ταῦτα πάσχει, ἢν ἐκ τόκου ἐοῦσα τῷ ἀνδρὶ μὴ ξυγκοιμηθῇ. ὁκόταν δὲ οὕτως ἔχῃ, μύρτα καὶ λωτοῦ πρίσματα ἑψήσας, ἐν ὕδατι καταθεὶς, τὴν νειαίραν περιχεέσθω. καὶ ὡς ψυχρότατον πρὸς τὰ αἰδοῖα, καὶ τρίβων λεῖα προσπλάσσειν. ἔπειτα πίνουσα ὕδωρ, φακὸν, καὶ μέλι, καὶ ὄξος, ἕως ἂν μεταρθῶσιν αἱ ὑστέραι, ἐμέτω. καὶ τὴν κλίνην πρὸς ποδῶν ὑψηλοτέρην κεῖσθαι. τὸ ὑποθυμιῇν ὑπὸ τὰ αἰδοῖα, τὰ εὐώδεα. καὶ ὑπὸ τὰς ῥῖνας, τὰ κακώδεα. σιτίοισι δὲ χρήσθω, ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσι. καὶ τὸν οἶνον ὑδαρέα πινέτω, μὴ λευκόν. μὴ λουέσθω δὲ μηδὲ μετ' ἀνδρὸς συγκοιμάσθω.

Ην δὲ παντάπασιν ἐκ τῶν αἰδοίων ἐκπέσωσιν, ἐκκρέμαται ὥσπερ ὄσχη. καὶ ὀδύνη λαμβάνει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας. καὶ ὁκόταν ὁ πόνος ἐγγένηται, οὐ θέλουσιν ἐς χώρην ἰέναι. ἡ δὲ νοῦσος λαμβάνει ὁκόταν ἐκ τόκου ἐοῦσα πονήσῃ τὰς ὑστέρας, ἢ τῷ ἀνδρὶ ἐν τῷ λοχίῳ συγκοιμηθῇ. ὁκόταν δὲ οὕτως ἔχῃ, ψύγματα χρὴ προστιθέναι πρὸς τὰ αἰδοῖα. καὶ τὸ ἔξω ἐὸν ἀποκαθήρας σιδίῳ ἐν οἴνῳ μέλανι ἑψήσας τούτῳ περιπλύνας εἴσω ἀπωθέειν. εἶτα μέλι καὶ ῥητίνην μίξας, ἐγχέειν. καὶ κατακείσθω ὑπτίη, ἄνω τοὺς πόδας ἔχουσα ἐκτεταμένη. ἔπειτα σπόγγους ἐπιθεὶς, ἀναδῆσαι ἐκ τῶν ἰξύων. ὁκόταν δὲ οὕτως ἔχῃ, σίτων μὲν ἀπεχέσθω. ποτῷ δὲ ὡς ἐλαχίστῳ χρήσθω, μέχρις ἂν ἑπτὰ ἡμέραι παρέλθωσι. καὶ ἢν μὲν οὕτως ἐθέλωσιν, εἰσιέναι. ἢν δὲ μὴ, μακρὰς περιξύσας καὶ θερμήνας, περιπλύνας τε καὶ χρίσας, καὶ δήσας τὴν γυναῖκα πρὸς κλίμακα, κρούειν τὴν κλίμακα ἐπὶ κεφαλῆς. καὶ τῇ χειρὶ ἐσωθέειν τὰς ὑστέρας. ἔπειτα ξυνδῆσαι αὐτῆς τὰ σκέλεα ἐπαλλὰξ, καὶ ἐᾶν ἡμέρην καὶ νύκτα οὕτω. καὶ διδόναι ὀλίγον χυλὸν πτισάνης ψυχρὸν, ἄλλο δὲ μηδέν. τῇ δὲ αὔριον κατακλίνας ἐπὶ τὸ ἰσχίον σικύην προσβάλλειν ὡς μεγίστην, καὶ ἐᾶν χρόνον πουλὺν ἕλκειν. ἐπὴν δὲ ἀφέλῃς, μὴ ἀρχαλίζειν, ἀλλὰ κατακλίνας, ἐᾶν. καὶ μὴ πρόσφερε ἄλλο, ἢ τὸν χυλὸν, ἕως ἂν ἑπτὰ ἡμέραι παρέλθωσιν. ἢν δὲ διψῇ, ὕδωρ δίδου, ψυχρὸν ὡς ἐλάχιστον. ἐπὴν δὲ αἱ ἑπτὰ ἡμέραι παρέλθωσι, σιτίοισιν, ὡς μαλθακωτάτοισι καὶ ἐλαχίστοισι χρέεσθω. ἢν δὲ ἀποπατῆσαι θέλῃ, ἀνακειμένη ἀποπατέτω, ἕως ἂν τεσσαράκοντα ἡμέραι παρέλθωσιν. ἔπειτα ἀνιστάτω, καὶ περιχωρέτω ὡς ἐλάχιστα. καὶ μὴ

λουέσθω. μὴ δὲ ὑποθυμιήσθω τοῖσι κακώδεσι. καὶ ἐσθιέτω ὀλίγα.

Ην αἱ μῆτραι ἅψωνται, πρόσκεινται. καὶ ἢν ἅψῃ, ὄψεται σκληρὸν ὑπὸ τὸν κτένα. καὶ ὀδύνη λαμβάνει τὴν νείαιραν γαστέρα, καὶ τοὺς κτένας, καὶ τὰς ἰξύας. καὶ ἐς τὸ σκέλος ὀδύνη ἐμπίπτει. καὶ ἐκτείνειν οὐ δύνανται. πολλάκις δὲ καὶ ἐκπυΐσκονται ἔμμοτοι γινόμεναι. καὶ ῥεόμεναι ἀποθνήσκουσιν, ἢν μὴ καύσῃς ἢ τάμῃς. ὁκόταν δὲ ὧδε ἔχῃ, φάρμακον χρὴ πῖσαι κάτω. καὶ λούειν πολλῷ θερμῷ, καὶ πυριῆν. καὶ ὁκόταν νεόλουτος ᾖ, ἢ νεοπυρίητος κελεύειν περιαπάσσουσαν, ἀφέλκειν τὸ στόμα τῶν ὑστερέων. καὶ ὑποθυμιῆν καλαμίνθην σμύρναν ῥόδινον περιχέων. πινέτω δὲ γλυκυσίδης κόκκους πέντε τοὺς μέλανας τοῦ καστορίου ξυμμίσγων ἐν οἴνῳ εὐώδει. καὶ κατακείσθω ἐπὶ τὸ ὑγιὲς ἰσχίον. καὶ προστιθέσθω βάκκαριν ἢ λευκὸν ἔλαιον, πρὸς τὸ ὑγιὲς ἰσχίον. καὶ ἐσθιέτω σκόροδα πλεῖστα, καὶ ὠμὰ, καὶ ἑφθά. καὶ τὸν χυλὸν ῥοφείτω. καὶ σιτίοισι μαλθακοῖσι χρήσθω. ἐπὴν δὲ ἡ ὀδύνη παύσηται, ἅπαξ ἐούσης, ἐπὶ τὸ ὑγιὲς ἰσχίον. ἔπειτα πυριῆν τῷ οὔρῳ, περιπάσσοντα τῆς δάφνης. καὶ ἐκ τῆς πυριῆς προστιθέναι τὴν κυκλάμινον. τῇ δὲ ὑστεραίῃ λουσαμένη, ὑποθυμιήσθω τοῖσιν ἀρώμασι. μάλιστα δὲ ἐκ ταύτης ἄτεκνοι γίνονται.

Ην ἀποπτυχθῇ τὸ στόμα τῶν μητρέων, τὰ ἐπιμήνια οὐκ ἐγγίνεται. ἢν δὲ ἐγγένηται, ὀλίγα καὶ πονηρά. καὶ τῷ ἀνδρὶ ὁκόταν ξυνίῃ, ἀλγέει. καὶ ὀδύνη τὴν νείαιραν γαστέρα ἴσχει, καὶ τὰς ἰξύας. καὶ ἢν ἀφάσσῃ τῶν δακτύλων καὶ σκέπτηται τὸ στόμα, οὐ δῆλόν ἐστιν. ὁκόταν ὧδε ἔχῃ, πυριῆσθαι τῷ ἀνθρωπίνῳ οὔρῳ. ἐπὴν δὲ πυριήσηται, λουσάσθω ἀπὸ τοῦ φακίου. ἔπειτα λουσαμένη, πυριήσθω τῷ αἰγυπτίῳ μύρῳ τὰς ὑστέρας. καὶ ἢν ἐς τὰς ῥῖνας ἀνέλθῃ ἡ ὀδμὴ, ἐλπὶς αὐτὴν ὑγιέα γενέσθαι. καὶ ὁκόταν μέλλῃ καθεύδειν, προσθέσθω τὸ αἰγύπτιον ἔλαιον, ἐν εἰρίῳ. τῇ δὲ αὔριον σκέψασθαι, ἤν τι μᾶλλον ὀρθῶνται. ἔπειτα πυριῆν εὐώδεσι, καὶ προστιθέναι ἃ μὴ δήξεται καθαρτήρια. καὶ μετακλύζειν μετὰ τὰ προσθετὰ, ἴσον τὸ ὄξος μίσγων. ὅταν δὲ τὰ ἐπιμήνια ἐγγένηται ἐκνηστεύσασα καὶ ἀλουτήσασα, καὶ θυμιησαμένη, τῷ ἀνδρὶ συνέστω. μάλιστα δὲ ἐκ ταύτης τῆς νόσου, ἄφοροι γίνονται.

Ην αἱ μῆτραι πρὸς τὸ ἰσχίον ἐναυθέωσι, τάτε ἐμμήνια οὐκ ἐγγίνεται. καὶ ὀδύνη ἐς τὴν νείαιραν γαστέρα φοιτᾷ, καὶ ἐς τὸν κτένα. καὶ ἢν ἀφῇ τῷ δακτύλῳ, ὄψει τὸ στόμα ἐν τῷ ἰσχίῳ. ὅταν ὧδε ἔχῃ, λούειν θερμῷ. καὶ σκόροδα διδόναι ἐσθίειν ὡς πλεῖστα. καὶ γάλα ὄϊος πινέτω ἄκρητον. καὶ ἐπειδὰν δὲ κατατρώξῃ ἄκρητον, ἔπειτα πυριήσας δοῦναι φάρμακον κάτω. ἐπειδὰν δὲ καθαρθῇ, αὖθις πυριῆν τὰς ὑστέρας, τὸ μάραθρον καὶ τὸ ἀψίνθιον συμμίσγοντας. ἐπὴν δὲ νεοπυρίητος ᾖ, ἀφέλκειν τὸ στόμα τῷ δακτύλῳ. ἔπειτα προσθεῖναι τὴν σκίλλαν. μετὰ δὲ τοῦτο ξὺν τῷ ναρκισσίνῳ λιπαρῷ. ἢν δέ σοι δοκέῃ κεκαθάρθαι, νέτωπον προσθέσθαι. τῇ δ' ὑστεραίῃ, ῥόδινον μύρον. παύσασθαι δὲ τοῦ προστιθέναι τῇ προτεραίῃ τῶν ἐπιμηνίων. ἄρχεσθαι δὲ τῇ αὔριον, ἐπὴν ἀπολίπῃ. ἐν δὲ τοῖσιν ἐπιμηνίοισιν, ἢν μὲν τὸ αἷμα καταῤῥαγῇ. εἰ δὲ μὴ, πινέτω κανθαρίδας τέσσαρας, ἀποκόψασα τοὺς πόδας, καὶ τὰ πτερὰ, καὶ τὴν κεφαλήν. καὶ γλυκυσίδης κόκκους πέντε τοὺς μέλανας. καὶ σηπίης ὠὰ. σπέρμα λίνου, ἐν οἴνῳ. καὶ ἢν ὀδύνη ἔχῃ, καὶ ἢν στραγγουρίη ἔχῃ, ἐν ὕδατι θερμῷ καθήσθω. καὶ πινέτω μελίκρητον ὑδαρές. ἢν δὲ μὴ καθαρθῇ ὑπὸ τοῦ πρώτου, αὖθις πινέτω, ἐς ἂν γένηται. ἐπὴν δὲ γένηται, ἀστήσασα ξυνέστω τῷ ἀνδρί. ἐν δὲ τῇ καθάρσει τὴν λινόζωστιν ἐσθιέτω. καὶ πουλύποδας ἑφθούς. καὶ σιτίοισι μαλθακοῖσι χρεέσθω. τῆς δὲ νόσου ἀπαλλάσσεται ἐὰν ἐν γαστρὶ σχῇ.

Ην ἐκ τόκου μὴ καθαρθῇ, οἰδέει ἡ γαστὴρ καὶ τὰ σκέλεα. καὶ ῥῖγος καὶ ὀδύνη τὴν νείαιραν γαστέρα, καὶ τὰς ἰξύας ἔχει. ἔστι δ' ὅτε καὶ πρὸς τὰ σπλάγχνα ἀνέρχεται καὶ λιποψυχέει. ταῦτα πάσχει ἀρχομένης τῆς νόσου. ὁκόταν δὲ χρόνος ἐγγένηται, τὰ κοῖλα τοῦ προσώπου ἐξερυθεῖα. ὁκόταν οὖν ὧδε ἔχῃ, πυριήσας τὰς ὑστέρας, προσθεῖναι τὴν κυκλάμινον. πινέτω δὲ τὸ ξὺν τῇ δαιδὶ, ἐς ἂν τὸ ῥεῦμα κινηθῇ. ἐς ἀλείφειν δὲ ἐς τὸ στόμα τῶν ὑστερέων, ἔλαιον χήνειον. καὶ σμύρναν. καὶ ῥητίνην χλιαρήν. καὶ ἐμπλαζέσθω ὡς μάλιστα, καὶ πρὸ τοῦ σιτίου, ἐσθιέτω ἑψοῦσα τὴν λινόζωστιν. καὶ σκόροδα. καὶ πράσα. καὶ κράμβης τὸν χυλὸν ῥοφείτω. καὶ σιτίοισι μαλθακοῖσι χρήσθω. θαλασσίοισι δὲ μᾶλλον. καὶ λουέσθω θερμῷ. τῶν δὲ λιπαρῶν καὶ τῶν γλυκέων ἀπεχέσθω, ἕως ἂν ὑγιὴς γένηται.

Ην αἱ μῆτραι φλεγμήνασαι πλησθῶσι, φῦσα ἐγγίνεται. καὶ τὰ ἐπιμήνια λευκὰ ἀπέρχεται, φλεγματώδεα. ἔστι δ' ὅτε καὶ αἷμα λεπτὸν, ὑμένων ἔμπλεον. καὶ τῷ ἀνδρὶ ὑπὸ τῆς ὑγρότητος οὐκ ἐθέλει μίσγεσθαι. καὶ ὠχρὴ καὶ λεπτὴ γίνεται. ἐρέσθαι οὖν χρὴ αὐτὴν τὸ ῥέον ἢν δάκνῃ τε καὶ ἐξελκοῖ. καὶ ἢν μὴ δάκνηται, ἀπὸ τοῦ ἐγκεφάλου φάναι εἶναι τὸ ῥεῦμα. εἰ δ' οὖν, ἀπὸ τῆς κοιλίης. ἢν μὲν οὖν ἀπὸ τῆς κοιλίης ᾖ, ἐμέτω

ἀπὸ τοῦ

ἀπὸ τοῦ φακίου. ἔπειτα ἐλλεβόρῳ καθῆραι. ἔπειτα ἐς τὰς ῥῖνας ἐνεῖναι. ἐπὴν δέ σοι ἡ ἄνω κοιλίη κεκαθάρθαι δοκῇ, φάρμακον πίσαι κάτω. σιτίων δὲ ἀπεχέσθω λιπαρῶν καὶ γλυκέων. τὰ δὲ δριμέα προσφέρειν, ὡς σύμφορα, ἢν μὴ τὰ αἰδοῖα ἡλκωμένα ᾖ. ψυχρὰ δὲ ἀμείνω. καὶ λουέσθω ὀλίγον, πλὴν μὴ θερμῷ, μηδὲ τὴν κεφαλήν. πινέτω δὲ νῆστις, ὑποθρινόν. λίνου σπέρμα, ἐλελίσφακον, ἐν οἴνῳ ὑδαρεῖ. ἐπὴν δὲ παύσηται τὸ ῥεῦμα, κλύσαι τῷ χυλῷ τῶν ὀλύνθων. ἔπειτα μετακλύζειν τοῖσι στρυφνοῖσιν. ἡ δὲ νοῦσος χαλεπή.

Ἢν αἱ μῆτραι φλεγμήνωσι, τὰ ἐμμήνια οὐ γίνεται παντάπασιν, ἢ πονηρὰ καὶ ὀλίγα. καὶ ὁκόταν νῆστις ᾖ, ἔμετος αὐτὴν λαμβάνει. ὁκόταν δέ τι φάγῃ, ἐμέει τὰ σιτία. καὶ ὀδύνη ἔχει τὴν νείαιραν γαστέρα, καὶ τὰς ἰξύας. καὶ λειποψυχίη ἴσχει. ἡ δὲ γαστὴρ, ὁτὲ μὲν σκληρή, ὁτὲ δὲ μαλθακή ἐστι. καὶ φυσᾶται, καὶ μεγάλη γίνεται. καὶ δοκέει ἐν γαστρὶ ἔχειν. ἢν δὲ ἀφαοστήσῃ, κενεὸν γίνεται τὸ πλήρωμα. ταύτῃ μέχρι μὲν τῶν δέκα μηνῶν τὸ οἴδημα κατ' ὀλίγον αὔξεται, οἷον περὶ τῇ ἐν γαστρὶ ἐχούσῃ. ἐπὴν δὲ οἱ δέκα μῆνες παρέλθωσιν, ἐμπίπλαται ἡ γαστὴρ ὕδατος. καὶ ὁ ὀμφαλὸς ἐξίσχει. καὶ ἢν ἐπαφάσσῃς τὸν δάκτυλον, εὑρήσεις τὸ στόμα ἰσχνὸν καὶ ξυμπεπτωκὸς τῆς μήτρης. καὶ ὅπου ἐφάνη τὰ ἐπιμήνια, ὀλίγα καὶ πονηρά. καὶ τὰς κληῖδας καὶ τὸν τράχηλον λεπτύνεται. καὶ οἱ πόδες οἰδέουσιν. ὁκόταν οὖν ὧδε ἔχῃ, φάρμακον πίσαι κάτω, καὶ προστιθέναι πρὸς τὰς ὑστέρας, ὁκόσα καθαίρει μὴ δάκνοντα. καὶ μετὰ τὴν πρόσθεσιν, κλύζειν τὰς ὑστέρας, ἴσον τὸ ὄξος μίσγων ὀξύτατον. καὶ τὴν λινόζωστιν ἐσθιέτω. καὶ τὸν χυλὸν ἐπιβάλλουσα ἄλητον. καὶ ὁκόταν ἑφθὸν ᾖ, ῥοφείτω. ἡ δὲ νοῦσος, ἐπικίνδυνός ἐστιν.

Ἢν ἐρυσιπέλας δὲ ἐν τῇσι μήτρῃσιν ἐγγένηται, οἴδημα γίνεται ἀπὸ τῶν ποδῶν ἀρξάμενον, καὶ ἐς τὰ σκέλεα καὶ τὴν ὀσφῦν. ὅσῳ δ' ἂν πλείων ὁ χρόνος ἐγγένηται, οἰδεῖ καὶ ἡ γαστήρ. καὶ ῥῖγος καὶ πυρετὸς λαμβάνει, καὶ ἀσθένεια. ὑπὸ δὲ τῆς ὀδύνης, οὐ δύναται ἡσυχάζειν, ἀλλὰ ῥιπτεῖ ἑωυτήν. ἡ δὲ ὀδύνη ἀνέρχεται ἐκ τῆς νειαίρης γαστρὸς, ἐς τὰς ἰξύας. ἔπειτα ἄνω ἔρχεται ὑπὸ τὰ ὑποχόνδρια, καὶ τὰ στήθεα, καὶ τὴν κεφαλήν. καὶ δοκέει ἀποθανεῖσθαι. ὁκόταν δὲ ἀνῇ, νάρκη λαμβάνει τὰς χεῖρας, ἔστι δ' ὅτε καὶ τοὺς βουβῶνας, καὶ τὰ σκέλεα, καὶ τὰς ἰγνύας, καὶ πελιὸς γίνεται. καὶ ὀλίγον ποτὲ χρόνον, ῥᾴων δοκέει εἶναι, ἔπειτα αὖθις τὰ αὐτὰ πάσχει. καὶ ὁ χρὼς φλυκταινέων καταπίμπλαται. καὶ τὸ πρόσωπον ἐρυθήματα φύει. καὶ δίψα ἔχει ἰσχυρή. καὶ ὁ φάρυγξ ξηρός. αὕτη ἡ νοῦσος ἐπὴν κυοφορεούσῃ ἐγγίνεται, ἀποθνήσκει. ἢν δὲ μὴ, μελεδαινομένη ὑγιαίνει. ὁκόταν οὖν ὧδε ἔχῃ, προσφέρειν δεῖ ἢν ὁ πόνος ἔχῃ, ψύγματα, καὶ τὴν γαστέρα ταράσσειν. καὶ ἢν μὲν ἐν γαστρὶ ἔχῃ, σιτίοισι καὶ ποτοῖσι χρῆσθαι, ὅκως τὸ ἔμβρυον διαφθείρηται. ἢν δὲ μὴ ὑποχωρέῃ, κλύζειν. ἢν δὲ μὴ ἔχῃ ἐν γαστρὶ, φάρμακον δοῦναι πιεῖν. καὶ ὡς ἐλαχίστοισι σιτίοισι χρῆσθαι μαλθακωτάτοισι, καὶ ψυχροῖσι. καὶ τὴν λινόζωστιν ἐσθιέτω, καὶ τὴν ἀκτήν. καὶ μήτε ἁλυκὰ, μήτε λιπαρὰ, μήτε δριμέα. οἷον ὀρίγανον, ἢ θύμον, ἢ πήγανον. ἐπὴν δὲ τὸ πῦρ ἀφῇ, καὶ τὸ πνῖγμα, καὶ μὴ καταστῇ τὸ οἴδημα, φάρμακον ἰσχυρότερον μεταπίσαι κάτω. τὴν δὲ νοῦσον ταύτην ὀλίγαι διαφεύγουσιν.

Ἢν αἱ μῆτραι παρὰ φύσιν χάνωσι. καὶ τὰ ἐπιμήνια πλέω τοῦ δέοντος ἔρχεται. καὶ γλισχρότερα καὶ πυκνὰ καὶ ἡ γονὴ οὐκ ἐμμένει. καὶ ἢν ἅψῃ τῷ δακτύλῳ εὑρήσεις κεχηνὸς τὸ στόμα. καὶ πῦρ, καὶ ῥῖγος, καὶ ὀδύνη λαμβάνει τὴν νείαιραν γαστέρα, καὶ τὰς ἰξύας. αὕτη ἡ νοῦσος λαμβάνει, ἐκ ῥόου αἱματώδεος. γίνεται δὲ ὁκόταν τὰ καταμήνια ἐξαπίνης ἰσάμενα ῥαγῇ. κἂν ἡ ὀδύνη μάλιστα ἔχῃ χλιάσματα προστιθέναι, καὶ ὁκόταν ἢ πυριῇν τὰς ὑστέρας, καὶ πίσαι φάρμακον κάτω. καὶ προστιθέναι ὁκόσα μὴ δήξεται. καὶ κλύζειν μετὰ τὰ προσθετὰ ἐν στρυφνοῖσι. καὶ λοῦσθαι ὡς ἥκιστα. σιτίοισι δὲ ὡς ξηροτάτοισι χρέεσθαι. ἢν δὲ ταῦτα παθοῦσα ὑγιὴς μὴ γίνηται, φάρμακον πίσαι, ὑφ' οὗ ἄνω καὶ κάτω καθαίρηται. ὁκόταν τὰ ἐπιμήνια κινέηται. καὶ ὁκόταν παύηται, δίαιτα τὸν αὐτὸν τρόπον. ἡ δὲ νοῦσος, θανατώδης.

Ἢν αἱ μῆτραι ἐς τὸ μέσον τῶν ἰξύων ὦσιν, ὀδύνη ἴσχει τὴν νείαιραν γαστέρα, καὶ τὰ σκέλεα ὕστερον. καὶ ὁκόταν ἀποπατήσῃ, ὀδύναι ἐγγίνονται ὀξύτεραι, καὶ ὁ ἀπόπατος προσέρχεται, καὶ τὸ οὖρον στάζει καὶ λιποψυχέει. ὁκόταν ὧδε ἔχῃ, αὐλίσκον προσδήσας πρὸς κύστιν, φυσῆσαι τὰς ὑστέρας, καὶ πυριῆσαι, ἢ λοῦσαι πολλῷ θερμῷ. καὶ ὑποθυμιῆν ὑπὸ τὰ αἰδοῖα, τὰ κακώδεα. ὑπὸ δὲ τὰς ῥῖνας, τὰ εὐώδεα. ὁκόταν δὲ ἡ ὀδύνη παύσηται, φάκιον προπίσας, φάρμακον πίσαι ἄνω, ὑφ' οὗ ἡ κοιλίη κινηθήσεται. ἐπὴν δὲ αἱ ὑστέραι καταστῶσιν ἐς χώρην, φάρμακον πίσαι κάτω, καὶ γάλα μεταπῖσαι. ἔπειτα πυριήσας τὰς ὑστέρας, οἴνῳ τὰ σὺν τῇ δάφνῃ ἐμβαλεῖν. καὶ προστιθέναι, ἃ μὴ δή-

ξηται

ξεται, ξυμμίσγων τὸ ὄξος. ἔπειτα ὑποθυμιῆν τοῖσιν ἀρώμασιν. ἄτοκοι δὲ καὶ χωλαὶ ἐκ ταύτης τῆς νούσου γίνονται.

Ὁκόταν δὲ λευκὸς ὁ ῥόος ἐγγένηται, οἷον οὖρον φαίνεται. καὶ ὀδύνη ἔχει τὴν νειαίραν γαστέρα. καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας. καὶ οἰδήματα τῶν τε σκελέων καὶ τῶν χειρῶν. καὶ τὰ κοῖλα αἴρεται. καὶ οἱ ὀφθαλμοὶ ὑγροί. καὶ ἡ χροιὴ ἰκτερώδης καὶ λευκὴ γίνεται. καὶ ὁκόταν πορεύηται, ἀσθμαίνει. ἡ δὲ νοῦσος γίνεται, ἢν φύσει ἐοῦσα φλεγματώδης, πυρετήνῃ. καὶ χολὴ κινηθεῖσα, μὴ καθαρθῇ. ἢν μὲν οὖν ἡ κοιλίη ὀξέη, διάῤῥοιαι γίνονται. ἢν δὲ ἐπὶ τὰς ὑστέρας τράπηται, ῥόος γίνηται. ταύτην ἐπὴν διάῤῥοια ἔχῃ, τρίβων μήκωνος λευκῆς τὸ λέπυρον, τὸ ἴσον τοῦ πυῤῥᾶς. καὶ ἀκάνθης τὸν καρπὸν τρίβων ἐν οἴνῳ κεκρημένῳ, ἄλφιτα ἐπιβαλὼν, ποταίνεια πινέτω. ἢν δὲ θέλῃς σίδην ἐς σποδὸν ἐγκρύψασα, ἐν οἴνῳ πινέτω, καὶ ἄλφιτον ἴσον, καὶ ἄλητον ἐπιβαλών. ὡς ἥκιστα δὲ λουέσθω. σιτίοισι δὲ χρήσθω ὡς ξηροτάτοισι καὶ ψυχροῖσι. ἐπὴν δὲ παύσηται τὸ ῥεῦμα, φάρμακον πίσαι, ὑφ' οὗ τὰ ἄνω καθαίρεται. καὶ γάλα ὄνειον πινέτω. ἐπὴν δὲ τὰ κάτω καθαρθῇ, βόειον γάλα πινέτω, ἐπὶ τεσσαράκοντα ἡμέρας, ἢν δύνηται, καὶ ἐξαιθριάσας ἄκρητον οἴνου μίσγων ὕδατι τὸ τέταρτον μέρος. ἑσπέρης δὲ ἐπὴν ἐκπίῃ, ῥοφείτω χόνδρον. ἐπὴν δὲ γένηται δεκαταίη, ἀφαιρέειν τοῦ γάλακτος τὴν δεκάτην μοίρην, καὶ τοῦ ὕδατος. ὅσον δὲ ἀφέλῃς, τοσοῦτον χλιεροῦ ἄρτι ἠμελγμένου, πινέτω τὴν μοῖραν. τῆς δὲ αὔριον, δύο μοίρας, ὡς ἐν τῇσι δέκα μοίρῃσιν εἶναι ἀντὶ ὀλίγου κεκρημένου ἄκρητον. καὶ ἐπὶ τέσσαρας ἡμέρας πίνειν, ἀφαιρέων τὸ δέκατον μέρος. καὶ τοῦ ῥοφήματος προστιθέσθω πλεῖον. ἐπὴν δὲ γένηται τεσσαρεσκαιδεκαταίη πίνουσα τὴν δεκάτην μοῖραν τοῦ γάλακτος, ὑποχέων τρίτην ὕδατος μοῖραν, πινέτω δέκα ἡμέρας. καὶ σιτίοισι χρήσθω. καὶ οὕτως γίνονται αἱ ξύμπασαι ἡμέραι, ν'.

Ἐπὴν διαβάλλῃ τοὺς τόκους φύσει ἄτοκος ἐοῦσα, τὸ μὲν πρῶτον ὑπολείπει τὰ ἐμμήνια, καὶ γίνεται ἐλάσσω, καὶ τὸν χρόνον ὑπερβάλλει ἐν ᾧ ἔγγυος πρόσθεν. ἔπειτα ἐξαπίνης ἔγγυος πολλά, καὶ καθαρὰ καὶ ἰσχυρά. καὶ ἢν μὲν οἱ ἅπαξ γενόμενα εἴη, τὸ λοιπὸν κατὰ λόγον ἐν γαστρὶ ἴσχει. ἢν δὲ μή, τὸ πρῶτον γίνεται, καὶ δεύτερον, καὶ τρίτον τοῦ μηνός. ἔπειτα τελευτήσει ἐξ ἑωυτοῦ ὁ ῥόος. ὠχρή τε καὶ λεπτὴ γίνεται. φάρμακον οὖν χρὴ πιπίσκειν, καὶ ἄνω καὶ κάτω. καὶ γάλα μεταπιπίσκειν ὄνειον, ἢ ὀῤῥόν. ἔπειτα μετὰ ταῦτα πυριήσαντα, καθῆραι τὰς ὑστέρας φαρμάκῳ ὃ μὴ δήξεται, ἔπειτα κλύσαι σὺν τῷ ὄξει. ἔπειτα ὑποθυμιῆσαι τοῖσιν ἀρώμασι. ποιέειν δὲ ταῦτα, ὅκως τῇ ὑστέρῃ τῶν ἐπιμηνίων ᾖ πεποιημένα. καὶ μὴ γένηται ἀλουτήσασα καὶ ἀσιτέουσα. κυκεῶνα ἄναλτον παχὺν πίνουσα. καὶ ὑποθυμιάσθω τοῖσιν ἀρώμασι, νέτωπον περιχέασα, καὶ μύρον ῥόδινον. ἔπειτα τῷ ἀνδρὶ ξυνίτω.

Ἢν αἱ κοτυληδόνες φλέγματος περίπλεαι γένωνται. τὰ μὲν ἐπιμήνια κακῶς ἐπιγίνονται, καὶ ἐν γαστρὶ ἴσχει. διαφθείρει δὲ ἐπὴν ἰσχυρότερον τὸ ἔμβρυον γένηται. οὐ γὰρ δύναται ἴσχειν, ἀλλ' ἀποῤῥήγνυνται. γνοίης δὲ ὧδε. ὑγρὴ γίνεται, καὶ ἀποῤῥέει μυξώδεα, καὶ γλίσχρον, καὶ οὐ δάκνει. καὶ τοῖσιν ἐμμηνίοισιν ἐπὴν παύσηται τοῦ ῥεύματος καθαιρομένη, καὶ δύο ἡμερέων καὶ τριῶν μύξαι ἔρχονται, καὶ ἀπὸ τῶν ὑστερέων. ταύτην δεῖ κλύσαι, τῷ ἀπὸ τῶν ὀλύνθων. καὶ δὶς ἢ τρὶς μετακλύσας στρυφνοῖσι, τὸ λοιπὸν προστιθέναι, ὑφ' οὗ καθαίρεται φλέγμα. καὶ τὰ μαλθακὰ πυριῆν. καὶ κλύζειν μετὰ τὰ προσθετά, ἴσον τὸ ὄξος μίσγων. καὶ ὑποθυμιῆν ἐν τοῖσιν ἐπιμηνίοισι τοῖσιν ἀρώμασι. ἔπειτα δὲ ἀσιτέουσα καὶ ἀλουτέουσα, συνευναζέσθω τῷ ἀνδρί.

Ὁκόταν τὰ ἐπιμήνια κρυφθῇ, ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα. καὶ δοκέει ἐπικέεσθαί οἱ βάρος, καὶ τὰς ἰξύας πονέει, καὶ τοὺς κενεῶνας. ὁκόταν δὲ πρὸς τὰ ὑποχόνδρια προσπέσωσι, πνίγουσι, καὶ ἐπὴν πυκνὰ ὀξέα ἀπεμέσῃ, ῥάων γίνεται ὀλίγον χρόνον. ἡ δὲ ὀδύνη, καὶ ἐς τὴν κεφαλὴν καὶ ἐς τὸν τράχηλον φοιτᾷ. ἐπὴν οὖν μέλλῃ ἢν προσεστήκῃ, χλιάσματα προστιθέναι, καὶ ὑποθυμιῆν κακώδεα. κάτω δὲ εὐώδεα. καὶ πίνειν διδόναι τὸ κάστορα, καὶ τὴν κόνυζαν. ἐπὴν δὲ κάτω, ὑποθυμιῆν τὰ κακώδεα. ὑπὸ δὲ τὰς ῥῖνας, τὰ εὐώδεα. ἐπὴν δὲ παύσωνται αἱ ὀδύναι, φάρμακον δοῦναι πιεῖν. καὶ μεταπιπίσκειν γάλα ὄνου. ἔπειτα διδόναι χυμόν, ἀφ' οὗ ἐμέεται. καὶ πρὸς τὰς ῥῖνας προστιθέναι. ἐπὴν δὲ καθάρῃς πυριήσας τὰς ὑστέρας τοῖσι ξὺν τῇ δάφνῃ προσθεῖναι, τὸ ξὺν τῇ ναρκίσσῳ. τρεῖς δὲ διαλιπὼν πυρίας, προσθεῖναι τὸ ξὺν τῇ κανθαρίδι. τῇ δὲ ὑστεραίῃ, στέαρ χήνειον. ἔπειτα διαλιπὼν τρεῖς ἡμέρας, κλύσαι τῷ ξὺν τῷ ὄξει. ἐν δὲ τοῖσι καθαρμοῖσι, ἐσθιέτω τῆς λινοζώστιος πρὸ τῶν σιτίων. καὶ σιτίοισι μαλθακωτάτοισι χρήσθω. καὶ δριμέα τρωγέτω. καὶ λουέσθω θερμῷ δὶς τῆς ἡμέρης. ἢν δὲ μὴ γίνηται ἐπιμήνια, ταῦτα ποιήσαντα ἐν τῷ δέοντι χρόνῳ, πίσαι

κανθαρίδας. καὶ ἐπὴν γένηται νηστεύσασα. καὶ ἀλουτήσασα. καὶ ὑποθυμιήσασα, συνευνάσθω τῷ ἀνδρί. Ὁκόταν ἐν γαστρὶ ἔχουσα διαφθείρῃ τὸ ἔμβρυον μηνιαῖον καὶ διμηνιαῖον, καὶ ἐκφέρειν μὴ δύνηται, καὶ λεπτὴ παρὰ φύσιν γίνηται, ταύτην χρὴ καθήραντα καὶ τὰς ὑστέρας πρὸς τὸ στόμα. οὐ γὰρ δυνήσεται πρότερον διενέγκαι, ἔστ' ἂν αὐτέης παχεῖαι γένωνται αἱ ὑστέραι, καὶ ἰσχύσωσιν. ἢν δὲ παχυνθῇ παρὰ φύσιν, οὐκ ἴσχει ἐν γαστρί. τὸ γὰρ ἐπίπλοον ὑποκείμενον πουλὺ παχὺ, ἀποπιέζει τὰς ὑστέρας, καὶ τὴν γονὴν οὐκ εἰσδέχεται. ταύτην χρὴ λεπτύναντα, φάρμακον πίσαι κάτω. καὶ πρὸς τὰς ὑστέρας προσθεῖναι, ὅ,τι καθαίρεται αὐτὰς, καὶ φύσας οὐκ ἐμποιεῖ.

Ἢν δὲ στόμα τῶν ὑστερέων σκληρὸν γένηται ἢ ὁ αὐχὴν, τὸν δάκτυλον παρεισάγων, γνώσῃ. καὶ ἐπὴν πρὸς τὸ ἰσχίον ἔωσιν ἀπεστραμμέναι, ὅταν ὧδε ἔχῃ, μηδὲν προσφέρειν δριμύ. ἢν γὰρ ἐξελκώσῃς τὸ στόμα ἐπὴν φλεγμήνῃ, κίνδυνος τὸ πάμπαν ἄτοκον γενέσθαι. ἀλλὰ προστιθέναι ἃ μὴ δάκνει, ὑφ' ὧν καθαίρεται. Ἢν γυναῖκα μὴ δυναμένην τεκεῖν, ἐθέλῃς καθῆραι, καὶ ἢ χολώδης ἢ φλεγματώδης. γνώσῃ δὲ τούτων ὁκότερον. ἢν ψάμμον ὑποβάλλων ἐπὴν τὰ ἐπιμήνια γένωνται, ἐν τῷ ἡλίῳ ἐπιχέας τὸ αἷμα, ἐᾶν ξηρανθῆναι. καὶ ἢν μὲν χολώδης ᾖ, ἐπάνω τῆς ψάμμου ἔσται τὸ αἷμα ὠχρόν. ἢν δὲ φλεγματώδης, οἷον μύξα. καὶ δὴ ὁκότερον ἂν ᾖ, καθήρας κάτω, περὶ τὰς ὑστέρας ἐπιθεῖναι προσθετά. Ἢν τὰ ἐπιμήνια παντάπασι μὴ γίνωνται. ἢν μὲν ὑπὸ πόνου ᾖ, πρῶτον μὲν τὴν κοιλίην καθῆραι κάτω. ἔπειτα προσθεῖναι, ὑφ' οὗ αἷμα καθαίρεται ἐκ τῶν ὑστερέων. ἔπειτα διαλιπὼν ἡμέρην μίαν ἢ δύο, ὑφ' οὗ αἷμα καθαίρεται προσθεῖναι. τὸν δὲ ἄλλον χρόνον τοῦ φλοιοῦ πινέτω τοῦ ἐρυθροῦ ἐν οἴνῳ τρίψασα. Ἢν ὑγρότερον τοῦ καιροῦ τὸ στόμα τῶν ὑστέρων ᾖ, προστιθέναι τὰ δριμέα, ὅκως δηχθῇ. καὶ φλεγμῆναν σκληρὸν λίην γένηται. ἢν δὲ σκιῤῥωθῇ, τὰ δριμέα προσφέρειν. δάκνοντα γὰρ διαχεῖ τὸν ἰχῶρα. ἔπειτα μαλθακὰ προστιθέναι. ἐς δὲ τἄλλα νουσήματα, οὐχ ἥκιστα προστιθέναι. Ἢν δὲ τὸ ἰσχίον λέχοι κατασηρίξωσιν, αἵτε ὑστέραι εἰς τὸν κενεῶνα, προστίθεσθαι χρὴ πρὸς τὸ ὑγιὲς ἰσχίον, ἔλαιον αἰγύπτιον λευκὸν, ἢ βακχάρειον. καὶ ἐπὶ τὸ ὑγιὲς ἰσχίον κατακείσθω. καὶ πινέτω γλυκυσίδης κόκκους τοὺς μέλανας πέντε. καὶ ἀκτῆς καρπὸν ὅσον χηραμύδα. καὶ κάστορος ὅσον κύαμον ἐν οἴνῳ. ἔπειτα λουσαμένη θυμιήσθω. καὶ τοῖσι ποτοῖσι καὶ σιτίοισι χρήσθω μαλθακοῖσι. καὶ λινοζώστει. καὶ τοῖσι δριμέσι πᾶσι χωρὶς ῥαφάνου καὶ κρομμύων. Ὁκόταν πνίγωσιν αἱ ὑστέραι, ὑποθυμιῆν χρὴ τὰ κακώδεα πάντα. ἤγουν ἄσφαλτον. θεῖον. κέρας. ἐλλύχνιον. φώκης ἔλαιον. καστόρειον. ὑπὸ δὲ τὰ αἰδοῖα, τὰ εὐώδεα. ἢν δὲ λέχοι αἱ ὑστέραι φλεγμήνωσι πίμπραται, καὶ πνῖξ ἔχει. ὁκόταν δὲ ὧδε ἔχῃ, παρατείνας ὀθόνιον, βρύα θαλάσσια λεπτὰ καταπλάσσειν. ἔπειτα ὠμήλυσιν. καὶ σποδὸν κληματίνην καὶ λίνου σπέρμα. ὄξος καὶ ἔλαιον ἐπιχέας, ἑψεῖν ἕως ἂν οἷον πὰρ σταῖς γένηται. ἔπειτα καταπλάσσαι ἢν θερμότερον δύνηται ἀνέχεσθαι, τὴν νείαιραν γαστέρα. ἢν δὲ πνίγωσι, φακοῦ ἑψήσας ἐν ὄξει καὶ ἡδυόσμῳ πολλῷ, ἕλκειν τὴν ἀτμίδα διὰ τὸ στόμα καὶ τὰς ῥῖνας προσίσχειν. καὶ κακώδεα ὑποθυμιῆν. καὶ λινόζωστιν ἐσθίειν καὶ ἐν τῷ χυλῷ ἄλητον ἑφθὸν ῥοφείτω ὅτ' ἂν τάχιστα καὶ πρὶν ἢ τὴν ὀδύνην ἔχειν, πρότερον χρὴ διδόναι τῶν φαρμάκων, ὅσα τὰς ὑστέρας παύει τῆς ὀδύνης. καὶ σιτία διαχωρητικὰ προσφερέσθω. ἢν δὲ ἡ γαστὴρ θερμαίνηται, ὑποκλύσαι. ἢν δὲ ἐκ τόκου φλεγμήνωσιν αἱ μῆτραι, στρύχνου χυλὸν ἐγχέαι ἐς τὰ αἰδοῖα. καὶ ἐπὴν οὗτος θερμὸς γένηται ἕτερον ἐγχεῖν. ἢν δὲ μὴ ᾖ, σχίνου, ἢ ῥάμνου, ἢ τεύτλου, ἢ κολοκύντης χυλὸν ἐκπιέσας ἔγχεον. καὶ αὐτέης τὸ ἐν μέσῳ τὸ ἁπαλώτατον περιξύσας μακρὸν ἐντιθέναι. ὕστερον ὕδατι ψιμμύθιον τρίβων ἐν εἰρίῳ ἀναςπογγίζων, προστιθέναι. ἢν δὲ φρίσσῃ, ἀφαιρέειν. Ἢν γυνὴ ἀσθενέῃ ἀπὸ ὑστερέων. καὶ χολαὶ αὐτὴν πνίγωσι. καὶ δέῃ αὐτὴν καθῆραι κούφως, καὶ τῆς ὀδύνης παύσασθαι. πευκεδάνου ὀπὸν, ὅσον τρεῖς κυάθους δίδου πίνειν. Ἢν δὲ ἐν τῇ ὀσφύϊ αἱ ὑστέραι ὦσιν ἢ ἐν τῷ κενεῶνι, ἢν θέλῃς μετακινῆσαι, τρίψας θεῖον καὶ ἄσφαλτον, μέλι ἑφθὸν παραχέας, καὶ ποιήσας βάλανον παχείην, ἐς ἕδρην ἐντιθέναι. καὶ ἐκ τῶν ὑστερέων ἢν ξηραὶ γένωνται ταῦτα προσθεῖναι ὡς τάχιστα. Γυναικὶ ὅταν ὑστέραι σκληραὶ γένωνται. καὶ εἰς τὰ αἰδοῖα ἐξίσχωσι. καὶ οἱ βουβῶνες σκληροὶ γίνωνται. καὶ καῦμα ἐν τοῖσιν αἰδοίοισιν ἐνῇ, καρκινοῦσθαι ἄρχεται. ὅταν οὕτως ἔχῃ, σικύης χρὴ τὸ ἔσω τρίψαι, τὸ ξηρὸν, ὕδατος κοτύλην ἐπιχέας ἐνιεὶς ἐς τὴν ἕδρην ἐᾶν καθαίρεσθαι μέχρις ἂν καθαρθῇ. Ὁκόταν δὲ γυναικὶ δῷς φάρμακον, παράμισγε τῷ φαρμάκῳ, ὅσα ὑστέρας καθαίρει, καὶ ὅσα ἐλαύνει. Ἕτερα ποτὰ καὶ προσθετὰ, δυνάμενα χορίον ἐξάγειν καὶ τὰ ἐπιμήνια κατασπάσαι. Κανθαρίδας ε' ἀφελὼν τὰ πτερὰ, καὶ τοὺς πόδας, καὶ

δίας, καὶ τὴν κεφαλήν. ἔπειτα τριβόλους παραθαλασσίους σὺν τῇ ῥίζῃ τρίψας ὅσον κόγχην, καὶ τοῦ ἀνθέμου τοῦ χλωροῦ τὸ ἔσω ξηρὸν τρίψας ὅσον κόγχην, καὶ σελίνου σπέρμα ἴσον, καὶ σηπίης ὠὰ ιε΄ ἐν οἴνῳ γλυκεῖ κεκρημένῳ, δίδου πιεῖν. καὶ ἐπὴν ἡ ὀδύνη ἔχῃ, ἐν ὕδατι θερμῷ καθήσθω. καὶ μελίκρητον ὑδαρέα πινέτω. Βατραχίου τῶν φύλλων, καὶ τοῦ ἄνθεος τετριμμένου ὅσον στατῆρα αἰγιναῖον ἐν οἴνῳ γλυκεῖ πιεῖν. ἐπὴν δὲ ἡ ὀδύνη ἔχῃ, λευκοὺς ἐρεβίνθους καὶ ἀσταφίδας ἑψήσας ἐν ὕδατι, καὶ ψύξας, διδόναι πιεῖν. καὶ ὁκόταν ἡ στραγγουρίη ἔχῃ, ἐν ὕδατι χλιαρῷ καθεζέσθω.

Ἀδιάντου ὅσον στατῆρα αἰγιναῖον, ἐν οἴνῳ λευκῷ, ἴσον ἴσῳ κεράσας, δίδου πίνειν. Λευκοΐου καρπὸν ὅσον ἐν τοῖς τρισὶ δακτύλοις λαβὼν, ἐν οἴνῳ λευκῷ τὸν αὐτὸν τρόπον κεράσας, δοῦναι πίνειν. Λευκοΐου ῥίζαν τοῦ μέλανος ἐν οἴνῳ διεὶς τὸν αὐτὸν τρόπον χρήσθω. Κρινάνθεμον τὸ ἐπὶ τῶν οἰκιῶν φυόμενον, τὸν αὐτὸν τρόπον μίξαι καὶ πίσαι. Τῆς ἀγχούσης τὰ φύλλα δύο δραχμίδας ἐν οἴνῳ ἑφθῷ κεράσας ὕδατι ἴσως πίσαι. Χαμαιλέοντος τὴν ῥίζαν ξύσας οἷον ἐλλεβόρου πόσιν ἐν οἴνῳ ἑφθῷ κεράσας ὕδατι πίσαι. Κράμβης καὶ πράσου χυλὸν ἑκατέρου μίξας τοῦ ὀποῦ σιλφίου ὅσον τριώβολον οἴνῳ ἴσῳ μίξας λευκῷ πίσαι. Ἐλαίης λευκῆς πρόσθεν, ἢ ἔλαιον ἐνῆ κατακνήσας, ξήρανον. ἔπειτα κόψας καὶ σήσας ἐν οἴνῳ ἐπιβαλὼν, διδόναι πίνειν. τοῦτο καὶ ἐπιμήνια κατασπᾷ καὶ χορίον ἐξελάσει. Δικτάμνου κρητικοῦ ὅσον ὀβολὸν, ἐν ὕδατι πιεῖν, χορίον ἢν μὴ δύνασαι ἐκβαλεῖν πιπίσκων, πυριήσας τῷ τῆς ἀκτῆς χυλῷ ἑφθῷ ἐμβαλὼν, καὶ τὴν κανθαρίδα προστιθέναι. τοῦτο, καὶ τὸ ἔμβρυον ἐξελαύνει. ὁκόταν δὲ δάκνῃ ἀφαιρουμένη ῥόδινον μύρον ἐμβάπτουσα προστιθέσθω, ἐς ἂν ἀποφύγῃ. Αἰγείρου κρητικοῦ κόκκους ἐννέα, τρίψας ἐν οἴνῳ διδόναι πίνειν. τούτῳ δὲ καὶ ἀπολούεσθαι ἢν δυστοκέῃ. Κονύζης ὅσον χεῖρα λείης διεῖναι πράσου χυλῷ. καὶ νέτωπον ξυμμίξας ὅσον χηραμύδα, ταῦτα ἐν οἴνῳ δίδου πίνειν. Ἐπιμήνια κατασπᾷ. Πευκέδανον καὶ πάνακες, καὶ γλυκυσίδης ῥίζαν, ἐν οἴνῳ δίδου πίνειν. Ἔμβρυον ἐκβάλλει τεθνεὸς καὶ τὰ ὕστερα. Τοῦ ἰοῦ καὶ τῆς ἀνδράχνης τὸν καρπὸν, ταῦτα διακόψας καὶ μίξας, δίδου ἐν οἴνῳ λευκῷ παλαιῷ. Ἐπιμήνια κατασπᾷ.

Λευκοΐου ὁ καρπὸς, ὅσον τρισὶ δακτύλοις περιλαμβανόμενος, καὶ αἰγὸς σπυράθους ὅσον πέντε ἢ ἕξ, ταῦτα ξυμμίξας οἴνῳ εὐωδεστάτῳ, προπυριάσας δι' ὕδωρ καὶ ἔλαιον τὴν πυριὴν ἐμβαλὼν, πυριὴν δὲ ἐπὶ δίφρου. ἐπὴν δὲ πυριήσῃς, δοῦναι πιεῖν. καὶ ὡς τάχιστα λούσαντα κατακλῖναι. δοῦναι δὲ φαγεῖν κράμβην, καὶ τοῦ χυλοῦ ῥοφεῖν. Λευκοΐου τὸν καρπὸν ὅσον τοῖς τρισὶ δακτύλοις ἐν οἴνῳ δοῦναι πιεῖν, καὶ καθήσθω ἐν ὕδατι θερμῷ. ἢν δὲ μὴ ἔχῃ, μαράθρου ῥίζας θλάσας, ἐν μελικρήτῳ χλιαρῷ ἀποβρέχων δίδου. Μελίης ὅσον κόκκους δέκα ἐν οἴνῳ δοῦναι πιεῖν. τοῦτο ἀγαθὸν ἐπὶ παντὸς ἀλγήματος ὑστερέων, καὶ σφόδρα διουρητικόν. Ὀπὸν σιλφίου ὅσον ὄροβον. καὶ καρδάμου καρπὸν τρίψας λεῖα καὶ ξυμμίξας ἐν οἴνῳ, ἢ ἐν κυνὸς γάλακτι, δίδου πιεῖν. τοῦτο καὶ ἔμβρυον ἐξελαύνει. Ἐκβόλιον. Βατράχιον καὶ ἐλατηρίου μικρὸν μίξας ἐν ὄξει, εὔκρατον πῖσαι. Ἐπὶ τοῦ αὐτοῦ. Κράμβης καυλὸν ἁπαλὸν, τὸ ἄκρον χρίσας νετώπῳ τρίψαι. Ἢν τὰ ἐπιμήνια μὴ γίνηται. Τερμίνθου καρπὸν τρίψας ἐν οἴνῳ καὶ ὕδατι διεὶς, καὶ διηθήσας, διδόναι νῆστει πιεῖν. καὶ θερμῷ λουέσθω. Ἐμμήνια κινεῖν. Φοινικικοὺς κόκκους ἐν οἴνῳ νῆστει διδόναι πίνειν. Λοχεῖα καθαίρειν. Μαράθρου καρπὸν καὶ κρηθμοῦ τοῦ φλοιὸν, καὶ λιβανωτοῦ ἐν οἴνῳ διδόναι πίνειν. Δαῦκα ὡς πιοτάτην ἐν οἴνῳ ἑψήσας, καὶ γλυκυσίδης κόκκους πέντε τρίψας ἐν οἴνῳ, ὅσον τεταρτημόριον κοτύλης, δοῦναι πιεῖν Λινόζωστις τὸν καρπὸν καὶ τὰ φύλλα ἐν οἴνῳ δοῦναι πιεῖν. Γλυκυσίδης τοὺς μέλανας κόκκους ὅσον πέντε, καὶ ὠὰ σηπίων δοῦναι πίνειν ἐν οἴνῳ Λεχοῖ πάσῃ. Εἰς ἐρύσιμον καὶ ἄλφιτον ἔλαιον παραχέας ἢ ἑφθὸν ῥοφέτω. καὶ σιτίοισιν ὡς μαλακωτάτοισι χρήσθω. Σκαμμωνίην τρίψας ἐν γάλακτι γυναικείῳ ἐν εἰρίῳ ἀνασπογγίσας προσθεῖναι. Λινόζωστις φύλλα τρίψας, ἐν ῥάκει προσθεῖναι. Τὴν ποίην τῆς ἀρτεμισίην τρίψας, καὶ μύρῳ ῥοδίνῳ δεύσας, προσθεῖναι. Τὴν λευκὴν ῥίζαν λείην κόψας ῥοδίνῳ μύρῳ δεύσας προσθεῖναι. Τῆς γλυκυσίδης μέλιτι δεύσας καὶ μύρῳ ῥοδίνῳ καὶ αἰγυπτίῳ ἐν εἰρίῳ προσθεῖναι. Ἄλητον ἄπλυτον τὸν αὐτὸν τρόπον προστιθέναι. Αἰρῶν ἄλευρον καὶ πύελνα ἅμα μέλιτι φυρήσας ἐν εἰρίῳ προστιθέναι. Καθαρτήριον ἐπιμηνίων καὶ λοχείων καὶ ὕδωρ ἄγει. Στρουθίου ῥίζης λείου κεκομμένου οἷον τοῖσι τρισὶ δακτύλοισι, μέλιτι δεύσας προσθεῖναι. φύεται δὲ ἐν Ἄνδρῳ ἐν τοῖς αἰγιαλοῖς. Ὑστέρας ἀποκαθῆραι. Λινόζωστιν κεκομμένης καὶ σικύης ὀλίγον τρίψας, ἐν οἴνῳ καὶ μέλιτι δεύσας προστιθέναι. Λαγωοῦ τρίχας κατα-

καύσας, καὶ τρίψας ἐν οἴνῳ καὶ μέλιτι διεὶς ἐφθῷ καὶ ὕδατι δοῦναι πιεῖν. καὶ ἐν ὕδατι θερμῷ λουέσθω. Τόκου καθαρτήριον. Κρίμνον ἐρείξας, ὅσον ἥμισυ ἡμιχοινικίου ἕψειν ἐν ὕδατος κοτύλαις τέσσαρσιν. ὁκόταν δὲ ζέσῃ, δοῦναι δὶς ἢ τρὶς ῥοφῆσαι. Λοχεῖα καθῆραι.

Τῆς αὐτῆς τὰ φύλλα ἑψήσας, ἐπιχέας ἔλαιον δοῦναι πιεῖν. ἐσθιέτω δὲ καὶ κράμβας ἐφθὰς, καὶ πράσα. Καθαρτήριον ὑστερέων. Τοῦ ῥοῦ τὰ φύλλα καὶ τὸν καρπὸν ἐν οἴνῳ πιεῖν δοῦναι. καὶ ἐρύσιμον λεῖον ποιήσας ἐν οἴνῳ, καὶ ἄλφιτα ἐπιβαλὼν, δοῦναι πιεῖν. Μίσυος ὅσον δύο ὀβολοὺς, τρίψας ἐν οἴνῳ καὶ φυρήσας, προσθεῖναι. Λίνου καρπὸν τρίψας ἐν οἴνῳ φυρήσας προσθεῖναι. Τριφύλλου τὸν καρπὸν ἐν οἴνῳ πιεῖν δοῦναι. Ἐὰν δὲ ἐς τὴν ὀσφῦν ὑστέραι στηρίξωσιν, ἐσθιέτω πουλύποδας ἐφθοὺς, καὶ ὀπτούς. καὶ οἶνον πινέτω μέλανα εὐώδεα ἄκρητον ὡς πλεῖστον. Ἕτερα ποτὰ, προσθετὰ, καὶ καθαρτήρια. Ῥοῦν τὸν ἐρυθρὸν, καὶ γίγαρτα ἑψήσας ἐν ὕδατι, τοῦ σιτανίου ἐμβάλλων ἐπὶ τὸ ὕδωρ δίδου πίνειν. Ἄλητον ἐφ' ὕδωρ ἐμβαλὼν, δίδου πιεῖν. Μῶρα τὰ ἀπὸ τῆς βάτου ξηρήνας, καὶ τρίψας λεῖα, καὶ ἄλφιτα ποταίνια ἀναμίξας ὅσον ὀξύβαφον ἀμφοτέρων ἐν οἴνῳ εὐώδει καὶ ὑδαρεῖ, πινέτω. Τὴν γῆν τὴν μέλαιναν τὴν Σαμίην ἐν ὕδατι τρίψας ὅσον ἀστράγαλον δίδου πιεῖν. Ὑποκυστίδος ἐν οἴνῳ διδόναι πιεῖν. Σίδας οἰνώδεας ἐκχυλώσας, ἄλφιτα φυρήσας μετὰ τοῦ χυλοῦ ξήρανον. ἔπειτα τρίψας ἐν οἴνῳ λεῖον δίδου πιεῖν. Μύρτων μελάνων τὸν καρπὸν τρίψας διεὶς ἐν ὕδατι ἄλφιτα ἐπιβαλὼν, δίδου πίνειν. Ῥοιὴν γλυκείην ὀπτήσας ὁλκὴν τρίψας ἐν οἴνῳ, δίδου πίνειν. Πυρὸς καὶ κάγχρυας τρίψας, φρύξας τε, καὶ ἄλητα ποιήσας, ἐν οἴνῳ μέλανι δίδου πιεῖν. Ῥοιῆς γλυκείης τὰ ἔσω ξυμμίξας, ἴσῳ ὕδατι δίδου πίνειν. Κώνειον ὅσον τρισὶ δακτύλοισιν ἐν ὕδατι δίδου πίνειν. Ἀλήτου σιτανίου καὶ γύψου τὸ ἴσον μίξας ἐν ὕδατι δίδου πίνειν. Ῥοιῆς γλυκείης τὸν φλοιὸν καὶ σιδία, ἐν οἴνῳ δίδου πίνειν. Ἢν αἷμα ἐξ ὑστερέων ῥέῃ. Ἄγνου φύλλα ἐν οἴνῳ δίδου πιεῖν μέλανι. Ῥοῦ καὶ ὀδύνης. Κάγχρυος ῥίζαν ἐν οἴνῳ διδόναι πίνειν. Ἕτερα ποτὰ ὑστερέων. Κεδρίδας. σέσελι. κύμινον αἰθιοπικόν. κασίης καρπόν. ἀρκευθίδας. κεγχρίδας. ἐχινίδας. μελάνθιον. δαύκου ῥίζαν, καὶ τὸν καρπόν. ἀρώματα δὲ θύμον. θυμβρίην. ἐρείκην. ὑπερικόν, μήκωνα λευκήν. κριθμοῦ ῥίζας, καὶ τὸν καρπόν. μαλάχης ῥίζας. λινοζώστιος καρπὸν, καὶ τὰ φύλλα. κνίδης καρπόν. ἐλελίσφακον. αἴγειρον. δίκταμνον. ψευδοδίκταμνον. ἄμωμον. καρδάμωμον. ἑλένιον. ἀριστολόχιον. καστόριον. ἀδίαντον. δρακόντιον. πολυκέφαλον. πηγάνου φύλλα, καὶ τὸν καρπόν. σελίνου καρπόν. μαράθρου καρπόν. ἱπποσελίνου καὶ τὸν καρπὸν καὶ τὰς ῥίζας. ἱππομαράθρου καρπὸν καὶ τὰς ῥίζας, στρουθίου τὸν καρπὸν καὶ τὰς ῥίζας. ὕσσωπον κιλίκιον. ἐρύσιμον. γλυκυσίδην. πάνακες. ὅ, τι ἂν τούτων βούλῃ καὶ ξυμμίσγων, καὶ αὐτὸ καθ' ἑαυτὸ ἀφεψῶν ἐν ὕδατι ἢ ἐν οἴνῳ ὡς ἂν βούλῃ, δίδου πίνειν. Ἀγαθὰ καὶ καθαρτικὰ, καὶ τὰς ὀδύνας παύοντα. Τῆς μαλάχης δίδου ἐν ὕδατι τὴν ῥίζαν. γλυκυσίδης καρπὸν. καὶ κέδρινον ὀλίγον, ξυμμίσγων, ἐν οἴνῳ δίδου πίνειν. καὶ παύσεις ὑστερέων ὀδύνας. Ὅταν αἱ ὑστέραι πνίγωσιν. Καστόριον καὶ κόνυζαν ἐν οἴνῳ λευκῷ δίδου πίνειν. ἢν δὲ προσεστήκῃ πρὸς τῇ ῥινὶ, κόκκου τὸ ἔσω τὸ λευκὸν μέλιτι μίξας ἄλειφε τὴν ῥῖνα. Ἕτερον παῦον ὀδύνας. Μαλάχης τὴν ῥίζαν καὶ μαράθρου φλοιὸν καὶ κριθμοῦ ἐν ὕδατι δοῦναι πιεῖν. Ἀστέρας θαλασσίους τοὺς μέλανας καὶ κράμβην, μίξας ἐν οἴνῳ εὐώδει δοῦναι πιεῖν. Σμύρναν ὅσον τριόβολον. κόριον ὀλίγον. ῥητίνην. γλυκυσίδης ῥίζαν, κύμινον αἰθιοπικόν. ταῦτα τρίψας λεῖα ἐν οἴνῳ λευκῷ διέντα, δίδου πίνειν ἀκροχλιερὸν ποιήσας. Ὑστέρας ἐλαύνει. Τοῦ κροτωνοειδέος τὴν ῥίζαν, δίδου πίνειν. Ἢν πρὸς τὴν καρδίην προσπεσοῦσαι αἱ ὑστέραι πνίγωσιν. Ἄγνου τὸν καρπὸν καὶ γλυκυσίδης, δίδου ἐν οἴνῳ πίνειν. Προσθετὰ δριμέα αἷμα ἄγοντα. Κανθαρίδας πέντε ξυμμίξας μετὰ λιβανωτοῦ καὶ τῇ σμύρνῃ, τὸ μέγεθος ποιεῖν, ὅσον κηκίδα μακρὸν ποιήσας. καὶ περιθεὶς εἰρίῳ περιελίξας τε ὀθονίῳ λευκῷ, βρέξας μύρῳ αἰγυπτίῳ λευκῷ ἢ ῥοδίνῳ, προσθεῖν. Βουπρήστιν, ἢν μὲν μικρὴ ᾖ, ὅλην. ἢν δὲ μεγάλη, τὸ ἥμισυ ξύμμισγε πρὸς τοῖς ῥηθεῖσι, καὶ τὸν αὐτὸν τρόπον προστίθει. ἢν δὲ μαλακωτέροισιν ἐθέλωσι χρῆσθαι, τὰς βουπρήστιδας ἔμβαλλε ἐς οἶνον. κύμινον αἰθιοπικὸν προσεμβάλλων. καὶ σέσελι. καὶ ἄννησον ἀναζέσαι. ἔστω δὲ καὶ βουπρήστιας ξυμμίξας ὀξύβαφον ἐλαικρὸν τῶν ἄλλων ἁπάντων ἴσον ἑκάστου. μίξαι δὲ σμύρναν, λιβανωτοῦ ὀλίγον. τούτου λαβὼν ὅσον δραχμίδα προσθεῖναι, ὥσπερ ἐν τῷ πρόσθεν προσθήματι. Τοῦ μελανθίου τρίψας μέλιτι, διεὶς τε ἐν οἴνῳ, βάλανον ποιήσας, πρὸς τῷ προτέρῳ προσθέτω. Φιλίστιον τὸν αὐτὸν τρόπον ποιέων προστίθει. Τηλεφίου καρπὸν τὸν ἴσον τρόπον ποιέων προστίθει. Ἀνεμώνης φύλλα τρίψας ἐνθείς τε ἐς ῥάκος, καὶ σμύρνης μικρὸν ξυμμίσγειν, καὶ τὸν αὐτὸν τρόπον

χρῆσθαι. Ἄγει αἷμα. Βάλανον αἰγυπτίην τρίψας. καὶ σούσινον, ὅ ἐστι γῆ αἰγυπτίη: ὕδατι διεὶς. εἰρίῳ ἑλίξας, προστίθει. Ἕτερον χολὴν καθαῖρον. Σικύης ἐντεριώνην λείην τρίψας, μέλιτι φυρήσας, βάλανον ποιέων προστίθει. Κολοκυντίδος ἀγρίης τὸ ἔσω λεῖον ποιήσας, μέλιτι φυρήσας, τὸν αὐτὸν τρόπον προστίθει. Ἐλατηρίου πόσιας τέσσαρας, ξυμμίσγων στέαρ χήνειον, καὶ αἴγειον, ἐπὶ ἥμισυ βάλανον ποιέων, προστίθει ἐν τῷ ῥάκει. Θαλπίην ποιέων, μέλιτι φυρέων προστίθει. Συκοφυλλίου τὸ πῖον ξύσας, καὶ ξυμμίξας πόσιας ἐλατηρίου δύο, ἐπὶ νίτρου ὅσον τὸ ἐλατήριον μέλιτι διεὶς, προστίθει. Ἢν φλεγμήνῃ. Νίτρον ἐρυθρὸν, σύκου τὸ ἔσω τὸ πῖον, ἴσον ἑκάστου τρίψας λεῖα, ὅσον κικίδα ποιήσας, προστίθει. Κυμίνου φύλλα ἐν οἴνῳ τρίψας, ἐν ῥάκει προστίθει. Τὴν λευκὴν ῥίζαν, τρίψας λείην, μέλι περιχέας, καὶ ἀναζέσας, βάλανον ποιήσας προστίθει. Ὀπὸν σιλφίου, καὶ σῦκον μίξας, βάλανον ποιέων, προστίθει. Συκῆς σπέρμα τρίψας τὸν αὐτὸν τρόπον. Χολὴν ταύρου. καὶ νίτρον ἐρυθρόν. νέτωπον. κυκλάμινον. τρίψας τουτέων ὅσον κηκίδα. τοῦ κυκλαμίνου δὲ πλεῖστον, μέλιτι ξυμμίξας προστίθει. Τοῦ κρομμύου τὴν κεφαλὴν καθαίρειν ἐν ὕδατι τρίψας ἐς ῥάκος ἀποδήσας προθεῖναι. Σμύρναν. ἅλας. κύμινον. χολὴν ταύρου, μέλιτι ταῦτα φυρήσας, ἐνθέντα πρὸς ῥάκος προσθεῖναι. Κόκκους ἐκλέξας οἷον τριάκοντα, καὶ τρίμματα μηδικοῦ φαρμάκου τὸ τῶν ὀφθαλμῶν ὃ καλεῖται πέπερι. καὶ τῶν στρογγύλων ἕτερα. ταῦτα τὰ τρία τρίβων ἐν οἴνῳ παλαιῷ, λεῖα διεὶς, γλυκεῖ ἐλαίῳ ἀναφυρέων περὶ τὸ εἴριον περιθεὶς, προσθέσθω, καὶ διανιζέσθω οὔρῳ. Τιθυμάλλου ὀπὸν μέλιτι φυρήσας, ἐς ῥάκος ἐνθεὶς, προστιθέναι. Σκίλλης ῥίζαν ὅσον ἐξαδάκτυλον κατελίξας τοὺς δύο δακτύλους, εἰρίῳ πρόσθες. Ἕτερα μαλθακτικὰ, ὑφ' ὧν καθαίρεται ὕδωρ, καὶ αἷμα. ἐπιμήνια τε ἄγονται, ἢν μὴ πολυχρόνια ᾖ, καὶ τὸ στόμα μαλθάσσεται. Ναρκίσσινον. κύμινον αἰθιοπικόν. λιβανωτόν. ἀψίνθιον. κύπειρον. τῶν μὲν ἄλλων ἴσον ἑκάστου. τοῦ δὲ ναρκισσίνου, μοίρας τέσσαρας, ἐπ' ὀθόνιον ὠμόλινον ξυμμίξας, ταῦτα τρίψας, καὶ ποιήσας βάλανον, προστίθει. Κυκλαμίνου μέγεθος ὅσον ἀστραγάλου. καὶ ἄνθος χαλκοῦ, ὅσον κύαμον τρίψας, καὶ μέλιτι διεὶς, καλῶς ποιήσας βάλανον προστιθέναι.

Γλήχωνα. σμύρναν. λιβανωτόν. ὑὸς χολὴν μέλιτι φυρήσας, καὶ ποιήσας βάλανον προστιθέναι. Ἕτερα στρυφνά. Ῥοῦν οἴνῳ μέλανι φυρήσας προσθεῖναι. Κνίκον τὸν αὐτὸν τρόπον ποιήσας, προστίθει. Λωτοῦ πρίσματα τὸν αὐτὸν τρόπον ποιέειν. Ῥοῦν μέλιτι μίξας, προσθεῖναι. Ἕτερα μαλθακτήρια. Θεῖον. στέαρ. ὠοῦ λέκιθον. ἄλητον. μέλιτι φυρήσας. ταῦτα παραχλιαίνων, τὸ ἀποστάζον εἰρίῳ πρόσθες. Χηνὸς ἔλαιον, καὶ στέαρ μήλειον. κηρὸν λευκόν. ῥητίνην. μύρον ῥόδινον. ῥάκος κατατείλας λεπτὸν προστίθει. Ἐλάφου μυελὸν καὶ στέαρ τήξας ἐν εἰρίῳ πρόσθες. Στέαρ οἰὸς ἢ αἰγός. καὶ ὠοῦ τὸ λευκὸν ῥοδίνῳ μύρῳ ἀναφυρήσας εἰρίῳ ἀνασπογγίσας πρόσθες. Κλυσμοί. Ὀλύνθους τοὺς χειμερινοὺς ἐμβαλὼν ἕψειν ἐν ὕδατι ὑποκαίων ἡσυχῇ. ἔπειτα ἀποχέας, ἔλαιόν τε περιχέων κλύζειν. Μετακλύζειν δὲ σιδίοισι, καὶ κικίδι, καὶ λωτοῦ πρίσμασιν ἐν οἴνῳ ἕψων, στρυφνῷ. ἀποχέων δὲ κλύζειν. Τρύγα κατακαίων, ἐς ὕδωρ βάλλε. ἔπειτα τῷ ὕδατι κλύζειν. μετακλύζειν δὲ σιδίοις. μύρτοις. ῥοῦ φύλλοις. ἀφεψῶν ἐν οἴνῳ. Σκίλλης φύλλα, ἐλελισφάκου, ὑπερικοῦ ἑψήσας, ἐν οἴνῳ μέλανι. Ἢν ἑλκωθῇ δέ τι τῶν μητρέων. Βούτυρον. λιβανωτόν. σμύρναν. ῥητίνην ὀλίγην, τουτέοισι χρὴ κλύζειν. Πράσα ἑψήσας ἐν ὕδατι ἀποχέων δὲ ὕδωρ οἴνῳ μίξας κλύζε. Ἀκτῆς καρπόν. ἄνησον. λιβανωτόν. σμύρναν. οἶνον. τῷ χυμῷ τούτων κλύζειν. Κράμβην ἑψήσας ἐν ὕδατι, ἐν τῷ χυμῷ τῆς κράμβης ἕψε τὴν λινόζωστιν. παρεμβάλλων λίνου σπέρμα μικρόν. ἔπειτα ἀποχέας, κλύζε. Σμύρνης ὅσον ὀξύβαφον. λιβανωτόν. σέσελι. ἄννησον. λίνου σπέρμα. νέτωπον. ῥητίνην. μέλι. χηνὸς ἔλαιον. ὄξος λευκὸν τὸ αἰγύπτιον, τουτέων ἑκάστου τὸ ἴσον τρίψας, διεῖναι οἴνου λευκοῦ κοτύλαις δυσί. ἔπειτα χλιαρῶς κλύζειν. Λινόζωστιν ἐν ὕδατι ἑψήσας, ἀπηθήσας. σμύρνης ὀξύβαφον. λιβανωτοῦ νετώπου. ἴσον ἑκάστου μίξας, χλιαρῶς κλύζειν.

Ἐλελίσφακον καὶ ὑπερικὸν, ἐν ὕδατι κλύζε. Ἀκτῆς καρπὸν, δαφνίδας, ἑκατέρου τὸ ἴσον, ἐν οἴνῳ ἕψε. ἔπειτα τῷ οἴνῳ κλύζε. Γλήχωνα ἐν ὕδατι ἑψήσας, ἔλαιον περιχέας μεθ' ὕδατος κλύσον. Χηνὸς ἔλαιον ῥητίνην ξυντήξας, κλύσον. Βούτυρον. κέδρινον ἔλαιον παραμίξας ὀλίγον, μέλιτι διατήξας, κλύσαι τούτοις χλιαρῶς. Κύπειρον. σχοῖνον, κάλαμον. ταῦτα ἴσα τῇ σμύρνῃ μίγνυται. σισύμβριον οἴνῳ ἕψων κλύζειν. Σελίνου καρπὸν

ἀννήσου. σέσελι, σπέρμα. μελάνθιον οἴνῳ ἑψήσας, κλύζειν. Κέδρου κρητικῆς ἐν οἴνῳ ἑψήσας κλύζε. Ἐξέτρωσιν καὶ σμύρναν διεὶς ἐν ὕδατι κλύζε. Ἀργυρείου ἄνθος ἐν οἴνῳ ἢ ὕδατι κλύσαι. Ἐλατήριον ὅσον δύο πόσιας ὕδατι διεὶς, κλύσαι. Κολοκυντίδας ἀγρίας δύο, ἐν οἴνῳ ἢ γάλακτι ἑφθῷ ἀποβρέξας, ὅσον τέσσαρας κοτύλας ἀπηθήσας, κλύζε. Σικύης ἐντεριώνην ὅσον παλαιστὴν ἑψήσας ἐν ὕδατι κοτύλαις τέσσαρσι, μέλι καὶ ἔλαιον ἐπιχέας, κλύσαι. Τῆς θαψίης ῥίζης ὅσον δύο πόσιας καὶ μέλι καὶ ἔλαιον διεὶς, ὕδατος κοτύλῃσι δυσὶ, κλύσαι. Ἐλλεβόρου ὅσον δύο κοτύλας, κλύσαι χλιαρῶς. Θλάσπιον ὅσον ὀξύβαφον μέλιτι παραμίξας, ὕδατος διεὶς ὅσον δύο κοτύλας, κλύσαι χλιαρῶς. Σικύης ὅσον παλαιστὴν ἑψήσας ἐν ὕδατος κοτύλῃσι πέντε, ἔλαιον παραμίξας, κλύσαι. Κόκκους κνιδίους ὅσον ἑξήκοντα, μέλι ἔλαιον ὑποδιεὶς κλύσαι. Ἢν φύσει φλεγματώδης ᾖ. Κνεώρου ποσὸν ῥίψας διεῖναι μελικρήτου κοτύλῃ αἰγινῇ τουτέῳ κλύσαι. Ἢν δὲ χολώδης ᾖ, τῆς δάφνης ὅσον πόσιν τοῦ ἐδώδεος, ὅσον δραχμήν. Σκαμμωνίης ὅσον πόσιν, ῥίψας διεῖναι μελικρήτῳ, ἢ ἀπὸ σταφίδος ὕδατι, ὅσον κοτύλη ἀττική. Δαφνοειδέος πόσιν, κατὰ τὸν αὐτὸν λόγον. ἢν φύσει ᾖ χολώδης τουτέῳ κλύσαι. ἢν δὲ φλεγματώδης, κόκκους ἐκλελεγμένους, καὶ τοῦ τιθυμάλλου ὀποῦ ὅσον πόσιν κλύζειν. ὡσαύτως καὶ κνεωρίου καὶ μηκωνίου. ὡσαύτως ἑκατέρου τουτέων χρῆσθαι χρή. κλύζε δὲ ἢ κλυσμῷ πλέον, ἢ δυσὶ κοτύλαις. Ὑποθυμιήσεις δὲ ὅσι κεκομμένα ταῦτα.

Κικίδα θυμιῆν, καὶ πρίσματα λωτοῦ. ἐλαίης φύλλοις ξηροῖς, κεκομμένοις, μίξας καὶ φυρήσας ἐλαίῳ ὑποθυμιῆν. Ἄνθρακας ὑποβαλὼν κριθῶν ἄχυρα νοτερὰ ὑποβάλλων ὑποθυμιῆν. Ἀπ' ἀμφορέως ἐλαιηροῦ τὸ ἐπίθεμα τὴν στοιβὴν ὑποκαίων. πρίσματος κυπαρισσίνου ὑποβάλλων θυμιῆν. Σκαμμωνίην. σμύρναν. λιβανωτόν. μύρον περιχέας, ὑποθυμιῆν.

Ἄσφαλτον. κριθῶν ἄχυρα ξυμμίξας, ὑποθυμιῆν. Ἔλαιον φώκης ἀναδεύσας, ὑποθυμιῆν. Μελίην. κυπαρισσίνου πρίσματα. κυπαίρου ῥίζαν. μύρον ῥόδινον δεύσας, θυμιῆν.

Κάλαμον. κύπαιρον. Βρυωνίην. Βρύον. σελίνου σπέρματι. ἄννησα μίξας ὁμοῦ καὶ μύρῳ ῥοδίνῳ δεύσας, ὑποθυμιῆν. Ῥητίνην αὐτὴν ἐπὶ σποδιὸν ἐπιβάλλων, ὑποθυμιῆν. Κινάμωμον. σμύρναν κασίην, ἴσον ἑκάστου. Κρόκον μίσγοντα σμύρναν, τὸ βρύον, ἴσον τῷ κρόκῳ. Κάλαμον κνεώρου. κρόκου. ῥόδων φύλλα ἐρυθρὰ τὰ ἡδὺ ὄζοντα τρίψας καὶ ξηρήνας ξυμμίσγειν τῷ κρόκῳ. καὶ στύρακα ἥμισυ τοῦ κρόκου, ταῦτα λεῖα ξυμμίξας καὶ ξηρήνας, μέλιτι ἑφθῷ δεύσας ὡς ἐλαχίστῳ, τουτέων δὲ πάντων ξυμμεμιγμένων, ἔστω ἡ θυμίησις, ὀβολὸς ἀττικὸς σταθμός. ταῦτα θυμιῆν ἐπὶ βολβίτου. τὸ δὲ βόλβιτον πλάσσειν, οἷον ὀξύβαφον ἐλαιηρόν. τὸν πυθμένα δὲ ἐχέτω λεπτόν. ἔστω δὲ ξηρόν. τὸ πῦρ δὲ ἔστω κληματίνον, ἐφ' οὗ τὸ βόλβιτον κείσεται. ἐν τῷ ἐκείνῳ περιβᾶσα θυμιήσθω. Χαλβάνην. ῥητίνην. μάνναν. μύρῳ ῥοδίνῳ δεύσας, ὑποθυμιῆν. Πανάκεως καὶ κυπαρίσσου πρίσματα δεύσας μύρῳ αἰγυπτίῳ λευκῷ θυμιῆν. Κινάμωμον, καὶ νάρδον καὶ σμύρναν μύρῳ ῥοδίνῳ δεύσας ὑποθυμιῆν. Λευκοίου τὸν καρπὸν κέδρου πρίσματα. καὶ χαλβάνην μέλιτι ἀναφυρήσας, ὑποθυμιῆν. Αἰγὸς σπυράθους, καὶ λαγωοῦ τρίχας ἐλαίῳ φώκης δεύσας, ὑποθυμιῆν. Φώκης τῆς πιτύης τὸ δέρμα κόψας λεῖον, καὶ σπόγγον, καὶ βρύα ὁμοῦ λεῖα μίξας τῷ ἐλαίῳ τῆς φώκης περιποιήσας, ὑποθυμιῆν. Αἰγὸς σπυράθους καὶ φώκης τοῦ πνεύμονος, καὶ κέδρου πρίσματα ὑποθυμιῆν. Βόλβιτον. κέδρου πρίσματα. καὶ ἄσφαλτον ὑποθυμιῆν. Ἀκάνθης αἰγυπτίης καρπὸν, καὶ κέδρου πρίσματα, καὶ μυρσίνης φύλλα ξηρῆς. ταῦτα ποιήσας λεῖα, μύρῳ τε ὀποβαλσάμῳ δεύσας, ὑποθυμιῆν. Ἀρώματα δὲ μύρον ἐμβαλλόμενα ὑποθυμιῆν. Γίγαρτα κόψας λεῖα. καὶ κεδρίδας. καὶ ῥητίνην πιτυΐνην ὁμοῦ μίξας γλυκεῖ ἑφθῷ δεύσας ὑποθυμιῆν. Πυριῆσαι. Βόλβιτον κεκομμένον, καὶ σεσησμένον, ὄξους τὸ ἥμισυ. τοῦ ὀροβίου τὸ ἥμισυ ἐμβάλλων, πυριῆν βληχρῶς. ἐπὴν δὲ πυριήσῃς, φάκιον πίνειν, καὶ ῥοφεῖν καὶ ἀπεμεῖν, δοῦναι ἄλητον. καὶ ἐπιπίνειν οἶνον. τῇ δ' ὑστεραίῃ, κόκκον δοῦναι καταπότον. τῇ δὲ ἑτέρῃ διουρητικόν. ἐρεβίνθους λευκοὺς δύο τρίψας. τοῦ δὲ σταφίδος τρίτον, ἐπιχέας ἥμισυ ὕδατος ἐνεψεῖν. ἔπειτα ἀποχέας δὲ τὴν αἰθρίην θεῖναι. καὶ τῇ ὑστεραίῃ δοῦναι πίνειν καὶ τὸ λοιπὸν ἐλελίσφακον. καὶ τοῦ λίνου σπέρμα τουτέοις ἀμφοτέροις μίξας ἢ ἄλφιτον, διδόναι δὶς τῆς ἡμέρης ἐν οἴνῳ κεκρημένῳ, κοτύλῃσι τέσσαρσιν. Ἐλαίου τρία ἡμικοτύλια. ἀκτῆς φύλλα ὅσον χεῖρα πλείην. ταῦτα ἑψεῖν ἐγχέας δὲ κεραμεῖον θερμὸν πυριῆν ὀστράκοις θερμοῖς ἐπὶ δίφρου ἐπικαθίσας περικαλύψας τε ἱματίοις.

Τῆς ἀκτῆς

ἢ ἀκτῆς φύλλα ὅσον χεῖρα πλείην. καὶ τῆς μυρσίνης τὸ ἴσον ἐμβάλλων ἐς ὕδωρ, ἑψήσας καὶ ἀποχέας τὸ ὕδωρ, ἐμβάλλων κριθῶν ἄχυρα, ἑψήσας ἔμβαλλε εἰς ῥάκος. ἔπειτα πυτέω πυριῆν, ὡς ἂν δύνηται θερμότητα ἀνέχεσθαι μάλιστα. Ὄξος. ἔλαιον. ὕδωρ. μέλι κεράσας, ταῦτα ἀνάζεσον σφόδρα. ἔπειτα λαβὼν κύστιν, χωρέουσαν ὡσεὶ χοέα. ἢ ἀσκίον ὡς λεπτοδέρματον ἐγχέας, καὶ περιελίξας ῥάκει ἐρίου, πυριῆν. ὁκόταν δὲ χλιαρὸν τὸ ῥάκος γίνηται, ἕτερον περιελίσσειν. ἢ πίτυος τὸν φλοιόν. καὶ τοῦ ῥοῦ τὰ φύλλα ἐμβάλλων, ἑψήσας ἰσχυρῶς, ἀποχέας τε τὸ ὕδωρ, καὶ κριθῶν ἄχυρον, ἕψε ἔλαιον ἐπιχέας. ὁκόταν δὲ συνεψήσῃς ἐμβαλὼν εἰς ῥάκος, πυρία. Λωτοῦ πρίσματα καὶ κυπαρίσσου, ὕδωρ ἐπιχέας καὶ ἔλαιον ἕψε, ἕως ἂν ξυνεψήσῃς. ἔπειτα ἐμβαλὼν εἰς ῥάκος, πυρία. Ἀρώματα ἐς τὸ ὕδωρ ἐμβαλλόμενα ἑψήσας ὅσον χοίνικα, καὶ ἐν ὕδατι πίτυρα πύρινα ἑψήσας, τὸν αὐτὸν τρόπον κικίδια κόψας, καὶ ῥάμνου τὸν φλοιὸν ἐφεψήσας ἰσχυρῶς, πίτυρα πύρινα φύρησον ἐν ὕδατι, καὶ παράμιξον ἔλαιον. ἔπειτα ἡμίοπτον ποιήσας ἄρτον ὅσον διχοίνικα, ἐνδήσας ἐς ῥάκος, πυρία.

Κράμβην καὶ πράσα ἀφεψῶν ἐν χυμῷ ποίησον τὸν ἴσον τρόπον. Κριθῶν ἄχυρα συνεψῶν, ἔλαιον ἐπιχέας, ἐς ῥάκος ἐνδέων, πυρία. Στρύχνον, καὶ τῆς ἐλαίης τὰ φύλλα ἀφεψῶν, τὸν αὐτὸν ποιεῖ τρόπον. καὶ ταῦτα δὴ ἢν μὲν βούλῃ ὑγροῖσι χρῆσθαι πυρίᾳ, ὡς γέγραπται. ἢν δὲ βούλῃ ξηροῖς, ἄρτους ποιέων, καὶ ἐξόπτους, καὶ ἡμιόπτους, πυρία. πυρία δὲ καὶ ὀστράκοις εἰς ῥάκος ἐνειλίσσων, καὶ αὐτοῖς τοῖς ῥάκεσι θερμαίνων. καὶ τοῖς φακοῖς τοῖς ὀστρακίνοις, τὸ ὕδωρ ἐγχέων ζεστόν. προστίθει δὲ πρὸς τοὺς πόδας, τῆς ἴρεως τὴν ῥίζαν, κόπτων καὶ ἀφεψῶν τὸν αὐτὸν τρόπον πυρία. Ἢν ὕδωρ ἐγγένηται ἐν τῇσι μήτρῃσι. τὰ ἐπιμήνια ἐλάσσω γίνεται, καὶ κακίω, καὶ διὰ πλέονος χρόνου. καὶ κυΐσκεται ἑκάστοτε, ἔτι δὴ μὴν οὐ μικρῷ πλέον. ἐπειδὰν δὲ οὗτος ὁ χρόνος γίνηται, καὶ διαφθείρῃ, καὶ ὕδωρ ἐν αὐτῇ γίνεται πολύ, ταύτην δὲ χρὴ γαλακτοποτέειν. καὶ τῶν μηκώνων πίνειν, ἕως ἂν κινηθῆναι ἄρχηται τὸ ἔμβρυον. ὡς ἐπὶ τὸ πουλὺ δὲ πρὸ τουτέου διαφθείρεται, καὶ ἐξαμβλοῦται. καὶ αἵματος ῥέουσιν αἱ μῆτραι. ταῦτα δὲ πάσχει, οὐδέν τι μᾶλλον ἐκ πόνου, ἢ ἄλλως. τοῦτο δ' ἂν γνοίης, ὅτι ὕδρωψ ἔνεστιν ἀφάσσων τῷ δακτύλῳ. ὄψει γὰρ τὸ στόμα αὐτέων, ἰσχνὸν καὶ ἀφανιζόμενον περιπλέον ὑγρασίης. ἢν δὲ αὐτῇ μὴ κατ' ἀρχὰς ἀλλ' ἤδη κυεόμενον μὴ διαφθείρηταί τε καὶ ἀποπνίγηται. ἥτε γαστὴρ ἡ νειαίρα ἐπανοιδέει. καὶ ἀλγέει ἁπτομένη ὥσπερ ἕλκος. καὶ πυρετὸς αὐτὴν καὶ βρυγμὸς λαμβάνει. καὶ ὀδύνην ἔχει ἐς αὐτά τε τὰ αἰδοῖα, καὶ τὴν νειαίραν γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας, καὶ τὴν ὀσφὺν ὀξεῖά τε καὶ περιχυή. ὁκόταν ὧδε ἔχῃ, λούειν χρὴ αὐτὴν θερμῷ. καὶ ὅπῃ ἂν ὀδύνη λαμβάνῃ τὰ χλιάσματα τῶν πειρώμενος ὅτι μάλιστα προσδέχηται προστιθέναι. καὶ φάρμακον πῖσαι καθαρτήριον κάτω. διαλιπὼν δὲ χρόνον ὅσον ἂν δοκέῃ σοι καιρὸς εἶναι καὶ πυριήσας, προστιθέναι τῆς κυκλαμίνου. ἀποδήσας ὅσον περ, ἐνθεὶς ἐς ῥάκος. καὶ ἐν μέλιτι δεύων, προστιθέναι πρὸς τὸ στόμα τῶν ὑστερέων. καὶ τῆς κυπαρίσσου καταξύσας, καὶ τέγξας ἐν ὕδατι, προστιθέναι ὡσαύτως. ἐλάσσω δὲ χρόνον καὶ διὰ πλέονος τοῦτο ὅσῳ μᾶλλον δάκνει καὶ ἐξέλκει. καὶ μήλην ποιησάμενος καστορίνην, καθιέναι. καὶ ἐν δακτύλῳ ὡσαύτως. καὶ τῶν ποτημάτων πειρώμενος ὅτι ἂν προσδέχηται, πιπίσκειν. καὶ ξυγκοιμάσθω τῷ ἀνδρί. ὡς μάλιστα τῶν καιρῶν παρεόντων. ἢν γὰρ ξυλλάβῃ τὴν γονὴν, καὶ κυήσῃ, καὶ τέκῃ, ἀποκαθαίρεται. καὶ τὰ πρόσθεν ὑπ' αὐτῷ ξὺν αὐτῷ. καὶ ὧδε ἂν μάλιστα ὑγιὴς γένοιτο. Ἢν σκιῤῥωθῶσιν αἱ μῆτραι, τό, τε στόμα τρηχὺ γίνεται, καὶ τὰ ἐμμήνια κρύπτεται. ὁκόταν δὲ προφανῇ ὥσπερ ψάμμος, καὶ ἡ γονὴ οὐ γίνεται τουτέου τοῦ χρόνου. ἢν δὲ καὶ ἐσαφάσσῃς τὸν δάκτυλον, τρηχὺ τὸ στόμα εὑρήσεις τῶν μητρέων. ὁκόταν ὧδε ἔχῃ, τῆς κυκλαμίνου χρὴ τρίψαντα καὶ ἅλας, καὶ σύκου ὠμοῦ μίσγοντα καὶ ἀναποιοῦντα μέλιτι, προστιθέναι. καὶ πυριήσαντα, κλύσαι τοῖσι καθαρτηρίοισιν. ἐσθιέτω δὲ τὴν λινόζωστιν, καὶ κράμβας ἑφθάς, καὶ τὸν χυλὸν ῥοφείτω. καὶ θερμῷ λουέσθω. Ἢν σκιῤῥωθέωσιν αἱ μῆτραι, τά τε ἐπιμήνια κρύπτεται, καὶ τὸ στόμα αὐτέων ξυμμύει. καὶ οὐ κυΐσκεται. ὅταν ὧδε ἔχῃ, ἢν ἐσαφάσσῃς ἐν δακτύλῳ, ὄψει τὸ στόμα τρηχύ. καὶ τὸν δάκτυλον οὐκ ἐσίησι. καὶ πυρετὸς αὐτὴν λαμβάνει, καὶ βρυγμὸς καὶ ὀδύνην ἔχει τὴν νειαίραν γαστέρα, καὶ τὸν κενεῶνα, καὶ τὰς ἰξύας. πάσχει δὲ ταῦτα ἢν ἐν αὐτῇ διαφθαρὲν σαπῇ τὸ ἔμβρυον. ἔστι δ' ὅτε καὶ ἐκ τόκου γίνεται. πολλάκις δὲ καὶ ἄλλως. ὁκόταν ὧδε ἔχῃ, λούειν χρὴ αὐτὴν, πολλῷ καὶ θερμῷ, καὶ πυριῆν.

ὅταν δὲ νεόλουτος ἢ νεοπύρητος ᾖ, τὴν μήλην καθεὶς, ἀναστόμου. καὶ ἀνευρύνειν τὸ στόμα αὐτέων. καὶ τῷ δακτύλῳ ὡσαύτως. καὶ προσιθέναι ὥσπερ ἐπὶ τῆς προτέρης γέγραπται. καὶ τῶν πομάτων ὡσαύτως πιπίσκειν. καὶ θεραπεύειν τὸν αὐτὸν τρόπον, ὥσπερ καὶ πρότερον.

Ἢν αἱ μῆτραι πρὸς τὰς πλευρὰς προσπέσωσι, βὴξ ἴσχει καὶ ὀδύνη. ὑπὸ τὸ πλευρὸν, οἷον σφαῖρα. καὶ ἁπτομένη πονέει ὥσπερ ἕλκος. καὶ καταφθίνει. καὶ δοκέει περιπλευμονικὴ εἶναι. καὶ σπᾶται. καὶ φυγὴ γίνεται. καὶ τὰ ἐπιμήνια ὅλως οὐ προφαίνεται, ἐνίοτε δὲ προφανέντα, οἴχεται. τότε δὲ γινόμενα ἀσθενέα τε καὶ ὀλίγα, ἢ κακίω ἢ πρὸ τοῦ, καὶ ἡ γονὴ οὐκ ἐγγίνεται τουτέου τοῦ χρόνου. ὅταν ὧδε ἔχῃ, φάρμακον χρὴ πίσαι κάτω ἐλατήριον, καὶ πίσας αὐτὴν πολλῷ καὶ θερμῷ, καὶ τῶν χλιασμάτων ὅτι ἂν μάλιστα προσδέχηται, προσίσχειν καὶ προσιθέναι, ὑφ᾽ ὧν καθαίρεται αἷμα. καὶ λίνου σπέρμα φώξας καὶ κόψας, καὶ σήσας, καὶ τῶν μηκώνων τῶν λευκῶν, καὶ σὺν ἀλφίτοις λεπτοῖς. καὶ τυρὸν αἴγειον, περιξέσας τὸν ῥύπον καὶ τὴν ἅλμην, ταῦτα μίσγειν τοῦ τυροῦ δύο. ἓν δὲ τῶν ἄλλων. τῶν δὲ ἀλφίτων ἑώλων ἀνάλτων, νήστει δίδου πίνειν ἐν οἴνῳ. ἑσπέρης δὲ κυκεῶνα παχὺ μέλι ἐπιχέων, δίδου. καὶ τῶν πομάτων ὅ, τι ἂν μάλιστα προσδέχηται, πιπίσκειν καὶ πυριῆν πυκνά. τῷ θερμῷ δὲ, αἰονᾶν. τῇ κηρωτῇ ἡσυχῇ μαλάσσοντα ἀπωθέειν ἀπὸ τοῦ πλευροῦ. καὶ ἀναδεῖν τὸ πλευρὸν, ταινίῃ πλατείῃ. καὶ γαλακτοποτεῖν, τὸ βόειον γάλα ὅτι πλεῖστον ἐφ᾽ ἡμέρας τεσσαράκοντα. σιτίοισι δὲ χρήσθω, ὡς μαλθακωτάτοισιν. ἡ δὲ νοῦσος, ἐπερχυνή τε καὶ θανατώδης. καὶ ὀλίγαι καὶ μελεδαινόμεναι διαφεύγουσιν αὐτήν.

Ἢν τὸ στόμα ξυμμύσῃ, γίνεται ἰσχυρὸν, ὥσπερ ῥινεὸν. καὶ ἢν ἐσαφάσσῃς τῷ δακτύλῳ, ὄψει σκληρὸν καὶ ξυνεστραμμένον. καὶ τὸν δάκτυλον οὐκ ἐσίησι. καὶ τὰ ἐπιμήνια ἀποκρύφεται. καὶ τὴν γονὴν οὐ δέχεται τουτέου τοῦ χρόνου. καὶ ὀδύνη ἔχει τὴν νείαιραν γαστέρα, καὶ τὴν ὀσφῦν, καὶ τὸν κενεῶνα. ἔστι δ᾽ ὅτε καὶ ἄνω προσίσταται, καὶ πνίγει. ὁκόταν οὖν ὧδε ἔχῃ, φάρμακον πίσαι κάτω. καὶ λούειν πολλῷ καὶ θερμῷ. καὶ προσιθέναι ἅπερ μαλθάσσει τὸ στόμα. καὶ τὴν μήλην καθιέναι, καὶ ἀναστομοῦν. καὶ τὸν δάκτυλον ὡσαύτως, καὶ αἰονᾶν. ὁκόταν οὖν μαλθακὸν ᾖ, προσιθέναι, ὁκόσα καθαίρει αἷμα. καὶ τῶν ποτημάτων διδόναι πειρώμενον, ὅτι ἂν προσδέχηται. καὶ τὴν κράμβην ἐσθιέτω. καὶ τὸν χυλὸν ῥοφείτω.

Ἢν παραλοξαίνονται αἱ μῆτραι, καὶ τὸ στόμα αὐτέων λοξὸν γίνεται. καὶ τὰ ἐπιμήνια αὐτῇ, τότε μὲν κρύπτεται, τότε δὲ προφανέντα οἴχεται. καὶ οὐχ ὅμοια γίνεται, ἀλλὰ κακίω τε καὶ ἐλάσσω, ἢ πρὸ τοῦ. καὶ ἡ γονὴ οὐκ ἐγγίνεται τουτέου τοῦ χρόνου, καὶ ὀδύνη ἴσχει τὴν νείαιραν γαστέρα, καὶ τὰς ἰξύας, καὶ τὴν ὀσφῦν, καὶ τὸ ἰσχίον, καὶ ἐφέλκει αὐτό. ὁκόταν ὧδε ἔχῃ φάρμακον χρὴ πίσαι ἐλατήριον. καὶ λούειν θερμῷ καὶ πυριῆν. ὁκόταν δὲ νεοπυρίητος ᾖ νεόλουτος ᾖ, τὸν δάκτυλον ἐσαφάσσουσα, ἀπορθούτω καὶ παρευθυνέτω τὸ στόμα τῶν μητρέων. καὶ ὑποθυμιήσθω τὰ εὐώδεα. καὶ τῶν ποτημάτων δίδου πειρώμενος, ὅτι ἂν μάλιστα προσδέχηται. σιτίοισι δὲ χρήσθω μαλθακοῖσι. καὶ σκόροδα ἐσθιέτω, ἑφθὰ καὶ ὠμά. καὶ τῷ ἀνδρὶ συγκοιμάσθω. καὶ ἐπὶ τοῦ ὑγιέος ἰσχίου κατακείσθω. τὸ δὲ ἕτερον πυριήσθω. ἡ δὲ νοῦσος, δυσαπάλλακτος.

Ἢν πηρωθῶσιν αἱ μῆτραι, ἥ, τε γαστὴρ αἴρεται καὶ φυσᾶται. καὶ οἱ πόδες οἰδέουσι, καὶ τὰ κοῖλα τοῦ προσώπου. ἡ χροιὴ δὲ ἀειδὴς γίνεται. καὶ τὰ ἐπιμήνια οὐ γίνεται τουτέου τοῦ χρόνου. καὶ ἀσθενεῖ. καὶ ἀλύει. καὶ ὁκόταν ἀνίστηται ἢ προσέλθῃ, οὖν τὴν ὀρθόπνοιαν αὐτὴν ἴσχει. καὶ ὅ, τι ἂν φάγῃ ἢ πίῃ, λυπεῖ αὐτήν. καὶ στένει τε καὶ δυσημεῖ μᾶλλον, ἢ πρὶν φαγεῖν. πολλάκις δὲ καὶ πνίγεται. ὁκόταν ὧδε ἔχῃ, φάρμακον πίσαι κάτω, καὶ τῷ θερμῷ λούειν, καὶ πυριῆν. διαλιπὼν δὲ χρόνον τινὰ, προσιθέναι ὑφ᾽ ὧν καθαρθείη, καὶ διαχθήσεται. πυριῆν δὲ ὡς πυκνότατα τὸ ὅλον σῶμα. τότε δὲ ὑπὸ τὰ αἰδοῖα ὑποθυμιήσθω τὰ εὐώδεα. ὑπὸ δὲ τὰς ῥῖνας, τὰ κακώδεα. καὶ ποτήματα δίδου, ὅσα καθαίρει ὑστέρας. καὶ τὴν λινόζωστιν ἐσθιέτω. καὶ τὸ γάλα πινέτω, ὥσπερ ἐπὶ τοῦ πλευροῦ εἴρηται. ἡ δὲ νοῦσος, χρονίη. Ἄλλη θεραπεία.

Ἢν θρομβωθῶσιν αἱ μῆτραι τὸ στόμα αὐτέων γίνεται, οἷον ὀρόβων μεστόν. καὶ ἢν ἐσαφάσσῃς, ὄψει ὧδε ἔχον. καὶ τὰ ἐπιμήνια οὐ γίνεται. οὐδ᾽ ἡ γονὴ κατέχεται. ὁκόταν οὖν ὧδε ἔχῃ, τῆς κυκλαμίνου τὸν φλοιὸν περιλεπίσαντα, καὶ σκόροδον, καὶ ἅλας. καὶ σύκον. καὶ μέλι ὀλίγον. ταῦτα τρίψας καὶ ξυμμίξας ποιήσας βάλανον, προσθεῖναι πρὸς τὸ στόμα τῶν μητρέων. καὶ τῶν ἄλλων προσθετῶν τῶν μητρέων τὰ προσήκοντα, ὁκόσα δηλαδὴ δριμέα ἐστί. καὶ ἐσθίειν ὑφ᾽ ὧν καθαίρεται αἷμα. καὶ τῶν ποτημάτων διδόναι, ὅσα ὑστέρας καθαίρει, καὶ

ρῃ, καὶ περιξύσας πάντα, καὶ περιελίξας κύστιος δέρμα ἢ ὑμένα, διαξύειν τὸ στόμα τῶν μητρέων.

Ἢν περιστραφῶσιν αἱ μῆτραι, τά τε ἐπιμήνια οὐ γίνεται. καὶ ἡ γονὴ οὐκ ἐγγίνεται. καὶ ὀδύνη ἴσχει τὴν νείαιραν γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας. καὶ ἢν ἐφαφάσσῃ τῷ δακτύλῳ, οὐκ ἂν δύναιτο τοῦ στόματος θίγειν τῶν μητρέων, ἀλλ' ἀνακεχώρηκεν ἰσχυρῶς. ὁκόταν οὕτως ἔχῃ, φάρμακον χρὴ πίσαι, ὑφ' οὗ καθαίρεται ἄνω καὶ κάτω, κάτω δὲ μᾶλλον. καὶ πυριῆν τό, τε στόμα καὶ τὰς μήτρας ὡς μάλιστα. καὶ λούειν τῷ θερμῷ, δὶς τῆς ἡμέρης. καὶ τῶν πομάτων, ὅ, τι ἂν μάλιστα προσδέχηται, πειρώμενος δίδου. καὶ ξυνευδέτω τῷ ἀνδρὶ, ὡς πυκνότατα. καὶ τὴν κράμβην ἐσθιέτω. Ἢν μὴ κατὰ χώραν μένωσι κινηθεῖσαι αἱ μῆτραι, ἔνθα ἢ προσπίπτουσιν ὀδύνας παρέχωσι, καὶ ἀφανέες γίνονται. ὅτε δὲ ἐξίσχωσιν ὥσπερ ἕδρη. ὁκόταν μὲν ὑπτίη κατακειμένη τύχῃ, κατὰ χώρην μένουσιν. ὅταν δὲ ἀναστῇ ἢ ἐπικύψῃ, ἢ ἄλλο τι κινηθῇ, ἐξέρχονται. πολλάκις δὲ καὶ ἡσυχίην ἔχουσι. ταύτην χρὴ ὡς ὅτι μάλιστα, ἡσυχάζειν, καὶ μὴ κινεῖσθαι. καὶ τὴν κλίνην κεῖσθαι πρὸς ποδῶν ὑψηλοτέρην. καὶ τοῖσι αὐτέοισι χρῆσθαι, ὥσπερ ἐν τοῖσιν ἐπάνω. καὶ τοῖς στρυφνοῖσιν αἰωνᾶν. καὶ ὑποθυμιῆν τὰ κακώδεα. ὑπὸ δὲ τὰς ῥῖνας τὰ εὐώδεα. καὶ ῥοιὰν διὰ τοῦ ὀμφαλοῦ τρήσαντα μέσην, πίσαι χλιήναντα ἐν οἴνῳ, ἥτις ἂν μάλιστα ἁρμόζῃ. καὶ μὴ πιέζουν λίαν προστιθεὶς ὡς προσωτάτω. ὁκόταν δέ τι προστιθῇς ἐκ τῆς ὀσφύος ἐπαναδῆσαι ταινίῃ πλατείῃ ἀναλαβὼν ὡς ἂν μὴ ἐξολισθάνῃ, ἀλλὰ μένῃ καὶ ποιέῃ τὸ δοκέον. καὶ τῶν μηκώνων ξὺν τῷ πυρῷ καὶ τοῖσιν ἀλφίτοισι πιπίσκειν, ὥσπερ ἐν τῇ πρὸς τὸ πλευρὸν προσπτώσει γέγραπται. τῶν πομάτων πειρώμενος ὅ, τι ἂν μάλιστα προσδέχηται πιπίσκειν. σιτίοισι δὲ ὡς μαλθακωτάτοισι χρήσθω. καὶ μετὰ ἀνδρὸς ὡς ὅτι μάλιστα κοιμάσθω. Ἢν ἀναχάνῃ τὸ στόμα τῶν μητρέων μᾶλλον ἢ ὡς πέφυκε, τά τε ἐπιμήνια γίνεται πλέω. καὶ κακίω. καὶ ὑγρότερα. καὶ διὰ πλείονος χρόνου. καὶ ἡ γονὴ αὐτῆς οὐχ ἅπτεται, οὐδὲ ἐμμένει, ἀλλὰ πάλιν ἐκχεῖται ἔξω. καὶ ἢν ἐφαφάσσῃς τῷ δακτύλῳ τὸ στόμα τῶν μητρέων εὑρήσεις ἀνακεχηνός. καὶ ἀδυναμίη, αὐτὴν λαμβάνει ὑπὸ τῶν ἐπιμηνίων. καὶ πυρετὸς, καὶ ῥῖγος, καὶ ὀδύνη ἴσχει τὴν νείαιραν γαστέρα, καὶ τοὺς κενεῶνας, καὶ τὰς ἰξύας. πάσχει δὲ ταῦτα μάλιστα μὲν, ἤν τι ἐν αὐτῇ χυθῇ, καὶ διαφθαρὲν σαπῇ. πάσχουσι δὲ καὶ ἐκ τόκου. αἱ δὲ καὶ ἄλλως. ὁκόταν γοῦν ὧδε ἔχῃ, φάρμακον χρὴ πιπίσκειν, ὑφ' οὗ ἄνω καθαίρεται. καὶ ὁκόταν ἡ ὀδύνη ἔχῃ τῶν χλιασμάτων προστιθέναι. καὶ τῷ θερμῷ λούειν. καὶ διαλιπὼν κλύζειν, ὥσπερ ἤδη τῆς προτέρας γέγραπται. καὶ τῶν πομάτων διδόναι, ὅ, τι ἂν μάλιστα προσδέχηται. καὶ ὑποθυμιῆν, ὁκόσα ξηραίνει. καὶ τῶν πολυπόδων ἐσθιέτω. καὶ τὴν λινόζωστιν. Ἢν λειανθέωσιν αἱ μῆτραι, τά τε ἐπιμήνια πλέω γίνεται, καὶ κακίω. καὶ ὑγρότερα. καὶ πυκνότερα. καὶ ἡ γονὴ οὐκ ἐμμένει, ἀλλὰ πάλιν ἐξέρχεται. καὶ ἢν ἐφαφάσσῃς τῷ δακτύλῳ, ὄψει τὸ στόμα λεῖον. καὶ ἀδυναμίη αὐτὴν λαμβάνει ὑπὸ τῶν ἐμμηνίων. καὶ πυρετὸς. καὶ ῥῖγος. καὶ ὀδύνη ἐς τὴν νείαιραν γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας. μάλιστα μὲν ἤν τι ἐν αὐτῇ διαφθαρὲν σαπῇ, καὶ ἐκ τόκου, καὶ ἄλλως. ὅταν ὧδε ἔχῃ, θεραπεύειν χρὴ, ὅκου ἂν ἡ ὀδύνη ἔχῃ. ὥσπερ ἤδη τῆς προτέρης γέγραπται. Ἢν αἱ μῆτραι κατὰ γαστέρα νεύωσι, τὸ ἰσχίον ὀδύνη ἔχει, ὀξείη τε καὶ περιχυνὴ, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας. καὶ τὸ σκέλος ἐπισκάζει. ὁκόταν ὧδε ἔχῃ, φάρμακον χρὴ πίσαι ἐλατήριον. τῇ δὲ ὑστεραίῃ ὑποθυμιῆν. τῶν τε κριθέων χοίνικας δύο, καὶ ἐλαίης φύλλα κατακνήσας πυκνά. καὶ κνίδια κατακόψας καὶ σήσας. καὶ ὑοσκυάμου τριταῖα χοίνικος, ταῦτα μίξας καὶ ἐλαίῳ περιποιήσας ὅσον ἡμικοτύλιον ἐν χύτρῃ, ὑποθυμιᾶν ἤδη τέσσαρας ἡμέρας, τρὶς τῆς ἡμέρης. τῆς δὲ νυκτὸς, γάλα βοὸς, καὶ μέλι καὶ ὕδωρ πινέτω. καὶ θερμῷ λουέσθω.

Ἢν δὲ τὴν κεφαλὴν τράπωσιν αἱ ὑστέραι, σημεῖον τόδε. τὰς φλέβας τὰς ἐν ῥινὶ, τάς τε ὑπὸ τοῖς ὀφθαλμοῖς ἀλγέειν δοκεῖ. ταύτην χρὴ λούειν θερμῷ πολλῷ, καὶ κατὰ τῆς κεφαλῆς. δάφνην τε καὶ μυρσίνην ἐνεψῶν ἐν τῷ ὕδατι. καὶ ῥοδίνῳ μύρῳ τὴν κεφαλὴν ἐγχριέσθω. καὶ ἐπιθυμιάσθω τὰ εὐώδεα. καὶ τὴν κράμβην ἐσθιέτω. καὶ τὸν χυλὸν ἐπιρροφείτω. Ἢν δὲ τὰ σκέλεα καὶ τοὺς πόδας τράπωσι, γνώσῃ ἐν τῷδε. τοὺς μεγάλους δακτύλους τῶν ποδῶν, σπᾶται ὑπὸ τοὺς ὄνυχας. καὶ ὀδύνη ἴσχει τὰ σκέλεα καὶ τοὺς μηρούς. ὁκόταν ὧδε ἔχῃ, χρὴ λούειν αὐτὴν, πολλῷ καὶ θερμῷ. καὶ πυριῆν, ὅ, τι ἂν μάλιστα προσδέχηται. καὶ ὑποθυμιῆν τὰ κακώδεα. καὶ τῷ μύρῳ τῷ ῥοδίνῳ ἀλείφεσθαι. Ἢν γυνὴ ὑστέρας ἀλγέῃ ἀσιτέουσα, καὶ πυρετὸς αὐτὴν, καὶ ῥῖγος λαμβάνῃ, μήκωνος λευκῆς, ὅσον πεμπτημόριον ἡμιχοινικίου, καὶ κνιδίου

καρποῦ

καρποῦ τὸ ἴσον, καὶ τυροῦ αἰγείου ὅσον ἡμιχοίνικα ξύσας, ὁμοῦ τε μαλθάξας σὺν οἴνῳ παλαιῷ, ἔπειτα ἑψήσας, διδόναι ῥοφάνειν. ἢν ἐκ τόκου ῥοῦς λαμβάνῃ, καὶ τὰ σιτία ἐν τῇ γαστρὶ μὴ ἐμμένῃ, ἀσταφίδος χρὴ μελαίνης καὶ ῥοιῆς γλυκείης τὰ εἴσω τρίψαντα, καὶ ἐρίφου πιτύην διεὶς οἴνῳ μέλανι, χέε, τυρὸν ἐπιξύσας αἴγειον. καὶ ἄλφιτα πυρῶν πεφωσμένα ἐπιβάλλων, κεράσας εὔκρατον, δὸς πιεῖν. ἢν αἷμα ἐμέῃ ἐκ τόκου, τοῦ ἥπατος ἡ σύριγξ τέτρωται, καὶ ὀδύνη ἐν τὰ σπλάγχνα φοιτᾷ, καὶ τὴν καρδίην, καὶ σπᾶται. ταύτην χρὴ λούειν πολλῷ καὶ θερμῷ. καὶ τῶν χλιασμάτων, ὅ, τι ἂν μάλιστα προσδέχηται προστιθέναι. καὶ πιπίσκειν ὄνου γάλα, ἐπὶ ἡμέρας πέντε. μετὰ δὲ ταῦτα μεταπιπίσκειν βοὸς μελαίνης, ἀσιτέουσαν ἐπὶ ἡμέρας τεσσαράκοντα. ἐν δὲ τῇ ἑσπέρῃ, σήσαμον τριπτὸν πιπίσκειν. ἡ δὲ νοῦσος ἐπικίνδυνος. ἢν γυνὴ διὰ παλαιοῦ μὴ κυΐσκηται τῶν ἐπιμηνίων ἐμφαινομένων ὁκόταν ἢ τριταίη ἢ τεταρταίη, στυπτηρίην λείην τρίψας, διεὶς μύρῳ εἰρίῳ ἀνασπογγίζων προστίθει. καὶ ἐχέτω κείμενον ἡμέρας τρεῖς. τῇ δὲ τρίτῃ ξύσας βοὸς χολὴν, καὶ ἐν ῥάκει ἐπιθεὶς, διεὶς ἐλαίῳ τὸ ξύσμα καὶ ἀναδεύσας προστίθει. καὶ ἐχέτω ἡμέρας τρεῖς. τῇ δὲ ἑτέρῃ ἀνδρὶ ξυνελθέτω.

Λίνου τὸ χιστὸν ταύτης τῆς καλάμης ὅσον δραχμίδια κόψας λεπτὰ καταβρέξας τε ἐν οἴνῳ λευκῷ ὡς ἡδίστῳ τὴν νύκτα, ἔπειτα ἀπηθήσας χλιαίνων ἐν χυτριδίῳ, εἴριον ὡς μαλθακώτατον ἐμβάπτων τὸ μὲν προστιθέναι, τὸ δὲ ἀφαιρέειν. ἢν βούλῃ ὑστέρας καθῆραι, πρῶτον μὲν χρὴ ὑποθυμιῆσαι κριθὰς ἐν ἐλαίῳ δεδευμένας, ἐπ᾽ ἀνθράκων. τῇ δὲ ὑστεραίῃ οἶος χρὴ κρέας ἑψεῖν, κριθιδίῳ ἐξηθειασμένον. τὸ δὲ κρίθιον ἔστω, ὅσον χόα. καὶ καθεψεῖν σφόδρα. ἐπειδὰν δὲ ἐφθὰ ᾖ, ἀκροχλίαρα κατεσθιέτω. καὶ τὸν ζωμὸν ἐπιρροφέτω. τῇ δ᾽ ὑστεραίῃ, λιβανωτὸν καὶ γλήχωνα λεῖον ποιήσας ἀναδεύσας μέλιτι εἰρίῳ ἀνασπογγίζων, προστίθει, ἐπὶ τρεῖς ἡμέρας. ἢν δὲ ἐν τὴν ἕδρην τράπωσι, καὶ τὰ ὑποχωρήματα κωλύωσιν ὑποχωρέειν, ὀδύνας ἴσχουσι τήν τε ὀσφῦν, καὶ τὴν νείαιραν γαστέρα, καὶ τὰς ἰξύας. ὁκόταν ὧδε ἔχῃ, λούειν χρὴ αὐτὴν, ὕδατι θερμῷ. καὶ πυριῆν τὴν ὀσφῦν. καὶ ὑποθυμιῆν τὰ κακώδεα. καὶ προστιθέναι ὁκόσα καθαίρει τε καὶ ἐλαύνει τὰς ὑστέρας. καὶ πιπίσκειν ὅ, τι ἂν μάλιστα προσδέχηται. ἢν ἑλκωθῇ τὸ στόμα ἢ φλεγμήνῃ, σμύρναν καὶ στέαρ χήνειον, καὶ κηρὸν λευκόν. καὶ λιβανωτὸν ἐν λαγωοῦ θριξὶ, τῆσιν ὑπὸ τὴν γαστέρα μίξας, καὶ λεῖα ποιήσας ἐν εἰρίῳ ὡς μαλθακωτάτῳ προστιθέσθω. ἢν τὰ ὕστερα μὴ δύνηται ἀποφυγεῖν, παραχρῆμα μὲν χρὴ ἀσιτέειν. ἄγνου δὲ πέταλα λεῖα τρίψαντα ἐν οἴνῳ καὶ μέλιτι, ἔλαιον ἐπιχέας ἀναχλιήνας, δίδου πιεῖν, ὅσον κοτύλην. ἢν φλεγμαίνωσιν αἱ ὑστέραι, τῆς ἀκτῆς τὰ φύλλα ὡς ἁπαλώτατα ἐν πυρῶν κριμνοῖς ἑψήσας σητανίοις ἀκροχλίαρον δίδου ῥοφεῖν. ἢν μετακινηθῶσιν αἱ μῆτραι, κισσὸν ὡς ξηρότατον τρίψας, καὶ λειότατον δήσας ἐν ὀθόνιον προσίσχειν λιπαρὸν, καὶ προσφέρειν ἄλλο μηδέν. πιεῖν δὲ διδόναι πυροὺς προκωνίας. καὶ μήκωνα ὀπτήν. καὶ ἐλελίσφακον. καὶ κύπειρον, καὶ ἄννησον. ταῦτα τρίψας λεῖα, διεὶς οἴνῳ, καὶ τῶν κυρηβίων τῶν ἀπὸ τῶν κριθῶν, διδόναι δὶς τῆς ἡμέρης ἐφ᾽ ἑκάτερον ἡμικοτύλιον. ἢν τὰ ἐπιμήνια μὴ γίνηται ἐν τῷ καθεστηκότι χρόνῳ, κράμβης πέταλα, καὶ πήγανον τρίψας λεῖα, ἔπειτα ἄχυρα ἀπὸ τῶν κριθῶν ὅσον χοίνικα βρέξας ὡς ἂν τέγγηται, ἐξαιθριάσον. ἕωθεν δὲ ποιήσας ὅσον κοτύλην διεῖναι τὴν κράμβην, καὶ τὸ πήγανον, ἔλαιον αὐτοῖς ἐπιχέας καὶ ἀναταράξας δοῦναι πιεῖν. ἔπειτα πουλύποδα πνίξας ἐν οἴνῳ λευκῷ, δὸς φαγεῖν, καὶ τὸν οἶνον ἐκπιεῖν. ἢν δὲ βούλῃ τῶν ἰχθύων ἑψῶν τῶν εὐωδεστάτων, διδόναι ἐσθίειν, καὶ τὸν ζωμὸν ῥοφάνειν. ἢν ἀφθήσῃ τὰ αἰδοῖα, μύρα ἑψήσας ἐν οἴνῳ, διακλυζέσθω αἰδοῖα. ἔπειτα ῥοιῆς γλυκείης σίδια ἑψήσας ἐν οἴνῳ, καὶ σμύρνης καὶ ῥητίνης ὁμοῦ μίξας, διεὶς οἴνῳ, ὀθόνιον ἐμβάπτων, προστιθέναι. ἢν στραγγουρίη λάβῃ, τῆς σικύης ἀποταμὼν τὸ στόμα καὶ τὸν πυθμένα, ἐπιθεὶς ἀνθρακιὴν, περίθες τὴν σικύην τῆς σμύρνης ἐπὶ τὸ πῦρ ἐπιπάσας καὶ περικαθίσας ἐπὶ τὴν σικύην. καὶ ἐνθέσθω ἐν τὸ αἰδοῖον τὸ ἄκρον τῆς σικύης, ὡς ἐσωτάτω, ὅκως ἂν ἡ ἀτμὶς ὡς πλείστη ἐν τὰ αἰδοῖα ἀποπέμπηται. καὶ τῶν οὐρητικῶν πομάτων, διδόναι νήστει. ἢν δὲ ἐν τὴν καρδίαν προϊστάμεναι πνίγωσιν αἱ ὑστέραι καὶ μὴ ἀφίστωνται, πράσου καρπὸν τρίψας καὶ γλήχωνος διεὶς ὕδατος κυάθοις τρισὶ, καὶ ὄξεος λευκοῦ κυάθῳ, καὶ μέλιτος τρίτῳ μέρει κυάθου, χλιαίνων, νήστει δίδου ῥοφάνειν. ἢν ἐκ τόκου ἢ τρωσμοῦ ῥῖγος λαμβάνῃ, ἀρκεύθου τὸν καρπὸν καὶ ἐλελισφάκου ὁμοῦ τρίψας, διεὶς ἐν ὄξεος λευκοῦ κύαθον. ἐπιχέας τε ἐπὶ οἴνου

λευκοῦ

λευκοῦ κεκρημένου κύλικα, καταλίξας, ἔασον κεῖσθαι. ἕωθεν δὲ ἀπηθήσας, χλιήνας πιεῖν δίδου. ἢν ἀνεμέωσιν αἱ μῆτραι, καὶ ἢν ἄνεμος ἐγγένηται τῇ νηδύϊ καὶ πόνος ᾖ, ἐλελίσφακον καὶ κύπειρον κόψας τέγξαι τὴν νύκτα ἕωθεν ἀπηθήσας, τὸ καθαρὸν εἰς χύτρην ἐγχέας, κρίμνα πύρινα ἐμβαλὼν, καὶ ὄξος λευκὸν ὅσον κύαθον, ἐπιχέας ὀπὸν σιλφίου ὅσον κύαθον, ἐμβαλὼν καὶ ἑψήσας, ἐν ὠμοτέρῳ δίδου ῥοφάνειν. Ην ἐν τοῖς αἰδοίοις δυσοσμίη ᾖ, καὶ κίων ἐγγένηται, καὶ ὀδύνην ἔχῃ, τὴν μὲν ὀδύνην παύσει, σελίνου καρπὸς ἐν οἴνῳ διδόμενος νῆστις. τὴν δὲ δυσοσμίην, ἄννησον τὸν αὐτὸν τρόπον διδόμενον. τὸν δὲ κίονα χρὴ ἀποτάμνειν. Ην ἕλκεα ἐγγένηται ἐν τοῖσιν αἰδοίοισι, καὶ ξυσμὸς λαμβάνῃ, ἐλαίης φύλλα καὶ κισσοῦ, καὶ βάτου, καὶ ῥοιῆς γλυκείης τρίψας, ἐν οἴνῳ τε δὶς παλαιῷ, ἔπειτα λαβὼν σάρκα ποταμίην προσθεῖναι καὶ καταπλάσαι τοῖσι φύλλοισι. καὶ ἐχέτω τὴν νύκτα. ἕωθεν δὲ ἐξελομένη μυρσίνην ἐν οἴνῳ ἀφεψοῦσα, τῷ οἴνῳ, διακλυζέσθω τὰ αἰδοῖα. Ην τὴν γονὴν μὴ δέχηται τῶν γυναικείων κατὰ φύσιν γινομένων, ἡ μῆνιγξ ἐπίπροσθεν τοῦ τοῦ γίνεται. γίνεται δὲ καὶ ἐξ ἄλλων. γνώσῃ δὲ τόδε. ἢν ἐσαφάσσῃς τῷ δακτύλῳ, ἅψῃ τοῦ προβλήματος. ταῦτα χρὴ πρόσθεμα ποιήσαντα, ῥητίνην καὶ ἄνθος χαλκοῦ, μέλιτι δεῖς, ὀθόνιον ἀμφιδαλώσας προσθεῖναι ὡς ἐσωτάτω ῥάμμα ἐνδήσας ἀπὸ τοῦ ἄκρου. Οκόταν γοῦν ἐξέλῃ, ἔπαιτα τὴν μυρσίνην ἐν οἴνῳ ἀφεψῶν, τῷ οἴνῳ χλιερῷ κλυζέσθω. Ην ἄσθματα λαμβάνῃ γυναῖκα, θείου ὅσον κύαμον, καὶ καρδάμου τὸ ἴσον, καὶ πήγανον. καὶ κυμίνου αἰθιοπικοῦ, ταῦτα τρίψας λεῖα. καὶ δεῖς ἐν οἴνῳ πίνειν δοῦναι νῆστι. δεῖ δὲ καὶ τῶν σιτίων ἀπέχεσθαι, καὶ μὴ πυκνὰ ἐσθίειν. Ην τίκτουσα ἐξανεμωθῇ, ἧπαρ οἰὸς ἢ αἰγὸς ἐν τέφρῃ ἐγκρύψας, διδόναι ἐσθίειν ζωρότερον ἐπὶ τέσσαρας ἡμέρας. καὶ οἶνον πινέτω παλαιόν. Ην τὰς ἰξύας ἀλγέῃ, ἄννησον. καὶ κύμινον αἰθιοπικὸν πινέτω. καὶ θερμῷ λουέσθω. καὶ ἀπόθερμον πινέτω. Ην τὰ ἐπιμήνια γίνηται, ὄστρακον παχὺ κατακαύσας, καὶ λεῖον τρίψας, καὶ ὀρίγανον ἑψήσας ἐν χλιηρῷ ἐλαίῳ λεῖον ποιῆσαι. καὶ ξυμμίξας τῷ ὀστράκῳ ἐν ὀθονίῳ, χλιαρὸν προστιθέσθω. ἢν ξυμμύσωσιν αἱ μῆτραι, καὶ τὰ ἐπιμήνια μὴ φαίνηται, κολοκυντίδα ἀγρίην. καὶ φύλλον. κύμινον αἰθιοπικόν. νίτρον. ἅλας θηβαϊκόν. καὶ νέβρην. καὶ ἄλευρον. καὶ σμύρναν, καὶ ῥητίνην. ἅπαντα ζέσας ταῦτα, ὁμοῦ τε μίξας λεῖα, ποιῶν βάλανον, προστιθέσθω. ἢν πρὸς τὰ σπλάγχνα τραπεῖσαι πνίγωσιν, οἶνον κέδρινον, καὶ κύμινον αἰθιοπικὸν, πινέτω. καὶ θερμῷ λουέσθω. καὶ ἀπόθερμον πινέτω.

ἢν τὰ ἐπιμήνια μὴ γίνηται, χλιηρὸς ἔλαιον, καὶ νέτωπον, καὶ ῥητίνην ξυμμίσγουσα ἡ γυνὴ, προστιθέσθω, ἐρίῳ ἀναποσπογγίζουσα. ἢν δὲ μᾶλλον τοῦ προσήκοντος ἔρχωνται, σήσαμον καὶ βάτου γλῶσσαν ἐν ἐρίῳ προστιθέσθω. ἢν μετακινηθεῖσαι προσπέσωσί που αἱ ὑστέραι, κριθὰς πτίσσας λείας ξὺν τοῖς ἀχύροις πρόσβαλλε. καὶ ἐλάφου κέρας οἴνῳ δεύσας, ὑποθυμιῆν τὰς ὑστέρας. ἢν μὴ δύνηται ἀποφυγεῖν, μαράθρου ἐν οἴνῳ καὶ ἐλαίῳ, καὶ μέλιτι ἀναζέσαντα δοῦναι πιεῖν. ἢν τὰ ἐπιμήνια μὴ φαίνηται καὶ βούλῃ αὐτὰ κατασπᾶν, πυρῶν κρίμνα καὶ κριθὰς ἑψεῖν, ἔλαιον ἐπιχέαντα. εἶτα διδόναι ἐσθίειν. ἢν φλεγμήνωσιν αἱ μῆτραι, κοτυληδόνος φύλλα καὶ πράσα κρίμνοις ἐνεψῶν πυρίνοις, ἔλαιον ἐπιχέων, δίδου ἐσθίειν. ἢν κινηθεῖσαί που προσπέσωσι, καὶ ὀδύνην παρέχωσιν, ἐλαίης ψώρην καὶ δάφνης, καὶ κυπαρίσσου πρίσματα ἑψήσας ἐν ὕδατι τὸ ὀθόνιον ἐμβαλὼν, προστίθει. ἢν ὑστέρα ἀλγέῃ, καὶ πρὸς τὴν κύστιν ἡ ὀδύνη, πράσου καρπὸν τρίψας ἐν ὕδατι, πιεῖν διδόναι νήστιδι. καὶ χλιάσματα προστιθέναι.

ἢν αἱ μῆτραι προσέχωσι, προχλινίψας αὐτὰς ἐν ὕδατι χλιαρῷ, καὶ ἀλείψας ἐλαίῳ καὶ οἴνῳ, πάλιν ἐνδεῖναι. καὶ ἀναδεῖσαι ἐκ τῶν ἰξύων. καὶ ὑποθυμιῆν τὰ κακώδεα. καὶ ἢν μὴ δύνηται οὐρέειν, λούσας θερμῷ καὶ πυριήσας. ὑποθυμιήσας κυπαρίσσου πρίσματα, καὶ τῶν οὐρητικῶν πομάτων διδόναι πίνειν. ἢν ῥόος γένηται, ὑποθυμιήσας στρυφνοῖσιν, ὀνίδα προμίξεσας, ἐνδήσας ἐρίῳ προστίθει. ἡ δὲ ὄνις ἔστω ξηρή. ἢν ἐν τοῖσιν αἰδοίοισιν ἕλκεα γένηται, βόλβον στέαρ ἐπαλείφειν καὶ προστιθέναι. καὶ τῇ μυρσίνης ἐν οἴνῳ ἀφεψῶν, διακλύσαι. ἢν ἐκ τόκου τὸ στόμα ἑλκωθῇ, ῥόδων ἄνθος τρίψας λεῖον, οἴνῳ δεύσας ἐν λαγωοῖσι θριξὶ, προστιθέναι καὶ διακλυζέσθω τοῖσι στρυφνοῖσι. ἢν τὰς ὑστέρας ἀλγέῃ, σκορόδων μόλυζαν, καὶ νίτρον ὀπτόν. καὶ κύμινον λεῖα ποιήσας, μέλιτι δεύων, προστίθει. καὶ τῷ θερμῷ λουέσθω. καὶ ἀπόθερμον πινέτω. ἢν ἀφθήσῃ τὰ αἰδοῖα, στέαρ βόος. καὶ βούτυρον. καὶ χλιηρὸς ἔλαιον καὶ σήσαμον μίξας, διαχρίειν τὰ αἰδοῖα τουτέοισι. καὶ διακλυζέσθω χλιαρῷ ὕδατι. ἢν προσιστάμεναι πνίγωσιν, ἐλλύχνιον χλιήνας,

ἀποσβέσας

ἀποσβέσας, ὑπέχειν ὑπὸ τὴν ῥῖνα, ὅκως ἂν τὸν καπνὸν ἕλκῃ. ἔπειτα σμύρναν διεὶς μύρῳ, ἐν εἰρίῳ ἀναδεύσας προστίθει. καὶ πιεῖν δίδου ῥητίνην ἐλαίῳ διέντα. Ἢν τὸ χωρίον μὴ ὑποχωρέῃ, κόνυζαν τρίψας ἐν εἰρίῳ ποιήσας πρόσθεμα προστιθέναι. καὶ τὴν ἴγνυν οἴνῳ διατρίψας δοῦναι πιεῖν. Ἢν τὴν κεφαλὴν ἀλγέῃ, καὶ τὴν νείαιραν γαστέρα, καὶ τὰς ἰξύας, χολὴ ἐν τῇσι μήτρῃσιν ἐστί. ταύτῃ γοῦν χρὴ δοῦναι φάρμακον, ὃ καθαίρειν ἄνω τε καὶ κάτω δύναται. καὶ λούειν θερμῷ. καὶ προστιθέναι, ὅσα χολὴν καθαίρει. καὶ ἄνησον. ἢ μελάνθιον διεὶς οἴνῳ, δίδου πιεῖν. Ἢν ῥόος ἐγγένηται, καρκίνους ποταμίους ἀποπνίξας ἐν οἴνῳ, τὸν οἶνον διδόναι πίνειν καὶ ὑποθυμιῆν ὅσα ξηραίνει καὶ προστιθέναι. Ἢν ῥοῦς ἐγγένηται, τῶν πράσων ὅσον δεσμίδα τρίψας ἐν οἴνῳ δίδου πίνειν. καὶ τοῖσι ξηροῖσι καὶ τοῖσι στρυφνοῖσι χρήσθω. Ἢν ῥοῦς ἐγγένηται, ἡμιονίδα κατακαύσας, καὶ κόψας λείην, διασήσας τε, διεὶς οἴνῳ, πιπισκέτω. τοῖσι δ' ἄλλοισι τὸν αὐτὸν τρόπον χρήσθω. Ἢν ῥοῦς ἐγγένηται, καὶ πολυχρόνιος ἤδη ᾖ, σηπίην κατακαύσας καὶ τρίψας λεῖον, οἴνῳ διεὶς εὐώδει, πῖσον. καὶ ὑποθυμιήσας, ξήραινε καὶ προστίθει ὅτι ἂν ἀποστύφῃ. Ἢν καθῆραι τὰς ὑστέρας βούλῃ, νίτρον. κύμινον, σκόροδον. καὶ σῦκα λεῖα ποιήσας, μέλιτι δεύσας προστίθει. καὶ θερμῷ λουέσθω. καὶ ὑπόθερμον πινέτω. Ἢν ἀλγέῃ τὰς ὑστέρας, κυκλαμίνου τὴν ῥίζαν ἐν οἴνῳ λευκῷ πιπίσκειν νήστει. καὶ θερμῷ λουέσθω. καὶ ὑπόθερμον πινέτω. Ἢν γάλα ἀποσβεσθῇ, τὰ μὲν ἄλλα τὸν αὐτὸν τρόπον θεράπευε. πιπίσκειν δὲ δίδου, τὸν καρπὸν τοῦ μαράθρου. καὶ τὰς ῥίζας ἑψημένας, καὶ βούτυρον ἑψήσας ὁμοῦ. ὁκόταν δὲ ἑφθὰ ᾖ, ψύξας δὸς πιεῖν. ἀγαθὸν δὲ καὶ τὸ ἱππομάραθρον, καὶ τὸ ἱπποσέλινον συνεψόμενα.

Ἢν γάλα ἀποσβεσθῇ, πράσα τρίψας διεὶς ὕδατι, δοῦναι πιεῖν. ἢ θερμῷ λουέσθω. καὶ τῶν πράσων καὶ τῶν κραμβῶν ἐσθιέτω συνεψοῦσα τοῦ κυτίσου τὰ φύλλα, καὶ τὸν χυλὸν ῥοφείτω. Ἢν γάλα ἀποσβεσθῇ πράσα τρίψας, διεὶς ὕδατι δοῦναι πιεῖν. καὶ θερμῷ λουέσθω. τὸν ἐλελίσφακον ἑψοῦσα. καὶ τῶν κεδρίνων ἢ τῶν ἀρκευθίδων παρεμβάλλουσα, ἀποχέουσα τὸν χυμὸν, καὶ οἶνον ἐπιχέουσα, πινέτω ἐς τὰ λοιπὰ ἄλευρον ἐμβάλλουσα. καὶ βολβόν. καὶ ἐλαίου μικρὸν ἐπιχέουσα, ἐσθιέτω. καὶ τῶν δριμέων, καὶ τῶν ὀξέων, καὶ ἁλμυρῶν, καὶ ὠμῶν λαχάνων, πάντων ἀπεχέσθω. τὸ δὲ κάρδαμον ἐν οἴνῳ πινόμενον, ἀγαθόν. ἢ γὰρ τὸ γάλα καθαίρει. καὶ θερμῷ λουέσθω, καὶ ἀπόθερμον πινέτω. Ἢν βούλῃ γυναῖκα κυῆσαι, κάθηρον αὐτὴν, καὶ τὰς μήτρας. ἔπειτα δίδου τὸ ἄνηθον ἐσθίειν νήστει. καὶ οἶνον ἐπιπίνειν ἄκρητον. καὶ προστιθέναι νίτρον ἐρυθρόν. κύμινον καὶ ῥητίνην μέλιτι δεύσας, ἐν ὀθονίῳ, πρόσθες. καὶ ὁκόταν τὸ ὕδωρ ἀπορρυῇ, τοὺς μέλανας πεσσοὺς προστιθέσθω μαλθακτήριον, καὶ παρὰ ἀνδρὶ ξυνευνέτω. Ἢν βούλῃ ἔγκυον ποιῆσαι γυναῖκα, καθήρας αὐτὴν καὶ τὰς μήτρας, προστιθέναι τῇσι μήτρῃσι ῥάκος, καταξηράνας ὡς λεπτότατον. καὶ μέλιτι δεύσας, καὶ βαλάνους ποιήσας, ἀποβάπτων ἐς ὀπὸν συκῆς, προστιθέναι, μέχρις ἂν στομωθῇ. ἔπειτα δὲ μᾶλλον εἴσωθεν. ἐπειδὰν δὲ ἀπορρυῇ τὸ ὕδωρ διανιζομένη οἴνῳ καὶ ἐλαίῳ, συνευδέτω τῷ ἀνδρί. πινέτω δὲ, καὶ ὁκόταν μέλλῃ καθεύδειν βλήχωνα ἐπὶ κεδρίνῳ οἴνῳ. Ἐκβόλιον ἐμβρύου καὶ μητρέων. Σικύου ἀγρίου τὸν ὀπὸν, ὅσον πόσιν ἐς μάζαν ἐμπάσσουσαν προσθεῖναι, προνηστεύσασαν ἐπὶ δύο ἡμέρας. Σταφὶς ἀγρίης ὅσον δύο δραχμίδας διεὶς ἐν μελικρήτῳ, δοῦναι πιεῖν. Πειρητήριον. Μόλυζαν σκορόδου ἀποζέσας, προσθεῖναι πρὸς τὰς μήτρας. τῇ δ' ὑστεραίῃ, τὸν δάκτυλον διεῖσα καὶ ἐσαφάσσουσα, σκοπέτω. καὶ ἢν μὲν ὄζῃ τὸ στόμα, εὖ ἔχει. εἰ δ' οὔ, πάλιν προστιθέσθω. Ἕτερον πειρητήριον. Νέτωπον ὀλίγον ἐν εἰρίῳ ἑλίξας, προσθεῖναι. καὶ ὁρῆν ὅθεν ἂν τοῦ στόματος ὄζῃ.

Προσθετά. Σκορπίου θαλασσίου τὴν χολὴν ἐς εἴριον ἐνελίξας καὶ ξηρήνας, ἐν σκιῇ προστιθέναι. Γλήχωνα ξηρὸν λεῖον ποιήσας μέλιτι δεύσας, προστιθέναι ἐν εἰρίῳ. Σικύου σπέρμα καὶ ὄστρακον κατακαύσας, οἴνῳ τε δεύσας, ἐν λαγωοῦ θριξὶν, ἐν εἰρίῳ προστιθέναι.

Στυπτηρίην αἰγυπτίην εἰρίῳ κατελίξας, προστιθέναι. Κανθαρίδας οἴνῳ δεύσας ἐν εἰρίῳ προστιθέναι. Τὴν ἀρτεμισίην ποίην, οἴνῳ δεύσας προστιθέναι. Μελάνθιον τρίψας ἐν οἴνῳ λευκῷ, εἰρίῳ προστιθέναι. Νεοτόκῳ. Ῥόδινον μύρον καὶ κηρὸν, ἐν εἰρίῳ, προστιθέναι. Βόλβιτον τὸ ἐκ τῶν πυρῶν τρίψας ἐν οἴνῳ δεύσας, ἐν εἰρίῳ προστιθέναι. Οἴνου λευκοῦ παλαιοῦ τὴν τρύγα κατακαύσας καὶ καταδεύσας ἐν οἴνῳ λευκῷ, καὶ τρίψας, ἐν εἰρίῳ προστιθέναι. Χαλβάνην καὶ νέτωπον καὶ μίσυ ἐν ῥοδίνῳ μύρῳ, ἐν ὀθονίῳ προστιθέναι. Ἐλατήριον ὡς δύο πόσιας καὶ κνεῖον ἐν οἴνῳ, ἐν ὀθονίῳ προστιθέναι. Βούτυρον καὶ στυπτηρίην, μέλιτι δεύσας, ἐν ὀθονίῳ προστιθέναι.

προσίθει. Ὀπὸν σκαμμωνίης καὶ στέαρ ἐν μάζῃ, συναναμίξας οἴνῳ, δεύσας, ἐν ὀθονίῳ προσίθει. Ἢν μὴ θέλῃ κυΐσκεσθαι, μίσυος ὅσον κύαμον διεὶς ὕδατι δίδου πίνειν καὶ ἐνιαυτὸν οὐ κυΐσκεται. Ἢν βούλῃ γυναικὸς ἐμπειρηθῆναι εἰ ἔστι παιδίουσα εἴτε καὶ μὴ, τῇ ἐρυθρᾷ λίθῳ, τοὺς ὀφθαλμοὺς ὑπαλεῖψαι. καὶ ἢν μὲν ἐσέλθῃ τὸ φάρμακον, παιδίουσα γίνεται. ἢν δὲ μὴ, οὔ. Ἢν παιδίου ἄφθαι τὰ αἰδοῖα, ἀμύγδαλα λεῖα τρίψας, καὶ βοὸς μυελὸν ἐν ὕδατι ἑψῶν, καὶ ἄλητον ἐμβαλὼν μικρὸν, διαχρίειν τὰ αἰδοῖα. καὶ διακλύζειν τῷ ὕδατι τῷ ἀπὸ τῶν μύρτων.

Ἢν παρθένος λιθιήσῃ, τοῦ φύλλου διδόναι τῆς αἰθιοπικῆς ῥίζης ἐν σταθμῷ, ἐν οἴνῳ παλαιῷ, διδοὺς ἐπὶ ἡμέρας δέκα, τὸ δὲ λοιπὸν διηθῶν ἐν ὕδατι ἐπὶ εἴκοσιν ἡμέραις. καὶ λούειν δὶς τῆς ἡμέρης, πολλῷ καὶ θερμῷ. Καταπλάσματα. Σκόροδον. ἀνδράχνην. σέλινον. λωτοῦ καὶ κέδρου πρίσματα. λεῖα ὁμοῦ μίξας, διεὶς μελικρήτῳ, κατάπλασμα ποιέων, κατάπλασσε. Βάτου φύλλα, μυρσίνης φύλλα, ὁμοῦ λεῖα διεὶς, μελικρήτῳ ξυμφυρήσας ἀλφίτοις κατάπλασσε. ἀκτῆς φύλλα. μυρσίνης φύλλα. τερμίνθου τὰ ἁπαλώτατα, τὸν αὐτὸν τρόπον κατάπλασσε. Λωτοῦ πρίσματα. συκαμίνου φύλλα ὁμοῦ λεῖα μίξας, διεὶς ὕδατι ἀσταφίδος κατάπλασσε. Ὑποθυμιήσεις. οἴσυος στάσις. ἢ αἰγὸς ξηρὰς κόψας, καὶ κριθὰς πεφωσμένας καὶ ἐρηριγμένας ἐν ἐλαίῳ δεύσας, ὑποθυμία. Ἐλάφου κέρας, καὶ ἐλαίας τὰς μήπω ἐχούσας ἔλαιον, ὁμοῦ λεῖα μίξας, θυμία. Ῥοῦν τὴν ἐρυθρὴν καὶ ἄλφιτα πεφωσμένα ἐλαίῳ δεύσας ὑποθυμία. ἄλφιτον καὶ βόλβιτον καὶ ἄχυρα, ἐλαίῳ δεύσας, ὑποθυμία. Λωτοῦ πρίσματα, καὶ ῥοῦ φύλλα, καὶ κυπαρίσσου ξηρῆς πρίσματα, οἴνῳ μέλανι δεύσας αὐστηρῷ ὑποθυμιῆν. Χαλβάνην. μάνναν. ῥητίνην μύρῳ δεύσας ὑποθυμιῆν. αἰγὸς κέρας, καὶ κικίδα. καὶ στέαρ ὑὸς καὶ κεδρία, ὑποθυμία. Ὄνων τὴν ἐπὶ τῷ ποδὶ γῆν, ξύσας, καὶ ὀνίδας οἴνῳ μέλανι δεύσας, ὑποθυμιῆν. Κλυσμοί. Μυρσίνης φύλλα καὶ δάφνης καὶ κισσοῦ ἐν ὕδατι χλιηρῷ κλύζειν. Ῥοῦ φύλλα, καὶ ῥοιῆς, καὶ βάτου, ἐν μελικρήτῳ ἀφεψῶν, ἀποχέων κλύζειν. Τῆς ἀκτῆς τὰ φύλλα καὶ τοῦ ἐχίνου ἀφεψῶν ὕδατι ἀποχέας, ἀκροχλιήρως κλύζειν. Μαράθρου ῥίζαν κόψας, ἐν ὕδατι ἀφεψῶν, καὶ κράμβης ἐπιχέας ἔλαιον. ἔπειτα ἀποχέας κλύζειν. Οἰνάνθην καὶ κύπερον, καὶ ἀσταφίδας ἀφεψῶν ἐν μελικρήτῳ, κλύζειν. Μαλάγματι ἐν ὕδατι ζέσας ἀποχέας τὸ ὕδωρ, ἀκροχλίηρον κλύζειν. Κυπαρίσσου πρίσματα καὶ ἀμάρακον ἐν γλυκεῖ κεκρημένῳ ὕδατι ἀφεψῶν κλύζειν.

Ἕρπυλον καὶ λευκοΐου τὴν ῥίζαν ἀφεψῶν ἐν μελικρήτῳ κλύζειν. Ὑπερικόν. καὶ σχῖνον. καὶ κεδρίδας ἐν ὕδατι ἀφεψῶν, ἀκροχλίηρον κλύζειν. Κηρίον, καὶ βούτυρον. καὶ ῥητίνην, καὶ χηνὸς ἔλαιον, ἐν ὕδατι ἀφεψῶν, κλύζειν. Πυριήσεις. αἶρας φώξας καὶ καταλέσας, ἕψε ἐν ὀξυκράτῳ ἀκρατεστέρῳ. ὁκόταν δὲ ἑψήσῃς ἐνδήσας ἐς ὀθόνιον. πυριῆν. Φακοὺς φώξας καὶ περιπτίσας, καὶ ποιήσας ἄλευρα χονδρώδεα, ὕδατι ἀφεψήσας ἐνδήσας ἐς ὀθόνιον προσίθει. Ὀρόβους τὸν αὐτὸν τρόπον ποιέων, πυριῆν. ἀγαθὸν δὲ καὶ ὁ ἐλελίσφακος τὸν αὐτὸν τρόπον γινόμενος. Ἐλελίσφακον καὶ ὑπερικὸν ἀφεψῶν ἐν ὕδατι, ἐν τῷ ἀφεψήματι ἄχυρα κριθῶν ἑψήσας ἐς ὀθόνιον, πυρία. Λωτοῦ πρίσματα καὶ κυπαρίσσου ἀφεψῶν ἐν ἀσταφίδος ἀποβρέγματι, ἐνδήσας ἐς ὀθόνιον, πυρία. Ἐλαίης φύλλα, καὶ μυρσίνης καὶ κισσοῦ, καὶ δάφνης ἑψῶν ἐν ὕδατι ἀποχέας τὸ ἀφέψημα ἕψε ἐν αὐτέῳ ἄχυρα κριθῶν. ἔπειτα ἐνδήσας ἐς ὀθόνιον πυρία.

Κυπαρίσσου πρίσματα, καὶ κέδρου, καὶ πίτυρα κριθῶν, ὁμοῦ μίξας ἐν ἀποβρέγματι ἀσταφίδος, φυρήσας καὶ ποιήσας ἄρτον, ὀπτήσας θερμὸν ἐς ῥάκος ἐνδήσας, πυρία. Λευκοΐου τὸν καρπὸν ἢ τὰς ῥίζας ἀφεψήσας ὕδατι, καὶ τῷ ὕδατι φυρήσας πίτυρα πυρῶν ἄρτον ποιήσας θερμὸν, ἐς ῥάκος ἐνειλίξας, πυρία. Τὸν ἕρπυλον ἐν ὕδατι ἀφεψήσας, τῷ ἀφεψήματι πίτυρα πύρινα ἐμβαλὼν, τὸν αὐτὸν τρόπον πυρία. Σπόγγους θερμαίνων καὶ προστιθείς. καὶ ἐρίοισι μαλθακοῖσι, καὶ ῥάκεσι σπείροισιν, καὶ ὀστρακίοισιν ἀγγείοισιν ὕδωρ ἐπιχέων, καὶ θυλακίοισι τὸν αὐτὸν τρόπον, καὶ τὸ ἀφέψημα τὸ ἐγχέων, πυριῆν. Καθαρτήριον. ἢν γυναῖκα μὴ δυναμένην τεκεῖν, κυῆσαι θέλῃς ποιῆσαι, σκέψασθαι χρὴ ἐν τοῖσιν καταμηνίοισιν, ἤν τε χολώδης, ἤν τε φλεγματώδης ᾖ. γνώσῃ δὲ τόδε πρότερον. ψάμμον ἐμβαλὼν ἐς τὸν ἥλιον λεπτὴν ξηρὴν, ὁκόταν τὰ καταμήνια χωρέωσιν, ἐν τῷ ἡλίῳ ἀποχέας τοῦ αἵματος, ἔα ξηρανθῆναι. καὶ ἢν μὲν χολώδης ᾖ, ἐπὶ τῇ ψάμμῳ ξηραινόμενον τὸ αἷμα, χλωρὸν γίνεται. ἢν δὲ φλεγματώδης, οἷον μύξα. τουτέων οὖν ὁκότερον ἂν ᾖ καθήρας τὴν κοιλίην, ἤν τε ἄνω ἤν τε κάτω δοκέῃ σοι δεῖσθαι, εἶτα διαλιπὼν ἡμέρας ὀλίγας, τὰς ὑστέρας καθαίρειν. Ὑστερέων πυρίαι. Ἢν σκληραὶ ἔωσιν αἱ

σιν αἱ ὑστέραι, καὶ μὴ κυΐσκηται, οἶνον ὡς ἥδιστον ἴσον κεράσας, ὥστε τρία ἡμίχοα ἀττικά. καὶ μαράθρου ῥίζας. καὶ τοῦ καρποῦ τοῦ μαράθρου τετάρτην μοῖραν. καὶ ῥοδίνου ἀλείμματος ἡμικοτύλιον. ταῦτα ἐγχέας ἐς ἐχῖνον κενὸν, καὶ τὸν οἶνον ἐπιχέας. τοῦ δὲ ἐχίνου τρυπῆσαι τὸ ἐπίθεμα, καὶ ἐνθέντα κάλαμον πυριῆν. τὸν δὲ κάλαμον σὺν τῷ ἐπιθέματι ἀφαιρέεσθαι. ἢν γὰρ ἄνευ τοῦ ἐπιθέματος ἀφαιρέῃς, καυθήσεται. ἐπὴν δὲ πυριήσηται, τὴν σκίλλαν προστίθεσθαι, ὡς κάτω γέγραπται. προστίθεσθαι δὲ, ἐς ἂν φῇ μαλακὸν εἶναι τὸ στόμα καὶ εὐρύ. καὶ ἢν μὲν ἑλκωθῇ, καὶ φλυκταῖναι ὦσιν ἐν τῇ καθάρσει. ἢν μὲν ἄκρα τὰ χείλεα ἑλκωθῇ, ἄννησον καὶ χήνειον ἔλαιον ἐν ῥοδίνῳ ἐλαίῳ τρίψας, ἐς εἴριον ἐνειλίξας, σάρκα βοὸς λαβὼν παχυτέρην τοῦ μεγάλου δακτύλου ποδὸς, μῆκος δὲ ἓξ δακτύλων, χρίσας τῷ φαρμάκῳ περιελίξας τῷ εἰρίῳ τὸ φάρμακον ἀποσπογγίσας, τὸ ἔσχατον τῆς σαρκὸς ὃ μέλλει ἔξω εἶναι, λίνῳ δήσας, ἔνθες τὸ ψιλὸν τῆς σαρκὸς, ἐς τὰς μήτρας, ἕως ἂν τὸ ἕλκος. Γυναικεῖα καθαρτήρια. Ἢν μὴ προΐηται ἡ κάθαρσις, λαβὼν σικύης ἐντεριώνην, ὅσον τριώβολον, καὶ ἀρτεμισίην ποίην, καὶ λιβανωτοῦ ὀβολὸν τρίψας, ἐν μέλιτι μίξας ἐς εἴριον ἐνελίξας, πρόσθες πρὸς τὸ στόμα τῆς μήτρης, τῆς ἡμέρης πεντάκις τοῦτο ποιῶν. Τὸ ἀμπέλιον τρίβων χλωρὸν ἐν μέλιτι καὶ ἐς εἴριον ἐνελίξας προστιθέναι τὸν αὐτὸν τρόπον. Τῆς κυπαρίσσου τὸν καρπὸν, καὶ σικυώνης ἐντεριώνης, καὶ λιβανωτὸν τρίψας, ἐν τῷ αὐτῷ τε μέλιτι ἐνελίξας ἐν εἰρίῳ, πρόσθες τὸν αὐτὸν τρόπον. Τῆς κυπαρίσσου τὸν καρπὸν, καὶ λιβανωτὸν τρίψας, ἐν τῷ αὐτῷ τε μέλιτι ἐνελίξας ἐν εἰρίῳ πρόσθες. ἀβρότονον ὅσον τριώβολον τρίψας, ἐν μέλιτι ἐς εἴριον ἐνελίξας προστίθει. Ἐλατηρίου ὀβολὸν, καὶ σμύρνης ὀβολὸν τρίψας. καὶ μέλιτι ἐς εἴριον ἐνελίξας, προστίθει. Ἢν γυνὴ μὴ κυΐσκηται καθαρτήριον. Ταύρου οὖρον ξυλλέξαι ὅσον τρεῖς κοτύλας. ἔπειτα λαβὼν ἀρτεμισίην ποίην, ἢ παρθένιον, ἢ ἀδίαντον, καὶ δάφνην χλωρὴν, καὶ κέδρου πρίσματα, κόψον λεῖα ὁμοῦ. εἶτα ὀρύξας βόθρον, ἐγκαύσας τε ἄνθρακας, καὶ ἐπιθεὶς χύτραν, ἐγχέαι τὸ οὖρον τοῦ ταύρου καὶ ἔμβαλλε τὰ κεκομμένα ἐν ὅλμῳ. ἔπειτα ἐπιθεὶς δίφρον, ἐπίθες τῆς ἀρτεμισίης ποίης, ἢ ὕσσωπον, ἢ ὀρίγανον. εἶτα ἐπικαθίσας τὴν γυναῖκα, πυρίησον ἕως ἂν ἱδρώσῃ. ὅταν δὲ ἱδρώσῃ, λοῦσαι θερμῷ. ἐς δὲ τὸ λουτρὸν ἐμβάλλειν τὴν ἀρτεμισίην. καὶ δάφνην. εἶτα πρόσθετον ποιῆσαι. ἢ ἀρτεμισίην, ἢ βόλβιον ἐν οἴνῳ λευκῷ τρίψας εἰρίῳ ἐνειλίξας προστιθέτω. ταῦτα ποιέειν ἐφ' ἡμέρας τρεῖς. εἶτα κοιμάσθω παρὰ ἀνδρί. Πρόσθετον κυητήριον. Ἐκ νίτρου καὶ λιβανωτοῦ βάλανον ποιήσας ἐν μέλιτι, πρόσθες. Πρόσθετον καθαρτήριον μαλθακτικόν. Ἰσχάδα λαβὼν ἑψήσας, ἕως ἂν τὰς κεγχραμίδας ἀποβάλλῃ, ταύτας ἀποπιέσας ὡς λειότατον, προσθέσθω ἐν εἰρίῳ καὶ ῥοδίνῳ μύρῳ. Ἕτερον δριμύτερον. κράμβης. πηγάνου. ἑκατέρου ἴσον τρίψας, χρῶ τὸν αὐτὸν τρόπον. Ἕτερον πρόσθετον μαλθακόν τε καὶ καθαρτήριον. Χηνὸς μυελὸν, ἢ βοὸς, ἢ ἐλάφου, ὅσον κύαμον παραχέοντα μύρου ῥοδίνου, καὶ γάλα γυναικὸς, τρίβειν ὥσπερ τὸ μαλθακὸν φάρμακον τρίβεται. εἶτα ὑπαλείφειν ἐκ τούτου, τὸ στόμα τῆς μήτρης. ἕτερον χλιερὸν καθαρτήριον. Χηνὸς μυελὸν ὅσον κάρυον. ῥητίνης σχινίνης, ἢ τερεβινθίνης, ὅσον κάρυον. ταῦτα τήξας ἐν μύρῳ ῥοδίνῳ ἐπὶ πυρὸς μαλθακοῦ, καὶ ποιήσας ὥσπερ κηρωτὴν. εἶτα τουτέῳ χλιερῷ ἐναλείφειν τὸ στόμα τῆς μήτρης καὶ τὸν κτένα καταβρέχειν. Καταπασικὸν καθάρσιος καὶ στατικόν. Γλυκυσίδης κόκκους τοὺς μέλανας ἢ ἐρυθροὺς τρεῖς ἢ τέσσαρας τούτους τρίβοντας ἐν οἴνῳ, δοῦναι πιεῖν. ἢν δὲ μᾶλλον καταπάσαι θέλῃς τῶν μελανῶν κόκκων τῆς γλυκυσίδης τρίψας, τὸν αὐτὸν τρόπον δὸς πιεῖν. Ἕτερον καθαρτήριον καὶ καταπασικόν. Δαφνίδας εἴκοσι τὰς πλείστας. καὶ σεσέλιος ἥμισυ ὀξυβάφου, τρίψας μετὰ οἴνου, πινέτω. ταύρου χολὴν ὅσον τρία ἡμιωβόλια ἀττικὰ τρίψας, ἐν οἴνῳ δοῦναι πιεῖν νήστει. καὶ περιπλάσσων καταπότια δίδου. ἄλευρον σητάνιον. σμύρνης ὅσον τριώβολον. κρόκου τὸ ἴσον. καστορίου ὀβολὸν, ταῦτα τρίψαντα, μύρῳ ῥοδίνῳ προστιθέσθω. Ἕτερον καθαρτήριον. κνίδης καρποῦ καὶ μαλάχης χυλὸν ἐν στέατι χηνὸς τρίψαντα, προσθεῖναι. ἢν μὴ καθαρθῇ ἐκ τόκου, τῆς πάλης ὅσον τοῖς τρισὶ δακτύλοις ἑψήσας, μέλιτι ἐγχέαι καὶ συμπλάσαι τὴν κοιλίην, καὶ δοῦναι πιεῖν. Ὑστέρας ἀναστομωτήριον τὸ αὐτὸ καὶ καθαρτικόν. Κανθαρίδας τρίβε πέντε, ὄξος λευκὸν παχέων. καὶ μὴ ὑγρὸν πάνυ ποίει. ἀλλ' ὡς ἐκμάσσεσθαι δάκτυλον. λαβὼν δὲ σῦκα λευκοῦ πίονος, ἄνευ τῶν κεγχραμίδων καὶ τοῦ δέρματος, διπλάσιον ξυμμίξας μέρος τῆς κανθαρίδος, τρυβίον ποιήσας, εἰρίῳ λεπτῷ κατειλίξασα προσθέσθω. Καθαρτήριον. Ἢν ἐκ τόκου μὴ καθαρθῇ, τοῦ τριφύλλου ἐν οἴνῳ πίνειν, τοῦτο δὲ καὶ τὰ καταμήνια καταῤῥή-

γνυσι, καὶ

ένυσι, καὶ ἔμβρυον ἐκβάλλει. Μητρέων καθαρτήριον. Ὁκόταν παιδίου ἐναποθανόντος αἷμα ἐμμένῃ, κολοκυντίδα ἀγρίην τρίψας ἐν μέλιτι, λειχέτω, ἢ προστιθέτω. Αἵματος καθαρτικόν. Αἷμα ἐξελάσεις ἐκ μητρέων, λευκοΐου καρπὸν τρίβων λεῖον, οἴνῳ διεὶς, διδόναι πίνειν. Αἷμα ὡσαύτως ἐξελάσεις ἐκ μητρέων. Ῥοῦ τὸν καρπὸν, ὁκόταν ἐρυθρὸς ᾖ, τρίβων κόκκους ὅσον τριήκοντα χλωροὺς, καὶ κυνόροδα ἐρυθρὰ περιλέγων, τὸ ἐρυθρὸν διδόναι πίνειν ἐν οἴνῳ.

Ὅταν τὸ αἷμα ῥαγῇ, προσθετὸν καθαρτήριον. Ἢν τὰ γυναικεῖα μὴ φαίνηται, στύρακα, καὶ ὀρίγανον τρίψας λεῖα, καὶ ξυμμίξας, ἐπίχεον καὶ χηνὸς ἔλαιον. ἔπειτα προστιθέσθω. Προσθετὸν καθαρτικὸν, ὥστε μήτρας ἐκκαθαίρειν, καὶ κενοῦν. ἀψινθίου ῥίζαν τρίψας λείην, καὶ περιμίξας μέλι, προσθεῖναι σὺν ἐλαίῳ. προσθετὰ ὑστερέων καθαρτικὰ ἀναστομωτήρια καὶ ὕδωρ ἄγοντα. Σκίλλας ὅσον ἑξαδάκτυλον τὸ μῆκος. παχέος δὲ ὡς ὁ μικρὸς δάκτυλος. τουτέου περιξύσας ὅσον δύο δακτύλους, λεῖον ποιήσας, κατειλίξας τὸ λοιπὸν ἐν εἰρίῳ ῥυπαρῷ. καὶ τὸ μὲν ἀπεξεσμένον, πρὸς τὸ στόμα τῶν ὑστερέων ἐᾶν προσκεῖσθαι ἡμέραν καὶ εὐφρόνην. λουσαμένη δὲ καὶ ἀφαιρεομένη, διανιζέσθω ὕδατι εὐώδει. Καθαρτικὸν μαλθακὸν, ὅπερ ὕδωρ ἄγει καὶ φλέγματα. χλωρά τε ὕφαιμα καταμήνια κατασπᾷ ἢν μὴ πολυχρόνια ᾖ, καὶ τὸ στόμα μαλθάσσει.

Μύρον ναρκίσσινον. κύμινον ὃ ἐσθίομεν. σμύρναν τε καὶ λιβανωτόν. ἀψίνθιον. κυπάρισσον. ἅλας. ῥόδινον, ἄλειφα. τῶν μὲν ἄλλων, χοῦν ἑκάστων. τοῦ δὲ ναρκισσίνου, τέσσαρας μοίρας. ἔπειτα ὀθόνιον ὠμόλινον ξυμμίξας ἅπαντα καὶ ποιήσας βάλανον, ἢ περὶ τὸ πτερὸν ῥάκος λεπτὸν περιθεὶς, καταδῆσαι καὶ ἐμβάψαι εἰς ἄλειφα λευκὸν αἰγύπτιον, προσθεῖναι. καὶ ἐᾶν ὅλην ἡμέραν προσκεῖσθαι. εἶτα λουσαμένη καὶ ἀφαιρεομένη, διανιζέσθω ἐν ὕδατι εὐώδει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΓΥΝΑΙΚΕΙΩΝ ΠΡΩΤΟΝ

Τ

Α δὲ ἀμφὶ γυναικείων νούσων, ὧδε φημί. γυναῖκα ἄτοκον ἐοῦσαν, ἢ τετοκυῖαν, χαλεπώτερον καὶ θᾶσσον ἀπὸ τῶν καταμηνίων νοσέειν. ὁκόταν γὰρ τέκῃ, εὐροωτέρα οἱ τὰ φλέβιά ἐστιν ἐς τὰ καταμήνια. εὔροα δέ σφιν ποιέει ἡ λοχίη, κάθαρσίς τις ἐοῦσα. καὶ ἢν καταρραγῇ τοῦ σώματος τὰ πλησιάζοντα μάλιστα, τῆς τε κοιλίης καὶ τῶν μαζῶν καταρρήγνυται. καταρρήγνυται δὲ καὶ τὸ ἄλλο σῶμα. ὑπό του δὲ γίνεται, εἴρηται μοι ἐν τῇ φύσει τοῦ παιδίου τοῦ ἐν τόκῳ, καταρραγέντος δὲ τοῦ σώματος, ἀνάγκη τὰς φλέβας μᾶλλον στομοῦσθαι καὶ εὐροωτέρας γίνεσθαι εἰς τὰ καταμήνια. καὶ τὰς μήτρας μᾶλλον στομοῦσθαι, οἷα τοῦ παιδίου χωρήσαντος διὰ σφέων, καὶ βίην καὶ πόνον παρασχόντος. καὶ τουτέων ὧδε ἐχόντων, τὰ καταμήνια ἀκαματώτερον καθαίρεται ἡ γυνὴ, ἐπὴν λοχίων ἔμπειρος γένηται. εἰ δὲ καί τι πάθημα τῇ γυναικὶ γένοιτο τῇ ἤδη τετοκυίῃ, ὥστε καταμήνια μὴ δύνασθαι ἐλθόντα εὖ καθαρθῆναι, ῥηϊτέρως τὸν πόνον οἴσει, ἢ εἰ ἄτοκος ᾖ. ἠθάδες γάρ αἱ μῆτραι, καὶ τὸ σῶμα ἐπιτήδειον πληροῦσθαι, ἅτε ἐν γαστρὶ ἐχούσῃ, καὶ ἅμα εὐρυχωρίη πολλή ἐστιν ἐν τῷ σώματι. πλείων δὲ ἡ εὐρυχωρίη γίνεται καὶ περὶ αἵματι, ἐπὴν τέκῃ, οἷα τοῦ σώματος καταρραγέντος. καὶ ἐν εὐρυχωρίῃ ἐὸν τὸ σῶμα, ἀπονώτερον γίνεται, ἢν μὴ ὑπερπιμπλῶνται αἱ φλέβες καὶ ὑπερπονέωσιν. ἀτόκῳ δὲ ἐούσῃ, τοῦ τε σώματος οὐ ξυνήθεος ἐόντος, ἐπὴν πληρωθῇ. καὶ ἰσχυροτέρου τε καὶ στερεωτέρου καὶ πυκνοτέρου ἐόντος, ἐπὴν λοχίων ἔμπειρος γένοιτο, καὶ τῶν μητρέων ἀναστομωτέρων ἐουσῶν, τὰ ἐπιμήνια ἐπιπονωτέρως χωρέει, καὶ τὰ παθήματα προσπίπτει πλείονα, ὥστε διὰ τοῦτο τὰ καταμήνια ἀποφράσσεσθαι ἔστ᾽ ἂν ἄτοκος ᾖ. ἔχει δὲ ὧδε ὥς μοι καὶ πρὶν εἴρηται. φημὶ τὴν γυναῖκα ἀραιοσαρκοτέρην καὶ ἁπαλωτέρην εἶναι, ἢ τὸν ἄνδρα. καὶ τούτου δὲ ὧδε ἔχοντος, ἀπὸ τῆς κοιλίης ἕλκει τὴν ἰκμάδα. καὶ ταχίον καὶ μᾶλλον τὸ σῶμα τῆς γυναικὸς ἢ τοῦ ἀνδρός. καὶ γὰρ εἴ τις ὑπὲρ ὕδατος, καὶ διὰ χωρίου ὑδρηλοῦ δύο ἡμέρας καὶ δύο εὐφρόνας θείη εἴρια καθαρὰ, καὶ εἷμα καθαρὸν καὶ βεβυσμένον εὐσταθμῶς ἶσον τοῖσιν εἰρίοισιν, ἀνελὼν εὑρήσει στήσας πολλὸν βαρύτερα τὰ εἴρια ἢ τὸ εἷμα. ὅτι δὲ τοῦτο γίνεται, αἰεὶ ἀποχωρέει εἰς τὸ ἄνεκας ἀπὸ ὕδατος ἐν ἀγγείῳ εὐρυστόμῳ ἐόντος. καὶ τὰ μὲν εἴρια, ἅτε ἀραιά τε καὶ μαλθακὰ ἐόντα, ἀναδέξεται τοῦ ἀποχωρέοντος πλέον. τὸ δὲ εἷμα ἅτε πλῆρες ἐὸν καὶ βεβυσμένον, ἀποπληρώσεται τὸ πολλὸν οὐκ ἐπιδεχόμενον τοῦ ἀποχωρέοντος. οὕτω δὴ καὶ ἡ γυνὴ, ἅτε ἀραιοτέρη ἐοῦσα, εἵλκυσε πλείονα ἀπὸ τῆς κοιλίης περὶ σώματι τὴν ἰκμάδα καὶ θᾶσσον, ἢ ὁ ἀνήρ. καὶ ἅτε ἁπαλοσάρκῳ ἐούσῃ τῇ γυναικὶ ἐπὴν

πλησθῇ τοῦ αἵματος τὸ σῶμα, ἢν μὴ ὑποχωρήσῃ ἀπ' αὐτέου, πληρευμένων τῶν σαρκῶν καὶ θερμαινομένων, πόνος γίνεται. θερμότερον γὰρ τὸ αἷμα ἔχει ἡ γυνή. καὶ διὰ τοῦτο θερμοτέρη ἐστὶ τοῦ ἀνδρός. ἢν δὲ τὸ πλεῖον ἐπιγινόμενον ἀποχωρέῃ, οὐ γίνεται ὁ πόνος, καὶ ἡ θέρμη ὑπὸ τοῦ αἵματος. ὁ δὲ ἀνὴρ στερεοσαρκότερος ἐὼν τῆς γυναικός, οὔτε ὑπερπίμπλαται τοῦ αἵματος ἐν τῷ ἄνω τῆς κοιλίης τόσον, ὥστε ἢν μὴ ἀποχωρέῃ τι τοῦ αἵματος καθ' ἕκαστον μῆνα, πόνον χρὴ ἔσεσθαι. ἕλκει τε ὁκόσον ἐν τροφὴν τοῦ αἵματος. τό, τε σῶμα οἱ οὐκ ἁπαλὸν ἐόν, οὐχ ὑπερπονέει, οὐδ' ὑπερθερμαίνεται ὑπὸ πληθώρης ὡς τῇ γυναικί. μέγα δὲ ξυμβάλλεται ἐν τούτῳ τῷ ἀνδρί, ὅτι ταλαιπωρέει μᾶλλον τῆς γυναικός. ἡ γὰρ ταλαιπωρίη, ἀπάγει τι τῆς ἰκμάδος. Ἐπὴν οὖν γυναικὶ ἀτόκῳ ἐούσῃ, κρυφθῇ τὰ ἐπιμήνια, καὶ μὴ δύνηται ὁδὸν ἔξω εὑρεῖν, ἡ νοῦσος γίνεται. τοῦτο δὲ ξυμβαίνει, ἢν τῶν μητρέων τὸ στόμα μεμύκῃ, ἢ ἰδνωθῇ, ἢ ξυστραφῇ τι τοῦ αἰδοίου. ἢν γὰρ τουτέων τι ᾖ, οὐ δυνήσεται ἔξοδον εὑρεῖν τὰ ἐπιμήνια, πρὶν ἂν αἱ μῆτραι ἐς τὴν φύσιν τὴν ὑγιηρὴν μεταστέωσι. γίνεται δὲ τὸ νόσημα τοῦτο μάλιστα ταύταις, αἵτινες στενοχώρους τὰς μήτρας ἔχουσιν, ἢ τὸν αὐχένα πρόσω τοῦ αἰδοίου κείμενον. ἢν γὰρ τουτέων θάτερον ᾖ, καὶ μὴ μίσγηται ἡ γυνὴ τῷ ἀνδρί, καὶ κενωθῇ ἡ κοιλίη μᾶλλον τοῦ καιροῦ ὑπὸ τοῦ τέου τοῦ παθήματος, στρέφονται αἱ μῆτραι. ὅτε γὰρ ἰκμαλέαι εἰσὶ κατὰ σφέας οἷα μὴ λαγνευομένης. εὐρυχωρίη τε σφίσιν ἐστίν, ἅτε τῆς κοιλίης κενωτέρης ἐούσης ὥστε στρέφεσθαι. ἅτε ξηροτέρης καὶ κουφοτέρης ἐούσης τοῦ καιροῦ. καὶ ἔστιν ὅτε στρεφομένων σφέων τυγχάνει τὸ στόμα παραστρέφειν ἅτε τοῦ αὐχένος πρόσω τοῦ αἰδοίου κειμένου. ἢν γὰρ ἰκμαλέαι ἐῶσιν αἱ μῆτραι ἀπὸ λαγνείης καὶ κοιλίη μὴ κενῶται, οὐ ῥηϊδίως στρέφονται. τοῦτ' οὖν αἴτιον γίνεται ὥστε αὐτὰς ξυμμύειν, οἷα μὴ λαγνευομένης τῆς γυναικός. Ἐν δὲ τοῖσι τριταίοισιν, ἄριστα μὲν πείσεται, ἢν οἱ κατελθόντα διαγάγῃ τὰ προϋπάρχοντα. εἰ δὲ μή, πείσεται τάδε ἡ γυνή, πνίξ τέ οἱ ἄλλοτε καὶ ἄλλοτε ξυμπεσεῖται. καὶ πῦρ λήψεται ἄλλοτε καὶ ἄλλοτε, καὶ φρίκη, καὶ ὀσφύος ἄλγημα. ταῦτα πείσεται, ἐν τοῖσι τριταίοισιν ἐπιμηνίοισιν, ἢν μή οἱ διίῃ. Ἐν δὲ τοῖσι τεταρταίοισιν, ἢν μή οἱ διιόντα, τοῖσι τε προτέροισιν ἔξοδον ποιήσῃ. καὶ τότε μὲν τρίτα πονήματα πάντα μᾶλλον πονήσει, καὶ μάλιστα ἐν τῷ χρόνῳ τῶν καταμηνίων. ἔπειτα ἄνοσον. πολλάκις δὲ καὶ δοκέει ἄπονος εἶναι. ἔσται δὲ ὧδε τοῖσι τεταρταίοισι, καὶ τάδε τὰ σημεῖα. οὐρήσει τε, πολὺ παχύ, ἄλλοτε καὶ ἄλλοτε. καὶ ἡ γαστὴρ αὐτῆς σκληρὴ ἔσται. καὶ μείζων, ἢ τὸ πρόσθεν. καὶ βρύξει τοὺς ὀδόντας. καὶ ἀσιτήσει. καὶ ἀγρυπνήσει. τοιαῦτα πείσεται, ὧδε τοῖσι τεταρταίοισι καταμηνίοισι. μελεδαινομένη δέ, καὶ ἐν τουτέοισιν ὑγιαίνει. Καὶ ἐν τοῖσι πεμπταίοισιν, ἢν μή οἱ πουλλὰ τὰ ἐπιμήνια κατίῃ, καὶ ὁ πόνος ἰσχυρότερος προσπίπτῃ. Ἐν δὲ τοῖσιν ἑκταίοισιν, ἤδη ἀνίητος ἔσται. καὶ κατὰ μὲν πρότερα σημεῖα μᾶλλον πονήσει. ἔπειτα δὲ ἐπ' αὐτοῖσι καὶ τάδε. ἀλύξει τε καὶ ῥίψει ἑωυτήν, ἄλλοτε καὶ ἄλλοτε. καὶ λειποθυμήσει. καὶ ἐμέσει φλέγμα. καὶ δίψα ἰσχυρή μιν λήψεται. ἅτε καιομένης τῆς κοιλίης ὑπὸ τῶν μητρέων ἐουσέων πληρέων αἵματος. καὶ ψαυομένη ἀλγήσει. καὶ μάλιστα τὸ ἦτρον. καὶ πυρέξει ἄλλοτε καὶ ἄλλοτε ὀξέως. καὶ βορβορύζουσιν αἱ μῆτραι ἄλλοτε καὶ ἄλλοτε, ἅτε τοῦ αἵματος ἐγκλονευμένου, καὶ διαχωρέοντος ἐν αὐτῇσι. καὶ ἡ κοιλίη οὐ διαχωρήσει κατὰ τρόπον. ὅτε ἡ κύστις διηθήσει τὸ οὖρον. ἐπὴν οἱ αἱ μῆτραι προσπέσωσι πρὸς τὸν στόμαχον νευρώδεα ἐόντα. καὶ ἐν τὴν κοιλίην ἐμβάλλωσιν, ἀλγέει τὴν ῥάχιν. καὶ τὸ νῶτον πᾶν. καὶ τὴν γλῶτταν αὐτῆς χαλινοῦται, καὶ ἀσαφῆ ταύτην ἔχει. καὶ λειποθυμέει. ἔστι δ' ᾗσι καὶ ἀφωνίη. καὶ δάκνεται τὸν στόμαχον. καὶ ξανθὴ ἡ χολὴ ἔξεισι. καὶ πνεῦμα προσταῖον. καὶ ἀλύει. καὶ ῥιπτεῖ ἑωυτήν. καὶ ἐμπίπραται. ἐπὴν δὲ μεταστέωσι καὶ εἰρύσει ἡ κύστις τὸ λεπτὸν τοῦ αἵματος τὸ ἀπὸ τῶν μητρέων, τότε τὸ οὖρον διουρέεται ἐρυθρόν, καὶ πονέει μετὰ τὸ ἄλλο σῶμα, μάλιστα δὲ τὸν τράχηλον, καὶ τὴν ῥάχιν, καὶ τὴν ὀσφῦν, τούς τε βουβῶνας. καὶ ἐν τούτῳ ἐλθούσῃ αὐτῇ, ἥ τε γαστὴρ αἴρεται, καὶ τὰ σκέλεα ὑπὲρ τὸ χρεὼν οἰδίσκεται, καὶ αἱ κνῆμαι, καὶ οἱ πόδες. καὶ ὁ θάνατος ἔπεισι. καὶ περὶ μὲν ταύτης οὕτω τελευτᾷ ἐν ἓξ μῆνας τὰ ἐπιμήνια ἀδηλεύμενα, γίνεται δὲ καὶ ταῦτα. Ἔστιν ᾗσι τῶν γυναικῶν ἐπὴν δίμηνα ᾖ, τὰ καταμήνια ἐν τῇσι μήτρῃσι πολλὰ ἐόντα, ἔρχεται ἐν πλεύμονα, ἐπὴν ἀποληφθῇ, καὶ πάσχει πάντα, ἅπερ ἐν φθινάδι εἴρηται. καὶ οὐκ οἵη τε ἐστὶ περιεῖναι. γίνεται δὲ καὶ τάδε. ἔστιν ᾗσι δίαπυα γίνονται τὰ ἐπιμήνια χρονίσαντα, ἐπὴν γένηται δίμηνα ἢ τρίμηνα. τοῦτο δὲ μάλιστα γίνεται, ἢν ξυγκαῇ ὑπὸ τοῦ πυρός. σημεῖα δὲ ἐστίν, ἢν δίαπυα ᾖ, ὀδύναι γὰρ ἐμπίπτουσιν ἐς τὸ ἦτρον, ἰσχυραὶ καὶ σφύξιες,

καὶ ψαυομένη

καὶ ψαυομένη οὐκ ἀνέχεται. καὶ ἢν μέλλῃ βελτιόνως ἔχειν, ῥήγνυται αὐτῇ τὰ ἐπιμήνια κατὰ τὸ αἰδοῖον. καὶ χωρέει πῦον καὶ αἷμα. ὀζόμενον δὲ, χωρέει, ἐπὶ ἡμέρας ἑπτὰ, ἢ ὀκτὼ, ἢ ἐννέα. ἐν δὲ τῷ πρὶν χρόνῳ, πονέεται ὡς εἴρηται ἔμπροσθεν. ἐπὴν δὲ ἀποκαθαρθῇ, ἄριστον μὲν ἢν μὴ γένοιτο τὰ ἕλκεα. ἢν δὲ ὑπολείπηται ἕλκεα, πλείονος δεήσει θεραπείης, ὅκως τὰ ἕλκεα μὴ μυδήσῃ, καὶ κάκοδμα γίνηται. ἄφορος δὲ ἔσται, καὶ ἢν ῥαΐσῃ, ἢν μεγάλα ᾖ τὰ ἕλκεα γενόμενα ἐν τῇσι μήτρῃσιν. ἢν δὲ μὴ οἱ τὰ κατὰ τὸ αἰδοῖον χωρήσῃ, τὰ ἐπιμήνια διάπυα γενόμενα ἐς τὰ ὑπὲρ τοῦ βουβῶνος ξυμβήσεται κατὰ τὴν λαπάρην ῥαγῆναι, ἄτερ φύματος. ἅτε τοῦ πύου διαῤῥαγέντος, καὶ κείνη χωρήσει πυώδεα ὀδμαλέα. καὶ ἢν μὲν γένηται, οὐ περιγίνεται ἡ γυνή. ἢν δὲ καὶ περιγένηται, ἀεὶ ἄφορος ἔσται. ταύτῃ γὰρ οἱ τὸ λοιπὸν ἡ ὁδὸς γίνεται, τοῖσιν ἐπιμηνίοισιν ἔξω. τὸ γὰρ στόμα τῶν μητρέων, πρὸς μὲν τὸ χωρίον προσπέπτωκε. γίνεται δὲ καὶ τόδε. ἔστιν ᾗσιν ἐπὴν δίμηνα, ἢ τρίμηνα, ἢ χρονιώτερα ᾖ τὰ ἐπιμήνια, καὶ προσπέσῃ πρὸς τὴν λαπάρην, μὴ διαπύων τῶν καταμηνίων ἐόντων, ὡς φῦμα γίνεται ὑπὲρ τοῦ βουβῶνος, ἀκέφαλον, μέγα, ἐρυθρόν. καὶ τῶν ἰητρῶν πολλοὶ ἤδη οὐκ εἰδότες μὲν οἷον ἐστὶν, ἔταμον, καὶ ἐς κίνδυνον ἤγαγον οὕτως. τὸ δὲ ὡς φῦμα γενόμενον, γίνεται τρόπῳ τοιῷδε. ἐπαυρίσκεται τοῦ αἵματος ἡ σάρξ, ἅτε προσκειμένου τοῦ στόματος τῶν μητρέων, τῇ λαπάρῃ. καὶ πίμπλαται ἀπ' αὐτέου, καὶ ἐξίσταται, ἅτε πληρευμένη τοῦ αἵματος ἡ σάρξ. καὶ ἔστιν ὅτε, ἢν μεταστῇ τὸ στόμα τῶν μητρέων, καὶ γένηται κατὰ τὸ αἰδοῖον, καὶ χωρέουσι διὰ τοῦ αἰδοίου τὰ καταμήνια, καθίσταται τὸ ἐξεστηκὸς κατὰ τὴν λαπάρην. διαδιδοῖ γὰρ ἐς τὰς μήτρας. αἱ δὲ, ἔξω ἐχάλασαν. ἢν δὲ μὴ στραφῇ κατὰ τὸ αἰδοῖον τὸ στόμα τῶν μητρέων, διαπύει κατὰ τὴν λαπάρην, καὶ ταύτῃ ὁδὸς γίνεται τοῖσι καταμηνίοισι. καὶ οἱ κίνδυνοι οἱ αὐτοί εἰσιν, οἱ καὶ πρόσθεν εἰρημένοι. τρέπεται δὲ καὶ ἐς ἔμετον. ἔστιν ᾗσι καὶ κατὰ τὴν ἕδρην, ὥσπερ μοι εἴρηται, ἐν τοῖσι παρθενίοισι νούσοισι. καὶ σημεῖα καὶ πόνους τοὺς αὐτοὺς δείκνυσι, τοῖσι κεῖθι εἰρημένοισιν. ἧσσον δὲ ταύτην τὴν ὁδὸν ποιέεται τὰ ἐπιμήνια, τῇσι γυναιξὶν, ἢ τοῖσι παρθένοισιν. ὁκόταν τὰ ἐπιμήνια κρυφθῇ, ὀδύνη ἕξει τὴν νειαίρην γαστέρα, καὶ δοκέει τι ἐγκεῖσθαι βάρος, καὶ τὰς ἰξύας ἐκπάγλως πονέει, καὶ τοὺς κτενῶνας. Ην δὲ τὰ ἐπιμήνια παντάπασι μὴ ᾖ χωρέοντα, γίνεται ὑπὸ νόσου ἢ παχέα, καὶ γλίσχρα, ἢ κολλώδεα. χρὴ οὖν πρῶτον τὴν κοιλίην καθῆραι, ἄνω τε καὶ κάτω. ἔπειτα τὰς ὑστέρας προσθέτω, ἀφ' οὗ αἷμα καθαίρεται καὶ διαλείπειν. καὶ πίσαι ὑφ' οὗ αἷμα ἴῃ. πινέτω δὲ καὶ κρηθμὸν ἐν οἴνῳ διὰ ἀπὸ δ' αἰδὸς. ἢν δ' ὁ ῥόος μὴ γίνηται, ἔσται ὥστε δοκέειν ἐγκύμονα εἶναι. καὶ μισγομένην ἀνδρὶ, ἀλγέειν, ὥστε δοκέειν ἐγκεῖσθαί τι. καὶ βεῖθος ἐν τῇ γαστρὶ ἐγγένηται. καὶ ἡ γαστὴρ πρόκειται, καὶ ἱμείρεται ἠδελφισμένως ὡς ἐν γαστρὶ ἐχούσῃ. καὶ καρδιώσσει, ἐπὴν ἡμέραι πεντήκοντα μάλιστα ἔωσι. καὶ πόνος ἔχει, ἄλλοτε καὶ ἄλλοτε τῆς γαστρὸς τὸ κατὰ τοῦ ὀμφαλοῦ, τόν τε τράχηλον, καὶ τοὺς βουβῶνας, καὶ τὴν ὀσφῦν. καὶ ἐπὴν μῆνες δύο ἢ τρεῖς γένωνται, ἔστιν ὅτε ἐῤῥάγη οἱ κατὰ τὸ αἰδοῖον τὰ καταμήνια ἀθρόα, καὶ δοκέει ὥσπερ σάρκα εἶναι τὰ ἀπιόντα, ὡς ἐκ διαφθορᾶς, καὶ μέλαινα. ἔστι δ' ᾗσι καὶ ἕλκεα γίνεται ἐν τῇσι μήτρῃσι. καὶ δεήσεται προσέχειν τῇ μελέτῃ. πολλῇσι δὲ συμβαίνει, ὥστε δοκέειν, ἓξ μῆνας ἔχειν ἐν γαστρὶ, ἢ καὶ ὀλίγῳ ἐλάσσονα χρόνον. καὶ ἡ γαστὴρ πρόκειται, καὶ τἄλλα οἱ δοκέει γίνεσθαι ὥστε ἐν γαστρὶ ἐχούσῃ. ἔπειτα ἐστὶν ᾗσι διαπύοντα, ἐῤῥάγη ὑπὲρ τοῦ βουβῶνος ἅμα τῷ πέμπτῳ ἢ ἕκτῳ μηνὶ, καὶ ὁδὸν ταύτῃ ἐποιήσατο. ἔστι δὲ καὶ ᾗσιν ἕλκεα γίνεται ἐν τῇσι μήτρῃσι καὶ κάτω ὑπὲρ τοῦ βουβῶνος. καὶ κινδυνεύσει ἀποθανεῖν, ἢν δὲ καὶ περιγένηται ἄφορος ἔσται. ἔστι δὲ ᾗσι καὶ κατὰ τὸ αἰδοῖον ῥήγνυται, καὶ χωρέει αὐτέῃ σεσηπότα καὶ πυώδεα. καὶ ἀπὸ τουτέων ἕλκεα ἐγγίνεται ἐν τῇσι μήτρῃσι, καὶ κινδυνεύσει. καὶ χρὴ, ὅκως μὴ τὰ ἕλκεα παλαιὰ γένηται, ἰητρεύειν προσέχοντα. ἄφορος δὲ καὶ αὐτὴ γίνεται, ἤν γε καὶ ἰηθῇ. ἢν δὲ μὴ οἱ ῥαγῇ τὰ καταμήνια διενεχθέντα ἓξ μῆνας, πέσεται πάντα ἅπερ τῇ ἀτόκῳ τὰ καταμήνια ὁδὸν οὐ δυνάμενα ἐξευρεῖν. καὶ ἢν μὲν θεραπευθῇ, ὑγιὴς ἔσται. ἢν δὲ μὴ, διαρκέσασα καὶ ἐς ὀκτὼ μῆνας, θνήσκει. πολλῇσι δὲ γίνεται ἢν τὰ καταμήνια φλεγματώδεα χωρέοντα ἐπὶ πολλὸν χρόνον, καὶ ἐλάσσονα εἶναι τοῦ ὑγιηροῦ. ὑγιὴς δὲ γίνεται ἐν κόσμῳ τῷ προσήκοντι ἰηθεῖσα. ἢν δὲ τὰ ἐπιμήνια γυναικὶ χωρέῃ μὲν, ἐλάσσονα δὲ τοῦ δέοντος χωρέει, ἅτε τοῦ στόματος τῶν μητρέων παρακεκλιμένου ὀλίγον τοῦ αἰδοίου, ἢ ἀρμοῖ μεμυκότος ἐς μὲν, ὥστε χωρέειν μὲν, ἀποφράσσεσθαι δὲ ἀπ' αὐτέων, καὶ αἱ δίοδοι ἃς περαιῶσιν. ἐπὴν κατέλθῃ ἐς τὰς μήτρας, τὰ μέτρια τελέως τοῦ αἵματος ἐπικειμένου τῷ στόματι αἰεὶ προέρχεται

δὴ κατ' ὀλίγον. καὶ ἐπὴν αἱ ἡμέραι παρέλθωσιν ᾗσι καθαίρεσθαι μεμαθήκει, καὶ ἐκχυθῇ τὸ αἷμα ἐν τῇσι μήτρῃσι τὸ ἀπολειφθὲν, καὶ ἑτέρα ὑποκατιόντα ἐπιμήνια μὴ ἐξωθῇ τὸ ἐρχθὲν αἷμα, ἀλλ' αἰεὶ βαρύνει κατ' ὀλίγον. οὔ τε τοὺς πρώτους μῆνας, ἢ ἐπὶ δύο, ἢ ἐπὶ τρεῖς, μὴ ἐσίει κάρτα. ἐπὴν δὲ οἱ μῆνες πλέονες γένωνται, ἔτι μᾶλλον πονήσεται. καὶ οὐκ ἴσχει ἐν γαστρὶ, μέχρις ἂν οὕτως ἔχῃ. καὶ πῦρ λήψεταί μιν μάλιστα τὰς ἡμέρας ἐν ᾗσι καθαίρεσθαι μεμαθήκει, ἠπεδανόν. εἰκὸς δὲ ἐστι καὶ περὶ μεσηγὺ χρόνῳ πυρεταίνειν. καὶ φρίσσειν. καὶ καρδιώσσειν, καὶ ἀνάγειν ἐπὶ τὸ πλῆθος ἀνὰ πᾶσαν ἡμέρην. καὶ ἀλγέει ἄλλοτε καὶ ἄλλοτε τὸ σῶμα, καὶ μάλιστα τὴν ὀσφῦν, καὶ τὴν ῥάχιν, καὶ τοὺς βουβῶνας. τά τε ἄρθρα τῶν χειρῶν καὶ τῶν ποδῶν. ταῦτα δὲ οὐχ ὁμοῦ ἀλγέει, ἀλλ' ἄλλοτε καὶ ἄλλοτε, ὅπῃ ἂν βρίσῃ τὸ αἷμα τὸ ἀποκεκλειμένον. καὶ μὴ δυνάμενον ἐξιέναι ἐν τῇσι μήτρῃσι. καὶ ὅπῃ ἂν στηρίξῃ τοῦ σώματος, οἴδημά ἐστιν. ὅτε γίνεται καὶ σπασμὸς ἰσχυρὸς τῶν ἄρθρων τοῦ σώματος, καὶ τῶν ἄλλων σημείων τῶν προειρημένων, φαίνεταί οἱ ἄλλοτε ἄλλο ἐστὶν ὅτε. αὕτη ἢν μὲν θεραπευθῇ κατὰ τρόπον, ὑγιὴς ἔσται. εἰ δὲ μὴ, ἡ νοῦσος ἑπτάμηνος ἢ καὶ χρονιωτέρη γινομένη θανατώδης εἴη ἄν. ἢ χωλεύσειεν. ἢ ἀκρατέα τινὰ τῶν μερέων ποιήσειεν. ἢν ὑπὸ ῥίγεος καὶ ἀσιτίης τὸ αἷμα ἐνθάδε ἂν ἐπέλθῃ, πῆξιν ἴσχει πρὸς τὰ νεῦρα. τοῦτο δὲ τὸ νόσημα γίνεται μᾶλλον τῇσιν ἀνάνδροισιν. ἢν δὲ μὴ ἐμπειροτόκῳ ταῦτα τὰ νοσήματα ἐμπέσῃ τὰ εἰρημένα ἢ ὅσα μέλλῃ εἰρήσεσθαι, πουλυχρονιώτερα ἔσται καὶ ἧσσον ἐπίπονα. τὰ δὲ σημεῖα ταῦτα καὶ τελευταῖαι αἱ αὐταὶ γίνονται τῇ τε ἀτόκῳ, καὶ τῇ λοχίων ἐμπείρῳ, ἢν μὴ θεραπεύωνται. χρὴ δὲ αὐτίκα τὴν θεραπείην ποιέεσθαι. εἰ δὲ μὴ, ἐπιφαίνεται αὐτίκα τὰ νοσήματα. ἢν δὲ τὰ ἐπιμήνια πλέονα τοῦ δέοντος χωρέῃ καὶ παχύτερα, οἷα τοῦ σώματος φύσει τε εὐρέος ἐόντος, καὶ τοῦ στόματος τῶν μητρέων πλησίον τοῦ αἰδοίου κειμένου, καὶ ἐπὶ τουτέοισιν ἀνδρί τε ξυνίῃ πολλὰ, καὶ εὐωχέηται ἐσάπαξ ποτὲ, πολλὰ κατελθόντα καὶ χωρέοντα βύζην, ἐπευρύνει μᾶλλον τὸ στόμα τῶν μητρέων βιασάμενα. καὶ ἐπὶ τουτέοισι μὴ ἐπιπέσῃ κενεαγγέη, ἀλλ' αὖθις πολλὰ ἴῃ ἄλεα, καὶ τὸ στόμα εὐρὺ ποιέει καὶ τὸ σῶμα, ἅτε εὐωχουμένης ἱδρουμένης τε καὶ συνεούσης ἀνδρὶ, εὔροον ἢ ἐπὶ τὰς μήτρας, καὶ ἄλεα ἐπιφέρηται, ἄχρους τε ἔσται μέχρις ἂν οὕτως ἔχῃ. καὶ ἢν ὕστερόν τι νόσημα ἢ πάθημα ἐπιπέσῃ ὥστε τρυχωθῆναι τὸ σῶμα, ὁμοίως ἅτε μῆτραι κατὰ τὸ εἰωθὸς εὐρύστομοί εἰσι. καὶ τὸ σῶμα εὔροον ἐπ' αὐτάς ἐστιν. καὶ μετὰ ταῦτα πῦρ ἔχει. καὶ ἀσιτέει. καὶ ἀλύει. καὶ λεπτὴ, καὶ ἀμενηνὴ, καὶ τὴν ὀσφῦν ἐκ τῶν ἐπιμηνίων πονήσει. καὶ τοῦ χρόνου προϊόντος ἢν μὴ θεραπευθῇ, πάντα μιν μᾶλλον πονήσει, ἐν δὲ μεταξὺ χρόνῳ. καὶ οἱ ἔσται κίνδυνος ἀφόρῳ τε γενέσθαι, ἢ τρυχωθεῖσαν ὑπὸ χρόνου τε καὶ τῆς νούσου ἤν τι οἱ ξυμπέσῃ καὶ ἄλλο νόσημα, ἐπὶ τουτέῳ θανεῖν αὐτήν. χωρέει δὲ τὰ καταμήνια παχύτερα. καὶ πλεῖστα τῶν ἡμερέων τῇσιν ἐν μέσῳ. ἀρχόμενα δὲ καὶ τελευτῶντα, ἐλάσσονα καὶ λεπτότερα. Μέτρια δ' ἐστὶ πάσῃ γυναικὶ χωρέειν ἢν ὑγιαίνῃ τὰ ἐπιμήνια ἐλθόντα, ὅσον κοτύλαι δύο ἀττικαὶ, ἢ ὀλίγῳ πλέονα, ἢ ἐλάσσονα, ταῦτα δὲ ἐφ' ἡμέρας δύο ἢ τρεῖς. ὁ δὲ πλέων χρόνος ἢ ἐλάσσων, ἐπίνοσος καὶ ἄφορός ἐστι. τεκμαίρεσθαι δὲ χρὴ ἐς τὸ σῶμα τῆς γυναικὸς ὁρέοντα, καὶ ἐρωτᾶν πρὸς τὸ πρότερον ξυμβαλλόμενον, εἴτε ἐπίνοσος αἰεὶ ζῇ, εἴτε μή. ἢν γὰρ ἐλάσσονας ἢ πλέονας ἡμέρας τῆς συνήθεος φοιτᾷ, ἢ αὐτὰ ἐλάσσονα, ἢ πλείονα εἴη, ἐπίνοσά ἐστιν, ἢν μὴ ἡ φύσις αὐτὴ νοσερὴ καὶ ἄφορος ᾖ. ἢν δὲ τοῦτο ᾖ καὶ μεθίσταται ἐπὶ τὸ ὑγιηρότερον, ἄμεινον. χωρέει δὲ αἷμα, οἷον ἀπὸ ἱερείου. καὶ ταχὺ πήγνυται, ἢν ὑγιαίνῃ ἡ γυνή. ᾗσι δὲ ἐν φύσει ἐστὶ πλέονα καθαίρεσθαι τεσσάρων ἡμερέων, καὶ πολλὰ κάρτα χωρέει τὰ ἐπιμήνια, αὗται λεπταὶ γίνονται. καὶ τὰ ἔμβρυα αὐτέων, λεπτά. καὶ ἀμαλδύνεται. ᾗσι δὲ τριῶν ἡμερέων ἔλασσον ἡ κάθαρσις γίνεται, ἢ ὀλίγα χωρέει, αὗται παχεῖαι, καὶ εὔχροοι, ἀνδρικαί τε, οὐ μηνιστόκοι εἰσιν, αἱ δὲ οὐδὲ κυΐσκονται.

Ἢν δὲ πνὶξ προσῇ ἐξαπίνης. γίνεται δὲ μάλιστα τῇσι μὴ ξυνιούσῃσιν ἀνδράσι. καὶ τῇσι γεραιτέρῃσι μᾶλλον, ἢ τῇσι νεωτέρῃσι. κουφότεραι γὰρ αἱ μῆτραι σφέων εἰσί. γίνεται δὲ μάλιστα τότε, ἐπὴν κενεαγγήσῃ. καὶ ταλαιπωρήσῃ πλέονα τῆς μαθήσιος. ἀναυανθεῖσαι αἱ μῆτραι ὑπὸ τῆς ταλαιπωρίης, στρέφονται, ἅτε κενεαὶ ἐοῦσαι καὶ κοῦφαι. εὐρυχωρίη γάρ σφιν ἐστὶν ὥς τε στρέφεσθαι, ἅτε τῆς κοιλίης κενεῆς ἐούσης. στρεφόμεναι δὲ, ἐπιβάλλουσι τῷ ἥπατι. καὶ ὁμοῦ γίνονται. καὶ ἐς τὰ ὑποχόνδρια ἐμβάλλουσι. θέουσι γὰρ καὶ ἔρχονται ἄνω πρὸς τὴν ἰκμάδα. ἅτε ὑπὸ τῆς ταλαιπωρίης ξηρανθεῖσαι μᾶλλον τοῦ καιροῦ. τὸ δὲ ἧπαρ ἰκμαλέον ἐστίν. ἐπὴν δὲ ἐπιβάλλωσι τῷ ἥπατι, πνῖγα ποιέουσιν ἐξαπίνης ἐπιλαμβάνουσαι τὸν διάπνοον, τὸν περὶ τὴν κοιλίην. καὶ ἅμα τε ἄρχονται ἔστιν ὅτε προσβάλλειν πρὸς τὸ ἧπαρ, καὶ ἀπὸ τῆς κεφαλῆς φλέγμα

καταῤῥεῖ ἐς τὰ ὑποχόνδρια οἷα πνιγομένης. καὶ ἔστιν ὅτε ἅμα τῇ καταῤῥύσει τοῦ φλέγματος, ἔρχονται ἐς χώρην ἀπὸ τοῦ ἥπατος, καὶ παύεται ἡ πνίξ. κατέρχονται δὲ καθέλκουσαι ἰκμάδα καὶ βαρυνθεῖσαι. τρυσμὸς δὲ ἀπ' αὐτέων γίνεται ἐπὴν χωρέωσιν ἐς ἕδρην τὴν σφῶν αὐτέων. ἐπὴν δὲ ἔλθωσιν ἔστιν ὅτε ἡ γαστὴρ μετ' ἐκεῖνα ὑγροτέρη γίνεται, ἢ ἐν τῷ πρὶν χρόνῳ. χαλᾷ γὰρ ἤδη ἡ κεφαλὴ τοῦ φλέγματος ἐς τὴν κοιλίην. ἐπὴν δὲ πρὸς τῷ ἥπατι ἔωσιν αἱ μῆτραι, καὶ τοῖσιν ὑποχονδρίοισιν, πνίγουσι, καὶ τὰ λευκὰ τῶν ὀφθαλμῶν ἀναβάλλει, καὶ ψυχρὴ γίνεται. ἐνίοτε δὲ αἱ καὶ πελιδναὶ γίνονται. ἡ δὲ καὶ τοὺς ὀδόντας βρύχει. καὶ σίαλα ἐπὶ στόμα ῥέει. καὶ ἐοίκασι τοῖσιν ὑπὸ τῆς ἡρακλέης νόσου συνεχομένοισιν. ἢν δὲ χρονίσωσι αἱ μῆτραι πρὸς τῷ ἥπατι καὶ τοῖσιν ὑποχονδρίοισιν, ἀποπνίγεται ἡ γυνή. ἔστι δ' ὅτε ἐπὴν κενεαγγήσῃ ἡ γυνὴ καὶ ὑπερταλαιπωρήσῃ, αἱ μῆτραι στρεφόμεναι πρὸς τὴν κύστιν, τὸν στόμαχον προσπίπτουσι, καὶ στραγγουρίην ποιέουσιν. ἄλλο δὲ οὐδὲν κακὸν ἴσχει. καὶ ἐν τάχει ὑγιαίνει θεραπευομένη. ἔστι δ' ὅτε καὶ αὐτομάτη. ἔστι δ' ᾗσιν ἐκ ταλαιπωρίης ἢ ἀσιτίης, πρὸς ὀσφὺν ἢ πρὸς ἰσχία προσπεσοῦσαι, πόνους παρέχουσιν.

Ην δὲ γυνὴ τὸ σῶμα φλαύρως ἔχῃ, καὶ ἴῃ χολώδεα τὰ καταμήνια, εὔγνωστά ἐστι τῷδε. μέλανά ἐστι κάρτα. ἔστι δ' ὅτε μέλανα ἢ λαμπρά. καὶ κατ' ὀλίγιστα ἔρχεται, καὶ ταχύτατα πήγνυται. καὶ ὁ γόνος ἀμαλδύνεται ἀμφοῖν τοῦ τε ἄῤῥενος καὶ τοῦ θήλεος, καὶ οὐκ ἴσχει ἐν γαστρί. καὶ ἀρχομένης μὲν τῆς νόσου, καθαίρεται τὰς ἡμέρας ἃς μεμαθήκει οὐ πλέονας. προϊόντων δὲ τῶν ἐπιμηνίων, πλείονας ἡμέρας καθαίρεται, καὶ ἐλάσσονα τὰ καταμήνια καθ' ἑκάστην ἡμέρην φαίνεται. πυρετοί τε ἐπιγίνονται πλανῆται ὀξέες. ξὺν φρίκῃ καὶ ἀσιτίη, ἄλλοτε καὶ ἄλλοτε. καὶ καρδιωγμός. καὶ πονήσει μάλιστα ἐπὴν πλησιάζωνται τὰ καταμήνια αὐτέῃ. ἐπὴν δὲ ἀποκαθαρθῇ καὶ ῥηΐσῃ ἐπ' ὀλίγον χρόνον πρὸς τὰ πρόσθεν. ἔπειτα δὲ αὖθις ἐς τὸ αὐτὸ καταστήσεται. μελεδαινομένη δὲ ἐν τάχει ὑγιαίνει. ἢν δὲ μὴ θεραπεύηται καὶ ὁ χρόνος προΐῃ, πάντα μὲν μᾶλλα πονήσει τὰ πρόσθεν εἰρημένα, καὶ ὀδύνη λήψεται. τότε μὲν τῆς γαστρὸς τὸ κάτω τοῦ ὀμφαλοῦ. ποτὲ δὲ τοὺς βουβῶνας, ποτὲ δὲ τὴν ὀσφύν τε καὶ κοχώνην. ποτὲ δὲ τὸν τράχηλον, ποτὲ δὲ πνὶξ προσπεσεῖται ἰσχυρή. καὶ πρὸ τῶν ὀφθαλμῶν ζόφος ἔσται οἱ καὶ δῖνος εἶτα τῆς καθάρσιος ἄνω στελλομένης καὶ ἀνιούσης. ἢν γὰρ τὸ σῶμα φλαύρως ἔχῃ, γυναικὶ τὰ καταμήνια ἐλάσσω γίνεται. καὶ ᾗσιν ἂν τὸ σῶμα ἔμπλεων ᾖ, τὰ καταμήνια ταύτῃσι πλείονά ἐστι. τῇ δὲ χολώδεϊ τὰ καταμήνια ἢν ἔρχηται, ὀλιγοψυχίη ἐμπίπτει. καὶ ἀποσιτίη ἄλλοτε καὶ ἄλλοτε. καὶ ἀλυσμός. καὶ ἀγρυπνίη. καὶ ὀρυγγάνει θαμινά. καὶ οὐκ ἐθέλει περιπατέειν. καὶ ἀθυμέει. καὶ ἐμβλέπειν οὐ δοκέει. καὶ δέδιεν. καὶ ἢν μελεδαίνηται ἐκ τουτέων, ὑγιὴς ἔσται. ἢν δὲ ὁ χρόνος προΐῃ, ἔτι μᾶλλον πονήσει. ξυμβαίνει δ' ἂν ἄριστα, ἢν ἔμετος χολώδης ἐπιγένηται. ἢν ἡ κοιλίη ταραχθῇ μὴ ἰσχυρῶς, καὶ ὑποίη χολώδεα, καὶ ῥόος ἐπιγένηται αὐτῇ, μὴ ἰσχυρός. ἢν μὲν γάρ τι τουτέων ἐπιπέσῃ ἰσχυρὸν ἐπὶ σῶμα τετρυχωμένον, κινδυνεύσει. ἢν δὲ ἠρεμέως ἀποκαθαίρηται τοῦ χολώδεός τι ἢ παῦν τὸ λυπέον, ὑγιὴς γίνεται. ἢν δὲ μήτε μελεδαίνηται, μήτε μηδὲν τουτέων γένηται, θνήσκει ἡ γυνή. ὡς δὲ ἐπὶ τὸ πλεῖστον ξυμβαίνει ῥόον ἐμπίπτειν χολώδεα ἐκ τοιούτου νοσήματος, ἢν ῥόος γένηται κατὰ μὲν πρῶτα, ὀλίγα οἱ τὰ φαινόμενα ἔσται. ἀνὰ πάσας δὲ τὰς ἡμέρας ὡς ἐπίπαν, πλέονα ξυμβαίνει. ὁκόταν δὲ ὁ χρόνος προΐῃ ὡς ἐπὶ τὸ πλέον, καὶ ἡ νοῦσος ὀξέη γίνηται, καὶ αἱ μῆτραι δάκνονται ὑπὸ τῆς καθάρσιος τοῦ χολώδεος χωρεούσης καὶ ἑλκοῦνται. ἔτι δὲ καὶ ἐν τούτῳ ὑγιαίνει μελεδαινομένη, ἢν οἱ ἀρχθῇ ὁ ῥόος. ἢν δὲ φλεγμαίνωσιν αἱ μῆτραι ὑπὸ τῶν ἑλκέων, ἔτι ὀξυτέρη ἡ νοῦσος ἔσται. καὶ πολλά τε καὶ ὀδμαλέα καὶ πυώδεα ἐλεύσεται ἀπ' αὐτέων τῶν μητρέων ἤδη ἀπιόντα. καὶ ἑκάστοτε, οἷον ἀπὸ κρεῶν. καὶ τὰ πρότερον εἰρημένα ἅπαντά μιν μᾶλλον πονήσει. καὶ τὰ ἕλκεα ἔτι μᾶλλον ἀγριώτερα ἔσται μέχρι μιν ὑπερνικῇ. εἰ δὲ καὶ ἰηθῇ, ἄφορος ἔσται ἀπὸ τῶν οὐλέων.

Ην δὲ γυνὴ τὸ σῶμα φλαύρως ἔχῃ, καὶ ἢν φλεγματώδεα τὰ ἐπιμήνια χωρήσῃ. γνωστὸν δέ ἐστιν ἢν χωρέῃ φλεγματώδεα. ὑμενώδεά τε γὰρ φαίνεταί οἱ καὶ ὥσπερ ἀράχνια διατείνεται, καὶ ὑπόλευκά ἐστι. τοῦτο δὲ γίνεται, ἢν οἱ τὸ σῶμα καὶ ἡ κεφαλή, φλέγματος πεπληρωμένα ᾖ, καὶ τοῦτο μὴ ὑποκαθαίρηται, μήτε κατὰ τὰς ῥῖνας, μήτε κατὰ τὴν ἕδρην, μήτε κατ' οὐρήθρην, ἀλλ' ἐν τοῖσι καταμηνίοισι, καὶ ἐν τῷ ταράχῳ τοῦ αἵματος σὺν τῇ καθάρσει ἔξω ἥκει. καὶ ἢν ταῦτα ὧδε ἔχῃ, ἐπὶ μὲν δύο ἢ τρεῖς μῆνας οὐδὲν νοσέει. ἐπὴν δὲ ὁ χρόνος πλείων γένηται, καὶ μὴ μελεδαίνηται, μᾶλλον πονήσει, καὶ πυρετὸς ἐπιλήψεται πλάνος, καὶ ἀσιτήσει ἄλλοτε καὶ ἄλλοτε. καὶ καρδιώξει. καὶ πονήσει, μάλιστα ἐπὴν πλησιάζῃ τὰ ἐπιμήνια. ὁκόταν δὲ ἀποκαθαρθῇ

ῥηΐα ἀπὸ ὀλίγων χρόνων πρὸς τὰ πρόσθεν. ἔπειτα οὖν τὸ ωὐτὸ καθίσταται. καὶ ἢν μὴ μελεδαίνηται, ἀλλὰ χρόνος περιίῃ γηράσεται πάνυ ὅσα τῇ χολώδεα ἐχώρεε τὰ καταμήνια, ἄχρις οὗ ὁ ῥόος οἱ ἔχηται. ἕπεται δὲ ταύτῃ, καὶ ῥόον φλεγματώδεα γίνεσθαι, ἢ ἄλλα ἅσσα ἐγὼ ἐρέω, ὀλίγῳ ὕστερον. καὶ ἢν προσεπιγίνηται αἰεὶ, πορεύεται ἀνὰ πάσας τὰς ἡμέρας, ὅτε μὲν ἀθρόα, ὅτε δὲ ὀλίγα. καὶ ἔστιν ὅτε, οἷον ἀπὸ κρεῶν ὕδωρ χωρέει. ὅτε δὲ οἷον ἰχώρ. καὶ ἐν αὐτέῳ θρόμβοι πολλοὶ αἵματος ἐγγίνονται. καὶ ξύει τὴν γλῶσσαν ὡς ὄξος. καὶ δάκνει τῆς γυναικὸς οἷ ἂν ἐπιψαύσῃ. καὶ ἑλκοῖ τὰς μήτρας. καὶ ἐλθοῦσα οὖν τοῦτο, τὰ μὲν ἄλλα πάσχει ταύτῃ ὡς ἡ προτέρη. ἧσσον δὲ τὴν κεφαλὴν ἐκείνης πονήσει, καὶ τὰ ἕλκεα, οὔτε δυσειδέα, οὔτε μεγάλα, οὔτε πυώδεα, οὔτε ὀδμαλέα ὁμοίως κείνῃ γίνεται. ἀλλὰ ταύτῃ ἧσσον. ἐπιμελεδαινομένη δὲ ὑγιαίνει καὶ προεληλυθείης τῆς νούσου. καὶ οὐ μάλα ἀποθνήσκει. φορὸς δὲ οὐ δύναται εἶναι ὧδε ἔχουσα.

Ὁκόσαι δὲ ξυνοικέουσαι οὐ δύνανται ἐν γαστρὶ ἔχειν, πυθέσθαι χρὴ, εἴσω περιγίνηται τὰ καταμήνια, ἢ οὔ. καὶ γίνεται πυώδεα ἢ ψυχρά. ἢν μὲν οὖν φῇ, εἰ αὐτίκα ἄπεισιν ἡ γονὴ ἢ τῇ ὑστεραίῃ, ἢ τῇ τρίτῃ, ἢ τῇ ἕκτῃ, ἢ τῇ ἑβδόμῃ. ἢν μὲν οὖν φῇ αὐτίκα ἀπιέναι ὅταν ξυνασθῇ, τὸ στόμα οὐκ ὀρθόν ἐστι τῆς μήτρης. ἀλλ' ἰδνοῦται καὶ οὐ λάζυται τὴν γονήν. ἢν δὲ φῇ δευτεραίην, ἢ τριταίην, ἢ τεταρταίην, ἡ ὑστέρη ἐξυγρασμένη ἐστί. καὶ ἡ γονὴ ἐκπλύνεται. ἢν δὲ ἑκταίην καὶ ἑβδομαίην, ἡ γονὴ κατασήπεται. κατασαπεῖσα δὲ ἀπέρχεται. τῆς μὲν οὖν ἀρχὴν μὴ προσδέχεσθαι τὴν γονήν, τῆς ὑστέρης τὸ στόμα θεραπευτέον πρῶτον, ὅκως ὀρθὸν ἔσται. τοῦ δὲ καταπλύνεσθαι, δευτεραίην καὶ τριταίην ἡ ὑστέρη καὶ κεφαλή. τῆς δὲ κατασήπεσθαί τε καὶ ἀπέρχεσθαι καὶ ἡ ὑστέρη καὶ τὸ σῶμα ἅπαν ἔνυγρον ὄν. ἰστέων ἕκαστα γινώσκειν, ὧδε χρή. ὁκοίης δὲ χρήζει καθάρσιος, γνώσεται ὧδε.

Ὅταν τὰ ἐπιμήνια γίνεται, ῥάκος πτύξας ὅσον σπιθαμῆς, ὑποτανύσαι ἐπὶ σποδὸν λεπτήν. κἄπειτα ποιέειν ἐπὶ τούτῳ ὡς ὑπερρυῇ τὰ ἀπιόντα. ἢν δὲ δύο τὰ ψυχία, χωρὶς ἐφ' ἑκάτερα, τὸ μεθ' ἡμέρην τε καὶ νύκτωρ. καὶ τὰ μὲν ἡμερήσια πλύνειν χρὴ τῇ ὑστεραίῃ. τὰ δὲ νύκτωρ, ὁκόταν αὐτέοισιν ἡμέρη καὶ νύκτωρ γένηται, ἐπὶ τῇσι σποδοῖσι κειμένοισιν. ἐν δὲ τῇ πλύσει, σκέπτεσθαι ὁκοῖα ἅσσα γίνεται τὰ ῥάκεα πλυθέντα. ὅταν ἐν ἡλίῳ τερσῆται. κράτιστον δὲ ἐν σκοτιαίῳ χωρίῳ. ἢν μὲν οὖν φλέγμα ᾖ τὸ κωλῦον, μυξώδεα τὰ ῥάκεα ἔσται. ἢν δὲ δι' ἅλμην τε καὶ χολήν, πυρρά τε καὶ ὑποπέλιδνα. ταῦτ' οὖν εἰδὼς, καὶ γνώμῃ σκεθρῇ βασανίσας ὅλον τε τὸ σῶμα ἀθρέειν, ἤν τε πολλῆς καθάρσιος δοκέῃ δέεσθαι, ἤν τε καὶ μή. ἀποσκεψάμενος οὖν τὴν χροιὴν, καὶ τὴν ἡλικίην, καὶ ῥώμην, καὶ ὥρην καὶ οἵῃ διαίτῃ χρέονται. ἰητρεύειν δὲ καὶ τοῦ σώματος παντὸς προνοέεσθαι, καὶ τὰς ὑστέρας, καὶ τὸ στόμα ἰῆσθαι καὶ ἢν μεμυκὸς ᾖ, ἀναστομῶσαι. ἢν δὲ λοξωθέωσιν, ἐξιθύνειν χρή. ἢν δὲ ὑγραὶ ἔωσιν, αὐαίνειν. καὶ τἄλλα δρᾶν ἐναντίον. σχεδὸν δὲ πάσῃσιν ἡ πολλὴ θεραπείη ἡ αὐτή ἐστι, πλὴν τοῦ κατασπάσαι τὰ ἐμμήνια. ὅσῃσι γὰρ γίνεται, οὐδὲν δεῖ ταύτῃσι κατασπᾶν. ἀλλ' ὅτι κακὸν ἐν τοῖσιν ἐπιμηνίοισιν ἔνι, τοῦτο ἀφαιρέειν χρή, ὅταν φλεγματώδεά τε καὶ ὑμενώδεα καὶ ἰχωροειδέα καὶ λεπτὰ ἢ λευκὰ καὶ θρομβοειδέα, καὶ ὅταν μέλανά τε, καὶ ἀνθρακώδεα. ἢ ζοφοειδέα. ἢ δριμέα. ἁλμυρά. θολερά. πυώδεα. αὗται πᾶσαι αἱ προφάσιες, ὑπεξαιρετέαι. κωλύουσι γὰρ λαμβάνειν ἐν γαστρί. ὁκόσα μὲν οὖν φλεγματώδεα καὶ ὑμενοειδέα τῶν ἐπιμηνίων ἐστὶ, καὶ αὗται σαρκώδεες εἰσί. καὶ ταύτῃσι τὸ στόμα ἔξυγρον καὶ πτύελον πουλὺ, καὶ γλίσχρον. καὶ ἢν ὀξέος γεύηται ἢ δριμέος, τὸ πτύελον ἐν τῷ στόματι, πλαδωδέστερόν τε ἔσται καὶ ἄναλτον. καὶ πρὸς πᾶν ὅ,τι ἂν φάγωσιν ἢ πίωσιν, ὄχλος. καὶ προσίσταται αὐτέοισιν καὶ αἴρεται καὶ ἡ κοιλίη. καὶ ναυσίη. καὶ ἀλυσμὸς πουλύς. ἀπό τε κεφαλῆς ῥεῦμα καταρρέει, καὶ πάντῃ ἐπιπλάσσεται. καὶ πολλὴν ὑγρασίην ἐπάγεται. καὶ τὰ ὑποφθάλμια πελιδνὰ καὶ πεφυσημένα. ταύτας χρὴ ὅλας πυριῆν, καὶ πυκνὰ ἐμέειν καὶ ἀπὸ σιτίων καὶ ἀπὸ νηστείης. μαλάσσειν δὲ τὴν κάτω κοιλίην. φαρμάκοισι δὲ πάμπαν κούφοισιν, ὁκόσα ἥκιστα χολὴν ἄγει. καὶ μονοσιτέειν, καὶ γυμνάζεσθαι συχνά. καὶ ὡς ξηροτάτῃ τροφῇ διαιτᾶσθαι. καὶ ποτῷ ἐλαχίστῳ ἀκρητεστέρῳ. κοιλίη δὲ εὔλυτος ἀμείνων διαφυλάσσεσθαι. τὰς δὲ ὑστέρας χρὴ ἢν μὴ πρὸς ταύτην τὴν δίαιταν ἐνακούωσι, καθαίρειν φαρμάκοισιν, ἀδήκτοισι προσθέτοισιν.

Προπυρίην δὲ πρὸ τῶν καθαρσίων αἰεὶ, πρότερον μὲν τῇ πυρίῃ τῇ ἐκ τῶν μαράθρων. ἔπειτα τῇ ἐκ τῶν θυμιαμάτων. τὰς δὲ πυρίας ποιέεσθαι καὶ τὰς προσθέσιας τεκμαιρόμενος ὅκως ἅπαντα πεποιήσεται. καὶ κατὰ τρόπον ἔσται, ἐν ᾧ χρόνῳ τὰ ἐπιμήνια εἴη. ἢν μὲν οὖν καθαρά τε καὶ ἀκραιφνέα καὶ ἔναιμα γένηται,

οὕτως ἴτω παρὰ τὸν ἄνδρα ἐν ἀρχομένοισι τοῖσιν ἐπιμηνίοισιν. ἄριστον δὲ ἐν ἀπολείπουσι, καὶ ἔτι ἰόντων μᾶλλον ἢ ἀφανέων. ὅταν δὲ μέλλῃ ἰέναι παρὰ τὸν ἄνδρα, ὑποθυμιήσθω τι τῶν ὑποθυμιαμάτων τῶν στυπτικῶν. θυμιήσθω δὲ διὰ τοῦ κανέου καὶ τοῦ καλάμου ἐπὶ σποδιὴν θερμὴν ἐπιπάσσουσα τὸ φάρμακον. ὅταν δὲ ἐπιπάσσῃ, καὶ τὸ κανέον περιθεῖναι, καὶ τὸν κάλαμον, καθεζομένην πυριῆσθαι. ὁκόταν δὲ δέῃ αὐτὴν θυμιῆσθαι, περὶ μολυβδίῳ χρῆσθαι, ὡς ἀνεωγμένῳ περὶ στόματι θυμιῆται. εἶτα ὅταν ἀνίστηται, πάλιν ἐν τῇ κλίνῃ προσθέσθω τὸ μολύβδιον. εἶτα ὑφελομένη, τηνικαῦτα ξυνευναζέσθω περὶ ἀνδρί. καὶ ἢν τὰ ἀπὸ τοῦ ἀνδρὸς μὴ δῆλά οἱ ᾖ, ἐκτείνασα τὰ σκέλεα καὶ ἐπαλλάξασα ἠρεμείτω. νηστείη δὲ ὄφελος ἐν ταύτῃ τῇ ἡμέρῃ. πλὴν κυκεῶνα ἢν ἐθέλῃ ἄναλτον ἐφ' ὕδατι. ὥστε δὲ πίνειν τότε, ὁκόταν μέλλῃ θυμιῆσθαι. ἢν δὲ ξυγγινομένη περὶ ἀνδρὶ κατάσχῃ τῇ ὑστεραίῃ τὴν γονὴν, καὶ μὴ δὲ ἐν τὴν ἑτέρην ἀπίοι ἡμέρην, σιτίων μὲν εἴργεσθαι καὶ λουτρῶν. πίνειν δὲ ἄλφιτον ἐν ὕδατι ἄναλτον καὶ δὶς καὶ τρὶς τῆς ἡμέρης. αὕτη δὲ ἡ δίαιτα, ἔσω ἡμέρας ἕξ. ἄμεινον δὲ καὶ ἑπτά. ἢν μὴ ἀπίῃ τὰ τοῦ ἀνδρὸς ὅταν ξυγγένηται. ἀλουτείτω δὲ πάντα τὸν χρόνον. καὶ ἀκινητεῖν ἐπιτηδευέτω. ἢν δὲ βούληται περιπατεῖν, περιπατείτω ἐν ὁμαλῷ χωρίῳ καὶ λείῳ. προσανάντους δὲ μηδαμῶς, μὴ δὲ κατάντους. καθέζεσθαι δὲ ἐπὶ μαλθακά ἢν ξυλλάβῃ. τὴν δ' ἄλλην δίαιταν τὴν αὐτὴν ποιέεσθαι, μέχρις ἡμερέων τριήκοντα. ἀλουτέετω δὲ ἢ καὶ ὅτε δέοι λουθῆναι, ὀλίγῳ καὶ μὴ λίην θερμῷ. τὴν δὲ κεφαλὴν μὴ βρέχειν. σιτίοισι δὲ χρεέσθω καὶ ἄρτοισι, καὶ μάζῃ ἢν γε βούληται. κρεῶν δὲ φάσσης, καὶ τοῖσι παραπλησίοισι. θαλασσίων δὲ ὁκόσα κοιλίην ἱστῆσιν. εἴργεσθαι δὲ λαχάνων δριμέων. οἴνῳ δὲ μέλανι χρεέσθω. κρέασι δὲ ὀπτοῖσι μᾶλλον ἢ ἑφθοῖσι. καὶ τῶν ἡμερέων καὶ τῶν θηρείων. καὶ ταῦτα μὲν ἢν ξυλλάβῃ οὕτως χρὴ ποιέειν. ἢν δέ γε μὴ ξυλλάβῃ ἀλλ' οἴχεται δευτεραῖα ἢ τριταῖα τὰ τοῦ ἀνδρὸς ῥεόμενα παμπόλλῳ ὑγρασίῃ, δῆλον ὅτι ὑγρότεραί εἰσιν αἱ ὑστέραι. θεραπεύειν οὖν χρὴ, κατὰ τὸν ὑφηγημένον τρόπον, μέχρις ἂν ξηραὶ γίνωνται. ὁκόταν δὲ δοκέωσι ξηραὶ εἶναι, ἰητρεύεσθαι οὕτως. ἄριστον φάρμακον μαλθακτήριόν μιν κατόπιν τε καὶ ἐν τοὔμπροσθεν, ἄχρις οὗ αὗται κατὰ φύσιν γίνωνται. καὶ αὖθις ἴτω παρὰ τὸν ἄνδρα, ὅταν τὰ ἐπιμήνια μηκέτι πολλὰ, ἀλλ' ὀλίγα καὶ εὔχροα, καὶ ὀργᾷ. καὶ ἐν τῇσιν ἄλλῃσιν ἡμέρῃσιν, ἱμείρεσθαι χρὴ τοῦ ἀνδρὸς, ἢν ἄριστα ἔχωσιν αἱ ὑστέραι. ὅταν δὲ ξυγγένηται ἐν τῇσιν ἡμέρῃσι, τῇσιν εἰρημένῃσιν, ἢν εὐτρεπισθῶσιν αἱ ὑστέραι, ἢν κατάσχῃ τε τὴν γονὴν ἡμερέων δέκα, ἢ δυοκαίδεκα, μὴ ἰέναι ὡς τὸν ἄνδρα. ἢν δὲ μὴ ξυλλάβῃ, ὑγιέες δὲ ἔωσιν αἱ μῆτραι, γίνεται γὰρ δὴ καὶ τοῦτο πολλῇσιν, ἐπειδὰν ἀκιδναὶ αἱ μῆτραι ἐοῦσαι ἄτροφοι ὑπὸ πάθεος γίνονται, ἢ ὑπὸ φαρμακείης τε καὶ πυρίης πολλῆς, οὐ δύνανται φέρειν τὴν γονὴν, πρὶν ἢ εὐαδέες γίνωνται καὶ ἰσχύωσιν. γνωστὸν δὲ τοῖσι δ' ἐστὶν ὧδε. ὁκόταν ἀπίῃ οἱ, ἄπεισι δὲ δευτεραίῃ ἢ τριταίῃ, καὶ ἔτι ἀνωτέρω, ἀπέρχεται δὲ παχέα τε καὶ ξυνεστεῶτα οἷον βλένναι, ἢν μὴ κακόν τι ᾖ, καὶ διὰ νοῦσον ἑτέρην ὑστερέων ἡ γονὴ ἀπαλλάσσηται. ὅταν οὖν τοιαῦτα φανθῇ, θεραπείης μὲν ἀπόχρη, ὑστερέων. τοῦ δ' ἄλλου σώματος, ἐπιμελίην ἔχειν, ὡς καὶ εὐεξίη τοιαύτη οἱ ᾖ. ὡς ξυνεσταλμένον τε ἅμα τὸ σῶμα εἶναι καὶ εὔογκον. λουτροῖσιν ὀλίγοισιν, πλείοσι δὲ δριμέων καὶ ἁλμυρῶν εἴργεσθαι. ἐμέτοισι χρῆσθαι πρὸ τῶν ἡμερέων ὧν μεμαθήκει τὰ ἐπιμήνια γίνεσθαι. καὶ αὖθις λιμοκτονέεσθαι. καὶ τὰ ἄλλα ἐπιτελεῖν, ὅσα εἴρηται. αὕτη μὲν θεραπείη ἀμφὶ τῶνδε. ὅσῃσι δὲ ὅταν ξυγγένωνται αὐτίκα διαρρέει τὰ ἀπὸ τοῦ ἀνδρὸς, ταύτῃσι τὸ στόμα τῶν ὑστερέων πρόφασις. θεραπεύειν δὲ δεῖ οὕτως. ἢν μὲν σφόδρα μεμυκὸς ᾖ, ἀναστομῶσαι τοῖσι δαιδίοισι καὶ τοῖσιν μολιβδίοισι. πυρίην δὲ μαλθακῇ πυρίῃ, τῇ ἐκ τοῦ μαράθρου. καὶ καθαίρειν προσθέτοισιν οἷα λεπτύνει τὰς ὑστέρας, καὶ ἐν εὐθὺ καθίστησι. μετὰ δὲ τὰς καθάρσιάς τε καὶ πυρίας κλύζειν τοῖσδε ὅσα ἐναντία τῇ προφάσει.

Ὁκόσῃσι δὲ τὸ στόμα ἀπεστραμμένον ἐστὶ καὶ προσπεπτωκὸς πρὸς τὸ ἰσχίον, γίνεται γὰρ καὶ τοιαῦτα διακωλύοντα τὴν ὑστέρην τὴν γονὴν προσδέχεσθαι. ὅταν οὖν τι τοιοῦτον ξυμβῇ, πυρίην χρὴ, τῇσιν εὐώδεσι πυρίῃσι. μετὰ δὲ τὴν πυρίην παρασπασαμένην τῷ δακτύλῳ ἀπὸ τοῦ ἰσχίου. ὅταν δὲ ἀποστήσῃ, ἐξορθοῦν τοῖσι δαιδίοισι, καὶ περὶ μολιβδίῳ κατὰ τὸν ἔμπροσθεν λόγον. ὅταν δὲ ἐξορθωμέναι τε καὶ ἀνεστομωμέναι γίνωνται, προσθέτοισι μαλακοῖσι καθαίρειν, καὶ τὰ ἄλλα ποιέειν, κατὰ τὸν ὑφηγημένον λόγον. ὅταν ἀνεστομωμέναι μᾶλλον τοῦ δέοντος αἱ ὑστέραι ἔωσι, καθάρσιος δέονται. μετὰ δὲ τὰς καθάρσιας, κλυσμῶν ἀξιοῦν καὶ θυμιαμάτων. ἢν δὲ ἐγγύτερον ἔωσι τοῦ δέοντος, ἐμέτων

δέονται

δέονται αἱ ὑστέραι, καὶ πυρίης λυσώδεος, μέχρις ὅτου ἐς χώρην ἔλθωσι. τῇ διαίτῃ δὲ τῇ ὑφηγημένῃ χρῆσθαι. Ἢν δὲ τὸ σῶμα πιμελῶδες ᾖ καὶ παχὺ, καὶ διὰ τοῦτο μὴ κυΐσκηται, νάπυ ἑφθὸν ἐσθίειν νῆστιν. καὶ ἄκρητον ἐπιπίνειν. πρόσθετον δὲ νίτρον ἐρυθρὸν. καὶ κύμινον. καὶ ῥητίνην. ἄριστον δὲ οἴνῳ νίτρον ξυμμίσγειν. καὶ ῥητίνῃ, ἅμα καὶ κυμίνῳ, καὶ μύρῳ λευκῷ. ἢ ἐλάφου κέρας καῦσαι καὶ μῖξαι ὠμήλυσιν διπλῆν ἐν οἴνῳ. ἢν δὲ μὴ ῥαΐζῃ, πράσα ἑψεῖν, καὶ ἀμφικαθέζεσθαι. ἢ φηγὸν τρίβουσα προστιθέσθω. σκόροδά τε τρώγειν νεαρὰ, καὶ μελίκρητον ἐπιπίνουσα, ἐμεέτω. Ὅσῃσι δὲ ἐμμήνια, καὶ ἐν σήπεται, καὶ ὄχλον ποιέει, ἀνδράφαξιος ἀγρίης καρπὸν ἢ χυλὸν ξὺν μέλιτι, ἢ ξὺν κυμίνῳ ἑλικτὸν διδόναι. ὅταν δὲ δυσῶδες ἔῃ, οὐ κυΐσκεται. ἀνδράχνην ὦν καὶ χηνὸς ἔλαιον μίσγειν καὶ προστιθέναι. ὅσῃσι δὲ ἑκταῖα καὶ ἑβδομαῖα τὰ ἀπὸ τοῦ ἀνδρὸς κατασηπόμενα χωρέει, ταύτῃσιν εἰκὸς γίνεσθαι ὑπὸ ἀμφοῖν. ἢν ἐπιῤῥοὴ χολῆς καὶ ἅλμης, θεραπεύειν χρὴ ὧδε. ἐλλεβόρῳ ἢ σκαμμωνίῃ καὶ πεπλίῳ. καθαίρουσι γὰρ ταῦτα ἄνω τε καὶ κάτω φλέγμα, καὶ χολὴν καὶ φύσας ἄγει. πρὸ δὲ τῶν καθαρσίων τῇσι πυρίῃσι χρῆσθαι ἐκ τῶν θυμιημάτων. ὅταν δὲ πυριήσῃς, καθαίρειν προσθέτοισι, τὸν αὐτὸν τρόπον ὡς ἐν τῇσι πρόσθεν. καὶ μετὰ τὰς προσθέσιας καὶ καθάρσιας, τοῖσι μαλθακτηρίοισι χρέο. καὶ τὸ ἐκ τῆς λινοζώστιος πρόσθετον καὶ ἀρτεμισίης ποίης, καὶ ἀνεμώνης, καὶ ἐλλεβόρου λευκοῦ ἢ μέλανος. τὰ μὲν τῶν φαρμακειῶν ταύτῃσιν, ὧδε χρή. τὴν δὲ δίαιταν ἀποσκεπτόμενον τοῦ ἀνθρώπου, ἐς τὸ ὅλον σωματοποιέειν, ἤν τε αὐχμηροτέρη δοκέῃ εἶναι, ἤν τε σαρκωδεστέρη. κὴν μὲν αὐχμηροτέρη, λουτροῖσι πλείοσι, καὶ ἑφθοῖσι πᾶσι τοῖς ὄψοισιν, εἴτε θαλασσίοισιν, εἴτε κρέασιν. οἴνῳ δὲ ὑδαρέϊ. λαχάνοισί τε ἑφθοῖσι καὶ λιπαροῖσι πᾶσι καὶ γλυκέσι. ταῦτα γὰρ ὡς ἐπὶ τὸ πουλὺ ποιέει ὑγρηδόνα εἶναι, καὶ ἐν τῷ ἄλλῳ σώματι, καὶ ἐν τῇσιν ὑστέρῃσιν. ἢν δὲ ὑγροτέρη ᾖ, δέονται αἱ τοιαῦται ὑστέραι τούτων οὐδὲν, ἀλλὰ τἀναντία οὐ χρὴ ψαύεσθαι οὐδὲ κλύζεσθαι νεοχμῶς, οὐδὲ θυμιῆσθαι. πρὸς γὰρ τὸ κινδυνευόμενον φιλέει ἰέναι. καὶ ἢν ἐξυγρανθῶσι μᾶλλον τῆς φύσιος, χρὴ δὴ ξηραίνειν καὶ θυμιῆν. ἢν δὲ χολώδεα ἔῃ ἐπὶ σφέας, ὅ,τι χολὴν καθαίρει διδόναι. ἢν δὲ ἁλμυρώδεα, γάλα ὄνειον, καὶ οἶνον καὶ τἄλλα ἀλεξιτήρια. χρὴ δὲ σκεψάμενον τῶν νοσημάτων τὰς δυνάμιας, καὶ ὑφηγεύμενον τὰς προφάσιας ὡς χρὴ ἐξ ὧν αἱ νοῦσοι γίνονται, ἐπεὶ τὰ ἄλλα ἰέναι ὧδε, καὶ τὰ ἀμφὶ τὰ χωρία ἰῆσθαι. ὅσαι μὲν διὰ τῶν στομάτων προφανέων τὴν αἰτίην κωλύονται μὴ ἴσχειν ἐν γαστρὶ, τούτων εὐτρεπίζειν τὰ στόματα, ὡς εὐκρινέα ᾖ. ὁκόταν δὲ ἡ ὑγρηδὼν ἔργῃ ταύτην ἐσορᾶν ὡς μὴ διακωλύῃ, σκεπτόμενον ἐς ὅλα τὰ πρήγματα τῶν γυναικῶν, ἤν τε ἐξ ἅπαντος τοῦ σώματος δοκέῃ τι κινέεσθαι, ἤν τε ἀπ᾽ αὐτέων τῶν ὑστερέων, ἤν τε ἀπ᾽ ἀμφῶ. τὰς δὲ ὑστέρας ὧδε μελεδαίνειν, ὅκως μήτε ὑγραὶ ἔωσι, μήτε λίην αὐαίνουσαι. ἀλλὰ τὰς μὲν ξηροτέρας εὐχύλως ὅσῳ καὶ αὐχμηρότεραί εἰσι τοιαύτῃ ἰκμάδι, ὡς πιαλέαι μᾶλλον ἔσονται, ἢ ἰσχναλέαι. τὰς δὲ ἐξυγρασμένας καὶ διαβρόχους, ξηραίνειν ὑπολειπόμενον ἐνίκμους εἶναι, καὶ μὴ λίην ἀνεξηράνθαι. αἱ γὰρ ὑπερβολαὶ τουτέων, πάνυ φευκτέαι. λαμβάνειν δὲ ἐν γαστρὶ, οὔτε τὴν ὑγρηδόνα ἔχουσαν, ἀτὰρ οὐδὲ τὴν αὐαινομένην, ἢν μὴ ᾖ ἐν τῇ ἀρχαίῃ φύσει τουτέων τι. ἰέναι δὲ χρὴ παρὰ τὸν ἄνδρα ὅταν τὰ ὑπὸ τῆς θεραπείης ἔχῃ, ληγόντων ἢ ἀρχομένων τῶν ἐπιμηνίων. ἄριστον δὲ καὶ ἐπὴν παύσηται. μάλιστα δὲ ἐν ταύτῃσι τῇσιν ἡμέρῃσι πειρῆσθαι, ἢν δύνηται κυΐσκεσθαι. αὗται γὰρ κυριώταται. ἢν δὲ μὴ αὐτίκα ξυλλάβῃ, τἄλλα δὲ καλῶς ἔχῃ, οὐδὲν τὸ κωλύον ἐν τῇσιν ἄλλῃσι τῶν ἡμερέων ξυνιέναι ἀνδρί. προθυμίην γὰρ σφίσι ποιέει ἡ μελέτη, καὶ ἀναχαλᾶται τὰ φλέβια. καὶ ἢν τὰ ἀπὸ τοῦ ἀνδρὸς ἀπιόντα ὁμοῤῥοθῇ κατ᾽ ἴξιν τῶν ἀπὸ τῆς γυναικὸς ταχύτερον κυήσει. καὶ γὰρ τόδε αἴτιον ἐστὶν, ἧσιν ἤν τε αὐτίκα, ἤν τε ἐν ὑστέρῳ χρόνῳ ἀπίῃ. ταῦτα μὲν ἀμφὶ τούτων λέλεκται. ἢν δὲ ὑγρότερον ᾖ τὸ στόμα τῶν ὑστερέων, οὐ δύνανται εἰρύσαι τὸν γόνον. προσθέτοισι δὲ χρέεσθαι δριμέσι. δηχθεὶς γὰρ καὶ φλεγμήνας ὁ στόμαχος στεῤῥός ἐστιν ὅτε γίνεται. κατὰ δέ τι ἢ διελφίσαι. καὶ ἢν σκυρωθῶσιν ἄρειον τὰ δριμέα τε προστιθέναι ἃ δήξονται. τὰ γὰρ λευκὰ καὶ πυρώδεα ἐόντα, τὸν σκῦρον διαχέει. ἢν δὲ λαπαχθῇ ὁ σκῦρος, μαλθακοῖσιν ἰῆσθαι, καὶ ὅ,τι μὴ δήξεται. ἢν δὲ διὰ πολλοῦ μὴ κυΐσκηται τῶν καταμηνίων μὴ φαινομένων, ὅταν ᾖ τριταίη, ἢ τεταρταίη, στυπτηρίην λείην τρίψας διὰ μύρῳ, εἰρίῳ ἀνασπογγίζων προστιθεὶ, καὶ ἐχέτω ἡμέρας τρεῖς. τῇ δὲ τετάρτῃ, χολὴν βοὸς αὐτὴν ἐν ἐλαίῳ ἀναζέσας καὶ ἄχνην ἀναδεύσας, πρόσθες. καὶ ἐχέτω ἐπὶ ἡμέρας τρεῖς. τῇ δὲ

ὑστεραίῃ

ὑστεραίῃ ἐξελέσθω καὶ τῷ ἀνδρὶ ξυνίτω.

Ην γονὴν μὴ δέχηται ἡ γυνὴ τῶν γυναικείων κατὰ φύσιν ἐρχομένων, ἢ μῆνιγξ ὑπὴ πρόσθεν ἔσται. γίνεται δὲ καὶ ἐξ ἄλλων. γνώσῃ δὲ τῷ δακτύλῳ ἅψῃ τοῦ προβλήματος. πρόσθεμα δὲ ποιῆσαι. ῥητίνην καὶ ἄνθος χαλκοῦ, ἐν μέλιτι ἐς ὀθόνιον ἀμφιδαλώσας, πρόσθες ῥάμμα ἐκδήσας ἐκ τοῦ ἄκρου ὡς ἀνωτάτω. ὅταν δὲ ἐξελκύσῃς τῇ μυρσίνῃ ἐν οἴνῳ ἀφεψῶν τῷ οἴνῳ χλιαρῷ διανιζέσθω. περιελεῖν δὲ τὸν χιτῶνα ἄμεινον. εἰσὶ δὲ γυναῖκες αἵ τινες λαμβάνουσι μὲν ῥηϊδίως ἐν γαστρί. ἐξενεγκεῖν δὲ οὐ δύνανται, ἀλλὰ σφέων τὰ παιδία διαφθείρονται ἢ ἅμα τῷ τρίτῳ μηνί, ἢ τῷ τετάρτῳ, οὐ δὲ μιῆς αἰτίης ὑπογιγνομένης, οὐ δὲ βορῆς ἀνεπιτηδείου. καὶ τοῦτό ἐστιν αἴτιον τὸ εἰρημένον. καὶ μάλιστα ἐπὴν παραμυθέωσι τῆς αὐξήσεως τῷ ἐμβρύῳ αἱ μῆτραι, ἢ ἡ κοιλίη σφιν ταράσσεται, ἀσθένεια καὶ πυρετὸς σφοδρὸς καὶ ἀσιτίη ἐμπίπτει τῷ χρόνῳ τούτῳ, ᾧ ἂν τὰ παιδία φθείρωσιν. ἔστι δὲ καὶ τόδε αἴτιον. ἢν αἱ μῆτραι ἔωσι λεῖαι, ἢ φύσει, ἢ ἑλκέων ἐν αὐτῇσιν ἐγγενομένων. ἢν γὰρ λεῖαι ἔωσιν, ἔστιν ὅτε περιέχοντες αὐτὸ ὑμένες ἧσσον ἢ ὡς δεῖ ἐχόμενοί εἰσιν, ἢ τῶν μητρέων ἀλέων ἐουσέων. εἰδείη δ᾽ ἄν τις τούτων ἕκαστα, εἰ ἐρωτῴη ἀτρεκέως ταῦτα. περὶ δὲ τῆς λειότητος εἰ ἑτοίμη γυνὴ ψαύσειεν τῶν μητρέων κενεῶν ἐουσέων, οὐ γὰρ ἁρμόδια, δῆλον γίνεται. ἢν δὲ ἴδωσι τὰ καταμήνια ταύτῃσιν, ἀλέα ἔρχεται, ἔστιν αὐτέων ἧσσον γίνεται, ὥστε ἐκφέρειν τὰ ἔμβρυα. μελεδαινομένῃ δὲ ἐλπίδες ἔνεισι τόκου. ἀμφὶ δὲ τῶνδε, ὧδε ἔχει.

Ην γυναῖκα μὴ δυναμένην, τοκήεσσαν ἐθέλῃς γενέσθαι, χρὴ τοῖσιν ἐπιμηνίοισι σκέψασθαι, ἤντε φλεγματώδεα ἤντε χολώδεα ᾖ. γνώσῃ δὲ τῷδε. ψάμμον ὑποβάλλων λεπτὴν καὶ ξηρὴν, ὅταν οἱ τὰ ἐπιμήνια γίνηται, ἐν τῷ ἡλίῳ ἐπιχέαι τοῦ αἵματος, καὶ ἐᾶν ξηρανθῆναι. καὶ ἢν μὲν χολώδης ᾖ, ἐν τῇ ψάμμῳ ξηραινόμενον τὸ αἷμα χλωρὸν ἔσται. ἢν δὲ φλεγματώδης ᾖ, οἷον μύξαι. τούτων ὁκότερον ἂν ᾖ, καθῆραι τὴν κοιλίην, ἤντε ἄνω δέῃ, ἤντε κάτω. ἔπειτα τὰς ὑστέρας καθαίρειν. ἢν δὲ θέλῃς ξυλλαβεῖν, τοῦ κισσοῦ ἑπτὰ κόκκους, ἢ τῶν φύλλων κατὰ μίαν πίνειν, ἐν οἴνῳ παλαιῷ παυομένων τῶν ἐπιμηνίων, ἑψήσας καὶ σίδιον ἐν οἴνῳ εὐώδει ἀκρήτῳ. καὶ βάλανον ἐκ τούτου ποιήσας, προσθεῖναι ἔς τε μεσημβρίην, ἢ στυπτηρίην αἰγυπτίην τρίψας λείην ἐς εἴριον ἐνδήσας προστίθεσθαι. ἦμος δ᾽ ἥλιος δύῃ, εἶτα ἀφελκομένη, διανιζέσθω οἴνῳ εὐώδει. ποιέειν δὲ ταῦτα, παυομένων ἐπιμηνίων. ἔχει δὲ καὶ τόδε, οὕτως.

Επὴν ἀποκαθαρθῶσιν αἱ γυναῖκες, μάλιστα ἐν γαστρὶ λαμβάνουσιν, ἱδρωθεῖσαι, καὶ ὁ γόνος σφῆσι ῥώννυται, ἢν μιγέωσιν ὅτε χρὴ, καὶ ὁ τοῦ ἀνδρὸς ῥηϊδίως μίσγεται. καὶ ἢν ἐπικρατήσῃ τῷδε ἠδέλφισαι. τότε γὰρ μάλιστα τὸ στόμα τῶν μητρέων κέχηνε, καὶ τετανός ἐστι καὶ μετὰ τὰς καθάρσιας, καὶ αἱ φλέβες τὴν γονὴν σπῶσιν. ἐν δὲ τῷ πρὶν χρόνῳ, τό, τε στόμα τῶν μητρέων μέμυκε. καὶ μᾶλλον αἱ φλέβες πλεῖαι αἵματος ἐοῦσαι, οὐχ ὁμοίως σπῶσι τὴν γονήν. ἢν δὲ γόνος ἀπορρέῃ διιπετὴς, καὶ ἡ γυνὴ τῷ ἀνδρὶ οὐ ξυμμίσγεσθαι φιλεῖ, καὶ ξυνεοῦσα οὐ κυΐσκεται, καὶ ἢν ὀσφὺς καὶ τὰ ἰσχία πόνους παρέχωσι, καὶ μὴ πῦρ ἔχῃ βληχρὸν, καὶ ἀδυναμίη τε ἀψυχίη ἐπιγίνηται, καὶ ἔστιν ὅτε αἱ ὑστέραι ἐν τῇ σφέων αὐτέων μὴ εἰσὶν ἕδρῃ, ἢν μὲν οὖν ὑπὸ πλησμονῆς ᾖ, ἐᾶν ἄριστον. ἢν δὲ ὑστέρη χαλάσῃ, δίαιτα χόνδρος, κρέας ὕειον, ἢ φάσσης, ἢ οἶνος μέλας. ποτήματα δὲ ὅσα πρὸς ῥόον γέγραπται.

Νῦν δὲ ἐρέω ἀμφὶ νουσημάτων τῶν ἐν γαστρὶ ἐχουσέων. φημὶ τῇ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ δίμηνον ἢ τρίμηνον καὶ προσωτέρω, ἢν τὰ ἐπιμήνια παραχωρέῃ αὐτίκα κατὰ μῆνα ἕκαστον, ἀνάγκη λεπτήν τε μὴν γενέσθαι καὶ ἀσθενέα. ἔστι δ᾽ ὅτε καὶ πῦρ ἐπιλαμβάνει τὰς ἡμέρας ἕως ἂν χωρέῃ τὰ ἐπιμήνια. καὶ ἐπὴν χωρέῃ καὶ μετὰ τὴν χώρησιν, χλωρὴ γίνεται, καὶ χωρέει δὲ ὀλίγα. ταύτῃσι κεχήνασιν αἱ μῆτραι μᾶλλον τοῦ καιροῦ, παραμεθίασι τε τῆς αὔξης τοῦ ἐμβρύου. κατέρχεται γὰρ ἐπὴν ἐν γαστρὶ ἔχῃ ἡ γυνὴ ἀπὸ παντὸς τοῦ σώματος αἷμα ἐπὶ τὰς μήτρας κατ᾽ ὀλίγον, καὶ περιϊστάμενον κύκλῳ περὶ τὸ ἐν τῇσι μήτρῃσιν ἐὸν, αὔξει κεῖνο. ἢν δὲ χάνωσιν αἱ μῆτραι μᾶλλον τοῦ καιροῦ παραμεθίασι τοῦ αἵματος κατὰ μῆνα, ὥσπερ εἰώθει χωρέειν. καὶ τὸ ἐν τῇσι μήτρῃσιν ἐὸν λεπτόν τε καὶ ἀσθενὲς γίνεται. μελεδαινομένης δὲ τῆς γυναικὸς, ἄμεινον τό, τε ἔμβρυον καὶ αὐτὴ ἡ γυνή. ἢν δὲ μὴ μελεδαίνηται, φθείρεται τὸ ἔμβρυον. κινδυνεύει δὲ καὶ αὐτὴ, τὸ νόσημα χρόνιον ἔχειν, ἢν οἱ ἡ κάθαρσις πλεῖον τοῦ δέοντος χωρέῃ. μετὰ τὴν διαφθορὴν οἷα τῶν μητρέων μᾶλλον ἐστομωμένων, καὶ κίνδυνος ἔσται.

Ην δὲ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἡ κεφαλὴ φλεγματώδης ᾖ, καταβαίνει τὸ φλέγμα δριμὺ ἐς τὴν κοιλίην, καὶ καταῤῥήσσει ἀπὸ τῆς κεφαλῆς τὴν κοιλίην, καὶ πῦρ ἐπιλαμβάνει αὐτὴν βληχρὸν, καὶ παλμοὶ

ἔστιν ἥσιν ἀσθενέων ὑπεκλυόμενοι, ἐπαναδιδόντες ὀξέων. ἢν δὲ καὶ ἀσιτίην ἔχῃ καὶ ἀδυναμίην, κίνδυνος ἐν τάχει φθαρῆναι τὸ ἔμβρυον. καὶ αὐτὴ ἐν κινδύνῳ ἔσται ἀπογινωσκομένη, ἢν μὴ μελεδαίνηται. ἐπὴν δὲ ἀποφύγῃ ἅτε τῆς κοιλίης εὐρόου ἐούσης αὐτίκα δεῖ καταλαμβάνειν. πολλοὶ δὲ καὶ ἄλλοι εἰσὶ κίνδυνοι, ἐν οἷσι τὰ ἔμβρυα φθείρονται. καὶ γὰρ ἢν ἡ γυνὴ ἐν γαστρὶ ἔχουσα νοσήσῃ, καὶ ἀσθενήσῃ, καὶ ἄχθος βιήσηται, ἢ πληγῇ, ἢ πηδήσῃ, ἢ ἀσιτήσῃ, ἢ λειποθυμίῃ ἔχηται, ἢ πλέονα ἢ ὀλίγην τροφὴν λαμβάνῃ, ἢ δειδίσσηται, καὶ πτύρηται, ἢ κεκράγῃ, ἢ ἀκρατήσῃ. καὶ γὰρ καὶ τροφὴ αἰτίη φθορῆς, καὶ πόμα πουλύ. καὶ αὗται δὲ μῆτραι ἔχουσι φύσιας ἥσιν ἐξαμβλέεται οὖσαι πνευματώδεες πυκναί. μεγάλαι. μικραί. καὶ ἄλλα ὅσα ἔοικεν. Ην γυνὴ ἐν γαστρὶ ἔχουσα, τὴν κοιλίην ἢ τὴν ὀσφὺν πονέῃ, ὀρρωδέειν χρὴ τὸ ἔμβρυον ἀμβλῶσαι ῥαγέντων τῶν ὑμένων, οἳ αὐτὸ περιέχουσιν. εἰσὶ δὲ αἳ διαφθείρουσι τὰ ἔμβρυα, ἢν δριμύ τι ἢ πικρὸν φάγωσι παρὰ τὸ ἔθος ἢ πίωσι, νηπίου τοῦ παιδίου ἔσω ἐόντος. ἢν γὰρ περὶ παιδίῳ παρὰ τὸ ἔθος τι γίνηται, καὶ ἢν σμικρὸν ἔτι ᾖ, θνήσκει. καὶ ἢν τοιαῦτα φάγῃ ἢ πίῃ ὥσπερ εἴπομεν, ὥστε οἱ ἀνάγκην ταραχθῆναι τὴν κοιλίην, νηπίου ἐόντος τοῦ παιδίου. ἐπαΐουσι γὰρ αἱ μῆτραι τοῦ ῥεύματος χωρέοντος ἐκ τῆς κοιλίης. καὶ ἢν ταλαιπωρήσῃ ἡ γυνὴ πλέονα τοῦ καιροῦ, καὶ οἱ ἡ κοιλίη ὀρεχθῇ ἢ καὶ μεγάλη γίνηται, ἀπογίνεται καὶ οὕτως τὸ παιδίον, οἷα θερμανθὲν ὑπὸ τῆς ταλαιπωρίης, καὶ πιεζόμενον ὑπὸ τῆς κοιλίης. κάρτα γὰρ τὰ πολλὰ σμικρὰ ἐόντα, ἐστὶν ἄγγα. τὰ δὲ καὶ μεγάλα φθείρεται παιδία. ὥστε οὐ χρὴ θαυμάζειν τὰς γυναῖκας, ὅτι διαφθείρουσιν ἀκούσαι. φυλακῆς γὰρ καὶ ἐπιστήμης πολλῆς δεῖ, ἂν τὸ διενεγκεῖν, καὶ ἐκθρέψαι τὸ παιδίον ἐν τῇσι μήτρῃσι καὶ ἀποφυγεῖν αὐτῷ ἐν περὶ τόκῳ. Εἰ δὲ γυνὴ ἐν γαστρὶ ἔχουσα τὸ σῶμα φλαύρως ἔχοι, καὶ εἴη χολώδης καὶ ἐπίπονος, καὶ πυρεταίνοι ἄλλοτε καὶ ἄλλοτε, καὶ τὸ στόμα ἐκπικράζοιτο, καὶ χλωρὴ γλῶσσα. ὄμματα ἰκτερώδεα. ὄνυχες χολώδεες. οὖρον δριμύ. ἄλλως τε καὶ εἰ πυρεταίνῃ, ἄλλοτε καὶ ἄλλοτε ταύτῃ ξυμβήσεται. ἐπὴν δὲ συμβῇ οἱ καὶ τὴν κάθαρσιν χολώδεα εἶναι, πᾶσα ἐλπὶς, καὶ τὰ παιδία ἀσθενέα ἔσεσθαι. ἢν χολώδεα ἀποπατέῃ, κάρτα δὲ γίνεται τοῦτο, ῥηΐτερον διάξει. καὶ ἢν χολώδεα τὰ λοχεῖα ἢ μέλανα ᾖ, κάρτα καὶ ἐπιπολὺ λίπος ἐπιγίνεται, καὶ ἔρχεται κατ' ὀλίγον, καὶ οὐ ταχὺ πήγνυται. καὶ τὸν μὲν πρῶτον χρόνον ῥηΐτερως οἴσει, ἔπειτα χαλεπώτερον, καὶ ἐπικαθαίρεται ἐλάσσονα τοῦ δέοντος. ἢν γὰρ τὸ σῶμα φλαύρως ἔχῃ, καὶ τὰ λοχεῖα οἱ ἐλάσσονα χωρήσει καὶ πονηρότερα. πείσεται δὲ ταῦτα πάντα, καὶ ἢν τὰ καταμήνια χωρέηται χολώδεα, ἐλάσσονα δὲ χρόνον νοσήσει. καὶ κινδύνους ἂν τοὺς αὐτοὺς ἕξει ἡ νοῦσος. καὶ σημήϊα. καὶ μεταλλαγάς. εἰ γὰρ ἔμβρυος ταύτῃσι χολώδης ἢ κατὰ τὴν κοιλίαν κάθαρσις ἐπὶ ταύτῃ γίνεται. καὶ ἑλκοῦνται αἱ μῆτραι. φυλακῆς δὲ πολλῆς δέεται ἡ γυνή. ὅταν οὖν τοιοῦτόν τι γίνηται, ὅκως μὴ θάνηται ἄφορος ἔσται. ἢν δὲ μηδὲν τουτέων γίνηται, καὶ μὴ μελεδαίνηται, ἀλλὰ οἱ τὰ λοχεῖα κρυφθῇ, θνήσκει ἐν τριήκοντα καὶ μιῇ ἡμέρῃ ὡς ἐπὶ τὸ πολύ. ταύτην φάρμακον πῖσαι χολαγόν. καὶ ἄνηθον ἀρήγει. καὶ ὅσα ἂν εὕρῃσιν. ἐμέειν δὲ καὶ ἱδρῶτας ἄγειν. καὶ τὴν κοιλίην κλύζειν χυλῷ πτισάνης, καὶ μέλιτι, καὶ ὠοῖσι, καὶ μαλάχης ὕδατι.

Ησιν ἐν γαστρὶ ἐχούσῃσι περὶ τὸν ἕβδομον ἢ ὄγδοον μῆνα ἐξαπίνης τὸ πλήρωμα τῶν μαζῶν καὶ τῆς γαστρὸς ξυμπίπτει. καὶ οἱ μαζοὶ ἐξισχνοῦνται. καὶ τὸ γάλα οὐ φαίνεται, φάναι τὸ παιδίον, ἢ τεθνηκὸς εἶναι, ἢ ζώειν τε καὶ εἶναι ἀπεδανόν. ἢν γὰρ ἔχωσιν ἐν γαστρὶ, καὶ ἐπιφαίνεται τὰ ἐπιμήνια, καὶ τιτρωσμοὶ γίνονται, ἢν πλείονα ᾖ, καὶ κάκοδμα ἢ νοσώδεα τὰ ἔμβρυα γίνεται.

Ην γυνὴ ἐν γαστρὶ ἔχουσα φλεγματώδης ᾖ, καὶ τὴν κεφαλὴν ἀλγέει καὶ πυρεταίνει ἄλλοτε καὶ ἄλλοτε. καὶ ἐν τῇ κεφαλῇ εἱλέεται τὸ φλέγμα. καὶ βάρος ἔχει καὶ ψύξιν. καὶ ἂν τὸ σῶμα διαχωρέει, καὶ ἂν τὰς φλέβας ὅταν ἡ κεφαλὴ ᾖ πλήρης. γίνεται δὲ καὶ μολίβῳ τὴν χροίην ἴκελος. καὶ ἐμέει φλέγμα. γλῶσσα λευκή. καὶ οὔρησις κοινὴ ἔκλευκος. ψυχῆς ταραξις. δυσκινησίη. ἐπὴν δὲ τέκῃ, χωρήσει οἱ ἡ κάθαρσις φλεγματώδης. καὶ φανεῖται ὑμενῶδες. καὶ ὥσπερ ἀράχνια διατεταμένα ἐν ταύτῃ ἔσται. καὶ πείσεται μὲν ταῦτα πάντα, καὶ ἢν τὰ καταμήνια ἐχώρεε τὰ φλεγματώδεα. ἐλάσσονα δὲ χρόνον νοσήσει. καὶ κινδύνους τοὺς αὐτοὺς ἡ νοῦσος ἕξει. καὶ σημεῖα. καὶ μεταλλαγάς. ξυμβήσεται γὰρ αὐτῇ, ἔμβρυον γίνεσθαι φλεγματώδεα, καὶ παθήματα ὅμοια κείνῃ χωρήσαντα. ἐξέρχεται γὰρ περὶ αὐτῷ τρόπῳ τὰ λοχεῖα, καὶ τὰ καταμήνια τὰ φλεγματώδεα, ἐλάσσονα δὲ χρόνον μὲν τῶν καταμηνίων, καὶ ἢν μὴ ῥαγῇ αὐτῇ ἡ κάθαρσις χρονισθεῖσα, θνήσκει ἐν πέντε καὶ τεσσαράκοντα ἡμέρῃσι. καὶ ἢν οἱ φλεγματώδης ἡ λοχίη κά

θαρσις

θαρσις χωρήσει, μελεδαινομένη δὲ ἡ γυνὴ, ὑγιὴς ἔσται. καὶ φυσηθήσεται ἐξ ἀρχῆς ἢν ὑγιανθῇ. χαλεπὸν γὰρ τοῦτο ἔσται νόσημα. ταύτῃ χρὴ διδόναι φάρμακον, ὅ, τι φλέγμα ἄγει. καὶ μίσγειν γάλα ἑφθὸν αἴγειον ξὺν μέλιτι. ἢν δὲ πολλάκις μὴ ἐπακούῃ. κάρδαμον, ἢ κνῆκον, ἢ κνέωρον, ἢ πολυπόδιον, ἢ ὀῤῥὸν, ἢ τὸ ἀπὸ ἁλῶν ξυντιθέμενον διδόναι, καὶ ὅσα φλέγμα χαλᾷ, καὶ αἱ ἄγει. ἢν δὲ γυνὴ ἐν γαστρὶ ἔχουσα σπληνώδης ἢ ὑπὸ παθημάτων ὧν εἴρηται, ἐν τῇ νούσῳ τῶν καταμηνίων τὰ ὑδρωποειδέα καὶ φλεγματοειδέα ἀφίησι, καὶ τὰ λοχεῖα χωρήσει ὑδρωποειδέα, καὶ ἐλεύσεται ὅτε μὲν πολλὰ, ὅτε δὲ ὀλίγα. καὶ γίνεται μὲν ὥσπερ ἀπὸ κρεῶν ὕδωρ, ὡς εἴ τις κρέα αἱματώδεα ἀποπλύνοι. ὅτε δὲ ὀλίγῳ παχύτερον καὶ οὐ πήγνυται. καὶ πείσεται ταῦτα πάντα, καὶ εἰ τὰ καταμήνια τὰ ὑδατοειδέα χωρέει. καὶ κινδύνους τοὺς αὐτοὺς ἡ νοῦσος ἔχει καὶ μεταλλαγάς. ξυμβήσεται γὰρ οἱ ῥόον γίνεσθαι ὑδατώδεα. ἢ κρυφθῆναι τὴν κάθαρσιν, καὶ τραπέσθαι περὶ τὴν κοιλίην, καὶ τὰ σκέλεα, ἢ ἐς τὸ στέρνον, ἢ τι τούτων. καὶ κίνδυνοι ἔσονται οἱ αὐτοὶ, οἳ καὶ πρόσθεν εἴρηνται.

Ἢν κύουσα οἰδέῃ, κνήδης καρπὸν ὡς πλεῖστον καὶ μέλι, καὶ οἶνον κεκρημένον εὐώδεα διδόναι ποτὸν, δὶς τῆς ἡμέρης. ἢν κύουσαν χολὴ λυπέῃ, πτισάνης χυλὸν διδοῦ ῥόον ἐπιπάσσων τὸν ἐρυθρὸν, ἢ τὸν ἐκ τοῦ συκαμίνου, ψυχρὸν δὲ ῥοφεέτω καὶ καταστήσεται.

Ἢν δὲ πνὶξ προσπέσῃ ἐξαπίνης, ἐχούσῃ ἐν γαστρὶ, γίνεται δὲ τοῦτο μάλιστα ἐπὴν ἡ γυνὴ ταλαιπωρέῃ. καὶ ἀσιτήσῃ θερμανθεισέων τῶν μητρέων ὑπὸ τῆς ταλαιπωρίης. καὶ ἐλάσσονος τῆς ἰκμάδος γινομένης περὶ ἐμβρύῳ, καὶ ἅτε τῆς μήτρης κενεωτέρης τὴν κοιλίην τοῦ καιροῦ ἐούσης, ἰθύει τὸ ἔμβρυον πρὸς τὸ ἧπαρ καὶ τὰ ὑποχόνδρια, ἅτε ἰκμαλέα ἐόντα. καὶ πνίγα ποιήσει ἰσχυρὴν ἐξαπίνης. ἐπιλαμβάνεσθαι γὰρ τὸν διάπνοον τὸν ἀμφὶ τὴν κοιλίην. καὶ ἄναυδιν ἴσχει τὴν γυναῖκα. καὶ τὰ λευκὰ ἀναβάλλει τῶν ὀφθαλμῶν. καὶ τὰ ἄλλα πάσχει πάντα ὅσα περ εἴρηται. ἢν ἰκνᾶ ἐφεῖσα τὰς μήτρας πνιγέῃ, καὶ ἅμα τε ἄρχεται ἡ πνὶξ γίνεσθαι τῇ ἐν γαστρὶ ἐχούσῃ γυναικὶ. καὶ ἀπὸ τῆς κεφαλῆς καταῤῥεῖ φλέγμα ἐς τὰ ὑποχόνδρια, οἷα τοῦ σώματος μὴ δυναμένου τὴν ἀναπνοὴν ἕλκειν. καὶ ἢν μὲν ἅμα τοῦ φλέγματος τῇ κατελεύσει ἴῃ τὸ ἔμβρυον, ἐς χώρην τὴν ἑωυτοῦ, ὅλην τὴν ἰκμάδα ἑλκύσαν καὶ κατενεχθὲν ὑπὸ τοῦ φλέγματος, ὑγιὴς γίνεται ἡ γυνή. τρυσμὸς δὲ γίνεται, λιπόντος τοῦ ἐμβρύου τὴν χώρην τὴν ἑωυτοῦ. καὶ ἡ γαστὴρ ὑγρὴ γίνεται ὡς ἐπὶ τὸ πλεῖον τῆς γυναικός. ἢν δὲ μὴ ἴῃ τὸ ἔμβρυον ἐν τάχει ἐς χώρην τὴν ἑωυτοῦ, δύο γίνεται ἤδη τὰ πονέοντα τὸ ἔμβρυον. τὸ φλέγμα τὸ κατελθὸν ἀπὸ τῆς κεφαλῆς, βαρύνει τε γὰρ καὶ ψύχει ἐπιμένον, καὶ ἡ ἀηθείη τοῦ χωρίου. καὶ κινδυνεύσει, ἤν γε μή τις ἐν τάχει ἐπιτηδειοτέρως διαιτῴη, ἀποπνιγείη γὰρ ἂν ἡ γυνή. καὶ τὰ μὲν ἀμφὶ τούτων ὧδε ἔχει.

Ἢν δὲ γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ὁ χρόνος ἤδη τοῦ τόκου παρῇ, καὶ ὠδῖνας ἔχῃ, καὶ ἐπὶ πολλὸν χρόνον ἀποφυγεῖν ἡ γυνὴ τοῦ παιδίου μὴ οἵη τε ᾖ, ὡς ἐπίπαν ἔρχεται πλάγιον, ἢ ἐπὶ πόδας. χρεὼ δέ ἐστιν ἐπὶ κεφαλὴν χωρέειν. καὶ ἢν πλάγιον ἴῃ, χαλεπὸν γίνεται τὸ πάθημα. ὡς γὰρ εἴ τις ἐς λήκυθον μικρόστομον πυρῆνα ἐμβάλλοι οὐκ εὐφυὲς ἐξελεῖν πλαγιούμενον, οὕτω δὴ καὶ τῇ γυναικὶ χαλεπὸν πάθημα τὸ ἔμβρυον ἐπειδὰν λοξωθῇ, καὶ γὰρ χαλεπὸν ἐξελθεῖν. χαλεπὸν δὲ καὶ ἢν ἐπὶ πόδας χωρήσῃ καὶ πολλάκις ἢ αἱ μητέρες ἀπώλοντο ἢ τὰ παιδία, ἢ καὶ ἄμφω. ἔστι δὲ καὶ τόδε μέγα αἴτιον τοῦ μὴ ῥηϊδίως ἀπιέναι, ἢν νεκρὸν, ἢ ἀπόπληκτον, ἢ διπλόον ᾖ.

Ἐπὴν ἐν γαστρὶ ἡ γυνὴ ἔχῃ, χλωρὴ γίνεται πᾶσα, ὅτι αὐτέης τοῦ αἵματος αἰεὶ τὸ ἀκραιφνὲς καθ' ἡμέρην ὑπολείβεται ἐκ τοῦ σώματος, καὶ κατέρχεται ἐπὶ τὸ ἔμβρυον, καὶ αὔξη οἱ γίνεται. καὶ ἐλάσσονος τοῦ αἵματος ἐόντος ἐν τῷ σώματι ἀνάγκη εἶναι χλωρήν. καὶ ἱμείρεσθαι ἀλλοκότων αἰεὶ βρωμάτων. καὶ ἐπὶ κοιλίην αἱματώδεα ἰέναι. καὶ ἀσθενεστέρη γίνεται, ὅτι τὸ αἷμα μινύθει. φημὶ δὲ γυναῖκα ἢν ἐπιτεύξῃ πνεῦμα πυκνὸν ἀφιέναι. καὶ ἢν ἡ κάθαρσις ἄρχηται, ἡ κοιλίη πλήρης ἐστί. καὶ θέρμη πιεζομένη. μάλιστα δ' ἀναπνέει πυκινὸν ἐπὴν τόκου πελάζῃ, καὶ τὴν ὀσφῦν τότε μάλιστα πονέεται, φλᾶται γὰρ καὶ ἡ ὀσφῦς ὑπὸ τοῦ ἐμβρύου. καρδιώσσει δὲ ἐν τῷ μεταξὺ σύμπαντι χρόνῳ, ἄλλοτε καὶ ἄλλοτε. ἅτε τῆς κοιλίης περιστελλομένης ἀμφὶ τὸ ἔμβρυον. μάλιστα δὲ τῆς ὑστέρης. καὶ ἢν τεκούσης ὑστέρη ἐξανεμωθῇ, ἧπαρ οἴος ἢ αἰγὸς, ἐς τέφρην κρύψαι. καὶ μετέπειτα ἕψειν, καὶ λαμβάνειν καὶ οἶνον ἢν μή τι κωλύῃ, πίνειν ζωρότερον παλαιὸν, ἐπὶ τέσσαρας ἡμέρας, ἢν ποῤῥωτέρω ᾖ ἀπὸ τοῦ τέξιος. ἢν δὲ τὰς ἰξύας ἀλγέῃ, ἄννησον καὶ κύμινον αἰθιοπικὸν πινέτω. καὶ τῷ θερμῷ λουέσθω. ἢν δ' ἆσθμα λάζηται, θείου ὅσον κύαμον, καὶ καρδαμώμου ἴσον, καὶ πηγάνου, καὶ κυμίνου αἰθιοπικοῦ, ταῦτα τρίψας, καὶ δεὶς οἴνῳ, δίδου πίνειν νήστει. καὶ σιτίων ἀπεχέσθω

πυκινά. ἢν ἐν τόκῳ κάθαρσις ἴῃ πολλή, ἡ ὑστέρη ξυνέλκεται καὶ ἡ κύστις, καὶ ἐντέρον, καὶ ὅτε τὸ κόπριον κατέχουσι καὶ τὸ οὖρον, ποιέονται δέ. ὠὰ οὖν ῥοφεῖν δίδου. καὶ ἄρτον ἐγκρυφίην βρώχειν καὶ ὅσα λοιπὰ γέγραπται. ἢν δὲ ἡ ἐν τόκῳ οὖσα, ξηρὴ καὶ δύσικμος, ἔλαιον πίνειν, καὶ καταιονᾶν τὰ χωρία ἔλαιον θερμὸν μαλάχης ὕδωρ κηρωτῇ ὑγρῇ διαχρίειν, καὶ ἔγχυσιν χηνὸς ἄλειφα ξὺν ἐλαίῳ. ἢν δὲ μὴ δύναιτο τίκτειν, ὑποθυμιᾶν ῥητίνην, ἢ κύμινον, ἢ πίτυος φλοιόν. καὶ τούτῳ ὑποθυμιᾶν. ὅσα δὲ οἰδήματα γίνεται ὑστερικὰ ἐν τόκῳ ἢ ἐκ τόκου, οὐ χρὴ σύφειν οἷα οἱ ἰητροὶ ποιέουσι. τὰ δὲ φάρμακα ἄριστα προσφέρειν. κύμινον αἰθιοπικόν, ὅσον τρισὶ δακτύλοισι. καὶ τοῦ ἀννήσου. καὶ τοῦ σεσέλιος πέντε, ἢ ἕξ. γλυκυσίδης χηραμύδος ἥμισυ τῆς ῥίζης, ἢ καὶ τοῦ σπέρματος. ταῦτα ἐν οἴνῳ λευκῷ ἢ διώδμῳ μάλιστα νήστει διδόναι. ἢ δαύκου ῥίζαν αἰθιοπικοῦ. σέσελι. γλυκυσίδης ῥίζαν τὸν αὐτὸν τρόπον. ἢ ἱπποσελίνου. ἢ δαύκου αἰθιοπικοῦ καρπὸν ὡσαύτως. ἢ κρήθμου ῥίζαν. ἢ κυμίνου αἰθιοπικοῦ ἀττικὸν τετρώβολον. ἢ πέπερι. ἄννησον. δαῦκος. ἀκταίης γλυκυσίδης ῥίζα. ταῦτα ἐν οἴνῳ τρίβειν καὶ διδόναι πίνειν, ἢ μυρτιδάνου κλωνία δύο ἢ τρία. καὶ κύμινον αἰθιοπικόν. γλυκυσίδης ῥίζαν. ἢ καὶ λίνου σπέρμα ὁμοίως. ὃ καὶ τὰ παιδία βήσσοντα ψωμίζουσι, ξὺν ὠῷ ὀπτῷ λεκίθῳ, ξὺν σησάμῳ πεφρυγμένῳ. Ἢν παιδίου ἀφθῇ τὰ αἰδοῖα, ἀμύγδαλα τρίψας, καὶ βοὸς μυελὸν ἐν ὕδατι ἕψειν. καὶ ἄλητον ἐμβαλὼν σμικρόν, διαχρίειν τὰ αἰδοῖα. καὶ διακλύζειν τῷ ὕδατι τῷ ἀπὸ τῆς μυρσίνης. νῦν δὲ ἐρέω ἀμφὶ λοχείων, καὶ τῶν μετὰ τὸν τόκον ἰόντων. Ὅταν γυνή, ἢ τὰ λοχεῖα μὴ καθαρθῇ, ἢ τὰ ἐπιμήνια μὴ ἴῃ, ἢ ὑστέρη σκληρὴ ᾖ, ἢ ὀδύνην ἔχῃ τὴν ὀσφῦν. καὶ τοὺς μὲν κενεῶνας, καὶ βουβῶνας, καὶ μηρούς, καὶ πόδας ἀλγέῃ πικρῶς. καὶ ἡ γαστὴρ ἐπαίρηται, καὶ φρῖκαι διὰ τοῦ σώματος διαΐσσωσιν. ἐκ δὲ τῶν τοιουτέων πυρετοὶ γίνονται ὀξέες. ταύτην τὴν οὕτως ἔχουσαν ἢν μὲν ἄπυρος ᾖ, διαιτᾶν λουτροῖσι. λιπαίνειν δὲ καὶ τὴν κεφαλήν, ἐλαίῳ ἀνθινῷ. ἕψειν δὲ μαλάχην. ἢ ἔλαιον κύπρινον ἐς ὕδωρ ἐγχέειν, καὶ ἐγκαθίζεσθαι παρηγορικῶς. ἐν πάσῃσι δὲ τῇσι νούσοισιν ἐφ᾽ ὧν πυρίη ἀρήγει, ἄμεινον ὕστερον χρίεσθαι καὶ λίπα. ἢν δὲ πῦρ ἔχῃ, λουτρῶν ἀπέχεσθαι. πυρίῃσι δὲ καὶ χλιάσμασι τὴν νειαιρὰν γαστέρα, καὶ τὴν ὀσφῦν θεραπεύειν. διδόναι δὲ πίνειν τῶν φαρμάκων τῶν ὑστερικῶν παραμίσγοντα. ἢ τῆς σηπίης τῶν ὠῶν, ἢ τοῦ κάστορος. μετὰ δὲ τοῦτο ῥοφέειν διδόναι, ἄλητον ξὺν πηγάνῳ ἑφθόν, ἢ πτισάνης χυλόν. ἢν δὲ γυναικὶ μετὰ τὸ παιδίον ἐν τῷ τόκῳ μὴ ἴῃ τὸ ὑγρὸν ὡς χρή, ἀλλὰ μὴν ἢν μὲν ἐν τῇ κεφαλῇ ἔχῃ τὸ ὑγρὸν ὑπὸ θέρμης εἰρυσθὲν ἐν τόκῳ καὶ πρίν, ὀλίγον κεφαλαλγήσει. ἢν δὲ ἐς τὴν κοιλίην ἔλθῃ ἀλές, ἐπειδὰν συνθῇ, ταράξει ἐν αὐτὴν καὶ οὐχὶ πόρρω. τιμωρέειν δὲ ὡς μὴ ἐκ τούτου διάρροια ἐπιγενομένη σώματι φλαύρως ἔχοντι, πονήσῃ μιν. ἢν δὲ ἀπὸ κεφαλῆς ἐλθὸν τὸ ῥεῦμα ἐς τὴν λοχείην κάθαρσιν τραπῇ, καὶ πολλὰ συνθῇ, ῥηΐζει. ἢν δὲ πλεῖον τοῦ μετρίου μελεδαίνει. ἢν δὲ ἐς τὴν κοιλίην, ῥηϊτέρη αὖ ἡ ἔξοδος τῷ παιδίῳ γένοιτο. εἰ δὲ ἡ κάθαρσις τῇ γυναικὶ ὀλίγη χωρέοι, πόνος λάζεται ἰσχυρὸς ἰξύας τε, καὶ τὸν ἀμφὶ τὰ αἰδοῖα πάντα χῶρον, καὶ οἰδέει. καὶ οἱ μηροὶ πίμπρανται. καὶ ἐκ τοῦ στόματος καὶ ἐκ τῶν ῥινέων, ῥέει φλέγμα ἰσχυρῶς ὑδαρές. καὶ ἀλγέει κεφαλήν, καὶ πῦρ ἔχει. καὶ φρίκη. καὶ οἰδέει. καὶ οἱ ὀδόντες βρύχουσι. καὶ ἡ γαστὴρ οἱ στεγνὴ ἔσται. καὶ ἡ κύστις καὶ τὰ ὄμματα ἀναδινέει. καὶ ζοφοειδὲς ὁρῇ. Γυναικὶ δὲ ἐκ τόκου ἐούσῃ κάθαρσις ἐπὴν ἴῃ, οὐκ εὐμαρέως χωρέει. οἷα τῶν μητρέων ἐν φλογμῷ γινομένων. καὶ τοῦ στόματος σφέων μύσαντος. προϋδιδοῦται δὲ ὁ στόμαχος τοῦ αἰδοίου μετὰ τὸ παιδίον ποιήσασθαι τὴν ἐκχώρησιν. ἢ γὰρ τούτων τι ᾖ, οὐ χωρήσει οἱ ἡ κάθαρσις. ἢν δὲ μὴ χωρέῃ οἱ κάθαρσις, ξυμβήσεται ὥστε μιν πυρεταίνειν καὶ φρίκην ἔχειν. καὶ τὴν γαστέρα μεγάλην εἶναι. ἢν δὲ ψαύσῃ αὐτῆς, ἀλγέειν πᾶν τὸ σῶμα, μάλιστα δὲ ἤν τις τῆς γαστρὸς ψαύσῃ, καὶ καρδιώσσει ἄλλοτε καὶ ἄλλοτε. καὶ ὀσφῦν πονέει. καὶ ἀσιτίη, καὶ ἀγρυπνίη καὶ νυγμός. ἔπειτα ἡ μὲν ἢ πέμπτη ἢ ἑβδόμη, ἔστιν ὅτε ἡ κοιλίη ταράσσεται, καὶ ὑποχωρέει μέλανα, καὶ κάκοδμα κάρτα, ἄλλοτε καὶ ἄλλοτε, καὶ ὡς ὄνειον οὖρον. καὶ ἢν ὑπέλθοι, δοκέει οἱ ῥηΐτερον εἶναι. καὶ μελεδαινομένη, ἐν τάχει ὑγιὴς γίνεται. ἢν δὲ μὴ κινδυνεύσει διαρροίης αὐτῇ ἰσχυρῆς ἐπιπεσούσης, καὶ τὰ λοχεῖα οἱ κρύψεται. ἢν δὲ ἡ κοιλίη οἱ μὴ ταράσσηται, μὴ δὲ ἡ κάθαρσις χωρέῃ, αὐτομάτη, μὴ δέ οἱ προσφέρηται ἐν τάχει τὰ ἐπιτήδεια, ὁ δὲ χρόνος προΐῃ, πονήσει πολλὰ τὰ προειρημένα. καὶ ἐπὶ τουτέοισι κινδυνεύσει πελιδνὴ γενέσθαι ὡς ὁ μόλιβδος. καὶ ὑδερωθῆναι. καὶ ὁ ὀμφαλὸς ἐκστήσεται αὐτῇ, ἀειρόμενος ὑπὸ τῶν μητρέων. καὶ ἔσται μελάντερος τῶν πέριξ. καὶ ἐπὴν ταῦτα

γίνηται

γίνηται, οὐχ οἵη τέ ἐστι περιγίνεσθαι ἡ γυνή. θνήσκουσι δὲ ἄλλαι ἄλλῳ χρόνῳ, ὅκως τι καὶ τὰ τοῦ σώματος ἔχωσι, καὶ τὰ τῆς πάθης. μῆνας δὲ καὶ εἴκοσι ἡμερέων οὐχ ὑπερβάλλουσιν ὡς ἐπὶ τὸ πλέον οὕτω ξυμβαίνει. ἢν δὲ οἱ ῥαγῇ κάθαρσις εἴτε καὶ ὑπὸ φαρμάκων, εἴτε καὶ αὐτομάτη. γίνεται γὰρ καὶ τοῦτο. ἢν χαλάσωσι τὸ στόμα αἱ μῆτραι, ἢ βιασθεῖσαι ὑπὸ τοῦ αἵματος, ἀλέως ἐξαπίνης κατελθόντος, καὶ ἢν ῥαγῇ ἀποκαθαίρεται δυσώδεα καὶ πυώδεα. ἔστι δ' ὅτε καὶ μέλανα, καὶ ῥηΐτερον ἔσται. καὶ μελεδανθεῖσα ὑγιαίνεται. γίνεται δὲ καὶ ἕλκεα ἐν τῇσι μήτρῃσιν οἷα τῶν λοχείων σαπέντων. ἢν γὰρ ἐγγένηται, πλείονος μελεδώνης δεήσεται, ὅκως μὴ οἱ τὰ ἕλκεα μεγάλα καὶ σηπεδονώδεα ἔσται. κίνδυνος δὲ ἢ θανεῖν, ἢ ἄφορον γενέσθαι. σημήϊα δὲ ταῦτα γίνεται, ἢν ἕλκεα ἐνῇ. ἐπὴν χωρέῃ ἡ κάθαρσις δοκεῖ ὡς ἄκανθα διὰ τῶν μητρέων ἰέναι. καὶ πῦρ μαλάζεται μάλιστα τὴν κοιλίην ἐπιλαμβάνειν. ἀλγέει δὲ ἐπαφωμένη τὸ κάτω τοῦ ὀμφαλοῦ, ὡς ἕλκεος καθαροῦ νευρώδεος εἰ θίγοις. ἔπειτα ὀδύναι ἰσχυραὶ ἄλλοτε καὶ ἄλλοτε ἐμπίπτουσιν ἐς τὰς μήτρας. καὶ πυρετός. ἔστι δ' ὅτε πρὸς χεῖρα βληχρός. καὶ ἄλλοτε καὶ ἄλλοτε ὑπὸ κακοήθεα χωρεῖ τὰ λοχεῖα. πυώδεα. δυσώδεα. ταῦτα σημεῖα ἐστὶν, ἢν ἕλκεα ἐν τῇσι μήτρῃσι ᾖ, καὶ δέεται πολλῆς μελεδώνης. ταύτης μὲν νῦν ἀμφὶ τῆς νούσου, πέσαι τελευταί εἰσιν. ἢν δὲ ἡ κάθαρσις ἡ λοχείη, τὰς μὲν πρώτας ἡμέρας τρεῖς ἢ τέσσαρας χωρήσῃ. ἔπειτα ἀπόληται ἐξαπίνης ταύτῃ, πάσχει παθήματα τῇ προτέρῃ ἀδελφεά. ἥσσον δὲ καὶ ἢν μεταπέσῃ ἡ νοῦσος, ἐς τοῦτο μεταπεσεῖται. χρονίη δὲ καὶ βληχροτέρη ἔσται τῆς προτέρης. διαιτεομένη δὲ ἡ γυνὴ περιγίνεται, ἢν ἁρμοῖ μελεδαίνηται. ἀμφὶ δὲ τῆς νούσου ταύτης ὧδε ἔχει.

Ἢν δὲ ἐκ τοῦ τόκου μὴ καθαρθῇ, οἰδέει ἡ γαστὴρ, καὶ ὁ σπλὴν, καὶ τὰ σκέλεα. καὶ πῦρ ἔχει. καὶ ῥῖγος λαμβάνει καὶ ὀδύναι ἀΐσσουσι πρὸς τὰς ἰξύας. ἔστι δ' ὅτε καὶ πρὸς τὰ σπλάγχνα. καὶ ἀποψύχεται. καὶ πῦρ ἔχει. σφυγμοὶ βληχροί. ἔστι δ' ὅτε καὶ ὀξέες, ἄλλοτ' ἀειρόμενοι, ἄλλοτε ἐλλίποντες. ταῦτα πάσχει ἀρχομένης τῆς νούσου, καὶ ὧδε ἔχει. ἢν δὲ προΐῃ τοῦ χρόνου, τὰ κοῖλα τοῦ προσώπου ἐρυθρὰ γίνεται. ὅταν ὧδε ἔχῃ, διδόναι κοῦφα σιτία. κἢν ὀργᾷ, φάρμακον πῖσαι κάτω. ἢν μὲν χολώδης ᾖ, ὅτι χολὴν καθαίρει. ἢν δὲ φλεγματώδης, ὅτι φλέγμα. μετὰ δὲ τοῦτο, πυριῆσθαι τὰς ὑστέρας εὐώδεσι. καὶ προσθεῖναι μαλθακτήριον τὴν ἡμέρην. ἢν δὲ στεῤῥὴ ᾖ, τὸ στόμα πυριῆν ἅπασαν ἡμέρην, καὶ τὰ μαλθακτήρια προστιθέναι. ἔπειτα λοῦσαι θερμῷ ὕδατι, καὶ πιθεῖναι τοὺς μολίβδους. μετέπειτα δὲ ἁλὸς χόνδρους, καὶ σμύρναν ἐς τρυχίον ἀποδήσας καὶ τὴν πίσσην τὴν ἑφθὴν ἐν εἰρίῳ, ἡδύσματα ξυμμίξας, ἴσον ἑκάστου ποιέων ἴσον κικίδι σμικρῇ. προσκείσθω δὲ ἡμέρην καὶ εὐφρόνην. μετὰ δὲ τοῦτο καταλιπεῖν ἡμέρας τρεῖς. καὶ πυριῆσθαι τοῖσιν αὐτέοισιν. προστιθέναι δὲ καὶ κόκκους ἐκλέψας ὅσον δύο πόσιας, καὶ πέπερι τρίψας λεῖα, παραμίξας ἔλαιον αἰγύπτιον λευκὸν, καὶ μέλι ὡς κάλλιστον. τοῦτο ἐμπλάσας ἐν εἰρίῳ, καὶ περιελίξας περὶ πτερὸν προσθεῖναι ἡμέρην ἅπασαν καὶ εὐφρόνην. καὶ ἢν σοι δοκέῃ κεκαθάρθαι ἄμεινον ἐᾶν. ἢν δὲ δοκέῃ δέεσθαι καθάρσιος, δύο ἡμέρας διαλιπεῖν. καὶ αὖθις τὸ ξὺν τῇ σικύῃ ἡμέρην καὶ εὐφρόνην προστιθέναι. κἄπειτα τὸ νέτωπον. καὶ ῥόδινον ἔλαιον ὡς εὐωδέστατον. καὶ ἐλάφου στέαρ τήξας εἰρίῳ προστιθέναι μίην ἡμέρην. καὶ λούειν πολλῷ τῷ θερμῷ, ὡς οἷόν τε ᾖ εὐμενές. καθαρτηρίοισι δὲ αὐτίκα καὶ θερμῷ καθηραμένη τὰ ἀμφιπονεύμενα χωρία, ἐναλειφέσθω τὸ στόμα τῶν μητρέων, χηνέῳ στέατι καὶ σμύρνῃ, καὶ ῥητίνῃ χλιαρῇ, καὶ θάλπειν. κλυζέτω δὲ τὰς ὑστέρας, τῷ οἴνῳ, καὶ τῷ ναρκισσίνῳ ἐλαίῳ, τῇ ὑστεραίῃ. ἢν δὲ μὴ ᾖ ναρκίσσινον, οἴνῳ μόνῳ. ταῦτα ὅκως σοι πρὸ τῶν ἐπιμηνίων ἡμερέων μιῇ πρόσθεν ποιήσηται. ἐπὴν δὲ τὰ ἐπιμήνια γένηται, τὰς μὲν ἐν ἀρχῇ ἡμέρας, τρίβουσαν μελάνθιον τὸ κύπριον, καὶ ἁλὸς χόνδρον ἐπιχέασα εἰρίῳ ἀναφορύξαι τοῦτο, ἐν τῷ σώματι ἐχέτω ἐπ' ὀλίγον. καὶ νῆστις οἶνον ἄκρητον εὐώδεα ἐπιῤῥοφεέτω. ἐπὴν δὲ παύσηται τὰ ἐπιμήνια τὴν ἡμέρην τὸ ξὺν τῇ γλήχωνι προστιθεὶς, καὶ πρὸς τὸν ἄνδρα ἴτω. κἢν ἐν γαστρὶ σχῇ, ὑγιὴς γίνεται. σιτίοισι δὲ χρέο ἐν τῇ καθάρσει. πρὸς τούτοις ἀρήγει ἑψεῖν τὴν λινόζωστιν. καὶ συμμίσγειν πράσα. σκόροδα. καὶ κράμβην, κόκκωνά τε. καὶ τὸν χυλὸν ῥοφείτω τοῖσι δακτύλοισι. καὶ ὄψοισι θαλασσίοισι μᾶλλον, ἢ κρέασι χρήσθω. τῶν δὲ γλυκέων εἰργέσθω καὶ ἐλαιηρῶν. πίνειν δὲ αἰεὶ νῆστιν, τὸ ἀπὸ τῆς δαιδός, ἔστ' ἂν καθαίρηται. ἐν δὲ τοῖσιν ἐπιμηνίοισιν, μᾶλλα πινέτω. ἢν δὲ ὀλίγῳ ἐλάσσονα τοῦ δέοντος χωρήσῃ γυναικὶ τὰ λοχεῖα οἷα τῶν μητρέων στενοστόμων ἐουσέων καὶ παρεστραμμένων, ἢ τοῦ αἰδοίου ᾖ τι μεμυκὸς κάρτα ὑπὸ φλεγμασίης, ἡ γυνὴ πυρεταίνει ὀξέως. καὶ καρ-

διώσει. καὶ ἀλγέει τὸ σῶμα πᾶν. καὶ σφαδάζει. καὶ ἂν τὰ ἄρθρα τῶν χειρέων καὶ τῶν σκελέων. καὶ τῆς ὀσφύος ἡ ὀδύνη φοιτᾷ, καὶ τὸν ἀμφὶ τὴν δειρὴν τόπον, καὶ ῥάχιν καὶ βουβῶνας ἀλγήσει, καὶ ἀκρατέα τινὰ τῶν μελέων τοῦ σώματος γενήσεται. ἔπειτα πῦρ ἠρεμαῖον. φρίκη πάνυ φανερή. ἐμέουσι δὲ καὶ φλεγματώδεα πικρὰ δριμέα. καὶ ἀμφὶ τῆσδε, ὧδε ἔχει. καὶ οἱ ξυμβήσεται, ἢν μελεδαίνηται, ὑγιέα γενέσθαι. ἢν δὲ μή, χωλήν, καὶ ἀκρατέα τῶν μελέων γίνεσθαι τοῦ σώματος. ἄφορος δὲ ἡ νοῦσος οὐ πάνυ.

Ην μὲν αἱ μῆτραι ἑλκωθῶσι, καὶ τὰ λοχεῖα μὴ παρῇ ὡς χρή, πάντα πονήσει. καὶ ἢν μὴ μεγάλα ᾖ τὰ ἕλκεα, μελεδαινομένη ἐν τάχει, ὑγιαίνει. χρὴ δὲ τὴν μελέτην ἀτρεκέως ποιέεσθαι, ἑλκέων τῶν ἐν τῇσι μήτρῃσιν. ἅτε γὰρ ἐν ἁπαλῷ ἐόντα, καὶ ἀνεπαισθήτῳ, καὶ νευρώδει τῇ κοιλίῃ. πολλὰ δὲ τὰ κοινωνέοντα. βρέγμα. στόμαχος. γνώμη ἀΐσσεται, καὶ κακοτροπέει, καὶ οὐ ῥηϊδίως ἐθέλει ξυνιζάνειν. ἢν δέ οἱ αἱ μῆτραι στενόστομοι γένοιντο, καὶ μὴ παραχαλάσωσι τὴν λοχείην κάθαρσιν, φλεγμήνουσιν. ἢν μὴ μελεδαίνηται ἐν τάχει πάντα μὲν μᾶλλον πονήσει. καὶ ὀδμὴ πονηρή. καὶ οἰδίσκεται ἡ ἔξοδος. καὶ ἢν μὴ φλεγμήνωσιν αἱ μῆτραι, αὐτόματον ἔξεισι κακὸν ὀζόμενον, καὶ πελιδνὸν ἐόν, ἢ μέλαν ἐὸν θρομβοειδές, καὶ ἡ γυνὴ καθαίρεται τὰ λοχεῖα. ἔστι δ᾽ ὅτε οὐκ ἔξεισιν, ἀλλὰ τῇ γυναικὶ θάνατον σημαίνει, ἢν μή τις ἐν τάχει φλέβα τέμῃ, ἢ τὴν κοιλίην μαλθάξειεν. ἄμεινον δὲ καὶ κλύσμα ποιῆσαι. ἢν δὲ ἂν ἔμβρυος ᾖ, καὶ ἂν ἔμβρυον ἄγειν. κρέσσον δὲ διουρέειν καὶ ἰδίειν. τούτων δὲ καιρὸς ὅτε δέοι ἄριστος.

Ην δὲ ἐκ τόκου γυνὴ καθαρθῇ, ὀλίγῳ πλέονα ὧν χρή. γίνεται γὰρ καὶ τοῦτο, εἰ αἵ τε μῆτραι εὐρύστομοι γένοιντο, καὶ τῶν φλεβῶν τινὲς καταρραγέωσιν, αἳ τείνουσιν ὑπὸ τὰς μήτρας, ὑπὸ βίης τῆς ἐξόδου τοῦ ἐμβρύου. πυρετὸς καὶ ῥῖγος ἔχει αὐτὴν λεπτὸς θέρμη τε ἀνὰ πᾶν τὸ σῶμα, ἔστι δ᾽ ὅτε καὶ φρίκη καὶ ἀσιτίη. καὶ βδελύξεται πάμπαν. καὶ λεπτὴ ἔσται καὶ ἀσθενής. καὶ χλωρή. καὶ οἰδαλέος. καὶ ἀσιτέει. ἢν δέ τι φάγῃ ἢ πίῃ, οὐ πέσσεται. ἐνίοισι δὲ καὶ κοιλίη καὶ κύστις καταρρήγνυνται. καὶ φρίκη ἔχει μᾶλλον. ἀμφὶ δὲ ταύτης, ὧδε ἔχει.

Ην δὲ ἐκ τόκου ἐούσης συμφραχθῇ τι τοῦ αἰδοίου. ἤδη δὲ καὶ τοῦτο εἶδον, ἢν ἑλκωθῇ τὸ στόμα τοῦ αἰδοίου, καὶ ἐπειδὰν ἑλκωθῇ ἐν τόκῳ βιασθὲν ὑπὸ τῆς ἐξόδου τοῦ παιδίου, ἐγένετο ἴκελόν τι ἄφθῃ. καὶ ἐφλέγμηνε κάρτα. καὶ τὰ χείλεα ὑπὸ τῆς φλεγμάνσιος συνέπεσε πρὸς ἄλληλα, καὶ ἐλάβετο ἀλλήλων, ἅτε ἡλκωμένα ἐόντα. καὶ ψύξις δὲ γίνεται, καὶ μεμύκει ἄμφω τὰ χείλεα, ξυνδήσασα τὸ τῆς καθάρσιος ἀπολελειμμένης. εἰ δὲ ἐχώρεεν ἡ κάθαρσις, οὐκ ἂν ἐμυκώθη τὰ ἕλκεα. νῦν δὲ ἐπιρρεῖ καὶ παχύνεται ἀλλοκότῳ σαρκί. καὶ ἰῆσθαι δεῖ ὡς τὰ ἐν τῷ ἄλλῳ σώματι, καὶ ἂν ὠτειλὰς ἄγειν. τὸ δὲ χωρίον λεῖον ἔσω, καὶ ὁμόχροον εἰ φροντίς. ἔπαθε δὲ ταῦτα ἃ πάσχουσιν αἱ μῆτραι ἀποκαθαιρόμεναι τὰ λοχεῖα. καὶ ὑπὸ κυτίοισιν ἤλγει τὸ αἰδοῖον. καὶ ψηλαφῶσα ἔγνω, ὅτι ξυνεπέφρακτο. καὶ ἔφρασε. καὶ μελεδαινομένη ἀπεκαθήρατό τε καὶ ὑγιὴς ἐγένετο καὶ φόρος. εἰ δὲ μὴ ἐμελεδάνθη μὴ δέ οἱ ἡ κάθαρσις ἐρράγη αὐτομάτη, τὸ ἕλκος μέζον ἐποίησε, καὶ μὴ ἀνεῖσα ἐκινδύνευσεν ἂν τὸ καρκινωθῆναι τὰ ἕλκεα. εἰ δ᾽ ὁρμηθείη γυναικὶ λοχείη κάθαρσις ὡς ἂν κεφαλὴν θώρηκά τε καὶ πλεύμονα. γίνεται γὰρ τοῦτο καὶ θνήσκουσι πολλάκις αὐτίκα ἢν ἴσχηται. εἰ δὲ χωρέει κατὰ στόμα ἢ ῥῖνα καλῶς, ἐξαύτης γίνεται. εἰ δὲ ὀλίγον ἡ νοῦσος χρονιωτέρη γίνοιτο καὶ πάσχοι ἂν ἡ γυνὴ ὁκοῖα εἴρηται ἀμφὶ τῆς παρθένου, ἢ τὰ ὑποφαινόμενα πρῶτα ἄρουσιν ἄνω. ἡ δὲ γυνὴ πλέονα χρόνον περιέσται τῆς παρθένου. καὶ βληχρότερα τὰ παθήματα ἔσται οἱ, μέχρις οὗ ὁ πνεύμων διάπυος γένηται. ἢν δὲ μὴ χωρέῃ ἡ λοχείη κάθαρσις κατὰ τὸ στόμα, ἀλλ᾽ ἄνω ὁρμηθεῖσα τραπῇ, κεκρύψεται τὰ λοχεῖα, καὶ οὐ χωρήσει, κατά γε δίκην. καὶ βὴξ ὑπολήψεται. καὶ ἄσθματα. καὶ πληρουμένου τοῦ πνεύμονος ὑπὸ τοῦ αἵματος, πονήσει τὸ πλευρὸν κάρτα, καὶ τὸ μετάφρενον. καὶ ὅταν βήξῃ, ξηρὸν ἀποβήσεται. ἄλλοτε δὲ ἀφρώδεα πτύεται. τοῦ δὲ χρόνου προϊόντος, πτύαλον ὑποφαίνεται ὑπόμελαν ἐόν, καὶ θολερόν. καὶ τὰ στήθεα πῦρ ἔχει, τοῦ ἄλλου σώματος πολλὸν οἷα αἵματος θερμήναντος αὐτό. καὶ πυρεταίνει ἡ γυνή. καὶ ἡ γαστὴρ οἱ στεγνὴ ἔσται. καὶ ἀσιτήσει. καὶ ἀγρυπνήσει. καὶ βδελύξεται. καὶ οὐ περιγίνεται ἀλλὰ θανεῖται ἐν μιῇ καὶ εἴκοσιν ἡμέρῃσιν ὡς τὰ πολλά. ἢν δέ οἱ κάθαρσις ἀνορμήσασα κατὰ τὸ στόμα μὴ ἔλθῃ, μὴ δὲ ἐς τὸν πνεύμονα τράπηται, τρέψεται οἱ ἂν τὸ πρόσωπον τὰ λοχεῖα, καὶ ἔσται ἐρυθρὸν κάρτα, καὶ ἡ κεφαλὴ βαρείη. οὐδὲ κινῆσαι αὐτὴν ἔσται πόνων ἄτερ. καὶ οἱ ὀφθαλμοὶ ἐρυθροὶ κάρτα ἔσονται, καὶ ἐκ σφέων αἷμα ῥεύσεται

λεπτὸν

λεπτόν. καὶ ἐκ τῶν ῥινῶν ἔστιν οἷσιν αἷμα ῥεῖ. καὶ ἢν τοῦτο ἴῃ, ὧδε χρονιωτέρη ἡ νοῦσος γίνεται, τοῖσί τε οὔασιν, οὐκ ὀξέως δεῖ τὸ ἀκούειν ἐν τῇ νούσῳ. καὶ καρδιώξει. καὶ βρυάξεται. καὶ ἀλλοφρονήσει. καὶ παράνοιαι γίνονται μανιώδεες. ἔστι δ᾽ οἷσι θράσος ὀμμάτων ἰλλωδέων, καὶ τ᾽ ἄλλα πάντα πονήσει, ὅκως καὶ τὸν πλεύμονα ὡς εἴρηται ἢν ἡ κάθαρσις τράπηται, πλὴν οὐ βήξει, οὐδὲ πτύσεται τοιαῦτα. οὐδὲ τὸ μετάφρενον ἀλγήσει ὁμοίως. μελεδαινομένη δὲ ὑγιαίνει. οὐ πολλαὶ δὲ ἐλπίδες εἰσὶ περιγενέσθαι. ἢν δ᾽ ἄρα καὶ περιγένηται, κώφωσις ἔσται οἱ, ἢ τύφλωσις τὸ ἐπίπαν. ἀμφὶ τῆσδε τῆς νόσου ὧδε τελευτᾷ. Ην ἐκ τόκου ῥόος λαμβάνῃ, καὶ τὰ σιτία ἐν τῇ γαστρὶ μένῃ, ἀσταφίδα χρὴ μέλαιναν, καὶ ῥοιῆς γλυκείης τὰ ἔνδον τρίψαι. οἴνῳ δὲ ἐς ἐν μέλανι χρῶ, τυρὸν ἐπιξύσας αἴγειον. καὶ ἄλφιτα πύρινα πεφρυγμένα ἐπιπάσαι, καὶ δὺς κρητὸν δίδου. Ην δὲ αἷμα ἐκ τόκου ἐμέσῃ, τὸ ἧπαρ ἢ σῦριγξ τέτρωται. καὶ ὀδύνη πρὸς τὰ σπλάγχνα φοιτᾷ. καὶ τὴν καρδίαν σπᾶται. ταύτην χρὴ λούειν πολλῷ θερμῷ. καὶ τῶν χλιασμάτων ἃ μάλιστα προσδέχεται, προσιθέναι. καὶ πιπίσκειν ὄνου γάλα ἑπτὰ ἡμέρας, ἢ πέντε. μετὰ δὲ ταῦτα πιπίσκειν βοὸς μελαίνης γάλα ἀσιτεύουσαν εἰ οἷόν τε εἴη ἡμέρας μ΄. τὸ δὲ ἑσπέρην, σησάμου τριπτὸν πιπίσκειν. ἡ δὲ νοῦσος, κινδυνώδης. τὸ δὲ γάλα ὅκως γίνηται, εἴρηταί μοι ἐν τῇ γενέσει τοῦ παιδίου τῇ ἐν τόκῳ, καὶ τ᾽ ἄλλα παραπλησίως. Ην γάλα σβεσθῇ, πράσα τρίψας, διείς τε ὕδατι, δίδου πιεῖν, καὶ ἐν θερμῷ λουέσθω. καὶ ἐς βρῶσιν πράσα καὶ κράμβην ἐσθιέτω. συνεψεῖν δὲ καὶ κυτίσου φύλλα. καὶ τοῦ χυλοῦ ῥοφέειν. πιπίσκειν δὲ καὶ τοῦ χυλοῦ τοῦ μαράθρου. καὶ τοῦ ἀπὸ τῶν μαραθρέων ῥιζῶν. καὶ κριθὰς ἐπτισμένας, καὶ βούτυρον ἑψήσας ὁμοῦ, καὶ ψύξας, δίδου πίνειν. ἀγαθὸν δὲ καὶ τὸ ἱππομάραθρον. καὶ τὸ ἱπποσέλινον. καὶ κύτισος. ὁμοῦ ταῦτα πάντα γάλα πουλὺ ποιέει καὶ αὔξει. σκευασίαι αἴγεαι, τυροὶ δὲ μάλιστα ἀγαθόν. ἀλλὰ καὶ τὸν ἐλελίσφακον ἑψεῖν. ἢ ἀπὸ τῶν ἀρκευθίδων, ἢ κεδρίδων ἀποχέουσα τὸν χυλόν, καὶ οἶνον ἐπιχέουσα, πινέτω. καὶ τὰ λοιπὰ ἔλαιον ἐπιχέουσα ἐσθιέτω. καὶ τῶν δριμέων καὶ τῶν ἁλμυρῶν, καὶ ὀξέων καὶ ὠμῶν λαχάνων, πάντων εἰργέσθω. τὸ δὲ κάρδαμον ἐν οἴνῳ πινόμενον, ἀγαθόν. καὶ γὰρ τὸ γάλα καθαίρει. καὶ περὶ θερμῷ λουέσθω. καὶ ἀπόθερμον πινέτω, καὶ ἄγνου καρπὸν ἐν οἴνῳ διδόναι πίνειν. καὶ ὁ χυλὸς τοῦ τεύτλου γάλα πουλὺ ποιέει πινόμενος. καὶ σησάμου ἀπ᾽ αὐτοῦ. καὶ κριθέων τριμηνιέων ἐμβαλὼν ἐς θυίαν, τρίψας πάντα δι᾽ ὀθονίου τὸν χυλὸν ἐπιχέας καὶ ἐκχυλίσας, παραμίξας δὲ καὶ μέλι, ἢ ἀμαμηλίδας, εἶτα ἐπ᾽ οἴνῳ μέλανι διδόναι πίνειν. Οταν γυνὴ τέκῃ καὶ τοῦ ὑστέρου μὴ ἀπαλλαγῇ, διδόναι ἄμεινον, ὑφ᾽ ὧν μάλιστα καθαίρεται τὰ λοχεῖα, σκόροδα ἑφθά, ἢ ὀπτὰ ἐν οἴνῳ καὶ ἐλαίῳ μετὰ πουλυποδίων, καὶ σηπιδίων. ἐπ᾽ ἀνθράκων δὲ ὅ, τι ἂν βούληται ὀπτέων. κάστορα δὲ ἢ νάρδον πινέτω. πίνειν δὲ καὶ πήγανον ἐν οἴνῳ μέλανι γλυκεῖ, νῆστις, ἢ ἄνευ οἴνου. ἢν δὲ μὴ γλυκὺς ὁ οἶνος ᾖ, ἄμεινον μέλι παραμίσγειν. κράμβην ἑφθὴν ὁμοῦ πηγάνῳ. καὶ λινόζωστιν. καὶ τῶν ἀσθματιῶντι πίνειν τῶν ὑστερικῶν. Ην δὲ θρομβωθῇ, καὶ πόνος ἐν νειαίρῃ τῇ γαστρὶ γένηται, διδόναι πράσα ἑφθά. καὶ ὅσα ἄγρια καὶ ἥμερα. λιπαρὰ δὲ ποιεῖν ἅπαντα, λούεσθαι δὲ καὶ διὰ τρίτης ἡμέρης ἐν πυέλῳ. τὸ γὰρ ψῦχος ταύτῃσιν ἐναντίον. καὶ μετὰ τὸ λουτρὸν ὑπαλείφειν ἄμεινον. μὴ πολλῷ θερμῷ χρῆσθαι. Οταν τὸ ὕστερον μὴ αὐτίκα ἀπίῃ μετὰ τὸν τόκον, τῆς νειαίρης γαστρὸς γίνονται πόνοι ἐν κενεῶσι. καὶ ῥίγεα καὶ πυρετοί. κἢν ἀπαλλαχθῇ τὸ ὕστερον, ὑγιαίνει καὶ ἡ γυνή. σήπεται δὲ πουλύ. ἀπαλλάσσεται δὲ ἑκταίῃ, ἢ ἑβδομαίῃ, ἢ καὶ ἀνωτέρω. αὐθι τῇ τοιαύτῃ χρὴ διδόναι φάρμακα, ὧν ἂν ἐγὼ γράψω. καὶ πνεύματα κατέχειν. ἄριστον δὲ πάντων οἶδα, ἀρτεμισίην βοτάνην. καὶ δίκταμνον. λευκοΐου ἄνθος. καὶ ὀπὸν σιλφίου, κράτιστον ἐν ὕδατι πινόμενον ὅσον κύαμος ἑλληνικός. καὶ ἢν τὰ ὕστερα μὴ δύνηται ἀποφυγεῖν, ἀσιτέειν. κἄπειτα πέταλα τῆς ἄγνου τρίψας ἐν οἴνῳ καὶ μέλιτι, καὶ ἔλαιον ἐπιχέας χλιήνας, δίδου πίνειν ὅσον κοτύλην, καὶ ἔξεισιν. Ην δὲ γυναικὶ τὸ χορίον ἐλλειφθῇ ἐν τῇσι μήτρῃσι, τοῦτο δὲ ὧδε γίνεται. ἢν ῥαγῇ βίῃ ὁ ὀμφαλός, ἢ ἀμαθίῃ ὑποτάμῃ ἡ ὀμφαλιτόμος, τὸν ὀμφαλὸν τοῦ παιδίου πρόσθεν ταμοῦσα, πρὶν ἢ τὸ χορίον ἐξιέναι ἐκ τῶν μητρέων, αἱ μῆτραι τε ἀνασπῶσιν ὕστερον ἄνω, ἅτε ὀλισθηρὸν ἐὸν καὶ χεόμενον, καὶ κατισχνοῦσιν ἐν ἑωυτῇσι. τέταται γὰρ τὸ χορίον, ἐκ τοῦ ὀμφαλοῦ τοῦ παιδίου. καὶ ὕστερος ἔξεισιν ὁ ὀμφαλὸς ἐκ τῶν μητρέων. ἢν γὰρ πρότερος ἐξίοι, δι᾽ αὐτοῦ οὐκ ἂν διέλθοι περὶ παιδίου ἡ τροφή, ὅτι ἐξήρτηται ἐξ αὐτέου. Οταν δὲ ἐν γαστρὶ ἐχούσῃ φθείρῃ τὸ ἔμβρυον μη-

νιαῖον, ἢ διμηνιαῖον, καὶ τὰ ὕστερα ἐξιέναι μὴ δύνηται, ἢ δὲ λεπτὴ, ταύτης χρὴ τὴν κοιλίην κενοῦντα καθῆραι τὸ σῶμα καὶ πιαίναι. οὐ γὰρ πρότερον ἔξεισι τὰ ἔμβρυα σαπέντα, ἢν μὴ ἰσχυραὶ αἱ μῆτραι ἔωσι καὶ εὐπαγέες. Ην γυναικὶ τὸ χορίον ἐλλειφθῇ, ἢν μὴ εὐρύστομοι αἱ μῆτραι ἔωσι, χωρέει ἡ κάθαρσις ἔλασσον τοῦ καιροῦ. καὶ ἡ γαστὴρ σκληρὴ γίνεται καὶ μεγάλη. καὶ ψύξις ἔχει. καὶ πυρετὸς ὀξύς. καὶ πόνος καθ᾽ ἅπαν τὸ σῶμα, γαστρὸς δὲ τὸ κατώτερον τοῦ ὀμφαλοῦ. καὶ βρῖθος γίνεται ἐν τῇσι μήτρῃσι. καὶ στροφὴ ἕως ἐμβρύου ἐόντος. καὶ μελεδανθεῖσα ἐκβάλλει τὸ χορίον ἐν τάχει σεσηπὸς, καὶ ὑγιαίνεται. Ην ἐκ τόκου ἡ μήτρη ἑλκωθῇ, ῥόδων ἄνθη ἰῆσθαι. διακλυζέσθω δὲ καὶ στρυφνοῖσιν. ἢν δὲ ἑλκωθῇ τὸ στόμα καὶ φλεγμήνῃ, σμύρναν καὶ στέαρ χήνειον, καὶ κηρὸν λευκὸν, καὶ λιβανωτὸν, λαγωοῦ θριξὶ, τῇσιν ὑπὸ γαστέρα μίσγειν καὶ προστιθέναι ἐν ἐρίῳ λεῖα ποιοῦντα. Ην ἐκ τόκου φλεγμήνωσιν αἱ ὕστεραι, πυρετὸς ἴσχει τὸ σῶμα βληχρὸς καὶ ἀχλύς. ἐκ δὲ τῆς κοιλίης, οὐδέποτε ἐκλείπει τὸ πῦρ. καὶ διψῇ. καὶ τὰ ἰσχία ἀλγέει. καὶ οἰδέει τὴν γαστέρα τὴν νειαίρην ἰσχυρῶς. καὶ ἡ κοιλίη ταράσσεται. ὑποχώρημα δὲ κακὸν καὶ ὀζόμενον. καὶ λάζεται τὸ πῦρ σφοδρόν. καὶ ἀσιτίη ἔχει. καὶ κατὰ τὸ βρέγμα ὀδύνη καὶ οὐ δύναται εἰρύσαι τῆς κοιλίης ὁ στόμαχος, ποτὰ καὶ σιτία. καὶ ἀδυνατέει πέσσειν. καὶ ἢν μὴ θεραπεύωνται εὐθέως, αἱ πλεῖσται θνήσκουσιν. ἡ κοιλίη δὲ αἰτίη. τῆς ἀκτῆς τὰ φύλλα ὡς ἁπαλώτατα ἐν πυρῶν κριμνοῖσιν ἑψήσας σητανίοισιν, ἀκροχλίαρον ῥοφέειν. διδόναι τε καὶ μελίκρητον, καὶ οἶνον ὑδαρέα. καὶ τὸ νίτρον καταπλάσσειν τοῖσι ψυχροῖσι. σιτίον δὲ ὡς ἐλάχιστον ἐσθίειν. καὶ τὴν γαστέρα ἱστάσθαι. καὶ τὴν κεφαλὴν ἰῆσθαι. ὑποχόνδριον δὲ καταπλάσσειν καὶ τὸν μητρέων τόπον. Οκόταν ἀλγέῃ τὴν ἕδρην, ἢ ἄλλο τι, ἀρκεύθου καρπὸν, ἢ λίνου σπέρμα καὶ κνίδης τρίβειν, καὶ διδόναι πίνειν. ἢν ἐκ τόκου ἀλγέῃ, ῥητίνην τερεβινθίνην, καὶ μέλι. καὶ οἶνον χλιαρὸν διδόναι ῥοφέειν. καὶ ἢν φλεγμήνωσιν αἱ μῆτραι, τοῦτο παύσει. ἢν δὲ μὴ ἀλγέῃ τι τῶν μητρέων, ποιεῖ ἀμυγδάλας τρίψας πικρὰς, ἐλαίης τε τὰ ἁπαλὰ φύλλα. καὶ ἄννησον, καὶ ἐρύσιμον, καὶ ὀρίγανον, καὶ νίτρον, ταῦτα μίξας καὶ τρίψας λεῖα, κολλύρια ποιέειν μητρέων. ἢν φλεγμήνωσι καὶ ὀδύνη ἔχῃ, ῥόδων φύλλα, κιννάμωμον, καὶ κασίην τρίψας ἐν τῷ αὐτῷ λεῖα ἐπιχέειν νέτωπον. καὶ ποιήσας φθοΐσκους ὅσον δραχμιαίους, ὀστράκινον χυτρίδιον καινὸν διάπυρον ποιήσας, περικαθίσας καὶ περιστείλας ἱματίοισι, θυμιῆν ἐς τὰς μήτρας. τοῦτο ὀδύνας παύσει. ἢν δὲ ἐκ τόκου αἱ ὕστεραι πονήσωσι, βληχρὸν ἔχει τὸ πῦρ. ἔνδοθεν δὲ ἡ κοιλίη ἡ νειαίρη περιφλεγέθης ἐστί. καὶ ἐς τὸ ἰσχίον ἐνίοτε ἀκιδέει. καὶ ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα, καὶ ἐς τοὺς κενεῶνας. καὶ τὰ ὑποχωροῦντα χολώδεα καὶ κάκοδμα. καὶ ἢν μὴ στεθῇ ἡ κοιλίη, ἐξαίφνης θνήσκει. Οταν οὖν ὧδε ἔχῃ, χρὴ ψύχειν τὴν κοιλίην, φυλασσόμενον ὅκως μὴ φρίξῃ. πινέτω δὲ ἢν μὴ ἵστηται, τὸ ἀπὸ τῆς κρίμνου. τρωγέτω ἄρτον ἄλητον. ῥοφέειν δὲ σίδης οἰνώδεος τὸν χυλὸν, κεράσας ὕδατι. ἐπίπασσε δὲ λεκίθῳ, φακὸν, καὶ τοῦτο ἕψει, μίσγων φακὸν, καὶ κύμινον, καὶ ἅλας, καὶ ἔλαιον, καὶ ὄξος. τοῦτο διδόναι ῥόφημα ψυχρόν. καὶ φακὴν ὀξείην. καὶ ἐπιπίνων οἶνον οἰνώδεα πράμνιον. τῶν δὲ ἄλλων σιτίων ἀπέχεσθαι χρὴ ἐς ἂν ὁ πυρετὸς λυθῇ. ἢν δὲ δοκέῃ καὶ λουέσθω. ἢν δὲ ἀσθενῶς ἔχῃ, πίνειν διδοῦ τὰ ἄλφιτα. ἢν δὲ ἀκινδυνοτέρη ᾖ, ἐν ὕδατι ψυχρῷ. σιτίον δὲ προσφέρεσθαι κοῦφον, ὅτι μὴ ἐνήσεται ὅταν τὸ πῦρ μεθῇ. ἡ δὲ νοῦσος, ὀξείη τε καὶ θανατώδης. Ην δὲ φλεγμήνωσιν αἱ ὕστεραι λεχοῖ πίμπλαται ἡ κοιλίη καὶ μεγάλη γίνεται, καὶ πρὸς τὰ ὑποχόνδρια πνῖξ ἔχει. ὅταν ὧδε ἔχῃ, καταπλάσσειν βρύῳ τῷ θαλασσίῳ, ὃ ᾧ τοὺς ἰχθύας ἐπιβάλλουσι, κόψαι δὲ ἐν ὅλμῳ καὶ ξυμμίσγειν ὠμήλυσιν, καὶ σποδίην κληματίνην. καὶ λίνον φώξαντα. βαλεῖν δὲ ταῦτα καὶ ἀναφορύξαι ὄξει καὶ ἐλαίῳ. ποιεῖν δὲ οἷον κυκεῶνα παχύν. ταῦτα ἕψειν, ὡς οἷον στέαρ γίνεσθαι. καὶ τούτῳ καταπλάσσειν ὡς θερμοτάτῳ. καὶ ἢν χρήζῃ ἐγκαθίζεσθαι. Ην δὲ λεχοῖ φλεγμήνωσιν, αἱ ὕστεραι οἰδέουσι. καὶ ὁκόταν τὰ λοχεῖα ἐμμείνῃ, κρύβδην τείνονται. γίνονται δὲ ἐπὴν πυκνωθῶσιν ὑπὸ ψύχεος. ταύτῃσιν ἢν μὲν ἐπιψύχωνται, ἀλεαίνειν. ἢν δὲ περιφλεγέες ἔωσι, καὶ τὸ ψῦχος ἀφῇ, προσθετὸν ποιέειν, ὅ, τι φλεγμασίῃ ἐναντιοῦται. καὶ λούειν ἅμα καὶ πυρίην καὶ φάρμακα προσάγειν, ὧν ἂν ἐγὼ γράψω. ἕλκειν τε ἀτμίδα ἐς τὸ στόμα καὶ ἐς τὰς ῥῖνας. ἢν δὲ πνίγωσι, φακοὺς ἕψειν ἐν ὄξει, καὶ ἁλὶ, καὶ ὀριγάνῳ πολλῷ. καὶ ὅλκην ποιέεσθαι. καὶ τὴν λινόζωστιν ἐσθιέσθω. καὶ ἐν τῷ χυλῷ λεπτὸν ἄλητον ῥοφεέτω. ὅτ᾽ ἂν τάχιστά τε καὶ πρὶν τὴν ὀδύνην ἔχειν, πρότερον διδόναι τῶν φαρμάκων, ὅσα τὰς ὑστέρας παύει τῆς ὀδύνης καὶ σιτία διαχωρητικὰ προσφερέσθω. καὶ ἢν ἡ γαστὴρ φλεγμαίνηται, ὑποκλύζειν ὅτι τάχος. Ην αἱ

μῆτραι φλέγματος ἐμπλησθῶσι, φῦσαι ἐγγίνονται ἐν τῇσιν ὑστέρῃσι. καὶ τὰ ἐπιμήνια προέρχεται ἐλάσσονα, λευκά, φλεγματώδεα. ἔστι δ' ὅτε αἷμα λεπτὸν ἀκραιφνές, ὑμένων ἀνάπλεον· καὶ ἔστιν ἥσιν κυρκανᾶται. καὶ τρὶς τοῦ μηνὸς ἐπιφαίνεται. καὶ τῷ ἀνδρὶ ὑπὸ τῆς ὑγρότητος οὐκ ἐθέλει μίσγεσθαι, οὐδ' ὀργᾷ τοῦτο δρᾷν. καὶ λεπτὴ γίνεται. ὀδυνῶνται δὲ τὴν νειαίρην γαστέρα, τὰς ἰξύας, καὶ τοὺς βουβῶνας. καὶ εἰ δάκνοι τὸ ῥέον καὶ ἕλκοι τὰ ἀμφίδεα, χρόνιον φάναι τὸ ῥεῦμα. καὶ ἢν μὴ πολὺ εἴη, φάκιον ξὺν ἐλλεβόρῳ δοῦναι ἐμέσαι. ἔπειτα ἐς τὰς ῥῖνας ἐγχέαι, καὶ φάρμακον πῖσαι κάτω. σιτίων δὲ εἰργέσθω δριμέων, ἢν δὲ βαρύνηται καὶ ψύχηται καὶ νάρκην ἔχῃ, γάλα διδόναι, καὶ οἶνον εὐώδεα. πινέτω δὲ νῆστις, ὑποβρικόμ· λίνου σπέρμα. ἐλελίσφακον ἐν οἴνῳ εὐώδει ὑδαρεῖ. καὶ κλύσαι τὰς ὑστέρας, τῷ ξὺν τῇ τρυγί. καὶ ἢν ἑλκωμέναι ἔωσι, διαλιπόντα ἡμέρας δύο ἢ τρεῖς, κλύσαι δὶς, ξὺν τῷ κόκκῳ. μετὰ δὲ τοῖσι στρυφνοῖσι. ἢν δὲ ἑλκωμέναι ἔωσι, νίπτεσθαι τῷ ἀπὸ τῆς μυρσίνης καὶ δάφνης ἀφεψήματι. καὶ ἐγχριέσθω τῷ ξὺν τῷ ἀργυρέῳ ἄνθει. ἡ δὲ νοῦσος χαλεπή. καὶ ὀλίγαι ἐκφεύγουσι.

Ἢν δὲ κοτυληδόνες φλέγματος περίπλεαι ἔωσι, τὰ ἐπιμήνια γίνονται ἐλάσσονα. καὶ ἢν ἐν γαστρὶ ἴσχῃ, διαφθείρει, ἐπειδὰν ἰσχυρότερον τὸ ἔμβρυον γένηται. οὐ γὰρ ῥώννυται, ἀλλ' ἀπορρεῖ. γνοίης δ' ἂν τῷδε. ὑγρὴ γίνεται. καὶ τὸ ἀπορρέον μυξῶδες. καὶ γλίσχρον οἷα ἀπὸ κοιλίης φέρεται. καὶ οὐ δάκνει. καὶ ἐν τοῖσιν ἐπιμηνίοισιν ἕως ἢν παύσηται τοῦ αἵματος καθαιρομένη, καὶ δύο ἡμέρας καὶ τρεῖς βλένναι ἴασιν ἐκ τῶν ὑστερέων. καὶ φρίκη ἔχει. καὶ θέρμη οὐκ ὀξεῖα, πλὴν οὐκ ἐκλείπει. ταύτην κλύσαι ἀπὸ τῶν ὀλύνθων ἀφ' ὧν ὕδωρ ἅπαν καθαίρεται, καὶ δὶς καὶ τρίς. ἐπὴν δὲ καθαρθῇ, στρυφνοῖσι τὸ λοιπὸν χρήσθω. προστιθέναι δὲ τὰ μαλθακά, ὑφ' ὧν καθαίρεται φλέγμα. καὶ πυριῆν τὰς ὑστέρας, τῷ ξὺν τῇ δάφνῃ. καὶ κλύζειν τῷ ξὺν τῷ ὄξει. καὶ θυμιῆν ἕως ἢν παύσηται τὰ ἐπιμήνια τοῖσιν ἀρώμασι. κἄπειτ' ἀσιτέειν χρή, καὶ ἀλουτέειν. ξυνίτω δὲ τῷ ἀνδρί. καὶ σιτία, καὶ οἶνον ὀλίγα λαμβάνειν. καὶ ἀλεαίνειν. καὶ εἰρινεὰς ἀμφὶ τὰ σκέλεα ἑλίσσειν, καὶ ἐλαίῳ ἀλείφειν.

Ἢν δὲ ὕδερος ἐν τῇσι μήτρῃσιν ἐγγένηται, τὰ ἐπιμήνια ἐλάσσονα καὶ πονηρὰ γίνεται, καὶ προαπολείπει. καὶ ἡ νειαίρη γαστὴρ οἰδέει. καὶ οἱ μαζοί, στερροί, καὶ μαλθακοί. καὶ τὸ γάλα πονηρόν. καὶ δοκέει ἐν γαστρὶ ἔχειν. καὶ ἐν τούτοισι γνώσῃ ὅτι ὕδερός ἐστι. σημαίνει δὲ καὶ ἐν τῷ στόματι τῇσιν ὑστέρῃσιν. ψαυούσῃ γὰρ ἰσχνὸν καὶ ὑγρὸν φαίνεται. καὶ ῥῖγος καὶ πῦρ λαμβάνει. ὅσῳ δ' ἂν ὁ χρόνος πλείων γίνηται, ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας, καὶ τοὺς βουβῶνας. αὕτη ἡ νόσος ἐκ τρωσμοῦ γίνεται. καὶ ἐξ ἄλλων δὲ προφασίων. καὶ ὅταν τὰ ἐπιμήνια κρυφθῇ, λούειν χρὴ πολλῷ καὶ θερμῷ. καὶ χλιάσματα προστιθέναι ἢν ἡ ὀδύνη ἔχῃ. ἕως ἢν δὲ παύσηται, φάρμακον χρὴ πῖσαι κάτω. καὶ πυριῆσαι τῷ ξὺν τῷ βολίτῳ τὰς ὑστέρας. ἔπειτα προσθεῖναι τὸ ξὺν τῇ κανθαρίδι. καὶ διαλείπειν δύο ἡμέρας ἢ τρεῖς. καὶ ἢν ῥώμη ἴσχῃ, νετώπῳ κλύσαι. καὶ ἢν ἡ γαστὴρ λαπαρὴ γένηται. καὶ οἱ πυρετοὶ παύονται. καὶ τὰ καταμήνια προχωρέει κατὰ λόγον. καὶ τῷ ἀνδρὶ ξυγκοιμάσθω. καὶ ἐν τοῖσι προθέτοισι μενέτω, καὶ μεσηγὺς ἡμέρης πινέτω κρηθμοῦ φλοιόν. γλυκυσίδης τοὺς μέλανας κόκκους πέντε. καὶ ἀκτῆς καρπὸν ἐν οἴνῳ νῆστις. καὶ τὴν λινόζωστιν ἐσθιέτω ὡς πλείστην. καὶ σκόροδα ὠμὰ καὶ ἑφθά. καὶ τοῖσι μαλθακοῖσι πρὸς ὕπνον χρήσθω. καὶ πολυποσίῃ. καὶ τοῖσι ἄλλοισι μαλθακοῖσι. καὶ ὄψοισι θαλασσίοισι μᾶλλον, ἢ κρέασι. καὶ ἢν τέκῃ, ὑγιαίνει.

Ἢν ὕδρωψ γένηται ἐν τῇσι μήτρῃσι, τὰ ἐπιμήνια ἐλάσσω γίνεται. καὶ κακίω. καὶ διὰ πλείονος χρόνου. καὶ καιροῦ ἐλάσσονα, ἢ μικρῷ πλείονα ἴῃ. καὶ οἰδέει ἡ κοιλίη. καὶ τὸ ἐπικτένιον. καὶ αἱ κνῆμαι, καὶ ἡ ὀσφῦς. ἐπειδὰν δὲ συχνὸς χρόνος γένηται καὶ ἐν γαστρὶ ἔχῃ, διαφθείρει καὶ ἐκβάλλει. καὶ ὕδωρ ξὺν αὐτῷ χέεται. καὶ ἡ γυνὴ θνήσκει ὡς ἐπὶ τὸ πολύ. τὸ δὲ αἷμα φθείρεται. καὶ ὑδεροῦται. ταύτην γαλακτοποτέειν, καὶ μηκώνων πίνειν ἐς ἂν τὸ ἔμβρυον κινέεσθαι δοκέῃ. ἔτι δὲ πρὸς τούτου, ὡς ἐπὶ τὸ πουλὺ διαφθείρεται καὶ ἐξαμβλοῦται. καὶ αἵματος καὶ ὕδατος ῥέουσιν αἱ μῆτραι. ταῦτα δὲ πάσχει οὐδέν τι μᾶλλον ἐκ πόνου ἢ ἄλλως. τῷδε δ' ἂν γνοίης ὅτι ὕδρωψ ἐστὶν, εἰ ἀφάσσων τῷ δακτύλῳ ὄψει τὸ στόμα αὐτῆς ἰσχνόν, καὶ περίπλεον ὑγρασίης. ἢν δὲ ἐν αὐτῇ τὸ ἔμβρυον μὴ κατ' ἀρχάς, ἀλλ' ἤδη δίμηνον, διαφθείρεταί τε καὶ ἀποπνίγεται. ἥ τε γαστὴρ ἡ νειαίρη ἐπανοιδέει. καὶ ἁπτομένη ἀλγέει ὡς ἕλκος. καὶ πυρετὸς μέγας αὐτῇ καὶ βρυγμὸς λαμβάνει. καὶ ὀδύνη ἰσχυρὴ τὸ αἰδοῖον. καὶ τὴν νειαίρην γαστέρα. καὶ τὰς ἰξύας.

καὶ τοὺς κτένας, καὶ τὴν ὀσφὺν ὀξέα τε καὶ ἀπεχνή. ὅταν οὕτως ἔχῃ, λούειν τε αὐτὴν θερμῷ, ἢν ὀδύνη ἔχῃ, καὶ χλιάσματα προσάγειν, πειρεόμενον ὅ,τι ἂν μάλιστα προσδέχηται. καὶ φάρμακον καθαρτήριον κάτω. διαλιπεῖν δὲ χρόνον, ὅσον αὐτῇ δοκέῃ ἱκανὸς εἶναι. καὶ κλύσαι καὶ πυριῆσαι. καὶ τὴν κυκλάμινον ἐν ῥάκει μέλιτι δεύων, προσθεῖναι πρὸς τὸ στόμα τῶν μητρέων. καὶ τῆς κυπαρίσσου καταξύσας καὶ τέγξας ἐν ὕδατι, προσθῆναι ὡσαύτως. ἐλάσσονι δὲ χρόνῳ. καὶ διὰ πλείονος ὕστερον, ὅσῳ μᾶλλον δάκνει καὶ ξαίνει. καὶ μήλην ποιησάμενος κασσιτερίνην ἐγκαθιέναι. καὶ τῷ δακτύλῳ ὡσαύτως. καὶ τὰ ποτήματα ὅ,τι ἂν μάλιστα προσίηται, πιπίσκειν. καὶ ξυγκοιμάσθω τῷ ἀνδρὶ ὡς μάλιστα τῶν καιρῶν παρόντων. ἢν γὰρ συλλάβῃ τὴν γονὴν καὶ κυήσῃ, ὑπεκκαθαίρεται καὶ τὰ πρόσθεν ὑπιόντα ξὺν αὐτοῖσι, καὶ οὕτως ἂν μάλιστα ὑγιὴς γένοιτο.

Ἢν δὲ γυνὴ ὑδρωπιήσῃ, οἱ αὐτοὶ σπληνὸς ὑδατώδεος καὶ μεγάλου ἐόντος, γίνεται δὲ ὁ σπλὴν ὑδατώδης, ἀπὸ τοῦ δὲ τοῦ παθήματος. ἐπὴν πῦρ ἔχῃ, καὶ μὴ ἀφίῃ τὸν ἄνθρωπον. καὶ δίψαν λαμβάνῃ καρτερὴν, καὶ πίνῃ. καὶ μὴ ἀπεμέσῃ. τὸ μὲν γὰρ ἐς τὴν κύστιν διελθὸν, διουρέεται. τὸ λοιπὸν δὲ, ὁ σπλὴν λαμβάνει, διασπῶν ἀπὸ τῆς κοιλίης πρὸς ἑωυτὸν, ἅτε ἀραιὸς ὢν καὶ σπογγοειδής. κέμθρός τε κατὰ τὴν κοιλίην. καὶ ἢν τούτων οὕτως ἐχόντων μὴ ἱδρώσῃ, μὴ δὲ ἡ κοιλίη χαλᾶται, αἴρεται ὁ σπλὴν ὑπὸ τούτου. καὶ μᾶλλον ἢν ὕδωρ ᾖ τὸ ποτόν. καὶ μὴν ἤν τις ἐπαφήσαιτο μαλθακὸς ὡς χνοῦς ἐστιν. ἔστι δ' ὅτε ἀντιτυπεόμενος. ἀρθεὶς δὲ καὶ πιμπλάμενος, ἐκδίδοι κατὰ τὰς φλέβας τῷ σώματι. καὶ μάλιστα ἐς τὸ ἐπίπλοον καὶ τοῖσιν ἀμφὶ τὴν κοιλίην ἐοῦσι χωρίοισι. καὶ τοῖσι σκέλεσι. ἕτερον γὰρ ἑτέρῳ διεκδίδοι ἐν τῷ σώματι, ἐπὴν πλέον ἑκάστῳ τοῦ καιροῦ ᾖ, καὶ μὴ δύνηται κατέχειν. ἔστι γίνεται δὲ ἀπὸ τοῦ ὕδρωπος αἰεὶ, ἐπὴν μάθῃ ὁ σπλὴν ἕλκειν ἐς ἑωυτὸν φύσει ἀραιὸς ὢν καὶ μανός. γίνεται δὲ αὕτη ἀρχὴ αὕτη τῆς νόσου καὶ ἄτερ πυρετοῦ. ἢν καῦμα τι τῇ κοιλίῃ ἐνστάῃ, οἷα φλέγματος ἐς αὐτὴν κατιόντος. καὶ ἢν ἡ ἄνθρωπος τὴν δίψαν μὴ κατέχῃ. μὴ δ' ἡ κύστις μὴ δ' ἡ κοιλίη διηθέωσιν οὖρον τε καὶ κόπρον κατά τε δίκην. μὴ δὲ ἐπιτηδείῃ διαίτῃ χρέηται ἡ ἄνθρωπος. ἢν δὲ ὑδρωποειδὴς ᾖ, ἔρχεται τὰ καταμήνια πολλὰ ἐξαπίνης. ὅτε δὲ ὀλίγα. καὶ γίνονται ὅτε μὲν ὡς ἀπὸ κρεῶν ὕδωρ ὡς εἴ τις αἱματώδεα ἀποπλύνειεν. ὅτε δὲ ὀλίγῳ ἰσχυρότερα. καὶ οὐ πήγνυται. καὶ ἆσθμα μὴν λαμβάνει, πρὶν ἢ τὰ καταμήνια χωρέειν. καὶ ὀδύνη ἐν τῷ σπληνὶ, καὶ μᾶλλον ἐπὴν τι γλυκὺ φάγῃ. καὶ ἡ γαστὴρ ἐξαίρεται, καὶ μεγάλη ἔσται. καὶ ἐπὴν πλέονα τοῦ μέτρου φάγῃ, πονεῖ τε τὴν γαστέρα. καὶ τὴν ὀσφὺν ἀλγέει ἄλλοτε καὶ ἄλλοτε. καὶ πῦρ μὴν ἐπιλαμβάνει δι' ὀλίγου. ἐπὴν δὲ ἀποκαθαρθῇ, ῥήϊστον δοκέει πρὸς τὰ πρόσθεν, ἔπειτα ἐς τὸ αὐτὸ καθίσταται. καὶ ἢν μελεδαίνηται, ὡς χρὴ, ὑγιὴς ἔσται. ἢν δὲ μὴ καὶ ὁ ῥόος ἐπιφαίνεται καὶ διὰ παντὸς τοῦ χρόνου αἰεὶ ῥεύσεται κατ' ὀλίγον οἷον ἰχὼρ, ἐπιμελείης πλέονος δέεται. ἢν δὲ μὴ ῥόος ἐπιγένηται, ἀλλ' αἱ μῆτραι ὑπὸ τῶν πρόσθεν μὴ χαλάσωσι τὰ ἐπιμήνια, ἥτε γαστὴρ οἱ μεγάλη ἔσται, καὶ βρῖθος ἐνέῃ ὡς τῇσιν ἐν γαστρὶ ἐχούσῃσι, καὶ δοκέει ὥσπερ παιδίον ἐν τῇ γαστρὶ αὐτῆς κινέεσθαι. ἅτε τῶν μητρέων ὕδατος οὕτως πεπληρωμένων, καὶ τοῦ ὕδατος κινουμένου. ἄλλοτε γὰρ καὶ ἄλλοτε κλυδάζεται αὐτῇσι τὸ ὕδωρ ὡς ἐν ἀσκῷ, καὶ ἀλγεῖ ψαυομένη τὸ κάτω τοῦ ὀμφαλοῦ. καὶ αἱ κληΐδες καὶ ὁ θώρηξ, καὶ τὸ πρόσωπον, καὶ τὰ ὄμματα καταλεπτύνεται, καὶ αἱ θηλαὶ αἴρονται. ἔστι δὲ ᾗσι μὲν ἥτε κοιλίη καὶ τὰ σκέλεα πλήθει ὕδατος, ᾗσι δὲ ἐς θάτερον τουτέων. καὶ ἢν μὲν ἄμφω πλησθῇ, οὐδεμία ἐλπὶς περιγενέσθαι τὴν ἄνθρωπον. ἔστι δὲ ἢν θάτερον, τούτων ἐλπίδες ὀλίγαι ἢν μελεδαίνηται, καὶ μὴ λίην τετρυχωμένη ᾖ. χρονίη δὲ αὕτη ἡ νοῦσος. γίνεται δὲ ταῦτα μᾶλλον μὲν τῇσιν ἀτόκοισιν. γίνεται δὲ πολλάκις καὶ τῇσι τετοκυίῃσιν. ἐπικίνδυνα δὲ εἰσὶν ὡς εἴρηται, καὶ τὸ πουλὺ ὀξέα καὶ μεγάλα καὶ χαλεπὰ ξυνιέναι. διὰ τοῦθ' ὅτι αἱ γυναῖκες μετέχουσι τῶν νούσων. καὶ ἐσθ' ὅτε οὐδ' αὐταὶ ἴσασιν ὅτι νοσέουσιν, πρὶν ἢ ἔμπειροι νούσων γένωνται, ἀπὸ καταμηνίων, καὶ ἔωσι γεραίτεραι. τότε δὲ σφέας ἡ τε ἀνάγκη καὶ ὁ χρόνος διδάσκει τὸ αἴτιον τῶν νούσων, καὶ ἔστιν ὅτε τῇσι μὴ γινωσκούσῃσιν ὑφ' ὅτου νοσέουσι φθάνει τὰ νοσήματα ἀνίητα γινόμενα, πρὶν ἂν διδαχθῆναι τὸν ἰητρὸν ὀρθῶς ὑπὸ τῆς νοσεούσης ὑφ' ὅτου νοσέει. καὶ γὰρ αἰδέονται φράζειν, κἢν εἰδῶσι. καί σφιν δοκέουσιν αἰσχρὸν εἶναι ὑπὸ ἀπειρίης καὶ ἀνεπιστημοσύνης. ἅμα δὲ καὶ οἱ ἰητροὶ ἁμαρτάνουσιν οὐκ ἀτρεκέως πυνθανόμενοι τὴν πρόφασιν τῆς νούσου. ἀλλ' ὡς τὰ ἀνδρικὰ νοσήματα ἰώμενοι. καὶ πολλὰς εἶδον διεφθαρμένας ἤδη ὑπὸ τῶν τοιούτων παθημάτων. ἀλλὰ χρὴ ἀνερωτᾶν αὐτίκα ἀτρεκέως τὸ αἴτιον. διαφέρει γὰρ ἡ ἴησις πολ-

λόν, τῶν γυναικείων νοσημάτων, καὶ τῶν ἀνδρώων.

Ἢν δὲ αἱ μῆτραι ἑλκωθῶσιν, αἷμα καὶ πύα καθαίρεται, καὶ ὀσμὴ βαρέη γίνεται, καὶ ὀδύνη ὀξέη λαμβάνει ἐς τὰς ἰξύας, καὶ ἐς τοὺς βουβῶνας, καὶ ἐς τὴν νειαίρην γαστέρα. καὶ ἄνω φοιτᾷ ἡ ὀδύνη ἐς τοὺς κενεῶνας, καὶ ἐς τὰς πλευρὰς, καὶ ἐς τὰς ὠμοπλάτας. ἐνίοτε δὲ καὶ ἐς τὰς κληΐδας ἀφικνέεται. καὶ δάκνεται. καὶ κεφαλὴν ἀλγέει σφοδρῶς, καὶ παρανοεῖ. τῷ δὲ χρόνῳ ἀνοιδίσκεται πᾶσα, καὶ ἀσθενείη μιν λαμβάνει. καὶ ἀψυχίη. καὶ πυρετὸς λεπτός. καὶ περιψύξις. οἰδίσκεται δὲ μάλιστα τὰ σκέλεα. ἡ δὲ νοῦσος λαμβάνει ἐκ τρωσμοῦ, ἥτις ἂν διαφθαρεῖσα τὸ παιδίον ἐγκατασαπὲν μὴ ἐγκαθαρθῇ. καὶ τὸ σῶμα πᾶν πῦρ ἔχει. λαμβάνει δὲ καὶ ἐκ τῶν ῥόων. καὶ ἢν ὑπὸ σφέας δριμέα ἂν ᾖ καὶ χολώδεα δάκνει. ἢν οὕτως ἐχούσῃ ἐπιτυγχάνῃς, ἔπειτα ἢν μὲν αἱ ὀδύναι ἔχωσι, λούειν τε πολλῷ καὶ θερμῷ. καὶ χλιάσματα προστιθέναι, ὅκου ἂν ἡ ὀδύνη ἔχῃ. καὶ ἢν μὲν ἄνω ὀδύναι ἔωσι καὶ ἰσχυρὴ ἐστιν ἡ γυνὴ, πυριήσασθαι ὅλην, καὶ φάρμακον διδόναι κάτω πιεῖν. καὶ ἔπειτα ἢν ὥρη ᾖ τοῦ ἔτεος, ὀῤῥὸν ἀφεψῶν, διδόναι ἐπιπίνειν ἡμέρας πέντε ἢν δυνατὴ ᾖ. ἢν δὲ μὴ ᾖ ὀῤῥὸς, ὄνου γάλα ἑψεῖν. καὶ διδόναι πίνειν ἡμέρας τρεῖς ἢ τέσσαρας. μετὰ δὲ τὴν γαλακτοποσίην, ὕδασιν ἀνακομίσαι αὐτὴν, καὶ σιτίοισιν ἐπιτηδείοισι. κρέασι μηλείοισιν, ἁπαλοῖσι, νέοισι, καὶ ὀρνιθείοισι, καὶ τευτλίῳ, καὶ κολοκύντῃ. ἀπεχέσθω δὲ τῶν ἁλμυρῶν, καὶ δριμέων, καὶ τῶν θαλασσίων πάντων, καὶ κρεῶν χοιρείων. καὶ βοείων. καὶ αἰγείων. ἄρτους δὲ ἐσθιέτω. ἢν δὲ ἀψυχίαι ἔχωσι. καὶ μὴ ἰσχύῃ. καὶ περιψύχηται, ῥόφημα λαμβάνειν. εἰσὶ δέ τινες, οἳ ταύτῃσι κεφαλὴν ἀλγεούσῃσι, πιπίσκουσι γάλα, ὅτι κεφαλὴν ἀλγοῦσιν. οἱ δὲ ὕδωρ, ὅτι λειποθυμοῦσι. τἀναντία δὲ οἶμαι, εἰ κεφαλὴν ἀλγέουσι, καὶ φρενῶν εἴη ἅψις ἁρμόσσον ὕδωρ. ὅτι δὲ δάκνεται καὶ δριμέα ἐστὶ, γάλα ταύτῃσιν εὐμενές. ἔπειτα ἢν δέ σοι δοκέῃ ἰσχύειν, κλύζειν τὰς ὑστέρας. πρῶτα μὲν τῷ ἀπὸ τῆς τρυγός. μετὰ δὲ ταῦτα διαλιπὼν ἡμέρας τρεῖς ἢ τέσσαρας, κλύζειν τῷ σὺν τῷ κραμβίῳ χλιαρῷ. καὶ αὖθις διαλιπὼν ἡμέρας τρεῖς, κλύσαι τῷ σὺν τῷ πικερίῳ. καὶ ἢν ταῦτα ποιήσαντι ὑγιάζωνται αἱ ὑστέραι, κλύσαι τῷ ξὺν τῷ σιδίῳ. ἐπὴν δὲ τὰ ἕλκεα ἐπιχρίειν ἀργύρεον ἄνθος. καὶ κικίδα. καὶ σμύρναν. καὶ λιβανωτόν. καὶ τοῦ αἰγυπτίου ἀκάνθου τὸν καρπόν. καὶ οἰνάνθην τὴν ἀγρίην. καὶ χρυσοκόλλην. καὶ λεπίδα. καὶ λωτοῦ πρίσματα. καὶ κρόκον. καὶ στυπτηρίην αἰγυπτίην κατακεκαυμένην. τούτων ἐν ἔστω ἴσον ἑκάστου. τὴν δὲ στυπτηρίην. καὶ τὴν κικίδα, καὶ τὸν κρόκον ποιῆσαι μίαν μοῖραν πάντων. τρίψας δὲ καὶ ξυμμίξας, πάντα λεῖα διεῖναι ἐν οἴνῳ λευκῷ γλυκεῖ. ἔπειτα ἑψεῖν, ἐς ἂν παχὺ γένηται οἷον περ μέλι. τούτῳ δὲ ἐπαλείφειν δὶς τῆς ἡμέρης διδόναι, νιψαμένην ὕδατι χλιαρῷ. ἑψεῖν δὲ ἐν τῷ ὕδατι καὶ κισσόν. καὶ ἐλελίσφακον. καὶ ἔπειτα ἢν σοι δοκέῃ ταῦτα ποιέοντι ῥᾷον εἶναι, προπιεῖν γάλα ἐφθὸν αἴγειον, μίην ἡμέρην. ἔπειτα διδόναι, γάλα βόειον, τὸν αὐτὸν τρόπον οἷον ἐπὴν τῇσι προτέρῃσι. μετὰ δὲ τὴν γαλακτοποσίην, παχῦναι σιτίοισιν ὡς μάλιστα, καὶ ποιέειν ὅκως ἐν τῇ γαστρὶ ἔχῃ, ὑγιὴς γὰρ γίνηται. ὡς δὲ τὰ πολλὰ ἐκ τῆς νούσου ταύτης ἐκφεύγουσι καὶ ἄτοκοι γίνονται. τῇσι δὲ γεραιτέρῃσιν, οὐ πάνυ τι. πίνειν δὲ μετ' αὐτὰ φάρμακα, λίνου σπέρμα ἀποπεφωσμένον. καὶ σήσαμον. καὶ κνίδης καρπόν: καὶ γλυκυσίδης ῥίζαν τὴν πικρὴν τρίβων ἐν οἴνῳ εὐώδει μέλανι κεκρημένῳ.

Ἢν αἱ μῆτραι ἑλκωθέωσιν, καὶ αἷμα καὶ πύον ῥέοι καὶ ἰχώρ. σηπομένων γὰρ τῶν μητρέων, νόσημα ἀπ' αὐτέων γίνεται. καὶ ἡ γαστὴρ ἡ νειαίρη, ἐπαίρεται. καὶ λεπτὴ γίνεται. καὶ ἀλγέει ψαυομένη, ὡς ἕλκος. καὶ πῦρ ἔχει καὶ βρυγμὸς αὐτήν. καὶ ὀδύνη ὀξέη καὶ ἀπερχνὴ, ἔς τε τὰ αἰδοῖα, καὶ ἐς τὸ ἐπίσιον, καὶ ἐς τὴν γαστέρα τὴν νειαίρην, καὶ ἐς τὸν κενεῶνα, καὶ ἐς τὰς ἰξύας. ἡ δὲ νοῦσος λαμβάνει μάλιστα μὲν, ἐκ τόκου ἢν ἐν αὐτῇσι τι διακνησθὲν σαπῇ. καὶ ἐκ τρωσμοῦ. καὶ ἄλλως ἀπὸ ταὐτομάτου. ταύτῃσιν ἢν ἐπιτυγχάνῃς, λούειν ἐν ὕδατι πολλῷ καὶ θερμῷ. καὶ ὅκου ἂν ἡ ὀδύνη ἔχῃ, τοιαῦτα τὰ χλιάσματα προστιθέναι, καὶ σπόγγον ἐξ ὕδατος θερμοῦ. καὶ κλύζειν, τὰ δριμέα καὶ τὰ στρυφνὰ ἀπεχομένην. τῶν δὲ μαλακωτέρων, διάμισγε ὅπως δοκέῃ σοι καιρὸς εἶναι. τοῦ τε λίνου τὸν καρπὸν κόψας, καὶ τῆς ἀκτῆς, συμμίξας δὲ ἐν μέλιτι καὶ ποιήσας φάρμακον, τούτῳ χρέεσθαι. λοῦσον δὲ ὕδατι θερμῷ. καὶ λαβὼν σπόγγον, ἢ εἴριον μαλθακὸν βάπτων ἐς θερμὸν ὕδωρ διακάθαιρε τά τε αἰδοῖα καὶ τὰ ἕλκεα. εἶτα ἐς οἶνον ἄκρητον ἐμβάπτων πάλιν τὸν σπόγγον ἢ τὸ εἴριον, τὸν αὐτὸν τρόπον χρέεσθαι. ἔπειτα τῷ φαρμάκῳ τούτῳ ἐνάλειφε, ὁσάκις ἂν δοκέῃ σοι καιρὸς εἶναι. ἔπειτα ῥητίνην καὶ στέαρ ὕειον μίξας ὁμοῦ τῷ

φαρμάκῳ

φαρμάκῳ διαλείφειν πολλάκις μεθ' ἡμέρην, καὶ τῆς νυκτός. μετὰ δὲ ταῦτα λίνου σπέρμα φώξας καὶ κόψας, καὶ σήσας, μήκωνα λευκὴν κόψας ἐν ἀλφίτοισι καὶ σῆσαι, καὶ τυρὸν αἴγειον ὀπτᾶν περιξύσας τὸ ῥύπος καὶ τὴν ἅλμην, καὶ τὸ πικρὸν συμμίξας, καὶ πάλιν ἀλφίτου, εἶτα ἐν τοῦ φαρμάκου μέτρον, καὶ τοῦ τυροῦ, καὶ τοῦ ἀλφίτου ἴσον διδόναι πίνειν ἐξ ἀνοῦς νῆστιν ἐν οἴνῳ αὐστηρῷ κεκρημένῳ. ἐπὴν δὲ τὴν ἑσπέρην μίσγων καὶ παχὺν κυκεῶνα διδόναι, καὶ τὸ γυναικεῖον ὅ,τι ἂν μάλιστα προσδέχηται, πιπίσκειν. καὶ μέχρι μὲν ἂν τὸ αἷμα πολὺ ῥέῃ καὶ ὀδύναι ὀξεῖαι ἔχωσι, καὶ ὀλίγον χρόνον διαλίπωσι ταῦτα ποιέειν. ἐπὴν δὲ τὸ ἕλκος ἔλασσον ᾖ, καὶ ὀδύναι βληχραὶ προσλαμβάνωσι, καὶ διὰ πλείονος χρόνου, φάρμακα πιπίσκειν ὑφ' ὧν μέλλει καθαίρεσθαι κάτω μᾶλλον, ἢ ἄνω. διαλείπειν χρόνον, ὁκόσον ἂν δοκέῃ ἐπὶ καιρὸς εἶναι. καὶ πυρίην βληχρῆσι πυρίῃσι, ἀνακαθίζοντα ὑψόθι, ἢν δοκέῃ ἑκάστοθι καιρὸς εἶναι. ταῦτα ποιέουσα ὑγιὴς γίνεται. ἡ δὲ νοῦσος βληχροτέρη καὶ θανατώδης, καὶ διαφεύγουσιν αὐτὴν παῦραι. ἢν δὲ ἑλκωθέωσι σφοδρῶς, αἷμα καὶ πύον καθαίρεται. καὶ ὀδμὴ γίνεται βαρεῖα. καὶ ὁκόταν ἡ ὀδύνη προσλάβῃ ὡς ὑπὸ ὠδῖνος τὰ περὶ τὸν ῥόον γίνεται. καὶ ὁκόταν ὁ χρόνος ᾖ, τὰ σκέλεα καὶ οἱ πόδες οἰδέουσι, καὶ ἰῶνται ὥσπερ οἱ ἰητροὶ ὡς ὕδρωπα. τὸ δὲ οὐκ ἔστι τοιοῦτον.

Ταύτην ἢν λάβῃς, λούειν πρῶτα θερμῷ. καὶ χλιαίνειν. καὶ κλύζειν δριμέσι, καὶ μαλθακοῖσι καὶ στρυφνοῖσιν, ὕδατί τε καὶ οἴνῳ. καὶ πολύκαρπον. καὶ πολύκνημον. καὶ μέλι ἑψῶν ὁμοῦ. εἶτα εἴριον ἐς τοῦτο βάπτων, διαχρίειν τὰ αἰδοῖα. καὶ ῥητίνην καὶ μέλι, καὶ συὸς ἔλαιον ἐγχρίειν. καὶ πιπίσκειν λίνου καρπόν. καὶ σήσαμον φώξας, καὶ βούτυρον, καὶ τυρὸν αἴγειον. καὶ ἄλφιτον ἐν ἅπασι, πιπίσκειν ἐν οἴνῳ νῆστιν. ἐφ' ἑσπέρην δὲ, μέλιτι ὑποχέων πουλύ. καὶ ἕως μὲν ἂν τὸ αἷμα καθαίρηται, καὶ ὀδύναι ὀξεῖαι ἔχωσι, καὶ ὀλίγον χρόνον διαλίπωσι, ταῦτα ποιέειν. ὅταν δὲ οἱ ἔλασσον ᾖ, καὶ ὀδύναι βληχρότεραι ἴσχωσι διὰ πλείονος χρόνου, φάρμακον πιπίσκειν κάτω, καὶ διαλιπεῖν. ταῦτα ποιέουσα, ὑγιὴς γίνεται. χρονίη δὲ οὐκ ἐνί.

Ὅσα δὲ ἑλκώματα γίνεται ἐν τῇσιν ὑστέρῃσιν ἀπὸ τρωσμοῦ, ἢ ὑπὸ ἄλλου τινὸς, ταῦτα χρὴ ἀποσκεπτόμενον ἐς τὸ ὅλον σῶμα θεραπεύειν πάντα, ὁκοίης ἂν δοκέῃ δέεσθαι θεραπείης. ἤν τε σοι δοκέῃ ἐξ ἅπαντος τοῦ σώματος ἡ ἄνθρωπος θεραπευτέη εἶναι. ἤν τε ἀπὸ αὐτέων. γνώσῃ δὲ εἰ ἀπὸ αὐτέων τῶν ὑστερέων ἐστί. τὰ μὲν ἀπ' αὐτῶν τῶν ἑλκωμάτων τὴν κάθαρσιν παρέχει, πυώδεά τε καὶ ξυνεστηκυῖαν. τὰ δὲ μὴ ἀπὸ αὐτέων, λεπτήν τε καὶ ἰχωροειδέα. ὅσα μὲν οὖν ἐστι λεπτὰ τῶν ῥευμάτων, ταύτας μὲν χρὴ θεραπεύειν ἐν φαρμάκῳ. καὶ διδόναι καὶ ἄνω καὶ κάτω. πρῶτον δὲ ἄνω. καὶ ἢν μὲν μετὰ τὴν φαρμακείην τὰ ῥεύματα ἐλάσσω γίνεται, καὶ εὐπετέστερα ἢ διαλείποντα, αὖθις φαρμακεύειν τὸν αὐτὸν τρόπον. μετὰ δὲ τὴν φαρμακείην διαιτᾶν, διαίτῃ τοιαύτῃ, ἐν ὁποίῃ ἂν εἴη μάλιστα ξηροτάτη ἡ ἄνθρωπος. ἔσται δὲ ἢν αὐτὴν πυριῇς δι' ἡμέρης τρίτης ἢ τετάρτης, ὅλον τὸ σῶμα, καὶ ἐμέτους ποιέῃς ἐκ τῶν πυριῶν εὐθύς. μετὰ δὲ τοὺς ἐμέτους καὶ τὰς πυρίας, διαιτῆν, ἀλουσίῃσί τε καὶ ὑδροποσίῃσι, καὶ ἀρτοσιτίῃσιν. ὄψῳ δὲ μηδενὶ, ἀλλ' ἢ οἴνῳ ἀκρήτῳ μέλανι. λαχάνῳ δὲ μηδενί. ὅταν τὸν ἔμετον παρασκευάζῃς, τότε χρεὼν ἔχῃς λαχάνων πολλῶν καὶ δριμέων ἐμπιπλάναι. καὶ σιτίων πολλῶν, καὶ ὄψου ὁκοίου ἂν βούλωνται. καὶ οἴνου πολλοῦ ἐμπιπλᾶναι ὑδαρέος. καὶ λούειν ἐκ τῶν πυριῶν, πολλῷ θερμῷ. αὕτη μὲν θεραπείη τῶν τοιουτοτρόπων ῥευμάτων. ἄμεινον δὲ ἄμφω φαρμακεύειν. καὶ ἐμέειν, καὶ ἄνω ἕλκειν. δίαιτα δὲ ξηραντικὴ κρέσσων, καὶ ἀλουσίη. τὰς δὲ ὑστέρας χρὴ θεραπεύειν ὧδε. πρῶτα μὲν πυριᾶν ὕδατι ἀκτῆς ἀφεψῶντα τὰ φύλλα. ἔπειτα μετὰ τὴν πυρίην κλύζειν ἐκ τῆς ἰλύος τῷ σμήγματι. ἢν μὲν σαπεδὼν ἐν τοῖς ἕλκεσι ᾖ, καὶ τὰ ἀπιόντα δυσώδεα, ἀκρητεστέρῳ τῷ σμήγματι. ἢν δὲ μηδὲν τοιοῦτον, ὑδαρεστέρῳ. μετὰ δὲ τὴν ἰλὺν, ὕδατι. ἐν δὲ τῷ ὕδατι, ἐναφεψεῖν μυρσίνην καὶ ἐλελίσφακον. μετὰ δὲ τοῦτο, οἴνῳ κλύζειν ἀκρήτῳ λευκῷ χλιαρῷ. ὁκόταν δὲ δάκνηται ἤδη ὑπὸ τῶν κλυσμάτων, τότε ἤδη καθαρά ἐστι τὰ ἕλκεα. κλύζειν οὖν χρὴ, ὑδαρεστέρῃ τῇ ἰλύϊ, καὶ οἴνῳ μέλανι. μετὰ δὲ τὸν οἶνον, πιμελὴν ὑὸς τήξαντα νεκρὴν ἔλαιον παραμίξαντα, ἢν μὲν ᾖ χηνὸς, ἢν δὲ μὴ ἄλλου τοῦ, μάλιστα ὄρνιθος. εἰ δὲ μὴ τὸ ἐκ τῶν ἐλαιῶν παλαιὸν, τούτῳ χλιαρῷ κλύζειν. μετὰ δὲ τὸν οἶνον ἐς ἕτερον κλυστῆρα ἐγχέαντα ἐς τὸ στόμα. καὶ ἢν μὴ ἑλκώμενα, μοτοὺς ποιοῦντας τῶν μαλθακτηρίων προστιθέναι. καὶ ἢν καῦμα παρέχωσι προσκείμενοι, ἀφελομένην τὴν γυναῖκα

κελεύειν

κελεύειν αὐτὴν νίψασθαι ὕδατι χλιαρῷ, τοιούτῳ οἵῳ περ ἐκλύζετο. ἢν δὲ πρὸς τὴν δίαιταν τήνδε τὰ ῥεύματα μὴ ἀπαλλάσσηται, ἐλάσσω δὲ γίνηται καὶ δάκνηται σφοδρῶς, καὶ τὰ ἀποῤῥέοντα χολή τε ἔῃ καὶ ἅλμη, καὶ μὴ μόνον τὰ ἔνδον, ἀλλὰ καὶ τὰ ἔξω ἑλκοῖ, μεταβάλλειν χρὴ τὴν δίαιταν, καὶ ὀξυγραίνειν πᾶσαν, ὅκως τὰ ῥεύματα ὡς ὑδαρέστατα ἔσται. καὶ ἥκιστα δηκτικὰ, λουτροῖσι θερμοῖσι πουλλοῖσι. μάζῃ. λαχάνοισιν ἑφθοῖσι πᾶσι λιπαροῖσιν. ἰχθύσι τοῖσι σελάχεσιν, ἐν κρομμύοισι καὶ κορίοισιν ἕψοντα ἐν ἅλμῃ γλυκείῃ. ἕψειν δὲ λιπαρῶς κρέασιν ἑφθοῖσι πᾶσι, πλὴν βοὸς καὶ αἰγός. τούτοισι γὰρ δὲ ἑφθοῖσιν ἐν ἀνήθοισι καὶ μαράθροισιν. οἴνῳ μελιχρόῳ, κιῤῥῷ, ὑδαρεῖ. πλέονι γαλακτοποσίῃ μετ᾿ οἴνου γλυκέος. τὰ δ᾿ ἄλλα περὶ τῶν κλυσμάτων ποιέειν κατὰ τὸν ὑφηγημένον λόγον. αὕτη μὲν νῦν περὶ τῶν τοιούτων ἡ θεραπείη. ὅσα δὲ πυοειδέα τε καὶ ξυνεστεῶτα, ἄπεισι τούτων, τὸ μὲν ὅλον σῶμα οὐδὲν δεῖ κινέειν. κλύζειν δὲ καὶ ἀπὸ τούτων τὴν θεραπείην πᾶσαν ποιέεσθαι. κλύζειν δὲ τοῖσιν αὐτέοισι κλύσμασιν, οἷς πρόσθεν εἴρηται τὸν αὐτὸν τρόπον. γέγραπται δὲ καὶ ἄλλα κλύσματα.

Ἑλκῶν ἴησις. Ἐλάφου στέαρ χλωρὸν προστιθέτω. κλύζειν δὲ χρὴ αὐτίκα οἴνῳ σιραίῳ. κράτιστον δὲ ψιμυθίῳ ἢν ἕλκεα ᾖ. καὶ ἐλαίῳ ναρκισσίνῳ. σιτίοισι δὲ μαλθακωτάτοισι χρῆσθαι, καὶ μὴ δριμέσιν. ἢν δὲ ῥερυπωμένα ᾖ καὶ νενέμηται, καὶ τὸ πελασσάτω χῶρον δακνάειν, καθαίρειν, καὶ νέαν σάρκα φῦσαι, καὶ ἐς ὠτειλὰς ἄγειν τὴν σάρκα. ῥηϊδίως γὰρ ἀναχαλᾶται, καὶ κακοήθεα γίνεται. καὶ λούειν συχνῶς. Ἢν δὲ γυνὴ ἐκ τρωσμοῦ τρῶμα λαμβάνῃ, ἢ προσθέτοισι δριμέσιν ἑλκωθῇ τὰς μήτρας, οἷα πολλὰ γυναῖκες ἀεὶ δρῶσί τε καὶ ἰητρεύουσι, καὶ τὸ ἔμβρυον φθαρῇ, καὶ μὴ καθαίρηται ἡ γυνὴ, ἀλλὰ οἱ αἱ μῆτραι φλεγμήνωσιν ἰσχυρῶς, καὶ μεμυκῶσι, καὶ τὴν κάθαρσιν οὐκ οἷαί τε ὦσι παραμεθιέναι, εἰ μὴ τὸ πρῶτον αἷμα τὸ ἐν τῷ ἐμβρύῳ. αὕτη ἢν μὲν ἰητρεύηται, ἐν τάχει ὑγιὴς ἔσται. ἄφορος δέ. ἢν δέ οἱ ῥαγῇ αὐτόματα τὰ λοχεῖα, καὶ τὰ ἕλκεα ὑγιανθῇ, καὶ ὧδε ἄφορος ἔσται. ἢν δέ οἱ ἡ μὲν κάθαρσις γίνηται, τὰ δὲ ἕλκεα μὴ μελεδαίνηται, κίνδυνος σηπεδονώδεα εἶναι. ἢν δέ οἱ κάθαρσις ᾖ τετρυχωμένη, θνήσκει. κἢν ἐν τῷ τόκῳ κάρτα ἑλκωθέωσι καὶ αἱ μῆτραι τοῦ ἐμβρύου μὴ κατὰ φύσιν ἐόντος, πείσονται τὰ αὐτὰ τῇ ἐκ διαφθορῆς ἑλκωθείσῃ τὰς μήτρας. καὶ μεταλλαγὰς καὶ τελευτὰς τὰς αὐτὰς ἡ νοῦσος ἴσχει ἤν τε ἐκ διαφθορῆς ἤν τε ἐκ τόκου αἱ μῆτραι ἑλκωθῶσι. καὶ εἰ τὰ λοχεῖα πάντα παρείησαν, ἧσσον πονήσῃ, ἢν μὴ μεγάλα ἕλκεα ἔῃ, καὶ μελεδαινομένη, ἐν τάχει ὑγιαίνει. χρὴ δὲ τὴν μελεδώνην προσέχειν ἐν τάχει, ἢν ἕλκεα ἐν τῇ μήτρῃ ἐνῇ, ἅτε γὰρ ἐόντα ἐν ἁπαλῷ, ταχὺ αὔξεται, καὶ σαπρὰ ταχὺ γίνεται. ἰῆσθαι δὲ τὰ ἕλκεα, ὡς καὶ τὰ ἐν ἄλλῳ σώματι ἀφλέγμαντα χρὴ ποιέειν, καὶ ἀνακαθαίρειν, καὶ ἀναπιμπλάναι, καὶ ἐς ὠτειλὰς ἄγειν. διδόναι δὲ ὕδωρ ἐς πόσιν. οἶνον δὲ μή. σιτία παῦρα. πολλὰ δὲ μή. Ὁκόσα δὲ τρωσμῶν γινομένων, μὴ ἀπαλλάσσεσθαι δύναται μεζόνων ὅλων τε ἢ τῶν μελέων τῶν ἐμβρύων ἐόντων, ἢ ἐλασσόνων καὶ πλαγίων καὶ ἀδυνάτων τὰ τοιαῦτα, ἢν μὲν κατὰ φύσιν ἔῃ, διδόναι τῶν φαρμάκων τι, ὧν ἐγὼ φράσω. προλούοντα θερμῷ παμπόλλῳ. κἢν ἐθέλοντα προϊέναι μὴ εὐλύτως ἀπίῃ, κατὰ φύσιν ἐόντα, τῇσι τοιαύτῃσι τοῦ πταρμικοῦ προσφέρειν. ἐπιλαμβάνειν δὲ τὸν μυκτῆρα καὶ πταρνύσθαι. καὶ στόμα πιέζειν, ὅκως ὁ πταρμὸς ὡς ὅτι μάλιστα ἐνεργήσῃ. χρῆσθαι δὲ καὶ σεισμοῖσι. σείοις δ᾿ ἂν ὧδε. Κλίνην λαβεῖν ὑψηλὴν ῥωμαλέην, καὶ ὑποστορέσαντα ἀνακλίνειν τὴν γυναῖκα ὑπτίην. τὰ δέ γε στήθεα, καὶ τὰς μασχάλας, καὶ τὰς χεῖρας, προκαταλαμβάνειν ταινίῃ, ἢ ἱμάντι πλατεῖ μαλθακῷ πρὸς τὴν κλίνην, καὶ ζωννύειν. καὶ τὰ σκέλεα ξυγκάμψαι. καὶ κατέχειν τοῖν σφυροῖν. ὅταν δὲ εὐτρεπίσῃς φρυγάνων φάκελλον μαλθακῶν, ἤ τι τῷδε ἐοικὸς εὐτρεπίζειν ὅσον τὴν κλίνην οὐ προσιόψεται ὑπὲρ τὴν γῆν ῥιπτουμένην, ὥστε ψαῦσαι τοῖσι πρὸς κεφαλὴν ποσὶ τῆς γῆς. καὶ κελεύειν αὐτὴν λαβέσθαι τῇσι χερσὶ τὴν κλίνην. καὶ μετέωρον πρὸς κεφαλὴν τὴν κλίνην ἔχειν, ὡς κατάῤῥοπος ᾖ ἐπὶ πόδας, φυλασσόμενος ὅκως μὴ προπετὴς ἔσται ἡ ἄνθρωπος. ὅταν δὲ ταῦτα ἐνεργῆται, καὶ μετάρσιος ᾖ ἡ κλίνη, ἐκ τῶν ὄπισθεν ὑποθεῖναι τὰ φρύγανα. κατορθοῦσθαι δὲ ὡς μάλιστα. ὅκως δὲ οἱ πόδες μὴ ψαύωσι τῆς γῆς, ῥιπτουμένης τῆς κλίνης καὶ τῶν φρυγάνων ἔσωθεν ἐσόντων. αἴρειν δὲ δύο ἑκατέρου τοῦ ποδὸς ἄνδρα, τῇδε καὶ τῇδε, ὡς κατ᾿ ἰθὺ πεσεῖται ἡ κλίνη, ὁμαλῶς καὶ ἴσως, καὶ μὴ σπασμὸς ᾖ. σείειν δὲ ἅμα τῇ ὠδῖνι μάλιστα. καὶ ἢν μὲν ἀπαλλάσσηται

αὐτίκα περιπαύεσθαι. εἰ δὲ μὴ, διαλαβόντα σείειν. καὶ αἰωρέειν ἐπὶ κλίνης φερομένην. ταῦτα μὲν οὖν οὕτως ποιέεσθαι, ἢν ὀρθά τε καὶ κατὰ φύσιν ἀπαλλάσσηται. χρὴ δὲ κηρωτῇ ὑγρῇ προχρίειν. ἐπὶ πάντων δὲ τῶν ἀμφὶ τὴν ὑστέρην τοιῶνδε παθέων, ἄριστον τόδε. καὶ μαλάχης ὕδωρ καὶ τοιονοῦν, καὶ βούκερας ἢ πτισάνης πυρίνης μᾶλλον χυλός. χρὴ δὲ ἄχρι βουβῶνος ἐσθίειν καὶ αἰδοῖον πυριῆν. καὶ ἐνίζεσθαι δὲ, ὅταν αἱ ὠδῖνες σφόδρα ὀχλέωσι μάλιστα, καὶ μηδὲν ἐν νόῳ ἕτερον ἔχειν. τὴν δὲ ἰητρεύουσαν, τὰ στόματα μαλθακῶς διανοίγειν. καὶ ἠρέμα τοῦτο δρᾶν. ὀμφαλὸν δὲ ξυνεφέλκεσθαι τὸ ἔμβρυον. ὅσα δὲ δίπτυχα φύονται καὶ ἔγκειται ἐν τῷ στόματι τῶν ὑστερέων, ταῦτα δὲ ἤν τε ζώοντα ἤν τε τεθνεῶτα ᾖ, προώσαντα ὀπίσω πάλιν στρέφειν. ὅκως κατὰ φύσιν ἴῃ ἐπὶ κεφαλήν. ὅταν δὲ ἀπωθέειν βούλῃ ἢ στρέφειν, ἀνακλίναντα χρὴ ὑπτίην ὑπὸ τὰ ἰσχία, ὑποστορέσαι τι μαλθακόν. καὶ ὑπὸ τοὺς πόδας τῆς κλίνης, ὅκως ὑψηλότεροι ἔσονται οἱ πρὸς ποδῶν πόδες, συχνὰ ὑποτιθέναι χρή τι. καὶ ἀνωτέρω δὲ τὰ ἰσχία τῆς κεφαλῆς ἔστω. προσκεφάλαιον δὲ, μηδὲν ὑπέστω τῇ κεφαλῇ, προμηθεόμενος ταῦτα. ὅταν δὲ ἀπώσηται τὸ ἔμβρυον καὶ περιδινῆται τῇδε καὶ τῇδε, κατὰ φύσιν καθίστασθαι. καὶ τὴν κλίνην καὶ τὰ ἰσχία ὑπεξελὼν τὰ ὑπὸ τοὺς πόδας τῆς κλίνης καὶ τοὺς λίθους, καὶ τὸ ὑπὸ τῶν ἰσχίων. πρὸς κεφαλὴν δὲ ὑποθεῖναι, ὑποκεφάλαιον, τὰ τοιαῦτα τούτῳ τῷ τρόπῳ θεραπεύειν. ὅσα δὲ ζώοντα τῶν ἐμβρύων, τὴν χεῖρα ἢ τὸ σκέλος ἔξω προβάλλεται, ἢ καὶ ἄμφω, ταῦτα χρὴ ὅταν τάχιστα προσημαίνῃ τὴν ἔξοδον, εἴσω ἀπωθέειν τῷ προειρημένῳ τρόπῳ. καὶ στρέφειν ἐπὶ κεφαλὴν. ἐὰν ὁδὸν ἄγῃ. καὶ ὅσα φύσει τῶν ἐμβρύων πεπηγότα, ἢ ἐν τῇ κνεῶνα, ἢ ἐν ἰσχίον ἐν τῷ τόκῳ, χρὴ ταῦτα ἀναρθροῦσθαι καὶ στρέφειν. καὶ προσκαθίζεσθαι ἐν ὕδωρ θερμὸν, ἄχρις ἂν ἰαίνηται. Ὁκόσα δὲ τεθνεῶτα τῶν ἐμβρύων, ἢ τὸ σκέλος, ἢ τὴν χεῖρα ἔξω ἔχει, ταῦτα ἄριστον μὲν ἢν οἷόν τε ἀπώσασθαι εἴσω. καὶ ἄμφω ταῦτα ἐπὶ κεφαλὴν στρέφειν. εἰ δὲ μὴ οἷόν τε ᾖ. ἀνοιδίσκηται δὲ, τάμνειν τῷδε τῷ τρόπῳ. σχίσαντα τὴν κεφαλὴν μαχαιρίῳ ξυμφλάσαι, ἵνα μὴ θραύσῃ τῷ πιέστρῳ. καὶ τὰ ὀστέα ἕλκειν. ὥστε ὀλίγῳ ἢ τῷ ἑλκυστῆρι παρὰ τὴν κληῖδα καταθέντα ὡς ἂν ἔχηται ἕλκειν, μὴ κατὰ πουλὺ, ἀλλὰ κατ' ὀλίγον διανιέντα, καὶ αὖθις βιαζόμενον. ὅταν δὲ ταῦτα ἔξω εἰρύσῃς, ἐν δὲ τοῖσιν ὤμοισιν ἐνῇ, τάμνειν τὰς χεῖρας ἄμφω ἐν τοῖσιν ἄρθροισι μετὰ τῶν ὤμων. καὶ ὅταν ταῦτα κομίσῃς, ἢν μὲν οἷόν τε ᾖ ἰέναι καὶ τ' ἄλλα εὐπετῶς ἕλκειν. ἢν δὲ μηδὲν ἀκούσῃ, τὸ στῆθος πᾶν μέχρι τῶν σφαγέων σχίζειν. φυλάσσεσθαι δὲ ὡς μὴ κατὰ τὴν γαστέρα τάμῃς, καὶ ψιλώσῃς τι τοῦ ἐμβρύου. ἔξεισι γὰρ ἡ γαστὴρ, καὶ τὰ ἔντερα, καὶ κόπρος. ἢν δέ τι τούτων ἐκπέσῃ, πραγματωδέστερον ἤδη γίνεται. ξυμφλάσαι δὲ τὰ πλευρὰ καὶ τὰς ὠμοπλάτας ξυνάγειν. καὶ ῥηϊδίως μετὰ ταῦτα χωρήσει τὸ λοιπὸν ἔμβρυον, ἢν μὴ ἤδη οἰδαλέον ᾖ τὴν κοιλίην. ἢν γὰρ ᾖ τι τοιοῦτον, ἄμεινον τὴν γαστέρα τοῦ ἐμβρύου τρῆσαι πρηέως. ἔξεισι γὰρ φῦσα μόνον ἐκ τῆς γαστρὸς, καὶ εὐπετέως οὕτω χωρήσει. ἢν δὲ ἐκπεπτώκῃ ἡ χεὶρ ἢ τὸ σκέλος τεθνεῶτος τοῦ ἐμβρύου, ἢν μὲν δυνατὸν ᾖ, εἴσω ἀπῶσαι ἄμφω, καὶ εὐτρεπῆσαι τὸ ἔμβρυον, ταῦτα ἄριστα. εἰ δὲ μὴ οἷόν τε ᾖ τοῦτο ποιῆσαι, ἀποτάμνειν ὅ,τι ἂν ἔξω ᾖ, ὡς ἂν δύνηται ἀνωτάτω, καὶ τοὐπίλοιπον ἐς μασάμενος προῶσαι καὶ στρέψαι τὸ ἔμβρυον ἐπὶ κεφαλήν. ὅταν δὲ στρέφειν ἢ κατατέμνειν μέλλῃς τὸ παιδίον, τὰς ἰδίας χεῖρας χρὴ ἀπονυχίσασθαι, τὸ δὲ μαχαίριον ᾧ ἂν κατατάμνῃς, καμπυλώτερον ἔσω, ἢ εὐθύτερον. καὶ τοῦτο κατὰ κεφαλὴν ἀμφικαλύπτειν, τῷ λιχανῷ δακτύλῳ ἐμματευόμενον, καὶ ὁδηγεῦντα, καὶ ὀρρωδέοντα, ὅπως μὴ ψαύσῃς τῆς ὑστέρης. Περὶ δὲ μύλης κυήσιος, τόδε αἴτιον. ἐπὴν πουλλὰ τὰ ἐπιμήνια ἐόντα γονὴν ὀλίγην καὶ νοσώδη ξυλλάβωσιν, οὔτε κύημα ἰθαγενὲς γίνεται. καὶ ἡ γαστὴρ πλήρης ὥσπερ κυούσης. κινέεται δὲ οὐδὲν ἐν τῇ γαστρὶ, οὐδὲ γάλα ἐν τοῖσι τιτθοῖσι ἐγγίνεται. σφριγᾷ δὲ τὸ στῆθος. αὕτη οὖν δύο ἔτεα, πολλάκις δὲ καὶ τρία, οὕτως ἔχει. καὶ ἢν μὲν μία σὰρξ γένηται, ἡ γυνὴ ἀπόλλυται, οὐδὲ γὰρ οἷά τέ ἐστι περιγενέσθαι. ἢν δὲ πολλαὶ, ῥήγνυται αὕτη ἡ κατὰ τὸ αἰδοῖον, αἷμα τε πολὺ καὶ σαρκῶδες. καὶ ἢν μὲν βιάζῃ σώζεται. ἢν δὲ μὴ, ὑπὸ ῥόου ἁλοῦσα ἀπόλλυται. τὸ μὲν νόσημα τοιοῦτόν ἐστι. κρίνεσθαι δὲ χρὴ τῷ πληρώματι, καὶ ὅτι οὐ κινέεται ἐν τῇ γαστρί. τὸ μὲν γὰρ ἄρσεν, τρίμηνον. τὸ δὲ θῆλυ, τετράμηνον τὴν κίνησιν ἔχει. ἐπὴν οὖν τοῦ χρόνου παρελθόντος μὴ κινέηται, δηλονότι τοῦτο ἐστι. ἔστι δὲ τόδε τεκμήριον μέγα. ἐν τοῖσι τιτθοῖσι γάλα οὐκ ἐγγίνεται. ταύτην μάλιστα μὲν ἰᾶσθαι. καὶ πρῶτα μὲν πυριῆσαι ὅλον τὸ σῶμα, ἔπειτα κατὰ τὴν ἕδρην κλύσαι, ὅκως αἷμα καταρραγῇ πουλύ. καὶ

γὰρ ἴσως

γὰρ ἴσως ἂν κινήσειε τὸ ἔμβρυον, δῆλον ἐὸν τὸ ξυνετικὸς, διαβορ μανθάνῃς τῆς γυναικὸς ὑπὸ τοῦ φαρμάκου. κλύζειν δὲ καὶ κατὰ τὰς μήτρας, ὅκως ἂν αἷμα ἀγάγῃς. εἰ δὲ μὴ, προσθέτοισι χρῆσθαι τοῖσιν ἀπὸ τῆς βουπρήστιος ἰσχυροτάτοισι. καὶ πιπίσκειν τὸ δίκταμνον τὸ κρητικὸν ἐν οἴνῳ. εἰ δὲ μὴ, καὶ τὸν καστόρειον ὄρχιν. καὶ ὄπισθεν αὐτῇ σικύην προσβάλλειν πρὸς τοὺς κενεῶνας, καὶ ἀφαιρέειν ὅτι πλεῖστον αἷμα. πρόσβαλλε δὲ καὶ ὅτι μάλιστα τεκμαιρόμενος τὰ κατ' αὐτάς. Καὶ τοσοῦτον μὲν περὶ τῶν νοσημάτων τῶν ἀπὸ λοχείων γινομένων εἴρηται. εἰσὶ δὲ οἱ κίνδυνοι ἐν αὐτοῖσιν οὐ σμικροί, ὀξέα γάρ ἐστι καὶ ταχὺ μεταλλάσσοντα, καὶ μᾶλλον πονοῦνται αἱ πρωτοτόκοι, ἢ αἵ τινες εἰσὶν ἔμπειροι τόκων. χωρέει δὲ τὰ λοχεῖα τῇ ὑγιηρῇ γυναικὶ, ἱκανὸν ὅσον ἀττικὴ κοτύλη, καὶ ἡμισεία τὸ πρῶτον ἢ ὀλίγῳ πλέονα. ἔπειτα ἐπὶ ἐλάσσονα κατὰ λόγον τούτου, μέχρις ἂν παύσηται. χωρέει δὲ οἷον αἷμα ἀπὸ ἱερείου, ἢν ὑγιηρὴ, ὡς ἔφην, ἡ γυνὴ ᾖ, καὶ μέλλῃ ὑγιαίνειν. καὶ ταχὺ πήγνυται, καὶ καθαίρεται. καὶ μετὰ τὸν τόκον, ὡς ἐπὶ τὸ πλέον τῇ ὑγιηρῇ ξυμβαίνει. ἐπὶ μὲν τῇ κούρῃ, ἡμέρας τεσσαράκοντα καὶ δύο, τὴν χρονιωτάτην κάθαρσιν. ἀκινδύνως δ' ἐστὶ, καὶ εἴκοσι πρὸς ταῖς πέντε ἡμέραις καθαιρομένη. ἐπὶ δὲ τῷ κόρῳ ἡμέρας τριήκοντα ἡ κάθαρσις γίνεται ἡ χρονιωτάτη. ἀκίνδυνος δ' ἐστὶ καὶ εἴκοσιν ἡμέρας γινομένη. καὶ τῶν διαφθαρεισῶν τὰ ἔμβρυα κατὰ λόγον ἡ κάθαρσις γίνεται τούτων τῶν ἡμερέων. καὶ ἐπὶ τῇσιν νεωτέρῃσι φθαρεῖσιν ἐλάσσονας ἡμέρας. ἐπὶ δὲ τῇσι γεραιτέρῃσι πλέονας. παθήματα δὲ ταῦτά ἐστι, περὶ λοχείων φθαρείσῃ τε τὸ ἔμβρυον καὶ τεκούσῃ, ἢν μιλιαῖον φθείρῃ τὸ παιδίον. καὶ κινδυνεύουσιν αἱ φθείρουσαι μᾶλλον. αἱ γὰρ φθοραὶ τῶν τόκων χαλεπώτεραί εἰσιν. οὐ γάρ ἐστι μὴ οὐ βιαίως φθαρῆναι τὸ ἔμβρυον, ἢ φαρμάκῳ, ἢ ποτῷ, ἢ βρωτῷ, ἢ προσθέτοισιν, ἢ ἄλλῳ τινί. βίη δὲ πονηρόν ἐστιν. ἐν γὰρ τῷ τοιούτῳ κίνδυνός ἐστι τὰς μήτρας ἑλκωθῆναι ἢ φλεγμῆναι. τοῦτο δέ ἐστιν ἐπικίνδυνον. Τὸ δὲ γάλα ὅκως γίνεται, εἴρηταί μοι ἐν τῇ φύσει τοῦ παιδίου, τοῦ ἐν τόκῳ. ἐπὴν δὲ κυΐσκηται ἡ γυνὴ, καταμήνια οὐ μάλα χωρέει, πλὴν ἐστὶν ᾗσιν ὀλίγα. τρέπεται γὰρ ἐς τοὺς μαζοὺς τὸ γλυκύτατον τοῦ ὑγροῦ, ἀπό τε τῶν σιτίων καὶ τῶν ποτῶν, καὶ ἐκθηλάζεται. καὶ ἀνάγκη ἐστὶ, καὶ τὸ ἄλλο σῶμα κεχηνέναι μᾶλλον, καὶ ἧσσον πλῆρες γίνεται τοῦ αἵματος, τοῦτο οὕτως γίνεται. εἰσὶ δὲ αἵ τινες φύσει ἀγάλακτοί εἰσι, καὶ σφέας ὑπολείπει τὸ γάλα πρὸ τοῦ καιροῦ. αὗται δὲ φύσει στερεαί εἰσι, καὶ πυκνόσαρκοι. καὶ διὰ τοῦτο οὐ διέρχεται ἐπὶ τοὺς μαζοὺς ἀρκοῦσα ἰκμὰς ἀπὸ τῆς κοιλίης, πυκνῆς τῆς ὁδοῦ ἐούσης. Ἐπιμήνια καταστᾶται. ἐλατηρίου δύο πόσιας, ξυμμίσγεται δὲ καὶ στέαρ οἰὸς ἀπὸ τῶν νεφρῶν, ὅσον τὸ ἐλατήριον μὴ διαθρύπτεσθαι. ποιέειν δὲ δύο προσθετά. ἢ μελάνθιον, τὸ ἐκ τῶν πυρῶν τρίψας, ὕδατι φορύξαι. καὶ προσθετὰ δύο ποιῆσαι. προστιθέναι δὲ ταῦτα, πρὸ τῶν ἡμερῶν ᾗσι μέλλει ἐπέρχεσθαι. ποιέει δὲ μὴ ἐξερχόμενα, ῥίγεα καὶ πυρετούς.

Μαλθακὰ ὑφ' ὧν καθαίρεται ὕδωρ καὶ ψάμμος. καὶ ἄγει ἐπιμήνια, ἢν μὴ πολυχρόνια ᾖ, καὶ τὸ στόμα μαλθάσσει. Νάρκισσον. σμύρναν. κύμινον. καὶ λιβανωτόν. ἀψίνθιον. κύπειρον. ἶσον ἑκάστου. ναρκίσσου δὲ, μόνου μοίρας τέσσαρας, ἐπικτένιον ὠμοῦ λίνου, ξυμμίξας ταῦτα, τρίβειν ὀριγάνου ἑψημένου σὺν ὕδατι, καὶ ποιέειν βάλανον, καὶ προστιθέναι. ἢ καὶ κυκλαμίνου μίσγε ὅσον ἀστράγαλον. καὶ ἄνθος χαλκοῦ, ὅσον κύαμον τρίψας, μέλιτι διαλῦσαι. καὶ ποιῆσαι βάλανον. καὶ προστιθέναι. ἢ γλήχωνα. ἢ σμύρναν. λιβανωτόν. ὑὸς χολήν τε καὶ βοὸς ἐν μέλιτι ἀναταράσσειν, καὶ ἀναπλάττειν βάλανον. Ἢν τὰ ἐπιμήνια μὴ γίνηται. Χηνὸς ἔλαιον. καὶ νέτωπον. καὶ ῥητίνην ξυμμίσγουσα, προστίθει ἐπ' εἰρίῳ ἀναλαμβάνουσα. Προσθετὸν καθαρτικὸν μαλθακόν. Ἰσχάδα λαβὼν, δίεφθον ποιέειν. καὶ ἀποπιέσας, τρίβειν ὡς λειότατον. εἶτα πρόσθες ἐν εἰρίῳ. καὶ ῥοδίνῳ μύρῳ, τὸ δριμὺ κράμβης πηγάνου ἑκατέρου ἥμισυ τρίψας, τὸν αὐτὸν τρόπον χρέο. Καθαρτικόν. Χηνὸς μυελόν, ἢ βοὸς, ἢ ἐλάφου ὅσον κύαμον παραχέουσα μύρον ῥόδινον. καὶ γάλα γυναικὸς, τρίβειν ὡς φάρμακον τρίβεται. εἶτα ἐν τούτῳ ἀλείφειν τὸ στόμα τῆς μήτρας. Ἕτερον προσθετὸν μαλθακόν. Χηνὸς μυελὸν, ὅσον κάρυον. κηρὸν ὅσον κύαμον. ῥητίνης χιΐνης, ἢ τερεβινθίνης ὅσον κύαμον, ταῦτα τήξας σὺν μύρῳ ῥοδίνῳ, ἐπὶ πυρὸς μαλθακοῦ, ποίησον ὡς κηρωτήν. εἶτα τούτῳ χλιηρῷ ἐναλείφειν τὸ στόμα τῆς μήτρης. καὶ τὸν κτένα καταβρέχειν. Ἕτερον καθαρτικόν. Ἄλευρον σητάνιον. σμύρνης τριώβολον. κρόκου τὸ ἶσον. καστορείου ὀβολόν. ταῦτα τρίψας, μύρῳ ἰρίνῳ προστιθέσθω. ἢ κνίδης καρπὸν, καὶ μαλάχης χυλὸν, καὶ χηνὸς στέαρ ἅμα συμμίξαντα προσθεῖναι. Προσθετὸν

ἄλλο καθαρτικὸν, ἢν τὰ γυναικεῖα μὴ φαίνωνται. Στύρακα καὶ ὀρίγανον, τρίψας λεῖον καὶ συμμίξας ἐπίχεαι χηνὸς ἔλαιον, καὶ προστίθει. Ἕτερον καθαρτικὸν πρόσθετον, ὥστε τὰς μήτρας ἐκκαθαίρειν, καὶ αἷμα ἐκκενοῦν. ἀψινθίου ῥίζαν τρίψας λείην, μέλιτι καὶ ἐλαίῳ χηνὸς μίξας, προστίθει. Ἕτερον πρόσθετον καθαρτικόν. Βουπρήστιος ἀφελεῖν κεφαλὴν καὶ πόδας, καὶ πτερά. τὰ δ' ἄλλα αὐτοῦ τρίβειν, καὶ ξυμμίσγειν τοῦ σύκου τὸ ἔνδον. διπλάσιον δὲ τοῦ σύκου, τὸ πῖον ἔσω. τοῦτο φυσᾷ τὰς ὑστέρας. τοῦτο καὶ ταῖς ἀπαυδήσαις ἄριστον, ἢ λινόζωστις· τὰ φύλλα λεῖα πρόσθετα ποιέειν. τοῦτο λεπτὴν ἄγει χολώδεα κάθαρσιν. καὶ ἡ ἀρτεμισίη ποιέει ὡς ἡ λινόζωστις καὶ καθαίρει κρεῖττον. ἐλλέβορος μέλας ἐν ὕδατι λεῖος, ἄγει καὶ οὗτος, οἷον ἀπὸ κρεῶν ὕδωρ. καὶ συντηκτική τε καὶ ἡ ῥητίνη, τὸ αὐτὸ δρᾷ. κύπρος. ἀψίνθιον. ἀριστολοχία. κύμινον. ἅλες. μέλι. ταῦτα πάντα ἐν τῷ αὐτῷ τρίβειν ἐπὶ προστιθέναι. καὶ ἐλλέβορος ἐν οἴνῳ γλυκεῖ μετὰ ἀλεύρου αἰρῶν καὶ πυρίνων μέλιτι φυρηθεὶς ἐν εἰρίῳ προστιθέσθω. Πρόσθετα ἢν μὴ τὰ καταπότα καθαίρῃ. Λινόζωστιν. σμύρναν. λευκόϊον. κρόμμυον ὡς δριμύτατον. καὶ μελάνθιον, καὶ τὸ ἡδύοσμον ἢν ὑποφόρῃ, συμμίξας προστίθει. Πρόσθετα δριμέα ἄγοντα αἷμα. Κανθαρίδας πέντε πλὴν τῶν ποδῶν καὶ τῶν κεφαλῶν. καὶ σμύρναν, καὶ λιβανωτὸν ἅμα συμμίσγειν. καὶ μέλι μετ' αὐτῶν. ἔπειτα βάψας ἐς ἄλειφα ῥόδινον, ἢ αἰγύπτιον, προσθέσθω τὴν ἡμέρην. καὶ ἐπὴν δάκνηται, ἀφαιρέεσθαι. καὶ βαπτίζειν πάλιν ἐς γάλα γυναικός. καὶ μύρον αἰγύπτιον. προστίθεσθαι δὲ τοῦτο, ἐς νύκτα, καὶ διανίζεσθαι ἐν ὕδατι εὐώδει. προστιθέναι δὲ στέαρ, ἁρμόζοι δ' ἂν βούπρηστις. ἢν μὲν σμικρὴ ἡ, ἄνευ πτερῶν καὶ ποδῶν, καὶ κεφαλῆς. ἢν δὲ μεγάλη ἡ, μὴ συμμίσγειν ταῦτα ἃ ἐπὶ τοῖσι κανθαρείοισιν, ἀλλὰ μόνον τιθέναι, καὶ προστιθέναι ὁμοίως. ἢν δὲ μαλθακωτέρου δέηται, τῇ βουπρήστει μίξαι οἶνον καὶ κύμινον αἰθιοπικόν. ἀσταφίδα τε καὶ πάλην σεσέλιος, καὶ ἀννήσου, καὶ ἀναζέσαι τοῦ οἴνου. ἀρχέας δὲ, τρίψαι λεῖον. καὶ πλάσαι φθοΐσκους ὅσον δραχμιαίους. τούτων προστιθέναι σμύρναν καὶ λιβανωτὸν μίσγοντα. ποιέειν δὲ τὸν αὐτὸν τρόπον, ὅνπερ ἐπὶ τοῖσι κανθαρείοισι. μελάνθιον τὸ ἐκ τῶν πυρῶν τρίβοντα λεῖον μέλιτι φυρῶντα προστιθέναι. ἢ αὐτὸ τοῦτο τὸ μελάνθιον τρίβοντα μετὰ τοῦ μέλιτος ποιέειν οἷον βάλανον. πτερῷ δὲ περίπλασσε. Πρόσθετον ἐμμηναγωγόν. Ὀπὸν μανδραγόρου, καὶ κολοκύντης ἀγρίης, ξὺν γάλακτι γυναικείῳ πρόσθες. ἢ τρύγα ξηρὴν ἐξ οἴνου παλαιοῦ λευκοῦ, καίειν. καὶ οἴνῳ σβέσαι. καὶ κολοκύντην ἀγρίην, λινόζωστιν. νίτρον, ἐπὶ ἐρύσιμον, θᾶσσον καταπαύει. καὶ μανδραγόρου ῥίζα. κανθαρίς. ἕρπυλος. δάφνης καρπός. μύρον ἴρινον, δάφνινον. τιθυμάλλου τὸν ὀπὸν μίσγειν καὶ ἀνακινεῖν, καὶ τὸν ἰξὸν ἀφαιρέειν. καὶ διδόναι ὅσον ὄροβον. ἐπὶ πρόσθετον ποιῆσαι, ἄριστον. εἰ δὲ πλεῖον ἴοι, οἴνῳ προσκλυζέσθω. ἢ ὀπτοῦ χαλκοῦ ἐκδεὶς, χλιηρὸν ἀναλαμβάνειν εἰρίῳ, καὶ προστιθέναι. Κυητήριον. Κεδρίης ἐμβάφιον. στέατος βοείου δραχμὰς τέσσαρας, λεῖα τρίψας, καὶ ἐς τὸ αὐτὸ τρίψας πεσσοὺς ποιέων, προστίθει νήστει καὶ προσκειμένη, ἐκνηστευέτω τὴν ἡμέρην. προστιθέσθω δὲ δὶς, πρωῒ καὶ δείλης, μετὰ τὰ καταμήνια, καὶ μετὰ τὸ δεῖπνον. λούσθω καὶ κοιμάσθω σὺν τῷ ἀνδρί. ἢ μελάνθιον φλάσαι. καὶ ἐς ῥάκος ἐνδῆσαι. καὶ χηνὸς ἔλαιον ἐμβαλεῖν. καὶ δοῦναι προσθέσθαι. Ἕτερον κυητήριον. Γυναῖκα θεραπεύσαι, ὥστε ξυλλαβεῖν ἐν γαστρί. οὖρον λαβὼν παλαιὸν, καὶ σιδήρου σκωρίην ὅσην διπλᾶ ἐς τὰ θρύμματα. ἔπειτα καθίσας τὴν γυναῖκα ὑπὸ δίφρου, συγκαλύψασαν καὶ τὸ σῶμα καὶ τὴν κεφαλὴν ὑποθεῖσα ἐς πόδας χύτρα, ἐμβαλεῖν ἐπὶ τρία διάπυρα τὰ τῆς σκωρίης θρύμματα. ἔστω δὲ τὸ παλαιὸν τοῦτο οὖρον, ὅσον χοῦς. ἐπὶ ἐν τούτοις πυριᾶν αὐτὴν, ὅσον τριήκοντα πυρίας. ἐπὴν δὲ πυριάσῃς, σμῆχε τὴν κεφαλὴν τῷ οὔρῳ, ἕως ἂν πυριηθῇ ἐναποσβεννύων πάλιν τοὺς λίθους. ἐπὶ τὴν πυρίην πάλιν. θερμήνας δὲ μετὰ ταῦτα, λοῦε κατὰ κεφαλῆς ὡς πλεῖστον. ἕψων δὲ ἐν τῷ ὕδατι πόλιον. ἐπὶ τῆς ἄγνου ὡς πλεῖστα. ταῦτα δὲ ποίεε ἡμέρας ἑπτά. τρὶς δὲ ὑποθυμιῆν. τούτων ἑκάστην πυρίην πρὸ τοῦ σμήχεσθαι. χριέσθω δὲ ἐκ τοῦ λουτροῦ, ἐλαίῳ δαφνίνῳ. μετὰ δὲ τὸ δεῖπνον, φαγοῦσα κρόμμυα ἐμβάπτουσα ἐς μέλι, καὶ μελίκρητον χλιηρὸν, ὅσον κοτύλας τέσσαρας πιοῦσα. ἔπειτα ἐπὴν φάγῃ σμικρὸν ἐπισχοῦσα, ἀπεμεέτω. καὶ ἀνακλιθεῖσα ὑπτίη, τοῦ πηγάνου ἐχέτω, καὶ ἐν τοῖσιν ὠσὶ καὶ ἐν τῇσι ῥισί. καὶ ἄρτον ζυμίτην, ὅσον ἕκτην μέρος χοίνικος, ἐς ζωμὸν ἐνθρύψαι ὄρνιθος, ἔχοντα σελίνου ὅσον χήμην προσφερέσθω. καὶ πάλιν δίδου τὸ ἴσον ἐπὶ τῷ δείπνῳ. τὸ αὐτὸ δὲ ποίεε τὰς ἑπτὰ ἡμέρας. ἔπειτα δὲ τὴν κοιλίην κλύζε ἡμέρας ἑπτά

ρας ἑπτά. ἔστω δὲ κλύσμα, ῥητίνης δραχμαὶ τέσσαρες. μέλιτος ὀξύβαφον. τοῦ πλατέος ἔλαιον ἴσον. πιτύρων σητανίων χυλός. νίτρου ἀφρός. ὠὰ λεπτά. ἔστω δὲ τὸ κλύσμα, κοτύλαι ὀκτώ. τούτων αἱ τρεῖς πτισάνης χυλοῦ. κλυζέτω δὲ πλαγίην. καὶ λύει ὀλίγον. προστιθέσθαι δὲ καὶ βαλάνους ἑπτὰ τῆς ἡμέρης. κατεχέτω δὲ, ἐς ἂν κατατακῇ. ἔστωσαν δὲ λιβάνου. νίτρου. χαλβάνης. μέλιτος ἑφθοῦ. σίτῳ δὲ χρήσθω ὑπὲρ αὐτῷ. ὑποθυμία δὲ, ὄνου τρίχας λευκοῦ. καὶ λύκου κόπρον. ἐπίβαλλε δὲ ὡς πλεῖστον ἐπὶ ἀνθρακίην. καὶ περικαθίσας αὐτὴν καὶ περιστείλας, θυμία, φυλασσόμενος μὴ κατακαύσῃς. ἢν δὲ γυνὴ μὴ δύνηται τίκτειν πρόσθεν τίκτουσα, νίτρον. καὶ ῥητίνην. καὶ σμύρναν. καὶ κύμινον αἰθιοπικόν. καὶ μύρον τρίβειν ἐν τωυτῷ, καὶ προστίθεσθαι. ἢ γλήχωνα ξηρὴν, ἐν ὀθονίῳ προστιθέσθω. πίνειν δὲ τὴν γλήχωνα, ἐπὴν ἢν εὕδειν μέλλῃ.

Ετερον κυητήριον. Διαιτᾶν δεῖ τὴν γυναῖκα ἥτις δέεται κυήσιος. καὶ διδόναι αὐτῇ ἅπερ δέχοιτο, καὶ ἐσθίειν καὶ πίνειν. ὑπὲρ δὲ ἀνδρὶ τῆς γυναικός, τὰ ἄλλα πλὴν σκορόδου, καὶ κρομμύων, καὶ ἐτνοῦ. καὶ ὀποῦ σιλφίου. καὶ ὅσα φυσητικά. τούτων δὲ ἀπεχέσθω. Ομοίως ἔγχυτον κυητήριον εἰ μὴ κυΐσκεται. Γάλα γυναικὸς κουροτρόφου. σίδης νεαρῆς τοὺς κόκκους τρίψας, καὶ ἐκπιέσας τὸν χυλὸν, καὶ χελώνης θαλασσίης τοῦ πυρίνεον κατακαύσας τρίψας, ἐγχέαι ἐς τὸ αἰδοῖον. Ομοίως ἔγχυτον κυητήριον μὴ κυούσῃ. Γάλα καὶ ῥητίνην, καὶ σίδης γλυκείης χυλόν. ταῦτα ξὺν μέλιτι μίξας ἐγχεῖν πάντα. Κυητήριον. Βολβοῦ τοῦ λευκοῦ καρπὸν, ἢ τὸ ἄνθος τρίψας ξὺν μέλιτι, ἐν εἰρίῳ ἑλίξασα, προσθέσθω πρὸς τὴν μήτρην ἡμέρας τρεῖς. τῇ δὲ τετάρτῃ, μαλάχην ἀγρίην τὴν πλατύφυλλον τρίψασα, μίξαι γυναικὸς γάλακτι. καὶ ἐς εἴριον ἑλίξασα, προσθέσθω. εἶτα κοιμάσθω μετὰ ἀνδρός. προρροφεέτω δὲ γλήχωνα ἐπὴν ἀλεύροισιν ἑφθήν. καὶ πινέτω γλήχωνα ἐν οἴνῳ λεπτήν. ἢν δὲ τούτου μὴ ἐπακούῃ λαβὼν κόνυζαν εὔοδμον ξυγκόψας, καὶ ἐκθλίψας τὸν χυλὸν, καὶ μίξας οἴνῳ, πινέτω νῆστις. Ετερον κυητήριον. Ασπαράγου καρπὸν, πινέτω ὁμοίως ἐν οἴνῳ. ἕτερον κυητήριον. Χοίρεον γυναικὸς καὶ τῶν εὐλέων τὰς κεφαλὰς τρίψαι. δεῖ στυπτηρίην αἰγυπτίην ἐν χηνὸς στέατι, ἐν εἰρίῳ προσθέσθω πρὸς τὸ στόμα τῆς μήτρης. ἕτερον ἐπὶ τοῦ αὐτοῦ. Ιὸν χαλκοῦ, ἄνθος ἡμιωβόλιον ἑκατέρου, λιβανωτοῦ ἄρσενος. στυπτηρίης σχιστῆς. οἰνάνθης ἀμπέλου. κικίδα. σμύρναν. σίδιον. ῥητίνην. πόλιον ἀνὰ ὀβολὸν ἑκάστου ἐν μέλιτι τρίψας, προσθέσθω, ἐπὶ τρισὶν ἡμέραις δὶς τῆς ἡμέρας. ἢν δ' ἴσως δριμύτερον ᾖ, παραμίσγειν χηνὸς στέαρ. καὶ νίτρον ὀπτόν. διδόναι δὲ οἶνον, φεύγοντα τὸ ἐν αὐτῷ μένος. ἕτερον κυητήριον. εὐλὴν ἥτις ἔχει τὴν κόρην λαβὼν ἀπὸ αὐτῆς τρεῖς ἢ τέτταρας μοίρας, καὶ ὀρίγανον λεπτήν, τρίψας ἐν ῥοδίνῳ μύρῳ, προσθέτω πρὸς τὸ στόμα τῆς μήτρης. ἕτερον κυητήριον. ἀνδράχνην τρίψας μετὰ στέατος χηνὸς καὶ σμύρνης, καὶ πράσου σπέρματος. καὶ βοὸς χολῆς ἐν εἰρίῳ ἐνελίξας, τιθέναι πρὸς τὸ στόμα τῆς μήτρης.

Ην τὰ μὲν καταμήνια γίνωνται πολλὰ, οὐ συλλαμβάνῃ δὲ, χαλκοῦ ἄνθος ὀβολοὺς δύο, καὶ στυπτηρίης σχιστῆς ὡσαύτως τρίψας λεῖα ἐν μέλιτι, εἶτα ἐν εἰρίῳ ἀνασπογγίσας, ἐνδήσασα ἡ γυνὴ τὸ εἴριον ἐς ὀθόνιον λίνῳ, προσθέτω ἕως ἔσω αὐτῆς. τὸ δὲ λίνον ὑπερεχέτω. εἶθ' ὅταν καλῶς καθαρθῇ, ἀφελέτω. καὶ οἶνον ἀναζέσας εὐώδεα, μυρσίνης φύλλα ἐμβαλὼν, τούτῳ προσκλυσάσθω. καὶ ἴτω πρὸς τὸν ἄνδρα. κυητήριον προσθετόν. Μέλι. σμύρναν. μυρίκης τὸν καρπόν. ῥητίνην ὑγρήν, χηνὸς ἄλειφα τρίψας ἅπαντα ὑπὲρ αὐτῷ ἐν εἰρίῳ ἐνελίξασα προστιθέσθω. κυητήριον προσθετὸν σφόδρα ἀναστομῶσαι μήτρην δυνάμενον ὅταν μεμύκῃ καὶ μὴ δύνηται κυῆσαι. καὶ ὕδωρ ἐκκαθῆραι. Λαβὼν σχεδιάδα τὴν μικρὴν, καὶ σχῖνον. καὶ κύμινον. καὶ κύπερον. καὶ ἀγρίην κολοκύντην. καὶ νίτρον ἐρυθρόν. καὶ ἅλας αἰγύπτιον. καὶ σχεδιάδα τὴν μεγάλην. ταῦτα πάντα λεῖα ποιήσας, δι' ὀθονίου διηθῆσαι. λαβὼν δὲ μέλι, ἕψησον ἐπὶ πυρὶ μαλθακῷ. ἐπειδὰν δὲ ζέσῃ, παράμιξον κηρόν. ῥητίνην. ἔπειτα ξυμμίξας πάντα ἔλαιον ἐπιχέας καὶ ἀφελὼν, χλιήνας εἴριον ἐγκυλίνδωτον ἐνελίξας, προστίθει τῇ μήτρῃ, μέχρις ἂν καθαρθῇ. ἕτερον κυητήριον. Ην γυναῖκα βούλῃ κυῆσαι, καὶ τοῖσι καθαρτηρίοισιν ἥτις χρῆται, καὶ δεῖ πρὸς τὸν ἄνδρα ἰέναι, καὶ δαφνίδας μέλανας δέκα. λιβανωτοῦ δὲ δραχμίδας τρεῖς. καὶ κύμινον ὀλίγον τρίψας ἐν μέλιτι, ἐς εἴριον πινῶδες ἐγκυλίων ἅπαξ τῆς ἡμέρης, τῇ αὐτῇ προστιθέσθω. καὶ ἀφαιρείσθω ἅπαξ ἕως ἡμερῶν τεσσάρων, καὶ ἑπτὰ ἀσιτείτω τὰς αὐτὰς ἡμέρας. ἀτόκιον. Ην μὴ δέῃ κυΐσκεσθαι, μίσυος

ὅσον κύαμον διεὶς ὕδατι, πίνειν διδόναι. καὶ ἐνιαυτὸν ὡς ἐπὶ τὸ ἔπειν οὐ κυήσεται. Ὠκυτόκια δυστοκούσῃ. Δάφνης ῥίζην ξύσας, ἢ τοὺς κόκκους ὅσον ἥμισυ ὀξυβάφου ἐφ' ὕδατι δὸς πιεῖν θερμήνας. Ὠκυτόκιον. Δικτάμνου ὅσον δύο ὀβολοὺς τρίψας ἐν ὕδατι θερμῷ, πινέτω. ἢ ἀβροτόνου δραχμὴν, καὶ κεδρίδας καὶ ἄννησον ἐν τρίψας ἐν γλυκέος οἴνου κυάθῳ, παραχέας ὕδατος παλαιοῦ κύαθον, δὸς πιεῖν. τοῦτο καλὸν δίδοται ἢν περὶ τὴν ὠδῖνα δυσθῇ, ἢ δικτάμνου ὀβολὸν. σμύρνης ὀβολὸν. ἀννήσου δύο ὀβολοὺς, νίτρου ὀβολόν. ταῦτα τρίψας διὰ γλυκέος οἴνου. ἐπιχέας κύαθον, καὶ ὕδατος θερμοῦ κυάθους δύο, δὸς πιεῖν. εἶτα λοῦσον θερμῷ. Ὠκυτόκιον. Ῥητίνην τερμινθίνην. μέλι. ἔλαιον διπλάσιον τούτων. οἶνον εὐώδεα ὡς ἥδιστον. ταῦτα συμμίξας, χλιήνας, διδόναι ἐκπιεῖν πλεονάκις. καταστῆσαι δὲ χρὴ, καὶ τὰς μήτρας ἢν φλεγμήνωσιν. Ἕτερον ὠκυτόκιον. Τοῦ σικύου τοῦ ἀγρίου ὅστις ἂν ᾖ λευκὸς τὸν καρπὸν ἐμπλάσας κηρῷ. εἶτα ἐρίῳ ἐνελίξας φοινικῷ, περίαψον περὶ τὴν ὀσφύν. ἢν δὲ ἡ κύουσα πουλὺν χρόνον ἐπέχηται, καὶ μὴ δύνηται τεκεῖν, ἀλλ' ὠδίνῃ πλείους ἡμέρας. νέη δὲ ᾖ καὶ ἀκμάζῃ, καὶ πουλύαιμος. τάμνειν χρὴ τὰς ἐν τοῖσι σφυροῖσι φλέβας, καὶ ἀφαιρέειν τοῦ αἵματος, πρὸς τὴν δύναμιν ὁρῶν. καὶ μετὰ ταῦτα λοῦσαι θερμῷ, διὰ φλοιὸν δάφνης. πιεῖν δὲ δοῦναι ἄγνου καρπὸν, καὶ δίκταμνον κρητικὸν ἴσον ἑκατέρου ἐν οἴνῳ λευκῷ ἢ ἐν ὕδατι. προσθετὸν δὲ ποιήσας πρόσθες χαλβάνην, καὶ δαφνίδας, καὶ ῥόδινον ἔλαιον, ἐν ἐρίῳ ἐνελίξας. Ὠκυτόκιον. Τῆς δρυοπτέριος τὴν ῥίζαν τρίψας ἐν οἴνῳ, δὸς πιεῖν. καὶ ἀδίαντον τρίψας, ἐν ἐλαίῳ διεὶς ἀλείφειν ἐν οἴνῳ ἀκρήτῳ. Λέχοι. τὰ λοχεῖα καθαίρει ἄμεινον. Χελώνης θαλασσίης ἧπαρ χλωρὸν ἔτι ζώσης, ἐν γάλακτι γυναικείῳ τρίβειν. καὶ ἴρινον μύρον. καὶ οἶνον ἀναδεῦσαι καὶ προσθεῖναι. ἢ λινόζωστιν τριπτὴν ἐν ἐρίῳ πρόσθες. ἢ ἀρτεμισίην τρίβων ὁμοίως ἐν ἐρίῳ προστιθέναι. καὶ λινόζωστιν, καὶ σικύης ὀλίγον τρίψας, ἐν οἴνῳ τε καὶ μέλιτι δεύσας προστιθέναι. Ἐκ τόκου καθαρτήριον λοχείων. Πυροὺς τριμηνιαίους βρέχειν ὅσον ἥμισυ χοίνικος ἑψῆσαι ἐν ὕδατι κοτύλῃσι τέσσαρσιν. ὅταν δὲ ζέσῃ δὶς ἢ τρὶς διηθῆσαι ῥοφῆσαι. Ἕτερον. Τῆς ἀκτῆς τὰ φύλλα ἑψήσας ἐν ὕδατι ἐπιχέαι, καὶ πίνειν. τρωγέτω δὲ καὶ κράμβας ἑφθάς. καὶ πράσα. καὶ μάραθρον. καὶ ἄννησον. καὶ πουλύποδας. καὶ καράβους. ἢ τοῦ ῥόου τὰ φύλλα. καὶ ἐρύσιμον ἐν οἴνῳ. ἄλφιτα ἀπαλήνας δοῦναι πίνειν ἥμισυ, ὅσον δύο ὀβολοὺς τρίψας ἐν οἴνῳ φρύξας προστιθέναι. Καθαρτήριον ἐπιμηνίων καὶ λοχείων. μάλιστα καὶ ὕδωρ ἄγει. καὶ τὰ ἄλλα. Στρουθίου ῥίζαν λείου κεκομμένου ὅσον τοῖσι τρισὶ δακτύλοισιν ἐν μέλιτι δεύσας, προσθεῖναι. φύεται δὲ, οἷον τὸ ἐν Ἄνδρῳ ἐν τοῖσιν αἰγιαλοῖσιν. Ἕτερον καθαρτήριον ὁμοίως. Ἐρύσιμον ἑψεῖν ἐν ὕδατι. καὶ ἐπιχέειν ἔλαιον ὅταν ἀναβλύῃ καὶ ψύχειν καὶ ὑποθυμιῆν. ἀγαθὸν δὲ καὶ τὸν χυλόν. καὶ σιτίοισι μαλθακοῖσι χρῆσθαι. Λοχεῖα καθαίρει. ἐρύσιμον τρίβε ἡσύχως, καὶ ἀναφυσῶν θέλε τὸ κέλυφος. ὅταν δὲ καθαρὸν ποιήσῃς, τρίβειν λείως. καὶ ὕδωρ παραστάζειν. καὶ ἅλας, καὶ ἔλαιον μίσγειν. ὅταν ἐπὶ πάσης ἄλητα, ἕψε καὶ ῥοφείτω. Ἢν μὴ κατίῃ κάθαρσις ἢ λοχείη μὴ γίνηται. λαβὼν σικύης ἐντεριώνης ὅσον τριώβολον, καὶ ἀρτεμισίην ποίην, καὶ λιβανωτοῦ ὅσον ὀβολὸν, τρίψας καὶ ἐν μέλιτι μίξας, ἐν ἐρίῳ ἐνελίξας, πρόσθες πρὸς τὸ στόμα τῆς μήτρας, νυκτὸς δὲ καὶ ἡμέρης, ἄχρις ἡμερῶν πέντε τοῦτο ποιέειν. ἢ τὸ ἀμπέλιον τρίβειν χλωρὸν, καὶ μέλιτι μίσγων ἐν ἐρίῳ ἐνελίξας, προστιθέναι τὸν αὐτὸν τρόπον. ἢ τῆς κυπαρίσσου τὸν καρπὸν, καὶ λιβανωτὸν τρίψας ἐν τῷ αὐτῷ ῥοδίνῳ διεὶς, καὶ μέλιτι ἐν ἐρίῳ ἐνελίξας, προστιθέσθω. ἢ ἀβρότονον ὅσον δραχμὴν, καὶ σικύης ἐντεριώνην ὅσον ὀβολὸν τρίψας, καὶ λίβανον ἐν μέλιτι, ἐν ἐρίῳ ἐνελίξας προστιθέναι. ἢ ἐλατηρίου ὀβολὸν, καὶ σμύρνης, τρίψας ἐν μέλιτι, ἐν ἐρίῳ ἐνελίξας προστιθέσθω. ἢ κυπαρίσσου καρπὸν καὶ σικύης ἐντεριώνην, καὶ λιβανωτὸν μέλιτι μίξας, ἐν ἐρίῳ προστιθέσθω. Καθαρτήριον, ἢν ἐκ τόκου μὴ καθαρθῇ. Τοῦ τριφύλλου ἐν οἴνῳ λευκῷ πίνειν. καὶ τὰ καταμήνια καταῤῥήγνυσι τὸ αὐτὸ καὶ προσθετὸν, καὶ ἔμβρυον ἐκβάλλει. Μητρέων καθαρτικὸν, ὅταν τοῦ παιδίου ἀποθανόντος αἷμα ἐμμένῃ. Κολοκύντην ἀγρίην τρίψας ἐν μέλιτι λειχέτω. ἢ προστιθέσθω. Λοχείης πάσης ἢν μὴ καλῶς ἴῃ. ἐρύσιμον ἑψεῖν, καὶ ἄλφιτον καὶ ἔλαιον ἐπιχέας, ὅταν ᾖ ἑφθὸν ῥοφεέτω. καὶ σιτίοισιν ὡς μαλθακωτάτοισι χρεέσθω. ἢ σκαμωνίην τρίψας ἐν γάλακτι γυναικείῳ ἐρίῳ ἀνασπογγίσας, προσθεῖναι. ἢ τῆς γλυκυρίζης μέλιτι δεύσας καὶ ῥοδίνῳ μύρῳ ἢ αἰγυπτίῳ, ἐν ἐρίῳ προστιθέσθω. ἢ ἄλητον πλυτὸν

ὁμοίως

ὁμοίως προστιθέσθω. πινέτω δὲ κρήθμου καρπὸν, καὶ σέσελι. πηγάνου καρπὸν ὀπὸν ἑκάστου ὀβολοὺς δύο τρίβειν ὁμοῦ, καὶ ἐν ἀκρήτῳ ἢν μὴ πυρεταίνῃ διδόναι. Προσθετὸν ἐκβάλλον χορίον ἀπολελειμμένον. Τῆς ἀκτῆς τὸ φύλλον, προσπλυνεῖν ἢ καὶ προστιθέναι τὸ ξὺν τῇ κανθαρίδι. τοῦτο καὶ ὅσα ἢ πελιδνὰ ἰᾶται. ἢν δὲ ἀμύσσηται καὶ δάκνῃ, αὐτίκα ἀφαιρέειν. καὶ τὸν ῥόδινον εἴριον ἀποβάπτουσα προσθέσθω. Προσθετὸν δυνάμενον χορίον ἐξαγαγεῖν. καὶ ἐπιμήνια κατασπάσαι. καὶ ἔμβρυον ἀπόπληκτον. Κανθαρίδας πέντε ἀφελὼν τὰ πτερὰ, καὶ τὰ σκέλεα, καὶ τὴν κεφαλήν. εἶτα τρίβολον παραθαλάσσιον κόψας σὺν τῇ ῥίζῃ, καὶ τοῖσι φύλλοισιν ὅσον κόγχην, καὶ τὸ ἀνάνθεμον, καὶ σελίνου σπέρμα τὸ ἴσον, καὶ σηπίης ᾠὰ, πεντεκαίδεκα ἐν οἴνῳ γλυκεῖ κεκρημένῳ προσθεῖναι. καὶ ἐπὴν ὀδύνην ἔχῃ, ἐν ὕδατι θερμῷ καθήσθω, καὶ μελίκρητον ὑδαρὲς πινέτω. καὶ οἶνον γλυκύν. καὶ τοῦ τετριμμένου ὅσον στατῆρα αἰγιναῖον ἐν οἴνῳ πίνειν γλυκεῖ. ἐπὴν δὲ ὀδύνην ἔχῃ, λευκοὺς ἐρεβίνθους, καὶ σταφίδας ἑψήσας ἐν ὕδατι ψύξαι, καὶ διδόναι πίνειν, ὅταν ἡ στραγγουρίην ἔχῃ, καὶ ἐν ὕδατι χλιαρῷ ἐγκαθήσθω.

Ἐκβόλιον ὑστέρων. Σικύου ἀγρίου τὸν ὀπὸν ὡς μάζιον ἐμπλάσασα, προστιθέναι προνηστεύσασα ἤδη δύο ἡμέρας, οὐκ ἂν εὕροις τούτου ἄμεινον. Πειρητήριον. Μώλυζαν σκορόδου ἀποζέσας προσθεῖναι ὥρην. Ἕτερον πειρητήριον. Νέτωπον ὀλίγον εἰρίῳ ἐνελίξας προσθεῖναι. καὶ ὁρῆν, εἰ διὰ τοῦ στόματος ὄζεται. Προσθετά. Σκορπίου θαλασσίου τὴν χολὴν ἐν εἰρίῳ τιθεὶς καὶ ξηράνας ἐν σκιῇ προστίθει. ἢ γλήχωνα ξηράνας καὶ ἐν μέλιτι δεύσας, ἐν εἰρίῳ προστιθέναι. ἢ ἄνθος χαλκοῦ ἐν μέλιτι εἰς ὀθόνιον ἐνδήσας προσθεῖναι. ἢ σικύου σπέρμα καὶ ὄστρακον καταπλύσας, ἐν οἴνῳ τε δεύσας, ἐν λαγωοῦ πυτίῃ μείξας, καὶ εἰρίῳ προστιθέναι. ἄλλο προσθετόν. Στυπτηρίην αἰγυπτίην ἐν εἰρίῳ κατελίξας προσθεῖναι. ἢ κανθαρίδας τρίψας, οἴνῳ τε δεύσας, προστίθει. ἢ τὴν ἀρτεμισίην ποίην, οἴνῳ δεύσας προστίθει. ἢ μελάνθιον τρίψας ἐν οἴνῳ ἐν εἰρίῳ προστίθει. ἢ βόλβιον τὸ ἐκ τῶν πυρῶν τρίψας, ἐν οἴνῳ τε δεύσας, προστίθει. ἢ οἴνου παλαιοῦ λευκοῦ τὴν τρύγα κατακαῦσαι καὶ κατασβέσαι οἴνῳ λευκῷ καὶ τρίψαι καὶ προσθεῖναι ἐν ὀθονίῳ. ἢ χαλβάνην καὶ νέτωπον, καὶ μίσυ, ἐν ῥοδίνῳ μύρῳ ἐν ὀθονίῳ. ἄλλο προσθετόν. Ἐλατηρίου δύο πόσιας, καὶ κηρίον ἐν οἴνῳ δι' ὀθονίου προστίθει. ἢ βούτυρον, καὶ στυπτηρίην μέλιτι δεύσας ὁμοίως. ἢ ὀπὸν σκαμμωνίης, καὶ στέαρ ἐν μάζῃ ξυμμίξας, οἴνῳ τε δεύσας, δι' ὀθονίου προσάγειν. Ποτὰ δυνάμενα χορίον τι κρατηθὲν ἐν τῇ μήτρῃ ἐξαγαγεῖν. Κολοκυνθίδος ἀγρίης τρίψας τὸ ἔνδον ἐν γάλακτι γυναικείῳ, ἐν ὀθονίῳ προστιθέσθω. Ἐπὶ τοῦ αὐτοῦ. Σίλφιον ὅσον κύαμον ἐν οἴνῳ διδόναι πίνειν. Ἕτερον ἐκβόλιον. Ὑπὸ τὰς μασχάλας λαβὼν, σείειν ἰσχυρῶς. ποτὰ δὲ διδόναι, ἄγνου πέταλα ἐν οἴνῳ, ἢ δίκταμνον κρητικὸν ὅσον ὀβολὸν ἐν ὕδατι τρίβειν καὶ διδόναι. ἢ κονύζης τῆς δυσόσμου ὅσον χεῖρα πλέην διεῖναι πράσου χυλῷ. καὶ νέτωπον ὅσον χήμην ἁδρήν. ταῦτα ἐν οἴνῳ δοῦναι πιεῖν, τρίψαντα λεῖα. ἢ δάδα πιοτάτην ξὺν γλυκεῖ οἴνῳ ἑψεῖν, ἐπιχέας ὅσον τρεῖς κυάθους. καὶ χαλβάνην ὅσον τριώβολον. καὶ σμύρναν ἑψήσας, ἐπειδὰν παχὺ γένηται, δὸς πιεῖν χλιηρόν. ἢ πράσου χυλὸν, καὶ σμύρναν, καὶ οἶνον γλυκὺν ὁμοῦ. ἢ ἀνδράχνης καρπὸν λέαινε. δίδου δὲ ἐν οἴνῳ λευκῷ παλαιῷ. ἢ αἰγείρου κρητικῆς κόκκους ἐννέα τρίψας ἐν οἴνῳ πινέτω. ἢ βατραχίου βοτάνης ἐκ τῶν φύλλων, καὶ τοῦ ἄνθεος τετριμμένου, ὅσον δραχμὴν αἰγιναίην, ἐν οἴνῳ πίνειν γλυκεῖ. ἢν δὲ ἔτι ἐνέχηται τὸ χορίον, λεβηρίδος ὅσον ὀβολὸν τρίβειν ἐν οἴνῳ, καὶ πίσαι. ἢ σελίνου ῥίζαν, καὶ μύρτα ἑψέτω, πίνειν δὲ ἡμέρας τέσσαρας. ἢ κύμινον αἰθιοπικόν. καὶ τὸ καστόρειον ὁκόσον ὀβολόν. καὶ κανθαρίδος μικρόν. ταῦτα ἐν οἴνῳ διδόναι πίνειν. ἢ μαράθου ῥίζαν ἐν οἴνῳ καὶ ἐλαίῳ καὶ μέλιτι ἀναζέσαντα πιπίσκειν. ἢν τὸ χορίον μὴ ὑποχωρέῃ κόνυζαν τρίψας ἐν εἰρίῳ πρόσθες. πίνειν δὲ ἄμεινον. ἢ κονύζης ὅσον χανδάνει χεὶρ, πράσου τε χυλὸν, καὶ νέτωπον ξυμμίξαι ὅσον χηραμύδα, ταῦτα ἐν οἴνῳ πινέτω. Χορίον ἐξάγει. καὶ ἐπιμήνια κατασπᾷ. καὶ τὸ ἔμβρυον ἡμίεργον ἕλκει. Κανθαρίδας πέντε, ἀφελὼν τὰ πτερὰ καὶ τὰ σκέλεα καὶ τὴν κεφαλὴν, εἶτα τρίβολον τὸ παραθαλάσσιον κόψας ξὺν τῇ ῥίζῃ καὶ τοῖσι φύλλοισιν ὅσον κόγχην καὶ τὸ ἀνάνθεμον τὸ χλωρὸν τρίψον ἴσον πλῆθος. καὶ σελίνου σπέρμα. καὶ σηπίης ᾠὰ πεντεκαίδεκα ἐν οἴνῳ γλυκεῖ κεκρημένῳ ταῦτα ὁμοῦ, καὶ ἐπὴν ὀδύνην ἔχῃ, πίνειν. καὶ ἐν ὕδατι θερμῷ ἐγκαθιζέσθω. πινέτω δὲ μελίκρητον ὑδαρές. καὶ γλυκὺν οἶνον λευκόν. Ὕστερον δύναται ἐκβάλλειν. Ὀλοκωνίτιδος τῆς γλυκείης ῥίζα. ἔστι δὲ ὡς ὁ βολβὸς, σμικρὸν δὲ ὡς ἐλαίη. ταύτην τρίβειν ἐν οἴνῳ

καὶ διδόναι πίνειν. ἢν μὲν ᾖ σμικρὰ, δύο. ἢν δὲ μείζω, μία ἀρκεῖ. παραμίσγειν δὲ τῶν σπερμάτων, κύμινον αἰθιοπικόν. καὶ σέσελι μασσαλιωτικόν. ἢ φύλλον τὸ λιβυκὸν, ξηρὸν ἡμιχοίνικον σὺν οἴνου κοτύλῃσι τρισὶν, ἑψεῖν καὶ ἄγειν ἐς τὸ ἥμισυ. καὶ ἀπὸ τούτου πινέτω. ἄλλο. Λύγου καρπὸν. σεσέλιος ἴσον. σμύρνης τρίβειν ὁμοῦ. καὶ σὺν ὕδατι διδόναι πίνειν. Ἐκβόλια. ἄγνου λευκῆς νέης ὅσον ὀξύβαφον. ἐν οἴνῳ λευκῷ εὐώδει δὸς πιεῖν, τρίψας λεῖον. ἕτερον. καστορίου, ἢ σαγαπηνοῦ ὀβολόν. ἀσφάλτου δραχμὴν μίαν. νίτρου δύο. πάντα τρίψας ἐν γλυκεῖ οἴνῳ, καὶ ἐλαίου ὅσον ἡμικοτύλιον, δὸς πιεῖν νήστει, ὀβολοὺς δύο. καὶ λοῦσον θερμῷ, καλῶς. ἄλλο ὁμοίως ἔχον. ἐχίνους θαλασσίους τρεῖς τρίψας ὅλους λείους ἐν οἴνῳ εὐώδει, δὸς πιεῖν. ἄλλο. Μίνθης δεσμίδα μικρὴν, καὶ πηγάνου, καὶ κοριάνου. καὶ κέδρου, ἢ κυπαρίσσου πρίσμα, ἐν οἴνῳ εὐώδει δὸς πιεῖν. καὶ τῶν ἐχίνων ἢν ἔχῃ ῥοφεέτω ὅτι τὸ πλεῖστον. ὡσαύτως ἔπειτα λοῦσον θερμῷ. ἄλλο ὁμοίως. ἄννησον. κεδρίδας. σελίνου καρπόν. αἰθιοπικὸν κύμινον. σέσελι ἑκάστου ἥμισυ ὀξυβάφου δὸς ἐκπιεῖν οἴνῳ λευκῷ τρίψας λεῖον. ἄλλο ὁμοίως. Δικτάμνου δεσμίδα, καὶ δαύκου καρποῦ δραχμὰς δύο. καὶ μελάνθιον ἴσον ἐν οἴνῳ λευκῷ, τρίψας λεῖον, δὸς πιεῖν. καὶ λοῦσον θερμῷ πολλῷ. διδόναι δὲ πρὸς τὴν ἰσχὺν τοῦ νοσήματος. ἄλλο. Χαλβάνην ὅσον ἐλαίην τρίψας ἐν κεδρίνῳ ἐλαίῳ, προσθέσθω. τοῦτο δύναται διαφθείρειν καὶ ἐκβάλλειν τὸ νοχελές. ἄλλο ἐκβόλιον ἔγχυτον ὑστέρων. Ὅταν σαπῇ νεκρωθὲν ὑπὸ ψύχεος, ὅταν ἄνεμος ψυχρὸς ᾖ, κρόκον τρίψας λεῖον ὅσον δραχμὴν, ἀλκὴν ἐν στέατι χηνὸς ἐγχέαι. καὶ ἐᾶν ὡς πλεῖστον χρόνον. Ποτὸν συμβάλλον πρὸς τόδε καλῶς. κόνυζαν τὴν εὐώδεα, τρίψας λείην ἐν οἴνῳ εὐώδει, ἢ ἐν συρμαίῃ, δοῦναι πιεῖν, καὶ λούειν θερμῷ. ἄλλο, ὁμοίως ποτὸν, τοῦ παιδίου καὶ τῶν ἐνόντων κακῶν, ἰὸν χαλκοῦ ξυντρίψας ξὺν μέλιτι, καὶ συρμαίῃ, δὸς πιεῖν. ἄλλο πρόσθετον ἐκβόλιον ἢν ἀποθνήσκῃ. Χαλκοῦ ῥινήματα ἐνθεὶς ἐς ὀθόνιον μαλθακὸν, πρόσθες πρὸς τὸ στόμα τῶν μητρέων, καὶ ὠφελήσεις. Ὀστράκου νέον. καὶ στέαρ χήνειον τρίψασα προσθέσθω. ἄλλο πρόσθετον. Νίτρον ἑψήσας ξὺν ῥητίνῃ καὶ ποιήσας βάλανον βάπτων ἐς ὄρνιθος στέαρ προστιθεῖ. ἄλλο πρόσθετον. Χάμειον τὸ ἐπονομαζόμενον, τούτου ῥίζαν πρὸς τὸν ὀμφαλὸν πρόσθες μὴ πουλὺν χρόνον. ἄλλο. ἀγρίην κολοκύνθην, καὶ μυῶν ἀπόπατον τρίψας, λεῖα προστιθεῖ. ἄλλο ὑπόθετον. Ῥητίνην καὶ στέαρ ὄρνιθος, τρίψας ἅμα καὶ μίξας, ἐπιδησάσθω ὑπὲρ τὸν ὀμφαλὸν καὶ τὴν γαστέρα. ἄλλο προσθετόν. Τοῦ κισσοῦ τοῦ λευκοῦ τὸν καρπὸν καὶ κέδρου πρίσμα τρίψασα, καὶ βαλάνια ποιήσασα, προστιθέσθω. ἄλλο. Χελώνης θαλασσίης τὸν ἐγκέφαλον, καὶ αἰγύπτιον κρόκον, καὶ ἅλας αἰγύπτιον τρίψας καὶ ξυμμίξας ποιεῖν βαλάνους καὶ προστιθέσθω. ἐκβόλιον θυμίαμα, δυνάμενον καὶ αἷμα γαστρὸς ἐξελάσαι. Ἰτέης φύλλα ἐπὶ πῦρ ἐπιθεὶς θυμιῆν καὶ περικαθίσας τὴν γυναῖκα ἐᾶν ἄχρις ἂν ὁ καπνὸς ἐς τὴν μήτρην εἰσίῃ. περὶ ἰάσιος ἐκτρωσμοῦ. Ὅταν ἡ γυνὴ ἐκτρώσῃ, καὶ τὸ παιδίον μὴ ἐξίῃ, ἤν τε σαπῇ καὶ οἰδέσῃ, ἢ ἄλλο τι πάθῃ τοιοῦτον, πράσα καὶ σέλινα ἐκθλίψας τὸν χυλὸν διὰ ῥάκεος ἀμφοτέρων ἀποσυνάξας, καὶ κοτύλην ῥοδίνου ἐλαίου καὶ στέαρ χηνὸς ὅσον τεταρτημόριον, ῥητίνης τε ὀβολοὺς τρεῖς κατατήξας ἐν ἐλαίῳ, καὶ ποιήσας πρὸς ποδῶν ὑψηλοτέρην, ἔγχεον ἐς τὰς μήτρας. καὶ ἐχέτω κειμένη χρόνον ὅτι πλεῖστον. ἔπειτα κάθισον ἡμέρας τέσσαρας. καὶ ἐξέρχεται τὸ ἀπὸ σαπέντος παιδίον. ἢν δὲ μὴ, λαβὼν ἅλας αἰγυπτίους, καὶ κολοκύνθην ἀγρίην χλωρὴν, μέλιτι μίξας καὶ τρίψας, δοῦναι φαγεῖν. καὶ ἐπὴν φάγῃ, κινέεσθω τῇδε καὶ τῇδε. ἅλας αἰγυπτίους. καὶ μυόχοδα. καὶ ἀγρίην κολοκύνθην. καὶ μέλιτος ὅσον τεταρτημόριον ἐπὶ χεῖρ ἡμίεφθον. λαβὼν ῥητίνης δραχμὴν μίην, ἔμβαλε ἐς τὸ μέλι. καὶ τὴν κολοκύνθην καὶ τὰ μυόχοδα, συντρίψασα πάντα καλῶς, καὶ ποιήσασα βαλάνους πρὸς τὴν μήτρην προσθέσθω, ἕως ἂν δοκέῃ καιρὸς εἶναι. ἕτερον ἐκβόλιον, ὃ τὸ παιδίον βλητὸν γενόμενον, ἐκβάλλει. ἐλξίνην ἐν οἴνῳ τρίψας πότισον. ἕτερον ποτὸν ἐκβολάς, ὃ τὸ παιδίον ἐκβάλλει τελειδνόν. Τοῦ ἐκτόμου τὰς ῥίζας τρίψας λεπτὰς, καὶ τοῖσι τρισὶ δακτύλοισι, καὶ σμύρνης ὅσον κύαμον ἄρας ἐν οἴνῳ γλυκεῖ πιπίσκε. ἐκβόλιον. Κορίανον σὺν τῇ ῥίζῃ, καὶ νέτωπον προσθεμένη, περιπατεέτω. ἔγχυτον ἐμβρύου ἢν ἀποθάνῃ παιδίον ὥστε ἐκβάλλειν. κρόκον τρίψας, ἐπίχεε χηνὸς ἔλαιον. καὶ δινήσας, ἔγχεε ἐς τὰς μήτρας. καὶ καταλιμπανέτω ὡς πλεῖστον χρόνον. ἔμβρυον ἀκίνητον φθεῖραι καὶ ἐκβαλεῖν.

ξυμφορίης

Στυπτηρίης σχιστῆς δραχμὴν μίαν. σμύρνης ἴσον. ἐλλεβόρου μέλανος τριώβολον τρίψας λεῖα ἐν οἴνῳ μέλανι, βαλάνια ποιέειν. καὶ προστιθέναι ἄγχι, ἄχρις ἂν κατ' ὀλίγον ἀναλυθῇ.

Κλυσμοὶ καθαρτικοὶ μητρέων, ἢν ἐκ τόκου ἑλκωθῶσι, ἢ φλεγμασίης. Ὀλύνθους χειμερινοὺς ὕδωρ ἐπιχέας καὶ ζέσας, ἀφεῖναι καὶ καταστῆναι. εἶτα ἔλαιον ἐπιχέαι χλιηρὸν καὶ μῖξαι. κλύσαι δὲ δύο κοτύλῃσι τὸ πλεῖστον. πάντα δὲ τὰ κλύσματα μὴ πλέω τούτων κλύζειν. καὶ σιδίοισι καὶ μάννῃ ἐν οἴνῳ μέλανι αὐστηρῷ ἑψημένῳ. εἶτα ἀποχέας τὸν οἶνον, τούτῳ κλύζε.

Ἄλλος κλυσμός. Τρύγα οἴνου κατακαύσας, τῆξον, καὶ ἐν ὕδατι κλύζον. εἶτα σίδια. μύρτα. σχοῖνον θυώδεα. φακοὺς ἑψήσας ἐν οἴνῳ, ἀποχέας τὸν οἶνον, κλύζε. Ἄλλος κλυσμός. Βούτυρον. λιβανωτοῦ. ῥητίνην. μέλι συντήξας ἐν τῷ αὐτῷ, οἶνον τε ἐπιχέας, κλύζε χλιηρῷ. ἢ ἀκτῆς καρπὸν ἑψήσας ἐν ὕδατι ἀποχέας τὸ ὕδωρ, τρίψας ἐν τῷ αὐτῷ, σέλινον, σμύρναν. ἄννησον. λιβανωτόν. ἐπιχέας τε καὶ οἶνον ὡς θυώδεα, ἴσον σὺν ὕδατι διηθήσας τε δι' ὀθονίου χλιήνας, κλύσαι.

Ἄλλο. Κρομμύων. καὶ λινόζωστιν. καὶ λίνου σπέρμα. καὶ χλωρὸν τὸ λίνον ἑψήσας, ἐν ὕδατι ἀπηθήσας, κλύσαι σὺν ὕδατι. μυρσίνης τῶν φύλλων ὀξύβαφον. σμύρνης. ἀννήσου. μέλι. ῥητίνην. μύρον αἰγύπτιον, τρίψας πάντα καὶ ἑνώσας ἐπιχέας τε καὶ οἴνου λευκοῦ ὡς θυωδεστάτου κοτύλας δύο. διηθήσας. χλιήνας, κλύσον αὐτῷ. ἢ δάφνης καρπόν. καὶ γλήχωνα ἑψήσας ἐν ὕδατι, μύρον τε ῥόδινον ἐπιχέας, τούτῳ κλύζε χλιήνας. ἢ χηνὸς στέαρ τῇ ῥητίνῃ μίξας ἐπιχέας τε πρὸς τὸν οἶνον, καὶ χλιήνας κλύσαι. Ἄλλο. Βούτυρον καὶ κέδρινον ἔλαιον, ἐν μέλιτι ὀλίγῳ χλιήνας κλύζον αὐτῷ. ἢ δάφνης καρπόν. ἢ βαλεῖν μέλι. βούτυρον. σχοῖνον. κάλαμον θυώδεα. βρύον θαλάσσιον, καὶ ἑψῆσαι ἐν οἴνῳ. εἶτα ἀπηθῆσαι καὶ οὕτω κλύσαι. ἢ σελίνου καρπόν. σέσελι. σμύρναν. ἄννησον. μελάνθιον, ἐν οἴνῳ ἀπηθήσας τὸν οἶνον κλύσαι. ἢ κέδρον ἑψήσας ἐν οἴνῳ, κλύσαι σὺν οἴνῳ. ἢ κισσὸν ἑψήσας ἐν ὕδατι κλύσαι σὺν ὕδατι. ἢ ἐλατήριον, ἢ κέστρον δύο πόσιας, ἑψεῖν ἐν ὕδατι, καὶ ὅσον δύο κοτυλέων κλύσαι χλιηρῶς. ἢ σικύης ἐντεριώνης ὅσον δάκτυλον ἑψήσας, ἐν κοτύλῃσι δύο ὕδατος, ἔπειτα τὸ ὕδωρ ἐπιχέας μέλι καὶ ἔλαιον τούτῳ κλύσαι. ἢ θαψίης ῥίζης ὅσον δύο πόσιας τρίψας λεῖον, ἐπιχέας τε μέλι καὶ ἔλαιον, δὶς ὕδατι χλιηρῷ ὅσον δυσὶ κοτύλῃσι κλύσαι. ἢ ἐλλεβόρου μέλανος, ὅσον δύο πόσιας δὶς οἴνῳ γλυκεῖ καὶ ὕδατι κλύζειν. ἢ κόκκους κνιδίους ὅσον ἑξήκοντα τρίψας λείους, ἐπιχέας τε μέλι, καὶ ἔλαιον, καὶ ὕδωρ κλύσαι. Κλυσμὸς κρατιστεύων, ἢν ἕλκη ᾖ καθαρά. Ὀλύνθους χειμερινοὺς τρίβειν. καὶ ἐπιχέειν ὕδωρ. βρέξον δὲ ὅλην ἡμέραν, καὶ ἔλαιον ἐπίχεε καὶ κλύσαι. ἢ σιδίοισι καὶ λωτοῦ πρίσμασιν ἐν οἴνῳ μέλανι ἑψεῖν. ὅταν δὲ ἀκάθαρτα ᾖ, καὶ φλέγηται, τρύγα καίειν οἴνῳ καὶ ὕδατι κλύζειν. ἢ σιδίῳ ῥόῳ βυρσοδεψικῷ μυρσίνης φύλλοισι καὶ βάτου, ἐν οἴνῳ μέλανι ἑψεῖν καὶ κλύζειν. Κλύσματα πρὸς τὰ παλαιὰ ἕλκη. Χυλῷ κράμβης ἑψημένης, κλύζειν. καὶ λινόζωστιν ὁμοίως. καὶ νίτρον παράμισγε ἐρυθρὸν ὀλίγον. σμύρνης ὀξύβαφον. λιβανωτόν. σέσελι. ἄννησον. σελίνου σπέρμα. νέτωπον. ῥητίνην. μέλι. χήνειον στέαρ. ὄξος τὸ λευκόν. μύρον τὸ λευκὸν αἰγύπτιον. ταῦτα πάντα ὁμοῦ τρίβειν λεῖα. εἶτα οἴνῳ δὶς λευκοῦ κοτύλῃσι δυσὶ χλιηρῶς κλύζειν. ἢ λινόζωστιν ἑψεῖν ἐν ὕδατι καὶ ἀπηθεῖν, ἢ σμύρνης ὀξύβαφον. λιβανωτόν. σέσελι. νέτωπον. ἴσον ἑκάστου χλιηρῶς κλύζειν. ἢ ἐλελίσφακον. καὶ ὑπερικόν, ἐν ὕδατι ἑψήσας, κλύζειν σὺν ὕδατι. ἢ ἀκτῆς καρπὸν καὶ δαφνίδας ἑκατέρων ἐξ ἴσου ἕψε ἐν οἴνῳ. εἶτα σὺν οἴνῳ κλύζε. ἢ γλήχωνος σὺν ὕδατι κλύσον, ἢ χηνὸς ἔλαιον ἐν ῥητίνῃ τήξας ὁμοίως κέδρινον ἔλαιον παραχέας ὀλίγον, καὶ μέλιτι διατήξας, κλύζειν χλιηρῶς. ἢ ἀργύρου ἄνθος, ἐν οἴνῳ καὶ μέλιτι καὶ κηρῷ τήκτον. ἐπὶ κύπειρον, καὶ σχοῖνον, καὶ κάλαμον, ἅτινα δὴ καὶ ἐς μύρον μίσγεται. ἐπὶ ἴριν. βρύον. ἐν οἴνῳ ἑψῶν, κλύζειν, ἢ σελίνου καρπόν. ἄννησον σέσελι. σμύρναν μελάνθιον ἐν οἴνῳ ἑψῆσαι. ἢ κέδρον κερατίτην ἐν οἴνῳ ἑψεῖν. καὶ κλύζειν ἐν ὕδατι. καὶ κισσὸν κρητικὸν ἐν ὕδατι. ταῦτα δρᾶν εἰ ἑλκῶσιν καὶ σμύρναν δὶς ἐν ὕδατι κλύσαι. ἢ ἐλατηρίου ὅσον δύο πόσιας ἐν ὕδατι κλῦσαι. ἢ κολοκυντίδας ἀγρίας δύο ἐν οἴνῳ ἢ ἐν γάλακτι ἑφθῷ, ἀποβρέξας ὅσον τέσσαρας κοτύλας, καὶ ἀπηθέειν, καὶ κλύζειν. ἢ σικύης ἐντεριώνην ὅσον παλαιστὴν ἑψήσας ἐν ὕδατι κοτύλῃσι τέσσαρσι, μέλι τε καὶ ἔλαιον ἐπιχέαντα, ἐνεργεῖν. ἢ τῆς θαψίης ῥίζης ὅσον δύο πόσιας ἐν οἴνῳ γλυκεῖ δὶς σὺν ὕδατος κοτύλῃσι δύο, κλύσαι χλιηρῶς. ἢ ἐλλέβορον ὅσον δύο πόσιας ἐν οἴνῳ γλυκεῖ δὶς ὡσεὶ δύο κοτύλῃσιν. ἢ βλάστιος ὅσον ὀξύβαφον μέλιτι παραμίξας ὕδατι δὶς

ὅσον δύο κοτύλῃσι, χρῆ χλιηρῷ. ἢ σικύης ὅσον παλαιστὴν. καὶ κνεώρου ὅσον μίαν πόσιν ἑψήσας ὕδατος κοτύλῃσι πέντε, μέλι παραχέας καὶ ἔλαιον κλύσαι. ἢ κόκκους κνιδίους ὅσον ἑξήκοντα εἰς μέλι, ἢ εἰς ἔλαιον σὺν ὕδατι διεὶς, κλύσαι.

Ἢν ἐκ τόκου διάῤῥοια ληφθῇ.

Πινέτω ἀσταφίδα μέλαιναν. καὶ σίδια γλυκείης ῥοιῆς, τὸ ἔνδοθεν. καὶ πιτύην βρέφου, ταῦτα διεὶς οἴνῳ μέλανι. καὶ τυρὸν αἴγειον καὶ ἄλφιτα πύρινα ἐπιπλάσσειν, καὶ διδόναι πίνειν. τοὺς πυροὺς δὲ ἐπ' ὀλίγον φῶξαι. ἢν δὲ ἐκ τόκου αἷμα ἐμέῃ, ταύτῃ ἡ σῦριγξ τοῦ ἥπατος τέτρωται. αὕτη πινέτω γάλα ὄνου. ἔπειτα βοὸς, συνεχὲς τεσσαράκοντα ἡμέρας. καὶ σήσαμον τριπτὸν, ἄχρις ἂν εὖ ἔχῃ, πινέτω τὸ γάλα νῆστις. ἢν ἐκ τόκου τὴν ἕδρην ἀλγέῃ, ἀρκεύθου καρπὸν, λίνου ῥίζαν, ἑψεῖν καὶ πίνειν ἡμέρας τέσσαρας. καὶ θρίδακος σπέρμα τρίψας σὺν χηνείῳ ἀλείφατι ἐσθίειν. ἢν δὲ ἐκ τόκου αἱ μῆτραι φλεγμήνωσιν, στρύχνου χυλὸν ἐγχέειν, ἢ τεύτλου, ἢ ῥάμνου. ἢν ἐκ τόκου τὸ σκέλος ὑπὸ ὑστερέων χωλωθῇ, ἀνίστασθαι δὲ μὴ δύνηται, πίνειν ὑοσκυάμου καρπὸν, ὅσον χηραμύδα ἐν οἴνῳ μέλανι ἡμέρας τρεῖς. παραφρονέεται δὲ ὁ πίνων. λύσις γάλακτος ὀνείου πίσαι ὅσον κύλικα. ἔπειτα τοῦ φαρμάκου, ὑφ' οὗ τὸ φλέγμα καθαίρεται. σανδαράκῃ δὲ καὶ κηρωτῇ, καὶ λαγωοῦ θριξὶ, θυμιάσθω τρεῖς ἡμέρας.

Περὶ φλεγμονῆς ἐκ τόκου.

Ἢν ἐκ τόκου φλεγμήνωσιν αἱ ὑστέραι, στρύχνου χυλὸν ἐγχέαι, ἀνδιβίων ἔσω, ἢ σελίνου, ἢ ῥάμνου, ἢ τεύτλου, ἢ κολοκύντης χυλὸν ἐκπιέσας αὐτόν. ἢ ἀκτῆς τὸ μέσον καὶ ἁπαλώτατον περιξέσας μακρὸν, ἔνθεν. ἢ ἀψινθίου ἐν ὕδατι τρίβειν. εἰρίῳ δὲ ἀνασπογγίσας. ἢν δὲ φρίξῃ ἀφαιρέειν. ἢ κοτυληδόνος φύλλα καὶ πράσα ἑψεῖν ἐν πυρῶν κριμνοῖσιν, ἔλαιον ἐπ' αὐτοῖς χέας διδόναι.

Χολῆς καθαρτικὰ ἐκ μήτρης.

Σικύης τὴν ἐντεριώνην λείην τρίψας, καὶ μέλιτι φυρήσας βάλανον ποιέων, προστιθέναι. φάρμακον δὲ χρὴ διδόναι καὶ ἄνω καὶ κάτω καθαίρειν. καὶ λούειν τῷ θερμῷ. προστιθέναι δὲ ἄννησον, ἢ μελάνθιον, ἢ κολοκυνθίδος ἀγρίας τὸ ἔνδον λεῖον ποιέειν. καὶ μέλιτι φυρῶν. καὶ προστιθέναι ἐλατηρίου, ὅσον πόσιας τέσσαρας. ξυμμίξας στέαρ χήνειον, ἢ αἴγειον, βάλανον ξυμπεπιεσμένην προστιθέναι, ἢ νίτρον, καὶ κύμινον, καὶ σκόροδον, καὶ σῦκον, λεῖα πάντα ποιήσας καὶ μέλιτι δεύσας, προστίθεσθαι. θερμῷ δὲ λούεσθω. καὶ ἀπὸ λουτροῦ πινέτω. ἢ θλάσπιν λείην ποιέων, καὶ μέλιτι φυρῶν προστιθέναι. ἢ σύκου παλαιοῦ τὸ πῖον ξύσας ξυμμίσγειν πόσιας ἐλατηρίου δύο, καὶ νίτρον ὅσον τὸ ἐλατήριον μέλιτι δεύσας, προστιθέναι. ἢ πευκεδάνου ὁκόσον τρεῖς κυάθους, δίδου πιεῖν. καὶ ἄννησον. καὶ μελάνθιον διεὶς ἐν οἴνῳ δίδου πιεῖν ἐλατηρίου πόσιας τέσσαρας, μίξας στέατι μηλείῳ. ἀφελομένη δὲ διανιζέσθω ὕδατι εὐώδει, ἠρέμα στύφοντι. ἢ ἐλατηρίου πόσιας τρεῖς, ξὺν μηλείῳ στέατι, βάλανον περίπλεθρον ποιέειν. ἢν δὲ ἀφέληται, διανιζέσθω ὕδατι εὖ ἱκανῷ. ἢ θλάσπιος ὅσον πόσιν ξὺν μέλιτι δίδου.

Κλυσμὸς ἢν χολώδης ᾖ.

Ἐλατηρίου ὅσον δύο πόσιας ὕδατι διεὶς ἐπιχέαι ἔλαιον ναρκίσσινον. καὶ κλύζειν χλιηρῷ. ἢ κολοκυνθίδας ἀγρίας δύο ἀποβρέξας ἐν οἰνογάλακτι ἑφθῷ ὅσον τέσσαρας κοτύλας, τὴν μὲν μίαν ἀπηθέειν, καὶ ξυμμίσγειν ἔλαιον ναρκίσσινον, καὶ κλύζειν.

Ἄλλος κλυσμὸς, χολώδης καὶ φλεγματώδης.

Σικύης ἐντεριώνης ὅσον παλαιστὴν ἑψήσας ἐν ὕδατι ποτῷ τέσσαρσι κοτύλῃσι, καὶ μέλι μίξας καὶ ἔλαιον ἄνθινον, κλύζειν.

Φλέγμα καὶ χολὴν καθαῖρον.

Κόκκους κνιδίους ἑξήκοντα, μέλι τε καὶ ἔλαιον ἄνθινον μίξας, κλύζειν ἐν ὕδατι. ἢ κνῆστρον ἑψήσας ἐν ὕδατι ποτῷ ἐν πέντε κοτύλῃσιν ἀποχέας δύο κοτύλας, συμμίξαι μέλι καὶ ἔλαιον ἄνθινον σὺν ναρκισσίνῳ καὶ κλύσαι.

Κλυσμοὶ καθαρτήριοι.

Ὄλυνθοι χειμερινοὶ καυθέντες, καὶ βραχέντες ἐν ὕδατι. ἀποχύσαντα τὸ ὕδωρ, ἔλαιον ξυμμίσγειν καὶ κλύζειν. καὶ μετακλύζειν σιδίοισι. κικίδι. λωτοῦ πρίσμασι. ἐν οἴνῳ δὲ μέλανι χρὴ ἑψεῖν. ἢ τρύγα καίων, χρῆσθαι σὺν ὕδατι. μετακλύζειν δὲ τούτοισι, τοῖσι τῆς μυρσίνης φύλλοισι, καὶ ῥόῳ τῇ βυρσοδεψικῇ. ἑψεῖν δὲ οἴνῳ μέλανι εὐώδει. μετακλύζειν δὲ σχοίνου φύλλα, καὶ ὑπερικὸν καὶ ἐλελίσφακον ἑψήσαντα, σὺν οἴνῳ μέλανι εὐώδει, ἢ κράμβης ὕδατι, καὶ τῷδε ἑψεῖν, λινόζωστιν νίτρου ἐρυθροῦ ὀλίγον. καὶ κλύζειν ἐλατηρίου ὅσον πόσις, σὺν ναρκισσίνῳ ἐλαίῳ, ἢ ἀνθίνῳ, καὶ κλύσαι χλιηρῷ. ἢν δὲ χολώδης ᾖ, κολοκυντίδας δύο ἀποβρέξαι ἐν γάλακτι ὀνείῳ ἑφθῷ ὅσον τέσσαρσι κοτύλῃσι. καὶ ἀποβρέξαντα κλύσαι. ξυμμίξαι τε ἔλαιον ναρκίσσινον, ἢ ἄνθινον, ἢ τὸ διὰ τῆς σικύης ἐντεριώνης ὅσον παλαιστὴν, ἑψεῖν ἐν ὕδατι ποτῷ τέσσαρσι κοτύλῃσι, καὶ μέλι παραχέαι. καὶ ἔλαιον ἄνθινον. οὗτος ὁ κλυσμὸς φλεγματώδει καὶ χολώδει ξυμφορώτατος.

Κλύσμα ἕλκον φλέγμα.

Κόκκον

τρίβειν

τρίβειν τῆς μανδραγόρου ξὺν ὕδατι. κάθαρσις γὰρ παμπόλλη τε καὶ παντοίη, ὑπὸ τούτου γίνεται. σκορόδου μάλυζαν. νίτρον. σύκου τὸ ἔνδον τὸ πῖον. ἴσον τρίψας λεῖα ὁκόσον κηκίδα ποιέειν τὸ μέγεθος, καὶ προστιθέναι. ἢ κυμίνου φύλλα ἐν οἴνῳ τρίψας, εἰρίῳ πρόσθεν, ἢ γῆς λευκῆς ὅσον πόσιν. ἢ λευκὴν ῥίζαν τρίβειν λείην, καὶ μέλι ἐπιχέας, καὶ ἀναζέσας, βάλανόν τε ποιήσας προστιθέναι. ἢ ὀπὸν σιλφίου μετὰ σύκων μαλάσσειν. καὶ βάλανον ποιέειν. ἀγαθὸν δὲ καὶ σικύης σπέρμα, τρίβειν ὁμοίως. ἢ χολὴ ταύρου, καὶ νίτρον ἐρυθρόν. καὶ νέτωπον, κυκλάμινον τούτων ὅσον κηκίδα. τῆς δὲ κυκλαμίνου πλείονα μοῖραν μέλιτι ξυμμίξασα ἡ θεραπευομένη, προστιθέσθω. Προσθετόν. Κυκλαμίνου τὴν κεφαλὴν καθαίρειν ὕδατι τρίψαι. καὶ εἰς ἄχνην ἀναφορύξαντα προστιθέναι. ἢ σμύρναν. ἅλας. κύμινον. χολὴν ταύρου ξὺν μέλιτι ὁμοίως. ἢ κόκκους ἐκλέψαν ὅσον τρεῖς ἰνδικοῦ φαρμάκου, τοῦ τῶν ὀφθαλμῶν, ὃ καλέεται πέπερι. καὶ τοῦ στρογγύλου τρία ταῦτα δὲ λεῖα τρίβειν, καὶ οἴνῳ παλαιῷ χλιαρῷ δεὶς, βαλάνιον περὶ πτερὸν ὄρνιθος τιθέναι. καὶ ὧδε προσάγειν, ἢ τιθυμάλλου ὀπὸν μέλιτι ἀναδεύσας, ἢ σκίλλης ῥίζαν ὅσον ἑξαδάκτυλον, ἑλίξας ἐς δύο δακτύλους ἐν εἰρίῳ πρόσθεν. ἢ αὐτὴν τὴν σκίλλαν ἄνευ ῥίζης τρίβειν, καὶ ὡσαύτως ἑλίσσειν εἰρίῳ. εἶτα προστιθέναι. Κλυσμὸς ἢν φλεγματώδης μήτρη ᾖ. Ἐλλεβόρου δύο πόσιας, ἐν οἴνῳ δεῦσαι γλυκεῖ, ὅσον δύο κοτύλας. καὶ κλύζειν μίσγοντα. Ἢν καθάρσιος δέηται, πράσα δεῖ ἑψεῖν, ἢ ἀκτῆς καρπὸν, ἢ ἄννησον. λιβανωτόν. σμύρναν. οἶνον. ταῦτα πάντα τρίβειν καὶ τῷ χυλῷ τουτέων κλύζειν. ἢ κράμβην ἑψήσας ἐν ὕδατι, ἐν τῷ χυλῷ ταύτης, ἑψεῖν τὴν λινόζωστιν. καὶ σμικρὸν ἐπιχέας, ἀποκλύζειν. ἢ κνεώρου πόσιν, ἐν μέλιτι δεὶς, ἐνιέναι. σκέπτεσθαι δὲ χρὴ τὰ ἐπιμήνια, ἤν τε χολώδεα, ἤν τε φλεγματώδεα ᾖ. ἢ ψάμμον ἐς τὸν ἥλιον ὑποβάλλειν λεπτὴν ξηρήν. καὶ ὅταν τὰ καταμήνια ἴῃ, τοῦ αἵματος ἐπιχέαι, καὶ ἐᾶν ξηρανθῆναι. καὶ ἢν μὲν χολώδεα ᾖ, ἐπὶ τῇ ψάμμῳ ξηραινόμενον τὸ αἷμα χλωρὸν γίνεται. ἢν δὲ φλεγματώδεα, οἷον μύξαι ὁρῶνται. ἢν οὖν φλεγματώδεα ᾖ, κνεώρου ὅσον πόσιν δεῦσαι, καὶ σὺν μελικρήτου κοτύλῃ κλύσαι. Καθαρτικὸν μαλθακόν. ὕδωρ ἄγει καὶ δέρματα, καὶ ἰχῶρα ὕφαιμον. καὶ καταμήνια κατασπᾷ ἢν καὶ μὴ πολυχρόνια ᾖ. καὶ ὑστερέων στόμα μαλθάσσει. Μύρου ναρκισσίνου καὶ κύμινον ὃ ἐσθίεται. σμύρναν τε καὶ λιβανωτόν. ἀψίνθιον κύπριον. ῥόδινον ἄλειφα. ἄλφιτα. τούτων τὸ ἴσον τῶν ἄλλων ἑκάστου, τοῦ δὲ ναρκισσίνου τέσσαρας μερίδας, ἔπειτα κτένιον ὠμοῦ λίνου ξυμμίξας, πάντα τρίψον. καὶ ποίησον βάλανον περὶ πτερὸν, ῥάκος λεπτὸν περιθεὶς, καταδῆσαι. καὶ ἐμβάψαι ἐς ἄλειφα λευκὸν αἰγύπτιον, καὶ προστιθέναι, καὶ ἐᾶν ὅλην τὴν ἡμέρην. λουσαμένη δὲ καὶ ἀφαιρουμένη, διανιζέσθω ἐν ὕδατι ἐν εὐώδει. Ἕτερον καθαρτικόν. ὕδωρ ἄγει. καὶ δέρματα. καὶ μύξας. καὶ ἰχῶρα ὕφαιμον. Σμύρναν. ἅλας. κύμινον. χολὴν ταύρου. ταῦτα συμμίξας, καὶ μέλιτι φυράσας, καὶ ἐς ῥάκος ἐνθεὶς, προσθεῖναι. ἡμέρην δὲ ὅλην ἐντίθεσθαι. εἶτα λουσαμένη καὶ ἀφελομένη, διανιζέσθω ὕδατι ἐν εὐώδει. Ἄλλο. Ἅλες. κύμινον. χολὴν ταύρου, μέλιτι ἀναφυρέειν, καὶ προστίθεσθαι. καὶ σίλφιον ἐν σύκῳ μίξαι καὶ προστίθεσθαι εἶτα διανίψαι μύρῳ ῥοδίνῳ. ἢ κόκκους ἐκλέψαντα, ποσί τε τρίψαντα, καὶ βάλανον ποιέειν. ἢ σκόροδον. καὶ νίτρον ἐρυθρὸν καὶ σῦκον. τούτων ἑκάστου ἴσον. μίξας μέλιτι, δοῦναι προστίθεσθαι. κἀπειδὰν ἀφέληται, ἐλάφου στέαρ προστίθεσθαι, τήξας ἐν οἴνῳ. ἢ πεπέρεως κόκκους πέντε, σὺν ἐλατηρίῳ ὀλίγῳ. παραστάζειν δὲ γυναικὸς γάλα, ἐν εἰρίῳ, ἐς μύρον ἀποβάψας. προστιθέναι δὲ καὶ ἀφελεῖν ὡσαύτως. ἢ σύκου τὸ πιότατον ξὺν ἐλατηρίου πόσει, καὶ νίτρου ἐρυθροῦ τὸ ἴσον. καὶ μέλιτος ἴσον ὡσαύτως. ἢ χολὴν ταύρου, καὶ νίτρον ἐρυθρόν. νέτωπον. κυκλάμινον ἴσον ὡσαύτως. κηκίδα ἐν μέλιτι. ἢ χολὴν ταύρου, ἐς αἰγύπτιον ἔλαιον, βάψασα προστιθέσθω. καὶ ἀφελομένη ῥοδίνῳ. ἢ σικύης τῆς μακρῆς τὴν ἐντεριώνην, τὸ σπέρμα ἐξελὼν σὺν γάλακτι γυναικὸς κουροτρόφου, καὶ σμύρναν ἄκρητον, καὶ μέλι ὀλίγον, καὶ μύρον αἰγύπτιον, τρίβειν καὶ προστιθέναι. ἢ τὴν ἐντεριώνην σικύης αὐῆναι. κόψαι δὲ ἄνευ τοῦ σπέρματος, καὶ μέλι ἐμβαλεῖν, καὶ ἀναζέσαι. καὶ βάλανον ποιέειν εὐμήκεα, καὶ βάπτειν ἐς ἔλαιον λευκόν. ἢ τὴν ἀγρίην κολοκύντην ὡσαύτως. καὶ ἐλατηρίου τρεῖς πόσιας ἐν στέατι τρίβειν, καὶ βάλανον ποιέειν. Ἄλλο ὁμοίως.

Κόκκους ἐκλέψας τρεῖς, ὅσον πόσιν ἑψήσας, καὶ μέλι περιχέαι καὶ προσθεῖναι. ἢ ῥόδινον ἄλειφα. ὅσα δὲ βάλανον προστίθενται, ἐμπήξαντα χρὴ πτερὸν ἐς τὴν βάλανον, ἔπειτα ῥάκος περιθεῖναι λεπτόν

λεπτὸν ἐν εἰρίῳ βάψασα ἄλειφα αἰγύπτιον προστίθεσθαι. ἄγει δὲ μάλιστα καὶ δέρματα ἀφαιρεῦνται. Προσθετὰ καθαρτικὰ ἰσχυρὰ, ὕδωρ ἄγειν δυνάμενα, καὶ μύξας, καὶ δέρματα μᾶλλον τῶν πρόσθεν. Τοῦ πεπέριος κόκκους τέσσαρας τῶν μεγίστων, ἢ καὶ τῶν μικρῶν εἰ δέοι, ἐλατηρίου πόσει συμμίξας, τρίβε λεῖα, παραστάζων γυναικὸς γάλα, καὶ μέλι ὀλίγον ἀναφυρήσας, ἔπειτα ἐν εἰρίῳ μαλθακὸν καθαρὸν περὶ πτερὸν περιελίξας ῥάκεα, καὶ καταλαβὼν προστιθέναι ἐν λευκὸν ἄλειφα αἰγύπτιον βάπτων. προσκείσθω δὲ ἡμέρην. καὶ ἐπὴν δὲ ἀφέληται, προστιθέσθω τὸ στέαρ τοῦ ἐλάφου. Προσθετὰ καθαρτικὰ, ἢν μὴ ποτὰ καθαίρῃ. Λινόζωστιν τρίψας καὶ σμύρναν προστιθέναι. Προσθετὰ ὁμοίως καθαρτικὰ χρεία δυνάμενα ἐκβαλεῖν, καὶ καταμήνια κατασπᾶν καὶ ἔμβρυον ἀπόπληκτον ὑπεξαγαγεῖν. Κανθαρίδας πέντε, ἀφελὼν καὶ τὰ πτερὰ, καὶ τὰ σκέλεα, καὶ τὴν κεφαλὴν. εἶτα τρίβολον παραθαλάσσιον κόψας τῇσι ῥίζῃσι, καὶ τοῖσι φύλλοισι καὶ τὸ χλωρὸν τὸ ἔξω τρίψας ἴσον ὄγκον καὶ σελίνου σπέρματος, καὶ σηπίης ὠὰ πεντεκαίδεκα ἐν οἴνῳ γλυκεῖ κεκρημένῳ. καὶ ἐν ὕδατι θερμῷ καθιζέσθω. καὶ μελίκρητον ὑδαρὲς, πινέτω, καὶ οἶνον γλυκὺν, καὶ τοῦ τετριμμένου, ὅσον στατῆρα αἰγιναῖον ἐν οἴνῳ γλυκεῖ πίνειν. ἐπὴν δὲ ὀδύνην ἔχῃ, λευκοὺς ἐρεβίνθους καὶ ἀσταφίδας ἑψήσας ἐν ὕδατι καὶ ψύξας, διδόναι πιεῖν. ὅταν ἡ στραγγουρίη ἔχῃ, ἐν ὕδατι χλιαρῷ καθήσθω, καὶ οἶνον πινέτω γλυκύν. Πάσης νόσου δυνάμενον καὶ ἀναστομῶσαι καὶ καθῆραι. Σμύρναν ὀλίγην. καὶ ἐλελίσφακον, καὶ ἄννησον τρίψας, χρῶ. Καθαρτικὸν δυνάμενον ἄτοκον καθῆραι. Ην τὸ στόμα τῆς μήτρης ὀρθῶς ἔχῃ, πυριῆν βόλβιτον ξηρὸν κόψας καὶ διασήσας τέσσαρας χοίνικας. ὄξους δὲ κοτύλας δέκα. καὶ οὔρου βοείου ἑτέρου τοσοῦτον. καὶ θαλάσσης ἅλμης κοτύλας εἴκοσι. πυριῆν δὲ βληχροῖσι πουλὺν χρόνον. εἶτα λοῦσαι μὲν ἢ φάκιον πιοῦσα, καὶ μέλι καὶ ὄξος μεμιγμένον πιοῦσα, ἐμεσάτω, καὶ ῥοφέειν ἄλευρον δυνᾶται καὶ ἐπιπιεῖν οἶνον εὐώδεα παλαιὸν ἐξηθεασμένον. σίτου δὲ μὴ γευέσθω τῇ τοιαύτῃ ἡμέρῃ. τῇ δὲ δευτέρῃ, κόκκον δοῦναι κατάποτον. τῇ δὲ τρίτῃ, δοῦναι διουρητικὸν, ἀσταφίδας καὶ ἐρεβίνθους λευκοὺς, δύο χοίνικας, καὶ ἐπιχέαι ὕδατος τρία ἡμιχόεα. ἔπειτα ἀρχέας, πρὸς τὴν αἰθρίην θεῖναι. καὶ τῇ ὑστεραίῃ πίνειν. καὶ τοῖσι προσθέτοισι χρέεσθαι. Εγχυτον καθαρτικὸν καταμηνίων. Βόλβιτον πλάσαι ὅσον σταφίδα. φυρῆν δὲ καὶ ξυμμίσγειν τῆς κυπαρίσσου τὰ πρίσματα. ξηραίνειν δὲ ἐν τῷ ἡλίῳ, καὶ ἐπὶ τούτῳ τὰ θυμιήματα ἐμβάλλειν. Εἰς ὅμοιον πάθος. Ην τὰ καταμήνια ἴῃ, ἀκάνθης λευκῆς τὰ φύλλα τρίψας, καὶ ἐξηθήσας καὶ ἐπιχλιήνας ἐγχέειν. Κατάχριστον καθαρτικὸν ὥστε μήτρας καθαίρειν. Πράσου σπέρμα καὶ καρδαμώμου, τρίψας, ἐν οἴνῳ τε δὶς καὶ γάλακτι ἑφθῷ, διαχρίειν τὴν νειαίρην γαστέρα. Κατάχριστον μαλθακτήριον. ὕδωρ δὲ ἄγει καὶ μύξας καὶ δέρματα. καὶ λοχεῖα φέρει, καὶ οὐχ ἑλκοῖ. Σμύρνης ὡς ἀρίστης ἥμισυ. καὶ ἁλὸς χόνδρον ὁμοίως, πίσσαν ἡδυτὴν φλέβας, μίξας τε λεῖα. ἔσω δὲ τὸ τῆς σμύρνης τὸ ἥμισυ τοῦ ἁλὸς, καὶ τῆς πίσσης ἐμβαλεῖν ἐν ῥάκος τῆς πεφλασμένης, μέγεθος ὅσον κικίδα μεγάλην. δύο δὲ ἔσω. ὡς τὸ μὲν ἡμέρας ἔχειν, τὸ δὲ εὐφρόνης ἔστ' ἂν κατατακῇ. λουέσθω δὲ θερμῷ. εἶτα ἀφαιρέουσα, διανιζέσθω ὕδατι εὐώδει. Καθαρτικὸν ἄτοκον καθῆραι, ἢν τὸ στόμα ὀρθῶς ἔχῃ. Ην ἄτοκον θεραπεύῃς, βόλβιτον ὄνου ἡλίου, διασείσας ὅσον τέσσαρας χοίνικας ἀττικάς. ὄξους δὲ κοτύλας δέκα. καὶ ὀροβίου χοίνικα. καὶ θαλάσσης κοτύλας εἴκοσι, πυριῆσαι ἀλέα πουλὺν χρόνον. ἔπειτα φάκιον ποιῆσαι. καὶ μέλι καὶ ὄξος μῖξαι, καὶ ἐμεέτω. καὶ ῥοφεέτω ἄλευρον. καὶ ἐπιπινέτω οἶνον εὐώδεα. σίτου δὲ μὴ ἁπτέσθω ταύτῃ τῇ ἡμέρῃ. τῇ δ' ὑστεραίῃ, κόκκον δοῦναι κατάποτον. τῇ δὲ τρίτῃ διουρητικόν. ἐὰν δὲ βούλῃ, λευκὴν σταφίδα καὶ ἐρεβίνθους λευκοὺς δύο χοίνικας, ἐπιχέας ὕδατος τρία ἡμιχόεα. ἀφελεῖν δὲ τὸ ἥμισυ. εἶτα ἐν τῇ αἰθρίῃ θεῖναι. καὶ τῇ ὑστεραίῃ πίνειν ἐκ τούτου κατ' ὀλίγον, καὶ τοῖσι προσθέτοισι χρέεσθαι.

Ην βούλῃ γυναῖκα κυῆσαι, καθῆραι αὐτὴν καὶ τὰς μήτρας. ἔπειτα δίδου ἄλητον ἐσθίειν νῆστιν, καὶ οἶνον ἐπιπίνειν ἄκρητον. καὶ προστιθέναι νίτρον ἐρυθρὸν. καὶ κύμινον. καὶ ῥητίνην μέλιτι δεύσας, ἐν ὀθονίῳ πρόσθεν. καὶ ὅταν τὸ ὕδωρ ἀπορρέῃ καὶ μέλανας πεσσοὺς, προστιθέσθω μαλθακτήριον. καὶ τῷ ἀνδρὶ συνευνάσθω. ἢν δὲ τὸ στόμα μεμύκῃ, προστιθέσθω καὶ ὀπὸν συκῆς, μέχρι ἐὰν ἀναστομωθῇ. καὶ ὕδατι αὐτίκα ἀπονίζεσθαι. ἔρινος δὲ ἄφοδον τρίβειν ἐν οἴνῳ γλυκεῖ. καὶ πίνειν νῆστιν. καὶ τηνικαῦτα συνευναζέσθω τῷ ἀνδρί. Η ὁκόταν τὰ καταμήνια παύηται,

χλωὸς

χηνὸς ἢ ἀλώπεκος ἄφοδον ἐν ῥοδίνῳ μύρῳ τρίβειν. καὶ τὸ αἰδοῖον χρίεσθαι καὶ συνδυάζεσθαι.

Ἢν ἕλκεα ἢ δριμέα, καὶ ἢν φλεγμαίνῃ, χρῶ τῷδε κλυσμῷ. Χηνὸς ἔλαιον. καὶ ῥητίνην, μίσγε. καὶ διεὶς ὕδατι χλιερῷ, κλύσαι. ἢ μέλιτι βούτυρον μίξας, τῆξαι καὶ κλύσαι. ἢ ἐχετρώσιος ξῦσαι, ὅσον σπαθίδα μικρήν, καὶ σμύρνην, καὶ μέλιτος ὁμοίως. ταῦτα διεῖναι, ἐν οἴνῳ μέλανι εὐώδει, καὶ κλύζειν χλιερῷ. Ἢν ἑλκωθῇ ἢ φλυκταινέων ἀνάπλεα ᾖ ἐν τῇ καθάρσει ἄκρα τὰ χείλεα. Σάρκα βοὸς, ἢ πικέριον, ἢ χήνειον ἄλειφα. καὶ ἄννησον. ἢ κόκκον, ἢ ἀποδιὸν κυπρίνην, τρίψαι ταῦτα πάντα. καὶ περιαλεῖψαι τὴν σάρκα. καὶ προστίθεσθαι.

Ἢν ἕλκεα γένηται καὶ ὀδαξᾶται. Βοὸς σάρκα, στέαρ ἐπαλείφειν. καὶ τὴν σάρκα προστιθέναι. καὶ ἐγκλύζειν ἢν ῥυπαρὰ ᾖ, καὶ πυρίην συκῆς ἀπὸ ῥίζης. καὶ μετέπειτα καὶ πίους ἐν γλυκεῖ πινέτω. Ἢν ἐν τοῖσιν αἰδοίοισι τὰ ἕλκεα γένηται. Βόειον στέαρ ἐπαλείφειν καὶ μυρσίνην ἐν οἴνῳ καθεψῶν, διακλυζέτω τῷ οἴνῳ, ἢ ἐλαίας φύλλα, καὶ βάτου καὶ ῥοιῆς, καὶ ὁ οἶνος ἔστω πράμνιος. ταῦτα δὲ οὕτως ποιέειν, καὶ περσέης φύλλα τοῦ δένδρου δηλαδὴ, λεῖα τρίψαι, καὶ πρὸς τὰ αἰδοῖα τιθέναι, ἢ ἀννήσου καρπὸν καὶ σελίνου τρίψας, ἐπίχριε.

Ἢν ἀφθήσῃ τὰ αἰδοῖα πῶς δεῖ ἰᾶσθαι. Σάρκα βοὸς ὡσεὶ δύο παλαιστῶν τὸ μῆκος, πάχος δὲ ὡσεὶ στελαῖος προστιθέσθω μέχρις ἑσπέρης. τὴν δὲ νύκτα αἴρειν. τῇ δ' ὑστεραίῃ πάλιν προστίθεσθαι μέχρι μεσημβρίης. καὶ ἤδη πινέτω οἶνον γλυκὺν μέλιτι τὸν οἶνον ξυμμίσγουσα.

Κλύσμα ἢν ἡλκωμέναι ἔωσιν αἱ μῆτραι, καὶ ἢν στραγγουρίη ἐπιλάβῃ. Γράσα. ἀκτῆς καρπόν. σέσελι. ἄννησον. λιβανωτόν. σμύρναν. καὶ οἶνον ἴσον τῷ χυλῷ τούτων, μίξας ταῦτα καὶ ἀναζέσας, ψύχειν, καὶ μετρίως κλύζειν. ἢ μέλι. βούτυρον. μυελόν. καὶ κηρὸν ἐνιέναι καὶ χρῆσθαι. Ὅσα ἐν αἰδοίῳ ἕλκεα ἔνι καὶ φύεται. Φύλλα ἐλαίης, καὶ βάτου καὶ κισσοῦ, καὶ ῥοιῆς γλυκέης, τρίβειν λεῖα. διεὶς δὲ οἴνῳ παλαιῷ, εἰρίῳ προστίθεσθαι τῇ νυκτὶ πρὸς τὰ αἰδοῖα. καὶ καταπλάσσειν ἐν τούτοισιν. ὅταν δὲ ἁμορφὴ γένηται, ἐρύσαι. ἀφεψεῖν δὲ μύρτα ἐν οἴνῳ, καὶ διακλύζεσθαι. ἢ χηνὸς ἔλαιον καὶ ῥητίνην τῆξαι καὶ κλύσαι. ἢ βούτυρον. καὶ κέδρινον ἔλαιον μέλιτι παραμίσγειν μικρὸν καὶ κλύζειν. ἕλκεα ἐν μέλιτι ἀποξηραίνει. ἀργύρου ἄνθος ἐν οἴνῳ τρίψαι καὶ κλύσαι. ἢ βούτυρον μετὰ μέλιτος κλύσαι. ἢ ἐχέτρωσιν, καὶ σμύρναν, καὶ μέλι οἴνῳ διϊέναι. οἴνῳ δὲ μέλανι χλιαρῷ, καὶ κλύζειν τῇ ὑστεραίῃ. ἢ σχίνου φύλλα ἑψήσας ἐν ὕδατι τουτέῳ μετακλύζειν. Ἄλλο ἢν ἑλκωθῇ τὸ στόμα τῶν μητρέων. Βούτυρον. λιβανωτός. σμύρνη. ῥητίνη. μυελὸς ἐλάφειος. τουτέοισι κλύζειν. ἢ φακὴν ἑψῆν ἐν ὕδατι, καὶ ἀποχύσας τὸ ὕδωρ ἐν τούτῳ κλύζειν. ὅταν δὲ ὕδωρ ἐκ τῶν ὑστερέων ῥέῃ, καὶ ἕλκεα ᾖ, καὶ δάκνηται, χηνὸς στέαρ καὶ ᾠὸν διαχρίεσθαι. ἢ οἰὸς στέαρ, ἢ συὸς. καὶ φακὸν, ἐν οἴνῳ ἕψειν. καὶ κεκρημένον ἴσον τῷ ὕδατι τουτέῳ κλύζειν. τὰ δὲ ἐν τῷ αἰδοίῳ ἕλκεα ἐν τούτῳ καταιονᾶν. ἐπιπάσσειν δὲ μάνναν. βάτον. πίτυος φλοιόν. καὶ τῷ ὕδατι τούτων νιψάσθω. Διεκβόλιον ἢν ἀποθάνῃ τὸ ἔμβρυον. χαλβάνης ὅσον ἐλαίην ἐνελίξας εἰς ὀθόνιον κέδρινον ἐμβάψασα, προστιθέσθω πρὸς τὸ στόμα τῆς μήτρης. Ἕτερον. Κάλαμον εὐώδεα, καὶ σικύης ἐντεριώνην, τρίψαι ἐν χηνείῳ στέατι. ἐπίδησον δὲ τὸν ὀμφαλὸν καὶ τὸ ἦτρον. καὶ σμικρὸν ἀπ' αὐτέου ἐνστάξασα, εἰς εἴριον προστιθέσθω πρὸς τὸ στόμα τῆς μήτρης. καὶ ἐκ τούτου κατ' ὀλίγον ἕλκεται. Ἄλλο. Ἐρευθέδανον κόψας, καὶ κέδρου πρίσματα. ὕδωρ τε ἐπιχέας τίθει εἰς τὴν αἰθρίην. εἶτα πρωῒ δὸς πρὸς τὰς ἀλγηδόνας. Ἄλλο.

Σιλφίου ὁκόσον δραχμὴν μίαν, καὶ πράσου χυλὸν ὁκόσον ὀξύβαφον, παραμίξαν κέδρινον ἔλαιον ἥμισυ κυάθου μικροῦ δὸς πιεῖν. Ἄλλο. Ταύρου χολὴν ὅσον ὀβολὸν, ἢ ἡμιωβόλιον τρίβων ἐν οἴνῳ, δός. ἢ σταιτὶ περιπλάσας ὡς πάλιν καταπιεῖν δίδου. Ἄλλο. Καρκίνους ποταμίους πέντε. καὶ λαπάθου καὶ πηγάνου ῥίζαν. καὶ αἴθαλον ἀπὸ τοῦ ἰπνοῦ τρίψαντα ὁμοῦ πάντα, καὶ ἐνώσασα ἐν μελικρήτῳ, ὑπαίθριον θεῖσα, πινέτω νῆστις ἐκ τρίτου.

Ἄλλο. Σικύης ἐντεριώνην τρίψας λείην ἐν κεδρίνῃ πίσσῃ εἰς εἴριον ἐνελίξας. προσδήσας πρὸς τὸ πτερὸν λίνῳ, προσθέσθω δὲ ἴσον. τοῦ δὲ πτεροῦ τὸ σκληρὸν, προσεχέτω μικρὸν ἔξω ἐκ τοῦ εἰρίου. ὅταν δὲ αἷμα φανῆται, ἀφελέσθω. Ἄλλο. Ἐλλεβόρου μέλανος λαβὼν ῥαβδίον ὅσον ἓξ δακτύλων, περιείλιξον ἐν εἰρίῳ. τὸ δὲ ἄκρον ἔα ψιλὸν εἶναι. εἶτα προσθέσθω εἴσω ὅτι μάλιστα. ὅταν δὲ αἱμαχθῇ τὸ ἄκρον, ἀφελέσθω. Ἄλλο. Ἐλλέβορον μέλανα. καὶ κανθαρίδας. καὶ κόνυζαν τρίψας ἐν ὕδατι, καὶ ποιήσας βάλανον μαλθακὸν, ὅσον ἑξαδάκτυλον, ξήρανον. κἀπειδὰν σκληρὸν γένηται, εἰρίῳ περιελίξασα προσθέσθω.

τὸ δὲ ἄκρον κεδρίῃ χρισάτω καὶ ἔσω ψιλόν. ὅταν δὲ αἷμα φανῇ, ἀφελέσθω. Ἐκβόλιον.

Ἢν ἔμβρυον τεθνεὸς ἔνδον ᾖ ἢ ἀπόπληκτον, βατράχιον καὶ ἐλατήριον μικρὸν μίξαι ἐν ὄξει ἀκρήτῳ, καὶ δοῦναι πιεῖν. ἢ κράμβης ἁπαλὸς καυλὸς, κατὰ τὸ ἄκρον νετώπῳ χριόμενος ἐμβαλέσθω.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΓΥΝΑΙΚΕΙΩΝ ΤΟ ΔΕΥΤΕΡΟΝ.

Ρ

Ος λευκὸς ἐν τῇσι γεραιτέρῃσι τῶν γυναικῶν, μᾶλλον γίνεται, ἢ ἐν τῇσι νεωτέρῃσι. ῥόος πυῤῥὸς ἐν ἀμφοτέρῃσι. ῥόος ἐρυθρὸς ἐν τῇσι νεωτέρῃσι. καὶ ῥόος ἐρυθρὸς μὲν γίνεται, ἐκ πυρετοῦ. μᾶλλον δὲ ἐκ τρωσμοῦ. γίνεται δὲ καὶ διὰ περιλήψεως ἐπιμηνίων, ὅταν ἀποκλεισθέντα ἐξαπίνης καταῤῥαγῇ. γίνεται δὲ καὶ ἐκ τόκων καὶ ἐκ πυρετῶν, αἷμά τε ῥεῖ παμπολύ. καὶ θρόμβοι ἐκπίπτουσι. καὶ ὀδύνη γίνεται τῶν κληΐδων, καὶ τῶν τενόντων. καὶ νάρκη τοῦ σώματος. ἀπόψυξίς τε τῶν σκελέων. ἐνίοτε δὲ καὶ ἡ ῥὶς ἐκχεῖ ἐς τοὺς ὀδόντας, ἢν πλέον ἢ τὸ αἷμα ἀπίῃ. καὶ ἱδρὼς καταχεῖται πουλύς. πρὸς δὲ τούτοις, καρδιωγμοί τε γίνονται. καὶ περιψύξιες. καὶ πυρετοὶ ἀκρητόχολοι, καὶ κνησμώδεες. καὶ τῆς αὐτῆς ἡμέρης πολλάκις ῥιγέουσι. καὶ αὖθις ἱδροῦσι. καὶ ἄλλοτε μὲν ἀπὸ τῶν ἄνω χωρίων σπασμοὶ γίνονται σφίσιν. ἄλλοτε δὲ ἀπὸ τῶν κάτω. καὶ ἐς τοὺς βουβῶνας ὀδύναι αἱ ὀξεῖαι ἐμπίπτουσι καὶ ἰσχυραὶ, φοιτέουσαι ὥσπερ ὠδῖνες. ἐνίοτε δὲ καὶ στραγγουρίη. καὶ τὸ στόμα ξηρόν. καὶ δίψα πιέζει. καὶ ἡ γλῶσσα, τρηχεῖα. καὶ οἱ δάκτυλοι ξυνέλκονται τῶν ποδῶν, οἱ μεγάλοι. καὶ ἐς τὰς γαστροκνημίας αἰεὶ ἀπὸ μηρῶν ξυντιταίνει. καὶ τῆς ὀσφύος περιωδυνίαι. καὶ τῶν χειρέων ἀκρασίη. ὁκόταν δὲ τοιαῦτα γίνηται, τότε καὶ τέτανοι φιλέουσι γίνεσθαι, ἀπὸ τῶν κληΐδων κατὰ τὰς σφαγὰς ἐς τὰς γνάθους καὶ τὴν γλῶσσαν. ἐκ δὲ τῶν τοιούτων ὀλίγῳ ὕστερον ὄπισθεν ἀπὸ τῶν τενόντων κατὰ τὴν ῥάχιν ἐς ὀσφὺν, καὶ ὧδε ἀπόλλυνται κατὰ βίην. προλέγειν οὖν δεῖ ἀρχομένων τῶν ῥόων, διαιτῆν τόνδε τὸν τρόπον. πρωῒ μὲν διδόναι πρὸς τοὺς ῥόους φάρμακον πίνειν, ὧν ἂν ἐγὼ γράφω, οὗ ἂν δοκέῃ δεῖσθαι μάλιστα. διδόναι δὲ καὶ τρὶς καὶ τετράκις. καὶ ἢν πουλὺ ἀπίῃ τὸ αἷμα, διαιτῆν οὖν. ἢν μὲν ἀπύρετοι ἔωσι, σιτίοισιν. ἢν δὲ πυρεταίνωσι, ῥοφήμασιν. ἔστι δὲ τῶν μὲν ῥοφημάτων, τάδε ἐπιτηδειότατα. ἔλυμος. φακῆ. ἄλευρον ἑφθόν. σητάνιον. χόνδρος καθεφθος, ῥοφητός. ζειὰ καθεφθος. τῶν δὲ πομάτων, πάλη ἀλφίτου, ἐφ' ὕδατι. καὶ τὰ κλύσματα ἀπὸ τῶν ἄρτων κεκομμένα. καὶ ἄλφιτα περικάρπια λεπτὰ βεβρεγμένα ἐν ὕδατι, ἃ καὶ ἐλλείχειν ἄναλτα. τῶν δὲ σιτίων, ἄρτος ἔξοπτος ἐν σποδίῃ. ὄψον δὲ λαγωοῦ κρέας. πελιάδος. φάσσης. καὶ ἑφθὰ καὶ ὀπτά. ἐρίφου τε κρέας ὀπτόν. μηδενὶ πέπερι πεποιημένον ἐς ὄξος ἐμβάπτων. ἧπάρ τε ἐν σποδίῃ ὀπτὸν, αἰγὸς ἢ βοός. ὠοῦ τὸ λεπτόν. ἢ ὁ λέκιθος. τυρὸς ἄναλτος. λαχάνων δὲ μηδὲ ἓν γεύεσθαι, μήτε ἑφθῶν, μήτε ὠμῶν. καὶ λουτρῶν ἀπέχεσθαι. καὶ ἐπιδεῖν τὼ χεῖρε, εἰρίῳ ῥερυπωμένῳ στρέψαντα, καὶ παχετὸν ποιήσαντα ὑπὲρ τῶν ἀγκώνων καὶ τῶν ἰγνύων ὑπὲρ τῶν γουνάτων. καὶ σικύας αἴρειν, ἐπάρας μαζοὺς ὑπ' αὐτέους. ἄλλοτε μὲν ἐς τὰ δεξιά. ἄλλοτε δὲ ἐς τὰ λαιά. ἢν δὲ δύσπνοια γένηται, πρὸς τὴν πρόσβλησιν τῆς σικύης, ἀφαιρεῖν τὴν σικύην. αἷμα δὲ μὴ ἀπάγειν. προσθέτοισι δὲ χρῆσθαι, οἵσιν ἂν ἐγὼ γράψω τῶν στασίμων τοῦ αἵματος προσθετὰ ποιέοντα τῇσι τοιαύτῃσι. ἢν μὲν περιγένηται ἐκ τῶν ῥόων, ἀπιόντος πολλοῦ αἵματος, τό, τε χρῶμα ἀφυῶδες. καὶ τὸ πρόσωπον μετάρσιον. καὶ ἐν τοῖσιν ὑποφθαλμίοισιν οἰδήματα. καὶ τὰ σκέλεα ἐπηρμένα, καὶ ἡ ὑστέρη ὑγρή. καὶ αἰεὶ ἐσόμενα παρὰ λόγον καὶ τὰ ἀπιόντα ὑδαρέα, οἷον ἀπὸ κρεῶν ὠμῶν χυμός. τῇσι τοιαύτῃσι χρὴ, ὅταν ἰσχύῃ, καὶ ἐμέτους ποιέειν καὶ νηστείας. καὶ μετὰ τοὺς ἐμέτους, ἄριστον διδόναι. ταύτῃσι συμφέρει ἡ ὀλιγοποσίη. οἶνος μέλας ἀκρητέστερος. ἀλουσίη, ἢ ψυχρολουσίη. περίπατοι. μονοσιτίη. πᾶσα ξηρασίη. ἢν δὲ πρὸς ταῦτα μὴ καθιστέωνται μὴ δὲ ξυμπίπτωσιν αἱ ὑστέραι, μὴ δὲ τῶν ῥευμάτων ἀπαλλάσσωνται, προσκεπτόμενον χρὴ ἐς τὴν δύναμιν τοῦ σώματος. καὶ ἢν ᾖ δυνατὴ, ἐλλεβορίζειν. ἢν δὲ μὴ, ἐνακούσῃ τὴν κεφαλὴν καθαίρειν. καθήραντα δὲ τὰ λοιπὰ διαίτῃ θεραπεύειν τὸν αὐτὸν τρόπον καὶ περὶ τὰς ἀτέκνους. σκεπτέον δὲ καὶ τὰς φύσιας τῶν γυναικῶν, καὶ τὰς χρόας, καὶ τὰς ἡλικίας. καὶ τὰς ὥρας, καὶ τοὺς τόπους, καὶ τὰ πνεύματα. αἱ μὲν γὰρ ψυχραὶ, αἱ δὲ ὑγραὶ καὶ ῥοώδεες. αἱ δὲ θερμαὶ μὲν, ξηρότεραι δὲ καὶ στάσιμοι εἰσιν. αἱ μὲν γὰρ ὑπέρ-

λευκοὶ

λευκοί, ὑγρότεραί τε καὶ ῥοωδέστεραι. αἱ δὲ μέλαιναι, ξηρότεραί τε καὶ στρυφνότεραι. αἱ δὲ οἰνωποί, μεσηγύ τι ἀμφοῖν ἔχουσι. καὶ ἀμφὶ τῶν ἡλικιῶν ὡσαύτως ξυμβαίνει. αἱ μὲν γὰρ νέαι ὑγρότεραι καὶ πολύαιμοι, ὁμοίως ἐπὶ τὸ πολύ. αἱ δὲ πρεσβύτεραι, ξηρότεραι καὶ ὀλίγαιμοι. αἱ δὲ μέσαι, μεσόν τι ἀμφοῖν ἔχουσιν, ἴσαι νῦν ἐοῦσαι. δεῖ δὲ τὸν ὀρθῶς ταῦτα διαχειριζόμενον διαγινώσκειν ἑκάστοτε τὰς φύσιας τῶν γυναικῶν. καὶ τοὺς καιρούς. καὶ τὰς ἡλικίας. καὶ τὰς ὥρας. καὶ τοὺς τόπους. καὶ τὰ πνεύματα.

Ην ῥόος ἐν τῇσι μήτρῃσιν ἐγγένηται, αἷμα ῥεῖ πολλόν. καὶ θρόμβοι πεπηγότες ἐκπίπτουσι. καὶ ἡ ὀδύνη ἴσχει ἐς τὰς ἰξύας, καὶ τοὺς κτενῶνας, καὶ τὴν νειαίρην γαστέρα. καὶ σκληρή ἐστι. καὶ θιγγανομένη ἀλγέει. καὶ ῥῖγος, καὶ πυρετὸς ὀξὺς λαμβάνει. καὶ ἀσθενείη ἐγγίνεται. καὶ πάντα πλὴν ὤμων καὶ ὠμοπλατέων ἀλγέει. καὶ θέρμην ἔχει. καὶ ἐρευθιᾷ. καὶ τὰ φλέβια σκληρὰ ἀντιτυπεόμενα. ἡ δὲ νοῦσος γίνεται μάλιστα ἐκ τρωσμῶν. γίνεται δὲ καὶ ὁκόταν τὰ ἐπιμήνια μὴ γινόμενα ἀπὸ πολλοῦ χρόνου, ἐξαπίνης καταρραγῇ. ταύτῃ ὁκόταν ὧδε ἔχῃ, ὄλυνθον ξηρὴν κόψας, καὶ διασήσας ἐς ὀθόνιον ἐνδῆσαι καὶ προστίθεσθαι. καὶ ἐπὶ τὴν νειαίρην γαστέρα ψύγματα ἐπιτιθέναι φυλασσόμενος μὴ φρίξῃ. ἐπειδὰν δὲ τὸ ῥεῦμα στῇ, ἀγριελαίης φύλλα ἑψήσας ἐν ὄξει ὀξυτάτῳ, διανιψάσθω τὰ αἰδοῖα. πινέτω δὲ γίγαρτα. καὶ ῥοιὰν τὴν ἐρυθρὴν ἑψήσας ἐν ὕδατι ὡς ὀξυτάτῳ, ἀλειψάσθω τὰ αἰδοῖα, ὅσον ἡμικοτύλιον. ἢ μόρα τὰ ἀπὸ τοῦ βάτου τὰ ἐρυθρὰ ξηράνας. καὶ τρίψας λεῖα μετὰ ἀλήτου σητανίου μίσγων ἴσον ἴσῳ, νῆστιν διδόναι πίνειν. ἢν δὲ θέλῃς ἰσχυρότερον, τιτάνου ξυμμίξας δύο μοίρας ἀλήτου ἐπιβαλὼν, πίσαι. καὶ μὴ λουέσθω. σιτίοισι δὲ χρήσθω ξηροῖσι. καὶ οἴνῳ μέλανι οἰνώδει. ἢν δὲ εἰδῇς πεπαυμένου ἤδη τοῦ ῥόου, φάρμακον πίσαι κάτω. μετὰ δὲ τὸ φάρμακον, τὰς ὑστέρας κλύσαι, μετὰ ἀπὸ τῶν ὀλύνθων. καὶ μετακλύζειν στρυφνοῖσιν. ἢν ταῦτα παθοῦσα ὑγρανθῇ, θυμιήσθω ἕως ἂν ἀποξηραίνῃ. ῥόος ἐρυθρός. ῥεῖ πιόν τε οἷον αἷμα νεοσφαγές, καὶ θρόμβια διαλείποντα. ἄλλοτε δὲ καὶ ῥόον ἐρυθρὸν ἐκβράσσει. καὶ γαστὴρ ἡ νειαίρη ἐπαίρεται. καὶ λεπτύνεται. καὶ νηνεμεῖ. καὶ σκληρύνεται. καὶ ἀλγεῖ ψαυομένη ὡς ἕλκος. καὶ πῦρ ἔχει. καὶ βρυγμός. ὀδύνη τε ἐς ταῦτα τὰ αἰδοῖα. καὶ τὸ ἐπίσειον. καὶ ἐς τὸν κτενῶνα. καὶ τὰς ἰξύας. καὶ τείνοντα. καὶ κοιλίην. καὶ στῆθος. καὶ τὰς ὠμοπλάτας, καὶ ἄλλα πάντα ἀλγεῖ. καὶ ἀδυναμίη. καὶ ὀλιγοψυχίη ἔχει. καὶ ὁ χρὼς στρέφεται. κατ' ἀρχὰς τῆς νόσου τάδε ἐπιλαμβάνει. ἢν δὲ μηκύνῃ ταῦτα πάντα, ἔτι μᾶλλον ἀσθενεῖ. καὶ δῆλος ἡ νοῦσος. καὶ τὰ κοῖλα ἐπανίσταται. καὶ οἱ πόδες οἰδέουσιν. ἡ δὲ νοῦσος λάζεται ἐκ τόκου μάλιστα. ἤν τι ἐν αὐτῇ διακινηθὲν μὴ ἴῃ, ἀλλ' ἐνσάπηται καὶ τρηχυνθῇ τὸ ἔμβρυον. ταύτῃ κατ' ἀρχὰς ἢν ἐπιτυγχάνῃς, σπόγγον καταστέγγοντα προστιθέναι ὁκόταν ἡ ὀδύνη. καὶ ὀθόνιον λεῖον μαλθακὸν καθεψῶν, ὕδατι τέγγοντα ψυχρῷ, ἐπὶ γαστέρα ἐπιβαλεῖν. καὶ ὕδατι ψυχρῷ καταχεῖν. καὶ τὴν κλίνην ἀπὸ ποδῶν ὑψηλοτέρην εἶναι. καὶ στορέσαι ὧδε. καὶ τῶν γυναικείων πειρώμενος, ὅτι ἂν μᾶλλον προσίηται, πιπίσκειν. τοῦ σελίνου τὸν καρπὸν φῶσαι. καὶ σῆσαι. καὶ κόψαι. καὶ ἐρύσιμον ὡσαύτως. καὶ μήκωνος καρπὸν σὺν ἀλφίτοισι σήσας. καὶ κνίδης καρπὸν ὡσαύτως. καὶ τῆς ψώρας ἀγριελαίης. καὶ κικίδα. καὶ πήγανον. καὶ ὀρίγανον. καὶ γλήχωνα ἐν ἀλφίτοις σῆσαι, καὶ φυρῆσαι. καὶ κρίμνα ἐπ' ἀλφίτων ἁδρὰ, φῶξαι, καὶ πύρινα καταλέσας. καὶ τυρὸν αἴγειον προσμίξαντα τὸ αἶγος. καὶ τῶν μὲν ἄλλων ἴσον ἑκάστου μίσγε. ὀρίγανον δὲ καὶ πήγανον, καὶ ψώρας καὶ κικίδος ἥμισυ, ταῦτα πίνειν νῆστιν πρωῒ πρὸ τῆς κινήσιος. κυρνᾶν δὲ χρὴ καὶ ἐς χρῆσιν. ἢν δριμέα ἴοι, καὶ κυκεῶνα διδόναι. ἓν μὲν τοῦ φαρμάκου μέρος ἔσω. ἓν δὲ τοῦ τυροῦ. ἓν δὲ τῶν ἀλφίτων. ἐς ἑσπέρην δὲ τοῦ μέλιτος ξυμμίσγοντα πιπίσκειν. καὶ ἄχρι μὲν ἂν ἀρχῆς ἔχηται τῇ νόσῳ, καὶ τὸ αἷμα συχνὸν ἴῃ, καὶ διαλείπων ὀλίγον χρόνον, καὶ ὀδύναι ὀξεῖαι ἴσχωσι, ταῦτα χρὴ ποιέειν. ἢν δὲ τὸ αἷμα ἔλασσον ῥυῇ, καὶ δι' ἐλάσσονος χρόνου, πιπίσκειν ἃ δι' ἢ κάτω ὑποχωρέει, ἢ ἄνω. καὶ πυριῆν τὰ αἰδοῖα βληχροῖσι πυριήμασιν, ὡς ἂν δοκέῃ ἑκάστοτε καιρὸς εἶναι. καὶ ζειὰς ἐρείξαντα ξὺν τοῖσι κελύφεσι. καὶ ὀλύνθους ἐρινοὺς αὐήναντα κόψαι. καὶ σῆσαι. καὶ ἐλαίης φύλλα ὁμοίως ἴσον ἑκάστου καταπλάσσειν. καὶ γάλα πιπίσκειν βόειον, ἢ ἑφθὸν ἢ ὠμόν. καὶ πρὸς τὸ ὀρθῶς ἔχον ὁρῶν, ὡς ἂν καιρὸς δοκέῃ εἶναι. καὶ ἡ νόσος δοκέῃ βληχρὴ εἶναι καὶ θανατώδης. ὀλίγαι δὲ τῆς τοιαύτης νόσου διαφεύγουσιν. ὁκόταν γυναικὶ αἷμα ῥέῃ, ἀπὸ τῶν ἄρθρων, ἀπὸ τόκου διεφθορυῖα, ἢ ἀπὸ τοῦ πόνου. οἴονται δ' ἔνιοι τῶν ἰητρῶν, ῥόον εἶναι. τὸ δ' ἐστὶν ἑτεροῖον. τοῦτο μὲν ἐκ τῶν ἄρθρων ἐστὶν ἑτεροῖον, κάτω τῆς ὀσφύος καὶ ἰσχίου, κολλώδες ὁμοῦ μετὰ αἵματι. κεῖνο δὲ ἀπὸ ὑστερέων καὶ

κοίλων

κοίλων φλεβῶν, καθαρὸν αἷμα. ταύτην χρὴ ὑποθυμιῆν, ζέας κατερρήξαντα, ὅσον ἡμιεκτέον, ὄξει φυρῆσαι ὀλίγῳ, ὅκως μὴ κατὰ πᾶν ὑγρήνῃς τὰς μήτρας. καὶ τοῦ θείου ὁκόσον ἡμιωβόλιον μίξας πρὸς τὰς ζειὰς τετριμμένας, καὶ τῷ ὄξει φυρήσας, τὴν νύκτα τιθεῖ. πρωὶ δὲ τὸ πῦρ πολλὸν καταπαύσας, ἐπιτιθέναι βύσματα ἀπὸ ἐλαιηρῶν κεραμίων. καὶ ἀπὸ τοῦ κνάφου τῶν κναφέων ξύμμισγε καθάρσεων, καὶ τοῦ καρποῦ τοῦ ὄφιος. ἀφαιρέειν δὲ τὸ πολλὸν τοῦ πυρός. καὶ κάειν. καπνιδὴν δὲ μάλιστα. δίφρον δὲ χρὴ ὀπηέντα εἶναι καὶ ἀμφιέζεσθαι τὴν γυναῖκα περιειλημένην εἵμασιν, ὡς μὴ παραπνέῃ. ἐπὶ δὲ τὸ πῦρ ἐπιπάσσειν, τὸ ξὺν τῷ ὄξει. καὶ τοῦ καρποῦ τοῦ ὄφιος. καὶ σμύρνα δὲ μισγομένη, ἐνδρογόν. καὶ πάσειν τὰ αἰδοῖα τὸ θυμιητὸν αἱμάσσεσθαι. ἢν δὲ ἅλις ἔχῃ, ἐρυσίμου καρπὸν πεφωσμένον τρίψαι, καὶ ἐν οἴνῳ διδόναι.

Ῥόος πυῤῥὸς ῥέει, οἷον ἐξ ᾠοῦ εἰδεχθὲς πουλύ τε καὶ δύσοδμον. καὶ φλεγμαίνουσιν αἱ ὑστέραι. καὶ ὀδύνη ἐκ τῆς ὀσφύος καὶ τῶν βουβώνων. καὶ τὰ ἐπερχόμενα πουλά. καὶ ἢν μὴ ἀπαλλάσσηται, ταχὺ ῥέοντα. ἀλλ' εἰ καὶ χρόνος ἐγγίνηται, τὰ λείποντα σήπει, ὡς οἷόν τε μάλιστα. ῥιγέει γὰρ, καὶ οἷον ἀπὸ κρεῶν ὀπτῶν, χυμὸς ἐπιῤῥέει. ἅμα δὲ τουτέοισι, πυρετοὶ ἰσχυροί, καὶ ῥίγεα. ἐκ δὲ τῶν τοιούτων ῥόων, αἱ μὲν πολλαί, ἀπόλλυνται. ὀλίγαι δὲ διαφεύγουσι. κὴν μὲν ἐν ἀρχῇ παραλάβῃς, θεραπεύειν ὧδε χρή. ἢν μὲν ἀπύρετοι ἔωσι καὶ ἰσχύωσιν ἐλλεβορίζειν. ὅταν δὲ γένηται διαλιπόντα ἡμέρας τρεῖς ἢ τέσσαρας, κάτω πῖσαι φάρμακον. μετὰ δὲ τὴν κάθαρσιν, διαιτᾶν ὀφέλλεις ὧδε. ὅκως τὰ ῥεύματα ὑδαρέα ἔσται καὶ λιπαρά, πρωὶ μὲν νῆστει διδόναι τῶν φαρμάκων, ἢ πίνειν ἐπ' οἶνον ἐπιπάσσων, ὧν ἂν ἐγὼ γράψω, πρὸς ῥόον. μετὰ δὲ τὸ φάρμακον, ἐν τῇ ἄλλῃ διαίτῃ θεραπεύειν. τὰς δὲ ὑστέρας, θεραπεύειν ὧδε. ἢν μὲν φλεγμαίνωσι καὶ ξυμμεμύκωσι, πυρίην χρὴ, μαλθακῇσι τῇσι πυρίῃσι, μέχρις οὗ τὸ στόμα τῶν μητρέων μαλθακὸν γένηται. μετὰ δὲ τὰς πυρίας, κλύζειν τῶν κλυσμάτων ὁκοίοισιν ἂν δοκέῃ δεῖσθαι. ἤν τε καθαρτικωτέροισιν, ἤν τε μαλθακωτέροισι. μετὰ δὲ τοὺς κλυσμούς, μαλθακτήρια προστιθέναι. ἢν δὲ μὴ εὔλυτον τὸ στόμα γίνηται, πυρίην καὶ μαλθάσσειν προσθέτοισιν, ὧν ἂν ἐγὼ γράψω, μέχρις ἂν ἀναστομωθῇ. ἢν δὲ μὴ πρὸς ταῦτα παύηται τὰ ῥεύματα, καθαίρειν τὴν κεφαλήν, καὶ οὕτως διαιτῆν. ἢν μὲν ἄπυρος ᾖ, ὄνου γάλα πίνειν. λαχάνοισιν ἑφθοῖσι καὶ ἡμέροισι καὶ ἀγρίοισι, πλὴν σκορόδων, καὶ πράσων, καὶ κράμβης, καὶ ῥαφάνου τῆς μακρῆς. θαλασσίων δὲ βάτῳ, τῷ λείῳ. σκορπίῳ. γόγγρῳ. νάρκῃ. ἐγχέλυϊ. ψήσσῃ. κωβιῷ. ἕψειν δὲ χρὴ ἐν κρομμύοισι, καὶ κοριάννοισιν. ἐν ἅλμῃ γλυκείῃ καὶ λιπαρῇ, δίεφθα. κρεῶν δὲ μάλιστα μὲν συός. δεύτερον δὲ ἀρνοῦ, ἢ οἰός, ἑφθοῖσι μᾶλλον ἢ ὀπτοῖσι. καὶ τοῖσι ζωμοῖσιν, οἴνῳ λευκῷ μελιχρῷ, ἢ ὑδαρεῖ. λουτροῖσιν ἄνευ τῆς κεφαλῆς, μὴ λίην θερμοῖσι μὴ δὲ πολλοῖσιν. ἢν δὲ πρὸς ταύτην τὴν δίαιταν, τῆς μὲν ἑλκώσιος καὶ τῆς φλεγμασίης ἀπαλλάσσωνται, ὑγραὶ δὲ ὦσιν αἱ μῆτραι, ἀντὶ μὲν λουτρῶν ἀλουσίῃσιν. ἀντὶ δὲ κιῤῥῶν οἴνων, μέλασιν. ἀντὶ δὲ ὑδαρεστέρων, ἀκρητεστέροισιν. ἀντὶ δὲ ἀλφίτων, ἄρτοισι. ἀντὶ δὲ ἰχθύων, κρέασιν ὀπτοῖσι. καὶ σιτίοισι πᾶσι τοῖσι ξηραντικοῖσιν, οἷσί περ ἐπὶ τῇσι διαῤῥοίῃσι χρεόμεθα. κλυσμῶν ἀπηλλάχθαι πάντων, πλὴν οἴνου καὶ ὕδατος. θυμιῆσθαι δὲ τοῖσι στυπτικοῖσιν. ἄριστον δὲ ἐν γαστρὶ ἔχειν. ἢν δέ τις νεᾶνις ᾖ, ἐμέτους νηστείας. πυκνὰ δὲ ἐπεμέειν. καὶ μετέπειτα ἀριστίζεσθαι μικρόν. αὕτη ῥόων τῶνδε τυγχάνει δίαιτα.

Ῥόος λευκὸς ῥέει λευκὸν, ὡς ὄνου οὖρον. καὶ ἐν τῷ προσώπῳ οἰδήματα. καὶ τὰ ὑποφθάλμια οἰδέει ἀμφω. ὑδρωποειδέα τε καὶ οὐ πάνυ εὐειδέα τὰ τῶν ὀφθαλμῶν. καὶ τὸ λαμπρὸν ἄπεστι. καὶ γλαμυροὶ οἱ ὀφθαλμοὶ καὶ ἀμβλυώσσοντες. καὶ τὸ χρῶμα ἀφυῶδες, καὶ φλυκταινοειδές, καὶ ἡ γαστὴρ ἐπανοιδέουσα ἡ νειαίρη. καὶ ἐν τῇσι γνάθοισι κατὰ μικρὸν, ἐρυθροειδέα τε καὶ σμικρὰ καὶ ὑδαρέα καὶ πονηρά. καὶ ἐν τοῖσι σκέλεσιν οἰδήματα. καὶ ἢν πιέζῃς τῷ δακτύλῳ, ἐμπλάσσεται ὥσπερ ἐν στατί. καὶ τὸ στόμα σιέλου ἐμπίπλαται. καρδιωγμοί τε ὁκόταν νήστιες ἔωσιν ἢ καὶ ἐμέωσιν ὕδωρ οἷον ὀξύ. καὶ ἢν πρόσαντες πορευθῇ θᾶσσον ἄσθμα ἔχει. καὶ πνίξ. καὶ σκελέων ἀπόψυξις. καὶ γουνάτων ἀκρασίη. καὶ ἐν τῷ στόματι ἄφθαι. καὶ ὑστέρη παρὰ λόγον ἀνεστόμωται. καὶ ἐμπέπτωκεν ἐν τῷ στόματι βαρείη ὥσπερ μόλιβδος. καὶ διὰ τῶν μηρῶν διατείνουσιν ὀδύναι. καὶ ἀποψύχεται πάντα τὰ κάτω, τὰ ἀπὸ νειαίρης γαστρὸς ἀρχόμενα, ἄχρι ποδῶν. καὶ τὰ θέναρα ναρκῶσι. καὶ ἐπιβαίνειν οὐ δύνανται. τὰς τοιαύτας χαλεπὸν ἀπαλλάσσειν τῶν νοσημάτων. αἵ τε γὰρ ἡλικίαι προβεβήκασιν. οἵ τε κάματοι ξυγκαταγηράσκουσιν, ἢν μή τι εὐτύχημα τῶν αὐτομάτων λύσει γενόμενον. ταύτῃσι χρὴ ἀπαρύσαι, ὅταν πλεονάζῃ, φαρμάκοισιν ὅσα χολὴν ξανθὴν μὴ

καθαίρειν. ἀλλὰ τὰ οὐρητικὰ ταύτῃσι ξυμφέρει πινόμενα. καὶ κεφαλῆς καθάρσιες. καὶ ἀλουσίαι. καὶ τὸ λευκὸν ἐπίθυμον πίνειν. καὶ περίπατοι. καὶ πᾶσα ξηρασίη ἐν τῇ διαίτῃ. ταῦτα δρῶσαι, ὑγιέες μὲν παντελῶς οὐ γίνονται, ῥηΐτεροι δὲ διάγουσι. Ῥόου λευκοῦ θεραπείη. καθαίρεται λευκὸν ὑπόχλωρον. καὶ ὅταν οὐρέῃ δάκνει. καὶ ἀμύσσει. καὶ ἑλκοῖ τὴν ὑστέρην. καὶ πυρετὸς ἔχει ὀξύς. καὶ θέρμη πολλή. δίψα. ἀγρυπνίη. καὶ ἔκφρονες γίνονται. καὶ ὅταν ἀποδιάσῃ, ἆσθμα μιν ἔχει. καὶ τὰ γυῖα λύονται. ταύτην δέον μήκωνα πιπίσκειν λευκὴν, καὶ κνίδης καρπὸν, ἄμεινον καὶ ῥοιῆς γλυκέης ῥίζαν, καὶ φύλλα, καὶ ῥόον, καὶ κηκίδα. ταῦτα ἐν οἴνῳ στρυφνῷ διδόναι πιπίσκειν. καὶ ῥοιῆς χυλόν. καὶ ξυμμίσγειν τυρὸν αἴγειον. ὑποκάπνιζε δὲ ζειάς. καὶ ὀλύνθους χειμερινούς. καὶ ἐλαίης πέταλα. καὶ ψώρας τῆς αὐτῆς. καὶ σικύης λέμματα τρίτον μέρος. τὰ δ' ἄλλα ἴσα, καὶ τῶν ἑψανῶν ῥοφεῖν. καὶ τὰ δι' ἀμυγδάλων. καὶ σησάμου ῥοφήματα. καὶ αἰωρέεσθαι, καὶ ὀχέεσθαι, καὶ μὴ ἠρεμεῖν. Ῥόος ἄλλος. Καταῤῥέεται ὁκοῖον προβάτου οὖρον πολὺ χροιὴ λευκὴ, καὶ οἰδέει πᾶσα. καὶ ἐν τῇσι κνήμῃσι πομφοὶ ἀνίστανται. καὶ ἢν ἐπαφήσῃ τῷ δακτύλῳ, τῇσι κνήμῃσι καὶ τοῖσι ποσὶν ἐμπλάσσεται βορβορώδεα. καὶ ἤν τι φάγῃ, ἐμπίπλαται καὶ φλεγμαίνει, καὶ ἐπειδὰν ὁδοιπορέσῃ καὶ ἔργον τι δράσῃ, ἆσθμα μιν λαμβάνει καὶ πόνος. καὶ ἡ χροιὴ λευκὴ ἐνίοτε ὑπόχλωρος. ταύτην ἢν ἰσχύῃ, καὶ ἢν νέη καὶ τ' ἄλλα φαίνηται, κατ' ἀρχὰς δίδου ἄνω φάρμακον καὶ κάτω. καὶ τὴν κεφαλὴν κάθαιρε, ἢν φλεγματώδης ᾖ, δι' ὧν φλέγμα καθαίρεται. ἢν δὲ χολώδης, δι' ὧν χολή. καὶ ἢν ὥρη ᾖ τοῦ ἔτεος, καὶ μὴ φύσει ᾖ σπληνώδης, καὶ ἤν τι τῶν εἰρημένων, ἢ ὀῤῥὸν διδόναι, ἀφεψεῖν δὲ καὶ πίνειν ὡς πλεῖστον χρόνον. καὶ ἐπ' ἑσπέρην οἶνον γλυκὺν ὑδαρέα. ἢν δέῃ. σίτου δὲ μὴ ἅπτεσθαι. ἢν δὲ ἀσθενὴς ᾖ, ῥοφήματι ὡς ἐλαχίστῳ. καὶ ἀλουτείτω. ἐπειδὰν δέ σοι καιρὸς δοκέῃ εἶναι, τοῦ πόσιος παυέσθω. καὶ μετὰ τὴν κάθαρσιν σιτίοισι χρήσθω. ἀπεχομένη λιπαρῶν, καὶ δριμέων, καὶ γλυκέων, καὶ ἁλμυρῶν. καὶ λαχάνων δριμέων. χρήσθω δὲ ἰχθύσι πετραίοισι. καὶ κρέασι μηλείοισιν ἢ ὀρνιθίοισιν, ἢ λαγῴοισιν. ἄρτῳ σιτώδει, ἢ ἐρικτοῖσι. καὶ λαχάνοισιν ἑφθοῖσι χρήσθω. καὶ ἀγρίοισι τρωκτοῖσι, καὶ ἡμέροισιν ἄτερ δριμέων. καὶ περιπατείτω πρωῒ, καὶ ἀπὸ τοῦ σίτου. ἐπὴν δέ σοι δοκέῃ ταῦτα ποιέοντι ξηροτέρη εἶναι, κλύζειν τὰς ὑστέρας τῇ τρυγί. τρεῖς δὲ ἢ τέσσαρας ἡμέρας διαλιπὼν μετέπειτα στρυφνοῖσι κλύσαι. καὶ ὑπέχοντα ἢν μὲν ᾖ ξηρὴ ἡσυχίαν ἄγειν. καὶ ἢν φύσει ᾖ χολώδης ἢ φλεγματώδης. ὑπὸ δὲ τῆς διαίτης καὶ τῆς φαρμακοποσίης λεπτυνθεῖσα, ἢν μὴ δύνηται ἀναλαμβάνειν, γάλα πινέτω τεσσαράκοντα ἡμέρας βόειον, θερμὸν ἀπὸ βοός. τὴν δέ γε φλεγματώδεα ἄμεινον σιτίοισιν ὡς ἐλαχίστοισι χρέεσθαι, ἕως ἂν γαλακτοποτέῃ. ἔστω δὲ μέτρον, ὅσον ἓξ κοτύλαι ἀττικαί. ἄρχεσθαι δὲ ἀπὸ δύο. καὶ προστιθέτω κοτύλην ἑκάστης ἡμέρας, ἄχρις ἂν ἓξ γένωνται. κᾆτα κατ' ὀλίγον ὑφεῖν τὸ ἔλασσον. καὶ μετὰ τὴν γαλακτοποσίην, ἀνακόμιζε σιτίοισιν. καὶ διαίτῃ. καὶ μετὰ τὴν τοῦ γάλακτος πόσιν, πινέτω πρωῒ νῆστις, ἀδίαντον ξηρήνας κοψάτω καὶ διασήσας δι' ἄκρης αἰρῆς τοῦτο διδόναι ἐν οἴνῳ μέλανι εὐώδει κεκραμένῳ. ἢν δὲ ὑποστρέφῃ ἡ νοῦσος, πυριῆσαι αὐτὴν ὅλην. καὶ αὖθις φαρμάκοισι καθῆραι κάτω. καὶ μετὰ τοῦτο κλύσαι τὰς ὑστέρας. ἢν μὲν φύσει φλεγματώδης, τῷ κόκκῳ τῷ κνιδίῳ, ἢ τῇ ῥίζῃ τῆς θαψίης. ἢν δὲ χολώδης ᾖ, τῆς σκαμμωνίης τῷ ὀπῷ, ἢ κολοκυνθίδι τῇ ἀγρίῃ. ἐμβαλὼν γὰρ ἐπ' αὐτέης καὶ δύο κοτύλας ὑποχέας ὕδατος, ἀφεψεῖν. καὶ τὸ ἥμισυ τουτέου συμμίσγειν μέλι καὶ ἔλαιον ναρκίσσινον ἢ ἄνθινον. ἔστω δὲ τοῦ μὲν μέλιτος, τεταρτημόριον κοτύλης. τοῦ δὲ ἐλαίου, μέτρον ἡμιόλιον καὶ τοῦ μέλιτος. μετακλύζειν δὲ τῷ μέλιτι καὶ τῷ οἴνῳ καὶ τῷ ἐλαίῳ μούνῳ, καὶ θυμιῆσθαι. καὶ ὑπισχεῖν ἡμέρας τρεῖς ἢ τέσσαρας. ἀδίαντον δὲ πινέτω. καὶ ἢν ἐν γαστρὶ λάβηται, ὑποστρέφει. καὶ ὑποστρεφομένης τῆς νούσου, ἀπόλλυται. ὁκόταν γεραιτέρας λαμβάνει ἡ νοῦσος αὕτη, καὶ κατασήπονται αἱ ὑστέραι, ἐκφεύγουσι δὲ πάνυ ὀλίγαι. Ῥόος ἄλλος. Καθαίρεται οἷον περ ἐξ ᾠοῦ ὠμοῦ, χλωρὸν ὑπόλευκον. καὶ ἑλκοῖ τὸ αἰδοῖον. καὶ οἰδίσκεται τούς τε πόδας, καὶ τὰς κνήμας. καὶ τὰ κοῖλα τῶν ὀφθαλμῶν ἐπανοιδέει. καὶ οἱ ὀφθαλμοὶ ὑγροὶ γλαμυροί. καὶ ἢν βαδίζῃ, ἆσθμα μιν λαμβάνει. καὶ ἀσθενείη γίνεται. ἢν δὲ φύγῃ ἡ νοῦσος φλεγματώδης ᾖ. καὶ ἢν μὴ καθαρθῇ, πυρεταίνει λάβρως χολῆς κινηθείσης. γεραιτέρας δὲ ἡ νοῦσος αὕτη λαμβάνει μᾶλλον, ἢ νεωτέρας. ὁκόταν δὲ ὧδε ἔχῃ, ἢν μὲν ἀνοιδήσῃ σφόδρα, διδόναι κάτω φάρμακον πιεῖν, ὅ, τι φλέγμα καὶ χολὴν ἰῆται. ἢν δὲ μὴ ἰσχυρῶς οἰδέῃ, καὶ τὸ φλέγμα αὐτὴν πιέζῃ, ἄνω δοῦναι φάρμακον. καὶ ἢν μὲν ᾖ δυνατὴ, ἐλλεβόρῳ καθαιρέσθω. ἢν δὲ μὴ ὅ, τι χο-

λὴν ἢ φλέγμα ἄγῃ. μετὰ δὲ τὰ φάρμακα ὀῤῥὸν ἑφθὸν διδόναι πίνειν ὡς πλείστας ἡμέρας, ξὺν ἁλὶ ὀλίγῳ. ἐπιτρωγέτω δὲ ἡδύοσμον. ἑσπέρην δὲ σίτου μὴ ἁπτέσθω. ῥοφεέτω δὲ ὀλίγον καὶ ἐπιπινέτω οἶνον γλυκὺν ἢν χρήζῃ. ἢν δὲ μὴ παρῇ, ὀῤῥὸν, γάλα τε ὄνειον ἀφεψῆσαι, καὶ διδόναι τέσσαρας ἡμέρας. ἑσπέρην δὲ ταῦτα ποιέειν, ἢν μὴ πῦρ ἔχῃ νύκτωρ. ἢν δὲ ἡ φύσει ἀπλωώδης, ἢ πτυσματώδης λείφαιμος, μήτε ὀῤῥὸν, μήτε γάλα πινέτω. ἢν δὲ μὴ κατωτερικοῖσι καθαίρειν. καὶ ἐπειδάν σοι δοκέῃ καιρὸς εἶναι κλύσαι τὰς μήτρας. πρῶτον μὲν τῷ ἀπὸ τῆς ζυγὸς δὶς ἢ τρίς. μετὰ δὲ τοῦτο, τῷ ὀποῦ τῆς σκαμμωνίης. οἶνον δὲ ἐπιχέαι γλυκὺν, ὅσον κοτύλην ἀττικήν. καὶ ἐλαίου τέταρτον μέρος κοτύλης, μάλιστα μὲν ναρκισσίνου. μετακλύσαι δὲ τῇ ὑστεραίῃ, οἴνῳ κοτύλῃ. καὶ μέλιτι τετάρτῳ κοτύλης. καὶ ῥητίνης τρίτην μοῖραν μέλιτος. ἔλαιον δὲ ἴσον μέλιτι. ἢν δὲ τὰ ἀπὸ τοῦ κλυσμοῦ ἀποχωρεῦντα ᾖ φλεγματώδεα, κλύσαι. καὶ αὖθις ἐπισχόντα ἡμέρας τρεῖς ἢ τέσσαρας, ἔπειτα ἐκλέψαι τοῦ κόκκου δύο πόσιας. κλύζειν δὲ τοῖσιν αὐτέοισιν. ἢν δὲ μὴ παρῇ κόκκος, τῇ ῥίζῃ τῆς θαψίης, πόσιν μίαν. καὶ μετακλύζειν τοῖσιν αὐτέοισιν. ἐπὴν δὲ καθαρθῇ τὰ ὑποχωρεῦντα πρὸς τουτέους τοὺς κλυσμούς. καὶ ἢν γίνηταί τι αἱματῶδες, οἷον ἀφ' ἕλκεος, μετακλύζειν τοῖσι στρυφνοῖσι. καὶ ἢν μετὰ ταῦτα αὐτὴ ὀρθωθεῖσα φῇ, τὸ στόμα τῶν ὑστεράων σκληρὸν εἶναι, καὶ ὀδύνην ἔχειν, κλύζειν τὸν αὐτὸν τρόπον, τοῖσι ξὺν τῷ πικερίῳ, ἐς ἂν ἀποξηρανθῶσιν αἱ ὑστέραι, καὶ δοκέῃ ὑγιὴς εἶναι. τὰς δὲ μεταξὺ ἡμέρας τῶν κλυσμῶν, πινέτω ἀκτῆς καρπὸν, καὶ λαγωοῦ πιτύην. καὶ μήκωνος τὸ κέλυφος, καὶ κνίδης καρπόν. ῥοιῆς τε γλυκέης τὸν φλοιόν. τρίβων ἴσον ἑκάστου. ἄλφιτον δὲ ξυμμίσγειν καὶ ἀδίαντον, ἐν οἴνῳ μέλανι εὐώδει, νῆστις. σιτίοισι δὲ χρεέσθω, μαλθακοῖσι μὴ ἁλμυροῖσι, μὴ δὲ δριμέσι. κρέα δὲ ἀμείνω ἰχθύων. ἤγουν ὀρνίθια, ἢ λαγῶα. καὶ λουέσθω θερμῷ μὴ πολλῷ. ἢν δὲ μὴ λωφήσῃ ὁ ῥόος ἀλλ' ὑπολείπηται, καὶ ὑγραίνονται αἱ ὑστέραι, θυμιῆσαι τοῖσι ξὺν τῷ σιδίῳ. καὶ ἔπειτα παρὰ τὸν ἄνδρα ἴτω. κἢν ἐν γαστρὶ ἴσχῃ, ὑγιὴς γίνεται. αἱ δὲ γεραίτεραι, οὐ δύνανται ἀναφέρειν, ἀλλ' ἀπόλλυνται ὑπὸ ἀσθενείης.

Ῥοῦς ἄλλος.

Ῥεῖ ὑπόχλωρον οἷον ἐξ ᾠοῦ. καὶ γλίσχρον. καὶ ἡ γαστὴρ ἀνίσταται ἡ νειαίρη. καὶ σκληρὴ γίνεται. καὶ ἢν ψαύσῃς, ἀλγέει. καὶ βρύχει. καὶ πῦρ ἔχει. καὶ ὀδύνη ἐς τὸ ἐπίσειον. καὶ ἐς τὰ αἰδοῖα. καὶ ἐς τὴν νειαίρην γαστέρα. καὶ ἐς τὰς ἰξύας. καὶ λιποθυμίη. ἀλυσμοί τε καὶ περιψύξιες. καὶ ἱδρὼς πουλύς. σφυγμοὶ πρὸς χεῖρα ψαίροντες. βληχροὶ ἐκλείποντες. καὶ αὐτίκα ὄλλυνται. ἢν δὲ περιῇ, καὶ ἡ χροιή οἱ τρέπεται καὶ γίνηται οἷον περ κηρίον, καὶ ὁ χρὼς τοῖσι δακτύλοισι πιεζόμενος μαλθάσσεται καὶ ἐμπλάσσεται, οἷον περ ἐν σταιτί. καὶ οἰδέουσιν οἱ πόδες καὶ τὰ σκέλεα. ἡ δὲ νοῦσος γίνεται μάλιστα, ἢν ἐν αὐτῇσι τι διακναισθῇ, ἢ ἐνσαπῇ ἐν τοῖσι τόκοισι. αἱ δ' ἀφηλικέστεραι μᾶλλον πάσχουσιν. οὐ πάνυ δὲ ἡ τοιαύτη νοῦσος ἐστὶν εὐήθης.

Ἄλλος ῥόος.

Καθαίρεται οἷον ἀπὸ κρεῶν ὀπτῶν χυμὸς, καὶ ἑλκοῦται τὸ αἰδοῖον, καὶ ὅπῃ ἂν ἄλλῃ τοῦ χρωτὸς ἐπιστάξῃ. καὶ ῥῖγος, καὶ πῦρ ὀξὺ πυκινὸν μέγα. καὶ φρίκη ὁμοῦ λάζεται. ὀδύναι δὲ ἐν πᾶσι τοῖσι ῥόοισιν οἷαι. αὕτη πᾶσα ἀνοιδίσκεται καὶ τὸ κάτω τοῦ ὀμφαλοῦ. καὶ τὰ σκέλεα. καὶ ἡ χροιὴ ἰκτεριώδης γίνεται. ὁ δὲ τοιοῦτος ῥόος γίνεται ἀπὸ τοῦδε. ἐπειδὰν τὸ αἷμα ἐξαρθὲν ὑπόχολον γίνηται, καὶ μὴ καθαρθῇ. ὁκόταν ὧδε ἔχῃ, φάρμακον δεῖ πίνειν. ἢν μὲν ἰσχυρὴ ᾖ, ἐξ ἐλλεβόρου ἢν δὲ ἀσθενὴς, ῥίζαν τε καὶ ἐλατήριον. καὶ ὑστέρῳ χρόνῳ, γάλα αἰγός. ἢ κάτω φαρμακεύειν, ὅ, τι χολὴν καὶ φλέγμα καθαίρει. κλύσαι δὲ τὰς ὑστέρας, τοῖσι ξὺν τῷ κραμβίῳ. πίνειν δὲ ἐλελίσφακον. ὑπερικόν. λίνου σπέρμα. ἑκάστου ἐν οἴνῳ μέλανι αὐστηρῷ. νῆστιν δὲ διδόναι πίνειν. ἢν δὲ ἑλκωμένον ᾖ τὸ αἰδοῖον, μετακλύσαι τοῖσι πικερίῳ. ἔπειτα φάρμακον πῖσαι. καὶ ἐπιχρίειν τὰ ἕλκεα πικέριον. ῥητίνην. σμύρνην. ἀργύρου ἄνθος. διανιζέσθω δὲ ὕδατι ἀπὸ μυρσίνης καὶ ἐλελισφάκου χλιερῶς. σιτίοισι δὲ χρήσθω, μήθ' ἁλμυροῖσι, μήτε δριμέσιν, ὡς μὴ δακνῶδες τὸ οὖρον γίνηται. καὶ τῶν θαλασσίων εἴργεσθαι. καὶ κρεῶν βοείων. καὶ οἴων. καὶ χοιρείων. τοῖς δὲ ἄλλοισι κρέασι χρέεσθαι ἑφθοῖσι. καὶ σιτείσθω ἄρτον καὶ οἶνον εὐώδεα παλαιὸν πινέτω μέλανα. ἢν δὲ ταῦτα ποιέῃ, καὶ μὴ ὑγιὴς γίνηται, πυριῆσαι ὅλην, καὶ φάρμακον δοῦναι τῇ ὑστεραίῃ ἄνω. ἔπειτα διαλιπὼν αὖθις, κάτω. καὶ ἢν μὲν μένῃ ὁ ῥόος, μετὰ τὰ φάρμακα, ἀφεψήσας ὀῤῥὸν, νέμειν ἑκάστης ἡμέρης πίνειν. ἑσπέρην δὲ ῥοφήμασιν. οἴνῳ δὲ γλυκεῖ λευκῷ. ἢν δὲ μὴ ᾖ ὀῤῥὸς, γάλα ὄνου ἑφθὸν πινέτω, ἐπὶ τέσσαρας ἡμέρας. ἑσπέρην δὲ τοῖσιν αὐτέοισι χρήσθω. μετέπειτα δὲ πινέτω ἐπὶ τεσσαράκοντα ἡμέρας, γάλα βοὸς θερμόν. καὶ τῆς ἡμέρης μηδὲν ἐσθιέτω, ὡς ἔπος εἰπεῖν. ἄριστον

γὰρ τοῦτο

γὰρ ὑστέρη. καὶ γὰρ καθαίρεται καὶ τρέφεται καὶ ἀμβλύνεται, ὑπὸ τοῦ τοιοῦδε γάλακτος. ἑσπέρην δὲ δειπνείτω, κρέας ὄρνιθος ὀπτὸν ὀλίγον. καὶ ἄρτον μακρὸν ἐγκρυφίην. ἐπιπίνειν δὲ οἶνον μέλανα παλαιὸν οἰνώδεα. ἐς ὃ ἂν τὸ γάλα πίνῃ, ἢν πολλὰ ἴῃ, καὶ ταράσσηται τὸ δριμύ. καὶ ἢν ταῦτα ποιήσασα ἐν γαστρὶ ἴσχῃ, ὑγιὴς γίνεται. ὅσαι δὲ γεραίτεραί εἰσιν ἐνίοτε ὑποστρέφει ἡ νοῦσος, καὶ ἀπόλλυνται. τῇσι δὲ νέῃσιν, οὐ θανατώδης. χρονίη δὲ τοῦ ἰχωροειδέος ῥόου ἡ θεραπείη. τὸ δὲ ῥευστὸν, ῥέει ὕφαιμον, οἷον περ ἀπὸ κρεῶν ὀπτῶν χυμός. καὶ δάκνει ὡς ἅλμη. καὶ ἐσθίει καὶ ἑλκοῖ τὰ αἰδοῖα. καὶ ἡ ὑστέρη ἀνελκοῦται κατὰ τὰ πέριξ. καὶ τοὺς μηρούς, καὶ τὰ ἄλλα. ἐπειδὰν ἐπιστάξῃ ἐπὶ τὰ ἱμάτια βάπτεται. καὶ δύσπλυτα ἐμμένει. καὶ ἡ γαστὴρ ἐπαίρεται καὶ σκληρὴ γίνεται. καὶ ἀλγεῖ ἢν ψαύσῃ. καὶ θέρμη ἔχει ἐς τὰ αἰδοῖα, καὶ διὰ τὴν ἕδρην, καὶ διὰ τὴν νειαίρην γαστέρα, καὶ κενεῶνας, καὶ ἰσχία. καὶ ἰξύας, ἀδυναμίη. καὶ ἡ χροιὴ τρέπεται ὡς ἰκτερώδης. ἢν δὲ ὁ χρόνος μηκύνῃ καὶ ἡ νοῦσος ταῦτα πάντα πολὺ μᾶλλον ἐπιλαμβάνει. καὶ τὰ κοῖλα ἐπανίσταται. καὶ οἱ πόδες οἰδέουσι. καὶ τὰ σκέλεα ἀπὸ τῶν ἰξύων. ἡ δὲ νοῦσος, λάζεται ἐπὴν διακναισθῇ τι τοῦ ἐμβρύου, ἢ ἐκτρώσῃ ἐν τόκῳ. χρὴ δὲ πυριῆν, καὶ θυμιῆν καὶ πιπίσκειν. ταῦτα πάντα καὶ ἴσχει τὸν ῥόον. καὶ ὄνειον γάλα καὶ τὰ ἄλλα προσάγειν, καὶ ἐμέειν ἢν δέῃ. ἢν δὲ ἄπυρος ᾖ καὶ βληχρὸς ἔχῃ, ἄμεινον ξηρὴ πυρίη. Ὁκόταν δὲ τὴν κεφαλὴν τραπῶσιν αἱ ὑστέραι, καὶ τῇδε λήγει ὁ πνιγμός. κεφαλὴν βαρύνει. ἄλλῃσι δὲ ἄλλῃ πῆ τέκμαρ ἴσχεται. σημήιον δὲ τόδε. τὰς φλέβας τὰς ἐν τῇ ῥινὶ, καὶ τὰς ὑπὸ τοῖσιν ὀφθαλμοῖσιν ἀλγέειν φασί. καὶ κῶμα ἴσχει. καὶ ἀφρίζει ὅταν ῥαΐσῃ. ταύτην χρὴ λούειν πολλῷ καὶ θερμῷ. ἢν δὲ μὴ ἐνακούῃ, ψυχρῷ. καὶ κατὰ κεφαλῆς δάφνην τε καὶ μυρσίνην ἐνεψῶν ἐν τῷ ὕδατι. καὶ ψύχων καὶ ῥοδίνῳ μύρῳ τὴν κεφαλὴν χριέσθω. καὶ ὑποθυμιάσθω τὰ εὐώδεα. τὰ δὲ κακώδεα, ὑπὸ τὰς ῥῖνας. καὶ τὴν κράμβην ἐσθιέτω. καὶ τὸν χυλὸν ῥοφεέτω. ἢν δὲ πρὸς τὴν καρδίαν προσιστάμεναι πνίγωσιν αἱ ὑστέραι, καὶ ἀνάσσυτος ἴῃ. ὁ ἀὴρ βιώμενος ἀλγηδύνει καὶ ἐμέει. καὶ ἔστιν ᾗσιν αὐτίκα ἑλκυσθεῖσα κάτω χωρέει, καὶ φῦσα ἔξεισιν. ἡ μὲν ἐμέει, ἀφρώδεα. ἡ δὲ φαῦλα γίνεται. ᾗσι δὲ οὐκ ἀφίστανται πράσου τὸν καρπὸν, καὶ μήκωνα τρίψας δὶς ὕδατος κυάθοις τρισὶ δίδου πίνειν. καὶ ὄξος λευκοῦ ἀρήγει πόσις κύαθος. ἢ ἀρκεύθου καρπὸν καὶ ἐλελίσφακον ὄξος σὺν τοῖσιν εἴδεσιν, ἢ οἶνον. ἀλείφεσθαι δὲ χρὴ ἢ ἄλειφα χηνὸς, κηρωτὴν ἐρρητινωμένην. καὶ πίσσαν ἐν αὐτῇ τῆξαι. καὶ προσθετὰ ποιέειν. ὅταν δὲ ὡς πρὸς τὰ ὑποχόνδρια προσπέσωσιν, πνίγουσιν. ἐπὴν ἐνθάδε τὸ στερεὸν ᾖ τοῦ πάθεος καὶ ἐπιλαμβάνει ἔμετος πυρώδης δριμὺς, καὶ ῥᾴων γίνεται ὀλίγον χρόνον. καὶ διὰ τὴν κεφαλὴν καὶ διὰ τὸν τράχηλον ὀδύνη διαμπερὴς, χλιάσματα προστιθέναι ἢν ἄνω πνίγωσιν. ὑπὸ δὲ τὰς ῥῖνας θυμιῆν τὰ κάκοσμα ἐκ προσαγωγῆς. ἢν γὰρ ἀθρόως ἴωνται αἱ ὑστέραι, διὰ τὰ κάτω, καὶ ὄχλος γίνεται. εὔοσμα δὲ κάτω. καὶ πιεῖν διδόναι τὸ καστόρειον. καὶ τὴν κόνυζαν. ἐπὴν δὲ κάτω ἑλκυσθῶσιν, ὑποθυμιῆν τὰ εἰδεχθέα. ὑπὸ δὲ τὰς ῥῖνας, τὰ εὐώδεα. ἢν δὲ αἱ ὀδύναι παύσωνται, φάρμακον πῖσαι κάτω. καὶ μεταπιπίσκειν γάλα ὄνου, ἢ ὀῤῥὸν, ἢν μὴ σπληνώδης ᾖ ἀπὸ γενέσιος, ἢ λίφαιμος, ἢ ἄχροος. ἢ τὰ οὔατα ἠχώδεα ἔχῃ, διὰ συγγένειαν ᾗσιν ἐθάδες ἀπὸ νεότητος αἱ νοῦσοι. τὴν δὲ ἄνω κοιλίην, μὴ κινέειν. ἀμβλυώσσουσι γὰρ ἢ ἀμφὶ τὴν φάρυγγα ὄχλοι, καὶ τὰ ἄλλα. διδόναι δὲ πτισάνης χυλόν. ἢν σφόδρα δὲ καὶ εὐεμὴς ᾖ καὶ ἐμέτω. κλυσμὸς δὲ ἄριστος, ὁ διὰ ναρκίσσου. προσθετὸν, τὸ διὰ κανθαρίδων. ἢν προσέωσιν αἱ ὑστέραι πρὸς τὰ ὑποχόνδρια, πνίγεται ὡς ὑπὸ ἐλλεβόρου. καὶ ὀρθόπνους γίνεται. καὶ καρδιωγμοὶ ἐπιγναροί. αἱ δὲ καὶ ἐμέουσιν ἐνίοτε, σίελον ὀξύν. καὶ τὸ στόμα ὕδατος ἐμπέπλησαι. καὶ τὰ σκέλεα ἀποψύχονται. αἱ τοιαῦται κἂν μὴ ταχὺ ἀφιστῶνται ἀπὸ τῶν ὑποχονδρίων, ἄναυδοι γίνονται. καὶ τὰ ἀμφὶ τὴν κεφαλὴν, καὶ τὴν γλῶσσαν νάρκη ἔχει. πρὸς μὲν τὰς ὑστέρας, προσθεῖναι εἴριον πρὸς τὸν αὐλὸν, ὡς ἔνι μάλιστα τοῦ πτεροῦ περιελίξας βάψαι, ἢ λευκῷ ἢ αἰγυπτίῳ, ἢ μυρσίνῳ, ἢ βακχαρίνῳ ἢ ἀμαρακίνῳ. διὰ δὲ τὰς ῥῖνας, τοῦ φαρμάκου, τοῦ μέλανος, τοῦ τῆς κεφαλῆς λαβόντα τῇ μήλῃ ἐμπλάσαι. ἢν δὲ μὴ ᾖ ἕτοιμον, τῷ ὀπῷ διαλεῖψαι τὰς ῥῖνας. ἢ πτερὸν ὄξει βάψαι, καὶ καθῆραι. διαλεῖψαι δὲ τὰς ῥῖνας ἢ τοῦ πταρμικοῦ προσθεῖναι. ὅταν δὲ κλυσθῇ τὸ στόμα, καὶ ἡ ἐναυλίη, δοῦναι πιεῖν τοῦ καστορείου ἐν οἴνῳ. τὰς δὲ ῥῖνας διαλεῖψαι ἔλαιον φώκης. τὸ δὲ εἴριον ἐᾶν προσκεῖσθαι, μέχρι οὗ καταστέωσιν. ὅταν δὲ παύσηται, ἀφελέσθαι χρή. ἢν δὲ ἀφαιρεθέντος αὖθις ἀναχωρήσωσι, τὸ εἴριον αὖθις προσθεῖναι τὸν αὐτὸν τρόπον. ὑπὸ δὲ τὰς ῥῖνας θυμιῆν, κέρας μέλαν αἰγὸς, ἢ ἐλάφου, κνήσας ἐπι-

πάσσων ἐπὶ σποδιὴν θερμήν, ὅκως μάλιστα θυμιήσηται. καὶ εἰρυσάτω τὴν ὀδμὴν ἄνω διὰ τῶν ῥινῶν, ὡς ἂν δύνηται μάλιστα θυμιῆν. φώκης ἔλαιον ἐπ᾽ ὄστρακον ἐπιτιθέντα, ἄνθρακας περικαλύψαι. καὶ τὴν κεφαλὴν ὑποβρίχειν, ὡς μάλιστα ἡ ὀσμὴ ἐσίῃ. καὶ ἐπιστάζειν τοῦ λίπεος. καὶ ἄνω ἑλκέτω τὴν ὀδμήν. τὸ δὲ στόμα ξυμμεμυκέναι. ἢν ἄνω προσπίπτωσι, ταῦτα χρὴ ποιέειν.

Ην αἱ μῆτραι πρὸς τὸ ἧπαρ τράπωσιν, ἄφωνος ἡ γυνὴ ἐξαπίνης γίνεται. καὶ τοὺς ὀδόντας ξυνερείσαι. καὶ ἡ χροιὴ πελιδνὴ γίνεται. ἐξαπίνης δὲ ταῦτα πάσχει, ὑγιὴς ἐοῦσα. γίνεται δὲ μάλιστα, παρθένοισι παλαιῇσι, καὶ χήρῃσιν ὁκόσαι καὶ τοκέουσαι χηρεύουσι. γίνεται δὲ μάλιστα τῇσιν ἀφόροισι πάμπαν καὶ στείρῃσιν αἳ ἐκ τῶν τόκων εἰσίν. οὐ γὰρ γίνεται ἡ λοχείη κάθαρσις. καὶ οὐκ ἀνοιδίσκεται ἡ ὑστέρη. οὐδὲ μαλθάσσεται. οὐδὲ ἐμέουσιν. ὅταν ὧδε ἔχῃ, τῇ χειρὶ ἀπωθέεσθαι ἀπὸ τοῦ ἥπατος παρηγορικῶς τὸ οἶδος ἐς τὸ κάτω, καὶ ἀποδῆσαι ταινίῃ τὰ ὑποχόνδρια, καὶ τὸ στόμα διανοίγειν. οἶνον δὲ ὡς εὐωδέστατον κεκρημένον ἐγχέειν, ὅτε χρὴ καὶ προσέχειν πρὸς τὰς ῥῖνας τὰ κάκοδμα καὶ ὑποθυμιῆν. πρὸς δὲ τὰς ὑστέρας, τὰ εὐώδεα καὶ ὅσα θυμιητά. καὶ ἐπὴν ἴῃσι, φάρμακον πῖσαι κάτω χρή. ἢν μὲν χολώδης ᾖ, ὅ, τι χολὴν καθαίρει. ἢν δὲ φλεγματώδης, ὅ, τι φλέγμα. κἄπειτα πιπίσκειν γάλα ὄνου ἑφθόν. καὶ τὰς ὑστέρας πυριῆσαι εὐώδεσι. καὶ προστίθεσθαι τὸ ξὺν τῇ βουπρήστει. τῇ δὲ ὑστεραίῃ, νέτωπον. διαλιπὼν δὲ πάλιν ἡμέρας δύο, κλύσαι τὰς ὑστέρας εὐώδεσιν. ἔπειτα διαλιπὼν μίαν ἡμέρην, θυμιῆσαι τοῖσιν ἀρώμασιν. ταῦτα ποιέειν τὴν χήρην. ἄριστον δὲ ἐν γαστρὶ ἔχειν. τὴν δὲ παρθένον, πείθειν ξυνοικέειν ἀνδρί. πρὸς δὲ τὰς ῥῖνας, ἀέρειν, μὴ δὲ τὸ φάρμακον πίνειν νῆστιν τὸν κάστορα. καὶ κόνυζαν δὲ ἐν οἴνῳ ὡς εὐωδέστατον πίνειν ἐς εἴκοσιν ἡμέρας. καὶ τὴν κεφαλὴν μὴ ἀλείφεσθαι εὐώδει. μὴ δ᾽ ὀσφραίνεσθαι τινὶ τῶν εὐωδέων.

Ην δὲ αἱ μῆτραι φλεγμήνωσι παρὰ τὸ πλευρόν, ἢν ψαύσῃς σκληρὸν φαίνεται. καὶ ὅταν προσπέσωσι τὰ ὑποχόνδρια, πνίγουσι. καὶ ἐμέει φλέγμα ὀξύ. καὶ τοὺς ὀδόντας αἱμωδέειν ποιέει. ἐπειδὰν ἐμέσῃ, ῥᾷον ἔχειν δοκέει. ὅταν δὲ κάτω ὁρμήσωσιν, ἀφίστανται ἀπὸ τῆς γαστρός, ἄλλοτε ἄλλῃ. μάλιστα δὲ ἐς τοὺς κενεῶνας ἔστιν ὅτε ἐμπίπτουσι, καὶ ἐς τὴν κύστιν, καὶ στραγγουρίη ἐπιλαμβάνει. καὶ ἐς τὴν ἕδρην, καὶ δοκέει ἀποπατεῖν. καὶ τὰ ἐπιμήνια πρότερον ἢ ὕστερον τοῦ μεμαθηκότος γίνεται. ἢ οὐκ ἐπιφαίνεται ταύτῃ αὐτίκα. ταύτης τῆς νούσου. ἢν τὰ ἄνω πνίγωσι, χλιάσματα προστιθέναι, καὶ ὑποθυμιῆν τὰ κάκοδμα πρὸς τὰς ῥῖνας. πρὸς δὲ τὰς ὑστέρας, τὰ εὐώδεα. καὶ πίνειν κόνυζαν τὴν θήλειαν. καὶ κάστορα ἐν οἴνῳ νῆστιν. ἐπὴν δὲ τῇ φύσει καθιστέωσι θυμιῆσαι ἠρεμέως. πινέτω δὲ διουρητικά. ταῦτα ποιέειν, ἕως ἂν αἱ ὀδύναι ἔχωσιν. ἐπὴν δὲ παύσωνται πυριήσας ὅλην, ἔπειτα πῖσαι φάρμακον κάτω, ἢν μὲν χολώδης ᾖ, ὅ, τι χολὴν καθαίρει. ἢν δὲ φλεγματώδης, ὅ, τι φλέγμα ἄγει. καὶ πιπίσκειν γάλα ὄνειον, ἢ ὀῤῥὸν αἴγειον ἑφθόν. ἢν δὲ σπληνώδης ᾖ, μὴ πιπίσκειν τὸ γάλα. μὴ δὲ τὸν ὀῤῥόν. καὶ ἐν τοῖσι καθαρμοῖσι, σιτίοισι χρέεσθαι μαλθακοῖσι καὶ ὑποχωρητικοῖσιν. ἰχθύες δὲ ἀμείνους κρεῶν. καὶ πυριῆν τὰς ὑστέρας, ἢ καθαίρειν προσθετοῖσι. καὶ κλύσαι αὐτάς. καὶ ὑποθυμιησαμένη, παρὰ τὸν ἄνδρα ἴτω. λύσις δὲ τῆς νόσου ἐπὴν λάβῃ ἐν γαστρί.

Ην αἱ μῆτραι πρὸς τὰς πλευρὰς προσπέσωσιν, βὴξ ἴσχει. καὶ ὀδύνη ἐπὶ τὸ πλευρὸν καὶ προσίσταται σκληρὴ ὡς σφαῖρα. καὶ ἁπτομένη πονέει, ὡς ἀπὸ ἕλκεος. καὶ καταφθίνει. καὶ δοκέει οἷον περιπλευμονίη εἶναι, καὶ εἰρύεται. καὶ κυφὴ γίνεται. καὶ τὰ ἐπιμήνια οὐ φαίνεται. ἐνίῃσι δὲ καὶ ἀπόλλυται προφανέντα. τότε δὲ γινόμενα ἀσθενέα καὶ ὀλίγα κακίονα. καὶ ἡ γονὴ οὐ γίνεται τουτέου τοῦ χρόνου. ὅταν ὧδε ἔχῃ, φάρμακον χρὴ πῖσαι κάτω ἐλατήριον, καὶ λούειν πολλῷ θερμῷ. καὶ τῶν χλιασμάτων ἃ ἂν προσδέχηται, προσίσχειν καὶ προστιθέναι ὑφ᾽ ὧν καθαίρεται τὸ αἷμα. καὶ λίνου σπέρμα, φῶσαι. κόψαι καὶ σῆσαι, καὶ μήκων ὁ λευκός, ὠφελέουσι. καὶ ἐλελίσφακος σὺν ἀλφίτοισι λεπτοῖσι. καὶ τυρὸν αἴγειον, ἐπιξύσας τὴν ἅλμην. ταῦτα μίσγειν. μίαν μοῖραν τυροῦ, καὶ τῶν ἀνάλτων ἀλφίτων μοῖραν. καὶ νῆστιν πίνειν δίδου, ἐν οἴνῳ. ὅταν δὲ ἕσπερος ᾖ, κυκεῶνα παχὺν, μέλι ἐπιχέων, δίδου πιεῖν. καὶ τῶν πομάτων, ἃ δεῖται πιπίσκειν. καὶ πυριῆν πυκνά. καὶ τῷ θερμῷ καταιονᾷν. καὶ τῇ κηρωτῇ ἡσύχως, καὶ μαλθακῶς, καὶ ὁμαλῶς ἀπωθέειν ἀπὸ τοῦ πλευροῦ τὰς μήτρας. καὶ ἀναδεῖν περὶ πλευρῷ ταινίῃ πλατείῃ. καὶ γαλακτοποτέειν βόειον γάλα ὡς πλεῖστον, ἐπὶ ἡμέρας τεσσαράκοντα. σιτίοισι δὲ χρῆσθαι, ὡς μαλθακωτάτοισιν. ἡ δὲ νοῦσος, σπερχνή τε καὶ θανατώδης. καὶ

ὀλίγαι

καὶ ὀλίγαι φθέγγουσιν ὧδε μελεδαινόμεναι. Ἢν δὲ ἐν τῇ ὀσφύϊ αἱ ὑστέραι ἐνῶσιν, ἢ ἐν τῷ κενεῶνι, καὶ ἢν πνεῦμα μετάρσιον, καὶ πνῖγος ἔχῃ, καὶ ἆσθμα ἢν λάζηται πυκνὸν, καὶ οὐκ ἐθέλει κινέεσθαι. τρίψας θεῖον, ἢ ἄσφαλτον, ἢ κώνειον, ἢ σμύρναν, μέλι ἑφθὸν παραχέας, ποιέειν δὲ βάλανον μακρὴν, παχείην, καὶ ἐντιθέναι ἐς τὴν ἕδρην. Ἢν αἱ μῆτραι ἑλκέωσι σφέας ἐς τὸ μεσηγὺ τῶν ἰξύων, ὀδύνην ἔχει, καὶ τὴν νειαίρην γαστέρα, καὶ τὰ σκέλεα εἰρύαται, καὶ τὰς κοχώνας ἀλγέει. καὶ ὁκόταν ἀποπατήσῃ, ὀδύναι ἴσχουσιν ὀξεῖαι. καὶ ὁ ἀπόπατος προέρχεται ὑπὸ βίης σμικρός. καὶ τὸ οὖρον ζύζει τε, καὶ ὀλιγοψυχίη λαμβάνει. ὁκόταν ὧδε ἔχῃ, χρὴ προσδῆσαι τῇ κύστει αὐλίσκον. καὶ ἐγκλύζειν ἔλαιον θερμὸν ἐς τὰς ὑστέρας. καὶ πυριῆν, ἢ λοῦσαι πολλῷ, καὶ θερμῷ ὕδατι. καὶ ἐς ἔλαιον καὶ ἐς ὕδωρ καθίζειν. ὑποθυμιῆν δὲ ὑπὸ τὰ αἰδοῖα, κακώδεα. ὑπὸ δὲ τὰς ῥῖνας, εὐώδεα. ἐπὴν δὲ ἡ ὀδύνη παύσηται, φάρμακον διδόναι ἄνω. τὴν δὲ κάτω κοιλίην, οὐ χρὴ ταράσσειν. ἐπὴν δὲ αἱ ὑστέραι καταστέωσι, φάρμακον πῖσαι κάτω, γάλα ὄνου, ἢν μὴ σπληνώδης ἦ. ἔπειτα πυριῆσαι, καὶ καταιονᾶν τὰς ὑστέρας, τὸ ξὺν τῇ δάφνῃ προσιθεὶς, προθετὴν καθαρτήριον ὃ μὴ δήξηται. κἄπειτα θυμιωμένη πᾶσι ἀρώμασι, παρὰ τὸν ἄνδρα ἴτω. καὶ ἢν ἐν γαστρὶ ἴσχῃ, ὑγιὴς γίνεται. ἄτοκοι δὲ πολλαὶ καὶ πηραὶ τὰ σκέλεα πολλάκις γίνονται. Ὁκόσῃσι δὲ τὸ στόμα κλίνεται ἑτέρωσε, καὶ προσπίπτει πρὸς τὸ ἰσχίον, γίνεται γὰρ καὶ τοιαῦτα διακωλύοντα τὴν ὑστέρην καθαίρεσθαι, καὶ τὴν γονὴν δέχεσθαι, καὶ μὴ παιδοποιέειν. ταύτην πυριῆν χρὴ, τοῖσιν εὐώδεσι. καὶ μετὰ τὴν πυρίην παραπασαμένη τῷ δακτύλῳ, ἀποστῆσαι ἀπὸ τοῦ ἰσχίου. κἄπειτα διευθύνειν τοῖσι δαιδίοισί τε καὶ τῷ μολίβδῳ. οὐ γὰρ βιήσεται θοῶς ὡς εἴρηται. ὅταν δὲ κατὰ φύσιν ἦ καὶ ἀνεστομωμέναι γίνονται, προθέτοισι μαλθακοῖσι καθαίρειν, καὶ τἄλλα προσηκόντως ποιέειν. Ὁκόσῃσιν ὑστέραι προσπίπτουσι πρὸς τὸ ἰσχίον, ἢν μὴ ταχέως ἀφιστέωνται, καὶ πάλιν ἐς χώρην καθιστέωνται, προσαυαίνονται πρὸς τὸ ἰσχίον. ἀνάγκη δὲ τὸ στόμα ἀπεστράφθαι, καὶ ἀνωτέρω ἴσχεσθαι. ὅταν δὲ ἀποστραφῇ, ξυμμύσαι. ἐκ δὲ τοῦ ἀπεστράφθαι τε καὶ ξυμμύσαι, σκληρὸν γενέσθαι. καὶ ξυμμύειν καὶ πεπηρωμένον τὸ στόμα τῶν ὑστερέων εἶναι. ἀποκλεισθέντων δὲ ἐπαναπέμπειν τὰ ἐπιμήνια ἐς τοὺς μαζοὺς, καὶ βεβηκότας τοῦ στήθεος ποιέει. καὶ ἡ γαστὴρ ἡ νειαίρα ἐπῆρται. καὶ δοκέουσιν αἱ ἄπειροι, ἐν γαστρὶ ἔχειν. πάσχουσι γὰρ τὰ τοιαῦτα, οἷα περ αἱ κύουσαι, μέχρι μηνῶν ἑπτὰ, ἢ ὀκτώ. ἥ τε κοιλίη ἐπιδιδοῖ κατὰ λόγον τοῦ χρόνου. καὶ τὰ στήθεα ἐπαίρεται. καὶ γάλα δοκέει ἐγγίνεσθαι. ὁκόταν δὲ οὗτος ὁ χρόνος ὑπερπέσῃ, οἵ τε τιτθοὶ συνισχναίνονται, καὶ ἐλάσσους γίνονται. καὶ ἡ κοιλίη, τὸ αὐτὸ πάσχει. καὶ τὸ γάλα ἀποδέδρηκεν ἄδηλον. καὶ ἡ κοιλίη ἐπ' ἐκεῖνον τὸν χρόνον ἐν ᾧ ἐδόκεε τίκτειν ἐπειδὰν ἔλθῃ, ἀποδέδρηκέ τε, καὶ ξυμπίπτει. τοιούτου δὲ γινομένου, αἱ ὑστέραι ἰσχυρῶς ἐς ὀλίγον χρόνον συνέρχονται. καὶ τὸ στόμα αὐτέων ἐξουρεῖν ὀκνοῖόν τε. οὕτω πάντα ξυνειρύονταί τε καὶ ξυναυαίνονται. καὶ ἐν τοῖσι τιτθοῖσι, φυμάτια γίνονται σκληρά. τὰ μὲν μέζω, τὰ δὲ ἐλάσσω. ταῦτα δὲ οὐ γίνονται ἔμπυα, ἀλλ' αἰεὶ σκληρότερα γίνονται. εἶτα ἐξ αὐτέων φύονται καρκίνοι κρυπτοί. μελλόντων δὲ καρκίνων ἔσεσθαι, πρότερον τὰ στόματα ἐκπικραίνονται. καὶ ὅ,τι ἂν φάγωσι, πάντα δοκοῦσι πικρὰ εἶναι. καὶ ἤν τις πλέω διδῷ, ἀναίνονται λαβεῖν. καὶ ἀχεταῖα δρῶσι. παράφοροι δὲ τῇ γνώμῃ. καὶ ὀφθαλμοὶ σκληροί. καὶ βλέπουσιν οὐκ ὀξέα. καὶ ἐκ τῶν τιτθῶν ἐς τὰς σφαγὰς, ὀδύναι διαΐσσουσι, καὶ ὑπὸ τὰς ὠμοπλάτας. καὶ δίψα ἴσχει. καὶ αἱ θηλαὶ καρφαλέαι. καὶ αὗται πᾶν τὸ σῶμα λελεπτυσμέναι εἰσί. καὶ αἱ ῥῖνες ξηραί τε καὶ ἐμπεπλασμέναι εἰσὶν οὐκ ἀφεόμεναι. πνεῦμα μινυθῶδες. καὶ οὐκ ὀδμῶνται οὐδέν. καὶ ἐν τοῖσιν ὠσὶ, πόνος μὲν οὐκ ἐγγίνεται. πῶρος δὲ ἐνίοτε. ὁκόταν οὖν ἐς τόσον προΐωσι τοῦ χρόνου, οὐ δύνανται ὑγιέες γίνεσθαι, ἀλλ' ἀπόλλυνται ἐκ τουτέων τῶν νουσημάτων. ἢν δὲ πρότερον ἢ ἐς τόσον ἀφικέσθαι θεραπευθῇ καὶ λυθῇ τὰ ἐπιμήνια, ὑγιὴς γίνεται. θεραπεύειν δὲ τὰς τοιάσδε ὧδε χρή. πρῶτον καὶ ἁπάντων ἢν ἔτι ἰσχυρὴν ἐοῦσαν λαμβάνῃς, ἀποσκεψάμενος ἐς τὸ ἄλλο σῶμα φαρμακεύειν, ὁκοίης ἄν τινος δοκέῃ δεῖσθαι καθάρσιος. ὁκόταν δὲ καταστήσῃς τὸ σῶμα οὕτως ἰέναι ἐς τὴν τῶν ὑστερέων θεραπείην. ἢν δὲ μηδὲν δοκέῃ τὸ πᾶν σῶμα κινητέον εἶναι, μὴ δὲ αἱ προφάσιες ἐντεῦθεν ὁρμῆσθαι, ἀλλ' αἱ ὑστέραι ἐφ' ἑωυτῶν τὸ νούσημα ἔχωσι, τῆς θεραπείης ἐνάρχεσθαι ὧδε. πυριῆν πρῶτον τὰς ὑστέρας ὧδε. χύτρινον ὅσον δύο ἑκταίας χωρέοντα, κανίον ἐπιθεῖναι καὶ ξυναρτῆσαι, ὅκως παραπνεύσηται μηδέν. ἔπειτα δὲ κόψαι τοῦ κανίου τὸν πυθμένα, καὶ ποιῆσαι ὀπὴν, ἐς δὲ τὴν

ὀπὴν, ἐνθεῖναι κάλαμον, μῆκος ὅσον πηχιαῖον. ἐναρμόσαι δὲ χρὴ τὸν κάλαμον τῷ κανίῳ καλῶς, ὅκως μὴ παραπνεύσηται μηδαμῶς. ὁκόταν δὲ ταῦτα σκευάσῃς, ἐπιθεὶς τὸ κάνιον, ἐπὶ τὸ χύτρινον περιπλάσας πηλῷ. ὅταν δὲ ταῦτα ποιήσῃς, βόθρον ὄρυξον, ὅσον δύο ποδῶν βάθος. μῆκος δὲ ὅσον χωρέειν τὸ χύτρινον. ἔπειτα χρὴ ἐγκαίειν ξύλοις, ἕως τὸν βόθρον διάπυρον ποιήσῃς. ὅταν δὲ διάπυρος γένηται, ἐξελεῖν χρὴ τὰ ξύλα. καὶ τῶν ἀνθράκων οἱ δὴ ἀκαπνότατοι ἔσονται καὶ διάπυροι. τὴν δὲ σποδιὴν καὶ τὴν μαρίλην, ἐν τῷ βόθρῳ καταλιπεῖν. ὁκόταν δὲ ὁ χύτρινος ζέσῃ, καὶ ἡ ἀτμὶς ἐπανίῃ. ἢν μὲν ἡ λίην θερμὴ ἡ πνοή, ἐπιχεῖν. εἰ δὲ μή, καθίζεσθαι ἐπὶ τὸ ἄκρον τοῦ καλάμου, καὶ ἐνθέσθαι ἐς τὸν στόμαχον. ἔπειτα πυριῆσαι. ἢν δὲ ψύχηται, ἄνθρακας διαπύρους παραβάλλειν, φυλασσόμενος, ἵνα μὴ ὀξείην ποιήσῃς τὴν πυρίην. ἢν δὲ παραβαλλομένων τῶν ἀνθράκων ὀξείη γένηται ἡ πυρίη μᾶλλον τοῦ δέοντος, ἀφαιρέειν τῶν ἀνθράκων. τὴν δὲ πυρίην χρὴ κατασκευάζειν ἐν εὐδίῃσιν, ὅκου ἄνεμος μὴ προσπνεύσῃ, μὴ δὲ περιψύξῃ. ἀμφικεκαλύφθαι δὲ χρὴ ἀμφιέσμασιν. ἐς δὲ τὸν χύτρινον χρὴ βάλλειν σκόροδα τῶν αὔων. καὶ πλείονα μὲν καταθρύπτειν τῶν κατακεκαυμένων. καὶ ὕδωρ ἐπιχέαι, ὥστε αὐτὰ καταβρέξεται. καὶ ὑπερέχειν τὸ ὕδωρ τουτέων, οἷον τρεῖς δακτύλους. καὶ ἐπιχεῖν φώκης ἔλαιον. καὶ οὕτως θερμαίνειν. πυριῆν δὲ χρὴ, πουλὺν χρόνον. μετὰ δὲ τὴν πυρίην, ἢν ἡ δυνατή, λουσάσθω. τὸ μὲν οὖν ὅλον σῶμα πρὸς ἀδυνήν. τὴν δὲ ὀσφῦν καὶ τὰ κάτω τοῦ ὀμφαλοῦ, πλέον. δειπνεῖν δὲ δοῦναι μᾶζαν, ἄρτον, καὶ σκόροδα ἑφθά. τῇ δὲ ὑστεραίῃ ἢν μὲν διαλελυμένη ἡ πρὸς τὴν πυρίην, διαλιπεῖν τὴν ἡμέρην ταύτην. ἢν δὲ μή, πυριῆν ὀπίσω. πυριωμένη δὲ ἢν δύνηται σκέψασθαι κελεύειν ψαῦσαι τοῦ στόματος, ἢν ἡ πυρίη αὐτέῃ φύσας ἐμπιπλᾷ τὰς ὑστέρας. ἐμπιπλάμεναι δὲ φύσης, τὸ στόμα ἐκ τοῦ λίην ἀπεστράφθαι, καὶ προσπεπτωκέναι πρὸς τῷ ἰσχίῳ, ὡς ὀρθὸν μᾶλλον καθεστᾶσι, καὶ ἀναστομοῦνται. ὡς οὖν τοιαύτης ἐούσης τῆς πυρίης, καὶ ταῦτα ποιέειν δυναμένης, οὕτω πυριῆν δεῖ. ὅταν δὲ πυριήσῃς, ἐμβάλλειν χρὴ τῶν σκορόδων, καὶ τῆς φώκης τοῦ ἐλαίου ἐπιχέειν. δῆλον δὲ ταῦτα ἄχρις ἂν δοκῶσιν αἱ ὑστέραι πεφυσῆσθαι, καὶ τὸ στόμα ἄνω εἱλκῦσθαι ἰσχυρῶς. πρὸς γὰρ τὴν πυρίην ταύτην, τοιάδε ἔσται. δίαιταν δὲ μετὰ τὰς πυρίας, ὡς ὅτε τὸ πρότερον πυριῆν. ὁκόταν δὲ ἀνακινηθῶσιν αἱ ὑστέραι, καὶ εὔλυτοι γένωνται, πυριῆν μαράθου ῥίζῃσιν. ἕτερον τε χύτρινον κατασκευάσαι τὸν αὐτὸν τρόπον. τὰς δὲ ῥίζας τοῦ μαράθου ἀμφιπλύναντα φλάσαι, καὶ ἐς τὸν χύτρινον ἐμβαλεῖν. καὶ ἐπιχέας ὕδωρ, τὸν αὐτὸν τρόπον πυριῆν. μετὰ δὲ ταῦτα, λούειν. καὶ ἐς ἑσπέρην, δειπνεῖν μᾶζαν. ἢν δὲ ἄρτον βούληται, καὶ βολβίδια καὶ σηπίδια τῶν σμικρῶν, ἐν οἴνῳ ἑψεῖν καὶ ἐν ἐλαίῳ, καὶ παρέχειν ἐσθίειν. ἐν δὲ τῇ πυρίῃ, πειρᾶσθαι τοῦ στόματος ψαύειν, εἰ ἡ πυρίη ἄγειν τὰς ὑστέρας ἄγχιστα. ταύτας χρὴ πυριῆν, ἐφ' ἡμέρας πέντε ἢ ἕξ, σκεπτόμενον ἐς τὴν ἄνθρωπον. κἢν μὲν διαλύηται καὶ ἀσθενὴς γίνεται, διαλαμβάνειν ἐς ὅσον δεῖ χρόνον. ἢν δὲ μὴ διαλύηται, πυριῆν ἀνὰ πᾶσαν ἡμέρην. μετὰ δὲ τὰς πυρίας πειρᾶσθαι προστιθέναι τῶν προσθέτων, τῆς πάλαι δαιδὸς πιοτάτης. χρῖσμα δὲ, λῖπα ἔστω. ποιέειν δὲ μῆκος μὲν, δακτύλων ἕξ, πλῆθος δὲ, πέντε ἢ ἕξ. εἶδος δὲ, ἔξουρα. ἔστω δὲ θάτερον θατέρου, σμικρῷ βραχύτερον. τὸ δὲ παχύτερον, ἔστω ὁκόσον δάκτυλος ὁ λιχανός. καὶ τὸ εἶδος ὅμοιον τῷ δακτύλῳ ἐξ ἄκρου λεπτότατον. ἀγόμενον δὲ, παχύτερον. ποιέειν δὲ, ὡς λειότατόν τε καὶ στρογγυλώτατον. φυλασσόμενον δὲ, ὅκως σχινδαλμὸς μηδεὶς ἔσται. προστιθέναι δὲ πρῶτον τὸ λεπτότατον. ὅταν δὲ προστεθῇ, ἀναπαυέσθω, ὅκως μὴ ἐκπέσῃ φυλάσσουσα. προστιθέτω δὲ πρῶτον τὸ ἄκρον. εἶτα καὶ αἰεὶ μᾶλλον ὁμοῦ τε ἐπιστρέφειν καὶ ἀπωθέειν κυκλόσε τὸ δαίδιον. καὶ ὁκόταν σμικρὸν προσδέξηται, ἐπέχειν ἐν τῷ σμικρῷ τουτέῳ, φυλάσσουσα ὡς μὴ ἐκπέσηται. εἶτα αὖθις ἀπωθέειν ἐς τὸν αὐτὸν τρόπον, ἄχρις οὗ τεσσάρων δακτύλων τὸ ἔσω τοῦ στόματος τῶν ὑστερέων γένηται. ὅταν δὲ τοῦτο προσδέξηται, τὸ μετὰ τοῦτο προστιθέναι ὁμοῦ τὸ προκείμενον ἀφαιρέουσα, ὅκως πρὶν ξυμπεσεῖν τὸ στόμα, προκείσεται ἐπὶ ὀρθοῦ ἐόντος καὶ ἀνεῳγμένου. οὕτως δὲ τοῦτο ἔσται, ἢν τὸ μὲν ἐξαιρέηται, τὸ δὲ προστίθηται. χρὴ δὲ καὶ μόλυβδον ἴκελον ἐξελάσαντα ποιῆσαι τὸ εἶδος τῷ δαιδίῳ τῷ παχυτάτῳ, κοῖλον δὲ ὅκως ξυνέξῃ. τοῦ δὲ μολύβδου ἔστω τὸ εὖρος ἐληλασμένον οἷον ἐπὶ τὰ ἕλκεα ἐξελαύνεται, ὅκως τὸ στόμα τοῦ μοτοῦ λεῖον ἔσται, καὶ μὴ τρώσῃ. ποιέειν δὲ ταῦτα, ὡς καὶ τὰ τῶν δαιδίων. ὁκόταν δὲ ποιηθῇ ὁ μοτὸς ὁ μολύβδινος, στέατος αὐτὸν ἐμπλῆσαι οἰὸς τετριμμένου. ὁκόταν δὲ παρεσκευασμένος ᾖ, τὸ μὲν δαίδιον, ὑφελεῖν. τὸ δὲ μολύβδιον, ἐνθεῖναι. ἢν δὲ τὸ μολύβδιον κλύσμα περιέχῃ προστεθεῖν, τὸ μὲν μολύβδιον ἀφαιρέειν

διον ἀφαιρέειν, τὴν δὲ δᾷδα ὀπίσω προστιθέναι. καὶ τὸ μολύβδιον ἀποβάψαι ἐν ὕδωρ ψυχρόν. ἔπειτα ὀπίσω προστιθέναι, τὴν δὲ δᾷδα ἀφελεῖν. προσκεῖσθαι δὲ χρὴ αἰεί τι. τὴν ἡμέρην ἀμείνω τὴν δᾷδα ἔχειν. νύκτωρ δὲ τὸ μολύβδιον. ἢν δ᾽ ἀναστῆναι θέλῃ, φυλασσομένη τοῦτο δράτω, ὅκως ὁ μοτὸς ἀτρεμέῃ. ἢν δὲ μή, αὐτίκα κατόπιν προστιθέναι. ἢν δὲ τῶν δᾳδίων ὧν πρόσκειται μηδὲν προσδέχηται, λεπτότερον ποιέειν, μέχρις οὗ προσδέχηται, ἐκ τουτέων ἐς ἐκεῖνα καθιστάναι καὶ ἀναπιθῆσαι. ἢν δὲ τὸ στόμα μηδὲ δύνηται ἀνοίγεσθαι, μηδὲ ὕστεραι ἄγχου προσίωσιν, αὖθις ἐπαναχωρεῖν ἐπὶ τὴν ἀρχαίην ἰητρείην. ἀπὸ δὲ τῆς πρώτης, ἐπὶ τὴν δευτέρην. μέχρις ὅτου μαλθαχθῶσι, καὶ πελαστάτω προσίωσι. κἀπειδὰν ἀνεστομωθῶσι, προστιθέναι προσθετὰ ποιήσαντα. εἶναι δὲ τὸ μέγεθος, ὅσον ἐλαίη. τούτων δὲ τὸ ἕτερον προσκεῖσθαι, μέχρις ὅτου ἐκτακῇ. κἄπειτα θάτερον προστιθέναι. ὁκόταν δὲ προστίθεσθαι μέλλῃς, ἄψαι τὸ προσθετὸν τὸ ἐκ τῆς ῥητίνης. ἀφίστησι γὰρ ἀπὸ τοῦ στόματος τῶν ὑστερέων, ἐν ἔλαιον ῥόδινον, ἢ ἴρινον. πρὶν δὲ τὸ μολύβδινον προσκεῖσθαι χρή, ὅκως γε ὀρθῷ τῷ στόματι ἐνερείσηται ἐς τὸ ἔσω τοῦ σώματος. ἔπειτα μαλθακτήρια προστιθέναι. λούεσθαι δὲ θερμῷ, καὶ πρὸ τῶν προσθετῶν, καὶ ὕστερον. καὶ δεῖπνον διδόναι τῶν θαλασσίων τι τῶν εἰρημένων. διδόναι δὲ ὅταν ἡμέραι γένωνται δύο ἢ τρεῖς ἀπὸ προσθέσιος. σκεψάμενος, ἢν μὲν τὸ στόμα καλῶς ἔχῃ τῶν ὑστερέων καὶ καθαρὸν ᾖ, παύεσθαι τουτέου τοῦ προσθετοῦ. μετὰ δὲ τοῦτο μαλθακτήρια. ὅταν δὲ ἀποφλεγμήνῃ τὸ στόμα τῶν ὑστερέων, αὖθις προστιθέναι τὸν αὐτὸν τρόπον τὰ φάρμακα, καὶ τὰ ἄλλα ποιέειν, κατὰ τὸν ὑφηγημένον τρόπον. ὅταν δὲ καλῶς ἔχῃ τὸ σῶμα, ἀναφυσῆν ὡς εἴρηται. καὶ τὸ στόμα δὲ ἀναφυσῆν δεῖ καὶ τὰς ὑστέρας, ἐν δὲ προσθετὸν ποιήσαντα ξὺν τῷ σύκῳ, προσθεῖναι. ποιέειν δὲ δύο καὶ ταῦτα. πρὸ δὲ τοῦ προσθεῖναι πυριῆσαι καὶ τῇ πυρίῃ τῇ ἐκ τοῦ μαράθου τῇ πρόσθεν εἰρημένῃ. μετὰ δὲ τὴν πυρίην τῇ ὑστεραίῃ προστιθέναι τὸ φάρμακον. ὅταν δὲ μέλλῃ προστιθέναι πρὸ πάντων τῶν προσθετῶν λούσαντα, οὕτω προστιθέναι. τῇ δ᾽ ὑστεραίῃ ἡμέρῃ, μαλθακτήρια ἀρήγει, ἄχρις ἂν φλεγμήνωσι. μετὰ δὲ τὴν φλεγμασίην, ποιέειν τὰ ἄλλα κατὰ τὸν ἔμπροσθεν λόγον. ποιέειν δὲ καὶ περὶ τοῦ προσθέτου τούτου τοιαῦτα, οἷάπερ καὶ περὶ τοῦ προτέρου. ἢν μὲν μούνη ἅπαξ προσθεῖσιν ἀρκέοντως δοκέῃ εἶναι, φυσῆσαι τὰς ὑστέρας, καὶ πεπαῦσθαι. ἢν δέ τις χρήζῃ αὖθις προστιθέναι τὸν αὐτὸν τρόπον, ὅνπερ καὶ πρότερον. μετὰ δὲ ταῦτα ὅταν καλῶς δοκέωσι, καὶ καιρὸς εἶναι τὴν πυρίην κατασκευάζειν τὴν ἐκ τῶν θυμιαμάτων. σκευάζεται δὲ τόνδε τὸν τρόπον. κύπερον κόψαντα κατασῆσαι ὅσον σκαφίδα. καὶ κάλαμον μυρεψικόν, ἕτερον τοσοῦτον. καὶ σχοίνου τοῦ μυρεψικοῦ, ἴσον. καρδάμου τε ἴσον. καὶ κυμίνου αἰθιοπικοῦ. καὶ ἀνήσου. καὶ πηγάνου ξηροῦ. καὶ ὑπερικοῦ. καὶ μαράθου σπέρμα. ὅταν δὲ ταῦτα παρασκευάσῃς, ἐγχέας ἐς τὸ χύτρινον οἴνου αὐστηροῦ κοτύλας ἕξ, ὡς εὐωδεστάτου λευκοῦ, ἐπιπάσαι τῶν κεκομμένων ὅσον τεταρτημόριον, καὶ ἀναταράξαι. εἶτα ἐπιχέαι, ὅσον τριώβολον ὁλκὴν μύρον αἰγύπτιον ὡς βέλτιστον, ἢ ἀμαράκινον, ἢ ἴρινον ἄκρον. ὅταν δὲ ἐπιχέῃς, ἀναταράξαι πυρίην μαλθακὴν τῇ πυρίῃ, πλεῖστον χρόνον. λούειν δὲ πρὸ τῆς πυρίης, καὶ πυριῆν ἡμέρας δύο ἢ τρεῖς. ὅταν δὲ παύσηται πυριωμένη, ἐπιθέματι χρὴ ἐπικεῖσθαι ἐπὶ τῇ πυρίῃ, ὅκως μὴ ἀποπνέῃ. μετὰ δὲ τοῖσι δᾳδίοισι καὶ τοῖσι μολυβδίοισι, χρέεσθαι. ὅταν δὲ πυριήσῃς ἡμέρας δύο ἢ τρεῖς, ἑτέρας διαλιπεῖν, δύο ἢ τρεῖς. τὰς δὲ μεταξὺ ἡμέρας, λούειν δὶς τῆς ἡμέρης. ἐσθίειν δὲ πράσα ἑφθά, καὶ ὠμά. καὶ ῥαφανίδας. καὶ κάρδαμα. καὶ σκόροδα ὀπτὰ καὶ ἑφθά. καὶ τὸ πόμα ἀκρητέστερον. καὶ τοῖσι θαλασσίοισι, τοῖσι προειρημένοισι χρέεσθαι. ὅταν δὲ ἡμέραι διαλιπόμεναι παρέλθωσι, πυριῆν χρὴ ἐπιπάσαντα ὀλίγιστα ἑκάστου τῶν κεκομμένων ἐς τὴν ὑπάρχουσαν πυρίην. καὶ οἶνον ἐπιχέαι. ἢν δοκέῃ δεῖσθαι καὶ ἔλαιον, καὶ τούτῳ πυριῆσθαι. ὁκόταν δέ σοι δοκέῃ καλῶς ἔχειν τῶν πυριῶν, καὶ τὸ στόμα μαλθακὸν εἶναι, καὶ ἀνεστομωμένον ὡς χρή. καὶ αὖται αἱ ὕστεραι ἐγγύς, μετὰ τὴν πυρίην τὴν ὑστέρην ἡμέρην, προστιθέναι τὸ φάρμακον τὸ ξὺν τῇ σμύρνῃ. προσθετὰ δὲ εἶναι δύο. μετὰ δὲ τὴν κάθαρσιν τῇ ὑστεραίῃ ἡμέρῃ, τὰ μαλθακτήρια προστιθέναι. καὶ μέχρις ὅτου ἀποφλεγμήνωσιν αἱ ὕστεραι. μετὰ δὲ τοῦτο τοῖσι δᾳδίοισι καὶ μολυβδίοισι χρῆσθαι. μετὰ δὲ ταῦτα διαλιπεῖν ἡμέρας ὡς ἂν δοκέῃς εἶναι τὰς φλεγμασίας ἀποσκεπτόμενον τῶν ὑστερέων. καὶ τὴν δύναμιν τεκμαιρόμενον τοῦ σώματος, αὖθις ἀναπυριῆν ὡς γέγραπται. ἢν μὲν δοκέῃ ἔτι ὑπάρχουσα πυρίη ἱκανὴ εἶναι, ἐν ταύτῃ ἐμβαλὼν τῶν θυμιαμάτων ὥσπερ τὸ πρότερον. καὶ οἶνον ἐπιχέων καὶ ἔλαιον. ἢν δοκέῃ δὲ αὐτὴ ἄχρηστος εἶναι ἡ πυρίη, ἑτέρην δεῖ ἐξ ἀρχῆς κατασκευάζειν. δεῖ δὲ νεοχμὸν ποιέειν τὸ φάρμακον ἐφ᾽ ἑκάστῃ προσθέσει μέχρις ὅτου

ὕφαιμα

ὕφαιμα καθαίρεται. ἢν δὲ τοιαῦτα καθαρθῇ, πεπαύσθω. διαιτῆν δὲ τῷδε τῷ τρόπῳ. ἀνέρεσθαι δὲ ἐν ὁκοίῃσιν ἡμέρῃσιν αὐτῇ ἐγίνετο τὰ καταμήνια. ἀπὸ τουτέων ἀρξάμενος διαιτῆν τῇδε τῇ διαίτῃ. πρῶτον μὲν λούεσθω πολλῷ θερμῷ, πλὴν τῆς κεφαλῆς. ὅταν δὲ παύσηται, διδόναι τυρὸν δριμὺν, καὶ πήγανον οἴνῳ δεύοντα μέλανι, ἴσον ἴσῳ κεκρημένον. ἔπειτα αὐτὸν, ἄλφιτα ἐπιπάσαντα, δοῦναι πιεῖν ἐκ τοῦ λουτροῦ εὐθέως. εἶτα ἄριστον δοῦναι ἐν καιρῷ. ἐσθίειν δὲ μάζαν ἢ ἄρτον. καὶ πράσα ἑφθὰ ἢ ὠμά. καὶ τῶν ὁμοιοτρόπων δριμέων πάντων τῶν προγεγραμμένων. καὶ ἔτνος ἄλλοτε. τὸν δὲ ἀφρὸν μὴ ἀφαιρέειν. καὶ σίλφιον πουλὺ ξυνῶντα. καὶ σκόροδα ἐγκαθεψῶντα πολλά. ὄψοισι δὲ χρῆσθαι τῶν ἰχθύων τοῖσι σελάχεσι πᾶσιν ἑφθοῖσι, ὀξυγλυκέσι βολβιδίοισι, πολυποδίοισιν ἐν οἴνῳ καὶ ἐλαίῳ, φύλλον ἀποτριβομένον πίνειν. καὶ ἐσθίειν ὡς πλεῖστα καὶ ἐπὶ ἀρίστῳ, καὶ ἐπὶ δείπνῳ. λούεσθαι δὲ μετὰ τὸ δεῖπνον, ὅταν μέλλῃ ἀναπαύεσθαι. ταύτῃ τῇ διαίτῃ μέχρι ἡμερέων πέντε ἢ ἓξ χρήσθω. μετὰ δὲ ταύτας τὰς ἡμέρας πρωῒ μὲν διδόναι νήστει, ἀκτῆς καρπὸν, ὅσον πυξίνας ἕξ, ἐν οἴνῳ ἀκρήτῳ. καὶ σηπίης ᾠὰ, ὅσον δέκα, ἢ δυοκαίδεκα. ταῦτα τρίψαντα ὁμοῦ λεῖα, πρωῒ διδόναι νήστει πίνειν. μετὰ δὲ τοῦτο τὸ φάρμακον διδόναι τὴν πόσιν. ἐπὴν χρήσηται δὲ λούεσθαι. πιεῖν δὲ τὸ πήγανον. καὶ τὸν τυρὸν οὕτως ἀριστᾶν, τὸν προγεγραμμένον τρόπον. δειπνεῖν δὲ ὀψιαίτερον, λούεσθαι δὲ αἰεὶ τῆς ἡμέρης δὶς αὐτήν. ἡ δὲ δίαιτα ἔστω, μέχρις ἡμερέων τρισκαίδεκα, ἢ τεσσαρεσκαίδεκα. ὅταν δὲ αὗται αἱ ἡμέραι παρέλθωσι, κατάποτα ποιέειν ἐκ τοῦ ὀποῦ τοῦ σιλφίου, ὅσον κύαμον. καὶ διδόναι τοῦτο πρῶτον. μετὰ δὲ τοῦτο, ἄλλα τὰ προγεγραμμένα ποιέειν. ὅταν δὲ ἡμέραι γένωνται πέντε καὶ εἴκοσιν ἐν ταύτῃ τῇ διαίτῃ, τὰ μὲν ἄλλα ποιέειν κατὰ ταῦτα. πρὸ δὲ τοῦ ἀρίστου, ὅταν μέλλῃ ἀριστᾶν, προτρίψαι σκορόδου ἄγλιθας οἷον τέσσαρας. καὶ τυρὸν δριμὺν, ὅσον ἀστράγαλον. καὶ ἄλφιτα παραμῖξαι ὀλίγα, καὶ ποιέειν μαγίδα, καὶ ταύτην πρῶτον καταφαγεῖν. πρὸ δὲ τοῦ δείπνου, ἄκρητον ἐπιῤῥοφέειν. καὶ οὕτω σιτέεσθαι. τὰ δ' ἄλλα τὴν αὐτὴν δίαιτην διαιτῆν. ὅταν δὲ ἐννέα ἡμέραι γένωνται καὶ δεκαί ποι ἐς τὸν χρόνον, διδόναι τοῦτο πρῶτον. καὶ μετὰ τὸ ᾠὸν καὶ τὴν ἀκτῆς, κύμινον αἰθιοπικὸν καὶ τὸ καστόριον ὅσον ὀβολόν. ὅταν δὲ ἡμέραι λοιπαὶ δύο ἔωσι, τουτέων μὲν ἀπαλλαγῆναι πάντων τῶν πομάτων καὶ τῶν καταποτίων. τὸ δὲ ξὺν τῷ παιδίῳ φάρμακον διδόναι λουσαμένῃ νήστει. μετὰ δὲ τὴν πόσιν τοῦ φαρμάκου, διδόναι λινόζωστιν. καὶ κράμβην ὁμοῦ ἑψῶντα ἐν ὕδατι, ἀφύναντα ἐν ὀξυγλυκεῖ καὶ ἁλσί. καὶ σιλφίῳ καὶ ἐλαίῳ ἐπὶ τῷ ἀρίστῳ. ταῦτα δίδου τρώγειν. καὶ τὸν χυλὸν ῥοφέειν. καὶ τὸ πόμα ἀκρητέστερον πίνειν. ὄψοισι δὲ χρῆσθαι πολυποδίῳ ἑφθῷ, ἢ σηπιδίοισι. ταῦτα μὲν ἐπὶ τῷ ἀρίστῳ. ἐπὶ δὲ τῷ δείπνῳ, κρέας αἰγὸς, ἢ οἰὸς, ἢ ἀρνὸς δίεφθα. καὶ πράσα. καὶ τῶν ἄλλων δριμέων, ὅ, τι ἂν βούληται. λουέσθω δὲ ἀπὸ τοῦ δείπνου. αὕτη ἡ δίαιτα τὰς δύο ἡμέρας, τὰς ὑστάτας. ἢν δὲ πρὸς τὴν δίαιταν ταύτην, μὴ καταπαθῇ τὰ ἐπιμήνια, τὸν ἐπιόντα μῆνα τὴν αὐτὴν δίαιταν ἐξ ἀρχῆς διαιτῆν, ἄχρι τῶν ὑστάτων δύο ἡμερέων. ταύτας δὲ τὰς δύο τῇ προτέρῃ ἡμέρῃ τῆς ὑστάτης προθετὰ ποιήσας, προθεῖναι κατὰ τὸν ἔμπροσθεν λόγον, φαρμάκου τοῦ ἐν τῷ ὕδατι ποιευμένου. προστιθέσθω δὲ προσθέσεις. σκέψασθαι δὲ χρὴ, καὶ τῶν ὑστερέων ὅκως ἔχουσι. καὶ αἰεὶ περὶ πάντα τὸν χρόνον ὅκως καλῶς ἕξουσι. καὶ τὸ στόμα ὀρθόν τε καὶ ἐστομωμένον εἴη. καὶ ἢν δοκέωσι πρὸ τῆς προσθέσιος, προπυριηθῆναι. ἢν δὲ καὶ καταῤῥαγῇ τὰ ἐπιμήνια, ἢν μὲν συχνὰ, ἐλάσσοσι λουτροῖσι κεχρῆσθαι, καὶ τῇ ἄλλῃ διαίτῃ τε καὶ θεραπείῃ. ἢν δὲ ἐλάσσω, πλείοσιν. ἢν δὲ προσημήναντα ἴῃ, αὖθις διαίτῃ τῇ αὐτῇ κεχρῆσθαι. καὶ θεραπεύειν, ἄχρις ὅτε ἂν φανῇ τὰ ἐπιμήνια. ὅταν δὲ ἅπαξ ἔλθῃ τῇσι τοιαύτῃσιν, ἄρειον ἐν γαστρὶ λαμβάνειν. αὕτη πασέων τῶν ὁμοιοτρόπων νούσων ἡ θεραπείη.

Ἢν αἱ μῆτραι ψαύσωσι τοῦ ἰσχίου καὶ προσκέωνται, στεῤῥὸν γίνεται ἐπὶ τοῦ κενεῶνα. καὶ ὀδύναι νειέρης γαστρός. καὶ ἐς αὐτὸν τὸν κενεῶνα, καὶ ἐς τὰς ἴξυας, καὶ ἐς τὰ σκέλεα ἡ ὀδύνη ἐμπίπτει. καὶ πιταίνεται. καὶ ἐκπυΐσκονται, καὶ ἔμμοτοι γίνονται, καὶ ὄλλυνται, ἢν μή τι τάμῃς ἢ καύσῃς. ὅταν οὕτως ἔχῃ, φάρμακον πῖσαι κάτω. καὶ λούειν πολλῷ θερμῷ. καὶ πυριῆν τὰς ὑστέρας. ἐγχέαι τε καὶ οὖρον παλαιὸν, καὶ ἀναζέειν. καὶ ἐς τὰ κοῖλα τῆς πυέλου αὐτίκα θέσθαι, περικαλύψας εἵματι τὴν γυναῖκα, ὡς μὴ διαπνέῃ. ἐπειδὰν δὲ ἀποψύχηται τὸ οὖρον, ἐμβάλλειν μυδροὺς διαπύρους ἐς τὸ οὖρον. καὶ πυριῆν μέχρις οὗ φῇ ἀμαυρὰ βλέπειν, καὶ λιποθυμέειν. λοῦσαι δὲ θερμῷ ὕδατι. κἄπειτα ἁψαμένη τῷ δακτύλῳ, ἑλκεῖν τὸ στόμα τῶν ὑστερέων, πρὸς τὸ ὑγιὲς ἰσχίον. καὶ τὰς νύκτας προστίθεσθαι μαλθακτήρια. ἐπὴν δὲ φῇ κατ' ἰθὺ εἶναι, προπυριήσας πῖσιν ὑδώδεσιν, αὖθις προστιθέναι τινὰ μαλθακτήρια.

ἀλλὰ καὶ

ἀλλὰ καὶ τοὺς μολύβδους ἡμέρας τρεῖς, ἕνα καθ' ἑκάστην ἡμέραν. μετὰ δὲ ταύτας, τὴν ἐχέτρωσιν, ἢ τὴν σκίλλην, τρεῖς ἡμέρας. μετὰ δὲ ταῦτα σκεψάμενος ἐν τοῖσιν ἐπιμηνίοισι μάνθανε, ἤν τε χολώδεα ᾖ, ἤν τε φλεγματώδεα, ἤν τε αἷμα διεφθορὸς ᾖ. καὶ ἢν δέῃ αὐτὴν αἷμα καθῆραι, προστιθέναι, ὅτου ἂν σοι δοκέῃ μάλιστα δεῖσθαι. καὶ μετακλύζειν τοιουτέοισι. προστιθέναι δὲ τὰ προσθετά, ἐς ἂν αἷμα καθαρὸν ἀνάγηται. καὶ ταῦτα ἐνεργεῖν τρεῖς ἡμέρας. ἐλάφου δὲ στέαρ προστιθέσθω τηκτὸν ἐμβάπτων μαλθακὸν εἴριον. ἔπειτα γλήχωνα τὴν ἡμέρην. θυμιουμένη τοῖσιν ἀρώμασι. καὶ οὕτω παρὰ τὸν ἄνδρα ἴτω. Ἢν δὲ ἐκ τόκου ἡ νοῦσος γένηται, κεκαθαρμένης πάντα ἐκ τῆς πυρίης τοῦ οὔρου, αὐτίκα ἰέναι ἐς τὰ εὐώδεα. κἄπειτα λουσαμένην, ἄλειφα λευκὸν αἰγύπτιον προστιθέσθω, πρὸς τὸ ὑγιὲς ἰσχίον. καὶ κατακείσθω ἐπὶ τοῦτο. ἢν δὲ μὴ δὲ πρὸς ταῦτα μεθιστέωσιν αἱ ὑστέραι, πινέτω νῆστις, τῆς γλυκυσίδης κόκκους τοὺς μέλανας πέντε, ἐν οἴνῳ εὐώδει. καὶ ἐπὶ τῷ σίτῳ τρωγέτω, σκόροδα ὠμὰ καὶ ὀπτὰ καὶ ἑφθά. ὄψοισι δὲ χρήσθω ὡς ἐλαχίστοισιν, ἢν μὴ γένηται ὑγιής, ὡσαύτως καθαίρειν αὐτὴν ὡς ἐπὶ τῆς πρόσθεν. ἐπὶ δὲ ταύτης τῆς νούσου ἢν μὴ αὐτίκα σχοῖεν ἐν γαστρί, ἄτοκοι γίνονται. ἢν δὲ ὧδε ἔχωσι, τὰ ἐπιμήνια μὴ γένηται, μὴ δὲ πῦρ ἐπιλάβῃ, φαρμάκοισι πρῶτον καθαίρειν, ἄνω μάλιστα. ἢν δὲ ἀσθενὴς ᾖ, κάτω. καὶ μετὰ τὴν φαρμακοποσίην, ἤν σοι δοκέῃ φλεγματώδης εἶναι, ἐμεέτω, νῆστις τε καὶ ἔξω ἀπὸ σιτίων. καὶ ὡς τὰ πολλὰ ὑγιὴς ἔσται. Ἢν δὲ αἱ μῆτραι πρὸς τὸ ἰσχίον ἐναυθῶσι, τὰ ἐπιμήνια παχέα ἐόντα, οὐ γίνεται. ὀδύνη δὲ ἐς τὴν νειαίρην γαστέρα ἀφικνέεται. ἀφικνέεται δὲ καὶ ἐς τὸν κενεῶνα, καὶ δάκνεται. ὅταν ὧδε ἔχῃ, λούειν πολλῷ καὶ θερμῷ. καὶ διδόναι σκόροδα τρώγειν ὡς πλεῖστα. καὶ γάλα πίνειν ἱκνεομένως. ἔπειτα οἶνον ἄκρητον. καὶ πυριῆσαι ὅλην. καὶ φάρμακον δοῦναι ἄνω. ἢν δὲ ἀσθενεστέρη ᾖ, κάτω. ἢν δὲ ἰσχνῇ, πυριῆν τὰς ὑστέρας, μαράθρῳ. ξυμμίσγεται δὲ καὶ ἀψίνθιον. ἐπὴν δὲ νεοπυρίητος ᾖ, ἀφέλκειν τὸ στόμα ἐπὶ δακτύλῳ ἠρέμα τῶν ὑστερέων, πρὸς τὸ ὑγιὲς ἰσχίον. παρηγορικῶς μαλθάσσοντα τὸ σῶμα τε καὶ τὰ ἀμφιπονεόμενα. καὶ προσθεῖναι τι μαλθακτήριον. μετὰ δέ, μολύβδους. καὶ αὐτίκα σκίλλαν, εἶτε ναρκίσσινον μίαν ἡμέρην διαλιπών. ἐπὴν δέ σοι δοκέῃ καθαρὴ τις εἶναι, τὸ νέτωπον προσθέσθω ἐν εἰρίῳ. τῇ δὲ ὑστεραίῃ, ἔλαιον ῥόδινον. τῶν ἐπιμηνίων δὲ ἰόντων, ἄμεινον μὴ προστίθεσθαι. ἢν δὲ μὴ ἴωσι, κανθαρίδας τέσσαρας, ἀπτέρους καὶ ἄποδας, ἄτερ κεφαλῆς, καὶ γλυκυσίδης κόκκους πέντε τοὺς μέλανας, καὶ σηπίης ᾠά. καὶ σελίνου σπέρμα ὀλίγον ἐν οἴνῳ. καὶ ἢν ὀδύνη ἐνῇ, καὶ στραγγουρίη ἔχῃ, ἐν ὕδατι θερμῷ ἐγκαθήσθω. καὶ πινέτω μελίκρητον ὑδαρές. ἢν δὲ μὴ καθαίρηται, αὖθις τὸ φάρμακον πινέτω. ἢν δὲ εἴη ἀσιτήσασα, πινέτω καὶ ξυνίτω τῷ ἀνδρί. ἢν δὲ μὴ γίνηται, διδόναι ὅτι καταπαύσει, ὁρέων πρὸς τὴν δύναμιν τῆς γυναικός, καὶ τότε ἀσφαλὲς φοιτᾶν πρὸς τὸν ἄνδρα. ἢν γὰρ ἴσχῃ ἐν γαστρί, ὑγιὴς γίνεται. ἐν δὲ τῇ καθάρσει ἢν ἴῃ πουλλή, λινόζωστιν ἐσθιέτω. καὶ πόδας οἶος ἑφθοὺς ἁπαλούς. καὶ σιτίοισι μαλθακοῖσι χρέεσθω.

Ἢν ἐς τὸ ἰσχίον αἱ ὑστέραι ἢ ἐς τὸν κενεῶνα καταστηρίξωσιν λεχοῖ, προστιθέναι ἐς θάτερον ἰσχίον, αἰγύπτιον ἔλαιον λευκὸν ἢ ῥόδινον. ἐπὶ δὲ τὸ ὑγιὲς ἰσχίον ἄμεινον κατακεῖσθαι. πίνειν δὲ γλυκυσίδης κόκκους τέσσαρας τοὺς μέλανας, καὶ ἀκτῆς καρπὸν ἐν τοῖσι δαισὶν ὅσον χηραμύδα, καὶ κάστορος ὡς κύαμον. καὶ σιτίοισι χρήσθω μαλθακοῖσι. λινόζωστις δ' ἂν ἁρμόζοι πρὸ τοῦ σιτίου ἑφθὴ ὡς κράμβη. ῥοφεέτω δὲ καὶ τοῦ ὕδατος. καὶ τὰ δριμέα τρωγέτω, πλὴν ῥαφανίδος. καὶ κρομμύου. καὶ καρδάμου. ἄριστον δέ, θριδακίνη. ὁκόσα δὲ ἀπὸ τῶν ὑστερέων ξυμβαίνει γίνεσθαι νοσήματα, λέγω δὲ ὁκόταν αἱ ὑστέραι ἐκ χώρης κινηθῶσι, προσπίπτουσιν ἄλλοτε ἄλλῃ, ὅκου δ' ἂν προσπέσωσιν, ὀδυνήματα καταστηρίζουσιν ὀδυνηρά. καὶ ἢν ἅψηταί τις τοῦ κύστιος, ὀδύνην παρέχουσι. καὶ τὸ οὖρον οὐ δέχονται. οὐδὲ τὸν γόνον ἐπὶ σφέας ἕλκουσι. καὶ ἄμφω ἀλγέει. κἢν μὴ ταχεῖαι λύσιες γίνονται, διαπυΐσκονται αἱ ὑστέραι ὕστερον κατὰ τὰ αὐτὰ χωρία, ἢν πρὸς αὐτὰ θέωσι. γίνεται δὲ κατὰ κενεῶνας τε καὶ βουβῶνας, καὶ ὑπὲρ τοῦ κτενός. χρὴ δὲ ἐν ἀρχῇσιν ὅταν ἡ ὀδύνη ἔχῃ, ὧδε θεραπεύειν. καὶ χλιάσματα προστιθέναι. καὶ ἐν ὕδατι θερμῷ εἶναι. ἀγαθὸν γὰρ καὶ ἐν τούτῳ. ἢ σπόγγοισιν ἐν ὕδατι θερμῷ ἐκπιεζομένοισι πυριῆν. καὶ πίνειν τῶν ὑστερικῶν φαρμάκων. ἢν δὲ μὴ πρὸς ταῦτα λύηται, φαρμακεύειν κάτω, καὶ ἄνω ἢν δέῃ. ὁκοτέρου ἂν γένηται δέησις. τοῦτο δὲ διαγνώσῃ, τῷδε τῷ τρόπῳ. ἢν μὲν ἐς τοὺς βουβῶνας, καὶ κτένα, καὶ κύστιν ἐγχρίμψῃ, αὗται χρήσουσιν ἄνω φαρμακείης. ἢν δὲ ἐς τοὺς κενεῶνάς τε καὶ τὰ ὑποχόνδρια, αὗται δέονται κατωτερικοῦ φαρμάκου. τὰ δὲ νοσήματα πάντα τὰ τοιου-

τότροπα

τότροπα, γεραιτέρῃσι μάλιστα γίνεται, ἢ νεωτέρῃσι πρὸς τὰς ἀπολείψιας τῶν ἐπιμηνίων. γίνεται δὲ καὶ νέῃσιν ἐούσῃσιν, ὁκόταν χηρεύσωσι πουλὺν χρόνον. ἢν δὲ ἐς τὴν ἕδρην τράπωνται, τὰ ὑποχωρήματα κωλύονται. καὶ ὀδύναι ἴσχονται τήν τε ὀσφὺν καὶ τὴν νειαίρην γαστέρα καὶ τὸν ἀρχόν. ὅταν ὧδε ἔχῃ, λούειν χρὴ μὲν ὑπὸ θερμῷ. καὶ πυριῆν τὴν ὀσφύν. καὶ ὑποθυμιῆν τὸ κατόπιν κακώδεσι. καὶ προσθεῖναι ὅσα καθαίρει τε καὶ ἐλαύνει τὰς ὑστέρας. καὶ πιπίσκειν ὅ,τι ἂν προσδέχηται τῶν ξυμφερόντων μάλιστα. ἢν δὲ κατακέωνται ἐς τοὺς βουβῶνάς τε καὶ οὐρητῆρας, ὀδύναι γίνονται ἰσχυραί. καὶ νάρκη ἐν τοῖσι σκέλεσι, καὶ ὁ οὐρητὴρ ἀποφράσσεται. καὶ τὸ οὖρον οὐ μεθίησι. θεραπεύειν δὲ χρὴ ὧδε. πρὸς μὲν τὰς ῥῖνας προστιθέναι, τὰ εὐώδεα καὶ μύρα. πρὸς δὲ τὰς ὑστέρας, τὰ δυσώδεα θυμιᾶν. ἅπασα δὲ πρόφασις ἱκανὴ τὰς ὑστέρας παροξῦναι, ἢν ἔχωσί τι φλαῦρον. καὶ γὰρ ἀπὸ ῥίγεος τῶν ποδῶν καὶ ὀσφύος. καὶ ἀπὸ τοῦ ὀρχεῖσθαι, καὶ πτῆσαι, καὶ κεάσαι, καὶ δραμεῖν πρὸς ἄναντες χωρίον, καὶ πρὸς κάταντες. καὶ ἀπ᾽ ἄλλων ἱκανῶν. ταῦτ᾽ οὖν χρὴ σκέπτεσθαι ἐς ὅλον τὸ σῶμα καθορέοντα, ὅταν παρεόντα λυθῇ νουσήματα. τὰ γὰρ τοιάδε πάντα, ἀνάγκη ἐστὶ ὑπὸ πλέονι, ὑπὸ ἐλάσσονι νοσεῖν. καὶ ἐπειδὰν ἐκλάμψῃ, μάλιστα ταύτῃ τὰ ἐξαπιναῖα δῆλα τῶν νουσημάτων. ὁκόταν οὖν ταῦτα λυθῇ, ἀνωτέρω χρὴ λαμβάνεσθαι ἐκ τοῦ παντὸς ἀνθρώπου, ὁκόσαι ἀποψύξιες σκελέων ἢ ναρκώσιες ψύξει γίνονται, καὶ ἐν τοῖσιν ὑστερικοῖσι. ταῦτα πάντα μετάρσιοι τὰς ὑστέρας ἐν τοῖσι τοιουτέοισι καταχεῖν χρὴ θερμὸν ὕδωρ, ἐπὶ τὰς ὑστέρας τῶν πέριξ χωρίων. καὶ ἐκθερμαίνειν αὐτὰς καὶ τὰ σκέλεα, ὅταν προαπεπτωκυῖαι ἔωσιν. Ἢν περιστραφῶσιν αἱ μῆτραι ἐκ τόπου ἐπὶ δεξιά, τά τε λοχεῖα οὐ γίνονται. καὶ ὀδύνην ἔχει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας. καὶ τὸ δεξιὸν σκέλος βαρύνεται, καὶ νάρκην ἔχει. καὶ οὐ τετραμμένη, καὶ οὐκ ἂν δύναιτο τοῦ στόματος θιγεῖν τῶν μητρέων, ἀλλ᾽ ὄψει λείας τε καὶ ὁμαλὰς ἰσχυρῶς. ὅταν δὲ ὧδε ἔχῃ, φάρμακον πίσαι ὑφ᾽ οὗ καθαίρεται καὶ ἄνω καὶ κάτω, κάτω δὲ μᾶλλον. καὶ πυριῆν ὅλον τὸ σῶμα, καὶ τὰς ὑστέρας μάλιστα προσηνῶς. καὶ λούειν ὑπὸ θερμῷ, δὶς τῆς ἡμέρης. καὶ τῶν ποτημάτων ὅ,τι μάλιστα ἂν προσδέξηται πειρώμενος. καὶ ὑπὸ ἀνδρὶ ξυνευδέτω θαμινά. καὶ τὴν κράμβην ἐσθιέτω. Ἢν αἱ ὑστέραι ἐπὶ τὰ ἀριστερὰ κλιθῶσιν, ἢ τὸ ἰσχίον ὀδύνη ἴσχει, ὀξέη τε καὶ ἀπεχνὴ, τάς τε ἰξύας, καὶ τοὺς κενεῶνας, καὶ τὸ σκέλος, καὶ ὑποσκάζει. ὅταν οὕτως ἔχῃ, φάρμακον χρὴ πίσαι ἐλατήριον. τῇ δὲ ὑστεραίῃ, ὑποθυμιῆν. τῶν δὲ κριθέων χοίνικας δύο. καὶ ἐλαίης φύλλα κατακνῆσαι σμικρά. καὶ κικίδα κατακόψαι. καὶ καταστῆσαι. καὶ ὑοσκυάμου τρίτον χοίνικος. ταῦτα μίξας καὶ ἐλαίῳ περιποιήσας ὅσον ἡμικοτύλιον ἐν χύτρῃ καινῇ, ὑποθυμία τέσσαρας ἡμέρας. τῆς δὲ νυκτὸς γάλα βοὸς, καὶ μέλι, καὶ ὕδωρ πινέτω. καὶ ὑπὸ θερμῷ λουέσθω. Ἢν παραλοξαίνονται αἱ μῆτραι, καὶ δοχμοὶ ἔωσι, καὶ τὸ στόμα ἐφ᾽ ὧν τὰ ἐπιμήνια αὐτῇ τὰ μὲν κρύπτονται, τὰ δὲ προφανέντα οἴχονται, καὶ οὐχ ὅμοια γίνονται, ἀλλὰ κακήθεα καὶ ἐλάσσονα ἢ πρὸ τοῦ. καὶ ἡ γονὴ οὐκ ἐγγίνεται τουτέου τοῦ χρόνου. καὶ ἡ ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τὸ ἰσχίον, καὶ ἐφέλκεται αὐτό, ὅταν οὕτως ἔχῃ, φάρμακον χρὴ πίνειν, καὶ λούεσθαι θερμῷ. καὶ πυριῆν. ὁκόταν δὲ νεοπυρίητος ἢ καὶ νεόλουτος, τὸν δάκτυλον παραφράξασα, ἀπορθούτω. καὶ παρευθυνέτω τὸ στόμα τῶν μητρέων. καὶ ὑποθυμιήσθω τὰ εὐώδεα. καὶ τῶν ποτημάτων δίδου, ὅ,τι ἂν μάλιστα προσδέχηται πειρεόμενος. σιτίοισι δὲ χρήσθω μαλθακοῖσι. καὶ σκόροδα ἐσθιέτω, καὶ ὠμά, καὶ ἑφθά. καὶ τῷ ἀνδρὶ ξυνευδέτω. καὶ ἐπὶ τὸ ὑγιὲς ἰσχίον κατακείσθω ἐπὶ θάτερον. καὶ πυριήσθω. ἡ δὲ νοῦσος δυσαπάλλακτος. ἢν δὲ ἄγχιστα ἔωσιν, ἐμέειν θαμινά. τὰς δὲ ὑστέρας πυριῆσαι, τοῖσι δυσώδεσι, μέχρι ἂν ἐς χώρην ἱδρυνθῶσιν. διαίτῃσι δὲ χρήσθω μὴ λαπακτικῇσιν. Ἢν αἱ μῆτραι προσίωσιν ἐξωτέρω τῆς φύσιος, πυρετὸς ἔχει τὸ αἰδοῖον, καὶ τὴν νειαίρην γαστέρα. καὶ τὸ οὖρον στάζει θαμινὰ καὶ κατ᾽ ὀλίγον. καὶ δάκνεται σφοδρῶς τὸ αἰδοῖον. πάσχει δὲ, ἢν ἐκ τόκου ἐοῦσα, ὑπὸ ἀνδρὶ συνευνάζηται. ὅταν οὖν ὧδε ἔχῃ, μύρτα καὶ λωτοῦ ξύσματα ἑψῆσαι ἐν ὕδατι, καὶ θεῖναι τὸ ὕδωρ ἐς τὴν αἰθρίην. προσαιονᾶν δὲ ὧδε, ὡς ψυχρότατον ἢ τὸ αἰδοῖον. καὶ τρίβων λείως πρόσπλασσε. ἔπειτα πινέτω ὕδωρ φακῶν σὺν μέλιτι καὶ ὄξει, ἐμεέτω, ἐς ἂν αἱ ὑστέραι ἀνελκυσθῶσι καὶ τὴν κλισίην ἄναντες χρὴ ποιέειν τὰ ἀπὸ ποδῶν. καὶ τὸ αἰδοῖον ὑποθυμιῆν τὰ κακώδεα. τὰς δέ γε ῥῖνας, τὰ εὐώδεα. σιτίοισι δὲ χρεέσθω, ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσι. καὶ τὸν οἶνον ὑδαρέα λευκὸν πινέτω. καὶ μὴ λουέσθω. ὑπὸ δὲ ἀνδρὶ ξυνερχέσθω. Ἢν παντάπασιν ἐκ τοῦ αἰδοίου ἐκπέσωσιν αἱ μή-

τραι

τραι, ἐκκρέμανται οἷον ὄχθος. καὶ ὀδύνη λάζεται ἐς τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς βουβῶνας. καὶ ὁκόταν ἐπιγίγνηται χρόνος, οὐκ ἐθέλουσιν ἐς τὴν ἑωυτῶν χώρην ἰέναι. ἡ δὲ νοῦσος λαμβάνει, ὁκόταν ἐκ τόκου ἐοῦσα πονήσῃ ἢ ταλαιπωρήσῃ, ὥστε ψαίρειν τὰς ὑστέρας. ἢ τῷ ἀνδρὶ συνίῃ ἐν τῇ λοχίῃ καθάρσει. ὅταν ὧδε ἔχῃ, ψύγματα χρὴ προστιθέναι περιγγειακὰ πρὸς τὸ αἰδοῖον. καὶ τὸ ἔξω ἐὸν ἀποκαθάρας, σπόγγῳ ἐν οἴνῳ μέλανι ἑψήσας, τούτῳ περιπλύναι, καὶ ἔσω ἀπωθέειν. ἔπειτα καὶ μέλι καὶ ῥητίνην ξυντῆξαι ἴσον ἑκατέρου. καὶ ἐγχέειν ἐς τὸ αἰδοῖον. καὶ κατακείσθω ὑπτίη, ἄνω τοὺς πόδας ἔχουσα ἐκτεταμένη. κἄπειτα σπόγγους προσθεῖσα, ἀναδῆσαι ἐκ τῶν ἰξύων. ἐς ἂν δ' οὕτως ἔχῃ, σιτίων μὲν ἀπεχέσθω. ποτῷ δὲ, ὡς ἐλαχίστῳ χρήσθω, μέχρις ἂν ἑπτὰ ἡμέραι παρέλθωσι. καὶ ἢν μὲν οὕτως ἐθέλωσιν ἐπακούειν καὶ ἀπιέναι, ἄλις ἔστω. ἢν δὲ μὴ, ἄκρα περιξύσας τὰ λέγνα τῆς ὑστέρης, καὶ ἀμφιπλύνας, χρίσαι τῇ πισσηρῇ. ἔπειτα πρὸς κλίμακα δῆσαι τοὺς πόδας. τὴν δὲ κεφαλὴν κάτω ἔχειν. καὶ τῇ χειρὶ ἔσω ἀπωθέειν. ἔπειτα λούειν. καὶ ξυνδῆσαι αὐτῆς τὰ σκέλεα ἐναλλάξ. καὶ ἐᾶν νύκτα καὶ ἡμέρην οὕτως. καὶ διδόναι ὀλίγον χυλὸν πτισάνης, ψυχρόν. ἄλλο δὲ μηδέν. τῇ δὲ ὑστεραίῃ κατακλίνας ἐπὶ τὸ ἰσχίον, σικύην προσβάλλειν ὡς μεγίστην, καὶ ἐᾶν ἕλκειν πουλὺν χρόνον, καὶ ἐπὴν ἀφέλῃς, μὴ ἀνακαθίσῃς, ἀλλὰ κατακλίνας, ἔα καὶ μὴ πρόσφερε μηδὲν, ἀλλ' ἢ τὸν χυλὸν, ἕως ἂν ἑπτὰ ἡμέραι παρέλθωσιν. ἢν δὲ δίψα ἔχῃ, ὕδωρ ἐλάχιστον πινέτω. ἐπὴν δὲ αἱ ἑπτὰ ἡμέραι παρέλθωσι, σιτίοισιν ὡς μαλθακωτάτοισι καὶ ἐλαχίστοισι χρήσθω. ὁκόταν δὲ ἀποπατῆσαι θέλῃ, ἀνακειμένη ἀποπατέτω, ἕως ἂν τεσσαρεσκαίδεκα ἡμέραι γένωνται. ἔπειτα κλυζέσθω χλιεροῖσι πυρίῃσιν. ἄμεινον δὲ θερμῷ, ὡς ἐξ ἡλίου. καὶ περιπατέτω ὡς ἐλάχιστα. καὶ μὴ λουέσθω. κοιλίην δὲ μὴ λύσῃς. σιτίοισι δὲ, ὀλιγίστοισι χρήσθω, μήτε δριμέσι, μήτε ἁλμυροῖσι. καὶ θυμιάσθω τὸ αἰδοῖον, τοῖσι κακώδεσι. κἄπειτα δὲ ἄρξηται περιπατεῖν, τὴν σφενδόνην φορεέτω.

Ἢν δ' ἔξω τοῦ αἰδοίου τὸ στόμα τῶν μητρέων ἐκπέσῃ, οἷα τοῦ αὐχένος τῶν μητρέων πλησίον τοῦ αἰδοίου κειμένου καὶ εὐρέος ἐόντος, γίνεται δὲ τοῦτο μᾶλλον τῇσιν ἀτόκοισι. μάλιστα δὲ γίνεται ἐκ ταλαιπωρίης, ἐπὴν ταλαιπωρήσῃ ἡ γυνή. καὶ αἱ μῆτραι θερμανθῶσι καὶ ἱδρώσωσιν, ἐκτρέπεται τὸ στόμα αὐτέων διὰ τοῦ αὐχένος, ἅτε ἐν τῷ ὑγροτέρῳ, καὶ ὀλισθηροτέρῳ, καὶ θερμοτέρῳ χωρίῳ γινόμενον, ἢ ἐν τῷ πρὶν χρόνῳ. καὶ ἐπὴν τοῦτο γένηται, ἰθύνουσιν ἔξω πρὸς τὸ ψῦχος. καὶ σφέων τὸ στόμα βρέχεται ἐκτραπέν. ἢν μὲν ἐν τάχει θεραπευθῇ, ὑγιὴς γίνεται. ἄφορος δὲ πάντως καταλιμπάνεται. ἢν δὲ μὴ ἐν τάχει, ἔξω ἀεὶ ἔσται καὶ σκληρὸν τὸ στόμα. καὶ ῥεύσεται αὐτόθεν ἰχὼρ ἄλλοτε καὶ ἄλλοτε γλίσχρος καὶ κακόδμος. καὶ ἢν τἀπιμήνια χωρέῃ, ἢν ἔτι ἐν τῇ ἡλικίῃ ᾖ, ἐν ἥβῃ ἐῇ. χρόνου δὲ γινομένου ἡ τοιάδε νοῦσος, ἀνίητος γίνεται. καὶ ξυγκαταγηράσκουσιν ἔξω τὰς μήτρας ἔχουσαι.

Ἢν δὲ αἱ μῆτραι ἐξίσχωσι, περινίψας αὐτὰς ὕδατι χλιερῷ, καὶ ἀλείψας ἐλαίῳ καὶ οἴνῳ, πάλιν ἐνθεῖναι, καὶ ἀναδῆσαι. καὶ ὑποθυμιῆν τὰ κακώδεα. ὑπὸ δὲ τὰς ῥῖνας τὰ εὐώδεα. ἢν δὲ πλείονα χρόνον αἱ ὑστέραι ἐξίσχωσι, καὶ περιψύχωνται ναρκωδέως. καταχέειν ὕδωρ θερμὸν πουλὺ, ὅκως διαπυριηθῶσιν. ἢν δὲ ἤδη φυσέωνται καὶ ὄξους μίσγοντες ξὺν ὕδατι, πυρίην, ἢ δάφνης, ἢ μυρσίνης, καὶ ἠρέμα προσωθεῖν, καὶ κηρωτῇ μύρῳ χρίειν. ἢν ἐσακούῃ. ἢν δὲ μὴ, περικλύσαι τῷ ὕδατι καὶ ὄξεος ὀλίγον χλιήνας καταχέαι. εἶτα ἀλείψαι. ὁκόταν δὲ ξυντακέωσι, περινίψας ὡς λέλεκται ἐνθεῖναι. καὶ τὰ ἄλλα ποιέειν τὰ προειρημένα. ἔλαιον δὲ μὴ προσφέρειν μὴ δ' ἄλλο τι πῖον, μὴ δὲ λίπα ἔχον.

Ἢν ἀποψυχθῇ τι τῶν στομάτων τῆς ὑστέρης, τὰ ἐπιμήνια οὐ γίνονται. ἢ ὀλίγα καὶ πονηρὰ, καὶ ἀλγεινά. καὶ ὁκόταν τῷ ἀνδρὶ ξυνεύδῃ, ἀλγέει. καὶ ὅ, τι ἂν ὁ ἀνὴρ μεθίῃ, ἐκ συνδυασμοῦ ἔξεισι, καὶ οὐ θέλει ψαύεσθαι, οὐδ' ἑλκύει τὴν γονήν. καὶ ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας. καὶ τὸ στόμα τῶν ὑστερέων, δῆλον ψηλαφώσῃ. ὅταν τοίνυν ὧδε ἔχῃ, πυριῆσαι οὔρῳ παλαιῷ. ἔπειτα ἐμεσάτω τῷ φακίῳ συμμίξασα μέλι καὶ ὄξος. ἔπειτα λουέσθω, ὕδατι θερμῷ. ἔπειτα ἐγχέασα ἐς φιάλην ἀργυρέην ἢ χαλκέην, ἔλαιον λευκὸν αἰγύπτιον, καὶ ἅλας, καλυψαμένη δὲ καθεζέσθω ἀμφὶ τὴν φιάλην. κἢν μὲν ἡ ὀδμὴ αὐτῇ διὰ τοῦ στόματος ἐλαίου, φαίναι αὐτὴν τέξεσθαι, καὶ τῇ ὑστεραίῃ ὑγιῆ γενέσθαι. ἢν δὲ ἡ ὀδμὴ, θαρσεῖν. κἄπειτα δὲ μέλλῃ εὕδειν, προστιθέσθω τὸ αἰγύπτιον ἔλαιον ἐν εἰρίῳ. τῇ δὲ ὑστεραίῃ, σκεψάσθω ἤν τι μᾶλλον κατ' ἰθὺ ᾖ τὸ στόμα τῶν ὑστερέων. καὶ ἢν φῇ εἶναι, πυριῆσαι εὐώδεσιν ἡμέρας τρεῖς. καὶ προστιθέναι προσθετὰ ὁποῖα μὴ ἀναδήξεται. καθαίρειν δὲ καὶ

μετακλύζειν

μετακλύζειν δύω δὲ ἢ καὶ μαλθακοῖσιν, ἴσας ἡμέρας τοῖσι πρόσθεν. ὁκόταν δὲ τὰ ἐπιμήνια γένηται, νηστεύσασα καὶ ἀλουτήσασα, παρὰ τὸν ἄνδρα ἴτω, θυμιησαμένη τοῖσιν ἀρώμασιν. ἄτοκοι δὲ πολλαὶ καὶ ἐκ ταύτης τῆς νούσου γίνονται, ἢν μὴ μελεδανθῇ.

Ἢν ἑλκωθῶσιν αἱ μῆτραι, καὶ πρόσω χωρήσωσιν, ἐξωτάτω ἐλαίῳ χρίων λίπα τὰς χεῖρας ἐντιθέναι. καὶ διδόναι καταπότιον σμύρνης ἀκρήτου, τρεῖς κατὰ πιεῖν πυράδας. καὶ πινέτω δάφνην χλωρὴν τετριμμένην, οἴνῳ δὲ εἰς. καὶ ὑγιὴς οὕτω γίνεται.

Ἢν ἔξουρα ᾖ τὰ αἰδοῖα, προσθετὸν τίθει. ἀννήσου καρπὸν καὶ σελίνου τρίψας λεῖα, πρόσθες πρὸς τὰ αἰδοῖα, ἢν μὴ κατὰ χώρην μένωσιν. ἀλλ' ὅτε μὲν ἔνθα, ὅτε δὲ ἔνθα ἴωσιν ὡς ὀδύνας παρέχειν. αἱ δὲ ἀφανεῖς γίνονται. τοτὲ δὲ ἐξίασιν ὡς ἔδρη. καὶ ὁκόταν μὲν ὑπτίη ᾖ, κατὰ χώρην μένουσιν. ὁκόταν δὲ ἀναστῇ, ἢ ἐξ ὕπνου ἐγείρηται, ἢ ἐπικύψῃ, ἢ ἄλλο τι ποιήσῃ κίνημα, ἐξέρχονται. πολλάκις δὲ καὶ ἡσυχίαν ἐχούσῃ. ταύτην χρὴ ὡς μάλιστα, ἠρεμέειν τε καὶ ἀτρεμέειν, καὶ μὴ κινέεσθαι. καὶ τὸν κλισμὸν κεῖσθαι πρὸς ποδῶν ὑψηλότερον. καὶ τοῖσιν ἐμέτοισι χρέεσθαι. χρὴ γὰρ ἀντισπάσαι ἀνεκάς. καὶ τοῖσι δὲ στρυφνοῖσιν ἀπαιονᾶν, καὶ ὑποθυμιῆν τὰ κακώδεα. ὑπὸ δὲ τὰς ῥῖνας, τὰ εὐώδεα. καὶ τῶν ῥοιῶν διὰ τοῦ ὀμφαλοῦ, τρήσαντα μέσην, ἐν οἴνῳ χλιήναντα, ἥτις ἂν ἁρμόζῃ μάλιστα. καὶ μή τι κωλύῃ, προστίθει ὡς ἐσωτάτω. εἶτ' ἀναδῆσαι ταινίῃ πλατέῃ καὶ ἀναλαβεῖν ὡς μὴ ὀλισθαίνοι. ἀλλὰ μένοι. καὶ ποιέει τὸ δέον. καὶ τῶν μηκώνων ξὺν τῷ πυρῷ, καὶ τοῖσιν ἀλφίτοισι πιπίσκειν καθάπερ ἐν τῇ προσπτώσει γέγραπται. καὶ τῶν ποτημάτων πειρώμενος ὅ, τι ἂν μάλιστα προσδέχηται πιπίσκειν. σιτίοισι δὲ, ὡς μαλθακωτάτοισι χρήσθω. καὶ μετὰ ἀνδρὸς μὴ συνευδέτω, ἄχρις οὗ κατὰ χώρην οἰητέῃ.

Ἢν αἱ μῆτραι ἐκπέσωσι, κισσὸν ὡς ξηρότατον τρίψας λεῖον, ἐνδήσας τε εἰς ὀθόνιον, προσίσχειν. καὶ λιπαρὸν προσφέρειν μηδέν. πιεῖν δὲ διδόναι πυροὺς πεφώγμένους (?) πρὸ κόψας. καὶ μήκωνα λευκὴν. καὶ ἐλελίσφακον. καὶ κύπειρον. καὶ ἄννησον. ταῦτα τρίψας λεῖα, δὲ εἰς οἴνῳ, καὶ τῶν κυρηβίων τῶν ἀπὸ τῶν κριθέων, διδόναι δὶς τῆς ἡμέρης ἐφ' ἑκάτερον ἡμικοτύλιον.

Ἢν δὲ τὰ σκέλεα καὶ πόδες τράπωνται, γνώσεις ὧδε. οἱ μεγάλοι δάκτυλοι τοῖν ποδοῖν ἀπῶνται ὑπὸ τοὺς ὄνυχας. καὶ ὀδύνη ἔχει τὰ σκέλεα, καὶ τὼ μηρώ. καὶ ἐγκέεται καὶ θλίβει τὰ ἀμφὶ τὸν μηρὸν νεῦρα. ὅταν οὕτως ἔχῃ, λούειν χρὴ πολλῷ καὶ θερμῷ, θαμινὰ, καὶ πυρίην ἂν δύνηται. καὶ ὑποθυμιῆν τὰ κακώδεα. καὶ τὼ μηρὼ τῷ ῥοδίνῳ ἀλειφέσθω λίπα. ἢν δὲ ἄναυδος γένηται, ἐξαπίνης τὰ σκέλεα ψυχρὰ εὕροις ἂν καὶ τὰ γούνατα καὶ τὰς χεῖρας. καὶ ἢν ψαύσῃς τῆς ὑστέρης, οὐκ ἐν κόσμῳ ἐστί. καὶ ἡ καρδίη πάλλεται, καὶ βρύχει. καὶ ἱδρὼς πουλύς. καὶ τὰ ἄλλα ὅσα ὑπὸ ἱερῆς νόσου ἐπίληπτοι πάσχουσι. καὶ ὅσα ἀπὸ ὀσφραντοῦ (?) δρῶσι. ταύτῃσι καταχεῖν ὕδωρ ψυχρὸν χρὴ πουλὺ κατὰ τοῖν σκελοῖν τι. καὶ ὡς τὰ ἄλλα ποιέειν, καθὰ πρόσθεν εἴρηται. ἢν κινηθεῖσαι που προπέσωσι καὶ ὀδύνην παρέχωσιν, ἐλαίης ψῶραν καὶ δάφνης, καὶ κυπαρίσσου πρίσμα ἑψήσας ἐν ὕδατι, ἐν εἴριον ἐμβαλὼν προστίθει.

Ὁκόταν δὲ γυνὴ ἐκ τόκου ἐοῦσα φορτίον αἴρηται, μεῖζον τι τῆς φύσιος, ἢ πτίσσῃ, ἢ κεάσσῃ ξύλα, ἢ δράμῃ, ἢ ἄλλα τινὰ τοιάδε δράσῃ, αἱ ὑστέραι ἐκπίπτουσιν πρὸς ταῦτα μάλιστα. ἐνίοτε δὲ πρὸς πταρμόν. οὐ γὰρ βιᾶται ἢν βίῃ πταρνυμένη, μὴ ἐπιλάβῃ τὰς ῥῖνας. περιπλύνειν χρὴ τὰς ὑστέρας ὕδατι χλιαρῷ. ἔπειτα τεύτλου χυλῷ ἀποζέσαντα ὁμοίως. εἶτα ἀκρήτῳ οἴνῳ μέλανι. ἢν δὲ μὴ ἐσίῃ καὶ οὐ, μαλθακτήρια ποιέειν χρή. ταῦτα δὲ ποιέειν χρὴ πρότερον, ἢ ψυχθῆναι καὶ ἐνθεῖναι εἴσω παρηγορικῶς. εἶτα ἐκτείνειν τὰ σκέλεα, καὶ ὑπαλλάξαι. καὶ ὑπὸ τὰ αὐτὰ ὑποτιθέναι τι μαλθακὸν, ὑπὸ τοῦ δὲ ἔργεσθαι χρή. τὰς τοιαύτας ὡς μάλιστα καὶ τὴν κοιλίην χρὴ φυλάσσειν, ὅκως μὴ ἐκταραχθῇ. πρὸς δὲ τὴν ῥῖνα τῶν εὐωδέων διδόναι. τὰς τοιαύτας χρὴ ἐξ ὑστέρου ἢν μὴ ἀτρεμίζωσιν, ἀλλὰ κινέωνται, ἐλλεβορίζειν. ἢν δὲ μὴ ἐξαρκέωσι, καὶ ἐμέτους ποιέειν. καὶ ἀλουτέειν. σιγῆν τε, καὶ ἠρεμέειν.

Ἢν ἀχρηϊωθῶσιν αἱ μῆτραι, ἡ γαστὴρ αἴρεται, καὶ φυσᾷ καὶ σμαραγεῖ. καὶ οἱ πόδες οἰδέουσι. καὶ τὰ κοῖλα τοῦ προσώπου. καὶ ἡ χροιὴ ἀειδὴς γίνεται. καὶ τὰ ἐπιμήνια κρύπτεται. καὶ ἡ γονὴ οὐκ ἐγγίνεται ἐν τουτέῳ τῷ χρόνῳ. καὶ ἀσθμαίνει, ἀφρίζει τε καὶ ἀλύει. καὶ ὅταν ἔγρηται ἐξ ὕπνου, ὀρθοπνοίην μιν ἔχει. καὶ ὅ, τι ἂν φάγῃ ἢ πίῃ, λυπέει αὐτήν. καὶ στένει. καὶ ἀθυμέει μᾶλλον ἢ πρὶν φαγεῖν. καὶ πνίγεται. καὶ τὰ νεῦρα ἕλκεται. καὶ αἱ μῆτραι, καὶ αἱ κύστιες ἀλγέουσι. καὶ οὐκ ἔστι ψαῦσαι τῇ χειρί. οὐ δὲ τὸ οὖρον προΐενται. οὐ δὲ τὴν γονὴν δέχονται. ὅταν οὕτως ἔχῃ, φάρμακον χρὴ πίσαι κάτω. θερμῷ λούειν καὶ καθίννυσθαι θαμινὰ ὅλον τὸ σῶμα. ἔστι δ' ὅτε

καὶ ἄχρις ὀμφαλοῦ πυριῆν. διαλιπὼν δὲ προστιθέναι τὰ ὑφ' ὧν καθαρθήσεται. καὶ μὴ ὀδαξήσεται. ὑποθυμιάσθω δὲ τὰ εὐώδεα ὑπὸ τὰ αἰδοῖα. ὑπὸ δὲ τὰς ῥῖνας, τὰ κάκοδμα. καὶ πόματα δίδου, ἃ καθαίρουσιν ὑστέρας, καὶ ἐλαύνουσιν ἐς χώρην. καὶ τὴν λινόζωσιν ἐσθιέτω. καὶ τὸ γάλα μεταπινέτω, ὡς ἤδη τοῦ πλευροῦ γέγραπται. ἡ δὲ νοῦσος οὐ χρονίη. Ην σκιῤῥωθῶσιν αἱ μῆτραι, τό τε σῶμα τρηχύνεται, καὶ τὰ ἐπιμήνια κρύπτεται, ὁκόταν δὲ ἴῃ, ὡς ψάμμος φαίνεται τρηχέα. ἢν δὲ καὶ καθάψηται τῷ δακτύλῳ, τρηχὺ τὸ σῶμα εὕροις τῆς μήτρης, ὡς πῶρος προσφύεται αἰεί. Οταν ὧδε ἔχῃ, τὸν κυκλαμῖνον χρὴ τρίψαντα, καὶ ἅλας, καὶ σῦκον ὁμοῦ μίσγειν. καὶ ἀναποιέειν μέλιτι βαλανίδας. καὶ πυριήσαντα κλύσαι, τοῖσι καθαίρουσιν. ἐσθιέτω δὲ τὴν λινόζωσιν, καὶ κράμβην ἑφθήν. καὶ τὸν χυλὸν ῥοφεέτω. καὶ πράσον. καὶ θερμῷ λουέσθω. Ην αἱ μῆτραι σκιρωθῶσι, τά τε ἐπιμήνια ἀπολυγίζονται. καὶ τὸ στόμα αὐτῶν ξυμμύει. καὶ οὐ κυΐσκεται. καὶ ὡς ἕτερον ὀξεῖ. καὶ ἢν ψαύσῃς, ὡς λίθος δοκέει κεῖθι εἶναι. καὶ τὸ στόμα τρηχὺ, καὶ πολύῤῥιζον, καὶ οὐ λεῖον εἰδεῖν. καὶ τὸν δάκτυλον οὐκ ἐσίη. ὃς ἂν καθορῇ. καὶ πῦρ λαμβάνει περίψυχον. καὶ βρυγμός. καὶ τὰς μήτρας ὀδύνη ἔχει, καὶ τὴν νειαίρην γαστέρα, καὶ τοὺς κενεῶνας, καὶ τὰς ἰξύας. πάσχει δὲ ταῦτα, ἢν οἱ διαφθαρέντα τὰ ἐπιμήνια σαπῇ. ἔστι δ' ὅτε καὶ ἐκ τόκου, καὶ ψύχεος, ἢ πονηρᾶς διαίτης, καὶ ἄλλως. φάρμακον οὖν χρὴ πιπίσκειν. καὶ λούειν θερμῷ πολλῷ τε ὕδατι καὶ ἐλαίῳ χρίειν. καὶ πυριῆν. ὁκόταν δὲ νεόλουτος ᾖ ἢ νεοπυρίητος ᾖ, τὴν μήλην καθεὶς, ἀναστομοῦν. καὶ ἀνευρύναι τὸ στόμα αὐτέων, καὶ τῷ δακτύλῳ ὁμοίως. καὶ προστιθέναι μαλθακτήρια ὡς εἴρηται. καὶ τῶν πομάτων ὡσαύτως, πιπίσκειν καὶ θεραπεύειν. Ην δὲ σκληρωθῶσιν αἱ μῆτραι, τὸ στόμα σκληρὸν γίνεται τῶν ὑστερέων, καὶ ξυμμέμυκε. καὶ τὰ ἐπιμήνια οὐ γίνεται, ἀλλ' ἐλάσσω καὶ κακίω. καὶ ὀδύνη ἐμπίπτει. καὶ πῦρ, καὶ ῥῖγος λαμβάνει, ἀμφὶ τὴν νειαίρην γαστέρα, καὶ τὴν ὀσφῦν, καὶ τοὺς κενεῶνας. ὅταν δὲ ὧδε ἔχῃ, λούειν πολλῷ καὶ θερμῷ. καὶ χλιάσματα προστιθέναι, ἢν ὀδύνη ἔχῃ, καὶ πυριῆν τὰς ὑστέρας, βληχρῶς πουλὺν χρόνον, τῷ ἀπὸ τοῦ σικύου τοῦ ἀγρίου ὕδατι. ἔπειτα προστιθέσθω μαλθακτήρια τρεῖς ἡμέρας ταῦτα ποιέειν. καὶ ἢν ψαύσῃ αὐτῆς, μαλθακὸν τὸ στόμα τῶν ὑστερέων φαίνεται, μοτοῦν ὠμολίνῳ καθετηρίῳ, τοὺς ἐμπύους μοτοὺς τρεῖς. τῷ μὲν πρώτῳ, λεπτῷ. τῷ δὲ δευτέρῳ, ὀλίγον παχυτέρῳ. ὁ δὲ παχύτατος ἔστω τῷ μεγέθει, ὅσον ὁ σμικρὸς δάκτυλος. μῆκος δὲ πέντε δακτύλων. χρίων χηνείῳ ἀλείφατι. προστιθέναι δὲ, προπυριήσας τοῖσιν εὐώδεσι καὶ βάλανον μαλθακτικήν. ἢ νίτρου ὅσον ἐπαλείφοντα, ὡς μὴ τρώσῃ. οὐ γὰρ κεντεῖν δεῖ, καὶ προσκείσθω δύο ἡμέρας. ἀφίσταται δὲ οἷον λοπὸς καὶ δέρμα παχύ. διαλιπὼν δὲ τρεῖς ἡμέρας, τὴν κυκλάμινον τὸ ξὺν τῷ ναρκισσίνῳ. ἢν δὲ ταῦτα μὴ καθαίρῃ, κατὰ νόον πουλὺν προστιθέναι τέως τὸ ξὺν τῷ βουπρήστει, προσκείσθω δὲ τὴν ἡμέρην. καὶ ἐπὴν δάκνῃ ἰσχυρῶς, ἕλκειν τὴν βάλανον. καὶ διανίζεσθαι τὸ αἰδοῖον, ὕδατι θερμῷ, καὶ ἐν ἐλαίῳ δίζεσθαι. τῇ δὲ ὑστεραίῃ λουσαμένη, ἐλάφου στέαρ τήξασα, καὶ ἐς εἴριον μαλθακὸν ἀναφυρήσασα, προστιθέσθω. καὶ ἢν σοι δοκέῃ ἔτι καθάρσιος δέεσθαι, διαλιπὼν τρεῖς ἡμέρας, προστιθέναι τὸ ξὺν τῷ ναρκισσίνῳ. τῇ δὲ ὑστεραίῃ τὸ νέτωπον. ἔπειτα πάλιν διαλιπὼν τρεῖς ἡμέρας, κλύσαι τὰς ὑστέρας, εὐώδεσι καὶ λιπαροῖσι. τῇ δὲ ὑστεραίῃ, τὴν γλήχωνα προστιθέναι μίαν ἡμέρην. τῇ δὲ ἑπομένῃ, πυριῆν τοῖσιν ἀρώμασι. σιτίοισι δὲ δριμέσι χρήσθω, καὶ τοῖσι θαλασσίοισιν ἢ κρέασιν. ἐν δὲ τοῖσιν ἐπιμηνίοισιν, πινέτω τὸν κάστορα. καὶ ἀσιτεύσασα ἀλουτείτω θυμιωμένη. καὶ τὸν κυκεῶνα πίνουσα, παρὰ τὸν ἄνδρα ἡκέτω. Ην δὲ μὴ ἐνδέχηται τὸ στόμα τῶν ὑστερέων τὴν γονὴν, ἀλλὰ στερεῶδες ᾖ καὶ συμμεμυκὸς, προστιθέσθω μολύβδιον ὡς εἴρηται τρεῖς ἡμέρας λουσαμένη θερμῷ. καὶ μαλθακτηρίοισι χρείσθω. καὶ ἀνακείσθω ὑπτίη. καὶ ἐφ' ὕδωρ θερμὸν νιζέσθω, καὶ εἴριον ἐς μύρον ἀποβάπτουσα, προστιθέσθω. καὶ τὴν νύκτα προστιθέναι δεῖ μᾶλλον. παρατιθέναι δὲ παρὰ τὰ ἰσχία εἵματα ἐρίνεα, ἢ μαλθακὰ λίνεα, ὡς μὴ περιῤῥηδὲς ᾖ τὸ σῶμα προσθέτοισι μαλθακοῖσι. σμύρναν πιοτάτην, καὶ πίσσαν, καὶ κηρὸν, καὶ στέαρ χηνός. ἔστω δὲ τῆς σμύρνης μὲν τὸ ἥμισυ. τῶν δ' ἄλλων διπλάσιον. ἐν εἰρίῳ δὲ προστίθεσθαι. ἔστω δὲ δύο. προσκείσθω δὲ λουσαμένη, τὴν ἡμέρην τὸ ἕν. τὸ δὲ ἕτερον, ἐς τὴν νύκτα ἐστάναι μαλθακόν. καὶ ἐπειδὰν τοῦτο ὑφέληται, τῷ εὐώδει ὕδατι περινιζέσθω. ἢ ἐκλέψας κόκκους πεντεκαίδεκα. ἔστω καὶ ἰνδικοῦ ποσὸν, ἢν δοκέῃ εὖ, ἐν γάλακτι γυναικὸς κουροτρόφου, καὶ τρίβειν. παραμίσγειν δὲ καὶ ἐλάφου μυελὸν, καὶ τ' ἄλλα ὁκόσα εἴρηται. καὶ μέλιτι ὀλίγῳ μίσγειν. τὸ δὲ εἴριον μαλθακὸν

καθαρὸν ἔστω, καὶ πρὸς τὴν ἡμέρην προστιθέσθω. ἢν δὲ βούλῃ ἰσχυρότερον ποιέειν, σμύρνης σμικρόν τι παραμίσγειν. ἄριστον δὲ ᾠοῦ τὸ λευκὸν, καὶ αἰγὸς στέαρ, καὶ μέλι, καὶ ἔλαιον ῥόδινον τουτέοισιν ἀναφυρῆν. ἔλαιον δὲ παραχλιαίνειν παρὰ τὸ πῦρ, καὶ τὸ ἀποστάζον εἰρίῳ ξυλλέγειν καὶ προστιθέναι. ἢ στέαρ ἐρυθρὸν χηνὸς τὸ ἁπαλὸν, καὶ μύρον ῥόδινον, ταῦτα ξυμμίσγειν καὶ προσθεῖναι ἐν εἰρίου ἀναδεύσασα. ἄμεινον δὲ χηνὸς ἔλαιον. οἴου στέαρ, κηρὸς λευκὸς, ῥητίνη, νέτωπον, ἔλαιον ῥόδινον, ταῦτα ὁμοῦ τῆξαι καὶ μίξαι. λουσαμένη δὲ προστιθέσθω χλιερὰ ἔσω πρὸς τὸ στόμα τῶν ὑστερέων. ἢ ἐλάφου μυελὸν καὶ στέαρ χηνὸς τήξας ῥοδίνῳ ἢ ἰρίνῳ ἐλαίῳ ἀναφυρῆν. εἴριον δὲ μαλθακὸν ἄγαν προστιθέναι. Γυναικὶ ὁκόταν αἱ ὑστέραι σκληραὶ γένωνται, καὶ τὰ αἰδοῖα ἐξίωσι καὶ οἱ βουβῶνες σκληροὶ γίνονται. καὶ καῦμα ἐν τοῖσιν αἰδοίοισιν ἐνῇ, καὶ ναρκινοῦται πάντα. ὅταν οὖν ὧδε ἔχῃ, σικύου χρὴ τὸ ἔνδον τρῖψαι καὶ κνεῖον, ὕδατος κοτύλην ἐπιχέων ἐνεῖναι ἐς τὴν ἕδρην, καὶ καθαίρεται. ἢν τὸ στόμα τῶν ὑστερέων σκληρὸν γένηται ὑπὸ ξηρασίης, καὶ ἐν σχήματι ἡ νοῦσος ᾖ, ὁ αὐχὴν, τῷ δακτύλῳ γνώσει παραψαύσας. καὶ ἢν ἐς τὸ ἴσχιον ἐληλάσθωσι, μὴ προσφέρειν δριμὺ μηδέν. ἢν γὰρ ἑλκωθῇ, ἢ φλεγμήνῃ, κίνδυνος τὸ παράπαν ἄτοκον γενέσθαι. προστίθεσθαι δὲ, ὅσα μὴ δάκνεται, ὑφ' ὧν καθαίρεται. ὅταν δὲ σκληραὶ ἔωσιν αἱ ὑστέραι, καὶ τῇδε ἀλγέουσι, προσθετὰ τιθέναι, οἷον ἐλάφου μυελὸν, ἢ χήνειον στέαρ, ἢ ὕειον. καὶ ἴρινον μύρον ξὺν μέλιτι. καὶ μαλθάσσειν ᾠοῦ τὸ πυῤῥὸν καὶ κηροῦ λευκοῦ ὡς ἐπίπλασμα. καὶ κέδρινον, ἢ πύρινον ἄλητον ξὺν ὕδατι καὶ πηγάνῳ ἑψεῖν. Ἢν αἱ μῆτραι ξυμμύσωσι, τὰ στόματα σκληρὰ γίνονται σφέων. καὶ τὴν γονὴν οὐκ ἔτι δέχονται, ἀλλ' αὐτόθεν ἐπὴν ξυνέλθῃ τῷ ἀνδρὶ, κινέουσα τὰ σκέλεα χωρέει. καὶ ὀδυνῶνται τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς βουβῶνας ἔχουσι. καὶ τὰ ἐπιμήνια παντάπασιν οὐ γίνεται. ἢν δὲ γίνηται, ὀλίγα καὶ πονηρὰ, καὶ ἄχροα. ὅταν ὧδε ἔχῃ, λούειν πολλῷ θερμῷ. μετὰ δὲ τὸ λουτρὸν, διδόναι τοῦ κάστορος ξὺν τῇ γλυκυσίδῃ τῆς ῥίζης ξυμμίσγειν χρὴ ἐν οἴνῳ μέλανι εὐώδει. σιτίοισι δὲ διαιτάσθω, ὡς ἡ λέγω. καὶ ἢν δῆλα ᾖ τὰ ἐπιμήνια, ἐπισχεῖν μίην ἡμέρην, καὶ πυριῆν ὅλην. καὶ φάρμακον διδόναι ποτόν. ἢν δὲ ἐθάδες ἔωσιν, ἄνω ἢν δοκῇ δεῖσθαι ἢ κάτω. γάλα οὖν ὄνου, ἢ ὀῤῥὸν προσφέρειν. καὶ πυριῆσθαι βληχρῶς. καὶ μαλθακτήρια ὑστέρῃ προσφέρειν. καὶ κυκλάμινον, καὶ ναρκίσσινον. σικύων ἢ τῶν σμικρῶν, λαβεῖν τὴν ἐντεριώνην. καὶ καταχνήσας ἐξελὼν τὸ σπέρμα, παραστάζων γάλα γυναικὸς κουροτρόφου, τρίβειν, παραμιγνύων σμύρνην ἄκρητον. καὶ μέλι ὡς κάλλιστον. καὶ ἔλαιον λευκὸν αἰγύπτιον. καὶ ποιέειν μὴ ὑγρὸν ἀλλὰ ξηρόν. τοῦτ' ἐμπλάσαι ἐς εἴριον μαλθακὸν καθαρὸν, καὶ ἐμβαψάτω ἐν λευκῷ ἐλαίῳ αἰγυπτίῳ. καὶ λουσαμένη προστιθέσθω. ὑποδείσθω δὲ καὶ ἐν σκέπῃ ἔστω, ὅταν καθαίρηται. ἐπὴν δέ σοι δοκέῃ ἀρκούντως ἔχειν, παύσασθαι. ἢν δὲ μὴ, αὖθις τιθέναι ἕτερον. μετὰ δὲ τοῦτο ἀμφελίξασα ἐν εἴριον μαλθακὸν, στρογγύλον δὲ ποιέειν. καὶ νέτωπον ἐμβάλλειν. καὶ προστίθεσθαι μίην ἡμέρην. τῇ δ' ὑστεραίῃ, ἔλαιον ῥόδινον ἐν εἰρίῳ. εἶτα πάλιν ἐλάφου στέαρ τήξας καὶ αὐτὸ ἐν εἰρίῳ. λουέσθω δὲ ἐν θερμῷ ὕδατι, αἰεὶ πρὸ τῶν προσθετῶν. καὶ πυριήσθω εὐόδμοισι βληχρῶς πλεῖστον χρόνον. μετὰ δὲ μίην διαλιπὼν ἡμέρην, κλύσαι, ἢν μὲν φλεγματώδης, τῷ ξὺν τῷ κόκκῳ. ἢν δὲ χολώδης, τῷ ἀπὸ τῆς σκαμμωνίης. μετακλύζειν δὲ καὶ ἐπὶ τουτέοισιν ἀμφοτέροισι τῇ ὑστεραίῃ, τῷ ναρκισσίνῳ σὺν οἴνῳ γλυκεῖ. ἢν δὲ μὴ ᾖ ναρκίσσινον, ἀνθίνῳ ἢ ἰρίνῳ, ὡς κάλλιστα. ἔστω δὲ τοῦ ἐλαίου τρίτη μοῖρα τοῦ οἴνου. ἔπειτα διαλιποῦσα δύο ἡμέρας, προσθέσθω τὸ ξὺν τῇ γλήχωνι ἡμέρην μίην. ἢν δὲ γένηται τὰ ἐπιμήνια, πινέτω νῆστις τὸν κάστορα τρεῖς ἡμέρας, σὺν οἴνῳ εὐώδει λευκῷ. ἐπὴν δὲ ἀπολήγῃ τὰ ἐπιμήνια καὶ παραμόνιμα ᾖ, λουέσθω. καὶ ῥαινιζομένη ὕδατι ψυχρῷ, κυκεῶνα πινέτω ἄναλτον. σίτου δὲ μὴ ἁπτέσθω. ξυνευνέτω δὲ τῷ ἀνδρὶ, δύο ἡμέρας ἢ τρεῖς. ὁκόσον δ' αὖ χρόνον καθαίρηται, τὴν λινόζωστιν ἑψοῦσα ἐν ὕδατι, κἄπειτα ἂν ἑφθὴ γένηται, ἐκθλίψαι. ὑποτρίβειν δὲ σκόροδα καὶ κύμινον καὶ ἅλας. καὶ ἔλαιον ἀνακυκᾷν ἐν τουτέοισι. καὶ ὀλίγον ἐπιχέαντα τοῦ χυλοῦ ἀναζέσαι. τοῦτο πρὸ τῶν σιτίων ἐσθίειν. σκόροδα δὲ ἑφθὰ καὶ ὀπτὰ λαμβάνειν ὡς πλεῖστα. ἢν δὲ ἡ λινόζωστις μὴ ἁπαλὴ ᾖ, λείην ξυνεψεῖν χρὴ κράμβῃ, καὶ ἡδύνειν, καὶ προσηνὲς ἐόν. καὶ ἢν ἐν γαστρὶ λάβῃ, ὑγιὴς γίνεται. καὶ πάντα οἱ κατὰ κόσμον ἴῃ. Ἢν δὲ τὸ στόμα τῶν μητρέων ξυμμύσῃ, γίνεται ἰσχυρὸν ὡς ἐρινεόν. κἢν ἐπαφήσῃ τῷ δακτύλῳ, ὄψει σκληρόν τε καὶ ξυναλεόμενον. καὶ τὸν δάκτυλον οὐκ ἐσίησι, καὶ τὰ ἐπιμήνια κεκρύφαται, καὶ τὴν

γονὴν

γονὴν οὐ δέχεται τοῦτον τὸν χρόνον. καὶ ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα, καὶ τὴν ὀσφῦν, καὶ τοὺς κενεῶνας. ἔστι δ' ὅτε καὶ ἄνω προσίσταται, καὶ πνίγει. ὅταν οὕτως ἔχῃ, φάρμακον χρὴ πῖσαι κάτω. καὶ λούειν πολλῷ θερμῷ. καὶ προστιθέναι ὅσα μαλθάσσει τὸ στόμα. καὶ ὑπάλειπτρον καθιέναι. καὶ ἀναστομοῦν τῷ δακτύλῳ, καὶ ὡσαύτως λειοῦν. ὅταν δὲ μαλθακὸν ᾖ, προστιθέναι ὅσα καθαίρει αἷμα. καὶ τῶν ποτημάτων διδόναι καὶ πυριῆσθαι παρέχειν καὶ ὅ,τι ἂν ἄλλο προσδέχηται. τὴν κράμβην δὲ ἐσθιέτω, καὶ τὸν χυλὸν ῥοφεέτω. Ην αἱ μῆτραι ξυμμύωσι, καὶ τὰ ἐπιμήνια μὴ φαίνηται. κολοκυνθίδα ἀγρίην, καὶ κύμινον αἰθιοπικὸν, καὶ νίτρον, καὶ ἅλας θηβαϊκὸν, καὶ νεφέλιον, καὶ ἄλευρον, καὶ σμύρναν, καὶ ῥητίνην, ζέσας πάντα ὁμοῦ, καὶ μίξας λεῖα. καὶ ποιήσας βάλανον προστίθει. Ην θρομβώδεά σιν αἱ μῆτραι, τὸ στόμα αὐτῶν γίνεται, οἷον ὀρόβων μεστόν. καὶ ἢν ἐπαφήσῃ, ὄψει οὕτως ἔχον. καὶ τὰ ἐπιμήνια οὐ γίνονται, οὐδὲ ἡ γονὴ ἐμμένει, τέως ἂν ὧδε ἔχῃ. τοῦ κυκλαμίνου τὸν φλοιὸν περιλέψας. καὶ σκόροδα. καὶ ἅλας. καὶ σῦκον. καὶ μέλι ὀλίγον. ταῦτα τρίψαι καὶ συμμῖξαι καὶ ποιῆσαι βάλανον, καὶ προσθεῖναι πρὸς τὸ στόμα τῶν μητρέων. καὶ τῶν ἄλλων προσθετῶν, ὅσα δριμέα τέ ἐστι καὶ κατεσθίει, καὶ ὑφ' ὧν καθαίρεται αἷμα. καὶ τῶν πομάτων ὅσα ὑστέρας καθαίρει. Ην παρὰ φύσιν αἱ μῆτραι χάνωσι, τὰ ἐπιμήνια χωρέει πλείονα. καὶ χλιερά. καὶ θαμινά. καὶ ἡ γονὴ οὐκ ἐμμένει. καὶ τὸ στόμα κεχηνός ἐστι. καὶ οὐχ οἷόν τε εἰρύσασθαι τὴν γονήν. καὶ πῦρ καὶ ῥῖγος λαμβάνει, τὴν κάτω κοιλίην, καὶ τὰς ἰξύας. ἡ δὲ νοῦσος λάζηται ἐκ ῥόου αἱματώδεος. γίνονται δὲ καὶ ὁκόταν τὰ ἐπιμήνια ἐξαπίνης ἰσάμενα ῥαγῇ. ἡ δίαιτα γοῦν πρόσθεν εἴρηται. χρὴ δὲ προσθέτοισι θεραπεύειν. ἐν ἀρχῇ μὲν, καθαρτηρίοισιν ἅμα καὶ μαλθακοῖσιν. ἔπειτα ἠρέμα στύφουσι. καὶ σπόγγοισι τὰ κάτω τοῦ ὀμφαλοῦ πυριῆν μυρσίνης ὕδατι, ἢ βάτου, ἢ ἐλαίων φύλλοις ἐναφεψηθέντων. ἢ ῥόδων ἢ οἰνάνθης, ἢ ἀμπέλου. Ην τὸ στόμα τῶν μητρέων ἀναχάνῃ, ἢ ὡς πέφυκεν ἐν τοῖς ἐπιμηνίοισιν, οὕτω γίνηται τὰ ἐπιμήνια, πλείω καὶ κακίω πάντα. καὶ ὑγρότερα, καὶ διὰ πλείονος χρόνου. καὶ ἡ γονὴ οὐχ ἅπτεται, οὐδὲ μένει, ἀλλὰ πάλιν ἔξεισιν. κἢν ἐπιμένῃ, τὸ στόμα εὑρήσει διαπεπληγός, καὶ ἀδυναμίη ἴσχει ὑπὸ τῶν ἐμμηνίων. καὶ κοῦφη ἐστὶ καὶ ἄτονος, καὶ πρόσω χωρέει. τὰ δὲ κράτεα χαλᾶται. καὶ πῦρ βληχρόν. καὶ ῥῖγος. καὶ ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα καὶ τοὺς κενεῶνας καὶ τὰς ἰξύας. πάσχει δὲ ταῦτα μάλιστα, ἤν τι ἐν αὐτῇ διαφθαρῇ, σαπῇ καὶ παγῇ. πάσχουσι δὲ καὶ ἐκ τόκων ἔνιαι. αἱ δὲ καὶ ἄλλως. ὅταν γοῦν ὧδε ἔχῃ, φάρμακον χρὴ πιπίσκειν. καὶ κρεισσω τοῦ ἔσται. κἢν ὀδύνη ἔχῃ, τῶν χλιασμάτων προστιθέναι. καὶ ὕδατι ψυχρῷ λούειν. καὶ διαλείποντα κλύζειν. καὶ τῶν ποτημάτων διδόναι, ὅ,τι ἂν μάλιστα προσδέχηται. καὶ ὑποθυμιῆν, ὁκόσα ξηραίνει. καὶ πουλύποδας ἐσθιέτω. καὶ τὴν λινόζωστιν. ἢν δὲ μὴ μεμύκωσιν αἱ μῆτραι ὡς χρὴ, καθίννυσθαι ἐν ὕδατι, μυρσίνης ἐναφεψημένης, ἢ σχίνου, ἢ ἀμπέλου, ἢ ἐλαίης φύλλοισιν, ἢ ῥόδων. δίαιτα δὲ ἡ λέλεκται ὑπὸ τοῦ ἐρυθροῦ ῥόου. ἄριστον δὲ οἱ βοήθημα, δίψα. ἔμετοι θαμέες. καὶ λουτρῶν εἴρξις, ὁκόταν ἀναστομωθῶσι μᾶλλον τοῦ δέοντος αἱ ὑστέραι, καὶ μὴ μεμυκῶσι. καὶ καθάρσιος δέωνται, καὶ κλυσμῶν. καὶ θυμιαμάτων. ἢν δὲ αὐθῶσι τὰ ἐπιμήνια, πλείω γίνεται καὶ κακίω καὶ ὑγρότερα καὶ πυκνά. καὶ ἡ γονὴ οὐκ ἐμμένει, ἀλλ' ἡνίκα ἴῃ, οἴχεται. καὶ τὸ στόμα ἐπαφώμενος τῷ δακτύλῳ ὄψει λεῖον. καὶ ἀδυναμίη αὐτὴν λαμβάνει ὑπὸ τῶν ἐμμηνίων. καὶ πυρετὸς καὶ ῥῖγος ἴσχει. ὀδύνη τε ἔχει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας, καὶ τοὺς κενεῶνας. μάλιστα δὲ ἤν τι ἐν ἑωυτῇ διαφθαρὲν σαπῇ, καὶ ἐκ τόκου, καὶ ἄλλως. ὅταν οὖν οὕτως ἔχῃ. θεραπεύειν χρὴ, ὅκου ἂν ἡ ὀδύνη ἔχῃ. ὡς ὑπὸ τῶν πρόσθεν γέγραπται. Ην αἱ μῆτραι φλεγμήνωσι, τὰ ἐπιμήνια ἐπιλυγίζονται, καὶ ὁ βραχύλος ξυνταράχθῃ. καὶ πυρετὸς ὀξύς. καὶ γνώμης ἁπτόμενος. καὶ πονηρὰ καὶ ὀλίγα οἱ ἐπιφαίνεται. καὶ ὁκόταν νῆστις ᾖ, ἔμετός τις αὐτέῃ ἐπέρχεται. ὁκόταν δέ τι φάγῃ, ταῦτα ἐμέει. καὶ ὀδύνη τὴν νειαίρην γαστέρα ἴσχει, καὶ τὰς ἰξύας. καὶ ἀποψύχει. καὶ περίψυξις διὰ ὅλου τοῦ σώματος. ἡ δὲ γαστὴρ τότε μὲν σκληρὴ, τότε δὲ μαλθακή. καὶ ἐμπίπραται. καὶ αἴρεται. καὶ δοκέει ἐν γαστρὶ ἔχειν. ἔστι δ' ὅτε κενεὸν φαίνεται τὸ πλήρωμα τῆς γαστρός. καὶ ἐμπίπλαται ἡ κοιλίη ὕδατος. καὶ ὁ ὀμφαλὸς ἐξίσχει. καὶ τὸ στόμα ἰσχνόν. καὶ ἐξαπίνης ἐφάνη τὰ ἐπιμήνια τρύζοντα. καὶ ὀλίγα καὶ πονηρά. καὶ λεπτύνεται τὰς κληῖδας, καὶ τὴν δέρην. καὶ οἱ πόδες οἰδίσκονται, καὶ αἱ πτέζαι μάλιστα. ὅταν ὧδε ἔχῃ, φάρμακον πῖσαι, κάτω. καὶ προσθέτοισι πυριῆσθαι τὰς ὑστέρας, ὡς δυώδεκα τὰς ἡμέρας τοῖσι μολυβδίοισι. καὶ λοῦσαι θερμῷ

ὕδατι πρὸ τῆς προσθέσιος μὴ δάκνοντι. καὶ μετὰ τὴν πρόσθεσιν κλύζειν δύο πόσιας. κυήσειν ἑψῆσαι κοτύλην ὕδατος, καὶ ἀποχέαντα τὸ ὕδωρ, κλύσαι κοτύλην ὕδατος, ξυμμίξαντα καὶ ἐλαίου ναρκισσίνου ἢ ἀνθίνου. μετὰ δὲ ταῦτα διαλιπεῖν ἡμέρας τρεῖς. εἶτα κλύσαι τῷ ξὺν τῷ ὄξει. καὶ πρὸ τοῦ σίτου τὴν λινόζωστιν ἑψοῦσα σὺν οἴνῳ ποσῷ, ἐσθιέτω ὡς κράμβην. καὶ τὸν χυλὸν ῥοφεέτω. ἢν δὲ ἐπιτηδείῃ, φάρμακα πιπίσκειν, ὑφ' ὧν ὕδωρ καθαίρεται τὰς ὑστέρας. σιτίοισι δὲ χρεέσθω ἄρτοισι καὶ λαχάνοισιν, ἑφθοῖσι, τακεροῖσι. θαλασσίοισι δὲ μᾶλλον ἢ κρέασιν, ἢ ἀκροκωλίοισιν ἑφθοῖσι τακεροῖσι. καὶ ταλαιπωρέειν ὡς πλεῖστα, καὶ πρὸ τοῦ σίτου καὶ μετὰ τὸν σῖτον. καὶ λουέσθω ὡς ἐλάχιστα ψυχρῷ. καὶ γλυκέων καὶ λιπαρῶν παντοίων εἰργέσθω. τὰς δὲ διὰ μέσου τῶν καθαρσίων, ἀδίαντον πινέτω, ἐν ὄξει κεκρημνισμένῳ νῆστις. ἡ δὲ νόσος, θανατώδης. ἐκφυγεῖν δὲ ὀλίγαι δύνανται. Ἢν μὴ ἐν γαστρὶ ἔχωσι φλεγμασίης μητρέων, τὰ ἐπιμήνια ἐπιλυγίζονται. καὶ ὁκόταν ἄσιτος ᾖ, ἐμεῖ. ὁκόταν δὲ βεβρώκῃ, ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα, καὶ τὰς ἰξύας. καὶ ὅλη ἡ κοιλίη, ὁτὲ μὲν σκληροτέρη, ὁτὲ δὲ μαλθακὴ γίνεται. καὶ καθίσταται δὲ οὐ πάνυ. κοιλίη μεγάλη γίνεται, καὶ οὐ καθαίρεται. καὶ οὐ δοκέει κύειν. καὶ πάσχει ὁκόσα περ καὶ αἱ ἐγκύμονες. καὶ θιγγάνῃς τῆς κοιλίης, κοῦφον τὸ οἴδημα γνοίης ὡς ἀσκοῦ. καὶ ὁκόταν δοκέῃ τόκου ὥρη εἶναι, αἱ μῆτραι ξυμπίπτουσι. καὶ τὰ ἐπιμήνια ὀλίγα, καὶ κακίονα. ταύτην φάρμακον χρὴ πιπίσκειν κάτω. καὶ προστιθέναι τῶν καθαρτικῶν. καθαρθεῖσα δὲ, ὑγιὴς γίνεται. Ἢν φλεγμαίνῃ ἡ μήτρη, ψαύεται. ἢν δέ τι σφακελίζῃ καὶ παλιγκοταίνῃ, πῦρ ἔχει ὀξὺ καὶ μέγα, καὶ φρίκη σκληρὴ, τὰ ἀμφὶ τὰ αἰδοῖα. ἐκπάγλως τε αἴσθεται. καὶ διακνέεται καὶ ὁρμᾷ. καὶ ἤν τις ἐπαφήσει τῷ δακτύλῳ, καὶ αὖθις κάκιον ἴσχει. καὶ ἀδάξεται. καὶ τὴν κεφαλὴν ἀλγέει, καὶ τὸ βρέγμα. καὶ ἀχλὺς, καὶ ἱδρὼς μετωπιδιαῖος. τὰ ἄκρεα ψύχονται, καὶ τετρεμαίνουσι. καὶ κῶμα ἔχει ἄλλοτε. καὶ ἐσακούειν οὐκ ἐθέλει. οὐδὲ ἡ ὑστέρη ἐνεργεῖ. ἀσιτίη πολλὴ. καὶ στόμαχος οὐ πάμπαν ἐρύκεται τὴν τροφὴν, καὶ ἡ κοιλίη. καὶ βοᾷ, καὶ ἀναΐσσει. καὶ ὀδυνᾶται τό, τε ἦτρον, καὶ τοὺς βουβῶνας, καὶ τὰς ἰξύας καὶ παραφύσιας. καὶ ταχὺ θνήσκουσιν. ἢν δὲ αἱ ὀδύναι καταγνῶσιν ὡς σπόγγοισι θερμοῖσιν ἐξ ὕδατος καὶ ἐλαίου ἐκπεπιεσμένοισι πυριῆσαι. καὶ προσθέτοισι μαλθακοῖσι, μυελὸν ἐλάφου, καὶ χηνὸς ἄλειφα, καὶ κηρὸν λευκὸν, καὶ τὰ τὸ πυῤῥόν. ἢ κηρωτὴν ποιήσας προστιθέναι ξὺν ῥητίνῃ. καθαίρειν δὲ οἴνῳ, ἢ γάλακτι αἰγείῳ, ἢ ζωμῷ ὄρνιθος. οἶνον δὲ μὴ πίνειν. καὶ πτισάνης χυλὸν ῥοφεέτω. Μητρέων ὀδύνης ἔγχυτον. Ἢν ὀδύνη μοῦνον ἢ ἀπερχνὴ καὶ βίαιος, ἀχλὺς ἐν τῇσι μήτρῃσιν ἐνῇ. καὶ οὐκ ἔξεισι τὸ πνεῦμα, ἀλλ' αὐτόθι μένει κακόν. δεῖ οὖν οὕτως θεραπεύειν. ἀνδράφαξιος ἀγρίης καρπὸν, καὶ τεῦτλα ῥίψας ὁμοῦ λεῖα χλιήνας τε ἔγχεον εἰς τὰς μήτρας. Ὑστερέων ὀδύνας παῦον. Οἶνον ὡς ἥδιστον ἴσον ἴσῳ κεράσας, τρία ἡμίχοα ἀττικά, μαράθου ῥίζας, καὶ τοῦ καρποῦ τριτημόριον. καὶ ῥοδίνου ἐλαίου ἡμικοτύλιον. ταῦτα ἐμβαλεῖν ἐς ἐχῖνον καινὸν, καὶ οἶνον ἐπιχέαι, εἶτα πυριῆσαι, προστιθέναι δὲ καὶ σκίλλην, ἐς ἂν τὸ στόμα μαλθακὸν ᾖ. καὶ φορακιώδεες. καὶ ὅταν ἐν καθάρσει φλυκταῖναι ἀνὰ τὸ στόμα τῆς ὑστέρης φύσωσιν, οὕτω θεραπεύειν. σάρκα βοὸς, ἢ πικερίῳ χλιαρῷ στέατι καὶ ἀννήσῳ, τρίψαι λείως τὴν σάρκα, καὶ ἐς τὸ αἰδοῖον ἐντιθέναι.

Ἢν ἐρυσίπελας ἔχῃ τὰς μήτρας, οἰδέει τοὺς πόδας καὶ τοὺς μαζοὺς καὶ τὸ σῶμα. καὶ πόνος αὐτὴν κατέχει. καὶ ὀρθόπνοια γίνεται. καὶ ἀλγέει τοὺς κενεῶνας, καὶ τὸ ὑπογάστριον, καὶ τὰ στέρνα, καὶ τὴν κεφαλήν. τρόμος τε ἔχει. καὶ τὰς χεῖρας νάρκη, καὶ τοὺς βουβῶνας. καὶ τὰς ἰγνύας τρέμει. ἐνίοτε δὲ καὶ ἐν τῇσιν ἰγνύῃσι καὶ πελιδναὶ γίνονται. καὶ κουφίζει ὀλίγον χρόνον. καὶ ἡ χροιὴ μάλιστα δὲ καὶ οἱ μαζοὶ ἀείρονται παρὰ τὴν ὁμοεθνίην. ἀλλὰ γὰρ οὐ πάνυ τι ἀλγέει. καὶ πῦρ καὶ ῥῖγος λαμβάνει. καὶ ἐρυθρὸν τὸ πρόσωπον γίνεται. καὶ δίψα ἰσχυρή. καὶ τὸ ἧπαρ ξηραίνεται. ταῦτα ἢν ἐγκύμονι περιπέσῃ, θνήσκει. καὶ οὐκ ἂν δυνήσεται διαφυγεῖν. Ἢν ἐρυσίπελας ἐν τῇσι μήτρῃσι γένηται οἰδήματα γίνεται πελιώδεστατα ἀπὸ τῶν ποδῶν ἀρξάμενα. καὶ ἐς τὰ σκέλεα πάντα καὶ ἐς τὴν ὀσφῦν. ὅσῳ δ' ἂν ὁ χρόνος πλείων γένηται. καὶ ὁ θώρηξ ἐπαίρεται. καὶ οἰδίσκεται. καὶ περιψύχεται πᾶσα. καὶ πῦρ ἔχει μέγα. καὶ ῥῖγος ἐπιλαμβάνει. καὶ πνεῦμα πυκνόν. καὶ λιποθυμίη. καὶ ἀσθενείη. καὶ ὀδύνη παντὸς τοῦ σώματος. δυσθυμέει τε καὶ αἰολᾶται τῇ γνώμῃ. καὶ τὸ πάθος ἀνέρχεται ἐκ τῆς κάτω κοιλίης, ἐς τὰς ἰξύας, καὶ ἐς τὰ νῶτα, καὶ τὰ ὑποχόνδρια, καὶ τὰ στέρνα καὶ τὸν τράχηλον, καὶ τὴν κεφαλὴν, καὶ τὸν στόμαχον. καὶ δοκέει θανεῖσθαι. ὁκόταν δὲ λύηται ἡ ὀδύνη, νάρκη ἔχει τὰς ἰξύας, καὶ τοὺς βουβῶνας, καὶ τὰ

σκέλεα. καὶ ἐν τῇσιν ἰγνύῃσι πέλια γίνεται καὶ ὀλίγον χρόνον δοκέει ῥάων εἶναι. ἔπειτα αὖθις πονέεται. καὶ ὁ χρὼς, φλυκταινέων καταπίμπλαται. καὶ τὸ πρόσωπον ἐρυθήματα λάζεται προφανέα καὶ δηλεόμενα. καὶ ὁ φάρυγξ αὖος. ἡ γλῶσσα τρηχείη. αὕτη ἡ νοῦσος, εἰ ἐγκύμονα χοίη, κτείνει. ἢν δὲ μὴ, ἰητρικὴν χρὴ προσάγειν. ὄνου γάλα πιπίσκειν καὶ καθαίρειν. ἢν δὲ μὴ λύηται ὧδε, ψύχειν τὴν κοιλίην, ἐν μαλθακοῖσι ψύγμασι. καὶ προσθέτοισι μὴ προσσκελέσι. καὶ καθῆραι κούφοις, ἐκ τοῦ κατ' ὀλίγον, καὶ ἐμέειν. ἀγαθὸν δὲ ἀκτῆς φύλλα λαμβάνειν ἑφθὰ, ξὺν ὀριγάνῳ ἢ θύμῳ ἢ πηγάνῳ. ἢν δὲ τὸ πῦρ μεθίηται, καὶ οἶνον καὶ σιτία διδόναι γλυκέα. πλὴν οὖν, ἀλλὰ παῦραι θεραπεύονται. Ὕδερος δὲ γίνεται, ἐν τῇσι μήτρῃσι τὰ ἐπιμήνια χωρέει ἀσώδεα. καὶ ὑδατώδεα. καὶ οὐ πάνυ αἱματώδεα. οἰδέει καὶ ἡ ὑστέρη, καὶ φλέβες καὶ ὅσα ἄγχιστα. καὶ κυΐσκεται. ἔπειτα πνίγεται. οἱ μαζοὶ ῥέουσι. καὶ ἡ νείαιρα γαστὴρ σκληρή ἐστι καὶ οἰδέει. καὶ πᾶς ὁ ἀμφὶ περὶξ χῶρος καὶ ἀλγέει. ἤν τις αὐτὴν ψαύσειε πυρετός τε καὶ βρυγμὸς ἴσχει. καὶ ὀδύνη ἀπέρχεται ἐς τοὺς κενεῶνας, καὶ ἐς τὰς ἰξύας. καὶ ἐξονειροῖ. καὶ κάκιον ἴσχει. ταύτην λούειν δὲ θερμῷ καὶ χλιαίνειν. φάρμακον δὲ πιπίσκειν καὶ πυρίην βληχρῇσι. καὶ κυκλάμινον τριώβολον ἐν ὀθονίῳ προστιθέσθω, ἐκδήσασα. καὶ κυπαρίσσου χυλὸν βρέχειν ἐν ὕδατι. καὶ κανθαρίδας τρίβουσα, προστιθέναι ὀλίγον χρόνον. καὶ διὰ πλείονος ἐνθρυγεῖ. Προσθετὸν ὅσον χήμην. κύμινον ἀσταφὶς λευκή. Ἄλλο. Κνίδης καρπός. ἄρου ῥίζα. τούτων ὃ βούλει ἐπιεικέως προστιθέναι. ἐπειδὰν ἐκκαθάρῃς κλυζέσθω καὶ ἀφαιρέειν καὶ ἐγκλύζειν τὰ αἰδοῖα. καὶ ξυγκοιμάσθω ἅμα. καὶ ἢν δ' ἐγγένηται τὸ ἔμβρυον, ἐκκαθαίρεται πᾶσα καὶ ὑγιὴς γίνεται.

Ἄλλο ὁμοίως ὑδρόπου μητρέων. Ὕφαιμόν τι ῥέει ἰχωροειδὲς, καὶ καθαίρεται. καὶ δάκνει σφόδρα καὶ ἑλκοῖ ὥσπερ ἅλμη τὰ αἰδοῖα. καὶ τὰ περὶξ. καὶ ὅκου ἂν ἐπιστάξῃ, ἑλκοῖ. καὶ ἡ χροιὴ ἰκτερώδης. τὰ δὲ ἄλλα καθαίρεται πλῆθος, ὥσπερ ἐν τοῖσιν ἄλλοισιν ῥόοισιν. ἡ δὲ νοῦσος βληχροτέρη τε καὶ ἄλλως θανατώδης γίνεται. ἢν ἐξέλθωσιν αἱ μῆτραι, ταύτην θεραπεύειν, ὡς τὴν ὑπὸ λευκοῦ ῥόου ἐχομένην. καὶ γάλα ὄνειον πιπίσκειν. καὶ ἰσχναίνειν. καὶ ἰῆσθαι φαρμάκοισι, τοῖσι προειρημένοισι. Ὑδρόπου ἐκλικτά. Ἢν ὕδωρ ἐκ τῶν μητρέων ῥέῃ, θεῖον χηνὸς ἄλειφα λείχειν. ἢν ἄνεμος ἐν τῇσι μήτρῃσιν ἐνῇ, φῦσα ἔξεισι καὶ τρύζει. καὶ οἰδέει πᾶσα. καὶ πῦρ ἔχει καὶ καῦμα. πρὸς τοῖσδε, ἀΐσσει σφόδρα ὑπὸ τῆς ὀδύνης. καὶ τὸν ἄνδρα οὐ προσίεται. καὶ σφόδρα ἄχθεται τὴν εὐνήν. καὶ ὀρθοῦσθαι ἀδυνατεῖ. καὶ ὡς βαρέα μιν κέαται ἐν τῇσι μήτρῃσι. καὶ κεφαλὴν ἀλγέει. καὶ ἀλύει. καὶ ἄναυδός ἐστιν. ἢν δὲ ἡ ὀδύνη προστῇ, βοᾷ τε καὶ ἀλγέει πάντα, καὶ ἰξύας, καὶ ἐπίσειον, καὶ τὴν ἕδρην. καὶ τὸ οὖρον εἴργεται. καὶ ἡ κοιλίη πνίγεται. καὶ θανεῖν ἐρᾶται. καὶ ὑποχόνδριον τιταίνεται. καὶ στόμαχος δάκνεται. καὶ τὸ στόμα πικρόν. καὶ ἐμέει ὀξέα καὶ ἄκρητα. καὶ ἐρεύγεται θαμινά. καὶ ῥαΐζει. ἢν δὲ μὴ ἀνοιδίσκεται, καὶ ἢν ἐπαφήσῃ καὶ ἀντιτυπέει καὶ ἀλγέει. κλύζειν οὖν χρὴ τὴν μήτρην μελικρήτῳ, καὶ ὀξυμέλιτι, καὶ ἐλαίῳ. κύμινόν τε τριπτὸν ἢ ἄννησον. καὶ λίνου πέταλα τρίβειν. καὶ ὄρνιθος ἀπόπατον ξὺν ᾠοῖς καὶ ἐν ὕδατι ἐνιέναι. προσθέτοισι δὲ οἷς ἂν ἐγὼ γράψω. καὶ ποτήμασι χρέεσθω. καθίζεσθαι δὲ ἐν ἐλαίῳ θερμῷ, καὶ ἀρώματα ἐμβάλλειν. σχοίνου ἄνθος ἢ ἐν ὕδατι δάφνης ἢ θαλάσσης. ἄριστον δὲ καθαίρειν κλυσμοῖσι μαλθακοῖσι τὴν κοιλίην. ἢ βάλανον προστιθέναι, ὡς νηπίῳ κοιλίη λύεται. θεῖον ἄπλυτον ξὺν μέλιτι. ἢν δὲ γεραιτέρου ἢ κρόμμυον ἐς ἔλαιον, ἢ ἐς μέλι καὶ προστιθέναι. ἢ ταύρου χολὴν, ἢ νίτρον ξὺν μέλιτι, ἢ ῥοιῆς ὀξείης χοίνικα ξὺν μέλιτι καὶ ἀλήτῳ κριθίνῳ. εἰ δὲ μύλη ἐμφύεται ὑπὸ πάχεος γονῆς ἐνεχομένης, θύμβραν λεήνας ἐν ὄξει καὶ ὕδατι, τοῦτο δίδου πίνειν ἔνυγρον. ἢ ὑοσκυάμου τὸν καρπὸν λεῖον, καὶ κλύζειν ἅλμῃ καὶ ὀπῷ καὶ ὄξει. ἢν δὲ ἢ ξὺν ὕδατι κράτιστον μελίκρητον ἐνιέναι ξὺν ὕδατι φακῶν, ἢ ὀρόβων, ἢ ἴου ἄνθος. ἢν δὲ καθαρθῇ, οἷα τὰ πυριφλεγέθεα, μυρσίνην ἕψειν, καὶ διανίζεσθαι σμύρναν. καὶ νέτωπον σὺν θείῳ προστίθεσθαι. Ἢν ἄνεμος ἐνῇ ἐν τῇσι μήτρῃσι, καὶ δάκνῃ. καὶ τῇδε δεξιὸν, πῦρ ποιέει. καὶ οἰδέει καύματι. καὶ ὀδυνᾷ. καὶ τὸν ἄνδρα ἀπαναίνεται. καὶ ἄχθεται σφόδρα τῇ συνουσίῃ. καὶ τείνεται. καὶ οἰδέει τὸ ἦτρον. καὶ οὐ δύναται ὀρθοῦσθαι, ἢ ἰθύνεσθαι. ὅταν οὕτως εὕρῃς, γνῶθι ὅτι ἄνεμος καὶ γονή ἐστιν ἐν τῇσι μήτρῃσι. καὶ ἡ γονὴ διὰ τοῦτο νῦν κάμνει. λαβὼν μέλι. κηρόν. καὶ λίνου πέταλα τρίψας λεῖα, ὄρνιθος στέαρ οἴνῳ εὐώδει χλιήνας, ἔγχεον ἐς τὰς μήτρας κλυστῆρι. πινέτω δὲ λίνου πέταλα, ἢ τὸν καρπὸν τρίψας, καὶ ἐς εἴριον ἐνελίξαι πρὸς τὸ στόμα τῆς μήτρης. εἰ δὲ μὴ ἐνθρυγεῖ, χρῆσθαι ἰρίνου

καὶ κρόκον, καὶ λίνου πέταλα, ὄρνιθος στέαρ τρίψας λεῖα, διεὶς τε γάλακτι γυναικείῳ, ἀκροπουγίδας ἄχνῃ ἀπὸ ὀθονίων λεπτῶν ἐνδῆσαι. προστιθέσθω δὲ πρὸς τὸ στόμα τῶν ὑστερέων. κἢν ἀκροφύσης πιμελὴ σαρκοειδεστέρη τηκεδόνα ἐντιθέναι. καὶ λεπτύνειν μέσως. αἱ γὰρ λίην λεπτυνόμεναι, ἀραιαί εἰσι καὶ ἐκτιτρώσκουσιν. εἰ δὲ οὐ δέχεται ἡ ὑστέρη, ἀλλὰ ἀφίησι, καὶ θερμὸν οὐκ ἔχει ἐν ἑωυτῇ, ὄργανον χρὴ μηχανοποιέεσθαι, ἐφ' ὃ ἑζομένη εἰσέλθῃ ἀτμὸς εἰς τὰς μήτρας. ἀμφὶ δὲ τοῦτο, εἵματα κυκλόσε περιθεῖναι. ὑποθυμιῆν δὲ κασίην. κιννάμωμον. σμύρναν. ἴσον ἑκάστου ἐν οἴνῳ τε φυρῆν ἀραιῷ τούτων καὶ ὑποβάλλειν. ὀλίγον τε λούεσθαι. ὀλίγα σιτέεσθαι. ἀρήγει δὲ καὶ πρόσθετον τὸ βιόνδε, σμύρναν ἁπαλὴν ξὺν μέλιτι. ἔστω δὲ τὸ μῆκος ὡς βάλανος. καὶ ταῦτα ποιέειν πλειστάκις πρὸς τὴν δύναμιν ὁρέων. καὶ οἱ ἐν σίτῳ πελεκῖνοι τριπτοὶ ξὺν σμύρνῃ ὠφελέουσιν. ἑψεῖν δὲ μέλι σὺν τοῖσι δαισὶν ἀνακυκῶν. καὶ ὅσον αἰγύπτιον κύαμον προστιθέναι. καὶ ταύρου χολήν. καὶ ῥοὰς ἐρυθρὰς ἴσον κονύζῃ ποιῇ. ὅμοιον δέ ἐστι σελίνῳ οὔλῳ. φύεται δὲ ἄγχιστα θαλάσσης ἐν χωρίοισι ψαμμώδεσιν. ὀσμὴ δὲ τούτου, δύσιστος. τοῦτο σὺν μέλιτι καὶ οἴνῳ πρόσθου, ἢ βόλβιον, ἐν πυροῖς δὲ θερίζεται, αἰγυπτίοισι δὲ μάλιστα, δριμὺ, ὅμοιον κυμίνῳ αἰθιοπικῷ. τοῦτο σκόροδον νίτρον ἐν τῷ αὐτῷ προστιθεὶς. προλουέσθω δέ. Ὅταν γυνὴ τὴν κεφαλὴν ἀλγέῃ, τὸ βρέγμα τε καὶ τὸν τράχηλον, καὶ ἰλιγγιᾷ περὶ τῶν ὀμμάτων, καὶ φοβέεται καὶ συγνὴ ἦ, καὶ οὖρα μέλαινα, καὶ αἱ ὑστέρης ὅμοια. καὶ ἄσην ἔχῃ, καὶ δυσθυμίη. μέλαινα χολὴ ἐν τῇσι μήτρῃσιν ἔνι. θεραπευέσθω δὲ ἐντορίνην παλαιὴν ἐνιαυσίην. ταύρου χολὴν, ἄνθος χαλκοῦ τρίβειν ξὺν βακχάρει καὶ πρόσθετα ποιέειν. καὶ φάρμακον πιπίσκειν καὶ λούειν. Ὁπόταν δὲ δάκνωνται τὰς μήτρας γυνὴ καὶ ἀλγέῃ, καὶ ἀδάξηται. καὶ χολὴν οὐρέῃ ξανθὴν. καὶ ἡ μήτρη χάνῃ, οἷα καὶ οἱ ὀφθαλμοὶ ἰκτερώδεες, ἴσθι ὅτι χολὴ ἐν τῇσι μήτρῃσιν ἔνι. ἄριστον γοῦν ἐκκαθαίρειν, τό, τε πᾶν σῶμα, καὶ αὐτὰς προσθέτοισιν ἃ χολὴν ἄγει. Ὁπόταν δὲ ψύχεται ὑστέρη. καὶ βάρος δοκέῃ ἐγκεῖσθαι. καὶ τὸ χρῶμα οὐ λαμπρὸν, καὶ πέπηγεν ἡ ὑστέρη, ὅταν οὕτως ἔχῃ, καθαίρειν ὅ,τι φλέγμα ἄγει. καὶ λεπτύνειν χρὴ, καὶ πυκινὰ ἐμέειν. Ὅταν γυναικὶ ὄζῃ κακὸν ἐκ τοῦ στόματος, καὶ τὰ οὖλα μέλανα ἦ καὶ πονηρὰ, κεφαλὴν λαγωοῦ καὶ μύας τρεῖς, κατακαῦσαι χωρίς. καὶ τῶν δύο μυῶν ἐξελεῖν τὴν κοιλίην. ἧπαρ δὲ καὶ νεφροὺς, μή. καὶ ἐν θυίῃ ληθίνῃ, τρίβειν μάρμαρον. ἢ λίθον λευκὴν, καὶ διασῆσαι. εἶτα μίσγειν ἴσον, ἑκάστου, καὶ τοὺς ὀδόντας τρίβειν. χρὴ δὲ καὶ τὰ ἐν τῷ στόματι χωρία κἄπειτα εἰρίῳ πινωδεστάτῳ τρίβειν, καὶ διακλύζεσθαι ὕδατι. βάψασα δὲ τὸ πινῶδες εἴριον ἐν μέλιτι, ἀνατριβέτω τοὺς ὀδόντας καὶ τὰ οὖλα, καὶ τὰ ἔνδον καὶ τὰ ἔξω. τρίβειν τε ἄννησον. καὶ ἀνήθου καρπόν. καὶ σμύρνης ὁλκῆς ὀβολοὺς δύο, διεῖναι οἴνῳ λευκῷ ἀκρήτῳ ἡμικοτυλίῳ, ἐν τούτῳ διακλυζέσθω. καὶ ἐν τῷ στόματι πουλὺν κατεχέτω χρόνον. θαμινὰ δὲ τοῦτο δρᾶν, καὶ ἀναγαργαλίζεσθαι νῆστιν, καὶ μετὰ τὴν τροφήν. ἄριστον δὲ ὀλιγοσιτίη. κράτιστα χρὴ προσφέρεσθαι. τοῦτο τὸ φάρμακον, ὀδόντας καθαίρει, καὶ εὐώδεας ποιέει. καλέεται δὲ ἰνδικὸν φάρμακον. Ὁπόταν γυναικὶ ὁ μαζὸς τρηχὺς γίνηται, συκῆς καρπὸν, ἢ βάτου ἑψεῖν σὺν ὕδατι καὶ ἐλαίῳ. καὶ τοὺς μαζοὺς καταπλάσσειν. καὶ σεύτλου φύλλα περιρριπτεῖν. ἔπειτα ῥάψαι τὸ ῥάκος, ὡς κυρβασίην, τεκμηράμενος ὅσον τὸν μαζὸν ἐγχωρήσει, καὶ οὕτως ἐντιθέναι τὸν τιτθόν. ἢν δὲ διαπυΐσκῃ, τάμνειν. καὶ εἰρίῳ ῥερυπωμένῳ μοτῶσαι. καὶ ἐπιβάλλειν τὸ ᾠὸν. μετέπειτα φακῷ ἑφθῷ ξὺν ἀλφίτῳ μίξαι, καὶ καταπλάσσειν. Ἐπὴν γυναικὸς ἐν τῷ αἰδοίῳ ἢ ἐν τῷ ἀρχῷ ἀσκαρίδες γίνωνται, λύγου καρπὸς μίσγεται ἢ φύλλα. καὶ βοὸς χολὴ παραμίσγεται ὅσον ὀβολός. κεδρίνῳ δὲ ἐλαίῳ φυρῆν. καὶ εἰρίῳ πινόεντι εὐιρωτάτῳ ἀναλαβεῖν. ἐντιθέσθω δὲ διὰ τρίτης, νύκτα καὶ ἡμέραν. τῇ δὲ ὑστεραίῃ ἀφελομένη, λουέσθω θερμῷ. καὶ σκόροδα ἑφθὰ, καὶ ὠμὰ ἐσθιέτω. καὶ αἱ ἀσκαρίδες ἐξίασι καὶ θνήσκουσιν. ἅλμῃ δὲ κλύζειν χρή. Πρόσωπον ἀγλαΐζει. Ἧπαρ ταύρου τρίβειν ξὺν ἐλαίῳ, ἀλείφειν δὲ σὺν ἀκρήτῳ οἴνῳ. χολὴ δὲ χλωροῦ φθείρει. ἀλλὰ καὶ ὁ χυλὸς τῆς πτισάνης, ὁμοίως λαμπρύνει. καὶ ᾠῶν τὸ λευκόν. καὶ ἄλητον θέρμων καὶ ὀρόβων καὶ σύκων καταπλασσόμενα. καὶ κράμβης ῥίζα καὶ σπέρμα. ταῦτα καὶ φακοὺς αἴρει. καὶ ἀλκυόνιον. καὶ κονιορτὸς ἢν λυπῇ τὸ πρόσωπον, κηρωτῇ ὑγρῇ, διὰ ῥοδίνου ὑποχρίειν. καὶ ὕδωρ ψυχρὸν προσχέειν. καὶ ῥυτίδας ἐκτείνει. ἐν θυίῃ λιθίνῃ μολίβδαιναν τρίβειν μιμιαῖον ὕδωρ παραχέοντα πλάσαι κυκλίσκους. κἄπειτα ἐὰν ξηρανθῶσιν, ἐλαίῳ διεὶς, χρίε τὸ τὰς ῥυτίδας φέρον πρόσωπον. ἢν δὲ ῥέωσιν αἱ τρίχες, λάδανον μετὰ ῥοδίνου ἢ ἀνθίνου μύρου τρίβε. καὶ μετὰ οἴνου ἐγχριέτω. ἢ τὰ σμηκτρίδια γῆν ξὺν οἴνῳ, ἢ ῥοδίνῳ, ἢ ὀμφακίνῳ, ἢ ἀκακίῃ. καὶ ἢν μαδῶσι, κύμινον ἔμπλασ

σε, ἢ πε

σι, ἢ πελιάδων κόπρον, ἢ ῥάφανον τριπτὴν, ἢ κρομύῳ τριπτῷ, ἢ τεύτλῳ, ἢ κνίδῃ. Τὰς δ' ἐφηλίδας λεπομένας ἆρσαι, ὀρόβιον τεύτλου τε χυλός. ᾠῶν τὸ λευκόν. πτισάνη. ἢ σικύου ἀγρίου ῥίζη ξηρὴ, μετ' οἴνου τρυγὸς τριφθεῖσα, ἐπαλειφομένη. ἢ συκῆς φύλλα προστιθέμενα. σησάμῳ λειοτριπτῷ σμήχεσθαι, ἢ ἀμυγδάλαις πικραῖς. κνίδης τε σπέρμα, σκορόδων κέλυφος τὸ ἀποδεόμενον λεπίδιον. Λειχῆνας ἐξάγει πάντας. Ὄξος. μάννα. κισσηρίς. θεῖον μετ' ὄξεος. κάρδαμον ἄγριον καὶ καὶ ἀποδωθέν. ἐχίδνης λεβηρίδος. καὶ λαπάθου ἀγρίου ῥίζα. τρίβειν δὲ μετ' ὄξεος οἰνώδεος. ἢν δὲ φλυκταινοῦται, καὶ λιθαργύρου χρίε. Ῥόου ἐρυθροῦ ποτὸν ἀγαθόν. Ἐλάφου κέρας κατακαύσας ὠμηλύσει κριθῶν ξυμμίξαι διπλασίην, ἐπὶ οἶνον πράμνιον ἐπιπάσσουσα πινέτω καὶ ἵσταται. Ἕτερον ὁμοίως ποτόν. Ἀδιάντου ῥίζαν τρίψας, καὶ ἐρεβίνθους φώξας, καὶ λέκιθον, πίνειν ἐν μέλιτι ὡς ποτὸν διδόναι. ἢ ἄλητος σητανίου ὀξύβαφον. κόμμεως λευκοῦ ἥμισυ, μάννης τρίτον μέρος, καὶ σχοίνου ὀλίγον. ἢ πίτυος, ἢ κυπαρίσσου δὶς ὕδατι, δίδου πιεῖν. πίνειν δὲ τῆς ἡμέρης, ἢ ἐλάφου κέρας κατακαίειν, τρίβειν τε καὶ ὠμηλύσει σὺν κεδρίσι προσέτι. οἶνος σὺν τοῖς δαισὶν αὐστηρὸς μέλας μίγνυται. ἢ ῥοιὴν γλυκεῖην, ὀπτήσας τὸν χυλὸν, ξὺν οἴνῳ μέλανι πίνειν. ἢ κυπαρίσσου καρπὸν ὅσον τρία, ἢ τέσσαρα. καὶ μύρτα μέλανα, καὶ ὁμοῦ καὶ αὐτὰ καθ' ἑαυτὰ, πρὸς ἰσχὺν τοῦ σώματος ὁρέων τῆς γυναικός. ξὺν οἴνῳ δὲ ἡ πόσις γινέσθω. ἢ καστορίου ὀβολὸν, ἐν οἴνῳ τρίβειν αὐστηρῷ μέλανι, καὶ πιπίσκειν. Ῥόου καὶ πάσης νόσου ποτὸν ὅσαι ἀπὸ τῶν ὑστερέων γίνονται. Γλυκυσίδης καρπόν. καὶ τοῦ ῥοῦ τὰς ῥίζας. κύμινον αἰθιοπικόν. καὶ μελάνθιον ἐν οἴνῳ λευκῷ διδόναι. ἢ νάρθηκα ξύσας, ὅσον ὀξύβαφον. καὶ πράσου χυλὸν, ἐν οἴνῳ λευκῷ κεκρημένῳ, ὅταν καὶ ἐκ ῥινῶν αἷμα ῥέον παύῃ. ἢ σίδην ἑψῆσαι ἐν οἴνῳ μέλανι. καὶ περιλέψαι καὶ τὰ ἔνδον τρίβειν ἐν οἴνῳ μέλανι ξὺν πάλῃ ἀλφίτου πιεῖν. ἢ λίνου, ἢ ἐρυσίμου φῶξαι. καὶ ἐλαίης φύλλα χλωρᾶς. καὶ μέλαιναν ῥίζαν μήκωνα ἁδράν. ταῦτα τρίψας, ἐν τῷ αὐτῷ οἴνῳ κεκρημένῳ δίδου πίνειν. ἢ τὸ μέσον ὄνειον, καὶ σίδης γλυκέης ῥίζαν, καὶ κηκίδα ἐξ ἴσου πάντα, καὶ ῥοιῆς γλυκέης χυλὸν ξὺν οἴνῳ πίνειν. ἢ λαπάθου καρπὸν, ξὺν τῷ κηκίδος ἔξω περιεξυσμένῳ, ταῦτα τρίβειν ἅμα, καὶ μετέπειτα κυκεῶνα. Ἢν αἷμα ῥέῃ λαῦρον ἐξ ὑστερέων ἄγνου φύλλα ξὺν οἴνῳ μέλανι. τὰ στρυφνὰ, ῥόον ἵστησιν, οἴνῳ μέλανι μιγνύμενα. Ῥόου καὶ ὀδύνης. Κάχρυος ῥίζαν ἐν οἴνῳ μέλανι πίνειν. ἢν δὲ πλεῖον ᾖ, τερμίνθου καρπὸς τριβόμενος. χρὴ δὲ οἴνῳ καὶ ὕδατι διεῖναι καὶ πίνειν. Ἢν ῥόος γίνηται, καρκίνους ποταμίους ἀποπνίξας ἐν οἴνῳ, πίνειν διδόναι τοῦ τοιούτου οἴνου, μεθ' ὕδατος. ἢν δέ τι φέρηται ὁ ῥόος, πρόμαλον φώξας καὶ τρίψας ἐν οἴνῳ, δίδου. ἢ πράσων χυλόν. ἢν δὲ πουλὺς κατέρχηται ὁ ῥόος, ἡμιόνου ὄνιδα κατακαίειν, καὶ λειῶσαι, καὶ ξὺν οἴνῳ διδόναι. ἢν δὲ πολυχρόνιος ὁ ῥόος γίνηται, σπόγγος κατακαεὶς ἀρρύγει, τρίβειν δὲ λεῖον τὸν σπόγγον, καὶ σὺν οἴνῳ διδόναι εὐώδει. Κατάπλασμα ῥόων. Σκόροδα, καὶ ἀνδράχνην, καὶ σέλινον, καὶ λωτοῦ πρίσματα, καὶ κέδρου λεῖα ὁμοῦ μῖξαι. διεὶς δὲ ἐν μελικρήτῳ, κατάπλασμα ποιέειν. ἢ βάτου φύλλα καὶ ῥάμνου καὶ ἐλαίης, ὁμοῦ λεῖα μῖξαι, καὶ διεῖναι ἐν μελικρήτῳ. καὶ σὺν ἀλφίτοισι καταπλάσσειν. ἢ ἀκτῆς καὶ μυρσίνης φύλλα, κατάπλασσε. ἢ λωτοῦ πρίσματα καὶ συκαμίνου φύλλα, καὶ ῥόδον σὺν ἀσταφίδι. Πυριήσιες ῥόων. Αἰρῶν ἄλευρα πεφωσμένα, ἕψε ἐν ὀξυκρήτῳ ἀκρητεστέρῳ, καὶ διὰ ὀθονίου ἐγχρίων πυρία. ἢ φακοὺς φώξας καὶ περιπτίσας ποιέειν ἄλευρα χονδρότερα. καὶ ἐν ὕδατι ἕψειν. καὶ ὁμοίως καταπλάσσειν. ἢ ὀρόβους ὡσαύτως. ἀγαθὸν δὲ καὶ ἐλελίσφακον, ἢ ἄχυρα κριθῶν, ἐν ἀφεψήματι ἐλελισφάκου καὶ ὑπερικοῦ ἕψειν καὶ καταπλάσσειν. λωτοῦ πρίσματα, καὶ κυπαρίσσου ἐναφεψῶν ἐν ἀσταφίδος ἀποβρέγματι διὰ ὀθονίου ἐπιχρίων πυριῆν. ἢ ἐλαίης φύλλα, ἢ κισσοῦ, ἢ μυρσίνης, ἐν ἀφεψήματι. καὶ μετὰ τούτων, κριθῶν ἄχυρα ἕψειν. ἢ ἀρωμάτων ὕδατι συνεψεῖν, πίτυρα πύρινα. ἢ ἀσταφίδος ἀποβρέγματι πίτυρα πυρῶν ἕψειν, ἢ λευκοΐου καρπὸν ἢ τὰς ῥίζας ἀφεψεῖν. καὶ τῷ ὕδατι ξὺν πιτύροισι πυρίνοισιν ἐπιρρίπτειν, ἢ τῷ ἀφεψήματι πίτυρα πυρῶν. τοῦτο ποιήσασα θερμὸν ἐνελιξαμένη εἰρίῳ, πυριάσθω. ἢ τῷ τῆς ἑρπύλλου ἑψήματι, καὶ πίτυρα τὸν αὐτὸν τρόπον. πυριῆν δὲ καὶ σπόγγοισι θερμοῖσι, καὶ εἰρίοισι μαλθακοῖσιν, ἢν περιοδυνέῃ. καὶ τοῖσιν ὀστρακίνοισιν ἀγγείοισιν, ὕδατος ἐγχέων. ἢ ἐν κύστεσιν ἐλαίῳ θερμῷ. Κλυσμοὶ ῥόων. Μυρσίνης φύλλα καὶ δάφνης καὶ κισσοῦ, ἐν ὕδατι ἀφεψεῖν. τουτέῳ κλύζε χλιερῷ. ἀκτῆς φύλλα, καὶ σχοίνου ἀφεψεῖν ἐν ὕδατι ἀποχέας ἀκροχλιερῷ κλύζειν. ἢ οἰνάνθην καὶ κύπειρον καὶ

ἀσταφίδα

ἀσταφίδα ἀφεψεῖν ἐν μελικρήτῳ καὶ κλύζειν. ἢ τήλεος ὕδατι, ἢ βάτου ἀφέψημα, ἢ ἐλαίης χλωρῆς ἢ κυπαρίσσου, ἢ ἑρπύλλου, ἢ ῥοῆς ἢ λευκοίου ῥίζης, ἢ σχίνου ἀκροχλίδρον. ἢ τὸ διὰ βουτύρου καὶ ῥητίνης, καὶ χηνείου ἐλαίου. ἢ τὸ διὰ μυελοῦ καὶ στέατος ὑείου. Ὑποθυμιάσιες ῥόου.

Κριθὰς πεφωσμένας ἐς ἄνθρακας, ὑποθυμιῆν, ἢ ἐλάφου κέρας σὺν ἐλαίῃσιν ὀμφακίτισιν, ἢ ῥόον τὴν ἐρυθρήν. καὶ ἄλφιτα πεφωσμένα ξὺν ἐλαίῳ, καὶ οἴνῳ διπλασίῳ. ἢ ἄχυρα κριθῶν. καὶ βόλβιτον ὁμοίως, ἢ λωτοῦ πρίσματα, ἢ ῥόον, ἢ κυπάρισσον, σὺν οἴνῳ μέλανι αὐστηρῷ, ξηρὴν ὑποθυμιῆν. ἢ χαλβάνην, ἢ μάνναν, ἢ ῥητίνην, οἴνῳ δεύσαι. ἢ αἰγὸς κέρας, ἢ κηκίδα. καὶ ὁ ῥόος ἵσταται. Ἕτερα θυμιητά. Ὀρύξαι χρὴ βόθρον, καὶ φῶξαι ὅσον δύο χοίνικας ἀττικὰς γιγάρτων τῆς σποδιῆς, ἐπιβαλὼν ἐπὶ τὸν βόθρον. οἴνῳ τε ἐπιψεκάσαι εὐώδει. καὶ ἀμφικαθεζομένη, κατειλίξασα ἑωυτὴν, θυμιήσθω. ἢ τὸ λεγόμενον οἰσύπη αἰγὸς ξηρὰ κόψαι καὶ φῶξαι σὺν κριθέων ἐρίγματι ἐλαίῳ φυρήσασα θυμιῆν. ἢ ἄνθρακας πλεῖον κριθέων, ἢ ἄχυρα ὑποβάλλων, ἢ πρίσματα κυπαρίσσου, μύρῳ δεύων, θυμιῆν. ἢ κάνθον, ἢ σμύρναν, ἢ λιβανωτὸν τὸ μύρον περιχέων, θυμιῆν. ἢ ἄσφαλτον καὶ κριθῶν ἄχυρα ὁμοίως. ἢ κυπαρίσσου ῥίζαν ἐν ἀλείφατι ῥοδίνῳ περιχέας, θυμιῆν. ἢ καλάμῳ, σχοίνῳ, κυπείρῳ, σελίνου σπέρματι, ἀννήσῳ, ῥόδινον ἔλαιον περιχέας. ὁμοίως δὲ καὶ ῥητίνην ὑποβάλλειν καὶ κιννάμωμον καὶ σμύρναν ξὺν βάτου φύλλοις, ἢ ῥόδων φύλλοις, ἢ ἡδυόσμοις, ξὺν ποσῷ κρόκῳ καὶ στύρακι. ταῦτα πάντα ἐν τῷ αὐτῷ τρίβειν καὶ θυμιῆν, ὀβολῶν ἀττικοῦ σταθμοῦ, ἐπὶ σποδιὴν οἰναρέην. ἢ ἐπὶ βολβίτου πλαστοῦ ὡς ἐμβάφιον. τὸ δὲ πῦρ κληματινὸν ἔστω. ἐπιτιθέναι δὲ ἤδη πρότερον ὡς μὴ ὀδμὴ ᾖ. ἐπεὶ εἰ ὀδμὴ ἔσται, ἄμεινον μὴ θυμιῆν. Ῥόου ἐρυθροῦ προσθετά. Σμύρνα καὶ βόλβιον ξὺν μέλιτι τριφθὲν, πρόσθετον ἄριστον. ἢ ῥόδα ἑψητὰ ἐν ὕδατι, ἀπὸ δὲ καὶ τρίψας λεῖα ἐν μύρῳ ῥοδίνῳ, ἐν εἰρίῳ ἐλίξας προστιθέναι. ἢ τοῦ λωτοῦ τὸ ἄνθος ἑψῆσαι ἐν ὕδατι, κἄπειτα τρίβειν ἐν ῥοδίνῳ μύρῳ, καὶ ἐν εἰρίῳ πρὸς τὸ στόμα τῆς ὑστέρης προσάγειν. ἢ κύπειρον, καὶ ἶριν, καὶ ἄννησον ἴσον ἑκάστου ἐν μύρῳ ῥοδίνῳ λεῖον βαλεῖν ἐς τὸ στόμα εἴσω. ἢ μυρσίνης φύλλα μελαίνης, ἐν οἴνῳ λευκῷ πίτυος φλοιὸν παραμίσγειν, καὶ ὁμοίως ποιεῖν. ἢ κυπαρίσσου καρπὸν, καὶ λιβανωτὸν ἴσον ἑκατέρου τρίβειν ὁμοῦ ἐν μύρῳ, καὶ προστιθέναι. Ἢν ξηρῆναι δέῃ ῥόον. Καλαμίνθην ἐν οἴνῳ μέλανι ἑψεῖν, καὶ ἐς ὀθόνιον βρέξαντα, ἐπιτιθέναι. ἢ ὑοσκυάμου τῶν φύλλων, καὶ κώνειον ἅμα ἑψεῖν. ὡσαύτως πράσα, καὶ μαλάχην, καὶ κηρὸν, καὶ χηνὸς ἄλειφα μῖξαι. εἶτα χλιερὸν προστιθέναι πρὸς τὰ αἰδοῖα. ἢ οἶνον ἄκρητον ξὺν ῥητίνῃ καὶ σιδίῳ ἑφθῷ τρίβειν, καὶ προστιθέναι ὁμοίως. ἢ κνίκον σὺν οἴνῳ τρίβων προστιθέναι. ἢ λωτοῦ τὸ πρίσμα ὁμοίως. ἢ σχίνου φύλλα. ἢ ῥόον μέλιτι καὶ ἑφθῷ μίξας, προσθεῖν. ἢν δὲ μὴ λήγῃ, βύσινον ἢ βλῆτον τὴν βοτάνην ὡς γλῶσσαν οὖσαν, ἐν εἰρίῳ ποιεῖν πρόσθετον. Ῥόου ὕδατος, πρόσθετον καὶ ἔγχυτον. Ἢν γυναικὶ ὕδωρ ῥέῃ ἐκ τῶν αἰδοίων, λαβὼν ῥητίνην ξηρὴν, καὶ μυρίκης πέταλα, καὶ λίνου καρπὸν, τρίψαι ἐν οἴνῳ. καὶ μῖξαι ἐν ὄρνιθος στέατι. καὶ ἐγχέαι ἐς τὰ αἰδοῖα, κλυστῆρι. ἄλευρα χηραμύδια ὡς καθαρώτατα ἢ ἀμύλιον ἐν εἰρίῳ προστίθεσθαι πρὸς τὸν στόμαχον. Ἄλλο ἔγχυτον ὁμοίως. Ὁκόταν ὕδωρ ἐκ τῶν αἰδοίων ῥέῃ, μυρίκης πέταλα καὶ λιβανωτοῦ καρπὸν ἐν χηνὸς στέατι τρίψας καὶ ῥητίνην, ἐς τὰ αἰδοῖα κλυστῆρι ἐνεῖναι. Ἢν ὑπὸ ῥόου ὑδατώδεος τὸ ἦτρον ἀλγέῃ. Ἄγνου καρπὸν τρίψαι ἐν μέλιτι καὶ καταπλάττειν τὸ ἦτρον καλῶς. Ἢν ῥόος αἱματώδης, ἢ λευκὸς, ἢ ὁποῖος. Θεῖον καὶ μανδραγόρου τὸ ἄκρητον, ἀναλαβόντα, εἰρίῳ προσθεῖναι. καὶ ὑπτίη εὑδέτω. καὶ ἀκίνητος μενέτω. ἢ σίδια ξηρὰ τρίβειν ἐν οἴνῳ πραμνίῳ, καὶ διδόναι πίνειν. Ῥόου λευκοῦ ποτόν. Κισσοῦ λευκοῦ τὸ σπέρμα, καὶ πίτυος φλοιὸν ἐν οἴνῳ αὐστηρῷ προσέχειν. ἢ ἐλάφου κέρας κατακαῦσαι μοῖραν. ὠμηλύσιος δὲ δύο μοίρας καὶ κεδρίδας πέντε, τρίβειν ὕδατι καὶ πίνειν. Ὅταν πνίγηται ὑπὸ ὑστερέων. Κάστορα καὶ κόνυζαν ἐν οἴνῳ χωρὶς καὶ ἐν τωὐτῷ πινέτω ἑκάτερον. ἀσφάλτου ὅσον τριώβολον. ἢ φώκης στέαρ ὅσον δὶς τῶν δακτύλων λαβεῖν. ῥίζης γλυκυσίδης ὅσον ἥμισυ πόσιος ἐν οἴνῳ εὐώδει διδόναι πίνειν. ὅταν δὲ πνίγωσι καὶ ὁμοῦ βήσσῃ, σανδαράχης ὅσον ὀβολὸν, καὶ θείου ἀπύρου ἴσον, καὶ ἀμύγδαλα πικρὰ καθήραντα συμμίσγειν τρία ἢ τέσσαρα, καὶ διδόναι ἐν οἴνῳ εὐώδει. ἢν δέ γε προσίσχωσιν αἱ ὑστέραι, κριθὰς τρίψας λεῖα ξὺν τοῖσι ἀλεύροισι, καὶ κέρας ἐλάφου, ἐλαίῳ δεύσας ὑποθυμιήσθω. ὅταν δὲ ἄνω ᾖ, καὶ θλίβηται καρδίη καὶ στόμαχος, καὶ ὑπεμέωσι, σμύρνην ἢ ῥητίνην, ἢ νέτωπον, ἢ κάστορα, ἢ ὀπὸν σιλφίου πίσαι.

Ὅταν ὑστέρα πνίγῃ, πνεῦμα δὲ στέβηται, ἄλλου ἄνω καὶ βάρος ἔχῃ, καὶ γνώμῃ καταπλὴξ,

ἀναυδίη

ἄναυδοι. περίψυξις. πνεῦμα πεπυκνωμένον. ὄμματα ἀμαλδύνεται. τὴν κεφαλὴν ξυρεῖν ὅτι τάχος, καὶ ταινίῃ ἀποδιωθεῖν. ὑπὲρ ὀμφαλὸν δὲ εἰ δέῃ. διδόναι δὲ καστόρειον καὶ κόνυζαν, καὶ πηγάνου ὕδωρ. κύμινον αἰθιοπικόν. ῥαφάνου σπέρμα. θεῖον. σμύρνην. πρὸς δὲ τὰς ῥῖνας, τὰ κάκοδμα. εὔοδμα δὲ ἐς τὰς ὑστέρας. ἂν δὲ ἀνέχηται καὶ κόχλου τὸ ἔνδον, τὸ λευκὸν μέλιτι διεὶς καὶ μίξας, ἀλείφειν τὴν ῥῖνα. ἢ χῖνον λεπτὴν ἢν δάκνηται. ὅταν δὲ ὀδύνην ἔχῃ καὶ πνίγηται, μανδραγόρου ῥίζαν. ἢ ὀξύμελι. ἢ φλοιὸν μαράθου, καὶ κρηθμὸν ἐν ὕδατι δοῦναι πίνειν. ἄριστον δὲ ἐρυγγάνειν, καὶ διανακαθίζειν, ἢ ἐλλέβορον, καὶ πταρμὸν ποιέειν. καὶ προσίσχειν πρὸς τὰς ῥῖνας. ἢν δὲ ὑπὸ τὰς φρένας δοκέωσιν ἵζεσθαι, ἐξαπίνης ἄφωνος γίνεται, ὑποχόνδρια σκληρά. καὶ πνίγεται. καὶ τοὺς ὀδόντας συμβρέχει. καὶ οὐχ ὑπακούει καλεομένη. δεῖ οὖν ὑποθυμιᾶν ὑπὸ τὰς ῥῖνας, ἐρίων κατακαίων. ἄσφαλτον ἐς πῦρ ἐμβάλλων. καὶ καστόρειον καὶ θεῖον. καὶ πίσσαν. βουβῶνας δὲ καὶ μηροὺς, μύρῳ ἔνδοθεν εὐωδεστάτῳ χρίειν. ἢ ἀστερίας τοὺς θαλαττίους τοὺς μέλανας, καὶ κράμβην μίξας εὐώδει οἴνῳ, πινέτω. ἢ σμύρνης τριώβολον, κορίανον ὀλίγον. ῥητίνην. γλυκυσίδης ῥίζαν. κύμινον αἰθιοπικόν. ταῦτα τρίψας ἐν οἴνῳ λευκῷ καὶ ὕδατι ἢ μελικρήτῳ διέντα, πίνειν ἀκροχλίερον. βοηθεῖ δὲ καὶ τὸ πευκεδανόν. ἀριστολοχία. κρομμύου δάκρυον. πάνακες ἐν οἴνῳ ἢ ὕδατι, ἀκροχλίερον διδόμενον.

Ὑστέρας ἢν χώρην ἄγῃ. Τοῦ κρότωνος ῥίζα πινομένη. ἢ κύμινον αἰθιοπικόν. ἢ σέλινον, ἢ μαράθου σπέρμα καὶ ἀννήσου, πέπερι, ἢ σμύρνα. καὶ ὀπὸς μήκωνος πινόμενος.

Ἢν ἡ καρδία πνίγεται ὑπὸ ὑστέρης ἀναθλίβεται. καὶ πνεῦμα ἔχει. καὶ ἆσθμα. δεῖ τὸν καρπὸν τοῦ ἄγνου καὶ γλυκυσίδης ἐν οἴνῳ πίνειν. ἢ ἀβρότονον. καὶ πάνακες. καὶ ἀμμωνιακόν. ἢ ὀρίγανον. ἢ ὑπνωτικὸν μηκώνιον. πάλιν οὖν εἰ ὁμοίως ἔχει, μελάνθιον τρίβειν λεῖον. καὶ μέλιτι διέειν. καὶ ποιεῖν οἷον βάλανον. καὶ πρὸς τὴν πυτίαν προστιθέναι. ἢ ὑλίσιον ὁμοίως προστιθέναι. ἢ πολύγονον, ἢ ἀνεμώνης φύλλα τρίψας, ἔνθεν ἐς ξύχινον, καὶ σμύρνην μικρὴν ξυμμίσγειν.

Ἢν ἐς τὴν ὀσφῦν αἱ ὑστέραι κατασκήψωσι, μὴ ψαύῃ δὲ τῆς κεφαλῆς ἡ πνὶξ, ἐσθιέτω πολύποδας ἑφθοὺς, καὶ οἶνον πινέτω μέλανα εὐώδεα ἄκρητον ὡς πλεῖστον. ὅταν δὲ ὡς πρὸς τὰ σπλάγχνα ῥαπεῖσαι πνίγωσιν, οἶνον κέδρινον. καὶ οἶνον αἰθιοπικὸν πινέτω. καὶ θερμῷ λουέσθω. καὶ πυριάσθω τὰ εὐώδεα.

Ἢν ἀνεμωθῶσιν αἱ ὑστέραι, ἡδύσματα πάντα ἐς τὸ μύρον ἐμβάλλεται. καὶ δάφνη. καὶ μυρσίνη. καὶ ἐλελίσφακος. κέδρου τε πρίσματα, καὶ κυπαρίσσου. ταῦτα κόψαι καὶ κατασῆσαι λεῖα. καὶ ἐπ' οἶνον εὔοδμον ἐπιπάσσειν καὶ ἐπιχέαι ῥόδινον ἔλαιον. ὅταν δὲ μετακινηθεῖσαι θλίβωσιν αἱ ὑστέραι, κειθὰς ξὺν τοῖς κυρηβίοισι, καὶ πρόμαλον ἐλάφου κέρας οἴνῳ διεὶς, ὑποθυμιᾶν. ὅταν προσιστάμεναι πνίγωσιν, ἐλλύχνιον ἀνάψαι, καὶ ἀποσβέσαι ὑπὸ τὰς ῥῖνας. λιγνὺς καὶ αἰθαλὸς ἔσεισι καὶ πίσσαν καὶ καστόρειον. καὶ πευκέδανον, καὶ σμύρναν διεὶς μύρῳ ἰρίνῳ ἀναδεύσασα προστιθέσθω. πίνειν δὲ ῥητίνην ἐλαίῳ διέντα.

Ἢν πνίγωσι λίην, διδόναι ποτὸν, ἢ χελώνης παραθαλασσίης ὅλον τριώβολον τρίψας ἐν οἴνῳ λευκῷ, κοτύλην, ἢ κυάθους τρεῖς πίνειν. ἢ κέδρον ἐς λύχνον ἐπιχέας ἅψαι τὸν λύχνον. καὶ ἐὰν ἀποσβεσθῇ πρὸς τὰς ῥῖνας πρόσαγε, ἢ βόρβορον ὡς δυσωδέστατον ὁμοίως. ἢ ἔριον κατακαύσας ὑπὸ τὰς ῥῖνας ὑποθυμιᾶν τῆς γυναικός. ἢ ἀσφάλτου ὀλίγον τρίψας ἐν οἴνῳ λευκῷ πινέτω. ἢ ἐρυσίμου κόγχην, καὶ καστορίου ἐν οἴνῳ λευκῷ, δὸς πιεῖν καὶ λοῦσον. ἢν δὲ μὴ βύσσῃ, σανδαράχης ὀβολὸν. θείου δύο ὀβολοὺς ἀπύρου. ἀμύγδαλα πικρὰ ἀποκαθήρας, καὶ καστορίου ὀβολὸν μίσγειν σὺν οἴνῳ εὐώδει. καὶ πίνειν δίδου.

Ἢν δὲ πνίγωσιν αἱ ὑστέραι. καὶ τῆς καρδίας ψαύσῃ τὸ πνῖγμα, καὶ μεμύκῃ τὸ στόμα, ὄξος θερμὸν δίδου ῥοφεῖν. πασσαλίσκῳ ἢ κερκίδι ἄνοιγε. καὶ οἶνον ὁμοίως ἄνοδμον. καὶ σὺν ὀξυμέλιτι. ἢν λίην δὲ πνίγωσι, καὶ ἄφωνος ᾖ, κρόμμυον ἐν οἴνῳ χλιερῷ τρίψας, ἐνστάζειν ἐς τὰς ῥῖνας καὶ ἀνεγείρειν. ἢν δὲ ἄχρις ἥπατος ἀνίωσι καὶ πνίγεται, ἄφωνος γίνεται. καὶ οὐδὲν ὁρᾷ. καὶ τοὺς ὀδόντας συμβρέχει. καὶ σκληρὴ γίνεται. καὶ οὐδὲν φρονέει. καὶ ἀναπνεῖ πυκνά. καὶ οὐχ ὑπακούει. ταύτην ὑπὸ τὰ ὑποχόνδρια λαβὼν τῇσι χερσὶ, χρίειν θαμινάκις. καὶ τοὺς ὀδόντας διαγαγὼν πασσάλῳ, οἶνον ἄκρητον χλιερὸν ἐγχέειν, ἤν μή τι κωλύοι. καὶ αὐτίκα ῥαΐζῃ ὡς τὰ πολλά. ἐὰν ἐγχέωνται ἐς τοὺς βουβῶνας καὶ βρέχωσιν, αἰγὸς σπυράθους, καὶ λαγωοῦ τρίχας, ἐλαίῳ φώκης δεύσας, ὑποθυμιᾶν. ἢ τοῦ κυτίσου τὸν καρπὸν, ἢ τὰ φύλλα αὐαίνειν, ἢ τὸν φλοιὸν, καὶ δρυὸς φύλλα, καὶ ῥητίνην μίξας, ἐλαίῳ δεύειν καὶ ὑποθυμιᾶν. φώκης τῆς πιτύης τὸ δέρμα κόψας λεῖον. καὶ σπόγγον καὶ βρύα λεῖα μίσγειν τῷ ἐλαίῳ τῆς φώκης. καὶ ὑποθυμιᾶν αἰγὸς τοὺς σπυράθους. καὶ φώκης πνεύμονα. καὶ κέδρου πρίσματα. ὑποθυμιᾶν δὲ καὶ βόλβιτον. ἢ κεράτων ξύσματα

βοός, καὶ ἄσφαλτον. ἢ ἀκάνθης αἰγυπτίης καρπόν, καὶ κέδρου πρίσματα. καὶ μυρσίνης φύλλα ξηρὰ μύρῳ μαλθακῷ. ταῦτα δεύσας ὑποθυμιῆν. ἀρώματα δὲ συχνὰ ἐν τὸ μύρον ἐμβάλλειν. ἢ γίγαρτα κόψας λεῖα. καὶ κεδρίαν καὶ ῥητίνην πιτυΐνην ὁμοῦ μίξας γλυκεῖ ἑφθῷ δεύσας ὑποθυμιῆν. πυριήσιος, ὡς ἀπίωσιν βολβίτου κεκαυμένου καὶ ὄξος ἥμισυ. καὶ ὀρόβιον θαλάσσης ἢ ὕδατος ὁμοίως πυρία τὰς ῥῖνας. πυριῆν δὲ βληχρῶς. καὶ φάκιον πιεῖν. ἀπεμέειν δὲ καὶ ῥοφέειν διδόναι ἄλητον. καὶ ἐπὶ τὸν οἶνον. τῇ δ' ὑστεραίῃ, κόκκος ἔσω κατὰ ποδῶν. καὶ οὐρητικὸν δὲ ἀσταφίδα καὶ ἐρεβίνθους δύο τρίψας, σταφίδος τῆς ἀρίστης ἐπιχέας χόα ἕψε. ἔπειτα ἀποχέας πρὸς τὴν αἰθρίην θεῖναι. καὶ τῇ ὑστεραίῃ πίνειν. καὶ τὸ λοιπὸν ἐλελίσφακον. καὶ λίνου σπέρμα. καὶ ἄλφιτον διδόναι δὶς τῆς ἡμέρης ἐν οἴνῳ κεκρημένῳ, κοτύλας τέσσαρας. ἐλαίου ἡμικοτύλιον. ἀκτῆς φύλλα χεῖρα πλείην. ταῦτα ἕψειν καὶ πυριῆν θερμῷ, ἢ ὀστράκοισι θερμοῖσιν, ὥστε δίφρου καθέζεσθαι. ἀμφικαλύπτειν δὲ εἵμασιν. ἢ τῆς ἀκτῆς τὰ φύλλα, σὺν μυρσίνῃ ἕψειν. καὶ κριθῶν ἄχυρα ἕψειν. καὶ ἢν οἷά τε ᾖ ὑποφέρειν ὄξος. ἔλαιον. μέλι. ὕδωρ. ταῦτα κεράσας καὶ ἀναμίξας, ἀναζέσας σφόδρα ἐν κύστιν ἐγχέαι. καὶ τῆς πίτυος τὸν φλοιὸν καὶ τῆς ῥοιῆς τὰ φύλλα ἐμβάλλειν ἐν ὕδωρ. ἀφεψεῖν δὲ ἰσχυρῶς. καὶ ἐμβάλλειν ἐν τὸ ὕδωρ. καὶ κριθῶν ἄχυρα ἕψειν. ἔλαιον ἐπιχέαντα. ἢ λωτοῦ πρίσματα. καὶ κυπαρίσσου ὕδωρ ἐπιχέας καὶ ἔλαιον, ἕψε εὖ μάλα. καὶ πυρία σὺν ἀρώμασι. μύρον ἐγχέειν. καὶ κηκίδα ἐμβάλλειν. καὶ ῥάμνου φλοιοῦ, καὶ πύρινα ἄλφιτα, σὺν ὕδατι. ἢν δὲ περιίσχωσιν ἔξω τὰ νεῦρα, καὶ τὰ καλεόμενα οἶχοι χαλῶνται, μύρτα. λωτοῦ πρίσματα. βάτου. καὶ ἐλαίης φύλλα ἅμα ἕψειν. καὶ πυριῆν ἀκροχλιαρῶς, ἢ οἴνῳ μετὰ κυτίνων καὶ κακωδέων, ὁμοίως. περιχρίειν δὲ τῷ λευκῷ τοῦ ὠοῦ τὰ ἔξω ὅταν ψύχηται, καὶ πελιδνὰ ἔωσιν ὕδατι θερμῷ. Μαλθακτήρια ὑστέρης. Οἰὸς στέαρ. ὠῶν λέκιθος. μέλι. ἔλαιον ῥόδινον. τούτοις ἀναφυρήσας ἄλητα, παραχλιαίνειν ἐν πυρὶ μαλθακῷ τὸ ἀποσταζόμενον ἐν εἰρίον ἀναμαλάσσειν, καὶ προστιθέναι. ἢ στέαρ οἰὸς ἡδύ, νίτρον ἐρυθρόν, ἢ χηνὸς ἄλειφα, ῥόδινον ἔλαιον ξυντήξας καὶ ἐν εἰρίον ἀναφυρήσας, προσθεῖναι. χηνὸς ἄλειφα, ἢ μᾶλλον στέαρ κηρὸν λευκόν. νέτωπον. ῥόδινον ἔλαιον. ὡς ἄριστα ταῦτα ἀναμὶξ ποιέειν. καὶ ῥάκεα ἐγκατειλεῖν λεπτά. καὶ αὐτίκα λουσαμένη, προστιθέσθω χλιαρὰ πρὸς τὸ στόμα. ἢ ἐλάφου μυελὸν καὶ στέαρ τῆξαι ἐν ῥοδίνῳ ἐλαίῳ ἀναφορύξασα εἰρίον μαλθακὸν προστιθέσθω. Μαλθακὰ προσθετὰ ὕδωρ ἄγει καὶ μύξας καὶ δέρματα καὶ οὐχ ἑλκοῖ. Σμύρναν ὡς ἀρίστην. καὶ ἅλας χόνδρον. καὶ πίσσαν ἰδαίην, τρίβειν λεῖα καὶ τιθέναι. Ἕτερον προσθετόν. Ἐκλέψας κόκκους τριάκοντα, τὸ ἰνδικὸν ὃ καλέουσιν οἱ πέρσαι πέπερι, καὶ ἐν τούτῳ ἓν στρογγύλον, ὃ καλοῦσι μυρτίδανον, σὺν γάλακτι γυναικείῳ ὁμοῦ τρίβειν, καὶ μέλιτι δεῦσαι. ἔπειτα εἰρίον μαλθακὸν καὶ καθαρὸν ἀναφυρήσας, περὶ πτερὸν περιελίξας, προσθεῖναι, καὶ τὴν ἡμέρην ἐᾶν. ἢν δὲ ἰσχυρότερον βούλῃ ποιῆσαι, σμύρναν ὀλίγην παραμίσγειν, ὅσον τριτημόριον. καὶ εἰρίον μαλθακὸν καθαρόν, ἢ μίσυπον. Ἄγει δὲ ὑστερέων καὶ τὸ στόμα μαλθάσσει. Νάρκισσος. κύμινον. σμύρνα. λιβανωτός. ἀψινθίον. κύπειρος. αὐτὰ ταῦτα καθ' ἑαυτὰ καὶ σὺν ῥοδίνῳ ἐλαίῳ ἢ λευκῷ ἢ αἰγυπτίῳ. προσθέσθω δὲ λουσαμένη. Ἰχῶρα ὕφαιμον δυνάμενον ἄγειν. Σὺν τοῖσδεσι, μίσγειν σμύρναν. ἅλας. κύμινον. χολὴν ταυρείην. μέλι ἐν εἰρίῳ προστιθέναι. καὶ κυμίνου φύλλα, ἡδελφισμένα ἐν οἴνῳ. ἢ ὀπὸν σιλφίου, σύκῳ μίσγειν, καὶ βάλανον ποιήσαντα προσθεῖναι. τὸ δ' αὐτὸ ποιεῖ καὶ συκῆς ῥίζα σὺν μέλιτι. καὶ μετέπειτα, χρίειν ῥοδίνῳ. ἐνεργεῖ δὲ καὶ σκορόδου μώλυζα. νίτρου ἐρυθροῦ. σύκου πίονος, ἴσον. μίσγειν δὲ κηκίδα μικρήν, καὶ βάλανον ποιέειν, καὶ ἐμβάπτειν ἔς τι τῶν ὑγρῶν, καὶ προστιθέναι. κἄπειτα λουσαμένη ἐλάφου στέαρ ἐν εἰρίῳ ἐχέτω. Αἷμα τάδε πάντα μᾶλλον τῶν πρόσθεν ἄγειν δύναται καὶ μαλθάσσειν. Γε περὶ ἐλατήριον, ξυμμίσγειν δὲ καὶ γυναικὸς γάλα, καὶ τρίβειν σὺν τοῖσδε, καὶ μέλι, καὶ ἄλειφα λευκόν. ἐλάφου τε στέαρ τρυχωομένη. Σφοδρὰ δὲ ἄγει παντοῖα. Σύκου τὸ πῖαρ. ἐλατηρίου δύο πόσιας, νίτρον ἐρυθρόν, ὅσον τὸ ἐλατήριον. μέλι ὀλίγον ἐν ῥάκει ἢ ἐν εἰρίῳ, βάλανον ποιέειν. Ἕτερον.

Νέτωπον. χολὴν ταύρου. νίτρον, κυκλάμινον. κηκίδα, τρίβειν σὺν μέλιτι. μετέπειτα δὲ καὶ λουσαμένη, στέαρ ἐχέτω, ἢ γλήχωνα. καὶ χολὴν ταύρου τριπτὴν περιπλάσσειν πτερῷ. καὶ ἐν ἄλειφα ἐμβάψας αἰγύπτιον, προστιθέναι. ἢ κυκλάμινον ὅσον ἀστράγαλον σὺν χαλκοῦ ἄνθει. ἢ ἀνεμώνης κεφαλήν, τρίψας σὺν ἀλήτῳ, πτερῷ περιπλάσσειν ἐν λευκὸν εἰρίον ἐμβάπτεσθαι.

Ἄγει πάντα. Σικύου ἐντεριώνης τῆς μακρῆς ἑλὼν τὸ σπέρμα σὺν γάλακτι, καὶ σμύρνῃ

σὺν αὐ-

σὺν αὖ τοῖσιν ἄκρῃσι τοῖσι, μέλιτι ποσὸν αἰγύπτιον ἔλαιον εἰρίῳ μαλθακῷ ἀναφορύξαι. ἢ τὴν ἐντεριώνην τοῦ σικύης ξηραίνειν. καὶ μέλι παραχέαι καὶ τρίβειν καὶ βάλανον ποιέειν. ἐπὴν δὲ λούσηται, στέαρ προστιθέσθω. ἢ ἐλατηρίου τρεῖς πόσιας ἐν ὕδατι. Μαλθακτήρια. Ὠοῦ τὸ λευκόν. ἄλητον. μελίκρητον λευκόν. ταῦτα ὁμοῦ χλιαίνειν, καὶ τὸ ἀποστάζον εἰρίον ἀνασπογγίσας, προσθεῖν. Ἡ χηνὸς ἄλειφα, κηρὸν λευκόν. ῥητίνην. μύρον ῥόδινον. μυελὸν ἐλάφου, τήκειν ἢ στέαρ οἰὸς, ἢ αἰγὸς, ὠοῦ τὸ λευκὸν, ῥόδινον μύρον, ἢ βάλανον ποιέειν, ἢ εἰρίῳ ἀναλαμβάνειν.

Γυναῖκες δι' ὧν ὑστέραι καθαίρονται, ἢν σκληραὶ ἔωσιν. Οἶνον χρὴ ὡς ἥδιστον, ἴσον ἴσῳ κεράσαι, ὡς τρία ἡμιχόεα ἀττικά. καὶ μαράθου ῥίζαν, καὶ τοῦ καρποῦ, τεταρτημόριον. καὶ ῥοδίνου ἀλείφατος, ἡμικοτύλην, ἐν ἐχῖνον ἐᾶσαι, οὗ τὸ ἐπίθεμα ὀπὴν ἔχει. καὶ ἐπιχέαι τὸν οἶνον. καὶ ἐνθέντα κάλαμον, πυριῆσαι. καὶ μετέπειτα τὴν σκίλλην προστίθεσθαι. Ἢν ὀδύναι καταγίνωσιν ἐξαπιναῖαι, καὶ ἀψυχίαι ἔωσι. Ῥόδων φύλλα. κιννάμωμον. σμύρναν καθαρήν. νέτωπον. ὀποῦ μήκωνος. τουτέων φθοΐσκους ποιήσας ὅσον δραχμιαίους, ἐπιθεῖν ἐπὶ τρύφος ἀμφορέως διαφανὲς, ἢ χρῆσθαι ὑποθυμιήματι. ἢ στύρακος, ὅσον ἐμβάλλουσιν ἐν τοὔλαιον. ὡς ἐπὶ τῆς προτέρης χρῆσθαι ἅπαντα. ὁκόσα ἐν τὰ μῦρα ἐμβάλλεται, κόψαι καὶ κατασῆσαι. ἐπιβάλλειν δὲ ἐπὶ τὸν βολβιτὸν τὸν στύρακα. καὶ παραχέειν νετώπου. ῥόδινον ἔλαιον ὡς ἄριστον. καὶ αἰγύπτιον λευκὸν, θυμιᾷν ὕστερον μετὰ τὰς καθάρσιας. ἢ δάφνης καὶ μυρσίνης φύλλα κόψαι, καὶ κυπαρίσσου καρπὸν, ἐργάσασθαι αἰγυπτίῳ λευκῷ μύρῳ· καὶ νετώπῳ καὶ ἐπὶ βολβιτῷ θυμιᾷν. ἀῤῥηνικὴ δὲ καὶ μάννα. κυπαρίσσου πρίσματα. καὶ κυπέρεως ῥίζα κοπεῖσα. σῆσαι δὲ καὶ σχοῖνον, τὸν εὔοσμον ἡδύοσμον. καὶ κάρδαμον. καὶ ἶριν. ταῦτα πάντα μίσγειν. παραχέαι δὲ αὐτοῖς, ῥόδινον ἔλαιον, καὶ νέτωπον. καὶ χρέο ἐν κεραμίοισι πυρίνοισιν. ἢ ῥητίνην ἐπὶ νεοπήκτου κεραμίδος, θυμιᾷν, ἐπιβαλὼν κασσίειον, ἤ τι τῶν ἀρωμάτων. τὴν δὲ κεφαλὴν, τέγγειν ἐλαίῳ ῥοδίνῳ. ἐν δὲ τῷ ἄντε, μύρσινον ἢ μήλινον, ἢ λευκοὺς ἐρεβίνθους καὶ ἀσταφίδας ἑψήσας, διδοῦν πίνειν. καὶ ἐν ὕδατι θερμῷ καθέζεσθαι. καὶ ἐλαίης λευκῆς πρὶν ἂν ἔλαιον ἀνεῖναι, κατακνίσαι καὶ αὐῆναι. καὶ εἰς οἶνον τρίβειν εὐώδεα. καὶ ἐμβάψιον ἀττικὸν διδόναι. ἢ κανθαρίδων τὰς γαστέρας, ἢ ἀδίαντον, καὶ νίτρον ἐρυθρὸν αἰγύπτιον. ῥίζαν νάρθηκος. καὶ σελίνου σπέρμα λεῖον. ταῦτα διδόναι. ἢν δὲ ἐπιλάβῃ στραγγουρίη, ἐν ὕδατι καθιζέσθω. καὶ γλυκὺν πινέτω, ἢν μάλιστα πνίγηται ἐν ὀδύνῃ ὑστερέων. οἶνόν τε ὡς ἥδιστον ἴσον ἴσῳ κεράσας, ὡς τρία ἡμίχοα ἀττικὰ, καὶ μαράθου ῥίζας, καὶ τοῦ καρποῦ τριτημόριον, καὶ ῥοδίνου ἐλαίου, ἡμικοτύλιον. ταῦτα ἐμβάλλειν ἐν ἐχῖνον καινόν. καὶ τὸν οἶνον ἐπιχέαντα πυριᾷν. καὶ τὴν σκίλλην προστίθεσθαι, ἕως ἂν φῇ τὸ στόμα μαλθακὸν εἶναι καὶ εὐρύ. καὶ ἢν ἑλκωθῇ, καὶ φλυκτίδες πανταχοῦ αὐτῶν ἔωσιν, ἄμεινον στέατος χηνέου ἀλείφατι σὺν λιβανωτῷ θεραπεύειν. Ὑπὲρ ὑστερέων ὀδύνης. Πευκέδανον, ἀριστολοχίαν, πάνακες, ταῦτα ὁμοῦ μίξαι ἐν γλυκεῖ οἴνῳ. καὶ χλιάναντα πίσαι. καὶ μήκωνος λευκῆς ῥοφέειν. καὶ κνίδης σπέρμα. Ἄλλη πυρίη. Θυμίη ἢν ὀδύνη ἔχῃ, σίδια ῥοιῆς γλυκέης. λωτοῦ πρίσματα. ἐλαίης φύλλα ξηρὰ κεκομμένα, ταῦτα ἐλαίῳ ἐργάσασθαι χρὴ, καὶ ἐπὶ βολβιτὸν πεπυρωμένον, ἐπιῤῥίπτειν. ἢ χαλβάνην. σμύρναν, λιβανωτὸν, ἔλαιον λευκὸν αἰγύπτιον ἐπὶ οἰναρίδων.

Ἑτέρη πυρίη ἡ δι' ἀσφάλτου στερεωτέρα. Ἀσφάλτου ῥίζης κανθίης. λαγωοῦ τρίχας. ἢ ὀρίγανον. κέδρον ξηρὸν, ταῦτα τρίψας πάντα, φθοΐδας πλασάμενον, θυμιᾷν. ἢ ἐπὶ πίσσης σανδαράκην κόψας λείην, μίξαι πρίσματα κυπαρίσσου. καὶ μύρον ἐπιχέας, φθοΐδας ποιέειν, καὶ ἐπὶ πυρὶ θυμιᾷν, ἢ αἰγὸς κέρας κατατρίψας ἐλαίῳ ἀνακυκᾷν ἐπὶ πυρὶ θυμιᾷν. ἢ ὀρύξας βόθρον, γίγαρτα φρύγειν, καὶ τὴν σποδιὴν ἐμβάλλειν ἐν τὸν βόθρον. καὶ οἴνῳ εὐώδει νοτίσας τὰ γίγαρτα, περικαθεζομένην πυριῆσθαι. ἔστωσαν δὲ τῶν γιγάρτων δύο μοῖραι. καὶ αὗται δὲ αὖαι ὡς τὰ μάλιστα. ἢν δὲ ὑστέρη ἀλγέῃ ἄχρι κύστιος, πράσου καρπὸν σὺν ὕδατι τριπτὸν πίνειν. ἢ κυκλαμίνου ῥίζην ἐν οἴνῳ λευκῷ πιπίσκειν νῆστιν. καὶ θερμῷ λουέσθω. καὶ ἀπόθερμον πινέτω νῆστις. καὶ χλιάσματα προστιθέναι. ἢ σκορόδου μώλυζαν, καὶ νίτρον ὀπτὸν, καὶ κύμινον, λεῖα ποιήσας μέλιτι δεύων, προστίθει. καὶ ἐν θερμῷ λουέσθω. καὶ θερμὸν πινέτω. Ὑστερέων πάσης νούσου θεραπευτικόν. Λίνου τὸ χιτὸν αὐτῇ τῇ καλάμῃ ὅσον δραχμὴν κόψας λεπτὰ, καταβρέξαι ἐν οἴνῳ λευκῷ ὡς ἡδίστῳ τὴν νύκτα. ἔπειτα ἀπηθήσας διαχλιάνας τε ἐν ἐρίῳ ὡς μαλθακωτάτῳ ἐμβάπτειν. καὶ τὸ μὲν προστιθέναι. τὸ δὲ ἀφαιρέειν. Βοηθεῖ δὲ καὶ κρόκος, ἔτι τε σμύρνα. κάρυα ποντικά. λευκόν τε καθαρὸν ἐν χηνὸς στέατι καὶ μύρῳ ἰρίνῳ προστιθέναι. Ἢν προσο-

ὀδύνη ἔχῃ ἐκ προσθέτων καθαιρομένην. μυρσίνης ἐμβάφιον. λιβανωτὸν ἴσον. μελάνθιον. κύπερον. σέσελι. ἄννησον. λίνον. νέτωπον. μέλι. ῥητίνην. χηνὸς στέαρ. ὄξος λευκόν. μύρον αἰγύπτιον. ἴσον ἑκάστου τρίβειν ἐν οἴνῳ λευκῷ γλυκεῖ, δύο κοτύλῃσι καὶ κλύζειν χλιαροῖσι κλυσμοῖσιν.

Ην ὀδύνη ἔχῃ σφοδρὰ, κανθαρίδες, κύπειρος. κάλαμος. σχοῖνος. καὶ ἴρις. ταῦτα ἐν οἴνῳ μέλανι ἑψῶν, χρέο. Ετερος κλυσμὸς ἢν περιοδύνη καὶ στραγγουρίη ἔχῃ. Πράσου χυλόν. ἀκτῆς καρπόν. σέσελι. ἄννησον. λιβανωτόν. σμύρναν. οἶνον χύλωσον καὶ μῖξον, καὶ κλύσαι. ἢ σμύρνης ὀξύβαφον. λιβανωτοῦ ἴσον. μελανθίου τοῦ κυπρίου ἴσον. σέσελι. ἄννησον. σελίνου σπέρμα. νέτωπον. μέλι. ῥητίνην. χηνὸς στέαρ. ὄξος λευκόν. μύρον αἰγύπτιον. τούτων ἴσον ἑκάστου διεῖναι οἴνῳ λευκῷ γλυκεῖ, καὶ κλύζειν. ἢ λινοζώστιος ὕδωρ, ἀφεψήσας σὺν σμύρνῃ, λιβανωτῷ, νετώπῳ. ἢ ἐλελίσφακον ὑποθεὶς, ἑψεῖν ἐν ὕδατι καὶ κλύζειν. ἢ λίνου καρπόν. ἄννησον. μελάνθιον. σέσελι. σμύρναν. κασσίης καρπὸν ἐν οἴνῳ ἑψεῖν καὶ κλύζειν. Ετερος κλυσμὸς ἢν ὀδύνη ἴσχῃ σφοδρὴ, μετὰ κάθαρσιν. Ακτῆς καρπὸν καὶ δαφνίδας ἑψεῖν ἐν οἴνῳ μέλανι καὶ κλύσαι. ἢ ἀκτὴν ἑψήσας ἐν ὕδατι, ἀποχέειν τὸ ὕδωρ. οἶνον δὲ γλυκὺν προσχέας, κλύσαι. ἢν μετὰ κλυσμὸν ὀδύνη ἐγγένηται, ἑψεῖν τὰ θυώματα ἃ ἐς τὸ μύρον ἐμβάλλοντα. καὶ ἀποχέαι τοῦ ὕδατος, δύο κοτύλας. μῖξαι δὲ ἔλαιον χηνὸς καὶ ῥόδινον, καὶ κλύζειν χλιαρῷ. πλεῖον δὲ κλύσμα δύο κοτύλαι μηδενὶ ὡς ἔπος εἰπεῖν. ἢ λινοζώστιν ἑψεῖν ὕδατι, καὶ μῖξαι χυλὸν μυρσίνης. ἢ λιβανωτόν. νέτωπον ἴσον καὶ κλύσαι χλιαρῷ. ἢν δὲ ἀλγέῃ τὰς ὑστέρας, κυκλαμίνου ῥίζαν ἐν οἴνῳ λευκῷ πιπίσκειν νῆστιν. καὶ τῷ θερμῷ λούεσθαι. καὶ ἀπόθερμον πινέτω. Ην ἀφθῇ τὰ αἰδοῖα. Μύρον θερμὸν ξὺν οἴνῳ κλύζεσθαι. καὶ μελίλωτον προστιθέναι. καὶ γλυκυσίδης ἐν οἴνῳ ἑψημένης τριπτῆς, προστιθέσθω. καὶ σμύρναν καὶ ῥητίνην ὁμοῦ μίξας, καὶ δεὶς ἐν οἴνῳ, ὀθόνιον ἐμβάπτων προστιθέναι. καὶ στραγγουρίη ἢν λάβῃ, πυρίην καὶ χρίειν τὸ ἦτρον. ἐγκαθιγνύσθαι δὲ ἐν ῥόδων ἀφεψήματι, ἢ βάτου, ἢ μυρσίνης, ἢ ἐλαίης, ἢ ἕλικος ἀμπέλου, ἢ ἀρκευθίδων, ἢ ἐλελισφάκου. Ην δὲ ἄνεμος ἐγγένηται ἐν τῇ μήτρῃ, πόνος τε ἐγγίνηται συχνός. καὶ φῦσαι οὐκ ἔξεισιν, κύμινον προστιθέσω. ἐλελίσφακον καὶ κύπειρον κόψας καὶ τέγξας τὴν νύκτα ὅλην ἕωθεν ἀπηθήσας, τὸ διαυγές τε ἐς ἄγγος ἐγχέαι. κριμνὰ πύρεινα ἐν οἴνῳ λευκῷ φορύξαι. καὶ ὀπὸν σιλφίου, ὡς κύαμον, ἐς κρᾶμμα ἑψεῖν καὶ ἐν ὠμότερον δίδου ῥοφέειν. Ην κιὼν ἐν τοῖσιν αἰδοίοισιν ἐγγένηται, ὀδύνη ἴσχει. καὶ τῆς μὲν ὀδύνης σελίνου καρπὸς, ἄλεξημα. καὶ κισσὸς, καὶ ῥοιῆς γλυκείης ξεπτῆς ἐν οἴνῳ παλαιῷ ξὺν ποτανίῃ σαρκὶ προστίθεσθαι καὶ ἐπιπλάσαι τὰ φύλλα. τὴν δὲ νύκτα ὅλην ἐχέτω κείμενα. κἄπειτα ἀφελομένη, ἐν οἴνῳ διακλύζεσθαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΑΦΟΡΩΝ.

Εἰ μὲν τῶν γινομένων τῇσι γυναιξὶν ἐφ᾽ ἑκάστοισι τῶν παθημάτων, πρότερον εἴρηται. νυνὶ δὲ ἀποφανέω δι᾽ ἃς αἰτίας ἄφοροι γυναῖκες τὸ πάμπαν. καὶ διότι οὐ τίκτουσι πρὶν ἰηθῶσι. φημὶ δὲ τόδε αἴτιον εἶναι, ἢν στραφῇ τὸ στόμα τῶν μητρέων πάμπαν ἀπὸ τοῦ αἰδοίου, οὐ κυΐσκουσιν. οὐ γὰρ δέχονται αἱ μῆτραι τὴν γονὴν, ἀλλ᾽ ἔξω αὐτίκα ἔρχεται. γίνεται δὲ τόδε καὶ ἢν ὀλίγον παραστραφῇ τὸ στόμα τῶν ὑστερέων ἀπὸ τοῦ αἰδοίου παρὰ φύσιν. καὶ ἢν μεμύκῃ τὸ στόμα τῶν μητρέων πάμπαν, οὐδ᾽ οὕτως δέχονται. οὐδ᾽ ἢν ἄρμοι μεμύκῃ μᾶλλον ἢ δεῖ. δῆλον δὲ τουτέων ἕκαστόν ἐστι τῶν εἰρημένων. ἢν μὲν γὰρ ἀπεστραμμένον ᾖ πάμπαν ἢ μεμυκὸς, τὰ καταμήνια οὐκ ἔρχεται τὸ παράπαν. ἢ ἔρχεται βιαίως, ξὺν νούσῳ. ἢν βιάσηται τὸ αἷμα τὰς μήτρας στραφῆναι κατ᾽ ἰθέα. ἢ ἢν ἀποκαθαρθῇ ἡ γυνὴ ἐστὶν ὅτε αὐτῆς ἀποστρέφεται τὸ στόμα τῶν μητρέων ἀπὸ τοῦ αἰδοίου. ἢν δὲ ὀλίγον παρακεκλιμένον ἢ ἄρμοι μεμύκῃ, χωρεῖ μὲν τὰ καταμήνια. χωρεῖ δὲ βιαίως. καὶ κατ᾽ ὀλίγον ἐπὶ πολλὰς ἡμέρας. ταῦτα δὲ πάντα δῆλα γίνεται, εἰ οὕτως ἔχει ψηλαφώσῃ γυναικί. καὶ ἢν τούτων τι ᾖ, μελεδανθεῖσα ἡ γυνὴ, φορὸς γίνεται. ἔστι δὲ καὶ ὅτε αὐτομάτη. τούτων δὲ ἕκαστον διότι γίνεται. εἴρηται δὲ ἐν τοῖσι γυναικείοισι νουσήμασιν. Ην δὲ λεῖαι ἔωσιν αἱ μῆτραι, γίνεται δὲ τόδε καὶ φύσει ἐνίῃσι, καὶ ἢν ἕλκεα ἐγγενόμενα, μεγάλας οὐλὰς ἐγκαταλίπῃ. καὶ ἢν λεῖαι ἔωσιν, οὐ λαμβάνει ἡ γυνὴ ἐν γαστρί. τὴν γὰρ γονὴν δέχονται μὲν αἱ μῆτραι, ἢν μή τι αἴτιον ἄλλο ᾖ. ξυλλαμβάνουσιν δὲ οὔ. ἀλλὰ τὸν σπόρον ἔξω χαλῶσι. δῆλον δὲ μάλιστά ἐστι ψηλαφώσῃ. καὶ εἰρομένῃ εἴποτε ἐν τῇσι μήτρῃσιν ἕλκεά οἱ ἐγένοντο. τὰ δὲ καταμήνια ὑγιηρῶς μὲν ἐν τουτέῳ τῷ νοσήματι χωρεῖ. ἀνίκτος δὲ γίνεται ὡς ἐπὶ πλέον ἡ τοιαύτη.

γίνεται δὲ καὶ τοῦτο αἴτιον, τοῦ μὴ συλλαμβάνειν ἐν γαστρί. Ἢν ἕλκος γένηται ἐν τῇσι μήτρῃσιν ὑπὸ παθήματος τούτων τῶν εἰρημένων, καὶ μὴ ταχὺ ὑγιανθῇ, ἀλλὰ μολυνθῇ. παραμένει γὰρ τὸ ἕλκος ἐπὶ πουλὺν χρόνον, ὥσπερ καὶ τὸ ἐν ὠτὶ ἐόν, καὶ ὄζει πονηρὸν ἡ γυνή. καὶ ἔστιν ὅτε ἰχὼρ ῥέει αὐτῇ ἐκ τοῦ αἰδοίου κάκοδμος. καὶ μέχρις ἂν ἔχῃ τὸ ἕλκος, οὐ λαμβάνει ἐν γαστρί. οὐ γὰρ συλλαμβάνουσιν αἱ μῆτραι τὴν γονήν. ταύτῃ τὰ καταμήνια χωρέει ὑγιηρῶς. ἐν ψηλαφήσει δὲ μάλιστα γίνεται δῆλον καὶ ἐρωτήσει περὶ τῶν εἰρημένων. μελεδανθεῖσα δὲ φορὸς γίνεται. ὀλίγαι δὲ ἐλπίδες εἰσίν. ἢν δὲ τῶν καταμηνίων ἐλλειφθέν τι ἐν τῇσι μήτρῃσιν ἔκρηξιν ἔχῃ, θερμανθὲν δὲ καὶ αὖθις ψυχωθὲν περὶ τὸ στόμα ἢ ὀλίγον ἐνδοτέρω, οὐδ' οὕτω λαμβάνει ἐν γαστρί. ἔρυμα γὰρ τοῦτο ἐπικείμενον, οὐ παρίησι τὴν γονὴν ἰέναι, ὅκου δεῖ. καὶ ἢν μὲν ἐν ἀρχῇ μελεδαίνηται, ὑγιαίνει καὶ φορὸς γίνεται. ἢν δὲ χρόνος ἐγγένηται, ἄφορος μένει. δῆλον δὲ πάθημα, ψηλαφήσει μάλιστα ἐστί, σκληρὸν γάρ τι ἐγγίνεται. καὶ ἢν χάνωσι μᾶλλον τοῦ καιροῦ αἱ μῆτραι, οὐδὲ οὕτω κυΐσκεται. οὐ γὰρ ξυλλαμβάνουσιν αἱ μῆτραι τὴν γονήν, δῆλον δὲ ἔσται καὶ τοῦτο ψηλαφήσει. καὶ τὰ καταμήνια ἔρχεται ἀλέα, καὶ ἐπ' ὀλίγας ἡμέρας. Γίνεται δὲ καὶ φύσει τὸ πάθημα τοῦτο, καὶ ὑπὸ νοσημάτων τῶν εἰρημένων. κἢν μὲν φύσει ᾖ, ἀνίητος ἡ νοῦσος. ἢν δὲ μή, οὐχ ὑγιηρὰ χωρέει τὰ καταμήνια, οἷα τῆς γυναικὸς μὴ ὑγιηρῆς ἐούσης, οὐδὲ οὕτω κυΐσκεται. οὐ γὰρ πήγνυται ὑπὸ τοῦ αἵματος νοσεροῦ ἐόντος, ἀλλὰ διουρέει τὴν γονήν, τὸ αἷμα τὸ κατιὸν ἀπὸ τοῦ σώματος νοσερὸν ἐόν. διουρηθεῖσα δὲ ἡ γονή, ἐξέρχεται ἔξω σὺν χρόνῳ ἢ ὀλίγῳ, ἢ πολλῷ ξὺν ἰχῶρι. δῆλον δὲ ἐστὶ τῷ σώματι τῆς γυναικός, καὶ τοῖσι καταμηνίοισι. χωρήσει γὰρ τὰ καταμήνια αὐτῇ, οἷα εἴρηται, ἤν τε χολώδης, ἤν τε φλεγματώδης, ἤν τε ὑδρωποειδὴς ἔῃ. ἐν τάχει δὲ μελεδανθεῖσα, εὔφορος γίνεται. ἢν δὲ μή, οὔ. Ἢν δὲ γυναικὶ μὴ χωρέῃ τὰ καταμήνια πάμπαν ἢ ὑπὸ πάντων τῶν εἰρημένων, καὶ οὕτως οὐ ξυλλαμβάνει. αἱ γὰρ φλέβες τοῦ αἵματος πλήρεες ἐοῦσαι, τὴν γονὴν οὐ δέχονται, καὶ ἐν τῇσι μήτρῃσι αἵματος ἐνεῖναί τι χρονίου πᾶσα μηχανὴ ὅτι ἀποκωλύει τὴν γονὴν τρέφεσθαι. ἢν δὲ ἐλάσσω τὰ καταμήνια χωρέῃ τοῦ δέοντος, οὐδὲ οὕτω κυΐσκεται. αἰτία δὲ ἐν τῇ προτέρῃ νούσῳ προειρημένα. δῆλον δὲ καὶ τοῦτο ἐν τῇ ἐρωτήσει. κἢν μὲν φύσει, ὀλίγα χωρέῃ τὰ καταμήνια, ἀνίητος γίνεται. ἢν δὲ ὑπὸ παθήματος τουτέων τινὸς τῶν εἰρημένων, μελεδανθεῖσα, ἐν τάχει φορὸς ἔσται. καὶ ἢν πλέονα τοῦ δέοντος χωρέῃ τῇ γυναικὶ τὰ καταμήνια, οὐδ' οὕτως ἐν γαστρὶ λαμβάνει. αἱ γὰρ μῆτραι κεκενωμέναι τοῦ αἵματος, οὐ ξυλλαμβάνουσι τὴν γονὴν ὑπὸ ἀσθενείης. ἂν δὲ ἄρα καὶ ξυλλάβωσιν, κατελθὸν τὸ αἷμα πολλὸν ἐξαπίνης ἐπὶ τὰς μήτρας τῆς γυναικός, ἀποπνίγει τὴν γονήν. δῆλον δὲ καὶ τόδε τοῖσιν ἐπιμηνίοισιν ὁκόσα πολλὰ χωρήσει. καὶ ἢν μὲν φύσει ἡ γυνὴ πολλὰ χαλᾷ τὰ καταμήνια, ἄφορος γίνεται. ἢν δὲ μὴ φύσει, ἀλλ' ὑπὸ παθήματός τινος τῶν εἰρημένων, μελεδανθεῖσα ἐν τάχει, φορὸς ἔσται. καὶ ἢν τὸ στόμα τῶν μητρέων ἐκπέσῃ τοῦ αἰδοίου, οὐδὲ οὕτω λαμβάνει ἐν γαστρί. τό, τε γὰρ στόμα σκληρὸν γίνεται, καὶ οὐ δέχεται τὴν γονήν. καὶ οἰδέει. καὶ ταύτῃ ἄφορος γίνεται τὸ πάμπαν. δῆλον δὲ τὸ πάθημα τοῦτο διότι γίγνεται, καὶ ἢν μὴ χωρέῃ τὰ καταμήνια κατὰ τὸ προσῆκον, ἀλλὰ κάτω ὁρμᾷ ἐπὶ τὴν ἕδρην, οὐδὲ οὕτω λαμβάνει ἐν γαστρί. δῆλον γὰρ ὅτι τὸ στόμα τῶν μητρέων ἐκτέτραπται ἀπὸ τοῦ αἰδοίου ἢ μέμυκε. καὶ ἢν μὲν κατὰ τὴν ἕδρην ᾖ ἐστραμμένον τὸ στόμα ἢ μέμυκε, μελεδανθεῖσα, φορὸς γίνεται. δῆλον δὲ ἑκάτερόν ἐστι τῇ ἐρωτήσει καὶ ἀρκείσει. ἢν γὰρ τὰ καταμήνια ἑκάστῳ ὧδε ἔῃ, ἡ νοῦσος ταύτῃσι δῆλον ὅτι αἰτίη ἐστί. ταῦτα καὶ τὰ τοιαῦτα τῇσι γυναιξίν ἐστι, δι' ἃ οὐ τίκτουσι πρὶν ἂν ἰηθῶσι. καὶ δι' ὅσα ἄφοροι γίνονται τὸ πάμπαν. ὥστε θαυμάζειν τὰς γυναῖκας οὐ χρή, ὅτε εἰσὶ μέν, οὐ τίκτουσι δὲ πολλάκις. Πειρητήρια δ' ὧν δηλοῦται ἡ γυνὴ εἰ κυήσει. Γυναῖκα ἢν θέλῃς γνῶναι εἰ κύει, σικύην ποιῆσαι ἢ βούτυρον καὶ γάλα γυναικὸς κουροτρόφου διδόναι πίνειν. καὶ ἢν ἐρεύγηται, κυήσει. εἰ δὲ μή, οὔ. Νέτωπον ὀλίγον προστίθεσθαι ἐν εἰρίῳ ἐνελίξασα, κἄπειτα ἕωθεν σκέψασθαι ἢν ὄζῃ διὰ τοῦ στόματος τὸ ἐπιτεθέν. κἢν μὲν ὄζῃ, κυήσει. ἂν δὲ μή, οὔ. Ἕτερον πειρητήριον ἐπὶ τοῦ αὐτοῦ. Ἤ τινι ἂν γυναικὶ ἀπὸ τῶν προσθέτων μὴ λίην ἰσχυρῶν ἐόντων, ἢν ὀδύναι ἐς τὰ ἄρθρα ἀφίκωνται. καὶ βρυγμὸς ἔχῃ. καὶ σκοτοδινῆται. καὶ χασμῆται. ἐλπὶς αὐτῇ κυῆσαι μᾶλλον, ἢ ἥτις τουτέων μηδὲν πάσχει. Ἄλλο.

Μώλυζαν σκορόδου περικαθήραντα, τὴν κεφαλὴν ἀποκνίσαντα προσθεῖναι πρὸς τὴν ὑστέρην, καὶ ὁρᾶν τῇ ὑστεραίῃ, ἢν ὄζῃ διὰ στόματος, καὶ ἢν ὄζῃ, κυήσει. ἢν δὲ μή, οὔ. Ἢν θέλῃ γνῶναι ἡ γυνὴ εἰ κυήσει, πινέτω ἄνηθον τετριμμένον ἐν ὕδατι ὡς λειότατον, καὶ εὑδέτω. καὶ ἢν μὲν

κινησμὸς αὐτὴν λαμβάνῃ περὶ τὸν ὀμφαλὸν, κυήσει. ἢν δὲ μὴ, οὔ. Κύουσαν γυναῖκα ἢν μὴ ἄλλως γινώσκῃς, ἐν τούτῳ γνώσεις, ὁρῶνται οἱ ὀφθαλμοὶ εἱλκυσμένοι καὶ κοιλότεροι, καὶ τὰ λευκὰ τῶν ὀφθαλμῶν, οὐκ ἔχει τὴν φύσιν τῆς λευκότητος. ἀλλὰ πελιώτερα φαίνονται. Ὁκόσαι ἐν γαστρὶ ἔχουσιν, ἔφηλιν ἐπὶ τοῦ προσώπου ἴσχουσι. καὶ ἀρχόμεναι συλλαμβάνειν, μέλαινοι γίνονται καὶ κακόσιτοι. καὶ καρδιωγμοῦ μεσταί. καὶ πτυαλίζουσιν. Μίλτον καὶ ἄννησον τρίψαι ὡς λειότατα. εἶτα ἐν ὕδατι διεῖναι καὶ δοῦναι. καὶ ἐᾶσαι ὑπνῶσαι, καὶ ἢν μὲν στρόφος γίνηταί οἱ περὶ τὸν ὀμφαλὸν, κυεῖ. ἢν δὲ μὴ γίνηται, οὐ κυεῖ. πάντων δὲ τούτων, ὕστερον πινέτω ἄλητον, καὶ μέλι, καὶ ὀρίγανον ἐν οἴνῳ καὶ ἐλαίῳ. Ὅσαι ἐν γαστρὶ ἔχουσαι, ἔφηλιν ἐπὶ τοῦ προσώπου ἴσχουσιν, ἄρρεν κύουσιν. ὅσαι δὲ εὔχροοι διαμένουσι, θῆλυ ὡς ἐπὶ τὸ πουλὺ κύουσιν. Ἢν αἱ θηλαὶ ἄνω ἔωσιν ἐστραμμέναι, ἄρσεν κυεῖ. ἢν δὲ κάτω, θῆλυ. Λαβὼν τοῦ γάλακτος, φυρῆσαι ἄλητον, καὶ ποιῆσαι ἀρτίσκον. καὶ ὀπτῆσαι ἐπὶ πυρὸς μαλθακοῦ. καὶ ἢν μὲν κατακαυθῇ, ἄρρεν κυεῖ. ἢν δὲ διαχανῇ, θῆλυ. τὸ αὐτὸ τοῦτο ἐπιτυλίξας ἐν φύλλοισιν ὀπτᾶν. καὶ ἢν μὲν πήγνυται, ἄρρεν κυεῖ. ἢν δὲ διαχυθῇ, θῆλυ. Θεραπεῖαι κυήσιος περιττότεροι καὶ παιδογονίης ἥτις δέεται. καὶ ἄτεκνος ἐοῦσα. καὶ ἤδη κύουσα. ἐοῦσα δὲ ἀτεκνοῦσα. Ἐπὴν ὁ στόμαχος σκληρὸς ᾖ, ὅλος ἢ ἄκρος, καὶ ξυμμεμύκῃ, καὶ μὴ ὀρθὸς ᾖ, ἀλλὰ πρὸς τὸ ἰσχίον ἀπεστραμμένος τὸ ἕτερον, ἢ ἐς τὴν ἀρχὴν κεκύφῃ, ἢ ἀνεσπάκῃ ἑωυτὸν, ἢ τὸ χεῖλος ἐπιβάλλῃ τοῦ στομάχου ἐφ' ἑωυτό. ὁπόθεν ἂν ᾖ βραχὺς ᾖ ἢ πεπωρωμένος. σκληρὸς δὲ γίνεται καὶ διὰ ξυμμύσιος, καὶ διὰ πωρώσιος. ταύτῃσι τὰ ἐπιμήνια οὐ φαίνεται. καὶ φαίνεται πολλῷ ἐλάσσονα, ἢ κακίονα τοῦ δέοντος. καὶ διὰ πλείονος χρόνου ἐπιφαίνεται. τὰ μὲν ἐπιμήνια καθ' ὑγείην τοῦ σώματος, καὶ τῶν μητρέων τὴν ἔξοδον εὑρίσκεται, κατά τε τὸ σύμφυτον καὶ τὸ δίκαιον. καὶ διὰ θέρμης καὶ ὑγρότητος τῶν ἐπιμηνίων, καὶ τοῦ στομάχου οὐ κάρτα βεβλαμμένου. τὴν δὲ γονὴν πάλιν οὐ δέχεται διὰ τὴν βλάβην, ἥτις ἂν κωλύῃ διὰ τὸ στομάχου μὴ καλῶς ἔχοντος τοῦ δέχεσθαι. ταύτην χρὴ πυριήσαντα τὸ σῶμα ὅλον, πρὶν δοῦναι φάρμακον. καὶ κάθαρσιν ποιήσασθαι τοῦ σώματος πρῶτον, ἤντε ἄνω καὶ κάτω, ἤντε κάτω μοῦνον. καὶ ἢν μὲν ἄνω διδοῖς τὸ φάρμακον, μὴ πυριῆν πρότερον τῆς καθάρσιος, ἀλλ' ὕστερον. πυριήσας δὲ μεταπίσαι κάτω. ἢν δὲ μὴ δοκέῃ δεῖσθαι ἀνωτερικοῦ, προπυριήσας κάτω πῖσαι. ὅταν δὲ δοκέῃ καλῶς ἔχειν τὸ σῶμα, μετὰ τοῦτο πυριῆν ἐγκαθίζων τὰς μήτρας αὐτὰς πυκνὰ, ἐν ὅτῳ ἂν δοκέῃ ξυμφέρειν. ἐπιβάλλειν δὲ ἐς τὰ πυριήματα, κυπαρίσσου πρίσματα. δάφνης φύλλα κεκομμένα. καὶ λούειν πολλῷ καὶ θερμῷ πολλάκις. ὁκόταν δὲ νεόλουτος καὶ νεοπυρίητος ᾖ, ἀνευρύνειν τὸ στόμα τῆς μήτρης, μήλῃ κασσιτερίνῃ, καὶ ἀνορθοῦν ὁμοῦ, ἐὰν δέηται. ἢ μολυβδίνῃ, ἀρξαμένης ἐκ λεπτῆς. εἶτα παχυτέρῃ ἢν προσδέηται, ἕως ἂν δοκέῃ καλῶς ἔχειν. βάπτειν δὲ καὶ τὴν μήλην ἐν τῷ μαλθακτηρίῳ διειμένῳ ὅτι δοκέει ξυνοίσειν, ὑγρὸν ποιήσας. τὰς δὲ μήλας ποιέειν ὄπισθεν πλατείας. εἶτα περὶ ξυληρίοισι μακροῖσι περιαρμόσαι καὶ οὕτως χρῆσθαι. τὸν δὲ χρόνον τοῦτον ἑψοῦσα ἐν οἴνῳ λευκῷ ὡς ἡδίστῳ γλυκεῖ δαΐδα πινέτω ὡς πιοτάτην κατασχίσασα λεπτά. καὶ σελίνου καρπὸν κόψασα. καὶ κυμίνου αἰθιοπικοῦ κάλαμον. καὶ λιβανωτὸν ὡς κάλλιστον. τοῦτο πινέτω νῆστις ὁκόσον δοκέῃ μέτριον εἶναι πλῆθος, ἡμέρας ὁκόσας ἂν δοκέῃ καλῶς ἔχειν. καὶ ἐσθιέτω σκυλάκια σιαλώδεα ἑφθά. καὶ πολύποδα ἐν οἴνῳ ἑφθὸν γλυκυτάτῳ. καὶ τοῦ ζωμοῦ πινέτω. καὶ κράμβην ἑφθὴν καὶ οἶνον λευκὸν ἐπιπινέτω. καὶ μὴ δειπνείτω. καὶ λουέσθω δὶς τῆς ἡμέρης. σιτίων δὲ ἀπεχέσθω τοῦτον τὸν χρόνον. μετὰ δὲ ἢν μὴ προχωρήσῃ ἐπὶ τὸν στόμαχον, καὶ φαίνηται τινὰ κάθαρσιν ἔξω, πίνειν τε τι τοῦ πόματος, ἡμέρην μίην ἢ δύο. καὶ τῇσι μήλῃσι παύεσθαι χρεομένην. καὶ πειρᾶσθαι καθαίρειν τὰς μήτρας, προσθέτοισι καὶ φαρμάκοισιν. ἢν τινι δὲ τοῦ στομάχου ὀρθοῦ καὶ μαλθακοῦ καὶ ὑγιέος καὶ καλῶς ἔχοντος καὶ ἐν τῷ δέοντι κειμένου τὰ ἐπιμήνια μὴ φαίνηται πάμπαν, ἢ ἐλάσσονα, καὶ διὰ πλείονος χρόνου, καὶ μὴ ὑγιηρὰ, τὴν νοῦσον ἀνευρὼν ἣν τινα ἔχουσιν αἱ μῆτραι, ἤντε καὶ τὸ σῶμα ξυμβάλληταί τι, ἐξευρὼν τὸ αἴτιον διὰ ὅτι οὐ κυΐσκεται. ὅτε μὲν οὕτως ἔχει, τὴν ἴησιν ποιέεσθαι προσφέρων τὸ δέον. ἢν δὲ ἔχηται τὴν ἴησιν ἀρχόμενος ἐξ ἰσχυρῶν, ὅκως ἂν δοκέῃ καιρὸς εἶναι τελευτᾶν δὲ μαλθακώτερα ὡς ἂν δοκέῃ καλῶς ἔχειν καθαρσίος ἡ μήτρη. καὶ ὁ στόμαχος καθεστάναι ὀρθῶς ἔχων ἐν τῷ ἐξαρκέοντι κείμενος. ἢν δὲ διὰ φαρμάκων καὶ διὰ τοῦ ποτοῦ μὴ προχωρήσῃ, μὴ δὲ πινούσης χρόνου τὸ μέτριον, τούτου μὲν παύεσθαι τοῦ πόματος. ὅταν δὲ καλῶς ἔχῃ, τοῦ διὰ τῶν μηλέων ἔργου μαλθάξαι τὸ στόμα τοῦ στομάχου. καὶ ποιῆσαι ὅκως ἀναχάνηται ἐς ὅσον τῷ προσθετῷ. ἀπό τε τῶν

θυμιῆν τῶν φαρμάκων καὶ μαλθακτηρίων. ὁκόταν δὲ δοκέῃ καλῶς ἔχειν, μαλθάξιος καὶ θυμιάσιος προστιθεὶς φάρμακα, κάθαρσιν ποιέεσθαι τῆς μήτρης, ἕως ἂν δοκέῃ καλῶς ἔχειν. ἀρχόμενος ἐκ μαλθακῶν, ἐς ἰσχυρότερον. τελευτᾶν δὲ αὖθις ἐς μαλθακὰ εὐώδεα. τῶν γὰρ ἰσχυρῶν φαρμάκων τὰ πλεῖστα, ἕλκοι τὸν στόμαχον. καὶ εἴργει τοῦ καθεστάναι ὀρθὸν, καὶ καλῶς ἔχοντα πρὸς τῆς γονῆς τὴν ὑποδοχὴν, καὶ τὴν μήτραν ξηρὴν ποιεῖ.

Ἢν δέ τις γυνὴ δοκέῃ τὰς μήτρας ὑπὸ πιμελῆς βεβλάφθαι ἐς τὴν κύησιν, λεπτύνειν ὡς μάλιστα, καὶ ἰσχναίνειν πρὸς τοῖσιν ἄλλοισιν. ὥρη δὲ ἐαρινὴ, κρατίστη κυήσιος. ὁ δ᾽ ἀνὴρ μὴ μεθυσκέτω, μὴ δὲ οἶνον λευκὸν πινέτω, ἀλλ᾽ ὡς ἰσχυρότερον καὶ ἀκρητέστερον. καὶ σιτία σιτεέσθω ἰσχυρότατα. καὶ μὴ θερμολουτείτω. καὶ ἰσχυέτω καὶ ὑγιαινέτω. καὶ σιτίων ἀπεχέσθω τῶν μὴ ξυμφερόντων τῷ πρήγματι. ὅταν δὲ δοκέῃ ἡ γυνὴ ἐκκεκαθάρθαι, καὶ τὸν στόμαχον καλῶς ἔχειν τῆς μήτρης, λουσάσθω καὶ σμηξάσθω τὴν κεφαλήν. καὶ μὴ ἀλείψηται μηδέν. ἔπειτα ὀθόνιον ἄνοδμον περιθεῖσα περὶ τὰς τρίχας πεπλυμένον κεκρυφάλῳ πεπλυμένῳ μηδενὸς ὄζοντος καταδῆσαι, τὸ ὀθόνιον ὑποθεῖσα πρῶτον. ἔπειτα ἀναπαύεσθαι προσθεμένη χαλβάνην πρὸς τὸν στόμαχον, θερμήνασα πρὸς πῦρ ἢ ἥλιον, καὶ μαλθάξασα εὖ. ἔπειτα πρωῒ ἀπολύσασα τὸ κεκρύφαλον καὶ τὰ ὀθόνια, ὀσφραινέσθω παρεχέτω τινὶ ἑωυτῆς τὴν κεφαλήν. καὶ ὄζει ἢν καλῶς ἔχῃ τῆς καθάρσιος. εἰ δὲ μὴ, οὐκ ὄζει. ἄσιτος δὲ ταῦτα ποιείτω. ἢν δὲ μὴ τεκούσῃ πρόσθεν, οὐδέποτε ὄζει, οὔτε καθαιρομένη, οὔτε ἄλλως. οὐδ᾽ ἢν κυούσῃ πρόσθεν. οὐδ᾽ οὕτως ὄζεται. ἥτις δὲ κυΐσκεται πολλὰ καὶ ἀεικύμων ἐστὶ καὶ ὑγιαίνει, ἢν πρόσθεν μηδὲ καθάρας, ὄζεται αὐτῇ τῆς κορυφῆς. ἄλλο δὲ οὔ. ὅταν δὲ γνῷς καλῶς ἔχειν, παρὰ τὸν ἄνδρα κέλευε ἰέναι. καὶ ἡ μὲν γυνὴ ἄσιτος ἔσται. ὁ δ᾽ ἀνὴρ ἀθώρηκτος. ψυχρῷ δὲ λελουμένος, καὶ εὐωχημένος σιτία ὀλίγα, ξύμφορα. καὶ ἡ γυνὴ ἢν γνῷ ξυλλαβοῦσα τὴν γονὴν, μὴ ἐλθεῖν παρὰ τὸν ἄνδρα τοῦ πρώτου χρόνου, ἀλλ᾽ ἡσυχαζέτω. γνώσεται δὲ ἢν μὴ ὁ ἀνὴρ φῇ ἀφιέναι. ἡ δὲ γυνὴ ἀγνοῇ ὑπὸ ξηρότητος. ἢν δὲ ἀποδῷ πάλιν ἡ μήτρη τὴν γονὴν τῆς αὐτῆς ἡμέρης, ἔσται ὑγρή. καὶ ἢν γένηται ὑγρὴ, αὖθις μιγνύσθω τῷ ἀνδρὶ, μέχρις ἂν ξυλλάβῃ.

Ἄλλη θεραπείη. Πυριήσας τὸ σῶμα ὅλον, πίσαι, καθῆραι ἄνω καὶ κάτω, εἶτα ὄνειον γάλα μεταπίσαντα πυριῆν τὰς μήτρας δι᾽ αὐλοῦ δύο ἡμέρας, οὔρῳ γυναικείῳ σαπρῷ καὶ λίτρον ἐμβάλλειν. τῇ δὲ τρίτῃ, βοείῳ οὔρῳ. τῇ δὲ τετάρτῃ καὶ πέμπτῃ, τρίψας μαράθρου σπέρμα. καὶ ἀπὸ τοῦ φύλλα. καὶ δάφνην. καὶ κυπαρίσσου πρίσματα, ταῦτα ἑψῆσαι ὕδωρ ἐπιχέαντα. δεῖ δὲ μετὰ τὴν πυρίησιν λουσαμένην πολλῷ θερμῷ προστιθέναι στέαρ ἥδιστον ἐκ τῆς πυρίης εὐθὺς καὶ ἐς νύκτα. μετὰ δὲ σκευάζειν, ξυμμιγνὺς σμύρναν στακτὴν, καὶ βούτυρον, καὶ χηνὸς ἄλειφα, καὶ ἐλάφου μυελόν. καὶ ῥητίνην. καὶ νέτωπον. τουτέων ἴσον ἑκάστου ξυμμίξαντα διατήξαντα προστιθέναι ἐν εἰρίῳ μηλησίῳ μαλθακῷ ὡς εὐεροτάτῳ. μετὰ δὲ ἀναστομοῦν τὴν μήτρην μολιβδίοις ἐληλασμένοις ὀκτωδακτύλοισι πέντε. τὸ πρῶτον, ἔσω λεπτόν. τὸ δὲ δεύτερον, παχύτερον. καὶ τὰ ἄλλα θάτερον θατέρου παχύτερον. ἀναστομοῦν δὲ πέντε ἡμέρας. αἰεὶ δὲ λουσαμένη, προστιθέσθω. καὶ ἀναδείσθω ἐκ τῆς ὀσφύος ὡς μὴ πίπτῃ. καὶ ὠθείτω τὰ μολύβδια, αἰεὶ ἀνωτέρω. τὸ δὲ τελευταῖον, ὡς ἀνωτάτω. ἐπὴν δὲ ἀναστομώσῃ, προσθεῖναι καθαρτικόν. ῥίψας κανθαρίδας πέντε, καὶ σικύωνης μακρῆς, σπόγγον, καὶ σμύρναν. ταῦτα μέλιτι ἑφθῷ φορύξαντα καὶ φυρήσαντα βαλάνιον, εἰρίῳ κατειλίξαι πλὴν τοῦ ἄκρου. ἔπειτα εἰς ἄλειφα βάψαντα ὡς ἥδιστον, προσθεῖναι. χρῆσθαι δὲ καθαρτικῷ, καὶ τούτῳ τῇ χολῇ τοῦ ταύρου. καὶ ἄνθει ὀπτῷ καὶ λίτρῳ καὶ σμύρνῃ, μέλιτι ὀλίγῳ δεύσαντα, ὀθόνιον λεπτὸν ἀποδήσαντα, καὶ ἄνω τὸ ὀθόνιον περιελίξαντα τῷ φαρμάκῳ, προστιθέναι. χρῆσθαι δὲ καὶ βουπρήστει ξὺν τῇ σμύρνῃ. καὶ ἐλατηρίῳ ξὺν τῷ μέλιτι ἑφθῷ. καὶ τῇσι κανθαρίσι ξὺν τῷ ἐλατηρίῳ τε καὶ τῇ σμύρνῃ. ἐπὴν δὲ καθαρθῇ, τῇ ὑστεραίῃ λούσαντα, κλύσαι τὴν μήτρην. κύμινον αἰθιοπικὸν τρίψας καὶ μελάνθιον, καὶ ῥητίνην καὶ ἄλειφα, καὶ μέλι καὶ οἶνον γλυκύν. ταῦτα μίξας καὶ ἀνακλίνας, κλύσαι. ἐπὴν δὲ κλύσῃς, ἀναστήσας, περιιέναι κελεύειν ὅκως τὸ κλύσμα διασείηται. προσθεῖναι δὲ κρόκον καὶ σμύρναν καὶ λιβανωτὸν, ἐν ῥάκει λινέῳ. ἀποδέοντα ξηρὸν ἴσον ἑκάστου. ξυμμίσγοντα χηνός τε ἄλειφα περιχρίοντα τὸ ῥάκος. τοῦτο δὲ προστιθέναι, ἑπτὰ ἡμέρας. τῇ δὲ ὀγδόῃ, θυμιῆσαι, σμύρνῃ καὶ ἀσφάλτῳ, καὶ κεδρίνῳ εὐώδει ἀλείφατι πεφυρημένα. ὑπὸ μαλθακὸν ὑποβαλὼν πῦρ, θυμιῆν δι᾽ αὐλοῦ. ἐπὴν δὲ θυμιήσῃς, τῇ ὑστεραίῃ, ῥίψαι κάστορος ὄρχιν. οἶνον λευκὸν παραχέων. καὶ αὐτὸν μήλῃ ἀμφιπλάσας καὶ εἰρίῳ κατειλίξας, προσθεῖναι ἐς νύκτα. ὄρθρου δὲ ἀνελομένη, καὶ διαμαλαξαμένη, ἴτω παρὰ τὸν ἄνδρα. καὶ ξυγκοιμηθεῖσα, ἀπο-

μέτω. καὶ ἂν μὴ ἤδη τῷ πρώτῳ κυήσῃ, αὖθις προσθεμένη αὐτὸ τοῦτο, παρὰ τὸν ἄνδρα ἐλθέτω. ἄρχεσθαι δὲ χρὴ φαρμακεύοντα, ἐπειδὰν ἔλθῃ τὰ καταμήνια. ληγόντων δὲ χρὴ τὸ κυητήριον προσθεμένην, ξυγκοιμᾶσθαι. τὸν δὲ πρόσθεν χρόνον μήτε ἡ γυνὴ ἴτω ἄσσον τοῦ ἀνδρὸς, μήθ' ὁ ἀνὴρ παρὰ τὴν γυναῖκα.

Ὅταν δὲ ἡ γυνὴ μὴ κυΐσκηται εἰωθυῖα πρότερον κυΐσκεσθαι, τοῦ ἀνδρὸς δὲ τὴν γονὴν οὐ δέχονται αἱ μῆτραι ἐς ἑωυτὰς, ἀνάγκη πάγχυ ὀρέειν τὴν γυναῖκα ταύτην. ἐνίοτε μὲν γὰρ ἐν τῇσι μήτρῃσι τὸ πῶον ἐγγίνεται. τὸ δὲ πῶον τὸ ἐν τῇσι μήτρῃσιν, ὑπὸ φυμάτων γίνεται. διὰ δὴ τοῦτο ἡ γονὴ τοῦ ἀνδρὸς ὅταν μίσγηται, οὐχ ἅπτεται τῆς μήτρης. ἵνα δὴ πήγνυσθαι τὴν γονὴν τοῦ ἀνδρός. τὸ γὰρ πῶον ἀμαυροῖ, ὥστε μὴ προσφύεσθαι. τέθνηκε γὰρ τὸ πῶον, καὶ σήπει τὴν γονήν. δεῖ δὴ τό, τε πῶον ἐκκαθῆραι τῶν μητρέων, καὶ τὸ φῦμα τὸ ἐν τῇ δελφῦ καταστῆσαι, ὅπως τὸ λοιπὸν μὴ κωλύῃ τὴν γονὴν πήγνυσθαι καὶ προσφέρεσθαι. ταχύνειν δὲ χρὴ ἐκκαθαίροντα, πρὶν ἢ πωρωθῆναι τὸ πῶον ἐν τῇσι μήτρῃσι. κλύσαι δὲ χρὴ τὰς μήτρας ὧδε, ἵππειον γάλα ἑψήσας δὶς διὰ κείτρης ὡς λεπτοτάτης καὶ καθαρωτάτης, τούτῳ κλύζειν κλυστῆρα ἐπιτήδειον ποιησάμενος. τὸ μὲν ἄκρον τοῦ κλυστῆρος, λεῖον ἔστω, οἷον τῆς μήλης ἀργύρεον. καὶ παρ' αὐτὰ τετρυπήσθω τοῦ κλυστῆρος ἀπολεῖπον ὀλίγον τὸ τρῆμα. ἔστω δὲ καὶ τὰς ἄλλας ἐκτρήσιας. διαλειπέτω δὲ ἴσον ἑκάστη ἔνθεν καὶ ἔνθεν. ἐκ τοῦ πλαγίου τοῦ κλυστῆρος ἑκάστης ἴσον. καὶ μὴ μεγάλα, ἀλλὰ στενά. τοῦ μὲν κλυστῆρος ἡ κορυφὴ, στρεπτὴ ἔστω. τὸ δὲ ἄλλο πᾶν κοῖλον ἔστω ὡς αὐλίσκος. δῆσαι δὲ χρὴ κύστιν συὸς θηλείης. ταύτην δὲ ἑψήσας εὖ μάλα. ἐπὴν δὲ προσδήσας, ἐγχέας τὸ γάλα ἐς τὴν κύστιν ἐς τὰς μήτρας ἐνθεὶς ῥάκος λεπτῆς ὀθόνης, ὅπως μὴ τὸ γάλα ῥέῃ. ἐπειδὰν δὲ κλύσῃς τὴν κύστιν, ἀποδῆσαι καὶ δοῦναι τῇ γυναικὶ αὐτῇ, ἣν μέλλεις κλύζειν. κείνη δὲ ἐξελοῦσα τὸ κλύσμα, ἐς τὰς μήτρας ἐνθέσθαι. αὐτὴ δὲ εἰδήσει ὅκως δεῖ. ἔπειτα σὲ πιέζειν τῇ χειρὶ τὴν κύστιν, ἐς ἂν τὸ πῶον ἐκρυῇ ἔξω. δῆλον δὲ τοῦτο ἔσται, ἐπὴν μηκέτι ἐξίῃ τὸ πῶον ἅμα τῷ γάλακτι. δῆλον γὰρ ὅτι οὐκέτι ἔνεστι, τότε χρὴ παύεσθαι. καὶ μετὰ τοῦτο ἐπὴν ἐκψυχθῇ ὀλίγον, ὀλίγον χρόνον σικυώνης ξηρῆς πεφυκυίας τὸν πυθμένα ἀποτρήσας, καὶ τῆς κορυφῆς τὸ ἄκρον ὡς ἂν τετρημένον ᾖ, τοῦτο ὅμοιον ποιήσας τὸ ἄλλο πλὴν τὸ ἄκρον, καθάπερ τοῦ κλυστῆρος τὸν αὐτὸν τρόπον. πάχος δὲ λεπτότερον ὀλίγον ὡς ἀνδρὸς αἰδοῖον ἐστίν. τοῦτο προσθεῖναι ἐς τεῦχος, οἴνου ἐμπλήσας τὸ τεῦχος. ὁ δὲ οἶνος ἔστω ἀνθοσμίας ὡς εὐωδέστατος καὶ ξηρότατος, καὶ παλαιότατος. ἔπειτα λίθον μέλανα διαφανῆ ἐμβάλλειν ἐς τὸν οἶνον. ἔπειτα περιθεῖναι σικύην ποιήσας χαλκοῦ λευκοῦ. καὶ ἡ γυνὴ ἀμφικαθεζέσθω περὶ τὴν βάλανον τῆς σικύης, τὸ αἰδοῖον ποιήσασα ὁκοῖον δεῖ. ὅκως δὲ ὑποδέξαι τὴν χαλκῆν, καὶ ἔξωθεν σικυώνην, δύο δακτύλοιν ἔσω.

Ὅταν μὴ δύνηται ἡ γυνὴ γονὴν δέχεσθαι, πᾶσα ἀνάγκη μήνιγγα ἐπιπεφυκέναι ἐν τῷ στόματι τῶν μητρέων. δεῖ δὲ ἰὸν χαλκοῦ, καὶ χολὴν ταύρου, καὶ ὄφιος στέαρ, ταῦτα ξυμμίξαι ὁμοῦ. εἶτα εἴριον λαβὼν ἀναδεῦσαι τῷ φαρμάκῳ. καὶ ἐνελίξαι ἐς ὀθόνιον βύσσινον. μέλιτι ὑποχρίσας τὸ ὀθόνιον, καὶ ποιῆσαι πρόσθετον ὅσον ἐλαίην τὴν μεγίστην. εἶτα προσθεῖναι πρὸς τὸ αἰδοῖον νύκτα ὅλην. ὑπτίη δὲ κείσθω. τὴν δὲ ἡμέρην ἀφαιρείσθω. καὶ λουέσθω θερμῷ ὕδατι, ἀπὸ μυρσίνης ὡς πλεῖστον. ἔπειτα δὲ ἡμέρης προστιθέσθω ἐν ἑκάστῃ νυκτί. μετὰ δὲ συνέστω.

Ἄλλη θεραπείη. Πρασίου τῶν φύλλων λαβόντα πλῆθος, ὥστε τὴν χεῖρα εὖ ἐμπλῆσαι, ἐμβαλεῖν ἐς ἀγγεῖον ἀττικόν. καὶ ἐπιχέαι ὕδατος ποτοῦ, κοτύλας ἀττικὰς τέσσαρας. καὶ προβρέξαντας ἐννέα ἡμέρας, πίνειν ἑτέρας ἐννέα ἡμέρας νῆστιν, λουσαμένην δύο κυάθους τῆς ἡμέρης ἀπὸ τοῦ πρασίου γλυκέος λευκοῦ, ἴσον μίσγουσα. ὅταν δὲ ἔσται τριταίη πίνουσα, πυριήσθω κονείου φύλλοισιν ἐπὶ πῦρ ἐπιβάλλων ἐννέα ἡμέρας. καὶ μετὰ τὴν πυρίην λούεσθαι. καὶ οὕτω πίνειν εὐθὺς τούτων. ὅταν δὲ τὰς τρεῖς πυριημένη ᾖ, προστίθεσθαι τοῦ πρασίου αὐτέου τετριμμένου λείου δὶς ἡμέρης, ἤδη τρεῖς ἡμέρας, λινοζώστιν λείην τετριμμένην, ἐν μέλιτι ἀττικῷ, δὶς τῆς ἡμέρης. προβρεχέσθω δὲ ἐν οἴνου λευκοῦ τρυγὶ χοί, καὶ ἱππομαράθρου καὶ μαράθρου ῥίζα καὶ δαδὸς ὡς πιοτάτης ὄζοι. καὶ ἐρεβινθοδάνου τεταρτημόριον. καὶ μαράθρου σπέρμα. καὶ πολυστρεῶνος ῥίζαι πολλαί. προβρεχέσθω δὲ ἡμέρας μὴ ἐλάσσω τῶν ἐννέα. πίνειν δὲ μετὰ ταῦτα λουσαμένην κατὰ κεφαλῆς, κοτύλην τῆς ἡμέρης ἄκρητα βρεχομένας ἐν τῷ λουτρῷ ἐῶσαν. καὶ μετὰ ταῦτα κατακλιθεῖσαν ἐκθερμαίνειν ἑωυτὴν καὶ προστίθεσθαι. ἐνταῦθα διὰ τρίτης μετὰ τὸ ποτὸν τὸ ἐκ τῆς χολῆς δὶς ἡμέρης, ἤδη ἡμέρας ἕξ. ὅτῳ δὲ μέλλει ἤδη προσεῖναι καλῶς καθάρσιος ἔχουσα, ὑοσκυάμου φύλλα καὶ ῥίζας ἀναζέσας

ἐν ὕδατι

ἐν ὕδατι, πυριήσθω τούτοισιν ὡς θερμοτάτοισιν ἐπὶ τρεῖς ἡμέρας, τὰς νύκτας. καὶ λουσαμένη, παρὰ τὸν ἄνδρα ἴτω. μετὰ δὲ ταύτην τὴν πυρίησιν καὶ ἐλάφου αἰδοίου αὖ ὑποθυμιῆσαι. καὶ ὅταν ἐθέλῃς ἔχειν αὐτὸν, τούτου ἐπὶ οἶνον λευκὸν κεκομμένον, ἐπιξύων ἐπὶ τρεῖς ἡμέρας, διδόναι πίνειν. καὶ ὅταν ὀδύνην ἔχῃ, διδόναι πίνειν. καὶ γὰρ ὠκυτόκιόν ἐστι τοῦτο. ἄλλη θεραπείη. Χολὴν ταύρου ἀναζέσαι, καὶ συμπηγείην μηλίην. ἐλάφου δὲ κέρας κατακαύσας τρῖψαι λεῖον. καὶ ξυμμίξας βαλανίοισι χρῆσθαι. Ἕτερον θεραπευτικόν. Κύμινον ἐν οἴνῳ μέλανι ἑψήσας, τρίψας λεῖον, βάλανον ποιῆσαι. καὶ τὴν νύκτα προσθεῖναι. μετὰ δὲ ταῦτα, κατακαύσας τρύγα οἴνου λευκοῦ, τὸ λεπτότατον δηλονότι τῆς τρυγός. ἐπειδὰν κατακαύσῃς, ἀφαιρέειν τοῦτο ἐν πυρῷ. ἔπειτα ἐν ὀθόνιον ἀναδήσας, προσθεῖναι τὴν νύκτα. καὶ πράσα ἑφθὰ ἐσθιέτω. μετὰ δὲ τοῦτο τράγιον τρίβων, καὶ μέλιτι διεὶς προσθεῖναι τὴν νύκτα. μετὰ δὲ τραγίου καρπὸν λεῖον τρίψας ἐν οἴνῳ λευκῷ, διεὶς δᾶδα ἐπιξύων διδόναι πίνειν. μετὰ δὲ, ὀρίγανον διὰ δευτέρης ὑποθυμιῆν καὶ οὕτω πρὸς τὸν ἄνδρα ἴτω. ἄλλη θεραπείη ἐπὶ γυναῖκα μὴ δυναμένην τεκεῖν.

Ἢν γυναῖκα μὴ δυναμένην τεκεῖν τοκήεσσαν ἐθέλῃς ποιῆσαι, σκέψασθαι χρὴ, ἐν τοῖσιν ἐπιμηνίοισιν, εἴτε χολώδης, εἴτε φλεγματώδης εἴη. γνώσῃ δὲ τῷδε ὁπότερον μᾶλλον. ψάμμον ὑποβαλὼν λεπτὴν καὶ ξηρὴν ὅταν τὰ ἐπιμήνια γίνεται ἐν τῷ ἡλίῳ ἐπιχέαι ἀπὸ τοῦ αἵματος. καὶ ἢν μὲν χολώδης ᾖ, ἐπὶ τῇ ψάμμῳ ξηραινόμενον τὸ αἷμα χλωρὸν γίνεται. ἢν δὲ φλεγματώδης ᾖ, οἷον μύξαι. τούτων ὁπότερον ἂν ᾖ καθάρας τὴν κοιλίην, ἤν τε ἄνω ἤν τε κάτω δοκέῃ σοι δεῖσθαι. ἔπειτα διαλιπὼν ἡμέρας τινὰς, τὰς ὑστέρας καθαίρειν. καὶ ἢν ὑγρότερον τὸ στόμα τῶν ὑστερῶν ᾖ, προστιθέναι τὰ δριμέα, ὅκως δηχθὲν καὶ φλεγμῆναν τὸ στόμα τῶν ὑστερῶν, σκληρὸν γένηται.

Ἢν δὲ γυνὴ μὴ πυρέσσῃ τὰ ἔνδοθεν, μὴ δὲ κυΐσκηται ὑπὸ τῶν ὑστερῶν, μὴ δὲ ἀνδρὶ μίσγεσθαι δύνηται, ἀλλ' ὑπνώσσῃ τε καὶ ἀσιτέῃ, μέλιτι μίξας οἶνον, ἐγχεέσθω ἐν τὰ αἰδοῖα. καὶ σμύρναν ὑποθυμιήσθω. ἐν δὲ τῇ ἕδρῃ βαλάνους προστιθέσθω, μίσγουσα χηνὸς ἄλειφα, καὶ εἴσω ἐγχεῖν ἐν τὸ αἰδοῖον. εἶτα καὶ κλύζειν ἔλαιον, ἐν μέλιτι ἴσον μίξας.

Ἢν αἱ μῆτραι γυναικὶ ἰσχνωθῶσι, καὶ τρηχύνηται τὸ στόμα αὐτέων καὶ ξυμμεμύκῃ, καὶ τὰ ἐπιμήνια αὐτῇ μὴ φαίνηται, μὴ δὲ κυΐσκηται, ἀλλὰ πυρετὸς λαμβάνῃ μαλθακὸς, καὶ ὀδύναι αὐτέῃ ἐμπίπτουσιν ἐν τὰς ἰξύας, καὶ τὴν νείαιραν γαστέρα. ἡ δὲ νοῦσος αὕτη γίνεται μάλιστα, ὅταν τι τῶν ἐν αὐτῇ διαφθείρῃ. γίνεται δὲ καὶ ἐκ τόκου. ταύτην χρὴ λούειν θερμῷ καὶ πυριῆν. ὅταν δὲ λελουμένη καὶ πεπυριημένη ᾖ, τῇ μήλῃ ἀνευρῦναι τὸ στόμα τῶν μητρέων. καὶ προστιθέσθω σμύρναν τρίψασα, καὶ νέτωπον τὸ ἴσον. ἢ μύρον, ἢ ῥόδινον ἐν ῥάκει. καὶ μολύβδιον προστιθέσθω ποιήσαντα ὡς βάλανον καταξύοντα. καὶ καταλείφειν βοὸς χολήν. καὶ γνώσεται ἐν τέσσαρσιν ἡμέραις τὰς ἀγόνους, καὶ πυριῆν καὶ φαρμακεύειν. ἢν δὲ παχυνθῇ παρὰ φύσιν, οὐκ ἴσχει ἐν γαστρί. τὸ γὰρ ἐπίπλοον ἐπικείμενον παχὺ καὶ πουλὺ, ἀποπιέζοι τὸ στόμα τῶν μητρέων, καὶ τὴν γονὴν οὐ δέχονται. ταύτην χρὴ λεπτύναντα, φάρμακον πίσαι κάτω. καὶ πρὸς τὰς ὑστέρας προσθεῖναι, ὃ καθαίρει τε καὶ φῦσαν ἐμποιέει.

Ἢν τὸ στόμα τῶν μητρέων σκληρὸν γένηται, ἢ ὁ αὐχὴν, τῷ δακτύλῳ γνώσεται ψαύουσα. κἢν πρὸς τὸ ἰσχίον ἀπεστραμμέναι ἔωσιν, ὅταν οὕτως ἔχῃ, μὴ προσφέρειν μηδὲν δριμύ. ἢν γὰρ ἑλκώσῃ τὸ στόμα τῶν ὑστερῶν ὅταν φλεγμαίνῃ, οὐ πάμπαν κίνδυνος ἄτοκον γενέσθαι, ἀλλὰ προστίθεσθαι ἃ μὴ δάκνει, ὑφ' ὧν φλέγμα καθαίρεται.

Ὅταν γυναικὶ τὰ καταμήνια γένηται καὶ παρέλθῃ, πρῶτα μὲν χρὴ κεφαλὴν καθῆραι. ἔπειτα ἐλλεβορίσαι, ἤν τε ἅπαξ ἤν τε δὶς δέῃ. μετὰ δὲ, πυριῆσαι πυριητήριον κατασκευάσας τὸ ἐκ τῆς σικύης. οὕτω δὲ πεποιημένον, ἐγχέας εἰς ἐχῖνον θαλάσσης καὶ πράσα ἐμβαλὼν, ἐπιθεῖναι τὸν αὐλὸν τῆς σικύης, καὶ περιαλεῖψαι πηλῷ ὡς βέλτιστα, ὅκως μὴ διαπνέῃ. εἶτα διὰ σχοινοτόνου δίφρου τῶν τετραγώνων διάγειν τὸν αὐλὸν, ὅκως ὑπερέξῃ δύο δακτύλους τοῦ τόνου. εἶτα ὑποκαίειν ἄνθρακας, καὶ τὰς καθέδρας φυλάσσειν. ὅταν δὲ καθίζηται καὶ ὁκόταν ἀνίσταται, ὅκως μὴ κατακαυθῇ, ἀλλὰ καθίζειν ἔτι ψυχροῦ ἐόντος τοῦ πυριητηρίου, καὶ ἀνίστασθαι ἕως ἂν καταψυχθῆναι τὸν αὐλόν. ἐπὶ δὲ τῇ πυρίῃ, τὴν διατριβὴν ὅτι πλεῖστον τῆς ἡμέρης μέρος ποιέεσθαι, καὶ τῇ μὲν τοιαύτῃ πυρίῃ ἐπὶ πέντε ἡμέρας χρῆσθαι. δεκὰ δ' ἀντὶ τῶν πράσων, τῶν σκορόδων τάδε πυρία. καὶ ταύτην τὴν δέσμην κατακόψας, ἐν τὴν θάλασσαν ἐμβαλεῖν. μετὰ δὲ τὰς λοιπὰς τῶν ἡμερέων, αὐτῇ τῇ θαλάσσῃ μόνῃ πυριήσθω, ὅκως πρόσω μὴ πρόεισιν ἐν πάσῃ

τῇ θεραπείῃ. τὴν τελευταίην δὲ πυρίην ὅταν μέλλῃς ἀφιέναι τῆς θεραπείης, σκυλάκιον, ὅτι νεώτατον ἀναχίσας ἀρωμάτων παντοδαπῶν εἴδη, ὅτι εὐωδεστάτων καὶ ξηροτάτων κόψας, τὰ ἐντοσθίδια ἐξελὼν τοῦ σκυλακίου, ἐμπλῆσαι, καὶ σάξαι ὅτι μάλιστα τῶν ἀρωμάτων, ξυλήφια δὲ ὑποθεὶς ἐν τῷ ἐχῖνον ἐνθεὶς τὸ σκυλάκιον, οἶνον ὡς εὐωδέστατον ἐπιχέαι. καὶ πυρίην διὰ τοῦ αὐλοῦ. καὶ ὅκως κατὰ δύναμιν ᾖ, ὅλην τὴν ἡμέρην ὑπὸ ταύτης τῆς πυρίης, πυριῆσαι τε, καὶ ἐρωτᾷν αὐτήν, ἢν ἡ ὀδμὴ διὰ τοῦ σώματος δοκέῃ ὄζειν τῶν ἀρωμάτων. σημεῖον γὰρ οὐ μικρὸν ἐν ξυλλήψει τῇ θεραπευομένῃ. προστίθεσθαι δὲ χρέο, κρόκου ὅσον ἂν βούλῃ. καὶ σμύρνης ὅσον δύο κυάμους. καὶ ἅλας συχνὸν παράμισγε. πρὸς ταῦτα τεκμαιρόμενος. καὶ ταύρου χολῆς ὅσον δύο κυάμους. ἢν δὲ πρηυτέρῳ βούλῃ χρῆσθαι, ἔλασσον μίσγειν τῆς χολῆς. ἢν δὲ ἰσχυροτέρῳ, πλέον. ταῦτα τρίψας λεῖα καὶ μέλιτος παραστάξας, τρίβε ἄχρις ἂν σοι τριβόμενον γένηται, ὥς τε δακτύλῳ ἐκμάξαι. ὅσῳ δ' ἂν πλείονα χρόνον τρίβῃς, τοσοῦτον ξηρότερον καὶ γλισχρότερον καὶ βέλτιον ἔσται. ποιήσας δὲ παχύτερον ἢ βάλανον. καὶ τὸ ἄκρον ὀξὺ ἐκ τοῦ μέσου παχύτερον. ἔπειτα δὲ ἀγόμενον ὅκως πρὸς τὴν ὑστέρην προστεθῇ, ἐν τούτῳ ἔμπηξον ξυλήφια ὀριγάνου δύο ποιήσας λεῖα. ἔστω δὲ ἑξαδάκτυλα. εἶτα κατέλιξον τὰ ξυλήφια εἰρίῳ ὡς μαλθακωτάτῳ. ἔπειτα ἄνωθεν ῥάμματι κατέλιξον λεπτῷ. καὶ ὑπερεχέτω τὸ ῥάμμα, ὅσον τέσσαρας δακτύλους τῶν ξυληφίων. προχριαμένη δὲ καὶ καθαρὴν ἑωυτὴν ποιήσασα ὅτι μάλιστα, προστιθέσθω αὐτὸ τὸ σῶμα. ῥάκος ὑποβαλλομένη ὑπὸ τὰ ἰσχία. καὶ τὴν νύκτα προσκείσθω. ἔστω δὲ αὐτὴ ἡ κάθαρσις, ὑδατώδης. τῇ δευτεραίῃ ἀναστᾶσα, λουσάσθω. καὶ ὑπὸ τὴν πυρίην μὴ καθίσῃ ταύτῃ τῇ ἡμέρῃ. ὅταν δὲ πυριῆται καὶ ἀναστῇ ἀπὸ τῆς πυρίης κηρωτὴ ἔστω πεποιημένη ἀπὸ τῆς πρώτης ἡμέρης, ὡς καλλίστη. καὶ ξυμμίξαι μάλιστα μὲν ἐλάφου μυελόν. εἰ δὲ μὴ, χηνὸς στέαρ. καὶ ὅταν ἀναστῇ ἀπὸ τῆς πυρίης, ἑκάστης ἡμέρης προχριαμένη, καὶ καθαρὴν ἑωυτὴν ποιήσασα ἐν τὴν κοιλίην, τῇ κηρωτῇ ἀλειφέτω τὴν ὑστέρην, ἑκάστης ἡμέρης. τὰ μὲν ἄλλα ταῦτα πάντα ξύμμισγε, τοῖσιν ἔμπροσθεν ἐκτὸς τῆς χολῆς. ὀριγάνου δὲ τρίβων ὡς λειοτάτως ξύμμισγε ἐν τὴν βάλανον, καὶ προστιθέσθω. ἄλλο. Τὰ μὲν ἄλλα ταῦτα καὶ τὸν αὐτὸν τρόπον πεποιημένα, ἀντὶ δὲ τῆς ὀριγάνου ἀψίνθιον συμμίξας, καὶ κατὰ τὸν αὐτὸν τρόπον ποιήσας, προστιθέσθω. Ἐκ τῶν πυρῶν ἐκλέξας τὸ μελάνθιον, τρίψας τε λεῖον ἰσχυρῶς καὶ μέλι παραμίξας, καὶ σφαιροειδὲς ποιήσας, προστιθέσθω. πλὴν πυρετοὺς ἐμποιέει. καὶ τὸ ἄρθρον οἰδέει. καὶ δηκτικὸν ἰσχυρῶς ἐστὶ τοῦτο. Μέλι ἑψήσας καὶ ἐλλεβόρου κόψας τοῦ μέλανος τὸ λεπτὸν ἢν πλέον, ἰσχυρῶς δηκτικὸν ἔσται. ἔστι δὲ πυρετῶδες καὶ τοῦτο. Τὸν αὐτὸν τρόπον τοῦτον, ἑψήσας μέλι ξυμμίξας τε ἐλατηρίου ὅσον πόσιν, ἑψεῖν. καὶ ποιήσας βαλάνιον, τὸν αὐτὸν τρόπον διδόναι προστιθέσθαι. καὶ τοῦτο πυρετῶδες. ἄγει δὲ καὶ αἷμα. ἐνίοτε τούτων καὶ δέρματα. ἢν δὲ βούλῃ καὶ τὸ δρακόντιον ξύον, ἔστι δὲ πρηὺ ἐν μέλιτι ἑφθὸν ἢ ὠμόν. καὶ τοῦτο σφαιροειδὲς ποιέειν, ὁκόσον κικίδα μεγάλην. περὶ δὲ φυσικὸς ἔστω, πρὸς τὰς ἀνθρώπου τὴν ἕξιν καὶ τὴν ἰσχὺν ὁρῶν. τούτων γὰρ οὐδεὶς σταθμός ἐστιν, ἀλλ' ἐξ αὐτέων τουτέων τεκμαιρόμενος περὶ ὅλου τοῦ σώματος. κεφαλῆς καθάρσεσι, φαρμακείῃσι, καὶ πυρίῃσι τῆς ὑστέρης, καὶ προσθέτοισι χρῆσθαι. στοιχεῖα δὲ ταῦτα ἐστίν. ἡ δὲ θεραπεία τουτέων ἐστὶν ἐν μέρει ἑκάστου. καὶ ὅτι ἂν μὴ ποιῇς τούτων, αἰεὶ ὑπὸ τῆς πυρίης διατριβέτω. αὕτη γὰρ ἐστὶν ἡ μαλθάσσουσα καὶ ἄγουσα τοὺς ἰχῶρας. ὅταν δὲ καταπαύσῃ τῆς θεραπείης λεγόντων τῶν κατὰ φύσιν, χρὴ αἷμα ἀφαιρέειν ἀπὸ τοῦ χειρός. ἢν μὲν ἰσχύῃ, ἀπ' ἀμφοτέρων τῶν βραχιόνων, ἢν δὲ ἀσθενεστέρη ᾖ, ἀπὸ τοῦ ἑτέρου οὗ ἀπόχρη. διαίτῃ δὲ οἵῃ χρῆσθαι δεῖ ἐν τῇσι θεραπείῃσι ταύτῃσιν, ἑτέρωθί μοι δεδήλωται. ἀποθυμιῆν ἢν βούλῃ, τὰς αἴρας ἐκ τῶν κριθῶν ἐκλέξας, ἀλέσαι λεπτά. καὶ κληματίνου πῦρ ποιήσας ὅτι μαλθακώτατον. ἔπειτα ἐμβαλὼν ἐν βυβλίον, ἐνθεὶς ἐν ἡμίεκτον. καὶ ῥάκεα περιθεὶς ἵνα μαλθακῶς κάθηται, καθέζεσθαι αὐτὴν κελεύειν ὑπὸ τοῦ ἡμιέκτου, ὅτι μάλιστα διάγουσαν τὰ σκέλεα. ἡ δὲ θεραπείη ἢν μὲν ἱκανὴ σοι γένηται, ἐν τετραμήνῳ. εἰ δὲ μὴ, πρὸς ταῦτα σκέπτου. καὶ ὅκως πρὸς ἄνδρα μὴ πρόσεισιν, ἐν ᾧ θεραπεύεται χρόνῳ. ἐν δὲ τῇσι θεραπείῃσι διδόναι δαῦδα ἐν ὕδατι καταβρέχων νήστει, ὅσον κύαθον. καὶ τὴν κασιτερίνην ξυνεχῶς ἔχειν. διδόναι δὲ κοτυληδόνας ἐν ὕδατι ἑψῶν. ἄλλας κύμινον συνεψῶν, καὶ χλιαρὸν ῥοφεῖν. αἱ πλατεῖαι θηλύγονοι δοκοῦσιν εἶναι. αἱ δὲ σμικραὶ καὶ συμμύουσαι, ἀρσενόγονοι. Ἐγκυτάειον. ἄκρον μελάνθιον, γυναικὶ διδόναι, ἐν οἴνῳ μέλανι τρυφνῷ. γυναικὶ νέᾳ οὔσῃ, ῥόος ἐρυθρὸς ὀχλεῖ. καὶ φαρμακευομένη, κεφαλὴν

καθαιρομένη, φλεβοτομουμένη οὐδὲν ὠφελεῖ. δοκεῖ δὲ τοῦτό οἱ αἴτιον εἶναι ὥστε μὴ ξυλλαμβάνειν. ἐδίδουν δὲ αὐτῇ ἀσπαλάθου τῶν ῥιζῶν, ἐν οἴνῳ λευκῷ ἀποζεόμενον πρωΐ. καὶ πρὸς δείπνου, ὅτε ῥόος ἐπαύσατο καὶ οὐ βραδέως ἐκύησεν, ἔτεκεν ἄρσεν. τὸ χρῶμα, λευκόχρως. εὔσαρκος. Περὶ μύλης. Περὶ δὲ μύλης κυήσιος, τόδε αἴτιον. ἐπὴν πολλὰ τὰ ἐπιμήνια ἐόντα γονὴν ὀλίγην καὶ νοσώδεα ξυλλάβωσιν, οὔτε κύημα ἰθαγενὲς γίνεται, ἥ τε γαστὴρ πλήρης, ὥσπερ κυούσης. κινεῖται δ' οὐδὲν ἐν τῇ γαστρί. οὐδὲ γάλα ἐν τοῖσι τιτθοῖσιν ἐγγίνεται. σφριγᾷ δὲ τοὺς τιτθοὺς αὕτη. καὶ δύο ἔτεα, πολλάκις δὲ καὶ τρία οὕτως ἔχει. καὶ ἢν μὲν μία σὰρξ γένηται, ἡ γυνὴ ἀπόλλυται. οὐ γάρ οἵη τέ ἐστι περιγενέσθαι. ἢν δὲ πολλά, ῥήγνυται αὐτέη κατὰ τὸ αἰδοῖον, ἅμα τε πολὺ καὶ σαρκῶδες. καὶ ἢν μὲν μετριάσῃ, σῴζεται. ἢν δὲ μή, ὑπὸ ῥόου ἁλοῦσα ἀπόλλυται. τὸ μὲν νόσημα τοιοῦτόν ἐστι. κρίνεσθαι δὲ χρή, περὶ πληρώματι. καὶ ὅ, τι οὐ κινεῖται ἐν τῇ γαστρί. τὸ μὲν γὰρ ἄρσεν, τρίμηνον. τὸ δέ γε θῆλυ, τετράμηνον τὴν κίνησιν ἔχει. Ἐπὴν οὖν τοῦ χρόνου παρελθόντος, μὴ κινεῖται, δηλονότι τοῦτο ἐστί. τὸ δέ τι τεκμήριον μέγα ἐν τοῖσι τιτθοῖσι γάλα οὐκ ἐγγίνεται. ταύτην μάλιστα μέν, μὴ ἰῆσθαι. εἰ δὲ μή, προειπόντα ἰῆσθαι. καὶ πρῶτα μὲν πυριῆσαι τὴν γυναῖκα ὅλον τὸ σῶμα. ἔπειτα κατὰ τὴν ἕδρην κλύσαι ὅπως διακαθαρθῇ. πολλοὶ γὰρ ἴσως κλύσαντες κινήσειε τὸ ἔμβρυον τὸ δοκέον εἶναι τὸ ξυνεστηκός, διαθερμανθείσης τῆς γυναικὸς ὑπὸ τοῦ φαρμάκου. κλύζειν δὲ καὶ κατὰ τὰς μήτρας ὅκως αἷμα ἀγάγῃ. ἢν δὲ μὴ προσθέτοισι χρῆσθαι, τοῖσιν ἀπὸ τῆς βουπρήστιος, ὡς ἰσχυροτάτοισι. καὶ πιπίσκειν τὸ δίκταμνον τὸ κρητικὸν ἐν οἴνῳ. εἰ δὲ μὴ καὶ τὸν καστόρειον ὄρχιν. καὶ ὄπισθεν αὐτῆς σικύην προσβάλλειν πρὸς τοὺς κενεῶνας. καὶ ἀφαιρέειν ὅτι πλεῖστον. πρόσβαλλε δὲ ὅτι μάλιστα, καθάρσιος τεκμαιρόμενος πρὸς τὰς μήτρας. ὅταν γὰρ μὴ γίνηται, ἤν τε ἐκ τόκου, ἤν τε καὶ ἄλλως, δάφνα ὡς πιοτάτην κόψαντα λεπτήν, ἕψειν ἐν οἴνῳ λευκῷ. καὶ ἀρκεῖσθαι ὡς τρισὶ κυάθοισι. γλυκυσίδης κόκκοι τέσσαρες, κυμίνου αἰθιοπικοῦ, σμικρόν, καὶ σεσέλιος πλεῖον. ἢ κεδρίδα. ἢν δὲ πνιγμοὶ ἔωσι, κάστορος σμικρόν. ἢν δὲ ἐκ τόκου καθάρσιος γινομένης μεμφθείσης ἡ γαστὴρ μένῃ. ἢ καὶ φῦσα ἀποκεκλεισμένη, καὶ ὀδυνώδης γίνεται, ἤν τε ξὺν πυρετῷ, ἤν τε ἄνευ πυρετοῦ, ὀποῦ σκαμμωνίης πέμπτον μέρος πόσιος, ἢ σεσέλιος, ἢ ἄλλου τινὸς τῶν εὐωδέων. καὶ πήγανον ἐν οἴνῳ λευκῷ. ἢν δὲ μὴ βούληται πιεῖν, πρὸς τὴν ἕδρην ἄλειμμα ποιέειν. οἷον ἐκ χολῆς ταυρείης, καὶ μέλιτος, καὶ λίτρου. ἢν δ' ἐκ διαφθορῆς καθάρσιος, ὀδυνώδης ᾖ, καὶ τῶν εὐωδέων διδόμενον μηδὲν ὑπακούῃ, καὶ πυρετοῦ ἐόντος, γάλακτος αἰγείου δύο κοτύλας ἀφεψεῖν. εἶτα ψυχθέντος τὴν ὑγρὴν ἀφελεῖν. διηθείσας, μελικρήτου ὅσον τρίτον μέρος μίξαι, ὅκως γλυκύτερον ἔσται. πιεῖν δὲ τρὶς νῆστιν. ἢν δὲ μὴ παύηται ἡ ὀδύνη, μηδὲ ἡ κοιλίη ὑποχωρήσῃ, ἐς τὴν δέλλην ἐν σκάφῃ ἐς θερμὸν ὕδωρ ἐγκαθισάτω. ὅταν δὲ διαπυριηθῇ, ἐξαναστήσαντα κλύζειν ἐν οἴνῳ αὐστηρῷ μέλανι δίς, καὶ ὕδατι ἅπαξ ἐλαίου ἥμισυ, τὸ ὕδωρ χλιαρῶς κλύζειν καὶ ἐπικοιμηθάτω. Προσθετὸν ὑστερέων, ἢν ξυμμεμύκῃ, ἢ σκληρὸν ἦ τὸ στόμα.

Σῦκον λευκὸν ἐκκαθήρας, καὶ λίτρον αἰγύπτιον, τὸ καθαρώτατον μίξας λεῖον τετριμμένον, προσθετὸν ποιῆσαι ὅσον κικίδα, μὴ μεγάλην ἐν εἰρίῳ μαλθακῷ. ἐς ἴρινον μύρον βάψασα, προσθέτω, ἤν τε τρεῖς ἤν τε πλέους ἡμέρας δοκέῃ. πυρίησις μετὰ τοῦτο ξυμφέρει ἐν εὐώδεσι. μετὰ δέ, μαλθακόν τι δεῖ προσθετόν, ὅ, τι ἰχωροειδέα ἄξει μάλιστα. μετὰ δέ, λινοζῶστις. ἢν ἡ ἀπαλὴ μύρῳ ῥοδίνῳ χρῆσθαι ἐν ὀθονίῳ ἐς ἡμέρην καὶ νύκτα. Ἐπὶ τοῦ αὐτοῦ. Χολὴν ταύρου καὶ ἅλας ἀναζέσαι. καὶ θεῖον λεῖον παραμίσγειν πρὸς μακρὸν μῆκος μέγα πυρῆνα ψιλὴν προστίθεσθαι ἐπὶ δύο ἡμέρας καὶ νύκτας, πρὸς αὐτὰς τὰς ὑστέρας. πάλιν λινοζῶστιν. μετὰ τοῦτο ἐπιπάσσειν σμύρναν ἄκρητον μίξας διεῖναι ῥοδίνῳ ἄκρῳ, καὶ μύρῳ ἰρίνῳ διαχρίεσθαι τὸ στόμα ὡς ἐσωτάτω. Θεραπεία ἄλλη τὸ αὐτὸ νόσημα. Ἴρεων εὐώδεα κόψας καὶ διασήσας χωρίς. κυπείρου ἴσον, καὶ ἔκμαγμα ὅσον μαγίδα οἴνῳ ἀνθοσμίῃ διεῖναι. εἶτα ἀλειμματῶδες ποιέειν. καὶ ἐς σπλῆνας ἀλείψας μῆκος σπιθαμῆς ἐς σμικρὴν σπυρίδα ἐνθείς, ὅκως μὴ παραπνέῃ προσθέσθω. ἢν δὲ ἑλκωθῶσιν αἱ μῆτραι, ἢ τρηχυνθῇ τὸ στόμα, ἢ ὑπὸ προσθέτου τινὸς δηχθῶσιν, ἐν εἰρίῳ χρῖσαι στέαρ. καὶ ῥόδινον ἀλεῖψαι. καὶ κηροῦ μικρόν. Ὅταν ἴσχουσα ἐν γαστρὶ διαφθείρῃ, τὸ δὲ ἔμβρυον μηνιαῖον, καὶ ἐκφορέειν εἰς τέλος μὴ δύνηται καὶ λεπτὴ παρὰ φύσιν γένηται, ταύτην χρὴ καθήραντα τὰς ὑστέρας, καὶ αὐτὴν φαρμακεύειν καὶ παχύνειν. οὐ γὰρ δυνήσεται ἐκφορέειν ἐς τέλος, ἐς ὃ ἂν ἑωυτήν τε ἀναλάβῃ, καὶ αἱ ὑστέραι ἰσχύωσιν.

ἢν δὲ κυΐσκηται μὲν, διαφθείρῃ δὲ δίμηνα τὰ παιδία ἐν ἀκριβῶς τὸν αὐτὸν χρόνον, καὶ μήτε πρότερον μήθ᾽ ὕστερον. καὶ ταῦτα πάθῃ δὶς ἢ τρὶς κατὰ ταῦτα. ἢ καὶ πλείονα χρόνον γεγονότα κατὰ τὸν αὐτὸν τρόπον ταῦτα διαφθείρει. ταύτης αἱ μῆτραι οὐκ ἐπιδιδοῦσιν ἐπὶ τὸ μεῖζον, τοῦ παιδίου ἐν αὐτῇσιν αὐξανομένου καὶ ὑπερβάλλοντος ἐκ τοῦ διμήνου ἢ τριμήνου εἰς τὸ πλεῖον. ἀλλὰ τὸ μὲν, αὔξεται. αἱ δὲ μῆτραι, οὐδὲν ἐπιδιδοῦσι. διὰ δὴ ταῦτα διαφθείρουσιν αἱ πολλαὶ ἐν τὸν αὐτὸν χρόνον. ταύτην χρὴ κλύσαι τὰς μήτρας διαφυσῆσαι ὡς μάλιστα προσθέτοισιν, ἢ φαρμάκοισι τοῖσδε. τῆς σικυώνης τὴν ἐντεριώνην κόψαντα διασῆσαι. καὶ σιλφίου ὀλίγον παραμίξαι ὀλίγα ἐν πλείονι, καὶ καθεφθοτέρῳ περὶ μέλιτι. ταῦτα περιπλάσαι περὶ μήλην, ποιέοντα τὸ πάχος ὅσον μέλλει παραδέξασθαι ὁ στόμαχος πρὸς τὸ στόμα τῆς μήτρης, καὶ ὦσαι πόρρω ἕως ἂν πορήσῃ ἐν τὸ ἔξω τῆς μήτρης. ὅταν δὲ ἀποτακῇ τὸ φάρμακον, ἐξελεῖν τὴν μήλην, καὶ πάλιν οὕτω τὸ ἐλατήριον, καὶ τῆς κολοκυντίδος τῆς ἀγρίης ποιέων ὡσαύτως περὶ πρότερον προστιθέναι. ἐσθιέτω δὲ τοῦτον τὸν χρόνον σκόροδα ὡς πλεῖστα. καὶ καυλὸν σιλφίου, καὶ τῇ ἄλλῃ διαίτῃ χρῆσθαι, ὁκοίη ἂν μέλλοι φῦσαν ἐμποιῆσαι μάλιστα ἐν τῇ κοιλίῃ. προστιθέσθω δὲ τὸ πρόσθετον διὰ τρίτης ἡμέρης ἕως ἂν δοκέῃ καλῶς ἔχειν. ἐνίοτε δὲ καὶ διὰ πλείονος. τὸ δὲ ὅλον, ὅκως ἂν προσίηται. τὰς δὲ μεταξὺ ἡμέρας, μαλθακοῖσι χρῆσθαι. ὅταν δὲ καταστήσῃ τοῖσι μαλθακτηρίοισι τὸ στόμα τῆς μήτρης, καὶ φαίνηται τὰ ἐπιμήνια ἐπιμένοντα, ὅταν ξηρὴ ἤδη ᾖ, μισγέσθω περὶ ἀνδρί. ποιέειν δὲ φῦσαν ἐν τῇ μήτρῃ. ὅταν δὲ βούλῃ σκορόδου μώλυζαν καὶ ὀπὸν σιλφίου παραμιγνύναι πρὸς τὰ πρόσθετα. καὶ ἥτις ἂν μὴ δύνηται διατελεῖν τοὺς δέκα μῆνας κύουσα, ἀλλὰ διαφθείρει, καὶ ταῦτα πάσχει πλεονάκις, ταύτης τῆς μήτρης καθαίρειν ὕδωρ, καὶ αὐτὴν φαρμακεύειν ὅκως ὕδωρ καθαίρηται.

Ἢν δὲ κατέχουσα τὴν γονὴν μὴ κυΐσκηται, συμβαίνει δὲ ταῦτα πλείστῃσι τοῦ στομάχου χανόντος τῆς μήτρης παρὰ φύσιν, τὰ ἐπιμήνια πλέω γίνεται τοῦ προσήκοντος, καὶ ὑγρότερα. ὥστε τὸ ἀπὸ τῆς γυναικὸς μὴ ξυλλαμβάνεσθαι πρὸς τὴν τέκνωσιν, τήν τε τοῦ ἀνδρὸς γονὴν ἐπιοῦσαν διαφθείρεσθαι. γίνεται δὲ ταῦτα, τοῦ τε σώματος καὶ τῶν μητρέων, νοσεόντων. ἀλλὰ δεῖ ταύτῃ, καθαρτήρια διδόναι διαλιπόντα. καὶ πυριῆν ὅλον τὸ σῶμα. καὶ τὰς μήτρας, ὄξει, καὶ θαλάσσῃ, μύλας διαπύρους ἐμβάλλοντα. ἐμβάλλειν δὲ ἐν τὸ πύριημα, κυπαρίσσου πρίσματα. καὶ δάφνης φύλλα κόψας χλωρῆς. καὶ πολυκνήμου αὐτοῦ φύλλα. πυριῆν δὲ ὁκοῖον ἂν δοκέῃ καιρὸς εἶναι χρόνον. μετὰ δὲ τοῦτον λουέσθω. καὶ ὄξει ἐνεψεῖν λωτοῦ πρίσματα. καὶ ῥόδινον. καὶ πολυκνήμου αὐτοῦ τὰ φύλλα. ἐπὶ τελευτῆς δὲ, θυμιῆν, φλόμου φύλλα κόψας, καὶ λωτοῦ πρίσματα. ἔμπροσθεν δὲ πρὶν ἐκλούσασθαι, θυμιῆσαι σμύρνῃ. καὶ λιβανωτῷ, τρίψας ἴσον ἑκατέρου. καὶ μυρσίνης καὶ δάφνης φύλλα. ταῦτα ἀναμίξας καὶ ἐπιβαλὼν ἐπὶ μαλθακὸν πῦρ, θυμιῆν νεοπυρίητον ἐοῦσαν δὶς τῆς ἡμέρης, πυριῆν νεόλουτον ἐοῦσαν. καὶ τῆς θυμιήσεως ὕστερον, λουέσθω. καὶ τὸν στόμαχον καθεστάναι ἐν τὴν ἀρχαίην φύσιν. καὶ ἢν ἐξαρκέουσα ᾖ. πρόσθεν δὲ τούτων πάντων, τάμνειν τὴν ἐν τῇ χειρὶ φλέβα, τῇ ἀριστερῇ. καὶ οὕτω τ᾽ ἄλλα ποιέειν.

Ἢν δὲ ὁ στόμαχος οὕτως ἔχῃ, τὰ δ᾽ ἐπιμήνια μὴ ἴῃ φλαύρως ἢ ἐπὶ πύλαπλον, ἢ πρὸς πλέονα κάθαρσιν τρέπεσθαι τοῖσιν ἄλλοισιν ἅπασι. καὶ οὕτως θεραπεύειν καὶ προστιθέναι ἢν δέῃ, καὶ ἐκ τῶν πρόσθεν λούων, καὶ θυμιῶν, καὶ ξηραίνων. ἢν δὲ γυνὴ ἐκτιτρώσκῃ ἀέκουσα, καὶ μὴ θέλῃ ἐκβάλλειν, πυροὺς πεφρυγμένους καὶ κατεληλασμένους, καὶ σταφίδα κεκομμένην λευκὴν, μελικρήτῳ γλυκερῷ ταῦτα διεὶς ἐλαίου σμικρὸν παραχέων, νῆστει πίνειν διδόναι. μετὰ δὲ ῥαφάνου σπέρμα τρίψας καὶ ὄξος καὶ χηνὸς στέαρ, ταῦτα μίξας ἐσθιέτω, καὶ προστιθέσθω δάφνης φύλλα τρίβουσα. μετὰ δὲ πινέτω ὀρίγανον καὶ γλήχωνα καὶ ἄλφιτον ἐν ὕδατι ἐπιπάσσουσα δάφνης φύλλα κεκομμένα καὶ τετριμμένα λεῖα κόμμι παραμίξας. καὶ διεὶς ὕδατι, πίνειν διδόναι.

Οἰὸς στέαρ καὶ χηνὸς ἄλειφα. καὶ μέλι, ἐν τὸ αὐτὸ μίξας καὶ τρίψας, ἐλλικτὸν διδόναι.

Σταφυλῖνον τρίβων ὡς λειότατον, καὶ γάλακτος ὑπόστασιν ἐν τούτῳ μίξας καὶ χηνὸς στέαρ τήξας, ταῦτα ἀνεψήσας, διδόναι ῥοφεῖν.

Ὀριγάνου τρίψας φύλλα ὡς λειότατα. ἢν μὲν ἔχει, χλωρῆς. εἰ δὲ μὴ, ξηρῆς διεὶς ἐν ὕδατι πίνειν διδόναι.

Δάφνης καρπὸν τρίψας ὡς λειότατον, καὶ ὑὸς θηλέης στέαρ τήξας καὶ μέλιτι, ταῦτα ὁμοῦ πάντα μίξας καὶ τρίψας, ἐλλικτὸν διδόναι.

Σταφύλινον τρίβων ὡς λειότατον ἐν οἴνῳ διεὶς κεκρημένῳ, πίνειν διδόναι.

Ἢν αἱ μῆτραι μὴ καθέχωσιν τὴν γονήν. Μόλυβδον καὶ λίθον ἥτις τὸν σίδηρον ἁρπάζει, ταῦτα τρίψας λεῖα,

ἐν ῥάκος

ἐν ῥάκει ἀποδήσσον, καὶ ἐν γάλα γυναικὸς ἐμβάψας, προστιθέτω χρήσθω. Χαλκοῦ ἄνθος τρίψας, μέλιτι διεῖναι καὶ προστιθέναι. ὅκως ὅταν αἱ μῆτραι τοῦ ἀνδρὸς τὴν γονὴν ἐξορρωγῶνται, βίη ἡ μοίρη πᾶσα ἀνάγκη τῆς γυναικός, ἢν ταῦτα πάσχῃ, πώρου ἐπιπεπληρωμένας εἶναι τὰς μήτρας. καὶ οὐ δύναται τοῦ ἀνδρὸς ἡ γονὴ ἐμμένειν ἐν τῇσι μήτρῃσιν, ἀλλ᾽ ἀποκλείεται. καὶ διὰ τούτων οὐ δύναται κυῆσαι ἕως ἂν ὁ πῶρος ἐνῇ ἐν τῇσι μήτρῃσι. τοῦ δὲ πώρου, ἥδε ἡ ἐξέλασις. πτερὰ λαβὼν ὡς ἐλάχιστα καὶ μαλθακώτατα ξυνδήσας ὁμοῦ, τούτοισιν ἐπαλείφειν τὰς μήτρας, ὡς τοὺς ὀφθαλμοὺς ἐπαλείφουσιν, ὁμαλύνας τὰ πτερὰ ἅμμα ὡς λεπτοτάτω, καταδήσας τὰ ἄκρα, εἶτα ῥοδίνῳ πολλῷ χρίσας αὐτά, ὑπτίην ἀνακλίνας, ὑπὸ τὴν ὀσφὺν μέσην ὑποθεῖναι προσκεφάλαιον, ὑποθεῖναι τὴν μήλην. τὰ σκέλεα τανύσας τῆς γυναικός, καὶ διασείσας, τὸ μὲν ἔνθεν, τὸ δ᾽ ἔνθεν, ἀναστρέφειν ἄνω καὶ κάτω τὴν μήλην, ἕως ἂν προκύψῃ. ἐπὴν δὲ ἴδῃς ἐν τῷ στόματι τῆς μήτρης. ἢν μὲν μὴ προσίσχηται ἐν τῷ ἰσχίῳ, καὶ ἐθέλῃ ἐπακολουθῆσαι, πάντων ἄριστον ὅκως. ἢν δὲ ἐνδέχηται ἐν τῷ στόματι τῆς μήτρης, λαβίδι ὡς λεπτοτάτῃ, προμηθεύμενος ἐξελκῆσαι ἡσυχῇ, καὶ μὴ βιαίως. καὶ μετὰ ταῦτα, ξυγκοιμάσθω τῷ ἀνδρί. Ἢν κυούσῃ ἐπιφαίνηται, ὀνίδα ξηρὴν, μίλτον, ὄστρακον σηπίης τρίψας λεῖα, ἐν ῥάκει ἀποδήσας προστιθέναι. Γλυκυσίδης τοὺς μέλανας καρποὺς τρίβων ἐν οἴνῳ διδόναι πιεῖν κεκρημένῳ. ἢν δὲ συνοῦσα ἀλγέει τὴν νειαίραν γαστέρα, καὶ αἷμα οἱ φαίνηται νεαρόν, λίνου κόψας, καὶ βρύον ἁπαλὸν, καὶ χήνειον ἔλαιον, ταῦτα μίξας οἴνῳ λευκῷ ὑδαρεῖ, δὶς διδόναι πίνειν.

Ἢν αἱ μῆτραι προέλθωσιν ἔξω τῆς φύσιος, πῦρ ἔχει μάλιστα μὲν τὰ αἰδοῖα, καὶ τὴν ἕδρην. καὶ τὸ οὖρον στάζει κατ᾽ ὀλίγον, καὶ δάκνεται τὰ αἰδοῖα. ταῦτα πάσχει. εἰς τὸ αὐτὸ πάθος.

Ἢν δὲ ἐκ τόκου ἐοῦσα τῷ ἀνδρὶ μὴ παρακοιμᾶται, ὅταν οὕτως ἔχῃ, μύρτα καὶ λωτοῦ πρίσματα ἑψήσας ἐν ὕδατι, καταθεὶς τὸ ὕδωρ ἐς τὴν ἕδρην, προχείσθω ὡς ψυχρότατον ἐς τὰ αἰδοῖα, καὶ τρίβων λεῖα προσπλάσσειν. ἔπειτα ὕδωρ πίνουσα, φακὸν μέλι καὶ ὄξος ξυμμίσγουσα, ἐμέτω, ἕως ἂν αἱ μῆτραι ἀνασπασθῶσιν. καὶ τὴν κλίνην ὑψηλοτέρην πρὸς ποδῶν κεῖσθαι. ὑποθυμιῆν δὲ ὑπὸ τὰ αἰδοῖα κακώδεα. ὑπὸ δὲ τὰς ῥῖνας εὐώδεα. σιτίοισι δὲ χρέεσθω ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσι. καὶ τὸν οἶνον ὑδαρέα λευκὸν πινέτω. καὶ μὴ λουέσθω. καὶ τῷ ἀνδρὶ ξυγκοιμάσθω. Ἢν δὲ παντάπασιν ἐκ τῶν αἰδοίων ἐκπέσωσιν, ἐκκρέμανται οἷον ὄσχη. καὶ ὀδύνη λαμβάνει. ὅκως δὲ ὅταν ἐκ τόκου ταλαιπωρήσῃ, ὥστε σεῖσαι τὰς ὑστέρας, καὶ τῷ ἀνδρὶ ξυγκοιμᾶται ἐν τῷ λοχείῳ. ὅταν οὕτως ἔχῃ, ψύγματα προστίθεσθαι πρὸς τὰ αἰδοῖα. καὶ τὰ ἔξωθεν ὑποκαθήρας, σίδιον ἐν οἴνῳ μέλανι οἰνώδει ἑψήσας, τούτῳ περιπλύνας εἴσω ἀπωθεῖν. ἔπειτα μέλι καὶ ῥητίνην συντήξας ἴσον ἑκατέρου, ἐγχεῖν ἐς τὰ αἰδοῖα. καὶ κεῖσθαι ὑπτίην, ἄνω τὰ σκέλη ἔχουσαν ἐκτεταμένην. κἄπειτα σπόγγον προσθεὶς, ἀναδῆσαι ἐκ τῶν ἰξύων. ἐς ὃ ἂν δ᾽ οὕτως ἔχῃ, σιτίων δέον ἀπέχεσθαι ποτῷ δὲ ὡς ἐλαχίστῳ χρέεσθαι, μέχρις ἂν ἑπτὰ ἡμέραι παρέλθωσι. καὶ ἢν μὲν οὕτως ἐθέλωσιν ἰέναι. εἰ δὲ μὴ ἄκρας περιξέσαι τὰς μήτρας, καὶ ἀποπλῦναι τῇ πιτύϊ ἑφθῇ. ἔπειτα πρὸς κλίμακα δήσας τοὺς πόδας, κρούειν κατὰ τὴν κεφαλὴν, καὶ τῇ χειρὶ ἐσωθεῖν. ἔπειτα ξυνδήσας τὰ σκέλεα, ἐπαλλὰξ ἐᾶν ἡμέρην καὶ νύκτα ἀτρέμα. διδόναι δὲ ὀλίγον χυλὸν πτισάνης. ψυχρὸν δὲ διδόναι μηδέν. τῇ δὲ ἐπαύριον ἐγκατακλίνας ὧδε τὸ ἰσχίον, σικύην προσβάλλειν ὡς μεγίστην, καὶ ἀνέλκειν πουλὺν χρόνον. καὶ ὅταν ἀφέλῃς κατακλίνας, ἐγκεῖσθαι καὶ προσφέρειν ἄλλο μηδὲν, ἢ τὸν χυλὸν, ἐς ὃ ἂν ἑπτὰ ἡμέραι παρέλθωσιν. σιτίοισι δὲ ὡς μαλθακωτάτοισι καὶ ἐλαχίστοισι χρήσθω. ἢν δὲ ἀποπατεῖν ἐθέλῃ, ἀποπατέτω ἀνακεκλιμένη, ἕως ἂν τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσιν. ἔπειτα ἀνίστασθαι καὶ περιορχεῖσθαι ὡς ἐλάχιστα. καὶ μὴ λουέσθω. σιτίοισιν ὀλίγοισι χρήσθω. τὰ αἰδοῖα τοῖσι κακώδεσι θυμιάσθω. καὶ ἐπὴν * ἄρχηται περιχωρέειν, τὴν σφενδόνην φορείτω. ἐξαίρεσις τοῦ ἐμβρύου. Ἢν δὲ ἔμβρυον ἐναποθάνῃ ἐν τῇσι γονῇσιν ἐν τελεογονίῃ χρῆσθαι κατ᾽ ὀλίγον τὸ φαινόμενον κατὰ λόγον θραύοντα. τὸ δέρτρον καταλιπόντα προβολὴν τῷ σιδήρῳ.

Νόθα, τῇ τελευτῇ τοῦ πρώτου περὶ γυναικείων βιβλίου προσκείμενα.

Βηχὸς παιδίου. θαψίην ἐν ἀλφίτοις ψωμίζειν. ἕτερον. ᾠὸν ὀπτήσαντα, τὴν λέκιθον ἐξελόντα τρίψαι. καὶ σήσαμον λευκὸν πεφρυγμένον καὶ ἅλες, ἐν μέλιτι ἐκλείχειν. Τὴν κοιλίην λῦσαι παιδίου. ἔρειον ἄπλυτον ἐν μέλι βάψας, ἐνθεῖναι. ἐὰν ᾖ γεραίτερον ἢ, κρομμύων τὰ ἔξωθεν τρίψας, ἐντιθέναι. ἐὰν δὲ γάλα μὴ ᾖ, σητάνιον ἄλευρον ἐκπλύνας, μέλι καὶ ἔλαιον

μίξας

μίξας χλιαρῷ κλύσαι. Ἄσθματος παιδίου. Λιβανωτὸν ἐν οἴνῳ γλυκεῖ. ἀλουσίη. Καθαρτήριον. Βαλανίδας ποιέειν κοτύλην μέλιτος. ἀνίσου ὀξύβαφον. ἀσφάλτου δύο δραχμάς. χολὴν βοός. σμύρνης τρεῖς δραχμάς. πόσιν ἐλατηρίου. ἕψειν ἐν χαλκῷ, μίσγειν ἔλαιον χηνός. καὶ ὅταν μέλλῃ χρῆσθαι, ἀλείφειν τὰς βαλάνους τῷ χηνείῳ μαλακῷ. εἰρίῳ δὲ χρῆσθαι, τῷ οἰείῳ. ἐλαίῳ δὲ, κρινίνῳ. τούτῳ μίσγειν κιννάβαρι. Ἔμετον λύει. Ὠκύμου χυλὸς ἐν οἴνῳ λευκῷ. Ἕτερον. Ἀλήτου σητανίου κεχυλισμένου τὸ ὕδωρ. ἢ ῥοιᾶς γλυκείας καὶ ὀξείας ἀποχυλώσας. εἶτα μέλιτι μίξας. Τὸ σηπτικὸν ὧδε ποιέεται. ἐλλέβορος μέλας. σανδαράκη. λεπὶς χαλκοῦ, ἴσον ἑκάστου τρίβειν χωρίς. ὅταν δὲ λεῖον ᾖ, παραμίξαι μιᾶς μερίδος διπλάσιον τίτανον, ἀναδεύσας, κεδρίνῳ χριέτω. Ὀπτὸν φάρμακον ὧδε ποιέεται. ἄνθος κεκαυμένον καθαρῶς. ἄχρις ἂν φοινικοῦν γένηται, τρίψας λεῖον, τούτῳ χρῶ. Τὸ μέλαν φάρμακον.

Λεπίς. ἄνθος. χωρὶς τρίβειν ἑκάτερον. ὅταν δὲ λεῖον τρίβῃς, οὕτω μίσγε. ποιέειν δύο ἢ τρία εἴδη τοῦ φαρμάκου. τὸ μὲν ἰσχυρότατον, τὸ ἄνθος, τριτημόριον τῆς λεπίδος. τὸ δὲ δεύτερον, τεταρτημόριον. τὸ δὲ τρίτον, πεντημόριον. πρὸς τὸ φάρμακον ἐπὶ πᾶσιν ἁρμόζει. Διαλειπτὸν πρὸς τὴν συνάγχην. κάχρυα. σταφὶς ἀγρία. ἀψίνθιον. ἐλατήριον. μέλι. Ἐν τοῖς περιδαλγικοῖς ὀδυνήμασιν τὰ ἀφιστάμενα καταπλάσσειν ὕδατι φύροντα λεῖον. καὶ μὴ λύειν τριῶν ἡμερέων. ὅταν δὲ λύσῃς, αὖθις νίτρον ὠμὸν τοῦ ἐρυθροῦ τρίψαντα. καὶ μέλι ὀλίγον. τούτῳ ὥσπερ ἀεὶ χρέεσθαι. καὶ τὸν ἴσον χρόνον ἐς κύθραν ἐμβάλλειν λείους. εἶτα, συμπιλεῖν. εἶτα καταλείψας ὑποκαίειν, νύκτα καὶ ἡμέρην τὴν ἕδρην ἐμβαλεῖν ἀσταφίδι λείῃ, τετριμμένῃ, ξηρῇ, ἐναλείφοντι τὴν ἕδρην. τὰ πεπυρωμένα διάχριε. ἀνδράχνην ἐν στέατι. θρίδακος τῆς ἐρυθρῆς, ὁπόσον ὁλκήν, λύε πᾶσαν ἐν ὕδατι. σταθμὸς ἡμιωβόλιον Ἀττικόν. Ὀφθαλμικά. Χαλκός. οἶος χολή, αἰγός. σμύρνα. ταῦτα λύεται πάντα ὁμοῦ τρίψας λεῖα, οἴνῳ διῆναι λευκῷ. ἔπειτα ἐς κάλαμον ἐμβαλὼν, ξηρῷ χρῆσθαι. Ἔμπλαστρον. Μίσυ κατασκευάσας, τρίβε ἐν ἴγδῃ. ξυμμίσγειν δὲ αὐτῷ, σποδιὸν χρυσῖτιν πεπλυμένην. ἔστω δὲ τῆς σποδοῦ, τρία. τοῦ μίσυος, ἕν. τὸ μίσυ κατάκαιε ἐς μάζαν, φυλασσόμενος, ὅκως μὴ ἐκρυῇ. ὀπτώμενον γὰρ, ἐξυγραίνεται. ὅταν δὲ καλῶς ὀπτὸν ᾖ, φοινίκεον γίνεται. Ἔμπλαστρον. Ψιμύθιον τὸν αὐτὸν τρόπον μισγόμενον τῷ μίσυϊ ὠπτημένῳ, ὥσπερ ἐν τῇ χρυσίτιδι σποδῷ, τὸ μίσυ γίνεται. Ἕτερον ἔμπλαστρον ἰσχυρότερον τούτου. Σποδιὸς κυπρία ἐκ τοῦ ἀσβόλου πεπλυμένου. καὶ ψιμύθιον. καὶ μίσυ ὀπτόν. ἐὰν δὲ δύο μοίρας τῆς σποδοῦ τοῦ ψιμυθίου. ἐν τούτῳ μίσυος ὑγρόν. ἀνεμώνης τὰ φύλλα κόψαντα, ἐκπιέσαι. καὶ ἐς τὸν ἥλιον θεῖναι ἐν χαλκῷ ἐρυθρῷ κατακαλύψαντα, ὅκως μηδὲν ἐμπεσεῖται. ὅταν δὲ παχὺ ᾖ, διαπλάσσειν φθοεῖς. εἶτα ξηραίνειν. ὅταν δὲ ξηρανθῇ, κατακαίειν ὡς δυνατὸν μάλιστα. εἶτα ἐπειδὰν ψυχθῇ, τρίβειν λεῖα. καὶ μίσγειν σποδῷ πεπλυμένῃ τῇ ἐκ τοῦ ἀσβόλου ἴσον. εἶτα παραστάζων νέτωπον, μικρὸν τρίβειν. εἶτα μέλιτι διιέναι. εἶτα ξηράνας ἐς χαλκῆν κυστίδα τούτῳ χρῶ. Ξηρὸν μαλακόν. Σποδιὸς κυπρία. χαλκῖτις ἄπλυτος λεία τετριμμένη. καὶ ἄνθος χαλκοῦ. ταῦτα ἴσα μίσγειν καὶ τρίβειν λεῖα. Ἕτερον ξηρόν. Σποδιὸς κυπρία. χαλκῖτις διατετριμμένη. καὶ σποδιὸς χρυσῖτις ἄπλυτος ἐν ᾧ ἀφεψεῖται τὸ χρυσίον ταύτας ἀλλήλαις διατρίβειν. Ἕτερον ξηρόν.

Σποδιὸς πεπλυμένη. χρυσῖτις. καὶ ἀφρὸς χαλκοῦ ἴσα λεῖα. Ἕτερον. Ὄμφακος χυλός. ἐπὶ σποδιὸς κυπρία. τὴν ὄμφακα ἀκμάζουσαν χρὴ ἐκπιέσαι τὸν χυλὸν δι' ὀθονίου ἐς χαλκεῖον ἐρυθρόν. καὶ μίξαι ὄξεος τρίτον μέρος λευκοῦ ὡς ὀξυτάτου. καὶ οὕτως καθεψεῖν ἐν τῷ ἡλίῳ. καὶ ἀναταράσσειν πεντάκις τῆς ἡμέρης. ὅταν δὲ παχὺς γένηται ὁ χυλὸς, σποδιὸν τὴν κυπρίην καὶ χαλκίτιδος λείην ἐμβαλεῖν καὶ ἀναμίξαι. ὅταν δὲ ἑκταῖος ἢ ἑβδομαῖος ἢ ὁ χυλὸς ἐν τῷ ἡλίῳ κείμενος, ἐς κοτύλην Ἀττικὴν τοῦ χυλοῦ τῆς σποδοῦ δραχμὰς ὀκτώ. ἐὰν δὲ βούλῃ δριμύτερον εἶναι, ἐλάττω τὴν σποδόν. ἐὰν δὲ μαλθακώτερον, πλέω. μετὰ δὲ ταῦτα ξηραίνειν, ἄχρις οὗ δυνατὸν διαπλάσαι φθοεῖς. εἶτα ἐγξηραίνειν, κρεμάσας ἄνω ὑπὲρ καπνοῦ. καὶ οὕτως ξηραίνειν, μέχρις οὗ ὀστρακώδεες γένηται, ὥστε τριβόμενον, μὴ ξυντρέφεσθαι. εἶθ' οὕτως χρῶ. πέσσω δὲ, ὅκου ἰκμάδα μὴ ἕξει. Ἕτερον ξηρόν. Σποδός. χαλκῖτις ὄξει πεφυρμένη λευκῷ. εἶτα φθοεῖς ποιήσας. ξήραινε δέ. ὅταν δὲ ξηρανθῇ, λεῖον τρίβειν ὑπαλείφειν ὀφθαλμὸν μὲν ὡς κάλλιστον, καὶ οἶνον παλαιὸν γλυκὺν, ἕψειν ὁμοῦ. Πρὸς ἄργεμον. αἰγείρου δάκρυον. γάλα γυναικεῖον μίξας χρῶ. ἐὰν ὀφθαλμὸς δακρύῃ καὶ ὀδύνην ἔχῃ. Ῥοιῆς γλυκείης τὸν χυ-

λὸν ἐκπιέσας

λὸν ἐκπιέσας, ἐν χαλκέῳ ἕψειν καὶ μέλαν ὥσπερ πίσσαν. ἐὰν θέρος ᾖ, ἐς τὸν ἥλιον τιθέναι. εἶτα ὑγρῷ ὑπαλείφειν. Ἐὰν δὲ δακρύῃ καὶ γλαμυρὸς ᾖ ὁ ὀφθαλμός. ὅταν ἡ σταφυλὴ ἡ λευκὴ, πέπειρος ἰσχυρῶς, καὶ ἰσχνὴ ἐπὶ τῇ ἀμπέλῳ ᾖ. δρέψας ἐξωθῆσαι. εἶτα ξηραίνειν ἐν τῷ ἡλίῳ. ὅταν δὲ ξηρὸν ᾖ, ἀποξέσαι. μίξαι ἰοῦ ἡμιωβόλιον ἀττικῷ σταθμῷ. εἶτα τούτῳ ὑπαλείφειν. πρὸς ἀπασόν. Μόλιβδος καὶ σποδὸς ἴσα. σμύρνης δέκατον μέρος ὁποῦ μήκωνος σμικρὸν μ. οἶνος παλαιός. ξηρὰ τρίψας, χρῶ. Σκίλλα καὶ σποδοῦ τρίτον μέρος καὶ ψιμυθίου τρίτον μέρος χάρτου κεκαυμένου, μέρος δέκατον σμύρνης. Εἰ βούλει ἐκ τοῦ σώματος τρίχας ἀπελάσαι. δάκρυον ἀμπέλου ἀλείφειν ἐλαίῳ. ἐὰν δὲ καὶ τὸν ὀφθαλμὸν βούλῃ, ἀποδρέψας ἀλείφειν. καὶ ἀπὸ σισῶν λεπτῷ δέρματι. καὶ ἔσται ἐρυθρὸς, καὶ εὔχροος. Λειεντερίης. Φακὸς. πυροὺς σιτανίους ὅσον δύο χοίνικας βρέξας. ἐπειδὰν μαλθακοὶ ὥσπερ διαβρωσκόμενοι, ἰσχυρῶς ποιῆσαι λείους ἐν ὅλμῳ ἢ ἐν θυΐᾳ. ἔπειτα ἐπιχέαι ὕδατος κοτύλας ἕξ. καὶ ἀνακινῆσαι ἰσχυρῶς. ὅτι δ' ἂν ἀπέλθῃ, ἐγχέας ἐς χύτραν, ἕψειν μέλι ὀλίγον παραχέας. ἐπειδὰν ἑφθὸν ἰσχυρῶς γένηται, ψύξας διδόναι ἐσθίειν τούτου. ἐὰν δὲ διψῇ, οἶνον πινέτω ὡς παλαιότατον. πυτίῳ χρήσθω, ἄχρις ἂν ὑγιὴς γένηται. Ἐὰν δὲ κόρυζαν ἔχῃ. σμύρναν τρίψας λεῖα. καὶ μέλι μίξας, ὀθόνιον ποιήσας. τὰς ῥῖνας τρίβειν. Κλυσμὸς φλέγμα ἄγων. Θαψίης πόσιν. ἢ ἀσταφίδος ὅσον τεσσαράκοντα κόκκους. ἢ κνιδίου πόσιν. ἢ κνήστρου. μίσγειν δὲ μέλιτος ἡμικοτύλιον, ἐλαίου ἴσον, διιέναι θαλάσσῃ. πίτυρα ἐναφεψήσας. ἢ πτισάνην μέχρις οὗ λιπαρὰ γένηται. ἢ στέατος. ἢ τεύτλου χυλῷ. παραμίσγειν δὲ νίτρου ὅσον δέκα δραχμάς. ἢ ἁλὸς τρυβλίον πλεῖον ἐς θάλασσαν. Ἐὰν δὲ θέλῃς χολὴν ἄγειν. Ὀποῦ πόσιν. ἐλατηρίου, ὁλκὴν καὶ ἥμισυ. κολοκυνθίδος τρίψαι δραχμὴν σταθμόν. διιέναι τοῖς αὐτοῖς οἷς καὶ πρότερον. ἐὰν δὲ σφοδρότερον θέλῃς ἄγειν. σικύης ἐντεριώνην, τέταρτον δραχμῆς ἀποβρέξας ἐν ὕδατος ἡμικοτυλίῳ, τούτῳ κλύσαι. καὶ ἐὰν ἐξελθὼν δάκνῃ μετακλύσαι πτισάνης χυλῷ. Ἕτερον. Γάλακτι ἑφθῷ ὀνείῳ. ἢ ἐν τεύτλου χυλῷ τρισὶ κοτύλαις, ἐναποβρέχειν τὴν ἐντεριώνην, παραμίσγειν ἅλας καὶ μέλι καὶ ἔλαιον. μετακλύζειν δὲ πτισάνης χυλῷ. Κολοκυνθίδος δραχμὴν τρίψας καὶ προβρέξας ἐν γάλακτι ὀνείῳ, μίσγειν τὰ αὐτά. ἐντεριώνης δραχμήν. ἐλατηρίου πόσιν. σολόμης ὅσον τοῖς τρισὶ δακτύλοις, μέλι. ἔλαιον, διιέναι θαλάσσῃ. ἐὰν δὲ κόπριον θέλῃς ἀγαγεῖν, μηδὲν πίνειν φάρμακον. τοῖσι δὲ ἄλλοισι χρῶ. Δυσεντερίης κλυσμός. ἐν οἴνῳ σίδια ῥοιῆς γλυκείης ἑψήσας ὡς πλεῖστα, ἕψειν δὲ, μέχρις οὗ τὸ ἥμισυ λειφθῇ. μίσγειν δὲ ἔλαιον τεταρτημόριον κοτύλης, ἑκατέρου τὴν ἑτέρην. λιβανωτοῦ τέταρτον δραχμῆς. μύρου ῥοδίνου ἡμικοτύλιον. πτισάνης χυλός. θάλασσα ἑφθή. ἐλλεβόρου δύο πόσιας τρίψας. ὕδατος δὶς ἡμικοτύλιον, ἐλαίου ἴσον, κλύζειν χυλῷ, ἐγχέας ἐς σταφίδα. Μῆλα κυδώνια κατατάμνειν, καὶ ἐᾶν ἐμβρέχεσθαι. ἐπειδὰν δὲ τὸ ὕδωρ τὴν ὀσμὴν ἔχῃ, διδόναι πίνειν. Πτισάνης λέκυθον ἐμβαλὼν ἐς χόεα ὕδατος ἕψε μέχρι λιπαρὸς γένηται. Ψύξας δὲ τὰ μῆλα ἢν κατατάμνῃ. κηρίον, καταβρέξαι δὲ ἐν ὕδατι. καὶ ἅμα τρίβειν, ὅταν ὑπόγλυκυ ᾖ, καὶ διηθήσας, ἐμβάλλειν σελίνου φύλλα. Ἕτερον. ἀσταφίδα λευκὴν ἐς ὕδωρ ἐμβαλών. καλαμίνθην, ἢ κορίον, ἀνατρίβειν ἐς ὕδωρ ὑπόγλυκυ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΔΗΜΙΩΝ ΤΟ ΠΡΩΤΟΝ

Τμῆμα πρῶτον. Κατάστασις πρώτη.

ἘΝ Θάσῳ φθινοπώρου περὶ ἰσημερίην καὶ ὑπὸ πληϊάδα, ὕδατα πουλλὰ, ξυνεχέα, μαλθακὰ, ὡς ἐν νοτίοισι. χειμὼν, νότιος. σμικρὰ πνεύματα βόρεια. αὐχμοί. τὸ σύνολον ἐς γε χειμῶνα, ὁκοῖον ἦρ γίνεται. ἦρ δὲ νότιον, ψυχινόν. μικρὰ ὕσματα. θέρος ὡς τὸ πολὺ ἐπινέφελον. ἀνυδρίαι. ἐτησίαι, ὀλίγα σμικρὰ διεσπασμένως ἔπνευσαν. γενομένης δὲ τῆς ἀγωγῆς ὅλης ἐπὶ τὰ νότια, καὶ μετὰ αὐχμῶν πρωῒ μὲν τοῦ ἦρος ἐκ τῆς πρόσθεν καταστάσιος ὑπεναντίης καὶ βορείου γενομένης, ὀλίγοισιν ἐγένοντο καῦσοι. καὶ τουτέοισι πάνυ εὐσταθέες. καὶ ὀλίγοισιν ἡμοῤῥάγεεν. οὐδ' ἀπέθνησκον ἐκ τουτέων. ἐπάρματα δὲ παρὰ τὰ ὦτα, πολλοῖσιν ἑτερόῤῥοπα. καὶ ἐξ ἀμφοτέρων τοῖσι πλείστοισιν ἀπύροισιν ὀρθοστάδην. ἔστι δὲ οἷς καὶ μικρὰ ἐπεθερμαίνοντο. κατέσβη πᾶσιν ἀσινέως. οὐδ' ἐξεπύησεν οὐδενὶ ὥσπερ τὰ ἐξ ἄλλων προφασίων. ἦν δὲ ὁ τρόπος αὐτέων,

χαῦνα μεγάλα κεχυμένα, οὐ μετὰ φλεγμονῆς. ἀνώδυνα πᾶσιν ἀσήμως ἠφανίσθη. ἐγένετο δὲ ταῦτα, μειρακίοισιν, νέοισιν, ἀκμάζουσι. καὶ τούτων τοῖσι περὶ παλαίστρην, καὶ γυμνάσια πλείστοισιν. γυναιξὶ δὲ ὀλίγησιν ἐγένετο. πλείστοισι δὲ βῆχες ξηραί. βήσσουσι καὶ οὐδὲν ἀνάγουσι. καὶ φωναὶ βραγχώδεες, οὐ μετὰ πουλύ. τοῖσι δὲ καὶ μετὰ χρόνον. φλεγμοναὶ μετ' ὀδύνης ἐς ὄρχιν ἑτερόῤῥοπαι. τοῖσι δὲ ἐπ' ἀμφοτέρους. πυρετοί. τοῖσι μὲν, τοῖσι δ' οὔ. ἐπιπόνως ταῦτα τοῖσι πλείστοισι. τὰ δ' ἄλλα ὁκόσα κατ' ἰητρεῖον, ἀνόσως διῆγον. πρωῒ δὲ τοῦ θέρεος ἀρξαμένου, καὶ διὰ θέρεος καὶ κατὰ χειμῶνα, πολλοὶ τῶν ἤδη πουλὺν χρόνον ὑποφθειρομένων, φθινώδεες κατεκλίθησαν. ἐπεὶ καὶ τοῖσιν ἐνδοιαστῶς ἔχουσι, πολλοῖσι ἐβεβαίωσε τότε. ἔστι δ' οἷσιν ἤρξατο πρῶτον, τουτέοισιν ἔῤῥεπεν ἡ φύσις ἐπὶ τὸ φθινῶδες. ἀπέθανον δὲ πολλοὶ καὶ πλεῖστοι τουτέων. καὶ τῶν κατακλιθέντων οὐκ οἶδ' εἴ τις καὶ μέτριον χρόνον διεγένετο. ἀπέθνησκον δὲ ὀξυτέρως, ἢ ὡς εἴθισται διάγειν τὰ τοιαῦτα. ὡς τά γε ἄλλα καὶ μακρότερα ἐν τοῖσι πυρετοῖσιν ἐόντα, εὐφόρως ἤνεγκαν, καὶ οὐκ ἀπέθνησκον. περὶ ὧν γεγράψεται. μοῦνον γὰρ καὶ μέγιστον τῶν τότε γενομένων νουσημάτων τοὺς πολλοὺς τὸ φθινῶδες ἔκτεινεν. ἦν δὲ τοῖσι πλείστοισι αὐτέων τὰ παθήματα τοιάδε. φρικώδεες πυρετοί. ξυνεχέες, ὀξέες. τὸ μὲν ὅλον οὐ διαλείποντες. ὁ δὲ τρόπος, ἡμιτριταῖος. τὴν μίαν κουφοτέρην, τῇ δ' ἑτέρῃ ἐπιπαροξυνόμενοι. καὶ τὸ ὅλον ἐπὶ τὸ ὀξύτερον ἐπιδιδόντες. ἱδρῶτες δὲ αἰεὶ, οὐ δι' ὅλου. ψύξις ἀκρέων πολλή. καὶ μόλις ἀναθερμαινόμενα. κοιλίαι ταραχώδεες, χολώδεσιν, ὀλίγοισιν, ἀκρήτοισι, λεπτοῖσι, δακνώδεσι. πυκνὰ ἀνίσταντο. οὖρα δὲ ἦν λεπτὰ καὶ ἄχροα, καὶ ἄπεπτα, καὶ ὀλίγα, ἢ πάχος ἔχοντα καὶ μικρὴν ὑπόστασιν, οὐ καλῶς καθιστάμενα, ἀλλ' ὠμῇ τινὶ καὶ ἀκαίρῳ ὑποστάσει. ἔβησσον δὲ μικρὰ καὶ πυκνά. πέπονα κατ' ὀλίγον μόλις ἀνάγοντες. οἷσι δὲ τὰ βιαιότατα ξυμπίπτοι, οὐδ' ἐς ὀλίγον πεπασμὸς ἦν, ἀλλὰ διετέλεον ὠμὰ πτύοντες. φάρυγγες δὲ πλείστοισι τούτων ἐξ ἀρχῆς καὶ διὰ τέλεος, ἐπώδυνον εἶχον. ἔχοντες ἔρευθος μετὰ φλεγμονῆς. ῥεύματα σμικρὰ, λεπτὰ, δριμέα. ταχὺ τηκόμενοι καὶ κακούμενοι. ἀπόσιτοι πάντων γευμάτων διὰ τέλεος. ἄδιψοι. καὶ παράληροι πουλλοὶ περὶ θάνατον. περὶ μὲν τὰ φθινώδεα, ταῦτα. κατὰ δὲ θέρος ἤδη καὶ φθινόπωρον, πυρετοὶ πολλοὶ, καὶ ξυνεχέες, οὐ βίαιοι. μακρὰ δὲ νοσέουσιν, οὐδὲ περὶ τὰ ἄλλα δυσφόρως διάγουσιν ἐγένοντο. κοιλίαι ταραχώδεες τοῖσι πλείστοισι πάνυ εὐφόρως, καὶ οὐδὲν ἄξιον λόγου προσέβλαπτον. οὖρά τε τοῖσι πλείστοισιν, εὔχροα μὲν, καὶ καθαρά. λεπτὰ δὲ, καὶ μετὰ χρόνον, περὶ κρίσιν πεπαινόμενα. βηχώδεες οὐ λίην. οὐδὲ τὰ βησσόμενα δυσκόλως. οὐδ' ἀπόσιτοι. ἀλλὰ καὶ διδόναι πάνυ ἐνεδέχετο. τὸ μὲν οὖν ὅλον ὑπενόσεον οἱ φθινώδεες, οὐ τὸν φθινώδεα τρόπον. πυρετοῖσι φρικώδεσι σμικρὰ ἐφιδροῦντες, ἄλλοτε ἄλλοι ὡς παροξυνόμενοι πεπλανημένως. τὸ μὲν ὅλον, οὐκ ἐκλείποντες. παροξυνόμενοι δὲ, τριταιοφυέα τρόπον. ἐκρίνετο δὲ τουτέων, οἷσι τὰ βραχύτατα γένοιτο, περὶ εἰκοστὴν ἡμέρην. τοῖσι δὲ πλείστοισι, περὶ τεσσαρακοστήν. πολλοῖσι δὲ, περὶ ὀγδοηκοστήν. ἔστι δ' οἷσιν, οὐδ' οὕτως, ἀλλὰ πεπλανημένως τε καὶ ἀκρίτως ἐξέλιπον. τουτέων δὲ τοῖς πλείστοισιν οὐ πολὺν διαλιπόντες χρόνον, ὑπέστρεψαν οἱ πυρετοὶ πάλιν. ἐκ δὲ τῶν ὑποστροφέων ἐν τῇσι αὐτῇσι περιόδοισιν ἐκρίνοντο. πολλοὶ δὲ αὐτέων ἀνήγαγον, ὥστε καὶ ὑπὸ χειμῶνα νοσέειν. ἐκ πάντων δὲ τῶν ὑπογεγραμμένων ἐν τῇ καταστάσει ταύτῃ, μούνοισι τοῖσι φθινώδεσι θανατώδεα ξυνέπεσεν, ἐπεὶ τοῖσί γε ἄλλοισιν εὐφόρως πᾶσι, καὶ θανατώδεες ἐν τοῖσιν ἄλλοισι πυρετοῖσιν οὐκ ἐγένοντο.

Τμῆμα δεύτερον. Κατάστασις δευτέρα.

Ἐν Θάσῳ πρωῒ τοῦ φθινοπώρου, χειμῶνες οὐ κατὰ καιρὸν, ἀλλ' ἐξαίφνης ἐν βορείοισι καὶ νοτίοισι πολλοῖς, ὑγροὶ καὶ προεκρηγνύμενοι. ταῦτα δὴ ἐγένετο τοιαῦτα, μέχρι πληϊάδος δύσιος, καὶ ὑπὸ πληϊάδα. χειμὼν δὲ βόρειος. ὕδατα πολλὰ, λάβρα, μεγάλα. χιόνες. μεταξὺ αἴθρια τὰ πλεῖστα. ταῦτα δὲ ἐγένοντο μὲν πάντα, οὐ λίην δὲ ἀκαίρως τὰ τῶν ψυχέων. ἤδη δὲ μεθ' ἡλίου τροπὰς χειμερινὰς, καὶ ἡνίκα ζέφυρος πνέειν ἄρχεται, ὀπισθοχειμῶνες μεγάλοι. βόρεια πολλά. χιὼν καὶ ὕδατα ξυνεχῶς πουλλά. καὶ οὐρανὸς λαιλαπώδης, καὶ ἐπινέφελος. ταῦτα δὲ ξυνέτεινε, καὶ οὐκ ἀνίει μέχρις ἰσημερίης. ἦρ δὲ ψυχρόν. βόρειον. ὑδατῶδες. ἐπινέφελον. θέρος οὐ λίην καυματῶδες ἐγένετο. ἐτησίαι ξυνεχῶς ἔπνευσαν. ταχὺ δὲ περὶ ἀρκτοῦρον. ἐν βορείοισι πολλὰ πάλιν ὕδατα. γενομένου δὲ τοῦ ἔτεος ὅλου ὑγροῦ καὶ ψυχροῦ καὶ βορείου, κατὰ χειμῶνα μὲν, ὑγιηρῶς εἶχον τὰ πλεῖστα. πρωῒ δὲ τοῦ ἦρος, πολλοί τινες, καὶ οἱ πλεῖστοι διῆγον ἐπινόσως. ἤρξαντο μὲν οὖν τὸ πρῶτον

ὀφθαλμίαι

ὀφθαλμίαι ῥοώδεες, ὀδυνώδεες, ὑγραὶ, ἄπεπτοι, σμικραὶ λημίαι πολλοῖσι δυσκόλως ἐῤῥηγνύμεναι, τοῖσι πλείστοισιν ὑπέστρεφον. ἀπέλιπον ὀψὲ πρὸς τὸ φθινόπωρον. κατὰ δὲ θέρος ἤδη καὶ τὸ φθινόπωρον, δυσεντεριώδεες. καὶ τεινεσμοὶ, καὶ λειεντεριώδεες. καὶ διάῤῥοιαι χολώδεες, λεπτοῖσι, πολλοῖσιν, ὠμοῖσι. καὶ δακνώδεσιν. ἔστι δ' οἷσι καὶ ὑδατώδεες. πολλοῖσι δὲ καὶ περίῤῥοιαι μετὰ πόνου χολώδεες. ὑδατώδεες. ξυσματώδεες. πυώδεες. στραγγουριώδεες. οὐ νεφριτικὰ, ἀλλὰ τουτέοισιν ἀντ' ἄλλων ἄλλα. ἔμετοι χολώδεες, φλεγματώδεες. καὶ σιτίων ἀπέπτων ἀναγωγαί. ἱδρῶτες πᾶσι πάντοθεν. πουλὺς ὁ πλάδος. ἐγένετο δὲ ταῦτα πουλλοῖσιν, ὀρθοστάδην ἀπύροισιν. πολλοῖσι δὲ πυρέττουσι περὶ ὧν γεγράψεται, ἐνίοισί τε ἐπεφαίνοντο πάντα τὰ ὑπογεγραμμένα. μετὰ πόνου φθινώδεες. ἤδη δὲ φθινοπώρου καὶ ὑπὸ χειμῶνα πυρετοὶ ξυνεχέες. καὶ τοῖσι αὐτέων ὀλίγοισι καυσώδεες. ἡμερινοὶ. νυκτερινοί. ἡμιτριταῖοι, ἀκριβέες. τεταρταῖοι. πλανῆτες. ἕκαστοι δὲ τῶν ὑπογεγραμμένων πυρετῶν, πολλοῖσιν ἐγένοντο. οἱ μὲν οὖν καῦσοι, ἐλαχίστοισί τε ἐγίνοντο, καὶ ἥκιστα τῶν καμνόντων οὗτοι ἐπόνησαν. οὔτε γὰρ αἱμοῤῥαγίαι εἰ μὴ πάνυ σμικρὰ καὶ ὀλίγοισιν, οὔτε οἱ παράληροι. τά τε ἄλλα πάντα εὐφόρως. ἐκείνοισι δὲ τουτέοισιν πάνυ εὐτάκτως. τοῖσι πλείστοισι ξὺν τῇσι διαλιπούσῃσιν ἐν ἑπτακαίδεκα ἡμέρῃσιν. οὐδὲ ἀποθανόντα οὐδένα οἶδα τότε ἐν καύσῳ. οὐδὲ φρενιτικὰ τότε γινόμενα. οἱ δὲ τριταῖοι, πλείους μὲν τῶν καύσων καὶ ἐπιπονώτεροι. εὐτάκτως δὲ τούτοισι πᾶσιν ἀπὸ τῆς πρώτης λήψιος, τέσσαρας περιόδους. ἐν ἑπτὰ δὲ τελέως ἔκριναν. οὐδ' ὑπέστρεψεν οὐδενὶ τούτων. οἱ δὲ τεταρταῖοι, πολλοῖσι μὲν ἐξ ἀρχῆς, ἐν τάξει τεταρταίου, ἤρξαντο. ἔστι δ' οἷς οὐκ ὀλίγοισιν ἐξ ἄλλων πυρετῶν καὶ νοσημάτων ἀποστάσιες εὖ τεταρταίους ἐγένοντο. μακρὰ δὲ καὶ ὡς εἰθίσται τουτέοισι καὶ ἔτι μακρότερα ξυνέπιπτεν. ἀμφημερινοὶ δὲ καὶ νυκτερινοὶ, καὶ πλανῆτες πολλοῖσι πολλοί. καὶ πουλὺν χρόνον παρέμενον, ὀρθοστάδην τε καὶ κατακειμένοισι. τοῖσι πλείστοισι τουτέων ὑπὸ πληϊάδα καὶ μέχρι χειμῶνος οἱ πυρετοὶ παρείποντο. σπασμοὶ δὲ πουλλοῖσι, μᾶλλον δὲ παιδίοισιν ἐξ ἀρχῆς καὶ ἐπύρεσσον. καὶ ἐπὶ πυρετοῖσιν ἐγίνοντο σπασμοί. χρόνια μὲν, τοῖσι πλείστοισι τουτέων. ἀβλαβέα δὲ, εἰ μὴ τοῖσι καὶ ἐκ τῶν ἄλλων πάντων ὀλεθρίως εἶχουσιν. οἱ δὲ ξυνεχέες μὲν τὸ ὅλον, καὶ οὐδὲν ἐκλείποντες. παροξυνόμενοι δὲ, πᾶσι τριταιοφυέα τρόπον. μίαν ὑποκουφίζοντες, καὶ μίαν παροξυνόμενοι, πάντων βιαιότατοι τῶν τότε γινομένων. καὶ μακρότατοι, καὶ μετὰ πόνων μεγίστων γινόμενοι. πρηέως ἀρχόμενοι τὸ ὅλον ἐπιδιδόντες αἰεὶ, καὶ προσξυνόμενοι ἐν κρισίμοισι. καὶ ἀνάγοντες ἐπὶ τὸ κάκιον σμικρὰ διακουφίζοντες. καὶ ταχὺ πάλιν ἐξ ἐπισχέσιος βιαιοτέρως παροξυνόμενοι ἐν κρισίμοισιν ὡς ἐπὶ τὸ πουλὺ κακούμενοι. ῥίγεα δὲ πᾶσι μὲν ἀτάκτως καὶ πεπλανημένως ἐγίνετο. ἐλάχιστα δὲ καὶ ἥκιστα τουτέοισιν. ἀλλ' ἐπὶ τῶν ἄλλων πυρετῶν, μέζω. ἱδρῶτες πολλοί. τουτέοισι δὲ ἐλάχιστοι. κουφίζοντες οὐδὲν, ἀλλ' ὑπεναντίον, βλάβας φέροντες. ψύξις πολλὴ τουτέοισιν ἀκρέων, καὶ μόλις ἀναθερμαινόμενα. οὐ δὲ ἄγρυπνοι τὸ σύνολον μάλιστα οὗτοι. καὶ πάλιν κωματώδεες. κοιλίαι πᾶσι μὲν ταραχώδεες καὶ κακαὶ, πολὺ δὲ τουτέοισι κάκισται. οὖρα δὲ τοῖσι πλείστοισι τουτέων, ἢ λεπτὰ, καὶ ὠμὰ, καὶ ἄχροα, καὶ μετὰ χρόνον σμικρὰ πεπαινόμενα κρισίμως, ἢ πάχος μὲν ἔχοντα. θολερὰ δὲ καὶ οὐδὲν καθιστάμενα, οὐδ' ὑφιστάμενα. οὐδὲ πεπαινόμενα, ἢ σμικρὰ καὶ κακὰ, καὶ ὠμὰ τὰ ὑφιστάμενα. κάκιστα δὲ ταῦτα πάντα. βῆχες μὲν παρείποντο τοῖσι πυρετοῖσι. γράψαι δὲ οὐκ ἔχω βλάβην, οὐδ' ὠφελείην γινομένην διὰ βηχὸς τότε. χρόνια μὲν οὖν καὶ δυσχερέα, καὶ πάνυ ἀτάκτως, καὶ πεπλανημένως, καὶ ἀκρίτως τὰ πλεῖστα τουτέων διετέλει γινόμενα, καὶ οἷσι πάνυ ὀλεθρίως ἔχουσι, καὶ τοῖσι μή. εἰ γάρ τινας αὐτέων διαλίποιεν σμικρὸν, ταχὺ πάλιν ὑπέστρεφον. ἔστι δὲ οἷσιν ἔκρινεν αὐτέων ὀλίγοισιν οἷσι τὰ βραχύτατα γένοιτο περὶ ὀγδοηκοστὴν ἐοῦσι, καὶ τουτέων ἐνίοις ὑπέστρεφεν, ὥστε κατὰ χειμῶνα τοὺς πλείους αὐτέων ἔτι νοσέειν. τοῖσι δὲ πλείστοισιν, ἀκρίτως ἐξέλιπον. ὁμοίως δὲ ταῦτα συνέπιπτε τοῖσι περιγινομένοισι καὶ τοῖσιν οὔ. πολλῆς δέ τινος γινομένης ἀκρισίης, καὶ ποικίλης ἐκ τῶν νοσημάτων, καὶ μεγίστου μὲν σημείου καὶ κακίστου διὰ τέλεος παρεπομένου, τοῖσι πλείστοισιν, ἀποσίτους εἶναι πάντων γευμάτων, μάλιστα δὲ τουτέων, οἷσι καὶ τἄλλα ὀλεθρίως ἔχοι. διψώδεες οὐ λίην ἀκαίρως ἦσαν ἐπὶ πυρετοῖσι τούτοισι. γινομένων δὲ χρόνων μακρῶν, καὶ πόνων πολλῶν, καὶ κακῆς ξυντήξιος, ἐπὶ τουτέοισιν ἀποστάσιες ἐγένοντο. ἢ μέζους, ὥστε ὑποφέρειν μὴ δύνασθαι. ἢ μείους, ὥστε μηδὲν ὠφελέειν, ἀλλὰ ταχὺ παλινδρομέειν, καὶ ξυνεπείγειν ἐπὶ τὸ κάκιον. ἦν δὲ τουτέοι-

σι τὰ γινόμενα, δυσεντεριώδεα. καὶ τεινεσμοί, καὶ λειεντερίαι. καὶ ῥοώδεες. ἔστι δ' οἷσι καὶ ὕδρωπες. μετὰ τούτων καὶ ἄνευ τούτων ἀσαιῶ, τὰ δὲ παραγενομένοισι τούτων βιαίως, ταχὺ ξυνῆγε, ἢ πάλιν περὶ τὸ μηδὲν ὠφελέειν. ἐξανθήματα μικρά, καὶ οὐκ ἀξίως τῆς περιβολῆς τῶν νοσημάτων, καὶ ταχὺ πάλιν ἀφανιζόμενα. ἢ παρὰ τὰ ὦτα οἰδήματα μὴ λυόμενα καὶ οὐδὲν ἀποσημαίνοντα. ἔστι δ' οἷσι ἐς ἄρθρα, μάλιστα δὲ κατὰ τὸ ἰσχίον, ὀλίγοισι κρισίμως ἀπολιπόντα. καὶ ταχὺ πάλιν ἐπικρατυνόμενα ἐπὶ τὴν ἐξ ἀρχῆς ἕξιν. ἔθνησκον δέ, ἐκ πάντων μέν, πλεῖστοι δὲ ἐκ τουτέων παιδία, ὅσα ἀπὸ γάλακτος ἤδη. καὶ πρεσβύτερα ὀκταετέα καὶ δεκαετέα. καὶ ὅσα πρὸ ἥβης. ἐγίνετο δὲ τούτοισι ταῦτα, οὐκ ἄνευ τῶν πρώτων γεγραμμένων. τὰ δὲ πρῶτα πολλοῖσιν ἄνευ τουτέων. μοῦνον δὲ χρηστὸν καὶ μέγιστον τῶν γινομένων σημείων, καὶ πλείστους ἐρρύσατο τῶν ὄντων ἐπὶ τοῖσι μεγίστοισι κινδύνοισιν, οἷσιν ἐπὶ τὸ στραγγουριῶδες ἐτράπετο. καὶ ἐς τοῦτο ἀποστάσιες ἐγίνοντο. ξυνέπιπτε δὲ καὶ ἐν τοῖσι πλείστοισι τὸ στραγγουριῶδες, τῇσιν ἡλικίῃσι ταύτῃσι γίνεσθαι μάλιστα. ἐγίνετο δὲ καὶ τῶν ἄλλων πολλοῖσιν ὀρθοστάδην, καὶ ἐπὶ τῶν νοσημάτων. ταχὺ δὲ καὶ μεγάλη τις ἡ μεταβολὴ τούτοισι πάντων ἐγίνετο. κοιλίαι τε γὰρ εἰ καὶ τύχοιεν ἐφυγραινόμεναι, κακοήθεα τρόπον ταχὺ ξυνίσταντο. γεύμασί τε πᾶσιν ἡδέως εἶχον. οἵ τε πυρετοὶ πρηέες μετὰ ταῦτα. χρόνια δὲ τουτέοισι τὰ περὶ στραγγουρίην καὶ ἐπίπονα ἦν. οὖρα δὲ τουτέοισιν ἔην πολλά, παχέα, καὶ ποικίλα, καὶ ἐρυθρά, μυξόπυα μετ' ὀδύνης. περιεγένοντο δὲ πάντες οὗτοι. καὶ οὐδένα τουτέων οἶδα ἀποθανόντα, ὁκόσα δὲ ἀκινδύνως. πεπασμοὺς τῶν ἀπιόντων πάντας πάντοθεν ἐπικαίρους, ἢ καλὰς καὶ κρισίμους ἀποστάσιας, σκοπέεσθαι. πεπασμοὶ ταχυτῆτα κρίσιος καὶ ἀσφαλείην ὑγιείην σημαίνουσιν. ὠμὰ δὲ καὶ ἄπεπτα, καὶ ἐς κακὰς ἀποστάσιας τρεπόμενα, ἀκρισίας, ἢ πόνους, ἢ χρόνους, ἢ θανάτους, ἢ τῶν αὐτῶν ὑποστροφάς. ὅτι δὲ τουτέων ἔσται μάλιστα, σκεπτέον ἐξ ἄλλων. λέγειν τὰ προγινόμενα. γινώσκειν τὰ παρεόντα. προλέγειν τὰ ἐσόμενα μελετᾶν ταῦτα. ἀσκεῖν περὶ τὰ νοσήματα, δύο. ὠφελέειν, ἢ μὴ βλάπτειν. ἡ τέχνη διὰ τριῶν. τὸ νόσημα, ὁ νοσέων, καὶ ὁ ἰητρός. ὁ ἰητρός, ὑπηρέτης τῆς τέχνης. ὑπεναντιοῦσθαι τῷ νοσήματι, τὸν νοσεῦντα μετὰ τοῦ ἰητροῦ χρή. τὰ περὶ κεφαλὴν καὶ τράχηλον ἀλγήματα καὶ βαρέα μετ' ὀδύνης, ἄνευ πυρετῶν, καὶ σὺν πυρετοῖσι. φρενιτικοῖσι μὲν σπασμοί. καὶ ἰώδεα ἐπανεμέουσιν, ἔνιοι ταχυθάνατοι τούτων. ἐν καύσοις δὲ καὶ τοῖσιν ἄλλοισι. πυρετοῖσιν οἷσι μὲν τραχήλου πόνος. καὶ κροτάφων βάρος. καὶ σκοτώδεα περὶ τὰς ὄψιας. ἢ καὶ ὑποχονδρίου ξύντασις μετ' ὀδύνης γίνεται, τουτέοισιν αἱμορραγέειν διὰ ῥινῶν. οἷσι δὲ βαρέα μὲν ὅλης τῆς κεφαλῆς, καρδιωγμοὶ δὲ καὶ ἀσώδεες εἰσιν, ἐπανεμέουσι χολώδεα καὶ φλεγματώδεα. τὸ πολὺ δὲ παιδίοισιν. ἐν τουτέοισι γὰρ οἱ σπασμοὶ μάλιστα. γυναιξὶ δὲ καὶ ταῦτα, καὶ ἀπὸ ὑστερέων πόνοι. πρεσβυτέροισι δὲ καὶ ὅσοισιν ἤδη τὸ θερμὸν κρατέεται, παραπληκτικὰ ἢ μανικὰ ἢ στερήσιες ὀφθαλμῶν.

Κατάστασις τρίτη.

Ἐν Θάσῳ, πρὸ ἀρκτούρου ὀλίγον. καὶ ἐπὶ ἀρκτούρου, ὕδατα πολλά, μεγάλα ἐν βορείοισι. περὶ δὲ ἰσημερίην καὶ μέχρι πληϊάδος, νότια ὕσματα ὀλίγα. χειμὼν βόρειος. αὐχμοί. ψύχεα πνεύματα, μεγάλα. χιόνες. περὶ δὲ ἰσημερίην, χειμῶνες μέγιστοι. ἦρ βόρειον. αὐχμοί. ὕσματα ὀλίγα. ψύχεα. περὶ δὲ ἡλίου τροπὰς θερινάς, ὕδατα ὀλίγα. μεγάλα ψύχεα μέχρι κυνός. μετὰ δὲ κύνα, μέχρις ἀρκτούρου θέρος θερμόν. καύματα μεγάλα, οὐκ ἐκ προσαγωγῆς, ἀλλὰ συνεχέα, καὶ βίαια. ὕδωρ οὐκ ἐγένετο. ἐτησίαι ἔπνευσαν περὶ ἀρκτοῦρον. ὕσματα νότια μέχρις ἰσημερίης. ἐν τῇ καταστάσει ταύτῃ, κατὰ χειμῶνα μὲν ἤρξαντο, παραπληγίαι, καὶ πολλοῖσιν ἐγίνοντο. καί τινες αὐτέων ἔθνησκον διὰ ταχέων. καὶ γὰρ ἄλλως τὸ νόσημα ἐπίδημον ἦν. τὰ δ' ἄλλα διετέλεον ἄνοσοι. πρωῒ δὲ τοῦ ἦρος, ἤρξαντο καῦσοι καὶ διετέλεον μέχρις ἰσημερίης, καὶ πρὸς τὸ θέρος. ὅσοι μὲν οὖν ἦρος καὶ θέρεος ἀρξαμένου αὐτίκα νοσέειν ἤρξαντο, οἱ πλεῖστοι διεσώζοντο. ὀλίγοι δέ τινες ἔθνησκον. ἤδη δὲ τοῦ φθινοπώρου καὶ τῶν ὑσμάτων γενομένων θανατώδεες ἦσαν, καὶ πλείους ἀπώλλυντο. ἦν δὲ τὰ παθήματα τῶν καύσων, οἷσι μὲν καλῶς, καὶ δαψιλέως ἐκ ῥινῶν αἱμορραγῆσαι, διὰ τούτου μάλιστα σώζεσθαι. καὶ οὐδένα οἶδα εἰ καλῶς αἱμορραγήσαιεν ἐν τῇ καταστάσει ταύτῃ ἀποθανόντα. Φιλίσκῳ γὰρ καὶ Ἐπαμίνωνι, καὶ Σιληνῷ τεταρταίῳ καὶ πεμπταίῳ σμικρὸν ἀπὸ ῥινῶν ἔσταξεν, καὶ ἀπέθανον. οἱ μὲν οὖν πλεῖστοι τῶν νοσησάντων, περὶ κρίσιν, ἐπερρίγεον, καὶ μάλιστα οἷσι μὴ αἱμορραγῆσαι. ἐπερρίγεον δὲ καὶ οὗτοι καὶ ἐφίδρουν. ἔστι δ' οἷσιν ἴκτεροι ἑκταίοισι, ἀλλὰ τούτοισιν ἡ κατὰ κύστιν κάθαρσις. ἢ κοιλίη ἐκτα-

ραχθεῖσα

ραχθεῖσα ὠφελῆσαι ἐν. ἢ διαψιλὴς αἱμορραγίη, οἷον Ἡρακλείδης, ὃς κατέκειτο παρὰ ἀριστοκύδη. καίτοι τούτῳ καὶ ἐκ ῥινῶν αἱμορράγησε, καὶ ἡ κοιλίη ἐπεταράχθη, καὶ τὰ κατὰ κύστιν ἐκαθήρατο. ἐκρίθη εἰκοσταῖος. οὐχ οἷον ὁ Φαναγόρεω οἰκέτης, ᾧ οὐδὲν τουτέων ἐγένετο, ἀπέθανεν. αἱμορραγίαι δὲ τοῖσι πλείστοισι. μάλιστα δὲ μειρακίοισι, καὶ ἀκμάζουσι. καὶ ἔθνησκον πλεῖστοι τουτέων, οἷσι μὴ αἱμορραγῆσαι ἐγένετο. πρεσβυτέροισι δὲ ἐν ἰκτέρους, ἢ κοιλίαι ταραχώδεες ἢ δυσεντεριώδεες, οἷον Βίωνι, τῷ παρὰ Σιληνὸν κατακειμένῳ. ἐπεδήμησαν δὲ καὶ δυσεντερίαι, κατὰ θέρος. καὶ τισὶ καὶ τῶν διανοσησάντων οἷσι καὶ αἱμορραγίαι ἐγένοντο, ἐν δυσεντεριώδεα ἐτελεύτησεν, οἷον τοῦ Ἐράτωνος τῷ παιδὶ καὶ Μύλλῳ, πολλῆς αἱμορραγίης γενομένης, ἐν δυσεντεριώδεα κατάστασιν περιεγένοντο. πολλοῖς μὲν οὖν μάλιστα ὁ χυμὸς οὗτος ἐπεπόλασεν, ἐπεὶ καὶ οἷσι περὶ κρίσιν οὐκ ἡμορράγησεν, ἀλλὰ παρὰ τὰ ὦτα ἐπαναστάντα ἠφανίσθη. τούτων δὲ ἀφανισθέντων παρὰ τὸν κενεῶνα βάρος τὸν ἀριστερὸν, καὶ ἐν ἄκρον ἰσχίον. ἀλγήματος δὲ μετὰ κρίσιν γενομένου, καὶ οὔρων λεπτῶν διεξιόντων, αἱμορραγέειν σμικρὰ ἤρξαντο. περὶ δὲ εἰκοστὴν τετάρτην, ἐγένοντο ἐν αἱμορραγίην ἀποστάσιες, Ἀντιφῶντι τῷ Κριτοβούλου. ἐπεπαύσατο καὶ ἐκρίθη τελέως περὶ τεσσαρακοστήν. γυναῖκες δὲ ἐνόσησαν μὲν πολλαί. ἐλάσσους δὲ ἢ ἄνδρες. καὶ ἔθνησκον ἧσσους. ἐδυστόκεον δὲ πλεῖσται. καὶ μετὰ τοὺς τόκους ἐπενόσεον. καὶ ἔθνησκον αὗται μάλιστα, οἷον Τελεβούλου θυγάτηρ, ἀπέθανεν ἑκταίη τόκου. τῇσι μὲν οὖν πλείστῃσιν ἐν τοῖσιν πυρετοῖσιν γυναικεῖα ἐπεφαίνετο. ἔστι δὲ ᾗσιν ἐκ ῥινῶν ἡμορράγησεν. καὶ παρθένοισι πολλῇσι τότε πρῶτον ἐγένετο. ἔστι δ' ᾗσι καὶ ἐκ ῥινῶν. καὶ τὰ γυναικεῖα τισὶν ἐπεφαίνετο, οἷον τῇ Δαιθαρσέως θυγατρὶ, παρθένῳ ἐπεφάνη τότε πρῶτον, καὶ ἐκ ῥινῶν λαῦρον ἐρρύη. καὶ οὐδεμίην οἶδα ἀποθανοῦσαν, ᾗσι τούτων τι καλῶς γένοιτο. ᾗσι δὲ συνεκύρησεν ἐν γαστρὶ ἐχούσῃσι νοσῆσαι, πᾶσαι ἀπέφθειραν, ἃς καὶ ἐγὼ οἶδα. οὖρα δὲ τοῖσι πλείστοισι εὔχροα μὲν, λεπτὰ δὲ, καὶ ὑποστάσιας ὀλίγας ἔχοντα διαχωρήμασι λεπτοῖσι καὶ χολώδεσι. πολλοῖσι δὲ τῶν ἄλλων κεκριμένων ἐς δυσεντερίας ἐτελεύτα, οἷον Ξενοφάνει καὶ Κριτίᾳ, οὖρα ὑδατώδεα πολλὰ, καθαρὰ καὶ λεπτά. καὶ μετὰ κρίσιν, καὶ ὑποστάσιος καλῆς γινομένης, καὶ τῶν ἄλλων καλῶς κεκριμένων, ἀναμνήσομαι οἷσιν ἐγένετο. Βίωνι ὃς κατέκειτο παρὰ Σιληνόν. Κρατίῃ τῇ παρὰ Ξενοφάνους. Ἀρέτωνος παιδί. Μνησιστράτου γυναικί. μετὰ δὲ ταῦτα δυσεντεριώδεες ἐγένοντο οὗτοι πάντες. ἆρά γε ὅτι οὔρησαν ὑδατώδεα, σκεπτέον. περὶ δὲ ἀρκτοῦρον, ἐνδεκαταίοισι πολλοῖσιν ἔκρινε, καὶ τουτέοισιν οὐθ' αἱ κατὰ λόγον γενόμεναι ὑποστροφαὶ ὑπέστρεφον, ἦσαν δὲ κωματώδεες περὶ τὸν χρόνον τοῦτον. πλείω δὲ παιδία, καὶ ἔθνησκον ἥκιστα οὗτοι πάντων. περὶ δὲ ἰσημερίην καὶ μέχρι πλειάδος καὶ ὑπὸ χειμῶνα, παρείποντο μὲν οἱ καῦσοι. ἀτὰρ καὶ φρενιτικοὶ πλεῖστοι τηνικαῦτα ἐγένοντο. καὶ ἔθνησκον τούτων οἱ πλεῖστοι. ἐγένοντο δὲ καὶ κατὰ θέρος ὀλίγοι. τοῖσι μὲν οὖν καυσώδεσιν ἀρχομένοισιν ἐπεσήμαινεν, οἷσι τὰ ὀλέθρια ξυνέπιπτεν. αὐτίκα γὰρ ἀρχομένοισι, πυρετὸς ὀξύς. ἐπερρίγουν σμικρά. ἄγρυπνοι. διψώδεες. ἀσώδεες. σμικρὰ ἐφίδρουν, περὶ τὸ μέτωπον καὶ κληΐδας, οὐδεὶς δι' ὅλου. πολλὰ παρέλεγον. φόβοι. δυσθυμίαι. ἄκρεα ὑπόψυχρα. πόδες ἄκροι. μάλιστα δὲ καὶ τὰ περὶ χεῖρας. οἱ παροξυσμοὶ ἐν ἀρτίῃσι. τοῖσι δὲ πλείστοισι τεταρταίοισιν, οἱ πόνοι μέγιστοι. καὶ ἱδρὼς ἐπὶ πλεῖστον ὑπόψυχρος. καὶ ἄκρεα οὐκ ἔτι ἐθερμαίνοντο, ἀλλ' ἦσαν πελιδνὰ καὶ ψυχρά. καὶ οὐ δ' ἐδίψων ἐπὶ τουτοῖσιν. οὖρα τούτοις μέλανα. ὀλίγα. λεπτά. καὶ κοιλίαι ἐφίσταντο. οὐδ' ἡμορράγησαν ἐκ ῥινῶν, οὐδενὶ οἷσι ταῦτα ξυμπίπτοι, ἀλλὰ σμικρὰ ἔσταξεν. οὐ δὲ ἐν ὑποστροφὴν οὐδενὶ τούτων ἦλθεν, ἀλλ' ἑκταῖοι ἀπέθνησκον ξὺν ἱδρῶτι. τοῖσι δὲ φρενιτικοῖσι, ξυνέπιπτε μὲν, καὶ τὰ ὑπογεγραμμένα πάντα. ἐκρίνετο δὲ τουτέοισιν, ὡς ἐπὶ τὸ πουλὺ ἑνδεκαταίοισιν. ἔστι δ' οἷσι καὶ εἰκοσταίοισι. οἷσιν εὐθὺς οὐκ ἐξ ἀρχῆς ἡ φρενῖτις ἤρξατο περὶ τρίτην ἢ τετάρτην ἡμέραν, ἀλλὰ μετρίως ἔχουσιν ἐν τῷ πρώτῳ χρόνῳ, περὶ τὴν ἑβδόμην ἐς ὀξύτητα τὸ νόσημα μετέπεσεν. πλῆθος μὲν οὖν τῶν νοσημάτων ἐγένετο. ἐκ δὲ τῶν καμνόντων ἀπέθνησκον μάλιστα μειράκια. νέοι ἀκμάζοντες. λεῖοι. ὑπολευκόχρωτες. ἰθύτριχες. μελανότριχες. μελανόφθαλμοι. οἱ εἰκῆ καὶ ἐπὶ τὸ ῥάθυμον βεβιωκότες. ὑψόφωνοι. ἰσχνόφωνοι, τρηχύφωνοι, τραυλοί. ὀργίλοι. γυναῖκες δὲ πλεῖσται ἐκ τουτέου τοῦ εἴδεος ἀπέθνησκον. ἐν δὲ τῇ καταστάσει ταύτῃ ἐπὶ σημείων μάλιστα τεσσάρων διεσώζοντο. οἷσι γὰρ ἦν ἢ διὰ ῥινῶν αἱμορραγῆσαι, ἢ κατὰ κύστιν οὖρα πολλὰ, καὶ πολλὴν ὑπόστασιν καὶ καλὴν ἔχοντα ἐλθεῖν, ἢ κατὰ κοιλίην ταραχώδεα, χολώδεα ἐπικαίρως. ἢ δυσεντερικοὶ γενοίατο.

πολλοῖσι δὲ ξυνέπιπτε μὴ ἐφ᾽ ἑνὸς κρίνεσθαι τῶν ὑπογεγραμμένων σημείων, ἀλλὰ διεξιέναι διὰ πάντων τοῖσι πλείστοισι. καὶ δοκέειν μὲν ἔχειν ὀχληροτέρως, διεσώζοντο δὲ πάντες, οἷσι ταῦτα ξυνεμπίπτοι. γυναιξὶ δὲ καὶ παρθένοισι, ξυνέπιπτε μὲν καὶ τὰ ὑπογεγραμμένα σημεῖα πάντα. ἧσι δὲ ἢ τούτων τι καλῶς γένοιτο, ἢ τὰ γυναικεῖα δαψιλῶς ἐπιφανείη, διὰ τουτέων ἐσώζοντο. καὶ ἔκρινε. καὶ οὐδεμίαν οἶδα ἀπολομένην, ᾗσι τούτων τι καλῶς γένοιτο. Φίλωνος γὰρ τῇ θυγατρὶ ἐκ ῥινῶν λάβρον ἐῤῥύη, ἑβδομαίη δὲ οὖσα ἐδείπνησεν ἀκαιροτέρως, ἀπέθανεν. οἷσιν ἐν πυρετοῖσιν ὀξέσι μᾶλλον καυσώδεσιν, ἀκούσια δάκρυα παραῤῥεῖ, τούτοισιν ἀπὸ ῥινῶν αἱμοῤῥαγίην προσδέχεσθαι, ἢν καὶ τ᾽ ἄλλα μὴ ὀλεθρίως ἔχωσιν. ἐπεὶ τοῖς γε φλαύρως ἔχουσιν, οὐχ αἱμοῤῥαγίην, ἀλλὰ θάνατον σημαίνει τὰ παρὰ τὰ ὦτα ἐν πυρέττουσιν ἐπαιρόμενα μετ᾽ ὀδύνης. ὅσοισιν οἷσιν ἐκλείποντος τοῦ πυρετοῦ κρισίμως οὔτε καθίστατο, οὔτε ἐξεπύει, τουτέοισι διάῤῥοιαι χολώδεες. ἢ δυσεντερίη. ἢ παχέων οὔρων ὑπόστασις γενομένη λύει, οἷον Ἑρμίππῳ τῷ Κλαζομενίῳ. τὰ δὲ περὶ τὰς κρίσιας ἐξ ὧν καὶ διαγινώσκομεν ἢ ὅμοια ἢ ἀνόμοια, οἷον οἱ δύο ἀδελφεοὶ, ἤρξαντο ὁμοῦ τὴν αὐτὴν ὥρην. κατέκειντο παρὰ τὸ θέατρον Ἐπιγένεος ἀδελφεοὶ, τουτέων τῷ πρεσβυτέρῳ, ἔκρινεν ἕκτῃ. τῷ δὲ νεωτέρῳ, ἑβδόμῃ. ὑπέστρεψεν ἀμφοτέροισιν ὁμοῦ τὴν αὐτὴν ὥρην. καὶ διέλιπεν ἡμέρας πέντε. ἐκ δὲ τῆς ὑποστροφῆς, ἐκρίθη ἀμφοτέροισιν ὁμοῦ τὸ ξύμπαν ἑπτακαιδεκαταίοισιν. ἔκρινε δὲ τοῖσι πλείστοισι πέμπτῃ. διέλειπεν ἑβδόμῃ. ἐκ δὲ τῶν ὑποστροφέων, ἔκρινε πεμπταίοισιν. οἷσι δὲ ἔκρινεν ἑβδομαίοισι, διέλειπεν ἑβδόμῃ. ἐκ δὲ τῆς ὑποστροφῆς, ἔκρινε τρίτῃ. οἷσι δὲ ἔκρινεν ἑβδομαίοισι, διαλιπόντας τὴν τρίτην ἔκρινεν ἑβδόμῃ. οἷσι δὲ ἔκρινεν ἑκταίοισι, διαλιπόντας ἕκτην ἐλάμβανε τρίτῃ. οἷσι δ᾽ ἔλιπε πρώτῃ, ἐλάμβανε καὶ ἔκρινε πρώτῃ, οἷον Εὐαγόρῃ τῷ Δαιθάρσεος. οἷσι δὲ ἔκρινεν ϛ. διέλιπεν ζ. ἐκ δὲ τῆς ὑποστροφῆς, ἔκρινε τετάρτῃ. οἷον τῇ Ἀγλαΐδου θυγατρί. οἱ μὲν οὖν πλεῖστοι τῶν νοσησάντων, ἐν τῇ καταστάσει ταύτῃ, τούτῳ τῷ τρόπῳ διενόσησαν. καὶ οὐδένα οἶδα τῶν περιγενομένων ὅν τινα οὐχ ὑπέστρεψαν, κατὰ λόγον αἱ ὑποστροφαὶ γενόμεναι. καὶ διεσώζοντο πάντες οὓς ἐγὼ οἶδα, οἷσιν αἱ ὑποστροφαὶ διὰ τοῦ εἴδεος τούτου γενοίατο. οὐδὲ τῶν διανοσησάντων διὰ τούτου τοῦ τρόπου οὐδενὶ οἶδα ὑποστροφὴν γενομένην πάλιν. ἔθνησκον δὲ ἐν τοῖσι νουσήμασιν τούτοισιν οἱ πλεῖστοι, ἑκταῖοι. οἷον Ἐπαμινώνδας, καὶ Σιληνὸς, καὶ Φιλίσκος ὁ Ἀνταγόρεω. οἷσι δὲ τὰ παρὰ τὰ ὦτα γενοίατο, ἔκρινε μὲν εἰκοσταίοισι. κατέσβη δὲ πᾶσι, καὶ οὐκ ἐξεπύησεν, ἀλλ᾽ ἐπὶ κύστιν ἐτράπετο. Κρατιστώνακτι ὃς παρὰ Ἡρακλεῖ ᾤκει, καὶ Σκύμνου τοῦ γναφέως θεραπαίνῃ, ἐξεπύησεν. ἀπέθανον. οἷσι δ᾽ ἔκρινεν ἑβδομαίοισι, διέλιπεν. ἐνάτῃ ὑπέστρεφεν. ἔκρινεν ἐκ τῆς ὑποστροφῆς. ἔκρινεν ἑβδόμῃ Φανοκλείτῳ, ὃς κατέκειτο παρὰ Γνάθωνι τῷ γραφεῖ. ὑπὸ δὲ χειμῶνα περὶ ἡλίου τροπὰς χειμερινὰς καὶ μέχρις ἰσημερίης, παρέμενον μὲν καὶ οἱ καῦσοι. καὶ τὰ φρενιτικὰ καὶ ἔθνησκον πολλοί. αἱ μέντοι κρίσιες, μετέπεσον. καὶ ἔκρινε τοῖσι πλείστοισιν ἐξ ἀρχῆς πεμπταίοισι. διέλιπε τεταρταίοισι, ὑπέστρεφον. ἐκ δὲ τῆς ὑποστροφῆς, ἔκρινε πεμπταίοισι. τὸ δὲ ξύμπαν τεσσαρεσκαιδεκαταίοισι. ἔκρινε δὲ παιδίοισιν οὕτω τοῖσι πλείστοισιν, ἀτὰρ καὶ πρεσβυτέροισιν. ἔστι δ᾽ οἷσιν ἔκρινεν ἑνδεκαταίοισι, ὑπέστρεφε τεσσαρεσκαιδεκάτῃ. ἔκρινε τελέως εἰκοστῇ. εἰ δέ τινες ἐπεῤῥίγουν περὶ τὴν εἰκοστὴν, τουτέοισιν ἔκρινε τεσσαρακοστῇ. ἐπεῤῥίγουν δ᾽ οἱ πλεῖστοι περὶ κρίσιν τὴν ἐξ ἀρχῆς. οἱ δ᾽ ἐπιῤῥιγώσαντες ἐξ ἀρχῆς περὶ κρίσιν, καὶ ἐν τῇσιν ὑποστροφῇσιν ἅμα κρίσει. ἐπεῤῥίγουν δ᾽ ἐλάχιστοι μὲν τοῦ ἦρος, θέρεος πλείους. φθινοπώρου, ἔτι πλείους, ὑπὸ δὲ χειμῶνα πολὺ πλεῖστοι. αἱ δ᾽ αἱμοῤῥαγίαι ὑπέληγον.

Τμῆμα τρίτον.

Τὰ δὲ περὶ τὰ νουσήματα ἐξ ὧν διεγινώσκομεν μαθόντες ἐκ τῆς κοινῆς φύσιος ἁπάντων, καὶ τῆς ἰδίης ἑκάστου, ἐκ τοῦ νουσήματος, ἐκ τοῦ νοσέοντος, ἐκ τῶν προσφερομένων, ἐκ τοῦ προσφέροντος. ἐπὶ τὸ ῥᾷον γὰρ καὶ χαλεπώτερον, ἐκ τούτων. ἐκ τῆς καταστάσιος ὅλης. καὶ κατὰ μέρεα τῶν οὐρανίων καὶ χώρης ἑκάστης. ἐκ τοῦ ἔθεος, ἐκ τῆς διαίτης. ἐκ τῶν ἐπιτηδευμάτων. ἐκ τῆς ἡλικίης ἑκάστου. λόγοισι. τρόποισι. σιγῇ. διανοήμασι. ὕπνοισιν. οὐχ ὕπνοισιν. ἐνυπνίοισι τισι. καὶ ὅτε τιλμοῖσι. κνησμοῖσι. δακρύοισιν. ἐκ τῶν παροξυσμῶν. διαχωρήμασιν. οὔροισι. πτυάλοισιν. ἐμέτοισι. καὶ ὅσαι ἐξ οἵων ἐς οἷα διαδοχαὶ νοσημάτων, καὶ ἀποστάσιες ἐπὶ τὸ ὀλέθριον καὶ κρίσιμον. ἱδρώς. ψύξις. ῥῖγος. βήξ. πταρμοί. λυγμοί. πνεύματα. ἐρεύξιες. φῦσαι, σιγώδεες.

ψοφώδεες

ψωφώδεες. αἱμοῤῥαγίαι. αἱμοῤῥοΐδες. ἐκ τούτων καὶ ὅσα διὰ τούτων σκεπτέον. πυρετοί. οἱ μὲν ξυνεχέες. οἱ δὲ ἡμέρην ἔχουσι, νύκτα διαλείπουσι. νύκτα ἔχουσιν, ἡμέραν διαλείπουσιν. ἡμιτριταῖοι. τριταῖοι. τεταρταῖοι. πεμπταῖοι. ἑβδομαῖοι. ἐναταῖοι. εἰσὶ δὲ ὀξύταται μὲν καὶ μέγισται καὶ χαλεπώταται νοῦσοι, καὶ θανατωδέσταται, ἐν τῷ ξυνεχεῖ πυρετῷ. ἀσφαλέστατος δὲ πάντων, καὶ ῥήϊστος καὶ μακρότατος ὁ τεταρταῖος. οὐ γὰρ μόνον αὐτὸς ἀφ᾽ ἑωυτοῦ τοιοῦτός ἐστιν, ἀλλὰ καὶ νοσημάτων μεγάλων ἄλλων ῥύεται. ἐν δὲ τῷ ἡμιτριταίῳ καλεομένῳ, ξυμπίπτει μὲν καὶ ὀξέα νοσήματα γίνεσθαι. καὶ ἔστι τῶν λοιπῶν οὗτος θανατωδέστατος. ἀτὰρ καὶ φθινώδεες, καὶ ὅσοι ἄλλα μακρότερα νοσήματα νοσέουσιν, ἐπὶ τούτῳ μάλιστα νοσέουσι. νυκτερινὸς, οὐ λίην θανατώδης. μακρὸς δέ. ἡμερινὸς μακρότερος. ἔστι δ᾽ οἷσι ῥέπει καὶ ἐπὶ τὸ φθινῶδες. ἑβδομαῖος, μακρὸς, οὐ θανατώδης. ἐναταῖος μακρότερος καὶ οὐ θανατώδης. τριταῖος ἀκριβὴς, ταχυκρίσιμος καὶ οὐ θανατώδης. ὁ δέ γε πεμπταῖος, πάντων μὲν κάκιστος. καὶ γὰρ πρὸ φθίσιος, καὶ ἤδη φθινόυσιν ἐπιγινόμενος, κτείνει. εἰσὶ δὲ τρόποι καὶ καταστάσιες, καὶ παροξυσμοὶ τουτέων ἑκάστου τῶν πυρετῶν, ὁμοίως ξυνεχέων διαλιπόντων. αὐτίκα γὰρ ξυνεχὴς ἔστιν οἷσιν ἀρχόμενος ἀνθεῖ καὶ ἀκμάζει μάλιστα, καὶ ἀνάγει ἐπὶ τὸ χαλεπώτερον. περὶ δὲ κρίσιν καὶ ἅμα κρίσει, ἀπολεπτύνεται. ἔστι δ᾽ οἷσιν ἄρχεται μαλακῶς, καὶ ὑποβρύχιος. ἐπαναδιδοῖ δὲ καὶ παροξύνεται καθ᾽ ἡμέρην ἑκάστην. περὶ δὲ κρίσιν καὶ ἅμα κρίσει, ἅλις ἐξέλαμψεν. ἔστιν οἷσιν ἀρχόμενος πρηέως ἐπιδιδοῖ καὶ παροξύνεται, καὶ μέχρι τινὸς ἀκμάσας, πάλιν ὑφίησιν μέχρι κρίσιος καὶ περὶ κρίσιν. ξυμπίπτει δὲ ταῦτα γίνεσθαι ἐπὶ παντὸς πυρετοῦ, καὶ παντὸς νουσήματος. δεῖ δὲ τὰ διαιτήματα σκοπεύμενον ἐκ τούτων προσφέρειν. πολλὰ δὲ καὶ ἄλλα ἐπίκαιρα σημεῖα τούτοισίν ἐστιν ἀδελφισμένα, περὶ ὧν τὰ μέν που γέγραπται, τὰ δὲ γεγράψεται. πρὸς ἃ δεῖ διαλογιζόμενον, δοκιμάζειν καὶ σκέπτεσθαι τίνι τουτέων ὀξὺ καὶ θανατῶδες, ἢ περιεστικόν. καὶ τίνι προσακτέον, ἢ οὔ. καὶ πότε. καὶ πόσον. καὶ τί τὸ προσφερόμενον ἔσται. τὰ δὲ παροξυνόμενα ἐν ἀρτίῃ, κρίνεται ἐν ἀρτίῃσιν. ὧν δὲ οἱ παροξυσμοὶ ἐν περισσῇσι, κρίνεται ἐν περισσῇσιν. ἔστι δὲ πρώτη κρίσιμος τῶν περιόδων, ἐν τῇσιν ἀρτίῃσι κρινόντων, δ΄. ϛ΄. η̄. ῑ. ιδ̄. κη̄. λ̄. μη̄. ξ̄. π̄. ρ̄. τῶν δὲ ἐν τῇσι περισσῇσι κρινόντων περιόδων, ᾱ. γ̄. ε̄. ζ̄. θ̄. ιᾱ. ιζ̄. κᾱ. κζ̄. λᾱ. εἰδέναι δὲ χρὴ, ὅ, τι ἢν ἄλλως κριθῇ ἔξω τῶν ὑπογεγραμμένων, ἐσομένας ὑποστροφὰς σημαίνοι, καὶ γένοιτο ἂν ὀλέθρια. δεῖ δὲ προσέχειν τὸν νοῦν, καὶ εἰδέναι ἐν τοῖσι χρόνοισι τούτοισι, τὰς κρίσιας ἐσομένας ἐπὶ σωτηρίῃ, ἢ ὀλέθριον, ἢ ῥοπὰς ἐπὶ τὸ ἄμεινον, ἢ τὸ χεῖρον. πλανῆτες δὲ πυρετοί. καὶ τεταρταῖοι, καὶ πεμπταῖοι, καὶ ἑβδομαῖοι, καὶ ἐναταῖοι, ἐν ᾗσι περιόδοισι κρίνονται, σκεπτέον.

Ἄῤῥωστοι τέσσαρες καὶ δέκα. πρῶτος.

Φιλίσκος ᾤκει παρὰ τὸ τεῖχος. κατεκλίθη τῇ πρώτῃ. πυρετὸς ὀξύς. ἵδρωσεν ἐν νυκτί. ἐπιπόνως δευτέρῃ, πάντα παρωξύνθη. ὀψὲ δὲ ἀπὸ κλυσματίου καλῶς διῆλθε, νύκτα δι᾽ ἡσυχίης. τρίτῃ πρωῒ, καὶ μέχρι μέσου ἡμέρης, ἔδοξε γενέσθαι ἀπύρετος. πρὸς δείλην δὲ πυρετὸς ὀξὺς, μετὰ ἱδρῶτος. διψώδης. γλῶσσα δὲ ἐπεξηραίνετο. μέλανα οὔρησεν. νύκτα δυσφόρως. οὐκ ἐκοιμήθη. πάντα παρέκρουσε. τετάρτῃ, πάντα παρωξύνθη. οὖρα μέλανα. νύκτα εὐφορωτέρην. οὖρα εὐχρούστερα. πέμπτῃ, περὶ μέσον ἡμέρας, μικρὸν ἀπὸ ῥινῶν ἔσταξεν ἄκρητον. οὖρα δὲ ποικίλα ἔχοντα ἐναιωρήματα, στρογγύλα, γονοειδέα, διεσπαρμένα. οὐχ ἵδρυτο. προσθεμένῳ δὲ βάλανον, φυσώδεα σμικρὰ διῆλθε. νύκτα ἐπιπόνως. ὕπνοι σμικροί. λόγοι. λῆρος. ἄκρεα πάντοθεν ψυχρὰ, καὶ οὐκέτι ἐπαναθερμαινόμενα. οὔρησε μέλανα. ἐκοιμήθη σμικρὰ πρὸς ἡμέρην. ἄφωνος. ἵδρωσε ψυχρόν. ἄκρεα πελιδνά. περὶ δὲ μέσον ἡμέρης, ἑκταῖος ἀπέθανε. τουτέῳ πνεῦμα διὰ τέλεος, ὥσπερ ἀνακαλουμένῳ, ἀραιὸν μέγα. σπλὴν ἐπήρθη περιφερεῖ κυρτώματι. ἱδρῶτες ψυχροὶ διὰ τέλεος. οἱ παροξυσμοὶ ἐν ἀρτίῃσιν.

Ἄῤῥωστος δεύτερος.

Σιληνὸς ᾤκει ἐπὶ τοῦ Πλαταμῶνος πλησίον, τῶν Εὐαλκίδου, ἐκ κόπων, καὶ ποτῶν, καὶ γυμνασίων ἀκαίρων, πῦρ ἔλαβε. ἤρξατο δὲ πονέειν. καὶ ὀσφῦν. καὶ κεφαλὴν εἶχε βάρος. καὶ τραχήλου ἦν ξύντασις. ἀπὸ δὲ κοιλίης τῇ πρώτῃ, χολώδεα. ἄκρητα. ἔπαφρα. κατακορέα. πολλὰ διῆλθεν. οὖρα μέλανα. μέλαιναν τὴν ὑπόστασιν ἔχοντα. διψώδης. γλῶσσα ἐπίξηρος. νυκτὸς οὐδὲν ἐκοιμήθη. δευτέρῃ, πυρετὸς ὀξύς. διαχωρήματα πλείω. λεπτότερα. ἔπαφρα. οὖρα μέλανα.

νύκτα δυσφόρως. μικρὰ παρέκρουσε. τρίτη πάντα παρωξύνθη. ὑποχονδρίου ξύντασις ἐξ ἀμφοῖν παραμήκης, πρὸς ὀμφαλὸν ὑπολάπαρος. διαχωρήματα λεπτά. ὑπομέλανα. οὖρα θολερά. ὑπομέλανα. νυκτὸς οὐδὲν ἐκοιμήθη. λόγοι πολλοί. γέλως. ᾠδή. κατέχειν οὐκ ἠδύνατο. τετάρτη διὰ τῶν αὐτῶν. πέμπτη, διαχωρήματα ἄκρητα. χολώδεα. λεῖα. λιπαρά. οὖρα λεπτά. διαφανέα. σμικρὰ κατενόει. ἕκτη, περὶ κεφαλὴν σμικρὰ ἐφίδρωσεν. ἄκρεα. ψυχρά. πελιδνά. πολὺς βληστρισμός. ἀπὸ κοιλίης οὐδὲν διῆλθεν. οὖρα ἐπέστη. πυρετὸς ὀξύς. ἑβδόμη ἄφωνος. ἄκρεα οὐκ ἔτι ἀνεθερμαίνετο. οὔρησεν οὐδέν. ὀγδόη, ἵδρωσε δι' ὅλου ψυχρόν. ἐξανθήματα μετὰ ἱδρῶτος ἐρυθρά. στρογγύλα. σμικρά, οἷον ἴονθοι παρέμενεν. οὐκ ἀφίστατο. ἀπὸ δὲ κοιλίης ἐρεθισμῷ σμικρῷ κόπρανα λεπτὰ οἷα ἄπεπτα, πολλὰ διῄει μετὰ πόνου. οὔρει μετὰ ὀδύνης δακνώδεα. ἄκρεα σμικρὰ ἀνεθερμαίνετο. ὕπνοι λεπτοί. κωματώδεες. ἄφωνος. οὖρα λεπτὰ διαφανέα. ἐνάτη διὰ τῶν αὐτῶν. δεκάτη, ποτὰ οὐκ ἐδέχετο. κωματώδης. οἱ δὲ ὕπνοι λεπτοί. ἀπὸ δὲ κοιλίης ὅμοια. οὔρησεν ἀθρόον ὑπόπαχυ κειμένου. ὑπόστασις κριμνώδης, λευκή. ἄκρεα πάλιν ψυχρά. ἑνδεκάτη, ἀπέθανεν. ἐξ ἀρχῆς τούτῳ καὶ διὰ τέλεος, πνεῦμα μέγα ἀραιόν. ὑποχονδρίου παλμὸς ξυνεχής. ἡλικίη, ὡς περὶ ἔτεα εἴκοσι.

Ἄῤῥωστος τρίτος.

Ἡροφῶντι πυρετὸς ὀξύς. ἀπὸ κοιλίης ὀλίγα. τεινεσμώδεα κατ' ἀρχάς. μετὰ δὲ ταῦτα λεπτὰ διῄει χολώδεα, ὑπόσυχνα. ὕπνοι οὐκ ἐνῆσαν. οὖρα μέλανα λεπτά. πέμπτῃ πρωΐ, κώφωσις. παρωξύνθη πάντα. σπλὴν ἐπήρθη. ὑποχονδρίου ξύντασις. ἀπὸ κοιλίης ὀλίγα, μέλανα διῆλθε. παρεφρόνησεν. ἕκτη, ἐλήρει τὴν νύκτα, ἱδρώς. ψύξις. λῆρος παρέμενεν. ἑβδόμη, περιέψυκτο. διψώδης. παρέκρουσε νύκτα. κατενόει. κατεκοιμήθη. ὀγδόη ἐπύρεσσε. σπλὴν ἐμειοῦτο. κατενόει πάντα. ἤλγησεν κατὰ βουβῶνα. ἔπαρμα τὸ πρῶτον σπληνὸς κατ' ἴξιν. ἔπειτα ἐπόνει τὰς ἀμφοτέρας κνήμας. νύκτα εὐφόρως. οὖρα εὐχρούστερα. ὑπόστασιν εἶχε σμικρήν. ἐνάτη ἵδρωσεν. ἐκρίθη. διέλιπεν. πέμπτη ὑπέστρεψεν. αὐτίκα δὲ σπλὴν ἐπήρθη. πυρετὸς ὀξύς. κώφωσις πάλιν. μετὰ δὲ τὴν ὑποστροφήν, τρίτῃ σπλὴν ἐμειοῦτο. κώφωσις ἧσσον. σκέλεα ἐπωδύνως. νύκτα ἵδρωσεν. ἐκρίθη ἑπτακαιδεκάτῃ. οὐ δὲ παρέκρουσεν ἐν τῇ ὑποστροφῇ.

Ἄῤῥωστος τέταρτος.

Ἐν Θάσῳ Φιλίνου γυναῖκα, θυγατέρα τεκοῦσαν, κατὰ φύσιν καθάρσεως γινομένης, καὶ τἄλλα κούφως διάγουσαν, τεσσαρεσκαιδεκάτην ἐοῦσαν μετὰ τὸν τόκον, πῦρ ἔλαβε μετὰ ῥίγεος. ἤλγει δὲ ἀρχομένη καρδίην. καὶ περὶ ὑποχόνδριον δεξιόν. γυναικείων πόνοι. κάθαρσις ἐπαύσατο. προστιθεμένη δὲ ταῦτα μὲν ἐκουφίσθη. κεφαλῆς δὲ καὶ τραχήλου καὶ ὀσφύος πόνοι παρέμενον. ὕπνοι οὐκ ἐνῆσαν. ἄκρεα ψυχρά. διψώδης. κοιλίη ξυνεκαύθη. σμικρὰ διῄει. οὖρα λεπτά. ἄχροα κατ' ἀρχάς. ἑκταίη τὴν νύκτα παρέκρουσε πολλά. καὶ πάλιν κατενόει. ἑβδόμη διψώδης. διαχωρήματα χολώδεα, κατακορέα. ὀγδόη ἐπεῤῥίγωσε. πυρετὸς ὀξύς. σπασμοὶ πολλοί, μετὰ πόνου. πολλὰ παρέλεγεν. ἐξανίστατο βάλανον προστιθεμένη. πολλὰ διῆλθε μετὰ περιῤῥόου χολώδεος. ὕπνοι οὐκ ἐνῆσαν. ἐνάτη, σπασμοί. δεκάτη, σμικρὰ κατενόει. ἑνδεκάτη, ἐκοιμήθη. πάντων ἀνεμνήσθη. ταχὺ δὲ πάλιν παρέκρουσεν. οὔρει δὲ μετὰ σπασμῶν, ἀθρόον πουλύ. ὀλιγάκις ἀναμιμνησκόντων παχὺ λευκόν. οἷον γίνεται ἐκ τῶν καθισταμένων ὅταν ἀναταραχθῇ κείμενον πουλὺν χρόνον. οὐ καθίστατο χρῶμα. καὶ πάχος ἴκελον οἷον γίνεται ὑποζυγίου, τοιαῦτα οὔρει, οἷα κἀγὼ εἶδον. περὶ δὲ τεσσαρεσκαιδεκάτην ἐοῦσῃ, παλμοὶ δι' ὅλου τοῦ σώματος. λόγοι πολλοί. σμικρὰ κατενόει. διὰ ταχέων δὲ πάλιν παρέκρουσεν. περὶ δὲ ἑπτακαιδεκάτην ἐοῦσα ἦν ἄφωνος. εἰκοστῇ ἀπέθανε.

Ἄῤῥωστος πέμπτος.

Ἐπικράτεος γυναῖκα, ἣ κατέκειτο παρὰ Ἀρχηγέτην, περὶ τόκον ἤδη ἐοῦσαν, ῥῖγος ἔλαβεν ἰσχυρῶς. οὐκ ἐθερμάνθη ὡς ἔλεγον. καὶ τῇ ὑστεραίῃ τοιαῦτα. τρίτῃ δὲ ἔτεκε θυγατέρα, καὶ τἄλλα πάντα κατὰ λόγον ἦλθε. δευτεραίη μετὰ τόκον, ἔλαβε πυρετὸς ὀξύς. καρδίης πόνος καὶ γυναικείων. προστιθεμένη δὲ ταῦτα μὲν, ἐκουφίσθη. κεφαλῆς δὲ καὶ τραχήλου, καὶ ὀσφύος πόνος. ὕπνοι οὐκ ἐνῆσαν. ἀπὸ δὲ κοιλίης ὀλίγα χολώδεα λεπτὰ διῄει. ἄκρητα οὖρα λεπτὰ ὑπομέλανα. ἀφ' ἧς δὲ ἐλάμβανε πῦρ τὴν νύκτα, ἑκταίη παρέκρουσε. ἑβδόμη πάντα παρωξύνθη. ἄγρυπνος. παρέκρουσε. διψώδης. διαχωρήματα χολώδεα κατακορέα. ὀγδόη, ἐπεῤῥίγωσεν. ἐκοιμήθη

πλείω

πλέω. ἐνάτῃ διὰ τῶν αὐτῶν. δεκάτῃ, σκέλεα ὑπὸ πόνων ἤλγει. καρδίης πάλιν ὀδύνη. καρηβαρίη. οὐ παρέκρουσεν. ἐκοιμᾶτο μᾶλλον. κοιλίη ἐπέστη. ἑνδεκάτῃ, οὔρησεν εὐχροώτερα, συχνὴν ὑπόστασιν ἔχοντα. διῆγε κουφότερον. τεσσαρεσκαιδεκάτῃ, ἐπερρίγωσε. πυρετὸς ὀξύς. πεντεκαιδεκάτῃ, ἤμεσε χολώδεα, ξανθά, ὑπόσυχνα. ἵδρωσεν ἄπυρος. ἐς νύκτα δὲ πυρετὸς ὀξύς. οὖρα παχέα ἔχοντα. ὑπόστασις λευκή. ἑξκαιδεκάτῃ, παρωξύνθη νύκτα, καὶ δυσφόρως. οὐχ ὕπνωσε. παρέκρουσεν. ὀκτωκαιδεκάτῃ διψώδης. γλῶσσα ἐπεκαύθη. οὐχ ὕπνωσε. παρέκρουσε πολλά. σκέλεα ἐπωδύνως εἶχε. περὶ δὲ εἰκοστήν, πρωῒ σμικρὰ ἐπερρίγωσε. κωματώδης. δι' ἡσυχίης ὕπνωσε. ἤμεσε χολώδεα ὀλίγα, μέλανα. ἐς νύκτα κώφωσις. περὶ δὲ πρώτην καὶ εἰκοστήν, πλευροῦ ἀριστεροῦ βάρος δι' ὅλου μετ' ὀδύνης. σμικρὰ ἐπέβησσεν. οὖρα δὲ παχέα ἔχοντα. θολερά. ὑπέρυθρα. κείμενα οὐ καθίστατο. τὰ δ' ἄλλα κουφοτέρως. οὐκ ἄπυρος. αὖθις ἐξ ἀρχῆς. φάρυγγα ἐπωδύνως. ἔρευθος. κίων ἀνεσπασμένος. ῥεῦμα δριμύ. δακνώδεα. ἁλμυρώδεα διὰ τέλεος παρέμενε. περὶ δὲ εἰκοστὴν ἑβδόμην, ἄπυρος. οὔροισιν ὑπόστασις. πλευρὸν ἤλγεεν. περὶ δὲ πρώτην καὶ τριακοστήν, πῦρ ἔλαβε. κοιλίη χολώδεσιν ὑπεταράχθη. ἤμεσε τῇ τεσσαρακοστῇ ὀλίγα χολώδεα. ἐκρίθη. τελέως ἄπυρος τῇ ὀγδοηκοστῇ.

Ἄρρωστος ἕκτος.

Κλεανακτίδην, ὃς κατέκειτο ἐπάνω τοῦ Ἡρακλείου, πῦρ ἔλαβε πεπλανημένως. ἤλγει δὲ καὶ κεφαλὴν ἐξ ἀρχῆς καὶ πλευρὸν ἀριστερόν. καὶ τῶν ἄλλων πόνοι, κοπιώδεα τρόπον. οἱ πυρετοὶ παροξυνόμενοι, ἄλλοτε ἀλλοίως ἀτάκτως. ἱδρῶτες, ὁτὲ μὲν, ὁτὲ δ' οὔ. τὰ μὲν πλεῖστα ἐπεσήμαινον οἱ παροξυσμοί, ἐν κρισίμοισι μᾶλλον. περὶ δὲ εἰκοστὴν τετάρτην, χεῖρας ἄκρας ἔψυχε. ἤμεσε χολώδεα, ξανθά, ὑπόσυχνα. μετ' ὀλίγον δὲ ἰώδεα. πάντων ἐκουφίσθη. περὶ δὲ τριακοστὴν ἐόντι, ἤρξατο ἀπὸ ῥινῶν αἱμορραγεῖν ἐξ ἀμφοτέρων, καὶ ταῦτα πεπλανημένως κατ' ὀλίγον μέχρι κρίσιος. οὐκ ἀπόσιτος δὲ, οὐ δὲ διψώδης παρὰ πάντα τὸν χρόνον. οὐ δὲ ἄγρυπνος. οὖρα δὲ λεπτά, οὐκ ἄχροα. περὶ δὲ τεσσαρακοστὴν ἐὼν, οὔρησεν ὑπέρυθρα. ὑπόστασιν πολλὴν, λίην ἐρυθρὴν ἔχοντα. ἐκουφίσθη. μετὰ δὲ ταῦτα ποικίλως τὰ τῶν οὔρων, ὁτὲ μὲν ὑπόστασιν εἶχεν, ὁτὲ δὲ οὔ. ἑξηκοστῇ οὔροισιν ὑπόστασις πολλὴ, καὶ λευκὴ, καὶ λείη. ξυνέδωκε πάντα. πυρετοὶ διέλιπον. οὖρα λεπτὰ μὲν, εὔχροα δέ. ἑβδομηκοστῇ, ἄπυρος διέλιπεν ἡμέρας δέκα. ὀγδοηκοστῇ ἐπερρίγωσε. πυρετὸς ὀξὺς ἔλαβεν. ἵδρωσε πολλῷ. οὔροισιν ὑπόστασις ἐρυθρή, λείη. τελέως ἐκρίθη.

Ἄρρωστος ἕβδομος.

Μέτωνα πῦρ ἔλαβεν. ὀσφύος βάρος ἐπώδυνον. δευτέρῃ ὕδωρ πιόντι ὑπόσυχνον, ἀπὸ κοιλίης καλῶς διῆλθεν. τρίτῃ, κεφαλῆς βάρος. διαχωρήματα λεπτά, χολώδεα, ὑπέρυθρα. τετάρτῃ, πάντα παρωξύνθη. ἐρρύη ἀπὸ δεξιοῦ μυκτῆρος αἷμα δὶς ὀλίγον. νύκτα δυσφόρως. διαχωρήματα ὅμοια τῇ τρίτῃ. οὖρα ὑπομέλανα εἶχεν. ἐναιώρημα ὑπόμελαν ἐὸν διεσπασμένον οὐχ ἱδρύετο. πέμπτῃ ἐρρύη λάβρον ἐξ ἀριστεροῦ ἄκρητον. ἵδρωσεν. ἐκρίθη. μετὰ δὲ κρίσιν ἄγρυπνος παρέλεγεν. οὖρα λεπτά, ὑπομέλανα. λουτροῖσιν ἐχρήσατο κατὰ κεφαλῆς. ἐκοιμήθη. κατενόει. τούτῳ οὐχ ὑπέστρεψεν, ἀλλ' ἡμορράγει πολλάκις καὶ μετὰ κρίσιν.

Ἄρρωστος ὄγδοος

Ἐρασινὸν, ὃς ᾤκει παρὰ Βοώτου χαράδρην, πῦρ ἔλαβε μετὰ δεῖπνον. νύκτα ταραχώδης. ἡμέρην τὴν πρώτην δι' ἡσυχίης. νύκτα ὑπὸ πόνων. δευτέρῃ, πάντα παρωξύνθη. ἐς νύκτα παρέκρουσε. τρίτῃ ὑπὸ πόνων. παρέκρουσε πολλά. τετάρτῃ δυσφορώτατα. ἐς δὲ τὴν νύκτα οὐδὲν ἐκοιμήθη. ἐνύπνια καὶ λογισμοί. ἔπειτα χείρω μεγάλα καὶ ἐπίκαιρα. φόβος. δυσφορίη. πέμπτῃ πρωῒ κατήρτητο, καὶ κατενόει πάντα. πουλὺ δὲ πρὸ μέσου ἡμέρης ἐξεμάνη. κατέχειν οὐκ ἠδύνατο. ἄκρεα ψυχρὰ ὑποπέλια. οὖρα ὑπέστη. ἀπέθανε περὶ ἡλίου δυσμάς. τούτῳ οἱ πυρετοὶ διὰ τέλεος ξὺν ἱδρῶτι. ὑποχόνδρια μετέωρα. ξυντάσιες μετ' ὀδύνης. οὖρα δὲ μέλανα ἔχοντα ἐναιωρήματα στρογγύλα, οὐχ ἱδρύετο. ἀπὸ δὲ κοιλίης κόπρανα διῄει. δίψα διὰ τέλεος οὐ λίην. σπασμοὶ δὲ πολλοὶ ξὺν ἱδρῶτι, περὶ θάνατον.

Ἄρρωστος ἔνατος.

Κρίτωνι ἐν Θάσῳ, ποδὸς ὀδύνη ἤρξατο ἰσχυρὴ, ἀπὸ δακτύλου τοῦ μεγάλου, ὀρθοστάδην ἐόντι. κατεκλίθη αὐθημερόν. φρικώδης. ἀσώδης. μικρὰ ὑποθερμαινόμενος. νύκτα παρεφρόνησε. δευτέρῃ, οἴδημα δι' ὅλου τοῦ ποδὸς. καὶ περὶ σφυρὸν ὑπέρυθρον μετὰ ξυντάσιος.

φλυκταινίδια

φλυκταινίδια μέλανα. πυρετὸς ὀξύς. ἐξεμαίνετο. ἀπὸ δὲ κοιλίης, ἄκρητα, χολώδεα, ὑπόσυχνα διῆλθεν. ἀπέθανεν, ἀπὸ τῆς ἀρχῆς δευτεραῖος.

Ἄρρωστος δέκατος.

Τὸν Κλαζομένιον ὃς κατέκειτο παρὰ τὸ Φρυνιχίδεω φρέαρ πῦρ ἔλαβεν. ἤλγει δὲ κεφαλήν, τράχηλον, ὀσφῦν ἐξ ἀρχῆς. αὐτίκα δὲ κώφωσις. ὕπνοι οὐκ ἐνῆσαν. πυρετὸς ὀξὺς ἔλαβεν. ὑποχόνδριον ἐπῆρτο μετ᾽ ὄγκου. οὐ λίην συντάσις. γλῶσσα ξηρή. τετάρτη, ἐς νύκτα παρεφρόνησε. πέμπτῃ, ἐπιπόνως. ς´ πάντα παρωξύνθη. περὶ δὲ ἑνδεκάτην, σμικρὰ ἐνέδωκεν. ἀπὸ δὲ κοιλίης ἐξ ἀρχῆς καὶ μέχρι τεσσαρεσκαιδεκάτην λεπτὰ πολλὰ ὑδατόχροα διῄει. εὐφόρως τὰ περὶ διαχώρησιν διῆγεν. ἔπειτα κοιλίη ἐπέστη. οὖρα διὰ τέλεος, λεπτὰ μὲν εὔχροα δὲ καὶ πολλὰ εἶχεν ἐναιωρήματα. ὑποδιεσπασμένον οὐχ ἱδρύετο. περὶ δὲ ἕκτην καὶ δεκάτην, οὔρησεν ὀλίγῳ παχύτερα. εἶχε σμικρὴν ὑπόστασιν. ἐκούφισεν ὀλίγῳ. κατενόει μᾶλλον. ιζ´ δὲ πάλιν λεπτά. παρὰ δὲ τὰ οὔατα ἀμφότερα, ἐπήρθη ξὺν ὀδύνῃ. ὕπνοι οὐκ ἐνῆσαν. παρελήρει. περὶ δὲ τὰ σκέλεα ἐπωδύνως εἶχε. κ´. ἄπυρος ἐκρίθη. οὐχ ἵδρωσε. πάντα κατενόει. περὶ δὲ κζ´ ἰσχίου ὀδύνη δεξιοῦ ἰσχυρῶς. διὰ ταχέων ἐπαύσατο. τὰ δὲ περὶ τὰ ὦτα, οὔτε καθίσατο, οὔτε ἐξεπύει. ἤλγει δέ. περὶ δὲ τὴν λα´ διάρροια πολλοῖσιν ὑδατώδεσι μετὰ δυσεντεριωδέων. οὖρα παχέα οὔρει. κατέστη περὶ τὰ ὦτα. περὶ δὲ τὴν μ´ ὀφθαλμὸν δεξιὸν ἤλγει. ἀμβλύτερα ἑώρα. κατέστη.

Ἄρρωστος ἑνδέκατος.

Τὴν Δρομεάδεω γυναῖκα, θυγατέρα τεκοῦσαν, καὶ τῶν ἄλλων πάντων γενομένων κατὰ λόγον, δευτεραίην ἐοῦσαν, ῥῖγος ἔλαβε. πυρετὸς ὀξύς. ἤρξατο δὲ πονέειν τὴν πρώτην, περὶ ὑποχόνδριον. ἀσώδης. φρικώδης. ἀλύουσα. καὶ τὰς ἐχομένας οὐχ ὕπνωσε. πνεῦμα ἀραιόν, μέγα, αὐτίκα ἀνεσπασμένον. β´ ἀφ᾽ ἧς ἐρρίγωσεν ἀπὸ κοιλίης καλῶς κόπρανα διῆλθεν. οὖρα παχέα, λευκά, θολερά, οἷα γίνεται ἐκ τῶν καθισταμένων, ὅταν ἀναταραχθῇ κείμενα χρόνον πουλύν. οὐ καθίστατο. νύκτα οὐκ ἐκοιμήθη. τρίτη περὶ μέσον ἡμέρης, ἐπερρίγωσε. πυρετὸς ὀξύς. οὖρα ὅμοια. ὑποχονδρίου πόνος. ἀσώδης. νύκτα δυσφόρως οὐκ ἐκοιμήθη. ἵδρωσε δι᾽ ὅλου ὑπόψυχρα. ταχὺ δὲ πάλιν ἀνεθερμάνθη. δ´ περὶ μὲν ὑποχόνδρια, μικρὰ ἐκουφίσθη. κεφαλῆς δὲ βάρος μετ᾽ ὀδύνης ὑπεκαρώθη. ἔσταξε μικρὰ ἀπὸ ῥινῶν. γλῶσσα ἐπίξηρος. διψώδης. οὖρα λεπτὰ ἐλαιώδεα. σμικρὰ ἐκοιμήθη. ε´ διψώδης. ἀσώδης. οὖρα ὅμοια. ἀπὸ κοιλίης οὐδέν. περὶ δὲ μέσον ἡμέρης, πολλὰ παρέκρουσε. ς´ πάλιν ταχὺ σμικρὰ κατενόει. ἀνισταμένη, ὑπεκαρώθη. ψύξις μικρά. νυκτὸς ἐκοιμήθη. παρέκρουσε. ς´ πρωΐ, ἐπερρίγωσε. ταχὺ δὲ διεθερμάνθη. ἵδρωσε δι᾽ ὅλου. ἄκρεα ψυχρά. παρέκρουσε. πνεῦμα μέγα ἀραιόν. μετ᾽ ὀλίγον σπασμοὶ ἀπὸ κεφαλῆς ἤρξαντο. ταχὺ ἀπέθανεν.

Ἄρρωστος δωδέκατος.

Ἄνθρωπος θερμαινόμενος ἐδείπνησε. καὶ ἔπιε πλέον. ἤμεσε πάντα νυκτός. πυρετὸς ὀξύς. ὑποχονδρίου δεξιοῦ πόνος. φλεγμονὴ ὑπολάπαρος ἐκ τοῦ ἔσω μέρεος. νύκτα δυσφόρως. οὖρα δὲ κατ᾽ ἀρχὰς παχέα ἔχοντα, ἐρυθρά, κείμενα οὐ καθίστατο. γλῶσσα ἐπίξηρος, οὐ λίην διψώδης. δ´ πυρετὸς ὀξύς. πόνοι πάντων. ε´ οὔρησε λεῖον ἐλαιῶδες πολύ. πυρετὸς ὀξύς. ς´ δείλης πολλὰ παρέκρουσεν. οὐδὲ ἐς νύκτα ἐκοιμήθη. ζ´ πάντα παρωξύνθη. οὖρα ὅμοια. λόγοι πολλοί. κατέχειν οὐκ ἠδύνατο. ἀπὸ δὲ κοιλίης ἐρεθισμοῦ ὑγρὰ ταραχώδεα διῆλθε μετὰ ἑλμίνθων. νύκτα ὁμοίως ἐπιπόνως. πρωῒ δὲ ἐρρίγωσε. πυρετὸς ὀξύς. ἵδρωσε θερμῷ. ἄπυρος ἔδοξε γενέσθαι. οὐ πολὺ ἐπεκοιμήθη, ἐξ ὕπνου ψύξις. πτυαλισμός. δείλης πολλὰ παρέκρουσε. μετ᾽ ὀλίγον δὲ ἤμεσε μέλανα, ὀλίγα χολώδεα. θ´ ψύξις. παρελήρει πολλά. οὐχ ὕπνωσε. δεκάτῃ, σκέλεα ἐπωδύνως. πάντα παρωξύνθη. παρελήρει. ια´ ἀπέθανεν.

Ἄρρωστος τρισκαιδέκατος.

Γυναῖκα ἣ κατέκειτο ἐν ἀκτῇ, τρίμηνον πρὸς ἑωυτὴν ἔχουσα, πῦρ ἔλαβε. αὐτίκα τε ἤρξατο πονέειν ὀσφῦν. γ´ πόνος τραχήλου. κεφαλῆς. κατὰ κληῗδα χεῖρα δεξιήν. διὰ ταχέων δὲ γλῶσσα ἠφώνει. δεξιὴ χεὶρ παρελύθη μετὰ σπασμοῦ, παραπληκτικὸν τρόπον. παρελήρει πάντα. νύκτα δυσφόρως οὐκ ἐκοιμήθη. κοιλίη ἐταράχθη, χολώδεσιν, ἀκρήτοισιν, ὀλίγοισιν. δ´ γλῶσσα φωνῆς ἐλύθη. σπασμοί. τῶν αὐτῶν πόνοι πάντων παρέμενον. κατὰ ὑποχόνδριον ἔπαρμα ξὺν ὀδύνῃ. οὐκ ἐκοιμᾶτο. παρέκρουσε πάντα. κοιλίη ταραχώδης. οὖρα λευκά, οὐκ εὔχροα. ε´ πυρετὸς ὀξύς. ὑποχονδρίου πόνος. παρέκρουσε πάντα. διαχωρήματα χολώδεα.

ἐς νύκτα

διὰ νύκτα ἵδρωσεν, ἄπυρος. ϛ΄ κατενόει. πάντα ἐκουφίσθη. περὶ δὲ κληῖδα ἀριστερὴν, πόνος παρέμενε. διψώδης. οὖρα λεπτά. οὐκ ἐκοιμήθη. ζ΄ τρόμος. ὑπεκαρώθη. σμικρὰ παρέκρουσεν. ἀλγήματα κατὰ κληῖδα, καὶ βραχίονα ἀριστερὸν, παρέμενε. τὰ δ᾽ ἄλλα διεκουφίσθη. πάντα κατενόει. τρεῖς δὲ διέλιπεν ἄπυρος. ια΄ ὑπέστρεψεν. ἐπεῤῥίγωσε. πῦρ ἔλαβε. περὶ δὲ ιδ΄ ἤμεσε χολώδεα. ξανθά. ὑπόσυχνα. ἵδρωσεν. ἄπυρος ἐκρίθη.

Ἄῤῥωστος τεσσαρεσκαιδέκατος.

Μελιδίη, ἣ κατέκειτο παρὰ τὸ τῆς Ἥρης ἱερὸν, ἤρξατο κεφαλῆς, καὶ τραχήλου, καὶ στήθεος πόνος ἰσχυρός. αὐτίκα δὲ πυρετὸς ὀξὺς ἔλαβε. γυναικεῖα δὲ σμικρὰ ἐπεφαίνετο. πόνοι τουτέων πάντων ξυνεχέες. ἕκτη κωματώδης. ἀσώδης. φρικώδης. ἔρευθος ἐπὶ γνάθων. σμικρὰ παρέκρουσε. ζ΄ ἵδρωσεν. πυρετὸς διέλιπεν. οἱ πόνοι παρέμενον. ὑπέστρεψεν. ὕπνοι σμικροί. οὖρα διὰ τέλεος, εὔχροα μὲν λεπτὰ δέ. διαχωρήματα λεπτά. χολώδεα. δακνώδεα. κάρτα ὀλίγα. μέλανα. δυσώδεα διῆλθεν. οὔροισιν ὑπόστασις λευκή. λείη. ἵδρωσεν. ἐκρίθη τελέως ἑνδεκαταίη.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΔΗΜΙΩΝ ΔΕΥΤΕΡΟΝ.

Τμῆμα πρῶτον

Νθρακες ἐν Κρανῶνι οἱ θερινοί. ὗεν ἐν καύμασιν ὕδατι λάβρῳ δι᾽ ὅλου ἐγγύτερον. καὶ μᾶλλον νότῳ. καὶ ὑπεγίνοντο μὲν ἐν τῷ δέρματι ἰχῶρες. ἐγκαταλαμβανόμενοι δὲ ἐθερμαίνοντο, καὶ κνησμὸν ἐνεποίεον. εἶτα φλυκταινίδες, ὥσπερ πυρίκαυστοι διανίσταντο. καὶ ὑπὸ τὸ δέρμα καίεσθαι, ἐδόκεον. ἐν καύμασιν ἀνυδρίης. οἱ πυρετοὶ ἀνίδρωτες τὰ πλεῖστα. ἐν τουτέοισι δὲ ἢν ἐπιψεκάσῃ, ἱδρωτικώτεροι γίνονται κατ᾽ ἀρχάς. ταῦτα δυσκριτώτερα μὲν, ἢ ἄλλως. ἀτὰρ ἧσσον, εἰ μὴ εἴη διὰ ταῦτα, ἀλλὰ διὰ τῆς νόσου τὸν τρόπον. Οἱ καῦσοι ἐν τῇσι θερινῇσι μᾶλλον γίνονται, καὶ ἐν τῇσιν ἄλλῃσιν ὥρῃσιν. ἐπιξηραίνονται δὲ μᾶλλον θέρεος. φθινοπώρου μάλιστα θηριώδεες. καὶ ἡ καρδιαλγία. καίτοι καὶ αὕτη ἧσσον κακουργέοι ἂν, αὐτοῦ τοῦ νοσήματος τοιούτου ἐόντος. αἱ ἀσκαρίδες δείλης, ὁμοίως τούτῳ. καὶ ἐκεῖνα τηνικαῦτα ὀχλέουσι τῆς ἡμέρης τὰ πλεῖστα. οὐ μόνον διὰ τὸ μᾶλλον πονέειν, ἀλλὰ καὶ αὗται διὰ σφᾶς ἑωυτάς. Ἐν φθινοπώρῳ ὀξύταται νόσοι, καὶ θανατωδέσταται. τὸ ἐπίπαν ὅμοιον, τῷ δείλης παροξύνεσθαι. ὡς τοῦ ἐνιαυτοῦ περίοδον ἔχοντος τῶν νούσων, οἷον ἡ ἡμέρη τῆς νούσου, οἷον τὸ δείλης παροξύνεσθαι. τοιοῦτον τῆς νόσου καὶ ἑκάστης καταστάσιος πρὸς ἀλλήλας, ὅταν μή τι νεωτεροποιηθῇ ἐν τῷ ἄνω εἴδει. εἰ δὲ μὴ ἄλλης ταῦτα καταστάσιος ἂν ἀρχαί, ὥστε καὶ τὸν ἐνιαυτὸν πρὸς ἑωυτὸν οὕτως ἔχειν. Ἐν τοῖσι καθεστῶσι καιροῖσι, καὶ ὡραίως τὰ ὡραῖα ἀποδιδοῦσιν ἔτεσιν, εὐσταθέες καὶ εὐκρινέσταται αἱ νοῦσοι. ἐν δὲ τοῖσιν ἀκαταστάτοισιν καὶ δύσκριτοι. ἐν γοῦν Περίνθῳ ὅταν τι ἐκλίπῃ ἢ πλεονάσῃ, ἢ πνευμάτων, ἢ μὴ πνευμάτων, ἢ ὑδάτων, ἢ αὐχμῶν, ἢ καυμάτων, ἢ ψύξεων. τὸ δὲ ἔαρ τὸ ἐπίπαν ὑγιεινότατον, καὶ ἥκιστα θανατῶδες. Πρὸς τὰς ἀρχὰς σκεπτέον τῶν νούσων, εἰ αὐτίκα ἀνθεῖ. δῆλον δὲ τῇ ἐπιδόσει. τὰς δὲ ἐπιδόσιας, τῇσι περιόδοισι. καὶ αἱ κρίσιες ἐντεῦθεν δῆλαι. καὶ τοῖσι ἐν τῇσι περιόδοισι παροξυσμοῖσιν, εἰ πρωϊαίτερον ἢ οὔ. καὶ εἰ πλείονα χρόνον, ἢ οὔ. καὶ εἰ μᾶλλον, ἢ οὔ. πάντων δὲ τῶν συνεχέων ἢ διαλιπόντων τῶν χρονίων. καὶ τρωμάτων. καὶ πτυέλων ὀδυνωδέων. καὶ φυμάτων φλεγμοναί, καὶ ὅσα ἄλλα ἐπιφαίνονται ὕστερον. ἴσως δὲ καὶ ἄλλων πρηγμάτων κοινῶν, τὰ μὲν θᾶσσον, βραχύτερα. τὰ δὲ βραδύτερον, μακρότερα. καὶ ἐν περιόδοισι τὸ ἐπὶ πρωϊαίτερον. καὶ ἄλλης ἐπιδόσιος ἀπαυδώσης τῆς νόσου. καὶ γὰρ τῶν παραχρῆμα ἀπολλυμένων, ταχύτεραι αἱ κρίσιες, ὅτι ταχέες οἱ πόνοι, καὶ ξυνεχέες, καὶ ἰσχυροί. τὰ δὲ κρίνοντα ἐπὶ τὸ βέλτιον, μὴ αὐτίκα ἐπιφαινέσθω. Τὰ κρίσιμα μὴ κρίνοντα, τὰ μὲν θανατώδεα. τὰ δὲ δύσκριτα, τὰ προκρινόμενα ἢν ὅμως κριθῇ, ὑποστροφαί. ἢν δὲ μὴ, ἀκρισίαι. γένοιτο δ᾽ ἂν καὶ ὀλέθρια, τὰ μὴ σμικρά. ὅσα κρίσιμα σημεῖα γινόμενα, τὰ αὐτὰ ταῦτα μὴ γινόμενα δύσκριτα. τὰ ἐναντία δὲ σημαίνοντα, κακόν. οὐ μόνον ἢν παλινδρομέῃ, ἀλλὰ καὶ τῆς ἀρχαίης φύσιος τὰ ἐναντία ῥέποντα. ὥσπερ καὶ τῶν κακῶν σημεῖον, ἐπὶ τἀναντία ῥέποντα. θεωρεῖν δὲ οὕτω δεῖ. βρωμάτων συμπτώσιων. φλεβῶν ὄγκοι. ὑποχονδρίων. ἀναῤῥοπίων. καταῤῥοπίων. πολλὰ δὲ καὶ τῶν τοιούτων, οἷον ἀποφθειρουσέων, οἱ τιτθοὶ προσισχναίνονται. τὸ δὲ γὰρ ἐναντίον, οὐ δὲ βῆχες χρόνιαι, ὅτι ὄρχις οἰδήσας παύονται. ὄρχις

οἰδήσας

οἰδήματα ἀπὸ βηχέων, ὑπόμνημα κοινωνίης. στηθέων. μαζῶν. γονῆς. φωνῆς. ἀποστάσιες ἢ διὰ φλεβῶν, ἢ τόνων, ἢ δι' ὀστέων, ἢ νεύρων, ἢ δέρματος, ἢ ἐκτροπέων ἑτέρων. χρησταὶ δὲ αἱ κάτω τῆς νούσου. οἷον κιρσοί. ὀσφὺς βαρεῖα ἐκ τῶν ἄνω. ἄρισται δὲ μάλιστα αἱ κάτω. καὶ αἱ κατωτάτω κοιλίης, καὶ προσωτάτω ἀπὸ τῆς νούσου, καὶ αἱ κατ' ἔκροιαν. οἷον αἷμα ἐκ ῥινέων. πύον ἐξ ὠτός. πτύαλον. οὖρον. κατ' ἔκροιαν. οἷσι μὴ ταῦτα ἀποστάσιες. οἷον ὀδόντες. ὀφθαλμοί. ῥίς. ἱδρώς. ἀτὰρ καὶ τὰ ὑπὸ δέρμα ἀφιστάμενα ἐς τὸ ἔξω φύματα. οἷον ταγγαί. καὶ τὰ ἐκπυοῦντα. ἢ ἕλκος. καὶ τὰ τοιαῦτα ἐξανθήματα. ἢ λεποί, ἢ μάδησις τριχῶν. ἀλφοί. λέπραι. ἢ τὰ τοιαῦτα ὅσα ἀποστάσιες μὲν εἰσιν ἀθρόως ῥεύσασαι, καὶ μὴ ἡμιῤῥόπως. καὶ ὅσα ἄλλα εἴρηται. καὶ ἢν μὴ ἀναξίως τῆς περιβολῆς τῆς νόσου. οἷον τῇ Τημένεω ἀδελφιδῇ ἐκ νόσου ἰσχυρῆς, ἐς δάκτυλον ἀπεστήριξεν. οὐχ ἱκανὸν ἦν δέξασθαι τὴν νοῦσον, ἐπαλινδρόμησεν. ἀπέθανεν. Ἀποστάσιες, ἢ διὰ φλεβῶν, ἢ διὰ κοιλίης, ἢ διὰ νεύρων, ἢ διὰ δέρματος, ἢ κατὰ ὀστέα, ἢ κατὰ τὸν νωτιαῖον, ἢ κατὰ τὰς ἄλλας ἐκροάς. στόμα. αἰδοῖον. ὦτα. ῥῖνας. ἐξ ὑστέρης ὀκταμήνω τὰ τῶν κρεισσόνων, τῇ ὑστεραίῃ, ὡς αὖ ἐς τὴν ὀσφῦν ἢ ἐς τὸν μηρόν, καὶ ἐς ὄρχιας. ἔστι δ' ὅτε ἐκ βηχέων. καὶ ὄρχις αὐτὸς ἐφ' ἑωυτοῦ. εὐχαδέες ἀποστάσιες. αἱ μὲν ἀνωτέρω τῆς κοιλίης, οὐχ ὁμοίως τελέως ῥύονται. αἱμοῤῥαγίαι λαῦροι ἐκ ῥινῶν, ῥύονται πολλά. οἷον τὸ Ἡραγόρεω οὐκ ἐγίνωσκον οἱ ἰητροί. τὰς φωνὰς οἱ τρηχέας φύσει ἔχοντες, καὶ αἱ γλῶσσαι ὑποτρηχέες. καὶ ὅσαι τραχύτητες ὑπὸ νόσων ὡσαύτως. αἱ οὖν ἐοῦσαι σκληραὶ τῇ φύσει καὶ ἄνοσοι, τοῦτ' ἔχουσιν. αἱ δὲ μαλθακαὶ καὶ βραδύτεραι ἐς ἁμαρτωλίην, ἢ χρηστόν, ἢ ἀρχαίη φύσις. σκεπτέον, καὶ τὰ ἀπὸ τῶν διαιτέων τὰ μακροκέφαλα. καὶ μακραύχενα ἀπὸ τῶν ἐπικυψίων. καὶ τῶν φλεβῶν ἡ εὐρύτης καὶ παχύτης ἀπὸ τοῦ αὐτοῦ. καὶ στενότητες καὶ πλατύτητες. καὶ βραχύτητες. καὶ λεπτότητες. καὶ ἀπὸ τῶν ἐναντίων, ὧν αἱ φλέβες εὐρεῖαι. καὶ αἱ κοιλίαι, καὶ τὰ ὀστέα, εὐρέα. εἰσὶ δὲ οὗτοι οἱ λεπτοί. οἱ δὲ πίονες τἀναντία τουτέων. καὶ ἐν τοῖσιν λιμαγχικοῖσιν αἱ μετριότητες. ἀπὸ τουτέων σκεπτέαι, αἱ προαυξήσιες ἑκάστω ἃ μειοῦσι. καὶ αἱ μειώσιες ἃ προαυξοῦσι. καὶ τοῖσι προαύξεσιν, ὁποῖα συμπροαύξεται, καὶ ὁποῖα συγκρατύνεται. καὶ διασφάξιες ποῖαι κοιναὶ τῶν φλεβῶν, αἱ τῶν ἤτρων ῥήξιες. αἱ μὲν πρὸς ἥβην τὰ πλεῖστα ἀσινέες παραυτίκα. αἱ δὲ σμικρὸν ἄνωθεν τοῦ ὀμφαλοῦ ἐν δεξιᾷ, ὀδυνώδεες αὗται καὶ ἀσώδεες, καὶ κοπριήμετοι, οἷον καὶ τὸ Πιττακοῦ. γίνονται δ' αὗται ἢ ἀπὸ πληγῆς, ἢ ἀπὸ τάσιος, ἢ ἐμπηδήσιος ἑτέρου, αἷσι τὸ μεταξὺ τοῦ ἤτρου καὶ τοῦ δέρματος ἐμφυσᾶται καὶ οὐ καθίσταται. τὸ τῶν χροιῶν οἷον τὸ πουλυχάρειον. τό, τε ἐκ λευκοχροίης, ὅτι ἀπὸ τοῦ ἥπατος πᾶν τὸ τοιοῦτον. καὶ ἀπὸ τούτου ἡπατικὰ νουσήματα ἐν τουτέοισι. καὶ ἴκτεροι αἱ ἀπὸ ἥπατος ἐς τὸ ὑπόλευκον, καὶ ὑδαταινόμενοι, καὶ οἱ λευκοφλέγματοι. οἱ δὲ ἀπὸ σπληνὸς μελάντεροι. καὶ ὕδρωπες. καὶ οἱ ἴκτεροι. καὶ αἱ δυσελκίαι τῶν ἐκλεύκων, τῶν ὑποφακωδέων. καὶ τὸ δέρμα καταῤῥήγνυται. καὶ τὰ χείλεα, οἷος Ἀντίλοχος καὶ Ἀλεύας τὸ ἀπὸ τῶν χυμῶν τῶν ἐκ τοῦ σώματος τοῦ ἁλμώδεος. ὅτι ὑπὸ τὸ δέρμα μάλιστα καὶ ἀπὸ κεφαλῆς ὅταν ἀπὸ τοῦ πλεύμονος διαθερμαίνηται τὰς ἀφορμὰς ὁπόθεν ἤρξατο κάμνειν σκεπτέον, εἴτε κεφαλῆς ὀδύνη, εἴτε ὠτός, εἴτε πλευροῦ. σημεῖον δὲ ἐφ' οἷσιν ὀδόντες, καὶ ἐφ' οἷσι βουβῶνες τὰ γενόμενα ἕλκεα. καὶ κρίνοντα πυρετοὺς καὶ φύματα. οἷσι ταῦτα μὴ παραγίνεται ἀκρησία. οἷσιν ἐγκαταλείπεται βεβαιόταται ὑποστροφαὶ καὶ τάχισται. τὰ ὠμὰ διαχωρήματα καὶ ὑγρά, κέγχρος στερεὸς ἐν ἐλαίῳ ἑφθὸς ἵστησιν, οἷον τὸ ναυταπαίδιον καὶ ἡ μυελοχαίνη.

Τμῆμα δεύτερον.

Γυνὴ ἐκαρδιάλγει, καὶ οὐδὲν καθίστατο. πάλην ἐς ῥοιῆς χυλὸν ἀλφίτων ἐπιπάσσουσα, καὶ μονοσιτίη ἤρκεσε. καὶ οὐκ ἀνήμει, οἷα τὰ Χαρίωνος. αἱ μεταβολαὶ ὠφελέουσιν, ἢν μὴ ἐς πονηρὰ μεταβάλλῃ. οἷον ἀπὸ φαρμάκων ἐμέουσι πυρετῶν εἵνεκα. αἱ ἐς ἀκρητέστερα τελευταί, σῆψιν σημαίνουσιν. οἷον Δεξίππῳ. ἡ Στράτις ἐξ ὑγρῆς κοιλίης ὤδησε. κνησμοὶ δ' οὐκ οἶδα ποσταῖοι, οὐ πρόσω. ἔσχε δέ τι καὶ ἀπόστημα ἐν κενεῶνι. ὅπερ μελανθὲν ἀπέκτεινε. καὶ ἡ Στυμαργέω ἐκ ταραχῆς ὀλιγημέρου πολλὰ στᾶσα, καὶ παιδίου μετάστασιν θήλεος ἀπὸ φθορῆς τετράμηνον ὑγιάνασα, ὤδησε. Μόσχῳ λιθιῶντι ἰσχυρῶς, κριθὴ τῷ βλεφάρῳ τῷ ἄνω κειθὴ ἐγγὺς πρὸς τοῦ ὠτὸς μᾶλλον. ἔπειτα ἐξελκώθη ἔσω. πέμπτῃ καὶ ἕκτῃ ἔσωθεν πύον ἐῤῥάγη. τὰ κάτωθεν ἔλυσε. βουβὼν παρ' οὓς ἦν. καὶ κάτω κριθὴ τῷ τραχήλῳ κατ' ἴξιν τοῦ ἄνω βουβῶνος. Ὁ τῆς Ἀριστέως γυναικὸς ἀδελφός, χλιαινόμενος ἐταλαιπώρει ὁδῷ. κἄπειτα ἐν κνήμῃ τέρμινθοι ἐγένοντο. ἔπειτα

συνεχὴς

συνεχὴς πυρετὸς ἐγένετο. καὶ τῇ ὑστεραίῃ ἱδρὼς ἐγένετο. καὶ τὰς ἄλλας τὰς ἀρτίους ἐγένετο αἰεί. ἔτι δὲ ὁ πυρετὸς εἶχεν. ἦν δ' ὑπόσπληνος. αἱμοῤῥάγει δὲ ἐξ ἀριστεροῦ πυκνὰ καὶ κατ' ὀλίγον ἐκρίθη. τῇ ὑστεραίῃ, ἀριστερὸν παρ' οὖς οἴδημα. τῇ δὲ ὑστεραίῃ καὶ παρὰ δεξιόν. ἧσσον δὲ τούτου, καὶ ἐπεχλιαίνετο. ταῦτα κατεμωλύνθη, καὶ οὐκ ἀπεπύησεν. Ὁ παρ' Ἀλκιβιάδεω ἐλθὼν, ἐκ πυρετῶν ὀλίγων περὶ κρίσιος, ὄρχις ἀριστερὸς ᾤδησεν. ἦν δὲ σπλῆνα μέγαν ἔχων. καὶ δὴ τότε ἐκρίθη ὁ πυρετὸς, εἰκοσταῖος. κἄπειτα ὑπεχλιαίνετο ἄλλοτε καὶ ἄλλοτε. καὶ ἔπτυεν ὑπανθηρόν. Ἡ ἡ χεὶρ ἡ δεξιὴ, σκέλος δὲ ἀριστερὸν ἐκ τῶν βηχωδέων βραχὺ οὐκ ἄξιον λόγου βήξασι, παρελύθη παραπληγικῶς. ἄλλο δὲ οὐδὲν ἠλλοιώθη. οὔτε πρόσωπον, οὔτε γνώμην. οὐ μὴν ἰσχυρῶς ταύτῃ. ὡδὶ τὸ βέλτιον ἤρξατο χωρέειν, περὶ εἰκοστὴν ἡμέρην. σχεδὸν ἐγένετό οἱ περὶ γυναικείων καταῤῥῆξιν. καὶ ἴσως τότε πρῶτα γινόμενα. παρθένος γὰρ ἦν. Ἀπήμαντος, καὶ ὁ τοῦ τέκτονος πατὴρ τοῦ τὴν κεφαλὴν κατεαγέντος, καὶ Νικόστρατος οὐκ ἐξεβήσσον, ἦν δὲ ἑτέρωθι περὶ νεφροὺς ἀλγήματα. ἐρωτήματα. ἥρεον γὰρ αὐτὴν ἀεὶ, πληροῦσθαι ποτοῦ ἢ σίτου. ὀδύνας τὰς ἰσχυροτάτας, ὅτῳ τρόπῳ διαγνοίη ἄν τις ἰδών. ὁ φόβος. αἱ εὐφορίαι. αἱ ἐμπορίαι. καὶ αἱ ἀδλίαι. ὕδωρ τὸ ταχέως θερμαινόμενον, καὶ ταχέως ψυχόμενον, αἰεὶ κουφότερον. τὰ βρώματα καὶ τὰ πόματα πείρης δεῖ, εἰ ὡδὶ τὸ ἴσον μένει. ῥητέον ὅτι αἵματος ῥυέντος ἐκχλωροῦνται. καὶ ὅσα ἄλλα τοιαῦτα εἴποι. τὸ ἑξηκονθήμερον διάφθαρμα ἄρσεν τόκων ἐν τῇσι σχέσεσιν ὑγιηρόν.

Ἡράκλεις ὧδε τοῦ κακοῦ ὀγδοαίῳ. δυσεντεριώδης μᾶλλον ὅστις ἄρα καὶ τεινεσμώδης. θηλάζουσα εἶτα ἐκθήματα ἀνὰ τὸ σῶμα πάντῃ εἶχεν. ἐπεὶ ἐπαύσατο θηλάζουσα, κατέστη θέρεος. Τῇ τοῦ σκυτέως, ὃς τὰ σκύτινα ἐποίησε, τεκούσῃ καὶ ἀπολυθείσῃ τελέως, ἔδοξε τοῦ χωρίου τι τὸ ὑμενοειδὲς ἀπέχειν, ἀπῆλθεν τεταρταίῃ κακῶς. στραγγουριώδης γὰρ ἐγένετο. αὐτίκα συλλαμβάνουσα ἔτεκεν ἄρσεν. πολλὰ δὲ ἔτεα ἤδη εἶχε τὰ ὕστατα, καὶ οὐ διὰ τὰ ἐπιμήνια εἴη. ὅτε δὲ τέκοι, διέλιπεν ἐπ' ὀλίγον ἡ στραγγουρίη. Ἰσχίον δέ τις ἤλγει, πρὶν ἴσχειν. ἐπεὶ δ' ἔσχεν, οὐκ ἔτι ἤλγει. ἐπεὶ δὲ ἔτεκεν, εἰκοσταίη ἐοῦσα, αὖθις ἤλγησεν. ἔτεκεν οὖν ἄρσεν. ἐν γαστρὶ ἐχούσῃ ἐν κνήμῃ κάτω δεξιῇ, ἢ τρίτῳ ἢ τετάρτῳ μηνὶ, ἐξανθήματα. πρὸς ἃ τῇ μάννῃ χρώμεθα. καὶ ἐν χειρὶ δεξιῇ παρὰ μέγαν δάκτυλον. οὐκ οἶδ' ὅ τι ἔτεκε. κατέλιπεν γὰρ ἑξάμηνον. ὤκει δὲ ὡς ἐγὼ οἶμαι τὰ Ἀρχελάου πρὸς τῷ κρημνῷ, ἡ Ἀντιγένεος. ἡ τὸ περὶ Νικόμαχον, τέκεν παιδίον. σαρκῶδες μὲν ἔχον δὲ τὰ μέγιστα διακεκριμένα. μέγεθος δὲ ὡς τετραδάκτυλον ἀνόστεον. ὕστερον δὲ παχὺ στρογγύλον. αὕτη δὲ ἀσθματώδης ἐγένετο πρὸ τοῦ τόκου. ἔπειτα ἅμα τῷ τόκῳ, πύον ἀνήμεσεν ὀλίγον οἷον ἐκ δοθιῆνος. θυγατέρας τεκούσης διδύμους, καὶ δυστοκησάσης, καὶ οὐ πάνυ καθαρθείσης, ἐξῴδησεν ὅλη. ἔπειτα ἡ γαστὴρ μεγάλη ἐγένετο. τὰ δ' ἄλλα ἐταπεινώθη. καὶ ἐρυθρὰ εἴη μέχρι τοῦ ἕκτου μηνός. ἔπειτα λευκὰ κάρτα πάντα ἤδη τὸν χρόνον. πρὸς δὲ τὰ ἀφροδίσια οἱ ῥόοι ἔβλαπτον. καὶ οἱ ἄκρητα ἐρυθρὰ ἱκνεύμενα ἦν. Τῇσι χρονίῃσι λειεντερίῃσιν ὀξυρεγμίη γενομένη, πρόσθεν μηδέ ποτε γενομένη, σημεῖον χρηστὸν, οἷον Δημαινέτῃ ἐγένετο. ἴσως δ' ἐστὶ καὶ τεχνήσασθαι. καὶ γὰρ αἱ ταραχαὶ αἱ τοιαῦται ἀλλοιοῦσιν. ἴσως δὲ καὶ ὀξυρεγμίαι, λειεντερίην λύουσιν. ἰήθη ἐλλεβόρου πόσει. Λυκίῃ τὰ ὕστατα. σπλὴν μέγας. καὶ ὀδύναι. καὶ πυρετός. καὶ ἐς ὦμον ὀδύναι. καὶ ἡ φλὲψ ἡ κατὰ σπλῆνα, ἐπ' ἀγκῶνι ἐτέτατο. καὶ ἔσφυζε μὲν πολλάκις. ἔστι δ' ὅτε καὶ οὐκ ἐτμήθη, ἀλλ' ἅμα ἱδρῶτι διῆλθεν, ἢ αὐτόματον. ἐξ οὗ δὲ ἰόντων ὁ σπλὴν τὰ δεξιὰ ἐγένετο, πνεῦμα ἐνεδιπλασιάζετο. οὐ μὴν μέγα παρεφέρετο. περιεστέλλετο φῦσα ἐνεοῦσα. οὐ διῄει κάτω οὐδὲν, οὐδὲ οὔρει. ἀπέθανε περὶ τὸν τόκον. Τὰ ἀμφὶ φάρυγγα ἑτερόῤῥοπα. ὁρμήσαντα οὐκ ἐφελκώθη. ἐπὶ τὰ ἀριστερὰ μετῆλθεν. ἐς σπλῆνα ὀδύνη ἦλθεν ἀκρήτως. Ἱέρωνι ἐκρίθη πεντεκαιδεκαταίῳ. Τῇ κώου ἀδελφαίῃ, ἧπαρ ἐπήρθη σπληνικὸν τρόπον. ἀπέθανε δευτεραίη. Βίων ἅμα τε οὔρει ὑπὲρ πολὺ ἀνυπόστατον, καὶ αἷμα ἐξ ἀριστεροῦ. ἦν γὰρ καὶ ὁ σπλὴν κυρτὸς, καὶ σκληρός. καὶ ἄνω περιεγένετο ὑποστροφή. ἦν δὲ τῶν κυναγχικῶν τὰ παθήματα τάδε. τοῦ τραχήλου οἱ σπόνδυλοι, ἔσω ἔῤῥεπον. τοῖσι μὲν πλέον, τοῖσι δὲ πέλας, καὶ ἔσωθεν ἔνδηλος ἐγκοῖλον ἔχων ὁ τράχηλος. καὶ ἤλγει ταύτῃ ψαυόμενος. ἦν δὲ καὶ κατωτέρω τινὶ τοῦ ὀδόντος καλεομένου ὀστοῦ, ὃ οὐχ ὁμοίως ὀξύ ἐστιν. ἔστι δ' οἷσι καὶ πάνυ περιφερὲς, μέζονι περιφερέη εἰ μὴ ξὺν τῷ ὀδόντι καλεομένῳ. φάρυγξ οὐ φλεγμαίνουσα. κειμένη δὲ τὰ ὑπὸ γνάθους ὀγκηρὰ, οὐ φλεγμαίνουσιν ἴκελα. οὐδὲ βουβῶνες οὐδενὶ ᾤδησαν. ἀλλὰ φύσει μὲν καὶ γλῶσσαν οὐ ῥηϊδίως στρέ-

φόντων. ἀλλὰ μέζων τε τουτέοισιν ἐδόκει εἶναι, καὶ περιεστεφή. καὶ ὑπὸ γλῶσσαν φλέβες ἐμφανέες. καταπίνειν οὐκ ἠδύναντο, ἢ πάνυ χαλεπῶς. ἀλλ' ἐς τὰς ῥῖνας ἔφευγεν, εἰ πάνυ ἐβιάζοντο. καὶ διὰ τῶν ῥινῶν διελέγοντο. πνεῦμα δὲ τουτέοισιν, οὐ πάνυ μετέωρον. ἔστι δ' οἷσι φλέβες αἱ ἐν κροτάφοισι, καὶ ἐν κεφαλῇσι καὶ ἐπ' αὐχένι ἐπηρμέναι. βραχὺ δέ τι τουτέων τοῖσι παλιγκοτάτοισι. κρόταφοι θερμοί. καὶ τ' ἄλλα μὴ πυρεταίνοιεν. οὐ πνιγόμενοι οἱ πλεῖστοι, εἰ μὴ καταπίνειν προθυμέοιντο, ἢ πτύαλον, ἢ ἄλλό τι. οὐδ' οἱ ὀφθαλμοὶ ἐγκαθήμενοι. οἷσι μὲν οὖν ἦν ἐς ὀρθὸν ἐξόγκωμα, μήτε ἑτερόρροπον, οὗτοι οὔτε παραπληκτικοὶ ἐγένοντο. ἀπολλύμενον δὲ εἴ τινα εἶδον, ἀναμνήσομαι. οὓς δὲ οἶδα νῦν, περιεγένοντο. ἦν δὲ τὰ μὲν τάχιστα ῥηΐζοντα. τὰ δὲ πλεῖστα, καὶ ἐς τεσσαράκοντα ἡμέρας περιῄει. τοῦτο δ' οἱ πλεῖστοι καὶ ἄπυροι. πουλλοὶ δὲ καὶ πάνυ ἤδη πολὺν χρόνον ἔχοντές τι μέρος τοῦ ἐξογκώματος. καὶ κατάποσις. καὶ φωνὴ ἐνσημαίνουσα. κίονές τε τηκόμενοι, μινύθησίν τινα παρεῖχον, πονηρὸν οὐδὲν δοκέοντες κακὸν ἔχειν. οἱ δὲ ἑτερόρροπα ἔχοντες, οὗτοι ὁπόθεν ἂν ἐγκλιθείησαν οἱ σπόνδυλοι αὐτῇ παρελύοντο. τὰ δ' ἤδη θάτερα εἵλκοντο. ἦν δὲ ταῦτα ἐν προσώπῳ καταφανέα μάλιστα. καὶ τῷ στόματι. καὶ τῷ κατὰ γαργαρεῶνα διαφράγματι. ἀτὰρ καὶ γνάθοι οἱ κάτω, παρήλλασσον κατὰ λόγον. αἱ δὲ παραπληγαὶ, οὐ διὰ παντὸς τοῦ σώματος ἐγίνοντο. οἷον ἐξ ἄλλων, ἀλλὰ μέχρι χειρός. τὰ ὑπὸ τοῦ κυναγχικοῦ. οὗτοι καὶ πέπονα ἀναπτύοντες, καὶ βραγχώδεες ἦσαν. οἷσι δ' ἐς ὀρθὸν καὶ ἀπέπτυον. οἷσι δὲ καὶ ξὺν πυρετῷ, οὗτοι πολλῷ μᾶλλον καὶ δύσπνοοι καὶ διαλεγομένοισιν ἀλλοχόοι. καὶ φλέβες τουτέοισι μᾶλλον ἐπηρμέναι. καὶ πόδες, πάντων μὲν ψυχρότατοι. τούτων δὲ μάλιστα. καὶ ὀρθοστατεῖν οὗτοι ἀδυνατώτεροι. καὶ οἵ τινες μὴ αὐτίκα ἔθνησκον. οὓς δὲ ἐγὼ οἶδα, πάντες ἔθνησκον.

Τμῆμα τρίτον. Κατάστασις τρίτη.

Ἐς Πέρινθον περὶ ἡλίου τροπὰς ὀλίγον, τὰς θερινὰς, ἤλθομεν. ἐγεγόνει δὲ ὁ χειμὼν, εὔδιος, νότιος. τὸ ἔαρ καὶ τὸ θέρος, πάνυ ἄνυδρον μέχρι πληϊάδων δύσιος. εἰ γάρ τι καὶ ἐγένετο, ἦν ὅσον ψεκάς. καὶ ἐτησίαι οὐ κάρτα ἔπνευσαν. καὶ οἱ πνεύσαντες, διεσπασμένως. τοῦ θέρεος, καῦσοι, ἐπεδήμησαν πολλοί. ἦσαν δὲ ἀνέμετοι. καὶ κοιλίαι ταραχώδεες, λεπτοῖσιν, ὑδατώδεσιν, ἀχόλοισιν, ἐπ' ἀφροῖσι πολλοῖσιν ἴσχοντα ἔστιν ὅτε καὶ ὑπόστασιν τεθέντα. ἐξ οἵων δ' ἂν καὶ ἐξαιθριαζόμενον τὸ ἴκελον. ἴσα τοῖς εἴδεσι διαχωρήματα διὰ παντὸς, κακόν. ἐν τουτέοισι, πολλοὶ κωματώδεες ἦσαν, καὶ παράφοροι. οἱ δὲ ἐξ ὕπνων τοιοῦτοι ἐγίνοντο. ὅτε δ' ἐγερθεῖεν κατενόουν πάντα. πνεύματα μετέωρα οὐ μὴν πάνυ. οὖρα λεπτὰ μὲν τοῖσι πλείστοισι, καὶ ὀλίγα. ἄλλως δὲ οὐκ ἄχροα. αἱμορραγίαι ἐκ ῥινῶν οὐκ ἐγένοντο, εἰ μὴ ὀλίγοισιν. οὐδὲ παρωτίδες. περὶ ὧν ὕστερον γράψω, οὐδὲ σπλῆνες ἐπήροντο. οὐδὲ δεξιὸν ὑποχόνδριον, οὐδ' ἐπώδυνον κάρτα, οὐδ' ἐντεταμένον ἰσχυρῶς. ἦν δέ τι ἐνσημαῖνον. καὶ μάλιστα ἐκεῖνο πάντα τὰ πολλὰ περὶ τεσσαρεσκαίδεκα. ὀλίγα σὺν ἱδρῶτι, ὀλίγα σὺν ῥίγει. καὶ πάνυ ὀλίγοισιν ὑποστροφαὶ ἐγίνοντο. ὑπὸ δὲ τὰς ψεκάδας τὰς γινομένας ἐν τῷ θέρει, ἐπεφαίνετο ἱδρώς. ἐν τοῖσι πυρέσσουσι καί τινες αὐτίκα ἱδρῶτες ἐπ' ἀρχῆς ἐγίνοντο, οὐ μὴν κακοήθως. καὶ τοῖσιν ὑπὸ τοῦτον τὸν χρόνον, καὶ ἐκρίθη σὺν ἱδρῶτι. ἐγένοντο δὲ ἐν τοῖσι θερινοῖσι πυρετοῖσι, περὶ ζ΄ καὶ η΄ καὶ θ΄ τρηχίσματα ἐν τῷ χρωτὶ, κεγχρώδεα τοῖσιν ὑπὸ κωνώπων γινομένοις μάλιστα ἴκελα ἀναδήγμασιν, οὐ πάνυ κνισμώδεα. ταῦτα διετέλει μέχρι κρίσιος. ἄρσενι δὲ οὐδενὶ εἶδον τοιαῦτα ἐξανθήσαντα. γυνὴ δὲ οὐδεμία ἀπέθανεν, ᾗ ταῦτα ἐγένετο. βαρυήκοοί τε ἦσαν. καὶ κωματώδεες. πρόσθεν δὲ οὐ κάρτα ἦσαν κωματώδεες ᾗσιν ἔμελλε ταῦτα ἔσεσθαι. οὐ μὴν τὸ σύμπαν διετέλεον. κωματώδεες δὲ καὶ ὑπνώδεες, τὸ θέρος καὶ μέχρι πληϊάδων δύσιος. ἔπειτα μὴν ἀγρυπνίαι μᾶλλον. ἀτὰρ οὐδὲ τὸ σύμπαν ὑπὸ τῆς καταστάσιος ταύτης ἔθνησκον. κοιλίην μὲν οὖν οὐκ ἐνεδέχετο, οὐδὲ τοῖσι γεύμασιν ἱστάναι, ἀλλὰ παρὰ λόγον ᾤετο αὖτις ἰήσασθαι ξυμφέρειν. καίτοι ὑπὸ δὲ πολλά, ἔστιν οἷσι τὰ δ' ἰόντα ἦν. τὸ ἐν ψύχει κεῖσθαι ὑποβεβλημένον. ὡς ἕλκοι μὲν τὸ ψυχρόν. θάλπει δὲ τὸ τοιοῦτον εἶδος ἐκ προσαγωγῆς δεῖ μᾶλλον. καὶ τὸ μηδὲν τῇ φύσει πάθεα γίνεσθαι, ἐφ' οἷσί τε καὶ ὁκοῖα τὰ σημεῖα. καὶ πλείω ἢ μείω γινόμενα. χάσμη. βήξ. πταρμός. σκορδίνημα. ἔρευξις. φῦσαι. πάντα τὰ τοιαῦτα διαφθείρουσιν. ἧσιν ἐν πυρετοῖσιν ἀσώδεσι, φρικώδεσιν, ἐρυθαίνονται πρόσωπα. καὶ κνιώδεες. ὀμμάτων ὀδυνώδεες. καρηβαρίαι. παραπληγίαι. καὶ γυναικεῖα ἦν ὑποφαίνηται. μάλιστα δὲ ἧσι πρῶτον, ἀτὰρ καὶ παρθένοισι, καὶ γυναιξὶν, ἧσι διὰ χρόνου, ἀτὰρ καὶ ἧσι μὴ ἐν ᾧ εἴθισται χρόνῳ, ἢ ὡς δεῖ ὑποφαίνονται, ἔπειτα ἔξωχροι γίνονται,

μέγα δ' ἐν ἅπασι, τὸ καὶ ἑξῆς, καὶ ἐν ᾧ χρόνῳ, καὶ ἐφ' οἷσι. τοῖσι πάνυ χολώδεσιν ἐν πυρετοῖσι μάλιστα. ὅλως οἷσιν ὑπὸ σκέλεα ἡ κάθαρσις, φαρμάκων τε τρόπους ἴσμεν, ἐξ ὧν γίνεται ὁποῖα ἄσσα. οὐ γὰρ πάντες ἀλλ' ἄλλοι ἄλλως εὖ κεῖνται. καὶ ἄλλοθι πρωϊαίτερον, ἢ ὀψιαίτερον, λαφθέντα διαχειρισμοῖσιν. οἷον ἢ ξηρᾶναι, ἢ κόψαι, ἢ ἑψῆσαι. καὶ τὰ τοιαῦτα ἐῶ τὰ πλεῖστα, ὁκόσα ἑκάστῳ, καὶ ἐφ' οἷσι νουσήμασι, καὶ ὁπότε τοῦ νοσήματος. ἡλικίην. εἶδεα. δίαιταν, ὁποίη ὥρη ἔτεος, καὶ ἥτις καὶ ὁκοίως ἀγομένη, καὶ τὰ τοιαῦτα.

Ζωΐλῳ τῷ παρὰ τὸ τεῖχος, ἐκ βηχὸς πεπέρης, πυρετὸς ὀξὺς, καὶ προσώπου ἔρευθος. καὶ κοιλίη ἀπειλημμένη, πλὴν πρὸς ἀνάγκην. πλευροῦ ὀδύνη ἀριστεροῦ. καὶ τοῦ κατ' ἴξιν ὀδυνῶδες πάνυ. καὶ κεφαλῆς οὐ τοσούτω. πτύων διὰ παντὸς ὑπόπυον ἐνόσει. ἀλλὰ τὰ ἄλλα ἐκεῖθι. καὶ κατὰ οὖς ἐῤῥάγη πύον πουλύ. περὶ ὀγδόην ἢ ἐνάτην. αἱ δ' ἀρχαὶ τῆς ἐνάτης. ὀδύνης τοῦ ὠτός. οὐκ οἶδ' ὅπως ἄνευ ῥίγεος ἢ κρίσιος ἱδρῶσαι κεφαλὴν κάρτα. καὶ οὗτος ἐμπεδότιμη ξύγκαυσις καὶ ἀριστεροῦ πλευροῦ. ἄνω ἅμα ὠτί, ἀνωδύνη μάλιστα κατ' ὠμοπλάτην. ἀτὰρ καὶ ἔμπροσθεν πτύαλα πουλλὰ, κατ' ἀρχὰς πτυσθέντα ἀνθηρὰ, καὶ ἀμφὶ ἑβδόμην ἢ ὀγδόην. ἔπειτα ἐπίπονα. κοιλίη ἔστηκε μέχρις ἀμφὶ ἐνάτην καὶ δεκάτην. ἡ ὀδύνη ἀπέσβη. οἴδημα ἀνῆκε, καὶ ἱδρώτια ἐγένετο. οὐ μὴν ἔκειμε. δῆλα δὲ ἦν καὶ ἄλλοισι καὶ τῇ ἐξόδῳ. περὶ γὰρ ἀρχομένην τὴν τοῦ ὠτὸς ὀδύνην καὶ ἡ γαστὴρ ἐπεταράχθη. ἐῤῥάγη δὲ ἐκ τοῦ ὠτὸς ἐνάτῃ, καὶ ἐκρίθη τεσσαρεσκαιδεκάτῃ ἄνευ ῥίγεος ἡ νοῦσος τῇ αὐτῇ ἡμέρῃ. ἀτὰρ καὶ τὸ πτύελον λαυρότερον εἴη, ἐπεὶ τὸ οὖς ἐῤῥάγη, καὶ πεπειρότερον. ἱδρῶτες δὲ καὶ ἕρπητα, ὑπὸ πολὺν χρόνον τῆς κεφαλῆς ἐγίνοντο. ἐξηράνθη ὡς τρίτῃ, ὁπόσα ἀσήμως ἀφανίζεται δύσκριτα. καὶ οἷον τῇ τοῦ Πολεμάρχου παιδίσκῃ ἐρυσιπέλας.

Οἱ ὑπὸ βηχώδεσι πυρετοῖσι, κακὸν πλὴν τῶν ἐφημερίων. καὶ οἱ ὑπὸ πυρετοῖσι βηχώδεες, κακίονες. ἐν τοῖσιν ὀξέσιν ἐξ ἀρχῆς παρακμάζοντες τὰ πνεύματα ὑποχονδρίοισιν ἔπαρσις μαλθακή. καὶ ἔντασις οὐδετέρη. ἐπ' αὐτῶν ἄνω στρογγύλον, ἐν τοῖσι δεξιοῖσι οἷον περιφέρεια ἀπυητική. ἄλλο μακρότερον ὑπὸ πλέον. ἄλλο κεχυμένον. ἄλλο κάτω ῥέπον, καὶ ἔνθεν καὶ ἔνθεν ξύντασις μέχρι τοῦ ὀμφαλοῦ. ἐν πάσῃ τῇ ἄνω ἴξει, ἢν ἐπαναλῆται καὶ ἐπιλήπται ἂν τὸ περιφερές. ἢν μὲν πνεῦμα ᾖ, ἀκρήτως λεπτύνεται θέρμη. ἢν δὲ ὕδωρ διαφύγῃ, ἂν ἐμπύησιν ὁρμᾷ. πυκνὰ πνεύματα, σμικρὰ, μεγάλα, ἀραιά. ἔξεισιν ἔξω μέγα. ἔσω σμικρόν. τὸ μὲν ἐκτεῖνον, τὸ δὲ κατεπεῖγον. διπλῆ ἔσω ἐπανάκλισις. οἷον ἐπεισπνέουσιν ἐν θερμῷ ψυχρόν. ἰκτήριον συνεχέων χασμέων, μακρόπνους. τοῖσιν ἀπόροισι. καὶ μόγις μακρόπνους κατ' ἴξιν. καὶ πλευρέων ἔντασις ὀδυνώδης. καὶ ἐντάσιες ὑποχονδρίων. καὶ σπληνὸς ἐπάρσιες, ἐκ ῥινῶν ῥήξιες. τὰ ἐγκαταλιμπανόμενα μετὰ κρίσιν ὑποστροφώδεα. τὸ γοῦν πρῶτον σπληνῶν ἐπάρσιες, ἢν μὴ ἂν ἄρθρα τελευτήσῃ, αἱμοῤῥαγίη γίνεται, ὑποχονδρίου δεξιοῦ ἔντασις, ἢν μὴ διεξοδεύσῃ οὖρα, αὕτη γὰρ ἡ κατάληψις ἀμφοῖν καὶ ὑποστροφαὶ, ἀκαταστασίας οὖν ποιέεσθαι αὐτὸν ἡγεύμενον. τὰς δὲ παρακλίνειν ἤδη γινομένας ἀποδέχεσθαι ἢν ἴωσιν ἤδη. καὶ ὁποῖα δεῖ. καὶ ὁπόσα, μὴ ξυνδρᾶν δέ. τὰς δ' ἀποτρέπειν, ἢν πάντῃ ἀσύμφοροι ἔωσι. μάλιστα δὲ ταύτας μελλούσας. εἰ δὲ μὴ, ἄρτι ἀρχομένας. αἱ τεταρταῖαι αἱμοῤῥαγίαι, δύσκριτοι. οἱ διαλείποντες μίαν τῇ ἑτέρῃ ὑπεῤῥιγοῦσιν ἅμα κρίσει ἂν ἑβδόμην σκοπῶ. ἐκ κορυζωδέων χολωδέων, καὶ φάρυγγος φλεγμονῆς, φλαύρως διαιτηθέντι ἡ κοιλίη ἀπελήφθη. καὶ πυρετὸς ξυνεχὴς ἐγένετο. καὶ γλῶσσα ὑπανθής. καὶ ἄγρυπνος. ἤτρου ἔντασις ἰσχυρῶς ὁμαλῶς κατὰ σμικρὸν ἂν τὸ κάτω. ἐν τοῖσι δεξιοῖσι πνεῦμα ὑπόπυκνον. ὑποχόνδρια ἤλγει. καὶ ἀναπνέων καὶ στρεφόμενος. ἄνευ δὲ βηχὸς ἀπεχρέμπτετο. ὑπὸ πάχετος πέπλος δοθεῖσα, ἀπὸ τοῦ ὑποχονδρίου μὲν ἀπῶσεν. ἐπεβαρώθη δὲ οὐδέν. τῇ δ' ὑστεραίῃ βάλανοι δύο προστεθεῖσαι οὐκ ἐφάνησαν. οὖρον δὲ παχὺ καὶ θολερόν. λεῖα καὶ ὁμαλή. καὶ ἔστη κοιλίη ἐν θολερότητι, ἥτε γαστὴρ μαλακωτέρη ἦν. καὶ σπλὴν ἐπηρμένος, καὶ κατάῤῥοπος ἐγένετο. ποτῷ ἐχρῆτο ὀξυγλυκεῖ. δεκάτῃ, αἷμα ἐξ ἀριστεροῦ ὑδαρὲς ὀλίγον ἦλθεν. οὐ πάνυ δέ τι ἄῤῥωστος αὐτὸ ὕδωρ. καὶ οὖρον ὑπόστασιν ἔχον. ἐν δὲ τῇ ὑποστάσει, ὑπόλευκόν τι προσεχόμενον πρὸς τῷ ἀγγείῳ λεπτόν. οὔτε οἷον γονοειδὲς, οὔτε ἀνόμοιον, ἐῤῥύη ὕδωρ βραχύ. τῇ δ' ὑστεραίῃ κριθεὶς, ἀπύρετος, καὶ ὑπῆλθεν ὑπόγλισχρον τῇ ἑνδεκάτῃ. τὸ δέ τι περὶ ῥοῦν χολώδεες. οὔρου δὲ κάθαρσις πολλὴ, καὶ πλήθει, καὶ ὑποστάσει. καὶ πρὶν μὲν οἰνοποτέειν, ἤρξατο μικροῦ λάπη ὁμοίη. διῆλθε δὲ τῇ ἑνδεκάτῃ, ὡς ὀλίγων ἐόντων. γλίσχρα δὲ καὶ κοπρώδεα θολερά. τὸ τοιοῦτον κρισίμως ὅτι καὶ τὸ Ἀντιγένεος ἐν Περίνθῳ. τὰ περὶ τὰς γλώσσας αἰρόμενα συστρέμματα,

καὶ ταπεινὰ ἐόντα λιβίδια. καὶ τὰ τοῖσι ποδαγρικοῖσι, τὰ ἀθηρέα παρ' ἄρθρα ἐκείνων ἐστί. ἔστι γὰρ ἡ ὀστέων φύσις καὶ τοῦ σκληρύνεσθαι τοῦτο αἴτιον. καὶ τὸ συντείνεσθαι. Τὸ τῆς Ἱπποστράτου ἐκ τεταρταίου ἐνιαυσίου ἀπεκορύφου, ὑπόψυχρος φανερῶς δοκέουσα. ἔφοδος ἤδη περὶ τὸ σῶμα καὶ ἱδρὼς ἐκείνῃ ταύτῃ. καὶ μετὰ ταῦτα γυναικεῖα πλείω πλήθει καὶ χρόνῳ. τότε γὰρ ἐπεῖχε μὴ ἑστάναι ἔδοξεν ἀπόστασις. ἐν τοῖσι σφίζουσιν αἱμοῤῥαγέσι χρῆμα ὀλυρόν τε ὄν, καὶ τὸ ξύμπαν εἰ ἐκ τοῦ περὶ ταύτῃ κατάντεος ἄναντες ποιοῖτο. διὸ καὶ αἱ ἀποδιεστεῶσαι αἱ ἐν τῇσι φλεβοτομίῃσιν ὁρμῶσι. αἱ δὲ ἰσχυραὶ κωλύουσιν οἶμαι τὸ ἔναιμον, καὶ τὸ ὑπόχολον ὀξυρεγμώδεα. ἴσως δὲ ἐς μέλαιναν τοῦ τοῖσι τελευτᾷν. ῥῖγος ἄρχεται, γυναιξὶ μὲν μᾶλλον ἀπὸ ὀσφύος διὰ νώτου ἐς κεφαλήν. ἀτὰρ καὶ ἀνδράσιν ὄπισθεν μᾶλλον, ἢ τὰ ἔξωθεν τοῦ σώματος. οἷον πηχέων, μηρῶν. ἀτὰρ καὶ τὸ δέρμα ἀραιόν. δηλοῖ δὲ ἡ θρὶξ τῶν ζώων. ἔστιν οὐδὲν ἔσω τοῦ τεταγμένου χρόνου, ἑκάστῃσι τὰ τικτόμενα ἀπόγονα γίνεται. τὰ ἐπιφαινόμενα ἐν οἷσι μησὶ γίνεται. οἱ πόνοι ἐν περιόδοισιν, ὅτι ἐν ἑβδομήκοντα κινέεται. ἐν τριπλασίοισι τελεῦται, ὅτι μετὰ γυναικεῖα δεξιά. τὰ δὲ ἀριστερὰ χάσκων ὑγρότης διὰ τῶν ἀπιόντων διαίτης ξηροτάτης, ὅτι θᾶσσον κινηθὲν διακριθὲν αὖθις αὔξεται, καὶ βραδύτερον. ἤδη πλείονα χρόνον οἱ πόνοι περὶ τρίτην ἡμέραν πρὸς τῇσι τεσσαράκοντα. καὶ ἕκτην πρὸς τῇσιν ἑκατόν. μηνιαῖοι, δευτεραῖοι καὶ τεταρταῖοι. ἃ δεῖ εἰδέναι ἐς τὸν ἑπτάμηνον. ἢ ἀπὸ τῶν γυναικείων ἀριθμητέοι οἱ ἐννέα μῆνες, ἢ ἀπὸ τῆς ξυλλήψιος καὶ εἰς ἑβδομήκοντα καὶ διακοσίῃσιν οἱ ἑλληνικοὶ μῆνες γίνονται. καὶ ἔτι περὶ δὲ τὰ τέκνα, καὶ ἤτοι τοῖς ἄρσεσιν, ἢ καὶ τῇσι θηλέῃσι. ταῦτα ποιέεται ἢ τἀναντία. τῶν βρωμάτων καὶ πομάτων, οἱ ὦμοι καὶ οἱ μαζοὶ ἐμφυσῶνται. καὶ τῶν ἐν τῇ κεφαλῇ αἱ ἀκρησίαι καὶ τὰ ἐμφυσήματα ποιέουσιν αὐξήσιας, ἐς ἂν τὰ ὀστέα στερεωθῇ. τῶν ἐπιμηνίων περίοδοι, τὰ περὶ τούτων. βαρέα ἀδελφὰ τῶν ὀκταμήνων πόνων περὶ τόκων τὰ γάλακτα. τὸ μὲν τροφῆς μεταβαλλούσης, τὸ δὲ ὀκταμήνου ἀπαρτιζούσης. βρωμάτων ἢν ἰσχυρῶν ἐόντων οἴδημα μὴ φαίνηται μέγα, κακόν. τὰ χαῦνα, χρηστόν. τὰ ἄνω νεμόμενα, κάκιον. διὸ τὰ ἐπιμήνια, ἀδελφὰ τῶν ὀκταμήνων πρὸς δεκάμηνον τεινόντων γενόμενα, κακόν. οἷσιν οἰδήματα ἐφ' ἕλκεσιν, οὐ μάλα σπῶνται, οὐδὲ μαίνονται. τούτων δὲ ἀφανισθέντων ἐξαίφνης, οἷσι μὲν ἐς τὰ ὄπισθεν, σπασμοὶ μετὰ πόνων. οἷσι δὲ ἐς τὰ ἔμπροσθεν, ἢ μανίαι, ἢ ὀδύναι πλευροῦ ὀξέαι. καὶ δυσεντερία ἐρυθρά. τὰ οἰδήματα παραλόγως ῥηΐζοντα, κίβδηλον. οἷον τῷ τοῦ Ἀνδρονίκου παιδίῳ τὸ ἐρυσίπελας ἐπαλινδρόμησεν, ἢν μὴ ἐς τὸ αὐτὸ ἐλθὸν χρηστόν τι σημαίνῃ. τοῦτο ἔκ τε γενέσιος περὶ τὸ οὖς περὶ ἥβην διεδόθη. ἑτέρῳ τριταίῳ ἐκ πυρετοῦ γενομένῳ ἀπεπύησεν ἐνναταίῳ. γίνεται οὗτος ἑβδομαῖος ὑγιής. κακοηθέστερα τὰ ἀφανιζόμενα ἐξαίφνης.

Τμῆμα τέταρτον περὶ φλεβῶν.

Ἡπατῖτις ἐν ὀσφύϊ, μέχρι τοῦ μεγάλου σπονδύλου κάτωθεν, καὶ σπονδύλοισι προσδιδοῖ ἐντεῦθεν. μετέωρος δὲ ἧπατος, καὶ διὰ φρενῶν ἐς καρδίην. καὶ ἡ μὲν εὐθεῖα ἐς κληΐδας. ἐντεῦθεν δὲ, αἱ μὲν ἐς τράχηλον. αἱ δὲ ἐπ' ὠμοπλάτας. αἱ δὲ ἀποκαμφθεῖσαι κάτω, παρὰ σπονδύλους καὶ πλευρὰς ἀποκλίνουσι. καὶ ἐξ ἀριστερῶν μὲν μία ἐγγὺς κληΐδων. ἐκ δεξιῶν δὲ ἐπί τι αὐτῇ χωρίον ἄλλη. ἡ δὲ σμικρὸν κατωτέρω ἀποκαμφθεῖσα, ὅθεν μὲν ἐκείνη ἀπέλιπε, προσέδωκε τῇσι πλευρῇσι, τῇσιν ὑπολοίπῃσιν ἁπάσαις ἢ ἔνθεν καὶ ἔνθεν ἀποσχίδας γε ἑκάστῃ διδοῦ μία ἐοῦσα. ἀπὸ μὲν τῆς καρδίης ἐπί τι χωρίον ἐν τοῖσιν ἀριστεροῖσι μᾶλλον ἐοῦσα ἤδη τὰ ὑποκάτω τῆς ἀρτηρίης, ἐς ἂν καταναλωθῇ καὶ ἔλθῃ, ὅθεν ἡ ἡπατῖτις ἐμετεωρίσθη. πρότερον δὲ πρὶν ἢ ἐνταῦθα ἐλθεῖν, παρὰ τὰς ἐσχάτας δύο πλευρὰς ἐδιαιρέθη. καὶ ἡ μὲν ἔνθα. ἡ δὲ ἔνθα τῶν σπονδύλων ἐλθοῦσα, κατηναλώθη. εὐθεῖα δὲ ἀπὸ καρδίης πρὸς κληΐδα τείνουσα ἄνωθεν τῆς ἀρτηρίης ἐστί. καὶ ἀπὸ ταύτης ὥσπερ καὶ παρ' ὀσφύϊ κάτωθεν τῆς ἀρτηρίης ἀΐσσει ἐς τὸ ἧπαρ. ἡ μὲν ἐπὶ πύλας καὶ λοβόν. ἡ δὲ τὸ ἄλλο ἐξῆς ἀφορμηκε, σμικρὸν κάτωθεν φρενῶν. φρένες δὲ προσπεφύκασι τῷ ἥπατι, ἃς οὐ ῥᾴδιον χωρῆσαι. δισσαὶ δὲ ἀπὸ κληΐδων. αἱ μὲν ἔνθεν. αἱ δὲ ἔνθεν ὑπὸ στῆθος ἐς ἦτρον. ὅπῃ δὲ ἐντεῦθεν, οὔπω οἶδα. φρένες δὲ κάτω κατὰ τὸν σπόνδυλον τὸν κάτω τῶν πλευρέων, ᾗ νεφρὸς ἐξ ἀρτηρίης, ταύτῃ ἀμφιβεβήκασι. ἀρτηρίαι μὲν ἐκ τοῦ τένοντος ἐκπεφύκασιν ἔνθεν καὶ ἔνθεν ἀρτηρίης τόνον ἔχουσαι. ταύτῃ δέ πῃ παλινδρομέουσα ἀπὸ καρδίης ἡ ἡπατῖτις ἔληγεν. ἀπὸ δὲ τῆς ἡπατίτιδος διὰ τῶν νεφρῶν αἱ μέγισται δύο, ἡ μὲν ἔνθεν. ἡ δὲ ἔνθεν φέρονται μετέωροι. πολυσχιδέες τε διὰ τῶν φρενῶν εἰσὶν ἀμφὶ ταύτας. ἐπιπεφύκασιν

ἄνωθεν

ἄνωθεν δὲ ἀπὸ φρενῶν. αὗται δὲ μᾶλλόν τι ἐμφανέες. δύο δὲ τόνοι ἀπ' ἐγκεφάλου ὑπὸ τὸ ὀστέον τοῦ μεγάλου σπονδύλου ἄνωθεν καὶ πρὸς τοῦ στομάχου μᾶλλον ἑκατέρωθεν τῆς ἀρτηρίης παρελθὼν, ἑκάτερος ἐς ἑωυτὸν ἦλθεν. ἴκελος ἐνί. ἔπειτα οἱ σπόνδυλοι καὶ αἱ φρένες προσπεφύκασιν, ἐν τουτέοισιν ἐτελεύτων. καί τινες ἐνδιασσοὶ πρὸς ἧπαρ καὶ σπλῆνα ἀπὸ τούτου τοῦ κοινωνήματος, ἐδόκεον τείνειν. ἄλλος τόνος ἐκ τῶν κάτωθεν σπονδύλων παρὰ ῥάχιν παρέτεινεν ἐκ πλαγίου σπονδύλων, καὶ τῇσι πλευρῇσιν ἀπένεμεν. ὥσπερ αἱ φλέβες οὕτως οὗτοι διὰ φρενῶν, ἐς μεσεντέριόν μοι δοκέουσι τείνειν. ἐν δὲ τουτέοισιν ἐξέλιπον. αὖθις δ' ὅθεν φρένες ἐξεπεφύκεσαν ἀπὸ τούτου ξυνεχέες ἐόντες κατὰ μέσον κάτωθεν ἀρτηρίης, τὸ ἐπίλοιπον παρὰ σπονδύλους ἀπεδίδου ὥσπερ αἱ φλέβες, μέχρι κατηναλώθησαν, διελθοῦσαι ἐς τὸ ἱερὸν ὀστέον. Ἐν Αἴνῳ ὀσπριοφαγέοντες ξυνεχέως θήλειαι ἄρσενες, σκελέων ἀκρατέες ἐγένοντο, καὶ διετέλεον. ἀτὰρ καὶ ὀροβοφαγέοντες γουναλγέες. ὑποτηδεύειν ὀξυθυμίην ἐμποιέειν. καὶ χρώματος ἀναλήψιος ἕνεκα καὶ εὐχυμόσιος, καὶ εὐθυμίης, καὶ φόβους, καὶ τὰ τοιαῦτα. καὶ ἢν μὲν τὸ ἄλλο σῶμα συννοσέῃ, ξυνιῆσθαι. εἰ δὲ μὴ, ἐᾶν. Ἡ Στυμάργεω οἰκέτις ἡ Ἰδουμαία, ἐγένετο ὡς ἔτεκε θυγατέρα ἐπεστράφη τὸ στόμα τοῦ αἰδοίου, καὶ ἐς ἰσχίον, καὶ σκέλος, ὀδύνη παρὰ σφυρόν. τμηθεῖσα ἐρρύησεν. καίτοι καὶ τρόμοι κατὰ σῶμα πᾶν κατεῖχον, ἀλλ' ἔδει τὴν πρόφασιν διελθεῖν, καὶ τῆς προφάσιος τὴν ἀρχήν.

Τμῆμα πέμπτον. φυσιογνωμονίη.

Ὁκόσοι πυρροὶ, ὀξύρινες, ὀφθαλμοὶ σμικροὶ, πονηροί. ὁκόσοι πυρροὶ, σιμοὶ, ὀφθαλμοὶ μεγάλοι, ἐσθλοί. ὑδρωπιώδεες, χαροποὶ, φαλακροὶ ἔασιν. ἰσχνοφωνίην κιρσὸς λύει. ἐς τὸν ἀριστερὸν καὶ τὸν δεξιὸν ὄρχιν ἄνευ τουτέου τοῦ ἑτέρου οὐχ οἷόν τε λύεσθαι. μεγάλοι, φαλακροὶ, τραυλοὶ, ἰσχνόφωνοι, ἐσθλοί. νοσήματα δὲ ἔχουσι τραυλὸς, ἢ φαλακρὸς, ἢ ἰσχνόφωνος ἢ δασὺς, ἰσχυρῶς μελαγχολικά. νοσήματα δ' ἔχουσιν ὅσοι τῇ γλώσσῃ παφλάζουσιν. χειρῶν μὴ ἐγκρατέες ἐόντες, ἀνάγκη λυομένων ἐμπύους γίνεσθαι. ὀδύνην ἐν τοῖσι κάτω χωρίοισιν, ἰσχυρὴ κωφότης λύει. καὶ αἷμα πολλὸν ἐκ τῶν ῥινῶν, ἢ μανίη. ἢν λέχοις σπασμὸς ἐπιγένηται, πῦρ ποιεῖν. καὶ ἐς κύστιν κηρωτὴν ἐγχέας πολλὴν χλιαρὴν, κλύζειν. ἢν τῆς κεφαλῆς τὸ ὀστέον καταγῇ, διδόναι γάλα καὶ οἶνον πίνειν, ἴσον ἴσῳ. ἢν δὲ ἕλκος ᾖ, φλεβοτομέειν τὰς ἴσω, ἢν μὴ πυρεταίνῃ. ἢν δὲ παραφρονέῃ τὴν κεφαλὴν καταβρέχειν, ἢν μὴ τὰ ὑποχόνδρια ἐπηρμένα ᾖ. ἢν τὴν κεφαλὴν ἀλγέῃ, ἐς στῆθος ἔρχεται. ἔπειτα ἐς τὸ ὑποχόνδριον. ἔπειτα ἐς τὸ ἰσχίον. πάντα δὲ οὐχ οἷόν τε ἀλγέειν. ἀνεμίην, φλεβοτομίη. διὰ φαρμάκου τὸν ῥόον ἴσχειν ἐπαλείφων. ὅδε γὰρ ὁ ῥόος, ἐκ τῆς μεγάλης φλεβός. ἢν δ' αὐτόματον ῥέῃ πολλὸν, προσδεχέσθω ἢ γάλα, δύο ὕδατος, τέσσαρας γάλακτος, τὰς ἀγόνους πυριῇν καὶ φαρμακεύειν. ὅσοι ἐξαπίνης ἄφωνοι ἀπύρετοι ἔασιν, φλεβοτομέειν. φλέγματος καταρρόοι ἐκ τῶν μαζῶν ἕλκουσιν οἱ ὀφθαλμοί. καὶ ἐξερεύγεται κατὰ τὰς ῥῖνας ἐς τὸν πνεύμονα. οἷσι βὴξ ξηρὴ οὐ λύεται, ἢν μὴ ὀδύνη ἰσχυρὴ ἐς τὰ ἰσχία, ἢ ἐς τὰ σκέλεα, ἢ ἐς τὴν ὄρχιν. ἢν ὑδρωπιῶντα βὴξ ἔχῃ, ἢν μὲν αὐτίκα λειποθυμέῃ, θερμοῖσι πᾶσι διαχρέεσθω. ἢν δὲ μὴ θωρῆξαι, καὶ σιτίων ἐμπλῆσαι. τάμνειν δὲ τὰς ἔσω. τοῦ νοσήματος τοῦ μεγάλου ἐν τάσει γινομένου, λύσις ἰσχίων ὀδύνη, ὀφθαλμῶν διαστροφαί. τύφλωσις, ὀρχίων οἴδησις. μαζῶν ἄρσις. ἢν πυρετοῦ ἔχοντος τὰ περὶ τὸ πρόσωπον ἰσχνὰ ᾖ, ἐν ἡμέρῃ γονίμῳ, τὴν ἐπίστασιν λύσει ὕδρωψ ἢν οἴδημα ἔχων ἐν τοῖσι σκέλεσι, βήσσῃ. ἢν τὸ οὖς ἀλγέῃ, διὰ γάλακτι διαχρέεσθω. ἢν μὴ ἐν τῇ γονίμῃ μεθῇ ὁ πυρετὸς, ὑποτροπιάζειν ἀνάγκη. οὗ ἂν ἡ φλὲψ ἡ ἐν διαγκῶνι σφύζῃ, μανικὸς καὶ ὀξύθυμος. ᾧ δ' ἂν ἀτρεμέῃ, τυφλώδης. τρῶμα ἢν αἱμορραγέῃ, μὴ βρέχειν τὸ ἕλκος. τὴν κεφαλὴν δὲ βρέχειν θερμῷ. ἢν καρδιώσσῃ, θερμὸν ἄρτον μετ' οἴνου ἀκρήτου διδόναι. ἐμέτου λύσις, ὕδωρ θερμὸν διδόναι πίνειν, καὶ ἐμέτω. ὅσα σφακελίζει, πρὶν ἀπολαβόντα τὴν φλέβα ἑλκῶσαι καὶ ὑγιῶσαι. Σπασμοῦ χειρὸς δακτύλων ἄνευ πυρετοῦ χάσαι ἢν μὴ τὴν κεφαλὴν ἀλγέῃ. εἰ δὲ μὴ, ὕδωρ θερμὸν καταχέειν. Ὀφθαλμῶν. σποδίου δωδέκατον, κρόκου πέμπτον, πυρρίνου ἐν. ψιμμυθίου ἐν. σμύρνης τὸ ὕδωρ κατὰ τῆς κεφαλῆς ψυχρὸν καταχέειν. καὶ διδόναι σκόροδα σὺν μάζῃ. Κιρσοὶ δὲ φαλακρῶν ἢν μὴ μεγάλοι ἔωσι, μανιώδεες. Ἀλφοῦ καὶ λέπρης. τιτάνην ἐν ὕδατι ὡς μὴ ἑλκώσῃς. χωρίων κάθαρσις ἢν ὑποβρέχῃ, πρὸς τὰς ῥῖνας προσιθέναι, ὥστε πταρνύσθαι καὶ ἐπιλαμβάνειν τὰς ῥῖνας τῆς πταρνυμένης, καὶ τὸ στόμα.

Τμῆμα ἕκτον. φυσιογνωμονικόν.

Ἢν κεφαλὴ μεγάλη, καὶ οἱ ὀφθαλμοὶ σμικροί, τραυλοί, ὀξύθυμοι. οἱ μακρόβιοι, πλείους ὀδόντας ἔχουσιν. οἱ τραυλοί, ταχύγλωσσοι. μελαγχολικοί. κατακορέες. ἀσκαρδαμύκτες. ὀξύθυμοι. μεγάλη κεφαλή. ὀφθαλμοὶ μέλανες καὶ μεγάλοι. ῥῖνα παχεῖαν καὶ σιμήν. ἐσθλοί. χαροποὶ μεγάλοι. κεφαλὴ σμικρή. αὐχὴν λεπτός. στήθεα στενά. εὐάρμοστοι. κεφαλὴ σμικρή, οὐ δ᾽ ἂν εἴη τραυλός, οὐδὲ φαλακρός, ἢν μὴ γλαυκὸς εἴη. Σπασμῶν φωνὴ ἐν γονίμῳ λύεται. ἀπήλλακται τοῦ μεγάλου νοσήματος. Λεχοῖ δὲ πυρεταινούσῃ, καὶ ἀλγεούσῃ, ὕδωρ καταχεῖν, καὶ πτισάνην παχεῖαν διδόναι τρὶς τῆς ἡμέρης, θερμήν. Παιδίον τρέφεται ἑβδόμῳ μηνί, ἢ ἐννάτῳ, ἢ δεκάτῳ. καὶ ἵσταται τῇ φωνῇ, καὶ ἰσχὺς ἕπεται. καὶ τῶν χειρῶν κρατέει. τῆς φωνῆς λυομένης πάντα λύεται, ἡ γὰρ λύσις τῇ φθέγξει ὁμοίη. λύεται δὲ ἐν γονίμῃ. Ἢν αἱ φλέβες σφύζωσιν ἐν τῇσι χερσί, καὶ τὸ πρόσωπον ἐρρωμένον, καὶ ὑποχόνδρια μὴ λαπαρὰ ᾖ, χρονίη ἡ νοῦσος γίνεται. ἄνευ σπασμοῦ οὐ λύεται, ἢ αἵματος πολλοῦ ἐκ τῶν ῥινῶν, ἢ ὀδύνης ἐς τὰ ἰσχία. Τοῦ λαιμοῦ ὕδωρ θερμὸν κατὰ τῆς κεφαλῆς καταχεῖν, ἢν μὴ ψῦχος ᾖ. ἢν δὲ μή, ἄλητον ὡς θερμότατον διδόναι, καὶ οἶνον ἄκρητον. Ταραχῆς γαστρός, κυάμους ἑφθοὺς διδόναι, ἢν μὴ τὰ ἄνω κατακορέα ᾖ. ἢ κύμινον διδόναι τρώγειν, μετὰ τῶν κυάμων. ἀπόληψις δὲ τοῦ νοσήματος οὐκ ἂν γένοιτο, εἰ μὴ ἐν γονίμῃ ἡμέρῃ. οὐδὲ ἂν ἀρχὴ γένοιτο, ἢν μὴ ἀγόνῳ ἡμέρῃ καὶ μηνί. ἔτι δὲ γονίμῳ, λίτρον αἰγύπτιον, καὶ κορίανον καὶ κύμινον τρίβοντα σὺν ἀλείφατι συναλείφειν. Ὅσα θνήσκει ἀνάγκη γονίμῳ ἡμέρῃ, καὶ γονίμῳ μηνί, καὶ γονίμῳ ἔτει. τὸ λέγειν δ᾽ ὀρθῶς ἂν ἔχοι θάνατον ἢ ὀδύνας ἰσχυράς. Ὧν τὰ ὄμματα μὴ ἔρρωται, ὁ θάνατος ἐν τάχει. ἢν δὲ ἐν γονίμῳ ἔτει γίνηται, ἀπ᾽ ἀμφοτέρων γονίμους ἀνάγκη γενέσθαι. ἢν δὲ ἀγόνῳ ἔτει καὶ ἀγόνῳ ἡμέρῃ, θνήσκειν ἀνάγκη γονίμῳ ἡμέρῃ. Τοῦ ἀριθμοῦ τρίτη ἰσχυροτάτη. Κυνάγχην καὶ ὀφθαλμίην, φλεβοτομίη. Τρωθέντος ἐν τόρῳ, ἡ ἀναπνοὴ ἔρχεται κάτω ἀφανὴς κατὰ τὸ τρῶμα, καὶ κενοῦται τὰ στήθεα. διδόναι ἓν γάλα καὶ οἶνον ἴσον ἴσῳ. Ὧν κατακορέα τὰ στήθεα, ψελλοὶ μανιώδεες, καὶ φαλακροὶ τουτέων ὅσοι ἐκ γενεῆς καὶ στρεβλοί, ἀσώματοι. ἢ λειβιδῶντες, ἢ μαινόμενοι. οἷσι δὲ μή, ἑτέρου κακοῦ λύσις περὶ φύσιος. Δύναμιν πλείστην ἔχει τιτθός, ὀφθαλμὸς δεξιός, ταῦτα τὰ κάτω, καὶ ὅτι ἐμπέφυκε τοῖσι δεξιοῖσι τὰ ἄρσενα. Γυναιξὶν ἐπιμήνια ὥστε ἴσχειν, σικύην μεγίστην παρὰ τὸν τιτθὸν προσβάλλειν. Τριμήνου παιδίον πάντα δῆλοι. καὶ μέγα τότε ἔχει. Ἢν πολλὸν ῥέῃ γάλα, ἀνάγκη ἀσθενέειν τὸ ἐν γαστρί. Ἢν στερεώτεροι ἔωσιν οἱ τιτθοί, ὑγιηρότερον τὸ ἔμβρυον. Φλὲψ ἔχει παχείη ἐν ἑκατέρῳ τιτθῷ. ταῦτα μέγιστον ἔχει μόριον συνέσιος. Στραγγουρίην λύει φλεβοτομίη. Ἢν τὰ ἄνω χωρία παραγᾷ, τὰ περὶ τὴν κεφαλήν, ἑλκέων κάθαρσις, ἔμετος ὕδρωψ. Ἀπὸ γαστρὸς ταραχῆς. ἢ ἀπὸ βηχὸς καρκίνου γενομένου τὸ στόμα πικραίνεται. διδόναι δὲ πίνειν, ἐλατήριον δὶς ἢ τρίς. ἢν μὴ ψελλὸς ᾖ, ἐπιδεῖν δὲ, χαλκοῦ ἄνθος καύσας, ἕως ἂν πυρρὸν ᾖ, καὶ σπογγίην, ἢν μὴ ψελλὸς ᾖ.

Ἀλυκῆς. φρίκης. χάσμης. οἶνος ἴσος ἴσῳ, ἢ γάλα. Ὠτὸς περιωδυνίῃ σικύην προσβάλλειν. Ὅτι ἂν τῶν ἄνω πονέῃ, ὀδύνη ἐς τὰ ἰσχία, ἢ ἐς τὰ γούνατα. καὶ ἆσθμα λύει πάντα τουτέων γινομένων. Εἰλέου λαπαροῦ, ψυχρὸν οἶνον πολλὸν ἄκρητον κατὰ λόγον διδόναι, ἔστ᾽ ἂν ὕπνος, ἢ σκελέων ὀδύνη γένηται. λύει δὲ καὶ πυρετὸς, καὶ δυσεντερίη ἄνευ ὀδύνης. Ἢν ὑποχόνδριον τεταμένον ᾖ, πιέζειν τῇ χειρὶ καὶ λύειν. Παρωνυχίης κηκὶς μέλαινα ἐν μέλιτι ὕδατος ἑψημένου, γάλακτος ὀκτὼ κοτύλας δύναται πιεῖν. ἢν δὲ ἐμέῃ, καὶ μὴ πίνῃ μυστωτὸν δριμύν. Ὥστε ἔχειν γυναῖκα ἐν γαστρί. πολύπια ὑπὲρ φλογὸς ὀπτῶντα ὡς θερμότατα. καὶ πλεῖστα ἡμίφλεκτα διδόναι τρώγειν. καὶ τρίψαντα λίτρον αἰγύπτιον, καὶ κορίανον, καὶ κύμινον κολλήκας ποιοῦντα, προσθέσθαι περὶ αἰδοῖον. Ἢν ἐκ κραιπάλης κεφαλὴν ἀλγέῃ, οἴνου ἀκρήτου κοτύλην πιεῖν. ἢν δὲ ἄλλως κεφαλὴν ἀλγέῃ, ἄρτον ὡς θερμότατον σὺν οἴνῳ ἀκρήτῳ ἐσθίειν. Ἢν ἄνθρωπον θέρμη ἔχῃ μὴ ἀπὸ χολῆς, μὴ δὲ ἀπὸ φλέγματος, ἀλλ᾽ ἢ ἀπὸ κόπου, ἢ ἄλλως πυρεταίνῃ, ὕδωρ θερμαίνειν πολλόν. ἔπειτα ὑποχέων τὴν κεφαλὴν βρέχειν, μέχρις ἂν τοὺς πόδας ἱδρώσῃ. καὶ ἄλητον ἑψέσθαι ὡς παχύτατον. ἐπὴν δὲ ἱδρώσῃ τοὺς πόδας, ἄλητον ὡς πλεῖστον καὶ θερμότατον ἐσθίων, καὶ οἶνον ἄκρητον ἐπιπίνων, περιειλημένος ἱματίοις, ἀναπαυέσθω, συνκόπως. ἢ μὴν ναρκίσσου δύο ἢ τρεῖς κεφαλὰς ἐπὶ τῷ δείπνῳ ἐσθιέτω. Τῷ μέλλοντι μαίνεσθαι τόδε προσημαίνει τὸ σημεῖον. αἷμα συλλέγεται αὐτῷ ἐπὶ τοὺς τιτθούς.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΔΗΜΙΩΝ ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ

Τμῆμα πρῶτον. ἄῤῥωστος πρῶτος.

Γ Υθίων, ὃς ᾤκει παρὰ γῆς ἱερὸν ἤρξατο τρόμος ἀπὸ χειρῶν. τῇ πρώτῃ πυρετὸς ὀξύς. λῆρος. δευτέρῃ, πάντα παρωξύνθη. τρίτῃ, τὰ αὐτά. τετάρτῃ ἀπὸ κοιλίης ὀλίγα, ἄκρητα, χολώδεα, διῆλθε. πέμπτῃ πάντα παρωξύνθη. ὕπνοι λεπτοί. κοιλίη ἔστη. ἕκτῃ πτύελα ποικίλα, ὑπέρυθρα. ἑβδόμῃ στόμα παρειρύσθη. ὀγδόῃ πάντα παρωξύνθη. τρόμοι παρέμενον. οὖρα δὲ κατ' ἀρχὰς μὲν καὶ μέχρι τῆς ὀγδόης, λεπτὰ, ἄχροα. ἐναιώρημα εἶχον ἐπινέφελον. δεκάτῃ ἵδρωσε. πτύελα ὑποπέπονα. ἐκρίθη. καὶ οὖρα ὑπόλευκα περὶ κρίσιν. μετὰ δὲ κρίσιν, τεσσαράκοντα ἡμέρῃσιν ὕστερον ἐμπύημα περὶ ἕδρην. καὶ στραγγουριώδης ἐγένετο ἀπόστασις. ☩. Γ. ΟΥ. Μ. Υ.

ἄῤῥωστος δεύτερος.

Ἑρμοκράτην, ὃς κατέκειτο παρὰ τὸ καινὸν τεῖχος, πῦρ ἔλαβεν. ἤρξατο δὲ ἀλγέειν κεφαλὴν. ὀσφῦν. ὑποχονδρίου ξύντασις λαπαρῶς. γλῶσσα δὲ ἀρχομένῳ ἐπεκαύθη. κώφωσις αὐτίκα. ὕπνοι οὐκ ἐνῆσαν. διψώδης οὐ λίαν. οὖρα παχέα ἐρυθρά. κείμενα οὐ καθίσταντο. ἀπὸ δὲ κοιλίης οὐκ ὀλίγα ξυγκεκαυμένα διῄει. πέμπτῃ, οὔρησε λεπτά. εἶχεν ἐναιώρημα. οὐχ ἵδρυτο. ἐς νύκτα παρέκρουσε. ἕκτῃ ἰκτεριώδης. πάντα παρωξύνθη. οὐ κατενόει. ἑβδόμῃ δυσφόρως. οὖρα λεπτὰ ὅμοια τοῖς ἐπομένοις παραπλησίως. περὶ δὲ ἑνδεκάτην ἐόντι, πάντα ἔδοξε κουφίζεσθαι. κῶμα ἤρξατο. οὖρα παχέα, ὑπέρυθρα, κάτω λεπτὰ, οὐ καθίστατο. ἡσυχῇ κατενόει. τεσσαρεσκαιδεκάτῃ ἄπυρος, οὐχ ἵδρωσεν. ἐκοιμήθη. κατενόει πάντα. οὖρα παραπλήσια. περὶ ἑπτακαιδεκάτην ἐόντι, ὑπέστρεψεν. ἐθερμάνθη. τὰς ἐπομένας, πυρετὸς ὀξύς. οὖρα λεπτά. πάλιν δὲ εἰκοστῇ ἐκρίθη. ἄπυρος. οὐχ ἵδρωσε. ἀπόσιτος παρὰ πάντα τὸν χρόνον. κατενόει. διαλέγεσθαι οὐκ ἠδύνατο. γλῶσσα ἐπίξηρος. οὐκ ἐδίψε. κατεκοιμᾶτο κωματώδης. περὶ δὲ εἰκοστὴν καὶ τετάρτην, ἐπεθερμάνθη. κοιλίη ὑγρὴ, πολλοῖσι λεπτοῖσι ῥέουσα. καὶ τὰς ἐπομένας, πυρετὸς ὀξύς. γλῶσσα ξυνεκαύθη. ἑβδόμῃ καὶ εἰκοστῇ, ἀπέθανε. τούτῳ κώφωσις διὰ τέλεος παρέμεινεν. οὖρα παχέα καὶ ἐρυθρὰ, οὐ καθιστάμενα. ἢ λευκὰ καὶ ἄχροα, καὶ ἐναιώρημα ἔχοντα. γεύεσθαι δὲ οὐκ ἠδύνατο. ☩. Ε. Δ. ΚΖ. Θ.

ἄῤῥωστος τρίτος.

Ὁ κατακείμενος ἐν τῷ Δεάλκους κήπῳ, κεφαλῆς βάρος. καὶ κρόταφον δεξιὸν ἐπώδυνον εἶχε χρόνον πολύν. μετὰ δὲ προφάσιος, πῦρ ἔλαβε. κατεκλίθη. δευτέρῃ δὲ ἐξ ἀριστεροῦ ὀλίγον ἄκρητον ἐρρύη αἷμα. ἀπὸ δὲ κοιλίης κόπρανα καλῶς διῆλθεν. οὖρα λεπτὰ ποικίλα, ἐναιώρημα ἔχοντα κατὰ σμικρά. οἷον κρίμνα γονοειδέα. τρίτῃ πυρετὸς ὀξύς. διαχωρήματα, μέλανα, λεπτὰ, ἔπαφρα. ὑπόστασις πελιδνὴ διαχωρήμασιν. ὑπεκαρώθη. ἐδυσφόρει περὶ τὰς ἀναστάσιας. οὔροις ὑπόστασις, πελιδνὴ, ὑπόγλισχρος. τετάρτῃ, ἤμεσε χολώδεα, ξανθὰ, ὀλίγα. διαλιπὼν ὀλίγον ἰώδεα. ἐξ ἀριστεροῦ ὀλίγον ἄκρητον ἐρρύη. διαχωρήματα ὅμοια, οὖρα ὅμοια. ἐφίδρωσε περὶ κεφαλὴν καὶ κληῖδα. σπλὴν ἐπήρθη. μηροῦ ὀδύνη κατ' ἴξιν. ὑποχονδρίου δεξιοῦ ξύντασις ὑπολάπαρος. νυκτὸς οὐκ ἐκοιμήθη. παρέκρουσε σμικρά. πέμπτῃ διαχωρήματα πλείω, μέλανα, ἔπαφρα. ὑπόστασις μέλαινα διαχωρήμασι. νύκτα οὐχ ὕπνωσε. παρέκρουσε. ἕκτῃ διαχωρήματα μέλανα, λιπαρὰ, γλίσχρα, δυσώδεα. ὕπνωσε. κατενόει μᾶλλον. ἑβδόμῃ, γλῶσσα ἐπίξηρος. διψώδης. οὐκ ἐκοιμήθη. παρέκρουσεν. οὖρα λεπτὰ, οὐκ εὔχροα. ὀγδόῃ, διαχωρήματα μέλανα. ὀλίγα. συνεστηκότα. ὕπνωσε. κατενόει. διψώδης οὐ λίην. ἐνάτῃ ἐπερρίγωσε, πυρετὸς ὀξύς. ἵδρωσε. ψύξις. παρέκρουσε. δεξιῷ ἴλλαινε. γλῶσσα ἐπίξηρος. διψώδης. ἄγρυπνος. δεκάτῃ, περὶ τὰ αὐτά. ἑνδεκάτῃ κατενόει δι' ὅλου πάντα. ἄπυρος. ὕπνωσεν. οὖρα λεπτὰ, περὶ κρίσιν. δύο διέλιπεν ἄπυρος. διέστρεψεν τεσσαρεσκαιδεκάτῃ. αὐτίκα δὲ νύκτα οὐκ ἐκοιμήθη, διενόει, πάντα παρέκρουσε. πεντεκαιδεκάτῃ, οὖρον θολερόν. οἷον ἐκ τῶν καθεστηκότων γίνεται, ὅταν ἀναταραχθῇ. πυρετὸς ὀξύς. πάντα παρέκρουσεν. οὐκ ἐκοιμήθη. γούνατα καὶ κνήμας, ἐπώδυνα εἶχεν. ἀπὸ δὲ κοιλίης βάλανον προσθεμένῳ, μέλανα κόπρανα διῆλθεν. ἑξκαιδεκάτῃ, οὖρα λεπτὰ, εἶχε δὲ ἐναιώρημα ἐπινέφελον. παρέκρουσεν. ἑπτακαιδεκάτῃ, πρωῒ ἄκρεα ψυχρὰ περιεστέλλετο. πυρετὸς ὀξύς. ἵδρωσε δι' ὅλου. ἐκουφίσθη. κατενόει μᾶλλον. οὐκ

ἄπυρος. διψώδης. ἤμεσε χολώδεα, ξανθά, ὀλίγα. ἀπὸ δὲ κοιλίης κόπρανα διῆλθε· μετ' ὀλίγον δὲ μέλανα, ὀλίγα, λεπτά. οὖρα λεπτά, οὐκ εὔχροα. ὀκτωκαιδεκάτῃ, οὐ κατενόει. κωματώδης, ἐνεακαιδεκάτῃ, διὰ τῶν αὐτῶν. οὖρα λεπτά. εἰκοστῇ, ὕπνωσε. κατενόει πάντα. ἵδρωσεν. ἄπυρος. οὐκ ἐδίψα. οὖρα δὲ λεπτά. εἰκοστῇ πρώτῃ, σμικρὰ παρέκρουσεν. ὑπεδίψα. ὑποχονδρίου πόνος. καὶ περὶ ὀμφαλὸν παλμὸς διὰ τέλεος. εἰκοστῇ τετάρτῃ, οὔροισιν ὑπόστασις. κατενόει πάντα. εἰκοστῇ ἑβδόμῃ, ἰσχίου δεξιοῦ ὀδύνη. οὖρα λεπτά, καὶ εἶχεν ὑπόστασιν. τὰ δ' ἄλλα εἶχεν ἐπιεικέστατα. περὶ δὲ εἰκοστὴν ἐνάτην, ὀφθαλμοῦ δεξιοῦ ὀδύνη. οὖρα λεπτά. τεσσαρακοστῇ, διεχώρησε φλεγματώδεα, λευκά, ὑπόσυχνα. ἵδρωσε πολλῷ δι' ὅλου. τελέως ἐκρίθη.

Τμῆμα δεύτερον. Ἄρρωστος τέταρτος.

Ἐν Θάσῳ Φιλίστης, κεφαλὴν ἐπόνεε χρόνον πουλύν. καί ποτε καὶ ὑποκαρωθεὶς, κατεκλίθη. ἐκ δὲ πότων πυρετῶν ξυνεχέων γενομένων, ὁ πόνος παρωξύνθη. νυκτὸς ἐπεθερμάνθη τὸ πρῶτον. τῇ πρώτῃ ἤμεσε χολώδεα, ὀλίγα, ξανθὰ τὸ πρῶτον. μετὰ δὲ ταῦτα, ἰώδεα πλείω. ἀπὸ δὲ κοιλίης κόπρανα διῆλθε. νύκτα δυσφόρως. δευτέρῃ κώφωσις. πυρετὸς ὀξύς. ὑποχόνδριον δεξιὸν συνετάθη. ἔρρεπεν ἐς τὰ ἔσω. οὖρα λεπτά, διαφανέα. εἶχεν ἐναιώρημα γονοειδὲς. σμικρὸν ἐξεμάνη, περὶ μέσον ἡμέρης. τρίτῃ δυσφόρως. τετάρτῃ, σπασμοί. παρωξύνθη πάντα. πέμπτῃ πρωῒ ἀπέθανεν.

Ἄρρωστος πέμπτος.

Χαιρίωνα ὃς κατέκειτο παρὰ Δημαινέτῳ, ἐκ πότου πῦρ ἔλαβεν. αὐτίκα δὲ κεφαλῆς βάρος ἐπώδυνον. οὐκ ἐκοιμᾶτο. κοιλίη ταραχώδης, λεπτοῖσιν, ὑποχολώδεσι. τρίτῃ, πυρετὸς ὀξύς. κεφαλῆς τρόμος, μάλιστα δὲ χείλεος τοῦ κάτω. μετ' ὀλίγον δὲ, ῥῖγος. σπασμοί. πάντα παρέκρουσε. νύκτα δυσφόρως. τετάρτῃ δι' ἡσυχίης. μικρὰ ἐκοιμήθη. παρέλεγε. πέμπτῃ, ἐπιπόνως πάντα παρωξύνθη. λῆρος. νύκτα δυσφόρως. οὐκ ἐκοιμήθη. ἕκτῃ, διὰ τῶν αὐτῶν. ἑβδόμῃ, ἐπερρίγωσε. πυρετὸς ὀξύς. ἵδρωσε δι' ὅλου. ἐκρίθη. τούτῳ διατελέος ἀπὸ κοιλίης διαχωρήματα χολώδεα, ὀλίγα, ἄκρητα. οὖρα λεπτὰ εὔχροα, ἐναιώρημα ἐπινέφελον ἔχοντα. περὶ ὀγδόην, οὔρησεν εὐχροώτερα, ἔχοντα ὑπόστασιν λευκήν, ὀλίγην. κατενόει. ἀπύρετος διέλιπεν. ἐνάτῃ, ὑπέστρεψεν. περὶ δὲ τεσσαρεσκαιδεκάτην, πυρετὸς ὀξύς. ἑκκαιδεκάτῃ, ἤμεσε χολώδεα, ξανθά, ὑπόσυχνα. ἑπτακαιδεκάτῃ, ἐπερρίγωσε. πυρετὸς ὀξύς. ἵδρωσεν. ἄπυρος ἐκρίθη. οὖρα μετὰ ὑποστροφὴν καὶ κρίσιν, εὐχροώτερα, ὑπόστασιν ἔχοντα. οὐδὲ παρέκρουσεν ἐν τῇ ὑποστροφῇ. ιη. ἐθερμαίνετο σμικρά. ὑπεδίψα. οὖρα λεπτά. ἐναιώρημα ἐπινέφελον. σμικρὰ παρέκρουσε. περὶ ιθ. ἄπυρος. τράχηλον ἐπωδύνως εἶχεν. οὔροισιν ὑπόστασις. τελέως ἐκρίθη εἰκοστῇ. Π. Χ. Γ. Δ. ΟΥ. Χ. Υ.

Ἄρρωστος ἕκτος.

Τὴν Εὐρυάνακτος θυγατέρα παρθένον, πῦρ ἔλαβεν. ἦν δὲ ἄδιψος διὰ τέλεος. γεύματα οὐ προσεδέχετο. ἀπὸ δὲ κοιλίης σμικρὰ διήει. οὖρα λεπτά, ὀλίγα, οὐκ εὔχροα. ἀρχομένου δὲ τοῦ πυρετοῦ, περὶ ἕδρην ἐπόνεε. ς δὲ ἐοῦσα, ἄπυρος. οὐχ ἵδρωσεν. ἐκρίθη. τὸ δὲ περὶ τὴν ἕδρην, σμικρὰ ἐξεπύησεν. ἐρράγη ἅμα κρίσει. μετὰ δὲ κρίσιν ζ ἐοῦσα, ἐρρίγωσε. σμικρὰ ἐπεθερμάνθη. ἵδρωσεν. μετὰ δὲ κρίσιν ὀγδοαίη ἐοῦσα, ἐρρίγωσεν οὐ πολλά. ὕστερον δὲ ἄκρεα ψυχρὰ αἰεί. περὶ ι, μετὰ τὸν ἱδρῶτα τὸν γενόμενον, παρέκρουσε. καὶ πάλιν ταχὺ κατενόει. ἔλεγον δὲ γευσαμένην βότρυος, ταῦτα παθεῖν. διαλιποῦσα δὲ ιβ, πάλιν πολλὰ παρελήρει. κοιλίη ἐταράχθη, χολώδεσιν, ὀλίγοισιν καὶ ἀκρήτοισι, λεπτοῖσι, δακνώδεσι. πυκνὰ ἀνίστατο. ἀφ' ἧς δὲ παρέκρουσε τὸ ὕστερον ἀπέθανεν ἑβδόμῃ. αὕτη ἀρχομένου τοῦ νοσήματος, ἤλγεε φάρυγγα. καὶ διὰ τέλεος ἔρευθος εἶχε. καὶ γαργαρεὼν ἀνεσπασμένος. ῥεύματα πολλά, σμικρά, δριμέα. ἔβησσε πέπονα. οὐδὲν ἀνῆγε. ἀπόσιτος πάντων, παρὰ πάντα τὸν χρόνον. οὐδ' ἐπεθύμησεν οὐδενός. ἄδιψος. οὐδ' ἔπινεν οὐδὲν ἄξιον λόγου. σιγῶσα οὐδὲν διελέγετο. δυσθυμίη. ἀνέλπιστος αὑτῆς ἔχειν. ἦν δέ τι καὶ ξυγγενικὸν φθινῶδες.

Ἄρρωστος ἕβδομος.

Κυναγχική, ἡ παρὰ τὰ Ἀριστίωνος, ᾗ πρῶτον ἀπὸ γλώσσης ἤρξατο. ἀσαφὴς ἡ φωνή. γλῶσσα ἐρυθρή. ἐπεξηράνθη. τῇ πρώτῃ, φρικώδης ἐπεθερμάνθη. γ ῥῖγος. πυρετὸς ὀξύς. οἴδημα ὑπέρυθρον, σκληρόν. τραχήλου καὶ ὤμων στῆθος ἐξ ἀμφοτέρων. ἄκρεα ψυχρά, πελιδνά. πνεῦμα

μετέωρον

μετέωρον. ποτὸν διὰ ῥινῶν ἐχεῖτο. καταπίνειν οὐκ ἠδύνατο. τὰ διαχωρήματα καὶ οὖρα ἐπέστη. δ΄ πάντα παρωξύνθη. ε΄, ἀπέθανε κυναγχική. Π. Δ. Ε. Ε. Θ.

Ἄῤῥωστος ὄγδοος.

Τὸ μειράκιον ὃ κατέκειτο ἐπὶ ψευδέων ἀγορῇ, πῦρ ἔλαβεν ἐκ κόπων καὶ πόνων, καὶ δρόμων παρὰ τὸ ἔθος. τῇ α΄, κοιλίη ταραχώδης, χολώδεσι, λεπτοῖσιν, πολλοῖσιν, οὖρα λεπτὰ ὑπομέλανα. οὐχ ὕπνωσε. διψώδης. β΄, πάντα παρωξύνθη. διαχωρήματα πλείω ἀκαιρότερα. οὐχ ὕπνωσε. τὰ τῆς γνώμης ταραχώδεα. σμικρὰ ὑφίδρωσε. γ΄, δυσφόρως. διψώδης. ἀσώδης. πουλὺς βληστρισμός. ἀπορίη. παρέκρουσεν. ἄκρεα πελιδνά. καὶ ψυχρά. ὑποχονδρίου ἔντασις ὑπολάπαρος ἐξ ἀμφοτέρων. δ΄, οὐκ ὕπνωσεν ἐπὶ τὸ χεῖρον. ζ΄ ἀπέθανεν. ἡλικίαν, περὶ ἔτεα η̄. Π. Ξ. Ζ. Θ.

Ἄῤῥωστος ἔνατος.

Η παρὰ Τισαμενοῦ γυνὴ κατέκειτο, ᾗ τὰ εἰλεώδεα, δυσφόρως ὥρμησεν. ἔμετοι πολλοί. τὸ ποτὸν κατέχειν οὐκ ἠδύνατο. πόνοι περὶ ὑποχόνδρια. καὶ ἐν τοῖσι κάτω κατὰ κοιλίην. πόνοι. στρόφοι ξυνεχέες. οὐ διψώδης. ἐπεθερμαίνετο. ἄκρεα ψυχρὰ διὰ τέλεος. ἀσώδης. ἄγρυπνος. οὖρα, ὀλίγα, λεπτά. διαχωρήματα, ὠμὰ, λεπτὰ, ὀλίγα. ὠφελέειν οὐκ ἔτι ἠδύνατο. ἀπέθανεν.

Ἄῤῥωστος δέκατος.

Γυναῖκα ἐξ ἀποφθορῆς νηπίου τῶν περὶ Παντιμίδην τῇ α΄ πῦρ ἔλαβεν. ἡ γλῶσσα ἐπίξηρος. διψώδης. ἄγρυπνος. κοιλίη ταραχώδης λεπτοῖσι, πολλοῖσι, ὠμοῖσι. β΄ ἐπεῤῥίγωσε. πυρετὸς ὀξὺς ἀπὸ κοιλίης, οὐχ ὕπνωσε πολλά. τρίτη, μείζους οἱ πόνοι. τετάρτη παρέκρουσεν. ἑβδόμη, ἀπέθανεν. ἡ κοιλία διὰ παντὸς ὑγρή. διαχωρήμασι πολλοῖσι λεπτοῖσιν, ὠμοῖσιν. οὖρα ὀλίγα λεπτά. πυρετὸς καῦσος.

Ἄῤῥωστος ἑνδέκατος.

Ἑτέρην ἐξ ἀποφθορῆς περὶ πεντάμηνον, πῦρ ἔλαβεν. ἀρχομένη δὲ, κωματώδης ἦν. καὶ ἄγρυπνος πάλιν. ὀσφύος ὀδύνη. κεφαλῆς βάρος. β΄, κοιλίη ἐπεταράχθη, ὀλίγοισι, λεπτοῖσιν, ἀκρήτοισι τὸ πρῶτον. τρίτη, πλείω, χείρω. νυκτὸς οὐκ ἐκοιμήθη. τετάρτη, παρέκρουσε. φόβοι δυσθυμίαι. δεξιῷ ἴλλαινε. ἵδρωσε, περὶ κεφαλὴν, ὀλίγῳ ψυχρῷ. ἄκρεα ψυχρά. παρωξύνθη. πολλὰ παρέλεγε. καὶ πάλιν ταχὺ κατενόει. ἄδιψος. ἄγρυπνος. κοιλίη πουλλοῖσιν ἀκαίροισι διὰ τέλεος. οὖρα ὀλίγα, λεπτὰ, ὑπομέλανα. ἄκρεα ψυχρὰ, ὑποπέλιδνα. ἕκτη, διὰ τῶν αὐτῶν. ἑβδόμη, ἀπέθανε φρενιτιαία.

Ἄῤῥωστος δωδέκατος.

Γυναῖκα, ἥτις κατέκειτο ἐπὶ ψευδέων ἀγορῇ, τότε τεκοῦσαν πρῶτον ἐπιπόνως ἄρσεν, πῦρ ἔλαβεν. αὐτίκα ἀρχομένη, διψώδης. ἀσώδης. καρδίην ὑπήλγει. γλῶσσα ἐπίξηρος. κοιλίη ἐπεταράχθη, λεπτοῖσιν, ὀλίγοισιν. οὐχ ὕπνωσε. β΄, σμικρὰ ἐπεῤῥίγωσε. πυρετὸς ὀξύς. μικρὰ περὶ κεφαλὴν ἵδρωσε ψυχρῷ. γ΄, ἐπιπόνως ἀπὸ κοιλίας ὠμὰ, λεπτὰ, πολλὰ διῄει. δ΄ ἐπεῤῥίγωσε. πάντα παρωξύνθη. ἄγρυπνος. ε΄, ἐπιπόνως. ς΄, διὰ τῶν αὐτῶν. ἀπὸ κοιλίης δὲ ἦλθεν ὑγρὰ πολλά. ζ΄, ἐπεῤῥίγωσε. πυρετὸς ὀξύς. δίψα πουλλή. βληστρισμός. περὶ δείλην, ἵδρωσε δι' ὅλου ψυχρῷ. ψύξις. ἄκρεα ψυχρά. οὐκ ἔτι ἀνεθερμαίνετο. καὶ πάλιν ἐς νύκτα ἐπεῤῥίγωσεν. ἄκρεα οὐκ ἀνεθερμαίνοντο. οὐχ ὕπνωσε. σμικρὰ παρέκρουσε. καὶ πάλιν ταχὺ κατενόει. η΄, περὶ μέσον ἡμέρης ἀνεθερμάνθη. διψώδης. κωματώδης. ἀσώδης. ἤμεσε χολώδεα, μικρὰ, ὑπόξανθα. νύκτα δυσφόρως. οὐκ ἐκοιμήθη. οὔρησε πουλὺ ἀθρόον οὐκ εἰδυῖα. θ΄, ξυνέδωκε πάντα. κωματώδης. πρὸς δείλην, σμικρὰ ἐπεῤῥίγωσεν. ἤμεσε μικρὰ, χολώδεα. ι΄, ῥῖγος, πυρετὸς παρωξύνθη. οὐχ ὕπνωσεν οὐδέν. πρωῒ, οὔρησε πουλὺ, ὑπόστασιν ἔχον. ἄκρεα ἀνεθερμάνθη. ια΄, ἤμεσεν ἰώδεα, χολώδεα. ἐπεῤῥίγωσεν οὐ μετὰ πολύ. καὶ πάλιν, ἄκρεα ψυχρά. ἐς δείλην, ἱδρώς. ῥῖγος. ἤμεσε πολλά. νύκτα, ἐπιπόνως. ιβ΄. ἤμεσε πολλὰ, μέλανα. δυσώδεα. λυγμὸς πουλύς. δίψος ἐπιπόνως. ιγ΄, μέλανα, δυσώδεα, πολλὰ ἤμεσε. ῥῖγος, περὶ δὲ μέσον ἡμέρης, ἄφωνος. ιδ΄, αἷμα διὰ ῥινῶν, ἀπέθανε. ταύτῃ διὰ τέλεος, κοιλίη ὑγρή, φρικώδης. ἡλικίη, περὶ ἔτεα ιζ΄.

Τμῆμα τρίτον. Κατάστασις λοιμώδης.

Ἔτος, νότιον ἔπομβρον. ἄπνοια διὰ τέλεος. αὐχμῶν δὲ γενομένων, τοὺς ὑποπρόσθεν χρόνους ἐπ'

νους ἐπ' ἐνιαυτόν. ἐν νοτίοισι, περὶ ἀρκτοῦρον, ὕδατα πουλλά. φθινόπωρον, σκιῶδες, ἐπινέφελον, ὑδάτων πλήθεα. χειμὼν, νότιος, ὑγρός. μαλακός. μετὰ δὲ ἡλίου τροπὰς, ὕστερον πολλῷ πλησίον ἰσημερίης, ὀπισθοχείμωνες. καὶ ἤδη περὶ ἰσημερίην, βόρεια χιονώδεα, οὐ πολὺν χρόνον. ἦρ πάλιν νότιον ἄπνοον. ὕδατα πολλὰ διὰ τέλεος μέχρι κυνός. θέρος, αἴθριον, θερμόν. πνίγεα μεγάλα. ἐτησίαι σμικρὰ διεσπασμένως ἔπνευσαν. πάλιν δὲ περὶ ἀρκτοῦρον ἐν βορείοισιν ὕδατα πολλά. γενομένου δὲ τοῦ ἔτεος νοτίου, καὶ ὑγροῦ, καὶ μαλθακοῦ, κατὰ μὲν τὸν χειμῶνα, διῆγον ὑγιηρῶς, πλὴν τῶν φθινωδέων, περὶ ὧν γεγράψεται. πρωῒ δὲ τοῦ ἦρος ἅμα τοῖσι γενομένοισι ψύχεσιν, ἐρυσιπέλατα πολλά, τοῖσι καὶ μετὰ προφάσιος, τοῖσι δ' οὔ. κακοήθεα. πολλοὺς ἔκτειναν. πολλοὶ φάρυγγας ἐπόνησαν. φωναὶ κακούμεναι. καῦσοι φρενιτικοί. στόματα ἀφθώδεα. αἰδοίοις φύματα. ὀφθαλμίαι. ἄνθρακες. κοιλίαι ταραχώδεες. ἀπόσιτοι. διψώδεες, οἱ μὲν, οἱ δ' οὔ. οὖρα ταραχώδεα, πουλλὰ, κακά. κωματώδεες, ἐπὶ πουλὺ καὶ πάλιν ἄγρυπνοι. ἀκρασίαι πουλλαί. δύσκριτα. ὕδρωπες. φθινώδεες πουλλοί. τὰ μὲν ἐπιδημήσαντα νοσήματα, ταῦτα. ἑκάστου δὲ τῶν ὑπογεγραμμένων εἰδέων, ἦσαν οἱ κάμνοντες. καὶ ἔθνησκον πολλοί. ξυνέπιπτε δὲ ἐφ' ἑκάστοισι τουτέων, ὧδε. πολλοῖσι μὲν τὸ ἐρυσίπελας μετὰ προφάσιος ἐπὶ τοῖσι τυχοῦσι. καὶ πάνυ ἐπὶ σμικροῖσι τρωματίοισιν, ἐφ' ὅλῳ τῷ σώματι. μάλιστα δὲ, τοῖσι περὶ ἑξήκοντα ἔτεα. περὶ κεφαλὴν, εἰ καὶ σμικρὸν ἀμεληθείη. πολλοῖσι δὲ καὶ ἐν θεραπείῃ ἐοῦσι, μεγάλαι φλεγμοναὶ ἐγίνοντο. καὶ τὸ ἐρυσίπελας, πολύ. ταχὺ πάντοθεν ἐπενέμετο. τοῖσι μὲν οὖν πλείστοισιν αὐτῶν ἀποστάσιες ἐς ἐμπυήματα συνέπιπτον. σαρκῶν, καὶ νεύρων, καὶ ὀστέων ἐκπτώσιες μεγάλαι. ἦν δὲ καὶ τὸ ῥεῦμα τὸ ξυνιστάμενον οὐ πύῳ ἴκελον, ἀλλὰ σηπεδών τις ἄλλη, καὶ ῥεῦμα πουλὺ καὶ ποικίλον. οἷσι μὲν οὖν περὶ κεφαλὴν τουτέων τι ξυμπίπτοι γίνεσθαι, μαδήσιές τε ὅλης τῆς κεφαλῆς ἐγίνοντο, καὶ τοῦ γενείου. καὶ ὀστέων ψιλώματα. καὶ ἐκπτώσιες. καὶ πολλὰ ῥεύματα. ἐν πυρετοῖσί τε ταῦτα, καὶ ἄνευ πυρετῶν. ἦν δὲ ταῦτα φοβερώτερα ἢ κακίω. οἷσι γὰρ ἐς ἐμπύημα ὅ τι τῶν τοιουτέων ἀφίκοιτο πεπασμός, οἱ πλεῖστοι τουτέων ἐσώζοντο. οἷσι δὲ ἡ μὲν φλεγμονὴ καὶ τὸ ἐρυσίπελας ἀπέλθοι, τοιαύτην δὲ ἀπόστασιν μηδεμίαν ποιήσαιτο, τουτέων ἀπόλλοιντο πουλλοί. ὁμοίως δὲ καὶ ὅποι ἄλλῃ τοῦ σώματος πλανηθείη, ξυνέπιπτε ταῦτα. πολλοῖσι μὲν γὰρ βραχίων, καὶ πῆχυς ὅλος περιερρύη. οἷσι δ' ἐπὶ τὰ πλευρὰ ταῦτα ἐκακοῦτο ἢ τῶν ἔμπροσθέν τι ἢ τῶν ὄπισθεν. οἷσι δὲ ὅλος ὁ μηρός, ἢ τὰ περὶ κνήμην ἐψιλοῦτο, καὶ ποὺς ὅλος. ἦν δὲ πάντων χαλεπώτατον τῶν τοιούτων, ὅτε περὶ ἥβην καὶ αἰδοῖα γένοιτο. καὶ τὰ μὲν περὶ ἕλκεα καὶ μετὰ προφάσιος τοιαῦτα. πολλοῖσι δὲ ἐν πυρετοῖσι καὶ πρὸ πυρετοῦ, καὶ ἐπὶ πυρετοῖσι ξυνέπιπτεν. ἦν δὲ καὶ τουτέων ὅσα μὲν ἀπόστασιν ποιήσαιτο διὰ τοῦ ἐκπυῆσαι, ἢ κατὰ κοιλίην ταραχή τις ἐπίκαιρος, ἢ χρηστῶν οὔρων διάδοσις γένοιτο, διὰ τούτων λελύσθαι. οἷσι δὲ μηδὲν τουτέων ξυμπίπτοι, ἀσήμως δὲ ἀφανιζομένων, θανατώδεα γίνεσθαι. πολὺ μὲν οὖν τοῖσι πλείστοισι ξυνέπιπτε τὰ περὶ τὸ ἐρυσίπελας τοῦ ἦρος. παρέπετο δὲ καὶ διὰ τοῦ θέρεος, καὶ ὑπὸ φθινόπωρον. πολλὴ δὲ ταραχὴ τισὶ καὶ τὰ περὶ τὸν φάρυγγα φύματα. καὶ φλεγμοναὶ γλώσσης. καὶ τὰ παρ' ὀδόντας ἀποστήματα. φωναί τε πολλοῖσιν ἐπεσήμαινον, κακούμεναι καὶ κατατίλλουσαι. πρῶτον μὲν φθινώδεσιν ἀρχομένοισιν, ἀτὰρ καὶ τοῖσι καυσώδεσι, καὶ τοῖσιν φρενιτικοῖσιν. ἤρξαντο μὲν οὖν οἱ καῦσοι, πρωῒ τοῦ ἦρος, καὶ τὰ φρενιτικά, μετὰ τὰ γενόμενα ψύχεα. καὶ πλεῖστοι τηνικαῦτα διενόσησαν. ὀξέα δὲ τούτοισι καὶ θανατώδεα, ξυνέπιπτεν. ἦν δὲ ἡ κατάστασις τῶν γενομένων καύσων, ὧδε. ἀρχόμενοι κωματώδεες, ἀσώδεες, φρικώδεες. πυρετὸς ὀξύς, οὐ διψώδεες λίην. οὐ παράληροι. ἀπὸ ῥινῶν ἔσταξε μικρά. οἱ παροξυσμοὶ τοῖσιν πλείστοισιν, ἐν ἀρτίῃσι. περὶ δὲ τοὺς παροξυσμοὺς, λήθη καὶ ἄφεσις, καὶ ἀφωνίη. ἄκρεά τε τούτοισιν, ἀεὶ μὲν ψυχρότερα ποδῶν καὶ χειρῶν. πολὺ δὲ περὶ τοὺς παροξυσμοὺς μάλιστα. πάλιν τε βραδέως καὶ οὐ καλῶς ἀνεθερμαίνοντο. καὶ πάλιν κατενόουν καὶ διελέγοντο. κατεῖχε δὲ ἢ τὸ κῶμα ξυνεχὲς, οὐχ ὑπνῶδες. ἢ μετὰ πόνων ἄγρυπνοι. κοιλίαι ταραχώδεες τοῖσι πλείστοισι τουτέων, διαχωρήμασιν ὠμοῖσι, λεπτοῖσι, πολλοῖσι. οὖρα πολλά, λεπτά. κρίσιμον οὐδὲ χρηστὸν οὐδὲν ἔχοντα. οὐδὲ ἄλλο κρίσιμον οὐδὲν τοῖσι οὕτως ἔχουσιν ἐγίνετο. οὔτε γὰρ ἡμορράγει καλῶς, οὔτε τις ἄλλη τῶν εἰθισμένων ἀπόστασις ἐγίνετο κρίσιμος. ἔθνησκόν τε ἕκαστος, ὡς τύχοι πεπλανημένως τὰ πολλὰ περὶ τὰς κρίσιας. ἐκ πολλοῦ δέ τινες ἄφωνοι. ἱδρῶντες πολλοί. τοῖσι μὲν ὀλεθρίως ἔχουσι, ξυνέπιπτε ταῦτα. παραπλήσια δὲ καὶ τοῖσι φρενιτικοῖσιν. ἄδιψοι δὲ πάνυ οὗτοι ἦσαν. οὐδ' ἐξεμάνη τῶν φρενιτικῶν οὐδεὶς, ὥσπερ ἐπ' ἄλλοισιν. ἀλλ'

σιν. ἀλλ' ἄλλῃ τινὶ καταφορῇ κακῇ νωθρῇ, βαρέως ἀπώλλυντο. ἦσαν δὲ καὶ ἄλλοι πυρετοὶ περὶ ὧν γεγράψεται. στόματα πολλοῖσι ἀφθώδεα, ἑλκώδεα. ῥεύματα περὶ τὰ αἰδοῖα πολλά. ἑλκώματα. φύματα, ἔξωθεν, ἔσωθεν. τὰ περὶ βουβῶνας. ὀφθαλμίαι ὑγραί. μακραί. χρόνιαι μετὰ πόνων. ἐπιφύσιες βλεφάρων ἔξωθεν, ἔσωθεν. πολλῶν φθείροντες τὰς ὄψιας, ἃ σῦκα ἐπονομάζουσιν. ἐφύετο δὲ καὶ ἐπὶ τῶν ἄλλων ἑλκέων πολλά. καὶ αἰδοίοισιν ἄνθρακες πολλοὶ κατὰ θέρος. καὶ ἄλλα, ἃ σὴψ καλέεται. ἐκθύματα μεγάλα. ἕρπητες πολλοῖσι μεγάλοι. τὰ δὲ κατὰ κοιλίην πολλοῖσι πολλὰ καὶ βλαβερὰ συνέβαινε. πρῶτον μὲν τεινεσμοὶ πολλοῖσιν ἐπιπόνως. πλείστοισι δὲ παιδίοισι. καὶ πᾶσιν ὅσοι πρὸ ἥβης. καὶ ἀπώλλυντο τὰ πλεῖστα τούτων. λειεντερικοὶ πολλοί. δυσεντερικοί. οὐδ' οὗτοι λίην ἐπιπόνως. τὰ δὲ χολώδεα, καὶ λιπαρά, καὶ λεπτά, καὶ ὑδατώδεα, πολλοῖσι μὲν αὐτὸ τὸ νούσημα ἐς τοῦτο κατέσκηψεν, ἄνευ τε πυρετῶν, καὶ ἐν πυρετοῖσι μετὰ πόνων. στρόφοι καὶ εἰλήσιες κακοήθεες. τῶν πολλῶν ἐνεόντων τε καὶ ἐπισχόντων διέξοδοι. τά τε διεξιόντα, πόνους οὐ λύοντα. τοῖσι δὲ προσφερομένοισι δυσκόλως ὑπακούοντα. καὶ γὰρ αἱ καθάρσιες τοὺς πλείστους προσέβλαπτον. τῶν δὲ οὕτως ἐχόντων, πολλοὶ μὲν ὀξέως ἀπώλλυντο. πολλοῖσι δὲ καὶ μακρότερα διῆγεν. ὡς δ' ἐν κεφαλαίῳ εἰρῆσθαι, πάντες καὶ οἱ τὰ μακρὰ νοσέοντες καὶ οἱ τὰ ὀξέα, ἐκ τῶν κατὰ κοιλίην ἀπέθνησκον μάλιστα. πάντας γὰρ κοιλίη συναπήνεγκεν. ἀπόσιτοι δὲ πάντες μὲν ἐγένοντο καὶ ἐπὶ πᾶσι τοῖσι προγεγραμμένοισιν, οἷς ἐγὼ οὐδέπω ποτὲ ἐνέτυχον. πολλοὶ δὲ μάλιστα αὐτοί. καὶ οἱ ἐκ τούτων. καὶ ἐκ τῶν ἄλλων δὲ, οἱ καὶ ὀλεθρίως ἔχοιεν. διψώδεες οἱ μέν. οἱ δὲ οὔ. τῶν ἐν πυρετοῖσι καὶ τοῖσι ἄλλοισιν, οὐδεὶς ἀκαίρως, ἀλλ' ἦν ἐπὶ τὸν πότον διαιτᾷν ὡς ἤθελες. οὖρα δὲ πολλὰ μὲν, τὰ διεξιόντα ἦν, οὐκ ἐκ τῶν προσφερομένων ποτῶν, ἀλλὰ πολλὸν ὑπερβάλλοντα. πολλὴ δέ τις καὶ τῶν οὔρων κακότης ἦν τῶν ἀπιόντων. οὔτε γὰρ πάχος, οὔτε πεπασμούς, οὔτε καθάρσιας χρηστὰς εἶχεν. ἐπὶ πολλοῖσι γὰρ αἱ κατὰ κύστιν καθάρσιες χρησταὶ γινόμεναι, ἀγαθόν. ἐσήμαινον δὲ τοῖσι πλείστοισι, σύντηξιν, καὶ ταραχὴν, καὶ πόνους, καὶ ἀκρισίας. κωματώδεες δὲ μάλιστα οἱ φρενιτικοί, καὶ οἱ καυσώδεες ἦσαν. ἀτὰρ καὶ ἐπὶ τοῖσι ἄλλοισι νουσήμασι πᾶσι τοῖσι μεγίστοισιν, ὅτι μετὰ πυρετοῦ γίνοιτο. διὰ παντὸς δὲ τοῖσι πλείστοισιν, ἢ βαρὺ κῶμα παρείπετο, ἢ μικροὺς καὶ λεπτοὺς ὕπνους κοιμᾶσθαι. πολλὰ δὲ καὶ ἄλλα πυρετῶν ἐπεδήμησαν εἴδεα. τριταίων. τεταρταίων. νυκτερινῶν. ξυνεχέων. μακρῶν. πεπλανημένων. ἀσωδέων. ἀκαταστάτων. ἅπαντες δὲ οὗτοι, μετὰ πολλῆς ἐγίνοντο ταραχῆς. κοιλίαι τε γὰρ τοῖσι πλείστοισι ταραχώδεες. φρικώδεες. ἱδρῶτες οὐ κρίσιμοι. καὶ τὰ τῶν οὔρων ὡς ὑπογέγραπται. μακρὰ δὲ τοῖσι πλείστοισι τουτέων. οὐδὲ γὰρ αἱ γινόμεναι τουτέοισιν ἀποστάσιες, ἔκρινον ὥσπερ ἐπὶ τοῖσιν ἄλλοισι. δύσκριτα μὲν πᾶσι πάντα ἐγένετο. καὶ ἀκρισίαι, καὶ χρόνια. πολὺ δὲ μάλιστα τουτέοισι. ἔκρινε δὲ τουτέων ὀλίγοισι, περὶ ὀγδοήκοντα. τοῖσι δὲ πλείστοισι, ὡς ἔτυχεν ἐξέλιπεν. ἔθνησκον δὲ τουτέων ὀλίγοι ὑπὸ ὑδρώπος, ὀρθοστάδην. πολλοῖσι δὲ καὶ ἐπὶ τοῖσιν ἄλλοισι νουσήμασι, οἰδήματα ἠνώχλει. πολὺ δὲ μάλιστα τοῖσι φθινώδεσι. μέγιστον δὲ καὶ χαλεπόν, καὶ πλείστους ἔκτεινε τὸ φθινῶδες. πολλοὶ γάρ τινες ἀρξάμενοι κατὰ χειμῶνα, πολλοὶ μὲν κατεκλίθησαν. οἱ δὲ αὐτέων ὀρθοστάδην ὑπέφερον. τὸ πρωῒ δὲ τοῦ ἦρος ἔθνησκον οἱ πλεῖστοι τῶν κατακλιθέντων. τῶν δὲ ἄλλων, ἐξέλιπον μὲν αἱ βῆχες οὐδενί. ὑπέφθινον δὲ κατὰ θέρος. ὑπὸ δὲ τὸ φθινόπωρον, κατεκλίθησαν πάντες, καὶ πολλοὶ ἔθνησκον. μακρὰ δὲ τούτων οἱ πλεῖστοι διενόσεον. ἤρξατο μὲν οὖν τοῖσι πλείστοισι τούτων ἐξαίφνης ἐκ τούτων, κακοῦσθαι. φρικώδεες πυκνά. πολλάκις πυρετοὶ ξυνεχέες. ὀξέες. ἱδρῶτες τε ἄκαιροι. πολλοὶ ψυχροὶ διὰ τέλεος. πολλὴ ψύξις. καὶ μόλις πάλιν ἀναθερμαινόμενοι. κοιλίαι ποικίλως ἐφιστάμεναι. καὶ πάλιν ταχὺ καθυγραινόμεναι. καὶ τῶν περὶ πλεύμονα πάντων, διάδοσις κάτω. πλῆθος οὔρων οὐ χρηστῶν. ξυντήξιες κακαί. αἱ δὲ βῆχες ἐνῆσαν μὲν διὰ τέλεος πολλαί, καὶ πολλὰ ἀνάγουσαι πέπονα καὶ ὑγρά, μετὰ πόνων δὲ οὐ λίην. ἀλλ' εἰ καὶ ὑπεπόνεον, πάνυ πρηέως πᾶσιν ἡ κάθαρσις ἡ ἀπὸ πλεύμονος ἐγίνετο. φάρυγγες οὐ λίην δακνώδεες. οὐδὲ ἁλμυρίδες οὐδὲν ἠνώχλεον. τὰ μέντοι γλίσχρα, καὶ λευκά, καὶ ὑγρά, καὶ ἀφρώδεα πολλὰ ἀπὸ κεφαλῆς κατῄει. πολὺ δὲ μέγιστον κακὸν παρείπετο καὶ τούτοισι καὶ τοῖσι ἄλλοισι τὰ περὶ τὴν ἀσιτίην, καθάπερ ὑπογέγραπται. οὐδὲ γὰρ ποτῶν μετὰ τροφῆς ἡδέως εἶχον, ἀλλὰ πάνυ διῆγον ἀδίψως. βάρος σώματος. κωματώδεες. τοῖσι πλείστοισιν αὐτέων οἰδήματα, καὶ ἐς ὕδρωπα περιΐσταντο. φρικώδεες. παράληροι περὶ θάνατον. εἶδος δὲ τῶν φθινωδέων ἦν, τὸ λεῖον. τὸ ὑπόλευκον. τὸ φακῶδες. τὸ ὑπέρυθρον. τὸ χαροπόν.

λευκοφλεγματίαι

λυτοφλεγματίαι. περιγώδεες. καὶ γυναῖκες, οὕτω. τὸ μελαγχολικόν τε καὶ ὕφαιμον. οἱ καῦσοι. καὶ τὰ φρενιτικά, καὶ τὰ δυσεντεριώδεα τούτων ἥπτετο. τεινεσμοὶ νέοισι. φλεγματώδεσιν αἱ μακραὶ διάῤῥοιαι καὶ τὰ δριμέα διαχωρήματα, καὶ λιπαρὰ πικροχόλοισιν. ἦν δὲ πᾶσι τοῖσιν ὑπογεγραμμένοισι, χαλεπώτατον μὲν, τὸ ἔαρ, καὶ πλείστους ἀπέκτεινε. τὸ δὲ θέρος, ῥήϊστον, καὶ ἐλάχιστοι ἀπώλλοντο. τοῦ δὲ φθινοπώρου καὶ ὑπὸ πληϊάδα πάλιν ἔθνησκον οἱ πολλοὶ τεταρταῖοι.

Ἐκκαίδεκα ἄῤῥωστοι. Πρῶτος.

Ἐν Θάσῳ τὸν τοῦ Παρίωνος, ὃς κατέκειτο ὑπὲρ Ἀρτεμισίου, πυρετὸς ἔλαβεν ὀξύς. κατ' ἀρχὰς δὲ ξυνεχής, καυσώδης. διψώδης. ἀρχόμενος κωματώδης. καὶ αὖθις ἄγρυπνος. κοιλίη ταραχώδης ἐν ἀρχῇσιν. οὖρα λεπτά. ς, οὔρησεν ἐλαιῶδες. παρέκρουσεν. ζ, παρωξύνθη πάντα. οὐδὲν ἐκοιμήθη. ἀλλ' οὖρά τε ὅμοια, καὶ τὰ τῆς γνώμης ταραχώδεα. ἀπὸ δὲ κοιλίης, χολώδεα λιπαρὰ διῆλθε. εἶτα τῇ η, σμικρὸν ἀπὸ ῥινῶν ἔσταξεν. ἤμεσεν ἰώδεα ὀλίγα. σμικρὰ ἐκοιμήθη. θ, διὰ τῶν αὐτῶν. ι, πάντα ξυνέδωκεν. ια, ἵδρωσεν οὐ δι' ὅλου. περιέψυξε μὲν, ταχὺ δὲ πάλιν ἀνεθερμάνθη. ιβ, πυρετὸς ὀξύς. διαχωρήματα χολώδεα. λεπτά, πολλά. οὔροισιν ἐναιώρημα. παρέκρουσεν. ιζ, ἐπιπόνως. οὔτε γὰρ ὕπνοι, οὔτε πυρετὸς ἐπέτεινεν. κ, ἵδρωσε δι' ὅλου. ἄγρυπνος. διαχωρήματα χολώδεα. ἀπόσιτος. κωματώδης. κδ, ὑπέστρεψε. λδ, ἄπυρος. κοιλίη οὐ συνίστατο. καὶ πάλιν ἀνεθερμάνθη. μ, ἄπυρος. κοιλίη ξυνέστη χρόνον οὐ συχνόν. ἀπόσιτος. σμικρὰ πάλιν ἐπύρεξε. καὶ διὰ παντὸς πεπλανημένως. ἄπυρος. τὰ μέν, τὰ δ' οὔ. εἰ γάρ τοι διαλείποι καὶ διακουφίσαιεν, πάλιν ὑπέστρεφε. σιτίοισί τε πουλλοῖσι, καὶ φαύλοισι προσεχρῆτο. ὕπνοι κακοὶ περὶ τὰς ὑποστροφάς. παρέκρουσεν. οὖρα πάχος μὲν ἔχοντα οὔρει τηνικαῦτα. ταραχώδεα δὲ καὶ πονηρά. καὶ κοιλίην συνισταμένην. καὶ πάλιν διαλυομένην. πυρέτια ξυνεχέα. διαχωρήματα πουλλά, λεπτά. ἐν δὲ τῇ ρκ ἡμέρῃ ἀπέθανε. τούτῳ κοιλίη ξυνεχέως ἀπὸ τῆς πρώτης ὑγρὴ χολώδεσιν, ὑγροῖσι, πολλοῖσιν ἦν. ἢ ξυνισταμένη, ἐν ζέουσι καὶ ἀπέπτοισιν. οὖρα διὰ τέλεος κακὰ κωματώδεα. τὰ πλεῖστα μετὰ πόνων. ἄγρυπνος. ἀπόσιτος. συνεχέως καῦσος.

Ἄῤῥωστος δεύτερος.

Ἐν Θάσῳ τὴν κατακειμένην παρὰ τὸ ψυχρὸν, ἐκ τοῦ τόκου θυγατέρα τεκοῦσαν, καὶ καθάρσιος μὴ γινομένης, πυρετὸς ὀξὺς φρικώδης τριταίην ἔλαβεν. ἐκ χρόνου δὲ πολλοῦ πρὸ τοῦ τόκου πυρετώδης ἦν κατακλινὴς ἀπόσιτος. μετὰ δὲ τὸ γινόμενον ῥῖγος, ξυνεχέες, ὀξέες, φρικώδεες οἱ πυρετοί. η, πολλὰ παρέκρουσε, καὶ τὰς ἐχομένας. καὶ ταχὺ πάλιν κατενόει. κοιλίη ταραχώδης, πουλλοῖσι, λεπτοῖσιν, ὑδατοχόλοις. ἄδιψος. ια, κατενόει. κωματώδης δὲ ἦν. οὖρα πολλὰ. λεπτὰ καὶ μέλανα. ἄγρυπνος. κ, σμικρὰ περιέψυξε. καὶ ταχὺ πάλιν ἀνεθερμάνθη. σμικρὰ παρέλεγεν. ἄγρυπνος. τὰ κάτω κοιλίης, ἤδη τὰ αὐτῶν. οὖρα, ὑδατώδεα, πουλλά. κζ, ἄπυρος. κοιλίη ξυνέστη. οὐ πολλῷ δὲ χρόνῳ ὕστερον ἰσχίου δεξιοῦ ὀδύνη ἰσχυρή, χρόνον πουλύν. πυρετοὶ πάλιν παρείποντο. καὶ οὖρα ὑδατώδεα. μ, τὰ μὲν περὶ τὸ ἰσχίον, ἐπεκούφισε. βῆχες δὲ ξυνεχέες ὑγραὶ πολλαί. κοιλίη ξυνέστη. ἀπόσιτος. οὖρα ἤδη τῶν αὐτῶν. οἱ δὲ πυρετοὶ τὸ μὲν ὅλον, οὐκ ἐκλείποντες. πεπλανημένως δὲ παροξυνόμενοι. τὰ μέν, τὰ δ' οὔ. ξ, αἱ μὲν βῆχες ἀσήμως ἐξέλιπον, οὔτε γάρ τις πτυάλων πεπασμὸς ἐγίνετο, οὔτε ἄλλη τῶν εἰθισμένων ἀπόστασις. σιαγὼν δὲ ἡ ἐκ τῶν ἐπὶ δεξιά, κατεσπάσθη. κωματώδης. παρέλεγε πάλιν. καὶ ταχὺ κατενόει. πρὸς δὲ τὰ γεύματα, ἀπονενοημένως εἶχεν. ἡ σιαγὼν μὲν ἐπανῆκεν. ἡ κοιλίη δὲ, χολώδεα σμικρὰ διέδωκεν. ἐπύρεσσεν ὀξυτέρως. φρικώδης. καὶ τὰς ἐχομένας ἄφωνος. καὶ πάλιν κατενόει καὶ διελέγετο. καὶ ὀγδοηκοστῇ, ἀπέθανε. ταύτῃ τὰ τῶν οὔρων διὰ τέλεος ἦν μέλανα, καὶ λεπτά, καὶ ὑδατώδεα. καὶ κῶμα παρείπετο. ἄσιτος. ἄθυμος. ἄγρυπνος. ὀργαί. δυσφορίαι. τὰ περὶ τὴν γνώμην μελαγχολικά.

Ἄῤῥωστος τρίτος.

Ἐν Θάσῳ, Πυθίωνα ὃς κατέκειτο ὑπὲρ τοῦ Ἡρακλέος, ἐκ πόνων καὶ κόπων καὶ διαίτης γινομένης ἀμελοῦς, ῥῖγος μέγα, καὶ πυρετὸς ὀξὺς ἔλαβε. γλῶσσα ἐπίξηρος. διψώδης χολώδης. οὐχ ὕπνωσεν. οὖρα ὑπομέλανα, ἐναιώρημα μετέωρον. οὐχ ἵδρυτο. β, περὶ μέσον ἡμέρης, ψύξις ἀκρέων. τὰ περὶ χεῖρας καὶ κεφαλὴν μᾶλλον. ἄναυδος. ἄφωνος. βραχύπνοος. ἐπὶ

χρόνον

χρόνον πουλὺν ἀνεθερμάνθη. δίψα. νύκτα δι᾽ ἡσυχίης. ἵδρωσε περὶ κεφαλὴν σμικρά. γ΄ ἡμέρῃ δι᾽ ἡσυχίης. ὀψὲ περὶ ἡλίου δυσμὰς, ὑπεψύχθη σμικρά. ταραχὴ νυκτὸς ἐπιπόνος, οὐδὲν ὕπνωσεν. ἀπὸ δὲ κοιλίης, μικρὰ ξυνεστηκότα κόπρανα διῆλθε. δ΄ πρωῒ, δι᾽ ἡσυχίης. περὶ δὲ μέσον ἡμέρης, πάντα παρωξύνθη. ψύξις. ἄναυδος. ἄφωνος. ἐπὶ τὸ χεῖρον. ἀνεθερμάνθη. μετὰ χρόνον, οὔρησε μέλανα ἐναιώρημα ἔχοντα. νύκτα δι᾽ ἡσυχίης ἐκοιμήθη. πέμπτῃ, ἔδοξε κουφισθῆναι. κατὰ δὲ κοιλίην, βάρος μετὰ πόνου. διψώδης. νύκτα ἐπιπόνως. ἕκτῃ πρωῒ μὲν, δι᾽ ἡσυχίης. δείλης δὲ, οἱ πόνοι μέζους. παρωξύνθη. ἀπὸ δὲ κοιλίης ὀψὲ κλυσματίῳ καλῶς διῆλθε. νυκτὸς, ἐκοιμήθη. ζ΄ ἡμέρῃ, ἀσώδης. ὑπεδυσφόρει. οὔρησεν ἐλαιώδεα. νυκτὸς ταραχὴ πολλή. παρέλεγεν. οὐδὲν ἐκοιμᾶτο. ὀγδόῃ πρωῒ μὲν, ἐκοιμήθη σμικρά. ταχὺ δὲ, ψύξις. ἀφωνίη. λεπτὸν πνεῦμα καὶ μινυθῶδες. ὀψὲ δὲ πάλιν ἀνεθερμάνθη. παρέκρουσεν. ἤδη δὲ πρὸς ἡμέρην σμικρὰ ἐκουφίσθη. διαχωρήματα, ἄκρητα, σμικρὰ, χολώδεα. θ΄, κωματώδης. ἀσώδης. ὅτε διεγείροιτο, οὐ λίην διψώδης. περὶ δὲ ἡλίου δυσμὰς, ἐδυσφόρει. παρέλεγε. νύκτα κακήν. ι΄ πρωῒ, ἄφωνος. πολλὴ ψύξις. πυρετὸς ὀξύς. πολὺς ἱδρώς. ἔθανεν. ἐν ἀρτίῃσιν οἱ πόνοι τούτῳ.

Ἄῤῥωστος τέταρτος.

Ὁ φρενιτικὸς τῇ πρώτῃ κατακλιθεὶς, ἤμεσεν ἰώδεα, πολλὰ, λεπτά. πυρετὸς φρικώδης. πολὺς ἱδρὼς, ξυνεχής. δι᾽ ὅλου κεφαλῆς καὶ τραχήλου βάρος, μετ᾽ ὀδύνης. οὖρα λεπτά. ἐναιωρήματα σμικρὰ, διεσπασμένα. οὐχ ἵδρωσεν. ἀπὸ δὲ κοιλίης διεκόπρισεν ἀθρόα. πολλὰ παρέκρουσεν. οὐδὲν ὕπνωσε. β΄ πρωῒ, ἄφωνος. πυρετὸς ὀξύς. ἵδρωσεν. οὐ διέλιπεν. παλμοὶ δι᾽ ὅλου τοῦ σώματος. νυκτὸς σπασμοί. γ΄, παρωξύνθη πάντα. δ΄, ἀπέθανεν.

Ἄῤῥωστος πέμπτος.

Ἐν Λαρίσσῃ φαλακρὸς, μηρὸν δεξιὸν ἐπόνησεν ἐξαίφνης. τῶν δὲ προσφερομένων οὐδὲν ὠφέλει. τῇ πρώτῃ πυρετὸς ὀξύς. καυσώδης. ἀτρεμέως εἶχεν. οἱ δὲ πόνοι, παρέποντο. β΄ τοῦ μηροῦ μὲν ὑφίεσαν οἱ πόνοι. ὁ δὲ πυρετὸς ἐπέτεινεν. ὑπεδυσφόρει. οὐκ ἐκοιμᾶτο. ἄκρεα ψυχρά. οὔρων πλῆθος διῄει οὐ χρηστῶν. γ΄ τοῦ μηροῦ μὲν ὁ πόνος ἐπαύσατο. παρακοπὴ δὲ τῆς γνώμης, καὶ ταραχὴ, καὶ πολὺς βληστρισμός. δ΄ περὶ μέσον ἡμέρης, ἔθανεν ὀξυτάτως.

Ἄῤῥωστος ἕκτος.

Ἐν Ἀβδήροισι Περικλέα, νοῦσος ἔλαβεν ὀξὺς, ξυνεχὴς μετὰ πόνου. δίψα πολλή. ἄση. ποτὸν κατέχειν οὐκ ἠδύνατο. ἦν δὲ ὑπόσπληνός τε καὶ καρηβαρικός. τῇ πρώτῃ, ἡμοῤῥάγησεν ἐξ ἀριστεροῦ. πουλὺς μέντοι ὁ πυρετὸς ἐπέτεινεν. οὔρησε πολὺ, θολερὸν, λευκόν. κείμενον οὐ καθίστατο. β΄, πάντα παρωξύνθη. τὰ μέντοι οὖρα, παχέα μὲν ἦν. ἱδρυμένα δὲ μᾶλλον. καὶ τὰ περὶ τὴν ἄσην ἐκούφισεν. ἐκοιμήθη. γ΄, πυρετὸς ἐμαλάχθη. οὔρων πλῆθος, πέπονα, πολλὴν ὑπόστασιν ἔχοντα. νύκτα δι᾽ ἡσυχίης περὶ μέσον ἡμέρης, ἵδρωσε πολλῷ θερμῷ τετάρτῃ δι᾽ ὅλου. ἄπυρος ἐκρίθη, οὐχ ὑπέστρεψεν ὀξύ.

Ἄῤῥωστος ἕβδομος.

Ἐν Ἀβδήροισι τὴν παρθένον, ἣ κατέκειτο ἐπὶ τῆς ἱερῆς ὁδοῦ, πυρετὸς καυσώδης ἔλαβε. ἦν δὲ διψώδης, καὶ ἄγρυπνος. κατέβη δὲ τὰ γυναικεῖα, πρῶτον αὐτῇ. ς΄, ἄση πολλή. ἔρευθος, φρικώδης. ἀλύουσα. ζ΄ διὰ τῶν αὐτῶν. οὖρα λεπτὰ μὲν, εὔχροα δέ. τὰ περὶ τὴν κοιλίην, οὐκ ἠνώχλει. η΄, κώφωσις. πυρετὸς ὀξύς. ἄγρυπνος. ἀσώδης. φρικώδης. κατενόει. οὖρα ὅμοια. ἐνάτῃ διὰ τῶν αὐτῶν καὶ τὰς ἑπομένας. οὕτως ἡ κώφωσις παρέμενε. ι΄ δὲ τὰ περὶ γνώμης ταραχώδεα. ὁ πυρετὸς ξυνέδωκε. ιζ΄ διὰ τῶν ῥινῶν ἐῤῥύη πουλύ. ἡ κώφωσις, σμικρὰ ξυνέδωκε. καὶ τὰς ἑπομένας, ἄση. κωφότης ἐνῆν. καὶ παράληρος. κ΄, ποδῶν ὀδύνη. κωφότης παράληρος. ἀπέλιπεν. ἡμοῤῥάγησεν μικρὰ διὰ ῥινῶν. ἵδρωσεν ἄπυρος. κδ΄, ὁ πυρετὸς ὑπέστρεψεν. κώφωσις πάλιν. ποδῶν ὀδύνη. παρέμενε παρακοπή. κζ΄ ἵδρωσε πολλά. ἄπυρος. ἡ κώφωσις ἐξέλιπεν. ἡ τῶν ποδῶν ὑπέμεινεν ὀδύνη. τὰ δ᾽ ἄλλα τελέως ἐκρίθη.

ἄῤῥωστος ὄγδοος.

Ἐν Ἀβδήροισιν Ἀναξίωνα, ὃς κατέκειτο παρὰ τὰς Θρηικίας πύλας, πυρετὸς ὀξὺς ἔλαβεν. πλευροῦ ὀδύνη δεξιοῦ συνεχής. ἔβησσε ξηρά. οὐδ᾽ ἔπτυε τὰς πρώτας. διψώδης. ἄγρυπνος. οὖρα εὔχροα, πουλλὰ, λεπτά. ς΄ παράληρος. πρὸς δὲ τὰ θερμάσματα, οὐδὲν ἐνεδίδου. ζ΄ ἐπιπόνως. ὁ γὰρ πυρετὸς ἐπέτεινεν. οἵ τε πόνοι οὐ ξυνεδίδοσαν. αἵ τε βῆχες ἠνώχλουν. δύσπνοός τε ἦν. ὀγδόῃ, ἀγκῶνα ἔτεμον. ἐῤῥύη πολλὸν οἷον δεῖ. ξυνέδωκαν μὲν οἱ πόνοι. αἱ μέντοι βῆχες,

ξηραὶ παρέποντο. ια΄, ξυνέδωκαν οἱ πυρετοί. σμικρὰ περὶ κεφαλὴν ἵδρωσεν. ἔτι βῆχες καὶ τὰ ἀπὸ πλεύμονος ὑγρότερα. ιζ΄ ἤρξατο σμικρὰ πέπονα πτύειν. ἐκουφίσθη. διψώδης δὲ ἦν, καὶ τὰ ἀπὸ πλεύμονος οὐ χρησταὶ αἱ καθάρσιες. κ΄, ἵδρωσεν ἄπυρος. μετὰ δὲ κρίσιν ἐκουφίσθη. κζ΄, ὁ πυρετὸς ὑπέστρεψεν. ἔβησσεν. ἀνῆγε πέπονα πολλά. οὔροισιν ὑπόστασις πολλὴ λευκή. ἄδιψος ἐγένετο. ὕπνοι. λδ΄ ἵδρωσε δι' ὅλου, ἄπυρος. ἐκρίθη πάντα.

Ἄρρωστος ἔνατος.

Ἐν Ἀβδήροις Ἡρόπυθος, κεφαλὴν ὀρθοστάδην ἐπιπόνως εἶχεν. οὐ πολλῷ δὲ χρόνῳ ὕστερον κατεκλίθη. ᾤκει πλησίον τῆς ἄνω ἀγωγῆς. πυρετὸς ἔλαβε καυσώδης, ὀξύς. ἔμετοι τὸ κατ' ἀρχὰς, πολλῶν χολωδέων. διψώδης. πολλὴ δυσφορίη. οὖρα λεπτὰ, μέλανα. ἐναιώρημα μετέωρον, ὅτε μὲν, ὅτε δ' οὔ. νύκτα ἐπιπόνως. πυρετὸς ἄλλοτε ἀλλοίως παροξυνόμενος. τὰ πλεῖστα ἀτάκτως. περὶ δὲ ιδ΄, κώφωσις. οἱ πυρετοὶ ἐξετείνοντο. οὖρα διὰ τῶν αὐτῶν. κ΄, πολλὰ παρέκρουσε. καὶ τὰς ἐπομένας. μ΄, διὰ ῥινῶν ἡμορράγησε πουλύ. καὶ κατενόει μᾶλλον. ἡ κώφωσις, ἐνῆν μὲν, ἧσσον δέ. οἱ πυρετοὶ ξυνέδωκαν. ἡμορράγει τὰς ἐπομένας, πυκνὰ καὶ κατ' ὀλίγον. περὶ δὲ τὴν ξ΄ αἱ μὲν αἱμορραγίαι ἀπεπαύσαντο. ἰσχίου δὲ δεξιοῦ, ὀδύνη ἰσχυρή. καὶ οἱ πυρετοὶ ἐνέτεινον. οὐ πολλῷ δὲ χρόνῳ ὕστερον, πόνοι τῶν κάτω πάντων. ξυνέπιπτε δὲ ἢ τοὺς πυρετοὺς εἶναι μείζους, καὶ τὴν κώφωσιν πολλήν. ἢ ταῦτα μὲν ὑφιέναι καὶ κουφίζειν, τῶν δὲ κάτω περὶ ἰσχία, μείζους εἶναι τοὺς πόνους. ἤδη δὲ περὶ τὴν ὀγδοηκοστὴν, ξυνέδωκε μὲν πάντα. ξυνέλιπε δὲ οὐδέν. οὖρά τε γὰρ εὔχροα καὶ πλείους ὑποστάσιας ἔχοντα, κατέβαινεν. οἱ παράληροί τε μείους ἦσαν. περὶ δὲ ἑκατοστὴν, κοιλίη πολλοῖσι χολώδεσιν ἐπεταράχθη. καὶ ἥει χρόνον οὐκ ὀλίγον πολλὰ τοιαῦτα. καὶ πάλιν δυσεντεριώδεα, μετὰ πόνου. τῶν δὲ ἄλλων, ῥαστώνη. τὸ δὲ σύνολον, οἵ τε πυρετοὶ ἐξέλιπον, καὶ ἡ κώφωσις ἐπαύσατο. ἐν ἑκατοστῇ κ΄, τελέως ἐκρίθη καῦσος.

ἄρρωστος δέκατος.

Ἐν Ἀβδήροισι Νικόδημον ἐξ ἀφροδισίων καὶ ποτῶν, πῦρ ἔλαβεν. ἀρχόμενος δὲ ἦν ἀσώδης καὶ καρδιαλγικός. διψώδης. γλῶσσα ἐπεκαύθη. οὖρα λεπτὰ μέλανα. β΄, ὁ πυρετὸς παρωξύνθη. φρικώδης. ἀσώδης. οὐδὲν ἐκοιμήθη. ἤμεσε χολώδεα ξανθά. οὖρα ὅμοια. νύκτα δι' ἡσυχίης. ὕπνωσε. γ΄, ὑφῆκε πάντα, ῥαστώνη δὲ ἦν. περὶ ἡλίου δυσμὰς, πάλιν ὑπεδυσφόρει. νύκτα ἐπιπόνως. τετάρτῃ ῥῖγος, πυρετὸς πουλύς. πόνοι πάντων. οὖρα λεπτά. ἐναιώρημα. παρέκρουσε πολλά. ς΄, ῥαστώνη. η΄, τὰ ἄλλα ξυνέδωκε πάντα. ι΄, καὶ τὰς ἐπομένας, ἐνῆσαν μὲν οἱ πόνοι. ἧσσον δὲ πάντες, οἱ δὲ παροξυσμοὶ καὶ οἱ πόνοι τουτέῳ διὰ τέλεος ἐν ἀρτίῃσιν ἦσαν μᾶλλον. εἰκοστῇ οὔρησε λευκὸν, παχὺ εἶχε, κείμενον οὐ καθίστατο. ἵδρωσε πολλά. ἔδοξεν ἄπυρος γενέσθαι. δείλης δὲ πάλιν ἐθερμάνθη. καὶ οἱ αὐτοὶ πόνοι. φρίκη. δίψα. σμικρὰ παρέκρουσε. κδ΄, οὔρησε πολὺ, λευκὸν, πολλὴν ὑπόστασιν ἔχον. ἵδρωσε πολλῷ θερμῷ δι' ὅλου. ἄπυρος ἐκρίθη.

ἄρρωστος ἑνδέκατος.

Ἐν Θάσῳ γυνὴ δυσάνιος, ἐκ λύπης μετὰ προφάσιος ὀρθοστάδην ἐγένετο ἄγρυπνός τε καὶ ἄσιτος. καὶ διψώδης ἦν. καὶ ἀσώδης. ᾤκει δὲ πλησίον τοῦ Πυλάδου, ἐπὶ τοῦ λείου. τῇ πρώτῃ ἀρχομένης νυκτὸς, φόβοι. λόγοι πολλοί. δυσθυμίη. πυρέτιον λεπτόν. πρωῒ, σπασμοὶ πολλοί. ὅτε δὲ διαλίποιεν οἱ σπασμοὶ οἱ πολλοὶ, παρέλεγεν. ἠσχρομύθει. πολλοὶ πόνοι, μεγάλοι, ξυνεχέες. δευτέρῃ διὰ τῶν αὐτῶν. οὐδὲν ἐκοιμᾶτο. πυρετὸς ὀξύτερος. τρίτῃ οἱ μὲν σπασμοὶ ἀπέλιπον. κῶμα δὲ καὶ καταφορή. καὶ πάλιν ἔγερσις. ἀνήϊσσε. κατέχειν οὐκ ἠδύνατο. παρέλεγε πολλά. πυρετὸς ὀξύς. τὴν νύκτα δὲ ταύτην ἵδρωσε πολλῷ θερμῷ δι' ὅλου. ἄπυρος. ὕπνωσε. πάντα κατενόει. ἐκρίθη. περὶ δὲ τὴν τρίτην ἡμέρην, οὖρα μέλαινα, λεπτά. ἐναιώρημα δὲ, ὡς ἐπὶ πολὺ στρογγύλον. οὐχ ἱδρύετο. περὶ δὲ κρίσιν γυναικεῖα πολλὰ κατέβη.

ἄρρωστος δωδέκατος.

Ἐν Λαρίσσῃ, παρθένον πυρετὸς ἔλαβεν. καυσώδης. ὀξύς. ἄγρυπνος. διψώδης. γλῶσσα λιγνυώδης. ξηρή. οὖρα, εὔχροα μὲν, λεπτὰ δέ. δευτέρῃ ἐπιπόνως. οὐχ ὕπνωσε. τρίτῃ, πολλὰ διῆλθεν ἀπὸ κοιλίης, ὑδατόχροα. καὶ τὰς ἐπομένας διῄει τοιαῦτα εὐφόρως. τετάρτῃ, οὔρησε λεπτὸν ὀλίγον. εἶχεν ἐναιώρημα μετέωρον. οὐχ ἱδρύετο. παρέκρουσεν ἐς νύκτα. ς΄, διὰ ῥινῶν λάβρον ἐρρύη πολύ. φρίξασα, ἵδρωσε πολλῷ θερμῷ δι' ὅλου. ἄπυρος ἐκρίθη. ἐν δὲ τοῖσι πυρετοῖσι καὶ ἤδη κεκριμένων, γυναικεῖα κατέβη τότε πρῶτον. παρθένος γὰρ ἦν. ἦν δὲ διὰ παντὸς

ἀσώδης

ἀσώδης. φρικώδης. ἐρύθημα προσώπου. ὀμμάτων ὀδύνη. καρηβαρική. ταύτῃ οὐχ ὑπέστρεψεν, ἀλλ' ἐκρίθη. οἱ πόνοι ἐν ἀρτίῃσι.

Ἄῤῥωστος τρισκαιδέκατος.

Ἀπολλώνιος ἐν Ἀβδήροισιν, ὀρθοστάδην ὑπεφέρετο χρόνον πολύν. ἦν δὲ μεγαλόσπλαγχνος. καὶ περὶ ἧπαρ ξυνήθης ὀδύνη, χρόνον πολὺν παρείπετο. καὶ δὴ τότε καὶ ἰκτερώδης ἐγένετο. φυσώδης. χροιῆς τῆς ὑπολεύκου. φαγὼν δὲ καὶ πιὼν ἀκαιρότερον βόειον, ἐθερμάνθη σμικρὰ τὸ πρῶτον. κατεκλίθη. γάλαξι δὲ χρησάμενος ἑφθοῖσι, καὶ ὠμοῖσι, πολλοῖσιν, αἰγείοισι καὶ μηλείοισι, καὶ διαίτῃ κακῇ, πάντων αἱ βλάβαι μεγάλαι. οἵ τε γὰρ πυρετοὶ παρωξύνθησαν. κοιλίη τε τῶν προσενεχθέντων, οὐδὲν διέδωκεν ἄξιον λόγου. οὖρά τε λεπτὰ καὶ ὀλίγα διήει. ὕπνοι οὐκ ἐνῆσαν. ἐμφύσημα κακόν. πουλὺ δίψος. κωματώδης. ὑποχονδρίου δεξιοῦ ἔπαρμα ξὺν ὀδύνῃ. ἄκρεα πάντοθεν, ὑπόψυχρα. σμικρὰ παρέλεγε. λήθη πάντων ὅτι λέγοι. παρεφέρετο. περὶ δὲ τεσσαρεσκαιδεκάτην, ἀφ' ἧς ῥιγώσας ἀπεθερμάνθη, κατεκλίθη. καὶ ἐξεμάνη. βοή. ταραχή. λόγοι πολλοί. καὶ πάλιν ἱδρύσις. καὶ τὸ κῶμα τηνικαῦτα προσῆλθε. μετὰ δὲ ταῦτα, κοιλίη ταραχώδης, πολλοῖσι, χολώδεσιν, ἀκρήτοισιν, ὠμοῖσιν. οὖρα μέλανα, σμικρά, λεπτά. πολλὴ δυσφορίη. τὰ τῶν διαχωρημάτων ποικίλως. ἢ γὰρ μέλανα, καὶ σμικρά, καὶ ἰώδεα. ἢ λιπαρὰ καὶ ὠμά, καὶ δακνώδεα. κατὰ δὲ χρόνους ἐδόκει καὶ γαλακτώδεα διδόναι. περὶ δὲ εἰκοστὴν τετάρτην διὰ παρηγορίης, τὰ μὲν ἄλλα ἐπὶ τῶν αὐτῶν. σμικρὰ δὲ, κατενόησεν. ἐξ οὗ δὲ κατεκλίθη, οὐδενὸς ἐμνήσθη. πάλιν δὲ ταχὺ παρενόει. ὥρμητο πάντα ἐπὶ τὸ χεῖρον. περὶ δὲ τριηκοστὴν πυρετὸς ὀξύς. διαχωρήματα πολλὰ λεπτά. παράληρος. ἄκρεα ψυχρά. ἄφωνος. τριηκοστῇ τετάρτῃ, ἀπέθανε. τουτέῳ διὰ τέλεος ἐξ οὗ καὶ ἐγὼ οἶδα, κοιλίη ταραχώδης. οὖρα λεπτά, μέλανα. κωματώδης. ἄγρυπνος. ἄκρεα ψυχρά. παράληρος διὰ τέλεος. φρενιτικός.

Τεσσαρεσκαιδέκατος.

Ἐν Κυζίκῳ γυναικὶ θυγατέρας τεκούσῃ διδύμους, καὶ δυστοκησάσῃ, καὶ οὐ πάνυ καθαρθείσῃ, τῇ μὲν πρώτῃ ἐπῆλθε πυρετὸς φρικώδης, ὀξύς. κεφαλῆς καὶ τραχήλου βάρος μετ' ὀδύνης. ἄγρυπνος ἐξ ἀρχῆς. σιγῶσα δὲ καὶ σκυθρωπή, καὶ οὐ πειθομένη. οὖρα λεπτὰ καὶ ἄχροα. διψώδης. ἀσώδης τὸ πολύ. κοιλίη πεπλανημένως ταραχώδης. καὶ πάλιν ξυνισταμένη. ἕκτῃ, ἐς νύκτα πολλὰ παρέλεγε. οὐδὲν ἐκοιμήθη. περὶ δὲ ἑνδεκάτην οὖσα, ἐξεμάνη. καὶ πάλιν κατενόει. οὖρα μέλανα, λεπτά. καὶ πάλιν διαλείποντα, ἐλαιώδεα. κοιλίη πολλοῖσι, λεπτοῖσι, ταραχώδεσι. ιδ, σπασμοὶ πολλοί. ἄκρεα ψυχρά. οὐδὲν ἔτι κατενόει. οὖρα ἐπέστη. ις ἄφωνος. ιζ ἀπέθανε. φρενῖτις.

Πεντεκαιδέκατος.

Ἐν Θάσῳ Δεάλκους γυναῖκα ἣ κατέκειτο ἐπὶ τοῦ λείου, πυρετὸς φρικώδης, ὀξύς, ἐκ λύπης ἔλαβεν. ἐξ ἀρχῆς δὲ περιεστέλλετο. καὶ διὰ τέλεος αἰεὶ σιγῶσα, ἐψηλάφα. ἔτιλλεν. ἔγλυφεν. ἐτριχολόγει. δάκρυα. καὶ πάλιν γέλως. οὐκ ἐκοιμᾶτο. ἀπὸ κοιλίης ἐρεθισμοί. οὐδὲν διήει. μικρὰ ὑπομιμνησκόντων, ἔπινεν. οὖρα λεπτά, σμικρά. πυρετοὶ πρὸς χεῖρα λεπτοί. ἀκρέων ψύξις. ἐνάτῃ, πολλὰ παρέλεγε. καὶ πάλιν ἱδρύνθη σιγῶσα. τεσσαρεσκαιδεκάτῃ, πνεῦμα ἀραιὸν μέγα, διὰ χρόνου, καὶ πάλιν βραχύπνοος. ἑπτακαιδεκάτῃ, ἀπὸ κοιλίης ἐρεθισμὸς ταραχώδης. ἔπειτα αὐτὰ τὰ ποτὰ διήει. οὐδὲν συνίστατο. ἀναισθήτως εἶχε πάντων. δέρματος περίτασις καρφαλέου. εἰκοστῇ, λόγοι πολλοί. καὶ πάλιν ἱδρύνθη ἄφωνος. βραχύπνοος. κα ἀπέθανεν. ἦν ταύτῃ διὰ τέλεος, πνεῦμα ἀραιὸν μέγα. ἀναισθήτως πάντων εἶχεν. αἰεὶ περιεστέλλετο. ἢ λόγοι πολλοί, ἢ σιγῶσα. διὰ τέλεος φρενῖτις.

Ἑκκαιδέκατος.

Ἐν Μελιβοίῃ νεηνίσκος ἐκ ποτῶν καὶ ἀφροδισίων πολλῶν πουλὺν χρόνον θερμανθείς, κατεκλίθη. φρικώδης δὲ καὶ ἀσώδης ἦν. ἄγρυπνος. καὶ ἄδιψος. ἀπὸ δὲ κοιλίης τῇ πρώτῃ, πολλὰ κόπρανα διῆλθε, σὺν περιῤῥόῳ πολλῷ. καὶ τὰς ἑπομένας ὑδατόχλοα πολλὰ διήει. οὖρα λεπτὰ ὀλίγα ἄχροα. πνεῦμα ἀραιὸν μέγα, διὰ χρόνου. ὑποχονδρίου ξύντασις, ὑπολάπαρος. παραμήκης ἐξ ἀμφοτέρων. καρδίης παλμὸς διὰ τέλεος ξυνεχής. οὔρησεν ἐλαιώδεες. παρέκρουσεν ἀτρεμέως. κόσμιός τε καὶ ἥσυχος. δέρμα καρφαλέον καὶ περιτεταμένον. διαχωρήματα πολλὰ, καὶ λεπτά, ἢ χολώδεα, λιπαρά. ιδ, πάντα παρωξύνθη. παρεκρούσθη. πολλὰ παρέλεγεν. κ, ἐξεμάνη. βληστρισμός. οὐδὲν οὔρει. μικρὰ ποτὰ κατείχετο. τῇ κδ, ἀπέθανε. φρενῖτις.

Δοκέει δέ μοι προσωφελῆσαι τὸν λόγον τὸ γινόμενον θέρος. τὰς γὰρ θερινὰς νόσους χειμὼν

ἐπιγενόμενον λύει. καὶ τὰς χειμερινὰς θέρος ἐπιγενόμενον μεθίστησι. καίτοι αὐτό γε ἐπὶ ἑωυτοῦ τὸ γενόμενον θέρος, οὐκ εὐσταθὲς ἐγένετο, ἀλλ' ἐξαίφνης θερμόν, καὶ νότιον, καὶ ἄπνοον. ἀλλ' ὅμως πρὸς τὴν ἄλλην κατάστασιν μεταλλάξαν, ὠφέλησεν. μέγα δὲ μέρος ἡγεῦμαι τῆς τέχνης εἶναι, τὸ δύνασθαι σκοπεῖν, καὶ περὶ τῶν γεγραμμένων ὀρθῶς. ὁ γὰρ γνοὺς καὶ χρεόμενος τούτοις, οὐκ ἄν μοι δοκέῃ μέγα σφάλλεσθαι ἐν τῇ τέχνῃ. δεῖ δὲ καταμανθάνειν ἀκριβῶς τὴν κατάστασιν τῶν ὡρέων ἑκάστην. καὶ τὸ νόσημα, ἀγαθόν, ὅτι κοινὸν ἐν τῇ καταστάσει, ἢ ἐν τῇ νούσῳ, μακρὸν ὅτι νόσημα καὶ θανάσιμον. μακρὸν ὅτι καὶ περιεστηκός. ὀξύ, ὅτι θανάσιμον, ὀξύ, ὅτι περιεστηκός. τάξιν τῶν κρισίμων, ἐκ τούτων σκοπεῖσθαι καὶ προλέγειν. ἐκ τούτων εὐπορέεται. εἰδότι περὶ τούτων ἐστὶν εἰδέναι, οὓς καὶ ὅτε, καὶ ὡς δεῖ διαιτᾶν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΔΗΜΙΩΝ ΤΟ ΤΕΤΑΡΤΟΝ

Μετ' ἰσημερίην καὶ μετὰ πλειάδα, οἷα τὰ ἀνεστιόμενα καὶ βλεννώδεα, ἃ τὴν κεφαλὴν ὦξε, ἀπῆλθεν ὑπὲρ τοῦ ὠτός. τοῦ παρὰ Λεωκύδεος, ἐν ποδὶ Φανοδίκου, οἱ δάκτυλοι οἱ ἐν τῷ ποδὶ ἐπὶ τοῦ στήθεος ὁ τμηθεὶς τὴν κνήμην, ταύτῃ

M μὲν καὶ ἐμελάνθη, ἢ τὸ μέγα ἕλκος, ἐν τοῦ ἔξω τῆς κνήμης, καὶ ἐκ τοῦ ὄπισθεν ἤει. ἐπεὶ καθαρὸν ἐγίνετο. πλευροῦ ὀδύνη καὶ στήθεος κατ' ἴξιν ἀριστεροῦ. καὶ πυρετοί. ἀπέθανεν, ἀπὸ τοῦ πυρετοῦ. τὸ χολῶδες τοῦ χοινοπλόκου κατακορές. καὶ τὰ καυστικὰ καταφερομένῳ περὶ ἰσημερίην, κάτω αἷμα πολὺ διῆλθε. Γέροντι πάνυ σφόδρα ἀπεγένετο, τὸ πρόσω τεσσαρεσκαίδεκα ἡμερέων. Τοῦ δὲ στιγματίῃ παρ' Ἀντιφίλῳ καυστικῷ κριθέντος ἑβδόμῃ χολώδει, τυφώδει, τρίτῃ μετὰ κρίσιν. ἢ οὕτως αἷμα ἔπτυσε. περιεγένετο. καὶ ὑποστροφὴ ὕστερον ἐγένετο. ἐκρίθη ὡς εἰκός, περὶ πλειάδων δύσιν τὸ πρῶτον. μετὰ δὲ πλειάδων δύσιν, χολώδης ἐς μανίην. κρίσις περιεγένετο περὶ ἐνάτην ἄνευ ἱδρῶτος. Περὶ ἰσημερίην, ὁ Καλχηδόνιος ἀπὸ πυλέων μετακομισθεὶς παρ' ἀγορήν. ῥήγματος περὶ μαζὸν δεξιὸν ὀδυνώμενος ἔπτυεν ἄλλοτε καὶ ἄλλοτε ὑπόχλωρον. γαστήρ. ἱδρὼς ἀρξάμενος ἑβδόμῃ, εἶχε τὰ πολλά, ἄχρις ὀγδόης, ἐκρίθη τεσσαρεσκαιδεκάτῃ. περὶ δὲ τεσσαρακοστὴν, ἤρθη περὶ τὰ ὦτα οἱ ἀμφότερα. οὐκ ἀπεοικὸς ἐδόκει ἔμπυος ἔσεσθαι, οὐκ ἐγένετο. Στῆθος ἀριστερὸν δίμηνον ἐκαύθη. Τοῦ Φιλίδος οἱ ὡς ἀπέβη ἐκ πτώματος καὶ τοῦτο. περιῆρξε δὲ ὀδύνη τις ἄνωθεν. μετ' ἰσημερίας φθινοπωρινάς, ὑποστροφαί. καὶ ἄλλως μέχρι βορέων χειμερινῶν, μεθ' ἡλίου τοῦ θερινοῦ. Η ἀχελώου ἐκ τοῦ ἀπέφθειρεν αἱματώδης ἐοῦσα καὶ φρικώδης. καὶ ἱδρῶτες. κρίσις τεσσαρεσκαιδεκάτῃ. ὁποσάμηνον οὐκ οἶδα. ἄρσεν δὲ καὶ ἄλλο πρὸς τὰς εἴκοσιν ἔφη, εἰ ἀληθέα οὐκ οἶδα.

Περὶ ἡλίου τροπὰς χειμερινάς, βόρεια ἦν. ἰκτεριώδεες ἐγένοντο κατακορέως, καὶ οἱ μὲν, φρικώδεες. οἱ δέ, ὑγλῶσσαι ξυγκεκαυμέναι τρίτῃ. καὶ ὄχλοι περὶ ἕκτην καὶ ἑβδόμην. καὶ ὅτι μακρὰν ἀποτείνοντες. τὸ δ', γαστέρες ἀντεχόμεναι. καὶ ἐν τῇσι φαρμακείῃσιν οὐχ ὑπακούουσαι. καὶ τὰ λόγου τῶν πυρετῶν, καὶ ἀνιδρῶτες. ἀπλῶς ἐστὶν οἷσι σμικροί, πρὸς ὑποχόνδρια δεξιὰ ἐκτεταμένοι. καὶ πρὸς χεῖρα ὑποβορβορύζοντες αἱμόῤῥοοι. καὶ ὅροισιν ἡ κάθαρσις καὶ ἡ κρίσις. πολλοῖ δὲ μᾶλλον, εἶχον τὸ κάτω. καὶ γὰρ ὅπερ ἐπελαμβάνετο ὑπὸ τοῦ χρόνου τοῦ τόπου. οἷσι μὴ οὕτως ἦν. ἀπλῶς δὲ ἐπηρμένοι. αἱ μοῤῥαγίαι ἐξ ἀριστεροῦ. ἥλιος ἐτράπετο. τὰ χειμερινὰ χειμερίως ἐν βορείοισι. μετὰ δὲ ὀλίγου, νότια ἦν. ἐφ' ἡμέρας πεντεκαίδεκα. μετὰ δὲ ταῦτα, νιφετός. τὸ δ' ἡμέρῃσιν ἀμφὶ ταῦτα τοῦ ἔτεος, ἰκτεριώδεες κατακορέες. οὐ κρινόμενοι εἰλικρινέως φιλυποστροφώδεα. μετὰ δὲ χιόνας, νότια ὑπεγένετο. καὶ ὑέτια. κόρυζαι κατεῤῥάγησαν, καὶ ξὺν πυρετοῖσι καὶ ἄνευ πυρετῶν. ἑνὶ δέ τινι καὶ οἱ ὀδόντες. ἐκ τοῦ ἀπὸ μέσου περιαλγήσαντι ἐπὶ δεξιά. καὶ ὀφρὺν, καὶ ὄμμα. ἦσαν δὲ καὶ βραγχώδεες. καὶ φάρυγγες φλεγμαίνουσαι. καὶ οἱ ἀδένες καλεόμενοι ἀνεῖχον. καὶ τὰ περὶ τὰ ὦτα καὶ γνάθον ἐπάρματα μαλθακά, καὶ ξὺν πυρετῷ καθίσατο. ἀρχομένοισι πυρεταίνειν, ἐγίνετο ἐπάνω καὶ ἐπὶ θάτερα, τὰ πολλὰ τουτέων. καὶ οἱ ἀδένες εἰσὶν οἷσιν ὑπὸ τὸ μετόπωρον καὶ χειμῶνα, ἀτὰρ καὶ τὰ πιτυρώδεα. καὶ ἀπέφθειραν πολλαὶ παντοίως, καὶ ἐδόκεον. ἕκτῃ τῇ παρθένῳ κριθέντα. ἕκτῃ ὑπετροπίασεν. ἐκρίθη δὲ ἕκτῃς πάντα. ἐν τούτοισι τοῖσι χρόνοισιν, ἑκταῖα. ὀγδοαῖα ἐκρίνετο περὶ πλειάδων δύσιας. Η Μεανδρίου τοῦ τυφλοῦ, αὐτίκα χλωρὸν καὶ αὐτίκα πελιδνὲς ἔπτυσε περὶ ἕκτην. καὶ ἧπαρ ζύμωσις. καὶ κάτω ὑποχώρησις ὀλίγη. ξηροπυώδεα ἄνω. ὀλίγα. λευκά. πλατέα ἀνέπτυσεν. ἀπόσιτος. ἀπέθανεν ἐγγὺς εἰκοστῆς. ἐκ τῶν γεστίνων Θέσφορος οἰκέτης, ἐκ καυστικῶν, ὑποχωρήσιος χολώδεος, συν-

χνῆς

χυνῆς, ὑπὸ χονδρίου ἐντεταμένου. τῇ ἕκτῃ δὲ ἐπισχέσιος ἡ κοιλίη λεπτὰ συχνὰ τὸ ἅπαξ διῆλθε. καὶ εὐθέως ἵδρωσε. καὶ ἐκρίθη. καὶ ἡ κοιλίη ἔστη. τὴν δὲ τὴν αὐτὴν ὥρην, ῥιγώσασα ἐπυρέτηνε. καὶ τὴν τὴν αὐτὴν πάλιν ὥρην. Ἡ Θερσάνδρου, λευκοφλεγματώδης οὐ πάνυ ἐοῦσα, θηλάζουσα, ἐπυρέταινεν ὀξύ. ταύτῃ ἡ γλῶσσα ξυνεκαύθη τῶν ἄλλων ξυγκαιομένων. ὑπὸ τὸν χρόνον τοῦτον, γλῶσσά τε ἐτρηχύνετο, ὥσπερ χαλαζώδει πυκνῷ. καὶ ἑλμίνθια κατὰ στόμα. περὶ δὲ τὴν κ΄, οὐ τελέως ἐκρίθη. Περὶ δὲ πληϊάδων δύσιας, ὁ Μητροφάντου τὴν κεφαλὴν πληγεὶς ὑπὸ ἑτέρου παιδὸς, ὀστράκῳ. καὶ ἀπογενόμενος δωδεκαταῖος, ἐπύρεσε. πρόφασις δὲ, ὅτι σμήχων ἔτριψε τὰ περὶ τὸ ἕλκος, καὶ μετεψύχθη. καὶ ἐξήρθη τὰ χείλεα αὐτίκα. διελεπτύνθη τὸ δέρμα πολλαχῆ ἀπὸ τοῦ ἕλκεος πρόσω. πριωθέντι δὲ οὐ βραδέως, οὔτε πύον ἐῤῥύη, οὔτε ἐκουφίσθη. παρὰ δὲ τὸ οὖς ἐδόκει παραπυΐσκειν, ὑπὸ τῇ γνάθῳ ὑπὸ τὰ ἀριστερά. ταύτῃ γὰρ καὶ τὸ ἕλκος. ἔπειτα ὕστερον τε οὐκ ἀπεπύει. καὶ ὁ ὦμος ὁ δεξιὸς ἐνέπυσε, ταχέως. ἀπέθανε περὶ κδ΄. Μετὰ πληϊάδων δύσιας, ὁ τὸ οὖς ἀλγήσας, περὶ εἴκοσιν, ὕστερον ἄφωνος. τὰ ἐπὶ δεξιὰ τε ἀκρατής. ἀπύρετος ἵδρωσε. δεξιὸν οὖς, δεξιὸς ὀφθαλμὸς, ἐστήκει οὐ κάρτα. καὶ ἐφέλκετό τι ἐκ τοῦ κάτω μέρεος. ἀριστερὰ δὲ ἴλλαινεν αἰνῶς ὁ ὀφθαλμὸς ὀδυνώμενος. τράχηλος σκληρὸς ἀπεγένετο. τρίτην ὥρην ἴσως ὠδυνήθη ὕστερον. Μετὰ πληϊάδων δύσιν ὁ θεράπων ὁ τοῦ Ἀττικοῦ, ὑπὸ τεταρταίου ἁλισκόμενος. τυφλώδης ἱδρύθη. ἕτερος τὴν αὐτὴν ὥρην ἀληθεῖ τυφλομανίῃ. τὸ ἰσχίον καὶ σκέλεα ἦλθεν ὀδύνη. ἐπαύετο, ποσταῖος οὐ γινώσκω. ταύτην τὴν ὥρην φρικώδεες. ἐμετώδεες. καὶ μετὰ κρίσιν ἀπόσιτοι. καὶ χολώδεες. καὶ σπλῆνες μεγάλοι. σκληροί. ὀδυνώδεες. καὶ αἱ μοῤῥαγικοί. τοῖσι δὲ τὴν αὐτὴν ὥρην μετὰ πληϊάδων δύσιας, ἐκ ῥινῶν αἷμα χολώδεες ὑπὸ σπλήνεσιν. Ἐν Κρανῶνι τῇ Νικοστράτου ληφθείσῃ τεσσαρεσκαιδεκάτῃ ἔφθασεν, αὐτίκα κρατέα τραχήλου, καὶ τῶν ἄλλων καὶ σῖτος ἐγκατεκλείσθη μέχρι δεκάτης. πνεῦμα πυκνόν. σ μακρόν. ἀκρασίη. ψηλαφῶσα δακτύλους. παραλέγουσα. ἱδρῶτες. εἱλκύσθη ἐπὶ τὰ δεξιά, τράχηλος, στόμα, ὄμμα, ῥίς. οὔρων ὑπόστασις λευκή. ὀροβώδης. ἑτέρη λευκή. ξυσματώδης ἄλλη. ὑπόχλωρος. λεκιθώδης. ταύτῃ ἔστιν ὅτε, ὡς πιμελῶδες ἐφίστατο ὕστερον ἀθρόον οὐκ ἐπὶ πολὺ διεσκεδασμένον, οἷον τὸ ἐναιώρημα διεστηκός. οἷον ἔξω ἐξ οἵου, οὐ τὸ ὑφιστάμενον ἔπειτα οὐρεῖται. καὶ τὸ μέν τι τοιοῦτον. τὸ δὲ ἱδρυμένον, ἄλλο τοιοῦτον ὀλίγον, ἐπὶ πλατὺ διασκεδασμένον. ἄλλο τεταραγμένον. ἕτερον τοιοῦτον. ἐναιώρημα, νεφέλιον ὑπομέλανος, δοκέοντος πάχος ἔχειν. χαῦνον δὲ ἄλλο λεπτόν. ἄλλο ἐναιώρημα λεπτὸν τοιοῦτον, ἀλλ' οἷον ἵππου. ἄλλο, οἷον τὰ ζοφώδεα. ὁ πρῶτος παρενεχθεὶς, μειράκιον. τούτῳ οὖρον καθαρὸν λεπτόν. πάντῃ διαχώρησις, λεπτή. πολλή. ἄχολος. γλῶσσα τρηχέη πάνυ, πυρετὸς περικαής. ἄγρυπνος. κοιλίη κυρτή. οὗτος παρέκρουσεν οἶμαι ὀγδόῃ, τρόπον τὸν ἀκόλαστον. ἀνίστασθαι. μάχεσθαι. ἀκροθυμέειν ἰσχυρῶς, οὐ τοιοῦτος ἐών. τούτῳ ἀθρόων οὔρων πολλῶν ἐλθόντων λεπτῶν ἐξ ἐπισχέσιος, ὕπνος ἐγένετο ξυνεχὴς καὶ ἱδρὼς, κρίσιμος δοκέων δὲ οὐ τοιοῦτος. ἴσως περὶ δεκάτην. ἔπειτα ἐξεμάνη τε αὖθις, καὶ ἀπέθανε ταχέως, ἑνδεκαταῖος. προφάσιος οἶμαι τοῦ πιεῖν ἄκρητον συχνὸν, πρὶν ἐκμανῆναι. ὀλίγα ἔτεα αὐτῷ, εἴκοσι ἐγγύς. Τοῦ φθινοπώρου, ἤμεσε χολὴν μέλαιναν, ἡ ξυμμένος. καὶ αἱ ὀδμαὶ δὲ πρόδηλοι. καὶ οἱ φρικώδεες πυρετοί. καὶ αἱ καρδιαλγίαι χολώδεες. Βραχέα ἀνεμοῦσα, καὶ τὸ ἑλμίνθιον. διαχωρήματα λεπτὰ πάντα τὸν χρόνον περὶ πληϊάδων δύσιος. ἔληγον περὶ αὐτὰς, ὥστε αἱ μοῤῥαγίαι. καὶ βραχύτεροι οἱ πυρετοί, καὶ ὑποστροφώδεες αὐτίκα, βραχέησιν ὑποστροφῇσι. καὶ ἀπόσιτοι. καὶ ἔφθοι. καὶ ἀσώδεες. καὶ καρδιαλγέες. καὶ θηριώδεες ἐν τῇσι κρίσεσι. καὶ ῥιγώδεες. καὶ χολώδεες. Μειράκιον ξένον, τρίτῃ αἷμα ἐκ ῥινῶν πολύ. καὶ τετάρτῃ. καὶ πέμπτῃ. ἕκτῃ ἵστατο κοσμίως. παρέκρουσεν. ἑβδομαῖος γαστὴρ ἐστήκει. καυματώδης ἦν ὑποστροφὴ τριταίῳ. ἐξέλιπε γαστὴρ ἀντεχομένη. οὖρον οὐκ οἶδα. περὶ κρίσιν οἷον ἔδει. περὶ δὲ πληϊάδων δύσιας, νότια καὶ ὑέτια ἦν, κατὰ τότε. μειράκιον. μυξώδεα. ὑπόχολα. πέπονα ὑπεχώρει. γλίσχρα. συχνὰ διαχωρήματα. πῦρ συνεχές. γλῶσσα ξηρή. ἐκρίθη ἑκταῖος. ἑβδομαῖον αὖθις ἔλαβεν. ἀφῆκεν αὐθημερόν, τρόμος. ὠτὸς ῥεῦμα κατ' ἀριστερόν. γλίσχρον. παχύ. ἕκτῃ. Τῷ παιδίῳ τῷ φαγεδαινωθέντι, ὀδόντες οἱ ὑποκάτω. καὶ τῶν ἄνω. καὶ τῶν κάτω οἱ ἐμπρόσθιοι, ἀνέπλεον. ἔγκοιλον εἶχον ὀστέον. ὧν μὲν ἐκ τῆς ὑπερώης ἀπέρχεται, μέση ἡ ῥίζα ἡ ῥίς. ὧν δὲ οἱ ἄνω ὀδόντες οἱ ἔμπροσθεν, πλατεῖα ἄκρη ἀριθμούμενος. ὁ πεμπταῖος ἀπὸ τῶν ἔμπροσθεν, τέσσαρας ῥίζας κατὰ δύο συνεζευγμένας, ὡς πρὸς ἑκάτερον τῶν γειτόνων ὀδόν-

τῶν, ἄκρας ἀποκεκαμμένας εἰς τὸ ἔσω μέρος πάσας, παρὰ τὸν τρίτον ὀδόντα, ἀπὸ τραύματα πλείω, ἢ παρὰ τοὺς ἄλλους πάντας. καὶ τὰ ἐκ ῥινῶν παχέα ῥεύματα. καὶ ἀπὸ κροτάφων ὀδύναι ἐκ τούτου μάλιστα γίνονται. ἐσθίεται οὗτος, μάλιστα ὁ πέμπτος. ἐκ μέσου μὲν κόνδυλον ἔχει. δύο δὲ ἔμπροσθεν ὁ μακρὸς, πρῶτος, ἔνθεν καὶ τοὺς δύο ἐβέβρωτο. ῥίζαι μίαν παχεῖαν ὀξεῖαν ἔχει ὁ ἕβδομος. Τῷ Ἀθηναίων δὲ παιδίῳ ἄρσενι ὀδὼν ἐπ᾽ ἀριστερὰ κάτω ἄνω, ὁ ἐπὶ δεξιὰ τούτου, οὓς δεξιὸν ἐνεπύησεν, οὐκ ἔτι ἀλγέοντος. μετὰ δὲ πληϊάδα, εὐδίαι ἐπινέφελοι. καὶ ὁμίχλαι. κρίσιες, πεμπταῖαι, καὶ ἑκταῖαι, καὶ ἑβδομαῖαι, ἔτι δὲ καὶ μακρότεραι. ὑποστροφώδεες οἱ πυρετοί. καὶ οὗτοι πλανώδεες. καὶ ἀπόσιτοι. καὶ χολώδεες. καὶ δυσεντερίαι, ἀπόσιτοι. πυρώδεες. περὶ πληϊάδων δύσιας, νότια ἰσχυρὸς ἦν. αἱμοῤῥαγίαι. καὶ τριταιοφυέες. καὶ ἠπιαλώδεες. ὁ ἐν τοῦ σκυτέως ἡμοῤῥάγησε κατὰ ῥινός. διαχώρησις ὀλίγη. ἐκρίθη ἑβδομαῖος ῥίγει.

Ὁ παῖς ὁ παρὰ τὸ ἔσχατον καπηλεῖον, ἡμοῤῥάγησε τεταρταῖος. πολλὸν αὐτίκα ἐφλυήρει. γαστὴρ ἀντείχετο, ὑποχόνδριον ὀδυνῶδες σκληρόν. πρὸς βάλανον ἑκταίῳ ὑπῆλθεν κατὰ χλωρά. ἑβδόμῃ πρωῒ, ῥιπτασμός. πολλὴ βοή. φλεβῶν σφυγμοὶ παρ᾽ ὀμφαλόν. ἐν τοῖσιν ὀξυτάτοισι τῶν πυρετῶν, οἱ σφυγμοὶ πυκνότατοι καὶ μέγιστοι. οἷον τὸ ἐν δείλῃ παροξύνεσθαι. τοιοῦτον ἐν πάσῃ τῇ νούσῳ. πρὸς τὰς ἀρχὰς δὲ καὶ οἱ παροξυσμοὶ, καὶ τὸ πρωϊαίτερον σκεπτέον. καὶ τὸ συνεχέον. καὶ τὸ τοῦ ἐνιαυτοῦ. Μετὰ πληϊάδων δύσιας, νότια. πέμπτῃ κρινόμενα διαλείποντα, μίαν λαμβάνει. τὰ δὲ φολλικώδεα ὑποφλεκταινούμενα, οἷα τοῦ ἀκανθίῳ Λαπύτῳ. περὶ δὲ πληϊάδων δύσιας, ὑποψωρώδεα καὶ τρηχέα τὰ κνησμώδεα οὐκ ἐπιδακρύοντα. μᾶλλον μετὰ ταύτην τὴν ὥρην. ἀτὰρ καὶ τὰ λειχηνώδεα ἐξαιρόμενα. ταῦτα ἦν οἱ, τῇ Πυθοδώρου καὶ τοῦ καπηλίου ξὺν πυρετῷ ἅμα ἀρχομένῳ. σχεδὸν τῇ Πυθοδώρου. ἰσχία ἀκρατέα. Μετὰ πληϊάδων δύσιας, φρικώδεες. αἱμοῤῥαγικοὶ ἐκ ῥινῶν. ὁ μέντοι σκυτεὺς ἐκρίθη ἑβδομαῖος. μίαν διαλιπὼν, μίαν ἐλάμβανεν. αὖθις τετάρτῃ ἐκρίθη. ἄλλος τῶν παρὰ Λεωκύδεος, ἐκρίθη ἑβδόμῃ. ἄλλος, τετάρτῃ. Μόσχος ἐνάτῃ. λαῦρον ἐξ ἀριστεροῦ. βραχὺ δὲ, ἐκ δεξιοῦ μυκτῆρος. πρὸς τὰς ιδ΄, ἐς κρίσιν. ἣ ἔδει ἀρξάμενα παρωξύνετο. ἁμαρτάδες βρωμάτων ιζ΄ ἐγένοντο. παρὰ τὸ οὖς τὸ δεξιὰ σμικρὸν ἔσωθεν σκληρόν. ἔξωθεν σμικρὸν χαῦνον. ὀδυνῶδες. οὐδὲν ἐπεδίδου. ιβ΄ ἐπεγένετο νυκτὸς, τοῖσι πάνυ χολώδεσιν ἐκπύοις μάλιστα ὅλῳ ἰκέλη ἡ κάθαρσις. οἷον ὁ τὴν ἀκύλην προσβαλλόμενος. ἐπεὶ οὖν τὸ ἰσχίον ὀδύνη τούτῳ ἐς σκέλος κάτω ἦλθε. καὶ ὀρθρίσειν. Ὁ ἀπὸ τοῦ κεραμέου ἵππου καταπεσὼν, ᾧ οὐ προσεβλήθη αὐτίκα σικύη. ἐκαύθη ἔσω. καὶ κ΄, ἐπαλιγκότησεν. αἱμοῤῥαγικά. καὶ τρυγώδεα. καὶ ἐσθιόμενα. Ἡ Τενεδίη τεταρταίη ἀπέφθειρεν, ὡς ἔφη τριηκοσταῖον ἄῤῥεν. γαστὴρ ὑγρὰ λεπτά. ξυνεκαύθη γλῶσσα. κρίσις τεταρταίη. Μετὰ πληϊάδων δύσιας, πελιώδεα. καὶ μέχρι πέμπτης ἔῤῥει. ἐκρίθη. ἑβδομαίῳ δὲ ἐνῆν τι. οὖρον, οἷον ὀρόβων πλύμα. ὅμοιον αὐτὸ ἑωυτῷ. ἔπειτα καθαρόν. ὑποστροφή. διέλιπέ τε καὶ τῷ Μεγάρεος, πλὴν αἷμα οὐκ ἐῤῥύη. οὖρον οἷον τὸ ἀρτιγενέος, λευκὸν παχὺ ὅμοιον. Ἡλίου χειμερινέων τροπέων, ἀστὴρ οὐ σμικρόν. πέμπτῃ δ᾽ ὕστερον ἑκατέρων σεισμός. ἡ τοῦ ἐν Περίνθῳ ἡ μὲν ἡ ἀσθματώδης. ἡ ἀντιγενέος, ἡ οὐκ εἶδεν ἃ εἶχεν, ἐρυθρὰ ἐπιφαινόμενα. ἄλλοτε καὶ ἄλλοτε γαστὴρ σμικρή. ἄλλοτε μεγάλη. βηοστοῦσα γὰρ οἶμαι, ἐτύγχανεν. ὁδοιπορῆσαι θᾶσσον. μὴν ἦν ὄγδοος. ἱδρύθη περιπυρεταίνουσα. ἡ δὲ τοῦ Ἀπημάντου ἀδελφεοῦ γυνὴ, ἀπέφθειρεν ἑξήκοντα ἡμερέων, ὡς ἔφη, ἑβδομαίη θῆλυ. περὶ δὲ ἐνάτην ἐθορυβήθη. μετὰ δὲ κρίσιν, τὰ δεξιὰ ἤλγει. ὡς ἂν ὑπὸ ἀποστροφῆς αὕτη εἶχε ταχέως, καὶ ἀπέφθειρεν. ἑτέρη λευκοῖς θυγατέρα ἔτεκεν. ἑτέρη ἐρυθροῖς, ὡς ἔδει. φρικώδεες. ἀσώδεες. ἀπόσιτοι. ὑποστροφώδεες. χολώδεες. αἱμοῤῥαγικοί. ὑπόσπληνοι. ὀδυνώδεα τρόπον, ἐκ τῶν ἀριστερῶν οἱ πλεῖστοι. τῇ Ἀπημάντου, ἡ ἐστραπτο ταύτῃ, τὸν ὀφθαλμὸν τὸν δεξιόν. τὸν δὲ κενεῶνα, ὅθι τὰ ἕτερα. Ἡ Ἀριστοφῶντος θυγάτηρ, τῇ τρίτῃ καὶ τῇ ε΄, ἐπυρέτηνε. ξηρὴ διετέλει τὰ πλεῖστα. γαστὴρ μέντοι ταραχώδης ταύτῃ. δύσκειτα. ὑπὲρ τριήκοντα ἐπαύσατο. φλεκταῖναι μετ᾽ ἐκ κόπων οὐ κάρτα ἰσχυρῶν. ἀφανισθέντων οὖν ἑβδόμην, ὑποπέλιοι. ῥῖγος τῇ ὄπισθεν τοῦ Ἡρωΐου παιδίσκῃ ἐγένετο. αἱ δὲ λευκαὶ μεγάλαι, οὐδ᾽ αὐταὶ πάνυ χρησταὶ τῶν παχέων καὶ ὑπνωδέων, καὶ μὴ ξυμπιπτόντων καὶ χολῆς ἀντεχομένης. καὶ ἦν ὑγρὴ ἢ ἡ σκληρή, οὐ ξυμπίπτοντες. Ζωΐλου τοῦ τέκτονος, βομώδεες. σφυγμοὶ νωθροί. οὔρησις καὶ κοιλία μετρίως ἀχρόως. ἦν δὲ οὐ ἔντασις ἑκατέρωθεν ἐς ἰθὺ, μέχρις ὀμφαλοῦ ξὺν ὀξεῖ. ἀπόσιτος. διψώδης. Ἡ παρὰ Τηκομαίῳ Ἀγοραινόμου θυγάτηρ, ἐν γαστρὶ ἀσήμως ἀρξαμένη δίμηνον ἔμετος

φλεγματώδης

φλεγματώδης, ὁτὲ δὲ χολώδης, ἔρρηξε. χαλεπῶς ἔτεκε. τελέως ἐκαθάρθη. ἔμετος ὁμοίως μέχρι τριακοστῆς. ἔπειτα γαστὴρ ἐταράχθη. καὶ ὁ ἔμετος ἐπαύσατο. λειεντερίη. γυναικεῖα οὐκ ἐγένετο. δύο ἐτέων χειμῶνος ἔσχεν αἱμορροΐδας. Οἱ δύο ἀδελφεοὶ, οἱ τοῦ Κέκροπος οἰκεῖοι, οἷσι τὰ μέλανα κατ' ἀρχὰς διῄει. ὑπότρυγα. καρυκοειδέα. ἐκ κατακορέων ἀφρωδέων χολώδεα ἦσαν. Ος τὸν ὄνον ἐκ συνθήκης ἦγεν, ἐπυρέτηνεν αὐτίκα. τριταίῳ ἡμορράγησεν. δʹ καὶ εʹ καὶ ζʹ καὶ ηʹ ἐκρίθη κοιλίη ὑγρή. Ο ἐκ μετάλλων, ὑποχόνδριον δεξιὸν ἐκτεταμένον. σπλὴν μέγας. καὶ κοιλίη ἐντεταμένη. ὑπόσκληρα. πνευματώδης. ἄχροος. τούτῳ ἐς γόνυ ἀριστερὸν, ὑποστροφή. δι' ὅλου ἐκρίθη. Ο Τημένεω εἶχέ τι πνεύματος ὡς χλοώδης ἐς νῶτα ἐς χεῖρας χλοώδης. Ο τῆς λέχους ἀνὴρ, ὁ παρὰ τὰ Σιδδήνου, ὁ ἰκτεριώδης πρὸς ὃν ἑβδομαῖον ἐσῆλθον, ὀγδόῃ ἀπώλετο. οὔτε οὐρῶν, οὔτε διαχωρέων. ὑποχόνδρια μεγάλα καὶ σκληρά. καὶ πνεῦμα πυκνόν. οὗτος ἀπολλύμενος, οὐδ' ὑπὸ πόνου, ἐνόπισε τὸ μέτωπον. ἡ τούτου γυνὴ, ἐξέβαλε θῆλυ ἑβδόμῃ ἑβδόμου μηνί. ἐφάνη δὲ τετάρτῃ. ταύτην μὲν ἐν ἀρχῇ, ποδῶν ὀδύνη εἶχε. λήγοντος δὲ τοῦ πυρετοῦ, πνεῦμα οὐκ ἐλύθη, ἀλλ' ἐγκατελείφθη ἐς χεῖρας ὀδύνη, καὶ βραχίονα. ὑποστροφὴ διὰ μηκίστου ἔλαβεν. οἷος ἐπέσχητο οὖρα περὶ κρίσιος. Η παρὰ Τιμένεω ἀδελφὴ, ξὺν ῥίγει ἐκρίθη. τοῦ χλοώδεος δὲ λήγοντος ταχέως, χεῖρες καὶ ὦμοι. τούτων δὲ ληγόντων, κεφαλῆς. ὀφθαλμῶν τὰ ἄνω βλέφαρα ἐπήρθη, καὶ ἐδακρυρρόει. οὐκ οἶδα τὰ λοιπά. ἐκρίθη περὶ ζʹ τοῦ πρώτου. Ο δὲ Μενάνδρου ἀμπελουργὸς ὡσαύτως. σπλὴν γαστὴρ κατ' ἀρχὰς λεπτὰ ἐδίδου. ἔπειτα ἔστη. καὶ τὸ οὖρον ἐκρίθη. οὐκ ἐρρίγωσεν ἑβδόμῃ ἡμέρῃ, ὅτι ἡ γαστὴρ προεταράχθη. Ο Ποταμῶνος, τούτῳ κοιλίη οὐ διῄει ἑβδομαίῳ. περὶ κρίσιος δύο ἡμέρας οὐκ ἐρρίγωσε. διὰ τοῦτο, οὐδὲ τὸ οὖρον ἔσχετο. Ο ὀδοὺς τοῦ Ἡγησιστρατίου, ὅτῳ ἀπόπυημα παρ' ὀφθαλμὸν, καὶ ἀπεπύησε παρὰ τὸν ἔσχατον. καὶ αὖθις ἐξινήθη ὁ ὀφθαλμός. καὶ κατὰ ῥῖνας πῦον ἦκε παχύ. παρὰ τὸ οὖλον, σαρκία σμικρὰ, στρογγύλα ἀπῆλθε. τούτῳ παρὰ τὸν τρίτον ἐδόκει ἀποπύησιν. ἔπειτα ἀπετρέπετο. ἐξαίφνης δὲ ᾤδησεν ἡ γνάθος, καὶ ὀφθαλμοί. οἷσιν ἐς τοὺς ὀφθαλμοὺς ἀποστάσιες ἐν καύσοις. ἐξέρυθροι γνάθους. καὶ αἱμορραγικοί. ἀτὰρ καὶ οἷσι παρὰ τὰ ὦτα ἐξῆν. ἴσως δὲ καὶ ἀποστάσιες ἐς ἄρθρα μᾶλλον, οὐ μὴν σάφα οἶδα τὰ ῥίγεα. προμάδησιν, ὑποχονδρίου ἔντασις. γυναικεῖα ἐπεφάνη δεκάτῃ. καὶ ἑβδόμῃ ἐκρίθη διὰ τέλεος. ἔγκυμον οὕτως ἐνεμένεν, ἐκρίθη τρίτῃ. ἄλλη πέμπτῃ. ἄλλη ἑβδόμῃ ἐκρίθη. Τῷ Ἡγησιστρατίῳ οἱ δύο ὀδόντες οἱ ἔσχατοι, τὰ πρὸς ἀλλήλους ἐβεβρωντο. ὁ ἔσχατος εἶχεν ἄνωθεν τοῦ οὔλου δύο κονδύλους. ἓν μὲν κατὰ βρῶμα. ἓν δὲ ἐπὶ θάτερον. ἡ δὲ οἱ δύο, ταύτῃ ῥίζαι πλατεῖαι ἐκεῖνοι ἐκ δύο ξυνέπιπτον ἐπὶ τὰ ἕτερα. μία ἡμυσία, πρὸς στρογγύλη. Γυναικὶ, ἡ ἡμορράγησε δʹ καὶ ϛʹ ἑβδομαίη ἐκρίθη, ἐξέρυθρος. Γυναικὶ καρηβαρικὴ, ἰσχυρῶς ταύτῃ ἐκρίθη περὶ εἰκοστήν. εἰκοστῇ καυσώδης ὑποχόνδρια. ἑβδόμῃ οὐ κάρτα ἡμορράγησε. διαχωρήματα λεπτά. ἐς ὀφθαλμὸν δεξιὸν, περὶ ὀγδόην. ἀνδρὶ ταὐτά. σπλὴν ἑβδόμῃ ἐκρίθη. ὑποσπλήνως ἐς τὰ ἀριστερά. ὀγδοηκοσταίῳ. καὶ χρονιώτερα τούτῳ τὰ τοῦ ὀφθαλμοῦ, ἴσως ὅτι ὕστερον τῆς κρίσιος, καὶ ὅτι πολλά. Η Μένεω ἀδελφὴ πνευματώδης ὑποχόνδρια καὶ ἐντεταμένα ἐφάνη διὰ χρόνου. εἰ δὲ καὶ εἶχέ τι νήπιον, οὐκ οἶδα. γαστὴρ τὰ πρῶτα ἔστηκεν. καὶ ἐμετώδης τότε. ἔπειτα οὐκ ἔτι. γαστὴρ γὰρ διῄει πολλὰ γλισχρόχολα, ὑποχόνδριον οὐκ ἐκώλυεν. ιαʹ ἐς τὸν μέγαν τὸν δεξιὸν, φλεγμονὴ, κατάρρηξις. καὶ ἐπεχώρει ἀνωτέρω. τούτου γινομένου, βελτίων ἐγένετο. καὶ γὰρ καταφορὴ ἧσσον καὶ πυρετός. καὶ τινὶ καὶ εὐπνοωτέρη, ὅτι ἄνω ἤμει ἔμετον κακόν. ἑξκαιδεκάτῃ, ἰσχνὸν ἐγένετο. καὶ πνεῦμα πυκνόν. καὶ πυρετός. ἀπέθανεν. αὕτη ἐπύρεξε πρὸ τῆς ἀποστάσιος. ἑβδόμῃ μετὰ τὴν ἀπόστασιν ἀπώλετο. ἦν καὶ αὕτη τοῦ ἐξερύθρου τρόπου. Ο παῖς ὃς ἦν τῆς γυναικὸς τῆς τοῦ Ἀπημάντου ἀδελφῆς, ὑποχόνδρια μεγάλα. καὶ σπλὴν πνευματώδης. διαχώρησις, γλισχρόχολος. ὑπόκοπος. κοπιώδης. ἐξ ἔργων εἰκοσταῖος ἐς πόδας. καὶ κρίσις ἦρα τοῖσι κοπιώδεσιν ἐς ἄρθρα. ἆρα οὐκ ἐς ὀφθαλμόν. τὰ ὑποχόνδρια δὲ ἐκτεταμένα ἦν. ἆρα διὰ ἆρα ἦν τι βηχίον ξηρὸν ἡσυχῇ. τὰ ἐγκαταλιμπανόμενα μετὰ κρίσιν, ὑποστροφώδεα. ἆρα τὰ ἐν αὐτῇσι τῇσι νούσοισι ἀποκρινόμενα, πτύαλον προπεπαινόμενον. ἡ γαστήρ. ἀκρασίαι. ἆρα ταὐτά. Ἀπημάντῳ, ᾧ τὰ ἐν τῇ ἕδρῃ ἀλγήματα ἐν τῷ δεξιῷ κενεῶνι, ἆρα παρὰ τὸν ὀμφαλὸν κάτωθεν ὀλίγον. ἆρα ἐκ δεξιοῦ περὶ τοῦ ἀλγήματος, προοῦρει αἱματώδεα. ἔληξε τρίτῃ. ἆρα ὁ τέκτων ἐπὶ τὰ ἕτερα, ἐκ τοῦ αὐτοῦ ἰξύος. ἆρα οὗτος προοῦρει αἱματώδεα. λήγοντες δὲ ἀμφότεροι, ὑποστάσιες εἶχον. ἆρα διὰ τοῦτο τρίτῃ.

ἐπεχλιαίνετο δὲ πλεῖστα Ἀπημάντος. ὁ ἕτερος οὐκ ἐγένετο, εἰ μὴ ὑπὸ τὰ ἀριστερά. καὶ Νικοστράτῳ προσεγένετό τε τὰ ὕστατα ἐκ τῶν δεξιῶν. κατωτέρω ἢ οἷσι ἐν τοῖσιν ἀριστεροῖσι. πρόμακρα δὲ περὶ τοῦ κτενὸς μέχρι πρὸς ὀμφαλὸν ἀμφοτέροισιν. Ἡ γραίη ἡ παρὰ Σωσιλέω λευκοφλεγματώδης. κνῆμαι σκληροῖσιν οἰδήμασι, λευκοῖσι, φολιδώδεσι. καὶ πόδες. ἧσσον δέ. ἦν δὲ καὶ ἐν τοῖσι κάτω τῶν μηρῶν. τοῖσι δὲ πολλοῖσι δυσέξοδον ἦπαρ. ἀτὰρ καὶ ὀσφύϊ καὶ λεπτογάστωρ. ὑποχόνδρια ὑπολάπαρα. πνευματώδεα δὲ οὐ κάρτα. ἦν δὲ λήγοντι τῶν πλείστων, μελέτη καὶ ἄλλη ἦν ἐγλαυκώθη ἡ ὄψις. ταύτῃ μὲν τῶν ὀμμάτων, ἡσυχωτέρα δή τι σμικρὸν ἦν. ἰσχίου δὲ καὶ σκέλεος, ὑστερικὰ ἦν, δοκέοντα ἀλγήματα εἶναι. προσθεμένη θυῶδες ἐξ ἀλήτου καὶ μύρου, ξυνέβη ταχέως ἀναδοθῆναι καὶ τελευτῆσαι. χρόνος τῇ ἐς ὀφθαλμοὺς ἀποστάσει, ἐνιαυτός. περιομφακώδης, ὡς καὶ τὰ ἐξανθήματα ἐξετάκη οὐ τελέως. ἔστι δὲ καὶ ἀπὸ τῶν συρμάτων τοιαῦτα. Ἐν τῇ Ἱππολόχου κώμῃ, παῖς ᾧ ἐν τοῖσι ὑποχονδρίοισι τὸ περιλαμβανόμενον περὶ ἀμφότερα ἦν τὸ ἑωυτῷ. σκληρὸν δὲ καὶ κάτωθεν ἔχον ὑπόλαμψιν ἐμφερῆ τῇ τοῦ χαλκέως, τῇ ὑδρωπιώδει, ἢ λεπτὰ ἐλθόντα, μέρος τι ἐλάπαξεν. ἦν δὲ καὶ αὐτὸ ἧπαρ πρὸς τοῦ δεξιοῦ ὁμαλόν τι ὑπερεξηρμένον, τῶν ὑπό τι περιφέρειαν ἐχόντων. τούτῳ ὁ ὀμφαλὸς ἐκ γονῆς, ἐμελάνθη. καὶ ἕλκος βαθὺ ἐγένετο. καὶ ὁ ὀμφαλὸς, οὐ μάλα οὐλὴ ἐγεγόνει. καὶ τὸ αἰδοῖον, ἀκρόψιλον ἐγεγόνει, οὐ τοιοῦτον αὐτίκα ἐόν. οὐδὲ ξυγγενικόν. ἐπεί τε μᾶλλον ἐγίνετο, οὗτος ἀνῄμει τὰ πλεῖστα. πυρετὸς. ἀκρισίη, ὑγιάνθη. περὶ δὲ ζ΄ ἀπὸ τῆς κατακλίσιος, πρόσθεν γὰρ περιέκαμνεν, ὕδωρ τε πολὺ πίνων, καὶ ἴσως ἄλλως ὑποκαταφρονεῖ. ἐρριπτάζετο καί τι ἐπτάτο. λήγοντος δὲ τοῦ σπασμοῦ, ἔλαθεν ἀποσβείς. πρὸ δὲ τούτου, οὔρησεν ἀθρόον. καὶ φῦσαι διῆλθον ἐν βρόμῳ. καὶ τὰ ἄνω οὐκ ἐλάπαξεν οὐδέν. ἀπογινομένου τε τὸν θέως, κεῖνα τε ἐλαπάχθη ἰσχυρῶς, καὶ τὰ ἄλλα διεφοινίχθη, ὡς μάστιξι πᾶν τὸ σῶμα, πλὴν τούτου ἢ μάλιστα τὸ ἔξαρμα ἦν. καὶ θερμὸς ἐπὶ συχνὸν ἦν. Ὧι δ' ἐν αἰδοίοις ἐρράγη κάτω.

Ὧι δ' ἔμπροσθεν αὐώδης ἀπυρέτῳ. τὸ δὲ ἔπαρμα ψαυόμενον, ἴκελον ἐμπύῳ ἦν. Ἀσθματώδει οἰκέτιδι. ἔνθα ὅταν ἐπαγγείη ἡμορράγησε. τοῖσι ἐπιμηνίοισιν ἐγένετο δὲ ἄσθματα. ἐκεῖνα ἐπαύσατο. πυρετὸς ἐγένετο. μαζὸς ἐνεπύησεν ἀριστερὸς ὕπερθεν. καὶ ἀπ' ἀρχῆς καὶ οὗ. Τῇ Ὀλυμπιοδώρου παιδίσκῃ, αἷμα ἐκ τοῦ δεξιοῦ. καὶ ἐκρίθη ὡς εἰκοσταίη. οἷα καὶ τοῖσι πυρεταίνουσι. καὶ διαχωρήσιες, οἷαι καὶ τοῦ θέρεος ἐπεδήμησαν καὶ οἷα Ἱππώνακτος. καὶ Ὕλη οἰκέτις ἡ Ἀριστίδου ὀγδόῃ ἐν τῇ τῶν φαρμάκων καθάρσει. κάτω σημεῖα, οἷα ὑφόρως φέρουσι, κἂν μὴ παρὰ λόγον γένηται. καὶ μήτε ἔπαφρα, μήτε ὕφαιμα, ἀλλ' οἷα ὠὰ ὄζειν, οἷα Ἡρακλείδεω. ἐκαθάρθη πολλά. καὶ ῥηϊδίως ἔφερε. Τῇ ἐν τῇ Βουλαγόρεω κώμῃ, ἀποκαθαρθείσῃ, ἤρξατο πυρεταίνειν ἐπὶ σπληνί. ἔχουσιν δὲ καὶ δεξιὸν ὑπό τι, μετέωρον μὲν οὔ. ἐντεταμένον δέ. οὗτοι καὶ ἐξέρυθροι γίνονται, μᾶλλόν τι ἐξέρυθρος ἐοῦσα. κοιλίην ἐν ἀρχῇσι τεταραγμένην. προσεδεχόμην ἐς ὀφθαλμοὺς στηρίξειν. ταύτῃ ἑβδόμῃ ἁλμῶδες ἐκ τῶν ὀφθαλμῶν ἦλθεν δάκνον δάκρυον, καὶ κατὰ ῥῖνα, καὶ παρὰ φάρυγγα. καὶ οὖς ἀριστερόν. πεντεκαιδεκάτῃ ἵδρωσε σὺν ῥίγει. οὐκ ἐκεῖνο περὶ τοῦ ῥίγεος, ἐχλωρίασε κάρτα. καὶ προσώπου περίστασις, καὶ σύμπτωσις. τὸ οὖς κατ' ἴξιν τοῦ σπληνὸς, καὶ τοῦ πλευροῦ ἤλγει. τοῖσι παιδίοισι, γαστέρες ταραχώδεες, καὶ βῆχες ξηραί. ἐν ὤμοιν ἐστὶν ὅτε ἀποπύει ἐν τῇσι βηξὶ τῇσιν ὑστέρῃσιν. Ὁ κναφεὺς, τράχηλον, κεφαλήν. ἑβδόμῃ, χεὶρ ναρκώδης. ἐν τῇ θ΄ σκέλος ναρκῶδες. βὴξ ἐπαύσατο. ἡ τὴν γνάθον ἐρυθῆσα ἐν πέμπτῳ μηνὶ ἐν γαστρὶ εἵλκυστο ἐς τὰ ἀριστερά. Ἐν Κρανῶνι Λυκίνῳ γραμματικῷ ἐκ πυρετοῦ χολώδεος, ἐπὶ σπληνὸς καρυβαρείη, ἐκόρχα παρὰ σπλῆνα. ἐν χείλεσιν ἀμφοτέροισιν ἕλκεα, ἔνδοθεν, στρογγύλα, σμικρά. ἔπειτά τι καὶ αἷμα ἐκ τοῦ κατ' ἴξιν σμικρὸν ἐρρύη. Τῇ οἰκέτιδι, ἣν νεώνητον ἐοῦσαν κατεῖδον. ἦν τὸ σκλήρωμα ἐν τοῖσι δεξιοῖσιν ἐνῆν μέγα. οὐ κάρτα ὀδυνῶδες. καὶ γαστὴρ μεγάλη καὶ περιτεταμένη. οὐκ ἴκελη ὑδατώδει, καὶ τὰ ἄλλα λιπαρή. καὶ οὐ πάνυ δύσπνοος. ἄχροος δέ. γυναικεῖα ἑπτὰ ἐτέων οὐκ ἐληλύθη. ἐγένετο δυσεντεριώδης, καὶ οὐ τεινεσμώδης. καὶ ὑπὸ ταῦτα, ὀδυνῶδες τὸ ἐν τοῖσι δεξιοῖσιν ἦν. καὶ πυρετοὶ γλίσχροι. καὶ οὐ πρόσω ἑπτὰ ἡμερέων, καὶ κοιλίη ἐταράχθη. ἠλεκτρώδης. ὑπόγλισχρος. ὑπέρπολλος ἐς ἡμέρας τινὰς ὑγιής. καὶ γυναικεῖα μετὰ ταῦτα ἐγίνετο. καὶ περὶ τὴν γαστέρα, λαπαρά. καὶ χρῶμα εὔχροον, καὶ παχὺ ἦν αὐτῷ. Ἡ Μίνωος ἡ ἐκ τιμῆς πιεσάντων ἐσφακελίσθη, καθισαμένου ἐς πλεύμονα, ἐπεὶ σήμαινε βραχέως, ὅσοισι πρίων, καὶ ἄλλο τι ἐς ἔνδον. τὰ ἐντεθέντα ἐς τὴν ῥῖνα ἢν πυρεταίνωσιν. ἢν μὲν λυθῇ ἡ ὀδύνη, παχέα παρὰ τὸν μυκτῆρα ῥεῖ. ἢν δὲ μήτε ὀδύνη, μήτε ὁ πυρετὸς, λεπτὰ καὶ

ἴσως πυ

ἴσως πυρώδεα. οἷον τὸ μὲν λεπτὸν Ἡγησίππῳ ἐν νύκτα περιθεμένῳ. τὸ δὲ παχὺ, τῷ ἐν τῷ Κορίνθῳ τῷ ὑνοχοειδεῖ, τῷ Κελδυρέος, ἦν. πέπειροι αἱ περὶ τῆσι νούσοισιν ἀποστάσιες, εἰ κρίνουσι σημεῖον, ἢν πυρώδεα ἐόντα, μὴ πυρεταίνωσι. καὶ δύσφορα ἐόντα, εὐφόρως φορέωσιν. οἷον τὰ περὶ τῇ ἕδρῃ, Χαίρωνι. τῷ δὲ Λεαμβίῳ ἑλκώδεος ἐντέρου δοκέοντος εἶναι, ἐν δυσεντερίῃ φάρμακα πολυθέντι, ὦμος καὶ ἕδρη ἀφηλκώθη ἀπυρέτῳ ἐν ἀριστερῷ.

Ὁ περὶ τῶν φύσεων μετεωριζόμενος, ἐπήρετο καὶ ὑπήλγει κενεῶνι. τούτῳ γάλα πλεῖον ἢ ἀκρητέστερον πιόντι καὶ ἐπικοιμηθέντι, αὐτίκα ναυσίη καὶ θέρμη ἐγένετο. ἔπειτα ἀπεμέσαντι, καὶ ἀντὶ σιτίων ἐξαροπέπων κρίμνων ἀποφαγόντι, συνέστη ἡ γαστήρ. καὶ πυώδες τι ὑπεδιῆγεν. ἕδρης δὲ ὑποφλεγμηνάσης, ἀπύρετος ἦν ἀνώδυνος ἦν ἱκανῶς. τοῦτο λέγω.

Ὁ ἐν τοῖσι λιθίνοισι προπυλαίοισι πρέσβυς, ὀσφῦν ἤλγησε. καὶ σκέλεα ἄμφω. καὶ θάτερον κατέβαινεν περὶ μηρούς. καὶ ποτὲ κνήμας. καὶ ποτὲ γούνατα. ἐγχρονιζούσης μάλιστα, πολλαὶ παλινδρομαὶ ἐγεγένοιντο. οἴδημα ἐν ποσίν. ὀσφύϊ. κνήμῃ. βραχεῖς βουβῶνες. γαστὴρ σκληρή. καὶ ἔντασις ἤτρου ἡ πᾶσα. καὶ ὀδυνώδης τὰ πλεῖστα εὑρέθη ἔχων. καὶ κύστιν σκληρὴν καὶ ὀδυνώδεα. καὶ βλαστήματα. καὶ θέρμαι. ὅτι τοῖσι ὄμμασι, τοῖσιν ὠσί, τῇσι ῥισί, τῇ χειρὶ αἱ κρίσιες, καὶ τἄλλα οἷσι γινώσκομεν.

Ὁ ἀκούων ἢ ἰδὼν, ἢ θιγὼν, ἢ ὀσφρανθεὶς, ἢ γευσάμενος, τὰ δ' ἄλλα γνοὺς, τρίχες. χροιή. δέρματα. φλέβες. νεῦρα. μύες. σάρκες. ὀστέα. μυελός. ἐγκέφαλος. καὶ τὰ περὶ τοῦ αἵματος σπλάγχνα κοιλίη. χολή. οἱ ἄλλοι χυμοί. ἄρθρα καὶ μετὰ ταῦτα ἤλγηκε παρ' οὖς. τοῦτον σύστρεμμα. ἀδένος οὐκ ὑποψαύοντος. ὀστέον οὐκ ἀπεπυοῦτο. καὶ τοῦτο ἐμολύνθη. καὶ τότε εὐθὺς ἐπυρέτηνε. σφυγμοί. τρόμοι. σπασμοί. λύγγες. ἀμφίπνευμα. ἄφοδοι. οἷσι γινώσκομεν. τοῖσιν ἐμπύοισι τὰ ὄμματα. καὶ ἐκρηγνύμενα μεγάλα ἕλκεα γίνεται. ἢ ταμνόμενα βαθέα, ἀμφοτέρως. αἱ ὄψεις ἑλκοῦνται.

Ὁ ἀπ' Ἀμφιλόχου κώμης Ἀριστέης, τετάρτη παρέκρουσε. κοιλίη ὑπόχλωρα διῆκε. καὶ ὕπνοι ὑγιέες, λευκόχροος. ἀρχομένῳ οἷον ὑποτρομώδεες. καὶ δάκτυλοι καὶ χείλεα διαλεγόμενοι. καὶ τἄλλα, καὶ ταχυγλωσσότεροι προπετέως. ἔρευθος περὶ προσώπου μάλιστα τούτοισιν ἦν. οὗτοι ἐθώρηξαν, ἢ ἐμέτου χρηστῶς ἐμέσαντες ὤφελον.

Ὁ δὲ κατὰ Μηδοσάδεω ὦ λεπτὰ, ἄχολα, ὑδατώδεα, πουλλὰ διεχώρει. ὑποχόνδριον ὑπάκουον ἦν κυρτόν. κωματώδης ἐγένετο. περὶ τεσσαρεσκαιδεκάτην πρὸς κρίσιν μάλιστα ἰόντι, ῥῖγος ἄτρομον. διάλυσις. πάρεσις, σύμπτωσις. τὰ τῶν ἀπιόντων, κωματώδης παραφερόμενος ἐξ ὕπνου. οὐκ ἐξεμάνη. ἐκρίθη περὶ τεσσαρεσκαιδεκάτην. οὐδὲν τῶν κρινόντων ἐναντίον. ὁμοίως ὁ ἕτερος ἐν ἀρχῇσιν ὑπόγλισχρα διαχωρήματα, ἐξ οἵων τὸ παχὺ κρίσιμον. ἄγρυπνος. μετὰ ταῦτα ὑπόγλισχρα. ὑπόχολα. πέπονα. χολώδεα. μὴ λεπτά. ἐπὴν δὲ ἄρξηται ξυνίστασθαι, ταχεῖαι αἱ κρίσιες. ὑποχόνδριον ἐντεταμένον ἐφάνη φλεβονώδεα τρόπον περὶ ἕκτην. ἔπειτα ἐκοιμήθη ἑβδόμῃ. ἐκρίθη περὶ ἐνάτην. λευκόχροοι. οὐ πυρροί. ἀμφότεροι. διαχωρήματα τῶν ὑδατωδέων, ἐν αἰθρίῃ τεθέντα. λεῖον ἄνωθεν λεπτόν. κάρτα ἴκελον ἠβατώδει. κάτωθεν γίνεται ὑπόστασιν ἔχον.

Οἷσι κατὰ τὰ δεξιὰ ὑπολάπαρος ἔντασις φρενιτικοί, ἢν μὴ λύηται, λήγοντος τοῦ πυρετοῦ. οἷσι δὲ ὑπὸ λαπαρότητος κοιλίης, ἐν αὐτῷ τούτῳ, οἷον περιλαμβανομένων ἢ σκληρὸν ὀδυνῶδες γίνεται, ἢ πάνυ κακόηθες, οὐκ ἐθέλει διαχεῖσθαι, ἴσως ἐκ τῶν τοιούτων ἐκπυΐσκονται. ἐν δὲ τοῖσι δεξιοῖσιν αἱ ἐπάρσιες. ὅσαι μετὰ ὑποπολὺ καὶ μάλα καὶ μάλιστα πιέζοντι, ἢν ὑποβορβορύζῃ, οὐ πάνυ τι κακοήθεις οἴονται. τῷ ἐν τοῖσι δεξιοῖσιν ἀπ' Ἀμφιλόχου, καὶ τῷ κατὰ Μηδοσάδεω. οὗτοι κωματώδεες, καὶ ἐν τοῖσιν ὕπνοισι καταφερόμενοι.

Αἱ καταστάσιες, καὶ οἷαι ἐν ᾗσι μᾶλλον καὶ ἧσσον γίνονται ὥρῃσι. χώρῃσι τὰς ἀκμὰς ὅτε τῶν νούσων, καὶ πρὸς κρίσιν, καὶ τὸ καθημερινὸν, καὶ τὸ πρωϊαίτερον, καὶ ὀψιαίτερον. τρίτη, τετάρτη περίοδος. καὶ περιόδων ἐν ᾗσι τὰ κρίνοντα οἰδεῦντα. αἱ μενόμεναι καὶ μή. αἱ ἀποστάσιες ᾗσιν ὑποστροφαί. φλέβες κροτάφων, καὶ συμπτώσιες, καὶ χροιῶν μεταβολαί. πρὸ τῶν κρισίων, καὶ οἷσι μὴ κρίνεται. καὶ οἱ ἀλυσμοί. περιτάσιες. χροιῶν μεταβολαί, ἐκ τοῦ ἐρυθροῦ ἐς χλωρόν. ἢν μὴ κρίνῃ. καὶ αἱ δέρματος περιτάσιες, ἄνευ κρίσιος. καὶ σύμπτωσις ὀμμάτων. τοῦ σώματος σκληρότης ξηρή. οἱ μὲν ἑκόντες δακρύουσιν. οὐ κακόν. οἷσι δὲ ἀκούσιος παραῤῥεῖ, κακόν. οἷσι δ' περὶ τῶν ὀδόντων περίγλισχρα γίνεται, κακὸν ὑποχάσκειν. ὃς ἐν τῇ κνήμῃ ἕλκος ἔχε, καὶ τῷ ἀπλικῷ ἐχρήσατο τούτῳ. ἐξανθήματα ἐξαιρόμενα. ἐρυθρὰ. μεγάλα. τοῦτο ἀντὶ τοῦ βηχὸς τοῦ ὕστερον. οὐ γὰρ ἔβηξεν. τὸ δὲ πρότερον, ἐν Αἴνῳ ὅσοι φρικώδεες τρωματίαι. κεφαλῆς κακοήθεες καὶ ἐμπυητικοί. ἐκτεινομένου ὀδοιπορίῃσι ὀδύνη ποδῶν. καὶ

ἐν τῇσι ταραχῇσιν οἱ κόποι. ὧν ἡ Κλινία ἀπόσιτος ἡγουμένη, πυῶδες. ἄλλοτε σμικρὸν αἱματῶδες. πυῶδες ἐποίδεον. Η Ἱππέου ὑδρωπιώδης, ἣ καὶ ὑπὸ τρία ἔτεα ἦρος ἀρχομένου, ἔβησσεν, ὑπὸ πλέον διεπύησεν, ἐν χειμῶνι ἐξυδατώθη. κείνων δὲ φαρμακευθεῖσα, ἐρρύησεν. ἀπέθανεν ἡ παιδίσκη τῶν βησσόντων. οἱ μὲν τῇσι χερσὶ ταλαιπωρέοντες, οἷον ὁ παῖς, ὁ τὰ κλήματα στρέφων, καὶ ὁ Ἀμύντεω, παραλυθέντες αὐτὴν μούνην τὴν δεξιὴν ἀμφότεροι, ἐπαύσαντο. ἔπειτα ἔπαθον τοῦτο βήσσοντες. οἱ δὲ ἢ ἱππεύσαντες, ἢ ὁδοιπορήσαντες ἐν ὀσφύϊ. ἐν μηρόν. ξηραὶ δὲ αἱ πλεῖσται. εἰ δὲ μή, βίαιοί γε. Η Ἐνμύειος τρόπῳ οὐ νοσώδης, ἐδόκει ἄνευ πυρετοῦ τυφλώδης εἶναι. ἔπειτα ἐν τρόμον ἦλθε παντὸς τοῦ σώματος. καὶ τῆξιν. καὶ ἀκρισίην. καὶ δίψα. καὶ ψυχρὴ ἦν. οἱ δὲ νυκτάλωπες, οἱ πλεῖστοι οὐρήσαντες, τὸ ὕστερον βραχύ τι. ἐν δὲ τὰ ὦτα βήσσοντες, καὶ οἱ πυρεταίνοντες ἐκρηγνύμενα περὶ ἑβδόμην ἢ καὶ ὀγδόην. Η Ἐνμύειος παῖς ἐπυρέταινε. καὶ ἐξ ὠτὸς ἐρρύη πυῶδες. περὶ ὀγδόην οὐκ οἶδα σαφέως. ἔστι δ' οἷσι καὶ ὀδὼν ὑπῆρχε βεβρωμένος. μάλιστα ὁ τρίτος τῶν ἄνω. αὐτὴ πάντων δὲ οὗτος εὑρίσκεται βεβρωμένος. ἐν τούτοισιν, ὀδύνη. καὶ ἔστιν οἷσι καὶ περιπύημα. οἷσι δὲ ἐν ὦτα ἰσχυρῶς βήσσοντες μᾶλλον ἢ ἐκεῖνοι. οἷσι δὲ καὶ ἐν ἐμπύησιν σὺν πυρετοῖσι, καὶ ἀπαλλάσσει ἑβδόμη. ἐπεὶ παρωξύνθη ὑποχόνδριον οὐκ ἐλύθη. μαλαχθείσης ἐν ᾗ τὰ σμικρὰ ὑπόγλισχρα. ξυντρέμματα οὐ χρηστά. οὖρον αἱμαχρῶδες. ἔπτυε δὲ ἀφρῶδες. πρὸς ὃν κνίδιος εἰσήγαγέ με. ἑβδόμη παρωξύνθη. περὶ ᾗ ιδ. ἐκρίθη. ἐκώλυσε * κακά. καθαρὸς φάρυγγα. ὀλίγα, πλατέα, πέπονα, ἀναπτύσας. ἐκ ῥινῶν μικρὸν ἔσταξεν. ἐκαρηβάρει. χειρῶν καὶ σκελέων κατάλυσις. κοιλίη λυθεῖσα ἄνεσε. πόδες αἰεὶ θερμοί. ὕπνοι ἦσαν οἱ. καὶ παρ' οὓς οὐ γίνεσθαι, ὅτι πέπονα ἔπτυσεν. Η Δημοκράτου γυνή, πόδες καὶ ἐν τῇσι φρίκῃσι θερμοί. ἔστε ἐν τὸ ἔμπυον εἰ μὴ ἀπελεῖται. εἴχετο πρεσβύτης, ὁ ἀπαγγόμενος ἅμα ἀσθενεῖ τῇ ἑωυτοῦ. τῇ κεκρυμμένον μανικόν τι ἐν ᾗ. ἐπεὶ δὲ ἐλθούσης ἕλμιγγος ὑποπαχέης, καὶ σίτου ὀλίγου, αὐτίκα ἐπαύσατο. καὶ ἐκοιμήθη. καὶ ὑγιὴς ἦν ὁ πρεσβύτης οὗτος. καὶ τοῦ σώματος περίτασις τοῦ δέρματος. ἄκρεα ψυχρά. λιπαρός. τρομώδης. ἐν ἀρχῇσι καὶ χείλεα καὶ χεῖρες. καὶ φωνὴν παρηνέχθη κοσμίως. ἔχασκεν οὐ πάνυ. δύσπνοος ἦν. ἡμορρησιν οὐκ οἶδα πρόσω εἴκοσιν, ἀπέθανεν. Οἷσιν ὑποχόνδρια καὶ κοιλίη ὑποχωρεῖ, πιεζόμενα ἀλέα, οὐ βορβορυγμώδεα, ὡς ἐν Ἀβδήροισι κωλοβώδεα, ὅτι ὀξὺ πρῶτον κρισίμων ἡμερέων τῇ προτεραίῃ. καὶ τὰ κακὰ καὶ τ' ἀγαθὰ σημεῖα, γίνεται τὰς ἡμέρας ἦσιν ἐπιπαροξυνόμενοι χρονίζουσι, καὶ ᾗσι λήγοντες βραδύνουσι. καὶ τὰ ἄπιστα τῶν ῥιζόντων, καὶ τὰ δι' ἃ σφῶν αὐτῶν παρωξύνοντο. πτυάλων τοῖσι περιπλευμονικοῖσιν, οἷσι χολώδεα ὅταν μέλλῃ λήγειν, τὰ πάνυ ξανθά, βραχέα γίνεται, οἷα τὰ ἐν ἀρχῇσιν ἐόντα τοιαῦτα ὑποφαίνεται, οὐ πάνυ δοκέω ταῦτα ἐκπεπαίνεσθαι. ἀλλὰ κρίνειν οἷον τοῦ παρὰ τοῦ διδασκάλου, καὶ ἄλλοτε οἷον εἶδον. Νίκιππος ἐν πυρετοῖσι ἐξωνείρωσε. καὶ οὐδὲν ἐπέδωκεν ὑπὸ τὸ χεῖρον. καὶ τὸ αὐτὸ οἱ τοῦτο πλεονάκις ἐγίνετο, καὶ οὐδὲν ἔβλαψε. προερρέθη ὅτι παύσεται, ὅταν οἱ πυρετοὶ κριθῶσι. καὶ ἐγίνετο οὕτως. Κριτίας ἐν πυρετοῖς ὑπὸ ἐνυπνίων ὀχλεῖτο ὑφ' οἵων οἶδα μέν, ἐπαύσατο καὶ αὐτὸς ἅμα κρίσει. Ἀλκιππος ἔχων αἱμορροΐδας, ἐκωλύετο θεραπευθῆναι. θεραπευθείς, ἐμάνη. πυρετοῦ ὀξέος ὑπογενομένου, ἐπαύσατο. Ἐν τοῖσιν ὀξέσι πυρετοῖσι διψώδεες ὑπὸ ἰητρῶν πεπιεσμένοι τοῦ ποτῷ, ἢ καὶ ὑπὸ σφῶν αὐτῶν, δοκέουσι πολὺ ἂν ἐκπίνειν. ὕδωρ ψυχρὸν δοθὲν ἵνα ἀπεμέσῃ, ὠφελεῖ. χολώδεα γὰρ πάρεστι. ὅτι τὰ νεῦρα αὐτὰ ἐφ' ἑωυτὰ ἕλκει σημεῖον. ἢν μὲν τὰ ἐν τοῖσιν ἄνω τῆς χειρὸς τρωθῇ νεῦρα, ἐν τὸ κάτω νεύσει ἡ χείρ, ὑπὸ τῶν κάτω νεύρων ἑλκομένη. ἢν δὲ τἀναντία, ἄλλως βήσσουσι ξηρά. οἱ ἐς ὄρχιας, καὶ ἐκ τῶν βηχέων ἐν ὄρχιν λύεται φλεβοτομηθέντα. καὶ φλεγμαίνοντες βήσσουσιν, οἱ ἐν τοῖς ὑπὸ βουβῶσι πυρετοῖς ὑποβήσσουσι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΔΗΜΙΩΝ ΤΟ ΠΕΜΠΤΟΝ.

ΕΝ Ἤλιδι ἡ τοῦ κηπωροῦ γυνή, πυρετὸς εἶχεν αὐτὴν ξυνεχής. καὶ φάρμακα πίνουσα, οὐδὲν ὠφελέετο. ἐν δὲ τῇ γαστρὶ κάτωθεν τοῦ ὀμφαλοῦ, ἦν σκληρόν, καὶ ὑψηλότερον τοῦ ἑτέρου, καὶ ὀδύνας παρεῖχεν ἰσχυράς. τοῦτο ἐθλιμμάσθη ἰσχυρῶς, τῇσι χερσὶ σὺν ἐλαίῳ. καὶ μετὰ τοῦτο ἐχώρησεν αἷμα οἱ συχνὸν κάτω. καὶ ἐγένετο ὑγιής, καὶ ἐβίω. Ἐν Ἤλιδι Τιμοκράτης ἔπιε πλέον. μαινόμενος δὲ ὑπὸ

χολῆς

χολῆς μελαίνης, ἔπιε τὸ φάρμακον. οὗτος ἐκαθάρθη. τὸ κάθαρμα, πολὺ φλέγμα καὶ χολὴν μέλαιναν διῄει. διὰ ἡμέρης καὶ πρὸς δείλην, ἐπαύσατο τῆς καθάρσιος. καὶ πόνον ἐπόνησεν ἐν τῇ καθάρσει πουλὺν, καὶ πιὼν ἄλφιτον. ὕπνος ἔλαβεν αὐτὸν, καὶ εἶχε τὴν νύκτα, μέχρις ἥλιος ἐγένετο. ἐν δὲ τῷ ὕπνῳ, οὐκ ἐδόκεε τοῖς παρεοῦσιν ἀναπνέειν οὐδὲν, ἀλλὰ τεθνάναι. οὐδ' ᾐσθάνετο οὐδενὸς, οὔτε λόγου, οὔτε ἔργου. ἐτάθη δὲ τὸ σῶμα καὶ ἐπάγη. ἐβίω δὲ καὶ ἐξήγερτο.

Σκόμφος ἐν Οἰνιάδῃσι πλευρίτιδι ἐχόμενος, ἀπέθανεν ἑβδομαῖος παρακόπτων. φάρμακον δὲ ἔπιε κατωτερικόν. ταύτῃ τῇ ἡμέρῃ τῇ πρόσθεν κατανοέων, καὶ ἐκαθάρθη οὐ πολλά. καθαιρόμενος δὲ παρέκοψεν. Φοίνικι ἐν Οἰνιάδῃσι καὶ Ανδρέᾳ ἀδελφεοῖς, ἡ γνάθος ᾤδησεν ἡ ἑτέρη. καὶ τὸ χεῖλος τὸ πρὸς τῆς γνάθου καὶ ὀφθαλμοῦ. καὶ οὔτε ἔνδοθεν σκοπέουσιν οὐδὲν ἐφαίνετο, οὔτε θύραθεν ἀπεπύει, ἀλλ' οἰδέουσα σαπρὴ ἐγένετο ξηρῇ σπεδόνι, καὶ ἀπέθανε. καὶ θάτερος ταὐτά. ἀπέθανε δὲ ὁ μὲν ἑβδομαῖος. καὶ ἔπιε φάρμακον καὶ οὐδὲν ὠφελήθη. τῷ δὲ Φοίνικι ἐξετμήθη κύκλος σαπρός. καὶ τὸ ἕλκος ἐκαθαρείωθη μὲν τὸ πλέον, πρὶν αὐτὸν ἀποθανέειν. ἀπέθανε δὲ καὶ οὗτος, πλείονα χρόνον βιούς. Πυείδαμος ἐν Οἰνιάδῃσιν ἐν περιπλευμονίῃ δεκαταῖος ἤρχετο παρακόπτειν. ἰητρευόμενος δὲ κατενόησέ τε καὶ τὰ πτύαλα ἐγένετο καθαρώτερα. καὶ προχωρέουσα ἡ νοῦσος ἐπὶ τὸ βέλτιον. ὕπνος τε αὐτῷ κατεχύθη πουλύς. καὶ τὰ ὄμματα ἰκτερώδεα ἐγένετο. καὶ ἀπέθανε πρὸς τὰς κ̄ ἡμέρας. Εν Οἰνιάδῃσιν ἀνὴρ νούσῳ εἴχετο, ὁκότε ἄσιτος εἴη. ἔμυσεν αὐτοῦ ἐν τῇ γαστρὶ ἰσχυρῶς. καὶ ὠδυνᾶτο. καὶ ὅτε φαγόντι τὰ σιτία τριφθείη, καὶ χρόνος ἐπιγένοιτο μετὰ τὴν βρῶσιν τοῦ σιτίου, μετ' οὐ πολὺ, ταὐτὸ τοῦτο ἔπασχε. καὶ ἔφθινε τὸ σῶμα καὶ ἐτήκετο. καὶ τροφὴ οὐκ ἐγένετό οἱ ἀπὸ τῶν σιτίων ἐσθίοντι. καὶ ὑπεχώρεεν ὁ σῖτος πονηρὸς καὶ συγκεκαυμένος. ὁκότε δὲ νεωστὶ βεβρωκὼς εἴη, αὐτὸν τοῦτον τὸν χρόνον ἥκιστα ἔμυζε. καὶ τὸ ἄλγος εἶχεν αὐτόν. οὗτος φάρμακα πίνων παντοδαπὰ καὶ ἄνω καὶ κάτω, οὐδὲν ὠφελέετο. φλεβοτομεύμενος δὲ ἐν μέρει ἑκατέρην τὴν χεῖρα ἕως ἔξαιμος ἐγένετο, ἔπειτα ὠφελήθη, καὶ ἀπηλλάγη τοῦ κακοῦ. Εὐπόλεμος ἐν Οἰνιάδῃσιν ὠδυνᾶτο, ἰσχίον τὸ δεξιὸν, καὶ τὸν βουβῶνα, καὶ τὴν πλησίον συμβολὴν πρὸς τοῦ ἰσχίου, ἀπὸ τοῦ βουβῶνος, καὶ τοῦ ἰσχίου τὸ πρόσθεν. τούτῳ αἷμα ἀφῃρέθη ἀπὸ τοῦ σφυροῦ πουλὺ πάνυ, καὶ μέλαν, καὶ παχύ. καὶ φάρμακον ἔπιεν ἐλατήριον. καὶ ἐκαθάρθη πολλά. καὶ ῥήων μὲν ἐγένετο. αἱ δὲ ὀδύναι οὐκ ἐξέλιπον, ἀλλ' ἔμπυον ἔσχε τότε ἰσχίον, καὶ τὴν κοχώνην, καὶ τὸ ἀμφὶ τὸν βουβῶνα, ἅπερ ὠδυνᾶτο καὶ ἐπὶ πλέον. τὸ δὲ πῦον ἐγένετο πρὸς τὸ ὀστέον μᾶλλον, ἢ πρὸς τὸ τῆς σαρκὸς κατὰ βάθος. καὶ ἐλελήθει χρόνον οὕτως ἔχων, ἕως πάνυ ἀσθενὴς ἐγένετο. ἔπειτα ἐκαύθη ἐσχάραις πάνυ πολλαῖς. καὶ μεγάλαι ἐγένοντο, καὶ πλησίαι ἀλλήλων. καὶ πῦον ἐῤῥύη πουλὺ καὶ παχύ. καὶ ἔθανεν ὀλίγῃσιν ἡμέρῃσι μετὰ ταῦτα, καὶ ὑπὸ μεγέθεος τῶν ἑλκέων καὶ πλήθεος καὶ ἀσθενείης τοῦ σώματος. οὗτος ἐδόκεεν ἂν εἰ ἐτμήθη εὔροον μίην τομὴν, καὶ πρὸς τόμον ἀφίετο τὸ πῦον, καὶ εἰ προσέδει τομῆς ἑτέρης ταμεῖν εὔροον. ταῦτα παθὼν ἐν τῇ ὥρῃ, ἐδόκεεν ἂν ὑγιὴς γενέσθαι. Λύκων ἐν Οἰνιάδῃσι τὰ μὲν ἄλλα ταὐτὰ ἔπασχεν. αἱ δὲ ὀδύναι καὶ ἐς τὸ σκέλος οὐ πάνυ διεφοίτων. καὶ οὐκ ἐγένετο ἔμπυος. ὑγιὴς δὲ πολλῷ χρόνῳ. φάρμακα δὲ ἔπινε, καὶ σικύας προσεβάλλετο. καὶ ἐφλεβοτομέετο. καὶ ἐδόκεε ῥάων γίνεσθαι ταῦτα πάσχοντι. Αθήνησιν ἄνθρωπος, ξυσμὸν εἶχε παντὸς τὸ σῶμα. μάλιστα δὲ τοὺς ὄρχιας καὶ τὸ μέτωπον. εἶχε δὲ πάνυ σφόδρα. καὶ τὸ δέρμα παχὺ ἦν, καθ' ἅπαν τὸ σῶμα. καὶ οἷόν περ λέπρη τὴν πρόσοψιν. καὶ οὐκ ἂν ἀπέλαβεν οὐδαμόθεν τοῦ δέρματος, ὑπὸ τῆς παχύτητος. τοῦτον οὐδεὶς ἠδύνατο ὠφελῆσαι. διελθὼν δὲ ἐς Μῆλον ἵνα τὰ θερμὰ λουτρὰ, τοῦ μὲν κνησμοῦ ἐπαύσατο. καὶ τῆς παχυδερμίης. ὑδρωπιήσας δὲ ἔθανεν. Αθήνησιν ἄνδρα χολέρη ἔλαβεν. ἤμει τε καὶ κάτω διήει. καὶ ὠδυνᾶτο. καὶ στῆναι οὐκ ἠδύνατο, οὔτε ὁ ἔμετος, οὔτε ἡ ὑποχώρησις. καὶ ἥ τε φωνὴ ὑπολελοίπει. καὶ κινέεσθαι ἐκ τῆς κλίνης οὐκ ἠδύνατο. καὶ οἱ ὀφθαλμοὶ ἀχλυώδεες, καὶ ἔγκοιλοι ἦσαν. καὶ σπασμοὶ εἶχον ὑπὸ τῆς κοιλίης ἀπὸ τοῦ ἐντέρου. λύγξ. ἡ δ' ὑποχώρησις πολλῷ πλείων ἦν τοῦ ἐμέτου. οὗτος ἔπιεν ἐλλέβορον, ἐπὶ φακῶν χυλῷ. καὶ ἐπέπιεν φακῶν χυλὸν ἕτερον, ὅσον ἠδύνατο. καὶ ἔπειτα ἐπήμεσε καὶ προσηναγκάσθη, καὶ ἔστη αὐτῷ ἀμφότερα. ψυχρὸς δὲ ἐγένετο. ἐλούετο δὲ μέχρι τῶν αἰδοίων κάτω πάνυ πολλῷ, ἕως καὶ τὰ ἄνω διεθερμάνθη. καὶ ἐβίω. τῇ δ' ὑστεραίῃ, ἄλφιτα ἔπιε λεπτὰ ἐφ' ὕδατι. Εν Λαρίσσῃ γυναικὶ Γοργίᾳ τὰ ἐπιμήνια διὰ δ̄ ἐτέων ἴσχετο, πλὴν ὀλίγων πάνυ. ἐν δὲ τῇ μήτρῃ ἐφ' ὁκότερα ἂν κλιθῆ,

σφυγμὸν

σφυγμὸν παρεῖχε καὶ βάρος. αὕτη ἡ γυνὴ ἐκύησε, καὶ ἀπεκύησε. καὶ ἀπελύθη τὸ παιδίον ἐν ἀτάρτῳ μηνὶ ζῶον θῆλυ, ἕλκος ἔχον ἐν τῷ ἰσχίῳ. καὶ τὰ ὕστερα ἑπόμενα. καὶ αἱματῶδες ῥεῦμα πολὺ πάνυ ἐπεγένετο, καὶ τῇ ὑστεραίῃ καὶ τῇ γ' καὶ τῇ δ' καὶ θρόμβοι πεπηγότες. καὶ πυρετὸς εἶχε, μέχρι ἡμερέων δέκα τῶν πρώτων. καὶ ὑπεχώρεεν τὸ λοιπὸν αὐτῇ, αἷμα ἐρυθρόν. καὶ ᾤδεε τὸ πρόσωπον ἰσχυρῶς. καὶ τὰς κνήμας. καὶ τὼ πόδε. καὶ τὸν ἕτερον μηρόν. καὶ σιτία οὐ προσίετο. δίψος δὲ εἶχεν ἰσχυρόν. καὶ τὸ ψυχρότατον ὕδωρ ξυνέφερεν. οἶνος δὲ οὐδαμῶς. ἡ δὲ γαστὴρ μετὰ τὸ πρῶτον παιδίον, ὀλίγῳ μέν τινι ἐλαπάχθη, πάνυ δὲ οὐ ξυνέπεσεν, ἀλλὰ σκληροτέρη ἦν. ὀδύνη δὲ οὐ προσῆν. τεσσαρακοστῇ δὲ ἡμέρῃ ἀπὸ τῆς πρώτης, ἐξέπεσε τὸ ἐπικύημα, σὰρξ. καὶ ἡ γαστὴρ ξυνέπεσε. καὶ τὰ οἰδήματα πάντα, καὶ τὸ ῥεῦμα λεπτόν, καὶ τὸ αἷμα τὸ ὄζον, καὶ ὑγιὴς ἐγένετο. Γυνὴ ἐν Φαίρησι, περιωδύνεε κεφαλήν. πουλὺν χρόνον, καὶ οὐδεὶς οὐδὲν ἠδύνατο ὠφελῆσαι. οὔτε καθαιρομένη τὴν κεφαλήν. ῥᾴστη δὲ ἐγένετο, ὁκότε τὰ ἐπιμήνια εὐχερῶς οἱ ᾔει. αὕτη ὁκότε περιωδυνοίη τὴν κεφαλὴν προστιθεμένη προσθετὰ εὐώδεα πρὸς τὴν μήτρην, ὠφελεῖτο, καὶ ἀπεκαθάρθη ὀλίγον τι. καὶ ὁκότε ἐκύησεν, ἐξέλιπον αἱ ὀδύναι τῆς κεφαλῆς. Γυνὴ ἐν Λαρίσσῃ κύουσα, τῷ δεκάτῳ μηνὶ αἷμα ἐχώρεεν αὐτῇ πολλὸν, ιδ' ἡμέρας. πλεῖστον δὲ τὰς γ' τὰς πρὸ τοῦ παιδίου τῆς ἀπολύσιος. τῇ ιδ' ἐξέπεσεν ἐκ τῆς γαστρὸς τὸ παιδίον τεθνεός, ἔχον τὸν δεξιὸν βραχίονα προσπεφυκότα τῇ πλευρῇ. καὶ τὸ χωρίον τρίτῃ ἡμέρῃ, τῆς νυκτὸς τὴν αὐτὴν ὥρην, ὡς ὅτε τὸ παιδίον, καὶ τὰ λευκά. ἔπειτα μετὰ ταῦτα ἐχώρεεν τρεῖς ἡμέρας καὶ νύκτας μετρίως τι πολλά. μετὰ δὲ ταῦτα, πυρετὸς ἔλαβε δύο ἡμέρας καὶ δύο νύκτας. καὶ ὠδυνᾶτο τὴν γαστέρα πᾶσαν. καὶ τὰ ἰσχία. τὸ δὲ ἦτρον μάλιστα. Ἐν Λαρίσσῃ Ἱπποθάγνης περιπλευμονίῃ ἐδόκεε εἶσιν ἰητροῖσιν ἔχεσθαι. ἦν δὲ οὐδαμῶς. ἀρχὴ μὲν παλαιῶν, ἔπεσε σκληρῷ χωρίῳ ὕπτιος. καὶ ἐπεγένετο αὐτῷ. καὶ ἐλούσατο ψυχρῷ. καὶ ἐδείπνησε. καὶ ἐδόκεε βαρύτερος γίνεσθαι. τῇ δ' ὑστεραίῃ ἐπύρεξε. καὶ βὴξ εἶχε ξηροτέρη καὶ τὸ πτύσμα πουκνόν. πεμπταῖος δὲ αἱματῶδες ἐχρέμψατο, οὐ πολύ. καὶ παρακόπτειν ἤρχετο. ὁκότε βήσσοι τότε ὠδυνᾶτο τὰ στήθεα, καὶ τὸ νῶτον. ἑκταίῳ δὲ αἷμα ἐρρύη ἐκ τῶν ῥινῶν πλαγέντι, ὅσον τέσσαρες κοτύλαι. πρὸς τῇ ἑσπέρῃ, οὔτε ἐφθέγγετο, οὔτε ᾐσθάνετο, οὔτε ἔργου, οὔτε λόγου. ἐνδεκαταῖος δὲ ἔθανε. τὰς δὲ πρίν τε ἡμέρας, τότε μὲν εὔφρων ἦν. τότε δὲ οὔ. ἐγένετο καὶ ἄπυρος. σίαλον δὲ οὐδὲν ἀπεχώρεεν, οὐδὲ ῥέγχος εἶχεν. οὐ γὰρ ἦν σίαλον. Σπάμανδρος ἐν Λαρίσσῃ καὶ ἰσχίον ἐσφακέλισε. καὶ ὀστέον ἀφεστηκὸς χρόνιον. ὁ δὲ ἐτμήθη τομὴν μεγάλην καὶ πρὸς τὸ ὀστέον. καὶ ἔπειτα ἐκάη τότε ἡμέρῃ δωδεκάτῃ. ἤρξατο μετὰ τὴν τομὴν, σπασμός. καὶ εἶχε μᾶλλον. ἐσπᾶτο δὲ τὸ σκέλος τοῦτο μέχρι τῶν πλευρῶν. διεφοίτα δὲ καὶ εἰς θάτερα ὁ σπασμός. συνεκάμπτετο δὲ τὸ σκέλος καὶ ἐξετείνετο. καὶ τἄλλα μέλεα ἐκίνει. καὶ αἱ γνάθοι ἐπάγησαν. οὗτος ἔθανε σπώμενος, ὀγδόῃ μετὰ τὴν τοῦ σπασμοῦ ἐπίληψιν. ἐθεραπεύετο δὲ χλιάσμασιν ἀσκίοισι, καὶ πυρίῃσιν ὀρόβων ὅλον τὸ σῶμα. καὶ ὑπεκλύθη. καὶ ὑπῆλθε πάλαι ἡ κόπρος ὀλίγη. καὶ τὸ κατακορὲς φάρμακον, ἔπιε καὶ προσκατέπιε. καὶ ἐπῆλθε μὲν οὐδὲν δὲ ἀπὸ τοῦ καταπότου ὠφελήθη. καὶ ὕπνος ὀλίγος ἦλθε. καὶ αὖθις πιὼν τὸ κατακορὲς ἰσχυρὸν ἑσπερινός, ἡλίου δύνοντος ἔθανεν. ἐδόκει δ' ἂν πλείονα χρόνον διενεγκεῖν, εἰ μὴ ὑπὸ τοῦ φαρμάκου τὴν ἰσχύν. Ἱππόκομος Παλαμήδεος ἐν Λαρίσσῃ ἑνδεκαέτης ἐπλήγη ὑπὸ τοῦ μετώπου ὑπὲρ τοῦ ὀφθαλμοῦ τοῦ δεξιοῦ ὑφ' ἵππου. καὶ ἐδόκεε τὸ ὀστέον, οὐχ ὑγιὲς εἶναι. καὶ ἐπήδα ἐξ αὐτοῦ ὀλίγον αἷμα. οὗτος ἐπρίσθη μέγα μέχρι τῆς διπλόης. καὶ ἰητρεύετο οὕτως ἔχον τὸ ὀστέον, ὃ καὶ πρόσθεν αὐτίκα τὸ ὀστέον ἔκυεν. ἐπὶ εἴκοσιν. οἴδημα παρὰ τὸ οὖς ἤρξατο. καὶ πυρετὸς καὶ ῥῖγος. καὶ ἡμέρῃ μᾶλλον ᾠδίσκετο καὶ ὠδυνᾶτο τὸ οἴδημα. καὶ ἐπύρεσσεν ἀρχόμενος ἐκ ῥίγεος. καὶ οἱ ὀφθαλμοὶ ᾤδησαν, καὶ τὸ μέτωπον, καὶ ἅπαν τὸ πρόσωπον. ἔπασχε δὲ ταῦτα, ἐπὶ δεξιὰ μᾶλλον τῆς κεφαλῆς. παρῆλθε δὲ καὶ εἰς τὰ ἀριστερὰ τὸ οἴδημα. οὐδὲν οὖν τοῦτο ἔβλαψεν. τελευτῶν δὲ πυρετὸς ξυνεχὴς εἶχεν. ἧσσον ταῦτα ἦν, μέχρι ἡμερῶν ὀκτώ. ἐβίω δὲ καυθείς. καὶ καθηράμενος διὰ τοῦ ποτοῦ. καὶ περιπλασσόμενος τὸ οἴδημα. τὸ δὲ ἕλκος τῶν κακῶν οὐδὲν αἴτιον ἦν. Ἐν Λαρίσσῃ Θεοφόρβου παῖς ἐλέπρα τὴν κύστιν. καὶ διέρρει γλίσχρον. καὶ ὠδυνᾶτο καὶ ἀρχόμενος καὶ τελευτῶν τοῦ οὐρέσιος καὶ ἔτριβε τὸ πρόσθιον. οὗτος πιὼν τὸ διουρητικὸν δριμύ, ἐς μὲν τὴν κύστιν οὐδὲν ἐχώρησεν. ἐξήμεσε δὲ συχνὸν πυῶδες, καὶ χολήν. καὶ κάτω ἕτερα τοιαῦτα διεχώρεε. καὶ ὠδυνᾶτο τὴν γαστέρα. καὶ ἐκαίετο ἔνδοθεν. τὸ δὲ ἄλλο σῶμα ψυχρὸν ἐγένετο. καὶ παρελύθη ὅλος. καὶ προσ-

δέχεσθαι

δέχεσθαι οὐδὲν ἤθελε. τούτῳ ἡλκώθη κοιλίη ἰσχυρῶς, ὑπὸ ἰσχύος τοῦ φαρμάκου ἄγαν. ἀπέθνησκε δὲ μετὰ τὴν πόσιν τριταῖος. Γυνὴ Ἀντιμάχου ἐν Λαρίσσῃ, ἐκυΐσκετο ἡμέρας ὡσεὶ ν καὶ ἠσιτέετο τὸν ἄλλον χρόνον. καὶ ἡμέρας ζ ἤλγει τὰς ὑστέρας. καὶ ὠδυνᾶτο τὴν καρδίην. καὶ πυρετὸς ὑπελάμβανεν. οὐχ ὑπεκεχωρήκει τοῦ χρόνου τούτου. ταύτῃ ἐδόθη ἐλατήριον καταποτὸν ἰσχυρότερον τοῦ δέοντος. καὶ ἀπήμεσε χολὴν ξυγκεκαυμένην, ὑπό τε τῆς ἀσιτίης καὶ τοῦ πυρετοῦ. καὶ γὰρ οὐδὲ ποτῷ ἐχρῆτο οὐδενί. ὀλίγην δὲ καὶ ἀπήμεσε βιαίως, καὶ θρομβώδεα. κἄπειτ᾽ ἀκέσατο καὶ ἡ φρὶξ αὐτήν. καὶ ἐδόκεεν ἀσθενέειν. καὶ οὐκ ἤθελε πίνουσα ὕδωρ ἐξεμέειν. μετὰ δὲ τοῦτο, ὀδύνη εἶχεν ἰσχυρὴ τὴν κάτω κοιλίην. εἵλκωτο γὰρ ὑπὸ τοῦ φαρμάκου. καὶ ἐχώρεεν αὐτῇ μετὰ τὴν κόπρον αὐτίκα ὕφαιμον ξυσματώδεα. αἰεὶ δὲ πλέον ἐγίνετο. καὶ ἡ ἀσθένεια καὶ ἡ ἄση. καὶ τοῦ καθάρματος ἦσαν ε κοτύλαι. ἔστη δὲ ἡ κοιλίη ὕδατος καταχεομένου πολλοῦ κατὰ τῆς γαστρός. ἄλλο δὲ οὐδὲν ἠδυνήθη προσδέξασθαι. ἔθανε περὶ μέσας νύκτας. ἐδόκεε δ᾽ ἂν βιῶναι, εἰ ἐδύνατο πίνειν τὸ ὕδωρ, καὶ ἐμέειν αὐτίκα πρὶν ἢ πιῆναι. Οἰκέτις Ὀνησιδήμου ἐν Λαρίσσῃ, ἡλκώθη κοιλίην καὶ τὸ ἔντερον ὑπὸ χολῆς αὐτομάτης κινηθείσης. καὶ διεχώρεε καὶ ἄνω καὶ κάτω, χολὴ καὶ αἷμα. καὶ πυρετὸς εἶχε. ταύτῃ ἐδόθη ἀσθενεούσῃ, ἐλατήριον ἀσθενὲς ποτὸν ὑδαρὲς καὶ ὀλίγον. καὶ ἤμεσέ τε ἀπ᾽ αὐτοῦ πουλύ. καὶ κάτω ὑπῆλθε πλέον. καὶ τῆς ἑσπέρης ἐπανῆλθε. τῇ δ᾽ ὑστεραίῃ, πυρετὸς ἦν. ἀσθενὴς δέ. ἡ δὲ κοιλίη, ἡλκωτό τε καὶ ἔτι ὑπεχώρεε ταὐτά. τρίτη δὲ ἔθανε δείλης, πυρετοῦ ἐπιλαβόντος πάνυ ἰσχυροῦ. αὕτη δὲ ἐδόκεεν ἀποθανέεσθαι πάντως. ἥκιστα δ᾽ ἂν ὕδωρ πίνουσα ψυχρόν, ἕως ἔμετος εἶχεν. ἐπεὶ δὲ ἐψύχθη ἡ ἄνω κοιλίη, ἀποκαθαρθεῖσα τῷ ὕδατι, χυλὸν μεταπιοῦσα ψυχρόν, οὕτω μετακλύσθη. Εὔδημος ἐν Λαρίσσῃ αἱμορροΐδας ἔχων ἰσχυρὰς πάνυ. καὶ χρονίας, ἔξαιμος ὤν, χολὴ ἐκινήθη. ἀλλ᾽ ἐπίωσε τῷ σώματι. καὶ ἡ κοιλίη ἐταράχθη κάτω. ὑπεχώρεε χολώδεα, καὶ αἱμορροΐδες ἀνεῖχον. φάρμακον κατωτερικὸν πιὼν, ἀπεκαθάρθη καλῶς. καὶ αὖθις μετέπιεν χυλόν. καὶ ἔτι ἐτετάρακτο. καὶ ὀδύνη πρὸς τὰ ὑποχόνδρια προσίστατο. τούτῳ ἐπεχειρήθη τῇσιν αἱμορροΐσι τὴν κοιλίην οὐ καλῶς πως ἔχοντι. ἀλλὰ δεομένῳ θεραπείης ἔτι καὶ ἀπήμεσεν. ἔπειτα δὲ ἐπαλειφθέντος τοῦ καρκίνου, πυρετὸς ἐπέβαλλε καὶ οὐκ ἀφῆκεν πρὶν ἀπέκτεινεν. ὅτε δὲ καὶ ἀφῆκε ῥῖγος ὑπολαβὸν, ἧκεν ὁ πυρετὸς καὶ ὑπεχώρησεν αὐτῷ χολή. καὶ φῦσα, ἡ μὲν διεξῄει, ἡ δὲ ἐνῆν. καὶ ὀδύνη ἐν τῇ κοιλίῃ. αἱ δὲ αἱμορροΐδες ἔξω ἦσαν τοῦ ἀρχοῦ. ἀπὸ τῶν ἀποκαθαρσίων ἀρξάμεναι τὸν ἄλλον χρόνον. καὶ ἡ φῦσα διὰ ταύτας ἐπεγίνετο. καὶ πρὸς σπαρμὸν ἐπεγίνετο ἡ ἀρχή. Ἐν Λαρίσσῃ ἀνὴρ ἐτρώθη ἐκ χειρὸς, λόγχῃ πλατέῃ ὄπισθεν. καὶ τὸ ἄκρον διήνεγκε κάτω τοῦ ὀμφαλοῦ, πελιὸν ἀπίδεον. καὶ διῆλθε χωρίον πουλύ. ἐπεὶ δὲ ἐτρώθη, ἔπειτα ὀδύνη εἶχε τὰ πρῶτα ἰσχυρὴ, καὶ ἐπωδίσκετο ἡ γαστήρ. τούτῳ ἐδόθη τῇ ὑστεραίῃ, κατωτερικόν. καὶ διεχώρησεν ὀλίγον ὕφαιμον, καὶ ἔθανεν. ἐδόκεε τούτου τὰ ἔντερα εἶναι οὐχ ὑγιέα καὶ αἵματος ἡ κοιλίη πλέη τυγχάνειν. Ἀπελλαῖος Λαρισσαῖος εἶχε μὲν ἡλικίην, ὡσεὶ ἐτέων τριήκοντα, ἢ ὀλίγον ἀπέλιπεν. εἴχετο δὲ τῇ νούσῳ. ἐλαμβάνετο δὲ τὰς νύκτας μᾶλλον τῶν ἡμερέων ἐν τῷ ὕπνῳ. ἐνόσει δὲ ὡς δύο ἔτεα, πρὸ τοῦ θανάτου. ἤμεε δὲ χολὴν πυῤῥὴν ἐνίοτε ἐπεὶ διεγείροιτο. ἤμεε δὲ καὶ μέλαιναν. οὗτος ἀπὸ τῆς κεφαλῆς καθάρσιος ἰσχυρῆς πάνυ καὶ ἤδη πολὺν χρόνον καθαιρόμενος, καὶ φάρμακον δὶς πιὼν, ἐξ μῆνας αὐτὸν διέσχεν. ἦν δὲ πουλυφάγος. ἔχων δὲ τὸ σῶμα ἐπίχολον, παλαιὰς πολλὰς, μάλα ἐῤῥίγωσε. καὶ πυρετὸς ἐπέλαβε. καὶ ἡ νοῦσος τὴν νύκτα. τῇ δ᾽ ὑστεραίῃ, ἐδόκεεν ὑγιὴς εἶναι. αὖ καὶ τῇ ἑτέρῃ. τῇ δὲ ἐπιούσῃ νυκτὶ, ἡ νοῦσος ἐπέλαβε δεδειπνηκότα ἀπὸ πρώτου ὕπνου. καὶ εἶχε τὴν νύκτα καὶ τὴν ἡμέρην. καὶ μέχρι ἀρίστου, ἔθανε πρὶν ἐμφρονῆσαι. ἐσπᾶτο περὶ τὰ δεξιὰ πρῶτον, τό, τε πρόσωπον καὶ τὸ ἄλλο σῶμα. ἔπειτα, ἤδη τὰ ἀριστερά. καὶ ὅτε δοκέοι διαπεπαῦσθαι, κῶμα εἶχε καὶ ἔρεγχε. καὶ αὖθις ἐξεδέχετο ἡ νοῦσος. Εὔμηλος Λαρισσαῖος, ἐπάγη τὰ σκέλεα, καὶ χεῖρας, καὶ γνάθους. καὶ οὐκ ἠδύνατο οὔτε ἐκτείνειν, οὔτε ξυγκάμπτειν, εἰ μὴ ἕτερος ξυγκάμπτοι καὶ ἐκτείνοι. οὔτε τὰς γνάθους διαίρειν, εἰ μὴ ἕτερος διαίροι. ἄλλο δὲ οὐδὲν ὅτι ὠδυνᾶτο, οὔτε ἤσθιεν, εἰ μὴ μάζαν καὶ μελίκρητον ἔπινεν. εἰκοσταῖος ὕπτιος πίπτει καθήμενος. καὶ τύπτει τὴν κεφαλὴν πρὸς λίθον σφόδρα. καὶ αὐτοῦ σκότος κατεχύθη. καὶ ὀλίγον ὕστερον ἀναστὰς, ὑγιὴς ἦν. καὶ ἐλέλυτο πάντα πλὴν μετὰ τὸν ὕπνον. ὅτε ἐξέγροιτο, ὀλίγον τι συνεδέετο τὰ ἄρθρα. ἔτεα δὲ ἦν ἤδη ιϛ ἢ ιγ. ἔκαμνε δὲ μῆνας γ ἢ δ. Ἐν Λαρίσσῃ παρθένος αἷμα ἐμέσασα οὐ πολὺ, ἔμπυος

γενομένη, πυρετῶν ἐπιλαβόντων, οὐκ ἀπηλλάσσετο πρὶν τελευτῆσαι. ἀπέθανε τρίτῳ μηνί. πρὸ δὲ τοῦ θανάτου, ἐκωφώθη τὰ ὦτα. καὶ οὐκ ἐσήκουεν, εἰ μήτις πάνυ μέγα βοήσειε. πρὸ δὲ τοῦ ἐμέτου τοῦ αἵματος προηλγέε. Ἀμφίπολος ἐν Λαρίσσῃ Δυσήριδος νέη ἐοῦσα, ὁκότε λαγνεύοιτο, περιωδύνεε ἰσχυρῶς. ἄλλως δὲ ἀνώδυνος ἦν. ἐκύησε δὲ οὐδέποτε. ἑξηκοντάετις δὲ γενομένη, ὠδυνᾶτο ἀπὸ μέσου ἡμέρης ὡς ὠδίνουσα ἰσχυρῶς. πρὸ δὲ μέσου ἡμέρης αὕτη πράσσα τρώγουσα πολλὰ, ἐπειδὴ ὀδύνη αὐτὴν ἔλαβεν ἰσχυροτάτη τῶν πρόσθεν, ἀναστᾶσα ἐπέψαυσέ τινος τρηχέος ἐν τῷ στόματι τῆς μήτρης. ἔπειτα ἤδη λειποψυχούσης αὐτῆς, ἑτέρη γυνὴ καθεῖσα τὴν χεῖρα, ἐξεπίεσε λίθον ὅσον σπόνδυλον ἀτράκτου τρηχύν. καὶ ὑγιὴς τότε αὐτίκα καὶ ἔπειτα ἦν. Ὁ Μαλιεὺς, ἅμαξα αὐτῷ ἐπῆλθε ἄχθος ἔχουσα, ἐπὶ τὰς πλευράς. καὶ κατῆξε τῶν πλευρέων. καὶ χρόνον αὐτῷ ὑπέστη πύον κάτωθεν τῶν πλευρέων. ὑπὸ τὸν σπλῆνα καυθεὶς, ἔμμοτος ὢν, ἀφίκετο ἐς δέκα μῆνας. ἀνατμηθὲν τὸ δέρμα ὅπη ἐφάνη ἐς τὸ διόρτρον ἐπὶ θάτερα ἀφίκουσα. καὶ πρὸς τὸν νεφρὸν καὶ πρὸς τὰ ὀστέα ἐπῆλθε σαπρά. τούτου, ἥτε σχέσις τοῦ σώματος παρέλαβεν ἐπίχολος οὖσα. καὶ ἐν τῷ σώματι ἡ σηπεδὼν ξηρὴ τοῦ διόρτρου πολλὴ, καὶ ἄλλων σαρκῶν ἃς ἔδει αὐτίκα ἐμβάλλειν, ἔστ᾽ ἰς ἐδύνατο ξηρῷ φαρμάκῳ, ἕως ἰσχύν τινα εἶχεν ὁ ἄνθρωπος. ἀπὸ γὰρ τῶν ὑγρῶν οὐδὲν ἐπεδίδου, ἀλλ᾽ ἐσήπετο. ἀπὸ δὲ τῶν μετὰ ἰσχομένου τοῦ ὑγροῦ, ῥῖγος ἐλάμβανε καὶ πυρετὸς, καὶ ἐσήπετο μᾶλλον. ἐπέῤῥει δ᾽ αὐτοῦ σαπρόν τι ὑπομέλαν δυσῶδες. πρὶν δὲ ἐπιχειρέειν ἰητρεύεσθαι, οἷον ἑκάστης ἡμέρης συχνὸν διεπορεῖτο ἔξω. ἦν δὲ οὐκ εὔροον. ἐγνώσθη τὸ εἶναι ποῤῥωτέρω τὴν φύσιν τοῦ νοσήματος ἢ ὑπὸ τὸ δέρμα. πάντα ἂν ὀρθῶς πρήσσων ὅμως οὐκ ἂν ἐδόκεε σωθῆναι. καὶ διάῤῥοια καὶ ἐπέλαβεν. Αὐτόνομος ἐν Ὀμίλῳ ἐκ κεφαλῆς τρώματος ἔθανεν ιϛ ἡμέρῃ. θέρεος μέσου λίθῳ ἐκ χειρὸς βληθεὶς κατὰ τὰς ῥαφὰς ἐν μέσῳ τῷ βρέγματι. τοῦτο παρέλαθέ με δεόμενον πρισθῆναι. ἔκλεψαν δέ μου τὴν γνώμην αἱ ῥαφαὶ ἔχουσαι ἐν σφίσιν ἑωυτῇσι, τοῦ βέλεος τὸ σίνος. ὕστερον γὰρ καταφανὲς γίνεται. πρῶτον μὲν ἐς τὴν κληΐδα. ὕστερον δὲ ἐς τὴν πλευρὴν, ὀδύνη ἰσχυρὴ πάνυ. καὶ σπασμὸς ἐς ἄμφω τὼ χεῖρε ἦλθεν. ἐν μέσῳ γὰρ εἶχε τῆς κεφαλῆς, καὶ τοῦ βρέγματος τὸ ἕλκος. ἐπρίσθη δὲ ιε. καὶ πύον ὑπῆλθεν οὐ πολύ. ἡ δὲ μῆνιγξ ἀσαπὴς ἐφαίνετο. Παιδίσκη ἐν Ὀμίλῳ ἐκ τρώματος κεφαλῆς, ὡς δωδεκαέτης θνήσκει ἐν μέσῳ θέρει ιδ΄ ἡμέρῃ, θύρην τις αὐτῇ ἐνέβαλε. καὶ τὸ ὀστέον φλᾶ, καὶ ῥήγνυσιν. αἱ δὲ ῥαφαὶ ἐν τῷ ἕλκει ἦσαν. τοῦτο ἐγνώσθη ὀρθῶς πρίσιος δεόμενον. ἐπρίσθη δὲ οὐκ ἐς τὸ δέον, ἀλλ᾽ ὅσον ὑπελείφθη πύον ἐν αὐτῷ ἐγένετο. ὀγδόῃ, ῥῖγος. πυρετὸς ἐπέλαβεν. εἶχε δὲ οὐκ ἐς τὸ δέον, ἀλλ᾽ ὅσον καὶ τῶν πρόσθεν ἡμερέων, ὅτε πυρετὸς οὐκ εἶχεν. ἐνάτῃ δὲ τὸ λοιπὸν ἐξεπρίσθη, καὶ ὑπεφάνη ὀλίγον πάνυ πύον ξὺν αἵματι. καὶ ἡ μῆνιγξ καθαρὴ ἦν. καὶ ὕπνος μὲν ἐπέλαβεν. ὁ δὲ πυρετὸς αὖθις οὐκ ἀφίει. σπασμὸς δὲ χεῖρα τὴν ἀριστερὴν ὑπελάμβανεν. ἐν γὰρ τοῖσι δεξιοῖσι μᾶλλον εἶχε τὸ ἕλκος. Κυρᾶνιος ἐν Ὀμίλῳ ἔμπυος γενόμενος, τὴν κάτω κοιλίην ἐκαύθη ὕστερον ἐν ἡμέρῃσι τριάκοντα τοῦ δέοντος. καὶ ἔσχεν ἐπιεικέως. καὶ ἐξηράνθη τὸ πύον, ἐν τῇ κοιλίῃ. ἐν δὲ τῇ θερμοτάτῃ ὥρῃ ἐσθίων ὀπώρην, καὶ ἄλλα σιτία ἀξύμφορα, πυρετὸς ἐπέλαβε, καὶ διάῤῥοια, καὶ ἔθανεν. Ἑκάσων ἐν Ὀμίλῳ ὥσπερ καὶ ὅγε ἕτερος ὕστερον ἐκαύθη. ὅμως δὲ ἐξηράνθη, πλὴν ὀλίγου ἡ κοιλίη. δυσεντερίη δὲ ὑπέλαβε. καὶ αὐτὴν ἀποφυγὼν, ἤσθιε πάνυ, ἕως ὅλος ᾤδησε. καὶ ἐῤῥάγη αὐτῷ, πύον κάτω. καὶ διάῤῥοια ἔθανεν. Ἑκάσων ἐν Ὀμίλῳ ἀπὸ ἀκαθαρσίης καὶ πονηρῆς καθάρσιος ἐς τὸ ἰσχίον ἔπεσεν αὐτῷ ὀδύνη ὀξεῖα. καὶ αὕτη μὲν ἀπηλλάγη. πυρετοὶ δὲ αὐτὸν ὑπέλαβον. καὶ χρόνον πουλὺν κλινοπετὴς ὤν. οὔτε πίνων οὐδὲν, οὔτε διψῶν. ἀσθενής τε ὢν καὶ φρικώδης. τούτῳ, ἀφηρέθη μὲν τὸ νόσημα χρηστῶς ὡς ἔδει. ὠφελεῖτο δὲ τὸ σῶμα ἀπὸ τῶν προσφερομένων. τελευτῶντι διεῤῥάγη τὸ νούσημα κάτω. καὶ ἐχώρεε πάνυ, ὑπὸ πολλῇ χολῇ. καὶ παρέκοψε, καὶ ἔθανε. ἐδόκεε δ᾽ ἂν ἐκφυγεῖν τὸ νόσημα. Ἐν Σαλαμῖνι ὁ περὶ τὴν ἄγκυραν περιπεσὼν, ἐπὶ γαστέρα διετρώθη. περιωδύνεε δέ. φάρμακον δὲ ἔπιε, καὶ οὐ διεχώρησε κάτω, οὐδ᾽ ἀνήμεσεν. Ἡ γυνὴ ἡ ἀπέσφαξεν αὐτὴν, ἐπνίγετο. καὶ ἐδόθη αὐτῇ ὕστερον πολλῷ καταπότιον ἐλατήριον, καὶ ἐξεχώρησεν αὐτῇ. Ὁ ἐξ Εὐβοίης ἐλθὼν νεηνίσκος, πολὺ κάτω κεκαθαρμένος διαλιπὼν, πεπαυμένος ἐπύρεσσεν. εἶτα δοκέων ἄνω δέεσθαι, ἔπιεν ἀσθενὴς, ῥίζην ἐλατήριον. καὶ μετὰ τὴν πόσιν, τεταρταῖος ἔθανεν, ἐκκαθαρθεὶς οὐδέν. ἀλλ᾽ ὕπνος εἶχε. καὶ οὐκ ἠδύνατο παύσασθαι ἡ δίψα. Ἡ δούλη ἡ ἀπὸ καταπότου,

ἄνω μὲν ἐχώρησεν ὀλίγα, καὶ ἔπνιγε. κάτω δὲ πολλά. τῆς νυκτὸς δὲ ἔθανε. Βάρβαρος δὲ ἦν.

Ὁ Εὐβίου ἄνθρωπος πιὼν ἐλατήριον, τρεῖς ἡμέρας ἐκαθαίρετο, καὶ ἔθανε. τὴν δὲ χεῖρα ἔμπυον εἶχε μέχρι τοῦ ἀγκῶνος. Ὁ Συμμάχου παῖς, ὑπὸ χολῆς ἀπεπνίγη. νύκτωρ καταδαρθὼν, καὶ πυρετοῦ ἐπέχοντος. φάρμακον δὲ πιὼν, οὐ κατέσχεν, οὐ δὲ καθήρατο ἡμερῶν καὶ πρὶν ἀποθανέειν ἕξ. Ὁ παρὰ τὸν δρόμον οἰκέων τῆς νυκτὸς αἷμα ἐμέσας, τῇ ὑστεραίῃ ἔθανεν. αἷμα ἐμέων πολύ. καὶ πνιγόμενος. ἐν τελευτῇ δὲ καὶ κάτω, αἱματώδεα αὐτῷ ἐχώρεε πουλύ. Παιδίον ὑπὸ ὀρέος πληγὲν τὴν γαστέρα καὶ τὸ ἧπαρ, ἀπέθανε τῇ τετάρτῃ. τὸ δὲ πνεῦμα πυκνὸν εἶχε. καὶ οὐ κατενόει. καὶ πυρετὸς εἶχεν. Ὁ Ἑρμοφίλου υἱὸς, ἔκαμεν ἡμέρας ἕνδεκα. πυρετὸς δὲ εἶχε, καὶ οὐχ ὑπήει τὰ σιτία. καὶ πρῶτον μὲν παρενόησε. τῆς δὲ νυκτὸς ἐπαύσατο. τῇ δὲ ἐπιούσῃ ἡμέρῃ, ἄφωνος ἔκειτο ῥέγχων, διεστραμμένα ἔχων τὰ ὄμματα, πυρέσσων. πτεροῦ δὲ καθιεμένου, ἤμεσε χολὴν μέλαιναν. καὶ κλυσθέντος κόπρος ὑπῆλθε πολλή. Ἀριστίωνος δούλης, αὐτόματος ὁ ποὺς ἐσφακέλισε, κατὰ μέσον τοῦ ποδὸς ἔνδοθεν ἐκ πλαγίου. καὶ τὰ ὀστέα σαπρὰ γινόμενα, ἀπέστη. καὶ ἐξήει κατὰ μικρὸν συριγγώδεα. καὶ διάρροια ἐπεγένετο. καὶ ἔθανεν. Γυνὴ ὑγιαίνουσα, παχεῖα, κυήσιος ἕνεκεν ἀπὸ καταπότου, ὀδύνην εἶχε τὴν γαστέρα. καὶ στρόφος ἐν τὸ ἔντερον. καὶ ὤδησε. πνεῦμα δὲ προΐσατο. καὶ ἀπειρξῶν ὀδύνη. καὶ αἷμα ἤμεσεν οὐ πολύ. καὶ ἐξέθανε πεντάκις, ὡς τεθνάναι δοκέειν. καὶ ὅτε ἐμέσασα ἀπὸ ὕδατος ψυχροῦ ἐχάλα, οὔτε τῆς ὀδύνης ἐπιούσης, οὔτε τὴν πνοιήν. ὕδατος δὲ κατεχύθησαν ψυχροῦ ἀμφορέες ὡς τριάκοντα κατὰ τοῦ σώματος. καὶ ἐδόκεεν ἄρα τοῦτο μόνον ὠφελέειν. καὶ ὕστερον κάτω ἐχώρησεν χολὴ συχνή. ὅτε δὲ ἡ ὀδύνη εἶχεν, οὐδὲν ἐδύνατο χωρῆσαι καὶ ἐβίω. Ἀντάνδρος ἀπὸ καταπότου ἐξαυτῆς ἐὼν τἆλλα. περὶ δὲ τὴν κύστιν ἐδόκεεν ἄλγος ἔχειν. ἐκαθήρατο αὐτὴν ὀξέως πουλὺ κάθαρμα. καὶ ἀπὸ μέσης ἡμέρης, ὀδύνη εἶχεν ἰσχυρὴ πάνυ καὶ ἐν τὴν ὑστέρην πνίγμα. καὶ ἀπορίη. καὶ ῥιπτασμός. καὶ ἤμεε. καὶ ἐχώρεεν οὐδέν. καὶ τὴν νύκτα ἔπασχε. καὶ ὕπνος οὐκ ἐπήει. τῇ δ' ὑστεραίῃ ἐχώρεε πολλὸν, ὕστερον αἷμα καὶ ἔθανεν.

Τῷ Ἀθηναδέω παιδὶ ἄρρενι περὶ φαγεδαινωθέντι, ὀδὼν ὁ ἐν ἀριστερᾷ κάτω, ἄνω δὲ τὸ ἐν δεξιᾷ οὖς τὸ δεξιὸν ἐνεπύησεν, οὐκ ἔτι ἀλγέοντος. Ὁ σκυτεὺς κάσσυμα κεντέων ὀπεῖ περιπιτύω, ἐκέντησεν αὐτὸν ἐπάνω τοῦ γόνατος ἐν τὸν μηρὸν, καὶ ἔβαψεν ὡς δάκτυλον. τούτῳ αἷμα μὲν οὐδὲν ἐῤῥύη. τὸ δὲ τρῶμα ταχὺ ἔμυσεν. ὁ δὲ μηρὸς ὅλος, ἐμετεωρίζετο, καὶ διέτεινεν ὁ μετεωρισμὸς, ἔστε τὸν βουβῶνα, καὶ τὸν κενεῶνα. οὗτος τῇ τρίτῃ ἀπέθανεν. Τὶς παρὰ τὸν βουβῶνα πληγεὶς τοξεύματι, ὃν ἡμεῖς ἑωράκαμεν, παραδοξότατα ἐσώθη. οὔτε γὰρ ἀκὶς ἐξῃρέθη, ἦν γὰρ ἐν βάθει λίην. οὔτε αἱμοῤῥαγίη οὐδεμίη ἐγένετο ἀξίη λόγου. οὔτε φλεγμονή. οὔτε ἐχώλευσεν. τὴν δὲ ἀκίδα εὑρίσκοντες ἡμεῖς, ἀπηλλαττόμεθα ἐτέων ἐόντων ἓξ ἀφ' οὗπερ ἐτρώθη. ὑπενοεῖτο δὲ τοῦτο μεσηγὺ τῶν νεύρων κεκρύφθαι κατὰ τὴν ἀκίδα, φλέβα τε καὶ ἀρτηρίαν οὐδεμίαν διαιρεθῆναι. Ὁ πληγεὶς ὀξεῖ βέλει ἐν τοὔπισθεν μακρὸν κάτω τοῦ τραχήλου, τὸ μὲν τρῶμα ἔλαβεν οὐκ ἄξιον λόγου εἰσιδεῖν. οὐ γὰρ ἐν βάθει ἐγένετο. μετὰ δὲ οὐ πολλὸν χρόνον ἐξαιρεθέντος τοῦ βέλεος ἐπιτείνετο ἐν τοὔπισθεν σπασθεὶς ὡς οἱ ὀπισθοτονικοί. καὶ αἱ γένυες ἐδέδεντο. καὶ ἔτι ὑγρὸν ἐν τὸ στόμα λάβοι, καὶ τοῦτο ἐγχειρέοι καταπίνειν, πάλιν ἀνέκυπτεν ἐν τὰς ῥῖνας, καὶ τὰ λοιπά αὐτίκα ἐκακοῦτο. καὶ δευτέρῃ ἡμέρῃ, ἔθανεν. Νεανίσκος ὁδὸν τρηχεῖαν τροχάσας ἤλγεε τὴν πτέρνην. μάλιστα τὸ κάτω μέρος. ἀπόστασιν δὲ ὁ τόπος οὐκ ἐλάμβανεν οὐδεμίην, ὡς ξυνάγων ὑγρόν, ἀλλὰ τεταρταίῳ τε ἐόντι αὐτῷ, ἐμελαίνετο πᾶς ὁ τόπος, ἄχρι τοῦ ἀστραγάλου καλεομένου, καὶ τοῦ κοίλου τοῦ κατὰ τὸ στῆθος τοῦ ποδός. καὶ τὸ μελανθὲν, οὐ περιεῤῥάγη, ἀλλὰ πρότερον ἐτελεύτα. τὰς πάσας δὲ ἐβίου ἡμέρας ἀπὸ δρόμου, εἴκοσιν. Ὁ δὲ ἐν τὸν ὀφθαλμὸν πληγεὶς, ἐπλήγη μὲν κατὰ τοῦ βλεφάρου. ἔδυ δὲ ἡ ἀκὶς ἱκανῶς. ὁ δὲ αἰθὴρ προσυπερεῖχε. τμηθέντος βλεφάρου, ἤρθη πάντα. οὐδὲν φλαῦρον, ὁ γὰρ ὀφθαλμὸς διέμενε καὶ ὑγιὴς ἐγένετο ξυντόμως. αἷμα δὲ ἐῤῥύη λαῦρον, ἱκανὸν περὶ πλῆθος.

Ἡ παρθένος ἡ καλὴ ἡ τοῦ Νερίου, ἦν μὲν εἰκοσαέτης. ὑπὸ δὲ γυναίου φίλης παιζούσης, πλατέῃ τῇ χειρὶ ἐπλήγη τὸ κατὰ τὸ βρέγμα. καὶ τότε μὲν ἐσκοτώθη. καὶ ἄπνοος ἐγένετο. καὶ ὅτε ἐς οἶκον ἦλθε, αὐτίκα τὸ πῦρ εἶχε. καὶ ἤλγει τὴν κεφαλήν. καὶ ἔρευθος ἀμφὶ τὸ πρόσωπον ἦν. ἑβδομαίῃ δὲ ἐούσῃ, ἀμφὶ τὸ οὖς τὸ δεξιὸν, πύον ἐχώρησε. δυσῶδες. ὑπέρυθρον. πλεῖον κυάθου. καὶ ἔδοξεν ἄμεινον ἔχειν. καὶ ἐκουφίσθη. πάλιν ἐπετείνετο περὶ πυρετῷ. καὶ κα-

τεφρός. καὶ ἄναυδος ἦν, καὶ τοῦ προσώπου τὸ δεξιὸν μέρος εἵλκετο. καὶ δύσπνοος ἦν. καὶ σπασμός. καὶ τρομώδης ἦν, καὶ γλῶσσα κατείχετο. καὶ ὁ ὀφθαλμὸς καταπλήξ. ἐνάτῃ ἔθανεν. Ὁ Κλεομένεω παῖς χειμῶνος ἀρξάμενος, ἄσιτος, ἄνευ πυρετοῦ ἐτρύχετο. καὶ ἤμεε τὰ σιτία καὶ φλέγμα. δύο μῆνας ἀσιτίη παρείπετο. Τῷ μαγείρῳ ἐν ἀκάνθῃ τὸ κύφωμα ἐκ φρενίτιδος ἐγένετο. τούτῳ, φαρμακοποσίη οὐδεμίη συνήνεγκεν. οἶνος δὲ μέλας καὶ ἀρτοσιτίη. λουτρῶν ἀπέχεσθαι καὶ ἀνατρίβεσθαι λείως, θάλπεσθαί τε μήτε πολλῷ πυριήματι, ἀλλὰ πρηέως. Τῇ κατὰ τὸ εἰκοσὸν τῆς ἡλικίης ἀπόφθαρμα πιούσῃ, ξυνέβη πόνος. ἔμετος χολωδέων, πολλῶν, ὤχρων, καὶ πρασοειδέων. ὅτε πίῃ, σπασμὸς εἶχε, γλῶσσαν κατεμασᾶτο. πρὸς τεταρταίην εἰσῆλθον. καὶ αὐτῇ ἦν ἡ γλῶσσα μεγάλη, μέλαινα. τοῖν ὀφθαλμοῖν δὲ τὰ λευκά, ἐρυθρὰ ἦν. ἄγρυπνος. τῇ τετάρτῃ δὲ ἔθανεν τὴν νύκτα. Ὁ Ὀρίγανος ὀφθαλμοῖσι κακὸν πινόμενος, καὶ ὀδύνῃσιν. Ἡ ἀπὸ τοῦ κρημνοῦ κόρη πεσοῦσα ἄφωνος. ῥιπτασμὸς εἶχε. καὶ ἤμεσεν τὴν νύκτα, αἷμα πουλύ. κατὰ ἀριστερὰ πεσούσης, συχνότερον ἐῤῥύη. μελίκρητον χαλεπῶς κατέπινεν. ῥέγκος. πνεῦμα πυκνόν, ὡς τῶν θνησκόντων. φλέβες ἀμφὶ τὸ πρόσωπον τεταμέναι. κλίσις ὑπτίη. πόδες χλιηροί. πυρετὸς βληχρός. ἀφωνίη. ἑβδομαίη φωνὴν ἔῤῥηξεν. αἱ θέρμαι λεπτότερον ἔχον. περιεγένετο. Πυθοκλῆς τοῖς κάμνουσιν γάλα πολλῷ ὕδατι μιγνὺς ἐδίδου.

Χιμέτλων καταπλασσαι ἀλεαίνειν τοὺς πόδας ὧδε. μάλιστα ἐκθερμαίνειν πυρὶ καὶ ὕδατι. ὀφθαλμοῖς ὡς ἦ πονηρὸν ἡ φακῆ. ὀπώρη τὰ γλυκέα. καὶ λάχανα. τοῖσι δὲ περὶ ὀσφῦν καὶ σκέλεα καὶ ἰσχίον ἀλγήμασιν ἐκ πόνων, θαλάσσῃ, ὄξει, θερμοῖσι καταιονεῖν. καὶ σπόγγους βάπτοντα πυριῆν. περικαταδεῖν δὲ εἰρίοισιν οἰσυπηροῖσι καὶ ῥινικοῖσι. Τῷ γναφέῳ οἱ βουβῶνες, ἐφυματοῦντο σκληροί, καὶ ἀνώδυνοι. καὶ περὶ ἥβην καὶ ἐν τραχήλῳ, ὅμοια μεγάλα. πυρετός, πρόσθεν μὲν βληχώδης. τρίτῃ, μηνὶ τετάρτῳ, γαστὴρ ξυνετάκη. θέρμαι ἐπεγένοντο. γλῶσσα ξηρή. δίψα. ὑποχωρήσεις αἱ κάτω, χαλεπαί. ἔθανεν. Ὁ τὴν κεφαλὴν ὑπὸ Μακεδόνος λίθῳ πληγείς, ἔπεσε. τρίτῃ, ἄφωνος ἦν. ἀλυσμός. πυρετὸς λεπτός. οὐ πάνυ σφυγμὸς ἐν κροτάφοις. ἤκουεν οὐδὲν οὐδόλως. οὐδὲ ἐφρόνει, οὐκ ἀτρεμέας. ἀλλὰ τῇ τετάρτῃ, ἐκινέετο. νότις περὶ μέτωπόν τε καὶ ὑπὸ ῥῖνα, καὶ ἄχρις ἀνθερεῶνος, καὶ ἔθανεν. Ὁ Ἐνιήτης ἐν ἰδίῳ ἀκοντίῳ πληγεὶς ὄπισθεν τοῦ πλευροῦ κατὰ τὸ ἀριστερὸν μέρος, τὸ μὲν ἕλκος ἄπονος. τρίτῃ δὲ γαστρὸς ὀδύνη δεινή. οὐχ ὑπεχώρει. κλυσθέντι δὲ κόπρος τὴν νύκτα. ὁ κόπος διαλιπὼν, ἔδρη εἰς τοὺς ὄρχιας. τετάρτῃ καὶ ἥβην καὶ κοιλίην πόνος κατεῖχε. ζῶν ἀτρεμέειν οὐκ ἠδύνατο. χολώδεα ἤμεσε κατακορέα. ὀφθαλμοί, οἷοι τῶν λιποθυμεόντων. μετὰ τὰς πέντε δὲ ἐτελεύτησε. θέρμη λεπτότης ἐνῆν. Τῷ δὲ καθ' ἧπαρ πληγέντι ἀκοντίῳ εὐθὺς τὸ χρῶμα κατεχύθη νεκρῶδες. τὰ ὄμματα κοῖλα. ἀλυσμός. δυσφορίη. ἔθανε πρὶν ἀγορὴν λυθῆναι, ᾗ ἡμέρῃ πληγείς. Τῇ Πολεμάρχου χειμῶνος κυναγχικῇ, οἴδημα ὑπὸ τὸν βρόγχον. πολὺς πυρετός. ἐφλεβοτομήθη. ἔληξεν ὁ πνιγμὸς ἐκ τῆς φάρυγγος. ὁ πυρετὸς παρείπετο. περὶ πέμπτην, γόνατος ἄλγημα. οἴδημα τοῦ ἀριστεροῦ. καὶ κατὰ τὴν καρδίην ἐδόκει τι συλλέγεσθαι αὐτῇ. καὶ ἀνέπνεεν ὡς ἐκ τοῦ βεβαπτίσθαι ἀναπνέουσι. καὶ ἐκ τοῦ στήθεος, ὑπεψόφεεν, ὥσπερ αἱ ἐγγαστρίμυθοι λεγόμεναι, τοιοῦτό τι ξυνέβαινε. περὶ δὲ τὰς ἑπτὰ ἢ ἐννέα, τὴν νύκτα κοιλίη κατεῤῥάγη. ὑγρὰ πολλὰ κακὰ νομιζόμενα. ἤδη ἀφωνίη ἐτελεύτησεν. Ὑποκαθαίρειν τὰς κοιλίας χρὴ ἐν τοῖσιν νουσήμασιν, ἐπὰν πέπονα ᾖ. τὰς μὲν κάτω, ἐπὴν ἱδρυμένα ἴδῃς. σημεῖον, ἢν μὴ ἀσώδεες, ἢ καρηβαρικοὶ ἔωσι. καὶ ὅταν αἱ θέρμαι πρηΐταται, ἢ ὅταν λήγωσι μετὰ τοὺς παροξυσμούς. τὰς δὲ ἄνω, ἐν τοῖσιν παροξυσμοῖσι. τότε γὰρ καὶ αὐτόματα μετεωρίζεται. ἐπὴν ἀσώδεες καὶ καρηβαρέες καὶ ἀλύοντες ὦσιν. Ἐκ πτώματος τρωθέντος πήχεος ὑπὸ σφακελισμοῦ, πυοῦται πῆχυς. πεπαινομένου δὲ ἤδη, γλίσχρος ἰχώρ, ἐκθλίβεται, ὡς καὶ Λεοντίσκῳ καὶ Δημάρχῳ τοῦ Ἀγλευτέλεος. ὁμοίως δὲ καὶ πάνυ ἐκ τῶν αὐτῶν πύον οὐδέν. οἷον τῷ Αἰσχύλου παιδὶ ξυνέβη. πυομένοισι δὲ τοῖσι πλείστοισι, φρίκη καὶ πυρετὸς ἐπεγίνετο.

Τῷ Παρμενίσκου παιδί, κωφότης συνήνεγκε μὴ κλύζειν. διακαθαίρειν δὲ εἰρίῳ μοτοῦν. καὶ ἐγχεῖν ἔλαιον. ἢ νέτωπον. κελεύειν δὲ περιπατέειν. ἐγείρεσθαι πρωΐ. οἶνον πίνειν λευκόν.

Τῇ Ἀσπασίου, ὀδόντος δεινὸν ἄλγημα καὶ γνάθοι ἐπήρθησαν. καστόρειον δὲ καὶ πέπερι διακλυζομένη, ὠφελέετο. Τῷ Καλλιμέδοντος ξυνήνεγκε πρὸς τὸ φῦμα τὸ ἐν τῷ τραχήλῳ σκληρὸν ἐόν, καὶ μέγα, καὶ ἄπεπτον, καὶ ἐπώδυνον. ἀπόστασις βραχίονος. λίνον κατα-

πλάσσειν

πλάσσειν πεφυρημένον ἐν οἴνῳ λευκῷ καὶ ἐλαίῳ διδόντα. ἐπιδεῖν δὲ ἑφθὸν ἄγαν. ἢ ξὺν μελικρήτῳ ἑψεῖν καὶ ἀλεύρῳ τήλιος. ἢ κριθῶν. ἢ πυρῶν. Μελιοσάνδρῳ τοῦ οὔλου ἐπιλαβόντος, καὶ ὄντος ἐπωδύνου, σφόδρα ξυνοιδέοντος, ἀπόστασις βραχίονος. συντήκειν ἐν ἀρχῇ παρασέλλει. Ὑδρωπιώδεα δέον ταλαιπωρέειν. ἱδροῦν. ἄρτον ἐσθίειν θερμὸν, ἐν ἐλαίῳ. πίνειν, μὴ πουλὺ λούεσθαι. καὶ κεφαλὴν χλιηρῶς. οἶνος δὲ λευκὸς καὶ λεπτός. καὶ ὕπνος ἀρήγει.

Βίαντι τῷ πύκτῃ, φύσει πολυβόρῳ ἐόντι, ξυνέβη ἐμπεσεῖν ἐς πάθεα χολερικὰ, ἐκ κρεηφαγίης. μάλιστα δὲ ἐκ χοιρείων ἐναιμοτέρων, καὶ μέθης εὐώδεος, καὶ πεμμάτων, καὶ μελιτωμάτων, καὶ σικύου πέπονος. καὶ γάλακτος. καὶ ἀλφίτων νέων. ἐν θέρει δὲ τὰ χολερικὰ, καὶ οἱ διαλείποντες πυρετοί. Τιμοχάρει χειμῶνος κατάῤῥους μάλιστα ἐς τὰς ῥῖνας. ἀφροδισιάσαντι ἐξηράνθη πάντα. κόπος. θέρμη ἐπεγένετο. κεφαλὴ βαρεῖα. ἱδρὼς ἀπὸ κεφαλῆς πουλύς. ἦν δὲ καὶ ὑγιαίνων ἱδρώδης. τριταῖος ὑγιής. Μετὰ κύνα, οἱ πυρετοὶ ἐγένοντο ἱδρώδεες. καὶ οὐ περιεψύχοντο παντάπασι, μετὰ τὸν ἱδρῶτα. πάλιν δὲ ἐπεθερμαίνοντο. καὶ μακροί. καὶ ἐπιεικέως ἄκρητοι. καὶ οὐ πάνυ διψώδεες. ὀλίγοισιν ἐν ἑπτὰ καὶ ἐννέα ἐπαύοντο. ἑνδεκαταῖοι, καὶ τεσσαρεσκαιδεκαταῖοι. καὶ ἑπτακαιδεκαταῖοι. καὶ εἰκοσταῖοι ἐκρίνοντο. Πολυκράτει ὁ πυρετὸς ἐπῄει. καὶ τὰ τοῦ ἱδρῶτος οἷα γέγραπται. ἀπὸ φαρμάκου κάθαρσις κάτω ἐγένετο. καὶ τὰ τοῦ πυρετοῦ ἤπια. πάλιν ἐν κροτάφοις ἱδρώτια, καὶ περὶ τράχηλον ἐς δείλην. εἶτα ἐς ὅλον. καὶ πάλιν ἐπεθερμάνθη. περὶ δὲ τὰς δώδεκα καὶ τεσσαρεσκαίδεκα ἐπέτεινεν ὁ πυρετός. καὶ ὑποχωρήματα βραχέα. ῥοφήμασι μετὰ τὴν κάθαρσιν ἐχρήσατο. περὶ δὲ τὰς πεντεκαίδεκα γαστρὸς ἄλγημα κατὰ σπλῆνα, καὶ κατὰ κενεῶνα ἀριστερόν. θερμῶν προστιθέντων, ἧσσον ἢ ψυχρῶν προσωφέλεον. κλύσματι δὲ μαλθακῷ χρησαμένῳ, ἔληξεν ἡ ὀδύνη. Τῷ ἐκ τοῦ μεγάλου πλοίου διώπῳ ἡ ἄγκυρα λιχανὸν δάκτυλον, καὶ τὸ κάτω ὀστέον ξυνέφλασε δεξιῆς χειρός. φλεγμασίη ἐπεγένετο, καὶ σφάκελος. καὶ πυρετὸς ὑπεκαθάρθη μετρίως. θέρμαι ἤπιοι. καὶ ὀδύναι. δακτύλου τι ἀπέπεσε μετὰ τὰς ἑπτά. ἐξῄει ἰχὼρ ἐπιεικέως. μετὰ ταῦτα γλώσσης οὐ πάντα ἔφη δύνασθαι ἑρμηνεύειν. πρόῤῥησις ὅτι ὀπισθότονος ἥξει. ξυνεφέροντο αἱ γνάθοι συνερειδόμεναι. εἶτα ἐς τράχηλον. τριταῖος δὲ ὅλος ἐσπᾶτο ἐς τοὐπίσω ξὺν ἱδρῶτι. ἑκταῖος ἀπὸ τῆς προῤῥήσεως ἔθανεν. Ὁ δὲ Ἁρπάλου ἐκ τῆς ἀπελευθέρης Τηλεφάνης, στρέμμα κάτω μεγάλου δακτύλου ἔλαβεν, ἐφλέγμηνε καὶ ἐπώδυνος ἦν. καὶ ἐπεὶ ἀνῆκεν, ὤχετο ἐς ἀγρόν. ἀναχωρέων, ὀσφὺν ἤλγησεν. ἐλούσατο. αἱ γένυες ξυνήπτοντο ἐς νύκτα. καὶ ὀπισθότονος παρῆν. τὸ σίελον ἀφρῶδες. μόλις διὰ τῶν ὀδόντων ἔξω διῄει. τριταῖος ἔθανεν. Θείνων ὁ τοῦ Δαίμωνος περὶ κνήμης σφυρὸν ἕλκος. κατὰ νεῦρον δὴ καθαρὸν τούτῳ δηχθέντι ὑπὸ φαρμάκου, ξυνέβη ὀπισθοτόνῳ θανεῖν. ἠράγε ἐν πᾶσι ἐμπυήμασι, καὶ τοῖσι περὶ ὀφθαλμὸν ἐς νύκτα οἱ πόνοι. αἱ βῆχες χειμῶνος. μάλιστα δ' ἐν νοτίοισι παχέα καὶ πολλὰ λευκά. καὶ χρεμπτομένοισι πυρετοὶ ἐπεγίνοντο ἐπιεικέως. καὶ πεμπταῖοι ἐπαύοντο. αἱ δὲ βῆχες, περὶ τὰς τεσσαράκοντα. οἷον, Ἡγησιπόλι. Εὐτυχίδης ἐκ χολερικῶν ἐπὶ τῶν σκελέων ἐς τετανώδεα ἔληξεν, ἅμα τῇ κάτω ὑποχωρήσει. κατακορέα χολὴν πολλὴν ἤμεσεν ἐπὶ τρεῖς ἡμέρας καὶ νύκτας καὶ λείην ἐρυθρήν. καὶ ἀκρατὴς ἦν καὶ ἀσώδης. οὐδὲν δὲ κατέχειν ἠδύνατο, οὔτε ἐκ τῶν ποτῶν οὔτε ἐκ τῶν σιτίων. καὶ τοῦ οὔρου πολλὴ σχέσις. καὶ τῆς κάτω διόδου. διὰ τοῦ ἐμέτου, τρὺξ μαλθακὴ ἦλθε, καὶ κατέῤῥιψε κάτω. Ἀνδροφάνει ἀφωνίη. λήρησις. λυθέντων δὲ τούτων, περιῆν ἔτι συχνά. καὶ ὑποστροφαὶ ἐγίνοντο. ἡ δὲ γλῶσσα διετέλει πάντα τὸν χρόνον ξηρή. καὶ εἰ μὴ διακλύζοιτο, διαλέγεσθαι οὐχ οἷός τε ἦν. καὶ πικρὴ λίην ἦν τὰ πολλά. ἔστι δ' ὅτε καὶ πρὸς καρδίην ὀδύνη, ἣν φλεβοτομίη ἔλυσε. ταύτῃ ὑδροποσίη ἢ μελίκρητον συνήνεγκεν. ἐλλέβορον ἔπιε μέλανα. οὐδὲ τὸ χολῶδες διῄει, ἀλλ' ὀλίγον. τέλος δὲ χειμῶνος κατακλιθεὶς, ἔξω ἐγένετο. καὶ τὰ τῆς γλώττης παθήματα ὅμοια. θέρμη λεπτή. ἄπονος γλῶσσα. ἄχροος. φωνὴ περιπλευμονική. ἀπόσταξις. αἷμα ἀπεδύετο. καὶ ἐξάγειν ἐκέλευεν. οὐδὲν δὲ ἠδύνατο σάφα εἰπεῖν. ἐς νύκτα ἐτελεύτα. Τὸ Νικάνορος πάθος, ὁπότε ἐς πότον ὥρμητο φόβος τῆς αὐλητρίδος. ὁκότε φωνῆς αὐλοῦ ἀρχομένης, ἀκούσειεν αὐλεῖν ἐν συμποσίῳ ὑπὸ δειμάτων ὄχλοι, μόλις ὑπομένειν ἔφη ὅτε εἴη νύξ. ἡμέρης δὲ ἀκούων, οὐδὲν διετρέπετο. τοιαῦτα παρέπετο εἰς συχνὸν χρόνον. Δημοκλῆς ὁ μετ' ἐκείνου ἀμβλυώσσειν καὶ λυσισωματεῖν ἐδόκεε. καὶ οὐκ ἂν παρῆλθε παρὰ κρημνὸν, οὐδ' ἐπὶ γεφύρης. οὐδὲ τοὐλάχιστον βάθος τάφρου διαπο-

ῥύεσθαι, ἀλλὰ δι' αὐτῆς τῆς τάφρου οἷός τε ἦν, χρόνον τινὰ ξυνέβη αὐτῷ. Τὸ φοινικοῦς ἐκ τοῦ ὀφθαλμοῦ τοῦ δεξιοῦ, τοιοῦτόν τι ἦν. τὰ πολλὰ ὥσπερ ἀστραπὴν ἐδόκεε λάμπειν. οὐ πολὺ δὲ ὑπερέχοντι, ὀδύνη ἐς τὸν κρόταφον τὸν δεξιὸν ἐνεστήκει, ἡ σπονδύλων καὶ ξύντασις. καὶ σκληρότης ἀμφὶ τοὺς ὀδόντας. καὶ διωγεῖν ἐπειρᾶτο ξυντεινόμενος. ἔμετοι ὁπότε γένοιατο, ἀπέτρεπον τὰς εἰρημένας ὀδύνας, καὶ ἠπιωτέρας ἐποίεον. ἀλλὰ μὴν καὶ φλεβοτομίη ὠφέλεε. καὶ ἐλλεβοροποσίη, ἀνῆγε παντοδαπά. οὐχ ἥκιστα δὲ πρασοειδέα. Παρμενίσκῳ καὶ πρότερον ἐνέπιπτον ἀθυμίαι. καὶ ἀπαλλαγῆς βίου ἐπιθυμίη. ὅτε δὲ πάλιν εὐθυμίη.

Ἡ δὲ Κόνωνος θεράπαινα ἐκ κεφαλῆς ὀδύνης ἀρξαμένης, ἔκφρων ἐγένετο. βοή. κλαυθμοὶ πολλοί. ὀλιγάκις ἡσυχίη. περὶ δὲ τὰς τεσσαράκοντα, ἐτελεύτησε. τὰς ὅτε δὲ ἔθνησκε δέκα ἡμέρας, ἄφωνος καὶ σπασμώδης ἐγένετο. Νεανίσκος δέ τις πολὺν ἄκρητον ὑποπεπωκώς, ὕπτιος ἐκάθευδεν ἔν τινι σκηνῇ, τούτῳ ὄφις ἐς τὸ στόμα παρεισεδύετο ἀργής. καὶ διὰ ὅτε ᾔσθετο οὐ δυνάμενος φράζεσθαι, ἔβρυξε τοὺς ὀδόντας, καὶ παρέτραγε τοῦ ὄφιος. καὶ ἀλγηδόνι μεγάλῃ εἴχετο. καὶ τὰς χεῖρας προσέφερεν, ὡς ἀγχόμενος. καὶ ἔρριπτεν ἑωυτόν. καὶ σπασθείς, ἔθανεν. Καὶ ὁ τοῦ Τιμοχάρεος θεράπων ἐκ μελαγχολικῶν δοκεόντων αὐτὸν εἶναι, καὶ τοιούτων καὶ τοσούτων, ἔθανεν ὁμοίως περὶ τὰς αὐτὰς ἡμέρας. Τῷ Νικολάου παιδί, περὶ ἡλίου τροπὰς χειμερινάς, ἐκ ποτῶν ἔφριξεν ἐς νύκτα. πυρετὸς τῇ ὑστεραίῃ. ἔμετος χολώδης. ἄκρητος. ὀλίγος. τῇ τρίτῃ ἀγορῆς ἔτι πλήρεος ἐούσης, ἱδρὼς ὅλου τοῦ σώματος ἔληξεν. Τῇ Διοπείθεος ἀδελφῇ ἐν ἡμιτριταίῳ, καὶ ἡ καρδίη περὶ τὴν λῆψιν δεινή. καὶ ξυμπαρείπετο ὅλῃ τῇ ἡμέρῃ. καὶ ἡ τοιαύτη καρδιαλγίη, καὶ τῇσιν ἄλλῃσι παραπλησίως, πλὴν ἀλλ' ὑπὸ πληϊάδος δύσιν, ἀνδράσι σπανιώτερα ἐγίνετο τὰ τοιαῦτα. Τῇ Ἐπιχάρμου πρὸ τοῦ τεκεῖν, δυσεντερίη ἦν ὁ πόνος σφοδρός. ὑποχωρήματα ὕφαιμα. μυξώδεα. τεκοῦσα παραχρῆμα ἰάθη. Τῇ Πολεμάρχου ἐν ἀρθριτικοῖς ἰσχίου ἄλγημά τι δεινόν, ἐξ αἰτίης γυναικείων μὴ γινομένων. ἡ φωνὴ ἴσχετο. νύκτα ὅλην μέχρις μέσου ἡμέρης. ἤκουε δὲ καὶ ἐφρόνεε, καὶ ἐσήμαινε τῇ χειρί, ὅτι περὶ τὸ ἰσχίον εἴη τὸ ἄλγημα. Ἐπιχάρμῳ περὶ πληϊάδων δύσιν, ὁμοῦ ὀδύνη, καὶ βάρος ἐς βραχίονα. νάρκη. ἔμετοι συχνοί. ὑδροποσίη.

Τῷ Εὐφράνορος παιδί, τὰ ἐξανθήματα οἷα τὰ τῶν κωνώπων δήγματα. ὀλίγον δὲ χρόνον τῇ ὑστεραίῃ, ἐπυρέτηνεν. Λυγμοὶ πολλοὶ μετὰ ζέφυρον ἐγένοντο, μέχρις ἰσημερίης φθινοπωρινῆς. ὑπὸ κῦνα, πνίγεα μεγάλα, θερμά. πυρετοὶ ἱδρώδεες. φύματα παρ' οὖς συχνοῖς ἐγένοντο. Τύχων ἐν τῇ πολιορκίῃ περὶ Δάτον, ἐπλήγη ὑπὸ καταπέλτου ἐς τὸ στῆθος. καὶ μετ' ὀλίγον, γέλως ἦν περὶ αὐτὸν θορυβώδης. ἐδόκεε δέ μοι ὁ ἰητρὸς ἐξαιρέων τὸ ξύλον, ἐγκαταλιπεῖν τι τοῦ δόρατος, κατὰ τὸ διάφραγμα. δοκέοντος δὲ αὐτοῦ πρὸς τὴν ἑσπέρην ἔκλυσέ τε καὶ ἐφαρμάκευσε κάτω. νύκτα διήγαγε τὴν πρώτην δυσφόρως. ἅμ' ἡμέρῃ δὲ ἐδόκεε καὶ τῷ ἰητρῷ καὶ τοῖσιν ἄλλοισι βέλτιον ἔχειν. πρόρρησις ὅτι σπασμοῦ γενομένου, ταχέως ἀπολεῖται. τῇ γοῦν ἐπιούσῃ νυκτί, δύσφορος, ἄγρυπνος. ἐπὶ γαστέρα τὰ πουλλὰ κλινόμενος. τῇ τρίτῃ ἅμ' ἡμέρῃ, ἐσπᾶτο. καὶ τηνικαῦτα ἐτελεύτησεν.

Τῷ Βίλλῳ πληγέντι ἐς τὸν νῶτον, τὸ πνεῦμα πουλὺ κατὰ τὸ τρῶμα μετὰ ψόφου ἐχώρεεν. αἱμορράγη. τῷ δὲ ἐναίμῳ καταδεθεὶς ἰάθη. Τῷ τῆς Φίλης παιδί, ψιλώματος ἐν τῷ μετώπῳ γενομένου, ἐνναταίῳ πυρετὸς ἔσχεν. ἐπελιώθη τὸ ὀστέον. ἐτελεύτησεν. Καὶ τῷ Φανίου καὶ τῷ Εὐεργέτου, πελιαινομένων τῶν ὀστέων καὶ πυρεταινόντων, ἀφίσταται τὸ δέρμα ἀπὸ τοῦ ὀστέου καὶ πῦον οὐ φαίνεται. Ἀρίστιππος ἐς τὴν κοιλίην ἐτοξεύθη. ἄνω βίῃ χαλεπῶς. ἄλγος κοιλίης δεινόν. καὶ ἐπίμπρατο ταχέως. κάτω δὲ οὐ διεχώρεεν. ἀσώδης ἦν. χολώδεα κατακορέα. καὶ ὅτε ἐπήμεσεν ἐδόκει ῥηΐων εἶναι. μετ' ὀλίγον δὲ πάλιν τὰ ἀλγήματα δεινά. καὶ ἡ κοιλίη ὡς ἐν εἰλεοῖσι. θέρμαι. δίψαι. καὶ ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν ἐτελεύτησεν. Ὁ δὲ Νεάπολις πληγεὶς ὁμοίως ταῦτ' ἔπαθεν. κλυσθέντι δ' ἐν δριμεῖ, κοιλίη κατερράγη. χρῶμα κατεχύθη λεπτόν. ὠχρόν. μέλαν ἐόν. ὄμματα αὐχμηρά. καθαρώδεα. ἐν δὲ δινημένα. ἀτενίζοντα ἐν καρδίῃ.

Τῷ Μητροδώρου παιδί ἐξ ὀδόντος ὀδύνης, σφακελισμὸς τῆς γνάθου. καὶ ἕλων ὑπερσάρκωσις. μετρίως ἐξεπύησεν. ἐξέπεσον οἱ γόμφοι καὶ ἡ σιαγών. Γυναικὶ ἐν Ἀβδήροισι, καρκίνωμα ἐγένετο περὶ τὸ στῆθος. καὶ διὰ τῆς θηλῆς ἔρρεεν ἰχὼρ ὕφαιμος. ὑπολειφθείσης δὲ τῆς ῥύσιος ἔθανεν.

Ἐκ κε

ἐκ καταῤῥόου ἐπὶ τὸ ἥμισυ τῆς κεφαλῆς, ἐπόνεον. καὶ ἐπὶ ῥῖνας ὑγροῦ χωρέοντος, ἐπυρέταινον ἐπιεικέως. ἐν τῇσι πέντε ἡμέρῃσι, περιεψύχοντο. Τῇ ἐν τόκῳ σιαλθείσῃ, ἄλγημα περὶ στῆθος ἐγένετο καὶ πλευρόν. ἀποχρέμψιες πυώδεες. φθὶς κατέστη. ἐξ ἡμέρας οἱ πυρετοί. πάλιν διάῤῥοια. παῦσις. πυρετοί. κοιλίη ἔστη. καὶ περὶ ἡμέρας ἑπτὰ, ἔθανεν. Ἡ κυναγχικὴ χεῖρα δεξιὴν καὶ σκέλος ἤλγησε. πυρετὸς ἐπεῖχε βληχρός. ὁ δὲ πνιγμὸς τριταίῃ ἐχάλασεν. ἑβδόμῃ, σπασμώδης. ἄφωνος. ῥέγχος. ὀδόντων σύντριψις. γνάθων ἔρευθος. ἔθανε πεμπταίῃ, ἢ ἑκταίῃ. σημεῖον περὶ χεῖρα ὑποπέλιον. Καὶ ἑτέρῃ ἀπὸ τοῦ ὑπερῴου ῥεγχώδης. γλῶσσα ξηρή. περιπλευμονίη. ἔκφρων ἔθανεν. Καὶ ἐν Ὀλύνθῳ ὑδρωπικὸς, ἐξαίφνης ἄφωνος, ἔκφρων νύκτα καὶ ἡμέρην, ἔθανεν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΔΗΜΙΩΝ ΤΟ ΕΚΤΟΝ

Τμῆμα πρῶτον.

Κύστησιν δὲ ἀπὸ φθορῆς περὶ ὑστέρην καὶ οἰδημάτων δὲ καρηβαρίην τρέπεται, ἐπὶ τὸ βρέγμα ὀδύναι μάλιστα. καὶ ὅσαι ἄλλαι ἀπὸ ὑστερέων ταύτῃσιν ἐν ὀκτὼ ἢ δέκα μησὶν, δὲ ἰσχίον τελευτᾷ. Οἱ φοξοὶ, οἱ μὲν καρτεραύχενες, ἰσχυροὶ καὶ τἄλλα καὶ ὀστέοισιν. οἱ δὲ κεφαλαλγέες, καὶ ὠτόῤῥυτοι. τούτοις ὑπερῷαι κοῖλαι, καὶ ὀδόντες παρηλλαγμένοι. ὅσοις ὀστέον ἀπὸ ὑπερῴης ἀπῆλθε, τουτέοισι μέση ἵζει ἡ ῥίς. οἷσιν δὲ ὅθεν οἱ ὀδόντες, ἄκρη σιμοῦται. αἱ τῶν νηπίων ἐκλάμψιες ἅμα ἥβῃ. δὲ ἣν οἷσι μεταβολὰς ἴσχουσι καὶ ἄλλας, καὶ δὲ νεφρὸν, ὀδύνη βαρεῖα. ὅταν πληρῶνται σίτου, ἐμέουσί γε φλέγμα. ὅταν δὲ πλεονάζωσιν αἱ ὀδύναι, ἰώδεα. καὶ ῥάους μὲν γίνονται. λύονται δὲ ὅταν σίτου κενωθῶσι. ψαμμία τε πυῤῥὰ ὑφίστανται. αἱματώδεές τε ῥέουσι. νάρκη μηροῦ τοῦ κατ᾽ ἴξιν. ἐλλινύειν οὐ ξυμφέρει, ἀλλὰ γυμνάσια. μὴ ἐμπίπλασθαι. τοὺς νέους, ἐλλεβορίζειν. ἰγνύην τάμνειν. οὐρητικοῖσι καθαίρειν λεπτῦναι καὶ ἁπαλῦναι.

Γυναικεῖα τῇσιν ὕδατοι νούσοισιν, ἐπὶ πολὺ παραμένει. ὅταν δὲ μὴ ταχὺ ἴῃ, ἐπιεικέει.

Ἐν Κραννῶνι αἱ παλαιαὶ ὀδύναι ψυχραί. αἱ δὲ νεαραὶ, θερμαί. αἱματίαι αἱ πλεῖσται. καὶ τὰ ἀπὸ ἰσχίου ψυχρά. Τὰ δὲ ῥίγεα ἰσχυρὰ ἐόντα, οὐ πάνυ τι πρηΰνεται. ἀλλ᾽ ἐγγὺς τῆς ἀκμῆς. Πρὸ ῥίγεος αἱ ἐπισχέσιες τῶν οὔρων, ἢν ἐκ χρηστῶν ἴωσιν καὶ κοιλίην ἢν ὑποδιέλθῃ, καὶ ὕπνοι ἐνέωσιν. ἴσως δὲ καὶ ὁ τρόπος τοῦ πυρετοῦ. ἴσως δὲ καὶ τὰ ἐκ κόπων. Ἀποστάσιες οὐ μάλα οἷσι ῥίγεα. αἱ τῶν σκελέων ἐκθηλυώσιες, οἷον ἢ πρὸ νόσου ὁδοιπορήσασι, ἢ ἐκ νόσου αὐτίκα. διότι ἴσως τὸ ἐκ κόπων, ἐς ἄρθρα ἀπέστη. διὸ καὶ τῶν σκελέων ἐκθηλυώσιες. Φύματα ἔξω ἐξοιδέοντα, καὶ τὰ ἀποξέα καὶ κορυφώδεα, καὶ τὰ ὁμαλῶς ξυμπεπαινόμενα, καὶ μὴ περίσκληρα, καὶ καταῤῥοπα, καὶ μὴ δίκραια ἀμείνω. τὰ δὲ ἐναντία κακά. καὶ ὅσα πλεῖστα ἐναντία, κάκιστα. Τὸ θηλειῶδες φθινοπώρου, καὶ αἱ καρδιαλγίαι, καὶ τὸ φρικῶδες, καὶ μελαγχολικόν. Πρὸς τὰς ἀρχὰς τοὺς παροξυσμοὺς σκέπτεσθαι, καὶ ἐν ἁπάσῃ τῇ νούσῳ, οἷον τὸ ἐς δείλην παροξύνεσθαι. καὶ ὁ ἐνιαυτὸς ἐς δείλην, καὶ αἱ ἀσκαρίδες. Νηπίοισι βηχίον, ξὺν γαστρὸς ταραχῇ, καὶ πυρετῷ ξυνεχεῖ, σημαίνει μετὰ κρίσιν διμηναίῳ τὸ ξύμπαν εἰκοσταίῳ. καὶ οἰδήματα ἐς ἄρθρα. Καὶ ἢν μὲν κάτω τοῦ ὀμφαλοῦ καταστῇ, τὰ ἄνω ἐν τοῖσι κάτω ἄρθροισιν ἀγαθόν. ἢν δὲ ἄνω, οὐχ ὁμοίως λύει τὴν νοῦσον, ἢν μὴ ἐκπυήσῃ. τὰ δὲ ἐν ὤμοισιν ἐκπυεῦντα, τοῖσι τηλικούτοισι γαλιάγκωνας ποιέει. Λύσειε δ᾽ ἂν καὶ ἑλκυδρίων κάτω ἔκθυσις, ἢν μὴ στρογγύλα καὶ βαθέα ᾖ. τὰ δὲ τοιαῦτα ὀλέθρια καὶ ἄλλως παιδίοισι. Καὶ αἷμα λύσειεν ἂν ῥαγέν. μᾶλλον δὲ τοῖσι τελειοτέροισιν ἐπιφαίνεται. Δάκρυον ἐν τοῖσιν ὀξέσι τῶν φλαύρως ἐχόντων. ἑκόντων μὲν, χρηστόν. ἀκόντων δὲ, παραῤῥέον κακόν. καὶ οἷσι περιτείνεται βλέφαρα, κακόν. κακὸν δὲ καὶ τὸ ἐπιξηραινόμενον, οἷον ἄχνη. καὶ τὸ ἀμαυρόν. καὶ αὐχμηρὸν, κακόν. καὶ οἱ ῥυτιδούμενοι ἔνδοθεν. καὶ οἱ πεπηγότες. καὶ οἱ μόλις στρεφόμενοι. καὶ οἱ ἐνδεδινημένοι, καὶ τἄλλα ὅσα παρεῖται. Πυρετοὶ, οἱ μὲν δακνώδεες τῇ χειρί. οἱ δὲ πρηέες. οἱ δ᾽ οὐ δακνώδεες μὲν, ἐπαναδιδόντες δέ. οἱ δ᾽ ὀξέες μὲν, ἡσσώμενοι δὲ τῆς χειρός. οἱ δὲ περικαέες εὐθέως. οἱ δὲ διὰ παντὸς βληχροί. ξηροί. οἱ δὲ ἁλμυρώδεες. οἱ δὲ πεμφιγώδεες ἰδεῖν δεινοί. οἱ δὲ πρὸς τὴν χεῖρα νοτιώδεες. οἱ δὲ ἐξέρυθροι. οἱ δὲ πελιοί. οἱ δὲ ἔξωχροι. καὶ τἄλλα τοιου-

τότροπα αἱ ξυντάσιες τοῦ σώματος. καὶ οἱ σκληρυσμοὶ τῶν ἄρθρων, κακόν. καὶ αὐτὸς διαλελυμένος, κακόν. καὶ αἱ κατακλάσιες τῶν ἄρθρων, κακαί. ὄμματος θράσος παρακρουστικόν. καὶ ἔῤῥιψις καὶ κατάκλασις, κακόν.

Τμῆμα δεύτερον.

Εὐρῦναι. στενυγρῶσαι. τὰ μὲν, ναί. τὰ δὲ μή. Χυμούς. τοὺς μὲν, ἐξάσαι. τοὺς δὲ, ξηράναι. τοὺς δὲ, ἐνθεῖναι. καὶ τῇ μὲν, τῇ δὲ μή. Λεπτῦναι. παχῦναι. τοῦ χρωτός. δέρμα. σάρκας. καὶ τἄλλα, καὶ τὰ μὲν, τὰ δὲ μή. Λειῶναι. τρηχῦναι. σκληρῦναι. μαλθάξαι. τὰ μὲν. τὰ δὲ μή. ἐπεγεῖραι. ναρκῶσαι. καὶ τἄλλα ὅσα τοιαῦτα. Παροχετεύειν. ὑπείξαντα ἀντισπᾶν αὖ ἀντία, ἀντιτείνοντα ὑπεῖξαι. Ἄλλον χυμὸν μὴ τὸν ἰόντα ἄγειν. τὸν δὲ ἐόντα συνεκχυμοῦν. ἐργάσασθαι τὸ ὅμοιον. οἷον ὀδύνη ὀδύνην παύει. τὰ ἀνόμοια, ἢν ῥέπει ἄνωθεν ἀρθέντα, κάτωθεν λύειν. καὶ τὰ ἐναντία τοῦτα. οἷον κεφαλῆς κάθαρσις, φλεβοτομίη ὅτε οὐχ ἥκει, ἀφαιρέεται. αἱ ἀποστάσιες οἷον βουβῶνες. σημεῖον μὲν τῶν τὰ βλαστήματα ἐχόντων, ἀτὰρ καὶ ἄλλων. μάλιστα δὲ πρὸς τὰ σπλάγχνα. κακοήθεες δὲ οὗτοι. Πνεύματα σμικρά. πυκνά. μεγάλα. ἀραιά. σμικρά. ἀραιά. πυκνά. μεγάλα. ἔσω μεγάλα, ἔσω σμικρά. ἔσω μεγάλα ἔξω σμικρά. τὸ μὲν ἐκτεῖνον, τὸ δὲ κατεπεῖγον. διπλῆ ἔσω ἐπανάκλισις οἷον ἐπιπνέουσι θερμὸν ψυχρόν. Ἰητήριον ξυνεχέων χασμέων μακρόπνους. ἐν τοῖσιν ἀπόνοισι καὶ μόγις βραχύπνοις κατ' ἴξιν καὶ πλευρέων ὀδύνην. καὶ ξυντάσιες ὑποχονδρίων. καὶ σπληνὸς ἐπάρσιες. καὶ ἐκ ῥινῶν ῥήξιες. καὶ ὦτα κατ' ἴξιν. τούτων τὰ πλεῖστα ταῦτα καὶ ἐν ὀφθαλμοῖσι. πότερον ἦρα πάντα, ἢ τὰ μὲν κάτωθεν ἄνω κατ' ἴξιν, οἷα τὰ παρὰ γνάθους, ἢ παρ' ὀφθαλμὸν καὶ οὖς. τὰ δὲ ἄνωθεν κάτω οὐ κατ' ἴξιν. ἢ καὶ τὰ κατὰ τὸ ἧπαρ ἄνωθεν διαδύντα, οἷον τὰ ἐς ὄρχιας καὶ κίρσους. Σκεπτέα ταῦτα, ὅπη καὶ ὅθεν, καὶ διότι. Φλέβες κροτάφων οὐχ ἱδρυμέναι, οὐδὲ χλώρασμα λαμπρόν. ἢν πνεῦμα ἐγκαταλείπηται, ἢ βὴξ ξηρὴ μὴ θηριώδης, ἐς ἄρθρα στήριξιν προσδέχεσθαι δεῖ κατ' ἴξιν. τῶν ἐντασίων τῶν κατὰ κοιλίην ὡς ἐπὶ τὸ πουλύ. ἔχουσι δὲ οὗτοι οἱ πλεῖστοι, ἢ ἐξέρυθρα. καὶ τῇ φύσει τοῦ λευκοχλοωτέρου τρόπου. ἢ οὐκ αἱμοῤῥαγέουσι ῥῖνες, ἢ σμικρὰ αἱμοῤῥαγέουσι. ἢ ἢν μὲν ῥυέντων ἐγκαταλίπηται, ἑτοῖμον. Δίψα ἐγκαταληφθεῖσα ἢ σώματος ἐπιξηρασίη καὶ ἀηδίη, καὶ ἀκρισίη τοῦτον τὸν τρόπον. πυρετοὶ δὲ οὐκ ὀξέες οἱ τοιοίδε. ὑποστροφώδεες δέ. τὰ ἐγκαταλιμπανόμενα μετὰ κρίσιν, ὑποστροφώδεα. τὸ γοῦν πρῶτον σπληνῶν ἐπάρσιες, ἢν μὴ ἐς ἄρθρα τελευτήσῃ, ἢ αἱμοῤῥαγίη γένηται, ἢ δεξιοῦ ὑποχονδρίου ἔντασις, ἢν μὴ ἐξοδεύσῃ οὖρα. αὕτη γὰρ ἡ ἐγκατάληψις ἀμφοτέρων αἱ ὑποστροφαὶ τουτέων εἰκότως. ἀπόστασιν ἐς ποιέεσθαι αὐτῶν, μὴ γινομένας. τὰς δὲ, ἐκκλίνειν γινομένας. τὰς δὲ προσδέχεσθαι ἢν ἴωσιν, οἷαι δεῖ, καὶ ἢ δεῖ. ὁκόσαι δὲ μὴ σφόδρα, ξυνδρᾶν. τὰς δ' ἀποτρέπειν, ἢν πάντῃ ἀξύμφοροι ὦσι. μάλιστα δὲ ταύτας μελλούσας. εἰ δὲ μή, ἀρχομένας ἄρτι. αἵ τε ταρταῖαι αἱμοῤῥαγίαι δύσκριτοι. Οἱ διαλείποντες μίην, τῇ ἑτέρῃ ἐπιῤῥιγέουσιν ἅμα κρίσει, ἐκ τῶν πέντε, ἐς τὰς ἑπτά. ὅσοι τριταιοφυέες, τουτέοισιν ἡ νὺξ δύσφορος ἡ πρὸ τοῦ παροξυσμοῦ. ἡ δὲ ἐπιοῦσα, εὐφορωτέρη ὡς ἐπὶ τὸ πουλύ. Βῆχες ξηραί, βραχὺ ἐρεθίζουσαι ἀπὸ πυρετοῦ πρωϊναῖος, οὐ κατὰ λόγον διψώδεες. οὐδὲ γλῶσσαι κατεπεφρυγμέναι. οὐ τῷ θηριώδει ἀλλὰ τῷ πνεύματι, δῆλον δέ. ὅταν γὰρ διαλέγωνται ἢ χασμῶσι, τότε βήσσουσιν. ὅταν δὲ μή, οὐ. τοῦτο ἐν τοῖσι κοπιώδεσι μάλιστα πυρετοῖσι γίνεται. Μηδὲν εἰκῆ, μηδὲν ὑπερορᾶν. ἐκ προσαγωγῆς τἀναντία, ἃ προσάγειν καὶ διαναπαύειν. τῷ ὄπισθεν κεφαλῆς ὀδυνωμένῳ, ἡ ἐν μετώπῳ ὀρθὴ φλὲψ τμηθεῖσα, ὠφέλησεν. αἱ διαλέξιες τῶν ὑποχονδρίων, ἐς οἷον οἷα ἄλλοισι καὶ τῶν σπλάγχνων τῶν φλεγμονῶν, οἷα δύναται. ἔτ' ἐξ ἥπατος σπληνὶ καὶ τἀναντία, καὶ ὅσα τοιαῦτα. ἀντισπᾶν, ἢν μὴ ἢ δεῖ ῥέπει. ἢν δὲ ὅπῃ δεῖ, τουτέοισι δεῖ στομοῦν, οἷως ἕκαστα ῥέπει. τὰ πλατέα ἐξανθήματα, οὐ πάνυ τι κνησμώδεα, οἷα Σίμων εἶχε χειμῶνος. ὃς ὅτε πρὸς πῦρ ἀλείψαιτο, ἢ θερμῷ λούσαιτο, ὀνίνατο. ἔμετοι οὐκ ὠφέλεον. οἴομαι εἴ τις ἐξεπυρία, ἀνιέναι ἄν.

Ὅσα πεπαίνεσθαι δεῖ, κατακεκλεῖσθαι δεῖ. τἀναντία δὲ ξηραίνειν, καὶ ἀνεῶχθαι. οἷον ὀμμάτων ῥοωδέων, ἢν ἄλλως φαίνηται ξυμφέρειν, ἀντισπᾶν ἐς φάρυγγα, καὶ ὅπη ἔρευξις λυσιτελέει, καὶ ἄλλα τοιαῦτα. τὰς ἐφόδους ἀνιστομῶσθαι, οἷον ῥῖνας,

καὶ τὰς

καὶ τὰς ἄλλας, ὧν δεῖ. καὶ ὡς δεῖ. καὶ οἷα. καὶ ὅπῃ. καὶ ὅτε. καὶ ὅσον δεῖ, οἷον ἱδρῶτας καὶ τἄλλα δὴ πάντα. Ἐπὶ τοῖσι μεγάλοισι κακοῖσι πρόσωπον ἦν ἢ χρυσόν σημεῖον χρηστόν. ἐπὶ δὲ τοῖσι σμικροῖσι τἀναντία σημαῖνον ἢ εὖ, σημεῖον κακόν. Παρὰ τὸ μέγα οὖς ἡ γυνὴ ὄπισθεν τοῦ ἡρωΐου ἰκτερώδεος ἐπιγινομένου, παρέμενον αὐτέῃ. Ὁ παρὰ Τιμένεω ἀδελφιδῆς, οὗτος μελάγχρως. Ἐν Περίνθῳ τὸ γονοειδὲς τὸ τοιοῦτον ὅτι κρίσιμον. καὶ τὴν ἰητρῶν τὰ τοιαῦτα ὅτε αἱ οὐρήσιες ἐρύονται. ὅτι οὔτε φύσιος πολλῆς, οὔτε κόπρου πολλῆς, γλίσχρης δὲ διελθούσης, ἐλαπάσσετο. οὐ γὰρ δὴ μέγα ἦν τὸ ὑποχόνδριον. κράμβην ἑβδομαῖος ἔφαγεν. ἔτι δύσπνους ἐὼν, ἐπὶ τὸ ἧπαρ ἐλαπάσσετο, δυσύπνους ἐγένετο. ἡ κοιλίη αὐτῷ ἐξετίναξεν. περὶ δὲ τοῦ αἵματος τοῦ ἰχωροειδέος, ὅτι ἐν τοῖσι πτυώδεσι τὸ τοιοῦτον καὶ τοῖσιν ἠγρυπνηκόσι, ἤτε φλαῦρον, ἤτε χρυσόν. Οἷσιν ὁ σπλὴν ἐστὶ κατάῤῥοπος, πόδες καὶ γούνατα καὶ χεῖρες, θερμὰ, ῥῖνες καὶ ὦτα, ἀεὶ ψυχρά. ἆρα διὰ τὸ λεπτὸν τὸ αἷμα; ἆρα καὶ φύσει τοιοῦτον οὕτοι ἔχουσιν; Ἐν τοῖσιν ἐμπυήμασιν ὀμφαλὸς ὀρθὸς, οἷσι μέλλουσιν ἐμπυεῖν, αἱ κοιλίαι ἐκταράσσονται. Σπλὴν σκληρὸς, οὐ τὰ ἄνω. κάτω, στρογγύλος. πλατύς. παχύς. λεπτός. μακρός. Νόσον τοῖς ἀπὸ κεφαλῆς κορυζώδεσιν. Ἡ περὶ τὸν νοσέοντα οἰκονομίη. καὶ ἐς τὴν νοῦσον ἐρώτησις. ἃ διηγεῖται, οἷα, ὡς ἀποδεκτέον οἱ λόγοι τὰ πρὸς τὸν νοσέοντα. τὰ πρὸς τοὺς παρεόντας. καὶ τὰ ἔξωθεν. Ὅτι ἐν θερμοτέρῳ, τὸ ἐν τοῖσι δεξιοῖσι. καὶ μέλανες διὰ τοῦτο καὶ ἔξω αἱ φλέβες. μᾶλλον ξυνεκλείσθη. συνέστη. ὀξύτερον κινηθὲν, ἐμωλύνθη. καὶ βραδύτερον αὔξεται. καὶ ἐπὶ πλείω χρόνον, ὅτι ἐστερεώθη. καὶ χολωδέστερόν τε καὶ ἐναιμότερον ἢ, διὰ τὸ θερμότερον εἶναι τὸ χωρίον τῶν ζώων.

τμῆμα τρίτον.

Ἡ δέρματος ἀραιότης. ἡ κοιλίης πυκνότης. ἡ δέρματος σύνδεσις. ἡ σαρκῶν αὔξησις. ἡ κοιλίης νάρκωσις. ἡ τῶν ἄλλων ξύγχυσις. ἡ τῶν ἀγγείων ἀνακαθαρσίη. ἡ ἐγκεφάλου ἀνάλωσις. διὸ καὶ φαλακρότης. ἡ τῶν ὀργάνων κατάτριψις. ἡ καθαίρεσις. δρόμοισιν. ἡσυχίῃσιν. πάλῃσι. πολλοῖσι περιπάτοισι. τάχεσιν. οἷσιν ἔφθη μάζα τὸ πλεῖστον, ἄρτος ὀλίγος. καθαιρέσιος σημεῖον τὴν αὐτὴν ὥρην τῆς ἡμέρης φυλάσσειν. ἐξαπίνης γὰρ ἐρύεται. ἢ ὑφιέναι τῶν πόνων, ἢ ῥέεται. ὁμοίως γὰρ ὅλον ξυμπίπτει. ὅταν δὲ δὴ ξυμπέσωσιν, προσάγειν ὕεια ὀπτά. ὅταν δὲ πληρῶνται. σημεῖον αὖθις, τὸ σῶμα ἀνθηρὸν γίνεται. Ἐν γυμνασίοισι σημεῖον, ὁ ἱδρὼς ὁ ῥέων στάγδην. ὃς ἔξεισιν ὥσπερ ἐξ ὀχετῶν. ἡ σύμπτωσις ἐξ ἐπάρσιος. Ἡ γυνὴ ἣν πρῶτον ἐθεράπευσα ἐν Κράνωνι, σπλὴν οἱ φύσει μέγας. πυρετὸς, καυσώδης. ἐξέρυθρος. πενδύμα δεκάτῃ. ἱδρὼς τὰ πολλὰ ἄνω. ἀτὰρ τι καὶ κάτω τεσσαρεσκαιδεκάτῃ. Νόσον τοῖσιν ἀπὸ κεφαλῆς κορυζώδεσιν ἐπιπυρετήνωσιν ὡς οἶμαι, ὑποστροφαί. πᾶν τὸ ἐκπυέον ἀνυπόστροφον. οὗτος γὰρ πεπασμός. καὶ κρίσις ἅμα καὶ ἀπόστασίς ἐστιν. οἷσιν ὅταν ἀφροδισιάζωσι, φυσᾶται ἡ γαστὴρ, ὡς Δαμναγόρα. οἷσι δ' ἐν τούτῳ ψόφος, ὡς Ἀρκεσιλάῳ. τὸ φυσῶδες ξυνάντιον τοῖσι πτερυγώδεσι. καὶ γάρ εἰσι φυσώδεες. τὸ ψυχρὸν, πάνυ φλεβῶν ῥηκτικὸν καὶ βηχῶδες. οἷον χιὼν, κρύσταλλος. συστρεπτικὸν δέ. οἷον τὰ φυρεῖα, καὶ αἱ γογγρῶναι. συνάντιον, καὶ αἱ σκληρότητες. τὸ μετ' οὔρησιν σύναγμα, παιδίοισι μᾶλλον. ἦρ ὅτι θερμότερα;

τὰ σχήματα τὰ ῥιγίζοντα μᾶλλον, οἷον ὁ τὰ κλήματα τῇ χειρὶ πλέκων ἢ στρέφων, ὑπὲρ ὀδυνέων κατακείμενος, λαβόμενος πασσάλου ἄκρου ὑπερπεπηγότος ἔχετο, καὶ ἀρήϊσεν.

Ὃν δὲ ὀξετυπίης παρὰ τὴν γέφυραν εἶδον ἐγὼ. ῥιπτεῦντα σκέλεα. κνήμην ἑτέρην ἥκιστα ἐλεπτύνετο. μηρούς δὲ κάρτα. οὖρα, καὶ γονὴ οὐκ ἔχετο. Ὅσαι πτερυγώδεες φύσιες, πλευρέων δὲ ἀδυναμίην τῆς ἀφορμῆς, ἐπὶ τοῖσι καταῤῥόοισι τοῖσι κακοήθεσιν, ἢν ἔκκρισις ἔῃ, κἢν μὴ ἔῃ, κακόν. Ῥίγεα ἄρχεται γυναιξὶν μὲν, μᾶλλον ἀπὸ ὀσφῦος, καὶ διὰ νώτου. καὶ τότε ἐς κεφαλήν. ἀτὰρ καὶ ἀνδράσιν ὄπισθεν μᾶλλον ἢ ἔμπροσθεν. φρίσσομεν γὰρ τὰ ἔξωθεν μᾶλλον ἢ τὰ ἔνδοθεν τοῦ σώματος. οἷον πήχεων. μηρῶν. ἀτὰρ καὶ τὸ δέρμα ἀραιότερον. δηλοῖ δὲ ἡ θρίξ. ἀφ' ὧν δὲ ἄλλων ῥιγέουσιν ἴσως ἑλκέων, ἄρχεται ἀπὸ τῶν ἀγγείων.

Κεφάλαιον ἐκ τῆς γενέσιος. καὶ ἀφορμῆς. καὶ πλείστων λόγων, καὶ κατὰ σμικρὰ γινωσκομένων. συνάγοντα καὶ καταμανθάνοντα, εἰ ὁμοιά ἐστιν ἀλλήλοισι. καὶ εἰ μὴ ὅμοια ἀλλήλοις εἰσιν. ὡς ἐκ τῶν ἀνομοιοτάτων, ὁμοιότης γένηται μία. οὕτως ἂν ἡ ὁδός. οὕτω καὶ τῶν ὀρθῶς ἐχόντων, δοκιμασίη. καὶ τῶν μὴ, ἔλεγχος. Αἱμοῤῥαγίαι ἐκ ῥινῶν, ἢ τοῖσιν ὑποχλωρομέλασιν.

ῥομέλασιν, ἢ τοῖσιν ἐρυθροχόλοισιν, ἢ τοῖσιν ὑποχλώροισι. Βραχέα ὑφέντα, παχῦναι ξηρῶς. τοῖσι δὲ ἑτέροισι παχυσμοῖς, ἢ ὅσον. ξηρῷ δὲ δεῖ λευκῷ. οἷον κηκὶς στυπτηρία. Ἐπὴν ἀφροδισιάζειν ἄρξωνται, ἢ τραγίζειν, αἱμοῤῥαγέουσιν. Ἐν τοῖσι δὲ προσόδοισιν ἔστιν οἳ ἀποψοφέουσιν. οἷον Ἀρκεσίλαος. οἱ δὲ μέλλοντες ῥιγώσειν, ῥικνώδεες. οἱ δ' ἐπὴν προσέλθωσι, φυσῶνται κοιλίην. οἷον Δαμναγόρας. αἱ μεταβολαὶ φυλακτέαι. ὀλιγοσιτίη, ἄκοπον. ἄδιψον πίνοντι. πᾶς λεπτυσμὸς, χαλᾷ τὸ δέρμα. ἔπειτα περιτείνεται ἀνάθρεψις τἀναντία χρωτὸς ῥίκνωσις, ξυμπίπτοντος. ἔκτασις, ἀνατρεφομένου. τὸ ῥικνῶδες τὸ λεῖον ἑκατέρου σημεῖον. τὸ ὑπόχολον. τὸ ὑπέρυθρον. οὕτω τὸ καταπᾶσθαι μαζούς. ἰσχνοὺς δὲ ἀνεσπᾶσθαι καὶ περιτετάσθαι. καί τοι οὐκ ἄν τις οἴοιτο διὰ τοῦτο, ἀλλὰ σαρκωθέντος τοῦτο γενέσθαι. κλεῖς περιφανέες. φλέβες διαφανέες. πρόδικος τοὺς πυρεταίνοντας ἔκτεινεν. περιόδοισι. πάλῃσι. πολλοῖσι, πυρίῃ, κακόν, τὸ πυρετῶδες πολέμιον πάλῃσι. περιόδοισι, δρόμοισιν, ἀνατρίψει. αὐτοῖσι. πόνῳ πόνον. Φλεβῶν ἔρευθος. πελίωσις. χλωρότης. πλευρέων ὀδύναι λαπάραι. ἄδιψον συνέχειν, στόμα σιγᾶν, ἄνεμον ξὺν τῷ ποτῷ ψυχρὸν εἰσάγειν. Τὰς ἀφορμὰς ὁκόθεν ἤρξατο κάμνειν εἴτε κεφαλῆς ὀδύνη, εἴτε ὠτὸς, εἴτε πλευροῦ, σημεῖον οἱ ὀδόντες. καὶ ἐφ' οἷσι βουβῶνες. Τὰ γινόμενα ἕλκεα, καὶ φύματα κρίνοντα πυρετούς. οἷσι ταῦτα μὴ παραγίνεται ἀκρασίῃ. οἷσιν ἐγκαταλείπεται, βεβαιόταται καὶ τάχισται ὑποστροφαί. τὰ στρογγυλούμενα πτύαλα παρακρουστικὰ οἷα ἐν Πλινθῷ. οἱ αἱμοῤῥοΐδας ἔχοντες, οὔτε πλευρίτιδι, οὔτε περιπλευμονίῃ, οὔτε φαγεδαίνῃ, οὔτε δοθιῆσιν, οὔτε τερμίνθοισιν ἁλίσκονται. ἴσως δὲ οὐδὲ λέπραις. ἴσως δὲ οὐδὲ ἄλλῃσιν. ἰητρευθέντες γε μὴν ἀκαίρως συχνοὶ, τοῖσι τοιούτοισιν οὐ βραδέως ἑάλωσαν. καὶ ὀλέθρια οὕτω, καὶ ὅσαι ἄλλαι ἀποστάσιες. οἷον σύριγγες, ἢ ἕτεραι ἀποσκήψιες. ἐφ' οἷσι γινόμενα ῥύεται, τούτων προγινόμενα κωλύει, ἀλλ' οὐδὲ τόποι οὗτοι οἱ δεξάμενοι. ἢ πόνῳ. ἢ βάρει. ἢ ἄλλῳ τινὶ ῥύονται. ἀλλ' οἷσιν αἱ κοινωνίαι διὰ τὴν ῥοπὴν οὐκ ἔτι αἷμα ἔρχεται. ἀλλὰ κατὰ τοῦ χυμοῦ τὴν ξυγγένειαν τοιαῦτ' ἀποπτύουσιν. ἔστιν οἷσιν αἷμα ἀφίεσθαι ἐν καιρῷ ὧδε τούτοισιν. ἑτέροισι δὲ ὥσπερ ὧδε τούτοισι, τοῦτο οὐκ εἰκός. Κώλυσις ὧδε τοῖσιν αἱματώδεα πτύουσιν, ὥρη, πλευρῖτις, χολή.

τμῆμα τέταρτον.

Τὰ παρ' οὖς, οἷσιν ἀμφὶ κρίσιν γινόμενα μὴ ἐκπυήσει, τουτέων λαπασσομένων, ὑποστροφὴ γίνεται. κατὰ λόγον τῶν ὑποστροφέων, τῆς ὑποστροφῆς γινομένης, αὖθις αἴρεται καὶ παραμένει. ὥσπερ αἱ τῶν πυρετῶν ὑποστροφαὶ ἐν ὁμοίῃ περιόδῳ. ὧδε τούτοισιν ἐλπὶς, εἰς ἄρθρα ἀφίστασθαι. οὖρον παχύ. λευκόν. οἷον τὸ τοῦ ἀμφιγγύεος ὧδε τοῖσι κοπιώδεσι τεταρταίοισιν ἔστιν ὅτε ἔρχεται καὶ ῥύεται τῆς ἀποστάσιος. ἢν δὲ πρὸς τούτῳ αἱμοῤῥαγήσῃ ἀπὸ ῥινῶν ἱκανῶς, καὶ πάνυ. Ὧ τὸ ἔντερον ὧδε δεξιὰ ἀρθριτικὸς ἐγένετο, ἦν ἡσυχώτερος. ὧδε δὲ τούτῳ ἰητρευθῇ ὧδε πονηρότερος. Ἡ Ἀγάσιος, κόρη μὲν ἐοῦσα, πυκνοπνεύματος ἦν. γυνὴ δὲ γινομένη, ἐκ τόκου οὐ πάλαι ἐπίπονος ἐοῦσα, ἐπιπολαίως ἦρεν ἄχθος μέγα. αὐτίκα μὲν ψοφῆσαί τι ἔδοξε κατὰ τὸ στῆθος. τῇ ὑστεραίῃ, ἆσθμα τε εἶχε καὶ ἤλγει ἰσχίον τὸ δεξιόν. ὁπότε τοῦτο πονέοι, ἐπόνει τότε. καὶ τὸ ἆσθμα εἶχε. παυσαμένου δὲ, ἐπαύσατο. ἔπτυσεν ἀφρώδεα. ἀρχομένη δὲ, ἀνθηρά. καταστάντα δὲ, ἐμέσματι χολώδει ἐῴκει λεπτῷ. οἱ πόνοι μάλιστα μὲν, ὁπότε πονοίη τῇ χειρί. ταύτην εἴργεσθαι, σκορόδου. χοιρείου, ὄϊος. βοός. ἐν δὲ τοῖσι πενομένοισι, βοῆς. ὀξυθυμίης. Ὧ ἐν τῇ κεφαλῇ ἐγένετο. ἔπαρμα πρῶτον, ἡ στυπτηρίη ἡ κεκαυμένη ἐνήρμοσεν. εἶχεν ἄλλην ἀπόστασιν ἴσως ὅτι ὀστέον ἔμελλεν ἀποστήσεσθαι. ἀπέστη ἐξηκοσταῖον, ὑπὲρ τοῦ ὠτὸς ἄνω πρὸς κορυφὴν τὸ τρῶμα ἦν. τὰ κόλα ἔχει οἷα κυνός μείζω δὲ ἤρτηται ἐκ τῶν μεσοκόλων. ταῦτα δὲ ἐκ νεύρων ἀπὸ τῆς ῥάχιος ὑπὸ τὴν γαστέρα.

αἱ τοῖσι κάμνουσι χάριτες. οἷον τὸ καθαρίως δρᾶν, ἢ ποτὰ, ἢ βρωτὰ, ἢ ἃ ἂν ὁρᾷ μαλακῶς ὅσα ψαύῃ. ἄλλαι. ἃ μὴ μεγάλα βλάπτει ἢ μὴ εὐανάληπτα. οἷον ψυχρὸν ὅκου τοῦτο δεῖ. ἄλλαι. εἴσοδοι. λόγοι. σχῆμα. ἐσθής. τῷ νοσέοντι. κουρή. ὀνύχων. ὀδμαί. Ὕδωρ ἀφεψηθέν. τὸ μὴ ὡς δέχηται τὸν ἠέρα. τὸ δὲ μὴ ἔμπλεων εἶναι καὶ ἐπίθημα ἔχειν. ὅτι δὴ αἱμοῤῥαγιῶν ἐξυδεροῦνται, ἢ οἷα δεῖ καθαίρωνται, καὶ εὐφόρως φέρουσιν. Ἐν Αἴνῳ ὀσπριοφαγέοντες ξυνεχέως θήλεα. ἄῤῥενα, σκελέων ἀκρατέες ἐγένοντο καὶ διετέλεον. ἀτὰρ καὶ ὀροβοφαγέοντες γονυαλγέες. Ἐμφανέως, ἐγρηγόρως, θερμότερος τὰ ἔξω, τὰ ἔσω δὲ ψυχρότερος

χρότεροι. καθεύδειν τἀναντία. Ἐνθέρμῳ φύσει ψύξις. ποτὸν ὕδωρ, ἐλινύειν. Ὕπνος ἐν ψύχει ἐπιβεβλημένῳ. Ὕπνος ἑδραῖος, ὀρθῷ νυσταγμός. αἱ ἀσθενέες δίαιται, ψυχραί. αἱ δ' ἰσχυραί, θερμαί. Ὑδάτων ἀτεχνέων, τὸ μὲν ἀπὸ τοῦ αἰθέρος ἀκρειβόν. βρονταῖον. ὡραῖον. τὸ δὲ λαιλαπῶδες, κακόν. Ὕδωρ βορόν. καὶ ἀγγυτωνίη βορόν. Ἐνθέρμῳ φύσει, καὶ θερμῇ ὥρῃ. κοίτη ἐν ψύχει παχύνει. ἐν δὲ θερμῷ, λεπτύνει. ἄσκησις ὑγιείης. ἀκορίη τροφῆς. ἀοκνίη πόνων. Ἐν τῷ ἐγρηγορέναι δίψης ἐπιπολαίου, ὕπνος ἄκος. τῆς δὲ ἐξ ὕπνου διέγερσις. οἷσι πλεῖστον τὸ θερμόν, μεγαλοφωνότατοι. καὶ γὰρ ψυχρὸς ἀὴρ πλεῖστος. δύο δὲ μεγάλων, μεγάλα καὶ τὰ ἔκγονα γίνεται. οἱ θερμοκοίλιοι, ψυχρόσαρκοι καὶ λεπτοί. οὗτοι ἐπίφλεβοι. καὶ ὀξυθυμότεροι. αὐχμοῦ ἐπὶ γῆς, οἰωνῶν γένος ἐνθυμεῖ. τράγος ὁκότερος ἂν φανῇ ἔξω. ὄρχις δεξιός, ἄρσεν. εἰ δὲ εὐώνυμος, θῆλυ. ὀφθαλμοὶ ὡς ἂν ἰσχύωσιν, οὕτω καὶ γυῖον. καὶ χροιὴ ἐπὶ τὸ κάκιον ἢ ἄμεινον ἐπιδιδοῖ. δίκαιον δὲ ὡς ἂν ἔχῃ ἡ τροφή, οὕτω καὶ τὸ ἔξω ἔσεσθαι. Σημεῖα θανατώδη. ἀνὰ δέρμα, ῥῖνα, θερμὸς ἀτμός. πρότερον δὲ ῥίς, ψυχρὸν πνεῦμα ἀφίησιν. τὰ ζωτικὰ ἐναντία. πόνοι σιτίων ἡγείσθωσαν.

Τμῆμα πέμπτον.

Νούσων φύσιες ἰητροί. Ἀνευρίσκει ἡ φύσις αὐτὴ ἑωυτῇ τὰς ἐφόδους οὐκ ἐκ διανοίης. τὰ μὲν οἷον τὸ σκαρδαμύσσειν. τὰ δὲ καὶ ἡ γλῶσσα ὑπουργέει, καὶ ὅσα ἄλλα τοιαῦτα. ἀπαίδευτος ἡ φύσις ἐοῦσα, καὶ οὐ μαθοῦσα τὰ δέοντα ποιέει. Δάκρυα. ῥινῶν ὑγρότης. πταρμοί, ὠτὸς ῥύπος. στόματος. σιάλου ἀναγωγή. πνεύματος. εἴσοδος. ἔξοδος. χάσμη. βήξ. λύγξ. οὐ τοῦ αὐτέου πάντα πᾶσι τρόπου. οὔρου ἄφοδος καὶ φύσης καὶ ταύτης τῆς ἑτέρης τροφῆς καὶ πνοιῆς. καὶ τοῖσι θήλεσιν, ἃ τούτοισι καὶ κατὰ τὸ ἄλλο σῶμα. ἱδρῶτες. κνησμοί. σκορδινιασμοί. καὶ ὅσα τοιαῦτα. ἀνθρώπου ψυχὴ αἰεὶ φύεται μέχρι θανάτου. ἢν δὲ ἐκπυρωθῇ ἅμα τῇ νούσῳ καὶ ἡ ψυχὴ τὸ σῶμα φέρβεται. Νοῦσοι ξύντροφοι ἐν γήραϊ. καὶ διὰ πεπασμὸν λείπουσι. καὶ διὰ λύσιν. καὶ δι' ἀραίωσιν. Ἴησις ἀντίνοον μὴ ὁμονοεῖν τῷ πάθει. Τὸ ψυχρὸν καὶ ἐπικουρέει καὶ κτείνει ὁκόσα ἐκ θερμοῦ. Ὀξυθυμίη ἀνασπᾷ καρδίην καὶ πλεύμονα εἰς ἑωυτά. καὶ ἐν κεφαλῇ τὰ θερμά, καὶ τὸ ὑγρόν. ἡ δ' εὐθυμίη, ἀφίει καρδίην. Πόνος, τοῖσιν ἄρθροισι καὶ σαρκί. σῖτος, ὕπνος, σπλάγχνοισι. Ψυχῆς περίπατος φροντὶς ἀνθρώποισιν. Ἐν τοῖσι τρώμασι τὸ αἷμα ξυντρέχει. Βοηθητέον ὡς τὸ κενὸν πληρωθῆναι. ἢν οὖς ἀλγέῃ, εἴριον περὶ τὸν δάκτυλον ἑλίξας, ἐγχέειν ἄλειφα θερμόν. ἔπειτα ἐπιθεὶς εἴσω ἐν τῷ θέναρι τὸ εἴριον, τὸ οὖς ὑποτιθέναι, ὡς δοκέῃ τί οἱ ἐξιέναι. ἔπειτα ἐπὶ πῦρ ἐπιβάλλειν ἀπάτῃ. Γλῶσσα, οὖρον σημαίνει. χλωραὶ γλῶσσαι, χολώδεες. τὸ δὲ χολῶδες, ἀπὸ πίονος. ἐρυθραὶ δέ, ἀφ' αἵματος. μέλαιναι δέ, ἀπὸ μελαίνης χολῆς. αὖαι δέ, ἀπὸ ἐκκαύσιος λιγνυώδεος, καὶ μητρώου μορίου. λευκαὶ δέ, ἀπὸ φλέγματος. οὖρον, ὁμόχροον βρώματι καὶ πόματι, καὶ ὡς ἔσωθεν ἐόν. ὑπὸ τοῦ ὑγροῦ ξύντηξις. Γλῶσσα ὁμόχρους τῇσι ὑποστάσεσι, διὸ ταύτῃ γινώσκομεν τοὺς χυμούς. Ἢν ἁλμυραὶ σάρκες γινομένων, περισσώσιος σημεῖον. Ἢν τῶν μαζῶν αἱ θηλαί, καὶ τὸ ἐρυθρὸν χλωρὸν ᾖ, νοσῶδες τὸ ἄγγος.

ἀνθρώποις ὁ ἐν τοῖσιν ὠσὶ ῥύπος, ὁ μὲν γλυκύς, θανάσιμος. ὁ δὲ πικρός, οὔ. Χώρην μεταμείβειν σύμφορον, ἐπὶ τοῖσι μακροῖσι νουσήμασιν. τὰ ἀσθενέστερα σιτία, ὀλιγοχρονίαν βιοτὴν ἔχει. Κεδμάτων τὰς ἐν τοῖσιν ὠσὶν ὄπισθεν φλέβας, σχάζειν.

Λαγνείη τῶν ἀπὸ φλέγματος νούσων, ὠφέλιμον. Θερμοκοιλίοισιν ἰσχυρὰ ποτὰ ἢ βρωτά, ταρακτικά. Μελαίνης χολῆς, ὡς ὅμοιον αἱμοῤῥοΐδι. τὰς ἐπαυξέας νόσους, μῖξις. Ψύξις τὰ κατὰ κοιλίην σκληρύνει. μῖξις τὰ κατὰ τὴν γαστέρα σκληρύνει. Ἐλλέβορον πίνοντα θᾶσσον καθαίρειν ἢν θέλῃς, λούειν ἢ φαγεῖν. τὸ αἷμα ἐν ὕπνῳ, εἴσω μᾶλλον φεύγει. Ῥῖγος ἀπὸ τῆς ἄνω κοιλίης. πῦρ δὲ ἀπὸ τῆς κάτω μᾶλλον. Ἐπισπασμός, ἢν πνεύμων ξηρός. ἢ ὑγρὸν καῦμα ὑπέρεινον. ξηραίνει καὶ ὕπνος πουλύς. Ψυχρότατον βρῶμα, φακοί. κέγχροι. κολοκύνται. ἕλκεα ἐκφύουσιν, ἢν ἀκάθαρτος ἐὼν πονήσῃ. Γυνή, αἴξ, ἐλατήριον ἢ σικυὸν ἄγριον βεβρωκυῖαι, καὶ παιδίοισι κάθαρσις. ἐνθέρμῳ βρωθέν. ἔσωθεν ψύξις. ἔξωθεν πόνος. ἡλίῳ. πυρί. ἐσθῆτι, ἐν ὥρῃ θερινῇ. τῷ δὲ ἐναντίῳ, ὡς ἐναντίως. Βρώματα τὰ μὲν ταχέως κρατεῖται. τὰ δ' ἐναντίως.

Τμῆμα ἕκτον.

Σάρκες ὁλκή. καὶ ἐκ κοιλίης καὶ ἔξωθεν δῆλον ἡ αἴσθησις ὡς ἔκπνοον καὶ εἴσπνοον ὅλον τὸ σῶμα. Ἐνθερμότερον φλέβιον, αἵματος πλήθει, ἀνίσχει τὸ καυσῶδες. καὶ εὐθὺς ἀποκείνει. Καὶ οἷσι τὸ μὲν πῖον, χολὴ ξανθή. τὸ δ' αἷμα, μέλαινα. Γνώμης. μνήμης. ὀδμῆς τῶν ἄλλων. καὶ πείνης. ὀργάνων ἄσκησις. πόνοι. σιτία, ποτά. ὕπνος. ἀφροδίσια μέτρια. Ὁ ἐν ψυχροτέρῳ ἐν ψυχρῇ ὥρῃ καὶ χώρῃ, ἐνθερμότερος ἔσται. Ὀδυνέων τὴν ἐγγύτατα κοιλίην καθαίρειν. αἵματος δὲ κοιλίην διαιρεῖν. καῦσις. τομή. θάλψις. ψῦξις. πταρμοί. φυτῶν χυμοὶ ἐφ' ὧν τὴν δύναμιν ἔχουσι, καὶ κυκεὼν. κακούργων. γάλα. σκόροδον. οἶνος ἀπεζεσμένος. ὄξος. ἅλες. Ἄνθρωπος ἐκ κόπων, ἐξ ὁδοῦ. ἀδυναμίη. βάρος. ἀνέπτυεν. ἔβησε γὰρ ἐκ κρυφῆς. πυρετὸς ὀξὺς ὑποδάκνων πρὸς χεῖρα. δευτεραίῳ δέ, καρηβαρίη. γλῶσσα ἐπεκαύθη. ῥὶς ὀνυχογραφηθεῖσα. οὐκ ἡμορράγησεν. ἀριστερὸς σπλὴν μέγας καὶ σκληρός. ὠδυνᾶτο. Οἱ ὑπὸ τεταρταίων ἁλισκόμενοι, ὑπό τινος μεγάλης νούσου οὐχ ἁλίσκονται. ἢν δ' ἁλίσκωνται πρότερον, ἐπιγένηται δὲ τεταρταῖος, παύονται. Ἀνθ' οἵων αἱ νοῦσοι. Ἡ χολή. οἷον εἶπον περὶ τῶν ὀρνίθων, ὅτι χολώδεες. Ἡ θερμότης ἀφιμύντης σημεῖον. Οἱ ὄχλοι. αἱ δίοδοι. ὅτι τοῖσι παρακρούουσι, λήγουσιν ὀδύναι πλευρέων. ἔστι δ' οἷσι πυρετοί, ἔστι δ' οἷσιν οὔ. ἀλλὰ ξὺν ἱδρῶσιν. ἔστι δ' οἷσι σὺν ὄχλῳ. ἔστι δ' οἷσι, καρφαλέον καὶ περιτεταμένον τὸ δέρμα. καὶ ἁλμυρώδεες. Αἱ ναρκώσιες οἷαι ἐξ οἵων. καὶ οἷαι ὡς τὸ ἰσχίον. Δι' οὐάτων. ἐξ οὐάτων τὰ πολλὰ θνήσκει τριταῖα. οἷσι μὲν δέρματα περιτείνεται καρφαλέα καὶ σκληρὰ ἄνευ ἱδρῶτος, οἷσι δὲ καὶ χαλαρὰ ξὺν ἱδρῶτι, θνήσκουσιν. Ἐν τοῖσι παλιμβόλοισιν αἱ μεταβολαὶ ὠφελέουσι, τούτοισι μεταβάλλειν πρὶν κακοῦσθαι ἐς τὰ πρέποντα, οἷον Χερίωνι. τὰ ἐρεθιζόμενα, ἐξ οἵων τὰ κερχνώδεα θεῖον. οἷσι μὲν ὑγιὲς καταλείπεται, κάτω ὑφειμένης τῆς προφάσιος, ἢ καθαίρων, ἢ ἀποδέων, ἢ ἐκβάλλων, ἢ ἀποτάμνων, ἢ ἀποκαίων ἔσω. οἷσι δὲ μή, οὔ. οἷσιν αἷμα ῥεῖ πολὺ ἐκ ῥινῶν, οἷσι μὲν ἄχροοι ἄκρητοι, τούτοισιν ὀλίγα ἀρήγουσιν. οἷσι δὲ ἐξέρυθροι χρῶτες, οὐχ ὁμοίως. καὶ οἷσι κεφαλαὶ δύσφοροι, ἀρήγει. οἷσι δὲ μή, οὔ. οἷσι ῥῖνες ὑγρόταται φύσει, καὶ ἡ γονὴ ὑγροτέρη καὶ πλείων, ὑγιαίνουσιν οὗτοι νοσηλότερον. τοῖσι πλείστοισι δὲ οἷσιν ὑπὸ νόσου, τἀναντία. τὰ στρογγυλούμενα πτύαλα, παρακρουστικά. οἷον τῷ ἐν Πλινθίῳ, τούτῳ ἡμορράγησεν ἐξ ἀριστεροῦ, καὶ ἐλύθη πεμπταίῳ. οὖρον πολλὴν ὑπόστασιν ἔχον, ῥύεται τὰς παρακρούσιας, οἷον καὶ τὸ τοῦ Δεξίππου μετὰ μάθησιν οὐ πρόσω ἐνιαυτοῦ τεταρταῖος. ὦτα τοῦ θέρεος ῥήξιδα πεμπταίοισιν. ἔστι δ' ὅτε καὶ μακρότερα τὰ παρὰ τὰ οὖλα καὶ αἱ κατὰ ῥῖνας ἐμπυήσιες.

οἷσιν ἤδη ὀδόντων ὀδύνης ἀπὸ ὀφρύος λεπτὰ ἔρχεται, τούτοισιν ἀπὸ πεπορέως, εὖ ἐνδραθένος, παχύτερα τῇ ὑστεραίῃ ἔρχεται, ἢν καὶ τὰ ἄλλα μὴ κρατήσῃ. Ἡγησίππου γὰρ τὸ ὑπνικὸν ἐν τοῦθεν, οὐκ ἐκράτησεν, ἀλλὰ μᾶλλον καὶ προσεκαλέσθη βιαιότερον. τὴν ἀπὸ κεφαλῆς ὀστέων φύσιν, ἔπειτα νεύρων, καὶ φλεβῶν, καὶ σαρκῶν, καὶ τῶν ἄλλων χυμῶν, καὶ τῶν ἄνω καὶ τῶν κάτω κοιλιῶν, καὶ γνώμης, καὶ τρόπων, καὶ τῶν κατ' ἐνιαυτὸν γινομένων. ὥρῃ τινὶ τότ' ἤδη πρωϊαίτερον τοῦ ἔτεος, οἷον ἐξανθήματα καὶ τὰ τοιαῦτα, ὅμοιον τοῖσι καθ' ἡμέρην πρωϊαίτερον λαμβανομένοισιν, ἢ ὀψιαίτερον. ὡσαύτως τὸ ἐπίχολον, καὶ ἔναιμον σῶμα μελαγχολικόν, μὴ ἔχον ἐξερρώσιας. Λυκίνῳ τὰ ὕστατα σπλὴν μέλας ὀδυνώδης, ἐν τῇ τετάρτῃ ἢ τῇ πέμπτῃ.

Τμῆμα ἕβδομον.

Βῆχες ἤρξαντο, περὶ ἡλίου τροπὰς τὰς χειμερινάς. ἢ πέμπτῃ καὶ δεκάτῃ, ἢ εἰκοστῇ ἡμέρῃ, ἐκ μεταβολῆς πυκνῆς νοτίων καὶ βορέων. καὶ χιονωδέων. ἐκ τούτων τὰ μέν, βραχύτερα. τὰ δέ, μακρότερα ἐγίνετο. καὶ περιπλευμονικὰ συχνὰ μετὰ ταῦτα. πρὸ ἰσημερίης αὖθις ὑπέστρεφε τοὺς πλείους ὡς ἐπὶ τὸ πολὺ τεσσαρακονταίους ἀπὸ τῆς ἀρχῆς. καὶ τοῖσι μέν, βραχέα πάνυ καὶ εὔκρητα ἐγίνετο. τοῖσι δέ, φάρυγγες ἐφλέγμαινον. τοῖσι δέ, κυνάγχαι. τοῖσι δέ, παραπληγικά. τοῖσι δέ, νυκτάλωπες. μᾶλλον δὲ παιδίοισι. περιπλευμονικὰ δέ, πάνυ βραχέα ἐγένετο. φάρυγγες ἢ βήξασι τὸ ὕστερον. ἢ πάνυ βραχὺ ἀντὶ τῆς βηχὸς ἐγίνοντο. φάρυγγες δέ, βραχέαι. μᾶλλον δέ, νυκτάλωπες. κυνάγχαι δὲ καὶ παραπληγικά, ἢ σκληρὰ καὶ ξηρά, ἢ σμικρά, καὶ ὀλιγάκις ἀνάγουσαι πέπονα. ἔστι δ' οἷσι καὶ κάρτα. οἱ μὲν οὖν ἢ φωνῇσι

πλέον

πλέον ταλαιπωρήσαντες, ἢ ῥιγώσαντες, εἰς κυνάγχας μᾶλλον ἐτελεύτων. οἱ δὲ τῇ χειρὶ πονήσαντες, ἐν χεῖρας μόνον παραπληγικοί. οἱ δ' ἱππεύσαντες ἢ πλέω ὁδοιπορήσαντες, ἢ ἄλλο τι τοῖσι σκέλεσι ταλαιπωρήσαντες, τουτέοισι δὲ ἐν ὀσφύϊ ἢ σκέλεα ἀκρασίαι παραπληγικαί. καὶ ἐν μηροὺς καὶ κνήμας, κόπος καὶ πόνος. σκληρόταται δὲ καὶ βιαιόταται, αἱ ἐν τὰ παραπληγικὰ ἄγουσαι. πάντα δὲ ταῦτα ἐπὶ τῇσιν ὑποστροφῇσιν ἐγένετο. ἐν ἀρχῇσι δὲ οὐ μάλα. πολλοῖσι δὲ τούτων, ἀνῆκαν μὲν αἱ βῆχες ἐν τῷ μέσῳ. ἐξέλιπον δὲ τελέως οὔ. ἀλλὰ συνῆσαν τῇ ὑποστροφῇ. οἷσι φωναὶ ἀπερρήγνυντο ἐν τῷ βηχώδεες, τούτων οἱ πλεῖστοι οὐδὲ ἐπυρέταινον. οἱ δὲ τινὲς, βραχέα. ἀτὰρ οὐδὲ περιπλευμονικὰ ἐγίνετο τούτων οὐδενὶ, οὐδὲ παραπληγικὰ, οὐδὲ ἄλλο οὐδὲν ἐσημάνθη, ἀλλ' ἐν τῇ φωνῇ μόνῃ ἐκρίνετο. τὰ δὲ νυκταλωπικὰ, ἱδρύετο, ὡς καὶ τὰ ἐξ ἄλλων προφασίων γινόμενα. ἐγίνετο δὲ νυκταλωπικὰ, τοῖσι παιδίοισι μάλιστα. ὀμμάτων δὲ τὰ μέλανα ὑποποίκιλα, ὅσα τὰς μὲν κόρας σμικρὰς ἔχει. τὸ δὲ ξύμπαν, μέλαν ὡς ἐπὶ τὸ πολύ. μεγαλόφθαλμοι δὲ μᾶλλον. καὶ οὐ σμικρόφθαλμοι. καὶ ἰθύτριχες οἱ πλεῖστοι. καὶ μελανότριχες. γυναῖκες δὲ οὐχ ὁμοίως ἐπόνησαν ὑπὸ τῆς βηχὸς, ἀλλ' ὀλίγαι τε ἐπυρέτηναν. καὶ τούτων πάνυ ὀλίγαι ἐν τὸ περιπλευμονικὸν ἦλθον, καὶ αὗται πρεσβύτεραι, καὶ πᾶσαι περιεγένοντο. ἠτιώμην καὶ τὴν ἔξοδον, καὶ τὸ μὴ ἐξιέναι ὁμοίως ἀνδράσι, καὶ ὅτι οὐδαμῶς ὁμοίως ἀνδράσιν ἁλίσκονται. κυνάγχαι δὲ ἐγίνοντο μὲν καὶ ἐλευθέρῃσι διοςῆσι. καὶ αὗται τοῦ εὐηθεστάτου τρόπου. περισσοτέρως δὲ δούλῃσι. ὅσῃσί τε ἐγίνοντο βιαιόταται, καὶ ταχύταται ἀπώλλυντο. ἀνδράσι δὲ πολλοῖσιν ἐγίνοντο. καὶ οἱ μὲν, διέφυγον. οἱ δὲ, ἀπώλλυντο. τὸ δὲ ξύμπαν, οἱ μὲν δυνάμενοι καταπίνειν μοῦνον, πάνυ εὐηθέα καὶ εὔφορα. οἱ δὲ καὶ διαλεγόμενοι πρὸς τούτοισιν ἀσαφέως, καὶ ὀχλωδέστερα, καὶ χρονιώτερα. οἷσι δὲ καὶ φλέβες αἱ περὶ κρόταφον καὶ αὐχένα ἐπαίροντο, ὑποπόνηρα. οἷσι δὲ καὶ πνεῦμα ξυνεμετεωρίζετο, κάκιστον. οὗτοι γὰρ καὶ ἐπεχλιαίνοντο. ὡς γὰρ γέγραπται, οὕτως αἱ ξυγκληρίαι τῶν παθημάτων ἦσαν. τὰ μὲν πρῶτα γεγραμμένα, καὶ ἄνευ τῶν ὕστερον γεγραμμένων, ἐγίνετο. τὰ δ' ὕστερον, οὐκ ἄνευ τῶν προτέρων. τάχιστα ἔθνησκον, ὅτε ἐπερριγώσειαν πυρετώδει ῥίγει. τούτους οὐδὲ ἀνασπάσει πιεζομένους, οὐδὲν ἄξιον λόγου ὠφέλει. οὔτε γαστρὸς ταραχῇ, οὔτε φλεβοτομίῃ. ὅσα ἐπειράθην. ἔταμον δὲ καὶ ὑπὸ γλῶσσαν. οὓς δὲ καὶ ἄνω ἐφαρμάκευσα. ταῦτα μὲν οὖν καὶ διὰ παντὸς ἐν τῷ θέρει. ὡς δὲ καὶ τὰ ἐπιρρηγνύμενα πάμπολλα. πρῶτον μὲν ἐν τοῖσιν αὐχμοῖσιν, ὀφθαλμίαι ἐπεδήμησαν ὀδυνώδεες. αἵματος φλεβῶν στάσιες. λιποθυμίη, σχῆμα, ἄλλη ἀπόληψις, μοτώματος ξυστροφή. πρόσθεσις. ἐπίδεσις. ἐβουβωνοῦτο τὰ πλεῖστα, διότι ἠπατῖτις. ἦν δὲ καὶ ἀπὸ ἀρτηρίης κακωθείσης κακὸν σημεῖον, οἷον Ποσειδωνίῃ. Οἱ αἱμορραγοῦντες τελευτῶντες, οὐκ ἐφίδρωσαν μέτωπον, ἀλλ' οἷα ξυμπεπηγότες. καὶ οἱ πνευματίαι. καὶ οἱ ὑπὸ ἱδρώτων ὀλλύμενοι, πονηρόν. Τῶν γαστέρων αἱ εὐφορίαι ταραχὴν φέρουσιν, οἷον Ποσειδωνίῃ. καὶ τὰ θηρία οἷα ἐνεποίει ἐν τῷ λεπτυσμῷ ἡ περίτασις πρὸ τῆς τελευτῆς. καὶ ὁ ὀμφαλὸς πρόσμακρος εἱλκύσθη αὐτῇ. καὶ οὔλων ἐφελκώσιες τῶν ἐπιόντων ἐπὶ ὀδόντα. ὅτι πολλὰ περὶ ἑκάστου ἐστὶν ὀρθῶς ἐντείλασθαι. τὰ μὲν, ταῦτα δυνάμενα. τὰ δὲ οὔ. οἷον δεῖ τὰ τοιάδε διαχυθῆναι. ἐπιλυθῆναι. καὶ ἐξαχθῆναι. καὶ σκληρυνθῆναι. καὶ πεπανθῆναι. καὶ ὅπου κλίνειν διώσασθαι. τοὺς ἀτολμέοντας δέον μεταβολῇ ἀνεγείρειν κατανεναρκωμένους, ἃ ὑστεραίουσιν. Ὑδατώδεας θᾶσσον τάμνειν. φθίνοντας, καίειν αὐτίκα. πρίειν κεφαλήν. τὰ τοιαῦτα τῶν ὑδατουμένων μὴ ψαύειν ἤτρου, μὴ δὲ τῶν ἔσω. ὅμοιον γὰρ τοῖσι πολλοῖσι γούνασι τὰ παρὰ καρδίην Ξενάρχῳ. καὶ θερμὸν ἅλες ἐμπνεῖν. καὶ τὸ ἕλκος ἀντὶ τῆς κνώσιος θάλπειν ἀρχῆθεν. Φωνὴ οἵη γίνεται ὀργιζομένοισιν, ἢν τοιαύτη ᾖ μὴ ὀργιζομένῳ, φύσει ᾖ. καὶ ὄμματα οἷα ἂν ᾖ φύσει ταραχώδεα οἷα ὅταν ὀργίζωνται οἱ μὴ τοιοῦτοι. καὶ τἄλλα κατὰ λόγον τῶν νούσων, οἷον τὸ φθινῶδες ποιέει, τὸ εἶδος. ἢν τοιοῦτος φύσει ὑπάρξῃ, ἐς τοιοῦτον νόσημα παρέσται. καὶ τἄλλα οὕτως. αἱ βῆχες κοπιώδεες καὶ ἅπτονται τῶν σιμαρθῶν. ἀτὰρ καὶ μάλιστα ἄρθρων. ἀτὰρ καὶ ἐν τοῖσι κοπιώδεσι πυρετοῖσι, βῆχες ξηραὶ γίνονται. αἱ ξηραὶ βῆχες, ἄρθρα στηρίζουσι ξὺν πυρετῷ, ἢν ἐγκαταλίπωνται. Τὰ πνεύματα τοῖσι φθινώδεσι τὰ ἄσημα, κακόν. καὶ τῇσιν ἀτόκοισι. καὶ ὅσα ἄλλα τοιαῦτα, ἀπὸ τῆς αὐτῆς κατασκευασίος. Τοῖσι φθίνουσι, τὸ φθινόπωρον κακόν. κακὸν δὲ καὶ τὸ ἔαρ, ὅταν τὰ τῆς

συκῆς φύλλα κορώνης ποσὶν ἴκελα ἦ. Ἐν περίνθῳ ἦρος οἱ πλεῖστοι ξυναίτιον. Βὴξ χειμερινὴ ἐπιδημήσασα, καὶ τοῖσιν ἄλλοισιν ὅσα χρόνια, καὶ γὰρ τοῖσιν ἐνδιαστοῖσιν ἐβεβαίωσαν. ἔστι δ' οἷσι τῶν χρονίων οὐκ ἐγγίνοντο, οἷον τοῖσι τὰς νεφριτικὰς ὀδύνας ἔχουσιν. ἀτὰρ καὶ τοῖσιν ἄλλοισιν. οἷον ὁ ἄνθρωπος ἐκεῖνος, πρὸς ὃν ὁ κυνίσκος ἤγαγέ με. τῶν ὀδυνέων καὶ ἐν πλευρῇσι καὶ στήθει καὶ τοῖσιν ἄλλοισι τὰς ὥρας εἰ μέγα διαφέρουσι καταμαθητέον. ὅτι ὅταν βέλτιον ἴσχωσιν, αὖθις κάκιον ἴσχουσιν οὐχ ἁμαρτάνοντες.

Τμῆμα ὄγδοον.

Ἐν τῇσι μακρῇσι δυσεντερίῃσιν, αἱ ἀποσιτίαι, κακόν. ἄλλως τε καὶ ἢν ἐπιπυρετήνωσιν. Τὰ περιμάδαρα ἕλκεα κακοήθεα. Ὀσφῦν ἀλγέοντι, ἀναδρομὴ ἐς τὸ πλευρόν. καὶ ἐκφύματα ἃ σὴψ καλεῖται. τὰ νεφριτικὰ οὐκ εἶδον ὑγιασθέντα, ὑπὲρ πεντήκοντα ἔτεα. τὰ ἐν τοῖσιν ὕπνοισι παροξυνόμενα. καὶ ὅσοις ἄκρεα περιψύχεται. καὶ ἡ γνώμη ταράσσεται. καὶ τἄλλα ὅσα περὶ ὕπνον τοιαῦτα, καὶ οἷσι τἀναντία. Ὁκόσοισι μὲν οὐδὲν ἔσω τοῦ τεταγμένου χρόνου ἑκάστῃσι τὰ τικτόμενα ἀπόγονα γίνεται. τὰ ἐπιφαινόμενα ἐν οἷσι μησὶ γίνεται. ὑπόνοιαι ἐν περιόδοισιν, ὅ,τι ἐν ἑπτὰ κινέεται, ἐν τριπλασίῃ τελειοῦται. καὶ ὅτι ἐν ἐννέα κινεῖται, ἐν τριπλασίῃ τελειοῦται. καὶ ὅτι μετὰ γυναικεῖα τὰ δεξιά. τὰ δ' ἀριστερὰ χάσκων, ὑγρότης διὰ τῶν ἀπιόντων διαίτης ξηρῆς. ὅτι δὲ τὸ θᾶσσον διακριθὲν, κινηθὲν αὖθις αὔξεται βραδύτερον. ἐπὶ πλείονα δὲ χρόνον οἱ πόνοι, τρίτῳ. πέμπτῳ. ἑβδόμῳ. ἐνάτῳ μήν. δευτέρῳ. τετάρτῳ. ἕκτῳ. τὰ ἐκ τοῦ σμικροῦ πινακιδίου σκεπτέα. Δίαιτα γίνεται πλησμονῇ. κενώσει. βρωμάτων. πομάτων. μεταβολαὶ τούτων οἷα ἐξ οἵων ὡς ἔχει. ὀδμαὶ τέρπουσαι. λυποῦσαι. πιμπλῶσαι. πειθόμεναι. μεταβολαὶ, ἐξ οἵων οἵως ἔχουσι τὰ ἀντιπίπτοντα. εἰσιόντα. ἢ ἐξιόντα πνεύματα, ἢ καὶ σώματα. Ἀκοαὶ κρείσσονες, αἱ δὲ λυποῦσαι. καὶ γλώσσης ἐξ οἵων οἷα προσκαλέεται. πνεῦμα ποσαύτη θερμότης. ψυχρότης. παχύτης. λεπτότης. ξηρότης. ὑγρότης. πεπληρωμένον. μεῖόν τε καὶ τὸ πλεῖον. ἀφ' ὧν αἱ μεταβολαὶ, οἷαι ἐξ οἵων ὡς ἔχουσι. τὰ ἴσχοντα. ἢ ὁρμῶντα. ἢ ἐνισχόμενα σώματα. λόγοις. σιγῇ. εἰπεῖν ἃ βούλεται. λόγοις οἷσι λέγει, ἢ μέγα, ἢ πολλοὶ ἀτρεκέες, ἢ πλαστοί. τὰ ἀπιόντα εἰδέναι ὅθεν ἤρξατο, ἢ ὅπῃ ἐπαύσατο, ἢ ὅσον διεπαύετο. χρώματά τε οἷσιν, ἢ θερμότητα, ἢ ἁλμυρότητα, ἢ γλυκύτητα, ἢ λεπτότητα, ἢ παχύτητα. ὁμαλῶς ἢ ἀνωμάλως. τὸ σῶμα. τὸν χρόνον. αἱ μεταβολαὶ, οἷαι ἐξ οἵων ἔχουσιν. ἤρξατο βρύξιν, οὐκ ἐκράτησε δάκρυα. ἑκόντι. ἀέκοντι. πολλά, ὀλίγα. θερμά. ψυχρά. πάχος. χόδισις. πτύαλον αὐτόθι ἀναχρεμπτόμενον, ἢ ἀναβήσσοντα. ἔμετος, ἡλίου θάλπος. ψύχος. τέγξις. ξηρότης. μεταβολὴ διὰ οἷα, ἐξ οἵων, ἐς οἷα ἔχει. πόνοι. ἀργίαι, ὕπνοι. ἀγρυπνίαι. τὰ ἐν ὕπνῳ ἐνύπνια. κοῖται. καὶ ἐφ' οἷσι, καὶ ὑφ' οἵων. καὶ τῆς γνώμης ξύνοια, αὐτῇ καθ' ἑαυτήν. χωρὶς τῶν ὀργάνων καὶ τῶν πρηγμάτων. ἄχθεται. καὶ ἥδεται. καὶ φοβεῖται. καὶ θαρσέει. καὶ ἐλπίζει, καὶ ἀδοξέει, οἷον ἡ Ἱπποθόου ἢ κοῦρος. τῆς γνώμης αὐτῆς καθ' ἑωυτήν. ἐπίσημος ἐοῦσα, τῶν ἐν τῇ νούσῳ ἐπιγενομένων. ἡλικίην μὲν ἡλικίης. καὶ ἢ πρότερον ἢ ὕστερον τοῦ δέοντος. οἷον εἰ παρελύθη ἐν χειμῶνι, καὶ γέροντι τὴν ἡλικίην, ἢ νηπίῳ. καὶ θερείης ἢ πρότερον ἢ ὕστερον τοῦ δέοντος. ὀδόντων ἐκβολαί. τριχῶν φύσιες. γόνος τὸ μᾶλλον καὶ ἧσσον. τριχῶν αὔξησις. παχυσμός. κρατυσμός. μινύθησις. τὸ ξυγγενές. καὶ τὸ καθ' ἑαυτό. ὅσῳ μᾶλλον καὶ ἧσσον τοῦ ἔτεος, ἢ ὥρη, ἐν ᾗ τε καὶ πρωΐτερον ἢ ὀψίτερον. ἢ ὥρη ἐν ᾗ ἐγεγόνει ἔπομβρος ἢ αὐχμηρή. ψυχρὴ ἢ θερμή. νήνεμος ἢ ἐπάνεμος. καὶ οἵων ἀνέμων. τῆς ὥρης ἐν ἀρχῇ ἢ μέσῃ. ἢ ἐσχάτῃ. ἢ διὰ παντός. παροιχομένης ἢ παρεούσης. ὥρη τῆς νόσου. ὁ χρόνος. τὰ ἐπιγενόμενα. αἱ περίοδοι, καὶ τῶν περιόδων αἱ μείζονες. καὶ αἱ διὰ πλείονος. αἱ ἐπιδόσιες. καὶ ἡ τῆς ἄλλης νούσου ἐπίδοσις. ἡ χάλασις. ἡ ἀκμή. καὶ τὸ μᾶλλον καὶ τὸ ἧσσον ἀποτελέουσαι. καὶ ὅτε. καὶ ὁποίως. καὶ ἐν οἵῃ ὥρῃ, καὶ ἡλικίῃ. τῶν ἐπιδημιουσέων νόσων οἱ τρόποι, καὶ εἴ τις τῶν ἀρχομένων ἄρξαιτο ἀνήμετος. οἷον ἢ πιόντες τι, καὶ τυχόντες, ἢ βραχὺ καθαιρόμενοι. πυρετώδεες ἴσως οἱ ἔκλευκοι. ὧν καὶ χείλεα οἷος ὁ πρόσωπος. οἱ χρόνοι. τὸ σῶμα. ἔργον. ἐς τὴν σκέψιν. ἄγειν. ὄψις. ἀκοή. ῥίς. ἀφή. γλῶσσα. λογισμός. καταμανθάνει, τὰ ἐν τοῖσι βλεφάροισι τοῖς ἄνω καταλειπόμενα οἰδήματα. τῶν ἄλλων περιχαινομένων ὑποστροφαί. ἐν δ' ἄκρῳ ὑπέρυθρα σκληρά. καὶ πάνυ τούτοισι γλίσχρα. καὶ ἀνιστάμενα. καὶ ἐνεχόμενα ἐν τούτοισιν, οἷον Φαρσάλῳ πολυμήδια. τὰ καταῤῥηγνύ-

μένα, οἰδήματα, ἢ πελιώματα, ἢ ἐπ' ὀφθαλμίαις ἢ ἕλκεσιν. ἀλλὰ γὰρ τὰ ἐκ τῶν φυμάτων καὶ ἐμπυημάτων καταφερόμενα. ὅτι σημεῖον ἀμφίδηλον, στρόφοι περὶ τὸν ὀμφαλόν. καὶ ὀδύναι ἔστιν ὅτε ἀπὸ πράσων. αὐτὰρ καὶ ἀπὸ σκορόδων τούτοισιν ὕστερον. ἐρυσίπελας τ' ἔστιν, οἷσιν ἀπὸ τραχήλου. καὶ περὶ ταῦτα ἐν προσώπῳ ἐκείνῳ, τὰ μέλανα. καὶ οἷσι τράχηλοι κακά. καὶ αἱ φλυκταῖναι κακά. καὶ οἷσι ταρακτικά. ὁ μελαγχολικὸς ὁ ἀδάμαντος ἀπὸ πεπλίων πλειόνων ἤμεσε ποτὲ μέλανα, ἄλλοτε ἀπὸ κρομμύων. Οἱ πυρετοὶ, ἐν οἷσιν ἐφελκοῦνται χείλεα ἴσως διαλιπόντες. καὶ τριταίοισι ψύξιες. οἱ δὲ περιηκέες αὐτίκα πρὸς τὴν χεῖρα λυόμενοι αἰεὶ οἷον ἔνεσιν ἐν τοῖσιν ἄρθροισι. σκεπτέον ἦρα οὐκ ἐμπυοῦνται. Ἔθος δὲ ἐξ οἵων ὑγιαινόμενοι. διαίτῃσι, σκέπῃσι. πόνοισιν. ὕπνοισι. ἀφροδισίοισι. γνώμῃ. Ὅπως τὰς νόσους ἀπό τινων τινὰ σχήματα. ἐφ' οὓς τόπους ἐτράποντο. ἤρχοντο. παρῆσαν. ἐπαύσαντο. ἐν οἷσιν ἀκρατὴς φοβερός. τὰ ἐναντία ἐν τῇ νούσῳ διαιτήματα. τὸ εὔφορον. τὸ δύσφορον. αἱ δίαιται. ὅσον γνῶναι μὴ ἐξειδῆσαι. συμφοραὶ γὰρ πολλαί. ἀγαθοῖσι δὲ ἰητροῖσιν, αἱ ὁμοιότητες. πλάνας καὶ ἀπορίας. ἀλλὰ τἀναντία ἡ πρόφασις οἵη. ὅτι χαλεπόν ἐστιν ἐκλογίσασθαι εἰδότα τὰς ὁδούς. οἷον εἰ φοξός. εἰ σιμός. εἰ ὑπόξηρος. εἰ χολώδης δυσήμετος. χολώδης μέλας. νέος, εἰκῆ βεβιωκώς. ἅμα ταῦτα πρὸς ἄλληλα. ξυνομολογήσασθαι χαλεπόν. ᾧ τὸ συνέγγιον ἐπανερρήγνυτο βηχία, ἐκώλυε διαμένειν. ᾧ ὁ λοβὸς τοῦ ἥπατος ἐπεπτύχθη διέσεισε, ἐξαίφνης ὁ πόνος ἐπαύσατο. Σάτυρος ἐν Θάσῳ, παρωνόμιον ἐκαλεῖτο γρυπαλώπηξ, περὶ ἔτεα ἐὼν πέντε καὶ εἴκοσιν, ἐξωνείρωσσε πλεονάκις. πρόει δ' αὐτῷ, καὶ δι' ἡμέρης πλεονάκις, γενόμενος δὲ περὶ ἔτεα τριάκοντα, φθινώδης ἐγένετο, καὶ ἀπέθανεν. Ἐν δὲ Ἀβδήροις ὁ παλαιστροφύλαξ, ὁ καὶ σθενεὸς λεγόμενος, παλαίσας πλέω πρὸς ἰσχυρότερον, καὶ πεσὼν ἐπὶ τὴν κεφαλὴν, ἀπελθὼν, ἔπιε ψυχρὸν ὕδωρ πουλύ. μετὰ δὲ ταῦτα ἐκείνης τῆς νυκτὸς, ἀγρυπνίη. δυσφορίη. ἄκρεα ψυχρά. τῇ δ' ὑστεραίῃ, εἰσῆλθεν εἰς οἶκον. καὶ τῇ κοιλίῃ βαλάνου προστεθείσης, οὐχ ὑπῆλθεν. οὔρησε δὲ σμικρόν. πρότερον οὐδὲν οὐρήκει. τὴν νύκτα, ἐλούσατο. οὐδὲν ἧσσον ἀγρυπνίη καὶ δυσφορίη. παρέκρουσεν. ἐόντι δὲ τριταίῳ, κατάψυξις ἀκρέων. ἐκθερμανθεὶς, ἵδρωσε. πιὼν δὲ μελίκρητον, ἀπέθανε τριταῖος. Οἱ μελαγχολικοὶ, καὶ ἐπιλημπτικοὶ εἰώθασι γίνεσθαι ὡς ἐπὶ τὸ πολύ. καὶ οἱ ἐπίλημπτοι, μελαγχολικοί. τούτων δὲ ἑκάτερον μᾶλλον γίνεται, ἐφ' ὁπότερα ἂν ῥέψῃ τὸ ἀρρώστημα. ἢν μὲν ἐς τὸ σῶμα, ἐπίλημπτοι. εἰ δὲ ἐπὶ τὴν διάνοιαν, μελαγχολικοί. Ἐν Ἀβδήροις, Φαέθουσα ἡ Πυθέου γυνὴ, ἡ κοῦρος ἐπίτοκος ἐοῦσα τοῦ ἔμπροσθεν χρόνου, τοῦ δὲ ἀνδρὸς αὐτῆς φυλάττοντος, τὰ γυναικεῖα ἀπελήφθη χρόνον πουλύν. μετὰ δὲ, ἐς ἄρθρα πόνοι καὶ ἐρυθήματα. τούτων δὲ ξυμβάντων, τό τε σῶμα ἠνδρώθη. καὶ ἐδασύνθη πάντα. καὶ πώγωνα ἔφυσε. καὶ φωνὴ τρηχέη ἐγενήθη. καὶ πάντα πραγματευσαμένων ἡμῶν ὅσα ἦν πρὸς τὸ τὰ γυναικεῖα κατασπάσαι, οὐκ ἦλθεν, ἀλλ' ἀπέθανεν, οὐ πολὺν μετέπειτα χρόνον βιώσασα. Ξυνέβη δὲ καὶ Ναμυσίῃ τῇ Γοργίππου γυναικὶ ἐν Θάσῳ, τὸ αὐτό. ἐδόκει δὲ πᾶσι τοῖσιν ἰητροῖσιν οἷσι κἀγὼ ἐνέτυχον, μία ἐλπὶς εἶναι, οὐ γυναικωθῆναι, εἰ τὰ κατὰ φύσιν ἔλθοι. ἀλλὰ καὶ ταύτῃ οὐκ ἠδυνήθη πάντα ποιούντων ἐπελθεῖν. ἀλλ' ἐτελεύτησεν οὐ βραδέως.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΔΗΜΙΩΝ ΒΙΒΛΙΟΝ Ζ'

M

Ετὰ κύνα οἱ πυρετοὶ ἐγένοντο ἱδρώδεες. καὶ οὐ περιεψύχοντο παντάπασι μετὰ τὸν ἱδρῶτα. πάλιν δὲ ἐπεθερμαίνοντο. καὶ μακροὶ ἐπιεικῶς. καὶ δύσκριτοι. καὶ οὐ πάνυ διψώδεες. ὀλίγοισιν, ἐν ἑπτὰ καὶ ἐννέα ἐπαύοντο. ἄλλοις ια, καὶ ιβ', καὶ ιδ, καὶ ιζ. Πολυκράτει πυρετὸς, καὶ τὰ τοῦ ἱδρῶτος οἷα γέγραπται. ἀπὸ φαρμάκου κάθαρσις κάτω σφόδρα, καὶ ἐγένετο κατὰ τοῦ πυρετοῦ οὕτως ἠπία, ὡς ἄδηλα καταστῆσαι, πλὴν ἐν κροτάφοισι. καὶ τὰ ἱδρώτια πρὸς δείλην, περὶ κεφαλὴν, τράχηλον, στήθεα. εἶτ' αὖθις καὶ ἐς ὅλην κοιλίην. καὶ πάλιν ἐπεθερμαίνετο. περὶ δὲ τὰς ιβ καὶ τὰς ιδ, ἐπέτεινεν ὁ πυρετός. καὶ ὑποχωρήσιες βραχέαι. ῥυφήμασι δὲ μετὰ τὴν κάθαρσιν ἐχρήσατο. περὶ δὲ τὰς ιε, ἀλγήματα γαστρὸς κατὰ σπλῆνα, καὶ κενεῶνα ἀριστερόν. θερμῶν προσθέσιες ἧσσον, ἢ ψυχρῶν ξυνέφερον. κλύσματι μαλθακῷ χρησαμένῳ, ἔληξεν ἡ ὀδύνη.

τὸ αὐτὸ δὲ καὶ Κλεοκύδει ξυνήνεγκε πρὸς ὀδύνην ὁμοίως ἔχουσαν καὶ πυρετόν. περὶ δὲ τὰς ἠπιώτεραι αἱ θέρμαι, ἐδόκεον εἶναι. καὶ ὑποχωρήσιες ἀκρήτου χολῆς. καὶ ἡ διάνοια θρασυτέρη. πνεῦμα δὲ μέτριον. ἔστι δ᾽ ὅτε καὶ ἅλες ἑλκύσας, πάλιν ἄθροον ἐξέπνει, ὥσπερ ὑπὸ ἀψυχίης. ἢ ὡς ἂν διὰ πνίγους πορευθεὶς ἐν σκιῇ καθεζόμενος ὅστις ἀναπνεύσειε. τῇ δ᾽ οὖν ιζ΄, ἑσπέρης καθεζόμενος ἐν δίφρῳ ἠψύχησε. καὶ ἄφωνος πουλὺν χρόνον. καὶ ἀναίσθητος ἔκειτο. μελικρήτου μόγις κατεδέξατο. ξυντείνων τὰς ἐν τῷ τραχήλῳ ἶνας, ὡς κατεξηραμμένης τῆς φάρυγγος, καὶ τῆς πάσης ἀδυναμίης παρεούσης. μόγις γοῦν ἐν τὸ ἑωυτοῦ ἐγένετο. καὶ αἱ θέρμαι ἠπιώτεραι. μετὰ ταῦτα ἐπαύσατο δευτέρῃ καὶ εἰκοστῇ. Πυθοδώρῳ περὶ τὸν αὐτὸν χρόνον, πυρετὸς ξυνεχής. ὀγδοαίῳ ἱδρὼς ἐγένετο. καὶ πάλιν ἐπεθέρμηνε. ι΄, πάλιν ἱδρώς. ιβ΄, ἐρρύφησε χυλόν. καὶ μέχρι ιδ΄ ἄδηλος ἦν. ἐν κροτάφοισι δὲ ἦν. ἄδιψος δὲ, καὶ αὐτὸς ἑωυτῷ ὑγιὴς ἐδόκεεν εἶναι. ἱδρῶτες ἐγίνοντο ἑκάστης ἡμέρης. ἐν δὲ τῇ ιε΄, ζωμίον νεοσσοῦ ῥυφέων, ἤμεσε χολήν. καὶ κοιλίη κάτω ἐξεταράχθη. καὶ ὁ πυρετὸς παρωξύνθη. πάλιν ἔληξε. καὶ ἱδρῶτες ἐγίνοντο πολλοί. καὶ τὸ σῶμα πᾶν περιεψυγμένον, πλὴν κροτάφων. σφυγμὸς οὐκ ἔλιπεν. ἐδόκει δὲ κοπάσαι ὀλίγον χρόνον, ὡς δόξα ἐπιθερμαίνειν. κδ΄, ἤδη ἀργευομένῳ σιτίων συχνὰς ἡμέρας, καὶ ἀεὶ στάσιν ἔχοντι, πολὺς ἦν ὁ πυρετός. καὶ πρὸς τὴν ἑσπέρην, παραλήρησις προσιόντι ἅμα καὶ ὕπνῳ. εἶχε γοῦν ἤδη, ξυνεχὴς καὶ ἰσχυρός. ὁτὲ μὲν, μίαν. ὁτὲ δὲ, δύο νύκτας ἄγρυπνος. τὸν δὲ λοιπὸν ἅπαντα χρόνον, κατακορὴς ὕπνος, ἐγείρειν ἔργον. καὶ παραλήρησις ἐν τῷ ὕπνῳ. καὶ ἐπεί ποτε ἐξ ὕπνου ἐγερθείη, μόγις αὐτὸς ἑωυτοῦ. ἄδιψος. καὶ τὸ πνεῦμα μέτριον. τοιοῦτον δὲ ἐνίοτε, οἷον Πουλυκράτει. γλῶσσα οὐκ ἄχρως. μετὰ δὲ ἑβδόμην τῆς ὑποστροφῆς, χυλοὶ προσεφέροντο. μετὰ δὲ ιδ΄, σιτίον περὶ τὰς πρώτας ζ΄, ἔρυγμα καὶ ἀπήμει. ἔστιν ὅτε μετὰ τοῦ ποτοῦ ὑπόχολον ἄνευ ἄσης, ἕως κάτω ἐλύθη ἡ κοιλίη. ἱδρῶτες ἐξ οὗ ὑπέστρεψεν ἐξέλιπον. εἰ μή τις ὅσον ὡς σημεῖον περὶ μέτωπον. γλῶσσα ἐκ τοῦ ὕπνου εἰ μὴ διακλύσαιτο ὑπότραυλος ὑπὸ ξηρότητος. καὶ ῥήγματα περὶ αὐτὴν ἑλκέων, καὶ ἐν χείλει τῷ κάτω, καὶ παρ᾽ ὀδόντας. μικραὶ ὑποχωρήσιες. περὶ ιε΄ ὡς ὑπέστρεψε, πυκνότεραι καὶ γλυώδεες. τὸ ἀπὸ τῶν σιτίων ἔπαυσεν αὐτάς. οὖρα οἷα τὰ πολυχρόνια. ὑπὸ δὲ τὸν τελευταῖον χρόνον ἄλγημα στήθεος καταπίνοντι τὸ ποτόν. καὶ ἡ χεὶρ ἐπὶ τῷ στήθει. κύμινον καὶ ᾠὸν ῥυφάνοντι κατέστη. ἡ γλῶσσα δὲ τὸ μανῶδες ξυνήνεγκε. ν΄ ἀπὸ τῆς α΄, περὶ ἀρκτοῦρον, ἱδρώτια κατ᾽ ὀσφὺν, καὶ στήθεα βραχέα. καὶ τὸ σῶμα περιεψύχετο πλὴν κροτάφων, ὀλίγον χρόνον πάνυ. πρώτῃ καὶ ν΄, ἐχάλασε. καὶ β΄, οὐκ ἔλαβεν. Ὁ Ἐρατολάου, περὶ φθινοπωρινὴν ἰσημερίην, δυσεντερικὸς ἐγένετο. καὶ πυρετὸς εἶχε. τὰ ὑποχωρήματα ἦν, χολώδεα, λεπτὰ, πολλὰ, καὶ ὕφαιμα μετρίως. ἡ δὲ ὀδύνη τῆς γαστρὸς, σφοδρή. ὀῤῥοποτήσαντι δὲ καὶ γαλακτοποτήσαντι ἐν γάλακτι πεπυρωμένῳ, μειότερα ἐγένετο τὰ ἀλγήματα καὶ τὰ ὕφαιμα. τὰ δὲ χολώδεα παρηκολούθει. καὶ ἀναστάσιες πυκναὶ, καὶ ἀραιώτεραι. τὸ πυρέτιον δ᾽ ἐδόκει ἀῤῥωστέοντι, καὶ τοῖσι πολλοῖσιν ὅλως μὴ ἔχειν διὰ παντὸς τοῦ χρόνου μετὰ τὰς πρώτας ἓξ ἡμέρας. οὕτως ἄδηλος ἦν. κατὰ κροτάφους δὲ σφυγμὸς ἦν. καὶ γλῶσσα ὑπὸ ξηρότητος ὑπότραυλος, καὶ διψώδης μετρίως, καὶ ἄγρυπνος. ῥυφήμασι δὲ ἤδη ἐχρῆτο, καὶ οἴνοισι. περὶ ιδ΄ ἐόντος ἡμέρας, ἤδη ἐγένετο τὰ παρὰ τοὺς ἐν μέρει καὶ παρ᾽ ἑκάτερον, σκληρὰ καὶ ἄπεπτα. πάντα ἐμολιώθη. ὀδυνώδεα δὲ μετρίως. οὐκ ἀπολληγόντων δὲ τῶν ὑποχωρημάτων, καταχόλων τε διὰ παντὸς ἐόντων, τὴν ἐν τῷ ἀλεύρῳ βοτάνην ῥυφέοντι, μειότερα τὰ χολώδεα καὶ τὰ ἀλγήματα ἐγένοντο μέχρι τινὸς χρόνου. ὑγρὰ δὲ πολλὰ πολλάκις. καὶ ἀπόσιτος σφόδρα. καὶ μετὰ πάσης ἀνάγκης προσδεχόμενος. τὰ δὲ τῆς θέρμης καὶ γλώσσης καὶ δίψης, τοιαῦτα παρηκολούθει, οἷα εἴρηται. καὶ ἱδρῶτες οὐδέν. λήθη δέ τις τοιαύτη. ἐρωτήσας ὅτι πύθοιτο σμικρὸν, καὶ διαλιπὼν, πάλιν ἠρώτα. καὶ ἔλεγεν αὖθις, ὡς οὐκ εἴη εἰρηκώς. καθεζόμενός τε ἐπελανθάνετο, εἰ μή τις ὑπομιμνήσκοι αὐτόν. καὶ αὐτὸς ἑωυτῷ ξυνῄδει τὸ πάθος. οὐδ᾽ ἠγνόει. πνεῦμα ὁποῖον ὑγιαίνοντι. ὑπὲρ δὲ τὰς λ΄ μέχρι τῆς μ΄, ἥτε ὀδύνη πουλὺ ἐπεδίδου τῆς γαστρός. ὕπτιός τε κατέκειτο. καὶ ἐπιστρέφεσθαι οὐδ᾽ ἐπὶ ποσὸν ἠδύνατο. τὸ δὲ εἶναι τὸ ἄλγημα δεινόν. ψωμίζειν ἄλλων δεῖ. ἡ δὲ ὑποχώρησις πουλλὴ, καὶ διακεκριμένη λεπτή. καὶ χρώματα οἰνωπὰ οἷα περ προσδέχοιτο. καὶ ὕφαιμά ἐστιν ὅτε. καὶ ὁ τόνος τοῦ σώματος. ἔκτηξις ἐσχάτη. καὶ ἀδυναμίη. οὐδ᾽ ἀνίστασθαι ἄλλου ἐπαίροντος ἔτι δυνατὸς ἦν. μέσον δὲ ὀμφαλοῦ καὶ χόνδρου κατὰ ταύτην τὴν καταγωγὴν ἁπτομένῳ τῇ χειρὶ, τοιοῦτος παλμὸς ἦν, οἷος οὐδὲ ὑπὸ δρόμου, οὔτε

ὑπὸ

ὑπὸ αἵματος περὶ καρδίην γεννηθείη. πίνοντι ἄπεφθον, ὡς ἐννέα ἀττικὰς κοτύλας ὄνειον ἐπὶ δύο ἡμέρας, χολώδης ἐγένετο σφόδρα ἡ κάθαρσις, καὶ ἔληξαν αἱ ὀδύναι. καὶ σιτίων ἐπιθυμίη ἐγένετο. μετὰ δὲ ταῦτα, βοείου γάλακτος ὡς τέσσαρας κοτύλας ἀττικὰς ὠμοῦ ἔπινεν, κατὰ δύο κυάθους, δι' ἡμέρης. πρῶτον ὕδατος τὸ ἕκτον μίσγων, καὶ μέλανος οἴνου. καὶ αὐστηροῦ μικρόν. ἐμονοσίτει δέ. ἑσπέρην ἄρτος ὡς ἡμιχοίνικος ἐγκρυφίης καὶ ἰχθύδιον πετραῖον ἀπλοῦ. ἢ κρεάδιον αἰγός, ἢ προβάτου. ἡ δὲ πόσις τοῦ γάλακτος, ἐπὶ τεσσαράκοντα ἡμέρας ἄνευ ὕδατος, μετὰ τὰς πρώτας δέκα ἡμέρας. οἴνου δέ, ὡς μικρὸν μέλανος μέρος. ἱδρώτιον δὲ ἐγένετο μετὰ τὰς ἑβδομήκοντα ἤδη ἀπὸ τῆς πρώτης μετὰ λουτρὸν ἐν νυκτί. ὀλιγοποσίη δὲ ἐχρῆτο. καὶ μετὰ τὸ σιτίον παρὰ ποτῷ, ἢ αὐστηροτέρῳ τῆς ἀλωσίμου. Κτησικράτει δὲ παρ' ἓν παρ' ἀλεύρῳ μᾶλλον τοῦ αἰγείου ὀῤῥοῦ ξυνήνεγκεν, ὀδύνης ἐούσης περὶ ὅλην τὴν κοιλίην. καὶ πόνων. καὶ ἀναστάσιος πολλῆς καὶ ὑφαίμου. καὶ ἐπάρματος περὶ τοὺς πόδας. χεδὸν ἤδη περὶ πέντε καὶ εἴκοσιν ἡμέρας, ἔοντα καὶ Ἀδριανῷ ταῦτα. τῷ δὲ Καινέου τὸ ὄνειον ἑφθόν. Τῷ Κύδιος περὶ χειμερινὰς ἡλίου τροπὰς ῥῖγος. καὶ πυρετός. καὶ ὠτὸς δεξιοῦ ἄλγημα. καὶ κεφαλῆς ὀδύνη. τὸ δὲ τοιοῦτον ἄλγημα εὐθὺς ἐκ μικροῦ παιδίου παρηκολούθει ῥευματῶδες. καὶ συριγγῶδες. καὶ ἔνοδμον. ἔχον δὲ οὕτω τὰ πολλὰ ἀνώδυνον ἦν. τότε δὲ ἡ ὀδύνη ἦν δεινή. καὶ ἡ κεφαλαλγίη δευτεραίῳ ἢ τριταίῳ ἐόντι, χολῆς ἔμετος ἀνακαθιζομένῳ ἐγένετο ὑπόχολον γλίσχρον, ὡς ἐξ ᾠοῦ ὕπωχρον. τετάρτῃ καὶ πέμπτῃ, ἐς νύκτα ὑποπαρελήρει. καὶ ἡ ὀδύνη τῆς κεφαλῆς καὶ τοῦ ὠτὸς δεινή. καὶ ὁ πυρετός. ἕκτῃ ὑποχώρησις ἀπὸ λινοζώστιος. καὶ ἡ θέρμη λῆξαι ἐδόκει καὶ ἡ ὀδύνη. τῇ ἑβδόμῃ ὡς ὑγιής, κροτάφῳ δὲ σφυγμὸς οὐκ ἔλιπεν. ἱδρῶτος οὐδὲν ἐγένετο. ὀγδόῃ, χυλοῦ ῥόφησιν. εἰς δὲ τὴν ἑσπέρην, σεύτλου. καὶ τὴν νύκτα ὕπνος. καὶ σφόδρα ἀνώδυνος. καὶ τὴν ἐνάτην ἤσθετο πρὸς ἡλίου δυσμάς. εἰς δὲ νύκτα τῆς κεφαλῆς δεινὴ ὀδύνη καὶ τοῦ ὠτός. ξυνέβαινε δὲ καὶ πυοῤῥοεῖν τὸ οὖς περὶ τοῦτον τὸν καιρόν, ὁπότε μάλιστα πονοίη εὐθὺς ἀπ' ἀρχῆς. ὅλην δὲ τὴν νύκτα τὴν ἐνάτην καὶ τὴν ἐπιοῦσαν ἡμέρην, καὶ τῆς νυκτὸς τὸ πλεῖον, οὐκ ἐπεγίνωσκεν οὐδένα. στένων δὲ διετέλει. ἡμέρην δὲ ἐν τοῖς ἑωυτοῦ ἐγένετο. καὶ αἱ ὀδύναι ἔληξαν, καὶ τὰ τῆς θέρμης μετριώτερα. ῥυφήσαντι δὲ λινοζῶστιν, τῇ ἑνδεκάτῃ ὑπεχώρησε φλεγματώδεα. μυξώδεα. κάκοδμα. δυοκαιδεκάτῃ, καὶ τρισκαιδεκάτῃ, μετρίως. τεσσαρεσκαιδεκάτῃ, ἀρξάμενος ἀφ' ἑωθινοῦ, μέχρι εἰς μέσον ἡμέρης, ἵδρου ὅλον τὸ σῶμα. μετὰ ὕπνου καὶ κώματος πολλοῦ, ἐγεῖραι ἔργον ἦν. πρὸς ἑσπέρην δὲ διηγέρθη. καὶ τὸ μὲν σῶμα μετρίως κατεψύχθη. ἐν κροτάφοισι δὲ σφυγμὸς διετέλει. πεντεκαιδεκάτῃ, καὶ ἑκκαιδεκάτῃ, χυλοῖσιν ἐχρήσατο. ἐν δὲ τῇ ἑπτακαιδεκάτῃ, ἧκε πάλιν εἰς νύκτα ὀδύνη τῶν αὐτῶν. καὶ παραλήρησις. καὶ ἐπυοῤῥόει. ιη καὶ ιθ καὶ εἰκοστῇ μανικῶς. ἦν δὲ κεκραγὼς ἐπαίρειν ἑωυτὸν πειρώμενος. οὐ δυνάμενος δὲ κρατεῖν τῆς κεφαλῆς, τῇσι χερσὶν ἐπορεγόμενος. καὶ αἰεί τι διακενῆς θηρεύων. πρώτῃ καὶ εἰκοστῇ καὶ ἱδρώτιον περὶ πλευρὸν δεξιόν, καὶ στήθεα, καὶ κεφαλήν. κβ, ἱδρώτιον περὶ τὸ πρόσωπον πλεῖστον ἦν. τῇ δὲ φωνῇ κατὰ τὸν χρόνον τοῦτον, εἰ μὲν σφόδρα ἀπεβιάσατο, εἶπεν ἃ ἐβούλετο τελέως. εἰ δ' οὖν προχείρως ἡμιτελέα. καὶ τὸ στόμα λελυμένον. καὶ αἱ γένυες, καὶ χείλεα αἰεὶ ἐν κινήσει, ὥστε θέλοντος λέγειν. καὶ τῶν ὀφθαλμῶν πυκνὴ κίνησις, καὶ ἔμβλεψις. καὶ χρῶμα ἐπ' ὀφθαλμοῦ δεξιοῦ. οἷον εἴρηται τὸ ὕφαιμον. καὶ βλέφαρον τὸ ἐπάνω ἐπῴδησε. καὶ κατὰ γνάθον ἔρευθος ἐπὶ τελευτῆς. καὶ φλέβες πᾶσαι αἱ ἐν τῷ προσώπῳ, φανεραὶ οὕτω ξυνεσταλμέναι. καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐκ ἔτι ξυμμύων ἦν, ἀλλ' ἀτενὲς ἐνορῶν καὶ διαίρων τὰ βλέφαρα εἰς τὸ ἄνω μέρος, ὡς ἐπήν τι ἐμπέσῃ εἰς τὸ ὄμμα. καὶ ὁπότε πίοι κατιόντος εἰς τὰ στήθεα καὶ τὴν κοιλίην, ψόφος εἴη καὶ χαρτάδει. πνεῦμα δὲ ἐπιεικὲς διὰ παντὸς μέτριον. γλῶσσα οἵη ἐστὶ τοῖσι περιπλευμονικοῖσιν, ὠχρόλευκος ἀπ' ἀρχῆς. καὶ διὰ παντὸς κεφαλαλγίη. τράχηλος διὰ παντὸς ἀκίνητος ξυμπεριάγειν τῇ κεφαλῇ ἐδεῖτο. καὶ τὸ κατὰ ῥάχιν ἐκ τραχήλου, ἰθὺ καὶ ἄκαμπτον. καὶ κλίσιες ὁποῖαι εἴρηνται. καὶ οὐκ αἰεὶ ὕπτιος. τὸ δὲ πύον ἤδη, ὀῤῥῶδες εἰς λευκόν. πολὺ ἔργον ὑποσπογγίσαι. ὀδμὴ ὑποβεβλημένη κατὰ τὸν τελευταῖον χρόνον. ποδῶν ἅψιος οὐ πάνυ καταισθανόμενος. Τῇ Ἁρπαλίδεω ἀδελφῇ περὶ τέταρτον μῆνα ἢ πέμπτον κυούσῃ, οἴδημα περὶ τοὺς πόδας ὑδατώδεα ἐγένετο. καὶ τὰ κύκλα τῶν ὀφθαλμῶν ἐπῴδει. καὶ ἅπαν τὸ χρῶμα, μετέωρον, οἷον τῇσι φλεγματίῃσι. βὴξ ξηρή. ὀρθοπνοίη δὲ καὶ ἆσθμα πνιγ-

τον. καὶ πνιγμοὶ ἔστιν ὅτε ὑπὸ τοῦ πνεύματος, ὥστε καθημένη διετέλει ἐπὶ τῆς κλίνης. κατακεῖσθαι δὲ οὐχ οἵη τε ἦν. ἀλλ' εἴ τις καὶ ὕπνου δόξα γίνοιτο, καθημένη ἦν. ἄπυρος δὲ ἐπιεικῶς. καὶ τὸ κύημα ἐπὶ πλεῖστον χρόνον ἀκίνητον ἦν, ὡς διεφθαρμένον, καὶ μετέπιπτε. παρηκολούθησε δὲ τὸ ἆσθμα, σχεδὸν δύο μῆνας. κυάμοισι δὲ χρωμένη μελιχροῖσι, καὶ μετὰ μέλιτος ἐλίξει, καὶ τοῦ αἰθιοπικοῦ κυμίνου πιοῦσα ἐν οἴνῳ, ῥᾳΐσε. μετὰ ταῦτα δὲ ἀνῆγε βήσσουσα πολλὰ, πέπονα, φλεγματώδεα, λευκά. καὶ τὸ πνεῦμα ἔληξεν. ἔτεκε δὲ γόνυ θῆλυ. Τῇ Πολυκράτεος θέρεος περὶ τὸ ἄστρον πυρετός. πνεῦμα τὸ ἑωθινὸν ἧσσον. ἀπὸ μέσου ἡμέρης μᾶλλον τὸ πνεῦμα, πυκνότερον μακρῷ. βὴξ καὶ ἀπόχρεμψις εὐθὺς ἀπ' ἀρχῆς, ὁμοίη πτυάδεσιν. ἔσω περὶ ἀρτηρίην καὶ φάρυγγα, ὑπεσύριζε κερχναλέον. πρόσωπον εὔχροον. ἐπὶ γνάθοισιν ἐρύθημα, οὐ κατακορὲς, ἀλλ' ἐπιεικῶς ἀνθηρόν. προϊόντος δὲ τοῦ χρόνου, καὶ ἡ φωνὴ βραγχώδης. καὶ τοῦ σώματος ξύντηξις. καὶ περὶ ὀσφὺν ἐκρήγματι. καὶ ἡ κοιλίη κατὰ τὸν τελευταῖον χρόνον ὑγροτέρη. ἑβδομηκοστῇ, ὁ πυρετὸς ἔξωθεν σφόδρα ἔψυχεν. ἐν δὲ τοῖσι κροτάφοισιν, ἡσυχίη. τὸ δὲ πνεῦμα πυκνότερον ἐγίνετο. μετὰ δὲ τὴν παῦσιν ταύτην, τὸ πνεῦμα πυκνότερον, οὕτως ὥστε καθημένη διετέλεσεν, ὥστε ἀπέθανεν. ἐν δὲ τῇ ἀρτηρίῃ, ψόφος πουλὺς ἐνῆν. καὶ ἱδρῶτες πονηροί. καὶ ἐμβλέψιες ἐμφρονώδεες σφόδρα, μέχρι τοῦ ἐσχάτου χρόνου. ἡμέραι δ' ἐπεγίνοντο αὐτῇ κατεψυγμένῃ, πλείους ἢ πέντε. μετὰ δὲ τὰς πρώτας διετέλει πυώδεα ἀποχρεμπτομένη. Τῇ ἄνω τῶν πυλέων οἰκεούσῃ, ἤδη οὔσῃ πρεσβυτέρῃ, πυρέτιον ἐγένετο. καὶ ἤδη ἀπολήγοντος τοῦ τραχήλου, ἄλγημα μέχρις ἐς ῥάχιν καὶ ὀσφῦν. καὶ οὐ πάνυ ἐγκρατὴς τούτων. γένυες δὲ ξυνηγμέναι, καὶ ἑωυτῆς ὀδόντας πλέον, ἢ μᾶλλον παρεῖναι. ἥ τε φωνὴ ψελλὴ διὰ τὸ παραλελυμένον, καὶ ἀκίνητον καὶ ἀσθενὲς εἶναι τὸ σῶμα. ἔμφρων δὲ χλιάσμασι καὶ μελικρήτῳ χλιερῷ. ἐχάλασε τριταίη σχεδόν. καὶ μετὰ ταῦτα χυλοῖσι καὶ ζωμοῖσιν ὑγιὴς ἐγένετο. ξυνέβη δὲ τελευτῶντος τοῦ μετοπωρινοῦ καιροῦ. Ὁ παρὰ Ἀρπαλίδῃ ἀλείπτης, ἀκρατέστερος σκελέων καὶ χειρῶν, περὶ φθινόπωρον γενόμενος, ἔπιεν ἐκεῖ φάρμακον, ἄνω καὶ κάτω. ἐκ δὲ τῆς καθάρσιος, πυρετός. καὶ ἐς τὴν ἀρτηρίην κατεῤῥύη τὸ τοιοῦτον. οἷον ἐπισχεῖν διαλεγόμενον. καὶ ἀσθμαίνειν ἐν τῷ διαλέγεσθαι. ὁμοίως κυναγχικῶς βραγχώδης. πνιγμὸς καταπίνοντι. καὶ ἄλλα κυναγχικά. οἴδημα δὲ οὐκ ἦν. ὁ δὲ πυρετὸς ἐπέτεινε καὶ ἡ βήξ. καὶ ἀπόχρεμψις ὑγροῦ καὶ πολλοῦ φλέγματος. προϊόντος δὲ, καὶ ὀδύνη ἐπὶ στῆθος καὶ μαζὸν ἀριστερόν. ὁπότε δὲ ἐξαναστείη ἢ μετακινηθείη ἆσθμα πολύ. καὶ ἱδρὼς ἀπὸ μετώπου, καὶ κεφαλῆς. καὶ τὰ περὶ τὴν φάρυγγα κατεῖχε. μαλακώτερον δὲ ἐς τὸ στῆθος τῆς ὀδύνης ἀπελθούσης. ἀπ' ἀρχῆς μὲν οὖν κυάμοισι μελιχροῖσιν ἐχρῆτο. ἐπεὶ δὲ οἱ πυρετοὶ ἐπεῖχον, μᾶλλον ὀξυμέλιτι θερμῷ, καὶ μέλιτος ἐλίξει πολλῇ. παρελθουσέων τεσσάρων καὶ δέκα ἡμερέων, ἅπαντα ἔληξε. καὶ τῶν περὶ χεῖρας καὶ σκέλεα οὐ πολὺ ὕστερον ἐγκρατὴς ἐγένετο.

Χαρτάδῃ, πυρετὸς καῦσος. ἔμετος χολῆς πουλύς. καὶ κάτω ὑποχώρησις. ἄγρυπνος. καὶ ἐπὶ σπλῆνα ἔπαρμα στρογγύλον ἐν αὐτῇ πρωῒ ἐξανίστη. ψόφου περὶ τὴν κοιλίην, ἄνευ ὀδύνης γινομένου, ὡς ἀφοδεύων δὲ ἦν, ὑπῆλθεν αἵματος πλέον, ἢ χοεὺς προσφάτου. καὶ μικρὸν ἐπισχόντι. καὶ τρίτον, πεπηγότες θρόμβοι. ἄσῃ δὲ περὶ τὴν καρδίαν. καὶ ἱδρώτιον σχεδὸν κατὰ ὅλον τὸ σῶμα. καὶ τὸ πυρέτιον, κατὰ ψύχην ἐδόκει. καὶ ἔμφρων τὸ πρῶτον. προϊούσης δὲ τῆς ἡμέρης, ἥ τε ἄση πλείω καὶ ἀλυσμός. καὶ πνεῦμα σμικρῷ πυκνότερον. καὶ θρασύτερον. καὶ φιλοφρονώτερον τοῦ καιροῦ προσηγόρευε, καὶ ἐδεξιοῦτο. καί τινες λειποψυχίαι ἐδόκεον ἐπιγίνεσθαι. προσφερόντων δέ τινων χυλοὺς καὶ τὸ ἀπὸ κριμνῶν ὕδωρ, οὐκ ἔληγεν. ἀλλὰ τὸ πνεῦμα πρὸς τὴν ἑσπέρην, ὑπόπολυ ἦν. καὶ ῥιπτασμὸς πολύς, καὶ ἐπὶ τὰ δεξιὰ καὶ ἐπὶ τὰ ἀριστερὰ, μεταῤῥίπτων ἑωυτὸν, οὐδένα χρόνον ἀτρεμίζειν δυνατὸς ἦν. πόδες ψυχροί. ἐν κροτάφοισι καὶ κεφαλῆς θέρμη μᾶλλον, ὑπ' ἐγγὺς τῆς τελευτῆς. καὶ ἱδρώτια πολλά. καὶ πίνοντι τὰ τοῦ ψόφου περί τε στήθεα καὶ κοιλίην, κατιόντος τοῦ πόματος. οἷον δὲ κάκιστον. φάμενος δὲ θέλειν τι ἑωυτῷ ὑπελθεῖν, καὶ ἀτενίσας τοῖς ὄμμασιν, οὐ πολὺ ἐπισχὼν, ἐτελεύτησεν. Τῇ Ἑρμοπτολέμου χειμῶνος ὥρῃ, πυρετός. καὶ κεφαλῆς ἀλγήματα. καὶ ὁπότε πίοι, ὡς χαλεπῶς καταπιοῦσα, ἐξανίστη. καὶ τὴν καρδίην ὑγιάζεσθαι ἔφη. γλῶσσα πελιδνὴ ἀπ' ἀρχῆς. ἡ δὲ πρόφασις ἐδόκει ἐκ φρίκης μετὰ λουτρὸν γενέσθαι. ἄγρυπνος καὶ νύκτα καὶ

ἡμέρην

ἡμέρην. μετὰ τὰς πρώτας ἡμέρας ἱδρωτωμένη, οὐκ ἔτι μόνην κεφαλὴν, ἀλλὰ καὶ ὅλον τὸ σῶμα πονέειν ἔφη. δίψα. ὁτὲ μὲν κατακορής. ὁτὲ δὲ μετρίη. πέμπτῃ καὶ ἕκτῃ, καὶ μέχρι τῆς ἐνάτης, σχεδὸν παραλήρησις. καὶ αὖθις πρὸς ἑωυτὴν ἐλάλει μετὰ κώματος, ἡμιτελέα. καὶ τῇ χειρὶ ἔστιν ὅτε ἐπορέγετο πρὸς τὸ κονίημα. καὶ προσκεφάλαιόν τι ψυχρὸν ἐνεὸν τῇ κεφαλῇ. καὶ τοῖσι στήθεσι προσεῖχε. καὶ τὸ ἱμάτιον ἔστιν ὅτε ἀπερρίπτει. καὶ ἐπ' ὀφθαλμοῦ τοῦ δεξιοῦ τὸ ὕφαιμον ἦν. καὶ δάκρυον ἦν. οὖρον δὲ ὃ τοῖσι πᾶσι πονηρὸν ἐστὶν αἰεί. ὑπεχώρει δὲ ἀπ' ἀρχῆς μὲν ὑπόπυρρα. ὕστερον δὲ ὑδατώδεα σφόδρα. καὶ τοιουτόχροα. ια ἔδοξε μετριώτερον θερμὴ εἶναι. καὶ ἄδιψος ἔστιν ὅτε ἐγένετο, οὕτως ὡς εἰ μή τις διδοίη, οὐκ ᾔτει. ὕπνοι μετὰ τὸν πρῶτον χρόνον ἐγένοντο ἐπιεικῶς ἡμέρης. τὴν δὲ νύκτα, ἄγρυπνος. καὶ ἐπόνει μᾶλλον τὴν νύκτα. ἐνάτῃ ἡ γαστὴρ ἐξεταράχθη, ὑδατώδεα διαχωρήσασα. ὡσαύτως δὲ καὶ ἑνδεκάτῃ. τὰς δὲ ὑπνώσσας, ἐπιεικῶς. πολλὴ ἡ διανάστασις. καὶ βιαύτη. ἦσαν δὲ ἐν τῇσι πρόσθεν ἡμέρῃσιν, ἀκροχολίαι καὶ κλαυθμοὶ, οἷον παιδαρείου. καὶ βοὴ. καὶ δείματα. καὶ περιβλέψιες, ὁπότε δὴ ἐκ τοῦ κώματος ἐγέρατο. τῇ δὲ τεσσαρεσκαιδεκάτῃ, ἔργον κατέχειν ἦν, ἀναπηδῶσαν καὶ βοῶσαν, ἐξαίφνης καὶ συντόνως. ὥσπερ ἂν ἐκ πληγῆς, καὶ δεινῆς ὀδύνης, καὶ φόβου. ὡς καταλαβών τις αὐτὴν, κατάσχοι χρόνον ὀλίγον. εἶτα πάλιν ἡσυχίην τε εἶχεν. καὶ κωμαλισμένη, ὑπονοοῦσα διετέλει οὐχ ὁρῶσα ὅλως. ἔστι δ' ὅτε, οὐδὲ ἀκούουσα. μετέβαλλε δὲ τὴν ἀμφότερα θόρυβόν τε καὶ ἡσυχίην συχνὰ, σχεδὸν ὅλην τὴν ἡμέρην ταύτην. τὴν νύκτα δὲ τὴν ἐπομένην, ὑπῆλθέ τι καὶ ὕφαιμον, οἷον μυξῶδες. καὶ πάλιν οἷον ἰλυώδες. μετὰ δὲ πρασοειδέα σφόδρα καὶ μέλανα. τῇ δὲ ιε ὀξέες ῥιπτασμοί. καὶ οἱ φόβοι. καὶ ἡ βοὴ ἐγένετο ἤπιος. παρηκολούθει δὲ τὸ ἀγριοῦσθαι. καὶ τὸ θυμαίνειν. καὶ κλαίειν, εἰ μὴ οἱ ταχέως ὅτι βούλοιτο ὀρεχθείη. καὶ ἐπεγίνωσκεν μὲν πάντας, καὶ πάντα ἤδη μετὰ πρώτας εὐθὺς ἡμέρας. καὶ τὸ τοῦ ὀφθαλμοῦ κατέστη. ἡ δὲ μανίη παρὰ καιρόν. καὶ ἡ βοὴ. καὶ ἡ μεταβολὴ ἡ εἰρημένη παρηκολούθει τὸ κῶμα. ἤκουεν ἀνωμάλως. τὰ μὲν σφόδρα καὶ εἰ σμικρόν τι λέγοι. ἐπ' ἐνίων δὲ μεῖζον ἔδοξε διαλέγεσθαι. πόδες αἰεὶ ὁμαλῶς τῷ ἄλλῳ σώματι θερμοὶ ἔστε τὰς τελευταίας ἡμέρας. τῇ δὲ ιϛ ἧσσον. ιζ μετριώτερον τῶν ἄλλων ἡμερέων, ἔχουσα τὴν νύκτα ὡς φρίκης αὐτῇ γενομένης, ξυνάγουσα ἐπυρέτηνε μᾶλλον. καὶ ἡ δίψα πολλὴ ἦν. τὰ δ' ἄλλα ὅμοια παρηκολούθει. τρόμοι δὲ περὶ τὰς χεῖρας ἐγένοντο. καὶ κεφαλὴν ὑπέσειεν. καὶ αἱ ἐμβλέψιες τῶν ὀφθαλμῶν πονηραί. καὶ ἡ δίψα ἰσχυρή. πίνουσα, πάλιν ᾔτει. καὶ ἥρπαζε. καὶ λάβρως ἔπιεν. ἀφαρπάσαι δὲ οὐκ ἠδύναντο. γλῶσσα ξηρὴ, ἐρυθρὴ σφόδρα. καὶ τὸ στόμα ὅλον καὶ χείλεα καθηλκωμένα καὶ ξηρά. καὶ τὰς χεῖρας ἀμφοτέρας ὤθει τὸ στόμα φέρουσα ἐμασσᾶτο, τρομώδης ἐοῦσα. καὶ εἴ τι προσήνεγκέ τις μασσήσασθαι, ἢ ῥυφήσασθαι, λάβρως καὶ μανικῶς κατέπινεν καὶ ἐρρύφανεν. καὶ τὰ περὶ τὴν ὄψιν πονηρά. ἡμέρῃσι δὲ τρισὶν ἢ τέτρασι πρὸ τῆς τελευτῆς, φρίκαι τε αὐτῇ ἦσαν ὅτε ἐνέπιπτον, ὥστε ξυνάγειν τὸ σῶμα. καὶ ξυγκαλύπτεσθαί τε καὶ συνδυσιᾶν. τέτανοί τε τὰ σκέλεα, καὶ ψύξις ποδῶν. ἡ δίψα δὲ ὁμοίη. καὶ τὰ περὶ τὴν διάνοιαν ὅμοια. καὶ ἐξαναστάσιες, ἢ διὰ κενῆς, ἢ σμικρὰ καὶ λεπτὰ, μετά τινος βραχέος τόνου. τῇ δὲ τελευταίῃ τῇ τρίτῃ καὶ εἰκοστῇ, τὸ ὄμμα μέγα τὸ πρωῒ ἦν. καὶ περίβλεψις βραχέη. καὶ ἡσυχίην εἶχεν, ἔστιν ὅτε καὶ ἄνευ τοῦ ξυγκεκαλύφθαι τε καὶ κωματίζεσθαι. πρὸς δὲ τὴν ἑσπέρην τοῦ δεξιοῦ ὄμματος κίνησις οἵη ὁρεούσης, ἢ τινὸς βουλήσιος, ἐκ τοῦ ἔξω κανθοῦ πρὸς ῥῖνα. ἐπεγίνωσκέ τε καὶ πρὸς τὸ ἱδρωτώμενον ἀπεκείνετο. φωνὴ μετὰ πολλὰ ὑπότραυλος, καὶ ὑπὸ τῆς βοῆς ἀπερρωγυῖα καὶ βραγχώδης.

Τῷ Ἀμφιφράδεος, θέρεος πλευροῦ ἀριστεροῦ ὀδύνη καὶ βήξ. καὶ ὑποχωρήματα πολλὰ, ὑδατώδεα, καὶ ὑπόχολα. καὶ ὁ πυρετὸς ἔδοξε λῆξαι περὶ ἑβδόμην. ἡ βὴξ ἐνῆν. χρῶμα ὑπόλευκον καὶ ὕπωχρον. περὶ δὲ τὰς ιβ ὑπόχλωρον ἔπτυεν. τὸ πτύσμα προϊόντος τοῦ νοσήματος αἰεὶ πυκνότερον. καὶ ἆσθμα, καὶ ὑποκερχαλέον, περὶ στήθεα καὶ ἀρτηρίας. ῥυφήμασιν ἐχρῆτο ἐμφερέων ἅπαντα τὸν χρόνον. περὶ δὲ κη. ἐτελεύτησεν. ἱδρῶτες ἔστιν ὅτε ἐγίνοντο ἔξω. Κάπηλος ὁ περιπλευμονικὸς, κοιλίη εὐθὺς ὑπῆει. περὶ δ ἱδρὼς πουλύς. ἔδοξε λῆξαι τὸ πυρέτιον. τὸ βηχίον οὐδὲν ὡς εἰπεῖν. ε καὶ ϛ καὶ ζ ἐπεῖχεν ὁ πυρετός. ἱδρὼς τῇ θ, ἀπεχρέμψατο ὠχρόν. δεκάτῃ ἧκεν ἄλλοτε οὐ πολλάκις. περὶ ια ἠπιώτερος. ἐν τῇ ιδ ὑγιής. Ἑρμοπτολέμῳ μετὰ πληϊάδος δύσιν, πυρετὸς ἐπῆλθε. βὴξ οὐ πάνυ. γλῶσσα δὲ περιπλευμονική. ἐνάτῃ, ἐξίδρωσεν. ὅλος κατεψύχθη, ὡς ἔδοξε. προσήνεγκαν αὐτῷ χυλόν. περὶ μέσον ἡμέρας, ἐθερμαίνετο. ια

ἱδρὼς, καὶ κοιλίη, ἐξηραίνετο κατάχολα ὑποχωρήματα. τὸ βηχίον ἐπεγένετο. ιδ´ ὠχρὸν ἀ-
πεχρέμψατο. καὶ ῥεγχώδης ἦν καὶ τῇ ιε´. ἔμφρων δὲ πάντα τὸν χρόνον ἐὼν, ἐτελεύτησεν.
Ετερός τις τῶν τοῦ ὑπερῴου ῥεγχώδης γλῶσσα ξηρὴ περιπλευμονικὴ, ἔμφρων ἐτελεύτη/
σεν. Καὶ Ποσειδώνιος ἔτι τοῦ θέρεος ἐνισταμένου, κατὰ στῆθος, καὶ ὑποχόνδρια, καὶ πλευ/
ρὸν, ἐπόνει χρονίην πουλὺν, ἄνευ πυρετῶν. πολλοῖσι δὲ ἔτεσιν ἔμπροσθεν, ἔμπυος ἐγένετο. τοῦ
δὲ χειμῶνος φρίξαντι, ἐπέτεινεν ἡ ὀδύνη. καὶ τὸ πυρέτιον λεπτόν. καὶ ἀπόχρεμψις πυώ/
δης. βὴξ κάρτα χαλεπὴ, περὶ φάρυγγα. καὶ ῥεγχώδεις. ἔμφρων δὲ ἐὼν ἐτελεύτησεν. Ο δὲ Βαί/
λεως ἐκ τοῦ ὄρεος πάντα ἡμαρτηκώς. ιθ´ γλῶσσα πονηρή. ὑπέρυθρος. καὶ κατὰ φωνὴν ἦν
ἐν τῇ ῥεμβείῃ. ὀφθαλμοὶ κεχρωσμένοι. πλέον τοῦ ὥσπερ τῶν νυσταζόντων. χρῶμα καὶ τοῦ ἄλλου
σώματος οὐκ ἰκτεριῶδες σφόδρα, ἀλλ᾽ ὕπωχρον, πελιδνόν. φωνὴ πονηρή. ἀσαφὴς γλῶσσα. 1
περιπλευμονική. οὐκ ἔμφρων. πνεῦμα πρὸς χεῖρα πονηρὸν, οὐ πυκνὸν, οὐ δὲ μέγα. πόδες ψυ/
χροί. λιβώδεες. περὶ ἐνάτην ἐτελεύτησε. Κυναγχικά. Η παρὰ Μέτρωνι, χεῖρα δεξιὴν,
σκέλος ἤλγησε. πυρέτιον ἐπεῖχε. βηχίον. πνῖγμα. τρίτῃ ἐχάλασεν. ἑβδόμῃ, παραγμώδης.
ἄφωνος. ῥέγχος. ὀδόντων ξυμβρίσεις. γνάθων τρόμος. οὗτος οὐ πολὺ διαζήσας, τῇ πέμπτῃ
ἢ ἕκτῃ, ἐτελεύτησε. σημεῖον περὶ χεῖρα τὸ ὑποπέλιον. Βίων δὲ ὑδρωπικοῦ πολυχρονίου,
ἀπόσιτος ἐγένετο πολλὰς ἡμέρας, καὶ στραγγουριώδης. ἐπὶ γούνατος ἀριστεροῦ, ἀπόστημα
ἐγένετο. διεπύησεν. ἐτελεύτησεν. Κτησιφῶν ὑδρωπικὸς ἐκ καύσου πολλοῦ. καὶ πρότε/
ρον ὑδρωπικὸς καὶ σπληνώδης, σφόδρα συνεπληρώθη, καὶ ὄσχεον, καὶ σκέλεα, καὶ περιτό/
ναια. ἐπὶ τῇ τελευτῇ βὴξ καὶ πνιγμοὶ ἐγίνοντο τὴν νύκτα, μᾶλλον ἀπὸ τοῦ πλεύμονος ὥσπερ
τοῖς πλευμονώδεσι. πρὸ δὲ ἡμέρης τῆς τελευτῆς, τρισὶν ἢ τέτρασι, ῥῖγος. πυρετός. κατὰ μη/ 2
ρὸν δεξιὸν, ἔσω κατὰ φλέβα μέσην τὴν ἀπὸ τοῦ βουβῶνος, ὡς πυρὸς ἀγρίου σύστρεμμα. ὑποπέ/
λιον ἔχον ἔρευθος. τὴν νύκτα καρδίης ἄλγος. καὶ οὐ πολὺ ὕστερον, ἀφωνίη. πνιγμὸς μετὰ ῥέγ/
χους. καὶ ἐτελεύτησεν. Καὶ ἐν Ολύνθῳ ὑδρωπικὸς, ἐξαίφνης ἄφωνος. ἔκφρων νύκτα καὶ
ἡμέραν, ἐτελεύτησεν. Ο δὲ πρὸ δρόμου, θέρεος ὑπόπραυλος. καυσώδης ἡ γλῶσσα οἱ ὑπό/
ξηρος. ἀσαφής. κάτω πολλὴ ἄφοδος περιεγένετο. Λεωφορβείδῃ πυρετὸς ὀξὺς μετὰ χειμερι/
νὰς τροπὰς, ὑποχονδρίων, καὶ κατὰ κοιλίην ἄλγημα. ὑποχωρήματα ὑγρὰ, χολώδεα, πολλά.
καὶ μεθ᾽ ἡμέρην, κωματώδης. γλῶσσα περιπλευμονική. βὴξ οὐκ ἐνῆν. ιβ´ μέλανα σμικρά.
καὶ πρασοειδέα ὑπεχώρησε. ιδ´ λῆξαι πυρέτιον ἐδόκει. μετὰ δὲ ῥοφήμασιν ἐχρήσατο. ιϛ´ στό/
μα σφόδρα ἁλμῶδες ξηρὸν ἐγένετο. ἀκρέαπτερον δὲ φρίκη, πυρετός. μίῃ καὶ εἰκοστῇ, περὶ μέσον
ἡμέρης, ῥῖγος καὶ ἱδρώς. τὸ πυρέτιον ἔληξε. θέρμη δὲ ὑπῆν λεπτή. τὴν νύκτα πάλιν ἱδρώς. καὶ 3
κβ´ τὴν νύκτα ἱδρώς. καὶ ἡ θέρμη ἐχάλασεν. τῇσι δὲ ἔμπροσθεν πάσῃσιν, ἀνίδρωτος ἦν. ἡ δὲ
κοιλίη ὑγράνθη, καὶ ἐν τῇ ὕστερον δοκούσῃ ὑποστροφῇ. Η ἄνω οἰκοῦσα, ἡ τῷ Θεόκλῃ προσοί/
κουσα, ὑπὸ πληϊάδα πυρετὸς ὀξύς. ϛ´ ἐδόκει λῆξαι. ἐλούσατο ὡς πεπαυμένη. ἑβδόμῃ πρωὶ,
γνάθος σφόδρα ἐρυθρή. ὁποτέρη οὐ μέμνημαι. ἐν τῇ ἑσπέρῃ ὁ πυρετὸς ἦλθε πουλύς. καὶ λιπο/
ψυχίη, καὶ ἀφωνίη ἦν. οὐ πολὺ δὲ ὕστερον ἱδρώς. καὶ παῦσις ἑβδομαίῃ. Καὶ ἡ Θεοδώρου σφό/
δρα ἐν πυρετῷ αἱμορραγίης γενομένης χειμῶνος. λήξαντος δὲ τοῦ πυρετοῦ περὶ θ´ οὐ πολὺ
ὕστερον, πλευροῦ δεξιοῦ ὡς ἀπὸ ὑστερέων βάρος. καὶ πρῶτον δὲ ἐγεγόνει, καὶ τὰς ἐχομένας ἡ ὀ/
δύνη κατὰ στῆθος δεινή. καὶ πλευρὸν δεξιὸν πυρειωμένη, ἐχάλασεν τεταρταίη τὰ ἀλγήμα/
τα. τὸ πνεῦμα πυκνότερον. ἡ ἀρτηρίη μόλις ἀναπνεούσῃ, ὑπεσύριζε. καὶ ὑπτίη ἐπιστρέφεσθαι
χαλεπῶς. τὴν νύκτα ὀξύτερος ὁ πυρετὸς, καὶ λῆρος βραχὺς ἐγένετο. πέμπτῃ πρωὶ, ἐδόκει ἠ/ 4
πιώτερος εἶναι. ἱδρώτιον ἀπὸ μετώπου κατεχύθη ὀλίγον πρῶτον. ἔπειτα πολλῷ χρόνῳ, τὸ ὅλον τὸ
σῶμα καὶ πόδας. μετὰ δὲ ταῦτα ἐδόκει αὐτῇ, κεχαλακέναι τὸ πῦρ. ἦν δὲ πρὸς χεῖρα, ψυχρό/
τερον τὸ σῶμα ταῖς ἀρτηρίαις. αἱ δὲ ἐν κροτάφοισι καὶ μᾶλλον ἐπήδων. καὶ πνεῦμα πυκνό/
τερον. καὶ ἐπελήρει ἄλλοτε καὶ ἄλλοτε. καὶ πάντα ἐπὶ τὸ χεῖρον. γλῶσσα διὰ τέλεος λευκὴ
λίην. ἀτὰρ βὴξ οὐκ ἐνῆν, ὅτι μὴ τριταίῃ καὶ πεμπταίῃ ὀλίγον χρόνον. δίψα οὐκ ἐνῆν. πτυσμὸς
δὲ ἦν. ὑποχόνδριον δεξιὸν σφόδρα ἐπῆρτο περὶ τὴν ε´. μετὰ δὲ μαλθακώτερον. ὑποχώρησις
τριταίῃ ἀπὸ βαλάνου κόπρου ὀλίγης. πέμπτῃ πάλιν, ὑγρὸν ὀλίγον. κοιλίη δὲ λαπαρή. οὖρα
στρυφνά. σποδοειδέα. ὄμματα, ὡς κοπιώσης. χαλεπῶς ἀνέβλεπε καὶ περιέφερε. πέμπτῃ τὴν νύ/
κτα, χαλεπῶς, καὶ λῆρος εἵπετο. ϛ´ πάλιν τὴν αὐτὴν ὥρην περὶ πλήθουσαν ἀγορὴν, ἱδρὼς

πουλὺς κατεῖχε. ἀπὸ μετώπου ἤρχετο εἰς ὅλον τὸ σῶμα, πουλὺν χρόνον ἐμφρόνως διετίθετο τὰ ἑαυτῆς. πρὸς μέσον δὲ ἡμέρης, σφόδρα ἐλήρει. καὶ τὰ τῆς καταψύξιος ὅμοια. βαρύτερα δὲ τὰ κατὰ τὸν χρῶτα πάντα. πρὸς δὲ τὴν ἑσπέρην ἡ κνήμη αὐτῆς ἐκ τῆς κοιλίης κατεῤῥύη. καὶ περὶ παιδὶ παραλόγως ἠπείλησέ τε καὶ πάλιν ἐσιώπησε, καὶ ἐν ἡσυχίῃ μετέβαλλε. περὶ δὲ τὸν πρῶτον ὕπνον, δίψα πουλλὴ καὶ μανίη. καὶ ἀνεκάθιζε. καὶ τοῖσι παροῦσιν ἐλοιδορεῖτο. καὶ πάλιν ἀπεσιώπησεν καὶ ἐν ἡσυχίῃ ἦν. καὶ ἐδόκει τὴν ἐπίλοιπον νύκτα, κεκωματίσθαι. τοὺς δὲ ὀφθαλμοὺς οὐ ξυνῆγεν. ἀλλ' ἡμέρην ὑπεκείνετο. τὰ πλεῖστα νεύμασιν ἀτρεμίζουσα τὸ σῶμα. καὶ κατανοοῦσα ἐπιεικῶς. πάλιν δὲ ἱδρὼς τὴν αὐτὴν ὥρην. ὁμοίως οἱ ὀφθαλμοί, καὶ τηρέειν, ἐν τὸ κάτω βλέφαρον μᾶλλον ἐγκείμενοι. ἀτενίζοντες κεκαρωμένῳ. τὰ λευκὰ τῶν ὀφθαλμῶν, ὠχρὰ καὶ νεκρώδεα. καὶ τὸ πᾶν χρῶμα ὠχρὸν καὶ μέλαν ἐόν, τῇ χειρὶ τὰ πουλλὰ, πρὸς τοῖχον, ἢ πρὸς ἱμάτιον. οἱ ψόφοι δὲ πινοῦσι μεγάλοι ἐγίνοντο. ἀπέπτυζε καὶ ἄνω ἐν τὴν ῥῖνα ἀφώρει, καὶ ἐκροκιδολόγει. καὶ ξυνεκάλυπτε τὸ πρόσωπον. μετὰ δὲ τὸν ἱδρῶτα, χεῖρες ὥσπερ κρυστάλλιναι. ὁ ἱδρὼς παρηκολούθει ψυχρός. σῶμα πρὸς χεῖρα ψυχρόν. ἀνεπήδα. ἀνεκεκράγει. ἐμαίνετο. πνεῦμα πουλύ. τρομώδεες αἱ χεῖρες ἐγένοντο. ὑπὸ δὲ τὸν θάνατον ἐλθοῦσι, σπασμώδεες. ἑβδομαίη ἐτελεύτησεν. ἐνούρησε τῇ ἕκτῃ ἐν νυκτὶ ὀλίγον. τὸ οὐρούμενον περὶ κάρφη εἵλκετο, γλίσχρον, γονοειδές. ἄγρυπνος ἁπάσας. μετὰ τὴν ς οὖρον ὕφαιμον. Τῷ Ἀντιφάνους χειμῶνος, ἄλγημα πλευροῦ δεξιοῦ, βήξ. πυρετός. ἤσθιεν. ἐπορεύετο ὑποπυρεταίνων. ἐδόκεε ῥηγματώδης εἶναι. ἐνάτῃ ἀφίετο ὁ πυρετός, οὐκ ἔλιπεν. ἡ βὴξ πολλὴ καὶ παχεῖα. ἀφρώδεα. τὸ πλευρὸν ἐπόνει. περὶ τὴν ιδ καὶ πάλιν τὴν κ ἐδόκεον ἀπολήγειν οἱ πυρετοί. καὶ πάλιν ἐπελάμβανον. ἦν δὲ λεπτὴ καὶ θερμή, βραχύ τι ἐξέλιπεν. ἡ δὲ βήξ, ὅτε μὲν ἐξέλιπε. ὅτε δὲ καταφορὴς ἦν μετὰ πνίγματος πολλοῦ. τότε δὲ ἐχάλα. καὶ ἀπόχρεμψις μετὰ ταύτας τὰς ἡμέρας πολλή, μετὰ πνιγμώδεος βηχός. καὶ πυώδεα ζέοντα ὑπὲρ τοῦ ἀγγείου, καὶ ἀφρέοντα. καὶ ἐν τῇ φάρυγγι τὰ πολλὰ κερχαλέα ὑπεσύρριζεν. ἆσθμα ἀεὶ κατεῖχε, καὶ πνεῦμα πυκνότερον. ὀλιγάκις ὕπνος. ὑπὲρ δὲ τὰς μ ἐγγὺς οἶμαι τῶν ἑξήκοντα, ὀφθαλμὸς ἀριστερὸς ἐτυφλώθη μετὰ οἰδήματος ἄνευ ὀδύνης. οὐ πολὺ δ' ὕστερον καὶ ὁ δεξιός. καὶ σφόδρα αἱ κόραι λευκαί, καὶ ξηραὶ ἐγένοντο. καὶ ἐτελεύτησε μετὰ τὴν τύφλωσιν οὐ πολύ, ὕπερ ζ ἡμέρας, μετὰ ῥέγχου καὶ πολλῆς ληρήσιος. Ὅμοια δὲ καὶ ἐξ ὁμοίων τὴν ὥρην τὴν αὐτὴν ξυνέβη Θεσσαλίωνι τὰ ζέοντα. καὶ ἀφρέοντα. καὶ πυώδεα. καὶ βῆχες. καὶ οἱ κερχμοί.

Ἡ Πολεμάρχου χειμῶνος κυναγχική, οἴδημα ὑπὸ τὸν βρόγχον. πουλὺς πυρετός. φλέβα ἐτμήθη. ἔληξεν ὁ πνιγμὸς ἐκ τῆς φάρυγγος. ὁ πυρετὸς παρέμενε. περὶ πέμπτην, γούνατος ἄλγημα καὶ οἴδημα ἀριστεροῦ. καὶ κατὰ τὴν καρδίην ἔφη δοκεῖν τι ξυνάγεσθαι ἑωυτῇ, καὶ ἀνέπνει, οἷον ἐκ τοῦ βεβαπτίσθαι ἀναπνεούσῃ. καὶ ἐκ τοῦ στήθεος ὑπεψόφει, ὡς αἱ ἐγγαστρίμυθοι λεγόμεναι. τοιοῦτόν τι ξυνέβαινε, περὶ τὴν η ἢ θ. ἐν νυκτὶ κοιλίη κατεῤῥάγη. ὑγρά, πολλά, ἄλεα, καὶ κάκοδμα. ἀφωνίη ἔσχεν, ἐτελεύτησεν. Ἀρίστιππος ἐν τὴν κοιλίην τοξευθείς, ἄνω βίη χαλεπῶς. ἄλγος κοιλίης δεινόν. ἐμπίπρατο ταχέως. κάτω δὲ οὐδὲν διεχώρεεν. ἀσώδης ἦν. ἤμεε χολώδεα κατακορέα. ὁπότε δὴ ἀπέμεσεν, ἐδόκει ῥᾴων εἶναι. μετ' ὀλίγον δὲ τὰ ἀλγήματα πάλιν δεινά. καὶ ἡ κοιλίη ὁμοίως ἐμπίπρατο ὡς ἐν εἰλεοῖς. θέρμαι καὶ δίψαι. ἐν ἑπτὰ ἡμέραις ἐτελεύτησεν. Ὁ δὲ Νεόπολις πληγεὶς ὁμοίως, ταῦτα ἔπαχε. κλυσθέντι δὲ δριμεῖη κοιλίη κατεῤῥάγη. χρῶμα κατεχύθη λεπτόν. ὠχρόν. μέλαν ἐόν. ὄμματα. αὐχμηρά. καρώδεα. ἐνδεδινημένα. ἀτενίζοντα. Τῷ δὲ καθ' ἧπαρ ἐγγὺς πληγέντι ἀκοντίῳ, εὐθὺς τὸ χρῶμα κατεχύθη νεκρῶδες. τὰ ὄμματα κοῖλα. ἀλυσμός. δυσφορίη. ἀπέθανε πρὶν ἀγαιρὴν λυθῆναι, ἐν ᾗπερ ἡμέρῃ ἐπλήγη. Ὁ τὴν κεφαλὴν ἀπὸ Μακεδόνος λίθῳ πληγείς, ὑπὲρ κροτάφου ἀριστεροῦ ὅσην ἀμυχὴν διεκόπη. ἐσκοτώθη πληγείς, καὶ ἔπεσε. τριταῖος ἄφωνος ἦν. ἀλυσμός. πυρετὸς οὐ πάνυ σφοδρός. σφυγμὸς ἐν κροτάφοισιν, ὡς λεπτῆς θέρμης. ἤκουεν οὐδέν. οὐ δὲ ἐφρόνεεν. οὐδ' ἠτρέμιζεν. ὅστις περὶ μέτωπον καὶ ὑπὸ ῥῖνα, ἄχρις ἀνθερεῶνος, πεμπταῖος ἐτελεύτησεν. Ὁ γυμνίκης ἐν Δήλῳ ἀκοντίῳ πληγεὶς ἐν τῷ ὄπισθεν τοῦ πλευροῦ κατὰ τὸ ἀριστερὸν μέρος, τὸ μὲν ἕλκος, ἄπονον. τριταίῳ δὲ γαστρὸς ὀδύνη σμικρή. οὐχ ὑπεχώρει. κλυσθέντι δὲ ἐν νύκτα, κόπρος ἦν. καὶ ὁ πόνος διέλιπεν. ἔδοξεν ἔξω ἐν τὰς ὁσίας, τεταρταίῳ. καὶ ἐν ἥβην καὶ κοιλίην ὅλην δεινῶς ὁ πόνος κατηγίζων. ἀτρεμέειν οὐκ ᾔδει. ἀτα

χολώδεα

χολώδεα ἔμεσεν κατακορέα. χολώδεες ὀφθαλμοί, καὶ οἷοι τῶν λιποθυμεόντων. μετὰ ε΄ ἐτελεύτησεν. πλὴν θέρμη λεπτή τις ἐνῆν αὐτῷ. Αὐδέλλῳ πληγέντι ὑπὸ τὸν νῶτον, πνεῦμα πουλὺ κατὰ τὸ τρῶμα μετὰ ψόφου ἐχώρει, καὶ ἡμορράγει. περὶ ἐναίμῳ δὲ καταδεθεὶς, ὑγιὴς ἐγένετο. Συνέβη δὲ καὶ περὶ Δυχυτάτῳ Φιλίας παιδίῳ, ψιλώματος ἐν περὶ μετώπῳ γενομένου, ἐναταίῳ πυρετός. εἶτα ἐπελιάνθη τὸ ὀστέον. ἐτελεύτησεν. Καὶ περὶ Φανίου καὶ περὶ Εὐέργου. πελιαινομένων δὲ τῶν ὀστέων καὶ πυρεταινόντων, ἀφίστατο τὸ δέρμα ἀπὸ τοῦ ὀστέου. καὶ πῦον ὑπεγένετο. τούτοισι τρυπωμένοισιν δὲ αὐτοῦ τοῦ ὀστέου ἀνήρχετο ἰχὼρ λεπτός. ὀῤῥώδης. ὕπωχρος. κάκοδμος. θανάσιμος. ξυμβαίνει δὲ τοῖσι τοιούτοισι, καὶ ἐμέτους ἐπιγίνεσθαι. καὶ τὰ σπασμώδεα ἐπὶ τελευτῇ. καὶ ἐνίους κλαγγώδεας εἶναι. καὶ ἐνίους ἀκρατέας. καὶ ἢν ἐν τοῖσι δεξιοῖσι τὸ τρῶμα ᾖ, τὰ ἀριστερά. ἢν δ' ἐν τοῖσιν ἀριστεροῖσι, τὰ δεξιά. Τῷ Θεοδώρου ἐναταίῳ ἠλιωθέντι, πυρετὸς ἐπεὶ δεκαταίῳ ἐκ ψιλώματος, οὐδενὸς ἀξίου ἐόντος κατὰ τὸ ὀστέον. ἐν δὲ τῷ πυρετῷ, ἐμελάνθη, ἀπέστη τὸ δέρμα. ἐπὶ πολὺ κλαγγώδης. δευτέρῃ καὶ εἰκοστῇ ἡ γαστὴρ ἐπήρθη. μάλιστα δὲ κατὰ τὰ ὑποχόνδρια. κγ΄ ἐτελεύτησεν. Οἷσι δ' ἂν ὀστέα καταγῇ, τούτοισιν ἑβδομαίοισιν οἱ πυρετοί. ἢν δὲ θερμοτέρη ἡ ὥρη, καὶ θᾶσσον. ἢν δὲ μᾶλλον κλασθῇ, ἐπὶ παραχρῆμα. Καὶ ὁ Ἐξαρμόδου παιδίσκος, παραπλησίως καὶ ἄλγημα ἐς μηρὸν οὐ κατ' ἶξιν τοῦ τρώματος. καὶ ἐγεγόνει κλαγγώδης. καὶ τραχήλου ὀδύνη. Καὶ ὁ Πουσιδοκρέων, τρίτῃ, σπασμός. θέρμη οὐκ ἔλιπεν. ἐτελεύτησεν ὀκτωκαιδεκαταῖος. Ὁ τοῦ Ἰσαγόρα, ὄπισθεν ἐπλήγη τῆς κεφαλῆς, φλασθέντος τοῦ ὀστέου, καὶ μελανθέντος, πεμπταῖος περιεγένετο. ὀστέον δὲ οὐκ ἀπέστη. Τῷ ἐκ τοῦ μεγάλου πλοίου Διώπῳ, ἡ ἄγκυρα τὸν λιχανὸν δάκτυλον, καὶ τὸ ὀστέον συνέφλασε τῆς δεξιῆς χειρός. φλεγμασίη ἐπεγένετο. καὶ σφάκελος. καὶ πυρετός. ὑπεκαθάρθη. πέμπτῃ, μετρίως αἱ θέρμαι ἀνῆκαν, καὶ αἱ ὀδύναι. τοῦ δακτύλου τι ἀπέπεσεν. μετὰ δὲ τὴν ζ΄ ἐξῄει ἰχὼρ ἐπιεικῶς. μετὰ ταῦτα τῇ γλώσσῃ, οὐ πάντα ἔφη δύνασθαι ἑρμηνεύειν. τί πρόῤῥησις; ὀπισθότονος εἰ ἔξει. ξυνεφόρουν τε αἱ γνάθοι, ξυνερειδόμεναι. ἔπειτα ἐς τράχηλον, τριταῖος ὅλος ἐσπᾶτο ἐς τοὐπίσω ξὺν ἱδρῶτι. ἑκταῖος ἀπὸ τῆς προῤῥήσιος ἀπέθανεν.

Ὁ δὲ ἐκ τῆς Ἁρπάλου ἀπελευθέρης Τελεφάνης, τύμμα κάτωθεν μεγάλου δακτύλου ἔλαβεν. ἐπεφλέγμηνε. καὶ σφόδρα ἐπώδυνος ἦν. καὶ ἐπεὶ ἀνῆκεν, ᾤχετο εἰς ἀγρόν. ὀσφὺν ἤλγησεν. ἐλούσατο. αἱ γένυες ξυνήγοντο ἐς νύκτα. καὶ ὀπισθότονος παρῆν. τὸ σίαλον ἀφρῶδες. μόλις ἔξω διὰ τῶν ὀδόντων διῄει, τριταῖος ἀπέθανεν. Ζήνων ὁ τοῦ Δαίμωνος, περὶ κνήμην ἢ σφυρὸν, ἕλκος κατὰ νεῦρον ἤδη καθαρόν. τούτῳ δηχθέντι ὑπὸ φαρμάκου, ξυνέβη ὀπισθοτόνῳ ἀποθανεῖν. Μένωνι ὑπ' ἀρκτοῦρον καὶ πρότερον, ἐκ πυρετοῦ θερινοῦ καὶ διαῤῥοίης, ἀθρόως διατεθέντι. ἐκ πορείης κοπιάσαντι. καὶ πλευροῦ ὀδύνη ἀριστεροῦ. καὶ βὴξ ἔχουσα μὲν ἐκ καταῤῥόου καὶ πρότερον. τότε δὲ ἦν κατακορής. καὶ ἄγρυπνος. καὶ δυσφόρως φέρων τὸν πυρετὸν εὐθὺς ἀπ' ἀρχῆς. καὶ ἀνακαθίζων τριταῖος, ἔπτυσεν ὠχρόν. ἀρτηρίη ὑπεσύριζε ῥεγχώδεες. περὶ τὴν ε΄ πνεῦμα ἐπιεικῶς πυκνόν. πόδες, αἱ κνῆμαι, ἄκρεα τὰ πλεῖστα ψυχρά, καὶ ἔξω τοῦ ἱματίου. ὑποχώρησις ἀπ' ἀρχῆς ἐπεγένετο χολώδης, οὔτε λίην ὀλίγη, οὔτε πολλή. ζ΄ καὶ η΄ καὶ θ΄ ῥᾷον ἐδόκει φέρειν. καί τινες ὕπνοι ἐγένοντο. καὶ ἀποχρεμπτόμενα, ἀπεπτότερα. δεκάτη καὶ μέχρι ιγ΄ σφόδρα λευκά, καὶ καθαρά. καὶ ὑποχόνδριον λαπαρώτερον ἐγένετο. τὸ δὲ ἀριστερὸν, ξυντεταμένον, καὶ εὐπνούστερον. πρὸς δὲ βάλανον ὑπῆλθε μετρίως. ιγ΄ πάλιν ἔπτυσεν ὠχρόν. ιδ΄ δὲ μᾶλλον. ιε΄ πρασοειδές. κοιλίη δὲ κακώδεα χολώδεα. ὑγρὰ, συχνὰ ὑπῆλθεν. ἀριστερὸν ὑποχόνδριον, ἐπήρετο. ιϛ΄ δὲ καὶ σφόδρα ἐπώδυνος ἦν. καὶ τὸ πνεῦμα ἤδη ῥεγχῶδες. ἱδρὼς περὶ μέτωπον καὶ αὐχένα. ὀλιγάκις ἐπὶ τὸ στῆθος. ἄκρεα καὶ μέτωπον ἐπιεικῶς διετέλει ψυχρά. πηδησμὸς δὲ φλεβῶν, περὶ κροτάφους κατεῖχεν. ὕπνοι κωματώδεες καὶ ἡμέρην καὶ νύκτα τοὺς τελευταίους χρόνους. οὖρον ἀπ' ἀρχῆς ὠμόν, ὑποδεές. περὶ ι΄ καὶ μέχρι ιγ΄ λεπτὰ καὶ οὐκ ἄχροα. ἀπὸ δὲ τῆς ιγ΄ οἷα περ ἀπ' ἀρχῆς. Τῷ Κλεόχῳ πλευροῦ ἄλγημα καὶ πυρετός. ἀνῆκεν ὁ πυρετός. ἵδρωσε τὸ σῶμα ὅλον. ἐν περὶ οὔρῳ πολλὰ τὰ ἐκφερόμενα ἦν. ἐθορυβήθη μετὰ ταῦτα.

Πληιάδων περὶ δύσιν τὴν Ὀλυμπιάδεω, ὀκτάμηνον ἔχουσαν ἐκ τρώματος, πυρετὸς ὀξὺς ἔλαβε. γλῶσσα καυσώδης. ξηρή. τραχείη. ὠχρή. ὀφθαλμοὶ ὠχροί. καὶ τὸ σῶμα νεκρῶδες. διέφθειρε πεμπταίη. ῥηϊδίως ἀπήλλαξε. καὶ ὕπνος ὡς ἐδόκει κωματώδης. δειλῆς,

διεγειρόντι

διεγερθέντων οὐκ ᾐσθάνετο. παρεμικρὸν ὑπήκουσε. πόμα κατεδέξατο καὶ χυλοῦ. ὑπέβησε καταπίνουσα τὸ πόμα ἡ φωνὴ, οὐκ ἐλύετο. οὐδὲ αὐτὴ τι ἀνέφερε. τὰ ὄμματα κατηφέα. πνεῦμα μετέωρον, κατὰ ῥῖνα ἀπώλλυτο. χρῶμα πονηρόν. ἱδρὼς περὶ τοὺς πόδας, καὶ σκέλεα περὶ θάνατον ἐοῦσι, ἐτελεύτησεν. Τῷ Νικολάου Εὐνέτιδι, ἐκ καύσου τὰ παρ' οὓς ἐγγύετο ἐπ' ἀμφότερα. ὀλίγον ὕστερον τὸ ἕτερον ἤδη δοκέοντος χαλᾶν τοῦ πυρετοῦ ὡς οἴδημα περὶ ιδ' μεγάλα ἀσήμως κατέστη. ὑπέστρεψε. χρῶμα νεκρῶδες. γλῶσσα τρηχέη, δασέη σφόδρα, ὑπόλευκος. διψώδης. ὑποχώρησις κάτω, πολλὴ, ὑγρὴ, κακώδης παρὰ πάντα τὸν χρόνον. πρὸ τῆς τελευτῆς, ἐφθάρη τὸ σῶμα ὑπὸ πλήθεος. ἐτελεύτησε περὶ τὰς κ. Ἀνδρέαν πρὸ πληϊάδος, φρίκη. πυρετός. ἔμετος. ἀπ' ἀρχῆς ἡμιτριταῖος ἐφαίνετο. τριταῖος δ' οὖν ἐών. πάλιν ἀγοράζων, ἔφριξε. πυρετὸς ὀξύς. ἔμετος χολῆς ἀκρήτου. παραλήρησις ἐν νύκτα. ῥᾴων πάλιν. πέμπτῃ χαλεπῶς. ἕκτῃ, ἀπὸ λινοζώστιος, εὖ ὑπῆλθε. ζ χαλεπώτερον. καὶ τὰς ἐφεξῆς συνεχέστερος ἤδη καὶ ἀνίδρωτος ἀπ' ἀρχῆς καὶ διψώδης. μάλιστα δὲ στόμα ὑπεξηραίνετο, καὶ πόμα οὐδὲν ἡδέως προσεδέχετο. ἀηδίης πολλῆς ἐούσης περὶ τὸ στόμα. γλῶσσα ξηρή. ἄκροπις. τρηχύτης ἐπῆνθε ὠχρόλευκος. ἄγρυπνος. ἀσώδης. ἐκλελυμένος. κεκλασμένος. γλῶσσα ὑπὸ ξηρότητος ἐνίοτε ὑπότραυλος, ἕως διαβρέξειε. χυλὸν μάλιστα προσεδέχετο. ἐνναταίῳ ἢ δεκαταίῳ παρ' οὓς ἀριστερὸν καὶ περὶ τὸ ἕτερον, ἐπάρματα μικρὰ ἀσήμως ἐφάνη. οὖρα διὰ παντὸς οὐκ ἄχροα. ἄνευ δὲ ὑποστάσιος. τεσσαρεσκαιδεκαταίῳ, ἱδρώτιον περὶ τὰ ἄνω οὐ πολὺ μειώτερον. ἡ θέρμη περὶ τὰς ιζ ἐμαλάχθη. κοιλίη μετὰ τὰς ι ξηρὴ, οὐκ ἄνευ βαλανείων ὑποχωρέουσα. περὶ δὲ τὰς κε ἐξανθήματα δι' ὀλίγου κνησμώδεα θερμὰ, ὥσπερ πυρίκαυστα. ὀδύνη δὲ ἦν περὶ τὰς μασχάλας, καὶ τὰ πλευρά. ἐν σκέλεα διῆλθεν ἀσήμως, καὶ ἔληξε. λουτρὸν ὠφέλει καὶ χρῖσμα τὸ ἐν ὑπὸ ὄξει. μηνὶ δὲ δευτέρῳ ἴσως ἢ τρίτῳ, ἐν νεφροὺς ἡ ὀδύνη, ὃ πρότερόν ποτε γενομένη, κατέστη. Ἀριστοκράτει περὶ ἡλίου τροπὰς χειμερινάς, κόπος. καὶ φρίκη. καὶ θέρμη. μετὰ δὲ ἤρξατο τριταίῳ, πλευροῦ ὀδύνη. καὶ ὀσφύος. καὶ οἴδημα ἐκ τῆς μασχάλης ἀρξάμενον παρ' ὅλον τὸ δεξιὸν πλευρὸν σκληρὸν κατὰ ταύτην τὴν πλευρὴν ἐκ μασχάλης ἀρξάμενον ἐρυθρὸν, πελιδνὸν ὡς ὑπὸ πυρὸς θαλφθὲν καὶ ἐκκεκαυμένον. ἀσώδης. δυσφόρως ἔχων. σφόδρα διψώδης γλῶσσα ὑπόλευκος. οὖρα οὐκ ἐχώρεε. σκέλεα ὑπόψυχρα. ὑποχώρησις ἀπὸ λινοζώστιος ὀλίγη. ὑγρά. ὑπόλευκα. ἀφρώδεα. ἐν νύκτα πνεῦμα, ἐμετεωρίζετο. ἱδρώτιον περὶ μέτωπον κάτω. ψυχρά. ἀσώδης. τράχηλος ἐνεφυσᾶτο. βὴξ οὐκ ἐνῆν. ἐτελεύτησεν ἔμφρων. Ὀνησιδάνακτι περὶ φθινόπωρον, ὀφθαλμίη, μετὰ δὲ τεταρταῖος πυρετός. ἀρχομένου τοῦ τεταρταίου, σφόδρα ἀπόσιτος. προϊόντος δὲ ἡδέως πρὸς σιτίον. καὶ Πολυχάρει δὲ ἐν τεταρταίῳ ὅμοια τὰ περὶ τὴν σίτησιν. συνέβη δὲ καὶ τῷ Μνησιάνακτι, ὑποχώρησις ἔμπροσθεν τοῦ πυρετοῦ. καὶ μετὰ ταῦτα πουλὺν χρόνον, παρηκολούθει πολλῶν λευκῶν, μυξοειδῶν. καὶ ἔστιν ὅτε σμικρὸν αἷμα ἄνευ πόνων καὶ ὀδύνης. ψόφοι δὲ ἐν γαστρί. μετὰ τὸν πυρετὸν, ἀπέστη παρὰ τὴν ἕδρην φῦμα σκληρὸν πουλὺν χρόνον παρηκολούθει ἄπεπλον. ἐρράγη ἐν τὸ ἔντερον. καὶ ἔξω συνεχρώσθη ἐν ἐγγύετο. περιπατοῦντι δ' αὐτῷ ἐν τῇ ἀγορᾷ, μαρμαρυγαὶ ὁρῶντο πρὸ τῶν ὀφθαλμῶν. καὶ τὸν ἥλιον οὐ πάνυ καθεώρα. ἀποχωρήσας δὲ σμικρὸν ἐξ ἑωυτοῦ, ἦν καὶ τράχηλον σπασμώδης. ἐπεὶ δὲ ἐκομίσθη ἐν οἶκον, μόγις ἀνέβλεψε. καὶ αὐτὸς ἑωυτοῦ μόγις ἐγγύετο. τὸ πρῶτον δὲ περιέβλεπε τοὺς περιεστῶτας. καὶ τὸ σῶμα κατεψύχθη. μόγις δὲ ἀνεθερμάνθη ἀσκίοισι καὶ πυρίῃ ὑπὸ τῇ κλίνῃ. ἐπεὶ δὲ ἑωυτοῦ ἐντὸς ἦν, καὶ ἐξανίστατο, οὐκ ἐξειπεῖν ἤθελεν, ἀλλὰ δεδιέναι ἔλεγεν. εἰ δέ τις περὶ νουσημάτων χαλεπῶν διελέγετο, ὑπεξήρχετο φόβῳ. ἔστιν ὅτε προσπίπτειν αὐτῷ πρὸς τὰ ὑποχόνδρια θερμασίην ἔφη, καὶ τῶν ὀφθαλμῶν μαρμαρυγὰς παρακολουθεῖν. καὶ ἡ ὑποχώρησις πουλλὴ καὶ πολλάκις καὶ ὁμοίη χειμῶνος ξυνέβη. φλεβοτομίη γέγονε. ἐλλέβοροι. γαλακτοποσίαι βοείου. πρότερον δὲ ὀνείου ξυνήνεγκε, καὶ τὰς ὑποχωρήσιας ἔπαυσεν. ὑδροποσίη ἀπ' ἀρχῆς. περίπατοί τε καὶ κεφαλῆς καθάρσιες. Τῷ Ἀνεχέτου τοιαῦτα. χειμῶνος ἐν βαλανείῳ πρὸς πυρὶ χριόμενος, ἐθερμάνθη. καὶ παραχρῆμα περιέπεσεν ἐν ἐπιληπτικοῖς σπασμοῖς. ἐπειδὴ δὲ ἱκανοὶ σπασμοὶ περιέβλεπεν, οὐ παρὰ ἑωυτῷ ἦν. ἐπεὶ δὲ ἐντὸς ἑωυτοῦ ἐγένετο πάλιν τῇ ὑστεραίῃ πρωῒ ἐλήφθη σπασμώδης. ἀφρὸς δὲ οὐ πάνυ. καὶ τρίτῃ, ἄκροπις. καὶ τετάρτῃ ἐπεσήμαινε τῇ γλώσσῃ. πεμπταῖος, οὐχ οἷός τε ἦν λέγειν. ἀλλ' ἴσχετο ἐν τῇσιν ἀρχῇσι τῶν ὀνομάτων.

καὶ τῇ ε΄ γλῶσσα σφοδρά. καὶ ὁ σπασμὸς διεγένετο. καὶ ἐκτὸς ἑωυτοῦ ἐγένετο. ὅτε δὲ ἀνίει ταῦτα, ἡ γλῶσσα μόγις ἀπεκαθίστατο εἰς ταὐτό. ἑκταίῳ ἀρχομένῳ πάντων, καὶ ῥοφήματος ἐπὶ ποτοῦ, καὶ οὐκ ἔτι οὐδενὸς ἐλάμβανεν.

Κλεόχῳ ἐκ κόπων καὶ γυμνασίων, μέλιτι τὰς ἡμέρας διαχρωμένῳ, οἴδημα ἐν γόνυ δεξιόν. μᾶλλον δὲ ἐν τὸ κάτω περὶ τοὺς τένοντας τοὺς ὑπὸ τῷ γούνατι. περιῄει ὑποχολαίνων. καὶ ἡ γαστροκνημίη ᾤδει, καὶ σκληρὴ ἦν. καὶ ἐν τὸν πόδα, καὶ ἐν τὸν σφυρὸν τὸν δεξιόν, καὶ ἐν τὰ ὅλα παρ' ὀδόντας, μεγάλα ὡς ῥᾶγες, πελιδνά, μεμελασμένα, ἀνώδυνα, ὁπότε μὴ ἐσθίῃ. καὶ τὰ σκέλεα εἰ μὴ διανασταίη. ἦλθε γὰρ ἐν τὸ ἀριστερὸν τὸ οἴδημα. ἧσσον δὲ καὶ ἐπηλιαίνετο. ἐν τοῖσιν οἰδήμασι τοῖσι περὶ γούνατα καὶ πόδας ὥσπερ ὑπόπυα. τέλος δὲ οὐχ οἷός τε ἦν ἵστασθαι. οὐδ' ἐπὶ τὰς πτέρνας ἐπιβαίνειν, ἀλλὰ κλινοπετὴς ἦν. θέρμαι δῆλοι ἐνίοτε, ἀπόσιτος. οὐ πάνυ διψώδης. οὐδὲ ἐπὶ θᾶκον ἀνίστατο. ἀσώδης. καὶ ἔστιν ὅτε καὶ ὀλιγοψυχίῃ εἴχετο. ἐλλέβοροι προσήχθησαν κεφαλῆς καθάρσιες. πρὸς τὸ στόμα μαννώδεες ξὺν τοῖσιν ἄλλοισι μασσωμένοισι ξυνήνεγκεν. πρὸς τὰ ἐν τῷ στόματι ἕλκεα, ῥόφημα φακῆς ἐν πτισάνειον. περὶ δὲ ἑξηκοστήν, κατέστη τὰ οἰδήματα πρὸ τοῦ δευτέρου ἐλλεβόρου. μοῦνον ὀδύναι ἐν τὰ γούνατα κατακειμένῳ ἦλθον. ὑγρὸν δὲ καὶ χολή, ἀπέστη ἐν γούνατα, καὶ πλείους ἡμέρας πρὸ τοῦ ἐλλεβόρου.

Πεισιστράτῳ ὤμου ἄλγημα. καὶ βάρος πολὺ χρόνιον, πεντηκοντούτῃ, καὶ τ' ἄλλα ὑγιαίνοντι. χειμῶνος δὲ ἐπέπεσε πολλὴ ὀδύνη πλευροῦ. καὶ θέρμη. ἐπὶ βήξ. ἀπόχρεμψίς τε αἵματος ἀφρώδεος. ὕστερον καὶ ῥεγχῶδες ἐν τῇ φάρυγγι. ψόφος δὲ καὶ παρ' ἑωυτῷ. καὶ ἡ θέρμη ἐχάλασεν. ἅμα δὲ καὶ ἡ ἀπόχρεμψις, καὶ τὸ ῥέγχος. καὶ περὶ τετάρτην ἢ πέμπτην ἡμέρην, ὑγιής.

Τῇ Σιμῶ ἐν τόκῳ σεισθείσῃ, ἄλγημα περὶ στῆθος καὶ πλευρόν. βὴξ πυρετοί. ἀποχρέμψιες πυώδεες. φθίσις. καὶ κατέστη. καὶ ἓξ μῆνας οἱ πυρετοί. καὶ διάρροιαι αἰεί. ἐπὶ τέλει, παῦσις πυρετῶν. κοιλίη ἔστη μετὰ τὴν παῦσιν. ἡμέρας μεθ' ἑπτά, ἐτελεύτησεν.

Καὶ ἡ Εὐξένου ἐκ πνευμονίης ἐδόκει. θέρμαι οὐκ ἔλιπον οὐδένα χρόνον. μᾶλλον πρὸς ἑσπέρην ἐπετείνοντο. ἱδρῶτες ἐγίνοντο, ἐν ὅλον τὸ σῶμα. μέλλοντος ἐπιτείνειν τοῦ πυρετοῦ, ψύξις τῶν ποδῶν. ὅτε δὲ καὶ κνημέων καὶ γουνάτων ἐγίνοντο. βήχιον ξηρόν. ὀλίγον χρόνον ἀρχομένου τοῦ πυρετοῦ παροξύνεσθαι. εἶτα ἔληγε. διὰ δὲ χρόνου πολλοῦ καὶ ὅλου τοῦ σώματος ῥῖγος ἐγένετο. ἄδιψος διὰ παντός. φάρμακον πιοῦσα καὶ ὀῤῥόν, ἐβλάβη μᾶλλον, ἀπ' ἀρχῆς πάντων ἀνώδυνος καὶ ἄπνοος. μεσοῦντος δὲ τοῦ χρόνου, πλευροῦ δεξιοῦ ἐγένετο ἄλγημα. καὶ ἡ βὴξ ἐκινήθη. καὶ ἆσθμα καὶ ἀποχρέμψιες σμικραὶ λευκαὶ καὶ ὑπόλεπτοι. καὶ ἡ φρίκη, οὐκ ἔτι ἐκ ποδῶν, ἀλλὰ ἀπὸ τραχήλου ἐπὶ νώτου. καὶ κοιλίη, ὑγροτέρη. ἐχάλασεν ὁ πυρετὸς μετὰ πολλοῦ ἱδρῶτος καὶ κατεψύχθη. ἆσθμα δὲ ἦν ποικίλον, ἐτελεύτησε μετὰ τὴν ἄφεσιν ἑβδόμῃ ἔμφρων.

Ἡ Πολεμάρχου, θέρεος ἤρξατο πυρεταίνειν, ἀφῆκε δ' αὐτὴν ἑκταίην. μετὰ δὲ ὑπεφέρετο ἐν νύκτα, θέρμα. πάλιν δὲ διαλιποῦν, ἔλαβεν ὁ πυρετός. καὶ οὐκ ἀνῆκε σχεδὸν τριῶν μηνῶν. βὴξ πολλή. ἀπόχρεμψις φλεγματώδης. ἐπείπερ δὲ τὰς εἴκοσιν ἐγένετο, πνεῦμα αἰεὶ πυκνόν. ἐν τῷ στήθει ψόφοι. ἱδρώδης τὰ πολλά. πρωῒ ἠπιώτερος ὁ πυρετός. καὶ φρίκαι ἔστιν ὅτε ἐλάμβανον. ὕπνοι ἐγίνοντο. καὶ κοιλίη ἔστιν ὅτε καθυγραίνετο, καὶ πάλιν ξυνίστατο. ἐγένετο ἐπιεικῶς. μεσοῦντος δὲ χρόνου, ἐν γούνατα καὶ κνήμας, ἄλγημα. καὶ ξυγκάμπτειν καὶ ἐκτείνειν ἄλλου ἐδεῖτο. διετέλει τὰ τῶν σκελέων, μέχρι τελευτῆς. ὑπόγυον δέ. καὶ ἐπῴδησαν οἱ πόδες μέχρι κνημέων. καὶ ἐφαπτομένων, ἤλγει. καὶ οἱ ἱδρῶτες ἔληξαν, καὶ τὰ ῥίγεα. ὁ δὲ πυρετὸς αἰεὶ ἐπέτεινεν. πρὸ δὲ τῆς τελευτῆς, κοιλίη κατεῤῥάγη. ἔμφρων διετέλει. πρὸ τριῶν ἡμερέων τῆς τελευτῆς, ῥεγχώδης ἐν φάρυγγι, καὶ πάλιν ἐπανήρχετο. ἐτελεύτησεν.

Ἡγησιπόλιος παιδίον σχεδὸν τέσσαρας μῆνας ἄλγημα περὶ ὀμφαλὸν βρωτικὸν εἶχεν. προϊόντος δὲ ἐπέτεινεν ἡ ὀδύνη. ἔκοπτε τὴν γαστέρα. ἐτίλλετο. θέρμαι ἐπελάμβανον. ἐτήκετο. ὀστέα ἐλήφθη. τὼ πόδε ἐπῴδει. ὄρχιες. γαστρὸς τὰ περὶ ὀμφαλὸν πεφυσημένον ἀραιόν, οἷσι μέλλουσι κοιλίαι ἐκταράσσεσθαι, ἀπόσιτος ἐγένετο. γάλα μοῦνον προσεδέχετο ὑπόγυον. καὶ ἡ κοιλίη καθυγράνθη. καὶ ὕφαιμος ἰχὼρ ὑπῄει, κάπνοδμος. κοιλίη ἐμπίπρατο. ἐτελεύτησεν ἐμέσας μακρόν, βραχύ, φλεγματῶδες. ὥστε δόξαι οἷον γονὴν τῆς πλατείης. τελευτήσαντι δή, ῥαφὴ τῆς κεφαλῆς σφόδρα ἐκοιλάνθη. ἀῤῥωστῶν δ' αἰεί, τῇ χειρὶ κατῆγε κατὰ τοῦ βρέγματος. μάλιστα δ' ὑπόγυον. οὐκ ἤλγει δὲ τὴν κεφαλήν. καὶ ἐν μηρῷ ἀριστερῷ ὑπὸ βουβῶνα τὰ κάτω, πελιδνὸν ἴσως τῇ προτεραίῃ. ὄρχιες κατισχνάνθησαν. ὅμοια δὲ ἐπὶ τῷ Ἡγησείδεω παιδίῳ ἀπέθανε, πλὴν ὅτι ἔμετοι προσεγίνοντο ὑπὸ τὴν τελευτὴν

πλέους

πλείους. Η Ιππίου ἀδελφὴ χειμῶνος φρενιτική. ἁμαρτάνουσα, τῇσι χερσὶ πραγματευομένη, ἀμύσσουσα ἑωυτὴν, πέμπτη. ἕκτη τὴν νύκτα, ἄφωνος. κωματώδης. ἐμφυσῶσα τὴν γνάθους, καὶ χείλεα ὡς οἱ καθεύδοντες. ἐτελεύτησεν ἑβδομαία. Αλέξανδρος φρίξας πλευροῦ ὀδύνη, ἄλγος τὸ γούνατα καὶ μηρόν. φαγὼν παρεφρόνει. ἐτελεύτησε ταχέως. Τῷ Κλεοτίμου σκυτεῖ κοιλίης ὑγρανθείσης πουλὺν χρόνον, ἐπὶ θέρμης γινομένης, καθ' ἧπαρ ἔπαρμα φυματῶδες τὸ ὑπογάστριον κατέβη. καὶ κοιλίη ὑγραίνετο. καὶ ἕτερον αὐτῷ καθ' ἧπαρ ἄνω πρὸς ὑποχόνδριον φῦμα ἐτελεύτησεν. οἷσι κεφαλῆς ὀδύνη δεινὴ ξὺν θέρμῃ. οἷσι μὲν τὸ τὸ ἥμισυ τῆς κεφαλῆς καὶ κατὰ ῥῖνας τι ὑγρὸν ἀποχωρέει λεπτόν. ἢ πέπον. ἢ τὸ ὦτα. ἢ τὸ φάρυγγα ἐκ κεφαλῆς ἀσφαλέστερον. οἷσι δὲ ξηρὰ ταῦτα. ὁ δὲ σφάκελος δεινὸς, ἐπικίνδυνα. ἢν δὲ προσῇ ἀσώδης, ἢ χυλώδης ἔμετος, ἢ κατάπληξις ὀμμάτων, ἢ ἀφωνία καὶ ἀσάνιόν τι φθέγγεται, ἢ λῆρός τις, θανάσιμα καὶ σπασμώδεα. ὁκόσοι δ' αὖ ἐκ κατάῤῥου τὸ ἥμισυ τῆς κεφαλῆς πονέοντες, καὶ κατὰ ῥῖνας ὑγροῦ ὑποχωρέοντος ἐπιπυρετήνωσιν ἐπιεικῶς ἐν τῇ πέμπτῃ ἢ ἕκτῃ περιψύχονται.

Εχεκράτει τῷ τυφλῷ, κεφαλῆς ὀδύνη δεινὴ μᾶλλον, εἰς τοὔπισθεν, καὶ τραχήλου, ὅπου ἡ πρόσφυσις. καὶ τὸ κορυφὴν ἐχώρει. προϊόντος δὲ καὶ τὸ οὖς ἀριστερόν. καὶ τὸ ἥμισυ τῆς κεφαλῆς ἐπώδυνον. μυξώδεα αἰεὶ ἐχώρει ἐπιεικῶς ξυγκεκαυμένα. καὶ θέρμη παρηκολούθει, λεπτή. καὶ ἀπόσιτος. τὰς ἡμέρας ῥάων. τὸ νύκτα δὲ ὠδυνᾶτο. ἐπεὶ δὲ τὸ κατὰ τὸ οὖς ἐῤῥάγη πύον, ἔληξε πάντα, ἐῤῥάγη δὲ περὶ χειμῶνα. ἐῤῥάγησαν πᾶσι τοῖς ἐμπυήμασι. καὶ τοῖσι περὶ ὀφθαλμὸν τὸ νύκτα οἱ πόνοι.

Εἰσὶ βῆχες χειμῶνος μάλιστα δὲ νότοισι, παχέα καὶ πολλὰ χρεμπτομένοισι πυρετοὶ ἐπιγίνονται. ἐπιεικῶς δὲ πεμπταῖοι παύονται. αἱ βῆχες δὲ περὶ μ΄ οἷον Ηγησιπόλει. οἷσι θέρμαι πολλαί ἐστιν ὅτε παυομένων, οὐχ ὅλον τὸ σῶμα, ἀλλ' ἢ περὶ αὐχένα, καὶ ὑπὸ μασχάλας, ἢ κεφαλὴν ἀφιδρώοντες, παύονται.

Χαιρεῖ τι χειμῶνος ἐκ βηχίου ἐπιδημίου προσγενόμενος πυρετὸς ἐπέλαβεν ὀξύς. τὰ ἱμάτια ἀπέβαλλεν. κῶμα μετὰ πόνου. οὖρα ἐγένετο ἐρυθρὰ, οἷον ὀρόβων πλύμα. ὑπόστασις εὐθὺς ἀπ' ἀρχῆς πολλὴ, λευκή. ὕστερον δὲ καὶ ὑπέρυθρος. ἑβδόμη, ἀπὸ βαλάνου σμικρὰ ὑπῆλθε. τὸ κῶμα κατεῖχεν, ἄλυπον. νοτὶς ἐπὶ μετώπῳ. ὕπνος τὸ νύκτα. καὶ θέρμη ἠπιωτέρη. ὀγδόη, χυλὸν προσεδέξατο. κωματώδης διετέλει μέχρις ἑνδεκάτης. ταύτῃ δὲ καὶ ἡ θέρμη μάλιστα ἔληξεν. ἐπὴν δὲ ἦν βὴξ, ἀπόχρεμψις διετέλει αἰεὶ πουλλὴ. ῥηϊδίως. πρῶτον γλίσχρη. λευκή. παχέη. ἐπεὶ δὲ ξυνεπεπαίνετο, ὁμοίη πυώδεσιν. οὖρα ἀπὸ ἑνδεκάτης καθαρώτερα. ὑπόστασις τρηχέη. τρισκαιδεκάτη, ἄλγημα ἐπὶ δεξιὰ μέχρι κνήμης τὸ ὑπογάστριον. οὖρον ἔσχετο. πόμα τὸ ἀπὸ τοῦ καλλιφύλλου ξυνέδησεν κατὰ πεντεκαιδεκάτην. πάλιν τὸ ἄλγημα ις΄. τὸ νύκτα μᾶλλον τὸ ἄλγημα ὑποχονδρίου ἤρεχετο τὸ κοιλίην. λινοζώστιος ὕδωρ ὑπήγαγεν. ἡ θέρμη ἐν τοῖς τῶν κ΄ ἐμολύνθη. καὶ ἀποχρέμψιες παρηκολούθουν παχέαι. ῥηϊδίως τὸ μ΄. ὑποκαθαίρειν τὰς κοιλίας. ἐν τοῖσι νοσήμασιν ἐπὴν πέπονα ᾖ, πεμπταῖα. τὰς μὲν κάτω, ἐπὴν ἱδρυμένα ἴδῃς σημεῖον, ἢν μὴ ἀσώδεες μὴ δὲ καρυβαρικοὶ ἔωσι. καὶ ὅτε αἱ θέρμαι πραΰνονται. καὶ ὅταν λήγωσι μετὰ τοὺς παροξυσμούς. τὰς δὲ ἄνω, ἐν τοῖσι παροξυσμοῖς. τότε γὰρ καὶ αὗται μετεωρίζονται. ἐπὴν ἀσώδεες καὶ βαρέες τὰ ἄνω ἔωσιν. διὰ τοῦτο δὲ μὴ ἐν ἀρχῇσι καθαίρειν, ὅτι ἀπὸ τοῦ αὐτομάτου ἐν τοῖσι χρονίοισι τοῦτοισιν, ἢ χρόνια ἐπικίνδυνα.

Επὶ ὠλεκράνου ἐκ τρώματος τρωθέντος, πῆχυς ἐπισφακελίσας πυοῦται. πεπαινομένου δὲ γλίσχρος ἰχὼρ καὶ κολλώδης ἐκθλίβεται. ταχὺ προσίσταται, ὡς καὶ Κλεογενίσκῳ, καὶ Δημάρχῳ τῷ Αγλαοτέλεος. ὁμοίως δὲ καὶ πάνυ ἐκ τῶν αὐτῶν πύον οὐδέν. οἷον τῷ Αἰσχύλου παιδὶ ξυνέβη. πυουμένου δὲ τοῖσι πλείστοισι φρῖκαι καὶ πυρετοὶ ἐπιγίνονται.

Αλκμάνι, ἐκ νεφριτικῶν ἀνακομιζομένῳ, κάτω καὶ αἵματος ἀφαιρεθέντος, ἄνω καθ' ἧπαρ ἐστράφη. καὶ πρὸς καρδίην ἄλγος δεινόν. καὶ τὸ πνεῦμα ὑπὸ τοῦ πόνου κατείχετο. καὶ ἡ κοιλίη χαλεπῶς ὑπεχώρεε. σμικρὰ σπυραθώδεα. ἄση οὐκ ἐνῆν. ῥῖγος δ' ἔστιν ὅτε καὶ πυρετὸς ὑπελάμβανε. καὶ ἱδρώς. καὶ ἔμετος. καὶ ἐν τῷ ἀλγήματι οὐ ξυνέφερεν ὑποκλύσαι θαλάσσῃ, ξυνήνεγκεν ἀπὸ πιτύρων. ἠσίτησεν ἡμέρας ἑπτά. μελίκρητον ἀκρητέστερον ἔπιεν. μετὰ δὲ χυλὸν φακοῦ. ὅτε δὲ λεπτὸν τὸ ἔτνος, ἐπέπιεν ὕδωρ. μετὰ δὲ σκυλακίου ἑφθοῦ. μάζης, μικρὸν ὅτι μάλιστα πάλαι ξυγκειμένης. προϊόντος δὲ ἢ βόεια τραχήλια, ἢ κωλῆνας ὑὸς ἀκρέων ἑφθῶν. τῇ προτεραίῃ. ὑδροποσίη. ἡσυχίη. σκέπη. πρὸς τὸ νεφριτικὸν ἐκ τοῦ σικύης κλυσμός.

Τῷ Γαρμενίσκου παιδί, κώφωσις ξυνήνεγκε μὴ κλύζειν. διακαθαίρειν δὲ εἰρίοισι

μοῦνον ἢ ἐγχέειν ἔλαιον. ἢ νίτρον. περιπατεῖν. ἐγείρεσθαι πρωΐ. οἶνον πίνειν λευκόν. λόχων ἀπέχεσθαι. ἄρτῳ τρέφεσθαι. ἰχθῦσι πετραίοις. Τῇ Ἀσπασίου, ὀδόντος δεινὸν ἄλγημα, καὶ γνάθου. καστόρειον καὶ τῷ πεπέρι διακλυζομένῃ, καὶ κατέχουσα ἐν τῷ στόματι, ἀνῆκε. καὶ στραγγουρικὸν αὐτῇ ἀνῆκε. πρὸς θερμασίας μετὰ τὸ ἄλευρον τὸ ξὺν τῷ ῥοδίνῳ. τὰς ἀφ᾽ ὑστερέων κεφαλαλγίας, καστόρειον παύει. τὰ πλεῖστα τῶν ὑστερικῶν, αἱ φῦσαι σημεῖον. οἱ βορβορυγμοί. καὶ οἱ περὶ γαστέρα ψόφοι. καὶ ἐπάρματα ὀσφύος. καὶ τὰ περὶ νεφροὺς ἀλγήματα, καὶ ἰσχία. καὶ ἐκγεγλυκισμένος μέλας. ἢ ἀρωμάτων τρίτον μέρος, ἀλεύρου δύο, ἐν οἴνῳ εὐώδει ἑψῆσαι λευκῷ, ἐπ᾽ ὀθόνιον περιχέοντα, ἐπαλείψαντα τῷ ὀθονίῳ καταπλάσσειν, ἢ ὅτι τῆς γαστρὸς ἀλγήματα ὑστερικά. Τῷ Καλλιμέδοντος, ξυνήνεγκε πρὸς τὸ φῦμα ἐν τῷ τραχήλῳ, σκληρὸν ἐὸν, καὶ μέγα, καὶ ἄπεπτον, καὶ ἐπώδυνον, καὶ ἀπόχασις βραχίονος, λίνου σπέρμῳ καταπλάσσειν πεφρυγμένῳ. οἴνῳ λευκῷ, καὶ ἐλαίῳ δεύοντα περιδεῖν. μὴ θερμόν. μὴ δ᾽ ἑφθὸν ἄγαν. ἢ ξὺν μελικρήτῳ ἑψεῖν, ἄλευρον τήλιος. ἢ κριθῶν, ἢ πυρῶν. Μελισάνδρῳ τοῦ οὔλου περιβαλόντος, καὶ ὄντος ἐπωδύνου, καὶ σφόδρα οἰδέοντος, ἀπόχασις βραχίονος. στυπτηρίη αἰγυπτίη. ἐν ἀκμῇ περιστέλλειν. Εὐτυχίδῃ ἐκ χολερικῶν, ἔπειτα τῶν σκελέων τετανώδεα ἔληξεν ἅμα τῇ κάτω ὑποχωρήσει, κατακορέα χολὴν πολλὴν ἤμει, περὶ τρεῖς ἡμέρας καὶ νύκτα, σφόδρα ὑπέρυθρον. ὑπὸ δὲ τὸν ἔμετον, ἔπινε. καὶ ἀκρατὴς ἦν καὶ ἀσώδης. οὐδὲν κατέχειν ἠδύνατο οὐδὲ τὸ ἐκ τῶν σιτίων. καὶ οὔρου σχέσις. καὶ τῆς κάτω διόδου. μετὰ τοὺς ἐμέτους τρὺξ μαλθακὴ ἦλθεν. καὶ κατέρρηξε κάτω ἰκτερώδη. ταλαιπωρέειν. ἱδροῦν. ἄρτον ἐσθίειν. πίνειν μὴ πολύ. λούεσθαι κατὰ κεφαλῆς πολλῷ καὶ θερμῷ, ἀλλὰ χλιαρῷ. ὁ οἶνος λευκός. ὕπνῳ μὴ πολλῷ χρῆσθαι. Καλλιγένει, περὶ πέντε καὶ εἴκοσιν ἔτεα γεγενημένῳ, κατάῤῥοος. ἡ βὴξ πολλή. ἀνῆγε τὸ καταῤῥέον ὑπὸ βίης. οὐδὲν κάτω ὑπεμένεν. ἔτεα τέσσαρα διετέλεσεν. θέρμαι λεπταὶ ἐν ἀρχῇ ἐγίνοντο. ἐλλέβορος οὐκ ὠφέλησεν, ἀλλὰ ὀλιγοσιτίη. ἀλλὰ τὸ συμπιαθῆναι. ἐσθίειν ἄρτον. οἶνον μέλανα. ὄψα ὁποῖα ἐθέλοι. ἀπέχεσθαι δριμέων ἁλυκῶν. λιπαρῶν. ὀποῦ σιλφίου. λαχάνων ὠμῶν. περιπατεῖν πουλλά. γαλακτοποσίη οὐ ξυνήνεγκεν, ἀλλὰ σήσαμον πίνειν, καθαρὸν, ὠμὸν, ὅσον ὀξύβαφον, σὺν οἴνῳ μαλθακῷ. Τιμοχάρει τι χειμῶνος, κατάῤῥους μάλιστα διὰ τὰς ῥῖνας ἀφροδισιάσαντι, ἐξηράνθη πάντα. κόπος. θέρμη ἐπεγένετο. κεφαλὴ βαρέη. ἱδρὼς ἀπὸ κεφαλῆς πουλύς. κατέῤῥει δὲ καὶ κατὰ τοῦ σώματος ὅλου, ἦν δὲ καὶ ὑγιαίνων, ἱδρώδης. τριταῖος ὑγιάνθη. Ὁ τοῦ Κλεομένεος παῖς χειμῶνος ἀρξάμενος ἀπόσιτος ἄνευ πυρετοῦ ἐτρύχετο. καὶ ἤμει τὰ σιτία. καὶ φλέγμα. μῆνας δὲ δύο, ἡ ἀσιτίη παρηκολούθησεν. Τῷ μαγείρῳ ἐν ἀκάνθῃ τὸ κύφωμα ἐκ φρενίτιδος ἐγένετο. φαρμακοποσίη οὐδεμία ξυνήνεγκεν. οἶνος μέλας, καὶ ἀρτοσιτίη. καὶ λουτρῶν ἀπέχεσθαι. χρίεσθαί τε καὶ ἀνατρίβεσθαι χριόμενον. μὴ σφόδρα θάλπειν, μὴ πολλῷ πυρί, ἀλλ᾽ ἠπίως. Οἷσι ῥεύματα ἐν ὀφθαλμοῖς λεπτὰ καὶ χρόνια, ἢν πέπονα κατὰ ῥῖνας χωρήσῃ, ὠφελέονται.

Ἥσιν ἐν κυήμασιν ἐκ πτώματος, ἢ σπάσματος, ἢ πληγῆς πόνοι ἐπιεικῶς, ἐν τῇσι τρίτῃσι δηλοῖ εἰ διαφθείρει. Τῆς Τησίμου τὸ τριηκοσταῖον ἀπόφθαρμα. πιούσῃ τι αὐτόματον, ξυνέβη πόνος. ἔμετος χολωδέων πολλῶν, ὠχρῶν, πρασοειδέων, μελανῶν ὅτ᾽ ἔπιε. τριταίῃ σπασμός. τὴν γλῶσσαν κατεμασᾶτο. πρὸς τεταρταίην εἰσῆλθον. ἡ γλῶσσα μέλαινα μεγάλη. τῶν ὀφθαλμῶν τὰ λευκὰ, ἐρυθρά. ἄγρυπνος τεταρταίη ἀπέθανε διὰ νύκτα. Πυθοκλῆς τοῖσι κάμνουσιν, ὕδωρ. γάλα πολλῷ τῷ ὕδατι μιγνὺς, ἐδίδου. καὶ ἀνέτρεφε. χειμέτλων καταχεῖν. ἀλεαίνειν. τοὺς πόδας ὡς μάλιστα ἐκθερμαίνειν πυρὶ καὶ ὕδατι. ὀφθαλμοῖσι πονηρόν. κακὴ τοῖσί γε οὕτως ἔχουσιν ἡ γλυκέη ὀπώρη, καὶ λάχανα τοῖσι περὶ ὀσφῦν, ἢ ἰσχίον, ἢ σκέλεα. ἀλγήμασιν ἐκ πόνων. θαλάσσῃ, ὄξει. θερμοῖσι καταιονᾶν. καὶ σφόγγους βάπτοντα πυριῆν. περικαταδεῖν δὲ εἰρίοισιν. Ὀρίγανος ὀφθαλμιῶσι κακὸν πινόμενον, καὶ ὀδοῦσιν. Ἡ ἀπὸ τοῦ κρημνοῦ κόρη πεσοῦσα ἄφωνος, ῥιπτασμὸς αὐτὴν εἶχεν. ἤμεσε διὰ νύκτα. αἷμα συχνὸν ἐῤῥύη, κατὰ τὸ οὖς τὸ ἀριστερὸν πεσούσης. καὶ μελίκρητον χαλεπῶς κατέπινεν. ῥέγκος εἶχε. τὸ πνεῦμα πυκνὸν ὥσπερ τῶν ἀποθνησκόντων, φλέβες αἱ περὶ τὸ μέτωπον τεταμέναι. κλίσις ὑπτίη. πόδες χλιαροί. πυρετὸς πολύς. ποτὲ ὀξύς. μάλιστα κατεπλήσσετο. ἑβδόμῃ, φωνὴν ἔῤῥηξεν. αἱ θέρμαι λεπτότεραι. περιεγένετο. Ὀνησαντίδης τοῦ ὤμου τὸ ἄλγημα ἔχων ἐν θέρει γενόμενος ἐξ ἀποστάσιος, ἐν τῇ θαλάσσῃ βρέχειν τὸ σῶμα, καὶ τὸν ὦμον, ὡς πλεῖστον χρόνον. περὶ τρεῖς ἡμέρας, οἶνον λευκὸν ὑδαρέα ἅμα πίνειν ἐν τῇ θαλάσσῃ κατακείμενον. καὶ οὐρέειν

ἐν τῇ θαλάσσῃ.

Ὁ γναφεὺς ὁ ἐν Σύρῳ, ὁ φρενιτικός. μετὰ δὲ καῦσος προμώδης. σκελέων τὸ χρῶμα. οἷον ὑπὸ κωνώπων ἐγκαταδαμάσειν. ὀφθαλμὸς μέγας. βραχέη κίνησις. φωνὴ κεκλασμένη. σαφὴς δέ. οὖρον καθαρόν. ὑπόστασιν οὐκ ἔχον. ἦρα διὰ τὴν τῆς θαψίης ὑποχώρησιν ὀκτωκαιδεκαταῖος ἀνῆκε μολυνθεὶς ἄνευ ἱδρῶτος.

Ὁ ἐν Ὀλύνθῳ Νικόξενος ὁμοίως ἑβδομαῖος ἐδόκει χαλάσσειν μεθ' ἱδρῶτος. ῥοφήματα προσεφέρετο. οἷον βότρυν ἐξ ἡλίου. πρὸς ἑπτακαιδεκαταῖον εἰσῆλθον. καυστικός. ἡ γλῶσσα θερμή. ἔξωθεν οὐ πάνυ ἰσχυρή. ἔκλυσις σώματος δεινή. φωνὴ κεκλασμένη. ἔργον ἀκοῦσαι. σαφὴς δέ. κρόταφοι συμπεπτωκότες. ὀφθαλμοὶ κοῖλοι. πόδες μαλθακοὶ καὶ χλιαροί. κατὰ σπλῆνα ξύντασις. τὸ κλύσμα οὐ πάνυ τι ἐδέχετο, ἀλλ' ἀνεπήδα. τὴν νύκτα ἐπῆλθε κόπρος ξυνεστηκυῖα ὀλίγη. καὶ αἵματός τι. οἶμαι ἀπὸ τοῦ κλυσμοῦ. οὖρον καθαρὸν λαμπρόν. κλίσις ὑπτίη. σκέλεα διηνυγμένα διὰ τὴν ἔκλυσιν. παράπαν ἄγρυπνος, ἐντὸς τῶν εἴκοσιν ἡ θέρμη ἐμολύνθη. ἄποτον τὸ ἀπὸ κριμνοῦ. ἀλλ' ὅγε ἀπὸ μήλων ὁμοῦ. καὶ σίδης χυλός. καὶ φακοῦ πεφωσμένου ψυχρός. καὶ ἀλεύρου πλύμα ἑφθόν. ψυχρόν. λεπτὸν ῥύφημα ἐπεγχέετο.

Τῶν κναφέων οἱ βουβῶνες, ἐφυμάτωντο σκληροὶ καὶ ἀνώδυνοι. καὶ περὶ ἥβην καὶ τράχηλον ὅμοια μεγάλα. πυρετὸς ἔμπροσθεν δέκα. βηχώδεες ἀπὸ ῥηγμάτων. τρίτῳ μηνὶ ἢ τετάρτῳ, γαστὴρ ξυνετάκη. θέρμαι ἐπεγένοντο. γλῶσσα ξηρή. δίψα. ὑποχώρησις ἑκάστῳ, χαλεπαί. ἀπέθανον.

Τὰ χολερικὰ ἐκ κρεοφαγίης. μάλιστα δὲ χοιρείων ἐνωμοτέρων. καὶ ἐκ ὀρεβίνθων. καὶ μέθης εὐώδεος παλαιοῦ. καὶ ἡλιώσιος. καὶ σηπίης. καὶ καράβων τε καὶ ἀστακῶν, καὶ λαχανοφαγίης. μάλιστα δὲ πράσων καὶ κρομμύων. ἔτι δὲ θριδάκων ἑφθῶν. καὶ κράμβης. καὶ λαπάθων ἐνωμοτέρων. καὶ ἀπὸ πεμμάτων, καὶ μελιτωμάτων, καὶ ὀπώρης. καὶ σικύου πέπονος. καὶ οἰνογάλακτος. καὶ ὀρόβων. καὶ ἀλφίτων νέων. μᾶλλον ἐν θέρει τὰ χολερικά. καὶ οἱ διαλείποντες πυρετοί. καὶ οἷσι φρίκαι ὑπογίνονται, οὗτοι ἔστιν ὅτε κακοήθεες γίνονται, καὶ ἐς νοσήματα ὀξέα καθίστανται. ἀλλ' εὐλαβέεσθαι χρή. μάλιστα δὲ τὰ τοιαῦτα νοσήματα ἡ πέμπτη, καὶ ἡ ἑβδόμη καὶ ἡ ἐνάτη δηλοῦσι. βέλτιον δὲ μέχρι τῶν τεσσαρεσκαίδεκα φυλάττεσθαι.

Φερεκύδης μεθ' ἡλίου τροπὰς χειμερινὰς τῆς νυκτός, πλευροῦ δεξιοῦ ἄλγημα. καὶ πρότερον εἰθισμένον ἔληξεν. ἠρίστησεν. ἐξελθὼν. ἔφριξε. πυρετὸς τὴν νύκτα, ἀνώδυνος. βήχιον ῥέον τι ξηρόν. οὖρα οὐ πολλά. ὑπόστασις πολλή. ξυσματώδεα μάνδαρα διεσπασμένα, ἀπ' ἀρχῆς. μετὰ δὲ τέσσαρας, θολερὰ ὑφίστατο. καὶ τὸ οὖρον οὐκ ἄχροον ὑπόστασιν ἔχον. καὶ τὸ σύστημα οὐκ ἐφαίνετο ἐν τῷ χερνιβίῳ. ψύξιος ἐούσης. τριταίῳ αὐτομάτη κοιλίη ὑπῆλθε. τετάρτῃ βαλάνου γεγονότος, κοπρώδεα καὶ χολώδεα διεχώρησεν. ὑγρός. περίῤῥοος. ὕπνος τὴν νύκτα, οὐ πάνυ. ἡμέρης δέ τι ἐκοιμᾶτο. δίψα οὐ σφοδρή. τεταρταίῳ μάλιστα τὴν νύκτα, δέρμα περὶ μέτωπον, καὶ τὸ ἄλλο μαλθακὸν ὑπερφέρειν ἀεί. πυρετὸς ἐκρατεῖτο πρὸς χεῖρα, καὶ ὑπενόστιζεν. ἄδηλος σφυγμὸς σφόδρα ἐν μετώπῳ. φλεβῶν βάρος, ἐν τῇσιν ὑποστροφῇσι, καὶ ἐν τῇσιν ὑποχωρήσεσι πάσῃσιν. ὀλίγον χρόνον διὰ παντός, ἀνώδυνος ἀπ' ἀρχῆς. ἀσώδης. καὶ κατὰ μικρόν, ἡμέρᾳ ἑβδόμῃ παρὰ βαλάνου ὑπεχώρησε τρίς, χολώδεα καὶ κοπρώδεα, ὑγρὸν σφόδρα καὶ ὠχρόν. καὶ ἤδη τι ὑποπαρέκρουσε. καὶ νοτὶς ἐπ' ὀλίγον ἔστιν ὅτε περὶ μέτωπον. τὸ ἱμάτιον ἐπὶ τὸ πρόσωπον. τὰ ὄμματα διὰ κενῆς ὡς εἴ τι βλέπων ξυνέστρεφε. καὶ πάλιν κατέμυσεν αὐτοῦ τὸ ἱμάτιον ἀπέβαλεν ἐναταῖος. ἱδρὼς πρωῒ ἀρξάμενος μέχρι στήθεος διετέλει, ἕως ἐτελεύτησε. καὶ ὁ πυρετὸς ἐπέτεινε. καὶ ἡ παραλήρησις. περὶ μέτωπον πλεῖστος ἱδρώς. καὶ οἷον δεινὸν μὲν ἢ ἔκλευκον. τὸ δέρμα δὲ τὸ ὑπὸ τὰς τρίχας ἐν μεμιγμένον. ὑποχόνδριον δεξιόν, ἐπηρμένον. ὑφῆκεν ἐφ' ἑωυτὸν χολώδεα. ὀγδόῃ ὡς ὑπὸ κωνώπων ἀναδήγματα. πρὸ τῆς τελευτῆς ἐνέβηξεν, οἷον ἐκ μύξης, μύκητα ξυνεστηκότα λευκῷ φλέγματι περιεχόμενα. ἐπεχρέμπτετο δὲ καὶ ἔμπροσθεν σμικρά. λευκά. γαλακτώδεα. μετὰ τὸ δεῖπνον ἐν τῷ ὕπνῳ ἔφριξε. πρωῒ ἐξανέστη καρηβαρικός. ἔφριξεν, ἀπήμεσε, κεφαλὴν ἐβαρύνετο. τὴν νύκτα ἀνῆκε μέχρι μέσου ἡμέρης ἐπιεικῶς. ἔφριξε. πάλιν, νύκτα χαλεπῶς. τὴν ὑστεραίην δὲ ἡμέρην, πυρετὸς ὀξύς. κεφαλῆς σφάκελος. ἔμετος χολῆς πολλῆς. ἡ πλείστη πρασοειδής. ἔληξε πάντα. ὕπνος τὴν νύκτα. πρωῒ περιέψυκτο. ἱδρώτιον. νοτὶς ἐπὶ πολὺ τοῦ σώματος κατὰ σπλῆνα. τῇ χειρὶ ἐδείκνυεν ὀλίγον χρόνον. ξύστρεμμα ἀνώδυνον. παραχρῆμα ἐμαράνθη. τὴν νύκτα ἄγρυπνος. περὶ ἀγορὴν παραξύνετο. πυρετός. ἄση. σκοτόδινος. στρόφος. κεφαλῆς ὀδύνη. ἔμετος πρασοειδὴς λεῖος γλί-

χρὸς ὡς φλέγμα. περὶ δυσμὰς ἔληξε πάντα. ἱδρὼς κεφαλῆς, τραχήλου. ὑπεχώρησε μετὰ τὸν ἔμετον κοπρώδεα. ὑγρά. χολώδεα. οὔτε μέλανα, οὔτε ἐπεοικότα. νύκτα μετρίως. καὶ τὴν ἐπιοῦσαν ἡμέρην. ἐς νύκτα πάλιν ἄγρυπνος. ἔμετος ὄρθρου ὁμοίως καὶ τὴν ἐπιοῦσαν ἡμέρην ἄνευ ἄσης. τῆς δὲ κεφαλῆς μετὰ τὸν ἱδρῶτα, ἔληξαν αἱ ὀδύναι. ἐς τὴν ἑσπέρην πάντα ἐχάλασεν. ἐνάτῃ οὐκ ἔτι ἤμεσεν. ἐθερμάνθη μᾶλλον. τοῖσιν ἄλλοισιν οὐκ ἐδόκει πυρεταίνειν. αἱ ἐν κροτάφοισιν φλέβες ἐπίδηλοι. ἀνώδυνος πάντων. δίψος ἦν αἰεί. ἐναταῖος ἤδη θῶκον ἀναστὰς, ἐλειποψύχει σφόδρα. ὑπεχώρησε πρὸς βάλανον ξυσμάτια μέλανα καὶ χολώδεα. χρῶμα κοπρῶδες ὅσον ἀπέσταξεν. ἡ φωνὴ κεκλασμένη. ἐν τῇσιν ὑποστροφῇσι βαρύς. ὀφθαλμοὶ κοῖλοι. δέρμα μετώπου περιτεταμένον. ἄλλως, ἄϋπνος κόσμιος. πρὸς τοῖχον τὰ πλεῖστα ἀπεστραμμένος. ὑγρὸς ἐν τῇσι κλίσεσιν. ὑποκεκαμμένος. ἀτρεμίζων. γλῶσσα λευκή. λείη. περὶ δὲ τὰς δέκα καὶ μετὰ, οὖρα ἐρυθρὰ τὰ κυκλώδεα. ἐν μέσῳ σμικρὸν λευκόν. δωδεκαταίῳ πρὸς βάλανον ὅμοια ἀπέσταξε χολώδεα καὶ ξυσματώδεα. μετὰ τοῦ βαλανείου, λειποψυχίη. ἔπειτα τὸ σῶμα ἐπεξηραίνετο. διεκλύζετο αἰεί. καὶ εἰ μὴ σφόδρα ψυχρὸν ἦν, θερμὸν ἔφασκεν εἶναι τῆς χιόνος ὑπερεικῶς. εἶτα δίψα οὐκ ἐνῆν. τὸ ἱμάτιον αἰεὶ ἀπὸ τῶν στηθέων ἀπεωθεῖ. τὴν χλαμύδια χλιαίνειν οὐκ εἴα. τὸ πῦρ πόῤῥω καὶ σμικρόν. γνάθων ἀμφοτέρων ἔρευθος. μετὰ ταῦτα ἄκροπις ἀνεθερμαίνετο μίαν ἢ δύο ἡμέρας. καὶ ἔληξεν.

Ἀνδροβαλεῖ. ἀφωνίη. ἄγνοια. παραλήρησις. παυθέντων δὲ τουτέων περὶ εἴκ. ἔτεα συχνά καὶ ὑποστροφαὶ ἐγίνοντο. ἡ γλῶσσα διετέλει πάντα τὸν χρόνον ξηρὴ εἰ μὴ διακλύσαιτο. διαλέγεσθαι οὐχ οἷός τε ἦν. καὶ σφόδρα πικρὴ ἦν τὰ πουλλά. ἐστι δ' ὅτε καὶ πρὸς καρδίην ὀδύνη. φλεβοτομίη ἔρυσε ταῦτα. ὑδροποσίη. μελίκρητον. ἐλλέβορον ἔπιε μέλανα. χολῶδες οὐ διῄει, ἀλλ' ὀλίγον. τέλει δὲ χειμῶνος κατακλιθεὶς, ἐξ ἑωυτοῦ ἐγένετο. καὶ τὰ τῆς γλώσσης παθήματα ὅμοια. θέρμη λεπτή. γλῶσσα ἄχρως. φωνὴ, ὥσπερ περιπλευμονική. ἀπὸ τοῦ στήθεος τὸ ἱμάτιον ἀπέῤῥιπτε. καὶ ἐξάγειν ἑωυτὸν ὡς οὐρήσαντα ἐκέλευεν. οὐδὲν δυνάμενος σάφα εἰπεῖν. οὐδὲ ἐῶν παρ' ἑωυτὸν, ἐξῆγον αὐτόν. ἐς νύκτα ἐτελεύτησεν. ἦσι κατέκλινε δύο ἢ τρεῖς ἡμέρας ἐγένετο.

Τὸ Νικάνορος πάθος ὁπότε ἐς πότον ὥρμητο, φόβος τῆς αὐλητρίδος ὅτε ἀρχομένης αὐλεῖν, ἀκούσειεν ἐν τῷ συμποσίῳ ὑπὸ δειμάτων ὄχλοι μόγις ὑπομένειν, ἔφη, ὅτε νὺξ εἴη. ἡμέρης δὲ ἀκούων, οὐδὲν διετρέπετο. καὶ ταῦτα παρέπετο χρόνον συχνόν.

Τιμοκλέης δὲ ὁ μετ' ἐκείνου ἀμβλυώσσειν καὶ λυσισωματεῖν ἐδόκει. καὶ οὐκ ἂν παρὰ κρημνὸν ἔφη παρελθεῖν, οὐδὲ ἐπὶ γεφύρας. οὐδὲ τοὐλάχιστον βάθος τάφρου τολμῆσαι ἂν, ὑπὸ δείματος μὴ πέσῃ, διελθεῖν. ἀλλὰ δι' αὐτῆς τῆς τάφρου πορεύεσθαι. τοῦτο χρόνον τινὰ αὐτῷ ξυμβῆναι.

Τὸ Φοίνικος ἐκ τοῦ ὀφθαλμοῦ τὰ πολλὰ τοῦ δεξιοῦ, ὥσπερ ἀστραπὴν ἐκλάμπειν ἐδόκει. οὐ πολὺ δὲ ὑπὸ χρόνον, ὀδύνη ἐς κρόταφον τὸν δεξιὸν ἐγένετο δεινή. ἔπειτα καὶ ἐς ὅλην τὴν κεφαλὴν, καὶ ἐς τὸν τράχηλον οἴδετο ἡ κεφαλὴ, ὄπισθεν τῶν σπονδύλων. καὶ ξύντασις καὶ σκληρότης, ἀμφὶ τοὺς τένοντας. εἰ γοῦν ἐπειρᾶτο διακινέειν τὴν κεφαλὴν, ἢ διοίγειν τοὺς ὀδόντας ἠδύνατο, ὡς σφόδρα ξυντεινόμενος. ἔμετοι ὁπότ' ἂν γινοίατο, ἀπέτρεπον τὰς εἰρημένας ὀδύνας, ἠπιωτέρως ἐποίουν. καὶ φλεβοτομίη ὠφέλησε. καὶ ἐλλέβοροι ἦγον παντοδαπὰ οὐχ ἥκιστα πρασοειδέα.

Τῷ Γαρμενίσκῳ καὶ πρότερον ἐνέπιπτον ἀθυμίαι καὶ ἵμερος τῆς ἀπαλλαγῆς βίου. ὅτε δὲ πάλιν εὐθυμίη. ἐν Ὀλύνθῳ δὲ ποτὲ φθινοπώρου ἄφωνος κατέκειτο. ἡσυχίην ἔχων, βραχύ τι ὅσον ἄρχεσθαι ὑπὸ χαιρέων προσειπεῖν. ἤδη δέ τι καὶ διελέχθη. καὶ πάλιν ἄφωνος. ὕπνοι ἐνῆσαν. ὅτε δὲ ἀγρυπνίη, καὶ ῥιπτασμὸς μετὰ σιγῆς. καὶ ἀλυσμός. καὶ χεὶρ πρὸς ὑποχόνδρια ὡς ὀδυνωμένῳ. ὅτε δὲ ἀποστραφεὶς, ἔκειτο ἡσυχίην ἄγων. ὁ πυρετὸς δὲ διὰ τέλεος καὶ ἄϋπνος. ἔφη δὲ ὕστερον ὑπογινώσκειν τοὺς εἰσιόντας. πιεῖν δὲ ὅτε μὲν ἡμέρης ὅλης καὶ νυκτὸς, καὶ διδόντων, οὐκ ἤθελεν. ὅτε δὲ ἐξαίφνης τὸν στάμνον ἁρπάσας, τοῦ ὕδατος πάντος ἐξέπιεν. οὖρον παχύ. ὡς ὑποζυγίου. περὶ δὲ τὴν ιδ΄ ἀνῆκεν.

Ἡ δὲ Κόνωνος θεράπαινα ἐκ κεφαλῆς ὀδύνης ἀρξαμένη, ἐκτὸς ἑωυτοῦ. καὶ βοή. καὶ κλαυθμὸς πολύς. ὀλιγάκις δὲ ἡσυχίη. περὶ ἔτεα τεσσαράκοντα, ἐτελεύτησεν. τὰς δὲ ἤδη τελευτῆς ἡμέρας, ἄφωνος καὶ σπασμώδης ἐγένετο.

Καὶ ὁ τοῦ Τιμοχάρεος θεράπων, ἐκ μελαγχολικῶν δοκέων εἶναι καὶ ζώντων, ἐτελεύτησεν ὁμοίως, καὶ περὶ ἡμέρας τὰς αὐτάς.

Τῷ Νικολάου, περὶ ἡλίου τροπὰς χειμερινὰς, ἐκ πότων ἔφριξεν. ἐς νύκτα πυρετός. τῇ ὑστεραίῃ ἔμετος χολώδης, ἄκρητος, ὀλίγος. τρίτῃ δὲ ἀγορῆς πληθούσης, ἱδρὼς δι' ὅλου τοῦ σώματος. ἔληξε. καὶ ταχὺ πάλιν ἐθερμάνθη. περὶ μέσας νύκτας ῥῖγος. πυρετὸς ὀξύς. ἡμέρης

δὲ τὴν

δὲ τὴν αὐτὴν ὥρην, ἱδρώς. ταχὺ πάλιν ἐπεθερμάνθη. ἔμετος ὅμοιος. τῇ τετάρτῃ ἀπὸ ὕδατος λινοζώστιος, ὑπεχώρησεν, εὐκοπρώδεα καὶ ὑγρά. ὑπομύξαρα δὲ σπογγοειδέα, οἷα ὕδωρ λινοζώστιος, οὐκ ἀνόμοια. ὑπόστασις οὐκ ἦν, οὐ δὲ πολὺ τὸ οὖρον. ἐναιωρήματα σμικρά. ἀλγήματα ὑποχονδρίου ἀριστεροῦ καὶ ὀσφύος. ὥστε ἐκ τοῦ ἐμέτου ἐπαναπνεῖν. καὶ ἐπανέπνει. ἔστι δ' ὅτε διπλόον. γλῶσσα λευκή, ἔχουσα ἐκ δεξιοῦ, οἷον θερμοῦ πρόσφυσιν. ἐπὴν βραχὺ ἦν διψώδης. ἄγρυπνος. ἔκφρων. ἐκταίῳ δὲ δεξιὸς ὀφθαλμὸς μείζων ἐν τῷ βλέπειν. ἑβδομαῖος ἐτελεύτησε. πλὴν ἡ κοιλίη περὶ τὴν τελευτὴν ἐμετεωρίσθη. καὶ ἀποθανόντι, τὰ ὄπισθεν ἐφοινίχθη. Μέτωνι μετὰ πληϊάδων δύσιν, πυρετὸς πλευροῦ ἀριστεροῦ. ὀδύνη μέχρι κληΐδος. οὕτω δὲ δεινή, ὥστε ἀτρεμίζειν οὐχ οἷός τε. καὶ τὸ φλέγμα κατεῖχεν. ὑποχώρησις πολλή, χολώδης. ἐν τρισὶν ἡμέρῃσι σχεδόν, ἔληξεν ἡ ὀδύνη. ἡ θέρμη δὲ περὶ τὰς ζ ἢ θ. βὴξ ἐνῆν. ἀπὸ χρέμψιες ὑπόχολοι οὐ δὲ ἐγίνοντο, οὐ δὲ πολλαί. φλεγματώδεες δὲ αἱ βῆχες παρηκολούθεον. σιτίων ἀπεγεύετο. ἐσιτεῖτό τε, ἐξήει ὡς ὑγιής. ὑπελάμβανον δὲ ἐνίοτε θέρμαι λεπταί, ὀλίγον χρόνον. ἱδρώτια ἐγίνοντο διὰ νύκτα. τὸ πνεῦμα ἐν τῇ θέρμῃ πυκνότερον. γνάθων ἔρευθος. περὶ τὸ πλευρὸν βάρος. καὶ ὑπὸ τὴν μασχάλην, καὶ ἐς τὸν ὦμον. αἱ βῆχες ἀπεῖχον. φάρμακον ἄνωθεν ἤγαγε χολώδεα. τρίτῃ ἀπὸ τοῦ φαρμάκου ἔρρηξε τὸ πύον. ἀπὸ δὲ τῆς ἀρχῆς τοῦ ἀρρωστήματος, τεσσαρακοστῇ. ἀπεκαθήραι δὲ περὶ πέντε καὶ τριήκοντα ἡμέρας ἄλλας, καὶ ὑγιής. Τῇ Θεοτίμου ἐν ἡμιτριταίῳ ἄση. καὶ ἔμετος, καὶ φρίκη ἅμα. ἀρχομένου τοῦ πυρετοῦ καὶ δίψα. προϊόντος ἀρχομένου ἐξαίσιον τὸ θερμὸν μελίκρητον πιούσῃ, καὶ ἀπεμεούσῃ, ἥ τε φρίκη καὶ ἡ ἄση ἐπαύσατο. καὶ τὸ ἀπὸ τῆς σιδῆς ὕστερον.

Τῇ Διοπείθεος ἀδελφῇ ἐν ἡμιτριταίῳ, δεινὴ καρδιαλγίη περὶ τὴν λῆψιν. καὶ ξυμπαρέτεινεν ὅλην τὴν ἡμέρην. καὶ κεφαλαλγίη καὶ τῇσιν ἄλλῃσιν. ὡσαύτως ὑπὸ πληϊάδος δύσιν. ἀνδράσιν σπανιώτερα ἐγίνετο τὰ τοιαῦτα. Τῇ Απομότου ἐν ἡμιτριταίῳ περὶ ἀρκτοῦρον, δεινὴ καρδιαλγίη περὶ τὴν λῆψιν. καὶ ἔμετοι. καὶ πνῖγες προσίσταντο ἅμα ὑστερικαί. καὶ ἐς τὸ μετάφρενον ὀδύναι κατὰ ῥάχιν. ὅτε δὲ ἐνταῦθά οἱ ἴη, ἔληγον αἱ καρδιαλγίαι. Τῇ Τερπίδεω μητρί, τῇ ἀπὸ Δορίσκου διαφθορῆς γινομένης, μίην περέμπλεω διδύμων ἐκ πτώματος, τοῦ μὲν ἑτέρου αὐτίκα ὡς ἐν χιτῶνι τινὶ ἀπηλλάγη. τοῦ δὲ ἑτέρου ἢ πρότερον ἢ ὕστερον μ ἡμερέων, ἀπηλλάγη. ὕστερον δὲ ἔλαβεν ἐν γαστρί. ἔτει δὲ ἐνάτῳ ὀδύναι δειναὶ κατὰ γαστέρα ἤδη πουλὺν χρόνον ἤρχοντο. ἔστι μὲν ὅτε ἐκ τοῦ τραχήλου καὶ ῥάχιος. κατίσταντο δὲ ἐς ὑπογάστριον καὶ βουβῶνας. ἔστι δ' ὅτε ἐκ γούνατος τοῦ δεξιοῦ. κατίσταντο δὲ ἐς ταὐτό. καὶ ὅτε μὲν κατὰ τὴν γαστέρα αἱ ὀδύναι εἶεν, ἐμετεωρίζετο ἡ κοιλίη. ὅτε δὲ ἐπαύσατο, ξυνέπιπτεν ἡ καρδιαλγίη. πνιγμοὶ οὐκ ἐνῆσαν. ψύξις δὲ τοῦ σώματος ὡς ὕδατι κειμένου. κατὰ τὸν χρόνον ἡνίκα ἡ ὀδύνη ἐγίνετο, ὑπέστρεφε δι' ὅλου τὰ ἀλγήματα, ἠπιώτερα τῶν κατ' ἀρχάς. σκόροδα. σίλφιον. τὰ δριμέα ξύμπαντα, οὐ ξυνέφερεν. οὐ δὲ τὰ γλυκέα. οὐ δὲ τὰ ὀξέα. οὐ δὲ οἱ λευκοὶ οἶνοι. οἱ μέλανες δὲ καὶ λουτρὰ ὀλιγάκις ἀρχομένης. καὶ ἔμετοι δεινοὶ ἐπεγίνοντο, καὶ τῶν σιτίων ἀποκλείσιες, καὶ περὶ τὰς ὀδύνας τὰ γυναικεῖα οὐκ ἐφαίνετο. Τῇ Κλεομένεος περὶ ζεφύρου πνοάς, ἐκ ναυσίης καὶ κόπου, πλευροῦ ἀριστεροῦ ὀδύνη. ἐκ βραχίονος ἀρξαμένη, καὶ τοῦ ὤμου. πυρετός. καὶ φρίκη. καὶ ἱδρώς. ἤρξατο δὲ ὁ πυρετὸς καὶ οὐκ ἔληγεν ἀλλ' ἐπέτεινε. καὶ ἡ ὀδύνη δεινή. βὴξ. ἀπόχρεμψις ὕφαιμος. ὠχρή. πολλή. γλῶσσα λευκή. διαχωρήματα μέτρια ὑγρά. οὖρα χολώδεα. τετάρτῃ ἐς νύκτα, τὰ γυναικεῖα ἦλθε πουλλά. ἔληξεν ἥ τε βὴξ καὶ ἡ ἀπόχρεμψις, καὶ ἡ ὀδύνη. ἡ δὲ θέρμη λεπτή. Τῇ Ἐπιχάρμου περὶ τόκου δυσεντερίη, πόνος. ὑποχωρήματα ὕφαιμα, μυξώδεα. τεκούσῃ παραχρῆμα ὑγιής. Τῇ Πολεμάρχου ἐν ἀρθριτικοῖς, ἰσχίου ἄλγημα ἐξαίφνης, γυναικείων οὐ γινομένων. τὸ ἐν τοῦ τευτλίου πιούσῃ, ἔσχετο ἡ φωνὴ νύκτα. καὶ ἐς μέσον ἡμέρης. ἤκουε μετὰ ταῦτα καὶ ἐφρόνει. καὶ τῇ χειρὶ ἐσήμαινεν, ἀμφὶ τὸ ἰσχίον εἶναι τὸ ἄλγημα. Τῇ Λικινίου ἀδελφῇ, τῇ ἀφηλικεστέρῃ, ἔμετος ὅτι προσδέξαιτο τεσσαρεσκαίδεκα ἡμέρας, ἄνευ πυρετοῦ. αἱματωδέων τῶν ἐμεσμάτων. ῥεγμοί. καὶ ξυνεσταλμένον. ἐχώρει πρὸς καρδίην πνίγμα. καστόρειον. σέσελι, πάντα ἔπαυσε. καὶ τὸ ἀπὸ τῆς σιδῆς. ἀπέστη δὲ ἄλγημα μέτριον ἐς κενεῶνα. βολβοῦ χυλός. καὶ οἶνος γαλακτώδης, αὐστηρός. καὶ ἄρτοι ὡς ἐλάχιστοι ξὺν ἐλαίῳ. Τῇ Παυσανίου κούρῃ, μύκητα ὠμὸν φαγούσῃ, ἄση ἔσχε. πνιγμός. ὀδύνη γαστρός. μελίκρητον θερμὸν πίνειν, καὶ ἐμέειν ξυνήνεγκε καὶ λουτρὸν θερμόν. ἐν τοῦ λουτροῦ, ἐξήμεσε τὸν μύκητα. καὶ ἐπεὶ λήξειν ἔμελλεν, ἐξίδρωσεν. Ἐπιχάρμῳ περὶ πληϊάδων δύσιν, ὤμου ὀδύνη. καὶ βάρος δεινὸν ἐς βραχίονα. ἄσαι. ἔμετοι συχνοί. ὑδροποσίη. Τῷ Εὐφρε-

νος παιδὶ, ἐξανθήματα οἷα ἀπὸ κωνώπων. μετὰ ζέφυρον, αὐχμοὶ ἐγένοντο, μέχρις ἡμέρας μετοπωρινῆς. ὑπὸ κῦμα, δεινὰ πνίγεα. καὶ πνεύματα θερμὰ, καὶ πυρετοὶ ἱδρώδεες. καὶ πάλιν εὐθὺς ὑπεθέρμαινον. φύματα δὲ παρ᾽ οὓς πολλοῖσιν ἐγένετο. Τῇ γραίῃ βηχικῇ περὶ ἐνάτην. Τῷ μειρακίῳ περὶ σπληνώδει περὶ τῆς παιδίσκης, κοιλίης ὑγρανθείσης περὶ τὸν αὐτὸν χρόνον. Κτησιφῶντι ὑπὸ ἀρκεύθου σχεδὸν περὶ τὰς ἑπτὰ περὶ παιδὶ μουνῶν ἐπωάθη.

Τῷ Ἐρατύλλου ἀπεμωλύνθη· περὶ ἀμφότερα ἀνιδρώσιες. γλώσσης ὑπὸ ξηρότητος ψελλοί. οἱ ὀρνιθίαι ἔπνευσαν πολλοὶ καὶ ψυχροί. καὶ χιόνες δὲ εὐδιέων ἔστιν ὅτε ἐγένοντο. καὶ μετὰ ἰσημερίην, νότια διαμίσγοντα Βορείοις. ὕδατα συχνὰ ἐπεδήμησαν. βῆχες πολλαὶ, μᾶλλον δὲ παιδίοισι. παρὰ τὰ ὦτα πολλοῖσιν, οἷα τοῖσι σατύροισιν. ὅτε δὲ ὁ πρὸ τούτου τοῦ χρόνου χειμὼν, σφόδρα χειμερινὸς ἐγένετο, ἐν χιόνι καὶ ὄμβροισι Βορείοισιν. Τοῦ Τιμώνακτος παιδίῳ ὡς διμηνιαίῳ ἐξανθήματα ἐν σκέλεσιν. καὶ ἐν ἰσχίοισι, καὶ ὀσφύϊ, ὑπογαστρίῳ, καὶ οἰδήματα σφόδρα ἐνερεύθη. καταστάντων δὲ τούτων, σπασμοὶ καὶ ἐπιληπτικὰ ἐγένοντο, ἄνευ πυρετῶν ἡμέρας πολλὰς καὶ ἐτελεύτησεν. Τῷ τοῦ Πολεμάρχου, ξυνέβη μὲν τῷ ἔμπροσθεν χρόνῳ ἐμπυωθῆναί τε καὶ ἀποχρέμψασθαι. ὕστερον δὲ θέρμαι αὐτῷ ἦσαν. καὶ ὑδρωπιώδης ἦν, καὶ ἐπὶ σπληνὸς, καὶ ἀσθματώδης. πρὸς αἶπος εἴ ποτε ἴοι, ἀδύνατος. καὶ διψώδης. καὶ ἀπόσιτος ἐπιεικῶς ἔστιν ὅτε. καὶ βηχία ξηρὰ ἐπὶ πουλὺν χρόνον οὕτως ἐγίνετο. ὑπεφέρετο καὶ εἰ μή τι ἐνέλυτο. κοιλίη κάτω πλήρης ἐγίνετο. καὶ ἆσθμα καὶ πνίγμα ἐγένετο μᾶλλον. τέλεος δὲ κατάῤῥοος. καὶ ἀπόχρεμψις ἐπικατῆλθε. καὶ βὴξ. ἡ δὲ ἀπόχρεμψις παχεῖα καὶ ὠχρά. ἔπειτα δὲ καὶ πυρετὸς σφοδρός. καὶ ἔδοξε λῆξαι. καὶ ἡ βὴξ πρηϋτέρη. καὶ ἡ ἀπόχρεμψις καθαρή. ὑπέστρεψε πάλιν ὀξὺς πυρετός. πνεῦμα πυκνόν. ἐτελεύτησε, πλὴν προσεῤῥίσωσε πόδας, καὶ κατεψύχθη μετὰ ταῦτα. πνεῦμα μᾶλλον ἐγκατελήφθη. ἡ οὔρησις ἔστη. τὰ ἄκρεα κατεψύχθη. ἔμφρων ἐτελεύτησε. τριταῖος δὲ ἀπὸ τῆς ὑποστροφῆς. Τῷ τοῦ Θώνου σφόδρα ἐν πυρετῷ καυσώδει, ἐλιμοκτονήθη. ὑποχώρησις συχνή. μετὰ χολῆς δὲ ἐγένετο, καὶ μετὰ ἀψυχίης, καὶ ἱδρῶτος πολλοῦ. κατεψύχθη σφόδρα. καὶ ἄφωνος ἦν ἡμέρην ὅλην καὶ νύκτα. ἐγχεόμενος χυλὸν πτισάνης, κατείχετο. ἐφρόνει. ἄϋπνος ἦν. Τοῦ Ἐπιχάρμου ξυνέβη ἐκ περιόδου, καὶ ποτοῦ, ἀπεψίη. τῇ ὑστεραίῃ δὲ πρωῒ ἄσης γενομένης, πιὼν ὕδωρ. ὄξος. ἅλας, ἐξήμεσε φλέγμα. μετὰ δὲ ῥῖγος ἔλαβεν. ἐλούσατο πυρεταίνων. καὶ στῆθος ἤλγει. τῇ τρίτῃ εὐθὺς πρωῒ, καῦμα. ὀλίγον χρόνον ἐπέσχεν, καὶ ἐπελήρει. καὶ πυρετὸς ὀξύς. βαρέως ἔφερε τὴν νόσον. τῇ τετάρτῃ ἄγρυπνος. ἀπέθανεν. Ἀρίστωνι, δακτύλου τοῦ ποδὸς ἡλκωμένου, ξὺν πυρετῷ. ἀσάφεια. τὸ γαγγραινῶδες, ἀνέδραμεν ἄχρι πρὸς γόνυ. ἀπώλετο. ἦν δὲ μέλαν. ὑπόξηρον. δυσῶδες. Ὁ τὸ καρκίνωμα τὸ ἐν τῇ φάρυγγι καυθεὶς, ὑγιὴς ἐγένετο ὑφ᾽ ἡμέων. Πολύφαντος ἐν Ἀβδήροισι κεφαλὴν ὠδυνᾶτο, ἐν πυρετῷ σφοδρῷ. οὖρα λεπτὰ πολλά. ὑποστάσιες δασεῖαι καὶ ἀνατεταραγμέναι. οὐ παυομένου δὲ τοῦ ἀλγήματος τῆς κεφαλῆς, φαρμακὰ προσετέθη ἐόντι δεκαταίῳ. μετὰ δὲ ἐς τράχηλον ὀδύνη ἰσχυρή. οὖρον ἦλθεν ἐρυθρόν. ἀνατεταραγμένον, οἷον τὸ τοῦ ὑποζυγίου. παρέκρουσε τρόπον φρενιτικόν. ἀπέθανεν ἐν σπασμοῖσιν ἰσχυροῖσιν. Παραπλησίως δὲ καὶ ἡ τοῦ Εὐαλκίδου οἰκέτις. ἔνθα οἱ πολὺν χρόνον τὰ δασέα ἐχώρει οὖρα. καὶ κεφαλαλγίαι ἐνῆσαν. φρενιτικὴ γενομένη ἀπέθανεν. ὡσαύτως σπασμοῖσιν ἰσχυροῖσι. πάνυ γὰρ τὰ δασέα οὖρα καὶ ἀνατετραμμένα σημεῖον ἀκριβὲς κεφαλαλγίης. καὶ σπασμοῦ. καὶ θανάτου. Ὁ δὲ Ἁλικαρνασεὺς ὁ ἐν τῇ Ξανθίππου οἰκίῃ καταλύων οὓς ἐν χειμῶνι ὠδυνᾶτο. καὶ κεφαλὴν οὐ μετρίως. ἦν δὲ περὶ ἔτεα πεντήκοντα, φλέβα ἐτμήθη. κατὰ Μνησίμαχον, ἐβλάβη ἡ κεφαλὴ, κενωθεῖσα. καὶ ψυχθεῖσα. οὐ γὰρ ἐξεπύησεν. φρενιτικὸς ἐγένετο. ἀπέθανε. οὖρα καὶ τούτῳ δασέα. Ἐν Καρδίῃ τῷ Μητροδώρου παιδὶ ἐξ ὀδόντων ὀδύνη. σφακελισμὸς σιηγόνος, καὶ οὔλων ὑπερσάρκωσις δεινή. μετρίως ἐξεπύησεν. ἐξέπεσαν οἵ τε γόμφοι, καὶ ἡ σιαγών. Ἀναξήνωρ ἐν Ἀβδήροισιν. ἦν μὲν σπληνώδης, καὶ κακόχρους. ξυνέβη δὲ αὐτῷ οἰδήματος γενομένου περὶ μηρὸν τὸν ἀριστερὸν, ἐξαπίνης τοῦτο ἀφανισθῆναι. οὐ πολλῇσι δὲ ὕστερον ἡμέρῃσιν ἐγενήθη αὐτῷ κατὰ τὸν σπλῆνα, οἷον ἐπινυκτὶς ἐξ ἀρχῆς. ἔτι δὲ οἴδημα καὶ ἐρύθημα σκληρόν. μετὰ δὲ ἡμέρην τετάρτην πυρετὸς ἐγένετο καυσώδης, καὶ ἐπελιδνώθη πάντα κύκλῳ καὶ σαπρὰ ἔδοξε. ἀπέθανεν. ὑπεκαθάρθη δὲ πρότερον καὶ κατενόει. Κλόνιγος ἐν Ἀβδήροισιν, ἦν μὲν νεφριτικός. οὔρει δὲ αἷμα κατὰ σμικρὸν κατὰ

πουλὺ χαλεπῶς. ἠνώχλει δὲ καὶ κοιλίη δυσεντερική. τούτῳ πρωῒ μὲν ἐδίδοτο γάλα αἴγειον, καὶ ὕδατος πέμπτη μοῖρα ἀνεζευγμένον τὸ πᾶν κοτύλαι τρεῖς. ἑσπέρην δὲ ἄρτος μὲν ἔξοπτος. ὄψα δὲ, σεῦτλα. ἢ σικυός. οἶνος μέλας λεπτός. ἐδίδοτο δὲ καὶ σικύον πέπονα. οὕτω δὲ διαιτωμένῳ, καὶ ἡ κοιλίη ξυνέστη. καὶ τὰ οὖρα καθαρὰ ἐφοίτα. ἐγαλακτοπότησε δὲ, ἕως τὰ οὖρα ἀπεκατέστη. Γυναικὶ ἐν Ἀβδήροισι, καρκίνωμα ἐγένετο περὶ τὸ στῆθος. ἦν δὲ τοιοῦτον. διὰ τῆς θηλῆς, ἰχὼρ ὕφαιμος ἔῤῥει. ἐπιληφθείσης δὲ τῆς ῥύσιος, ἀπέθανεν. Τῷ Δεινίου παιδίῳ ἐν Ἀβδήροισι μετρίως ὀμφαλὸν τρυθέντι, συείγγιον κατελείφθη. καί ποτε καὶ ἕλμις δι' ἑωυτοῦ διῆλθεν ἀθρόα. καὶ ἔφη ὅτε πυρέξειε χολώδεα, ὅτι καὶ αὐτὰ ταύτῃ διίει. προσεπεπλώκει τούτῳ τὸ ἔντερον πρὸς τῷ συειγγίῳ, καὶ διαβέβρωτο ὡς τὸ συείγγιον, καὶ ἐπανεῤῥήγνυτο. καὶ βηχία διεκώλυε διαμένειν. Τῷ παιδίῳ τῷ Πύθωνος ἐν Πέλλῃ πυρετὸς αὐτίκα ἤρξατο πουλύς. καὶ καταφορὴ πουλλὴ μετὰ ἀφωνίης ὕπνοι ἐγένοντο. καὶ κοιλίη σκληρὴ, παρὰ πάντα τὸν χρόνον. προστιθεμένου δὲ τοῦ ἐκ τῆς χολῆς, πολλὰ διεχώρει. καὶ αὐτίκα ἐνεδίδου. ταχὺ δὲ πάλιν ἡ κοιλίη ἐπήρετο. καὶ ὁ πυρετὸς παρωξύνετο. καὶ ἡ καταφορὴ διὰ τῶν αὐτῶν. τῆς δ' αὐτῆς ἀγωγῆς ἐούσης, ἐδόθη τι τῶν σὺν κνίκῳ. καὶ σικύου. καὶ μηκωνίου. καὶ χολώδεα κατέῤῥηξε. καὶ αὐτίκα τὸ σῶμα ἐπέπαυτο. καὶ ὁ πυρετὸς ἐπραΰνετο. καὶ τὰ ὅλα ἐκουφίσθη. καὶ ἐκρίθη τεσσαρεσκαιδεκαταῖος. Εὔδημος, σπλῆνα ἐπόνει ἰσχυρῶς. προσετάττετο ὑπὸ τῶν ἰητρῶν ἐσθίειν πουλλά. πίνειν οἶνον ὀλίγον λεπτόν. περιπατεῖν συχνά. οὐ μετέβαλλεν. ἐφλεβοτομήθη. σιτία καὶ ποτὰ πεφεισμένως. περίπατοι ἐκ προσαγωγῆς. οἶνος μέλας λεπτός. ὑγιάνθη. Φιλιστίδι τῇ Ἡρακλείδου γυναικὶ, ἤρξατο πυρετὸς ὀξύς. ἔρευθος προσώπου, ἐξ οὐδεμιῆς προφάσιος. ὀλίγον δ' ὕστερον τῆς ἡμέρης, ἐῤῥίγωσεν. οὐκ ἀναθερμανθείσης, σπασμὸς ἐγένετο, ἐν τοῖσι δακτύλοισι τῶν χειρῶν καὶ τῶν ποδῶν. σμικρὸν δὲ μετὰ ταῦτα, ἐπεθερμάνθη. οὔρησε τρυγώδεα. νεφελώδεα. διεσπασμένα. νύκτα ἐκοιμήθη. δευτέρῃ ἐπεῤῥίγωσεν. ἡμέρῃ σμικρῷ μᾶλλον ἐθερμάνθη. καὶ τὸ ἔρευθος ἧσσον. καὶ οἱ σπασμοὶ ἐπεγένοντο μετριώτεροι, οὖρα διὰ τῶν αὐτῶν. νύκτα ἐκοιμήθη. σμικρὰ διαγρυπνήσασα, μηδεμιῆς δυσφορίης ἐνεούσης. τριταίῃ οὔρησεν εὐχροώτερα, σμικρὰ ὑφεστηκότα. τὴν δ' αὐτὴν ὥρην, ἐπεῤῥίγωσεν. πυρετὸς ὀξύς. ἱδρὼς οὐ νύκτα δι' ὅλου. ὀψὲ δὲ τῆς ἡμέρης τὸ χρῶμα ἀνεστράπη ἐς τὸν ἰκτερώδεα τρόπον. νύκτα, ὕπνωσε δι' ὅλου. τεταρταίῃ, αἷμα ἐκ τοῦ ἀριστεροῦ ἐῤῥύη καλῶς. καὶ γυναικεῖα σμικρὰ, ἐπεφάνη ἐν τάξει. πάλιν δὲ τὴν αὐτὴν ὥρην, τὸ πυρέτιον παρωξύνθη. οὖρα τρυγώδεα σμικρά. κοιλίη δὲ, φύσει μὲν σκληρή. πολὺ δὲ μᾶλλον ξυνειστήκει, καὶ οὐδὲν διίει, εἰ μὴ βάλανον προσθοῖτο. νύκτα, ὕπνωσε. πεμπταίῃ τό, τε πυρέτιον πρηΰτερον. καὶ πρὸς τὴν ἑσπέρην δι' ὅλου ἵδρου. καὶ γυναικείων χώρησις. καὶ νύκτα ὕπνωσεν. ἑκταίῃ, οὔρησεν ἀθρόον πουλὺ τρυγῶδες. σμικρὴν ὑπόστασιν ἔχον ὁμόχροον. περὶ δὲ μέσον ἡμέρης, σμικρὰ ἐῤῥίγωσεν. ὑπεθερμάνθη. ἵδρωσε δι' ὅλου. νύκτα ἐκοιμήθη. ἑβδομαίῃ, σμικρὰ ἐπεθερμάνθη. εὐφόρως ἤνεγκεν. ἵδρωσε δι' ὅλου. οὖρα εὔχροα. ἐκρίθη πάντα. Τύχων ἐν τῇ πολιορκίῃ τῇ περὶ Δάτον ἐπλήγη καταπέλτῃ ὑπὸ τὸ στῆθος. καὶ μετ' ὀλίγον, γέλως ἦν περὶ αὐτὸν θορυβώδης. ἐδόκει δέ μοι ὁ ἰητρὸς ἐξαίρων τὸ ξύλον, ἐγκαταλιπεῖν τὸν σίδηρον, κατὰ τὸ διάφραγμα. ἀλγέοντος δὲ αὐτοῦ περὶ τὴν ἑσπέρην, ἔκλυσέ τε καὶ ἐφαρμάκευσε. κατὰ νύκτα διήγαγε τὴν πρώτην, δυσφόρως. ἅμα δὲ τῇ ἡμέρῃ, ἐδόκει καὶ τῷ ἰητρῷ καὶ τοῖσιν ἄλλοισι βέλτιον ἔχειν. ἦν γὰρ ἥσυχος. πρόῤῥησις ὅτι σπασμοῦ γινομένου, οὐ βραδέως ἀπολεῖται. ἐς τὴν ἐπιοῦσαν νύκτα δύσφορος. ἄγρυπνος. ἐπὶ γαστέρα τὰ πολλὰ κείμενος. τρίτῃ πρωῒ, ἐσπᾶτο. περὶ μέσον ἡμέρης, ἐτελεύτησεν. Εὐνοῦχος ἐκ κυνηγεσίης καὶ διαδρομῆς, ὑδραγωγὸς γίνεται, ὁ παρὰ τὴν τοῦ Ἐλεάλκεος κρήνην. ὁ περὶ τὰ ἓξ ἔτεα, ἔχεν ἱππουρίν τε, καὶ βουβῶνα, καὶ ἴξιν καὶ κέδματα. ὁ τὸν κνεῶνα φθινήσας, ἑβδομαῖος ἀπέθανεν. Προπιούτων ἄπεπτον ἁλμυρὰ μετὰ μέλιτος. πορνείη ἄχρωμος δυσεντερίης ἄκος. Τῇ Λεωνίδεω θυγατρὶ, ἡ φύσις ὁρμήσασα ἀπεστράφη. ἀποστραφεῖσα, ἐμυκτήρισεν. μυκτηρισάσης διηλλάγη. ὁ ἰητρὸς οὐ ξυνεῖδεν. ἡ παῖς ἀπέθανεν. Ὁ Φιλοτίμου παῖς ἔφηβος, ἦλθεν ἐς μέ, εὐρὼν κρανίον ὀστέον ἔρημον ἰητρικῆς ἐς ἰηχῖνα τὰ κρύφιμα οὐκ ὀρθῶν ἐσῶτα.

Οἱ ξυγγράψαντες τὰς κνιδίας καλεομένας γνώμας, ὁκοῖα μὲν πάσχουσιν οἱ κάμνοντες ἐν ἑκάστοισι τῶν νουσημάτων, ὀρθῶς ἔγραψαν, καὶ ὁκοίως ἔνια ἀπέβαινεν αὐτέων, καὶ ἄχρι μὲν τουτέων καὶ μὴ ἰητρὸς ἂν δύναιτο ὀρθῶς ξυγγράψαι, εἰ εὖ παρὰ τῶν καμνόντων ἑκάστου πυθοίατο, ὁκοῖα πάσχουσιν. ὁκόσα δὲ προκαταμαθεῖν χρὴ τὸν ἰητρὸν μὴ λέγοντος τοῦ κάμνοντος, τουτέων τὰ πολλὰ παρεῖται, ἄλλα ἐν ἄλλοισι, καὶ ἐπίκαιρα ἔνια ἐόντα, ἐς τέκμαρσιν. ὁκόταν δὲ ἐς τέκμαρσιν λέγηται ὡς χρὴ ἕκαστα ἰητρεύειν, ἐν τουτέοισι, πολλὰ ἑτεροίως γινώσκω, ἢ ὡς ἐκεῖνοι ἐπεξῄεσαν. καὶ οὐ μόνον διὰ τοῦτο οὐκ ἐπαινέω, ἀλλ' ὅτι καὶ ὀλίγοισι τὸν ἀριθμὸν τοῖσιν ἀκέεσιν ἐχρέοντο. τὰ γὰρ πλεῖστα, αὐτέοισιν εἴρεται, πλὴν τῶν ὀξέων νούσων, φάρμακα ἐλατήρια διδόναι, καὶ ὀῤῥὸν, καὶ γάλα ἐς τὴν ὥρην πιπίσκειν. εἰ μὲν οὖν ταῦτα ἀγαθὰ ἦν καὶ ἁρμόζοντα τοῖσι νουσήμασιν ἐφ' οἷσι παρῄνεον διδόναι, πολὺ ἂν ἀξιώτερα ἐπαίνου ἦν, ὅτι ὀλίγα ἐόντα αὐτάρκεά ἐστι. νῦν δὲ οὐχ οὕτως ἔχει. οἱ μέντοι ὕστερον ἐπιδιασκευάσαντες ἰητρικώτερον δή τι ἐπῆλθον περὶ τῶν προσοιστέων ἑκάστοισιν. ἀτὰρ οὐδὲ περὶ διαίτης οἱ ἀρχαῖοι ξυνέγραψαν οὐδὲν ἄξιον λόγου, καίτοι μέγα τοῦτο παρῆκαν. τὰς μέντοι πολυτροπίας τὰς ἐν ἑκάστῃσι τῶν νούσων, καὶ τὴν πολυσχιδίην αὐτέων, οὐκ ἠγνόεον ἔνιοι. τοὺς δὲ ἀριθμοὺς ἑκάστου τῶν νουσημάτων σάφα φράζειν ἐθέλοντες, οὐκ ὀρθῶς ἔγραψαν. μὴ γὰρ καὶ οὐκ εὐαρίθμητον ᾖ, εἰ τουτέῳ τις σημαίνεται τὴν τῶν καμνόντων νοῦσον, τὸ, ἕτερον τοῦ ἑτέρου διαφέρειν τι. καὶ μὴ τωὐτὸν νόσημα δοκέειν εἶναι, ἢν μὴ τωὐτὸ ὄνομα ἔχῃ. ἐμοὶ δ' ἀνδάνει μὲν ἐν πάσῃ τῇ τέχνῃ προσέχειν τὸν νόον. καὶ γὰρ ὁκόσα ἔργα δίκαιον καλῶς, ἕκαστα χρὴ ποιέειν καὶ ὀρθῶς. καὶ ὁκόσα ταχέως ἔργα, ταχέως. καὶ ὁκόσα καθαρείως, καθαρείως. καὶ ὁκόσα ἀνωδύνως διαχειρίζεσθαι, ὡς ἀνωδυνώτατα ποιέειν. καὶ τἄλλα πάντα τὰ τοιουτότροπα διαφερόντως τῶν πέλας, ἐπὶ τὸ βέλτιον ποιέειν χρή. μάλιστα δ' ἂν ἐπαινέσαιμι ἰητρὸν, ὅστις ἐν τοῖσιν ὀξέσι νουσήμασιν, ἃ τοὺς πλείστους τῶν ἀνθρώπων κτείνει, ἐν τουτέοισι διαφέρων τι τῶν ἄλλων εἴη ἐπὶ τὸ βέλτιον. ἔστι δὲ ταῦτα ὀξέα, ὁκοῖα ὠνόμασαν οἱ ἀρχαῖοι, πλευρῖτιν. καὶ περιπλευμονίην. καὶ φρενῖτιν. καὶ λήθαργον. καὶ καῦσον. καὶ τἄλλα νουσήματα, ὁκόσα τουτέων ἐχόμενά ἐστιν. ὧν οἱ πυρετοὶ τὸ ἐπίπαν ξυνεχέες ὄντες, κτείνουσιν. ὅταν γὰρ μὴ λοιμώδεος νόσου τρόπος τις κοινὸς ἐπιδημήσῃ, ἀλλὰ σποράδεες ἔωσιν αἱ νόσοι καὶ μὴ παραπλήσιοι, ὑπὸ τουτέων τῶν νουσημάτων ἀποθνήσκουσι μᾶλλον, ἢ ὑπὸ τῶν ἄλλων τῶν ξυμπάντων. οἱ μὲν οὖν ἰδιῶται, οὐ κάρτα γινώσκουσι τοὺς ἐς ταῦτα διαφέροντας τῶν πέλας, ἑτεροίων τε μᾶλλον ἰημάτων ἐπαινέται ἢ ψέκται εἰσίν. ἔπειτα μέγα σημεῖον τόδε, ὅτι οἱ μὲν δημόται, ἀξυνετώτατοι αὐτοὶ ἑωυτῶν περὶ τουτέων τῶν νουσημάτων εἰσὶν, ὥς τε μελετητέα εἶναι. οἱ γὰρ μὴ ἰητροὶ, ἰητροὶ δοκέουσιν εἶναι μάλιστα διὰ ταύτας τὰς νούσους. ῥηΐδιον γὰρ τὰ ὀνόματα ἐκμανθάνειν ὁκοῖα νενόμισται προσφέρεσθαι, πρὸς τοὺς τὰ τοιαῦτα κάμνοντας. ἢν γὰρ ὀνομάσῃ τις πτισάνης χυλὸν, καὶ οἶνον τοῖον, ἢ τοῖον, ἢ καὶ μελίκρητον, ἅπαντα τοῖσι δημότῃσι δοκέουσιν ἰητροὶ ταῦτα λέγειν, οἵ τε βελτίους, καὶ οἱ χέρηες. τὰ δὲ οὐχ οὕτως ἔχει, ἀλλ' ἐν τουτέοισι δὴ, καὶ πάνυ μέγα διαφέρουσιν ἕτεροι ἑτέρων. δοκέει δέ μοι ἄξια γραφῆς εἶναι ταῦτα μάλιστα, ὁκόσα τε ἀκαταμάθητά ἐστι τοῖσιν ἰητροῖσιν, ἐπίκαιρα ἐόντα εἰδέναι, καὶ ὁκόσα μεγάλας ὠφελείας φέρει, ἢ μεγάλας βλάβας. ἀκαταμάθητα μὲν οὖν, τάδε ἐστί. διὰ τί ἄρα ἐν τοῖσιν ὀξείῃσι νούσοισιν, οἱ μὲν τῶν ἰητρῶν, ἅπαντα τὸν αἰῶνα διατελέουσι πτισάνας διδόντες ἀδιηθήτους, καὶ νομίζουσιν ὀρθῶς ἰητρεύειν. οἱ δέ τινες, περὶ παντὸς ποιοῦνται, ὅπως κριθὴν μηδεμίην καταπίῃ ὁ κάμνων. μεγάλην γὰρ βλάβην ἡγοῦνται εἶναι, ἀλλὰ δι' ὀθονίου διηθεῦντες τὸν χυλὸν, διδόασιν. οἱ δέ τινες αὐτέων, οὔτ' ἂν πτισάνην παχείην δοῖεν, οὔτε χυλόν. οἱ μὲν, μέχρις ἂν ἑβδομαῖος γένηται ὁ κάμνων. οἱ δὲ, καὶ διὰ τέλεος ἄχρις ἂν κριθῇ ἡ νοῦσος. μάλα μὲν οὖν οὐδὲ προβάλλεσθαι τὰ τοιαῦτα ζητήματα εἰθισμένοι εἰσὶν οἱ ἰητροί. ἴσως δὲ οὐδὲ προβαλλόμενα εὑρίσκεται, καίτοι διαβολήν γε ἔχει ὅλη ἡ τέχνη πρὸς τῶν δημοτέων μεγάλην, ὡς μηδὲ δοκέειν ὅλως ἰητρικὴν εἶναι. ὥστε ἔν γε τοῖσιν ὀξέσι τῶν νουσημάτων,

τοσόνδε

τοσόνδε διοίσουσιν ἀλλήλων οἱ χειρώνακται, ὥς τε ἃ ὁ ἕτερος προσφέρει ἡγεύμενος ἄριστα εἶναι, ταῦτα νομίζειν ἤδη τὸν ἕτερον κακὰ εἶναι. καὶ σχεδὸν ἂν κατά γε τὸ τοιόνδε, τὴν τέχνην φαῖεν ὁμοιῶσθαι μαντικῇ. ὅτι οἱ μάντιες τὸν αὐτὸν ὄρνιθα, εἰ μὲν ἀριστερὸς εἴη, ἀγαθὸν νομίζουσιν εἶναι. εἰ δὲ δεξιός, κακόν. καὶ ἐν ἱεροσκοπίῃ τὰ τοιάδε ἄλλα ἐπ' ἄλλοισιν. ἀλλ' ἔνιοι τῶν μάντεων, τἀναντία τουτέων. φημὶ δὲ πάγκαλον εἶναι τοῦτο τὸ σκέμμα, καὶ ἠδελφισμένον τοῖσι πλείστοισι τῶν ἐν τῇ τέχνῃ, καὶ ὑπερκαιροτάτοισι. καὶ γὰρ τοῖσι νοσέουσι πᾶσιν ἐς ὑγείην μέγα τι δύναται. καὶ τοῖσιν ὑγιαίνουσιν ἐς ἀσφαλείην, καὶ τοῖσιν ἀσκέουσιν ἐς εὐεξίην, καὶ ἐς ὅ, τι ἂν ἕκαστος ἐθέλοι.

πτισάνη μὲν οὖν δοκέει ὀρθῶς προκεκρίσθαι τῶν σιτηρῶν γευμάτων, ἐν τουτέοισι τοῖσι νουσήμασι. καὶ ἐπαινέω γε τοὺς προκρίναντας. τὸ γὰρ γλίσχρασμα αὐτέης, λεῖον, καὶ ξυνεχές, καὶ προσηνές ἐστι, καὶ ὀλισθηρόν, καὶ πλαδαρὸν μετρίως, καὶ ἄδιψον, καὶ εὐέκπλυτον, εἴ τι καὶ τουτέου προσδέοι. καὶ οὔτε στύψιν ἔχον, οὔτε ἄραδον κακόν, οὔτε ἀνοιδίσκεται ἐν τῇ κοιλίῃ, ἀνῴδηκε γὰρ ἐν τῇ ἑψήσει, ὁκόσον πλεῖστον ἐπεφύκει διογκοῦσθαι. ὁκόσοι μὲν οὖν πτισάνῃσι χρέωνται ἐν τουτέοισι τοῖσι νουσήμασιν, οὐδεμιῇ ἡμέρῃ κενεαγγητέον ὡς ἔπος εἰρῆσθαι, ἀλλὰ χρηστέον καὶ οὐ διαλειπτέον, ἢν μή τι δέῃ, ἢ διὰ φαρμακείην, ἢ κλύσιν διαλείπειν. καὶ τοῖσι μέν γε εἰθισμένοισι, δὶς σιτέεσθαι τῆς ἡμέρης, δὶς δοτέον. τοῖσι δὲ μονοσιτέειν εἰθισμένοισιν, ἅπαξ δοτέον τὴν πρώτην, ἐκ προσαγωγῆς δέ. ἢν δὲ ἐνδέχηται, τουτέοισι καὶ δὶς δοτέον ἤν τι δοκέῃ προσδεῖν. πλῆθος δὲ ἀρκέει κατ' ἀρχὰς διδόναι, μὴ πουλύ, μηδὲ ὑπέρπαχυ, ἀλλ' ὁκόσον ἕνεκεν τοῦ ἔθεος ἐσιέναι τι, καὶ κενεαγγείην μὴ γενέσθαι πολλήν. περὶ δὲ τῆς ἐπιδόσιος ἐς πλῆθος τοῦ ῥοφήματος, ἢν μὲν ξηρότερον ᾖ τὸ νόσημα, ἢ ὡς ἄν τις οἴοιτο, οὐ χρὴ ἐπὶ πλέον διδόναι, ἀλλὰ προπίνειν πρὸ τοῦ ῥοφήματος, ἢ μελίκρητον, ἢ οἶνον, ἢ ὁκότερον ἂν ἁρμόζῃ. τὸ δ' ἁρμόττον ἐφ' ἑκάστοισι τῶν τρόπων εἰρήσεται. ἢν δὲ ὑγραίνηται τὸ στόμα, καὶ τὰ ἀπὸ τοῦ πλεύμονος ἴῃ, ὁκοῖα δεῖ, ἐπιδιδόναι χρὴ ὡς πλῆθος τοῦ ῥοφήματος, ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι. τὰ μὲν γὰρ θᾶσσον καὶ μᾶλλον πλαδῶντα, ταχυτῆτα κρίσιος σημαίνει. τὰ δὲ βραδύτερον καὶ ἧσσον, βραδυτέραν σημαίνει τὴν κρίσιν. καὶ ταῦτα αὐτὰ μὲν καθ' αὑτά, τοιάδε τὸ ἐπίπαν ἐστί. πολλά, δὲ καὶ ἄλλα ἐπίκαιρα παρεῖται, οἷσι προσημαίνεσθαι δεῖ, ἃ εἰρήσεται ὕστερον. καὶ ὁκόσῳ ἂν πλείων ἡ κάθαρσις γίνηται, τοσῷδε χρὴ πλέον ἐπιδιδόναι ἄχρι κρίσιος. μάλιστα δὲ κρίσιος ὑπερβολή, δύο ἡμερέων. οἷσί γε ἢ πεμπταίοισιν ἢ ἑβδομαίοισιν, ἢ ἐναταίοισι δοκέει κρίνεσθαι, ὡς καὶ τὸ ἄρτιον καὶ τὸ περισσόν, προμηθὲς ᾖ. μετὰ δὲ τοῦτο τὸ μὲν ῥόφημα τὸ πρωῒ χρηστέον, τὸ ὀψὲ δὲ ἐς σιτία μεταβάλλειν. ξυμφέρει δὲ τὰ τοιάδε ὡς ἐπὶ τὸ πολὺ τοῖσιν ὅλῃσι πτισάνῃσιν αὐτίκα χρεομένοισιν. αἵ τε γὰρ ὀδύναι ἐν τοῖσι πλευριτικοῖσιν, αὐτίκα αὐτόματοι παύονται, ὅταν ἄρξωνται πτύειν τι ἄξιον λόγου καὶ ἐκκαθαίρεσθαι. αἵ τε καθάρσιες, πολλῷ τελεώτεραί εἰσι, καὶ ἔμπυοι ἧσσον γίνονται, ἢ εἰ ἀλλοίως τις διαιτῴη. καὶ αἱ κρίσιες ἁπλούστεραι, καὶ εὐκρινέστεραι, καὶ ἧσσον ὑποστροφώδεες. τὰς δὲ πτισάνας χρὴ ἐκ κριθέων τέως βελτίστων εἶναι. καὶ κάλλιστα ἑψῆσθαι. καὶ ἄλλως, ἢν μὴ τῷ χυλῷ μούνῳ μέλλῃς χρέεσθαι. μετὰ γὰρ τῆς ἄλλης ἀρετῆς, τῆς πτισάνης τὸ ὀλισθηρὸν τὴν κριθὴν καταπινομένην, ποιέει μὴ βλάπτειν. οὐδαμοῦ γὰρ προσίσχεται. οὐδὲ μένει κατὰ τὴν τοῦ θώρηκος ἴξιν. ὀλισθηροτάτη δέ, καὶ ἀδιψοτάτη, καὶ εὐπεπτοτάτη, καὶ ἀσθενεστάτη ἐστίν, ἡ κάλλιστα ἑφθή, ὧν πάντων δεῖ. ἢν οὖν μὴ προστιμωρήσῃ τις ὁκόσων δεῖται, αὐτάρκης εἶναι ὁ τρόπος τῆς τοιαύτης πτισανορροφίης, πολλαχῆ βεβλάψεται. ὁκόσοισι γὰρ σῖτος αὐτίκα ἐγκατακέκλεισται, ἢν μή τις ὑποκενώσας τὸ ῥόφημα διδῷ, τὴν ὀδύνην ἐνεοῦσαν προσπαροξύνειεν ἄν. καὶ μὴ ἐνεοῦσαν εὐθὺς ποιήσειεν. καὶ πνεῦμα πυκνότερον γένοιτ' ἄν. κακὸν δὲ τοῦτο ἐστί, ξηραντικὸν γὰρ πλεύμονος. καὶ κοπώδεες ὑποχονδρίων καὶ ἤτρου καὶ φρενῶν. τοῦτο δέ, ἢν ἔτι τῆς ὀδύνης τοῦ πλευροῦ ξυνεχέος ἐούσης, καὶ πρὸς τὰ θερμάσματα μὴ χαλώσης, καὶ τοῦ πτυέλου μὴ ἀνιόντος, ἀλλὰ καταγλισχραινομένου ἀπέπτως, ἢν μὴ λύσῃ τις τὴν ὀδύνην, ἢ κοιλίην μαλθάξας, ἢ φλέβα ταμών, ἢ ὁκότερον ἂν τουτέων ξυμφέρῃ. τὰς δὲ πτισάνας ἢν οὕτως ἔχουσι διδῶς, ταχέως οἱ θάνατοι τῶν τοιουτέων γίνονται. διὰ ταύτας οὖν τὰς προφάσιας καὶ ἑτέρας τοιαύτας ἔτι μᾶλλον, οἱ ὅλῃσι τῇσι πτισάνῃσι χρεώμενοι, ἑβδομαῖοι καὶ ὀλιγημερώτεροι θνήσκουσιν. οἱ μέν τοι, καὶ τὴν γνώμην βλαβέντες. οἱ δέ, ὑπὸ τῆς ὀρθοπνοίης τε καὶ τοῦ ῥέγχους ἀποπνιγέντες. μάλα δὲ τοὺς τοιουτέους οἱ ἀρχαῖοι, βλητοὺς ἐνόμιζον εἶναι, διὰ τόδε μάλιστα. οὐχ ἥκιστα δὲ ὅτι καὶ ἀποθανόντων

αὐτέων

αὐτέων, ἡ πλευρὴ πελίη εὑρίσκεται, ἴκελόν τι πληγῇ. αἴτιον δὲ τουτέου, τόδε ἐστὶν, ὅτι πρὶν λυθῆναι τὴν ὀδύνην, θνήσκουσι. ταχέως γὰρ πνευματίαι γίνονται. ὑπὸ δὲ τοῦ πολλοῦ, καὶ πυκνοῦ πνεύματος ὡς ἤδη εἴρηται καταγλισχραινόμενον τὸ πτύελον ἀπέπτως, κωλύει τὴν ἐπάνοδον γίνεσθαι, ἀλλὰ τὴν ῥέγξιν ποιέει, ἐνισχόμενον ἐν τοῖσι βρογχίοισι τοῦ πλεύμονος. καὶ ὁκόταν ἐς τοῦτο ἔλθῃ, θανατῶδες ἤδη ὡς ἐπὶ τὸ πουλὺ ἐστί. καὶ γὰρ αὐτὸ τὸ πτύελον ἐνισχόμενον, κωλύει μὲν τὸ πνεῦμα εἴσω φέρεσθαι. ἀναγκάζει δὲ ταχέως ἔξω φέρεσθαι. καὶ οὕτως ἐς τὸ κακὸν ἀλλήλοισι τιμωρέουσι. τό, τε γὰρ πτύελον ἐνισχόμενον, πυκνὸν τὸ πνεῦμα ποιέει. τό, τε πνεῦμα πυκνὸν ἐὸν, ἐπιγλισχραίνει τὸ πτύελον. καὶ κωλύει ἀπολισθαίνειν. καταλαμβάνει δὲ ταῦτα οὐ μόνον ἢν πτισάνῃ ἀκαίρως χρέωνται, ἀλλὰ πολὺ μᾶλλον, ἤν τι ἄλλο φάγωσιν ἢ πίωσιν πτισάνης ἀνεπιτηδειότερον. μάλα μὲν οὖν τὰ πλεῖστα παραπλήσιαί εἰσιν αἱ τιμωρίαι, τοῖσί τε ὅλῃσι τῇσι πτισάνῃσι χρεομένοισι, τοῖσί τε τῷ χυλῷ αὐτέῳ, τοῖσί τε μηδ' ἑτέρῳ τουτέων, ἀλλὰ ποτῷ μούνον. ἔστι δ' ὅπη καὶ διαφερόντως τιμωρητέον. χρὴ δὲ τό γε πάμπαν οὕτω ποιέειν. ἢν νεοβρῶτι ἐόντι αὐτέῳ καὶ κοιλίης μήπω ὑποκεχωρηκυίης ἄρξηται ὁ πυρετὸς, ἤν τε ξὺν ὀδύνῃ, ἤν τε ἄνευ ὀδύνης, ἐπισχεῖν τὴν δόσιν τοῦ ῥοφήματος, ἐς ἂν οἴηται κεχωρηκέναι ἐς τὸ κάτω μέρος τοῦ ἐντέρου τὸ σιτίον. χρέεσθαι δὲ ποτῷ, ἢν μὲν ἄλγημά τι ἔχῃ, ὀξυμέλιτι. χειμῶνος μὲν, θερμῷ. θέρεος δὲ, ψυχρῷ. ἢν δὲ πολλὴ δίψα ἔῃ, μελικρήτῳ καὶ ὕδατι. ἔπειτα μέντοι, ἢν μὲν ἄλγημά τι ἐνῇ, ἢ τῶν ἐπικινδύνων τι ἐμφαίνηται, διδόναι τὸ ῥόφημα, μήτε πουλὺ, μήτε παχύ, μετὰ δὲ τὴν ἑβδόμην ἢ ἐνάτην, ἢν ἰσχύῃ. ἢν δὲ μὴ ὑπεληλύθῃ ὁ παλαιότερος σῖτος νεοβρῶτι ἐόντι, ἢν μὲν ἰσχύῃ τε καὶ ἀκμάζῃ τῇ ἡλικίῃ, κλύσαι. ἢν δὲ ἀσθενέστερος ᾖ, βαλάνῳ προσχρήσασθαι, ἢν μὴ αὐτόματα διεξίῃ καλῶς. καιρὸν δὲ τῆς δόσιος τοῦ ῥοφήματος, τόνδε μάλιστα φυλάσσεσθαι, κατ' ἀρχὰς καὶ διὰ παντὸς τοῦ νοσήματος. ὅταν μὲν οἱ πόδες ψυχροὶ ἔωσιν, ἐπισχεῖν χρὴ τοῦ ῥοφήματος τὴν δόσιν. μάλιστα δὲ καὶ τοῦ ποτοῦ ἀπέχεσθαι. ὁκόταν δὲ ἡ θέρμη καταβῇ ἐς τοὺς πόδας, τότε διδόναι. καὶ νομίζειν μάλα δύνασθαι τὸν καιρὸν τοῦτον ἐν ἁπάσῃσι τῇσι νούσοισιν. οὐχ ἥκιστα δὲ ἐν τῇσιν ὀξέῃσι. μάλιστα δὲ ἐν τῇσι μᾶλλον πυρετώδεσι καὶ ἐπικινδυνοτάτῃσι. χρῆσθαι δὲ πρῶτον μάλιστα μὲν χυλῷ, ἔπειτα δὲ, πτισάνῃ, κατὰ τὰ τεκμήρια τὰ προγεγραμμένα ἀκριβῶς θεωρέων. Ὀδύνη δὲ πλευροῦ ἤν τε κατ' ἀρχὰς γίνηται, ἤν τε ἐς ὕστερον, θερμάσμασι μὲν πρῶτον οὐκ ἀπὸ τρόπου ἐστὶ χρησάμενον, πειρηθῆναι διαλῦσαι τὴν ὀδύνην. θερμασμάτων δὲ, κράτιστον μὲν ὕδωρ θερμὸν ἐν ἀσκῷ, ἢ ἐν κύστει, ἢ ἐν χαλκῷ ἀγγείῳ, ἢ ἐν ὀστρακίνῳ. προϋποτιθέναι δὲ χρὴ, μαλθακόν τι πρὸς τὴν πλευρὴν, προσηνείης εἵνεκεν. ἀγαθὸν δὲ καὶ σπόγγος μαλθακὸς, μέγας, ἐξ ὕδατος θερμοῦ ἐκπεπιεσμένος προστίθεσθαι. περιστέγειν τε ἱματίῳ τὴν θάλψιν χρή. πλείω τε γὰρ χρόνον ἂν διαρκέσει καὶ παραμενεῖ, καὶ ἅμα ὡς μὴ ἀτμὶς πρὸς τὸ πνεῦμα τοῦ κάμνοντος προσφέρηται. ἢν ἄρα μὴ δοκέῃ καὶ τοῦτο χρήσιμον πρός τι εἶναι. ἔστι γὰρ ὅτε δεῖ πρός τι. ἔτι δὲ καὶ κριθαὶ καὶ ὄροβοι ἐν ὄξει κεκρημένῳ, σμικρῷ ὀξυτέρῳ ἢ ὡς ἄν τις πίοι, διέντα καὶ ἀναζέσαντα, ἐς μαρσίππιά τε ἀπορράψαντα, προστιθέναι. καὶ πίτυρα τὸν αὐτὸν τρόπον. πυρίη δὲ ξηρὴ, ἅλες, κέγχροι πεφρυγμένοι ἐν εἰρινέοισι μαρσιππίοισιν ἐπιτηδειόταται. καὶ γὰρ κοῦφον καὶ προσηνὲς ὁ κέγχρος. λύει δὲ μάλθαξις ἡ τοιήδε, καὶ τὰς πρὸς κληΐδας περαιούσας ἀλγηδόνας. τομὴ μέντοι γε οὐχ ὁμοίως λύει ὀδύνην, ἢν μὴ πρὸς τὴν κληΐδα περαίνῃ ἡ ὀδύνη. ἢν δὲ μὴ λύηται πρὸς τὰ θερμάσματα ὁ πόνος, οὐ χρὴ πολὺν χρόνον θερμαίνειν. καὶ γὰρ ξηραντικὸν τοῦ πλεύμονος τοῦτ' ἐστὶ καὶ ἐμπυητικόν. ἀλλ' ἢν μὲν σημαίνῃ ἡ ὀδύνη ἐς τὴν κληΐδα, ἢ ἐς τὸν βραχίονα βάρος, ἢ περὶ μαζὸν, ἢ ὑπὲρ τῶν φρενῶν, τάμνειν ἄρα χρὴ τὴν ἐν τῷ ἀγκῶνι φλέβα, τὴν εἴσω. καὶ μὴ ὀκνεῖν συχνὸν ἀφαιρέειν τὸ αἷμα, ἕως ἂν ἐρυθρότερον πολλῷ ῥυῇ. ἢ ἀντὶ καθαροῦ καὶ ἐρυθροῦ, πελιόν. ἀμφότερα γὰρ γίνεται. ἢν δὲ ὑπὸ τὰς φρένας ᾖ τὸ ἄλγημα, ἐς δὲ τὴν κληΐδα μὴ σημαίνῃ, μαλθάσσειν δεῖ τὴν κοιλίην, ἢ μέλανι ἐλλεβόρῳ, ἢ πεπλίῳ. μέλανι μὲν δαῦκον, ἢ σέσελι, ἢ κύμινον, ἢ ἄννησον, ἢ ἄλλο τι τῶν εὐωδέων μίσγοντα. πεπλίῳ δὲ, ὀπὸν σιλφίου. ἀτὰρ καὶ μισγόμενα ἀλλήλοισιν, ὁμοιότροπα ταῦτα ἐστίν. ἄγει δὲ μέλας μὲν καλλίω, καὶ κρισιμώτερα πεπλίου. πέπλιον δὲ, μέλανος μᾶλλον φυσέων καταῤῥηκτικώτερόν ἐστιν. ἄμφω δὲ ταῦτα, ὀδύνην παύει. παύει δὲ καὶ ἄλλα πολλὰ τῶν ὑπηλάτων. κράτιστα δὲ ταῦτα ὧν ἐγὼ οἶδα ἐστίν, ἐπεὶ καὶ τὰ ἐν τοῖσι ῥοφήμασι διδόμενα

ὑπήλατα

ὑπόλαπα, ἀρήγει, ὁκόσα μὴ ἄγαν εἰσὶν ἀηδέα, ἢ διὰ πικρότητα, ἢ δι' ἄλλην τινὰ ἀηδίην, ἢ διὰ πλῆθος, ἢ χροιὴν, ἢ ὑποψίην τινά. τὴν δὲ πτισάνην ὁκόταν πίῃ τὸ φάρμακον, ἐπιῤῥοφέειν αὐτίκα χρὴ διδόναι, μὴ δὲ ἔλασσον ἀξίως λόγου, ἢ ὁκόσον εἴθισται. ἐπεὶ καὶ κατὰ λόγον ἐστὶ, μεσηγὺ τῆς καθάρσιος, μὴ διδόναι ῥοφεῖν. ὁκόταν δὲ λήξῃ ἡ κάθαρσις, τότε ἔλασσον ῥοφεέτω, ἢ ὁκόσον εἴθισται. μετὰ δὲ ταῦτα ἀναγέτω αἰεὶ ἐπὶ τὸ πλεῖον, ἢν ἥτε ὀδύνη πεπαυμένη ᾖ, καὶ μηδὲν ἄλλο ἐναντιῶται. οὗτος δέ μοι λόγος ἐστὶ, καὶ ἢν χυλῷ πτισάνης δέῃ χρέεσθαι. φημὶ γὰρ ἄμεινον εἶναι αὐτίκα ἄρξασθαι ῥοφεῖν τὸ ἐπίπαν μᾶλλον, ἢ προκενεαγγήσαντα ἄρξασθαι τοῦ ῥοφήματος, ἢ τριταῖον, ἢ τεταρταῖον, ἢ πεμπταῖον, ἢ ἑκταῖον, ἢ ἑβδομαῖον, ἤν γε μὴ προκριθῇ ἡ νοῦσος ἐν τουτέῳ τῷ χρόνῳ. αἱ δὲ προπαρασκευαὶ καὶ τουτέοισι παραπλήσιοι ποιητέαι, ὁκοῖαι πρὶν εἴρηνται. περὶ μὲν οὖν ῥοφήματος προσάρσιος οὕτω γινώσκω. ἀτὰρ καὶ περὶ ποτοῦ ὁκοίου ἄν τις μέλλῃ πίνειν τῶν γραφησομένων, ωὐτός μοι λόγος ὡς ἐπίπαν ἐστίν. οἶδα δὲ καὶ τοὺς ἰητροὺς, τὰ ἐναντιώτατα ἢ ὡς δεῖ ποιοῦντας. βούλονται γὰρ ἅπαντες ὑπὸ τὰς ἀρχὰς τῶν νούσων προταριχεύσαντες τοὺς ἀνθρώπους, ἢ δύο, ἢ τρεῖς, ἢ καὶ πλείονας ἡμέρας, οὕτω προσφέρειν τὰ ῥοφήματα καὶ τὰ ποτά. καὶ ἴσως τι καὶ εἰκὸς δοκέει αὐτέοισιν εἶναι. μεγάλης γὰρ μεταβολῆς γινομένης τῷ σώματι, μέγα τι κάρτα καὶ ἀντιμεταβάλλειν. τὸ δὲ μεταβάλλειν μὲν εὖ ἔχει, μὴ ὀλίγον. ὀρθῶς μέντοι γε μεταβιβαστέη καὶ ἡ μεταβολή. καὶ ἔκ γε τῆς μεταβολῆς, ἡ πρόσαρσις τῶν γευμάτων ἔτι μᾶλλον. μάλιστα μὲν οὖν βλάπτοιντο ἂν, ἢν μὴ ὀρθῶς μεταβάλλοιεν, οἱ ὅλῃσι τῇσι πτισάνῃσι χρεόμενοι. βλάπτοιντο δ' ἂν, καὶ οἱ μούνῳ τῷ χυλῷ χρεόμενοι. βλάπτοιντο δ' ἂν, καὶ οἱ μούνῳ τῷ ποτῷ χρεόμενοι. ἥκιστα δὲ οὗτοι. χρὴ δὲ καὶ τὰ μαθήματα ποιέεσθαι ἐν τῇ διαίτῃ τῶν ἀνθρώπων ἔτι ὑγιαινόντων, οἷα ξυμφέρει. εἰ γὰρ δὴ τοῖσί γε ὑγιαίνουσι φαίνεται διαφέροντα μεγάλα, τὰ τοῖα ἢ τοῖα διαιτήματα, καὶ ἐν ἄλλῳ τινί που, καὶ ἐν τῇσι μεταβολῇσι, πῶς οὐχὶ καὶ ἔν γε τῇσι νούσοισι διαφέρει μεγάλα, καὶ τουτέων ἐν τῇσιν ὀξυτάτῃσι μάλιστα; ἀλλὰ μὴν εὐκαταμάθητόν γε ἐστὶν, ὅτι φαύλη δίαιτα βρώσιος καὶ πόσιος, αὐτὴ ἑωυτῇ ἐμφερὴς αἰεὶ, ἀσφαλεστέρη ἐστὶ τὸ ἐπίπαν ἐς ὑγείην, ἢ εἴ τις ἐξαπίνης μέγα μεταβάλλοι ἐς ἄλλο κρέσσον. ἐπεὶ καὶ τοῖσι δὶς σιτεομένοισι τῆς ἡμέρης, καὶ τοῖσι μονοσιτέουσιν αἱ ἐξαπιναῖοι μεταβολαὶ, βλάβας καὶ ἀῤῥωστίην παρέχουσιν. καὶ τοὺς μέν γε μὴ μεμαθηκότας ἀριστᾶν, εἰ ἀριστήσουσιν, εὐθέως ἀῤῥώστους ποιέει, καὶ βαρέας ὅλον τὸ σῶμα, καὶ ἀσθενέας, καὶ ὀκνηρούς. ἢν δὲ καὶ ἐπιδειπνήσωσιν, ὀξυρεγμιώδεας. ἐνίοισι δὲ, καὶ σπατίλη γένοιτο ἂν, ὁκόταν παρὰ τὸ ἔθος ἀχθοφορήσῃ ἡ κοιλίη, εἰθισμένη ἐπιξηραίνεσθαι καὶ μὴ δὶς διογκοῦσθαι, μήτε δὶς ἕψειν τὰ σιτία. ἀρήγει οὖν τουτέοισιν, ἀνασηκῶσαι τὴν μεταβολήν. ἐγκοιμηθῆναι γὰρ χρὴ, ὡς νύκτα ἄγοντα μετὰ τὸ δεῖπνον. τοῦ μὲν χειμῶνος, ἀῤῥιγέως. τοῦ δὲ θέρεος, ἀθαλπέως. ἢν δὲ μὴ δύνηται καθεύδειν, βραδείην συχνὴν περίοδον πλανηθέντα, μὴ στασίμως, δειπνῆσαι μηδὲν, ἢ ὀλίγα καὶ μὴ βλαβερά. ἔτι δὲ ἔλασσον πιεῖν καὶ μὴ ὑδαρές. ἔτι δ' ἂν μᾶλλον πονήσειεν ὁ τοιοῦτος, εἰ τρὶς σιτέοιτο τῆς ἡμέρης ἐς κόρον. ἔτι δὲ μᾶλλον, εἰ πλεονάκις. καίτοι γε πολλοί εἰσιν οἳ εὐφόρως φέρουσιν τρὶς σιτεόμενοι τῆς ἡμέρης ἐς πλῆθος, οἳ ἂν οὕτως ἐθισθῶσιν. ἀλλὰ μὴν καὶ οἱ μεμαθηκότες δὶς σιτέεσθαι τῆς ἡμέρης, ἢν μὴ ἀριστήσωσιν ἀσθενέες, καὶ ἄῤῥωστοί εἰσι, καὶ δειλοὶ ἐς πᾶν ἔργον, καὶ καρδιαλγέες. κρεμᾶσθαι γὰρ δοκέει τὰ σπλάγχνα αὐτέοισι. καὶ οὐρέουσι θερμὸν καὶ χλωρόν. καὶ ἡ ἄφοδος ξυγκαίεται. ἔστι δ' οἷσι καὶ τὸ στόμα πικραίνεται. καὶ οἱ ὀφθαλμοὶ κοιλαίνονται. καὶ οἱ κρόταφοι πάλλονται. καὶ τὰ ἄκρα διαψύχονται. καὶ οἱ μὲν πλεῖστοι τῶν ἀνηριστηκότων, οὐ δύνανται κατεσθίειν τὸ δεῖπνον. δειπνήσαντες δὲ βαρύνουσι τὴν κοιλίην, καὶ δυσκοιτέουσι πολὺ μᾶλλον, ἢ εἰ προηριστήκεσαν. ὁκότε γοῦν ταῦτα τοιαῦτα γίνεται τοῖσιν ὑγιαίνουσιν ἕνεκεν ἡμίσεος ἡμέρης διαίτης μεταβολῆς παρὰ τὸ ἔθος, οὔτε προσθεῖναι λυσιτελέειν φαίνεται, οὔτε ἀφελέειν. εἰ τοίνυν οὗτος ὁ παρὰ τὸ ἔθος μονοσιτήσας ὅλην ἡμέρην κενεαγγήσας δειπνήσειεν ὁκόσον εἴθιστο, εἰκὸς αὐτὸν, εἰ τότε ἀνάριστος ἐὼν, ἐπόνεε καὶ ἠῤῥώστει, δειπνήσας δὲ τότε βαρὺς ἦν, πουλὺ μᾶλλον βαρύνεσθαι. εἰ δέ γε ἔτι πλείω χρόνον κενεαγγήσας, ἐξαπίνης μεταδειπνήσειεν, ἔτι μᾶλλον ἂν βαρύνοιτο. τὸν γοῦν παρὰ τὸ ἔθος κενεαγγήσαντα, ξυμφέρει ταύτην τὴν ἡμέρην ἀντισηκῶσαι ὧδε. ἀῤῥιγέως καὶ ἀθαλπέως καὶ ἀταλαιπώρως. ταῦτα γὰρ ἅπαντα βαρέως ἂν ἐνέγκοι. καὶ τὸ δεῖπνον συχνῷ ἔλασσον ποιήσασθαι, ἢ ὅσον εἴθιστο, καὶ μὴ ξηρὸν, ἀλλὰ τοῦ πλαδαρωτέρου

τρόπου. καὶ μετὰ ταῦτα, πιεῖν μὴ ὑδαρὲς, μηδ' ἔλασσον, ἢ κατὰ λόγον βρώματος. καὶ τῇ ὑστεραίῃ, ὀλίγα ἀριστῆσαι, ὡς ἐκ προσαγωγῆς ἀφίκηται ἐς τὸ ἔθος. αὐτοὶ μέντοι σφῶν αὐτῶν δυσφορώτερον δὴ τὰ τοιαῦτα φέρουσιν οἱ πικρόχολοι τὰ ἄνω, τὴν δὲ ἀσιτίην τὴν παρὰ τὸ ἔθος, οἱ φλεγματίαι τὰ ἄνω εὐφορώτερον φέρουσι τὸ ἐπίπαν, ὥστε καὶ τὴν μονοσιτίην, τὴν παρὰ τὸ ἔθος, εὐφορώτερον ἂν οὗτοι ἐνέγκοιεν. ἱκανὸν μὲν οὖν καὶ τοῦτο σημήϊον, ὅτι αἱ μέγισται μεταβολαὶ τῶν περὶ τὰς φύσιας ἡμῶν καὶ τὰς ἕξιας συμβαινόντων μάλιστα νοσοποιέουσιν. οὐδ' εἰ οἷόν τε παρὰ καιρὸν, οὔτε σφοδροτάτας κενεαγγείας ποιέειν, οὔτε ἀκμαζόντων τῶν νουσημάτων, καὶ ἐν φλεγμασίῃ ἐόντων προσφέρειν. οὔτε ἐξαπίνης οἷόν τε ὅλῳ τῷ πρήγματι μεταβάλλειν, οὔτε ἐπὶ τὰ, οὔτε ἐπὶ τά.

Πολλὰ δ' ἄν τις ἀδελφισμένα τουτέοισι τῶν ἐς κοιλίην καὶ ἄλλα εἴποι, ὡς εὐφόρως μὲν φέρουσι τὰ βρώματα, ἃ εἰθισμένοι εἰσὶν, εἰ καὶ μὴ ἀγαθὰ ᾖ φύσει. ὡσαύτως δὲ καὶ τὰ ποτά. δυσφόρως δὲ φέρουσι τὰ βρώματα ἃ μὴ εἰθισμένοι εἰσὶν, εἰ καὶ κακὰ ᾖ. ὡσαύτως δὴ καὶ ποτά. καὶ ὁκόσα μὲν κρεηφαγίη πολλὴ παρὰ τὸ ἔθος βρωθεῖσα ποιέει. ἢ σκόροδα. ἢ σίλφιον. ἢ ὀπός. ἢ καυλός. ἢ ἄλλα ὁκόσα τοιουτότροπα, μεγάλας δυνάμιας ἔχοντα ἰδίας. ἧσσον ἄν τις θαυμάσειεν, εἰ τὰ τοιαῦτα πόνους ἐμποιέει, τῇσι κοιλίῃσι μᾶλλον τῶν ἄλλων. ἀλλ' εἰ καταμάθοις ὅκως ἂν μᾶζα τε ὄχλον. καὶ ὄγκον. καὶ φῦσαν. καὶ στρόφον. τῇ κοιλίῃ παρέχοι παρὰ τὸ ἔθος βρωθεῖσα, τῷ μὴ μαζοφαγέειν εἰθισμένῳ. ἢ αὐτός τε ὁ ἄρτος θερμὸς βρωθείς. οἵην δίψαν παρέχει. καὶ ἐξαπιναίην πληθώρην, διὰ τὸ ξηραντικόν τε καὶ βραδύπορον. καὶ οἱ ἄγαν καθαροί τε καὶ ξυγκομιστοὶ παρὰ τὸ ἔθος βρωθέντες, οἷα διαφέροντα ἀλλήλων ποιέουσι. καὶ μᾶζα τε ξηρὴ παρὰ τὸ ἔθος, ἢ ὑγρὴ, ἢ γλισχρή. καὶ τὰ ἄλφιτα οἷόν τι ποιέει τὰ ποταίνια, τοῖσι μὴ εἰωθόσι. καὶ τὰ ἑτεροῖα, τοῖσι τὰ ποταίνια εἰωθόσι. καὶ οἰνοποσίη, καὶ ὑδροποσίη παρὰ τὸ ἔθος εἰς θάτερα μεταβληθέντα ἐξαπίνης, καὶ ὑδαρής τε οἶνος καὶ ἄκρητος παρὰ τὸ ἔθος ἐξαπίνης ποθείς. ὁ μὲν γὰρ πλάδον τε ἐν τῇ ἄνω κοιλίῃ ἐμποιήσει, καὶ φῦσαν ἐν τῇ κάτω. ὁ δὲ παλμὸν φλεβῶν καὶ καρηβαρίην καὶ δίψαν. καὶ λευκός τε καὶ μέλας οἶνος παρὰ τὸ ἔθος μεταβάλλοντι εἰ καὶ ἄμφω οἰνώδεες εἶεν, ὅμως πολλὰ ἂν ἑτεροιώσειαν κατὰ τὸ σῶμα. ὡς δὴ γλυκύν τε καὶ οἰνώδεα οἶνον, ἧσσον ἄν τις φαίη θαυμαστὸν εἶναι, μὴ τωὐτὸ δύνασθαι ἐξαπίνης μεταβληθέντα. τιμωρητέον δὴ τοιόνδε τι μέρος, τῷ ἐναντίῳ λόγῳ, ὅτι ἡ μεταβολὴ τῆς διαίτης, τουτέοισιν ἐγένετο, οὐ μεταβάλλοντος τοῦ σώματος, οὔτε ἐπὶ τὴν ῥώμην, ὥστε προσθέσθαι δεῖν σιτία, οὔτ' ἐπὶ τὴν ἀῤῥωστίην, ὥστε ἀφαιρεθῆναι. προσεκμαρτέα δὴ καὶ ἰσχὺς, καὶ ὁ τρόπος τοῦ νοσήματος ἑκάστοισι, καὶ τῆς φύσιος τοῦ τε ἀνθρώπου καὶ τοῦ ἔθεος, καὶ τῆς διαίτης τοῦ κάμνοντος, οὐ μόνον σιτίων, ἀλλὰ καὶ ποτῶν. πολλῷ δὲ ἧσσον ἐπὶ τὴν πρόσθεσιν ἰτέον. ἐπεὶ τήν γε ἀφαίρεσιν ὅλως ἀφελεῖν πολλαχοῦ λυσιτελέει, ὅκου διαρκέειν μέλλει ὁ κάμνων, μέχρις ἂν τῆς νούσου ἡ ἀκμὴ πεπανθῇ. ἐν ὁκοίοισι δὲ τὸ τοιόνδε ποιητέον γεγράψεται. πολλὰ δ' ἄν τις καὶ ἄλλα ἀδελφισμένα τοῖσιν εἰρημένοισι γράφοι, τό γε μὴν κρέσσον μαρτύριον. οὐ γὰρ ἀδελφισμένον ἐστὶ τῷ πρήγματι, περὶ οὗ μοι ὁ πλεῖστος λόγος εἴρηται. ἀλλ' αὐτὸ τὸ πρῆγμα, ἐπικαιρότατόν ἐστι διδακτήριον. οἱ γὰρ ἀρχόμενοι τῶν ὀξέων νουσημάτων, ἔστιν ὅτε οἱ μὲν σιτία ἔφαγον αὐθημερὸν, ἠργμένοι ἤδη. οἱ δὲ, καὶ τῇ ὑστεραίῃ. οἱ δὲ, καὶ ἐῤῥόφεον τὸ προστυχόν. οἱ δὲ, καὶ κυκεῶνα ἐῤῥόφεον. ἅπαντα δὲ ταῦτα, κακίω μέν ἐστιν ἢ εἰ ἑτεροίως τις διαιτηθείη. πολλῷ μέντοι ἐλάσσω βλάβην φέρει, ἐν τούτῳ τῷ χρόνῳ ἁμαρτηθέντα, ἢ εἴ τις τὰς μὲν πρώτας ἡμέρας δύο ἢ τρεῖς κενεαγγήσειε τελείως. τεταρταῖος δὲ ὢν, τοιάδε διαιτηθείη, ἢ καὶ πεμπταῖος. ἔτι μέντοι κάκιον, εἰ ταύτας πάσας τὰς ἡμέρας προκενεαγγήσας, ἐν τῇσιν ὕστερον ἡμέρῃσιν, οὕτω διαιτηθείη, πρὶν ἢ πέπειρον γενέσθαι τὴν νοῦσον. οὕτω μὲν γὰρ θάνατον φέρει φανερῶς τοῖσι πλείστοισιν, ἢν μὴ παντάπασί τις εὐήθης ἡ νοῦσος ἔῃ. αἱ δὲ κατ' ἀρχὰς ἁμαρτάδες, οὐχ ὁμοίως ταύτῃσιν ἀνήκεστοί εἰσιν, ἀλλὰ πολλῷ εὐακεστότεραι. τοῦτο οὖν ἡγεῦμαι μέγιστον διδακτήριον, ὅτι οὐ στερητέαι αἱ πρῶται ἡμέραι τοῦ ῥοφήματος, ἢ τοίου, ἢ τοίου, τοῖσι μέλλουσιν ὀλίγον ὕστερον ῥοφήμασιν, ἢ τοίοις, ἢ τοίοις χρέεσθαι. πυθμένοθεν μὲν οὖν οὐκ ἴσασιν, οὐδ' οἱ τῇσι κριθώδεσι πτισάνῃσι χρεόμενοι, ὅτι αὐτέῃσι κακοῦνται, ὁκόταν ῥοφέειν ἄρξωνται, ἢν προκενεαγγήσωσι, δύο ἢ τρεῖς ἡμέρας ἢ καὶ πλείους. οὔτ' αὖ οἱ τῷ χυλῷ χρεόμενοι γινώσκουσιν ὅτι αὐτέοισι βλάπτονται ῥοφέοντες, ὅταν μὴ ὀρθῶς ἄρξωνται τοῦ ῥοφήματος. τότε μὲν φυλάσσουσι καὶ γινώσκουσιν, ὅτι μεγάλην τὴν βλάβην φέρει, ἢν

πρὶν

πρὶν ἢ πέπειρον τῆς νόσου γενέσθαι κριθώδεα πτισάνην ῥοφήσῃ ὁ κάμνων, εἰθισμένος χυλῷ χρέεσθαι. πάντα οὖν ταῦτα, μεγάλα μαρτύρια, ὅτι οὐκ ὀρθῶς ἄγουσιν ἐς τὰ διαιτήματα οἱ ἰητροὶ τοὺς κάμνοντας, ἀλλ' ἐν ᾗσί γε νούσοισιν οὐ χρὴ κενεαγγέειν τοὺς μέλλοντας ῥοφήμασι διαιτᾶσθαι, κενεαγγέουσιν. ἐν ᾗσι τε οὐ χρὴ μεταβάλλειν ἐκ κενεαγγείης ἐς ῥοφήματα, ἐν ταύτῃσι μεταβάλλουσι, καὶ ὡς ἐπὶ τὸ πολὺ ἁμαρτάνουσιν. ἐνίοτε δὲ, ἐν τοῖσι καιροῖσι μεταβάλλουσιν ἐς τὰ ῥοφήματα ἐκ τῆς κενεαγγείης, ἐν οἷσι πολλάκις ἀρήγει ἐκ τῶν ῥοφημάτων πλησιάζειν τῇ κενεαγγείῃ, ἢν οὕτως τύχῃ παροξυνομένη ἡ νοῦσος. ἐνίοτε δὲ καὶ ὠμὰ ἐπισπῶνται, ἀπό τε κεφαλῆς, καὶ τοῦ περὶ τὸν θώρηκα τόπου χολώδεα. ἀγρυπνίαι τε συνεμπίπτουσιν αὐτέοισι, δι' ἃς οὐ πέσσεται ἡ νοῦσος. περίλυποί τε καὶ πικροὶ γίνονται. καὶ παραφρονέουσι. καὶ μαρμαρυγώδεα σφέων τὰ ὄμματα. καὶ αἱ ἀκοαὶ ἤχου μεσταί. καὶ τὰ ἀκρωτήρια κατεψυγμένα. καὶ οὖρα ἄπεπτα. καὶ πτύσματα λεπτὰ, καὶ ἁλυκὰ, καὶ κεχρωσμένα ἀκρήτῳ χρώματι σμικρά. καὶ ἱδρῶτες περὶ τὸν τράχηλον. καὶ διαπορήματα. καὶ πνεῦμα προσπταῖον ἐν τῇ ἄνω φορῇ, πυκνὸν, ἢ μέγα λίην. ὀφρύες δεινώσιος μετέχουσαι. λειποψυχώδεα πονηρά. καὶ τῶν ἱματίων ἀποῤῥίψιες ἀπὸ τοῦ στήθεος. καὶ χεῖρες τρομώδεες. ἐνίοτε δὲ καὶ χεῖλος τὸ κάτω σείεται. ταῦτα δὲ ἐν ἀρχῇσι παραφαινόμενα, παραφροσύνης δηλωτικά εἰσι σφοδρῆς. καὶ ὡς ἐπὶ τὸ πολὺ, ἀποθνήσκουσιν. οἱ δὲ διαφεύγοντες ἢ μετὰ ἀποστήματος, ἢ αἵματος ῥύσιος ἐκ τῆς ῥινὸς, ἢ πύον παχὺ πτύσαντες διαφεύγουσιν. ἄλλως δὲ οὔ. οὐδὲ γὰρ τῶν τοιουτέων ὁρέω ἐμπείρους τοὺς ἰητροὺς, ὡς χρὴ διαγινώσκειν τὰς ἀσθενείας ἐν τῇσι νούσοισιν, αἵ τε διὰ κενεαγγείην ἀποτελοῦνται, αἵ τε δι' ἄλλον τινὰ ἐρεθισμὸν, αἵ τε διὰ πόνον, καὶ ὑπὸ ὀξύτητος τῆς νούσου. ὁκόσα τε ἡμέων ἡ φύσις καὶ ἡ ἕξις ἑκάστοισιν ἐκτεκνοῖ πάθεα καὶ εἴδεα παντοῖα. καίτοι σωτηρίην ἢ θάνατον φέρει, γινωσκόμενα ἢ ἀγνοούμενα τὰ τοιαῦτα. μέζον μὲν γὰρ κακόν ἐστιν, ἢν διὰ τὸν πόνον καὶ τὴν ὀξύτητα τῆς νούσου ἀσθενέοντι, προσφέρῃ τις ποτὸν, ἢ ῥόφημα πλεῖον, ἢ σιτίον, οἰόμενος διὰ κενεαγγείην ἀσθενέειν. ἀεικὲς δὲ καὶ διὰ κενεαγγείην ἀσθενέοντα, μὴ γνῶναι καὶ πιέζειν τῇ διαίτῃ. φέρει μὲν γάρ τινα κίνδυνον καὶ αὕτη ἡ ἁμαρτάς. πολλῷ δὲ ἧσσον, τῆς ἑτέρης. καταγελαστοτέρη δὲ πολλῷ αὕτη μᾶλλον ἡ ἁμαρτὰς τῆς ἑτέρης. εἰ γὰρ ἄλλος ἰατρὸς ἢ καὶ ἰδιώτης ἐσελθὼν καὶ γνοὺς τὰ συμβεβηκότα, δοίη καὶ φαγεῖν καὶ πιεῖν, ἃ ὁ ἕτερος ἐκώλυσεν, ἐπιδήλως ἂν δοκοίη ὠφεληκέναι. τὰ δὲ τοιαῦτα μάλιστα καθυβρίζεται τῶν χειρωνακτέων ὑπὸ τῶν ἀνθρώπων. δοκέει γὰρ αὐτέοισιν ὁ ἐσελθὼν ἰητρὸς ἢ ἰδιώτης, ὥσπερ εἰ τεθνεῶτα ἀναστῆσαι. γεγράψεται οὖν καὶ περὶ τουτέου, σημήϊα οἷσι δεῖ ἕκαστα τουτέων διαγινώσκειν. παραπλήσια μέντοι τοῖσι κατὰ κοιλίην καὶ ταῦτά ἐστι. καὶ γὰρ ἢν ὅλον τὸ σῶμα ἀναπαύσηται πουλὺ παρὰ τὸ ἔθος, οὐκ αὐτίκα ἔῤῥωται μᾶλλον. ἢν δὲ δὴ καὶ πλέω χρόνον διελινύσας ἐξαπίνης ἐς τοὺς πόνους ἔλθῃ, φλαῦρόν τι πρήξειεν ἐπιδήλως. οὕτω δὲ καὶ ἓν ἕκαστον τοῦ σώματος. καὶ γὰρ ἂν οἱ πόδες τοιόνδε τι πρήξειαν, καὶ τὰ ἄλλα ἄρθρα μὴ εἰθισμένα πονέειν, ἢν διὰ χρόνου ἐξαπίνης πρὸς τὸ πονέειν ἔλθῃ. ταῦτα δ' ἂν καὶ οἱ ὀδόντες καὶ οἱ ὀφθαλμοὶ πάθοιεν, καὶ πᾶν ὁτιοῦν. ἐπεὶ καὶ κοίτη ἡ παρὰ τὸ ἔθος μαλθακὴ, πόνον ἐμποιέει. καὶ σκληρὴ παρὰ τὸ ἔθος. καὶ ὕπαιθρος εὐνὴ παρὰ τὸ ἔθος, σκληρύνει τὸ σῶμα. ἀτὰρ καὶ τὰ τῶν τοιῶνδε πάντων, ἀρκέει παραδείγματα γράψαι. εἰ γάρ τις ἕλκος λαβὼν ἐν κνήμῃ, μήτε λίην ἐπίκαιρον, μήτε λίην εὐηθες ὂν, καὶ μήτε ἄγαν δυσελκὴς ὢν, μήτε ἄγαν εὐελκὴς, αὐτίκα ἀρξάμενος ἐκ πρώτης κατακείμενος ἰητρεύοιτο, καὶ μηδαμῇ μετεωρίζοι τὸ σκέλος, ἀφλέγμαντος μὲν ἂν οὗτος εἴη καὶ ὑγιὴς πολλῷ θᾶσσον οὕτω γένοιτο, ἢ εἰ πλανώμενος ἰητρεύοιτο. εἰ μέντοι πεμπταῖος, ἢ ἑκταῖος, ἢ καὶ ἔτι ἀνωτέρω ἀναστὰς, ἐθέλοι προβαίνειν μᾶλλον ἂν πονέοι τότε, ἢ εἰ αὐτίκα ἐξ ἀρχῆς πλανώμενος ἰητρεύοιτο. εἰ δὲ καὶ πολλὰ ταλαιπωρήσειεν ἐξαπίνης, πολλῷ ἂν μᾶλλον πονέσειεν, ἢ ἐκείνως ἰητρευόμενος ταῦτα ταλαιπωρήσειεν ἐν ταύτῃσι τῇσιν ἡμέρῃσι. διὰ τέλεος οὖν μαρτυρεῖ ταῦτα πάντα ἀλλήλοισιν, ὅτι πάντα ἐξαπίνης μέζω πολλῷ τοῦ μετρίου μεταβαλλόμενα ἐπὶ τὰ καὶ ἐπὶ τὰ βλάπτει. πολλαπλασίη μὲν οὖν κατὰ κοιλίην ἡ βλάβη ἐστὶν, ἢν ἐκ πολλῆς κενεαγγείης, ἐξαπίνης πλέον τοῦ μετρίου προσαίρηται. ἀτὰρ καὶ κατὰ τὸ ἄλλο σῶμα ἢν ἐκ πολλῆς ἡσυχίης ἐξαίφνης ἐς πλέω πόνον ἔλθοι, πουλὺ πλέω βλαβείη, ἢ εἰ ἐκ πολλῆς ἐδωδῆς ἐς κενεαγγείην μεταβάλλοι. δεῖ μέντοι καὶ τὸ σῶμα τουτέοισιν ἐλιννύειν. καὶ ἢν ἐκ πολλῆς ταλαιπωρίης ἐξαπίνης ἐς σχολήν τε καὶ ῥαθυμίην ἐμπέσῃ, δεῖ δὲ καὶ τουτέοισι τὴν κοιλίην ἐλ-

λιννύειν πλῆθος βρώμης. ἢν δὲ μή, πόνον ἐν τῷ σώματι ἐμποιήσει, καὶ βάρος ὅλου τοῦ σώματος. ὁ δὴ οὖν πλεῖστός μοι λόγος γέγονε, περὶ τῆς μεταβολῆς τῆς ἐπὶ τῆς διαίτης, καὶ ἐπὶ τὰ καὶ ἐπὶ τά. ταῦτα μὲν οὖν, εὔχρηστον ταῦτα εἰδέναι. ἀτὰρ καὶ περὶ οὗ ὁ λόγος ἦν. ὅτι καὶ ἐν τῇσιν ὀξείῃσι νούσοισιν ἐς τὰ ῥοφήματα μεταβάλλουσιν ἐκ τῆς κενεαγγείης. μεταβλητέον γὰρ ὡς ἐγὼ κελεύω ἤδη. ἔπειτα οὐ χρηστέον ῥοφήμασι, πρὶν ἡ νοῦσος πεπανθῇ, ἢ ἄλλο τι σημεῖον φανῇ, ἢ κατ' ἔντερον κενεαγγικόν, ἢ ὀρεθιστικόν, ἢ κατὰ τὰ ὑποχόνδρια, ὁκοῖα γεγράψεται σημεῖα. ἀγρυπνίη ἰσχυρή, πόματα καὶ σιτία ὠμὰ καὶ ἀπεπτότερα ποιέει. καὶ ἡ ἐπὶ τὰ ἕτερα αὖ μεταβολή, διαλύει σῶμα, καὶ ἐφθότητα καὶ καρηβαρίην ἐμποιέει.

Γλυκὺν δὲ οἶνον, καὶ οἰνώδεα, καὶ λευκόν, καὶ μέλανα, καὶ μελίκρητον, καὶ ὕδωρ, καὶ ὀξύμελι, τοῖσι δὲ σημαινόμενον, χρὴ διορίζειν ἐν τῇσιν ὀξείῃσι νούσοισιν. ὁ μὲν γλυκύς, ἧσσον ἐστὶ καρηβαρικώτερος τοῦ οἰνώδεος. καὶ ἧσσον φρενῶν ἁπτόμενος. καὶ διαχωρητικώτερος δή τι τοῦ ἑτέρου κατ' ἔντερον. μεγαλόσπλαγχνος δὲ σπληνός, καὶ ἥπατος. οὐκ ἐπιτήδειος οὖν οὐδὲ τοῖσι πικροχόλοισι. καὶ γὰρ οὖν διψώδης τοῖσί γε τοιουτέοισίν ἐστιν. ἀτὰρ καὶ φυσώδης ἐντέρου τοῦ ἄνω. οὐ μὴν πολέμιός γε αὐτῷ ἐντέρῳ τῷ κάτω, ὡς κατὰ λόγον τῆς φύσης. καίτοι γε οὐ πάνυ πορίμη ἐστίν, ἡ ἀπὸ τοῦ γλυκέος οἴνου φύσα, ἀλλ' ἐγχρονίζει περὶ ὑποχόνδρια. καὶ γὰρ οὖν ἧσσον οὗτος διουρητικός γίνεται τὸ ἐπίπαν τοῦ οἰνώδεος λευκοῦ. πτυάλου δὲ μᾶλλον ἀναγωγός ἐστι τοῦ ἑτέρου ὁ γλυκύς. καὶ οἷσι μὲν διψώδης ἐστὶ πινόμενος, ἧσσον ἂν τούτοισιν ἀνάγοι, ἢ ὁ ἕτερος οἶνος. οἷσι δὲ μὴ διψώδης, μᾶλλον ἀνάγοι ἂν τοῦ ἑτέρου. ὁ δὲ λευκὸς οἰνώδης οἶνος, ἐπῄνηται μὲν καὶ ἔψεκται, τὰ πλεῖστα καὶ τὰ μέγιστα ἤδη ἐν τῇ τοῦ γλυκέος οἴνου διηγήσει. ἐς δὲ κύστιν μᾶλλον πόριμος ἐὼν τοῦ ἑτέρου, καὶ διουρητικὸς καὶ καταῤῥηκτικός, αἰεί που πολλὰ προσωφελέοι ἂν ἐν ταύτῃσι τῇσι νούσοισι. καὶ γὰρ εἰ πρὸς ἄλλα ἀνεπιτηδειότερος τοῦ ἑτέρου πέφυκεν, ἀλλ' ὅμως ἡ κατὰ κύστιν κάθαρσις ὑπ' αὐτοῦ γινομένη, ῥύεται ἢν προτρέπηται, ὁκοῖον δεῖ. καλὰ δὲ ταῦτα τεκμήρια ἐστί, περὶ οἴνου ὠφελίης καὶ βλάβης, ὁκόσα ἀκαταμάθητα ἦν, τοῖσιν ἐμεῦ γεραιτέροισι. κιῤῥῷ δὲ οἴνῳ καὶ μέλανι αὐστηρῷ ἐν ταύτῃσι τῇσι νούσοισιν, ἐς τάδε ἂν χρήσαιο, εἰ καρηβαρίη μὲν μὴ ἐνείη, μηδὲ φρενῶν ἅψις, μηδὲ τὸ πτύελον κωλύοιτο τῆς ἀνόδου, μηδὲ τὸ οὖρον ἴσχοιτο. τὰ διαχωρήματα δὲ πλαδαρώτερα καὶ ξυσματωδέστερα εἴη. ἐν δὴ τοῖσι τοιουτέοισι πρέποι ἂν μάλιστα μεταβάλλειν ἐκ τοῦ λευκοῦ. καὶ ὁκόσα τουτέοισιν ἐμφερέα. προξυνιέναι δὲ δεῖ, ὅτι τὰ μὲν ἄνω πάντα καὶ τὰ κατὰ κύστιν, ἧσσον βλάψει, ἢν ὑδαρέστερος ᾖ. τὰ δὲ κατ' ἔντερον, καὶ μᾶλλον ὀνήσει, ἢν ἀκρητέστερος ᾖ.

Μελίκρητον δὲ πινόμενον διὰ πάσης τῆς νούσου ἐν τῇσιν ὀξείῃσι νούσοισι, τὸ ἐπίπαν μὲν τοῖσι πικροχόλοισι καὶ μεγαλοσπλάγχνοισιν, ἧσσον ἐπιτήδειον, ἢ τοῖσιν οὐ τοιούτοισιν ἐστίν. διψῶδές γε μήν, ἧσσον τοῦ γλυκέος οἴνου. πνεύμονός τε γάρ, μαλθακτικόν ἐστι, καὶ πτυέλου ἀναγωγὸν μετρίως, καὶ βηχὸς παρηγορικόν. ἔχει γὰρ σμηγματῶδές τι, ὃ μᾶλλον τοῦ μετρίου καταγλισχραίνει τὸ πτύελον. ἔστι δὲ καὶ οὐρητικὸν μελίκρητον ἱκανῶς, ἢν μή τι τῶν ἀπὸ σπλάγχνων κωλύῃ. καὶ διαχωρητικὸν δέ, κάτω χολωδέων. ἔστι μὲν ὅτε καλῶν. ἔστι δ' ὅτε κατακορεστέρων μᾶλλον τοῦ καιροῦ, καὶ ἀφρωδεστέρων. μᾶλλον δὲ τὸ τοιοῦτο τοῖσι χολώδεσί τε καὶ μεγαλοσπλάγχνοισι γίνεται. πτυάλου μὲν οὖν ἀναγωγήν, καὶ πνεύμονος μάλθαξιν, τὸ ὑδαρέστερον μελίκρητον ποιέει μᾶλλον. τὰ μέντοι ἀφρώδεα διαχωρήματα καὶ μᾶλλον τοῦ καιροῦ κατακορέως χολώδεα, καὶ μᾶλλον θερμά, τὸ ἄκρητον μᾶλλον τοῦ ὑδαρέος ἄγει. τὸ δὲ τοιόνδε διαχώρημα, ἔχει μὲν καὶ ἄλλα σίνεα μεγάλα. οὔτε γὰρ ἐξ ὑποχονδρίων καῦμα σβεννύει, ἀλλ' ὁρμᾷ. δυσφορίην τε καὶ ῥιπτασμὸν τῶν μελέων ποιέει. ἑλκῶδές τε ἐστὶ καὶ ἐντέρων καὶ ἕδρης. ἀλεξιτήρια δὲ τούτων, γεγράψεται. ἄνευ μὲν οὖν ῥοφημάτων μελικρήτῳ χρεώμενος ἀντ' ἄλλου ποτοῦ ἐν ταύτῃσι τῇσι νούσοισι, πολλὰ ἂν εὐτυχοίης, καὶ οὐκ ἂν πολλὰ ἀτυχοίης. οἷσι δὲ δοτέον, καὶ οἷσι μὴ δοτέον, τὰ μέγιστα εἴρηται, καὶ δι' ἃ οὐ δοτέον. κατέγνωσται δὲ μελίκρητον ὑπὸ τῶν ἀνθρώπων, ὡς καταγυιοῖ τοὺς πίνοντας, καὶ διὰ τοῦτο ταχυθάνατον εἶναι νενόμισται. ἐκλήθη δὲ τοῦτο, διὰ τοὺς ἀποκαρτερέοντας. ἔνιοι γὰρ μελικρήτῳ μόνῳ χρέονται ποτῷ, ὡς τοιοῦδε δῆθεν ἐόντος. τὸ δέ, οὐ παντάπασιν ὧδε ἔχει. ἀλλ' ὕδατος μὲν πολλῷ ἰσχυρότερόν ἐστι πινόμενον μοῦνον, ἢν μὴ ἐκταράσσῃ τὴν κοιλίην. ἀτὰρ καὶ οἴνου λευκοῦ, καὶ λεπτοῦ, καὶ ὀλιγοφόρου, καὶ ἀνόσμου, ἧ μέν, ἰσχυρότερον, ἧ δέ, ἀσθενέστερον. μέγα μὴν διαφέρει καὶ οἴνου καὶ μέλιτος ἀκρητότης ἐς ἰσχὺν ἀμφοῖν. ὅμως τοίνυν εἰ καὶ διπλάσιον μέτρον

οἴνου

οἴνου καὶ ἀκρήτου πίνοι τις, ἢ ὁκόσον μέλι ἐκλείχοι, πολλῷ ἂν δήπου ἰσχυρότερος εἴη ὑπὸ τοῦ μέλιτος μούνου, εἰ μὴ ταράσσοι τὴν κοιλίην. πολλαπλάσιον γὰρ καὶ τὸ κόπριον διεξίη ἂν αὐτέῳ. εἰ μέντοι ῥοφήματι χρέοιτο πτισάνῃ, ἐπιπίνοι δὲ μελίκρητον ἄγαν, πλησμονῶδες ἂν εἴη, καὶ φυσῶδες, καὶ τοῖσι κατὰ τὰ ὑποχόνδρια σπλάγχνοισιν ἀξύμφορον. προπινόμενον μὲν πρὸ ῥοφήματος μελίκρητον, οὐ βλάπτει ὅκως μεταπινόμενον, ἀλλά τι καὶ ὠφελέει. ἑφθὸν δὲ μελίκρητον ἐσιδεῖν μὲν, πολλῷ κάλλιον τοῦ ὠμοῦ. λαμπρὸν γὰρ καὶ λεπτὸν, καὶ λευκὸν, καὶ διαφανὲς γίνεται. ἀρετὴν δὲ ἥν τινα αὐτέῳ προσθέω διαφέρουσάν τι τοῦ ὠμοῦ, οὐκ ἔχω. οὔτε γὰρ ἥδιόν ἐστι τοῦ ὠμοῦ, ἢν τυγχάνοι γε τὸ μέλι καλὸν ἐόν. ἀσθενέστερον μέντοι γε τοῦ ὠμοῦ, καὶ ἀκοπρωδέστερόν ἐστιν. ὧν οὐδετέρου εἰς τιμωρίην προσδέεται μελίκρητον. ἄγχιστα δὲ χρηστέον αὐτῷ τοιῷδε ἐόντι, εἰ τὸ μέλι τυγχάνοι πονηρὸν ἐὸν, καὶ ἀκάθαρτον, καὶ μέλαν, καὶ μὴ εὐῶδες. ἀφέλοιτο γὰρ ἂν ἡ ἕψησις τῆς κακότητος αὐτέου, τὰ πλείονα τοῦ αἴσχεος.

Τὸ δὲ ὀξύμελι καλεόμενον ποτὸν, πολλαχοῦ μὲν εὔχρηστον ἐν ταύτῃσι τῇσιν νούσοισιν εὑρήσεις ἐόν. καὶ γὰρ πτυάλου ἀναγωγόν ἐστι, καὶ εὔπνοον. καιροὺς μέντοι τοιούσδε ἔχει. τὸ μὲν γὰρ κάρτα ὀξὺ, οὐδὲν ἂν μέζον ποιήσειε πρὸς τὰ πτύελα τὰ μὴ ῥηϊδίως ἀνιόντα. εἰ γὰρ ἀνάγοι μὲν τὰ ἐγκόρχνοντα, καὶ ὄλισθον ἐμποιήσειεν, καὶ ὥσπερ διαπτερώσειε τὸν βρόγχον, παρηγορήσειεν ἂν τὸν πλεύμονα. μαλθακτικὸν γὰρ αὐτέου. καὶ εἰ μὲν ταῦτα συγκυρήσειεν, μεγάλην ἂν ὠφελείην ποιήσειεν. ἔστι δ' ὅτε τὸ κάρτα ὀξὺ, οὐκ ἐκράτησε τῆς ἀναγωγῆς τοῦ πτυέλου, ἀλλὰ προσεγλισχρηνέ τε καὶ ἔβλαψε. μάλιστα δὲ τοῦτο πάσχουσιν, οἵπερ καὶ ἄλλως ὀλέθριοί εἰσι καὶ ἀδυνατοῦσι βήσσειν τε καὶ ἀποχρέμπτεσθαι τὰ ἐνεχόμενα. ἐς μὲν οὖν τόδε προσεκμαίρεσθαι χρὴ τὴν ῥώμην τοῦ κάμνοντος, κἢν ἐλπίδα ἔχῃ διδόναι. διδόναι δὲ ἢν δίδως, ἀκροχλίαρον, καὶ κατ' ὀλίγον τὸ τοιόνδε, καὶ μὴ λάβρως. τὸ μέντοι ὀλίγον, ἔποξυ. ὑγραίνει μὲν τὸ στόμα καὶ φάρυγγα. ἀναγωγὸν δὲ πτυέλου ἐστὶ καὶ ἄδιψον. ὑποχονδρίῳ δὲ, καὶ σπλάγχνοισι, καὶ τοῖσι ταύτῃσιν εὐμενές. καὶ γὰρ τὰς ἀπὸ μέλιτος βλάβας ταύτας κωλύει. τὸ γὰρ χολῶδες ἐν μέλιτι κολάζεται. ἔστι δὲ καὶ φυσέων καταρρηκτικόν. καὶ ἐς οὔρησιν προτρεπτικόν. ἐντέρου μέντοι, τοῦ κάτω μέρει πλαδαρώτερον, καὶ ξύσματα ἐμποιέει. ἔστι δ' ὅτε καὶ φλαῦρον τοῦτο ἐν τῇσιν ὀξείῃσι νούσοισι γίνεται, μάλιστα μὲν ὅτι φύσαν κωλύει περαιοῦσθαι, ἀλλὰ παλινδρομέειν ποιέει. ἔτι δὲ καὶ ἄλλως γυιοῖ, καὶ τὰ ἀκρωτήρια ψύχει. ταύτην καὶ οἶδα μούνην διὰ ὀξυμέλιτος γινομένην βλάβην, ἥτις καὶ ἀξίη γραφῆς. ὀλίγον δὲ τὸ τοιόνδε ποτὸν, νυκτὸς μὲν καὶ νήστει πρὸ ῥοφήματος ἐπιτήδειον προπίνεσθαι. ἀτὰρ καὶ ὁκόταν πολὺ μετὰ τὰ ῥόφημα ᾖ, οὐδὲν κωλύει πίνειν. τοῖσι δὲ ποτῷ μούνῳ διαιτωμένοισιν ἄνευ ῥοφημάτων, διὰ τόδε οὐκ ἐπιτήδειόν ἐστιν αἰεὶ, καὶ διὰ παντὸς χρέεσθαι τούτῳ, μάλιστα μὲν διὰ ξύσιν ἢ τρηχυσμὸν τοῦ ἐντέρου. ἀκόπρῳ γὰρ ἐόντι, μᾶλλον ἐμποιέει ἄν. καὶ ταῦτα κενεαγγείης παρεούσης. ἔπειτα δὲ καὶ τὸ μελίκρητον τῆς ἰσχύος ἀφαιρέοιτο ἄν. ἢν μέντοι ἀρήγειν φαίνηται πρὸς τὴν ξύμπασαν νοῦσον, πολλῷ ποτῷ τούτῳ χρέεσθαι, ὀλίγον χρὴ τὸ ὄξος παραχέειν, ὅσον μοῦνον γινώσκεσθαι. οὕτω γὰρ καὶ ἃ φιλέει βλάπτειν, ἥκιστα ἂν βλάπτοι. καὶ ἃ δεῖται προσωφελέειν, προσωφελοίη ἄν. ἐν κεφαλαίῳ δ' εἰρῆσθαι, αἱ ἀπὸ ὄξεος ὀξύτητες πικροχόλοισι μᾶλλον, ἢ μελαγχολικοῖσι ξυμφέρουσι. τὰ μὲν γὰρ πικρὰ διαλύεται, καὶ ἐκφλεγματοῦται, μετεωριζόμενα ὑπ' αὐτέου. τὰ δὲ μέλανα ζυμοῦται, καὶ μετεωρίζεται, καὶ πολλαπλασιοῦται. ἀναγωγὸν γὰρ μελάνων, ὄξος. γυναιξὶ δὲ τὸ ἐπίπαν, πολεμιώτατον, ἢ ἀνδράσιν ὄξος. ὑστεραλγὲς γὰρ ἐστι.

Ὕδατι δὲ ποτῷ ἐν τῇσιν ὀξείῃσι νούσοισιν ἄλλο μὲν οὐδὲν ἔχω ἔργον ὅτι προσθῶ. οὔτε γὰρ βηχὸς παρηγορικόν ἐστιν ἐν τοῖσι περιπλευμονικοῖσιν, οὔτε πτυέλου ἀναγωγὸν, ἀλλ' ἧσσον τῶν ἄλλων, εἴ τις διὰ παντὸς ὕδατι ποτῷ χρέοιτο. μεσηγὺ μέντοι ὀξυμέλιτος καὶ μελικρήτου ὕδωρ ἐπιρροφεόμενον ὀλίγον, πτυέλου ἀναγωγόν ἐστι, διὰ τὴν μεταβολὴν τῆς ποιότητος τῶν ποτῶν. πλημμυρίδα γάρ τινα ἐμποιέει. ἄλλως δὲ οὔτε δίψαν παύει, ἀλλ' ἐπιπικραίνει. χολῶδες γὰρ φύσει χολώδει. καὶ ὑποχονδρίῳ κακόν. καὶ κάκιστον ἑωυτοῦ, καὶ χολωδέστατον, καὶ φιλαδυναμώτατον, ὅταν ἐς κενεότητα ἐσέλθῃ. καὶ σπληνὸς δὲ αὐξητικὸν, καὶ ἥπατός ἐστιν, ὁκόταν πεπυρωμένον ᾖ. καὶ ἐγκλυδαστικόν τε καὶ ἐπιπολαστικόν. βραδύπορόν τε γάρ ἐστι διὰ τὸ ὑπόψυχρον καὶ ἄπεπτον εἶναι. καὶ οὔτε διαχωρητικὸν, οὔτε διουρητικόν. προσβλάπτει δέ τι καὶ διὰ τόδε, ὅτι ἄκοπρόν ἐστι φύσει. ἢν δὲ δὴ καὶ ποδῶν ψυχρῶν ποτε ἐόντων ποθῇ, πάντα ταῦτα πολλαπλασίως βλάπτει, ἐς ὅ, τι ἂν αὐτέων ὁρμήσῃ. ὑποπτεύσαντι μέντοι ἐν ταύτῃσι τῇσι νούσοισιν ἢ κα-

καρηβαρίην ἰσχυρὴν, ἢ φρενῶν ἅψιν, παντάπασιν οἴνου ἀφεκτέον. ὕδατι δὲ ἐν τῇσι τοιῇσδε χρηστέον, ἢ ὑδαρέα καὶ λευκὸν παντελῶς δοτέον οἶνον, καὶ ἄοσμον παντάπασι, καὶ μετὰ τὴν πόσιν αὐτοῦ, ὕδωρ μεταποτέον ὀλίγον. οὕτω γὰρ ἂν ἧσσον τὸ ἀπὸ τοῦ οἴνου μένος ἅπτοιτο τῆς κεφαλῆς καὶ γνώμης. ἐν οἷσι δὲ μάλιστα αὐτῶν, ὕδατι ποτῷ χρηστέον. καὶ ὁκότε πολλῷ κάρτα. καὶ ὅκου μετρίῳ. καὶ ὅκου ψυχρῷ. καὶ ὅκου θερμῷ, τὰ μέν που, πρόσθεν εἴρηται. τὰ δὲ, ἐν αὐτέοισι τοῖσι καιροῖσι, ῥηθήσεται. περὶ δὲ τῶν ἄλλων ποτῶν, οἷον τὸ κρίθινον. καὶ τὰ ἀπὸ χλοίης ποιεύμενα. καὶ τὰ ἀπὸ σταφίδος, καὶ στεμφύλων, καὶ πυρῶν, καὶ κνίκου, καὶ μύρτων, καὶ ῥοιῆς, καὶ τῶν ἄλλων, ὅτε οὖν ἄν τινος αὐτέων καιρὸς ᾖ χρέεσθαι, γεγράψεται παρ᾽ αὐτῷ τῷ νουσήματι, ὅκως τε καὶ τἆλλα τῶν συνθέτων φαρμάκων. Λουτρὸν δὲ συχνοῖσι τῶν νουσημάτων ἀρήγοι ἂν χρεομένοισιν, ὧν τὰ μὲν ξυνεχέως, ὧν τὰ δ᾽ οὔ. ἔστι δὲ ὅτε ἧσσον χρηστέον, διὰ τὴν ἀπαρασκευασίην τῶν ἀνθρώπων. ἐν ὀλίγῃσι γὰρ οἰκίῃσι παρεσκεύασται τὰ ἄρμενα, καὶ οἱ θεραπεύοντες ὡς δεῖ. εἰ δὲ μὴ παγκάλως λούοιτο, βλάπτοιτ᾽ ἂν οὐ σμικρά. καὶ γὰρ σκέπης ἀκάπνου δεῖ. καὶ ὕδατος δαψιλέος. καὶ τοῦ λουτροῦ συχνοῦ, καὶ μὴ λίην λάβρου, ἤν γε μὴ οὕτω δέοι. καὶ μᾶλλον μὲν μὴ σμήχεσθαι. ἢν δὲ σμήχηται, θερμῷ χρέεσθαι αὐτέῳ, καὶ πολλαπλασίῳ, ἢ ὡς νομίζεται, σμήγματι. καὶ προσκαταχέεσθαι μὴ ὀλίγῳ. καὶ ταχέως μετακαταχέεσθαι. δεῖ δὲ καὶ τῆς ὁδοῦ βραχείης ἐς τὴν πύελον. καὶ ἐς εὐέμβατον, καὶ ἐς εὐέκβατον. εἶναι δὲ καὶ τὸν λουόμενον κόσμιον, καὶ σιγηλόν. καὶ μηδὲν αὐτὸν προσεργάζεσθαι. ἀλλ᾽ ἄλλους καὶ καταχέειν, καὶ σμήχειν. καὶ μετακέρασμα πολλὸν ἡτοιμάσθαι. καὶ τὰς ἐπαντλήσιας ταχείας ποιέεσθαι. καὶ σπόγγοις χρέεσθαι ἀντὶ στλεγγίδος. καὶ μὴ ἄγαν ξηρὸν χρίεσθαι τὸ σῶμα. κεφαλὴν μέντοι ἀνεξηράνθαι χρὴ ὡς οἷόν τε μάλιστα, ὑπὸ σπόγγου ἐκμασσομένην. καὶ μὴ διαψύχεσθαι τὰ ἄκρεα, μήτε τὴν κεφαλὴν, μήτε τὸ ἄλλο σῶμα. καὶ μήτε νεοῤῥόφητον, μήτε νεόποτον λούεσθαι. μὴ δὲ ῥοφέειν. μὴ δὲ πίνειν ταχὺ μετὰ τὸ λουτρόν. μέγα μέντοι μέρος χρὴ νέμειν τῷ κάμνοντι, ἢν ὑγιαίνων ᾖ φιλόλουτρος ἄγαν, καὶ εἰθισμένος λούεσθαι. καὶ γὰρ ποθέουσι μᾶλλον οἱ τοιοίδε, καὶ ὠφελέονται λουσάμενοι, καὶ βλάπτονται μὴ λουσάμενοι. ἁρμόζει δὲ ἐν περιπλευμονίῃσι μᾶλλον, ἢ ἐν καύσοισι τὸ ἐπίπαν. καὶ γὰρ ὀδύνης τῆς κατὰ τὴν πλευρὴν, καὶ στήθεα, καὶ μετάφρενον, παρηγορικόν ἐστι τὸ λουτρόν. καὶ πτυέλου πεπαντικὸν, καὶ ἀναγωγόν. καὶ εὔπνοον, καὶ ἄκοπον. μαλθακτικὸν γὰρ καὶ ἄρθρων, καὶ τοῦ ἐπιπολαίου δέρματος. καὶ οὐρητικὸν δέ. καὶ καρηβαρίην λύει. καὶ ῥῖνας ὑγραίνει. ἀγαθὰ μὲν οὖν λουτρῷ τοσαῦτα πάρεστιν ὧν πάντων δεῖ. ἢν μέντοι τῆς παρασκευῆς ἐνδεῇ τις ἢ ἑνὸς ἢ πλειόνων, κίνδυνος μὴ λυσιτελέειν τὸ λουτρὸν, ἀλλὰ μᾶλλον βλάπτειν. ἓν γὰρ ἕκαστον αὐτέων, μεγάλην φέρει τὴν βλάβην, μὴ παρασκευασθὲν ὑπὸ τῶν ὑπουργῶν, ὡς δεῖ. ἥκιστα δὲ λούειν καιρὸς, οἷσιν ἡ κοιλίη ὑγροτέρη τοῦ καιροῦ ἐν τῇσι νούσοισιν. ἀτὰρ οὐδὲ οἷσιν ἕστηκε μᾶλλον τοῦ καιροῦ, καὶ μὴ προελήλυθε. ἀλλ᾽ οὐδὲ τοὺς γεγυιωμένους χρὴ λούειν οὐδὲ δὴ τοὺς ἀσώδεας, ἢ ἐμετικούς. οὐδὲ τοὺς ἐπανερευγομένους χολῶδες. οὐδὲ τοὺς ἐκ ῥινῶν αἱμοῤῥαγέοντας, εἰ μὴ ἔλασσον τοῦ καιροῦ ῥέοι. τοὺς δὲ καιροὺς οἶδας. ἢν δὲ ἔλασσον τοῦ καιροῦ ῥέοι, λούειν. ἤν τε ὅλον τὸ σῶμα πρὸς τὰ ἄλλα ἀρήγῃ, ἤν τε τὴν κεφαλὴν μοῦνον. ἢν οὖν αἱ παρασκευαὶ ἔωσιν ἐπιτήδειοι, καὶ ὁ κάμνων μέλλῃ εὖ δέξασθαι τὸ λουτρὸν, λούειν χρὴ ἑκάστης ἡμέρης. τοὺς δὲ φιλολουτρέοντας καὶ δὶς τῆς ἡμέρης εἰ λούοις, οὐδὲν ἁμάρτοις. χρέεσθαι δὲ λουτροῖσι, τοῖσι ὅλῃσι πτισάνῃσι χρεομένοισι, παραπολὺ μᾶλλον ἐνδέχεται, ἢ τοῖσι χυλῷ μοῦνον χρεομένοισι. ἐνδέχεται δὲ καὶ τούτοισι ἐνίοτε. ἥκιστα δὲ καὶ τοῖσι ποτῷ μοῦνον χρεομένοισιν. ἔστι δὲ καὶ οἷσι τούτων ἐνδέχεται. τεκμαίρεσθαι δὲ χρὴ τοῖσι προγεγραμμένοισιν οὕς τε μέλλει λουτρὸν ὠφελέειν, ἐν ἑκάστοισι τῶν τρόπων τῆς διαίτης, οὕς τε μή. οἷσι μὲν γὰρ προσδέεταί τινος κάρτα τουτέων, ὁκόσα λουτρὸν ἀγαθὰ ποιέει, λούειν, καὶ ὅσα ἂν λουτρῷ ὠφελέηται. οἷσι δὲ τούτων μηδενὸς προσδεῖ καὶ πρόσεστιν αὐτέοισι τῶν σημείων, ἐφ᾽ οἷσι λούεσθαι ξυμφέρει, οὐ δεῖ λούειν.

Τῶν ἑπομένων, τίνα μὲν, ὡς Γαληνός φησι γνήσια Ἱπποκράτους ἐστὶ, καὶ τὴν λέξιν ἄμεμπτον ἔχει μετὰ τῆς διανοίας. τίνα δὲ, αὐτοῦ οὐκ ἄξια, ὡς ὑπονοῆσαι παρεγγεγράφθαι τοῖς γνησίοις.

Καῦσος δὲ γίνεται, ὁκόταν ἀναξηρανθέντα τὰ φλέβια ἐν θερινῇ ὥρῃ, ἐπισπάσηται δριμέας καὶ χολώδεας ἰχῶρας ἐς ἑωυτά. καὶ πυρετὸς πολὺς ἴσχει. τό, τε σῶμα ὡς ὑπὸ ὀστεοκόπου ἐχόμενον, κοπιᾷ καὶ ἀλγέει. γίνεται δὲ ὡς ἐπιτοπολὺ, καὶ ἐκ πορείης μακρῆς, καὶ δίψεος μακροῦ, ὁκόταν ἀναξηρανθέντα τὰ φλέβια, δριμέα καὶ θερμὰ ῥεύματα ἐπισπάσηται. γίνεται δὲ ἡ γλῶσσα

τρηχέη

τρηχείη, καὶ ξηρὴ, καὶ μέλαινα κάρτα. καὶ τὰ περὶ τὴν νηδὺν δακνόμενος ἀλγεῖ. τά τε ὑποχωρήματα ἔξυγρα καὶ ὠχρὰ γίνεται. καὶ δίψαι σφοδραὶ ἐνέχουσι. καὶ ἀγρυπνίη. ἐνίοτε δὲ καὶ παραλλάξιες φρενῶν. τῷ τοιῷδε δὲ δίδου πίνειν, ὕδωρ τε καὶ μελίκρητον ἑφθὸν, ὑδαρὲς, ὁκόσον ἐθέλει. κἢν πικρὸν τὸ στόμα γίνηται, ἐμέειν ξυμφέρει. καὶ τὴν κοιλίην ὑποκλύσαι. ἢν δὲ μὴ πρὸς ταῦτα λύηται, γάλα ὄνου ἑψήσας, κάθαιρε. ἁλμυρὸν δὲ μηδὲν μηδὲ δριμὺ προσφέρειν. οὐ γὰρ ὑποίσει. ῥοφήματα δὲ, ἕως ἂν ἔξω τῶν κρισίμων γένηται, μὴ δίδου. κἢν αἷμα ἐκ τῶν ῥινῶν ῥυῇ, λύεται τὸ πάθος. κἢν ἱδρῶτες ἐπιγένωνται κριτικοὶ γνήσιοι μετ' οὔρων λευκῶν καὶ παχέων, καὶ λείων ὑφισταμένων. κἢν ἀπόστημά που γένηται. ἢν δ' ἄνευ τούτων λυθῇ, ὑποστροφὴ πάλιν ἔσται τῆς ἀρρωστίης, ἢ ἰσχίων, ἢ σκελέων ἄλγημα ξυμβήσεται. καὶ πτύσεται παχέα, ἢν μέλλῃ ὑγιὴς ἔσεσθαι.

Καύσου γένος ἄλλο. Ἡ κοιλίη ὑπάγουσα, δίψης δὲ μεστή. γλῶσσα τρηχείη ξηρὴ, ἁλυκώδης. οὔρων ἀπόληψις. ἀγρυπνίη. ἀκρωτήρια ἐψυγμένα. τῷ τοιούτῳ ἢν μὴ αἷμα ἐκ ῥινῶν ῥυῇ, ἢ ἀπόστημα περὶ τὸν τράχηλον γένηται, ἢ σκελέων ἄλγημα, καὶ πτύσματα παχέα πτύσῃ. ταῦτα δὲ ξυστάσης τῆς κοιλίης γίνεται, ἢ ἰσχίου ὀδύνη, ἢ αἰδοίου πελίωμα, οὐ κρίνεται. καὶ ὄρχις ἐνταθεὶς, κρίσιμον. ῥοφήματα ἐπισπαστικὰ δίδου. τὰ δ' ὀξέα πάθεα, φλεβοτομήσεις, ἢν ἰσχυρὸν φαίνηται τὸ νόσημα, καὶ οἱ ἔχοντες ἀκμάζωσι τῇ ἡλικίῃ, καὶ ῥώμη παρῇ αὐτέοισιν. ἢν μὲν οὖν σύναγχος ᾖ, καὶ ἐκλικτοῖσιν ἀνακάθαιρε, εἴτ' ἄλλο τι τῶν πλευριτικῶν. ἢν δὲ ἀσθενέστεροι φαίνωνται, ἢν καὶ πλείω τοῦ αἵματος ἀφέλῃς, κλυσμῷ περὶ τὴν κοιλίην χρέεσθαι, διὰ τρίτης ἡμέρης, ἕως ἂν ἐν ἀσφαλείῃ γένοιτο ὁ νοσέων. καὶ λιμοῦ χρήζοι. φλεγμαίνοντα ὑποχόνδρια μὴ πνευμάτων ἀπολήψει, φρενῶν ἐντάσιες, ἢ πνευμάτων προστάσιες, ὀρθοπνοίης ξηρῆς οἷσι μὴ πύον ὑπῇσιν, ἀλλὰ ὑπὸ πνευμάτων ἀπολήψιος τὰ παθήματα ταῦτα ὑπογίνεται. μάλιστα δὲ ἥπατος περιωδυνίαι καὶ σπληνὸς βάρεα καὶ ἄλλαι φλεγμασίαι τε καὶ ὑπὲρ φρενῶν περιωδυνίαι τε καὶ ξυστροφαὶ νουσημάτων, οὐ δύνανται λύεσθαι ἤν τις πρῶτον ἐπιχειρέῃ φαρμακεύειν. ἀλλὰ φλεβοτομίη τῶν τοιῶνδε ἡγεμονικόν ἐστιν. ἔπειτα δὲ ἐπὶ κλυσμὸν, ἢν μὴ μέγα καὶ ἰσχυρὸν τὸ νόσημα ᾖ. εἰ δὲ μὴ καὶ ὕστερον φαρμακείης δεῖ. δέεται δὲ ἀσφαλείης καὶ μετριότητος, μετὰ φλεβοτομίην φαρμακείη. ὁκόσοι δὲ τὰ φλεγμαίνοντα ἐν ἀρχῇ τῆς νούσου εὐθέως ἐπιχειρέουσι λύειν φαρμακείῃ. τοῦ μὲν ξυντεταμένου καὶ φλεγμαίνοντος, οὐδὲν ἀφαιρέουσιν, οὐ γὰρ ἐνδιδοῖ, ὠμὸν ἐὸν τὸ πάθος. τὰ δὲ ἀντέχοντα τῷ νουσήματι καὶ ὑγιεινὰ συντήκουσιν. ἀσθενέος δὲ τοῦ σώματος γενομένου, τὸ νόσημα ἐπικρατέει. ὁκόταν δὲ τὸ νόσημα ἐπικρατήσῃ τοῦ σώματος, τὸ τοιόνδε ἀνιάτως ἔχει. τὸ δὲ ἄφωνόν τινα ἐξαίφνης γενέσθαι, φλεβῶν ἀπολήψιες λυπέουσιν, ἢν ὑγιαίνοντι τόδε ξυμβῇ ἄνευ προφάσιος, ἢ ἄλλης αἰτίης ἰσχυρῆς. φλεβοτομέειν οὖν χρὴ τὸν βραχίονα τὸν δεξιὸν, τὴν εἴσω φλέβα, καὶ ἀφαιρέειν τοῦ αἵματος, κατὰ τὴν ἕξιν, καὶ τὴν ἡλικίην διαλογιζόμενον τὸ πλεῖον καὶ τὸ ἔλασσον. ξυμπίπτει δὲ τοῖσι πλείστοισιν αὐτέων, τοιάδε. ἐρυθήματα προσώπου. ὀμμάτων στάσιες. χειρῶν διαστάσιες. ὀδόντων τρισμοί. σφυγμοὶ σιαγόνων. συναγωγὴ καὶ περίψυξις ἀκρωτηρίων. πνευμάτων ἀπολήψιες ἀνὰ τὰς φλέβας. ὁκόταν ἀλγήματα προσγένηται μελαίνης χολῆς, καὶ δριμέων ῥευμάτων ἐπιρρύσιες γίνονται. ἀλγεῖ δὲ τὰ ἐντὸς δακνόμενος. διηχθεῖσαι δὲ καὶ λίην ξηραὶ γενόμεναι αἱ φλέβες, ἐντείνονταί τε. καὶ φλεγμαίνουσαι, ἐπισπῶνται τὰ ἐπιρρέοντα. ὅθεν διαφθαρέντος τοῦ αἵματος, καὶ τῶν πνευμάτων οὐ δυναμένων ἐν αὐτῷ τὰς κατὰ φύσιν ὁδοὺς βαδίζειν, καταψύξιές τε γίνονται ὑπὸ τῆς στάσιος. καὶ σκοτώσιες. καὶ ἀφωνίη. καὶ καρηβαρίη. καὶ σπασμοὶ, ἢν ἤδη ἐπὶ τὴν καρδίην, ἢ τὸ ἧπαρ, ἢ ἐπὶ τὴν φλέβα διέλθῃ, ἔνθεν ἐπίληπτοι γίνονται ἢ παραπλῆγες, ἢν ἐς τοὺς περιέχοντας τόπους ἐμπέσῃ τὰ ῥεύματα, καὶ ὑπὸ τῶν πνευμάτων οὐ δυναμένων διεξιέναι, καταξηρανθῇ. ἀλλὰ χρὴ τοὺς τοιούτους προπυριῶντας, φλεβοτομέειν ἐν ἀρχῇσιν εὐθέως, μετεώρων ἐόντων, πάντων τῶν λυπεόντων πνευμάτων, καὶ ῥευμάτων. εὐβοηθητότερα γάρ ἐστι καὶ ἀναλαμβάνοντα, καὶ τὰς κρίσιας ἐπιθεωροῦντα φαρμακεύειν, ἢν μὴ κουφίζηται ἄνω. τὴν δὲ κάτω κοιλίην ἢν μὴ ὑποχωρέῃ κλυσμῷ, ὄνου γάλα ἑφθὸν δίδου καὶ πινέτω μὴ ἔλασσον δώδεκα κοτυλῶν. ἢν δὲ ῥώμη αὐτὸν περιέχῃ, πλεῖον ἑκκαίδεκα.

Κύναγχος δὲ γίνεται, ὁκόταν ἐκ τῆς κεφαλῆς ῥεῦμα πουλὺ καὶ κολλῶδες, ὥρην χειμερινὴν ἢ ἐαρινὴν, ἐς τὰς σφαγίτιδας φλέβας ἐπιρρυῇ. καὶ τὸ ῥεῦμα πλεῖον, διὰ τὴν εὐρύτητα ἐπισπῶνται. ὁκόταν δὲ ψυχρόν τε ἐὸν καὶ κολλῶδες ἐμφράξῃ, τότε πνεύματος τὰς διεξόδους, καὶ τοῦ αἵματος ἀπόφραστον, πήγνυσι τὰ ξυνεγγὺς τοῦ αἵματος, καὶ ἀκίνητον καὶ στάσιμον ποιεῖ, φύσει

ψυχρὸν ἐὸν καὶ ἐμφρακτικόν, διὰ τοῦτο πνίγονται τῆς γλώττης ἀποπελιουμένης, καὶ στρογγυλουμένης, καὶ ἀνακαμπτομένης διὰ τὰς φλέβας τὰς ὑπὸ τὴν γλῶσσαν. τῆς γὰρ ὑποτεμνομένης σταφυλῆς, οἱ δὲ κιονίδα καλοῦσιν, ἑκατέρωθεν φλὲψ παχεῖα. ὁκόταν γοῦν πλήρεις αὗται ἐοῦσαι ἐς τὴν γλῶσσαν ἐναποστηρίζονται ἀραιὴν ἐοῦσαν καὶ σπογγοειδέα, διὰ τὴν ξηρασίην. ἡ δὲ ὑπὸ βίης τὸ ἐκ τῶν φλεβῶν δεχομένη ὑγρὸν, ἐκ πλατείης μὲν, στρογγύλη γίνεται. ἐξ εὐχρόου δὲ, πελιδνή. ἐκ μαλθακῆς δὲ, σκληρή. ἐξ εὐκάμπτου δὲ, ἄκαμπτος. ὥστε ταχέως ἀποπνίγεσθαι, ἢν μή τις ὀξέως βοηθῇ. φλεβοτομίην τε ποιεύμενος ἀπὸ βραχιόνων, καὶ τὰς ὑπὸ τὴν γλῶσσαν φλέβας ὑποτάμνων. καὶ φαρμακεύων τοῖσιν ἐκλεικτοῖσι. καὶ ἀναγαργαρίζων θερμοῖσι. καὶ τὴν κεφαλὴν ὑποξυρῶν. καὶ κήρωμα κεφαλῇ, καὶ τραχήλῳ περιτιθέναι. καὶ εἰρίοις περιελίσσειν. καὶ σπόγγοισι μαλθακοῖσι. καὶ ὕδατι θερμῷ ἐκπιεζεῦντα πυριῆν. πίνειν τε ὕδωρ καὶ μελίκρητον, μὴ ψυχρά. χυλὸν δὲ προσφέρειν, ὁκόταν ἐκ κρίσιος ἐν ἀσφαλείῃ ἤδη ᾖ.

ὁκόταν ἐν θερινῇ ἢ μετοπωρινῇ ὥρῃ ἐκ κεφαλῆς θερμὸν τὸ ῥεῦμα καταῤῥυῇ. καὶ νιτρώδεες ἅτε ὑπὸ τῆς ὥρης δριμὺ καὶ θερμὸν γεγενημένον. δάκνει δὲ τὸ τοιόνδε ἐὸν, καὶ ἑλκοῖ, καὶ πνεύματος ἐμπιμπλῆσι. καὶ ὀρθόπνοια παραγίνεται. καὶ ξηρασίη πουλλή. καὶ τὰ θεωρεύμενα ἰσχνὰ φαίνεται. καὶ τοὺς ὄπισθεν τένοντας ἐν τῷ τραχήλῳ ξυντείνεται. καὶ δοκέει ὁ τέτανος ἐντετάσθαι. καὶ ἡ φωνὴ ἀπέῤῥωγε. καὶ τὸ πνεῦμα σμικρόν. καὶ ἡ ἀντίσπασις τοῦ πνεύματος, πυκνὴ καὶ βιαία παραγίνεται. οἱ τοιοίδε, τὴν ἀρτηρίαν ἑλκοῦνται. καὶ τὸν πνεύμονα πίμπλανται, οὐ δυνάμενοι τὸ ἔξωθεν πνεῦμα ἐπάγεσθαι. τοῖσι τοιουτέοισιν ἢν μὴ ἐς τὰ ἔξω μέρεα τοῦ τραχήλου ἑκουσίη ἀποφέρηται, δεινοτέρη καὶ ἀφυκτοτέρη ἐστὶ, διὰ τὴν ὥρην, ὅτι ἀπὸ θερμῶν καὶ δριμέων. Ἢν πυρετὸς λάβῃ παλαιῆς κόπου οὐχ ὑπεούσης, ἢ νεοβρῶτι ἐόντι, ἤν τε ξὺν ὀδύνῃ πλευροῦ, ἤν τε μὴ, ἡσυχίην ἄγειν, μέχρις οὗ καταβῇ τὰ σιτία πρῶτον ἐς τὴν κάτω κοιλίην. πόματι δὲ χρέεσθω, ὀξυμέλιτι. ὁκόταν δὲ ἐς τὴν ὀσφὺν, βάρος ἥκῃ, κάτω κλύσαι κλυσμῷ, ἢ καθῆραι φαρμάκῳ. ὁκόταν δὲ καθαρθῇ, διαιτᾶν ῥοφήματι πρῶτον, καὶ πόματι μελικρήτῳ. ἔπειτα σιτίοισι, καὶ ἰχθύσιν ἑφθοῖσι, καὶ οἴνῳ ὑδαρεῖ, ἐς νύκτα ὀλίγῳ. ἡμέρῃ δὲ, ὑδαρεῖ μελικρήτῳ. ὁκόταν δὲ αἱ φῦσαι δυσώδεες ἔωσιν, τούτῳ ἢ βαλάνῳ, ἢ κλυσμῷ, εἰ δὲ μὴ, ἐπισχεῖν ὀξύμελι πίνοντα, ἕως ἂν καταβῇ ἐς τὴν κάτω κοιλίην. εἶθ' οὕτως κλυσμῷ ὑπαγαγεῖν. ἢν δὲ λαπαρῷ ἐόντι καῦσος ἐπιγένηται, ἤν σοι δοκέῃ φαρμακεύειν, ἐπιτηδείως ἔχειν εἴσω τριῶν ἡμερέων, μὴ φαρμακεύειν, ἀλλ' ἢ τεταρταῖον. ὁκόταν δὲ φαρμακεύσῃς, τοῖσι ῥοφήμασι χρεόμενος, διαφυλάσσων τοὺς παροξυσμοὺς τοῦ πυρετοῦ, ὅκως μηδέποτε προσοίσῃς ἐόντων, μηδὲ μελλόντων ἔσεσθαι, ἀλλὰ ληγόντων, ἢ πεπαυμένων, καὶ ὡς ποῤῥωτάτω ἀπὸ τῆς ἀρχῆς. Ποδῶν δὲ ψυχρῶν ἐόντων, μήτε ποτὸν, μήτε ῥόφημα, μήτ' ἄλλο μηδὲν δίδου τοιόνδε, ἀλλὰ μέγιστον ἡγεῦ τοῦτ' εἶναι διαφυλάσσεσθαι ἕως ἂν διάθερμοι σφόδρα γένωνται. εἶθ' οὕτω τὸ ξυμφέρον πρόσφερε. ὡς γὰρ ἐπὶ τὸ πουλὺ σημεῖον ἐστὶ μέλλοντος παροξύνεσθαι τοῦ πυρετοῦ, ψύξις ποδῶν. εἰ δὲ ἐν τουτέῳ καιρῷ προσοίσεις ἅπαντα, τὰ μέγιστα ἐξαμαρτήσεις. τὸ γὰρ νόσημα αὐξήσεις οὐ μακρῶς. ὁκόταν δὲ ὁ πυρετὸς λήγῃ, τοὐναντίον οἱ πόδες θερμότεροι γίνονται τοῦ ἄλλου σώματος. αὔξεται μὲν γὰρ ψύχων τοὺς πόδας, ἐξαπτόμενος ἐκ τοῦ θώρηκος, ἐς τὴν κεφαλὴν ἀναπέμπων τὴν φλόγα. συνδεδραμηκότος δὲ ἄλεος τοῦ θερμοῦ ἅπαντος ἄνω, καὶ ἀναθυμιωμένου ἐς τὴν κεφαλὴν, εἰκότως οἱ πόδες ψυχροὶ γίνονται, ἄσαρκες καὶ νευρώδεες φύσει ὑπάρχοντες. ἔτι δὲ πολὺ ἀπέχοντες τῶν θερμοτάτων τόπων, ψύχονται, συναθροιζομένου τοῦ θερμοῦ ἐς τὸν θώρηκα. καὶ πάλιν ἀνάλογον λυομένου τοῦ πυρετοῦ καὶ κατακερματιζομένου, ἐς τοὺς πόδας καταβαίνει. κατὰ τόνδε οὖν τὸν χρόνον, ἡ κεφαλὴ καὶ ὁ θώρηξ κατέψυκται αὐτέων. εἵνεκεν τουτέου, προσεκτέον. ὅτι ὁκόταν οἱ πόδες ψυχροὶ ἔωσι, θερμὴν ἀνάγκη τὴν κοιλίην εἶναι, καὶ πολλῆς ἄσης μεστήν. καὶ ὑποχόνδριον ἐντεταμένον. καὶ ῥιπτασμὸν τοῦ σώματος, διὰ τὴν ἔνδοθεν ταραχήν. καὶ μετεωρισμὸν γνώμης. καὶ ἀλγήματα. καὶ ἕλκεται. καὶ ἐμέειν ἐθέλει. καὶ ἢν πονηρὰ ἐμέῃ, ὀδυνῆται. θέρμης δὲ καταβάσης ἐς τοὺς πόδας, καὶ οὔρου διελθόντος, ἢν μὴ ἱδρώσῃ, πάντα λωφᾷ. κατὰ τόνδε οὖν τὸν καιρὸν, δεῖ τὸ ῥόφημα διδόναι. τότε δὲ, ὄλεθρος. ὁκόσοισι δὲ διὰ τέλεος ἡ κοιλίη ἐν τοῖσι πυρετοῖσιν ὑγρὴ, τουτέοισι διαφερόντως τοὺς πόδας θερμαίνων καὶ περιστέλλων, κηρώμασι καὶ ταινιδίοισι περιελίσσων πρόσεχε, ὅκως μὴ ἔωνται ψυχρότεροι τοῦ λοιποῦ σώματος. θερμοῖσι δὲ οὖσι, θέρμασμα μηδὲν πρόσφερε, ἀλλὰ παρατήρει, ὅκως μὴ ψυχθήσωνται. πόματι δὲ χρέεσθαι, ὡς ἐλαχίστῳ ὕδατι ψυχρῷ,

ἢ μελικρήτῳ

ἢ μελικρήτῳ. Ὁκόσοισι δὲ ἐν πυρετοῖσι, κοιλίη ὑγρὴ, καὶ γνώμη τεταραγμένη. καὶ οἱ πολλοὶ τῶν πιστέων τὰς κροκύδας ἀφαιρέουσι, καὶ τὰς ῥῖνας σκάλλουσι. καὶ κατὰ βραχὺ μὲν ἀποκρίνονται τὸ ἐρωτώμενον. αὐτοὶ δὲ ἀφ᾽ ἑωυτῶν οὐδὲν λέγουσι κατηρτημένον. δοκέει οὖν μοι τὰ τοιάδε, μελαγχολικὰ εἶναι. ὁκόσων τοιῶνδε ἐόντων. ἢν ἡ κοιλίη ὑγρὴ ᾖ καὶ συντήκῃ, δοκέει μοι τὰ ῥοφήματα, ψυχρότερα καὶ παχύτερα προσφέρειν. καὶ τὰ πόματα σταλτικὰ καὶ οἰνωδέστερα, ἢ στυπτικώτερα. Ὁκόσοισι δὲ τῶν πυρετῶν, δῖνοί τε ἀπ᾽ ἀρχῆς, καὶ σφυγμοὶ κεφαλῆς εἰσι, καὶ οὖρα λεπτὰ, τουτέοισι προσδέχεσθαι πρὸς τὰς κρίσιας παροξυνόμενον τὸν πυρετόν. οὐ θαυμάσαιμι δ᾽ ἂν, οὐδ᾽ εἰ παραφρονήσειαν. οἷσιν ἐν ἀρχῇ τὰ οὖρα νεφελοειδέα ἢ καὶ παχέα, τοὺς τοιούσδε ὑποκαθαίρειν, ἢν καὶ τὰ ἄλλα ξυμφέρῃ. ὁκόσοισι δὲ ἐν ἀρχῇ τὰ οὖρα λεπτὰ, μὴ φαρμακεύειν τοὺς τοιούτους, ἀλλ᾽ ἢν δοκέῃ κλύσαι. τούτους ξυμφέρει, οὕτως θεραπεύεσθαι περὶ σώματι ἡσυχίην ἄγοντα, ἀλείφοντά τε καὶ περιστέλλοντα, ὁμαλῶς. ποτῷ δὲ χρέεσθαι, μελικρήτῳ ὑδαρεῖ. καὶ ῥοφήματι, χυλῷ πτισάνης τὸ ἑσπέρην. κοιλίην δὲ ὑπάγειν κατ᾽ ἀρχὰς κλυσμῷ. φάρμακα δὲ μὴ προσάγειν τούτοισιν. ἢν γάρ τι κινήσῃς κατὰ κοιλίην, τὸ οὖρον οὐ πεπαίνεται, ἀλλ᾽ ἀνιδρώς τε καὶ ἄκριτος ὁ πυρετὸς ἤδη πολλὸν χρόνον ἔσται. τὰ δὲ ῥοφήματα ὁκόταν ἐγγὺς τῶν κρισίων ᾖ, μὴ δίδου ἢν θορυβῆται. ἀλλ᾽ ὅταν ἀνῇ καὶ ἐπιδιδῷ ἤδη τὸ βέλτιον. φυλάσσεσθαι δὲ χρὴ καὶ πάντων τῶν πυρετῶν τὰς κρίσιας, καὶ ἀφαιρέειν τὰ ῥοφήματα κατὰ τοῦτον τὸν καιρόν. μεμαθήκασι δὲ μακροὶ οἱ πυρετοὶ οἱ δὲ γίνεσθαι, καὶ ἀποσκήμματα ἴσχειν, ἢν μὲν τὰ κάτω ψυχρὰ ᾖ, περὶ ὦτα καὶ τράχηλον. ἢν δὲ μὴ ψυχρὰ, ἄλλας ἴσχει μεταβολάς. ῥέει δὲ καὶ αἷμα ἐκ ῥινῶν. καὶ αἱ κοιλίαι τοῖσι τουτέοισιν ἐκταράσσονται. ὁκόσοισι δὲ πυρετοὶ ἀσώδεές εἰσι, καὶ ὑποχόνδρια συντείνεσι, καὶ κεκλιμένοι οὐκ ἀνέχονται ἐν τῷ αὐτέῳ. καὶ τὰ ἄκρεα ψύχονται πάντα, πλείστης ἐπιμελείας καὶ φυλακῆς δέονται. διάγειν δὲ τούτοισι προσφέροντας μηδὲν ἄλλο, ἢ ὀξύμελι ὑδαρές. ῥόφημα δὲ μὴ πρόσφερε, ἕως ἂν λήξῃ καὶ τὸ οὖρον πεπανθῇ. κατακλίνειν δὲ ἐν ζοφερὰ οἰκήματα καὶ κατακεκλίσθαι ὡς ἐπὶ μαλθακωτάτοισι στρώμασι πλεῖστον χρόνον ἐπὶ τὰ αὐτὰ καρτερέοντα, καὶ ὡς ἥκιστα ῥιπτάζειν. μάλιστα γὰρ τοὺς τοιούτους ὠφελέει. ἐπὶ δὲ τὸ ὑποχόνδριον, λίνου σπέρμα ἐγχρίων ἐπιτιθέει, φυλασσόμενος ὅπως μὴ φρίξῃ προστιθέμενος. ἔστω δὲ ἀκροχλίαρον, ἑφθὸν ὕδατι καὶ ἐλαίῳ. τεκμαίρεσθαι δὲ ἐκ τῶν οὔρων, τὸ μέλλον ἔσεσθαι. ἢν μὲν γὰρ παχύτερα καὶ ὠχρότερα ᾖ, βελτίω. ἢν δὲ λεπτότερα καὶ μελάντερα, πονηρότερα. ἢν δὲ μεταβολὰς ἔχῃ, χρόνον τε σημαίνει καὶ ἀνάγκη περὶ νοσήματι μεταβάλλειν καὶ ἐπὶ τὰ χείρω καὶ ἐπὶ τὰ βελτίω, τὴν ἀνωμαλίην. τοὺς δὲ ἀκαταστάτους τῶν πυρετῶν, ἐᾶν μέχρις ἂν καταστῶσιν, ὁκόταν δὲ στῶσιν ἀπαντῆσαι διαίτῃ καὶ θεραπείῃ τῇ προσηκούσῃ, κατὰ φύσιν θεωρέων. εἰσὶ δὲ ὄψιες πολλαὶ τῶν καμνόντων, διὸ προσεκτέον περὶ ἰωμένῳ, ὅπως μὴ διαλήσεταί τις τῶν προφάσιων. μήτε τῶν κατὰ λογισμόν. μήτε ὁκόσα τὸν ἀριθμὸν ἄρτιον, ἢ περισσὸν δεῖ φανῆναι. μάλιστα μὲν ὧν δεῖ περισσὸν ἀριθμὸν εὐλαβέεσθαι, ὡς αὗται αἱ ἡμέραι ἑτεροῤῥοπέας ποιέουσι τοὺς κάμνοντας. φυλάσσεσθαι οὖν δεῖ τὴν πρώτην ἡμέρην, ἐν ᾗ ἤρξατο ἀσθενέειν ὁ κάμνων, ἰδόντα τὴν ἀρχὴν, ἐξ ὅτου καὶ ὅτε. ἡγέεται γὰρ τοῦτο πρῶτον εἰδῆσαι. ὁκόταν δὲ ὁρῇ αὐτὸν καὶ διασκέψῃ ταῦτα πάντα πρῶτον μὲν κεφαλὴν, ὅκως ἔχῃ, εἰ ἀνάλγητος, καὶ μὴ βάρος ἔχῃ ἐν ἑωυτῇ. ἔπειτα ὑποχόνδρια καὶ τὰ πλευρὰ, εἰ ἀνάλγητα. ὑποχόνδριον μὲν γὰρ, εἰ ἐπίπονον ᾖ, ἢ ἐπηρμένον, ἢ ἔχῃ τινὰ σκολιότητα, ἢ κόρον, ἢ πλευροῦ ἀλγηδὼν ἐνῇ, καὶ ἅμα περὶ ἀλγήματι, ἢ βηχίον, ἢ στρόφος, ἢ πόνος κοιλίης. ὅταν δὲ τι τούτων ᾖ, ἐν ὑποχονδρίῳ μὲν, μάλιστα λύειν τὴν κοιλίην, κλυσμοῖσι. πινέτω δὲ μελίκρητον θερμὸν ἀφεψημένον. καταμανθάνειν δὲ καὶ χρῆσιν ἐξαναστάσεσιν, εἰ λυποθυμέει. καὶ εἰ τὸ πνεῦμα εὔφορον αὐτὸ ἔχει. ἰδεῖν τε καὶ διαχώρησιν, μὴ λίην μέλαν διεχώρησεν ἰσχυρῶς χρῶμα. καὶ εἰ καθαρὸν, ὁκοῖα ὑγιαίνοντος ἂν εἴη διαχωρήματα. καὶ ὁ πυρετὸς ἐν τῇ τρίτῃ ἐπιπαροξυνόμενος. καλῶς δὲ εὖ μάλα τοὺς δὲ ἐν ταύτῃσι τῇσι νόσοισι τριταίους, πρὸς ταῦτα ἤδη καὶ τὰ ἄλλα, σκοπεῖν. καὶ ἢν ἡ τετάρτη τῇ τρίτῃ ἡμέρῃ ὅμοιον ἔχῃ τι τῶν αὐτῶν τούτων, κινδυνώδης ὁ κάμνων γίνεται. τὰ δὲ σημεῖα ἡ μὲν γὰρ μέλαινα διαχώρησις θάνατον σημαίνει. ἢν δὲ ὁμοίη τῷ ὑγιαίνοντι, ὁκόταν ἀνὰ πάσας τὰς ἡμέρας φαίνηται, σώζει. ὁκόταν δὲ μὴ ὑπακούῃ τῇ βαλάνῳ, ἐνῇ δὲ τὸ πνεῦμα εὔφορον, διαναστὰς ἐπὶ τὸν θρόνον, ἢ αὐτὸ ἐν τῇ κλίνῃ ἦν ἀψυχίη ἐνῇ. ταῦτα δὲ ὁκόταν προσῇ τῷ κάμνοντι ἢ τῇ καμνούσῃ, κατ᾽ ἀρχὰς, παραφροσύνην εἶναι ἐσομένην, προσέχειν δὲ χρὴ καὶ τῇσι χερσίν. ἢν γὰρ τρομεραὶ ἔωσιν προσδέχου περὶ τὸν δὲ ἀπόστασιν αἵματος ἐκ

ῥινῶν ἐσβαλεῖν. ὥρην δὲ χρὴ καὶ τοὺς μυκτῆρας ἢν ὁμοίως τὸ πνεῦμα δι' ἀμφοτέρων ἕλκηται. καὶ ἢν πολὺ φέρηται ἐκ τῶν μυκτήρων, φιλέει γίνεσθαι σπασμός. ἢν δὲ σπασμὸς γένηται τοῦ τοιοῦδε, θάνατος προσδόκιμος. καὶ καλῶς ἔχει προλέγειν. εἰ δὲ ἐν πυρετῷ χειμερινῷ ἡ γλῶσσα τρηχέη γένηται, καὶ ἀψυχίαι ἐνέωσι, φιλέει τοῦ τοιοῦδε καὶ ἐπάνεσις εἶναι τοῦ πυρετοῦ. ἀλλ' ὅμως τὸν τοιόνδε παραφυλάσσειν τῇ λιμοκτονίῃ. καὶ τῇ ὑδατοποσίῃ. καὶ μελικρήτου πόσει. καὶ χυλοῖσι παραφυλάσσε, μηδὲν πιστεύων τῇ ἀνέσει τῶν πυρετῶν. ὅσοι δὲ τοιάδε ἔχουσι σημεῖα, ἐπικίνδυνοί εἰσι θνήσκειν. ὁκόταν δὲ ταῦτα συνειδῇς, οὕτω προλέγειν ἤν σοι ἀρέσκῃ θεωρήσας εὖ μάλα. ὁκόταν δὲ πυρέσσουσι φοβερόν τι γένηται πεμπταίοισιν ἐοῦσιν, ἡ κοιλίη τε ἐξαίφνης ὑγρὰ διαχωρέῃ καὶ ἀψυχίη γένηται, ἢ ἀφωνίη ἐπιλάβῃ, ἢ σπασμώδης γένηται, ἢ λυγμώδης, ἐπὶ τούτοισι καὶ ἀσώδης φιλέει γίνεσθαι. καὶ περὶ ὑπορείνιον καὶ μέτωπον ἱδρῶτες, καὶ αὐχένα ὄπισθεν τῆς κεφαλῆς. οἱ δὲ ταῦτα πάσχοντες, θνήσκουσιν οὐκ ἐς μακρὸν πνευματωθέντες. ὁκόσοισι δὲ ἐν πυρέσσουσι τὰ σκέλεα γίνεται φυματώδεα, καὶ ἐγχρονιζόμενα, μὴ ἐκπεπαίνηται ἔτι ἐόντων ἐν πυρέσσουσι, καὶ προσπέσῃ πνιγμὸς ἐν φάρυγγι, ἰσχνῶν ἐόντων τῶν περὶ φάρυγγα, καὶ μὴ σβεσθῇ, φιλέει τοῦ τοιοῦδε, αἷμα ἐκ τῶν ῥινῶν ῥέειν. κἢν μὲν πολὺ ῥυῇ, λύσιν σημαίνει τῆς νούσου. ἢν δὲ μή, μακρήν. ὁκόσῳ δ' ἂν ἔλασσον ῥυῇ, τοσῷδε χεῖρον καὶ μῆκος. ἢν δὲ τὰ ἄλλα ῥηΐστα γένηται, προσδέχεσθαι τοῦ τοιοῦδε, ἐς πόδας ἀλγήματα. ἢν δὲ ἅπτηται τοῦ ποδός, καὶ ἐπώδυνος γενόμενος παραμένῃ πυριφλεγὴς γενόμενος καὶ μὴ λυθῇ, κατὰ μικρὸν ἥξει. καὶ ἐς αὐχένα ἀλγήματα, καὶ ἐς κληῗδα, καὶ ἐς ὦμον, καὶ ἐς στῆθος, καὶ ἐς ἄρθρον. καὶ ταῦτα δεήσει φυματώδεα γίνεσθαι. σβεννυμένων δὲ τούτων ἢν αἱ χεῖρες ἐφέλκωνται, ἢ τρομεραὶ γίνωνται, σπασμὸς τοῦ τοιοῦδε ἐπιλαμβάνει, καὶ παραφροσύνη. ἀτὰρ καὶ φλυζάκια ἐπὶ τὴν ὀφρύν. καὶ ἐρυθήματα ἴσχει. καὶ βλέφαρον τὸ ἕτερον παρὰ τοῦ ἑτέρου παραβλαστάνει. καὶ σκληρὴ φλεγμονὴ κατέχει. καὶ οἰδέει ἰσχυρῶς ὁ ὀφθαλμός. καὶ παραφροσύνη μέγα ἐπιδιδοῖ. αἱ δὲ νύκτες μᾶλλον σημαίνουσιν ἢ αἱ ἡμέραι, τὰ περὶ τὴν παραφροσύνην. τὰ δὲ σημεῖα μάλιστα γίνεται πολλὰ ἐπὶ τοῦ περισσὸν ἀριθμόν, ἢ ἐπὶ τοῦ ἄρτιον. ὁκοτέρῳ δ' ἂν τούτων τῶν ἀριθμῶν γίνηται, ὀλέθριοι ἐπιγίνονται. τοὺς τοιούτους δὲ ἢν μὲν ἐξ ἀρχῆς φαρμακεύειν προαιρῇ, πρὸ τῆς πέμπτης ἢν βορβορύζῃ ἡ κοιλίη. εἰ δὲ μή, ἐᾶν ἀφαρμακεύτους εἶναι. ἢν δὲ διαβορβορύζῃ, καὶ τὰ ὑποχωρήματα χολώδεα ᾖ, σκαμμωνίῃ ὑποκάθαιρε μετρίως. τῇ δὲ ἄλλῃ θεραπείῃ, ὡς ἐλάχιστα προσφέρειν πόματα καὶ ῥοφήματα, ἵνα βελτιόνως ἔχῃ, ἢν μὴ ὑπερβῶσι τὴν τεσσαρεσκαιδεκάτην, ἐπανάγοντες. ὁκόταν πυρέττοντι τεσσαρεσκαιδεκαταίῳ ἐόντι ἀφωνίη προσγένηται, οὐ φιλέει ἥκειν λύσις ταχέη, οὐδ' ἀπαλλαγὴ τοῦ νοσήματος γίνεσθαι, ἀλλὰ χρόνου τοῦ τοιοῦδε σημαίνει. ὁκόταν δὲ φανῇ ἐπὶ τῇ ἡμέρῃ ταύτῃ μακρότερον ξυμπίπτει. ὁκόταν δὲ πυρέσσοντι τεταρταίῳ, ἡ γλῶσσα ἐκτεταραγμένα διαλέγηται, καὶ ἡ κοιλίη χολώδεα ὑποχωρέῃ ὑγρά, φιλέει παραληρεῖν ὁ τοιόσδε. ἀλλὰ χρὴ παραφυλάσσειν παρεπόμενον τοῖσιν ἀποβαίνουσι θερινῆς καὶ μετοπωρινῆς ὥρης ἐπὶ τῶν ὀξέων, αἵματος ἀπόσταξις ἐξαπίνης, συντονίην καὶ πολλὴν φλεγμασίην κατὰ τὰς φλέβας δηλοῖ. καὶ ἐς τὴν ὑστεραίαν λεπτῶν οὔρων ἐπιφάσιας. καὶ ἢν ἀκμάζῃ τῇ ἡλικίῃ, καὶ τὸ σῶμα ἐκ γυμνασίων ἢ εὐσαρκώσιος ἔχῃ, ἢ μελαγχολικός. ἢ ἐκ πόσιος χεῖρες τρομεραί, καλῶς ἔχει παραφροσύνην προειπεῖν, ἢ σπασμόν. κἢν μὲν ἐν ἀρτίῃσιν ἐπιγένηται βέλτιον. ἐν κρισίμῃσι δὲ ὀλέθριον, ἢν μὴ πολὺ ἅλις ἀπορυὲν αἷμα ἐξόδους ποιήσηται τῆς πλεονεξίης κατὰ ῥῖνας, ἢ κατὰ ἕδρην ἢ ἐμπυήσεις, ἢ μεταστάσεις, ἢ ἀποστάσεις, ἢ πόνους ἐν τῷ ὑποχονδρίῳ, ἢ ἐς ὄρχιας, ἢ ἐς σκέλεα. λυθέντων δὲ τούτων, ἔξοδοι γίνονται. πτυσμοί. παχέων οὔρων. λείων. λευκῶν. ἔξοδοι. πυρετῷ λυγγώδει, ὀπὸν σιλφίου. ὀξύμελι, δαῦκον τρίψας, πιεῖν δίδου. καὶ χαλβάνην ἐν μέλιτι. καὶ κύμινον ἐκλικτόν. καὶ χυλὸν πτισάνης, ἐπὶ τουτέοισι ῥοφέειν. ἄφυκτος δὲ ὁ τοιοῦτος. ἢν μὴ ἱδρῶτες κριτικοὶ καὶ ὕπνοι ὁμαλοὶ ἐπιγένωνται. καὶ οὖρα παχέα καὶ δριμέα καταδράμῃ, ἢ ἐς ἀπόστασιν στηρίξῃ. κόκκαλος καὶ σμύρνα, ἐκλικτόν. πίνειν δὲ τούτοισι διδόναι, ὀξύμελι ὡς ἐλάχιστον. ἢν δὲ διψώδεες ἔωσι σφόδρα, τοῦ κριθίνου ὕδατος.

Τὰ δὲ περιπλευμονικὰ καὶ πλευριτικὰ ὧδε χρὴ σκέπτεσθαι, ἢν ὀξύς τε ὁ πυρετὸς ᾖ. καὶ τὰ ὀδυνήματα τοῦ ἑτέρου πλευροῦ ἢ ἀμφοτέρων. καὶ τοῦ πνεύματος δὲ ἀναφερομένου, ἢν πονέῃ. καὶ βῆχες ἐνέωσι, καὶ πτύσματα ἀνάγει πυῤῥά, ἢ πέλια, ἢ καὶ λεπτά, καὶ ἀφρώδεα, καὶ ἀνθηρά, καὶ εἴ τι ἄλλο διάφορον ἔχοι, παρὰ τὰ μεμαθηκότα τούτοισιν, οὕτω χρὴ διάγειν. ἢν μὲν ὀδύνη ἄνω τεραίνει πρὸς κληῗδα, ἢ περὶ μαζόν,

ἢ περὶ

ἢ περὶ βραχίονα, τάμνειν χρὴ τὴν ἐν τῷ βραχίονι φλέβα τὴν εἴσω, ἐφ' ὁκότερον ἂν ᾖ τῶν μερέων, κατὰ τόδε. ἀφαιρέειν δὲ κατὰ τὴν τοῦ σώματος ἕξιν, καὶ ὥρην, καὶ ἡλικίην, καὶ χροιήν, πλεῖον καὶ θαρσέων. ἢν ὀξὺ τὸ ἄλγημα ᾖ, ἄγειν πρὸς λειποψυχίην. ἔπειτα ὑποκλύζειν μετὰ ταῦτα. ἢν δὲ ὑποκάτω τοῦ θώρηκος ᾖ τὸ ἄλγημα καὶ συντείνῃ λίην, τῷ πλευριτικῷ τὴν κοιλίην ὑποκάθαιρε. μεσηγὺ δὲ τῆς καθάρσιος, μηδὲν δίδου. μετὰ κάθαρσιν δὲ ὀξύμελι. φαρμακεύειν δὲ τεταρταῖον. τὰς δὲ ἐξ ἀρχῆς τρεῖς ὑποκλύζειν. καὶ ἢν μὴ κουφίζῃ οὕτως, ὑποκάθαιρε. φυλακὴ δὲ ἔσω, ἕως ἀπύρετος καὶ ἑβδόμης. ἔπειτα ἢν ἀσφαλὴς γένηται, ἐῶν, οὕτω. χυλῷ ὀλίγῳ καὶ λεπτῷ τὸ πρῶτον σὺν μέλιτι μίσγων, δίδου. ἢν δὲ ἀνάγηται ῥηϊδίως, καὶ εὔπνοος ᾖ, καὶ ἀνώδυνος τὰ πλευρὰ κατὰ σμικρόν, παχυτέρῳ τε καὶ πλείονι, καὶ δὶς τῆς ἡμέρης. ἢν δὲ μὴ ῥηϊδίως ἀπαλλάσσῃ, ἔλασσόν τε τὸ πόμα, καὶ τὸ ῥόφημα ὀλίγον χυλὸν λεπτὸν καὶ ἅπαξ. καὶ ἐν ὁποτέρῃ ἂν ὥρῃ, βέλτιον διάγει. γνώσῃ δὲ καὶ ἐκ τῶν οὔρων. δεῖ δὲ ῥόφημα προσφέρειν τοῖσιν ἐκ τῶν νοσημάτων μὴ πρότερον ἢ πέπονα τὰ οὖρα, ἢ πτύσματα ἴδῃς γενόμενα. ἢν δὲ φαρμακευθεὶς συχνὰ καθαρθῇ, ἀναγκαῖον διδόναι, ἔλασσον καὶ λεπτότερον, οὐ γὰρ δυνήσεται ὑπὸ κενεαγγείης ὑπνώσσειν. οὐδὲ πέσσειν ὁμοίως. οὐδὲ τὰς κρίσιας ὑπομένειν. ἀλλ' ἐπειδὰν ξυντήξιες ὠμῶν γένωνται, καὶ τὰ ἀντέχοντα ἀποβάλλῃ, ἀνθέξει οὐδέν. πέπονα δέ ἐστι τὰ μὲν πτύελα, ὁκόταν γένηται ὅμοια τῷ πύῳ. τὰ δὲ οὖρα τὰς ὑποστάσιας ὑπερύθρους ἔχοντα, ὁκοῖον ὄροβος. οὐδὲν δὲ κωλύει καὶ πρὸς τὰ ἄλλα ἀλγήματα τῶν πλευρέων, καὶ χλιάσματα προστιθέναι, καὶ κηρώματα. ἀλείφειν δὲ τὰ σκέλεα καὶ ὀσφῦν, θερμῷ καὶ λίπος ἐγκαταλείφειν. ἐπὶ δὲ ὑποχόνδρια λίνου σπέρμα καταπλάσσειν ἕως μαζῶν. ἀκμαζούσης δὲ τῆς περιπλευμονίης, ἀβοήθητον μὴ ἀνακαθαιρομένου, καὶ πονηρὸν ἢν δύσπνοος ᾖ, καὶ τὰ οὖρα λεπτὰ καὶ δριμέα, καὶ οἱ ἱδρῶτες περὶ τράχηλον καὶ κεφαλὴν γίνωνται. οἱ τοιοῦτοι γὰρ ἱδρῶτες πονηροί, ὑπὸ πνιγμοῦ καὶ ῥωγμῆς καὶ βίης ὑπερκρατεόντων τῶν νοσημάτων. ἢν μὴ οὖρα πολλά, καὶ παχέα ὁρμήσῃ, καὶ πτύσματα πέπονα ἔλθῃ. ὅ, τι δ' ἂν τούτων αὐτοματίσῃ, λύσει τὸ νόσημα.

Περιπλευμονίης ἔκλικτον, χαλβάνη καὶ κόκκαλος, ἐν μέλιτι ἀττικῷ. ἀβρότονον ἐν ὀξυμέλιτι. πέπερι, ἐλλέβορος μέλας, ἀποζέσας, καὶ πλευριτικῷ ἐν ἀρχῇ περιωδυνέῳ ἐόντι, δίδου. ἀγαθὸν δὲ καὶ τὸ πάνακες ἐν ὀξυμέλιτι ἀναζέσαντα καὶ διηθέοντα, διδόναι πίνειν. καὶ ἡπατικοῖσι, καὶ τοῖσιν ἀπὸ τῶν φρενῶν περιωδυνίῃσι. καὶ ὁκόσα δεῖ ἐς κοιλίην ἢ ἐς οὔρησιν, ἐν οἴνῳ καὶ μέλιτι. τὰ δὲ ἐς κοιλίην, σὺν ὕδατι μελικρήτῳ πίνειν πλέω δίδου. δυσεντερίη ἀπόστημα, ἢ ἔπαρμά τι παυσαμένη ποιήσει, ἢν μὴ ἐς πυρετούς, ἢ ἱδρῶτας, καὶ οὖρα παχέα, καὶ λευκὰ καὶ λίην ὑποφανῇ, ἢ ἐς τριταίους, ἢ ἐς κιρσόν, ἢ ἐς ὄρχιν, ἢ ἐς σκέλεα, ἢ ἐς ἰσχία στηρίξῃ ἡ ὀδύνη. ἐν πυρετῷ χολώδει πρὸ τῆς ἑβδόμης μετὰ ῥίγεος ἴκτερος ἐπιγενόμενος, λύει τὸν πυρετόν. ἄνευ δὲ ῥίγεος ἢν ἐπιγένηται, ἔξω τῶν καιρῶν, ὀλέθριον.

Τέτανοι δὲ ὀσφύος, καὶ ἀπὸ μελαγχολικῶν διὰ φλεβῶν, πνευμάτων ἀπολήψιες ὁκόταν ἔωσι, φλεβοτομίη λύει. ὁκόταν δὲ ἀπὸ τῶν τενόντων σφοδρῶς ἔμπροσθεν ἀντισπῶνται, καὶ ἱδρῶτες περὶ τράχηλον καὶ πρόσωπον, ὑπὸ τοῦ πόνου δακνομένων, καὶ ξηραινομένων τῶν τενόντων, καὶ τῶν οὐρωδέων, οἱ παχύτεροι τὴν ῥάχιν ξυνέχουσιν, ἢ οἱ μέγιστοι σύνδεσμοι, καταπεφυκότες ἕως ἐς πόδας ἀποτελευτῶσι, τῷ τοιῷδε, ἢν μὴ πυρετὸς καὶ ὕπνος ἐπιγένηται καὶ τὰ ἑπόμενα οὖρα πέψιν ἔχοντα ἔλθῃ, καὶ ἱδρῶτες κριτικοί, πίνειν οἶνον κρητικὸν οἰνώδεα. καὶ ἄλητον ἑφθὸν ἐσθίειν. καὶ κηρωτῇ ἀλείφειν, καὶ ἐγχρίειν. τά τε σκέλεα περιελίσσειν ἕως τῶν ποδῶν, θερμῷ προσβρέχων ἐν σκάφῃ. καὶ βραχίονας ἕως δακτύλων κατελίσσειν. καὶ ὀσφῦν ἀπὸ τοῦ τραχήλου ἕως τῶν ἰσχίων. σίαλον ἐγκηρώσας μαλακῷ δέρματι, ὅκως καὶ τὰ ἔξωθεν περιέξει. καὶ διαλιπὼν πυρίᾳ τοῖσιν ἀσκίοισι, θερμὸν ὕδωρ ἐγχέων, καὶ περιτείνων σινδόνιον, ἐπανάκλινε αὐτόν. κοιλίην δὲ μὴ λίην λύσῃς, ἢν μὴ βαλάνῳ, ἢν πολὺς ὁ χρόνος ᾖ, καθ' ὃν ἀδιαχώρητος μένει. καὶ ἢν ἐπιδιδῷ τί σοι, οὕτω τὸ βέλτιον. εἰ δὲ μή, τοῦ μόδου τῆς ῥίζης τρίβων ἐν οἴνῳ εὐώδει, καὶ δαύκου, πίνειν δίδου πρωῒ νήστει, πρὸ τοῦ βρέχειν. καὶ ταχὺ οὕτω τούτοισι, τὸ ἄλευρον ἑφθὸν χλιαρόν, ἐσθιέτω ὡς πλεῖστον. καὶ οἶνον ὁκόταν βούληται εὔκρητον ἐπιπινέτω. καὶ ἢν μέν σοι ἐπιδιδῷ οὕτω τὸ βέλτιστον. εἰ δὲ μὴ προλέγειν. τὰ δὲ νουσήματα πάντα, λύεται, ἢ κατὰ στόμα, ἢ κατὰ κοιλίην, ἢ κατὰ κύστιν, ἢ τινὸς ἄλλου τοιούτου ἄρθρου. ἡ δὲ τοῦ ἱδρῶτος ἰδέη, κοινὴ ἁπάντων.

Ἐλλεβορίζειν δὲ χρή, οἷσιν ἀπὸ κεφαλῆς φέρεται ῥεῦμα. ὁκόσοι δὲ ἐξ ἀποστημάτων, ἢ φλεβορραγίης ἢ

δι' ἀκρη

δι᾽ ἀκρησίην ἢ δι᾽ ἄλλην τινὰ ἰσχυρὴν αἰτίην ἔμπνοι γίνονται, μὴ δίδου ἐλλέβορον τοῖσι τοιούτοισιν, οὐδὲν γὰρ ὠφελήσει. καὶ ἤν τι πάθῃ, αἴτιον δόξει εἶναι ὁ ἐλλέβορος. ἢν δὲ διαλύηται τὸ σῶμα, ἢ πόνος ἐν κεφαλῇ, ἢ ἐμπεπλασμένα τὰ ὦτα, ἢ ῥὶς, ἢ πτυελισμὸς, ἢ γουνάτων βάρος, ἢ σώματος ὄγκος παρὰ τὸ ἔθος, ὅτι ἂν συμβαίνῃ μήτε ὑπὸ ποτῶν, μήθ᾽ ὑπὸ ἀφροδισίων, μήτε ὑπὸ λύπης, μήτε ὑπὸ φροντίδων, μήτε ἀγρυπνιῶν. καὶ ἢν μέν τι τουτέων ἔχῃ αἴτιον, πρὸς τοῦτο ποιέεσθαι τὴν θεραπείην. τὰ δὲ ἐκ πορείης ἀλγήματα, πλευρέων, νώτου, ὀσφύος, ἰσχίων, καὶ ὁκόσα ἀναπνέοντες ἀλγέουσι πρόφασιν ἔχοντες, πολλάκις γὰρ μεμάθηκε φοιτῆν, ἐκ κραιπαλέων, καὶ βρωμάτων φυσωδέων ἀλγήματα ἐς ὀσφὺν καὶ ἐς ἰσχία, οἷσι δ᾽ ἂν αὐτέων ἢ τοιάδε, δυσουρέεται. τούτων δὲ πορείη αἰτίη, καὶ κορύζεων καὶ βραγχων.

Ὁκόσα δὲ ἀπὸ διαιτημάτων, τὰ μὲν πολλὰ ἕκαστος ὡς ἂν παρὰ τὸ ἔθος διαιτηθῇ, μάλιστα ἐπισημαίνει. καὶ γὰρ ὁκόσοι ἂν μὴ μεμαθηκότες ἀριστῆν, ἢν ἀριστήσωσιν, ὄγκος πολὺς αὐτοῖσι τῆς γαστρὸς, καὶ νυσταγμὸς, καὶ πληθώρη. ἢν δὲ ἐπιδειπνήσωσι, κοιλίη ἐκταράσσεται. ξυμφόρει δὲ τουτέοισιν ἐκλουσαμένοισιν καθεύδειν. κοιμηθέντας δὲ περιπατῆσαι βραδέως συχνὴν περίοδον. κἢν μὲν λαπαχθῇ, δειπνῆσαι καὶ πιεῖν οἶνον ἐλάσσονα ἀκρητέστερον. ἢν δὲ μὴ λαπαχθῇ, ὑποχρίεσθαι τὸ σῶμα θερμῷ. καὶ ὑδαρέα οἶνον λευκὸν, ἢ γλυκὺν, ἢν διψῇ, ἐπιπίοντα ἀναπαύεσθαι. ἢν δὲ μὴ ἐγκοιμηθῇ, πλείω ἀναπαύεσθαι. τὰ δ᾽ ἄλλα ὁμοίως τοῖσιν ἐκ κραιπάλης διαιτάσθω. Τὰ δὲ ἀπὸ πομάτων, ὁκόσα μὲν ὑδαρέα, βραδυπορώτερά ἐστι. καὶ ἐγκυκλέεται. καὶ ἐπιπολάζει περὶ ὑποχόνδρια. καὶ ἐς οὔρησιν οὐ κατατρέχει. τοιούτου δὲ πόματος πληρωθεὶς, μηδὲν ἔργον ὀξέως διαπρήξῃ, ὁκόσα τῷ σώματι ξυνταθέντι, βίῃ, ἢ ταχὺ πονέειν ξυμβαίνει. ὡς μάλιστα δὲ ἡσυχαζέτω, ἕως ἂν καταπεφθῶσι μετὰ τῶν σιτίων. ὁκόσα δὲ τῶν πομάτων ἀκρητέστερά ἐστιν ἢ αὐστηρότερα, παλμὸν ἐν τῷ σώματι καὶ σφυγμὸν ἐν τῇ κεφαλῇ ἐμποιεῖ, τούτοισι καλῶς ἔχει ἐπικοιμᾶσθαι, καὶ θερμόν τι ῥοφέειν, πρὸς ὅπερ μάλιστα ἡδέως ἔχουσι. νηστείη δὲ πονηρὸν πρὸς τὴν κεφαλαλγίην καὶ κραιπάλην. ὁκόσοι δὲ μονοσιτέουσι, κεῖνοι καὶ ἀδύνατοί εἰσι, καὶ οὐρέουσι θερμὸν παρὰ τὸ ἔθος κενεαγγέοντες. γίνεται δὲ καὶ τὸ στόμα ἁλικὸν καὶ πικρόν. καὶ τρέμουσιν ἐν παντὶ ἔργῳ. καὶ κροτάφους ἐπιξυντείνονται. καὶ τὸ δεῖπνον οὐ δύνανται πέσσειν, ὅκως περ ἢν ἠριστηκότες ἔωσι. τούτους δὲ χρὴ πίνειν ἔλασσον ἢ μεμαθήκασι. καὶ ὑγροτέρην μάζαν ἀντὶ ἄρτου. καὶ λαχάνων λάπαθα, ἢ μαλάχην ἢ πτισάνην, ἢ σεῦτλα. πίνειν δὲ κατὰ τὸ σιτίον, οἶνον, ὁκόσον ξύμμετρον καὶ ὑδαρέστερον. καὶ ἀπὸ δείπνου περιπατῆσαι ὀλίγον, ἕως οὖρα καταδράμῃ καὶ οὐρήσῃ. χρήσθω δὲ καὶ ἰχθύσιν ἑφθοῖσιν. Βρώματα δὲ μάλιστα ἐπισημαίνει. Σκόροδον φῦσαν, καὶ θέρμην περὶ τὸν θώρηκα. καὶ κεφαλῆς βάρος. καὶ ἄσην. καὶ ἔτι ἄλλο ἄλγημα εἴη μεμαθηκὸς πρόσθεν παροξύνειεν ἄν. οὐρητικὸν δὲ καὶ τοῦτο ἔχει ἀγαθόν. ἄριστον δὲ αὐτὸ φαγέειν, εἰ μέλλοι τις ἐς πόσιν ἰέναι, ἢ μεθύειν. Τυρὸς δὲ φῦσαν ἐμποιεῖ. καὶ στεγνότητα. καὶ σιτίων ἔξαψιν ποιέει. τοῦτο ὠμὸν καὶ ἄπεπτον. κάκιστον δ᾽ ἐν ποτῷ φαγεῖν πεπληρωμένοισιν. Ὄσπρια δὲ πάντα φυσώδεα καὶ ὠμὰ καὶ ἑφθά. καὶ πεφρυγμένα, καὶ βεβρεγμένα, καὶ χλωρά. τούτοισι δὲ μὴ χρέεσθαι, ἢν μὴ μετὰ καὶ ἑτέρων σιτίων. ἔχει δὲ καὶ ἰδίας μοχθηρίας, ἕκαστον αὐτέων.

Ἐρέβινθος μὲν φῦσαν ὠμὸς καὶ πεφρυγμένος καὶ πόνον ἐμποιεῖ. Φακὸς δὲ στύφει, καὶ ἄραδον ἐμποιεῖ, ἢν μετὰ τοῦ φλοιοῦ ᾖ. Θέρμος δὲ ἥκιστα τουτέων κακὰ ἔχει. Σιλφίου δὲ καυλὸς καὶ ὀπὸς, ἔστι μὲν οἷσι μάλιστα. τοῖσι δὲ ἀπείροισιν οὐ διέρχεται ἡ κοιλίη. ἀλλὰ καλέεται ξηρὴ χολέρη. μάλιστα δὲ γίνεται, ἢν μετὰ πολλοῦ τυροῦ μιχθῇ, ἢ κρεωφαγίης βοείων κρεῶν.

Τὰ μὲν γὰρ μελαγχολικὰ παθήματα καὶ παροξυνθείη ἂν ὑπὸ βοείων κρεῶν. ἀνυπέρβλητος γὰρ ἡ φύσις αὐτέων, καὶ οὐ τῆς τυχούσης κοιλίης καταπέψαι. βέλτιστα δ᾽ ἂν καὶ ἀπαλλάσσοιεν, εἰ διέφθοισί τε χρέοιντο, καὶ ὡς παλαιοτάτοισι. Αἴγεια δὲ κρέα, συμφορώτερα. πλὴν ὅσα τε βοέοισιν ἐνὶ κακὰ πάντα ἔχει. ἤγουν τάν τε ἀπεψίην, καὶ φυσωδέστερα, καὶ ἐρυγματώδεα. καὶ χολέρης γεννητικά. ἔστι δὲ τὰ εὐωδέστατα, στερεὰ, καὶ ἥδιστα, ταῦτα ἄριστα ἑφθὰ καὶ ψυχρά. τὰ δὲ ἀηδέστατα καὶ δυσώδεα καὶ σκληρὰ, ταῦτα κάκιστα. ἀλλὰ δὴ καὶ τὰ πρόσφατα. βέλτιστα δ᾽ ἐστὶν ἐν θέρους καιρῷ. ἐν δὲ μετοπώρου καιρῷ, κάκιστα. Χοίρου δὲ πονηρὰ, ὁκόταν ἢ ὠμότερα ἢ περικαῆ. χολερώτερα δ᾽ ἂν εἴη, καὶ ἐκταρακτικά. Ὕεα δὲ βέλτιστα τῶν κρεῶν ἁπάντων. κράτιστα δὲ τὰ μήτε ἰσχυρῶς πίονα,

μήτε

μήτε πάλιν ἰσχυρῶς λεπτά. μήτε ἡλικίην φθέροντα παλαιοῦ ἱερείου. ἐσθίειν δὲ ἄνευ τῆς φορίνης καὶ ὑπόψυχρα. Χολέρης δὲ ξηρῆς ἡ γαστὴρ περιφύσηται. καὶ ψόφοι γίνονται. καὶ ὀδύνη πλευρέων, καὶ ὀσφύος. διαχωρέει δὲ οὐδὲν κάτω, ἀλλ' ἀπεστέγνωται. τὸν τοιόνδε διαφύλαξον, ὅκως μὴ ἐμέσῃ τι, ἀλλ' ἡ κοιλίη ὑπελεύσηται. κλύζειν οὖν ὅτι τάχος θερμῷ, καὶ ὡς λιπαρωτάτῳ. καὶ ἐς ὕδωρ ἀλείφων ὡς πλεῖστον κάθιζε θερμόν, ἐν σκάφῃ κατακλίνων. καὶ τὸ θερμὸν παραχέε κατὰ μικρόν. καὶ ἢν θερμαινομένῳ αὐτέῳ ἡ κοιλίη ὑπάγῃ, λέλυται. ξυμφέρει δὲ καὶ ἐγκοιμᾶσθαι τῷ τοιῷδε. καὶ πίνειν οἶνον λεπτόν, καὶ παλαιόν, καὶ ἀκρητέστερον. καὶ ἔλαιον δίδου, ὥστε ἡσυχίην. καὶ ἡ κοιλίη ὑποίῃ, καὶ λέλυται. σιτίων δὲ καὶ τῶν ἄλλων ἀπεχέσθω. ἢν δὲ μὴ ἀνῇ ὁ πόνος, ὄνου γάλα δίδου πίνειν, ἕως ἂν καθαρθῇ. ἢν δὲ ὑγρὴ ἡ κοιλίη ᾖ, καὶ χολὴ ὑποχωρέῃ, καὶ στρόφοι, καὶ ἔμετοι, καὶ πνιγμοί, τούτοισιν κράτιστον ἀτρεμίζειν. πίνειν δὲ μελίκρητον, καὶ μὴ ἐξεμέειν. Υδρώπων δύο φύσιες, ὧν ὁ μὲν ὑποσαρκίδιος ἐγχειρέων γίνεσθαι, ἄφυκτος. ὁ δὲ μετ' ἐμφυσημάτων, πολλῆς εὐτυχίης δεόμενος. μάλιστα δὲ ὑπὸ ταλαιπωρίης καὶ πυρίης καὶ ἐγκρατείης, ξηρὰ καὶ δριμέα ἐσθιέτω. οὕτω γὰρ οὐρητικώτατος ἂν εἴη, καὶ ἰσχύοι μάλιστα. ἢν δὲ δύσπνοος ᾖ, καὶ ἡ ὥρη ἐαρινὴ ἐοῦσα τύχῃ, καὶ ἡλικίη ἅμα ἀκμάζῃ, καὶ ῥώμη ᾖ, ἀπὸ τοῦ βραχίονος αἷμα ἀφαιρέειν. εἶτα θερμοὺς ἄρτους ἐξ οἴνου μέλανος καὶ ἐλαίου ἀποβάπτων, ἐσθιέτω. καὶ ὡς ἐλάχιστα πίνων, καὶ ὡς πλεῖστα πονεέτω. καὶ κρέα ὕεια σαρκώδεα ἐσθιέτω μετὰ ὄξους ἑφθά, ὅκως πρὸς τοὺς προσάντεας περιπάτους ἀντέχῃ. Ὁκόσοι κοιλίας τὰς κάτω θερμὰς ἔχουσι καὶ δριμέα τὰ ὑποχωρήματα, καὶ ἀνώμαλα διέρχεται, ὑπὸ συντήξιος αὐτέοισιν. ἢν μὲν δυνατοὶ ἔωσιν ἐλλεβόρῳ τῷ λευκῷ ἀντισπάσαι. ἢν δὲ μή, ὁ χυλὸς τῶν σιτανίων πυρῶν, παχύς. ψυχρός. καὶ τὸ φάκιον ἔτνος. καὶ ἄρτοι ἐγκρυφίαι. καὶ ἰχθύες, πυρέσσοντι μὲν ἑφθοί. ἀπυρέτῳ δὲ ἐόντι, ὀπτοί. καὶ οἶνος μέλας ἀπυρέτῳ. ἢν δὲ μή, ὕδωρ ἀπὸ μεσπίλων, ἢ μύρτων, ἢ μήλων, ἢ οὔων. ἢ φοινικοβαλάνων. ἢ οἰνάνθης ἀμπελικῆς. ἢν δὲ πυρετὸς μὴ ἔχοι, καὶ στρόφοι ἔωσι, γάλα βόειον θερμὸν ὀλίγον τὸ πρῶτον. ἔπειτα ἐκ προσαγωγῆς πλεῖον. καὶ λίνου σπέρμα. καὶ πύρινα ἄλφιτα. καὶ τῶν αἰγυπτίων κυάμων ἐξελὼν τὰ πικρά, καταλέσας καὶ ἐπιπάσσων, πινέτω. καὶ ᾠὰ ἡμιπαγέα ἐσθιέτω ὀπτά, καὶ σεμίδαλιν. καὶ κέγχρον. καὶ χόνδρον ἑφθὸν ἐν γάλακτι, ἑφθὰ ψυχρὰ ἐσθίειν. καὶ τὰ τούτοισιν ὅμοια καὶ ποτὰ καὶ ἐδέσματα προσφερέσθω. τῆς διαιτητικῆς δεῖ μέγιστον παρατηρεῖν καὶ φυλάσσειν, ὥσπερ ἐν τοῖς ὀξέσι καὶ ἐν τοῖσι μακροῖσι ἀῤῥωστήμασι. καὶ τὰς ἐπιτάσιας τῶν πυρετῶν, καὶ τὰς ἀνέσιας, ὥστε τοὺς καιροὺς διαπεφυλάχθαι, ὁκότε μὴ δεῖ τὰ σιτία προσενεγκεῖν. καὶ ἀσφαλέως ὁκότε δεῖ προσενεγκεῖν, εἰδέναι. ἔτι δὲ ὁκόταν πλεῖστον ἀπέχωσι τῆς ἐπιτάσιος. εἰδέναι δὲ τοὺς κεφαλαλγικούς, ἐκ γυμνασίων. ἢ δρόμων. ἢ πορειῶν. ἢ κυνηγεσίων. ἢ ἄλλου τινὸς πόνου ἀκαίρου. ἢ ἐξ ἀφροδισίων. τοὺς ἀχρόους. τοὺς βραγχαλέους. τοὺς σπληνώδεας. τοὺς λειφαίμους. τοὺς πνευματώδεας, τοὺς ξηρὰ βήσσοντας. καὶ διψώδεας. τοὺς φυσώδεας. φλεβῶν ἀπολήψιας. ἐντεταμένους ὑποχόνδρια καὶ πλευρά. καὶ μετάφρενον. τοὺς ἀποναρκωμένους. καὶ ἀμαυρὰ βλέποντας. καὶ οἷσιν ἦχοι τῶν ὤτων ἐμπίπτουσι. καὶ τῆς οὐρήθρης ἀκρατέως διακειμένους. τοὺς ἰκτεριώδεας, καὶ ὧν αἱ κοιλίαι ὠμὰ ἐκβάλλουσι. καὶ αἱμοῤῥαγέοντας ἐκ ῥινὸς ἢ καθ' ἕδρην σφοδρῶς. ἢ ἐν ἐμφυσήμασιν ἐόντας ἢν πόνος αὐτοῖσιν ἐπιτρέχῃ σφοδρός, καὶ μὴ ἐπικρατέωσι. τῶν τοιῶνδε μηδένα φαρμακεύειν. κίνδυνόν τε γὰρ ἔχει καὶ οὐδὲν ὀνήσεις. τάς τε ἀπὸ ταυτομάτου ἀπαλλάξιας καὶ κρίσιας ἀφαιρήσεις. ἢν δὲ αἷμα τινὶ ξυμφέρει ἀφαιρέειν, στερεὴν πρότερον ποιέειν τὴν κοιλίην, καὶ οὕτως ἀφαιρέειν καὶ λιμοκτονέειν, καὶ οἶνον ἀφαιρέειν αὐτέων. ἔπειτα τῇ διαίτῃ τῇ προσηκούσῃ, τὰ ἐπίλοιπα αὐτέων, καὶ τοῖς εἰρημένοισιν θεράπευε. ἢν δέ τοι κατάπυκνος ἡ κοιλίη δοκέῃ εἶναι, μαλθακῷ κλύσματί τι ὑποκλύζε. ἢν δὲ φαρμακεῦσαι δόξῃ, ἐλλεβόρῳ ἀσφαλέως, ἄνω κάθαιρε. κάτω δὲ μηδενὶ τῶν τοιῶνδε. κράτιστα δὲ ἐς οὔρησιν, καὶ ἐς ἱδρῶτας, καὶ ἐς περιπάτους ἄγειν. καὶ τρίψει ἡσύχῳ χρέο, ἵνα μὴ πυκνώσῃς τὴν ἕξιν. ἢν δὲ κλινοπετὴς ᾖ, ἄλλοι τριβέτωσαν αὐτόν. κἢν μὲν ἐν τῷ θώρηκι ὑπὲρ τῶν φρενῶν λυπέῃ τὸ πάθος, αὐτὸν ἀνακαθίζειν ὡς πλειστάκις. καὶ ὡς ἥκιστα προσκλινέσθωσαν, ἐς ὅτε δυνατοί εἰσι. καὶ καθίζοντα ἀνατρίβειν μὴν πολὺν χρόνον, πολλῷ θερμῷ. ἢν δὲ ἐν τῇ κάτω κοιλίῃ ὑπὸ φρένας ἔχει τὰ ἀλγήματα, ἀνακέεσθαι ξυμφέρει, καὶ μηδεμίην κίνησιν κινέεσθαι τῷ τοιῷδε σώματι ξυμφέρει, ἔξω τοῦ ἀνατρίψιος. τὰ δὲ ἐκ τῆς κάτω

κοιλίης

κοιλίης λυομένης δὲ οὔρων καὶ ἱδρώτων, ἢν ὀλισθῇ μετρίως, ὑπὸ αὐτοματισμοῦ λύεται τὰ σμικρά. τὰ σφόδρα δὲ πονηρόν. οἱ τοιοῦτοι γὰρ ἢ ἀπόλλυνται, ἢ ἄνευ ἄλλων κακῶν, οὐ γίνονται ὑγιέες, ἀλλ' ἀναστρέφει τὰ ὑποτρόπια. Πόμα ὑδρωπιῶντι. κανθαρίδας τρεῖς, ἀφελὼν τὴν κεφαλὴν ἑκάστης, καὶ πόδας καὶ πτερὰ, τρίψας ἐν τρισὶ κυάθοις ὕδατος τὰ σώματα, ὁκόταν δὲ πονέῃ ὁ πιὼν, θερμῷ βρεχέσθω. ὑπαλειψάμενος δὲ πρότερον, νῆστις πινέτω, ἐσθιέτω δὲ ἄρτους θερμοὺς ἐξ ἀλείφατος. Ἴσχαιμον. ὀπὸν συκῆς ἐν εἰρίῳ προσθεῖναι εἴσω πρὸς τὴν φλέβα, ἢ πτύλην συστρέψαντα ἐμβῆσαι ἐς τὸν μυκτῆρα. ἢ χαλκίτιδος τῷ δακτύλῳ προσεπιπασάμενος, πιέζειν. καὶ τοὺς χόνδρους ἔξωθεν προσπιέζειν ἑκατέρωθεν. καὶ τὴν κοιλίην λύσον, ὄνου γάλακτι ἑφθῷ. καὶ τὴν κεφαλὴν ξυρῶν, ψυκτικὰ προσφέρε, ἢν ἐν ὥρῃ θερμῇ γίνηται. σησαμοειδὲς ἄνω καθαίρει, ἡ πόσις ἡμιόλιον δραχμῆς ὁ σταθμὸς ἐν ὀξυμέλιτι τετριμμένον. ξυμμίσγεται δὲ καὶ τοῖσιν ἐλλεβόροισι, καὶ ὅσον πνίγει, τὸ τρίτον μέρος τῆς πόσιος. Τριχώσιος. ὑποθεὶς τὸ ῥάμμα, τῇ βελόνῃ τῇ τὸ κύαρ ἐχούσῃ, κατὰ τὸ ὀξὺ τοῦ ἄνω τάσιος τοῦ βλεφάρου ἐς τὸ κάτω διακεντήσας, δίες καὶ ἄλλο ὑποκάτω τούτου. ἀνατείνας δὲ τὰ ῥάμματα, ῥάψον καὶ κατάδει, ἕως ἂν ὑποπέσῃ. κἢν μὲν ἱκανῶς ἔχῃ, ἢν δὲ μὴ, εἰ ἐλλείπῃ ὀπίσω, ποιέειν τὰ αὐτά. καὶ τὰς αἱμορροΐδας τὸν αὐτὸν τρόπον διώσεις. τῇ βελόνῃ ὡς παχύτατον ἐρίου οἰσυπηροῦ ῥάμμα, καὶ ὡς μέγιστον ἀποδήσας, ἀσφαλεστέρη γὰρ γίνεται ἡ θεραπείη. εἶτα ἀποπιέσας τῷ σηπτῷ, χρέο. καὶ μὴ βρέχε πρὶν ἀποπέσῃ. καὶ αἰεὶ μίαν καταλίμπανε. καὶ μετὰ ταῦτα ἀναλαβὼν ἐλλεβορίσαι. εἶτα γυμναζέσθω καὶ διιδρούτω. γυμνασίῃ δὲ τρίψις πολλὴ ἀπὸ ὄρθρου. δρόμου δὲ ἀπεχέσθω καὶ μέθης. καὶ τῶν δριμέων ἔξω ὀριγάνου. ἐμεέτω δὲ διὰ ἑπτὰ ἡμερέων, ἢ τρὶς ἐν τῷ μηνί. οὕτω γὰρ ἂν ἔχοι ἄριστα τὸ σῶμα. οἶνον δὲ κιρρὸν αὐστηρὸν, ὑδαρέα τε καὶ ὀλίγον πινέτω. Τοῖσι δὲ ἐμπύοισι, σκίλλης καταταμὼν κυκλίσκους, ἕψειν ὕδατι. καὶ ἀποζέσας εὖ μάλα ἀπόχεον. καὶ ἐπιχέας ἄλλο, ἕψε, ἕως ἂν ἁπτομένῳ δίεφθον καὶ μαλθακὸν φανῇ. εἶτα τρίψας λεῖον, σύμμισγε κύμινον πεφρυγμένον. καὶ λευκὰ σήσαμα. καὶ ἀμυγδάλας νέας τρίψας ἐν μέλιτι, ἐκλικτὸν δίδου. καὶ ἐπὶ τούτῳ, οἶνον γλυκύν. ῥοφήματα δὲ μήκωνος τῆς λευκῆς ὑποτρίψας ὁκόσον λεκίσκιον, ὕδατι διεὶς, σηταμίου πλύματι ἀλεύρου ἑψήσας, μέλι ἐπιχέας, χλιαρὸν ἐπιρροφέων, οὕτω διαγέτω τὴν ἡμέρην, εἶτα ἐς τὰ ἀποβαίνοντα λογιζόμενος, τὸ δεῖπνον δίδου. Δυσεντερίης. Κυάμων καθαρῶν, τεταρτημόριον. καὶ ἐρυθροδάνου δυοκαίδεκα κάρφεα λεῖα συμμίξαντα καὶ ἑψήσαντα, λιπαρὰ διδόναι ἐκλείχειν. Ὀφθαλμιῶν. Σποδὸς πεπλυμένη, λιπαρῶς πεφυρημένη, ὡς στέαρ μὴ ὑγρὸν λεῖον τρίψας, ὀμφακίῳ τῷ ἐκ τῆς πικρῆς ὄμφακος ἀνυγράνας, ἐν ἡλίῳ τε ἀναξηράνας, ὑγραίνειν ὡς ἐναλειπτόν. ὁκόταν δὲ ξηρὸν γένηται, τρίψας λεῖον ξηρὸν, ὑπάλειφε τοὺς ὀφθαλμοὺς, καὶ παράπασσε τοὺς κανθούς. Ὑγρῶν. Ἐβένου δραχμήν. χαλκοῦ κεκαυμένου ἐννέα ὀβολοὺς ἐπ' ἀκόνης τρίβων. κρόκου τριώβολον. ταῦτα τρίψας λεῖα, παράχεε οἴνου γλυκέος κοτύλην ἀττικήν. κἄπειτα ἐς τὸν ἥλιον θεὶς, κατακαλύψας ὁκόταν συνεψηθῇ, τούτῳ χρέο. Πρὸς τὰς ποδωδυνίας. Χαλκίτιδος δραχμή. σταφυλῆς, ὁκόταν δύο μέρεα λειφθῇ, ἐκπιέσας. σμύρναν, καὶ κρόκον τρίψας, συμμίξας τὸ γλεῦκος, ἕψησον ἐν τῷ ἡλίῳ. καὶ τούτῳ ὑπάλειφε τοὺς ποδωδυνέοντας. ἔστω δὲ ἐν χαλκῷ ἀγγείῳ. Ὑπὸ ὑστερικῶν πνιγομένων γνῶσις. πίεσαι τοῖσι δακτύλοισι. κἢν αἴσθηται, τὰ ὑστερικά ἐστιν. ἢν δὲ μὴ, σπασμώδεα.

Τοῖσιν ὑδρωπιώδεσι, μηκώνιον. λεκίσκιον ἀττικὸν στρογγύλον. Πόσις. λεπίδος, μήλας τρεῖς τῷ πλάτει. καὶ ἀλήτου σηταμίου κολλήσαντα. ταῦτα λεῖα τρίψας καταπότια δίδου.

Κάτω ὕδωρ καθαίρει. καὶ κοιλίην ἐκκοπρεῖ. ἐς ἰσχάδας, ὀποῦ τοῦ τιθυμάλλου ἀποστάζε, ἑπτάκις ἐς ἑκάστην. εἶτα ἐς καινὸν ἄγγος συνθεὶς ταμιεύεσθαι, δίδου τῷ ἐρημένῳ πρὸ τῶν σιτίων. Καὶ τὸ μηκώνιον τρίβων, ὕδωρ ἐπιχέων καὶ διηθέων, ἄλευρον φυρῶν, ἴτριον ὀπτῶν, μέλι παραχέων, τοῖσι ὑδρωπικοῖσι, τρώγειν δίδου καὶ ἐπιπίνειν οἶνον γλυκὺν, ὑδαρέα, ἢ μελίκρητον ὑδαρές. τὸ δὲ ἀπὸ τῶν κηπείων μηκώνιον ξυλλέγων, ταμίευσον καὶ θεράπευε.

ἐπὶ κρίσιων ξυντόμων ἐπὶ τὸ ἄμεινον, τὰ μὲν πλεῖστα ταῦτ᾽ ἐστὶν, ἅπερ ὑγιεινὰ σημεῖα. ἱδρῶτες γὰρ ἄριστοί εἰσιν, καὶ τάχιστα πυρετὸν παύοντες, οἱ ἐν τῇσι κρισίμῃσιν ἡμέρῃσιν γινόμενοι, καὶ τελέως τὸν πυρετὸν ἀπαλλάσσοντες. ἀγαθοὶ δὲ καὶ οἱ, διὰ παντὸς τοῦ σώματος γινόμενοι, εὐπετεστέρως τὸ νόσημα φέρειν ποιήσωσιν. οἳ δ᾽ ἂν τουτέων τι μὴ ἐργάσωνται, οὐ λυσιτελέουσιν γινόμενοι. παχύνεσθαι δὲ χρὴ τὸ διαχώρημα, πρὸς τὴν κρίσιν ἰούσης τῆς νόσου. ἔστω δὲ τὸ ὑπόπυῤῥον, καὶ μὴ σφόδρα δυσῶδες. ἐπιτήδειον δὲ καὶ ἕλμινθας ἐξιέναι πρὸς τὴν κρίσιν. οὖρον δὲ ἄριστόν ἐστιν, ὃ ἂν ἔχῃ λευκότατον ὑπόστημα καὶ λεῖον καὶ ὁμαλὸν παρὰ πάντα τὸν χρόνον ἕως ἂν κριθῇ τὸ νόσημα. σημαίνει γὰρ ἀσφαλέα καὶ ὀλιγοχρονίην τὴν νοῦσον ἔσεσθαι. ἢν ἱδρῶτος ἐγγενομένου ἡ νοῦσος ἐκλίπῃ, καὶ τὸ οὖρον πυῤῥὸν θεωρηθῇ λευκὴν ὑπόστασιν ἔχον, τουτέοισιν αὐθημερὸν ὑποστροφὴ τοῦ πυρετοῦ γίνεται, οὗτος καὶ ἐν τάχει τε ἀκινδύνως κρίνεται. τοῖσιν ἐλαχίστῳ χρόνῳ μέλλουσιν ὑγιάζεσθαι μέγιστα σημεῖα ἅπαν γίνεται. ἀπονώτεροι γὰρ διατελοῦσιν, καὶ ἀκίνδυνοι, καὶ τὰς νύκτας κοιμέονται, καὶ τὰ ἄλλα σημεῖα προφαίνουσιν ἀσφαλέα. οἷς ἐν πυρετῷ μὴ θανατώδει, κεφαλῆς ἄλγημα καὶ τὰ ἄλλα προσέστηκε σημεῖα, χολὴ τουτέων κρατεῖ. οἷς ἂν ἄρξηται ὁ πόνος τῇσι πρώτῃσιν ἡμέρῃσιν, τεταρταῖοί τε μᾶλλον καὶ πεμπταῖοι πιέζονται. ἐς δὲ τὴν ἑβδόμην, ἀπαλλάσσονται τοῦ πυρετοῦ. οἱ δὲ πυρετοὶ κρίνονται ἐν τῇσιν αὐτῇσιν ἡμέρῃσιν τὸν ἀριθμὸν, ἐξ ὧν ἀπόλλυνται οἱ ἄνθρωποι, καὶ ἐξ ὧν περιγίνονται. οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν καὶ ἐπὶ σημείων ἀσφαλεστάτων τεταρταῖοι παύονται ἢ πρόσθεν. οἵ τε φονικώτατοι καὶ ἐπὶ σημείων δεινοτάτων γινόμενοι, τεταρταῖοι κτείνουσιν ἢ πρόσθεν. ἡ μὲν οὖν πρώτη ἔφοδος οὕτως τελευτᾷ. ἡ δ᾽ ἑτέρη, ἐς ἑπτὰ περιάγει. ἡ δὲ τρίτη, ἐς τὴν ἑνδεκάτην. ἡ δὲ τετάρτη, ἐς τὴν τεσσαρεσκαιδεκάτην. ἡ δὲ πέμπτη, ἐς τὴν ἑπτακαιδεκάτην. ἡ δὲ ἕκτη, ἐς τὴν εἰκοστήν. αὗται μὲν οὖν ἐπὶ τῶν ὀξυτάτων διὰ τεσσάρων ἐς τὰς εἴκοσι προσθέσεις. οὐ δύναται δὲ ὅλαις ἡμέραις οὐδὲν τουτέων ἀριθμεῖσθαι ἀτρεκέως. οὐδὲ γὰρ οἱ ἐνιαυτοί τε καὶ μῆνες ὅλαις ἡμέραις πεφύκασιν, οὐδὲ ξυνεστήκασιν. ἐν τοῖσι καύσοισι τὰ ἀγαθὰ σημεῖα γινόμενα, οἷα ἐν τῇσιν ὑγιεινοῖσι γέγραπται. μείονα μὲν ἐόντα, ἐς τρίτην ἄνεσιν δηλοῖ. παχύτερα δὲ ἄμεινον πάνυ. παχέα δὲ αὐθημερὸν ἐν τοῖσι καύσοισιν. ἢν ἑβδομαίῳ ὕστερον ἐπιγένηται ἴκτερος δῆλον ἱδρῶτος. τὸ γὰρ νόσημα οὐ φιλέει ἐξιδροῦν, οὐδὲ ἄλλῃ ἀφίστασθαι οὐδαμῇ, ἀλλὰ ὑγιὴς γίνεται. ἀνάγκη τοῦ θερμοῦ ἀπιόντος ἐφ᾽ ἑωυτὸ τὸ ὑγρὸν ἑλκύσαντος, λέγω πυρετῷ κρίσιν γενέσθαι. καὶ τὰ οὖρα τὰ ἀποχωρέοντα ἢ καὶ τὰ διαχωρήματα κοιλίης, ἢ αἵματος ἐκ τῶν ῥινέων ῥύσιν, ἢ οὔρησιν πολλὴν, ἢ διὰ ὑγρὴν ἰσχυρὴν, ἱδρῶτα, ἢ ἔμετον. γυναικὶ δὲ καὶ ἐπιμηνίων ὁδόν. μάλιστα μὲν οὖν, ταῦτα ποιέει κρίσιν, ἢ ὅ,τι ἂν τουτέων ἐγγὺς γίνεται. ποιέει δὲ καὶ ἑτέρας κρίσεις. ἧσσον μὲν τουτέων. ἴκτερος δὲ ἢν ἑβδομαίῳ ἐπιγένηται, ἢ ὕστερον ἐν καύσῳ καὶ δυσχρείᾳ σιάλου πολλοῦ ἀποχώρησις, ἔν τε τοῖς καυσώδεσι πυρετοῖς καὶ τοῖς ἄλλοις, ἢν μηδενὸς τουτέων τῶν σημείων γινομένων, ἀφίῃ ὁ πυρετὸς, ἀνάγκη τοιάσδε κρίσιας ἀντὶ τουτέων γενέσθαι. ἢ φυμάτων μεγάλων ἀπόστασιν. ἢ ὀδύνας ἰσχυρὰς ἀπὸ τῆς ἀποστάσιος. ἢ τηκεδόνας τῶν ὑγρῶν ἐκ τοῦ θερμοῦ. κρίσιες δὲ καὶ ἀφέσιες τῶν καύσων σημαινόντων, μακροτέρα ἡ νοῦσος. τῶν δὲ ἰσχυρῶν, θάνατος ὡς ἐπὶ τὸ πουλύ. οἱ δὲ λοιποὶ ἀσφαλέες παύονται καῦσοι, ἑβδομαῖοι ἢ τεσσαρεσκαιδεκαταῖοι. φιλέει δὲ καὶ ἐς λιπυρίην περιΐστασθαι. καὶ λαμβάνει μάλιστα τεσσαράκοντα ἡμέρας καὶ ἐξυπιαλοῦται. καὶ ἡ λιπυρίη τῆς αὐτῆς ἡμέρης, λαμβάνει τε καὶ μεθίησι. γίνεται δὲ καὶ τῆς κεφαλῆς ὀδύνη. ἐὰν δὲ μὴ μεθίῃ αὐτὸν ἡ λιπυρίη ἐν ταῖς τεσσαράκοντα ἡμέραις, ἀλλ᾽ ἄχθη καὶ ὀδύνη ἔχῃ τὴν κεφαλὴν, καὶ φλυηρέῃ, ἐπικάθηρον αὐτόν. λήγοντος δὲ καύσου ἂν ἐπιγένηται ἴκτερος, οὐ φιλέει ἔτι ἱδροῦν, οὐδ᾽ ἄλλῃ ἐφίστασθαι οὐδαμῇ, ἀλλ᾽ ὑγιὴς γίνεται. τριταῖος κρίνεται ἐν ἑπτὰ περιόδοισιν, ὡς ἐπὶ τὸ πουλύ. ὁκόσοις ἐν ἀφορήτοις πυρετοῖς τῇ ἑβδόμῃ ἢ τῇ ἐνάτῃ ἢ τεσσαρεσκαιδεκάτῃ ἴκτεροι γίνωνται, ἀγαθὸν, ἐὰν μὴ τὸ δεξιὸν ὑποχόνδριον σκληρὸν γένηται, εἰ δὲ μὴ, ἐνδοιαστόν. τὰ ὀξέα νοσήματα κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσιν ὡς ἐπὶ τὸ πουλύ. ἱδρῶτες πυρεταίνοντι ἢν γίνωνται τριταίοις καὶ πεμπταίοις, καὶ ἑβδομαίοις, καὶ ἐναταίοις, καὶ ἑνδεκαταίοις, καὶ τεσσαρεσκαιδεκαταίοις, καὶ μὴν καὶ εἰκοσταίοις, καὶ τριηκοσταίοις, οὗτοι οἱ ἱδρῶτες νούσους κρίνουσιν. οἱ δὲ μὴ οὕτως γινόμενοι, πόνους σημαίνουσιν. αἱ πεπάνσιες τῶν οὔρων κατὰ μικρὸν ἐκπεπαινόμεναι

ἐν τοῖς κρισίμοις ἐὰν ἐπιπαυθῶσι, λύουσι τὴν νοῦσον. παράδειγμα δεῖ τῶν οὔρων τὰ ἕλκεα ποιέεσθαι. τά τε γὰρ ἕλκεα, ἢν μὲν ἀνακαθαίρηται πύῳ λευκῷ, ταχεῖαν θεραπείαν δηλοῖ. ἐὰν δὲ μεταβάλλῃ εἰς ἰχῶρας, κακοήθεα γίνεται. τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ οὖρα σημαίνει. ἐὰν ἐκ πόνου λεπτὰ γίνηται, ἀπὸ τῆς προφάσιος δεῖ λογίζεσθαι, ἢν τὸ νόσημα παρεγγύηται, καὶ ταύτην ὁρᾷν ἤδη παύεται, ὡς ταύτης ἐπιλειπομένης τῶν ἄλλων σημείων ἐπιγινομένων οἵων δεῖ οὐκ εἶναι ἀπαλλαγὴν τῇ νούσῳ οἰητέον. ἐὰν ἀλγέῃ ἡ κεφαλή, καὶ ἀπὸ τούτου πυρετὸς ἐπιγίνηται, τούτου μὴ καταπαύσεται, μηδὲ τῆς ὀδύνης παυομένης, οὐ κρίσιμος ὁ πυρετός. κρίσεως μακρῆς ἔτι ἤδη τὸ ἄμεινον, πλεῖστα ταῦτ' ἐστὶ καὶ ἤδη τουτέων ἀπὸ τῶν ὑγιέων ἐόντα. ἐν τοῖσιν ὑποχονδρίοισιν οἰδήματα μαλθακὰ καὶ ἀνώδυνα καὶ ὑπείκοντα ἐπεὶ θιγγάνῃς αὐτέου, χρονιωτέρας μὲν τὰς κρίσιας ποιεῖ, ἧσσον δὲ φοβερὰς τῶν ἐναντίων τουτέοις φυμάτων. ὡσαύτως δὲ ἔχει καὶ περὶ τῶν ἐν τῇ ἄλλῃ κοιλίῃ φυμάτων. οὔρων δὲ ἢν τὸ μὲν οὐρηθὲν μὴ καθαρὸν ᾖ, τὸ δ' ὑπόστημα λευκόν τε καὶ λεῖον ἔχῃ, χρονιωτέρη ἡ κρίσις. ἡ καὶ ἧσσον ἀσφαλὴς τοῦ βελτίστου οὔρου. ἢν δέ ποτε ὑπέρυθρον οὖρον καὶ τὸ ὑπόστημα ὑπέρυθρον καὶ λεῖον, πουλυχρονιώτερον μὲν τούτου τοῦ προτέρου, σωτήριον δὲ κάρτα. ὁκόσα δὲ ποδαγρικὰ νοσήματα γίνεται, ταῦτα ἐν τεσσαράκονθ' ἡμέραις ἀφλέγμαντα καθίσταται. κρίσεως μακρᾶς ἤδη τὸ ἄμεινον ἐπὶ τουτέων τὰ πλεῖστα ἐστίν. ἀπὸ τῶν θάνατον ἐν ἡμέρῃ καὶ νυκτὶ κρίνεται. ἀπὸ τῆς ἀσθενεώσιος σημεῖα. οἷον φαρμακοποσίης. κοιλίης ἐκταράξιος καὶ ἄνω καὶ κάτω. ἄσης, καὶ τῶν ἄλλων τῶν τοιουτέων. ἢν μὲν οὖν ἀπαλλάσσηται τούτων τὰ σημεῖα ἐν ἡμέρῃ καὶ νυκτί. εἰ δὲ μή, θανατώδεα νομίζειν εἶναι. τῶν ἱδρώτων κάκιστοί εἰσιν, οἱ ψυχροί τε καὶ περὶ τὸν αὐχένα γινόμενοι, οὗτοι γὰρ θανάτους καὶ μῆκος νούσων προσημαίνουσιν. τὰ ποικίλα ὑποχωρήματα, χρονιώτερα μὲν τῶν μελάνων καὶ τῶν ἄλλων θανασίμων ὑποχωρημάτων, οὐδὲν δὲ ἧσσον ὀλέθρια. ἔστι δὲ τοιάδε. ξυσματώδεα. χολώδεα. αἱματώδεα. πρασοειδέα. μέλανα. καὶ τότε μὲν ὁμοῦ, πάντα διαχωρέει. τότε δὲ κατὰ μέρος ἕκαστον. οὖρον δὲ ἐὰν τότε μὲν καθαρὸν οὐρηθῇ. τότε δὲ ὑπόστημα ἔχον λευκόν τε καὶ λεῖον, χρονιώτερα καὶ ἧσσον ἀσφαλῆ, ταῦτ' ἐστὶ, τοῦ βελτίστου οὔρου. ἐὰν πυῤῥὸν καὶ λεπτὸν ᾖ τὸ οὖρον πολὺν χρόνον, κίνδυνος μὴ οὐ δύνηται διαρκέσαι ὁ ἄνθρωπος, ἕως ἂν πεπανθῇ τὸ οὖρον, καὶ ἢν ἄλλως περιεσομένου σημεῖα ᾖ. προσδέχου τουτέοις ἀπόστασιν προσεσομένην εἰς τὰ κάτω τῶν φρενῶν χωρία. ἐν τοῖσι πυρετοῖσι ἐὰν μεταβολὰς ἔχῃ τὸ οὖρον, χρόνον τε σημαίνει, καὶ ἀνάγκη τῷ ἀσθενέοντι μεταβάλλειν καὶ ἤδη τὰ χείρω. καὶ ἐπὶ θάτερα. ἢν ἀρχόμενα οὖρα μὴ ὅμοια ᾖ, ἀλλὰ γίνηται παχέα ἐκ λεπτῶν, καὶ παντελῶς λεπτά, δύσκριτα καὶ ἀβέβαια τὰ τοιαῦτα. ψυχροὶ ἱδρῶτες ξὺν μὲν ὀξεῖ πυρετῷ, θανάσιμοι. ξὺν δὲ πρηυτέρῳ, μῆκος σημαίνουσι τῆς νούσου. καὶ ὅκου τοῦ σώματος θερμὸν ἢ ψυχρόν, ὅπου τούτων ἐνί, ἐνταῦθα ἡ νοῦσος. καὶ τουτέῳ ἐν ὅλῳ τῷ σώματι, μεταβολαὶ ὀξεῖαι γίνονται. καὶ ἢν τὸ σῶμα ψύχηται, ἢ αὖθις θερμαίνηται. ἢ τὸ χρῶμα ἕτερον ἐξ ἑτέρου μεταβάλληται μῆκος νούσου σημαίνουσιν. κἢν πυρέσσοντι, ἱδρὼς ἐπιγίνηται μὴ ἐκλείποντος τοῦ πυρετοῦ, κακόν. μηκύνει γὰρ ἡ νοῦσος, καὶ ὑγρασίην σημαίνει. πυρέσσοντι ψυχροὶ ἱδρῶτες ἐπιγινόμενοι, μακρὸν τὸν πυρετὸν σημαίνουσιν. ἱδρὼς πουλὺς ἀκρήτως γινόμενος ὑγιαίνοντι νόσον σημαίνει. θέρεος μὲν μείω. ψύχεος δὲ πλείω εἰς τὸ αὐτὸ χωροῦντα, ἐὰν ἐάσῃς ξυστῆναι, ὑφίσταται ὁκοῖον ξύσματα. ἢν ὀλίγα, ὀλίγη ἡ νοῦσος. ἢν πολλά, πολλή. τουτέοισι ξυμφέρει τὴν κοιλίην ἐπικλύζειν. ὁκόσοις δὲ ἐν τῇ κάτω ὑποχωρήσει χολῆς μελαίνης ὕπεστιν, ἢν πλεῖον, πλείων ἡ νοῦσος. ἢν ἔλασσον, ἐλάσσων. ἐὰν αἱ φλέβες σφύζωσι, καὶ τὸ πρόσωπον ἐῤῥωμένον ᾖ, καὶ τὰ ὑποχόνδρια μὴ λαπαρά, ἀλλὰ ἐπηρμένα, χρονίη ἡ νοῦσος καὶ ἄνευ σπασμοῦ οὐ λύεται, ἢ αἵματος πολλοῦ ἐκ τῶν ῥινέων ῥύσιος, ἢ ὀδύνης ἰσχυρῆς. καὶ οἱ παλμοὶ ἐν τῇσι χερσὶν πουλυχρονίου πυρετοῦ σημεῖον, ἢ κρίσεως ξυντόμου ἐπὶ τὸ κάκιον. καὶ ἐπὶ τούτων τὰ πλεῖστα ἀπὸ τῶν θάνατον, τοῖσιν ἐλαχίστῳ χρόνῳ μέλλουσιν ἀπόλλυσθαι, μέγιστα σημεῖα ἀπ' ἀρχῆς γίνεται. δυσπνόητοι γάρ εἰσιν, καὶ οὐ κοιμέονται τὰς νύκτας, καὶ τὰ σημεῖα προφαίνουσι ἤδη κίνδυνα. ξυνεχοῦς δὲ πυρετοῦ ἐὰν τεταρταῖος πονέεται καὶ ἑβδομαῖος, καὶ μὴ κριθῇ ἑνδεκαταῖος, ὀλέθριος ὡς τὰ πολλά. ὅσοι ὑπὸ τετάνου ἁλίσκονται, ἐν ταῖς τέσσαρσιν ἡμέραις ἀπόλλυνται. ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίνονται. ἐν τοῖσι καύσοισιν ἐὰν ἐπιγίνηται ἴκτερος καὶ λύγξ πεμπταίῳ ἐόντι, θανατῶδες. ὑποστροφαὶ λαμβάνονται. οἷς ἂν ἀπυρέτοισιν γινομένοισιν, ἀγρυπνίαι ἐῤῥωμέναι προσγίνωνται, ἢ ὕπνοι ταραχώδεες,

ἢ ῥώμη

ἢ ῥώμη τοῦ σώματος, ἢ ἀλγήματα ἑνὸς ἑκάστου τῶν μελέων. καὶ ὅσοις ἂν οἱ πυρετοὶ παύσωνται, μήτε σημείων γινομένων λυτηρίων, μήτ᾽ ἐν ἡμέρῃσι κρισίμῃσι. καὶ ἐὰν ἐκλελοιπότος τοῦ πυρετοῦ καὶ ἱδρῶτος ἐπιγινομένου πυρρὸν οὖρον οὐρήσῃ, λευκὴν ὑπόστασιν ἔχον, προσδέχου τούτοις ὑποστροφὴν πυρετοῦ αὐθημερόν. αὗται δὲ αἱ ὑποστροφαὶ, πεμπταῖαι κρίνονται ἀκινδύνως. καὶ ἢν κρίσιος ἐπιγινομένης οὖρον ἐρυθρὸν οὐρήσῃ ὑπόστασιν ἔχον ἐρυθρήν, καὶ τουτέοις ὑποστροφὴ γίνεται τοῦ πυρετοῦ αὐθημερόν, καὶ ὀλίγοι ἐκ ταύτης σώζονται. ὅταν ὑποστρέφῃ ὁ καῦσος τὰ πολλὰ καὶ ἐξιδροῖ. καὶ ἢν ἡμέρας λάβῃ ὑποστρέψας ὅσας τὸ πρῶτον. ὑποτροπιάζει δὲ καὶ τρὶς πυρετὸς ἢν μὴ περιοσσῇ ἡμέρῃ ἀφῇ. ὑποτροπιάζει τὰ πολλὰ ἐὰν ἀπέπτων ἐόντων τῶν οὔρων, καὶ τῶν ἄλλων σημείων μὴ κατὰ λόγον ἐόντων ἡ νοῦσος κρισίμῳ ἡμέρῃ ὑποτροπιάζει. ὅταν δὲ καὶ ὑποστρέφει ἐν κρισίμῃ ἡμέρῃ τουτέων καταλειπομένων τοιούτων. τὰ παρ᾽ οὖς οἷς ἀμφὶ κρίσιν γινόμενα μὴ ἐκπυήσῃ, τουτέων ἀπαλλασσομένων, ὑποστροφὴ γίνεται κατὰ λόγον τῶν ὑποστρόφων ὁμοίᾳ περιόδῳ. ἐπὶ τουτέοις ἐλπὶς ἐς ἄρθρα ἀφίστασθαι. ἢν οὖρον παχὺ οἷον τὸ λευκὸν ἐπὶ τοῖς κοπιώδεσι τεταρταίοισι ῥέεται, διὰ ἀποστάσιος. ἐνίοις δὲ τουτέων, καὶ αἱμορραγίαι γίνονται ἐκ τῶν ῥινέων. ἥτις τεταρταίοις, οὐ λυτική. καὶ τοῖς πύα ἀποχωρέοντα ὑγιάζειν νούσους. τοῖς μελαγχολικοῖς μετὰ φρενιτίδων ἐχομένοις, αἱμορροΐδες ἐγγινόμεναι ἀγαθόν. ὅσοι μαίνονται, ἢ αὐτόματοι ἀπαλλασσόμενοι ἐκ τῶν νούσων, τουτέοις τῆς μανίης, ὀδύνη ἐς τοὺς πόδας εἰσελθοῦσα, ἢ ἐς στῆθος, ἢ βὴξ ἰσχυρὴ γινομένη λύει. ἐὰν τουτέων μηδὲν γένηται λυομένης τῆς μανίης, στέρησις τοῦ ὀφθαλμοῦ γίνεται. ὁκόσοι ἐν τῇ γλώσσῃ παφλάζουσι τῶν χειλέων μὴ κρατέοντες, ἐὰν ταῦτα παύσηται, ἔμπυοι γίνονται. ἢ ὀδύνη ἰσχυρὴ ἐν τοῖς κάτω χωρίοις λύει. ἢ κυφότης. ἢ αἷμα πολὺ ἐκ τῶν ῥινῶν ῥυέν. ἢ μανίη τοῦ μεγάλου νοσήματος, ἐν ἔδει γινομένου λύσις. ὅσοις ἐν τοῖσι καύσοισιν ἰσχίων ὀδύνη. ὀφθαλμῶν διαστροφὴ ἢ τύφλωσις. ἢ ὀρχέων οἰδήσεις. ἢ τιτθῶν ἄρσις. καῦσον λύει. ἢ καὶ αἵματος ἐκ ῥινῶν ῥύσις. ἐν καύσῳ ἐὰν ἐπιλάβῃ ῥῖγος, φιλεῖ ἐξιδροῦν. ὑπὸ καύσου ἐχομένῳ, ῥίγεος ἐπιγινομένου λύσις. ὅσοις ἐν τοῖσι καύσοισι τρόμοι ἐγγίνονται παρακοπὴ λύει. ὅσοις ἂν ἐν τοῖς πυρετοῖς τὰ ὦτα κωφωθῇ, τουτέοισι μὴ λυθέντος τοῦ πυρετοῦ, μανῆναι ἀνάγκη. λύει δὲ ἐκ τῶν ῥινῶν αἷμα ῥυέν. ἢ κοιλίη ἐκταραχθεῖσα χολώδεα. ἢ δυσεντερίη ἐπιγινομένη. ἢ ὀδύνη ἰσχίων, ἢ γονάτων. ὅσοισι πυρετοῖσι ῥῖγος ἐπιγένηται, ὁ πυρετὸς λύεται. ὅσοισιν ὀδύναι γίνονται ἐξαπίνης, τὸ ὑποχόνδριον ἀπῆρται ἄνω. καὶ ἐὰν περὶ τὴν νόθον πλευρὴν περισκελέες αἱ ὀδύναι γίνονται, τουτέοισι λύσις φλεβοτομίη καὶ κάθαρσις κάτω. οὐ γὰρ λαμβάνει πυρετὸς ἰσχυρὸς ἀδυνατούντων τῶν χωρίων. ὑπὸ ὕδρωπος ἐχομένων κατὰ τὰς φλέβας ἐς τὴν κύστιν ἢ κοιλίην ὑδατώδεος ῥυέντος, λύσις. ἢν ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ διάρροια ἐπιγίνηται ἰσχυρή, λύσις. ὅσοι ὑπὸ διαρροίης πολλὸν χρόνον λαμβάνονται ξὺν βηχί, οὐκ ἀπαλλάσσονται, ἐὰν μὴ ὀδύναι ἰσχυραὶ ἐν τοῖς ποσὶν ἐμπέσωσιν. εἰ βούλεται διαστροφὴ γίνεσθαι φύσιος ἐπειδὰν μὴ διαρροίαις, ἢ κενὴν διαχώρησιν πρὸς πᾶσαν λάβῃ. ἐπιγίνονται γὰρ φῦσαι ἔξωθεν οὖσαι. δῆλον πίνειν οὐκ ἔχουσιν οὐδὲν ὑγρόν, ὥστε προσφέρειν εἰδήσει τὰ ἀσφαλέως ἔχοντα οὕτως ἔχοντι. εἰ λὺγξ ἐπιγινομένου, οἶνον ψυχρὸν δίδου πίνειν πουλὺν ἄκρατον κατ᾽ ὀλίγον ἕως ὕπνος ἢ σκελέων ὀδύνη γίνεται. λύει δὲ καὶ πυρετὸς ἢ δυσεντερίη. κεφαλὴν περιωδυνῶντι καὶ νοσέοντι πύου ῥέοντος ἢ κατὰ τὰ ὦτα ἢ κατὰ τὰς ῥῖνας, λύει τὸ νόσημα. ὁκόσοισιν ὑγιαίνουσιν ἐξαπίνης ὀδύναι ἐγγίνονται ἐν ταῖς κεφαλαῖς, καὶ παραχρῆμα ἄφωνοι γίνονται, καὶ ῥέγκουσιν, ἀπόλλυνται ἐν ἑπτὰ ἡμέραις, ἐὰν μὴ πυρετὸς ἐπιλάβῃ. κεφαλὴν περιωδυνέοντι ὅ,τι ἂν τῶν ἄνω χωρίων πονήσῃ, σικύην πρόσβαλε, λύει ὀδύνας ἐς ἰσχία καὶ γούνατα καὶ ἆσθμα, ὅ,τι ἂν τουτέων γίνηται. ὀφθαλμιῶντι ὑπὸ διαρροίης ἁλῶναι, ἀγαθόν. ὑπὸ σπασμοῦ ἢ τετάνου ἐχομένῳ, πυρετὸς ἐπιγινόμενος, λύει τὸ νόσημα. ὑπὸ πυρετοῦ ἐχομένῳ σπασμὸς ἢν λάβῃ, παύεται ὁ πυρετὸς αὐθημερόν, ἢ τῇ ὑστεραίῃ, ἢ τῇ τρίτῃ. ὁπόταν ξυντεταμένος τὰς χεῖρας καὶ τοὺς πόδας, μανίην ἐμποιέουσιν. ἢν αἱ φλέβες σφύζωσιν αἱ ἐν ταῖς χερσίν, καὶ τὸ πρόσωπον ἐρρωμένον ᾖ, καὶ τὰ ὑποχόνδρια μὴ μαλακά, ἀλλὰ ἐπηρμένα ᾖ, χρονίη ἡ νοῦσος ἄνευ τοῦ σπασμοῦ.

Ἐγὼ μέρος ἡγέομαι τῆς τέχνης εἶναι, τὸ, δύνασθαι κατασκοπέεσθαι περὶ τῶν γεγραμμένων ὀρθῶς. ὁ γὰρ γνοὺς καὶ χρεόμενος τούτοισιν, οὐκ ἄν μοι δοκέει μέγα M σφάλλεσθαι κατὰ τὴν τέχνην. δεῖ δὴ καταμανθάνειν τὴν κατάστασιν τῶν ὡρέων ἀκριβῶς, καὶ τῶν νούσων. ἑκάστου ὅ, τι νόσημα ἀγαθὸν, καὶ ὅ, τι κινδυνῶδες, ἢ ἐν τῇ καταστάσει, ἢ ἐν τῇ νούσῳ. μακρὸν, ὅ, τι νούσημα καὶ θανάσιμον. μακρὸν, ὅ, τι περιεστικόν. ὀξὺ, ὅ, τι θανάσιμον. ὀξὺ, ὅ, τι περιεστικόν. τάξιν τῶν κρισίμων ἐκ τουτέων σκοπέεσθαι, καὶ τὸ προλέγειν ἐκ τούτων εὐπορέεται. ἔτι δὲ ἀπὸ τούτων ἔστιν οὓς, ὅτε, καὶ ὡς δεῖ διαιτῆν. μέγιστον τοίνυν σημεῖον ἐν τοῖσι μέλλουσι τῶν καμνόντων βιώσεσθαι, ἐὰν μὴ παρὰ φύσιν ᾖ ὁ καῦσος. καὶ τἄλλα δὲ νουσήματα ὡσαύτως. οὐδὲν γὰρ δεινὸν τῶν κατὰ φύσιν γίνεται, οὐδὲ θανατῶδες. δεύτερον δὲ ἐὰν αὐτή τε ἡ ὥρη τῷ νουσήματι ξυμμαχήσῃ. ὡς γὰρ ἐπὶ τὸ πολὺ οὐ νικᾷ ἡ τοῦ ἀνθρώπου φύσις τὴν τοῦ ὅλου δύναμιν. ἔπειτα δὲ ἢν τὰ περὶ τὸ πρόσωπον ἰσχναίνηται, καὶ αἱ φλέβες αἱ ἐν τῇσιν χερσὶ, καὶ ἐν τοῖσι κανθοῖσι, καὶ ἐπὶ τῇσιν ὀφρύσιν, ἡσυχίην ἔχωσι, πρότερον μὴ ἡσυχάζουσαι. τούτῳ δὲ ἢν ἡ φωνὴ ἢ ἀσθενεστέρη, καὶ λειοτέρη γίνηται, καὶ τὸ πνεῦμα μανότερον καὶ λεπτότερον, ἐς τὴν ὑστεραίην ἡμέρην ἄνεσις τῆς νούσου. ταῦτα οὖν χρὴ σκοπεῖν, πρὸς τὰς κρίσιας, καὶ ἐς τὸ περιδίκρουν τῆς γλώττης ὥσπερ σιάλῳ λευκῷ ἐπαλείφεται, καὶ ἐν ἄκρῳ τῇ γλώττῃ, τοῦτο γὰρ γεγράψεται). ἧσσον δὲ εἰ μὲν οὖν σμικρὰ ταῦτα εἴη, ἐς τὴν τρίτην ἄνεσις τῆς νούσου. ἢν δέ τι παχύτερον, αὔριον. ἢν δέ τι παχύτερον, αὐθημερινόν. χρὴ δὲ ὁκόταν τῶν ὀφθαλμῶν τὰ λευκὰ ἐν ἀρχῇ μὲν τῆς νούσου, ἀνάγκη μελαίνεσθαι, ἐὰν ἰσχυρὴ ἡ νοῦσος. ταῦτα οὖν καθαρὰ γινόμενα, τελείην ὑγείην δηλοῖ. ἀτρέμα μὲν βραδύτερον. σφόδρα δὲ γινόμενον, θᾶσσον.

Τὰ δὲ ὀξέα τῶν νοσημάτων γίνεται ἀπὸ χολῆς, ὁκόταν ἐπὶ τὸ ἧπαρ ἐπιῤῥυῇ, καὶ ἐς τὴν κεφαλὴν καταστῇ. τάδε οὖν πάσχει. τὸ ἧπαρ οἰδέει καὶ ἀναπτύσσεται πρὸς τὰς φρένας ὑπὸ τοῦ οἰδήματος. καὶ εὐθὺς ἐς τὴν κεφαλὴν ὀδύνη ἐμπίπτει. μάλιστα δὲ ἐς τοὺς κροτάφους. καὶ τοῖσί τε ὠσὶν, οὐκ ὀξὺ ἀκούει. πολλάκις δὲ καὶ τοῖσι ὀφθαλμοῖσι οὐχ ὁρῇ. καὶ φρίκη καὶ πυρετὸς ἐπιλαμβάνει. ταῦτα μὲν οὖν κατ᾽ ἀρχὰς τοῦ νοσήματος αὐτέῳ γίνεται διαλιμπάνοντα. τότε μὲν σφόδρα. τότε δὲ ἧσσον. ὁκόσῳ δ᾽ ἂν ὁ χρόνος τῆς νούσου προΐῃ, ὅ, τε πόνος πλείων ἐν τῷ σώματι, καὶ αἱ κόραι σκίδνανται τῶν ὀφθαλμῶν, καὶ σκιαυγεῖ. καὶ ἢν προσφέρῃς τὸν δάκτυλον πρὸς τοὺς ὀφθαλμοὺς, οὐκ αἰσθήσεται διὰ τὸ μὴ ὁρῇν. γνοίης δ᾽ ἂν ὅτι οὐχ ὁρῇ, οὐ γὰρ σκαρδαμύσσει προσφερομένου τοῦ δακτύλου. καὶ τὰς κροκύδας ἀφαιρέει ἀπὸ τῶν ἱματίων, ἤν περ ἴδῃ, δοκέων φθεῖρας εἶναι. καὶ ὁκόταν τὸ ἧπαρ μᾶλλον ἀναπτυχθῇ πρὸς τὰς φρένας, παραφρονέει. καὶ προσφαίνεσθαί οἱ δοκέει πρὸ τῶν ὀφθαλμῶν, ἑρπετὰ καὶ ἄλλα παντοδαπὰ θηρία. καὶ ὁπλίτας μαχομένους, καὶ αὐτὸς αὐτοῖς δοκέει μάχεσθαι. καὶ τοιαῦτα λέγει ὡς ὁρέων, καὶ ἐπέρχεται, καὶ ἀπειλεῖ, ἢν μή τις αὐτὸν ἐάσῃ διεξιέναι. καὶ ἢν ἀναστῇ, οὐ δύναται αἴρειν τὰ σκέλεα, ἀλλὰ πίπτει. οἱ πόδες δὲ γίνονται αἰεὶ ψυχροί. καὶ ὁκόταν καθεύδῃ, ἀναΐσσει ἀπὸ τοῦ ὕπνου, καὶ ἐνύπνια ὁρῇ φοβερά. γινώσκομεν δὲ ὅτι ἀπὸ ἐνυπνίων ἀναΐσσει καὶ φοβέεται, ὅταν ἔννοος γένηται. ἀφηγέεται γὰρ τὰ ἐνύπνια τοιαῦτα ὁκοῖα καὶ τῷ σώματι ἐποίεέ τε καὶ τῇ γλώσσῃ ἔλεγε. ταῦτα μὲν οὖν ὧδε πάσχει. ἔστι δ᾽ ὅτε καὶ ἄφωνος γίνεται ὅλην τὴν ἡμέρην. καὶ τὴν νύκτα ἀναπνέων πουλὺ ἀθρόον πνεῦμα. ὅταν δὲ παύσηται παραφρονέων, εὐθὺς ἔννοος γίνεται. καὶ ἢν ἐρωτᾷ τις αὐτὸν, ὀρθῶς ἀποκρίνεται. καὶ γινώσκει πάντα τὰ λεγόμενα. εἶτα πάλιν ὀλίγῳ ὕστερον, ἐν τοῖσιν αὐτοῖσιν ἄλγεσι κεῖται. αὕτη ἡ νοῦσος, προσπίπτει μάλιστα ἐν ἀποδημίῃ. καὶ ἤν που ἐρήμην ὁδὸν βαδίσῃ. λαμβάνει δὲ καὶ ἄλλως.

Τέτανοι δύο ἢ τρεῖς, ἢν μὲν ἐπὶ τρώματι γένηται, πάσχει τάδε. αἱ γνάθοι πήγνυνται, ὥσπερ ξύλα. καὶ τὸ στόμα ἀνοίγειν οὐ δύνανται. καὶ οἱ ὀφθαλμοὶ δακρύουσι θαμινὰ καὶ ἑλκοῦνται. καὶ τὸ μετάφρενον πέπηγε. καὶ τὰ σκέλεα οὐ δύνανται ξυγκάμπτειν, οὐδὲ τὰς χεῖρας καὶ τὴν ῥάχιν. ὁκόταν δὲ θανατώδης ᾖ, τὸ ποτὸν καὶ τὰ βρώματα ἃ πρότερον ἐβεβρώκει ἀνὰ τὰς ῥῖνας ἐνίοτε ἐξέρχεται.

Ὁ δὲ ὀπισθότονος τὰ μὲν ἄλλα πάσχει διὰ πλῆθος τὰ αὐτά. γίνεται δὲ ὁκόταν τοὺς ἐν τῷ αὐχένι τένοντας τοὺς ὄπισθεν νοσήσῃ. νοσέει δὲ ἢ ἀπὸ συνάγχης, ἢ ἀπὸ σταφυλῆς, ἢ τῶν ἀντιβραγχίων ἐμπύων γινομένων. ἐνίοισι δὲ καὶ ἀπὸ κεφαλῆς πυρετῶν ἐπιγεγενημένων, σπασμὸς ἐπιγίνεται. ἤδη δὲ καὶ ὑπὸ τρωμάτων οὕτως ἕλκεται ἐς τοὔπισθεν. καὶ ὑπὸ τῆς ὀδύνης τὸ μετάφρενον πέπηγε. καὶ τὰ στήθεα οἰμώζει. οὕτως σπᾶται σφόδρα, ὥστε μόλις κατέχεσθαι ὑπὸ τῶν παρεόντων,

τον, καὶ

τῶν, μὴ ἐκ τῆς κλίνης ἐκπίπτειν. ὁ δὲ τέτανος οὗτος νόσος θανατώδης τῶν πρόσθεν. γίνεται δὲ ἀπὸ τῶν αὐτέων, καὶ σπᾶται πᾶν τὸ σῶμα ὁμοίως. Καῦσος δὲ τοῖσι προειρημένοισιν οὐχ ὁμοίως γίνεται. φύσει γὰρ ἅπαξ, ὡς ἠνάγκασθαι πυριάζεσθαι. διψῇ μὲν οὖν πολλὴ ἔχει τὸν ἄνθρωπον καὶ πυρετὸς σφοδρός. γλῶσσα δὲ ῥήγνυται, τρηχυνομένη, καὶ ξηρὴ γίνεται. καὶ τὸ χρῶμα αὐτῆς, τὸ μὲν πρῶτον ὠχρόν ἐστι, οἷον περ εἴωθε. προϊόντος δὲ τοῦ χρόνου, μελαίνεται. καὶ ἢν μὲν ἐν ἀρχῇσι μελαίνηται, θᾶσσον αἱ κρίσιες εἰσίν. ἢν δὲ ὕστερον, χρονιώτεραι. Ἰσχιάδες δὲ ἀπὸ τῶνδε μάλιστα γίνονται τοῖσι πολλοῖσιν, ἢν ἔλθῃ ἐν ἡλίῳ πουλὺν χρόνον, καὶ τὰ ἰσχία διαθερμανθῇ, καὶ τὸ ὑγρὸν ἀναξηρανθῇ, τὸ ἐνεὸν τοῖς ἄρθροισιν, ὑπὸ τοῦ καύματος. ὡς δ' ἀναξηραίνεται καὶ πήγνυται τόδε μέγα τεκμήριον. ὁ γὰρ νοσέων, ἐνστρέφεσθαι καὶ κινέειν τὰ ἄρθρα οὐ δύναται ὑπὸ τῆς ἀλγηδόνος τῶν ἄρθρων, καὶ τοῦ ξυμπεπηγέναι τοὺς σπονδύλους. ἀλγέει δὲ μάλιστα τὴν ὀσφῦν καὶ τοὺς σπονδύλους, τοὺς ἐκ τοῦ πλαγίου τῶν ἰσχίων, καὶ τὰ γούνατα. ἵσταται δὲ ἡ ὀδύνη πλεῖστον χρόνον ἐν τοῖσι βουβῶσιν, ἀλλὰ καὶ ἐν τοῖσιν ἰσχίοισιν, ὀξέη καὶ καυματώδης. καὶ ἤν τις αὐτὸν ἀνιστῇ, οὐ μετακινέεται. οἰμώζει δὲ ὑπὸ τῆς ἀλγηδόνος, ὅσον ἂν μέγιστον ὀδυνᾶται. ἐνίοτε δὲ καὶ σπασμὸς ἐπιγίνεται, καὶ ῥῖγος, καὶ πυρετός. γίνεται δὲ ἀπὸ χολῆς. γίνεται δὲ καὶ ἀπὸ αἵματος. καὶ ὀδύναι παραπλήσιοι ἀπὸ πάντων τῶν νουσημάτων. καὶ ῥῖγος καὶ πυρετὸς ἐνίοτε δὲ ἐπιλαμβάνει βληχρός. ἀλλὰ χρή, ὧδε μελετᾷν. Ἴκτερος δέ ἐστιν, ὀξὺς καὶ ταχέως ἀποκτείνων. ἡ χροιὴ δὲ ὅλη σιδιοειδής. σφόδρα δέ ἐστι χλωροτέρη, καθὰ καὶ οἱ σαῦροι οἱ χλωρότεροι. παρόμοιος δὲ οἱ ὁ χρὼς, καὶ ἐν τῷ οὔρῳ ὑφίσταται οἷον ὀρόβιον πυῤῥόν. καὶ πυρετὸς, καὶ φρίκη βληχρὴ ἔχει. ἐνίοτε δὲ καὶ τὸ ἱμάτιον οὐκ ἀνέχεται ἔχων, ἀλλὰ δάκνεται καὶ ξύεται τὰ ἔσωθεν, ἄσιτος ἐὼν τὰ ἔνδοθεν. ἔπειτα μύζει τὰ σπλάγχνα ὡς ἐπὶ τὸ πουλύ. καὶ ὁκόταν ἀνιστῇ τις αὐτὸν ἢ προσδιαλέγηται, οὐκ ἀνέχεται. οὗτος ὡς ἐπὶ τὸ πουλὺ θνήσκει ἐντὸς τεσσαρεσκαίδεκα ἡμερέων. ταύτας δὲ διαφυγὼν, ὑγιαίνει. Ἡ δὲ περιπλευμονίη, τάδε ποιέει. πυρετός τε ἰσχυρὸς ἴσχει. καὶ πνεῦμα πυκνὸν, καὶ θερμὸν ἀναπνέει. καὶ ἀπορίη καὶ ἀδυναμίη ἔχει. καὶ ῥιπτασμός. καὶ ὀδύναι περὶ τὴν ὠμοπλάτην, καὶ τὴν κληῗδα, καὶ τὸν τιτθόν. καὶ βάρος ἐν τοῖσι στήθεσι, καὶ παραφροσύναι. ἔστι δ' ὅτε καὶ ἀνώδυνός ἐστιν, ἕως ἂν ἄρξηται βήσσειν. πολυχρονιωτέρη δὲ ἐκείνης, καὶ χαλεπωτέρη. τὸ δὲ σίαλον, λευκὸν καὶ ἀφρῶδες πτύει τὸ πρῶτον. ἡ δὲ γλῶσσα, ξανθή. προϊόντος δὲ τοῦ χρόνου μελαίνεται. ἢν μὲν οὖν ἐν ἀρχῇ μελαίνοιτο, θᾶσσον αἱ ἀπαλλαγαί. ἢν δὲ ὕστερον, σχολαίτεραι. τελευτῶσαι δὲ καὶ ῥήγνυται ἡ γλῶσσα. κἢν περιθῇς τὸν δάκτυλον, ἔχεται. τὴν δὲ ἀπαλλαγὴν τῆς νούσου, σημαίνει ἡ γλῶσσα, ἅπερ καὶ ἐν τῇ πλευρίτιδι ὁμοίως. ταῦτα δὲ πάσχει ἡμέρας τεσσαρεσκαίδεκα τὸ ἐλάχιστον. τὸ πλεῖστον δὲ εἴκοσι καὶ μίαν. καὶ βήσσει τοῦτον τὸν χρόνον σφόδρα. καὶ καθαίρεται ἅμα τῇ βηχί. τὸ μὲν πρῶτον, πουλὺ καὶ ἀφρῶδες σίαλον. ἑβδόμῃ δὲ καὶ ὀγδόῃ, ὅταν ὁ πυρετὸς ἀκμάζῃ, καὶ ὑγρὰ εἴη ἡ περιπλευμονίη, παχύτερον. ἢν δὲ μὴ, οὔ. ἐνάτῃ δὲ καὶ δεκάτῃ, ὑπόχλωρον καὶ ὕφαιμον. δωδεκάτῃ δὲ μέχρι τῆς τεσσαρεσκαιδεκάτης πουλὺ καὶ πυῶδες. ὧν ὑγραί εἰσιν αἱ φυσικαὶ διαθέσεις τοῦ σώματος, καὶ ἡ νοῦσος ἰσχυρή. ὧν δὲ ἥτε φύσις καὶ ἡ στάσις τῆς νούσου ξηρὴ, ἧσσον οὗτοι. Περὶ δὲ κρισίμων ἡμερέων, ἤδη μέν μοι καὶ πρόσθεν λέλεκται. Κρίνονται δὲ οἱ πυρετοὶ, τεταρταῖοι. ἑβδομαῖοι. ἑνδεκαταῖοι. τεσσαρεσκαιδεκαταῖοι. ἑπτακαιδεκαταῖοι. εἰκοστῇ πρὸς τῇ μίᾳ. ἐκ δὲ τούτων τῶν ὀξέων, τριακοσταῖοι. εἶτα τεσσαρακοσταῖοι. εἶτα ἑξηκοσταῖοι. ὅταν δὲ τούτους τοὺς ἀριθμοὺς ὑπερβάλλῃ, χρονίη ἤδη γίνεται ἡ κατάστασις τῶν πυρετῶν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΑΦΟΡΙΣΜΟΙ

Τμῆμα πρῶτον.

Ὁ Βίος, βραχύς. ἡ δὲ τέχνη, μακρή. ὁ δὲ καιρὸς, ὀξύς. ἡ δὲ πεῖρα, σφαλερή. ἡ δὲ κρίσις, χαλεπή. δεῖ δὲ οὐ μόνον ἑωυτὸν παρέχειν τὰ δέοντα ποιεῦντα, ἀλλὰ καὶ τὸν νοσέοντα, καὶ τοὺς παρεόντας, καὶ τὰ ἔξωθεν. Ἐν τῇσι ταραχῇσι τῆς κοιλίης, καὶ τοῖσιν ἐμέτοισι, τοῖσιν αὐτομάτως γινομένοισιν, ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν. ἢν δὲ μὴ, τοὐναντίον. οὕτω δὲ καὶ κενεαγγείη. ἢν μὲν οἷα δεῖ γίγνεσθαι γίγνοιτο, ξυμφέρει τε καὶ εὐφόρως ἔχουσιν. ἢν δὲ μὴ, τοὐναντίον. ἐπιβλέπειν οὖν δεῖ, καὶ χώρην, καὶ ὥρην, καὶ ἡλικίην, καὶ νούσους ἐν ᾗσι δεῖ, ἢ οὔ.

Ἐν τοῖσι γυμναστικοῖσιν, αἱ ἐπ' ἄκρον εὐεξίαι σφαλεραί, ἢν ἐν τῷ ἐσχάτῳ ἔωσιν. οὐ γὰρ δύνανται μένειν ἐν τῷ αὐτέῳ, οὐδὲ ἀτρεμέειν. ἐπεὶ δὲ οὐκ ἀτρεμέουσιν, οὐκ ἔτι δύνανται ἐπὶ τὸ βέλτιον ἐπιδιδόναι. λείπεται οὖν ἐπὶ τὸ χεῖρον. τουτέων οὖν εἵνεκεν τὴν εὐεξίην λύειν ξυμφέρει μὴ βραδέως, ἵνα πάλιν ἀρχὴν ἀναθρέψιος λάβῃ τὸ σῶμα. μὴ δὲ τὰς ξυμπτώσιας ἐς τὸ ἔσχατον ἄγειν, σφαλερὸν γάρ. ἀλλ' ὁκοίη ἂν ἡ φύσις ᾖ τοῦ μέλλοντος ὑπομένειν, ἐς τοῦτο ἄγειν. ὡσαύτως δὲ καὶ αἱ κενώσιες αἱ ἐς τὸ ἔσχατον ἄγουσαι, σφαλεραί. καὶ πάλιν αἱ ἀναθρέψιες, αἱ ἐν τῷ ἐσχάτῳ ἐοῦσαι, σφαλεραί. Αἱ λεπταὶ καὶ ἀκριβέες δίαιται, καὶ ἐν τοῖσι μακροῖσιν αἰεὶ πάθεσι, καὶ ἐν τοῖσιν ὀξέσιν, οὗ μὴ ἐπιδέχεται, σφαλεραί. καὶ πάλιν αἱ ἐς τὸ ἔσχατον λεπτότητος ἀφιγμέναι δίαιται, χαλεπαί. καὶ γὰρ αἱ πληρώσιες αἱ ἐς τὸ ἔσχατον, ἀφιγμέναι, χαλεπαί. Ἐν τῇσι λεπτῇσι διαίτῃσιν, ἁμαρτάνουσιν οἱ νοσέοντες, διὸ μᾶλλον βλάπτονται. πᾶν γὰρ τὸ ἁμάρτημα ὃ ἂν γίνηται, μέγα γίνεται μᾶλλον, ἢ ἐν τῇσιν ὀλίγον ἁδροτέρῃσι διαίτῃσι. διὰ τοῦτο καὶ τοῖσιν ὑγιαίνουσι, σφαλεραὶ αἱ πάνυ λεπταὶ καὶ καθεστηκυῖαι, καὶ ἀκριβέες δίαιται, ὅτι τὰ ἁμαρτανόμενα, χαλεπώτερον φέρουσι. διὰ τοῦτο οὖν αἱ λεπταὶ καὶ ἀκριβέες δίαιται, σφαλεραὶ ἐς τὰ πλεῖστα τῶν μικρὸν ἁδροτέρων. Ἐς δὲ τὰ ἔσχατα νουσήματα, αἱ ἔσχαται θεραπεῖαι ἐς ἀκριβείην κράτισται. Ὅκου μὲν κάτοξυ τὸ νούσημα, αὐτίκα τοὺς ἐσχάτους πόνους ἔχει, καὶ τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι. ὅκου δὲ μή, ἀλλ' ἐνδέχεται ἁδροτέρως διαιτᾶν. τοσοῦτον ὑποκαταβαίνειν, ὁκόσον ἂν ἡ νοῦσος μαλθακωτέρη τῶν ἐσχάτων ᾖ. Ὁκόταν δὲ ἀκμάζῃ τὸ νούσημα, τότε λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι. Συντεκμαίρεσθαι δὲ χρὴ καὶ τὸν νοσέοντα εἰ ἐξαρκέσει τῇ διαίτῃ πρὸς τὴν ἀκμὴν τῆς νούσου. καὶ πότερον ἐκεῖνος ἀπαυδήσει πρότερον, καὶ οὐκ ἐξαρκέσει τῇ διαίτῃ, ἢ ἡ νοῦσος πρότερον ἀπαυδήσει καὶ ἀμβλυνεῖται. Ὁκόσοισι μὲν οὖν αὐτίκα ἡ ἀκμή, αὐτίκα λεπτῶς διαιτᾶν. ὁκόσοισι δὲ ἐς ὕστερον ἡ ἀκμή, ἐς ἐκεῖνο καὶ πρὸ ἐκείνου, μικρὸν ἀφαιρετέον. ἔμπροσθεν δὲ πιοτέρως διαιτᾶν, ὡς ἂν ἐξαρκέσῃ ὁ νοσέων. Ἐν δὲ τοῖσι παροξυσμοῖσιν, ὑποστέλλεσθαι χρή. τὸ προστιθέναι γὰρ βλάβη. καὶ ὁκόσα κατὰ περιόδους παροξύνεται, ἐν τοῖσι παροξυσμοῖσι ὑποστέλλεσθαι χρή. Τοὺς δὲ παροξυσμοὺς καὶ τὰς καταστάσιας δηλώσουσιν αἱ νοῦσοι, καὶ αἱ ὧραι τοῦ ἔτεος, καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἀνταποδόσιες, ἤν τε καθ' ἡμέρην, ἤν τε παρ' ἡμέρην, ἤν τε καὶ διὰ πλείονος χρόνου γίγνωνται. ἀτὰρ καὶ τοῖσιν ἐπιφαινομένοισιν, οἷον ἐν πλευριτικοῖσι, πτύελον, ἢν αὐτίκα ἐπιφαίνεται, ἀρχομένου, βραχύνει. ἢν δ' ὕστερον ἐπιφαίνηται, μηκύνει. καὶ οὖρα καὶ ὑποχωρήματα καὶ ἱδρῶτες, καὶ δύσκριτα καὶ εὔκριτα, καὶ βραχέα καὶ μακρὰ τὰ νοσήματα ἐπιφαινόμενα δηλοῖ.

Γέροντες, εὐφορώτατα νηστείην φέρουσι. δεύτερον, οἱ καθεστηκότες. ἥκιστα, μειράκια. πάντων δὲ μάλιστα, παιδία. τουτέων δὲ αὐτέων ἃ ἂν τύχῃ αὐτὰ ἑωυτῶν προθυμότερα ἐόντα.

Τὰ αὐξανόμενα, πλεῖστον ἔχει τὸ ἔμφυτον θερμόν. πλείστης οὖν δέεται τροφῆς. εἰ δὲ μή, τὸ σῶμα ἀναλίσκεται. γέρουσι δὲ ὀλίγον τὸ θερμόν, διὰ τοῦτο ἄρα ὀλίγων ὑπεκκαυμάτων δέονται. ὑπὸ πολλῶν μὲν γὰρ ἀποσβέννυνται. διὰ τοῦτο καὶ οἱ πυρετοὶ τοῖσι γέρουσιν οὐχ ὁμοίως ὀξέες. ψυχρὸν γὰρ τὸ σῶμα. Αἱ κοιλίαι χειμῶνος καὶ ἦρος, θερμόταται φύσει, καὶ ὕπνοι μακρότατοι. ἐν ταύτῃσιν οὖν τῇσιν ὥρῃσι, καὶ τὰ προσάρματα πλείω δοτέον. καὶ γὰρ τὸ ἔμφυτον θερμὸν, πλεῖον ἔχει. τροφῆς οὖν πλείονος δέονται. σημεῖον, αἱ ἡλικίαι καὶ οἱ ἀθληταί. Αἱ ὑγραὶ δίαιται, πᾶσι τοῖσι πυρεταίνουσι ξυμφέρουσι. μάλιστα δὲ παιδίοισι καὶ τοῖσιν ἄλλοισι τοῖσι οὕτως εἰθισμένοισι διαιτᾶσθαι. Καὶ οἷσι ἅπαξ ἢ δίς, καὶ πλείω ἢ ἐλάσσω, καὶ κατὰ μέρος. δοτέον δέ τι καὶ τῷ ἔθει, καὶ τῇ ὥρῃ, καὶ τῇ χώρῃ, καὶ τῇ ἡλικίῃ. Θέρεος καὶ φθινοπώρου σιτία δυσφορώτατα φέρουσι. χειμῶνος, ῥήϊστα. ἦρος, δεύτερον. Τοῖσιν ἐν τῇσι περιόδοισι παροξυνομένοισι, μηδὲν διδόναι, μηδ' ἀναγκάζειν, ἀλλ' ἀφαιρέειν τῶν προσθεσίων πρὸ τῶν κρισίων. Τὰ κρινόμενα καὶ τὰ κεκριμένα ἀρτίως, μὴ κινέειν, μηδὲ νεωτεροποιέειν, μήτε φαρμακίοισι, μήτ' ἄλλοισιν ἐρεθισμοῖσιν, ἀλλ' ἐᾶν. Ἃ δεῖ ἄγειν, ὅκου ἂν μάλιστα ῥέπῃ, ταύτῃ ἄγειν, διὰ τῶν ξυμφερόντων χωρίων. Πέπονα φαρμακεύειν καὶ κινέειν, μὴ ὠμά, μηδὲ ἐν ἀρχῇσιν, ἢν μὴ ὀργᾷ. τὰ δὲ πλεῖστα οὐκ ὀργᾷ. Τὰ χωρέοντα, μὴ τῷ πλήθει τεκμαίρεσθαι, ἀλλ' ὡς ἂν χωρέῃ οἷα δεῖ καὶ φέρῃ εὐφόρως. καὶ ὅκου δεῖ μέχρι λειποθυμίης ἄγειν. καὶ τοῦτο ποιέειν, ἢν ἐξαρκέῃ ὁ νοσέων. Ἐν τοῖσιν ὀξέσι πάθεσιν, ὀλιγάκις καὶ ἐν ἀρχῇσι τῇσι φαρμακίῃσι χρέεσθαι.

καὶ τοῦτο

καὶ τοῦτο προεξευκρινήσαντας ποιέειν. Ἢν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσι. τὰ δ' ἐναντία, δυσχερῶς.

Τμῆμα δεύτερον.

Ἐν ᾧ νοσήματι ὕπνος πόνον ποιέει, θανάσιμον. ἢν δὲ ὕπνος ὠφελέῃ, οὐ θανάσιμον. Ὅκου παραφροσύνην ὕπνος παύει, ἀγαθόν. Ὕπνος, ἀγρυπνίη, ἀμφότερα τοῦ μετρίου μᾶλλον γινόμενα, κακόν. Οὐ πλησμονή. οὐ λιμός. οὐδ' ἄλλο οὐδὲν ἀγαθόν, ὅ, τι ἂν μᾶλλον τῆς φύσιος ᾖ.

Κόποι αὐτόματοι, φράζουσι νόσους. Ὁκόσοι πονέοντές τι τοῦ σώματος τὰ πολλὰ τῶν πόνων οὐκ αἰσθάνονται, τουτέοισιν ἡ γνώμη νοσέει. Τὰ ἐν πολλῷ χρόνῳ λεπτυνόμενα σώματα, νωθρῶς ἐπαναθρέφειν δεῖ. τὰ δὲ ἐν ὀλίγῳ, ὀλίγως. Ἢν ἐκ νούσου τροφὴν λαμβάνων μὴ ἰσχύῃ, σημαίνει ὅτι πλείονι τροφῇ τὸ σῶμα χρέεται. ἢν δὲ τροφὴν μὴ λαμβάνοντος τοῦτο γίγνηται, χρὴ εἰδέναι, ὅτι κενώσιος δέεται. Τὰ σώματα χρὴ ὅκου τις βούλεται καθαίρεσθαι, εὔροα ποιέειν. Τὰ μὴ καθαρὰ τῶν σωμάτων, ὁκόσῳ ἂν θρέψῃς μᾶλλον, βλάψεις. Ῥᾷον πληροῦσθαι ποτοῦ ἢ σιτίου. Τὰ ἐγκαταλιμπανόμενα ἐν τῇσι νούσοισι μετὰ κρίσιν, ὑποστροφὰς ποιέειν εἴωθεν. Ὁκόσοισι κρίσις γίνεται, τουτέοισιν ἡ νὺξ δύσφορος, ἡ πρὸ τοῦ παροξυσμοῦ. ἡ δὲ ἐπιοῦσα, εὐφορωτέρη ὡς ἐπὶ τὸ πολύ. Ἐν τῇσι τῆς κοιλίης ῥύσεσιν, αἱ μεταβολαὶ τῶν διαχωρημάτων ὠφελέουσιν, ἢν μὴ ἐς τὰ πονηρὰ μεταβάλλῃ. Ὅκου φάρυγξ νοσέει, ἢ φύματα ἐν τῷ σώματι φύεται, τὰς ἐκκρίσιας σκέπτεσθαι. ἢν γὰρ χολώδεες ἔωσι, τὸ σῶμα ξυννοσέει. ἢν δὲ ὅμοιαι τοῖσιν ὑγιαίνουσι γίγνωνται, ἀσφαλὲς τὸ σῶμα τρέφειν. Ὅκου λιμός, οὐ δεῖ πονέειν.

Ὅκου ἂν τροφὴ πλείων παρὰ φύσιν ἐσέλθῃ, τοῦτο νόσον ποιέει. δηλοῖ δὲ ἡ ἴησις. Τῶν τρεφομένων ἀθρόως καὶ ταχέως, ταχεῖαι καὶ διαχωρήσιες γίνονται. Τῶν ὀξέων νοσημάτων, οὐ πάμπαν ἀσφαλέες αἱ προδιαγορεύσιες, οὔτε τοῦ θανάτου, οὔτε τῆς ὑγιείης. Ὁκόσοισι νέοισιν ἐοῦσιν αἱ κοιλίαι ὑγραί εἰσι, τουτέοισιν ἀπογηράσκουσιν ξηραίνονται. ὁκόσοισι δὲ νέοισιν ἐοῦσιν αἱ κοιλίαι ξηραί εἰσι, τουτέοισι πρεσβυτέροισι γινομένοισιν ὑγραίνονται. Λιμόν, θώρηξις λύει. ἀπὸ πλησμονῆς ὁκόσα ἂν νοσήματα γένηται, κένωσις ἰῆται. καὶ ὁκόσα ἀπὸ κενώσεως, πλησμονή. καὶ τῶν ἄλλων ἡ ὑπεναντίωσις. τὰ ὀξέα τῶν νοσημάτων, κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι. Τῶν ἑπτά, ἡ τετάρτη ἐπίδηλος. ἑτέρης ἑβδομάδος, ἡ ὀγδόη ἀρχή. θεωρητὴ δέ, ἡ ἑνδεκάτη. αὕτη γάρ ἐστι τετάρτη τῆς ἑτέρης ἑβδομάδος. θεωρητὴ δὲ πάλιν ἡ ἑπτακαιδεκάτη. αὕτη γάρ ἐστι τετάρτη, μὲν ἀπὸ τῆς ιδ', ἑβδόμη δέ, ἀπὸ τῆς ἑνδεκάτης. Οἱ θερινοὶ τεταρταῖοι, τὰ πολλὰ γίνονται βραχέες. οἱ δὲ φθινοπωρινοί, μακροί, καὶ μάλιστα οἱ πρὸς τὸν χειμῶνα συνάπτοντες. πυρετὸν ἐπὶ σπασμῷ βέλτιον γίνεσθαι, ἢ σπασμὸν ἐπὶ πυρετῷ. Τοῖσι μὴ κατὰ λόγον κουφίζουσιν, οὐ δεῖ πιστεύειν. οὐδὲ φοβεῖσθαι λίην τὰ μοχθηρὰ γινόμενα παραλόγως. τὰ γὰρ πολλὰ τῶν τοιουτέων ἐστίν, ἀβέβαια. καὶ οὐ πάνυ τι διαμένειν, οὐδὲ χρονίζειν εἴωθεν. Τῶν πυρεσσόντων μὴ παντάπασιν ἐπιπολαίως τὸ διαμένειν, καὶ μηδὲν ἐνδιδόναι τὸ σῶμα, ἢ καὶ συντήκεσθαι, μᾶλλον τοῦ κατὰ λόγον, μοχθηρόν. τὸ μὲν γάρ, μῆκος νόσου σημαίνει. τὸ δέ, ἀσθένειαν. ἀρχομένων τῶν νούσων, ἤν τι δοκέῃ κινέειν, κίνει. ἀκμαζουσέων δέ, ἡσυχίην ἔχειν βέλτιόν ἐστιν.

Περὶ τὰς ἀρχὰς καὶ τὰ τέλη πάντα ἀσθενέστατα. περὶ δὲ τὰς ἀκμάς, ἰσχυρότατα. Τῷ ἐξ ἀῤῥωστίης εὐσιτέοντι, μηδὲν ἐπιδιδόναι τὸ σῶμα, μοχθηρόν. Ὡς τὰ πολλὰ πάντες οἱ φαύλως ἔχοντες, κατ' ἀρχὰς μὲν εὐσιτέοντες καὶ μηδὲν ἐπιδιδόντες, πρὸς τῷ τέλει πάλιν ἀσιτέουσιν. οἱ δὲ κατ' ἀρχὰς μὲν ἀσιτέοντες ἰσχυρῶς, ὕστερον δὲ εὐσιτέοντες, βέλτιον ἀπαλλάσσουσιν. Ἐν πάσῃ νούσῳ, τό, ἐῤῥῶσθαι τὴν διάνοιαν, καὶ εὖ ἔχειν πρὸς τὰς προσφοράς, ἀγαθόν. τὸ δὲ ἐναντίον, κακόν. ἐν τῇσι νούσοισιν, ἧσσον κινδυνεύουσιν, οἷς ἂν οἰκείη τῆς φύσιος, καὶ τῆς ἕξιος, καὶ τῆς ἡλικίης καὶ τῆς ὥρης ἡ νοῦσος ᾖ μᾶλλον. ἢ οἷσιν ἂν μὴ οἰκείη κατά τι τουτέων. Ἐν πάσῃσι τῇσι νούσοισι, τὰ περὶ τὸν ὀμφαλὸν καὶ τὸ ἦτρον πάχος ἔχειν βέλτιόν ἐστι. τὸ δὲ σφόδρα λεπτὸν καὶ ἐκτετηκός, μοχθηρόν. ἐπισφαλὲς δὲ τὸ τοιοῦτον, καὶ πρὸς τὰς κάτω καθάρσιας. Οἱ ὑγιεινῶς ἔχοντες τὰ σώματα ἐν τῇσι φαρμακείῃσι καθαιρόμενοι, ἐκλύονται ταχέως. καὶ οἱ πονηρῇ τροφῇ χρεόμενοι. Οἱ εὖ τὰ σώματα ἔχοντες, φαρμακεύεσθαι ἐργώδεες. τὸ σμικρῷ χεῖρον καὶ πόμα καὶ σιτίον, ἥδιον δέ, τῶν βελτιόνων μέν, ἀηδεστέρων δέ, μᾶλλον αἱρετέον. Οἱ πρεσβῦται τῶν νέων, τὰ μὲν πολλὰ νοσέουσιν ἧσσον. ὅσα δ' ἂν αὐτέοισι χρόνια νοσήματα γένηται, τὰ πολλὰ ξυναποθνήσκει. Βράγχοι καὶ κόρυζαι

τοῖσι σφόδρα πρεσβύτῃσιν, οὐ παραπαίνονται. Οἱ ἐκλυόμενοι πολλάκις καὶ ἰσχυρῶς, ἄνευ φανερῆς προφάσιος, ἐξαπίνης τελευτῶσι. Λύειν ἀποπληξίην ἰσχυρὴν μὲν, ἀδύνατον· ἀσθενέα δὲ, οὐ ῥηΐδιον. Τῶν ἀπαγχομένων καὶ καταλυομένων, μηδέπω δὲ τεθνηκότων, οὐκ ἀναφέρουσιν, οἷσιν ἂν ἀφρὸς ᾖ περὶ τὸ στόμα. Οἱ παχέες σφόδρα κατὰ φύσιν, ταχυθάνατοι γίνονται μᾶλλον τῶν ἰσχνῶν. Τῶν ἐπιληπτικῶν τοῖσι νέοισιν, ἀπαλλαγὴν αἱ μεταβολαὶ μάλιστα τῆς ἡλικίης, καὶ τῶν χωρέων, καὶ τῶν βίων ποιέουσι. Δύο πόνων ἅμα γινομένων μὴ κατὰ τὸν αὐτὸν τόπον, ὁ σφοδρότερος, ἀμαυροῖ τὸν ἕτερον. Περὶ τὰς γενέσιας τοῦ πύου, οἱ πόνοι καὶ οἱ πυρετοὶ συμβαίνουσι μᾶλλον, ἢ γενομένου. Ἐν πάσῃ κινήσει τοῦ σώματος, ὁκόταν ἄρχηται πονέειν, τὸ διαναπαύειν εὐθὺς, ἄκοπον. Οἱ εἰθισμένοι τοὺς συνήθεας πόνους φέρειν, κἂν ὦσιν ἀσθενέες ἢ γέροντες, τῶν ἀσυνήθων ἰσχυρῶν τε καὶ νέων, ῥᾷον φέρουσι.

Τὰ ἐκ πολλοῦ χρόνου συνήθεα, κἂν ᾖ χείρω τῶν ἀσυνήθων, ἧσσον ἐνοχλεῖν εἴωθε· δεῖ οὖν καὶ ἐς τὰ συνήθεα μεταβάλλειν. Τὸ κατὰ πολὺ καὶ ἐξαπίνης κενοῦν, ἢ πληροῦν, ἢ θερμαίνειν, ἢ ψύχειν, ἢ ἄλλως ὁκωσοῦν τὸ σῶμα κινεῖν, σφαλερόν. καὶ πᾶν τὸ πολὺ, τῇ φύσει πολέμιον. τὸ δὲ κατ᾽ ὀλίγον, ἀσφαλές. καὶ ἄλλως, ἤν τις ἐξ ἑτέρου ἐφ᾽ ἕτερον μεταβαίνῃ. Πάντα κατὰ λόγον ποιέοντι, καὶ μὴ γινομένων τῶν κατὰ λόγον, μὴ μεταβαίνειν ἐφ᾽ ἕτερον, μένοντος τοῦ δόξαντος ἐξ ἀρχῆς. Ὁκόσοι τὰς κοιλίας ὑγρὰς ἔχουσιν, νέοι μὲν ὄντες, βέλτιον ἀπαλλάσσουσι, τῶν τὰς ξηρὰς ἐχόντων. ἐς δὲ τὸ γῆρας, χεῖρον ἀπαλλάσσουσι. ξηραίνονται γὰρ, ὡς ἐπιτοπολὺ, τοῖσιν ἀπογηράσκουσι. Μεγέθει δὲ σώματος, ἐννεάσαι μὲν, ἐλευθέριον καὶ οὐκ ἀηδές. ἐγγηρᾶσαι δὲ, δύσχρηστον καὶ χεῖρον τῶν ἐλασσόνων.

Τμῆμα τρίτον.

Αἱ μεταβολαὶ τῶν ὡρέων, μάλιστα τίκτουσι νοσήματα. καὶ ἐν τῇσιν ὥρῃσιν αἱ μεγάλαι μεταλλαγαὶ ἢ ψύξιος ἢ θάλψιος, καὶ τ᾽ ἄλλα κατὰ λόγον οὕτως. Τῶν φύσεων, αἱ μὲν, πρὸς θέρος. αἱ δὲ, πρὸς χειμῶνα, εὖ ἢ κακῶς πεφύκασι. Τῶν νούσων ἄλλαι πρὸς ἄλλας, εὖ ἢ κακῶς πεφύκασι. καὶ ἡλικίαι τινὲς, πρὸς ὥρας καὶ χώρας, καὶ διαίτας. Ἐν τῇσιν ὥρῃσιν, ὅταν τῆς αὐτῆς ἡμέρης, ὁτὲ μὲν θάλπος, ὁτὲ δὲ ψῦχος γένηται, φθινοπωρινὰ τὰ νουσήματα προσδέχεσθαι χρή. Νότοι, βαρυήκοοι. ἀχλυώδεες. καρηβαρικοί. νωθροί. διαλυτικοί. ὁκόταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσιν ἀῤῥωστίῃσι πάσχουσιν. ἢν δὲ βόρειον ᾖ, βῆχες. φάρυγγες. κοιλίαι σκληραί. δυσουρίαι φρικώδεες. ὀδύναι πλευρέων, στηθέων. ὁκόταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσιν ἀῤῥωστίῃσι προσδέχεσθαι χρή. Ὁκόταν θέρος γένηται ἦρι ὅμοιον, ἱδρῶτας ἐν τοῖσι πυρετοῖσι πολλοὺς προσδέχεσθαι χρή. Ἐν τοῖσιν αὐχμοῖσι, πυρετοὶ ὀξέες γίνονται. καὶ ἢν μὲν ἐπὶ πλέον ᾖ τὸ ἔτος τοιοῦτον ἐὸν, οἵην τὴν κατάστασιν ἐποίησεν, ὡς ἐπὶ τοπουλὺ καὶ τὰ νουσήματα τοιαῦτα δεῖ προσδέχεσθαι. Ἐν τοῖσι καθεστεῶσι καιροῖσιν ἢν ὡραίως τὰ ὡραῖα ἀποδιδῶσιν, εὐσταθέες καὶ εὐκρινέες αἱ νοῦσοι γίνονται. ἐν δὲ τοῖσιν ἀκαταστάτοισιν, ἀκατάστατοι καὶ δύσκριτοι. Ἐν φθινοπώρῳ, ὀξύταται αἱ νοῦσοι, καὶ θανατωδέσταται τοὐπίπαν. ἦρ δὲ ὑγιεινότατον, καὶ ἥκιστα θανατῶδες. Τὸ φθινόπωρον, τοῖς φθίνουσι κακόν. Περὶ δὲ τῶν ὡρέων, ἢν μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δὲ ἔαρ ἔπομβρον καὶ νότιον, ἀνάγκη τοῦ θέρεος, πυρετοὺς ὀξέας, καὶ ὀφθαλμίας, καὶ δυσεντερίας γίνεσθαι, μάλιστα τῇσι γυναιξὶ, καὶ ἀνδρῶν τοῖσιν ὑγροῖσι τὰς φύσιας. Ἢν δὲ νότιος ὁ χειμὼν, καὶ ἔπομβρος καὶ εὐδιεινὸς γένηται, τὸ δὲ ἔαρ αὐχμηρὸν καὶ βόρειον, αἱ μὲν γυναῖκες ᾗσιν οἱ τόκοι πρὸς τὸ ἦρ, ἐκ πάσης προφάσιος ἐκτιτρώσκουσιν. αἱ δ᾽ ἂν τέκωσιν, ἀκρατέα καὶ νοσώδεα τὰ παιδία τίκτουσιν. ὥστε ἢ παραυτίκα ἀπόλλυσθαι, ἢ λεπτὰ καὶ νοσώδεα ζῆν ἐόντα. τοῖσι δὲ ἄλλοισι βροτοῖσι δυσεντερίαι καὶ ὀφθαλμίαι ξηραὶ γίνονται. τοῖσι δὲ πρεσβυτέροισι, κατάῤῥοιαι συντόμως ἀπολλύντες. Ἢν δὲ τὸ θέρος αὐχμηρὸν καὶ βόρειον γένηται. τὸ δὲ φθινόπωρον ἔπομβρον καὶ νότιον, κεφαλαλγίαι ἐς τὸν χειμῶνα γίνονται. καὶ βῆχες. καὶ βράγχοι. καὶ κόρυζαι. ἐνίοισι δὲ καὶ φθίσιες. Ἢν δὲ βόρειον ᾖ καὶ ἄνυδρον, τοῖσι μὲν ὑγροῖσιν ἐοῦσι τὰς φύσιας, καὶ τῇσι γυναιξὶ, ξύμφορον. τοῖσι δὲ λοιποῖσιν, ὀφθαλμίαι ἔσονται ξηραί. καὶ πυρετοὶ ὀξέες. καὶ κόρυζαι. ἐνίοισι δὲ καὶ μελαγχολίαι. Τῶν δὲ καταστασίων τοῦ ἐνιαυτοῦ, τὸ μὲν ὅλον οἱ αὐχμοὶ τῶν ἐπομβρίων εἰσὶν ὑγιεινότεροι, καὶ ἧσσον θανατώδεες. Νοσήματα δὲ ἐν μὲν τῇσιν ἐπομβρίῃσιν ὡς τὰ πολλὰ γίνεται, πυρετοί τε μακροὶ, καὶ κοιλίης ῥύσιες καὶ σηπεδόνες, καὶ ἐπίληπτοι, καὶ ἀπόπληκτοι, καὶ κυνάγχαι. ἐν δὲ τοῖσιν αὐχμοῖσι,

φθινώδεα, ὀφθαλμίαι. ἀρθρίτιδες. στραγγουρίαι. καὶ δυσεντερίαι. αἱ δὲ καθ' ἡμέρην καταστάσιες, αἱ μὲν βόρειοι, τά τε σώματα ξυνιστῶσι, καὶ εὔτονα, καὶ εὐκίνητα, καὶ εὔχροα, καὶ δυσηκοώτερα ποιέουσι. καὶ τὰς κοιλίας ξηραίνουσι. καὶ τὰ ὄμματα δάκνουσι. καὶ περὶ τὸν θώρηκα ἄλγημα ἤν τι προϋπάρχῃ, μᾶλλον πονέουσιν. αἱ δὲ νότιοι, διαλύουσι τὰ σώματα καὶ ὑγραίνουσιν, καὶ βαρυηκοΐας, καὶ καρηβαρείας, καὶ ἰλίγγους ποιέουσιν. ἐν δὲ τοῖσιν ὀφθαλμοῖσιν καὶ τοῖσι σώμασι, δυσκινησίην, καὶ τὰς κοιλίας ὑγραίνουσι. Κατὰ δὲ τὰς ὥρας, τοῦ μὲν ἦρος, καὶ ἄκρου τοῦ θέρεος, οἱ παῖδες καὶ οἱ τουτέων ἐχόμενοι τῇσιν ἡλικίῃσιν, ἄριστά τε διάγουσι καὶ ὑγιαίνουσι μάλιστα. τοῦ δὲ θέρεος καὶ τοῦ φθινοπώρου, μέχρι μέν τινος οἱ γέροντες. τὸ δὲ λοιπὸν τοῦ φθινοπώρου καὶ τοῦ χειμῶνος, οἱ μέσοι τῇσιν ἡλικίῃσι. Νοσήματα δὲ πάντα μὲν ἐν πάσῃσι τῇσιν ὥρῃσι γίνεται, μᾶλλον δ' ἔνια κατ' ἐνίας αὐτέων, καὶ γίνεται καὶ παροξύνεται. Τοῦ μὲν γὰρ ἦρος, τὰ μανικὰ καὶ τὰ μελαγχολικά. καὶ τὰ ἐπιληπτικά. καὶ αἱμάτων ῥύσιες καὶ κυνάγχαι. καὶ κόρυζαι. καὶ βράγχοι. καὶ λέπραι, καὶ βῆχες. καὶ λειχῆνες. καὶ ἀλφοί. καὶ ἐξανθήσιες ἑλκώδεες πλεῖσται. καὶ φύματα. καὶ ἀρθριτικά. Τοῦ δὲ θέρεος ἔνιά τε τουτέων, καὶ πυρετοὶ ξυνεχέες. καὶ καῦσοι. καὶ τριταῖοι πυρετοί, καὶ τεταρταῖοι, καὶ ἔμετοι, καὶ διάρροιαι, καὶ ὀφθαλμίαι, καὶ ὤτων πόνοι. καὶ στομάτων ἑλκώσιες. καὶ σηπεδόνες αἰδοίων. καὶ ἵδρωα. τοῦ δὲ φθινοπώρου καὶ τῶν θερινῶν τὰ πολλά. καὶ πυρετοὶ τεταρταῖοι. καὶ πλανῆτες, καὶ σπλῆνες. καὶ ὕδρωπες. καὶ φθίσιες. καὶ στραγγουρίαι. καὶ λειεντερίαι. καὶ δυσεντερίαι. καὶ ἰσχιάδες. καὶ κυνάγχαι. καὶ ἄσθματα. καὶ εἰλεοί. καὶ ἐπιληψίαι. καὶ τὰ μανικά. καὶ τὰ μελαγχολικά. τοῦ δὲ χειμῶνος, πλευρίτιδες. περιπλευμονίαι. λήθαργοι. κόρυζαι. βράγχοι. βῆχες. πόνοι στηθέων. πόνοι πλευρέων. ὀσφύος. κεφαλαλγίαι. ἴλιγγοι. ἀποπληξίαι. Ἐν δὲ τῇσιν ἡλικίῃσι τοιάδε ξυμβαίνει. τοῖσι μὲν σμικροῖσι καὶ νεογνοῖσι παιδίοισιν, ἄφθαι. ἔμετοι. βῆχες. ἀγρυπνίαι. φόβοι. ὀμφαλοῦ φλεγμοναί. ὤτων ὑγρότητες. Πρὸς δὲ τὸ ὀδοντοφυεῖν προσάγουσιν, οὔλων ὀδαξυσμοί. πυρετοί. σπασμοί, διάρροιαι. καὶ μάλιστα, ὅταν ἀνάγωσι τοὺς κυνόδοντας. καὶ τοῖσι παχυτάτοισι τῶν παίδων, καὶ τοῖσι σκληρὰς τὰς κοιλίας ἔχουσι. πρεσβυτέροισι δὲ γινομένοισι, παρίσθμια. σπονδύλου τοῦ κατὰ τὸ ἰνίον, ἔσω ὤσιες. ἄσθματα. λιθιάσιες. ἕλμινθες στρογγύλαι. ἀσκαρίδες. ἀκροχορδόνες. σατυριασμοί. στραγγουρίαι. χοιράδες. καὶ τ' ἄλλα φύματα. μάλιστα δὲ τὰ προειρημένα. τοῖσι δὲ ἔτι πρεσβυτέροισι καὶ πρὸς τὴν ἥβην προσάγουσι, τουτέων τε τὰ πολλά, καὶ πυρετοὶ χρόνιοι μᾶλλον, καὶ ἐκ ῥινῶν αἵματος ῥύσιες. τὰ δὲ πλεῖστα τοῖσι παιδίοισι πάθεα κρίνεται. τὰ μὲν, ἐν τεσσαράκοντα ἡμέρῃσι. τὰ δὲ, ἐν ἑπτὰ μησί. τὰ δὲ, ἐν ἑπτὰ ἔτεσι. τὰ δὲ, πρὸς τὴν ἥβην προσάγουσιν. ὅσα δ' ἂν διαμείνῃ τοῖσι παιδίοισι, καὶ μὴ ἀπολυθῇ περὶ τὸ ἡβάσκειν. ἢ τῇσι θήλεσι περὶ τὰς τῶν καταμηνίων ῥήξιας, χρονίζειν εἴωθεν. τοῖσι δὲ νεηνίσκοισιν, αἵματος πτύσιες. φθίσιες. πυρετοὶ ὀξέες. ἐπιληψίαι, καὶ τ' ἄλλα νοσήματα. μάλιστα δὲ τὰ προειρημένα. Τοῖσι δὲ ὑπὲρ τὴν ἡλικίην ταύτην, ἄσθματα. πλευρίτιδες. περιπλευμονίαι. λήθαργοι. φρενίτιδες. καῦσοι. διάρροιαι χρόνιαι. χολέραι. δυσεντερίαι. λειεντερίαι. αἱμορροΐδες. τοῖσι δὲ πρεσβύτῃσι. δύσπνοιαι. κατάρροι βηχώδεες. στραγγουρίαι. δυσουρίαι. ἄρθρων πόνοι. νεφρίτιδες. ἴλιγγοι. ἀποπληξίαι. καχεξίαι, ξυσμοὶ τοῦ σώματος ὅλου. ἀγρυπνίαι. κοιλίης, καὶ ὀφθαλμῶν καὶ ῥινῶν ὑγρότητες. ἀμβλυωπίαι. γλαυκώσιες. βαρυηκοΐαι.

Τμῆμα τέταρτον.

Τὰς κυούσας φαρμακεύειν ἢν ὀργᾷ, τετράμηνα καὶ ἄχρι ἑπτὰ μηνῶν, ἧσσον δὲ παρὰ ταύτας. τὰ δὲ νήπια καὶ πρεσβύτερα, εὐλαβέεσθαι χρή. Ἐν τῇσι φαρμακείῃσι τοιαῦτα ἄγειν ἐκ τοῦ σώματος, ὁκοῖα καὶ αὐτόματα ἰόντα χρήσιμα. τὰ δὲ ἐναντίως ἰόντα, παύειν. Ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσι. τὰ δὲ ἐναντία, δυσχερῶς. Φαρμακεύειν θέρεος μὲν, μᾶλλον τὰς ἄνω. χειμῶνος δὲ, τὰς κάτω. Ὑπὸ κύνα καὶ πρὸ κυνός, ἐργώδεες αἱ φαρμακεῖαι. τοὺς ἰσχνοὺς τοὺς εὐημέας, ἄνω φαρμακεύειν, ὑποστελλομένους χειμῶνα. Τοὺς δὲ δυσημέας καὶ μέσως εὐσάρκους, κάτω ὑποστελλομένους θέρος. Τοὺς δὲ φθινώδεας ὑποστελλομένους τὰς ἄνω. Τοὺς δὲ μελαγχολικοὺς, ἁδροτέρως τὰς κάτω, τῷ αὐτῷ λογισμῷ τἀναντία προστιθείς. Φαρμακεύειν ἐν τοῖσιν λίην ὀξέσιν ἢν ὀργᾷ αὐθημερόν. χρονίζειν γὰρ ἐν τοῖσι τοιούτοισι κακόν. Ὁκόσοισι στρόφοι καὶ περὶ τὸν ὀμφαλὸν πόνοι,

καὶ

καὶ ὀσφύος ἄλγημα μὴ λυόμενον μήτε ὑπὸ φαρμακείης, μήτ᾽ ἄλλως ἐς ὕδρωπα ξηρὸν ἱδρύεται. ὁκόσοισι κοιλίαι λειεντεριώδεες, χειμῶνος φαρμακεύειν ἄνω, κακόν. πρὸς τοὺς ἐλλεβόρους τοῖσι μὴ ῥηϊδίως ἄνω καθαιρομένοισι, πρὸ τῆς πόσιος, προϋγραίνειν τὰ σώματα ἐν πλείονι τροφῇ καὶ ἀναπαύσει. Ἐπὴν πίῃ τις ἐλλέβορον, πρὸς μὲν τὰς κινήσιας τῶν σωμάτων μᾶλλον ἄγειν. πρὸς δὲ τοὺς ὕπνους καὶ μὴ κινήσιας, ἧσσον. δηλοῖ δὲ καὶ ἡ ναυτιλία, ὅτι κίνησις τὰ σώματα ταράσσει. Ἐπὴν βούλῃ μᾶλλον ἄγειν τὸν ἐλλέβορον, κίνει τὸ σῶμα. ἐπὴν δὲ παύσαι, ὕπνον ποίει καὶ μὴ κίνει. ἐλλέβορος ἐπικίνδυνος τοῖσι τὰς σάρκας ὑγιέας ἔχουσι. σπασμὸν γὰρ ἐμποιέει. ἀπυρέτῳ ἐόντι, ἀποσιτίη. καὶ καρδιωγμὸς, καὶ σκοτόδινος, καὶ στόμα ἐκπικρούμενον, ἄνω φαρμακείης δεῖσθαι σημαίνει. Τὰ ὑπὲρ τῶν φρενῶν ὀδυνήματα ἄνω φαρμακείην σημαίνει. ὁκόσα δὲ κάτω, κάτω. ὁκόσοι ἐν τῇσι φαρμακοποσίῃσι μὴ διψῶσι καθαιρόμενοι, οὐ παύονται πρὶν ἢ διψήσωσιν. ἀπυρέτοισιν ἐοῦσιν, ἢν γίνεται στρόφος, καὶ γουνάτων βάρος, καὶ ὀσφύος ἄλγημα, κάτω φαρμακείης δεῖσθαι σημαίνει.

Ὑποχωρήματα μέλανα οἱονεὶ αἷμα μέλαν ἀπὸ αὐτομάτου ἰόντα, καὶ ξὺν πυρετῷ καὶ ἄνευ πυρετοῦ κάκιστα. καὶ ὁκόσοισιν ἂν τὰ χρώματα πονηρότερα ᾖ, μᾶλλον κάκιον. σὺν φαρμάκῳ δὲ ἄμεινον. καὶ ὁκόσῳ ἂν πλείω χρώματα, οὐ πονηρά. Νοσημάτων ὁκόσων ἀρχομένων χολὴ μέλαινα ἢ ἄνω ἢ κάτω ἐπέλθῃ, θανάσιμον. Ὁκόσοισιν ἐκ νοσημάτων ὀξέων, ἢ ἐκ πολυχρονίων, ἢ ἐκ τρωμάτων, ἢ ἄλλως πῶς λεπτυνομένων χολὴ μέλαινα, ἢ ὁκοῖον αἷμα μέλαν ὑπέλθῃ, τῇ ὑστεραίῃ ἀποθνήσκουσι. Δυσεντερίη, ἢν ἀπὸ χολῆς μελαίνης ἄρξηται, θανάσιμον.

αἷμα ἄνω μὲν ὁκοῖον ἂν ᾖ, κακόν. κάτω δὲ, ἀγαθόν. καὶ τὰ μέλανα ὑποχωρέοντα, κακόν. Ἢν ὑπὸ δυσεντερίης ἐχομένῳ, ὁκοῖαι ἂν σάρκες ὑποχωρήσωσι, θανάσιμον. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν αἱμοῤῥαγέει πλῆθος ὁκοθενοῦν, ἐν τῇσιν ἀναλήψεσι, τουτέοισιν αἱ κοιλίαι καθυγραίνονται. Ὁκόσοισι χολώδεα τὰ διαχωρήματα, κωφώσιος γενομένης παύεται. καὶ ὁκόσοισι κώφωσις, χολωδέων γινομένων παύεται. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν ἑκταίοισιν ἐοῦσι ῥίγεα γίνονται δύσκριτα. Ὁκόσοισι παροξυσμοὶ γίνονται ἣν ἂν ὥρην ἀφῇ, ἐς τὴν αὔριον τὴν αὐτὴν ὥρην ἢν λάβῃ, δύσκριτα. τοῖσι κοπιώδεσιν ἐν τοῖσι πυρετοῖσιν, ἐς ἄρθρα καὶ παρὰ τὰς γνάθους μάλιστα ἀποστάσιες γίνονται. ὁκόσοισι δὲ ἀνισταμένοισιν ἐκ τῶν νόσων τι πονέσει, ἐνταῦθα ἀποστάσιες γίνονται. ἀτὰρ ἢν καὶ προπεπονηκός τι ᾖ πρὸ τοῦ νοσέειν, ἐνταῦθα στηρίζει ἡ νοῦσος. Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγγι πνὶξ ἐξαίφνης ἐπιστῇ, θανάσιμον. Ἢν ὑπὸ τοῦ πυρετοῦ ἐχομένῳ ὁ τράχηλος ἐξαίφνης ἐπιστραφῇ, καὶ μόλις καταπίνειν δύνηται, οἰδήματος μὴ ἐόντος ἐν τῷ τραχήλῳ, θανάσιμον. Ἱδρῶτες πυρεταίνουσιν ἢν ἄρξωνται, ἀγαθοὶ τριταῖοι. καὶ πεμπταῖοι. καὶ ἑβδομαῖοι. καὶ ἐναταῖοι, καὶ ἑνδεκαταῖοι. καὶ τεσσαρεσκαιδεκαταῖοι. καὶ ἑπτακαιδεκαταῖοι. καὶ μιῇ καὶ εἰκοστῇ. καὶ ἑβδόμῃ καὶ εἰκοστῇ. καὶ τριακοστῇ πρώτῃ. καὶ τριακοστῇ τετάρτῃ. οὗτοι γὰρ οἱ ἱδρῶτες, νούσους κρίνουσιν. οἱ δὲ μὴ οὕτως γινόμενοι, πόνον σημαίνουσι καὶ μῆκος νόσου, καὶ ὑποτροπιασμούς. Οἱ ψυχροὶ ἱδρῶτες, ξὺν μὲν ὀξεῖ πυρετῷ γινόμενοι, θάνατον. ξὺν πρηϋτέρῳ δὲ, μῆκος νόσου σημαίνουσι. Καὶ ὅκου ἔνι τοῦ σώματος ἱδρὼς, ἐνταῦθα φράζει τὴν νοῦσον. Καὶ ὅκου ἔνι τοῦ σώματος θερμὸν ἢ ψυχρὸν, ἐνταῦθα ἡ νοῦσος. Καὶ ὅκου ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ, καὶ ἢν τὸ σῶμα καταψύχηται. ἢ αὖθις θερμαίνηται, ἢ χρῶμα ἕτερον ἐξ ἑτέρου γίνηται, μῆκος νούσου σημαίνει. Ἱδρὼς πολὺς ἐξ ὕπνου ἄνευ τινὸς αἰτίης ἑτέρης γινόμενος, τὸ σῶμα σημαίνει ὅτι πλείονι τροφῇ χρέεται. ἢν δὲ τροφὴν μὴ λαμβάνοντι τοῦτο γίγνηται, σημαίνει ὅτι κενώσιος δέεται. Ἱδρὼς πολὺς ψυχρὸς ἢ θερμὸς αἰεὶ ῥέων, ὁ ψυχρὸς, μέζω. ὁ δὲ θερμὸς, ἐλάσσω, νοῦσον σημαίνει. οἱ πυρετοὶ ὁκόσοι μὴ διαλείποντες διὰ τρίτης, ἰσχυρότεροι γίνονται, ἐπικίνδυνοι. ὅτῳ δ᾽ ἂν τρόπῳ διαλείπωσι, σημαίνει ὅτι ἀκίνδυνοι. Ὁκόσοισι πυρετοὶ μακροὶ, τουτέοισι φύματα ἐς τὰ ἄρθρα. ἢ πόνοι ἐγγίνονται. Ὁκόσοισι φύματα ἐς τὰ ἄρθρα, ἢ πόνοι, ἐκ πυρετῶν γίνονται, οὗτοι σιτίοισι πλείοσι χρέονται. Ἢν ῥῖγος ἐπιπίπτῃ πυρετῷ μὴ διαλείποντι, ἤδη ἀσθενεῖ ἐόντι, θανάσιμον. αἱ ἀποχρέμψιες αἱ ἐν τοῖσι πυρετοῖσι μὴ διαλείπουσιν αἱ πελιδναὶ, καὶ αἱματώδεες, καὶ δυσώδεες, καὶ χολώδεες πᾶσαι κακαί. ἀποχωρεῦσαι δὲ καλῶς ἀγαθαί, καὶ κατὰ τὰς διαχωρήσιας, καὶ κατὰ τὰ οὖρα. ἢν δὲ μή τι τῶν συμφερόντων ἐκκρίνηται διὰ τῶν τόπων

τούτων, κακόν. Ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, ἢν τὰ μὲν ἔξω ψυχρὰ ᾖ, τὰ δὲ ἔνδον καίηται, καὶ δίψαν ἔχῃ, θανάσιμον. Ἐν μὴ διαλείποντι πυρετῷ, ἢν χεῖλος ἢ ὀφρὺς ἢ ὀφθαλμὸς ἢ ῥὶς διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ, ἀσθενέος ἐόντος τοῦ κάμνοντος, ὅ,τι ἂν τουτέων γένηται, ἐγγὺς ὁ θάνατος. Ὅκου ἐν πυρετῷ μὴ διαλείποντι δύσπνοια γένηται καὶ παραφροσύνη, θανάσιμον. Ἐν τοῖσι πυρετοῖσιν ἀποστήματα μὴ λυόμενα πρὸς τὰς πρώτας κρίσιας, μῆκος νόσου σημαίνει. ὁκόσοι ἐν τοῖσι πυρετοῖσιν ἢ ἐν τῇσιν ἄλλῃσιν ἀῤῥωστίῃσι κατὰ προαίρεσιν δακρύουσιν, οὐδὲν ἄτοπον. ὁκόσοι δὲ, μὴ κατὰ προαίρεσιν, ἀτοπώτερον. ὁκόσοισι δὲ ἐπὶ τῶν ὀδόντων ἐν τοῖσι πυρετοῖσι περίγλισχρα γίνεται, ἰσχυρότεροι γίνονται οἱ πυρετοί.

ὁκόσοισιν ἐπὶ πολὺ βῆχες ξηραὶ βραχέα ἐρεθίζουσαι ἐν πυρετοῖσι καυσώδεσιν, οὐ πάνυ διψώδεές εἰσιν. οἱ ἐπὶ βουβῶσι πυρετοὶ, πάντες κακοὶ, πλὴν τῶν ἐφημερῶν. πυρέσσοντι ἱδρὼς ἐπιγενόμενος, μὴ ἐκλείποντος τοῦ πυρετοῦ κακόν. μηκύνει γὰρ ἡ νοῦσος, καὶ ὑγρασίην πλείω σημαίνει. Ὑπὸ σπασμοῦ ἢ τετάνου ἐνοχλουμένῳ πυρετὸς ἐπιγενόμενος, λύει τὸ νόσημα. Ὑπὸ καύσου ἐχομένῳ ἐπιγενομένου ῥίγεος λύσις. Τριταῖος ἀκριβὴς κρίνεται ἐν ἑπτὰ περιόδοισι τὸ μακρότατον. ὁκόσοισιν ἂν ἐν τοῖσι πυρετοῖσι τὰ ὦτα κωφωθῇ, αἷμα ἐκ ῥινῶν ῥυὲν, ἢ κοιλίη ἐκταραχθεῖσα, λύει τὸ νούσημα. πυρέσσοντι ἢν μὴ ἐν περισσῇσιν ἡμέρῃσιν ἀφῇ ὁ πυρετὸς, ὑποστροπιάζειν εἴωθεν. ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν ἴκτεροι ἐπιγίνονται πρὸ τῶν ἑπτὰ ἡμερῶν, κακόν, ἢν μὴ ξυνδόσιες ὑγρῶν κατὰ τὴν κοιλίην γένωνται.

Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι καθ' ἡμέρην ῥίγεα γίνεται, καθ' ἡμέρην οἱ πυρετοὶ λύονται. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι, τῇ ἑβδόμῃ, ἢ τῇ ἐνάτῃ, ἢ τῇ τεσσαρεσκαιδεκάτῃ ἴκτεροι ἐπιγίνονται, ἀγαθὸν, ἢν μὴ τὸ δεξιὸν ὑποχόνδριον σκληρὸν ᾖ, ἢν δὲ μὴ, οὐκ ἀγαθόν. Ἐν τοῖσι πυρετοῖσι περὶ τὴν κοιλίην καῦμα ἰσχυρὸν, καὶ καρδιωγμὸς, κακόν. Ἐν τοῖσι πυρετοῖσι τοῖσιν ὀξέσιν, οἱ σπασμοὶ καὶ οἱ περὶ τὰ σπλάγχνα πόνοι ἰσχυροὶ, κακόν. Ἐν τοῖσι πυρετοῖσιν οἱ ἐκ τῶν ὕπνων φόβοι, ἢ σπασμοὶ, κακόν. Ἐν τοῖσι πυρετοῖσι τὸ πνεῦμα προσκόπτον, κακόν. σπασμὸν γὰρ σημαίνει. Ὁκόσοισιν οὖρα παχέα θρομβώδεα ὀλίγα οὐκ ἀπυρέτοισι, πλῆθος ἐπελθὸν ἐκ τουτέων λεπτὸν, ὠφελέει. μάλιστα δὲ τὰ τοιαῦτα ἔρχεται, οἷσιν ἐξ ἀρχῆς, ἢ διὰ ταχέων ὑπόστασιν ἴσχει. Ὁκόσοισι δὲ ἐν πυρετοῖσι τὰ οὖρα ἀνατεταραγμένα οἷον ὑποζυγίου, τουτέοισι κεφαλαλγίαι ἢ πάρεισιν ἢ παρέσονται. Ὁκόσοισιν ἑβδομαῖα κρίνεται, τουτέοισιν ἐπινέφελον ἴσχει τὸ οὖρον, τῇ τετάρτῃ ἐρυθρὸν, καὶ τ' ἄλλα κατὰ λόγον. Ὁκόσοισιν οὖρα διαφανέα λευκὰ, πονηρά. μάλιστα δὲ ἐν τοῖσι φρενιτικοῖσιν ἐπιφαίνεται. Ὁκόσοισιν ὑποχόνδρια μετέωρα διαβορβορίζοντα ὀσφύος ἀλγήματος ἐπιγενομένου, αἱ κοιλίαι τουτέοισι καθυγραίνονται, ἢν μὴ φῦσαι καταῤῥαγέωσιν, ἢ οὔρου πλῆθος ἐπέλθῃ. ἐν πυρετοῖσι δὲ ταῦτα. Ὁκόσοισιν ἐλπὶς ἐς ἄρθρα ἀφίστασθαι, ῥύεται τῆς ἀποστάσιος οὖρον πολὺ, κάρτα παχὺ, καὶ λευκὸν γινόμενον, οἷον ἐν τοῖσι κοπιώδεσι πυρετοῖσι τεταρταίοισιν ἄρχεται ἐνίοισι γίνεσθαι. ἢν δὲ καὶ ἐκ τῶν ῥινῶν αἱμοῤῥαγήσῃ, καὶ πάνυ ταχὺ λύεται. Ἢν αἷμα ἢ πύον οὐρέῃ, τῶν νεφρῶν, ἢ τῆς κύστιος ἕλκωσιν σημαίνει. Ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι σαρκία μικρὰ ὥσπερ τρίχες συνεξέρχονται, τουτέοισιν ἀπὸ τῶν νεφρῶν ἐκκρίνεται. Ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι πιτυρώδεα συνεξουρέεται, τουτέοισιν ἡ κύστις ψωριᾷ. Ὁκόσοι ἀπὸ τοῦ αὐτομάτου αἷμα οὐρέουσι, τουτέοισιν ἀπὸ τῶν νεφρῶν, φλεβίου ῥῆξιν σημαίνει. Ὁκόσοισιν ἐν τῷ οὔρῳ ψαμμώδεα ὑφίσταται, τουτέοισιν ἡ κύστις λιθιᾷ. Ἢν αἷμα οὐρέει καὶ θρόμβους, καὶ στραγγουρίην ἔχῃ, καὶ ὀδύνη ἐμπίπτῃ ἐς τὸ ὑπογάστριον καὶ ἐς τὸν περιτόναιον, τὰ περὶ τὴν κύστιν πονεῖ. Ἢν αἷμα καὶ πύον οὐρέῃ, καὶ λεπίδας, καὶ ὀσμὴ βαρέη ᾖ, τῆς κύστιος ἕλκωσιν σημαίνει. Ὁκόσοισιν ἐν τῇ οὐρήθρῃ φύματα φύεται, τουτέοισι διαπυήσαντος καὶ ἐκραγέντος, λύσις. οὔρησις νύκτωρ πολλὴ γινομένη, σμικρὴν τὴν ὑποχώρησιν σημαίνει.

Τμῆμα πέμπτον.

Σπασμὸς ἐξ ἐλλεβόρου, θανάσιμον. Ἐπὶ τρώματι σπασμὸς ἐπιγενόμενος, θανάσιμον. Αἵματος πολλοῦ ῥυέντος κάτω, σπασμὸς ἢ λυγμὸς ἐπιγενόμενος, κακόν. Ἐπὶ ὑπερκαθάρσει σπασμὸς ἢ λυγμὸς ἐπιγενόμενος, κακόν. Ἢν μεθύων ἐξαίφνης ἄφωνός τις γένηται, σπασθεὶς ἀποθνήσκει, ἢν μὴ πυρετὸς ἐπιλάβῃ, ἢ ἐς τὴν ὥρην ἐλθὼν, καθ' ἣν αἱ κραιπάλαι λύονται, φθέγξηται

του, φθέγξηται. Ὁκόσοι ὑπὸ τετάνου ἁλίσκονται, ἐν τέσσαρσιν ἡμέρῃσιν ἀπόλλυνται. ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίνονται. Τὰ ἐπιληπτικὰ ὁκόσοισι πρὸ τῆς ἥβης γίνεται, μετάστασιν ἴσχει. ὁκόσοισι δὲ πέντε καὶ εἴκοσιν ἐτέων γίνεται, τουτέοισι τὰ πολλὰ ξυναποθνήσκει. Ὁκόσοι πλευριτικοὶ γενόμενοι οὐκ ἀνακαθαίρονται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι, τουτέοισιν ἐς ἐμπύημα καθίσταται. Φθίσις γίνεται μάλιστα ἡλικίῃσι, τῇσιν ἀπὸ ὀκτωκαίδεκα ἐτέων μέχρι πέντε καὶ τριήκοντα ἐτέων. Ὁκόσοι κυνάγχην διαφεύγουσιν, ἐς τὸν πλεύμονα αὐτέοισι τρέπεται, καὶ ἐν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκουσιν. ἢν δὲ ταύτας διαφύγωσιν, ἔμπυοι γίνονται. Τοῖσιν ὑπὸ τῶν φθισίων ἐνοχλουμένοισιν, ἢν τὸ πτύσμα ὅπερ ἂν ἀποβήσσωσι βαρὺ ὄζῃ ἐπὶ τοὺς ἄνθρακας ἐπιχεόμενον, καὶ αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς ῥέωσι, θανατῶδες. Ὁκόσοισι φθισιῶσιν αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς ῥέωσιν, οὗτοι διαῤῥοίης ἐπιγενομένης, ἀποθνήσκουσιν. Ὁκόσοι αἷμα ἀφρῶδες ἀναπτύουσι, τουτέοισιν ἐκ τοῦ πλεύμονος ἡ τοιαύτη ἀναγωγὴ γίνεται. Ὑπὸ φθίσιος ἐχομένῳ, διάῤῥοια ἐπιγενομένη, θανατῶδες. Ὁκόσοι ἐκ πλευρίτιδος ἔμπυοι γίνονται, ἢν ἀνακαθαρθῶσιν ἐν τεσσαράκοντα ἡμέρῃσιν, ἀφ' ἧς ἂν ἡ ῥῆξις γίνηται, παύονται. ἢν δὲ μὴ, ἐς φθίσιν μεθίστανται. Τὸ θερμὸν βλάπτει ταῦτα, πλεονάκις χρεομένοισι. σαρκῶν ἐκθήλυνσιν. νεύρων ἀκράτειαν. γνώμης νάρκωσιν. αἱμοῤῥαγίας. λειποθυμίας. ταῦτα οἷσι θάνατος. τὸ δὲ ψυχρὸν, σπασμοὺς. τετάνους. μελασμοὺς, καὶ ῥίγεα πυρετώδεα. τὸ ψυχρὸν πολέμιον, ὀστέοισιν. ὀδοῦσι. νεύροις. ἐγκεφάλῳ. νωτιαίῳ μυελῷ. τὸ δὲ θερμὸν, ὠφέλιμον. ὁκόσα κατέψυκται, ἐκθερμαίνειν. πλὴν ὁκόσα αἱμοῤῥαγέειν μέλλει. Ἕλκεσι τὸ μὲν ψυχρὸν δακνῶδες. δέρμα περισκληρύνει. ὀδύνην ἀνεκπύητον ποιέει. μελαίνει. ῥίγεα πυρετώδεα ποιεῖ. σπασμοὺς καὶ τετάνους. Ἔστι δὲ ὅκου ἐπὶ τετάνου ἄνευ ἕλκεος νέῳ εὐσάρκῳ θέρεος μέσου, ψυχροῦ πολλοῦ κατάχυσις, ἐπανάκλησιν θέρμης ποιέεται. θέρμη δὲ ταῦτα ῥύεται. τὸ θερμὸν ἐκπυητικὸν, οὐκ ἐπὶ παντὶ ἕλκει, μέγιστον σημεῖον ἐς ἀσφάλειαν. δέρμα μαλάσσει. ἰσχναίνει. ἀνώδυνον. ῥιγέων, σπασμῶν, τετάνων, παρηγορικόν. τὴν δὲ ἐν τῇ κεφαλῇ καρηβαρίην λύει. πλεῖστον δὲ διαφέρει ὀστέων κατήγμασι. μάλιστα δὲ τοῖσιν ἐψιλωμένοισι. τουτέων δὲ μάλιστα, τοῖσιν ἐν κεφαλῇ ἕλκεα ἔχουσι. καὶ ὁκόσα ὑπὸ ψύξιος θνήσκει, ἢ ἑλκοῦται καὶ ἕρπησιν ἐσθιομένοισιν. ἕδρῃ. αἰδοίῳ. ὑστέρῃ. κύστει. τουτέοισι τὸ μὲν θερμὸν, φίλιον καὶ κρῖνον. τὸ δὲ ψυχρὸν, πολέμιον καὶ κτεῖνον. Ἐν τουτέοισι δεῖ τῷ ψυχρῷ χρέεσθαι, ὁκόθεν αἱμοῤῥαγέειν μέλλει, μὴ ἐπ' αὐτὰ, ἀλλὰ περὶ αὐτὰ ὁκόθεν ἐπιῤῥεῖ. καὶ ὁκόσαι φλεγμοναὶ, ἢ ἐπιφλογίσματα ἐς τὸ ἐρυθρὸν καὶ ὕφαιμον ῥέποντα αἵματι νεαρῷ, ἐπὶ ταῦτα. ἐπεὶ τά γε παλαιὰ, μελαίνει. καὶ ἐρυσίπελας τὸ μὴ ἑλκούμενον. ἐπεὶ τό γε ἑλκούμενον, βλάπτει. τὰ ψυχρὰ οἷον χιὼν, κρύσταλλος, τῷ στήθει πολέμια. βηχέων κινητικά. αἱμοῤῥοϊκά. καταῤῥοϊκά. τὰ δὲ ἐν ἄρθροισιν οἰδήματα καὶ ἀλγήματα, ἄτερ ἕλκεος, καὶ ποδαγρικὰ, καὶ σπάσματα, τουτέων τὰ πλεῖστα ψυχρὸν πολλὸν καταχεόμενον, ῥηΐζει τε καὶ ἰσχναίνει, καὶ ὀδύνην λύει. νάρκη δὲ μετρίη ὀδύνης λυτική. Ὕδωρ τὸ ταχέως θερμαινόμενον, καὶ ταχέως ψυχόμενον, κουφότατον. ὁκόσοισι δὲ πιεῖν ὀρέξιες νύκτωρ τοῖσι πάνυ διψῶσιν, ἢν ἐπικοιμηθῶσιν, ἀγαθόν. Γυναικείων ἀγωγὸν, ἡ ἐν ἀρώμασι πυρίη, πολλαχῇ δὲ καὶ ἐς ἄλλα χρησίμη ἂν ἦν, εἰ μὴ καρηβαρίας ἐποίει. τὰς κυούσας φαρμακεύειν, ἢν ὀργᾷ τετράμηνα, καὶ ἄχρι ἑπτὰ μηνῶν ἧσσον. τὰ δὲ νήπια καὶ πρεσβύτερα εὐλαβέεσθαι. γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ὑπό τινος τῶν ὀξέων νουσημάτων ληφθῆναι, θανατῶδες. γυνὴ ἐν γαστρὶ ἔχουσα φλεβοτομηθεῖσα ἐκτιτρώσκει, καὶ μᾶλλον εἰ μεῖζον εἴη τὸ ἔμβρυον. Γυναικὶ αἷμα ἐμεούσῃ τῶν καταμηνίων ῥαγέντων λύσις. Γυναικὶ τῶν καταμηνίων ἐκλιπόντων, αἷμα ἐκ τῶν ῥινῶν ῥυῆναι ἀγαθόν. Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ἢν ἡ κοιλίη πολλὰ ῥυῇ, κίνδυνος ἐκτρῶσαι. Γυναικὶ ὑπὸ ὑστερικῶν ἐνοχλουμένῃ ἢ δυστοκούσῃ, πταρμὸς ἐπιγινόμενος, ἀγαθόν. Γυναικὶ τὰ καταμήνια ἄχροα, καὶ μὴ κατὰ τὰ αὐτὰ αἰεὶ γινόμενα, καθάρσιος δεῖσθαι σημαίνει. γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ἢν οἱ μαστοὶ ἐξαίφνης ἰσχνοὶ γένωνται, ἐκτιτρώσκει. γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἢν ὁ ἕτερος μαστὸς ἰσχνὸς γένηται, δίδυμα ἐχούσῃ, θάτερον ἐκτιτρώσκει. καὶ ἢν μὲν ὁ δεξιὸς ἰσχνὸς γένηται, τὸ ἄρσεν. ἢν δὲ ὁ ἀριστερὸς, τὸ θῆλυ. Ἢν γυνὴ μὴ κύουσα, μὴ δὲ τετοκυῖα γάλα ἔχῃ, ταύτῃ τὰ καταμήνια ἐκλέλοιπε. γυναιξὶν ὁκόσῃσιν ἐς τοὺς τιτθοὺς αἷμα συστρέφεται, μανίην σημαίνει. γυναῖκα ἢν θέλῃς εἰδέναι εἰ

κύει

κύει, ἐπὴν καθεύδῃ μέλλῃ, ἀδείπνῳ ἐούσῃ, μελίκρητον διδόναι πιεῖν. κἢν μὲν στρόφος αὐτὴν ἔχῃ περὶ τὴν γαστέρα, κύει. ἢν δὲ μὴ, οὐ κύει. Γυνὴ ἔγκυος ἢ μὲν ἄῤῥεν κύῃ, εὔχροος ἐστίν. ἢν δὲ θῆλυ, δύσχροος. Ἢν γυναικὶ κυούσῃ ἐρυσίπελας ἐν τῇ ὑστέρῃ γένηται, θανατῶδες. Ὁκόσαι παρὰ φύσιν λεπταὶ ἐοῦσαι ἐν γαστρὶ ἔχουσιν, ἐκτιτρώσκουσιν δίμηνα πρὶν ἢ παχυνθῆναι. Ὁκόσαι δὲ μετρίως τὸ σῶμα ἔχουσαι ἐκτιτρώσκουσι δίμηνα καὶ τρίμηνα ἄτερ προφάσιος φανερῆς, ταύτῃσιν αἱ κοτυληδόνες μύξης μεσταί εἰσιν. καὶ οὐ δύνανται κρατέειν ὑπὸ τοῦ βάρους τὸ ἔμβρυον, ἀλλ' ἀποῤῥήγνυνται. Ὁκόσαι παρὰ φύσιν παχεῖαι ἐοῦσαι μὴ ξυλλαμβάνουσιν ἐν γαστρὶ, ταύτῃσι τὸ ἐπίπλοον τὸ στόμα τῶν ὑστερέων ἀποπιέζει. καὶ πρὶν ἢ λεπτυνθῆναι οὐ κύουσιν. Ἢν ὑστέρη ἐν τῷ ἰσχίῳ ἐγκειμένη διαπυήσῃ, ἀνάγκη ἔμμοτον γίνεσθαι. Ἔμβρυα τὰ μὲν ἄρσενα ἐν τοῖσι δεξιοῖσι, τὰ δὲ θήλεα ἐν τοῖσιν ἀριστεροῖσι μᾶλλον. Ὑστέρων ἐκπτώσιας πταρμικὸν προσθεὶς, ἐπιλαμβάνειν τοὺς μυκτῆρας καὶ τὸ στόμα. Γυναικὶ τὰ καταμήνια ἢν βούλῃ ἐπισχεῖν, σικύην ὡς μεγίστην πρὸς τοὺς τιτθοὺς πρόσβαλλε.

Ὁκόσαι ἐν γαστρὶ ἔχουσι, τουτέων τὸ στόμα τῶν ὑστέρων συμμέμυκεν. Ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ γάλα πουλὺ ἐκ τῶν μαζῶν ῥυῇ, ἀσθενὲς τὸ ἔμβρυον σημαίνει. ἢν δὲ στερεοὶ οἱ μαστοὶ ἔωσιν, ὑγιεινότερον τὸ ἔμβρυον σημαίνει. Ὁκόσαι διαφθείρειν μέλλουσι τὰ ἔμβρυα, ταύτῃσιν οἱ τιτθοὶ ἰσχνοὶ γίνονται. ἢν δὲ πάλιν σκληροὶ γένωνται, ὀδύνη ἔσται, ἢ ἐν τοῖσι τιτθοῖσιν, ἢ ἐν τοῖσιν ἰσχίοισιν, ἢ ἐν τοῖσιν ὀφθαλμοῖσιν, ἢ ἐν τοῖσι γούνασι, καὶ οὐ διαφθείρουσιν.

Ὁκόσῃσι τὸ στόμα τῶν ὑστερέων σκληρόν ἐστι, ταύτῃσιν ἀνάγκη τὸ στόμα τῶν ὑστερέων ξυμμύειν. Ὁκόσαι ἐν γαστρὶ ἔχουσαι ὑπὸ πυρετῶν λαμβάνονται, καὶ ἰσχυρῶς ἰσχναίνονται ἄνευ προφάσιος φανερῆς, τίκτουσι χαλεπῶς καὶ ἐπικινδύνως. ἢ ἐκτιτρώσκουσαι, κινδυνεύουσιν. Ἐπὶ ῥόῳ γυναικείῳ σπασμὸς καὶ λειποθυμίη ἢν ἐπιγένηται, κακόν. Καταμηνίων γινομένων πλειόνων, νοῦσοι ξυμβαίνουσι. καὶ μὴ γινομένων ἀπὸ τῆς ὑστέρης γίνονται νοῦσοι. Ἐπὶ ἀρχῷ φλεγμαίνοντι, καὶ ὑστέρῃ φλεγμαινούσῃ, στραγγουρίη ἐπιγίνεται. καὶ ἐπὶ νεφροῖσιν ἐμπύοισι, στραγγουρίη ἐπιγίνεται. ἐπὶ δὲ ἥπατι φλεγμαίνοντι, λὺγξ ἐπιγίνεται. Γυνὴ ἢν μὴ λαμβάνῃ ἐν γαστρὶ, βούλῃ δὲ εἰδέναι εἰ λήψεται, περικαλύψας ἱματίοισι, θυμία κάτω. κἢν μὲν πορεύεσθαι δοκέῃ ἡ ὀδμὴ διὰ τοῦ σώματος ἐς τὰς ῥῖνας καὶ ἐς τὸ στόμα, γίνωσκε ὅτι αὐτὴ οὐ δι' ἑαυτὴν ἄγονός ἐστιν. Ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, καθάρσιες πορεύωνται, ἀδύνατον τὸ ἔμβρυον ὑγιαίνειν. Ἢν γυναικὶ καθάρσιες μὴ πορεύωνται, μήτε φρίκης, μήτε πυρετοῦ ἐπιγενομένου, ἄσαι δὲ αὐτῇ προσπίπτωσι, λογίζου ταύτην ἐν γαστρὶ ἔχειν. Ὁκόσαι ψυχρὰς καὶ πυκνὰς τὰς μήτρας ἔχουσι οὐ κυΐσκουσι. καὶ ὁκόσαι καθύγρους ἔχουσι τὰς μήτρας οὐ κυΐσκουσι. ἀποσβέννυται γὰρ αὐταῖς ὁ γόνος. καὶ ὁκόσαι ξηρὰς μᾶλλον καὶ περικαεῖς. ἐνδείᾳ γὰρ τῆς τροφῆς, φθείρεται τὸ σπέρμα. ὁκόσαι δὲ ἐξ ἀμφοτέρων τὴν κρᾶσιν ἔχουσι σύμμετρον, αἱ τοιαῦται ἐπίτεκνοι γίνονται. Παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἀῤῥένων. ἢ γὰρ διὰ ἀραιότητα τοῦ σώματος τὸ πνεῦμα ἔξω φέρεται πρὸς τὸ μὴ παραπέμπειν τὸ σπέρμα. ἢ διὰ τὴν πυκνότητα τὸ ὑγρὸν οὐ διαχωρέει ἔξω. ἢ διὰ τὴν ψυχρότητα οὐκ ἐκπυρεῖται ὥς τε ἀθροίζεσθαι πρὸς τὸν τόπον τοῦτον. ἢ διὰ τὴν θερμασίην, τὸ αὐτὸ τοῦτο γίνεται. Γάλα διδόναι κεφαλαλγέουσι κακόν. κακὸν δὲ καὶ πυρεταίνουσι. καὶ οἷσιν ὑποχόνδρια μετέωρα διαβορβορύζοντα. καὶ τοῖσι διψώδεσι. κακὸν δὲ, καὶ οἷσι χολώδεες αἱ ὑποχωρήσιες ἐν ὀξέσι πυρετοῖσιν ἐοῦσι. καὶ οἷσιν αἵματος πολλοῦ διαχώρησις γέγονεν. ἁρμόζει δὲ τοῖσι φθινώδεσι μὴ λίην πολλῷ πυρέσσουσι. διδόναι δὲ καὶ ἐν πυρετοῖσι μακροῖσι βληχροῖσι, μηδενὸς τῶν προειρημένων σημείων παρεόντος. παρὰ λόγον δὲ ἐκτετηκόσι. Ὁκόσοισιν οἰδήματα ἐφ' ἕλκεσι φαίνονται, οὐ μάλα σπῶνται οὐδὲ μαίνονται. τουτέων δὲ ἀφανισθέντων, ἐξαίφνης τοῖσι μὲν ὄπισθεν, σπασμοί, τέτανοι. τοῖσι δὲ ἔμπροσθεν, μανίαι, ὀδύναι πλευροῦ ὀξεῖαι. ἢ ἐμπύησις, ἢ δυσεντερίη, ἢν ἐρυθρὰ μᾶλλον ἢ τὰ οἰδήματα. Ἢν τραυμάτων ἰσχυρῶν ἐόντων καὶ πονηρῶν, οἴδημα μὴ φαίνεται, κακόν. Τὰ χαῦνα, χρηστά. τὰ ὠμὰ, κακά. Περὶ τὰ ὄπισθεν τῆς κεφαλῆς ὀδυνωμένῳ, ἡ ἐν μετώπῳ ὀρθίη φλὲψ τμηθεῖσα, ὠφελέει. Ῥίγεα ἄρχεται γυναιξὶ μὲν, ἐξ ὀσφύος μᾶλλον, καὶ διὰ νώτου ἐς κεφαλήν. ἀνδράσι δὲ μᾶλλον ὄπισθεν, ἢ ἔμπροσθεν τοῦ σώματος, οἷον ἀπό τε πηχέων καὶ μηρῶν. ἀτὰρ καὶ τὸ δέρμα ἀραιὸν ἔχουσι. δηλοῖ δὲ τοῦτο ἡ θρίξ. Οἱ ὑπὸ τεταρταίων ἁλισκόμενοι, ὑπὸ σπασμοῦ οὐ πάνυ τι ἁλίσκονται. ἢν δὲ

ἁλίσκωνται πρότερον, εἶτα ἐπιγένηται τεταρταῖος, παύονται. Ὁκόσοισι δέρματα περιτείνεται καρφαλέα καὶ σκληρὰ, ἄνευ ἱδρώτων τελευτῶσιν. ὁκόσοισι δὲ χαλαρὰ καὶ ἀραιὰ, σὺν ἱδρῶτι, τελευτῶσιν. Οἱ ἰκτερώδεες, οὐ πάνυ τι πνευματώδεες εἰσιν.

Τμῆμα ἕκτον.

Ἐν τῇσι χρονίῃσι λειεντερίῃσιν ὀξυρεγμίη ἐπιγινομένη, μὴ γινομένη πρότερον, σημεῖον ἀγαθόν. Οἷσι ῥῖνες ὑγρότεραι φύσει, καὶ ἡ γονὴ ὑγροτέρη, ὑγιαίνουσι νοσηρότερον. οἷσι δὲ τἀναντία, ὑγιεινότερον. Ἐν τῇσι μακρῇσι δυσεντερίῃσιν, αἱ ἀποσιτίαι κακόν. καὶ σὺν πυρετῷ κάκιον. Τὰ περιμάδαρα ἕλκεα, κακοήθεα. τῶν ὀδυνέων ἐν πλευροῖσι, καὶ ἐν στήθεσι, καὶ ἐν τοῖσιν ἄλλοισι μέρεσιν, ἢν μέγα διαφέρωσι καταμαθητέον. τὰ νεφριτικὰ καὶ ὁκόσα κατὰ τὴν κύστιν, ἐργωδέως ὑγιάζεται τοῖσι πρεσβύτῃσι. Τὰ ἀλγήματα τὰ κατὰ τὴν κοιλίην γινόμενα, τὰ μὲν μετέωρα κοῦφα. τὰ δὲ μὴ μετέωρα, ἰσχυρότερα. Τοῖσιν ὑδρωπικοῖσι τὰ γινόμενα ἕλκεα ἐν τῷ σώματι, οὐ ῥαδίως ὑγιάζεται. τὰ πλατέα ἐξανθήματα, οὐ πάνυ τι κνησμώδεα. Κεφαλὴν πονέοντι, καὶ περιωδυνέοντι πύον, ἢ ὕδωρ, ἢ αἷμα ῥυὲν κατὰ τὰς ῥῖνας, ἢ κατὰ τὸ στόμα, ἢ κατὰ τὰ ὦτα λύει τὸ νούσημα. τοῖσι μελαγχολικοῖσι, καὶ τοῖσι νεφριτικοῖσι, αἱ μοῤῥοΐδες ἐπιγινόμεναι, ἀγαθόν. τῷ ἰηθέντι χρονίας αἱμοῤῥοΐδας, εἰ μὴ μία φυλαχθῇ, κίνδυνος ὕδρωπα ἐπιγενέσθαι ἢ φθίσιν. Ὑπὸ λυγμοῦ ἐχομένῳ πταρμοὶ ἐπιγινόμενοι, λύουσι τὸν λυγμόν. Ὑπὸ ὕδρωπος ἐχομένῳ τοῦ κατὰ τὰς φλέβας ἐς τὴν κοιλίην ὕδατος ῥυέντος, λύσις. Ὑπὸ διαῤῥοίης ἐχομένῳ μακρῆς, ἀπὸ ταυτομάτου ἔμετος ἐπιγινόμενος, λύει τὴν διάῤῥοιαν. Ὑπὸ πλευρίτιδος, ἢ ὑπὸ περιπλευμονίης ἐχομένῳ, διάῤῥοια ἐπιγινομένη κακόν. Ὀφθαλμιῶντι ὑπὸ διαῤῥοίης ληφθῆναι, ἀγαθόν. Κύστιν διακοπέντι, ἢ ἐγκέφαλον, ἢ καρδίην, ἢ φρένας, ἢ τῶν ἐντέρων τι τῶν λεπτῶν, ἢ κοιλίην, ἢ ἧπαρ, θανατῶδες. Ἐπὴν διακοπῇ ὀστέον, ἢ χόνδρος, ἢ νεῦρον, ἢ γνάθου τὸ λεπτὸν, ἢ ἀκροποσθίη, οὔτε αὔξεται, οὔτε ξυμφύεται. Ἢν ἐς τὴν κοιλίην αἷμα χυθῇ παρὰ φύσιν, ἀνάγκη ἐκπυηθῆναι. τοῖσι μαινομένοισι κιρσῶν ἢ αἱμοῤῥοΐδων ἐπιγινομένων μανίης λύσις. Ὁκόσα ῥήγματα ἐκ νώτου ἐς τοὺς ἀγκῶνας καταβαίνει, φλεβοτομίη λύει. Ἢν φόβος ἢ δυσθυμίη, πουλὺν χρόνον διατελέῃ, μελαγχολικὸν τὸ τοιοῦτον. Ἐντέρων ἢν διακοπῇ, τῶν λεπτῶν τι, οὐ ξυμφύεται. ἐρυσίπελας ἔξωθεν καταχεόμενον, εἴσω τρέπεσθαι οὐκ ἀγαθόν. ἔσωθεν δὲ ἔξω, ἀγαθόν. Ὁκόσοισιν ἂν ἐν τοῖσι καύσοισι τρόμοι γένωνται, παρακοπὴ λύει. Ὁκόσοι ἔμπυοι ἢ ὑδρωπικοὶ τέμνονται ἢ καίονται ἐκρυέντος τοῦ πύου καὶ τοῦ ὕδατος ἀθρόου, πάντως ἀπόλλυνται. εὐνοῦχοι οὐ ποδαγριῶσιν, οὐδὲ φαλακροὶ γίνονται. γυνὴ οὐ ποδαγριᾷ, ἢν μὴ τὰ καταμήνια αὐτέῃ ἐκλίπῃ. Παῖς οὐ ποδαγριᾷ πρὸ τοῦ ἀφροδισιασμοῦ. ὀδύνας ὀφθαλμῶν, ἀκρητοποσίη, ἢ λουτρὸν, ἢ πυρίη, ἢ φλεβοτομίη, ἢ φαρμακοποσίη λύει. τραυλοὶ ὑπὸ διαῤῥοίης μάλιστα ἁλίσκονται μακρῆς. οἱ ὀξυρεγμιώδεες, οὐ πάνυ τι πλευριτικοὶ γίνονται. ὁκόσοι φαλακροὶ ἔωσι, τουτέοισι κιρσοὶ μεγάλοι οὐκ ἐγγίνονται. ὁκόσοισι δ' αὖ φαλακροῖσι κιρσοὶ γίνονται, πάλιν οὗτοι γίνονται δασέες. τοῖσιν ὑδρωπικοῖσι βὴξ ἐπιγινομένη κακόν. Δυσουρίην φλεβοτομίη λύει. τάμνειν δὲ τὰς εἴσω. Ὑπὸ κυνάγχης ἐχομένῳ οἰδήματα γενέσθαι ἐν τῷ βρόγχῳ ἔξω, ἀγαθόν. ὁκόσοισι κρυπτοὶ καρκῖνοι γίνονται, μὴ θεραπεύειν βέλτιον. θεραπευόμενοι γὰρ, ἀπόλλυνται ταχέως. μὴ θεραπευόμενοι δὲ, πουλὺν χρόνον διατελοῦσι. Σπασμοὶ γίνονται, ἢ ὑπὸ πληρώσιος, ἢ κενώσιος. οὕτω δὲ καὶ λυγμός. ὁκόσοισι περὶ τὸ ὑποχόνδριον πόνοι γίνονται ἄτερ φλεγμονῆς, τουτέοισι πυρετὸς ἐπιγενόμενος λύει τὸν πόνον. ὁκόσοισι διάπυόν τι ἐὸν ἐν τῷ σώματι μὴ διασημαίνει, τουτέοισι διὰ παχύτητα τοῦ πύου ἢ τοῦ τόπου, οὐκ ἀποσημαίνει. ἐν τοῖσιν ἰκτερικοῖσι τὸ ἧπαρ σκληρὸν γενέσθαι, πονηρόν. ὁκόσοι σπληνώδεες ὑπὸ δυσεντερίης ἁλίσκονται, τουτέοισιν ἐπιγινομένης μακρῆς τῆς δυσεντερίης, ὕδρωψ ἐπιγίνεται ἢ λειεντερίη καὶ ἀπόλλυνται. ὁκόσοισιν ἐκ στραγγουρίης εἰλεοὶ γίνονται, ἐν ἑπτὰ ἡμέρῃσιν ἀπόλλυνται. ἢν μὴ πυρετοῦ ἐπιγινομένου ἅλις τὸ οὖρον ῥυῇ. Ἕλκεα ὁκόσα ἐνιαύσια γίνεται, ἢ μακρότερον χρόνον ἴσχουσιν, ἀνάγκη ὀστέον ἀφίστασθαι, καὶ τὰς οὐλὰς κοίλας γίνεσθαι. ὁκόσοι ὑβοὶ ἐξ ἄσθματος ἢ βηχὸς γίνονται, πρὸ τῆς ἥβης ἀπόλλυνται. ὁκόσοισι φλεβοτομίη ἢ φαρμακίη ξυμφέρει, τουτέους

προσῆκον

προσήκον τοῦ ἦρος φλεβοτομεῖν, ἢ φαρμακεύειν. Τοῖσι σπληνώδεσι δυσεντερίη ἐπιγενομένη, ἀγαθόν. Ὁκόσα ποδαγρικὰ νουσήματα γίνονται, ταῦτα ἀποφλεγμήναντα, ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀποκαθίστανται. Ὁκόσοισιν ἂν ὁ ἐγκέφαλος διακοπῇ, τουτέοισιν ἀνάγκη πυρετὸν καὶ χολῆς ἔμετον ἐπιγίνεσθαι. Ὁκόσοισιν ὑγιαίνουσιν ὀδύναι γίνονται ἐξαίφνης ἐν τῇ κεφαλῇ, καὶ παραχρῆμα ἄφωνοι κεῖνται, καὶ ῥέγχουσιν, ἀπόλλυνται ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν μὴ πυρετὸς ἐπιλάβῃ. Σκοπεῖν δὲ χρὴ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν, ἐν τοῖσιν ὕπνοισιν. ἢν γάρ τι ὑποφαίνηται ξυμβαλλομένων τῶν βλεφάρων τοῦ λευκοῦ μὴ ἐκ διαῤῥοίης ἐόντι, ἢ ἐκ φαρμακοποσίης, φλαῦρον τὸ σημεῖον καὶ θανατῶδες σφόδρα. αἱ παραφροσύναι, αἱ μὲν μετὰ γέλωτος γινόμεναι, ἀσφαλέστεραι. αἱ δὲ μετὰ σπουδῆς, ἐπισφαλέστεραι. ἐν τοῖσιν ὀξέσι πάθεσι τοῖσι μετὰ πυρετοῦ, αἱ κλαυθμώδεες ἀναπνοαὶ κακαί. τὰ ποδαγρικὰ τοῦ ἦρος καὶ τοῦ φθινοπώρου κινέεται ὡς ἐπὶ τὸ πολύ. τοῖσι μελαγχολικοῖσι νουσήμασιν, ἐς τάδε ἐπικίνδυνοι αἱ ἀποσκήψιες, ἢ ἀπόπληξιν τοῦ σώματος, ἢ σπασμόν, ἢ μανίην, ἢ τύφλωσιν σημαίνουσι. ἀπόπληκτοι δὲ μάλιστα γίνονται, ἡλικίῃ τῇ ἀπὸ τεσσαράκοντα ἐτέων, ἄχρις ἑξήκοντα. Ἢν ἐπίπλους ἐκπέσῃ, ἀνάγκη ἀποσαπῆναι. Ὁκόσοισιν ὑπὸ ἰσχιάδος ἐνοχλουμένοισιν ἐξίσταται τὸ ἰσχίον, καὶ πάλιν ἐμπίπτει, τουτέοισι μύξαι ἐπιγίνονται. Ὁκόσοισιν ὑπὸ ἰσχιάδος ἐνοχλουμένοισι χρονίης τὸ ἰσχίον ἐξίσταται, τουτέοισι τήκεται τὸ σκέλος, καὶ χωλοῦνται ἢν μὴ καυθῶσιν.

Τμῆμα ἕβδομον.

Ἐν τοῖσιν ὀξέσι νουσήμασι, ψύξις ἀκρωτηρίων, κακόν. Ἐπὶ ὀστέῳ νοσοῦντι, σὰρξ πελιδνή, κακόν. ἐπὶ ἐμέτῳ λὺγξ καὶ ὀφθαλμοὶ ἐρυθροί, κακόν. ἐπὶ ἱδρῶτι φρίκη, οὐ χρηστόν. ἐπὶ μανίῃ δυσεντερίη, ἢ ὕδρωψ, ἢ ἔκστασις, ἀγαθόν. ἐπὶ νούσῳ πολυχρονίῃ, ἀσιτίη καὶ ἄκρητοι ὑποχωρήσιες, κακόν. ἐκ πολυποσίης ῥῖγος καὶ παραφροσύνη, κακόν. ἐπὶ φύματος ἔσω ῥήξιος, ἔκλυσις, ἔμετος καὶ λειποψυχίη γίνεται. ἐπὶ αἵματος ῥύσει παραφροσύνη ἢ καὶ σπασμός, κακόν. ἐπὶ εἰλεῷ, ἔμετος, ἢ λύγξ, ἢ σπασμός, ἢ παραφροσύνη, κακόν. ἐπὶ πλευρίτιδι περιπλευμονίη ἐπιγινομένη, κακόν. ἐπὶ περιπλευμονίῃ φρενῖτις, κακόν. Ἐπὶ καύμασιν ἰσχυροῖσι σπασμὸς ἢ τέτανος, κακόν. Ἐπὶ πληγῇ ἐς τὴν κεφαλὴν ἔκπληξις ἢ παραφροσύνη, κακόν. Ἐπὶ αἵματος πτύσει, πύου πτύσις κακόν. Ἐπὶ πύου πτύσει φθίσις καὶ ῥύσις κακόν. Ἐπὴν δὲ τὸ σίελον ἴσχηται, ἀποθνήσκουσιν. Ἐπὶ φλεγμονῇ τοῦ ἥπατος, λὺγξ κακόν. Ἐπὶ ἀγρυπνίῃ σπασμὸς καὶ παραφροσύνη κακόν. Ἐπὶ ὀστέου ψιλώσει, ἐρυσίπελας. Ἐπὶ ἐρυσιπέλατι, σηπεδὼν ἢ ἐκπύησις. Ἐπὶ ἰσχυρῷ σφυγμῷ ἐν τοῖσιν ἕλκεσιν, αἱμοῤῥαγίη. Ἐπὶ ὀδύνῃ πουλυχρονίῃ, τῶν περὶ τὴν κοιλίην ἐκπύησις. Ἐπὶ ἀκρήτῳ ὑποχωρήσει, δυσεντερίη. Ἐπὶ ὀστέου διακοπῇ, παραφροσύνη ἢν κενεὸν λάβῃ. Ἐκ φαρμακοποσίης σπασμός, θανατῶδες. Ἐπὶ ὀδύνῃ ἰσχυρῇ τῶν περὶ τὴν κοιλίην ἀκρωτηρίων ψύξις, κακόν. Ἐν γαστρὶ ἐχούσῃ, τεινεσμὸς ἐπιγενόμενος, ἐκτρῶσαι ποιέει. Ὅτι ἂν ὀστέον ἢ χόνδρος ἢ νεῦρον ἀποκοπῇ ἐν τῷ σώματι, οὔτε αὔξεται οὔτε συμφύεται. Ἢν ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ διάῤῥοια ἐπιγένηται ἰσχυρή, λύει τὴν νοῦσον. Ὁκόσοισιν ἀφρώδεα τὰ διαχωρήματα ἐν τῇσι διαῤῥοίῃσι, τουτέοισιν ἀπὸ τῆς κεφαλῆς ταῦτα καταῤῥεῖ. Ὁκόσοισι πυρέττουσιν, ἐν τοῖσι οὔροισι κριμνώδεες αἱ ὑποστάσιες γίνονται, μακρὴν τὴν ἀῤῥωστίην σημαίνουσιν. Ὁκόσοισι δὲ χολώδεες αἱ ὑποστάσιες, ἄνωθεν δὲ λεπταί, ὀξεῖην ἀῤῥωστίην σημαίνει. ὁκόσοισι δὲ διεστηκότα τὰ οὖρα γίνεται, τουτέοισι ταραχὴ ἰσχυρὴ ἐν τῷ σώματι ἐστίν. ὁκόσοισι δ᾽ ἐπὶ τοῖσιν οὔροισιν ἐφίστανται πομφόλυγες, νεφριτικὰ σημαίνουσι καὶ μακρὴν ἀῤῥωστίην ἔσεσθαι. ὁκόσοισι δὲ λιπαρὴ ἡ ὑπόστασις καὶ ἀθρόη, τουτέοισι νεφριτικά, καὶ ὀξέα σημαίνει. ὁκόσοισι δὲ νεφριτικοῖς ἐοῦσι, τὰ προειρημένα συμβαίνει σημεῖα, πόνοι τε περὶ τοὺς μύας τοὺς ῥαχιαίους γίνονται. κἢν μὲν περὶ τοὺς ἔξω τόπους γίνωνται, ἀπόστημα προσδέχου ἐσόμενον ἔξω. ἢν δὲ μᾶλλον οἱ πόνοι πρὸς τοὺς ἔσω τόπους γίνωνται, καὶ τὸ ἀπόστημα προσδέχου ἐσόμενον μᾶλλον ἔσω. ὁκόσοι αἷμα ἐμέουσιν, ἢν μὲν ἄνευ πυρετοῦ, σωτήριον. εἰ δὲ ξὺν πυρετῷ, κακόν. θεραπεύειν δέ, τοῖσι ψυκτικοῖσι καὶ τοῖσι στυπτικοῖσι. Κατάῤῥοι ἐς τὴν ἄνω κοιλίην ἐκπυΐσκονται ἐν ἡμέρῃσιν εἴκοσιν. Ἢν οὐρέῃ αἷμα καὶ θρόμβους καὶ στραγγουρίην ἔχῃ, καὶ ὀδύνη ἐμπίπτῃ ἐς τὸ περιτόναιον, καὶ τὸ κτένα, τὰ περὶ τὴν κύστιν νοσέειν σημαίνει. Ἢν ἡ γλῶσσα ἐξαί-

φυσις ἀκρατὴς γένηται, ἢ ἀπόπληκτόν τι τοῦ σώματος, μελαγχολικὸν τὸ τοιοῦτο γίνεται. Ἢν ὑπερκαθαιρομένων τῶν πρεσβυτέρων λὺγξ ἐπιγένηται, οὐκ ἀγαθόν. Ἢν πυρετὸς μὴ ἀπὸ χολῆς ἔχῃ, ὕδατος πολλοῦ καὶ θερμοῦ καταχεομένου κατὰ τῆς κεφαλῆς, λύσις τοῦ πυρετοῦ γίνεται.

Γυνὴ ἀμφιδέξιος οὐ γίνεται. Ὁκόσοι ἔμπυοι καίονται, ἢν μὲν τὸ πύον καθαρὸν ῥυῇ καὶ λευκὸν, περιγίνονται. ἢν δὲ ὕφαιμον καὶ βορβορῶδες καὶ δυσῶδες, ἀπόλλυνται. Ὁκόσοι τὸ ἧπαρ διάπυον καίονται, ἢν μὲν τὸ πύον καθαρὸν ῥυῇ καὶ λευκὸν, περιγίγνονται. ἐν χιτῶνι γὰρ τὸ πύον τουτέοισίν ἐστιν. ἐὰν δὲ οἷον ἀμόργη ῥυῇ, ἀπόλλυνται. Ὀδύνας ὀφθαλμῶν ἄκρητον ποτίσας καὶ λούσας πολλῷ θερμῷ φλεβοτόμει. Ὑδρωπιῶντα ἐὰν βὴξ ἔχῃ, ἀνέλπιστός ἐστιν. Στραγγουρίην καὶ δυσουρίην, θώρηξις καὶ φλεβοτομίη λύει· τάμνειν δὲ τὰς ἔσω.

Ὑπὸ κυνάγχης ἐχομένῳ, οἴδημα καὶ ἐρύθημα, ἐν τῷ στήθει ἐπιγενόμενον, ἀγαθόν. ἔξω γὰρ τρέπεται τὸ νόσημα. Ὁκόσοισι σφακελισθῇ ὁ ἐγκέφαλος, ἐν τρισὶν ἡμέρῃσιν ἀπόλλυνται. ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίνονται. Πταρμὸς γίνεται ἐκ τῆς κεφαλῆς, διαθερμαινομένου τοῦ ἐγκεφάλου, ἢ διυγραινομένου τοῦ ἐν τῇ κεφαλῇ κενοῦ. ὑπερχεῖται οὖν ὁ ἀὴρ ὁ ἐνεὼν ἔξω. ψοφεῖ δὲ, ὅτι διὰ στενοῦ ἡ διέξοδος αὐτοῦ ἐστιν. Ὁκόσοισιν ἧπαρ περιωδυνέεται, τουτέοισι πυρετὸς ἐπιγενόμενος, λύει τὴν ὀδύνην. Ὁκόσοισι συμφέρει αἷμα ἀφαιρέειν ἀπὸ τῶν φλεβῶν, τουτέοισι ξυμφέρει ἔαρι φλεβοτομεῖσθαι. Ὁκόσοισι μεταξὺ τῶν φρενῶν καὶ τῆς γαστρὸς φλέγμα ἀποκλείεται, καὶ ὀδύνην παρέχει οὐκ ἔχον διέξοδον οὐδὲ ἐς ἑτέρην τῶν κοιλιῶν, τουτέοισι κατὰ τὰς φλέβας ἐς τὴν κύστιν τραπέντος τοῦ φλέγματος, λύσις γίνεται τῆς νόσου. Ὁκόσοισι δὲ τὸ ἧπαρ ὕδατος πλησθὲν ἐς τὸν ἐπίπλοον ῥαγῇ, τουτέοισιν ἡ κοιλίη ὕδατος ἐμπιπλᾶται καὶ ἀποθνήσκουσιν. ἄλύκην. χάσμην. φρίκην, οἶνος ἴσος ἴσῳ πινόμενος, λύει. Ὁκόσοισιν ἐν τῇ οὐρήθρῃ φύματα γίνονται, τουτέοισι διαπυήσαντος καὶ ἐκραγέντος, λύεται ὁ πόνος. Ὁκόσοις δ' ἂν ὁ ἐγκέφαλος σεισθῇ ὑπό τινος προφάσιος, ἀνάγκη ἀφώνους γενέσθαι παραχρῆμα. Ἢν ὑπὸ πυρετοῦ ἐχομένῳ, ὁ τράχηλος ἐπιστραφῇ, καὶ καταπίνειν μὴ δύνηται, οἰδήματος μὴ ἐόντος ἐν τῷ τραχήλῳ, θανάσιμον. Τοῖσι σώμασι τοῖσιν ὑγρὰς τὰς σάρκας ἔχουσι δεῖ λιμὸν ἐμποιέειν. λιμὸς γὰρ ξηραίνει τὰ σώματα.

Ὅκου ἂν ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ, καὶ τὸ σῶμα καταψύχηται καὶ πάλιν θερμαίνηται ἢ χρῶμα ἕτερον ἐξ ἑτέρου μεταβάλλῃ, μῆκος νόσου σημαίνει. Ἱδρὼς πολὺς. θερμὸς ἢ ψυχρὸς ῥέων αἰεὶ, σημαίνει ἔχειν πλησμονὴν ὑγροῦ. ἀπάγειν οὖν χρὴ τῷ μὲν ἰσχυρῷ, ἄνωθεν, τῷ δὲ ἀσθενεῖ, κάτωθεν. Οἱ πυρετοὶ οἱ μὴ διαλείποντες ἢν ἰσχυρότεροι διὰ τρίτης γένωνται, ἐπικίνδυνοι. ὅτῳ δ' ἂν τρόπῳ διαλείπωσιν, σημαίνει, ὅτι ἀκίνδυνοι. ὁκόσοισι πυρετοὶ μακροὶ, τουτέοισιν ἢ φύματα, ἢ ἐς τὰ ἄρθρα πόνοι ἐγγίνονται. ὁκόσοισι φύματα μακρὰ ἢ ἐς τὰ ἄρθρα πόνοι ἐκ πυρετῶν γίνονται, οὗτοι σιτίοισι πλείοσι χρέονται. Ἤν τις πυρέσσοντι τροφὴν διδῷ, ἣν ὑγιεῖ, τῷ μὲν ὑγιαίνοντι ἰσχύς. τῷ δὲ κάμνοντι, νοῦσος. τὰ διὰ τῆς κύστιος διαχωρέοντα, ὁρᾶν δεῖ, εἰ οἷα τοῖς ὑγιαίνουσιν ὑποχωρέεται. τὰ ἥκιστα οὖν ὅμοια τουτέοισι, ταῦτα νοσωδέστερα. τὰ δ' ὅμοια τοῖσιν ὑγιαίνουσιν, ἥκιστα νοσερά. Καὶ οἷσι τὰ ὑποχωρήματα, ἢν ἐάσῃς στῆναι καὶ μὴ κινήσῃς ὑφίσταται οἱονεὶ ξύσματα. καὶ ἢν ὀλίγα ᾖ, ὀλίγη ἡ νοῦσος γίνεται. ἢν δὲ πολλὰ, πολλή. τουτέοισι ξυμφέρει, ὑποκαθῆραι τὴν κοιλίην. ἢν δὲ μὴ καθαρὴν ποιήσας διδῷς τὰ ῥοφήματα, ὁκόσῳ ἂν πλείω διδῷς, μᾶλλον βλάψῃς. ὁκόσοισιν ἢν κάτω ὠμὰ διαχωρέῃ, ἀπὸ χολῆς μελαίνης ἐστὶν, ἢν πλείονα, πλείονος. ἢν ἐλάσσω, ἐλάσσονος. αἱ ἀποχρέμψιες αἱ ἐν τοῖσι πυρετοῖσι τοῖσι μὴ διαλείπουσι πελιδναὶ, καὶ αἱματώδεες καὶ δυσώδεες, πᾶσαι κακαί. ἀποχωρέουσαι δὲ καλῶς, ἀγαθαὶ, καὶ κατὰ τὴν κοιλίην καὶ κύστιν. καὶ ὅκου ἄν τι ἀποχωρέον στῇ μὴ κεκαθαρμένῳ, κακόν. τὰ σώματα χρὴ ὅκου τις βούλεται καθαίρεσθαι, εὔροα ποιεῖν. καὶ ἢν μὲν ἄνω βούλῃ εὔροα ποιέειν, στῆσαι τὴν κοιλίην. ἢν δὲ κάτω εὔροα ποιέειν, ὑγρῆναι τὴν κοιλίην.

Ὕπνος, ἀγρυπνίη ἀμφότερα μᾶλλον τοῦ μετρίου γινόμενα, κακόν. Ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, ἢν τὰ μὲν ἔξω ψυχρὰ ᾖ, τὰ δὲ ἔσω καίηται, καὶ δίψαν ἔχῃ, θανάσιμον. Ἐν μὴ διαλείποντι πυρετῷ, ἢν χεῖλος, ἢ ῥὶς, ἢ ὀφθαλμὸς διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ, ἤδη ἀσθενὴς ἐὼν, ὅ, τι ἂν ᾖ τουτέων τῶν σημείων, θανάσιμον. Ἐπὶ λευκῷ φλέγματι, ὕδρωψ ἐπιγίνεται. Ἐπὶ διαῤῥοίῃ, δυσεντερίη. Ἐπὶ δυσεντερίῃ, λειεντερίη. Ἐπὶ σφακέλῳ, ἀπόστασις ὀστέου. ὑπὸ αἵματος ἐμέτου, φθίσις. καὶ πύου κάθαρσις ἄνω. ὑπὸ φθίσιος, ῥεῦμα ἐκ

τῆς κεφαλῆς

τῆς κεφαλῆς. ἐπὶ τῷ ῥεύματι διάῤῥοια. ἐπὶ διαῤῥοίῃ, σχέσις τῆς ἄνω καθάρσιος. ἐπὶ τῇ σχέσει, θάνατος. Ἐπὶ αἵματος πτύσει πύου πτύσις καὶ ῥύσις. ἐπὴν δὲ σίαλον ἴσχηται, ἀποθνήσκουσιν. Ὁκοῖα ἐν τοῖσι κατὰ τὴν κύστιν, καὶ τοῖσι κατὰ τὴν κοιλίην ὑποχωρήμασι, καὶ ἐν τοῖσι κατὰ τὰς σάρκας, καὶ ἤν που ἄλλῃ τῆς φύσιος ἐκβαίνῃ τὸ σῶμα, ἢν ὀλίγον, ὀλίγη ἡ νοῦσος γίνεται. ἢν δὲ πουλὺ, πολλή. ἢν πάνυ πολλὴ, θανάσιμον τὸ τοιοῦτον. Ὁκόσοι ὑπὲρ τὰ τεσσαράκοντα ἔτεα, φρενιτικοὶ γίνονται, οὐ πάνυ τι ὑγιάζονται. ἧσσον γὰρ κινδυνεύουσιν οἷσιν ἂν οἰκείη τῆς φύσιος καὶ τῆς ἡλικίης ἡ νοῦσος ᾖ. Ὁκόσοισιν ἐν τῇσιν ἀῤῥωστίῃσιν οἱ ὀφθαλμοὶ κατὰ προαίρεσιν δακρύουσιν, ἀγαθόν. ὁκόσοισι δὲ ἄνευ προαιρέσιος, κακόν. Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι τεταρταίοισιν ἐοῦσιν, αἷμα ἐκ τῶν ῥινῶν ῥυῇ, πονηρόν. Ἱδρῶτες ἐν τῇσι κρισίμοισιν ἡμέρῃσι γινόμενοι σφοδροὶ καὶ ταχέως, ἐπικίνδυνοι. Οἱ ὠθούμενοι ἐκ τοῦ μετώπου, ὥσπερ σταλαγμοὶ καὶ κρουνοὶ, καὶ ψυχροὶ σφόδρα καὶ πολλοὶ, ἀνάγκη γὰρ τὸν τοιοῦτον ἱδρῶτα, πορεύεσθαι μετὰ βίης, καὶ πόνου ὑπερβολῆς, καὶ ἐκθλίψιος πολυχρονίου. Ἐπὶ χρονίῳ νουσήματι κοιλίης καταφορὴ, κακόν. Ὁκόσα φάρμακα οὐκ ἰῆται, σίδηρος ἰῆται. ὅσα σίδηρος οὐκ ἰῆται, πῦρ ἰῆται. ὅσα δὲ πῦρ οὐκ ἰῆται, ταῦτα χρὴ νομίζειν ἀνίατα.

ἹΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΓΝΩΣΤΙΚΟΝ.

Τὸν ἰητρὸν, δοκέει μοι ἄριστον εἶναι, πρόνοιαν ἐπιτηδεύειν. προγινώσκων γὰρ καὶ προλέγων παρὰ τοῖσι νοσέουσι, τά τε παρεόντα, καὶ τὰ προγεγονότα, καὶ τὰ μέλλοντα ἔσεσθαι, ὁκόσα τε παραλείπουσιν οἱ ἀσθενέοντες, ἐκδιηγεύμενος, πιστεύοιτ' ἂν μᾶλλον γινώσκειν τὰ τῶν νοσεόντων πρήγματα. ὥστε τολμᾶν ἐπιτρέπειν τοὺς ἀνθρώπους σφέας ἑωυτοὺς τῷ ἰητρῷ. τὴν δὲ θεραπείην ἄριστα ἂν ποιέοιτο προειδὼς τὰ ἐσόμενα τῶν παθημάτων. ὑγιέας μὲν γὰρ ποιέειν ἅπαντας τοὺς ἀσθενέοντας, ἀδύνατον. τοῦτο γὰρ τοῦ προγινώσκειν τὰ μέλλοντα ἀποβήσεσθαι, κρέσσον ἂν ἦν. ἐπειδὴ δὲ οἱ ἄνθρωποι ἀποθνήσκουσιν, οἱ μὲν πρὶν καλέσαι τὸν ἰητρὸν, ὑπὸ ἰσχύος τῆς νόσου. οἱ δὲ, καὶ ἐσκαλεσάμενοι, παραχρῆμα ἐτελεύτησαν. οἱ μὲν, ἡμέρην μίαν ζήσαντες. οἱ δὲ, ὀλίγῳ πλέονα χρόνον, πρὶν ἢ τὸν ἰητρὸν τῇ τέχνῃ πρὸς ἕκαστον νόσημα ἀνταγωνίσασθαι. γνῶντα οὖν χρὴ τῶν παθέων τῶν τοιουτέων τὰς φύσιας, ὁκόσον ὑπὲρ τὴν δύναμίν εἰσι τῶν σωμάτων. ἅμα δὲ καὶ εἴ τι θεῖον ἔνεστιν ἐν τῇσι νούσοισι, καὶ τούτου τὴν πρόνοιαν ἐκμανθάνειν. οὕτω γὰρ ἂν θαυμάζοιτό τε δικαίως, καὶ ἰητρὸς ἀγαθὸς ἂν εἴη. καὶ γὰρ οὓς οἷόν τε περιγίνεσθαι, τούτους ἔτι μᾶλλον δύναιτ' ἂν ὀρθῶς διαφυλάσσειν, ἐκ πλέονος χρόνου προβουλευόμενος πρὸς ἕκαστα. καὶ τοὺς ἀποθανουμένους τε καὶ σωθησομένους προγινώσκων τε καὶ προαγορεύων, ἀναίτιος ἂν εἴη. Σκέπτεσθαι δὲ χρὴ ὧδε. ἐν τοῖσιν ὀξέσι νουσήμασι, πρῶτον μὲν τὸ πρόσωπον τοῦ νοσέοντος, εἰ ὅμοιόν ἐστι τοῖσι τῶν ὑγιαινόντων. μάλιστα δὲ, εἰ αὐτὸ ἑωυτῷ. οὕτω γὰρ ἂν εἴη ἄριστον, τὸ δ' ἐναντιώτατον τοῦ ὁμοίου, δεινότατον. εἴη δ' ἂν τὸ τοιόνδε. ῥὶς ὀξεῖα, ὀφθαλμοὶ κοῖλοι, κρόταφοι ξυμπεπτωκότες, ὦτα ψυχρὰ καὶ ξυνεσταλμένα, καὶ οἱ λοβοὶ τῶν ὤτων ἀπεστραμμένοι. καὶ τὸ δέρμα τὸ περὶ τὸ μέτωπον, σκληρόν τε καὶ περιτεταμένον, καὶ καρφαλέον ἐόν. καὶ τὸ χρῶμα τοῦ ξύμπαντος προσώπου χλωρόν τε ἢ καὶ μέλαν ἐὸν, καὶ πελιὸν, ἢ μολιβδῶδες. ἢν μὲν οὖν ἐν ἀρχῇ τῆς νούσου, τὸ πρόσωπον τοιοῦτον ᾖ, καὶ μήπω οἷόν τε ᾖ, τοῖσιν ἄλλοισι σημείοισι ξυντεκμαίρεσθαι, ἐπανέρεσθαι χρὴ, μὴ ἠγρύπνησεν ὥνθρωπος, ἢ τὰ τῆς κοιλίης ἐξυγρασμένα ἢ ἰσχυρῶς, ἢ λιμῶδές τι ἔχῃ αὐτόν. κἢν μέν τι τουτέων ὁμολογῇ, ἧσσον νομίζειν δεινὸν εἶναι. κρίνεται δὲ τὰ τοιαῦτα, ἐν ἡμέρῃ τε καὶ νυκτὶ, ἢν διὰ ταύτας τὰς προφάσιας, τὸ πρόσωπον τοιοῦτον ᾖ. ἢν δὲ μηδὲν τουτέων φῇσιν εἶναι, μηδὲ ἐν τῷ χρόνῳ τῷ προειρημένῳ καταστῇ, εἰδέναι χρὴ, ἐγγὺς ἐόντα τοῦ θανάτου. ἢν δὲ καὶ παλαιοτέρου ἐόντος τοῦ νοσήματος, ἢ τριταίου, ἢ τεταρταίου, τὸ πρόσωπον τοιοῦτον ᾖ, περὶ τουτέων ἐπανέρεσθαι, περὶ ὧν καὶ πρότερον ἐκέλευσα. καὶ τὰ ἄλλα σημεῖα σκέπτεσθαι, τά τε ἐν τῷ ξύμπαντι προσώπῳ, τά τε ἐν τῷ σώματι. Καὶ τὰ ἐν τοῖσιν ὀφθαλμοῖσιν. ἢν γὰρ τὴν αὐγὴν φεύγωσιν. ἢ δακρύωσιν ἀπροαιρέτως, ἢ διαστρέφωνται. ἢ θάτερος θατέρου ἐλάσσων γίνηται. ἢ τὰ λευκὰ ἐρυθρὰ ἴσχωσιν, ἢ πελιὰ βλέφαρα, ἢ φλέβια μέλανα ἐν αὐτέοισιν ἔχωσιν. ἢ λῆ-

μαι φαίνωνται περὶ τὰς ὄψιας. ἢ καὶ ἐναιωρεύμενοι. ἢ ἐξίσχοντες. ἢ ἔγκοιλοι ἰσχυρῶς γινόμενοι. ἢ αἱ ὄψιες αὐχμῶσαι καὶ ἀλαμπέες. ἢ τὸ χρῶμα τοῦ ξύμπαντος προσώπου ἠλλοιωμένον ᾖ, ταῦτα πάντα κακὰ νομίζειν καὶ ὀλέθρια εἶναι. σκοπεῖν δὲ χρὴ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν τοῖσιν ὕπνοισιν. ἢν γάρ τι ὑποφαίνηται τοῦ λευκοῦ, τῶν βλεφάρων μὴ ξυμβαλλομένων, μὴ ἐκ διαῤῥοίης ἢ φαρμακοποσίης ἐόντι, ἢ μὴ εἰθισμένῳ οὕτω καθεύδειν, φλαῦρον τὸ σημεῖον, καὶ θανατῶδες λίαν. ἢν δὲ καμπύλον ἢ ῥικνὸν γένηται, ἢ πελιὸν, ἢ ὠχρὸν βλέφαρον, ἢ χεῖλος, ἢ ῥὶς, μετά τινος τῶν ἄλλων σημείων, εἰδέναι χρὴ, ἐγγὺς ἐόντα θανάτου.

Θανατῶδες δὲ καὶ χείλεα ἀπολυόμενα, καὶ κρεμάμενα, καὶ ψυχρὰ, καὶ ἔκλευκα γινόμενα.

Κεκλιμένον δὲ χρὴ καταλαμβάνεσθαι τὸν νοσέοντα ὑπὸ τοῦ ἰητροῦ, ἐπὶ τὸ πλευρὸν τὸ δεξιὸν, ἢ τὸ ἀριστερὸν. καὶ τὰς χεῖρας καὶ τὸν τράχηλον καὶ τὰ σκέλεα ὀλίγον ἐπικεκαμμένα ἔχοντα. καὶ τὸ ξύμπαν σῶμα, ὑγρὸν κείμενον. οὕτω γὰρ καὶ οἱ πλεῖστοι τῶν ὑγιαινόντων κατακλίνονται. ἄρισται δέ εἰσι τῶν κατακλίσεων, αἱ ὅμοιαι τῇσι τῶν ὑγιαινόντων. ὕπτιον δὲ κεῖσθαι καὶ τὰς χεῖρας, καὶ τὸν τράχηλον, καὶ τὰ σκέλεα ἐκτεταμένα ἔχοντα, ἧσσον ἀγαθόν. εἰ δὲ καὶ προπετὴς γένοιτο, καὶ καταῤῥέοι ἀπὸ τῆς κλίνης ἐπὶ πόδας, δεινότερόν ἐστιν. εἰ δὲ καὶ γυμνοὺς τοὺς πόδας εὑρίσκοιτο ἔχων, μὴ θερμοὺς κάρτα ἐόντας. καὶ τὰς χεῖρας, καὶ τὸν τράχηλον, καὶ τὰ σκέλεα ἀνωμάλως διεῤῥιμμένα καὶ γυμνὰ, κακόν. ἀλυσμὸν γὰρ σημαίνει.

Θανατῶδες δὲ, καὶ τὸ κεχηνότα καθεύδειν αἰεί. καὶ τὰ σκέλεα ὑπτίου κειμένου ξυγκεκαμμένα εἶναι ἰσχυρῶς, καὶ διαπεπλεγμένα. ἐπὶ γαστέρα δὲ κεῖσθαι ᾧ μὴ σύνηθές ἐστι καὶ ὑγιαίνοντι οὕτω κοιμᾶσθαι, παραφροσύνην τινὰ σημαίνει, ἢ ὀδύνην τῶν ἀμφὶ τὴν κοιλίην τόπων. ἀνακαθίζειν δὲ βούλεσθαι τὸν νοσέοντα, τῆς νόσου ἀκμαζούσης, πονηρὸν μὲν ἐν πᾶσι τοῖς ὀξέσι νουσήμασι. κάκιστον δὲ, ἐν τοῖσι περιπλευμονικοῖσιν.

Ὀδόντας δὲ πρίειν ἐν πυρετοῖσιν, ὁκόσοισι μὴ ξύνηθές ἐστιν ἀπὸ παίδων, μανικὸν καὶ θανατῶδες, ἀλλὰ προλέγειν ἀπ᾽ ἀμφοῖν κίνδυνον ἐσόμενον. ἢν δὲ καὶ παραφρονέων τοῦτο ποιῇ, ὀλέθριον γίνεται κάρτα ἤδη.

Ἕλκος δὲ ἤν τε καὶ προγεγονὸς τύχῃ ἔχων, ἤν τε καὶ ἐν τῇ νούσῳ γένηται, καταμανθάνειν δεῖ. ἢν γὰρ μέλλῃ ἀπόλλυσθαι ὁ ἄνθρωπος, πρὸ τοῦ θανάτου, πελιδνόν τε καὶ ξηρὸν ἔσται, ἢ ὠχρόν τε καὶ ξηρόν.

Περὶ δὲ χειρῶν φορῆς, τάδε γινώσκω. ὁκόσοισιν ἐν πυρετοῖσιν ὀξέσιν, ἢ περιπλευμονίῃσιν, ἢ φρενίτισι, ἢ ἐν κεφαλαλγίῃσι, πρὸ τοῦ προσώπου φερομένας καὶ θηρευούσας διὰ κενῆς. καὶ ἀποκαρφολογούσας. καὶ κροκύδας ἀπὸ τῶν ἱματίων ἀποτιλλούσας. καὶ ἀπὸ τοῦ τοίχου ἄχυρα ἀποσπώσας, πάσας εἶναι κακὰς καὶ θανατώδεας.

Πνεῦμα δὲ πυκνὸν μὲν ἐὸν, πόνον σημαίνει. ἢ φλεγμονὴν, ἐν τοῖσιν ὑπὲρ τῶν φρενῶν χωρίοισι. μέγα δὲ ἀναπνεόμενον καὶ διὰ πουλλοῦ χρόνου, παραφροσύνην δηλοῖ. ψυχρὸν δὲ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν καὶ τοῦ στόματος, ὀλέθριον κάρτα ἤδη γίνεται. εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν ἐς σωτηρίην ἐν ἅπασι τοῖσιν ὀξέσι νουσήμασιν, ὅσα ξὺν πυρετοῖσίν ἐστι, καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται.

Οἱ δὲ ἱδρῶτες, ἄριστοι μέν εἰσιν ἐν πᾶσι τοῖς ὀξέσι νουσήμασιν, ὁκόσοι ἐν ἡμέρῃσί τε κρισίμοισι γίνονται, καὶ τελέως τὸν πυρετὸν ἀπαλλάττουσιν. ἀγαθοὶ δὲ καὶ ὁκόσοι διὰ παντὸς τοῦ σώματος γινόμενοι, ἀπέδειξαν τὸν ἄνθρωπον εὐπετέστερον φέροντα τὸ νόσημα. οἳ δ᾽ ἂν μὴ τοιοῦτόν τι ἐργάσωνται, οὐ λυσιτελέες. κάκιστοι δὲ, οἱ ψυχροί τε καὶ μοῦνον περὶ τὴν κεφαλήν τε καὶ τὸ πρόσωπον γινόμενοι καὶ τὸν αὐχένα. οὗτοι γὰρ ξὺν μὲν ὀξεῖ πυρετῷ θάνατον προσημαίνουσι. ξὺν δὲ πρηϋτέρῳ, μῆκος νούσου. καὶ οἱ κατὰ πᾶν τὸ σῶμα ὡσαύτως γινόμενοι, ἴσοι περὶ τὴν κεφαλήν. οἱ δὲ κεγχροειδέες καὶ μοῦνον περὶ τὸν τράχηλον γινόμενοι, πονηροί. οἱ δὲ μετὰ σταλαγμῶν καὶ ἀτμίζοντες, ἀγαθοί. κατανοεῖν δὲ χρὴ τὸ σύνολον τῶν ἱδρώτων. γίνονται γὰρ οἱ μὲν δι᾽ ἔκλυσιν σωμάτων, οἱ δὲ, διὰ συντονίην φλεγμονῆς.

Ὑποχόνδριον δὲ, ἄριστον μὲν, ἀνώδυνόν τε ἐὸν, καὶ μαλθακὸν, καὶ ὁμαλὸν. καὶ ἐπὶ δεξιὰ καὶ ἐπ᾽ ἀριστερά. φλεγμαῖνον δὲ, ἢ ὀδύνην παρέχον, ἢ ἐντεταμένον, ἢ ἀνωμάλως διακείμενα τὰ δεξιὰ πρὸς τὰ ἀριστερὰ, ταῦτα πάντα φυλάσσεσθαι χρή. εἰ δὲ καὶ σφυγμὸς ἐνείη ἐν τῷ ὑποχονδρίῳ, θόρυβον σημαίνει, ἢ παραφροσύνην, ἀλλὰ τοὺς ὀφθαλμοὺς ἐπικατιδεῖν τῶν τοιουτέων. ἢν γὰρ αἱ ὄψιες πυκνὰ κινέωνται, μανῆναι τούτοις ἐλπίς. οἴδημα δὲ ἐν τῷ ὑποχονδρίῳ σκληρόν τε ἐὸν καὶ ἐπώδυνον, κάκιστον μὲν, εἰ παρ᾽ ἅπαν εἴη τὸ ὑποχόνδριον. εἰ δὲ εἴη ἐν τῷ ἑτέρῳ μέρει, ἀ-

κινδυνώτερον

κινδυνωδέστερόν ἐστιν ἐν τῷ ἐπ' ἀριστερά. σημαίνει δὲ τὰ τοιαῦτα οἰδήματα ἐν ἀρχῇ μὲν θάνατον ὀλιγοχρόνιον ἔσεσθαι. ἢν δὲ ὑπερβάλλῃ εἴκοσιν ἡμέρας ὅ, τε πυρετὸς ἔχων καὶ τὸ οἴδημα μὴ καθιστάμενον, ἐς διαπύησιν τρέπεται. γίνεται δὲ τουτέοισιν ἐν τῇ πρώτῃ περιόδῳ, καὶ αἵματος ῥῆξις ἐκ τῶν ῥινῶν, καὶ κάρτα ὠφελεῖ. ἀλλ' ἐπανερωτᾷν χρὴ, εἰ τὴν κεφαλὴν ἀλγέουσιν, ἢ ἀμβλυωπέουσιν. ἢν γάρ τι τοιοῦτον εἴη, ἐνταῦθα ῥέποι. μᾶλλον δὲ τοῖσι νεωτέροισι πέντε καὶ τριήκοντα ἐτέων, τὴν τοῦ αἵματος ῥῆξιν προσδέχεσθαι χρή. τὰ δὲ μαλθακὰ τῶν οἰδημάτων καὶ ἀνώδυνα καὶ τῷ δακτύλῳ ὑπείκοντα, χρονιωτέρας τὰς κρίσιας ποιέεται, καὶ ἧσσον ἐκείνων δεινότερά ἐστιν. εἰ δὲ ὑπερβάλλοι ἑξήκοντα ἡμέρας ὅ, τε πυρετὸς ἔχων καὶ τὸ οἴδημα μὴ καθίσταται, ἔμπυον ἔσεσθαι σημαίνει. καὶ τοῦτο καὶ τὸ ἐν τῇ ἄλλῃ κοιλίῃ κατὰ τὸ αὐτό. ὁκόσα μὲν οὖν ἐπώδυνά τε ἐστὶ, καὶ σκληρὰ καὶ μεγάλα σημαίνει κίνδυνον θανάτου, ὀλιγοχρόνιον. ὁκόσα δὲ μαλθακά τε καὶ ἀνώδυνα καὶ τῷ δακτύλῳ πιεζόμενα ὑπείκει, χρονιώτερα ἐκείνων. τὰς δὲ ἀποστάσιας ἧσσον τὰ ἐν τῇ γαστρὶ οἰδήματα ποιέεται, τῶν ἐν τοῖσιν ὑποχονδρίοισιν. ἥκιστα δὲ τὰ ὑποκάτω τοῦ ὀμφαλοῦ ἐς διαπύησιν τρέπεται. αἵματος δὲ ῥῆξιν ἐκ τῶν ἄνω τόπων μάλιστα προσδέχεσθαι. ἀπάντων δὲ χρὴ τῶν οἰδημάτων χρονιζόντων περὶ ταῦτα τὰ χωρία, ὑποσκέπτεσθαι τὰς ἐκπυήσιας. τὰ δὲ διαπυήματα ὧδε δεῖ σκέπτεσθαι τὰ ἐντεῦθεν. ὁκόσα μὲν ἔξω τρέπεται, ἄριστά ἐστι. μικρά τε ἐόντα, καὶ ὡς μάλιστα ἐκκλίνοντα ἔξω, καὶ ἐς ὀξὺ ἀποκυρτούμενα. τὰ δὲ μεγάλα τε ἐόντα καὶ πλατέα, καὶ ἥκιστα ἐς ὀξὺ ἀποκορυφούμενα, κάκιστα. ὅσα δὲ ἔσω ῥήγνυται, ἄριστά ἐστιν, ἃ μηδὲν τῷ ἔξω χωρίῳ ἐπικοινωνέει, ἀλλ' ἐστὶ προσεσταλμένα τε καὶ ἀνώδυνα. καὶ πᾶν τὸ ἔξω χωρίον, ὁμόχροον φαίνεται. Τὸ δὲ πύον, ἄριστον λευκόν τε εἶναι, καὶ ὁμαλὸν, καὶ λεῖον, καὶ ὡς ἥκιστα δυσῶδες. τὸ δὲ ἐναντίον τουτέου, κάκιστον. Οἱ δὲ ὕδρωπες, οἱ ἐκ τῶν ὀξέων νουσημάτων πάντες κακοί. οὔτε γὰρ τοῦ πυρὸς ἀπαλλάσσουσιν. ἐπώδυνοί τε εἰσὶ κάρτα καὶ θανατώδεες. ἄρχονται δὲ οἱ πλεῖστοι, ἀπὸ τῶν κενεώνων καὶ τῆς ὀσφύος. οἱ δὲ ἀπὸ τοῦ ἥπατος. οἷσι μὲν οὖν ἀπὸ τῶν κενεώνων καὶ τῆς ὀσφύος αἱ ἀρχαὶ γίνονται, οἵ τε πόδες οἰδέουσι, καὶ διάρροιαι πολυχρόνιοι ἔχουσιν, οὔτε τὰς ὀδύνας λύουσαι τὰς ἐκ τῶν κενεώνων καὶ τῆς ὀσφύος, οὔτε τὴν γαστέρα λαπάσσουσαι. ὁκόσοισι δὲ ἀπὸ τοῦ ἥπατος ὕδρωπες γίνονται, βῆχές τε καὶ θυμὸς τούτοισιν ἐγγίνεται. καὶ οὐδέν τι ἀποπτύουσιν ἄξιον λόγου. καὶ οἱ πόδες οἰδέουσι. καὶ ἡ γαστὴρ οὐ διαχωρέει, εἰ μὴ σκληρά τε καὶ πρὸς ἀνάγκην. καὶ περὶ τὴν κοιλίην γίνονται οἰδήματα, τὰ μὲν ὁτὲ δεξιὰ, τὰ δ' ἐπ' ἀριστερὰ, ἱστάμενά τε καὶ καταπαυόμενα. κεφαλὴ δὲ καὶ χεῖρες καὶ πόδες, ψυχρὰ ἐόντα, κακόν. τῆς τε κοιλίης καὶ τῶν πλευρῶν, θερμῶν ἐόντων. ἄριστον δὲ καὶ ὅλον τὸ σῶμα, θερμόν τε ἐὸν καὶ μαλθακόν. στρέφεσθαι δὲ χρὴ ῥηϊδίως τὸν ἀλγέοντα καὶ ἐν τοῖσι μετεωρισμοῖσιν ἐλαφρὸν εἶναι. εἰ δὲ βαρὺς ἐὼν φαίνοιτο, καὶ τὸ ἄλλο σῶμα καὶ τὰς χεῖρας καὶ τοὺς πόδας, ἐπικινδυνώτερον. εἰ δὲ πρὸς τῷ βάρει καὶ οἱ ὄνυχες καὶ οἱ δάκτυλοι πελιδνοὶ γίνονται, προσδόκιμος ὁ θάνατος παραυτίκα. μελαινόμενοι δὲ παντελῶς οἱ δάκτυλοι, καὶ οἱ πόδες, ἧσσον ὀλέθριοι τῶν πελιδνῶν εἰσίν. ἀλλὰ καὶ τἄλλα σημεῖα σκέπτεσθαι χρή. ἢν γὰρ εὐπετέως φέρων φαίνηται τὸ κακὸν, καὶ ἄλλο τι τῶν περιεστηκότων πρὸς τουτέοισι τοῖσι σημείοισιν ὑποδεικνύει, τὸ νόσημα ἐς ἀπόστασιν τραπῆναι ἐλπίς. ὥστε τὸν μὲν ἄνθρωπον περιγενέσθαι, τὰ δὲ μελανθέντα τοῦ σώματος ἀποπεσεῖν. ὄρχιες δὲ καὶ αἰδοῖα ἀνεσπασμένα, πόνους ἰσχυροὺς σημαίνει, καὶ κίνδυνον θανατώδεα. Περὶ δὲ ὕπνου ὥσπερ κατὰ φύσιν συνήθεες ἡμῖν ἐστι, τὴν μὲν ἡμέρην, ἐγρηγορέναι χρή. τὴν δὲ νύκτα, καθεύδειν. ἢν δὲ εἴη τοῦτο μεταβεβλημένον, κάκιον. ἥκιστα δ' ἂν λυπέοιτο, εἰ κοιμῷτο τὸ πρωῒ ἐς τὸ τρίτον μέρος τῆς ἡμέρης. οἱ δὲ ἀπὸ τουτέου τοῦ χρόνου ὕπνοι, πονηρότεροί εἰσι. κάκιστον δὲ μὴ κοιμᾶσθαι, μήτε τῆς νυκτὸς, μήτε τῆς ἡμέρης. ἢ γὰρ ὑπὸ ὀδύνης τε καὶ πόνων ἀγρυπνίη, ἢ παραφροσύνη ἔσται ἀπὸ τουτέου τοῦ σημείου. Διαχώρημα δὲ ἐστὶν ἄριστον, τὸ μαλθακόν τε καὶ ξυνεστηκός. καὶ τὴν ὥρην ἥνπερ καὶ ὑγιαίνοντι ὑποχωρέει. πλῆθος δὲ πρὸς λόγον τῶν εἰσιόντων. τοιαύτης γὰρ ἐούσης τῆς διεξόδου, ἡ κάτω κοιλίη ὑγιαίνοι ἄν. εἰ δὲ εἴη ὑγρὸν τὸ διαχώρημα, ξυμφέρει μήτε τρύζειν, μήτε πυκνόν τι εἶναι, καὶ κατ' ὀλίγον ὑποχωρέειν. κοπιῇ γὰρ ὁ ἄνθρωπος, ὑπὸ τοῦ ξυνεχέος ἐξανιστάσιος, καὶ ἀγρυπνοίη ἄν. εἰ δὲ ἀθρόον πολλάκις διαχωρέει, κίνδυνος λειποθυμῆσαι. ἀλλὰ χρὴ κατὰ τὸ πλῆθος τῶν εἰσιόντων, ἢ δὶς, ἢ τρὶς τῆς ἡμέρης ὑποχωρέειν. τῆς δὲ νυκτὸς, ἅπαξ. πλεῖονα δ' ὁτὲ τὸ πρωῒ, ὥσπερ συνήθεές ἐστι τῷ ἀνθρώπῳ πα-

χωρέεσθαι δὲ χρὴ τὸ διαχώρημα, ἰούσης πρὸς κρίσιν τῆς νόσου. ὑπόπυῤῥον δὲ ἔστω, καὶ μὴ λίην δυσῶδες. ἐπιτήδειον δὲ καὶ ἕλμινθας στρογγύλας διεξιέναι μετὰ τοῦ διαχωρήματος, πρὸς κρίσιν ἰούσης τῆς νόσου. δεῖ δὲ ἐν παντὶ τῷ νοσήματι, λαπαρὴν τὴν κοιλίην εἶν, καὶ εὔογκον. ὑδαρὲς δὲ κάρτα ἢ λευκὸν, ἢ χλωρὸν, ἢ ἐρυθρὸν ἰσχυρῶς, ἢ ἀφρῶδες διαχωρέειν, πονηρὰ ταῦτα πάντα. ἔτι δὲ πονηρὸν, καὶ σμικρόν τε ἐὸν, καὶ γλίσχρον, καὶ λευκὸν, καὶ ὑπόχλωρον, καὶ λεῖον. τουτέων δὲ θανατωδέστερα ἂν εἴη, τὰ μέλανα, ἢ λιπαρὰ, ἢ πέλια, ἢ ἰώδεα, ἢ κάκοδμα. τὰ δὲ ποικίλα, χρονιώτερα μὲν τουτέων. ὀλέθρια δὲ οὐδὲν ἧσσον. ἔστι δὲ τὰ τοιαῦτα, ξυσματώδεα, καὶ χολώδεα, καὶ πρασοειδέα, καὶ μέλανα. ποτὲ μὲν ὁμοῦ διεξερχόμενα ἀλλήλοισι. ποτὲ δὲ κατὰ μέρος. φῦσαν δὲ ἄνευ ψόφου καὶ περδήσιος διεξιέναι, ἄριστον. κρέσσον δὲ καὶ σὺν ψόφῳ διελθεῖν, ἢ αὐτοῦ ἀνειλέεσθαι. καὶ οὕτω διελθοῦσα σημαίνει ἢ πονέειν τι τὸν ἄνθρωπον, ἢ παραφρονέειν. ἢν μὴ ἑκὼν ὁ ἄνθρωπος οὕτω τὴν ἄφεσιν τῆς φύσης ποιήσηται. Τοὺς δὲ ἐκ τῶν ὑποχονδρίων πόνους τε καὶ κυρτώματα, ἢν ᾖ νεαρὰ καὶ μὴ ξὺν φλεγμονῇ, λύει βορβορυγμὸς ἐγγενόμενος ἐν τῷ ὑποχονδρίῳ. καὶ μάλιστα μὲν διεξιὼν ξὺν κόπρῳ τε καὶ οὔρῳ καὶ φύσῃ. ἢν δὲ μὴ, καὶ αὐτὸς δὴ περαιωθεὶς, ὠφελέει. ὠφελέει δὲ καὶ ὑποκαταβὰς ἐς τὰ κάτω χωρία. Τὸ δὲ οὖρον ἄριστόν ἐστιν, ὅταν ᾖ λευκή τε ἡ ὑπόστασις, καὶ λείη, καὶ ὁμαλὴ παρὰ πάντα τὸν χρόνον, ἔστ' ἂν κριθῇ ἡ νοῦσος. σημαίνει γὰρ ἀσφάλειάν τε καὶ νούσημα ὀλιγοχρόνιον ἔσεσθαι. εἰ δὲ διαλείποι, καὶ ποτὲ μὲν καθαρὸν οὐρέοιτο, ποτὲ δὲ ὑφίσταται τὸ λευκὸν καὶ λεῖον, χρονιωτέρα γίνεται ἡ νοῦσος. καὶ ἧσσον ἀσφαλής. εἰ δὲ εἴη τότε οὖρον ὑπέρυθρον, καὶ ἡ ὑπόστασις αὐτέου ὁμοίη, καὶ λείη, πολυχρονιώτερον μὲν τοῦτο τοῦ πρώτου γίνεται, σωτήριον δὲ κάρτα. κριμνώδεες δὲ ἐν τοῖσιν οὔροισιν αἱ ὑποστάσιες, πονηραί. τουτέων δὲ ἔτι κακίους, αἱ πεταλώδεες. αἱ λευκαὶ δὲ καὶ λεπταὶ, κάρτα φλαῦραι. τουτέων δ' ἔτι κακίους εἰσὶν, αἱ πιτυρώδεες. νεφέλαι ἐμφερόμεναι τοῖσιν οὔροισι, λευκαὶ μὲν ἀγαθαί. μέλαιναι δὲ φλαῦραι. ἔστ' ἂν δὲ πυῤῥόν τε εἴη τὸ οὖρον καὶ λεπτὸν, σημαίνει τὸ νούσημα ἄπεπτον εἶναι. ἢν δὲ καὶ πουλυχρόνιον εἴη τοιοῦτον ἐὸν, κίνδυνος μὴ οὐ δυνήσεται ὁ ἄνθρωπος διαρκέσαι, ἔστ' ἂν πεπανθῇ τὸ οὖρον. θανατωδέστερα δὲ τῶν οὔρων, τά τε δυσώδεα καὶ ὑδατώδεα. καὶ μέλανα καὶ παχέα. ἔτι δὲ τοῖσι μὲν ἀνδράσι καὶ τῇσι γυναιξὶ, τὰ μέλανα τῶν οὔρων, κάκιστα. τοῖσι δὲ παιδίοισι, τὰ ὑδατώδεα. ὁκόσοι δ' ἂν οὖρα λεπτὰ καὶ ὠμὰ οὐρέουσι πουλὺν χρόνον, ἤν τ' ἄλλα ὡς περιεσομένοισι σημεῖα ᾖ, τουτέοισιν ἀπόστασιν δεῖ προσδέχεσθαι ἐς τὰ κάτω τῶν φρενῶν χωρία. καὶ τὰς λιπαρότητας δὲ τὰς ἄνω ὑφισταμένας ἀραχνοειδέας μέμφεσθαι, συντήξιος γὰρ σημεῖα. σκοπεῖν δὲ χρὴ τῶν οὔρων ἐν οἷσι αἱ νεφέλαι ἤν τε ἄνω ἤν τε κάτω ἔωσι, καὶ τὰ χρώματα ὁκοῖα ἴσχουσι. καὶ τὰς μὲν κάτω φερομένας ξὺν τοῖς χρώμασιν, οἷσιν εἴρηται, ἀγαθὰς εἶναι νομίζειν καὶ ἐπαινέειν. τὰς δὲ ἄνω ξὺν τοῖσι χρώμασιν, οἷσιν εἴρηται, κακὰς εἶναι, καὶ μέμφεσθαι τὰς τοιάσδε. μὴ ἐξαπατάτω δέ σε ἤν γε ἡ κύστις τι νούσημα ἔχουσα, τῶν οὔρων τὰ τοιαῦτα ἀποδιδῷ. οὐ γὰρ τοῦ ὅλου σώματος σημεῖόν ἐστιν, ἀλλ' αὐτῆς καθ' ἑωυτῆς.

Ἔμετος δὲ ὠφελιμώτατος, ὁ φλέγματος καὶ χολῆς ξυμμεμιγμένος, καὶ μὴ παχὺς κάρτα, μὴ δὲ πολὺς, ὡς μάλιστα. οἱ γὰρ ἀκρητέστεροι, κακίους εἰσίν. εἰ δὲ εἴη τὸ ἐμεύμενον πρασοειδὲς, ἢ πέλιον, ἢ μέλαν, ὅ,τι ἂν ᾖ τουτέων τῶν χρωμάτων, νομίζειν χρὴ πονηρὸν εἶναι. εἰ δὲ καὶ πάντα τὰ χρώματα ὁ αὐτὸς ἄνθρωπος ἐμέει, κάρτα ὀλέθριον ἤδη γίνεται. τάχιστα γὰρ θάνατον σημαίνει τὸ πέλιον τῶν ἐμεσμάτων, εἰ ὄζει δυσῶδες. πᾶσαι δὲ αἱ ὑπόσαπροι καὶ δυσώδεες ὀσμαὶ, κακαὶ ἐπὶ πᾶσι τοῖσιν ἐμεομένοισιν. Πτύελον χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀλγήμασι, τοῖσι περὶ τὸν πλεύμονα καὶ τὰς πλευρὰς, ταχέως τε ἀναπτύεσθαι, καὶ εὐπετέως. ξυμμεμιγμένον τε φαίνεσθαι τὸ ξανθὸν ἰσχυρῶς τῷ πτυέλῳ. εἰ γὰρ πολλῷ ὕστερον μετὰ τὴν ἀρχὴν τῆς ὀδύνης ἀναπτύοιτο, ξανθὸν ἐὸν, ἢ πυῤῥὸν, ἢ πολλὴν βῆχα παρέχον, καὶ μὴ ἰσχυρῶς ξυμμεμιγμένον, κάκιον γίνεται. τό, τε γὰρ ξανθὸν ἄκρητον ἐὸν, κινδυνῶδες. τὸ δὲ λευκὸν καὶ γλίσχρον καὶ στρογγύλον, ἀλυσιτελές. κακὸν δὲ καὶ τὸ χλωρὸν ἐὸν κάρτα καὶ τὸ ἀφρῶδες. εἰ δὲ εἴη οὕτως ἄκρητον, ὥστε καὶ μέλαν φαίνεσθαι, δεινότερόν ἐστι τοῦτο ἐκείνων. κακὸν δὲ καὶ ἢν μηδὲν ἀνακαθαίρηται, μὴ δὲ προΐῃ ὁ πλεύμων, ἀλλὰ πλήρης ἐὼν, ζέῃ ἐν τῷ φάρυγγι. κορύζας δὲ καὶ πταρμοὺς ἐπὶ πᾶσι τοῖσι περὶ τὸν πλεύμονα νουσήμασι, προγεγονέναι ἢ ἐπιγενέσθαι κακόν. ἀλλ' ἐν τοῖσιν ἄλλοισιν νουσήμασι τοῖς θανατώδεσι τοῖσιν, οἱ πταρμοὶ

λυσιτελοῦσιν

λυσιτελοῦσιν. αἵματι δὲ ξυμμεμιγμένον μὴ πολλῷ πτύελον ξανθὸν, ἐν τοῖσι περιπλευμονικοῖσιν, ἐν ἀρχῇ μὲν τῆς νούσου πτυόμενον περιεστικὸν καὶ κάρτα ὠφελεῖ. ἑβδομαίῳ δὲ ἐόντι ἢ παλαιοτέρῳ, ἧσσον ἀσφαλές. πάντα δὲ πτύελα πονηρά ἐστιν ὁκόσα ἂν τὴν ὀδύνην μὴ παύῃ. κάκιστα δὲ τὰ μέλανα, ὡς διαγέγραπται. τὰ δὲ παύοντα ὀδύνην, πάντων ἀμείνω ἀναπτυόμενα. ὁκόσα δὲ τῶν ἀλγημάτων ἐκ τουτέων τῶν χωρίων μὴ παύηται, μήτε πρὸς τὰς τῶν πτυέλων καθάρσιας, μήτε πρὸς τὴν τῆς κοιλίης ἐκκόπρωσιν, μήτε πρὸς τὰς φλεβοτομίας τε ἢ φαρμακείας καὶ διαίτας, εἰδέναι δεῖ ἐκπυήσοντα. τῶν δὲ ἐκπυημάτων ὁκόσα μὲν ἔτι χολώδεος ἐόντος τοῦ πτυέλου ἐκπυΐσκεται, ὀλέθρια κάρτα, ἤν τε ἐν μέρει τὸ χολῶδες ὑπὸ τῷ πύῳ ἀναπτύοιτο, ἤν τε ὁμοῦ. μάλιστα δὲ ἢν ἄρξηται χωρέειν τὸ ἐμπύημα, ἀπὸ τουτέου τοῦ πτυέλου, ἑβδομαίου ἐόντος τοῦ νοσήματος. ἐλπὶς δὲ τὸν τὰ τοιαῦτα πτύοντα, ἀποθανέεσθαι τεσσαρεσκαιδεκαταῖον, ἢν μή τι αὐτέῳ ἐπιγένηται ἀγαθόν. ἔστι δὲ τὰ μὲν ἀγαθὰ, τάδε. εὐπετέως φέρειν τὸ νούσημα. εὔπνοον εἶναι. τῆς ὀδύνης ἀπηλλάχθαι. τό, τε πτύελον, ῥηϊδίως ἀναβήσσειν. τό, τε σῶμα ὁμαλῶς φαίνεσθαι θερμόν τε εἶναι καὶ μαλθακόν. καὶ δίψαν μὴ ἔχειν. οὖρά τε καὶ διαχωρήματα καὶ ὕπνους καὶ ἱδρῶτας, ὡς διαγέγραπται ἕκαστα εἰδέναι ἀγαθὰ ἐόντα ἐπιγίνεσθαι. οὕτω μὲν γὰρ ἁπάντων τουτέων ἐπιγινομένων, οὐκ ἂν ἀποθάνοι ὁ ἄνθρωπος. ἢν δὲ τὰ μὲν τοι αὐτέων ἐπιγίνοιτο. τὰ δὲ μὴ, οὐ πλείονα χρόνον ζήσας ἢ τεσσαρεσκαίδεκα ἡμέρας, ἀπόλλοιτ' ἂν ὁ ἄνθρωπος. κατὰ δὲ τὰ ἐναντία τουτέων, δυσπετέως φέρειν τὴν νοῦσον. πνεῦμα μέγα καὶ πυκνὸν εἶναι. τὴν ὀδύνην μὴ παύεσθαι. τὸ πτύελον μόλις ἀναβήσσειν. δίψην κάρτα. τό, τε σῶμα ὑπὸ πυρὸς ἀνωμάλως ἔχεσθαι. καὶ τὴν μὲν κοιλίην καὶ τὰς πλευρὰς, θερμὰς εἶναι ἰσχυρῶς. τὸ δὲ μέτωπον καὶ τὰς χεῖρας καὶ τοὺς πόδας, ψυχρούς. οὖρα δὲ καὶ διαχωρήματα καὶ ὕπνους καὶ ἱδρῶτας ὡς διαγέγραπται ἕκαστα εἰδέναι, κακὰ ἐόντα. οὕτως γὰρ εἰ ἐπιγένοιτό τι τῷ πτυέλῳ τουτέων, ἀπόλλοιτο ἂν ὁ ἄνθρωπος, πρὶν ἢ ἐς τὰς τεσσαρεσκαίδεκα ἡμέρας ἀφικέσθαι, ἢ ἐναταῖος, ἢ ἑνδεκαταῖος. οὕτως οὖν ξυμβάλλεσθαι χρὴ, ὡς τοῦ πτυέλου τουτέου θανατώδεος ἐόντος μάλα, καὶ οὐ περιάγοντος ἐς τὰς τεσσαρεσκαίδεκα ἡμέρας. τὰ δὲ ἐπιγινόμενά τε κακὰ καὶ ἀγαθὰ ξυλλογιζόμενον ἐκ τουτέων, χρὴ τὰς προῤῥήσιας προλέγειν. οὕτω γὰρ ἄν τις ἀληθεύοι μάλιστα. αἱ δὲ ἄλλαι ἐκπυήσιες, ῥήγνυνται αἱ πλεῖσται. αἱ μὲν εἰκοσταῖαι. αἱ δὲ τριηκοσταῖαι. αἱ δὲ τεσσαρακονθήμεροι. αἱ δὲ πρὸς τὰς ἑξήκοντα ἡμέρας ἀφικνέονται. ἐπισκέπτεσθαι δὲ χρὴ τὴν ἀρχὴν τοῦ ἐμπυήματος ἔσεσθαι λογιζόμενον, ἀπὸ τῆς ἡμέρης ᾗ τὸ πρῶτον ὁ ἄνθρωπος ἐπύρεξεν, ἢ εἴποτε αὐτὸν πρῶτον ῥῖγος ἔλαβε. καὶ εἰ φαίη ἀντὶ τῆς ὀδύνης αὐτῷ βάρος γεγενῆσθαι ἐν τῷ τόπῳ ἐν ᾧ ἤλγεεν. ταῦτα γὰρ ἐν ἀρχῇσι γίνεται τῶν ἐμπυημάτων. ἐξ οὖν τουτέων τῶν χρόνων τὴν ῥῆξιν χρὴ προσδέχεσθαι τῶν ἐμπυημάτων, ἔσεσθαι ἐς τοὺς χρόνους τοὺς προειρημένους. εἰ δὲ εἴη τὸ ἐμπύημα ἐπὶ θάτερα μοῦνον, στρέφειν τε καὶ καταμανθάνειν χρὴ ἐπὶ τουτέοισι, μή τι ἔχῃ ἄλγημα ἐν τῷ ἑτέρῳ πλευρῷ. καὶ ἢν θερμότερον ᾖ τὸ ἕτερον τοῦ ἑτέρου, κατακλινομένου ἐπὶ τὸ ὑγιαῖνον πλευρὸν, ἐρωτᾶν εἴ τι αὐτῷ δοκέει βαρὺ ἐκκρέμασθαι ἐκ τοῦ ἄνωθεν. εἰ γὰρ εἴη τοῦτο, ἐπὶ θάτερόν ἐστι τὸ ἐμπύημα, ἐπὶ ὁκοῖον ἂν πλευρὸν τὸ βάρος γίνηται. τοὺς δὲ ξύμπαντας ἐμπύους γινώσκειν χρὴ, τοῖσι δὲ τοῖς σημείοισι. πρῶτον μὲν εἰ ὁ πυρετὸς οὐκ ἀφίησιν, ἀλλὰ τὴν μὲν ἡμέρην λεπτὸς ἴσχει, τὴν δὲ νύκτα πλείων. καὶ ἱδρῶτες πουλλοὶ ἐπιγίνονται. βῆχές τε καὶ θυμὸς ἐγγίνεται αὐτέοισι. καὶ ἀποπτύουσιν οὐδὲν ἄξιον λόγου. καὶ οἱ μὲν ὀφθαλμοὶ, ἔγκοιλοι γίνονται. αἱ δὲ γνάθοι, ἐρυθήματα ἴσχουσι. καὶ οἱ μὲν ὄνυχες τῶν χειρῶν, γρυποῦνται. οἱ δὲ δάκτυλοι, θερμαίνονται. καὶ μάλιστα ἄκροι. καὶ ἐν τοῖσι ποσὶν, οἰδήματα γίνεται. καὶ σιτίων οὐκ ἐπιθυμέουσι. καὶ φλύκταιναι γίνονται ἀνὰ τὸ σῶμα. ὁκόσα μὲν οὖν ἐγχρονίζει τῶν ἐμπυημάτων, ἔχει τὰ σημεῖα ταῦτα. καὶ πιστεύειν αὐτέοισι χρὴ κάρτα. ὁκόσα δὲ ὀλιγοχρόνιά ἐστι, σημαίνεσθαι τουτέων, ἤν τι ἐπιφαίνηται, οἷα καὶ τοῖσιν ἐν ἀρχῇσι γινομένοισιν. ἅμα δὲ καὶ ἤν τι δυσπνούστερος ᾖ ὁ ἄνθρωπος. τὰ δὲ ταχύτερον αὐτέων καὶ βραδύτερον ῥηγνύμενα, τοῖσδε γινώσκειν χρή. ἢν μὲν ὁ πόνος ἐν ἀρχῇσι γίνηται, καὶ ἡ δύσπνοια, καὶ ἡ βῆξ, καὶ ὁ πτυαλισμὸς διατείνῃ, ἐς τὰς εἴκοσιν ἡμέρας ἔχων, προσδέχεσθαι τὴν ῥῆξιν, ἢ καὶ ἔτι πρόσθεν. ἢν δὲ ἡσυχαίτερος ὁ πόνος ᾖ, καὶ τἄλλα πάντα ἐπὶ τουτέοισι κατὰ λόγον, ἐπὶ τουτέου προσδέχεσθαι τὴν ῥῆξιν, ἐς ὕστερον. γίνεσθαι δὲ ἀνάγκη καὶ πόνον, καὶ δύσπνοιαν, καὶ πτυελισμὸν πρὸ τῆς τοῦ πύου ῥήξιος.

ῥῆξιν. περιγίνονται δὲ τουτέων μάλιστα μὲν οὓς ἂν ἀφῇ ὁ πυρετὸς αὐθημερὸν μετὰ τὴν ῥῆξιν, καὶ σιτίων ταχέως ἐπιθυμῶσι, καὶ δίψης ἀπηλλαγμένοι ἔωσι, καὶ ἡ γαστὴρ σμικρά τε καὶ ξυνεστηκότα ὑποχωρέῃ, καὶ τὸ πῦον λευκόν τε καὶ λεῖον καὶ ὁμόχροον ᾖ καὶ φλέγματος ἀπηλλαγμένον, καὶ ἄτερ πόνου τε καὶ βηχὸς ἰσχυρῆς ἀνακαθαίρηται. ἄριστα μὲν οὕτως καὶ τάχιστα ἀπαλλάσσουσιν. ἢν δὲ μὴ, οἷσιν ἂν ἐγγυτάτω τουτέων γίνηται. ἀπόλλυνται δὲ οὓς ἂν ὅτε πυρετὸς μὴ ἀφείῃ, ἢ δοκέων αὐτέους ἀφιέναι, αὖθις φαίνηται ἀναθερμαινόμενος, καὶ δίψαν μὲν ἔχωσι, σιτίων δὲ μὴ ἐπιθυμέωσι, καὶ ἡ κοιλίη ὑγρὴ ᾖ, καὶ τὸ πῦον χλωρὸν καὶ πέλιον πτύῃ, ἢ φλεγματῶδες καὶ ἀφρῶδες. ἢν ταῦτα πάντα γίγνηται, ἀπόλλυνται. ὁκόσοισι δ' ἂν τουτέων τὰ μὲν ἐπιγένηται, τὰ δὲ μὴ, οἱ μὲν αὐτέων ἀπόλλυνται, οἱ δὲ ἐν πολλῷ χρόνῳ περιγίνονται. ἀλλ' ἐκ πάντων τῶν τεκμηρίων τῶν ἐόντων ἐν τουτέοισι, σημαίνεσθαι καὶ τοῖσιν ἄλλοισι πᾶσιν. ὁκόσοισι δὲ ἀποστάσιες γίγνονται ἐκ τῶν περιπλευμονικῶν νουσημάτων, παρὰ τὰ ὦτα, καὶ ἐμπύουσιν ἐς τὰ κάτω χωρία καὶ συριγγοῦνται, οὗτοι δὲ περιγίνονται. ἐπισκέπτεσθαι δὲ χρὴ τὰ τοιαῦτα ὧδε. ἢν ὅ τε πυρετὸς ἔχῃ, καὶ ἡ ὀδύνη μὴ παύηται, καὶ τὸ πτύελον μὴ ἐκχωρέῃ κατὰ λόγον, μὴ δὲ χολώδεες αἱ τῆς κοιλίης διαχωρήσιες, μὴ δὲ εὔλυτοί τε καὶ ἄκρητοι γίγνοιντο, καὶ μὴ δὲ τὸ οὖρον πουλύ τε κάρτα καὶ πουλλὴν ὑπόστασιν ἔχον, ὑπηρετῆται δὲ περιεστικῶς ὑπὸ τῶν λοιπῶν πάντων τῶν περιεστικῶν σημείων, τουτέοισι χρὴ τὰς τοιαύτας ἀποστάσιας ἐλπίζειν ἔσεσθαι. γίνονται δὲ αἱ μὲν ἐς τὰ κάτω χωρία οἷσιν ἂν περὶ τὰ ὑποχόνδρια τοῦ φλέγματός τι ἐγγίνηται. αἱ δὲ ἄνω, οἷσι τὸ ὑποχόνδριον λαπαρόν τε καὶ ἀνώδυνον διατελέῃ. δύσπνους δέ τινα χρόνον γενόμενος, παύσηται, ἄτερ φανερῆς προφάσιος ἄλλης. Αἱ δὲ ἀποστάσιες αἱ ἐς τὰ σκέλεα ἐν τῇσι περιπλευμονίῃσι τῇσιν ἰσχυρῇσί τε καὶ ἐπικινδύνοισι, λυσιτελέες μὲν πᾶσαι. ἄρισται δὲ αἱ τοῦ πτυέλου ἐν μεταβολῇ ἐόντος γιγνόμεναι. εἰ γὰρ τὸ οἴδημα καὶ ἡ ὀδύνη γίγνοιτο, τοῦ πτυέλου ἀντὶ ξανθοῦ πυώδεος γινομένου καὶ ἐκχωρέοντος ἔξω, οὕτως ἂν ἀσφαλέστατα ὅ, τε ἄνθρωπος περιγίνοιτο, καὶ ἡ ἀπόστασις ἀνώδυνος τάχιστα παύσεται. εἰ δὲ τὸ πτύελον μὴ ἐκχωρέῃ καλῶς, μὴ δὲ τὸ οὖρον ὑπόστασιν ἀγαθὴν ἔχον φαίνοιτο, κίνδυνος χωλὸν γενέσθαι τὸ ἄρθρον, ἢ πολλὰ πρήγματα παρασχεῖν. ἢν δὲ ἀφανίζωνται καὶ παλινδρομέωσιν αἱ ἀποστάσιες τοῦ πτυέλου μὴ ἐκχωρέοντος, καὶ τοῦ πυρετοῦ ἔχοντος, δεινόν. κίνδυνος γὰρ μὴ παραφρονήσῃ, καὶ ἀποθάνῃ ὁ ἄνθρωπος. τῶν δὲ ἐμπύων, τῶν ἐκ τῶν περιπλευμονικῶν, οἱ γεραίτεροι μᾶλλον ἀπόλλυνται. ἐκ δὲ τῶν ἄλλων ἐμπυημάτων, οἱ νεώτεροι μᾶλλον ἀποθνήσκουσιν. αἱ δὲ ξὺν πυρετῷ γινόμεναι ὀδύναι περὶ τὴν ὀσφὺν τε καὶ τὰ κάτω χωρία, ἢν τῶν φρενῶν ἅπτωνται, τὰ κάτω ἐκλείπουσαι, ὀλέθρια κάρτα. προσέχειν οὖν δεῖ τὸν νόον, τοῖσιν ἄλλοισι σημείοισιν, ὡς ἤν τι καὶ τῶν ἄλλων σημείων ἐπιφαίνηταί τι πονηρὸν, ἀνέλπιστος ὁ ἄνθρωπος. ὁκόσοι δὲ τῶν ἐμπύων καίονται, οἷσιν ἂν καθαρὸν μὲν τὸ πῦον ᾖ καὶ λευκὸν, καὶ μὴ δυσῶδες, σώζονται. οἷσι δὲ ὕφαιμόν τε καὶ βορβορῶδες, ἀπόλλυνται. εἰ δὲ ἀναΐσσοντος τοῦ νοσήματος ὡς πρὸς τὰς φρένας, τ' ἄλλα σημεῖα μὴ πονηρὰ ἐπιγίνηται, ἔμπυον ἔσεσθαι τοῦτον πολλαὶ ἐλπίδες. Κύστιες δὲ σκληραί τε καὶ ἐπώδυνοι, δειναὶ μὲν παντελῶς καὶ ὀλέθριαι. ὀλεθριώταται δὲ ὁκόσαι ξὺν πυρετῷ συνεχεῖ γίνονται. καὶ γὰρ οἱ ἀπ' αὐτέων τῶν κύστεων πόνοι, ἱκανοὶ ἀποκτεῖναι. καὶ αἱ κοιλίαι οὐ διαχωρέουσιν ἐν τουτέῳ τῷ χρόνῳ, εἰ μὴ σκληρὰ καὶ πρὸς ἀνάγκην. λύει δὲ οὖρον πυῶδες οὐρηθὲν, λευκὴν καὶ λείην ἔχον τὴν ὑπόστασιν. ἢν δὲ μήτε τὸ οὖρον μηδὲν ἐνδιδῷ ὁ πόνος, μήτε ἡ κύστις μαλάσσοιτο, ὅ, τε πυρετὸς ξυνεχὴς ᾖ ἐν τῇσι πρώτῃσι περιόδοισι τοῦ νοσήματος, ἐλπὶς τὸν ἀλγέοντα ἀποθανεῖσθαι. ὁ δὲ τρόπος οὗτος, ἅπτεται τῶν παιδίων μάλιστα τῶν ἑπταετέων, ἕως ἂν ἐς τὰ πεντεκαίδεκα ἔτεα γένωνται. Οἱ δὲ πυρετοὶ κρίνονται ἐν τῇσιν αὐτῇσιν ἡμέρῃσι τὸν ἀριθμὸν, ἐξ ὧν τε περιγίνονται οἱ ἄνθρωποι, καὶ ἐξ ὧν ἀπόλλυνται. οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν, καὶ ἐπὶ σημείων ἀσφαλεστάτων βεβῶτες τεταρταῖοι παύονται ἢ πρόσθεν. οἵ τε δὲ κακοηθέστατοι καὶ ἐπὶ σημείων δεινοτάτων γινόμενοι, τεταρταῖοι κτείνουσιν ἢ πρόσθεν. ἡ μὲν οὖν πρώτη ἔφοδος αὐτέων οὕτω τελευτᾷ. ἡ δὲ δευτέρη, ἐς τὴν ἑβδόμην περιάγεται. ἡ δὲ τρίτη, ἐς τὴν ἑνδεκάτην. ἡ δὲ τετάρτη, ἐς τὴν τεσσαρεσκαιδεκάτην. ἡ δὲ πέμπτη, ἐς τὴν ἑπτακαιδεκάτην. ἡ δὲ ἕκτη, ἐς τὴν εἰκοστήν. αὗται μὲν οὖν ἐκ τῶν ὀξυτάτων νουσημάτων διὰ τεσσάρων ἐς τὰς εἴκοσιν, ἐκ προσθέσιος τελευτῶσιν. οὐ δύναται δὲ ὅλῃσιν ἡμέρῃσιν οὐδὲν τουτέων ἀριθμεῖσθαι ἀτρεκέως, οὐ δὲ γὰρ

ὁ ἐνιαυτὸς τε καὶ οἱ μῆνες ὅλῃσιν ἡμέρῃσιν πεφύκασιν ἀριθμέεσθαι. μετὰ δὲ ταῦτα ἐν τῷ αὐτέῳ τρόπῳ κατὰ τὴν αὐτὴν πρόσθεσιν ἡ πρώτη περίοδος τεσσάρων καὶ τριήκοντα ἡμερέων. ἡ δὲ β' τεσσαράκοντα ἡμερέων. ἡ δὲ τρίτη ἑξήκοντα ἡμερέων. τουτέων δ' ἐν ἀρχῇσιν ἐστὶ χαλεπώτατον διαγινώσκειν, τὰ μέλλοντα ἐν πλείστῳ χρόνῳ κρίνεσθαι. ὁμοιόταται γὰρ αἱ ἀρχαί εἰσιν αὐτέων. ἀλλὰ χρὴ ἀπὸ τῆς πρώτης ἡμέρης ἐνθυμέεσθαι. καὶ καθ' ἑκάστην τετράδα προστιθεμένην σκέπτεσθαι. καὶ οὐ λήσεται ὅπῃ τρέψεται τὸ νόσημα. γίνεται δὲ ἡ τῶν τεταρταίων κατάστασις, ἐκ τοῦ τοιούτου κόσμου. τὰ δὲ ἐν ἐλαχίστῳ χρόνῳ μέλλοντα κρίνεσθαι, εὐπετέστερα γινώσκεσθαι. μέγιστα γὰρ τὰ διαφέροντα ἀπ' ἀρχῆς αὐτέων ἐστίν. οἱ μὲν γὰρ περιεσόμενοι, εὔπνοοί τε καὶ ἀνώδυνοί εἰσι. καὶ κοιμῶνται τὰς νύκτας. τά τε ἄλλα σημεῖα ἔχουσιν ἀσφαλέστατα. οἱ δὲ ἀπολλύμενοι, δύσπνοοι γίνονται. ἀλλοφάσσοντες. ἀγρυπνέοντες. τά τε ἄλλα σημεῖα κάκιστα ἔχοντες. ὡς οὖν τουτέων οὕτω γινομένων, ξυμβάλλεσθαι χρὴ κατά τε τὸν χρόνον, κατά τε τὴν πρόσθεσιν ἑκάστην ἐπὶ τὴν κρίσιν ἰόντων τῶν νοσημάτων. κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ τῇσι γυναιξὶν αἱ κρίσιες ἐκ τῶν τόκων γίνονται. κεφαλῆς δὲ ὀδύναι ἰσχυραί τε καὶ ξυνεχέες, ξὺν πυρετῷ. ἢν μέν τι τῶν θανατωδέων σημείων προσγίνοιτο, ὀλέθριον κάρτα. εἰ δὲ ἄτερ τῶν τοιούτων σημείων ἡ ὀδύνη ὑπερβάλλοι εἴκοσιν ἡμέρας, ὅ, τε πυρετὸς ἔχοι, ὑποσκέπτεσθαι χρὴ, αἵματος ῥῆξιν διὰ ῥινῶν. ἢ ἄλλην τινὰ ἀπόστασιν, ἐς τὰ κάτω χωρία. ἐς ἂν δὲ καὶ ἡ ὀδύνη ἢ νεαρά, προσδέχεσθαι χρὴ ὡσαύτως, αἵματος ῥῆξιν διὰ ῥινῶν, ἢ ἐκπύησιν. ἄλλως τε ἢν ἡ ὀδύνη περὶ τοὺς κροτάφους καὶ τὸ μέτωπον ᾖ. μᾶλλον δὲ χρὴ προσδέχεσθαι τοῦ μὲν αἵματος τὴν ῥῆξιν τοῖσι νεωτέροισι, πέντε καὶ τριήκοντα ἐτέων. τοῖσι δὲ γεραιτέροισι, τὴν ἐκπύησιν. ὠτὸς δὲ ὀξεῖα ὀδύνη ξὺν πυρετῷ ξυνεχεῖ τε καὶ ἰσχυρῷ, δεινόν. κίνδυνος γὰρ παραφρονῆσαι τὸν ἄνθρωπον, καὶ ἀπολέσθαι. ὡς οὖν τούτου τοῦ τρόπου σφαλεροῦ ἐόντος, ταχέως δεῖ προσέχειν τὸν νόον τοῖσι σημείοισι πᾶσιν, ἀπὸ πρώτης ἡμέρης. ἀπόλλυνται δὲ οἱ μὲν νεώτεροι τῶν ἀνθρώπων, ἑβδομαῖοι, καὶ ἔτι θᾶσσον ὑπὸ τούτου τοῦ νοσήματος. οἱ δὲ γέροντες, πολλῷ βραδύτερον. οἵ τε γὰρ πυρετοὶ καὶ αἱ παραφροσύναι, ἧσσον αὐτέοισιν ἐπιγίνονται. καὶ τὰ ὦτα διὰ τοῦτο φθάνει ἐκπυϊσκεσθαι. ἀλλὰ ταύτῃσι μὲν τῇσιν ἡλικίῃσιν ὑποστροφαὶ τοῦ νοσήματος ἐπιγινόμεναι, ἀποκτείνουσι τοὺς πλείστους. οἱ δὲ νεώτεροι, πρὶν ἐκπυῆσαι τὸ οὖς, ἀπόλλυνται. ἐπὴν γε ῥυῇ πύον λευκὸν ἐκ τοῦ ὠτὸς, ἐλπὶς περὶ νεωτέρῳ περιγενέσθαι, ἤν γε καὶ ἄλλο τι αὐτέῳ ἐπιγένηται χρηστὸν σημεῖον. φάρυγξ δὲ ἑλκουμένη, σὺν πυρετῷ, δεινόν, ἀλλ' ἤν τι καὶ ἄλλο σημεῖον γένηται τῶν προκεκριμένων πονηρῶν ἐὸν, προλέγειν ὡς ἐν κινδύνῳ ἐόντος τοῦ ἀνθρώπου.

Αἱ δὲ κυνάγχαι, δεινόταται μέν εἰσι καὶ τάχιστα ἀναιροῦσιν, ὁκόσαι μήτε ἐν τῇ φάρυγγι, μηδὲν ἔκδηλον ποιέουσι, μήτε ἐν τῷ αὐχένι. πλεῖστον δὲ πόνον παρέχουσι καὶ ὀρθόπνοιαν. αὗται γὰρ καὶ αὐθημερὸν ἀποπνίγουσι, καὶ δευτεραῖαι, καὶ τριταῖαι, καὶ τεταρταῖαι. ὅσαι δὲ τὰ μὲν ἄλλα παραπλησίως πόνον παρέχουσιν, ἐπαίρονται δὲ καὶ ἐρυθήματα ἐν τῇ φάρυγγι ποιέουσιν, ὀλέθριαι μὲν κάρτα. χρονιώτεραι δὲ μᾶλλον τῶν πρόσθεν, ἢν τὸ ἐρύθημα μέγα γίνηται. ὁκόσοισι δὲ ξυνεξερυθαίνει ἡ φάρυγξ καὶ ὁ αὐχὴν, αὗται δὴ χρονιώτεραι. καὶ μάλιστα ἐξ αὐτέων τινὲς περιφεύγουσιν, ἤν ὅ, τε αὐχὴν καὶ τὸ στῆθος ἐρύθημα ἔχῃ καὶ μὴ παλινδρομέῃ τὸ ἐρυσίπελας ἔσω. ἢν δὲ μήτε ἐν ἡμέρῃσι κρισίμῃσιν ἀφανίζηται τὸ ἐρυσίπελας, μήτε φύματος ξυστραφέντος ἐν τῷ ἔξω χωρίῳ, μήτε πύον ἀποβήσσῃ, ῥηϊδίως τε καὶ ἀπόνως ἔχειν δοκέῃ, θάνατον σημαίνει, ἢ ὑποστροφὴν τοῦ ἐρυθήματος. ἀσφαλέστερον δὲ τὸ οἴδημα καὶ τὸ ἐρύθημα ὡς μάλιστα ἔξω τρέπεσθαι. ἢν δὲ ἐς τὸν πνεύμονα τραπέῃ, παράνοιάν τε ποιέει καὶ ἔμπυοι ἐξ αὐτέων τινὲς ὡς τὰ πολλὰ γίνονται.

Οἱ δὲ γαργαρεῶνες, ἐπικίνδυνοι, καὶ ἀποτάμνεσθαι καὶ ἀποσχάζεσθαι, ἐς ἂν ἐρυθροί τε ὦσι καὶ μεγάλοι. καὶ γὰρ φλεγμοναὶ ἐπιγίνονται τουτέοισι καὶ αἱμοῤῥαγίαι. ἀλλὰ χρὴ τὰ τοιαῦτα τοῖσιν ἄλλοισι μηχανήμασι πειρῆσθαι κατισχναίνειν ἐν τουτέῳ τῷ χρόνῳ. ὁπόταν δὲ ἀποκριθῇ ἤδη πᾶν, ὃ δὴ σταφυλὴν καλέουσι, καὶ γένηται τὸ μὲν ἄκρον τοῦ γαργαρεῶνος μεῖζόν τε καὶ περιφερὲς, τὸ δὲ ἀνωτέρω, λεπτότερον ἐν τουτέῳ τῷ καιρῷ, ἀσφαλὲς διαχειρίζειν. ἄμεινον δὲ καὶ τὴν κοιλίην ὑποκενώσαντα χειρουργίῃ χρῆσθαι, ἢν ὅ, τε χρόνος ξυγχωρέῃ, καὶ μὴ ἀποπνίγηται ὁ ἄνθρωπος.

Ὁκόσοισι δ' ἂν οἱ πυρετοὶ παύωνται, μήτε σημείων γενομένων λυτηρίων, μήτε ἐν ἡμέρῃσι κρισίμῃσιν, ὑποστροφὴν προσδέχεσθαι χρὴ τουτέοισιν.

Ὅστις δ' ἂν τῶν πυρετῶν μηκύνῃ περιεστικῶς διακειμένου τοῦ ἀνθρώπου, μηκέτι ὀδύνας ἔχοντος διὰ φλεγμο-

νήν τινα

τινα. μήτε διὰ πρόφασιν ἄλλην μηδεμίαν ἐμφανέα, τουτέῳ προσδέχεσθαι ἀπόστασιν μετ' οἰδήματός τε καὶ ὀδύνης ἔς τι τῶν ἄρθρων, καὶ οὐχ ἧσσον ἐκ τῶν κάτω. μᾶλλον δὲ γίνονται καὶ ἐν ἐλάσσονι χρόνῳ αἱ τοιαῦται ἀποστάσιες, τοῖσι νεωτέροισι τριήκοντα ἐτέων. ὑποσκέπτεσθαι δὲ χρὴ εὐθέως τὰ περὶ τῆς ἀποστάσιος, ἢν εἴκοσιν ἡμέρας ὁ πυρετὸς ἔχων, ὑπερβάλλῃ. τοῖσι δὲ γεραιτέροισιν ἧσσον γίνεται πολυχρονιωτέρου ἐόντος τοῦ πυρετοῦ. χρὴ δὲ τὴν μὲν τοιαύτην ἀπόστασιν προσδέχεσθαι, συνεχέος ἐόντος τοῦ πυρετοῦ. ἐς δὲ τεταρταῖον καταστήσεσθαι, ἢν διαλείπῃ τε καὶ καταλαμβάνῃ, πεπλανημένον τρόπον. καὶ ταῦτα ποιέων τῷ φθινοπώρῳ προσπελάσῃ. ὥσπερ δὲ τοῖσι νεωτέροισι τῶν τριήκοντα ἐτέων αἱ ἀποστάσιες γίνονται, οὕτως οἱ τεταρταῖοι μᾶλλον τοῖσι τριήκοντα ἐτέων, καὶ γεραιτέροισι. τὰς δὲ ἀποστάσιας εἰδέναι χρὴ, τοῦ χειμῶνος μᾶλλον γινομένας χρονιωτέρας τε παυομένας, ἧσσον δὲ παλινδρομεούσας. Ὅστις δ' ἂν ἐν πυρετῷ μὴ θανατώδει φῇ τὴν κεφαλὴν ἀλγέειν, ἢ καὶ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, ἢ καρδιωγμὸς τουτέῳ προσγένηται, χολώδης ἔμετος πάρεστι. ἢν δὲ καὶ ῥῖγος προσγένηται καὶ τὰ κάτω μέρη τοῦ ὑποχονδρίου ψυχρὰ ἔχῃ, καὶ θᾶσσον ἔτι ὁ ἔμετος παρέσται. ἢν δέ τι πίῃ ἢ φάγῃ ὑπὸ τοῦτον τὸν χρόνον, κάρτα τοῦτο ταχέως ἐμεῖται. τουτέων δὲ οἷσιν ἂν ἄρξηται ὁ πόνος τῇ πρώτῃ ἡμέρῃ γίνεσθαι, τεταρταῖοι πιέζονται μάλιστα καὶ πεμπταῖοι. ἐς δὲ τὴν ἑβδόμην ἀπαλλάσσονται. οἱ μέντοι πλείονες αὐτῶν, ἄρχονται μὲν πονέεσθαι, τριταῖοι. χειμάζονται δὲ μάλιστα, πεμπταῖοι. ἀπαλλάσσονται δὲ ἐναταῖοι, ἢ ἑνδεκαταῖοι. οἳ δ' ἂν ἄρξωνται πεμπταῖοι πονέεσθαι, καὶ τἆλλα κατὰ λόγον αὐτέοισι τῶν πρόσθεν γίνηται, ἐς τὴν τεσσαρεσκαιδεκάτην κρίνεται ἡ νοῦσος. γίνεται δὲ ταῦτα, τοῖσι μὲν ἀνδράσι, καὶ τῇσι γυναιξὶ, ἐν τοῖσι τριταίοισι μάλιστα. τοῖσι δὲ νεωτέροισι, γίνεται μὲν καὶ ἐν τούτοισι. μᾶλλον δὲ ἐν τοῖσι ξυνεχεστέροισι πυρετοῖσιν, καὶ ἐν τοῖσι γνησίοισι τριταίοισι. οἷσι δ' ἂν τοιουτοτρόπῳ πυρετῷ κεφαλὴν ἀλγέουσι, ἀντὶ μὲν τοῦ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, ἀμβλυωγμὸς γίνεται, ἢ μαρμαρυγαὶ προφαίνονται. ἀντὶ δὲ τοῦ καρδιώσσειν, ἐν τῷ ὑποχονδρίῳ ἢ ἐπὶ δεξιὰ ἢ ἐπ' ἀριστερὰ, ξυντείνεταί τι, μήτε ξὺν ὀδύνῃ, μήτε ξὺν φλεγμονῇ, αἷμα διὰ τῶν ῥινῶν τούτοισι ῥυῆναι προσδόκιμον, ἀντὶ τοῦ ἐμέτου. μᾶλλον δὲ καὶ ἐνταῦθα τοῖσι νέουσι τοῦ αἵματος τὴν ῥῆξιν προσδέχεσθαι. τοῖσι δὲ τριήκοντα ἔτεσι καὶ γεραιτέροισιν, ἧσσον, ἀλλὰ τοὺς ἐμέτους τούτοις προσδέχεσθαι. τοῖσι δὲ παιδίοισι σπασμοὶ γίνονται, ἢν ὁ πυρετὸς ὀξὺς ᾖ, καὶ ἡ γαστὴρ μὴ διαχωρέῃ, καὶ ἀγρυπνέωσί τε καὶ ἐκπλαγέωσι, καὶ κλαυθμυρίζωσι, καὶ τὸ χρῶμα μεταβάλλωσι, καὶ χλωρὸν ἢ πελιὸν, ἢ ἐρυθρὸν ἴσχωσι. γίνεται δὲ ταῦτα ἐξ ἑτοιμοτάτου μὲν τοῖσι παιδίοισι, τοῖσι νεωτάτοισιν, ἐς τὰ ἑπτὰ ἔτεα. τὰ δὲ πρεσβύτερα τῶν παιδίων καὶ οἱ ἄνδρες, οὐκ ἔτι ἐν τοῖσι πυρετοῖσιν ὑπὸ τῶν σπασμῶν ἁλίσκονται, ἢν μή τι τῶν σημείων προσγένηται τῶν ἰσχυροτάτων τε καὶ κακίστων, οἷά περ ἐν τῇσι φρενίτισι γίνεται. τοὺς δ' ἀπολουμένους τε καὶ περιεσομένους τῶν παιδίων τε καὶ τῶν ἄλλων, τεκμαίρεσθαι τοῖς ξύμπασι σημείοισιν ὡς ἐφ' ἑκάστοισιν ἕκαστα διαγέγραπται. ταῦτα δὲ λέγω, περί τε τῶν ὀξέων νοσημάτων, καὶ ὅσα ἐκ τουτέων γίνεται. χρὴ δὲ τὸν μέλλοντα ὀρθῶς προγινώσκειν τοὺς περιεσομένους καὶ τοὺς ἀποθανουμένους, ὅσοισί τε ἂν μέλλῃ πλέονας ἡμέρας παραμένειν τὸ νούσημα, καὶ ὅσοισιν ἂν ἐλάσσους, τὰ σημεῖα ἐκμανθάνοντας πάντα δύνασθαι κρίνειν, λογιζόμενον τὰς δυνάμεις αὐτέων πρὸς ἀλλήλας, ὥσπερ διαγέγραπται, περί τε τῶν ἄλλων, καὶ τῶν οὔρων, καὶ τῶν πτυέλων. ὅταν ὁμοῦ πῦόν τε ἀναβήσσῃ καὶ χολήν. χρὴ δὲ καὶ τὰς φορὰς τῶν νουσημάτων ἀεὶ ἐπιδημεόντων, ταχέως ἐνθυμεῖσθαι, τήν τε τῆς ὥρης κατάστασιν. εὖ μέντοι χρὴ εἰδέναι, περὶ τῶν τεκμηρίων, καὶ τῶν ἄλλων σημείων, καὶ μὴ λανθάνειν ὅτι ἐν παντὶ ἔτει καὶ πάσῃ ὥρῃ, τά τε κακὰ κακὸν σημαίνει, καὶ τὰ χρηστὰ ἀγαθόν. ἐπεὶ καὶ ἐν Λιβύῃ, καὶ ἐν Δήλῳ, καὶ ἐν Σκυθίῃ φαίνεται τὰ προγεγραμμένα ἀληθεύοντα σημεῖα. ἐξ ὧν χρὴ εἰδέναι, ὅτι ἔν τε τοῖσιν αὐτοῖσι χωρίοισιν, οὐδὲν δεινὸν, τὰ πολλαπλάσια αὐτῶν ἐπιτυγχάνειν. ἢν ἐκμαθὼν τις αὐτὰ κρίνειν τε καὶ λογίζεσθαι ὀρθῶς ἐπίσταται. ποθέειν δὲ χρὴ οὐδενὸς νουσήματος ὄνομα, ὅ, τι μὴ τυγχάνῃ ἐνθάδε γεγραμμένον. πάντα γὰρ ὁκόσα ἐν τοῖσι χρόνοισι τοῖσι προειρημένοισι κρίνεται, γνώσῃ τοῖσι αὐτέοισι σημείοισιν.

Οἱ κωματώδεες ἐν ἀρχῇσι γινόμενοι μετὰ κεφαλῆς, ὀσφύος, ὑποχονδρίου, τραχήλου ὀδύνης ἀγρυπνέοντες, ἆρά γε φρενιτικοί εἰσιν; μυκτὴρ ἐν τουτέοισιν ἀποστάζων ὀλέθριον, ἄλλως τε καὶ ἢν τεταρταίοισιν ἀρχομένοισιν. Κοιλίης περίπλυσις ἐξέρυθρος, κακὸν μὲν ἐν πᾶσι τοῖσι νοσήμασι, οὐχ ἥκιστα δὲ ἐπὶ τοῖς προειρημένοις. Αἱ δασεῖαι γλῶσσαι καὶ κατάξηροι, φρενιτικαί. Τὰ ἐπὶ ταραχώδεσιν ἀγρύπνοισιν οὖρα ἄχροα μέλανα ἐναιωρούμενα ἐφ' ἱδρῶσι, φρενιτικά.

Ἐνύπνιά τε ἐν φρενιτικοῖσιν ἐναργῆ. Ἀναχρέμψις πυκνή, ἢν δή τι καὶ ἄλλο σημεῖον προσῇ, φρενιτικά. Τὰ ἐγκαταλιμπανόμενα καύματα ἐν ὑποχονδρίῳ πυρετοῦ περιψυχθέντος, κακόν, ἄλλως τε κἢν ἐφιδρῶσιν. Αἱ προεξαδυνατήσαντες παραφροσύναι, κάκισται. οἷον καὶ Θρασύνοντι. Τὰ φρενιτικὰ νεανικῶς, τρομώδεα τελευτᾷ. Τὰ ἐν κεφαλαλγίῃσιν ἰώδεα ἐμέσματα μετὰ κωφώσιος ἀγρυπνώδεα, ταχὺ ἐκμαίνει. Τὰ ἐν ὀξέσι καὶ φάρυγγα ὀδυνώδεα, ἰσχνά, σμικρά, πνιγώδεα, ὅτε χάνοι μὴ ῥηιδίως συνάγειν τε καὶ κλείειν τὸ στόμα, παρακρουστικὰ ἐκ τουτέων, φρενιτικοὶ καὶ ὀλέθριοι. Ἐν τοῖσι φρενιτικοῖσιν ἐν ἀρχῇ τὸ ἐπιεικές, πυκνὰ δὲ μεταπίπτειν, κακὸν τοῦτο. καὶ πτυελισμός, κακόν. Ἐν φρενιτικοῖσι λευκὰ διαχώρησις, κακὸν ὡς καὶ Ἀρχεκράτει. ἆρά γε ἐπὶ τούτοισι καὶ νωθρότης γίνεται; ῥῖγος ἐπὶ τούτοισι κάκιστον. Τοῖσιν ἐξισταμένοισιν μελαγχολικῶς, οἷσι τρόμοι ἐπιγίνονται, κακόηθες.

Οἱ ἐκστάντες ὀξέως, ἐπιπυρέξαντες σὺν ἱδρῶτι, φρενιτικοὶ γίνονται. Οἱ φρενιτικοὶ βραχυπόται, ψόφου καθαπτόμενοι, τρομώδεες. Τὰ δ' ἐξ ἐμέτου ἀσώδεος, κλαγγώδης φωνή, ὄμματα ἐπίχνουν ἔχοντα, μανικά. οἷον καὶ ἡ Ἑρμοζύγου ἐκμανεῖσα ὀξέως ἄφωνος, ἀπέθανε.

Ἐν πυρετῷ καυσώδει ἤχων προσγενομένων μετὰ ἀμβλυωγμοῦ. καὶ κατὰ τὰς ῥῖνας προσελθόντος βάρεος, ἐξίστανται μελαγχολικῶς. Αἱ παρακρούσιες σὺν φωνῇ κλαγγώδει, γλώσσης σπασμοὶ τρομώδεες, καὶ αὗται τρομώδεες γενόμεναι, ἐξίστανται. σκληρυσμὸς τουτέουσιν ὀλέθριον. Αἱ τρομώδεες γλῶσσαι σημεῖον οὐχ ἱδρυμένης γνώμης. Ἐπὶ τοῖσι χολώδεσι ἀκρήτοισι διαχωρήμασι, τὸ ἀφρῶδες ἐπάνθισμα κακόν, ἄλλως τε καὶ ὀσφῦν προηλγηκότι, καὶ παρενεχθέντι. Τὰ ἀραιὰ κατὰ πλευρὸν ἐν τουτέοισιν ἀλγήματα, παραφροσύνην σημαίνει. Αἱ μετὰ λυγμοῦ ἀφωνίαι, κάκιστον. Αἱ μετ' ἐκλύσιος ἀφωνίαι, κάκιστον. Ἐν ἀφωνίῃ πνεῦμα οἷον τοῖσι πνιγομένοισι πρόχειρον, πονηρόν. ἆρά γε καὶ παρακρουστικὸν τὸ τοιοῦτον; Αἱ ἐπ' ὀλίγον θρασεῖαι παρακρούσιες θηριώδεες εἰσίν. Αἱ μετὰ καταψύξεως, οὐκ ἀπυρέτῳ ἐφιδρώοντι τὰ ἄνω, δυσφορίαι φρενιτικαί, ὡς καὶ Ἀρισταγόρῃ, καὶ μέντοι καὶ ὀλέθριαι. Τὰ ἐν φρενίτισι, πυκνὰ μεταπίπτοντα, σπασμώδεα. Τὰ οὐρούμενα μὴ ὑπομνησάντων, ὀλέθρια. ἆρά γε τουτέοισιν οὐρέεται, οἷον ἐν τῇ ὑποστάσει ἀναταράξιας; Οἱ παλμώδεες δι' ὅλου, ἆρά γε ἀφώνως τελευτῶσιν; Τὰ ἐν τοῖς φρενιτικοῖσι μετὰ καταψύξεως πτυελίζοντα μέλανα ἀνεμεῖται. Κώφωσις καὶ οὖρα ἀκατάστατα, ἐξέρυθρα, ἐναιωρούμενα, παρακρουστικά. τοῖσι τουτέοισιν ἰκτεροῦσθαι, κακόν. κακὴ δὲ καὶ ἡ ἐπὶ ἰκτέρῳ κάρωσις. τούτους ἀφώνους μὲν αἰσθανομένους δὲ συμβαίνει γίνεσθαι, οἶμαι δὲ καὶ κοιλίαι καταρρήγνυνται τουτέοισιν, οἷον ἐγγὺς Ἑρμίππῳ καὶ ἀπέθανεν. Κώφωσις ἐν ὀξέσι καὶ ταραχώδεσι παρακολουθοῦσα, κακόν. Αἱ τρομώδεες ἀσάφεες ψηλαφώδεες παρακρούσιες, πάνυ φρενιτικαί, ὡς καὶ τῷ Διδυμάρχῳ ἐν Κῴ. Αἱ ἐκ ῥίγεος νωθρότητες, οὐ πάνυ παρ' ἑωυτοῖσιν. Οἱ περὶ ὀμφαλὸν πόνοι παλμώδεες, ἔχουσι μέν τι καὶ γνώμης παράφορον. περὶ κρίσιν δὲ τουτέοισι πνεῦμα ἅλις ξὺν τόνῳ διέρχεται, καὶ οἱ κατὰ γαστροκνημίην πόνοι, ἐν τούτοισιν γνώμης παράφοροι. Ἢν ἐναιωρηθῇ τι ἐν οὔρῳ, τοῦ κατὰ τὸν μηρὸν ἀλγήματος ἀφανισθέντος, παρακρουστικόν, καὶ οἷα περὶ ἤχους τοιαῦτα. Ἐπὶ κοιλίῃ ὑγρῇ, κοπώδει, κεφαλαλγικῷ, διψώδει, ἀγρύπνῳ, ἀσαφεῖ, ἀδυνάτῳ. οἷσι τὰ τοιαῦτα, ἐλπὶς ἐκστῆναι. Οἱ ἐφιδροῦντες καὶ μάλιστα κεφαλὴν ἐν ὀξέσιν ὑπόδυσφοροι, κακόν. ἄλλως τε καὶ ἐπ' οὔροισι μέλασι, καὶ τὸ θολερὸν πνεῦμα ἐπὶ τουτέοισι κακόν. Αἱ παρὰ λόγον κενεαγγικὸν ἀδυναμίαι, οὐκ ἐούσης κενεαγγείης, κακόν.

Κοιλίαι ἀπολελαμμέναι, σμικρὰ δὲ μέλανα σπυραθώδεα πρὸς ἀνάγκην χαλῶσαι, μυκτὴρ ἐπὶ τουτέοισι ῥηγνύμενος, κακόν. Οἷσιν ὀσφύος ἄλγημα ἐπὶ πολύ, μετὰ καύματος ἀσώδεος, ἐφιδρῶντες οὗτοι, κακόν. ἆρά γε τουτέοισι τρομώδεα γίγνεται; καὶ φωνὴ δὲ ὡς ἐν ῥίγει αὐτοπλική. Ἄκρεα ἐπ' ἀμφότερα ταχὺ μεταπίπτοντα, κακόν. καὶ δίψα τοιαύτη πο-

ηρόν. Ἐκ πταρμοῦ, θρασεῖα ἀπόκρισις, κακόν. Φωνὴ ὀξεῖα, ὑποχόνδρια τουτέοισιν εἴσω εἰρύαται. Ὄμμα ἀμαυρούμενον φλαῦρον, καὶ τὸ πεπηγὸς καὶ ἀχλυῶδες κακόν. Ὀξυφωνίη κλαγγώδης, πονηρόν. Ὀδόντων πρίσις ὀλέθριον, οἷσι μὴ συνήθης καὶ ὑγιαίνουσιν. Πνιγμὸς ἐν τούτοισι, πάνυ κακόν. Προσώπου εὔχροια, καὶ τὸ λίην σκυθρωπὸν, πονηρόν.

Τὰ τελευτῶντα ὑποχωρήματα εἰς ἀφρώδεα, ἄκρητα, παροξυντικά. Αἱ ἐκ καταψύξιος ἐν ὀξέσι οὔρων ἀπολήψιες, κάκισται. Τὰ ὀλέθρια ἀσήμως ῥᾳστωνήσαντα, θάνατον σημαίνει. Τὰ ἐν ὀξέσι χολώδεσιν ἔκλευκα, ἀφρώδεα, περίχολα διαχωρήματα, κακόν. κακὸν δὲ καὶ οὖρα τοιαῦτα. ἆρα τουτέοισιν ἧπαρ ἐπώδυνον; Αἱ ἐν πυρετοῖσιν ἀφωνίαι σπασμώδεα τρόπον ἐξίστανται σιγῇ, ὀλέθριον. Αἱ ἐκ πόνου ἀφωνίαι, δυσθάνατοι. Οἱ δὲ ὑποχονδρίων ἀλγημάτων πυρετοί, κακοήθεες. Δίψα παραλόγως λυθεῖσα ἐν ὀξέσι, κακόν.

Ἱδρὼς πολὺς ἅμα πυρετοῖσιν ὀξέσι γιγνόμενος, φλαῦρος. Καὶ οὖρα δ᾽ ἐπίπονα, πονηρόν. Καὶ τὰ ἐρυθρὰ ἐκ τουτέων ἐπανθίσματα κατεχόμενα, καὶ τὰ ἰώδεα, πονηρά. καὶ τὰ μικρὰ ἐπιφαίνεσθαι. οἷον στάξιας. Καὶ ἔμετοι μετὰ ποικιλίας, κακόν. ἄλλως τε καὶ ἐγγὺς ἀλλήλων ἰόντων. Ὁκόσα ἐν κρισίμοισιν ἀλυσμῷ ἀνιδρωτὶ περιψύχεται, κακόν, καὶ τὰ ἐπιῤῥιγώσαντα ἐκ τουτέων κακά. Ἐμέσματα ἄκρητα ἀσώδεα, πονηρά. Τὸ καρῶδες, ἆρά γε πανταχοῦ κακόν; Μετὰ ῥίγεος ἄγνοια, κακόν. κακὸν δὲ καὶ λήθη. Αἱ ἐκ ῥίγεος καταψύξιες, μὴ ἀναθερμαινόμεναι, κακαί. Οἱ ἐκ καταψύξιος ἱδρώδεες ἀναθερμαινόμενοι, κακόν. ἐπὶ τούτοις ἐν πλευροῖς καῦμα ὀδυνῶδες, καὶ τὸ ἐπιῤῥιγῶσαι, κακόν. Τὰ καυματώδεα ῥίγεα, ὑπό τι ὀλέθρια, καὶ τὸ φλογῶδες ἐν προσώπῳ μετ᾽ ἱδρῶτος ἐν τούτοις κακόν. ἐπὶ τούτοις ἡ ψύξις τῶν ὄπισθεν, σπασμὸν ἐπικαλέεται. Οἱ ἐφιδρῶντες ἄγρυπνοι, ἀναθερμαινόμενοι, κακόν. Ἐξ ὀφρύος ἀναδρομῆς, ὀφθαλμοῦ ἴλλωσις κακόν. Ὀδύνη ἐν στήθει ἱδρυνθεῖσα σὺν νωθρότητι, κακὸν, ἐπιπυρετήναντες ὥστε καυστικοί, ὀξέως ἀποθνήσκουσιν. Οἱ ἐπανεμέοντες μέλανα, ἀπόσιτοι, παράφοροι, καθ᾽ ἥβην μικρὰ ὀδυνώδεες, ὄμμα θρασὺ, κεκλασμένον, τούτους μὴ φαρμακεύειν, ὀλέθριον γάρ. Μηδὲ τοὺς ἐποιδέοντας, σκοτώδεας, ἐν τῷ πλανᾶσθαι ἐκλείποντας, ἀκρίτους, ἀχρόους. Μηδὲ τοὺς ἐν πυρετῷ, εἰ κωματώδεες, κατακεκλασμένους. ὀλέθριον γάρ. Καρδίης πόνος ἅμα ὑποχονδρίῳ συντόνῳ, καὶ κεφαλαλγίη κακοήθεες, καί τι ἀσθματῶδες. ἆρά γε ἐξαίφνης οὗτοι τελευτῶσιν; ὡς ἐν Δυσώδει, τούτῳ καὶ οὖρα ἐζυμωμένα, ἐγγύς που βιαίως ἐξέρυθρα. Τραχήλου πόνος, κακὸν μὲν ἐν παντὶ πυρετῷ. κάκιστον δὲ οἷσιν ἐκμανῆναι ἐλπίς. Κωματώδεες, κοπιώδεες, ἀχλυώδεες, ἄγρυπνοι, ἐφιδρῶντες πυρετοί, κακοήθεες. Ἐκ νώτου φρίκαι πυκναὶ, ὀξέως μεταπίπτουσαι, δύσφοροι, οὔρου ἀπόληψιν ἐπώδυνον σημαίνουσιν. Καὶ οἱ ἀσώδεες ἀνεμέτως παροξυνόμενοι, κακόν. Κατάψυξις μετὰ σκληρυσμοῦ, σημεῖον ὀλέθριον. Ἀπὸ κοιλίης λεπτὰ μὴ αἰσθανομένῳ διιέναι, ἐόντι παρ᾽ ἑωυτῷ κακόν, οἷον τῷ ἡπατικῷ. Τὰ σμικρὰ ἐμέσματα χολώδεα, κακόν, ἄλλως τε καὶ ἢν ἐπαγρυπνήσωσιν, μυκτὴρ ἐν τουτέοισιν ἀποστάζων ὀλέθριον. Αἷς ἐκ τόκου γε λευκὰ, ἐπιστάντα δ᾽ ἅμα πυρετῷ, κώφωσις, καὶ εἰς πλευρὸν ὀδύνη ὀξείη, ἐξίστανται ὀλεθρίως. Ἐν πυρετοῖσι καυσώδεσιν ὑποπεριψύχουσι διαχωρήμασιν, ὑδατοχόλοις, συχνοῖσιν, ὀφθαλμῶν ἴλλωσις, σημεῖον κακόν, ἄλλως τε καὶ ἢν κάτοχοι γίνωνται. Τὰ ἐξαίφνης ἀποπληκτικὰ λελυμένως, ἐπιπυρετήναντι χρονίως ὀλέθρια. οἷον τι ἐπεπόνθει ὁ Νουμηνίου υἱός. Ἐξ ὀσφύος ἀλγήματος ἀναδρομαί, εἰς καρδίην, πυρετώδεες, φρικώδεες, ἀνεμοῦσαι ὑδατώδεα, λεπτὰ, πλέονα, παρενεχθεῖσαι ἄφωνοι, ἐμέσασαι μέλανα, τελευτῶσιν. Ὄμματος κατάκλεισις, ἐν ὀξέσι κακόν. Ἆρά γε τοῖς ἀσώδεσιν ἀνεμέουσιν, ὀσφυαλγέσιν, ἢν θρασέως παρακρούσωσιν, ἐλπὶς μέλανα διελθεῖν. Φάρυγξ ἐπώδυνος ἰσχνὴ μετὰ δυσφορίης, πνιγώδης ὀλεθρίη ὀξέως. Οἷς πνεῦμα ἀνέλκεται. φωνὴ δὲ πνιγώδης ὁ σπόνδυλος ἐγκάθηται, τουτέοισιν ἐπὶ τῶν τελευτῶν, ὡς σπῶντός τινος τὸ πνεῦμα γίνεται. Οἱ κεφαλαλγικοὶ κατόχως παρακρούοντες κοιλίης ἀπολελαμμένης, ὄμμα θρασύνοντες, ἀνθηροί, ὀπισθοτονώδεες γίνονται. Ἐπ᾽ ὀμμάτων διαστροφῇ πυρετώδεα, κοπιώδεα, ῥῖγος ὀλέθριον, καὶ οἱ κωματώδεες ἐν τούτοισι, πονηρόν. Αἱ ἐν πυρετοῖσι πρὸς ὑποχόνδριον ὀδύναι, ἀναύδως, ἱδρῶτι λυόμεναι, κακοήθεες. τούτοισιν ἐν ἰσχίῳ ἀλγήματα ἅμα καυσώδεϊ πυρετῷ, καὶ ἢν κοιλίη καταῤῥαγῇ, ὀλέθριον. Οἷσι φωναὶ ἅμα πυρετοῖσιν ἐκλείπουσαι μετὰ κρίσιν, τρομώδεες καὶ κωματώδεες

τελευτῶσιν

τελευτῶσιν. Οἷσι καυστικὰ, μεμωρωμένα, κάτοχα, ποικίλλοντα ὑποχόνδρια καὶ κοιλίην ἐπηρμένοι, σίτων ἀπολελαμμένων, ἐφ' ἱδρῶσι, ἆρα τούτοις τὸ θολερὸν πνεῦμα, καὶ τὸ γονοειδὲς ἐπελθὸν, λύγγα διασημαίνει; καὶ κοιλίη δὲ ἔπαφρα χολώδεα προσδιαβρέχεται, τὸ λαμπρῶδες ἐν τούτοισιν ὠφελέει οὐρηθὲν, κοιλίη δὲ τούτοισιν ὑποταράσσεται. Οἷς οἶδμα γίνεται ἐπ' ἄφρων περιελθόντων, πυρετὸς παροξύνεται ὀξύς. Αἱ ἐκ κεφαλαλγίης ἀφωνίαι ἅμα ἱδρῶσι πυρετώδεες χαλῶνται ἐφ' ἑαυτέων, ἐπανιόντα χρονιώτερον ὑπερριγῶσαι τούτοισιν οὐ πονηρόν.

Χεῖρες τρομώδεες, κεφαλαλγέες, τραχήλου ὀδυνώδεες, ὑπόκωφοι, οὐρέοντες μέλανα δεδασυμένα, οἷσιν ταῦτα ᾖ, μέλανα προσδέχεσθαι ἥξειν, ὀλέθριον. Αἱ μετ' ἐκλύσεως κατόχως ἀφωνίαι, ὀλέθριαι. Γλουτοῦ ἄλγημα ὑπὸ πλύσεσι χολώδεσιν ἀλόγως ἀφανισθὲν, ἐξίστανται. Ἐπὶ τραχήλου ἀλγήματι κωματώδει ἱδρώδει κοιλίη φυσηθεῖσα, εἰ δέ τι πρὸς ἀνάγκην ὑγρὰ, χαλῶσα, ὑποπεριπλυθεῖσα, ἐκ τουτέων ἄχολα ἐξίστανται, τὰ τοιαῦτα διασωζόμενα μακροτέρως διανοσέει. ἆρά γε εἰσὶν ἄχολοι περιπλύσιες ξυνηθέστεραι, καὶ τὸ φυσῶδες ὄγκω προσωφελέοις; Κοιλίης περίστασις πρὸς ἀνάγκην ὑγρὰ, χαλῶσα, ταχὺ ὀγκουμένη, ἔχει τι σπασμῶδες. οἷον μὴ καὶ τῷ Ἀσπασίου υἱῷ, τὸ ὑπερριγοῦν τούτοις ὀλέθριον. ἐκ τουτέων σπασμώδεες γενηθεὶς καὶ ἐμφυσηθεὶς μακρότερον διανοσήσας, στόματι σῆψις χλωρὴ ἐπεγένετο. Τὰ κατ' ὀσφὺν καὶ λεπτὸν χρόνια ἀλγήματα πρὸς ὑποχόνδριον γινόμενα ἀσιτικὰ ἅμα πυρετῷ, τούτοισιν εἰς κεφαλὴν ἄλγημα σύντονον ἐλθὸν κτείνει ὀξέως τρόπῳ σπασμώδει. Τὰ ὑπερριγοῦντα καὶ τὴν νύκτα μᾶλλον τι παροξυνόμενα ἄγρυπνα φλεβοδονώδεα ὄντα ἐν τοῖς ὕπνοις. ἔστιν ὅτε οὖρα ὑφ' ἑαυτέων χαλῶντα. τοὺς σπασμοὺς ἀποτελευτᾷ κωματώδεας. Οἱ δὲ ἀρχῆς ἐφιδρῶντες οὔροισι πέποσι, καυστικοὶ, ἀκρίτως περιψύχοντες, διὰ ταχέων περικαέες. νωθροὶ. κωματώδεες. σπασμώδεες, ὀλέθριοι. Τῇσιν ὑποφόροισι κεφαλαλγικὰ καρώδεα μετὰ βάρεος γινόμενα, φλαῦρα· ἴσως δὲ ταύτῃσι καὶ σπασμῶδές τι παθεῖν ὀφείλει.

Τὰ ἐν φάρυγγι ἰσχνῷ ἀλγήματα πνιγώδεα, ἔχει τι σπασμῶδες, ἄλλως τε καὶ ἀπὸ κεφαλῆς ὁρμῶντα οἷον καὶ τῇ Θρασωνοντος ἀνεψιῇ. Τὰ τρομώδεα σπασμώδεα γινόμενα ἐφ' ἱδρῶσι φιλυπόστροφα, τούτοις ἡ κρίσις ὑπερριγώσασιν. ὅτι ὑπερριγέουσι περὶ κοιλίην καύματι προκληθέντες. Ὀσφύος πόνος, καὶ κεφαλαλγικὸς καὶ καρδιαλγικὸς μετὰ ἀναχρέμψιος βιαίης, ἔχει τι σπασμῶδες. Ἀπὸ κοιλίης ὑποπέλια ταραχώδεα, καὶ οὖρα λεπτὰ, καὶ ὑδατώδεα, ὕποπτα. Φάρυγξ τρηχυνθεῖσα ἐπ' ὀλίγον, καὶ κοιλίη διαβορβορίζουσα κενεαῖς ἐξαναστάσεσι, καὶ μετώπου ἀλγήματα, ψηλαφώδεες, κοπιώδεες, ἐν στρώμασι, καὶ ἱματίοισιν ὀδυνώδεες. τὰ ἐκ τούτων αὐξανόμενα, δύσκολα. ὕπνος πολὺς ἐν τούτοισι σπασμώδης, καὶ τὰ εἰς μέτωπον ἀλγήματα βαρέα, καὶ οὔρησις δυσκολαίνουσα. Οὔρου ἐπίστασις καὶ οἷσι ῥίγεα ὑπὸ τούτοισι σπασμώδεσι, οἷον καὶ αὐτὴ φρίξασα ἐφίδρωσεν. Αἱ ἄκρητοι τελευτῶσαι καθάρσιες, ἐν πᾶσι παροξυντικαί. τούτοισι δὲ καὶ πάνυ ἐκ τοιούτων καὶ τὰ παρ' οὖς ἀνίστανται.

Αἱ ταραχώδεες θρασύταται ἐπεγέρσιες σπασμώδεες ἄλλως τε καὶ μεθ' ἱδρῶτος. Καὶ αἱ τραχήλου καὶ αἱ μεταφρένου καταψύξιες δοκέουσαι, καὶ ὅλου δὲ τοῦ σώματος, ἐν τούτοισι καὶ ἀφρώδεες οὐρήσιες ἅμα ἀψυχίῃ, καὶ ὀμμάτων ἀμαύρωσις, σπασμὸν ἐγγὺς σημαίνει. Γάχεος ἀλγήματα μετὰ τραχήλου, σπασμώδεα, ἀπὸ προσώπου δὲ ταῦτα καὶ περὶ φάρυγγα, ἦχοι συχνοὶ στελίζοντες. ἐν τούτοισι ἐν ὕπνοις ἱδρῶτες, ἀγαθοί. ἆρά γε καὶ τῷ ἱδρῶτι κουφίζεσθαι τοῖς πλείστοις οὐ πονηρόν; οἱ εἰς τὰ κάτω μέρη πόνοι, τούτοισιν εὔφοροι. Οἱ ἐν πυρετοῖσιν ἐφιδρῶντες, κεφαλαλγέες, κοιλίης ἀπολελαμμένης, σπασμώδεες. Τὰ ὑποψάθυρα ὑγρὰ διαχωρήματα περιψύχοντα, οὐκ ἀπύρως, φλαῦρα, τὰ ὑπὸ τούτοισι ῥίγεα. κύστιν καὶ κοιλίην ὑπολαμβάνοντα ὀδυνώδεα, ἆρα τὸ κωματῶδες τούτοισιν ἔχει τι σπασμῶδες; οὐκ ἂν θαυμάσαιμι. Τὰ ἐν ὀξέσι ἐμετώδεως ἑλκόμενα φλαῦρα, καὶ αἱ λευκαὶ διαχωρήσιες δύσκολοι. ἄγλισχρα ἐκ τούτων διεξελθόντα ἐξίστανται καύματι πολλῷ. οἱ ἐκ τούτων κωματώδεες νωθροὶ, ἀπογίνονται. τὰ ἐκ τοιούτων μακροτέρως ὑπονοσέει, ἆρα περὶ κρίσιν οὗτοι ξηρώδεες δύσπνοοι; Τὰ δὲ ὀσφύος εἰς τράχηλον καὶ κεφαλὴν ἀναδιδόντα καὶ παραλύσαντα παραπληκτικὸν τρόπον σπασμώδεα, παρακρουστικὰ, ἆρά γε καὶ λύεται τὰ τοιαῦτα σπασμῷ; ἐκ τῶν τοιούτων ποικίλως διανοσέουσι καὶ διὰ τῶν αὐτῶν ἰόντες. Οἱ ἐν ὑστερικαῖσιν ἀπύρως σπασμοὶ εὐχερέες, οἷον καὶ Δορκάδι. Κύστις ἀποληφθεῖσα ἄλλως τε καὶ μετὰ κεφαλαλγίης,

ἔχει τι σπασμῶδες, τὰ ναρκωδέως ἐν τούτοισιν ἐκλυόμενα δύσκολα, οὐ μὴν ὀλέθρια. ἆρά γε καὶ παρακρουστικὸν τὸ τοιοῦτον; ἆρά γε καὶ περὶ κρόταφον ὀξέων διακοπαὶ σπασμὸν ἐπικαλέονται; ἢ τὸ μεθύοντα πληγῆναι; ἢ τὸ ῥυῆναι πολὺ, ἐν ἀρχῇσι, εἰ ὕδωρ πιεῖ σπασμῶδες.

Ἐν ἱδρῶτι πτύελα παραῤῥέοντα πυρετώδεϊ ἐόντι, ἀήθεα, ἆρά γε τουτέοισιν ἐπί τινας ἡμέρας κοιλίαι καθυγραίνονται; οἶμαι, ἆρά γε τούτοισιν ἐς ἄρθρον ἀπόστημα ἔσεσθαι; Τὰ ἐπ' ὀλίγον θρασέως παρακρούοντα, μελαγχολικά. ἢν δὲ ἀπὸ γυναικείων ἢ, θηριώδεα, ὧδε πλείω δὲ ταῦτα συμπίπτει, ἆρά γε καὶ σπασμώδεες αὗται; ἆρά γε καὶ αἱ μετὰ κάρου ἀφωνίαι, σπασμώδεες αὗται; οἷον τῇ τοῦ σκυτέως θυγατρὶ, ἤρξατο γυναικείων παρεόντων. Οἷσιν σπασμώδεσιν ὀφθαλμοὶ ἐκλάμπουσιν ἀτενέως ὅτε παρ' ἑωυτοῖσίν εἰσιν, διανοσέουσί τε μακροτέρως. Τὰ ἀνάπαλιν αἱμοῤῥαγέοντα κακόν. οἷον ὧδε σπληνὶ μεγάλῳ ἐκ δεξιοῦ, ῥέειν, καὶ τὰ καθ' ὑποχόνδριον ὡσαύτως, ἐφιδρῶντι δὲ κάκιον. Ἐκ ῥινῶν μικροῖς ἱδρῶσιν περιψυχόμενα κακοήθεα μοχθηρά. Μεθ' αἱμοῤῥαγίαν μελάνων διόδος, κακόν, πονηρὰ δὲ καὶ τὰ ἐξέρυθρα, εἰ δ' ἆρά γε τεταρταίοισι ταῦτα αἱμοῤῥαγεῖ, κωματώδεες; ἐκ τούτων σπασμῷ τελευτῶσιν. ἆρα μελάνων προδιελθόντων καὶ κοιλίης ἐπαρθείσης; Τὰ αἱμοῤῥαγέοντα ἐφιδροῦντα, τρώματα, κακοήθεα, ὅτοι διαλεγόμενοι λαθραίως τελευτῶσιν. Ἡ μεθ' αἱμοῤῥαγίαν βραχεῖαν, καὶ μελάνων διαχώρησιν ἐν ὀξέσι κώφωσις, κακόν. αἵματος διαχώρησις ἐν τούτοισι, ὀλέθριον. κώφωσιν δὲ λύει. Ὀσφύϊ ἐπωδύνῳ καρδιαλγικὰ προσιόντα σημεῖα αἱμοῤῥαγώδεα. οἶμαι δὲ καὶ προσγεγενημένον σημεῖον. Τὰ τεταγμένοισι χρόνοισιν αἱμοῤῥαγέοντα, διψώδεα, δύσκολα, ἐκλυόμενα, μὴ αἱμοῤῥαγήσαντα, ἐπιληπτικὰ τελευτᾷ. τὰ τούτου ταραχώδεα, ἄγρυπνα, ἐκστάξαντα ἑκταῖα κουφισθέντα, νύκτα πονήσαντα, ἐς τὴν αὔριον ἐφιδρώσαντα, κατενεχθέντα, παρακρούσαντα αἱμοῤῥαγήσει λάβρως, ἆρά γε τὸ ὑδατῶδες οὖρον τοιοῦτόν τι σημαίνει; Οἷσιν αἱμοῤῥαγίαι πλείους προεληλυθότος χρόνου κοιλίαι πινῤῥύονται, ἢν μὴ τὰ οὖρα πεπανθῇ. Ἐν κρισίμοις περιψύξεσι τῶν αἱμοῤῥαγιῶν αἱ νεανικαὶ κάκισται. Οἱ καρηβαρικοὶ κατὰ βρέγμα ὀδυνώδεες, ἄγρυπνοι, αἱμοῤῥαγικοὶ, ἄλλως τε κἢν τι ἐν τραχήλῳ ἐντείνῃ. Τὰ ἀγρυπνήσαντα ἐξαίφνης ἀλυσμῷ αἱμοῤῥαγεῖ, ἄλλως τε κἢν μή τι προῤῥύῃ, ἆρά γε φρίξαντα; τραχήλου ὀδυνώδεα ὄμματα ἐξέρυθρα αἱμοῤῥαγικά.

Οἷσι κοιλίης ἐπιστάσης αἱμοῤῥαγεῖ, καὶ ἐπιρριγεῖ, ἆρα κοιλίη λειεντεριώδης καὶ ἐπίσκληρος ἢ ἀσκαρίδες ἢ ἀμφότερον; Οἷσιν δὲ ὀσφύος ἀναδρομὴ ἐς κεφαλὴν καὶ χεῖρας, ναρκώδεες, καρδιαλγικοὶ, ἰχωρώδεες, αἱμοῤῥαγέουσι λάβρως, καὶ κοιλίη δὲ καταῤῥήγνυται, τούτοισι ταραχώδεσιν. Οἷς ἐφ' αἱμοῤῥαγίῃ λάβρως πυκνῇ, μελάνων, συχνῶν διαχώρησις, ἐπίτασις αἱμοῤῥαγοῦσιν, οὗτοι, κοιλίης ὀδυνώδεες, ἅμα δέ τινι ῥύσει δύσφοροι, ἆρα ὅτοι ψυχροῖς ἐφιδρῶσι πολλοῖς; τὸ ἀνατεταραγμένον ἐν τούτοισιν οὖρον οὐ πονηρόν, οὐδὲ τὸ ὑφιστάμενον γονοειδὲς, ἐπίσυχνον δὲ οὐχὶ ὑδατώδεα οὐρέουσιν. Οἷς ἂν ἀπὸ ῥινῶν ἐπικώφωσις, καὶ νωθείη μικρὰ ἢ ἀπόσταξις, ἔχει τι δύσκολον, ἔμετος τούτοις συμφέρει καὶ κοιλίης ταραχή.

Οἷσιν ἐκ ῥίγεος πυρετοὶ κοπιώδεες γυναικεῖα κατατρέχει, τράχηλος δ' ἐν τούτοις ὀδυνώδης, αἱμοῤῥαγικόν. Καὶ διὰ ῥινῶν αἱμοῤῥαγῆσαι ἐλπίζειν τὰ σείοντα κεφαλὴν καὶ τὰ ἠχώδεα, αἱμοῤῥαγεῖ ἢν γυναικεῖα καταβιβάζει, ἄλλως τε καὶ ἢν κατὰ ῥάχιν καῦμα παρακολουθήσῃ, ἴσως δὲ καὶ δυσεντερικόν. Καὶ οἱ κατὰ κοιλίην παλμοὶ, ὑποχονδρίου ἐντάσει ὑπομάκρῳ, ὀγκώδει, αἱμοῤῥαγικοὶ, φρικώδεες οὗτοι. Ἐκ ῥινῶν λαῦρα βίαια πολλὰ ῥυέντα ἕτοιμον ἐς σπασμοὺς προσάγεται, φλεβοτομία λύει. Αἱ πυκναὶ καὶ κατὰ μικρὰ ἐπαναστάσιες ὑπόξανθοι, γλίσχραι, ἔχουσαι μικρὰ κοπρώδεα μεθ' ὑποχονδρίου ἀλγήματος, καὶ πλευροῦ ἰκτεριώδεες, ἆρα δὲ ἐπιστάντων αὐτῶν οὗτοι ἐκλύονται; οἶμαι τε καὶ αἱμοῤῥαγεῖ, τούτοις τάσις ὀσφύος, ἀλγήματα ἐν τούτοισιν αἱμοῤῥαγικά. Ὑποχονδρίου τάσις μετὰ καρηβαρίης καὶ κωφώσεως καὶ τὰ πρὸς αὐτὰς ὀχλέοντα αἱμοῤῥαγικά. Ἐνδεκαταίοισι στάξιες δύσκολαι, ἄλλως τε καὶ ἢν ἐπίσταξις. Τὰ ἐν φρίκῃσιν ἅμα ἱδρώσαντα κρισίμως. ἐς δὲ τὴν αὔριον φρίξαντα παραλόγως ἀγρυπνέοντα, τὰ πεπαινόμενα αἱμοῤῥαγήσειν οἴομαι. Οἷσιν δ' ἀρχῆς αἱμοῤῥαγίαι λαῦραι, ῥῖγος ἵστησι ῥύσιν. Ἐξ αἱμοῤῥαγίας, ῥίγεα μακρά. Οἷσι κεφαλαλγίαι καὶ τραχήλου πόνοι καὶ ὅλου δέ τις ἀκράτεια τοῦ σώματος τρομώδης, αἱμοῤῥαγικὰ λύουσιν, ἀτὰρ καὶ χρόνῳ οὕτω λύονται. Οὖρα τοῖσι παρ' ὦτα ταχὺ

καὶ ἐπ' ὀλί

καὶ ἐπ' ὀλίγον πεπαινόμενα φλαῦρα, καὶ τὸ καταψύχεσθαι ὧδε πονηρόν. Τὰ ὑποκαρώδεα ἰκτερώδεα οὐ πάνυ αἰσθανόμενα οἷσι λύγγες, κοιλίη καταῤῥήγνυται, ἴσως καὶ ἐπίστασις. οὐχὶ ἐκλύονται, ἆρα τούτοισι καὶ τὰ παρὰ τὰ ὦτα; Τὰ ἐπεχημένα μετὰ ῥίγεος οὖρα πονηρά, ἄλλως τε καὶ προκαρωθέντα τὰ παρ' οὖς. ἆρα ἐπὶ τούτοισιν ἐλπίς. Ἐκ στροφώδους ὑπόστασις ἰλυώδης, ὑπόπελιος, κακή, ἆρά γε ἐκ τῶν ὑποχονδρίων ὀδυνᾶται; δοκέω δὲ δεξιοῦ ἐκλύονται. ἆρα τὰ παρ' ὦτα τουτοίσιν ὀδυνώδεα ἐπ' ὀλίγῳ; κοιλίη καταῤῥαγεῖσα τούτοισιν ἐν ἅπασιν ὀλέθριον. Ἐν τισιν ἀσώδεσιν ἀγρυπνίῃσι τὰ παρ' οὖς μάλιστα. Ἐπὶ εἰλεοῖσι δυσώδεσι πυρετῷ ὀξεῖ, ὑποχονδρίῳ μετεώρῳ χρονιωτέρῳ, τὰ παρ' οὖς ἐπαρθέντα κτείνει.

Ἐκ κωφώσιος ἐπιεικῶς τὰ παρ' ὦτα, ἄλλως τε καὶ ἢν ἀσῶδές τι ἐπιγένηται, καὶ τοῖσι κωματώδεσιν, ἐπὶ τούτοισι μᾶλλον. Τὰ παρ' ὦτα φλαῦρα τοῖσι παραπληγικοῖς. Τὰ σπασμώδη τρόπον παροξυνόμενα κατόχως, τὰ παρ' οὖς ἀνίστησιν. Τὸ σπασμῶδες, τρομῶδες, ἀσῶδες, κατόχως, μικρὰ παρ' οὖς ἐπιπαροξυνόμενα. Ἆρά γε εἰσὶ τὰ παρ' ὦτα κεφαλαλγικοί; ἆρά γε καὶ ἐφιδροῦσι τὰ ἄνω. εἶτα καὶ κοιλίη καταῤῥήγνυται, καί τι κωματώδες; ἆρά γε καὶ ὑδατώδεα οὖρα ἐναιωρεύμενα λευκοῖς, καὶ ποικίλως ἔκλευκα, δυσώδεα ποιεῖ τὰ παρ' οὖς, ἆρά γε εἰσὶ τὰ τοιαῦτα οὖρα, στάξιες πυκναί, ἆρά γε καὶ γλῶσσα τούτοις λείη;

Οἷσι συνδυαζομένοισιν ἐοῦσιν ἴκτεροι, καὶ πυρετοὶ ὀξέες μεθ' ὑποχονδρίων σκληρῶν κατεψύχθαι, εἰ τὰ παρ' ὦτα μεγάλα ἵστανται. Τὰ κωματώδεα, ἀσώδεα, ὑποχόνδρια ὀδυνώδεα, αἱματώδεα μικρά, ἐν τούτοισι τὰ παρ' οὖς ἐπανίστανται, πρόσθεν δὲ καὶ τὰ περὶ πρόσωπον. Κοιλίης μέλανα κοπρώδεα διέσης, κῶμα ἐπιφανὲν τὸ παρ' οὖς ἀνίστησιν. Βράγχια μετὰ πτυελισμοῦ ὄντα τὸ παρ' οὖς ἀπαλλάσσει. Ἐν κεφαλαλγίῃ κῶμα καὶ κώφωσις παρ' οὖς τι ἐξαφανίζει. Ὑποχονδρίου σύντασις μετὰ κώματος ἀσώδους καὶ κεφαλαλγίης, τὰ παρ' οὖς ἐπαίρει. Τὰ ἐπώδυνα παρ' οὖς ἀκρίτως καταμωλυνθέντα φλαῦρα.

ἹΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΤΙΚΟΝ ΒΙΒΛΙΟΝ Β'

Τῶν ἰητρῶν προῤῥήσιες ἀπαγγέλλονται συχναί τε καὶ καλαὶ καὶ θαυμασταί, οἵας ἐγὼ μὲν οὔτ' αὐτὸς προεῖπον, οὔτ' ἄλλου του ἤκουσα προλέγοντος. εἰσὶ δ' αὐτῶν, αἱ μὲν τοιαίδε. ἄνθρωπον δοκέειν ὀλέθριον εἶναι, καὶ τῷ ἰητρῷ τῷ μελεδαίνοντι αὐτέου, καὶ τοῖσιν ἄλλοισιν. ἐπεισιόντα δὲ ἰητρὸν ἕτερον εἰπεῖν, ὅτι ὁ μὲν ἄνθρωπος οὐκ ἀπολεῖται, ὀφθαλμῶν δὲ τυφλὸς ἔσται. καὶ παρ' ἕτερον δοκέοντα παγκάκως ἔχειν, εἰσελθόντα προειπεῖν, τὸν μὲν ἄνθρωπον ἀναστήσεσθαι, χεῖρα δὲ χωλὴν ἕξειν. καὶ ἄλλῳ τῳ δοκέοντι οὐ περιέσεσθαι, εἰπεῖν, αὐτὸν μὲν ὑγιέα ἔσεσθαι, τῶν δὲ ποδῶν τοὺς δακτύλους μελανθέντας ἀποσαπήσεσθαι. καὶ τἄλλα τοιουτότροπα προῤῥήματα λέγεται ἐν τοιουτέῳ τῷ εἴδει. ἕτερος δὲ τρόπος προῤῥήσιος ὠνεομένοισί τε καὶ διαπρησσομένοισι προειπεῖν. τοῖσι μὲν θανάτους. τοῖσι δὲ μανίας. τοῖσι δὲ ἄλλας νόσους. ἐπὶ πᾶσι τούτοισί τε καὶ τοῖσι ὑστέροισι χρόνοισι, προφητίζειν, καὶ πάντα ἀληθεύειν. ἄλλο δὲ σχῆμα προῤῥήσεων, τάδε λέγεται. τοὺς ἀθλητὰς γινώσκειν καὶ τοὺς τῶν νούσων εἵνεκα γυμναζομένους τε καὶ ταλαιπωρέοντας, ἤν τι ἢ τοῦ σιτίου ἀπολίπωσιν, ἢ ἑτεροῖόν τι φάγωσιν, ἢ ποτῷ πλέονι χρήσωνται, ἢ τοῦ περιπάτου ἀπολίπωσιν, ἢ ἀφροδισίων τι πρήξωσι. τούτων πάντων οὐδὲν λανθάνει, οὐδ' εἰ σμικρόν τι εἴη ἀπειθήσας ὤνθρωπος, οὕτως ἐξηκρίβωται. οὗτοι πάντες οἱ τρόποι λέγονται τῶν προῤῥήσιων. ἐγὼ δὲ τοιαῦτα μὲν οὐ μαντεύσομαι. σημεῖα δὲ γράφω, οἷσι χρὴ τεκμαίρεσθαι τούς τε ὑγιέας ἐσομένους τῶν ἀνθρώπων, καὶ τοὺς ἀποθανουμένους. τούς τε ἐν ὀλίγῳ χρόνῳ, ἢ ἐν πολλῷ ὑγιέας ἐσομένους, ἢ ἀπολουμένους. γέγραπται δέ μοι καὶ περὶ ἀποστασίων, ὡς χρὴ ἐπισκέπτεσθαι ἑκάστας. δοκέω δὲ καὶ τοὺς προειπόντας περί τε τῶν χωλωσίων, καὶ τῶν ἄλλων τῶν τοιουτέων ἤδη ἀποστηριζομένου τοῦ νοσήματος προειπεῖν, καὶ δήλου ἐόντος, ὅτι οὐ παλινδρομήσει ἡ ἀπόστασις, ἐπὴν νόσον εἶχον πολὺ μᾶλλον, ἢ πρὶν ἄρχεσθαι τὴν ἀπόστασιν γινομένην. ἐλπίζω δὲ καὶ τἄλλα προῤῥηθῆναι θανάτους τε καὶ νοσήματα καὶ μανίας. ταῦτα δέ μοι δοκεῖ τοιαῦτα γενέσθαι, καὶ οὐδέν τι δοκεῖ χαλεπὰ εἶναι προειπεῖν τῷ βουλομένῳ τὰ τοιάδε διαγωνίζεσθαι. πρῶτον μὲν γὰρ τοὺς ἐφύδρους τε καὶ φθινώδεας τίς οὐκ ἂν γνοίη; ἔπειτα

τοὺς παραφρονήσαντας ἔστι μὴ πολὺ λανθάνειν, εἴτις εἰδείη οἷσι τὸ νόσημα τοῦτο ἢ ξυγγενές ἐστιν, ἢ πρόσθεν ποτ' ἐμάνησαν. εἰ γὰρ οὗτοι οἱ ἄνθρωποι οἰνόφλυγες εἶεν, ἢ κρεηφαγοῖεν, ἢ ἀγρυπνοῖεν, ἢ τῷ ψύχει ἢ τῷ θάλπει ἀλογίστως ὁμιλέοιεν, πολλαὶ ἐλπίδες ἐκ τουτέων τῶν διαιτημάτων, παραφρονῆσαι αὐτούς. τούς τε τὰς αἱμοῤῥοΐδας ἔχοντας, εἴτις ὁρώη τοῦ χειμῶνος πολυποτέοντάς τε καὶ εὐχρόους ἐόντας, ἔστι προειπεῖν ἀμφὶ τούτων. εἰ γὰρ τὸ ἔαρ καταῤῥαγείη αὐτοῖσι τὸ αἷμα, πολλαὶ ἐλπίδες, ὥστε ἀχρόους τε καὶ ὑδαλέους ὑπὸ τὴν θερείην τούτους εἶναι. ἀλλὰ χρὴ προλέγειν καταμανθάνοντα πάντα ταῦτα, ὅστις τῶν τοιουτέων ἐπιθυμέει ἀγωνισμάτων. ἔστι γὰρ ἐκ τῶν γεγραμμένων προειπεῖν, καὶ θάνατον, καὶ μανίην, καὶ εὐεξίην. ἐνποίμα δ' ἂν καὶ ἄλλα πάμπολλα τοιαῦτα, ἀλλὰ τὰ εὐγνωστότατα ἔδοξέ μοι γράψαι. συμβουλεύω δὲ ὡς σωφρονεστάτους εἶναι, καὶ ἐν τῇ ἄλλῃ τέχνῃ, καὶ ἐν τοῖσι τοιούτοισι προῤῥήμασι. γνόντας ὅτι ἐπιτυχὼν μὲν ἄν τις τοῦ προῤῥήματος, θαυμαστὸς ἂν εἴη ὑπὸ τοῦ ξυνιέντος ἀλγέοντος. ἁμαρτὼν δ' ἄν τις, πρὸς τῷ μισεῖσθαι, τάχ' ἂν καὶ μεμηνέναι δόξειεν. ὧν δὴ εἵνεκα κελεύω, σωφρόνως τὰ προῤῥήματα ποιέεσθαι, καὶ τἄλλα πάντα καὶ ταῦτα. καίτοιγε ἀκούω καὶ ὁρῶ οὔτε κρίνοντας ὀρθῶς τοὺς ἀνθρώπους τὰ λεγόμενά τε καὶ ποιεύμενα ἐν τῇ τέχνῃ, οὔτ' ἀπαγγέλλοντας. ἀμφὶ δὲ τῶν γυμναζομένων καὶ ταλαιπωρεόντων, τὰς μὲν ἀτρεκείας τὰς λεγομένας ὡς λέγουσιν οἱ λέγοντες, οὔτε δοκέω εἶναι, οὔτ' εἴτις δοκέει, κωλύω δοκέειν. ὑπὸ σημείου μὲν γὰρ οὐδενὸς βλάπτεται τὰ ὑπονοήματα, οὔτε καλοῦ, οὔτε κακοῦ, ὃ χρὴ πιστεύσαντα εἰδέναι, εἴτε ὀρθῶς ἀπήγγελται, εἴτε οὔ. ἄλλως δὲ ἐκποιέει τῷ βουλομένῳ πιστεύειν, οὐ γὰρ ἐμποδὼν ἵσταμαι. δοκέω δὲ αὐτῶν εἶναι ἀληθὲς λέγεσθαι, ἢ τῶν δὲ τῶν περὶ τοὺς γυμναζομένους, ἢ ἐκείνων τῶν πρότερον γεγραμμένων, πρῶτον μὲν τῷ σημείῳ τεκμήρασθαι τοῦτον γνόντα. ἔπειτα ἐνδιαστῶς τε καὶ ἀνθρωπίνως προειπεῖν. ἅμα δὲ καὶ τοὺς ἀπαγγέλλοντας τερατωδεστέρους διηγεῖσθαι ἢ ὡς ἐγένοντο. ἐπεὶ οὐδὲν τῇσι νούσοισιν εὐπετὲς γινώσκειν τὰ ἁμαρτήματα. καίτοι κατάκεινταί γε οἱ ἄνθρωποι, καὶ διαιτήμασιν ὀλιγοτρόφοισι χρῶνται. ὥστε μὴ πάμπολλα δεῖ ὁρᾶσθαι ὑπὸ σκεπτόμενον τὸν μελεδαίνοντα. οἱ μὲν γὰρ πίνουσι μόνον. οἱ δὲ πρὸς τῷ πίνειν, ἢ ῥόφημα ἢ σιτίον βέλτιστον ἐπιφέρονται. ἀνάγκη οὖν ἐν τῷ τοιούτῳ, τοὺς μὲν τῷ ποτῷ πλέονι χρησαμένους, δυσπνοωτέρους γίνεσθαι, καὶ οὐρέοντας πλέον φαίνεσθαι. τοὺς δὲ τῷ ῥοφήματι ἢ τῷ σιτίῳ πλεονάσαντας, διψῆν τε μᾶλλον καὶ πυρεταίνειν. εἰ δέ τις ἀμφοτέροις καὶ τῷ ποτῷ, καὶ τοῖσι περὶ τὰ σιτία ἀμέτρως χρήσαιτο, πρὸς τῷ πυρεταίνειν καὶ δυσπνοεῖν, καὶ τὴν γαστέρα περιτεταμένην ἂν καὶ μέζω ἔχειν. ἔξεστι δὲ καὶ ταῦτα πάντα καταβασανίζειν κάλλιστα, καὶ τἄλλα τοῖσιν δοκιμίοισι, οἷσιν ἔχομέν τε καὶ χρεόμεθα εὖ πάντα. πρῶτον μὲν γὰρ τῇ γνώμῃ τε καὶ τοῖσιν ὀφθαλμοῖσιν ἄνθρωπον κατακείμενον ἐν τῷ αὐτῷ, καὶ ἀτρεκέως διαιτώμενον, ῥᾷον ἐστὶ γνῶναι, ἤν τι ἀπειθήσῃ, ἢ περιοδοιπορέοντα, καὶ πάμπολλα ἐσθίοντα. ἔπειτα τῇσι χερσὶ ψαύσαντα τῆς γαστρός τε καὶ τῶν φλεβῶν, ἧσσόν ἐστιν ἐξαπατᾶσθαι ἢ μὴ ψαύσαντα. αἵτε ῥῖνες, ἐν μὲν τοῖσι πυρεταίνουσι, πολλά τε καὶ καλῶς σημαίνουσιν. αἱ γὰρ ὀδμαὶ, μέγα διαφέρουσιν. ἐν δὲ τοῖσιν ἰσχύουσί τε καὶ ὀρθῶς διαιτωμένοισιν, οὐκ οἶδα τί ἂν χρησαίμην. οὐδ' ἐν τούτῳ τῷ δοκιμίῳ. ἔπειτα τοῖς ὠσὶ, τῆς φωνῆς ἀκούσαντα καὶ τοῦ πνεύματος ἔστι διαγινώσκειν, ἃ ἐν τοῖσιν ἰσχύουσιν, οὐχ ὁμοίως ἐστὶ δῆλα. ἀλλ' οἷος πρόσθεν. ἢν τὰ ἤθεα τῶν νοσημάτων τε καὶ τῶν ἀλγεόντων ἐκμάθῃ ὁ ἰητρὸς, οὐ χρὴ προλέγειν οὐδέν. οὐ γὰρ ἂν δυσπνούστερος ἄνθρωπος γένοιτο, ἔτι πλανωμένης τῆς νόσου, καὶ πυρετήνειεν ὀξυτέρῳ πυρί. καὶ ἡ γαστὴρ ἐπιταθείη. ὥστε διὰ ταῦτα, οὐκ ἀσφαλὲς προλέγειν πρόσθεν, πρὶν ἂν κατάστασιν λαβεῖν τὸ νόσημα. μετὰ δὲ τοῦτον τὸν χρόνον ὅτι ἂν παράλογον γένηται λέγειν χρή. δῆλα δὲ τὰ διὰ τὴν ἀπειρίην γινόμενα κακά. αἵτε γὰρ δύσπνοιαι, καὶ τἄλλα ταῦτα, τῇ ὑστεραίῃ πεπαύσεται. ἢν δ' ἁμαρτάδα γένηται. ἢν οὖν τις ταύτην τὴν κρίσιν περὶ ἰδίων λέγῃ, οὐχ ἁμαρτήσεται. ἐγὼ μὲν νῦν τόνδε τὸν τρόπον ἐξηγέομαι τὴν ἐπίσκεψιν, καὶ περὶ τῶν οἴκοι μενόντων, οἷα ἐξαμαρτάνουσιν. καὶ περὶ τῶν γυμναζομένων τε καὶ τῶν ἄλλων πάντων. τὰς δ' ἀκριβείας κείνας ἀκούω τε καὶ καταγελῶ τῶν ἀπαγγελλόντων. σμικρὰ μὲν γὰρ ἀπειθούντων τῶν ἀνθρώπων, οὐκ οἶδ' ὅπως ἂν ἐλέγξαιμι. εἰ δ' εἴη μείζονα τὰ ἁμαρτήματα, ὃν τινα τρόπον ὑποσκέπτεσθαι χρὴ, γράφω. χρὴ δὲ πρῶτον μὲν τὸν ἄνθρωπον ἐν ᾧ μέλλει τις γνώσεσθαι τὰ ἀπειθούμενα, ἅπασαν ἡμέρην ὁρᾶν, ἐν τῷ αὐτῷ τε χωρίῳ, καὶ τὴν αὐτὴν ὥρην, μάλιστα τῆς ἡμέρης ἥλιος νεωστὶ κατα-

λάμπει

λάμπει, τοῦτον γὰρ τὸν χρόνον ὑποκεκρυμμένος ἂν εἴη. καὶ νῆστις ἂν ἔτι δεῖ, καὶ τεταλαιπωρηκὼς οὐδὲν, πλὴν τῶν ὀρθρινῶν περιπάτων, ἐν οἷς ἥκιστα ἀπαθεῖ. ἤν γε ἐπανεγερθεὶς ἄνθρωπος δὴ τὴν περίοδον καταστῇ. ὥστε ἀνάγκη τὸν δικαίως διαιτώμενον μάλιστα ταύτην τὴν ὥρην, ὁμαλῶς ἔχειν τὴν κατάστασιν τοῦ χρώματός τε, καὶ τοῦ ξύμπαντος σώματος, διὸ καὶ ὁ ἐπιμελούμενος ὀξύτατός τ' ἂν εἴη καὶ τὸν νόον καὶ τοὺς ὀφθαλμοὺς, ὑπὸ τοῦτον τὸν χρόνον. ἐνθυμέεσθαι δὲ χρὴ καὶ τοῦ ἀνθρώπου, τὴν γνώμην. τοὺς τρόπους. τοῦ σώματος τὴν δύναμιν. ἄλλοι γὰρ ἄλλα ῥηϊδίως ἐπιτελοῦσι τῶν προστασσομένων, καὶ χαλεπῶς. πρῶτον μὲν οὖν ὁ λιμαγχεόμενος εἰ πλείονα φάγῃ τε καὶ πίῃ, τούτοισι δῆλος ἔσται, καὶ ὀγκηρότερον αὐτοῦ τὸ σῶμα φανεῖται, καὶ λιπαρότερον καὶ εὐχρούστερον ἔσται, ἢν μὴ κακῶς διακεχωρήκῃ τὰ ἀπὸ τῆς γαστρὸς αὐτῷ. ἔσται δὲ καὶ εὐθυμότερος ἐν τῇ ταλαιπωρίῃ. σκεπτέον δὲ καὶ ἤν τι ἐρυγγάνῃ ἢ ὑπὸ φύσης ἔχηται. ταῦτα γὰρ προσήκει γίνεσθαι, τοῖσιν ὧδε διακειμένοισι, ἐν ταύτῃ τῇ ἁμαρτάδι. ἢν δὲ ἐσθίειν τε ἤδη ἀναγκαζόμενος συχνὰ, καὶ ταλαιπωρέειν ἰσχυρῶς, ἢ τὸ σιτίον μὴ καταφάγῃ, ἢ θωρηχθῇ, ἢ μὴ περιέλθῃ ἀπὸ τοῦ δείπνου συχνοῦ, ὧδε ὑποσκέπτεσθαι. τὸ μὲν δεῖπνον εἰ μὴ καταφάγοι, περιπατῆσαι δὲ τὰ μεμαθηκότα, ἥδιόν τε ἂν προσδέοι, ὀξύτερός τε καὶ ἐργαστικώτερος, ἐν τοῖσι γυμνασίοισι. ὁ δ' ἀπόπατος, σμικρότερός τε καὶ ξυνεστηκὼς μάλισ' ἂν τούτῳ γένοιτο. ἢν δὲ τὸ δεῖπνον καταφαγὼν μὴ περιπατέῃ ἐρυγγάνοι τ' ἂν, καὶ φυσώδης εἴη. καὶ πλῆθος οὐκ ἔλασσον φαίνοιτο. καὶ ἱδρώσῃ ἂν μᾶλλον ἢ πρόσθεν ἐν τῇ ταλαιπωρίῃ. καὶ δύσυπνος ἂν εἴη καὶ βαρύς. αἵ τε διέξοδοι τῆς κοιλίης, μέζονές τε καὶ ἧσσον γλίσχραι τουτέων γένοιτ' ἄν. εἰ δὲ μήτε τὸ σιτίον καταναλώσειε, μήτε περιπατήσειε, νωθρότερος ἂν εἴη καὶ ὀγκωδέστερος. εἰ δὲ μεθυσθείη, ἱδρώῃ τ' ἂν μᾶλλον ἢ πρόσθεν, καὶ δύσυπνος ἂν εἴη, καὶ βαρύτερος αὐτὸς ἑωυτοῦ, καὶ ὑγρότερος. εἴη δ' ἂν καὶ εὐθυμότερος, ἤν μή τι αὐτῷ ἡ κεφαλὴ ἀνιῷτο. γυναικὶ δὲ χρησάμενος ἅπαξ, ὀξύτερός τ' ἂν εἴη καὶ λελυμένος μᾶλλον. εἰ δὲ πλειστάκις διαπρήξαιτο, σκληρότερος ἂν γένοιτο, καὶ αὐχμηρόν τι ἔχων. καὶ ἀχρούστερός τε καὶ κοπιώδης μᾶλλον. ἀποπάτους δὲ χρὴ διαχωρέειν τοῖσι ταλαιπωρέουσιν, ἐς ἂν ὀλιγοσιτέωσί τε καὶ ὀλιγοποτέωσι, σμικρούς τε καὶ σκληρούς. ἢν δὲ πᾶσαν ἡμέρην, ἤν τε καὶ διὰ τρίτης, ἢ τετάρτης, ἢ διὰ πλείονος χρόνου διαχωρέῃ, κίνδυνος ἢ πυρετὸν, ἢ διάῤῥοιαν ἐπιλαβεῖν. ὅσα δὲ ὑγρότερα δεῖ τῶν διαχωρημάτων, ἢ ὥστε ἐκτυποῦσθαι ἐν τῇ διεξόδῳ, ταῦτα δὲ πάντα τοῖσι κακίω. τοῖσι δὲ συχνὰ ἐσθίουσιν ἤδη, καὶ πολλὰ ταλαιπωρέουσι, τὴν διέξοδον χρὴ μαλθακὴν ἐοῦσαν, ξηρὴν εἶναι. πλῆθος δὲ τῶν τε εἰσιόντων κατὰ λόγον τῆς ταλαιπωρίης. διαχωρέει δὲ ἀπὸ τῶν ἴσων σιτίων. τοῖσι μὲν ἐλάχιστα ταλαιπωρέουσι, πλεῖστα. τοῖσι δὲ ταλαιπωρέουσι πλεῖστα, σμικρὸν, ἢν ὑγιαίνωσί τε καὶ δικαίως διαιτῶνται, ἀλλὰ πρὸς ταῦτα συμβάλλεσθαι. αἱ δὲ ὑγρότεραι τῶν διαχωρήσεων καὶ ἄτερ πυρετῶν γινόμεναι, καὶ ἑβδομαῖαι, καὶ θᾶσσον κρινόμεναι, λυσιτελέουσιν ἅπαξ πᾶσαι γινόμεναι, καὶ μὴ ὑποστρέφουσαι. εἰ δ' ἐπιπυρεταίνοιεν οἱ ἄνθρωποι, ἢ ὑποστρέφοιεν αἱ διάῤῥοιαι, εἰ μακραὶ γίγνοιντο, πάντως πονηραὶ, εἴτε χολώδεες ἦσαν, εἴτε φλεγματώδεες, εἴτε ὠμαί. καὶ διαιτημάτων τε ἰδίων προσδεόμεναι ἑκάσται, καὶ φαρμακευσίων ἄλλαι ἄλλων. Οὖρον δὲ χρὴ κατά τε τὸ τοῦ πινομένου πλῆθος διουρέεσθαι, καὶ ἴσον αἰεί. καὶ ἀθρόον ὡς μάλιστα καὶ ῥέπον ὀλίγον παχύτερον, ἢ οἷον ἐπόθη. εἰ δὲ εἴη ὑδατῶδές τε, καὶ πλέον τοῦ προστασσομένου πίνεσθαι, σημαίνει μὴ πείθεσθαι τὸν ἄνθρωπον, ἀλλὰ πλέονι ποτῷ χρῆσθαι, ἢ οὐ δύνασθαι ἀναστραφῆναι, ἐς ἂν τὰ τοιαῦτα ποιέῃ τὸ οὖρον. εἰ δὲ κατ' ὀλίγον τρύζοι τὸ οὖρον, σημαίνει ἢ φαρμακευσίου δέεσθαι τὸν ἄνθρωπον, ἢ νόσημά τι τῶν περὶ κύστιν ἔχειν. ἅμα δὲ οὐρῆσαι, ὀλιγάκις μὲν καὶ ἄτερ πυρετοῦ καὶ ὀδύνης οὐδὲν κακὸν σημαίνει, ἀλλὰ κόπων λύσις γίνεται. εἰ δὲ πολλάκις οὐρέοι, ἤ τι τούτων προσγίνοιτο, δεινόν. ἀλλὰ προλέγειν ἤν τε ξὺν ὀδύνῃς οὐρέηται, ἤν τε ξὺν πυρετῷ, πῦον ἐπιδιουρήσειν, καὶ οὕτω παύεσθαι τῶν ἀλγεόντων. παχὺ δὲ οὖρον λεπτὴν ὑπόστασιν ἔχον, σημαίνει ἢ περὶ τὰ ἄρθρα τινὰ ὀδύνην καὶ ἔπαρσιν. αἱ δ' ἄλλαι ὑποστάσιες αἱ ἐν τοῖσιν οὔροισι τῶν γυμναζομένων πᾶσαι ἀπὸ τῶν νοσημάτων γίνονται τῶν περὶ τὴν κύστιν. δῆλον δὲ ποιήσουσι, ξὺν ὀδύνῃσί τε γὰρ ἔσονται, καὶ δυσαπάλλακτοι. καὶ ταῦτα μὲν γράφω περὶ τούτων καὶ λέγω τοιαῦτα ἕτερα. ὧν δὲ δι' ἀκρίβειαν κατηγορέονται τῶν προῤῥήσεων, τοῖσι μὲν αὐτῶν, αὐτὸς ξυνεγενόμην, τῶν δὲ παισί τε καὶ μαθητῇσιν ἐλεσχηνευσάμην. τῶν δὲ ξυγγράμ-

ματα ἔλαβον. ὥς τε εὖ εἰδῶς οἷα ἕκαστος αὐτῶν ἐφρόνει. καὶ τὰς ἀκριβείας οὐδαμοῦ εὑρὼν, ἐπεχείρησα τάδε γράφειν.

Περὶ δὲ ὑδρώπων τε καὶ φθισίων, καὶ τῶν ποδαγρῶν, τῶν τε λαμβανομένων ὑπὸ τῆς ἱερῆς νόσου καλεομένης, τάδε λέγω. κατὰ μέν τι περὶ πάντων, τὸ αὐτό. τὸν γὰρ ξυγγονέα τουτέων τῶν νουσημάτων ἐστὶν εἰδέναι δυσαπάλλακτον ἐόντα. τὰ δὲ ἄλλα καθ' ἕκαστον γράψω. χρὴ δὲ τὸν ὑπὸ τοῦ ὕδρωπος ἐχόμενον καὶ μέλλοντα περιέσεσθαι, εὐσπλαγχνόν τε εἶναι, καὶ ἀνατείνεσθαι, καὶ φῦσιν ἅμα πέπτεσθαί τε εὐπετέως. εὔπνοόν τε ἐόντα, ἀνώδυνον εἶναι καὶ χλιαρόν. ὁμαλῶς πᾶν τὸ σῶμα ἔχειν καὶ μὴ περιτετηκὸς περὶ τὰ ἔσχατα. κρέσσον δὲ ἐπάρματα μᾶλλον ἔχειν ἐν τοῖσιν ἀκρωτηρίοισι. ἄριστον δὲ μηδὲ ἕτερον τούτων, ἀλλὰ μαλακά τε χρὴ καὶ ἰσχνὰ εἶναι τὰ ἀκρωτήρια. καὶ τὴν γαστέρα μαλθακὴν εἶναι, ψαυομένην. βῆχα δὲ μὴ προσεῖναι, μὴ δὲ δίψαν, μὴ δὲ τὴν γλῶσσαν ἐπιξηραίνεσθαι, ἔν τε τῷ ἄλλῳ χρόνῳ, καὶ μετὰ τοὺς ὕπνους. γίνεται δὲ ταῦτα, κάρτα. τὰ δὲ σιτία ἡδέως δέχεσθαι. καὶ ἐσθίοντα ἱκανὰ, μὴ πονεῖσθαι. τὴν δὲ κοιλίην πρὸς μὲν τὰ φάρμακα, ὀξείην εἶναι. τὸν δ' ἄλλον χρόνον διαχωρέειν μαλθακὸν ἐκτετυπωμένον. τὸ δὲ οὖρον φαίνεσθαι περαιούμενον πρὸς τὰ ἐπιτηδεύματα, καὶ τῶν οἴνων τὰς μεταβολάς. τὴν δὲ ταλαιπωρίην εὐπετῶς φέρειν, καὶ ἄκοπον εἶναι. ἄριστον μὲν οὕτω πάντα διακεῖσθαι τὸν ἄνθρωπον, καὶ ἀσφαλέστατ' ἂν γένοιτο ὑγιής. εἰ δὲ μὴ, ὡς πλεῖστα τουτέων ἐχέτω. ἐν ἐλπίσι γὰρ ἔσται περιγενέσθαι. ὃς δ' ἂν μηδὲν τούτων ἔχῃ, ἀλλὰ τὰ ἐναντία, ἀνέλπιστον ἐόντα εἰδέναι. ὃς δ' ἂν τούτων ὀλίγα ἔχῃ, ἀφημὶ χρηστὰ εἶναι τῷ ὑδρωπιῶντι προσόντα, ὀλίγαι ἐλπίδες αὐτῷ. ᾧ δ' ἂν αἱμοῤῥαγέῃ πολλὸν ἄνω καὶ κάτω, καὶ πυρετὸς ἐπιγένηται, ὕδατος ἐμπλησθῆναι πολλαὶ ἐλπίδες ἔσονται, καὶ τῶν ὑδρώπων, οὗτος ὀλιγοχρονιώτατός τε, καὶ ἐν τοῖσιν ἀφυκτοτάτοισιν. ἄλλω δὲ προσημαίνειν περὶ τούτου. οἷσι δὲ οἰδήματα μεγάλα γινόμενα καταμαραίνεται, καὶ αὖθις ἐπαίρεται, οὗτοι δὲ μᾶλλον περιγίνονται τῶν ἐκ τῶν αἱμάτων τῆς ἀναῤῥήξιος, ἐμπιπραμένων. ἐξαπατέουσι δὲ τοὺς ἀλγέοντας οὗτοι οἱ ὕδρωπες, ὥς τε ποιέουσιν αὐτοὺς ἀπιόντας τοῖσιν ἰητροῖσιν ἀπόλλυσθαι.

Περὶ δὲ τῶν φθινόντων, κατὰ μὲν τὸ πτύελον καὶ τὴν βῆχα, ταῦτα λέγω, ἅπερ περὶ τῶν ἐμπύων ἔγραφον. χρὴ γὰρ τὸ πτύελον τῷ μέλλοντι καλῶς ἀπαλλάξειν, εὐπετέως τε ἀναβήσσεσθαι, καὶ εἶναι λευκὸν. καὶ ὁμαλὸν. καὶ ὁμόχροον. καὶ ἄφλεγμαντον. τὸ δ' ἀπὸ τῆς κεφαλῆς καταῤῥέον, εἰς τὰς ῥῖνας τρέπεσθαι. πυρετὸν δὲ μὴ λαμβάνειν, ὥστε τῶν δείπνων μὴ κωλύεσθαι, μὴ δὲ δίψην. ἡ δὲ γαστὴρ ὑποχωρεέτω πᾶσαν ἡμέρην. καὶ τὸ ὑποχωρέον ἔστω σκληρὸν. πλῆθος δὲ κατὰ τὰ εἰσιόντα. τὸν δὲ ἄνθρωπον ὡς ἥκιστα λεπτὸν εἶναι. τὸ δὲ στῆθος ἐπαινεῖν χρὴ, τετράγωνόν τε ἐὸν, καὶ λάσιον. καὶ ὁ χόνδρος αὐτοῦ μικρὸς ἔστω. καὶ σεσαρκωμένος ἰσχυρῶς. ὅς τις μὲν γὰρ ταῦτα πάντα ἔχει, περιεστηκότατος γίνεται. ὃς δ' ἂν μηδὲν τούτων ἔχῃ, ὀλεθριώτατος. ὅσοι δ' ἂν ἔμπυοι γένωνται, νέοι ἐόντες ἐξ ἀποσκήψιος, ἢ σύριγγος, ἢ ἀπ' ἄλλου τινὸς τῶν τοιούτων, ἢ ἐκ παλινδρομίης ἀποστάσιος, οὐ περιγίνονται, ἢν μὴ πολλὰ κάρτα αὐτοῖσιν ἐπιγένηται τῶν ἀγαθῶν σημείων. ἀπόλλυνται δὲ οἱ ἄνθρωποι οὗτοι, ἐς τὸ φθινόπωρον. ἰσχυρῶς δὲ καὶ ἐκ τῶν ἄλλων νοσημάτων μακρῶν, ἐς τὴν ὥρην ταύτην τελευτῶσιν οἱ πλεῖστοι. τῶν δ' ἄλλων ἥκιστα περιγίνονται, αἵ τε παρθένοι καὶ αἱ γυναῖκες, ᾗσιν ἀπολήψει ἐπιμηνίων ἡ φθίσις γένηται. εἰ δὲ μέλλοι τις περιέσεσθαι τῶν παρθένων, ἢ τῶν γυναικῶν, τῶν τε ἄλλων σημείων τῶν τε ἀγαθῶν δεῖ πολλὰ ἐπιγενέσθαι, καὶ τὰ ἐπιμήνια λαμπρῶς τε καὶ καθαρῶς ἐπιφαίνεσθαι, ἢ οὐδεμία ἐλπίς. οἱ δὲ ἐκ τῶν αἱμάτων τῆς ἀναῤῥήξιος ἔμπυοι γινόμενοι τῶν τε ἀνδρῶν καὶ τῶν γυναικῶν καὶ τῶν παρθένων, περιγίνονται μὲν οὐχ ἧσσον. τὰ δὲ σημεῖα χρὴ πάντα ἀναλογισάμενον τά τε περὶ τῶν ἐμπύων καὶ τῶν φθινόντων προλέγειν, τόν τε περιεσόμενον, καὶ τὸν ἀπολλύμενον. μάλιστα δὲ περιγίνονται, ἐκ τῶν τοῦ αἵματος ἀναῤῥήξεων, οἷσιν ἂν ἀλγήματα ὑπάρχῃ μελαγχολικὰ, ἔν τε τῷ νώτῳ καὶ ἐν τῷ στήθει. καὶ μετὰ τὴν ἀνάῤῥηξιν ἀνωδυνώτεροι γένωνται. βῆχές τε γὰρ οὐ κάρτα ἐπιγίνονται καὶ πυρετοὶ, οἱ πλεῖστοι διατελέουσιν ἐόντες, δίψαν εὐπετέως φέροντες. ὑποστροφαὶ δὲ τῆς ἀναῤῥήξιος μάλιστα γίνονται τούτοισιν, εἰ μὴ ἀκρασίῃσιν ἐπιγένωνται. ἄρισται δὲ τῶν ἀποστασίων, αἱ αἱματηρόταται. ὁκόσοισι δὲ ἐν τοῖσι στήθεσιν ἀλγήματα ἔνεστι, καὶ διὰ χρόνου λεπτύνονταί τε καὶ βήσσουσι, καὶ δύσπνοιαι γίνονται, οὔτε πυρετῶν ἐπιλαμβανόντων, οὔτε ἐκπυημάτων ἐπιγινομένων, τούτους ἐπανερέσθαι, ὁκόταν

βήσσωσι

βήσσωσί τε καὶ δύσπνοοι ἔωσι, καὶ ξυνεστραμμένον τι καὶ μικρὸν οἴδημα ἔχον, ἐκβήσσωσι.

Περὶ δὲ ποδαγριώντων τάδε. ὅσοι μὲν ἢ γέροντες, ἢ περὶ τοῖσιν ἄρθροισιν ὑποπωρώματα ἔχουσιν, ἢ τρόπον ταλαίπωρον ζῶσι κοιλίας ξηρὰς ἔχοντες, οὗτοι μὲν πάντες ἀδύνατοι ὑγιέες γίνεσθαι ἀνθρωπίνῃ τέχνῃ, ὅσον ἐγὼ οἶδα. ἰῶνται μὲν τούτους, ἄρισται μὲν δυσεντερίαι, ἢν ἐπιγένωνται, ἀτὰρ καὶ ἄλλαι ἐκτήξιες ὠφελέουσι κάρτα, αἳ ἐς τὰ κάτω χωρία ῥέπουσαι. ὅς τις δὲ νέος ἐστὶ, καὶ ἀμφὶ τοῖσιν ἄρθροισιν οὔπω ὑποπωρώματα ἔχει καὶ τὸν τρόπον ἐστὶν ἐπιμελής τε καὶ φιλόπονος, καὶ κοιλίας ἀγαθὰς ἔχων, ὑπακούειν πρὸς τὰ ἐπιτηδεύματα, οὗτος δὴ ἰητροῦ γνώμην ἔχοντος ἐπιτυχὼν, ὑγιὴς ἂν γένοιτο. Τῶν δ' ὑπὸ τῆς ἱερῆς νόσου λαμβανομένων, χαλεπώτατοι μὲν ἐξίστασθαι. ὁκόσοισι δ' ἂν ἀπὸ παιδὸς ξυμβήσεται καὶ συνανδρωθῇ τὸ νόσημα, ἔπειτα δὲ ὅσοισιν ἂν γένηται ἐν ἀκμάζοντι τῷ σώματι τῆς ἡλικίης. εἰσὶ δ' ἂν ἀπὸ εἴκοσι καὶ πέντε ἐτέων, ἐν πέντε καὶ τεσσαράκοντα ἔτεα. μετὰ δὲ τούτους, ὅσοις ἂν γένηται τὸ νόσημα μηδὲν προσημαῖνον, ὁκόθεν ἄρχεται τοῦ σώματος. οἷσι δὲ ἀπὸ τῆς κεφαλῆς δοκέει ἄρχεσθαι, ἢ ἀπὸ τοῦ πλευροῦ, ἢ ἀπὸ τῆς χειρὸς, ἢ ποδὸς, εὐπετέστεραι ἰᾶσθαι. διαφέρει γὰρ καὶ ταῦτα. τὰ γὰρ ἀπὸ τῆς κεφαλῆς, τούτων χαλεπώτατα. ἔπειτα τὰ ἀπὸ τοῦ πλευροῦ. τὰ δὲ ἀπὸ τῶν χειρῶν τε καὶ τῶν ποδῶν μάλιστα οἷά τε ἐξυγιαίνεσθαι. ὑποχειρέειν δὲ χρὴ τουτέοισι τὸν ἰητρὸν, εἰδότα τὸν τρόπον τῆς ἰήσιος. ἢν ἔωσιν οἱ ἄνθρωποι νέοι τε καὶ φιλόπονοι. πλὴν ὅσον αἱ φρένες τι κακὸν ἔχουσιν. ἢ εἴ τις ἀπόπληκτος γέγονεν. αἱ μὲν γὰρ μελαγχολικαὶ αὗται ἐκστάσιες, οὐ λυσιτελέες. αἱ δὲ ἄλλαι, αἳ εἰς τὰ κάτω τρεπόμεναι, πᾶσαι ἀγαθαί. ἄρισται δὲ καὶ ἐνταῦθα πολλῷ, αἱ αἱματηρόταται. ὁπόσοι δὲ γέροντες ἤρξαντο λαμβάνεσθαι, ἀποθνήσκουσί τε μάλιστα, καὶ ἢν μὴ ἀπόλλωνται, τάχιστα ἀπαλλάσσονται ὑπὸ τοῦ αὐτομάτου. ὑπὸ δὲ τῶν ἰητρῶν ἥκιστα ὠφελέονται. Οἷσι δὲ τῶν παιδίων ἐξαπίνης οἱ ὀφθαλμοὶ διεστράφησαν, ἢ μεῖζόν τι κακὸν ἔπαθον, ἢ φύματα ὑπὸ τὸν αὐχένα ἐφύη, ἢ ἰσχνοφωνότεροι ἐγένοντο, ἢ βῆχες ξηραὶ χρόνιοι προσέχουσιν, ἢ ἐν τὴν γαστέρα μείζοσι γενομένοισιν ὀδύνη φοιτᾷ, καὶ οὐκ ἐκταράσσεται. ἢ ἐν τοῖσι πλευροῖσι διαστρέμματα ἔχουσιν. ἢ φλέβας παχέας περὶ τὴν γαστέρα κιρσώδεας. ἢ ἐπίπλοον καταβαίνει. ἢ ὄρχις μέγας γέγονεν ἢ χεὶρ λεπτὴ καὶ ἀκρατής. ἢ πούς. ἢ κνήμη ξύμπασα ἐχωλώθη, ἄτερ προφάσιος ἄλλης, τουτέοισι πᾶσιν εἰδέναι ὅτι ἡ νοῦσος προεγένετο, πρὸ τούτων ἁπάντων. καὶ οἱ μὲν πλεῖστοι τῶν τρεφόντων τὰ παιδία, ἐρωτώμενοι ὁμολογήσουσι, τοὺς δὲ καὶ λανθάνει. καὶ οὐ φασὶν εἰδέναι τοιοῦτον οὐδὲν γενόμενον. Τὸν δὲ περὶ τῶν ἑλκέων μέλλοντα γνώσεσθαι, ὅκως ἕκαστα τελευτήσῃ, πρῶτον μὲν χρὴ τὰ εἴδεα τῶν ἀνθρώπων ἐξεπίστασθαι, τά τε ἀμείνω πρὸς τὰ ἕλκεα καὶ τὰ κακίω. ἔπειτα τὰς ἡλικίας εἰδέναι, ὅποι ἧσιν ἕκαστα τῶν ἑλκέων, δυσαπάλλακτα γίνεται. τά τε χωρία ἐπισκέψασθαι τὰ ἐν τοῖσι σώμασιν, ὅσον διαφέρει θάτερα θατέρων. τά τε ἄλλα ὁκοῖα τε ἐφ' ἑκάστοισιν ὑπογίνεται ἀγαθά τε καὶ κακὰ εἰδέναι. εἰδὼς μὲν γὰρ ἄν τις ταῦτα πάντα, εἰδείη ἂν καὶ ὅκως ἕκαστα ἀποβήσεται. μὴ εἰδὼς δὲ ταῦτα, οὐκ ἂν εἰδείη, ὅπως αἱ τελευταὶ ἔσονται ἀμφὶ τῶν ἑλκέων. εἴδεα μὲν γὰρ ἀγαθά ἐστι τὰ τοιάδε. ἐλαφρά. καὶ ξύμμετρα. καὶ εὔσπλαγχνα. καὶ μήτε σαρκώδεα ἰσχυρῶς. μήτε σκληρά. κατὰ δὲ χρῶμα ἔστω λευκὸν, ἢ μέλαν, ἢ ἐρυθρόν. ταῦτα γὰρ πάντα ἀγαθὰ, ἄκρητα ἐόντα. εἰ δ' εἴη μιξόχλωρον, ἢ χλωρὸν, ἢ πελιδνὸν τὸ χρῶμα, κάκιον γίνεται. τὰ δὲ εἴδεα ὅσα ἂν τοῖσι προγεγραμμένοισι τἀναντία πεφύκῃ, εἰδέναι χρὴ κακίω ἐόντα. περὶ δὲ ἡλικιῶν, φύματα μὲν ἔμπυα γίνεται. καὶ τὰ χοιρώδεα ταῦτα πλεῖστα τῶν παιδίων ἴσχουσι. καὶ ῥᾷστα ἐξ αὐτέων ἀπαλλάσσει. τοῖσι δὲ γεραιτέροισί τε τῶν παιδίων, καὶ νεηνίσκοισιν, φύεται μὲν, ἐλάσσω. χαλεπώτερον δὲ, ἐξ αὐτέων ἀπαλλάσσουσι. τοῖσι δὲ ἀνδράσι, τὰ μὲν τοιαῦτα φύματα, οὐ κάρτα ἐπιγίνεται. τὰ δὲ κηρία, δεινά. καὶ οἱ κρυπτοὶ καρκῖνοι οἱ ὑποβρύχιοι. καὶ οἱ ἐκ τῶν ἐπινυκτίδων ἕρπητες ἐς ἂν ἑξήκοντα ἔτεα συχνῶς ὑπερβάλλωσι. τοῖσι δὲ γέρουσι τῶν μὲν τοιουτοτρόπων φυμάτων, οὐδὲν ἐπιγίνεται. οἱ δὲ καρκῖνοι οἱ κρυπτοὶ καὶ οἱ ἀκρόπαθοι γίνονται, καὶ ξυναποθνήσκουσι. τῶν δὲ χωρίων, μασχάλαι δυσιητότεραι. καὶ κενεῶνες τε καὶ μηροί. ὑποστάσιές τε γὰρ ἐν αὐτοῖσι γίνονται, καὶ ὑποστροφαί. Τῶν δὲ περὶ ἄρθρα, ἐπικινδυνώτατοι οἱ μεγάλοι δάκτυλοι, καὶ μᾶλλον οἱ τῶν ποδῶν. οἷσι δὲ τῆς γλώττης ἐν τῷ πλαγίῳ ἕλκος γίνεται πολυχρόνιον, καταμαθεῖν τῶν ὀδόντων, ἤν τις ὀξὺς τῶν κατ' αὐτό. Τὰ δὲ ῥώματα, θανατωδέστερα ἐστί, τὰ ἐν τὰς

φλέβας

φλέβας τὰς παχείας τὰς ἐν τῷ τραχήλῳ τε καὶ τοῖς βουβῶσιν. ἔπειτα δὲ τὸν ἐγκέφαλον καὶ ἐς τὸ ἧπαρ. ἔπειτα τὰ ἐς ἔντερον καὶ ἐς κύστιν. ἔστι δὲ ταῦτα πάντα ὀλέθρια, ἐόντα ἰσχυρῶς, οὐχ οὕτως ἄφυκτα ὡς δοκέει. τά τε γὰρ χωρία ὀνόματα ἔχοντα ταῦτα, μέγα διαφέρει, καὶ οἱ αὐτοὶ τρόποι. πολὺ δὲ διαφέρει, τοῦ αὐτοῦ ἀνθρώπου τοῦ σώματος ἡ παρασκευή. ἔστι μὲν γὰρ ὅτε οὔτ' ἂν πυρετήνειεν, οὔτε φλεγμήνειεν τρωθείς. ἔστι δ' ὅτε καὶ ἄνευ προφάσιος, ἐπυρέτηνεν ἄν, καὶ φλεγμανθείη τι τοῦ σώματος πάντως. ἀλλ' ἢν ὅτε ἕλκος ἔχων παραφρονέῃ, δυσπετέως τε φέρῃ τὸ τρῶμα, ἐγχειρέειν χρὴ τῷ τρώματι ὡς ἀκριβεστάτως κατὰ λόγον τῆς ἰητρείης τε, καὶ τῶν ἐπιγινομένων. ἀποθνήσκουσι μὲν γὰρ οἱ ἄνθρωποι, ὑπὸ τρωμάτων παντοίων. πολλαὶ μὲν γὰρ φλέβες εἰσὶ, καὶ λεπταὶ καὶ παχεῖαι. αἵ τινες αἱμοῤῥαγοῦσαι ἀποκτείνουσιν, ἢν αὐτῷ τύχωσιν ὀργῶσιν. ἃς ἐν ἑτέρῳ καιρῷ διακόπτοντες, ὠφελέουσι τὰ σώματα. πολλὰ δὲ τῶν τρωμάτων, ἐν χωρίοισί τε ἐστὶν εὐηθέσι, καὶ οὐδὲν τι δεινὰ φαινόμενα, οὕτως ὀδυνήσειεν ἡ πληγή, ὥστε μὴ δύνασθαι ἀναπνεῦσαι. ἄλλοι δὲ ὑπὸ τῆς ὀδύνης τοῦ τρώματος, οὐδὲν δή τι δεινοῦ ἐόντος, τὸ μὲν πνεῦμα ἀνήνεγκαν. παρεφρόνησαν δὲ καὶ πυρετήναντες ἀπέθανον. ὅσοι γὰρ ἂν ἢ τὸ σῶμα πυρετῶδες ἔχουσιν, ἢ τὰς γνώμας θορυβώδεας, τὰ δὲ αὐτὰ πάσχουσιν. ἀλλὰ χρὴ μήτε ταῦτα θαυμάζειν, μήτε ὀῤῥωδέειν, κεῖνα εἰδότα, ὅτι αἱ ψυχαί τε καὶ τὰ σώματα, πλεῖστον διαφέρουσιν αἱ τῶν ἀνθρώπων, καὶ δύναμιν ἔχουσι μεγίστην. ὅσα μὲν οὖν τῶν τρωμάτων καιροῦ ἔτυχεν, ἢ σώματός τε καὶ γνώμης τοιαύτης, ἢ ὀργῶντος οὕτω τοῦ σώματος, ἢ μέγεθος τοσαῦτα ᾖ, ὥστε μὴ δύνασθαι καταστῆναι τὸν ἄνθρωπον ἐς τὴν ἴησιν καταφρονέοντα, τοῖσι μὲν ἐξίστασθαι χρὴ ὁποῖα ἂν ᾖ, πλὴν τῶν ἐφημερίων λειποθυμιῶν. τοῖσι δ' ἄλλοισι πᾶσιν ἐπιχειρέειν, νεοτρώτοισι ἐοῦσιν, ὡς ἂν τούς τε πυρετοὺς διαφύγωσιν οἱ ἄνθρωποι, καὶ τὰς αἱμοῤῥαγίας τε καὶ τὰς νομὰς προμεσομένων. ἀτρεκέστατα δὲ καὶ ἐπὶ πλεῖστον χρόνον τὰς φυλακὰς αἰεὶ τῶν δεινοτάτων ποιέεσθαι. καὶ γὰρ δίκαιον οὕτως. αἱ δὲ νομαί, θανατωδέσταται μὲν, ὧν αἱ σηπεδόνες βαθύταται, καὶ μελάνταται καὶ ξηρόταται. πονηραὶ δὲ καὶ ἐπικίνδυνοι, ὅσαι μέλανα ἰχῶρα ἀναδιδοῦσιν. αἱ δὲ λευκαὶ καὶ μυξώδεες τῶν σηπεδόνων, ἀποκτείνουσι μὲν ἧσσον. ὑποστρέφουσι δὲ μᾶλλον. καὶ χρονιώτεραι γίνονται. οἱ δ' ἕρπητες, ἀκινδυνότατοι πάντων ἑλκέων ὅσα νέμεται. λυσιτελέει δὲ μάλιστα, κατά γε τοὺς κρυπτοὺς καρκίνους. ἐπὶ πᾶσι δὲ τοῖσι τοιουτέοισι, πυρετόν τε ἐπιγενέσθαι ξυμφέρει μίαν ἡμέρην, καὶ πύον ὡς λευκότατον, καὶ παχύτατον. λυσιτελέει δὲ καὶ σφακελισμὸς νεύρου, ἢ καὶ ὀστέου, ἢ καὶ ἀμφοῖν, ἐπί τε τῇσι βαθείῃσι σηπεδόσι καὶ μελαίνῃσι. πύον γὰρ ἐν τοῖσι σφακελισμοῖσι ῥεῖ πουλὺ, καὶ λύει τὰς σηπεδόνας. Τῶν δὲ ἐν κεφαλῇ τρωμάτων, θανατωδέστατα μὲν, τὰ ἐς τὸν ἐγκέφαλον ὡς καὶ πρὶν γέγραπται. δεινὰ δὲ καὶ τὰ τοιαῦτα πάντα. ὀστέον ψιλὸν μέγα. ὀστέον ἐμπεπλασμένον. ὀστέον κατεῤῥωγός. εἰ δὲ καὶ τὸ στόμα τοῦ ἕλκεος σμικρὸν εἴη, ἡ δὲ ῥωγμὴ τοῦ ὀστέου ἐπὶ πολὺ παραμένοι, ἐπικινδυνότερον ἐστί. ταῦτα δὲ πάντα δεινότερα γίνεται, ἢ κατὰ ῥαφήν τε ὄντα. καὶ τῶν χωρίων αἰεὶ, τὰ ἐν τοῖσι ἀνωτάτω τῆς κεφαλῆς. συμβαίνεσθαι δὲ χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀξίοις λόγου τρώμασιν, ἢν ἔτι νεότρωτοι αἱ πληγαὶ ἔωσιν, ἢ βλήματα ἔῃ, εἰ κατέπεσεν ἄνθρωπος ἢ εἰ ἐκαρώθη. ἢν γάρ τι τούτων ᾖ γεγονὸς, φυλακῆς πλείονος δεῖται, ὡς τοῦ ἐγκεφάλου ἐπακούσαντος τοῦ τρώματος. εἰ δὲ μὴ νεότρωτος ἔῃ, ἐς τὰ ἄλλα σημεῖα σκέπτεσθαι καὶ βουλεύεσθαι. ἄριστον μὲν οὖν μήτε πυρετῆναι, τὸν τὸ ἕλκος ἔχοντα ἐν τῇ κεφαλῇ, μήθ' αἷμα ἐπαναῤῥαγῆναι αὐτῷ, μὴ δὲ φλεγμονὴν, μηθ' ἅμα μηδεμίην ὀδύνην ἐπιγενέσθαι. εἰ δέ τι τούτων ἐπιφαίνοιτο, ἐν ἀρχῇσι τε γίνεσθαι ἀσφαλέστατον καὶ ὀλίγον χρόνον παραμένειν. ξυμφέρει δὲ ἐν τῇσιν ὀδύνῃσιν καὶ τὰς φλεγμονὰς τὰς ἐπὶ τοῖσιν ἕλκεσιν ἐπιγίνεσθαι. τῇσι δ' αἱμοῤῥαγίῃσι, πύον ἐπὶ τῇσι φλεψὶ φαίνεσθαι. τοῖσι δὲ πυρετοῖσιν ἃ ἐν τοῖσιν ὀξέσι νοσήμασιν ἔγραψα, ξυμφέρει ἐπὶ τούτοισι γενέσθαι ταῦτα. καὶ ἐνθάδε λέγω ἀγαθὰ εἶναι. τὰ δ' ἐναντία, κακά. ἄρξασθαι δὲ πυρετὸν ἐπὶ κεφαλῆς τρώσει τεταρταίῳ, ἢ ἑβδομαίῳ, ἢ ἑνδεκαταίῳ, θανατῶδες μάλα. κρίνεται δὲ τοῖσι πλείοσιν. ἢν μὲν τεταρταίου ἐόντος τοῦ ἕλκεος πυρετὸς ἄρξηται, ἐν τῇ ἑνδεκάτῃ. ἢν δ' ἑβδομαῖος ἐὼν πυρετήνῃ, ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ἢ ἑπτακαιδεκάτῃ. ἢν δὲ τῇ ἑνδεκάτῃ ἄρξηται πυρεταίνειν, ἐς τὴν εἰκοστήν, ὡς ἐν τοῖσι πυρετοῖσι διαγέγραπται, τοῖς ἄνευ προφάσεων ἐμφανέων γινομένοισι. τῇσι δ' ἀρχῇσι τῶν πυρετῶν, ἤν τε παραφροσύνη ἐπιγένηται, ἤν τε ἀπόπληξις τῶν

μελέων

μελέων τινὸς, εἰδέναι τὸν ἄνθρωπον ἀπολλύμενον, ἢν μὴ παντάπασι ἢ τῶν καλλίστων τι σημείων ἐπιγένηται, ἢ σώματος ἀρετὴ ὑπόκειται, ἀλλ' ὑποσκέπτεσθαι τὸν τρόπον τῷ ἀνθρώπῳ, ἔτι γὰρ αὕτη ἐλπὶς γίνεται σωτηρίας. χωλὸν δὲ γενέσθαι τὸ ἄρθρον ἐς ὃ ἀπεστήριξεν, ἀναγκαῖόν ἐστιν, ἢν ἄρα καὶ περιγένηται ὁ ἄνθρωπος.

Τὰ δὲ τρώματα τὰ ἐν τοῖσιν ἄρθροισι, μεγάλα μὲν ὄντα καὶ τελέως ἀποκόπτοντα τὰ νεῦρα τὰ συνέχοντα, εὔδηλον ὅτι χωλοὺς ἀποδείξει. εἰ δὲ ἐνδοιαστὸν εἴη ἀμφὶ τῶν νεύρων, ὅπως ἔχοι, ὀξέος μὲν ἐόντος τοῦ βέλεος τοῦ ποιήσαντος, ὀρθὸν τὸ τρῶμα εἶναι ἄμεινον ἢ ἐπικαρσίου. εἰ δ' εἴη βαρύ τε καὶ ἀμβλὺ τὸ τρῶσαν, οὐδὲν διαφέρει. ἀλλ' ἔσται βάθος τε τῆς πληγῆς σκέπτεσθαι, καὶ τ' ἄλλα σημεῖα. ἔστι δὲ τάδε. πύον ἢν ἐπιγένηται ὑπὸ τὸ ἄρθρον, σκληρότερον ἀνάγκη γενέσθαι. ἢν δὲ καὶ οἰδήματα συμπαραμένῃ, σκληρὸν ἀνάγκη πουλὺν χρόνον εἶναι τὸ χωρίον γίνεσθαι. καὶ τὸ οἴδημα ὑγιέος ἐόντος τοῦ ἕλκεος παραμένειν ἀνάγκη συγκάμπτεσθαί τε καὶ ἐκτείνεσθαι ὁκόσα ἂν τοῦ ἄρθρου καμπύλου ἐόντος θεραπεύηται. οἷσι δ' ἂν καὶ νεῦρον δοκέει ἐκπεσεῖσθαι, ἀσφαλεστέρως τὰ περὶ τῆς χωλώσιος ἢ προλέγειν, ἄλλως τε καὶ ἢν τῶν κάτωθεν νεύρων ᾖ τὸ ἐκλυόμενον. γνῶσις δὲ τοῖσι νεῦρον μέλλον ἐκπίπτειν. πύον λευκόν τε καὶ παχὺ, καὶ πουλὺν χρόνον ὑπορρέει. ὀδύναι τε καὶ φλεγμοναὶ γίνονται περὶ τὸ ἄρθρον ἐν ἀρχῇσι. τὰ δ' αὐτὰ ταῦτα γίνεται, καὶ ὀστέου μέλλοντος ἐκπεσεῖσθαι.

Τὰ δὲ ἐν τοῖσι ἀγκῶσι διακόμματα ἐν φλεγμονῇ μάλιστα ἐόντα, ἐς διαπύησιν ἀφικέεται, καὶ τομάς τε καὶ καύσιας. ὁ δὲ νωτιαῖος μυελὸς ἢν νοσέῃ ἤν τε ἐκ πτώματος, ἤν τε ἐξ ἄλλης τινὸς προφάσιος, ἤν τε ἀπὸ αὐτομάτου, τῶν τε σκελέων ἀκρατὴς γίνεται ὁ ἄνθρωπος, ὥς τε μηδὲ θιγγανόμενος ἐπαΐειν καὶ τῆς γαστρὸς καὶ τῆς κύστιος. ὥς τε τοὺς μὲν πρώτους χρόνους, μήτε κόπρον, μήτε οὖρον διαχωρέειν, ἢν μὴ πρὸς ἀνάγκην. ὅταν δὲ παλαιότερον γένηται τὸ νούσημα οὐκ ἐπιόντι τῷ ἀνθρώπῳ, ἥ τε κόπρος διαχωρέει, καὶ τὸ οὖρον. ἀποθνήσκει δὲ μετὰ ταῦτα, οὐ πολλῷ ὕστερον χρόνῳ. ὧν δὲ ἐμπίπλαται αἵματος ἡ φάρυγξ, πολλάκις τῆς ἡμέρης τε καὶ τῆς νυκτὸς ἑκάστης, οὔτε κεφαλὴν περιαλγήσαντι, οὔτε βηχὸς ἐχούσης, οὔτε ἐμέοντι, οὔτε πυρετοῦ λαμβάνοντος, οὔτε ὀδύνης ἐχούσης, οὔτε τοῦ στήθεος, οὔτε τοῦ μεταφρένου, τούτου κατιδεῖν ἐς τὰς ῥῖνας καὶ τὴν φάρυγγα, ἢν ἕλκος τι ἔχων φαίνηται ἐν τῷ χωρίῳ τούτῳ, ἢ βδέλλαν.

Ὀφθαλμοὶ δὲ λημῶντες ἄριστα ἐκπαλλάττουσιν, ἢν τό, τε δάκρυον, καὶ ἡ λήμη, καὶ τὸ οἴδημα, ἄρξηται ὁμοῦ γενόμενα. ἢν δὲ τὸ μὲν δάκρυον τῇ λήμῃ μεμιγμένον ᾖ, καὶ μὴ θερμὸν ἰσχυρῶς. ἡ δὲ λήμη λευκή τε ᾖ καὶ μαλθακή, τό, τε οἴδημα ἐλαφρόν τε καὶ λελυμένον, εἰ γὰρ οὕτω ταῦτ' ἔχοι, ξυμπλάσοιτ' ἂν ὀφθαλμὸς ἐς τὰς νύκτας ὥς τε ἀνώδυνος εἶναι, καὶ ἀκινδυνότατον οὕτως ἂν εἴη, καὶ ὀλιγοχρονιώτατον. εἰ δὲ τὸ δάκρυον χωρέει πουλὺ καὶ θερμὸν ξὺν ὀλιγίστῃ λήμῃ, καὶ σμικρῷ οἰδήματι, εἰ μὲν ἐκ τοῦ ἑτέρου τῶν ὀφθαλμῶν. χρόνιον μὲν κάρτα γίνεται. ἀκίνδυνον δέ. καὶ ἀνώδυνος οὗτος ὁ τρόπος. ἐν τοῖσι μάλιστα τήνδε κρίσιν ὑποσκέπτεσθαι. τὴν μὲν πρώτην, ἐς τὰς εἴκοσιν ἡμέρας. ἢν δ' ὑπερβάλλῃ τοῦτον τὸν χρόνον, ἐς τὰς τεσσαράκοντα προσδέχεσθαι. ἢν δὲ μὴ δ' ἐν ταύτῃσι παύηται, ἐν τῇσιν ἑξήκοντα κρίνεται. παρὰ πάντα δὲ τὸν χρόνον τοῦτον, ἐνθυμεῖσθαι τὴν λήμην, ἢν ἐν τῷ δακτύλῳ τε μίσγηται καὶ λευκή τε καὶ μαλθακὴ γίνεται, μάλιστα δ' ὑπὸ τοὺς χρόνους τοὺς κρισίμους. ἢν γὰρ μέλλῃ παύεσθαι, ταῦτα ποιήσει. εἰ δὲ οἱ ὀφθαλμοὶ ἀμφότεροι ταῦτα πάθοιεν, ἐπικινδυνώτεροι γίνονται ἑλκωθῆναι. ἡ δὲ κρίσις ἐλάσσονος χρόνου ἔσται. λῆμαι δὲ ξηραὶ, ἐπώδυνοι κάρτα. κρίνονται δὲ ταχέως, ἢν μὴ τρῶμα λάβῃ ὁ ὀφθαλμός. οἴδημα δὲ ἢν μέγα ᾖ, ἀνώδυνόν τε καὶ ξηρὸν ἀκίνδυνον. εἰ δὲ εἴη ξὺν ὀδύνῃ, κακὸν μὲν ξηρὸν ἐὸν καὶ ἐπικίνδυνον ἑλκῶσαί τε τὸν ὀφθαλμὸν, καὶ ξυμφῦσαι. δεινὸν δὲ καὶ ξὺν δακρύῳ τε ὂν καὶ ὀδύνῃ. εἰ γὰρ δάκρυον χωρέει, θερμὸν καὶ ἁλμυρὸν, κίνδυνος τῇ τε κόρῃ ἑλκωθῆναι, καὶ τοῖσι βλεφάροισιν. εἰ δὲ τὸ μὲν οἴδημα καταστάιη, δάκρυον δὲ πολὺ ἐπιχέεται πολὺν χρόνον, καὶ λῆμαι ἔωσι, τοῖσι μὲν ἀνδράσι, βλεφάρων ἐκτροπὴν προλέγειν. τῇσι δὲ γυναιξὶ, καὶ τοῖσι παιδίοισιν, ἑλκῶσιν, καὶ τῶν βλεφάρων ἐκτροπήν. ἢν δὲ λῆμαι χλωραὶ ἢ πελιδναὶ ἔωσι. καὶ δάκρυον πουλὺ καὶ θερμόν. καὶ ἐν τῇ κεφαλῇ καῦμα ᾖ. καὶ διὰ τοῦ κροτάφου ὀδύναι ἐς τὸν ὀφθαλμὸν καταστηρίξωσι. καὶ ἀγρυπνίη τουτέοισιν ἐπιγένηται, ἕλκος ἀνάγκη γενέσθαι ἐν τῷ ὀφθαλμῷ. ἐλπὶς δὲ καὶ ῥαγῆναι τὸ τοιοῦτον. ὠφελέει δὲ καὶ πυρετὸς ἐπιγενόμενος ἢ ὀδύνη, ἐς τὴν ὀσφὺν στηρίξασα. προλέγειν δὲ

δὲ τούτοισι

δεῖ τούτοισι τὰ ἐσόμενα, ἔς τε τὸν χρόνον σκεπτόμενον, ἔς τε τὰ ἐκ τοῦ ὀφθαλμοῦ ῥέοντα, διά τε τὰς προσωδυνίας τε καὶ ἀγρυπνίας. ἔπειτα δὲ καὶ τὸν ὀφθαλμὸν οἷόν τε ἦ κατιδεῖν. ἢν μὲν εὑρεθῇ ἐρρωγώς τε καὶ διὰ τῆς ῥωγμῆς ὑπορέχουσα ἡ ὄψις, πονηρὸν καὶ χαλεπὸν καθιδρῦσαι. εἰ δὲ καὶ σηπεδὼν ὑπῇ τῷ τοιούτῳ, τελέως ἄχρηστος ὁ ὀφθαλμὸς γίνεται. τοὺς δ' ἄλλους τρόπους τῶν ἑλκέων κατὰ τὰ χωρία σκεπτομένους προλέγειν, καὶ τάς τε σηπεδόνας καὶ βαθύτητας, ἀναγκαῖον κατὰ τὴν ἰσχὺν τῶν ἑλκέων τὰς οὐλὰς γίνεσθαι. οἷσι μὲν οὖν ῥήγνυνται οἱ ὀφθαλμοί, καὶ μετὰ ὑπερέχουσιν ὥς τε ἔξω τὴν ὄψιν τῆς χώρης εἶναι, ἀδύνατοι ὠφελέεσθαι καὶ χρόνῳ καὶ τέχνῃ εἰς τὸ βλέπειν. τὰ δὲ σμικρὰ μετακινήματα τῶν ὄψεων οἷά τε καθιδρύεσθαι, ἢν μήτε κακὸν ἐπιγένηται μηδέν, ὅ, τε ἄνθρωπος νέος ᾖ. αἱ δὲ ἐκ τῶν ἑλκέων οὐλαί, οἷσιν ἂν μὴ κακόν τι ἄλλο προσῇ, πᾶσαι οἷαί τε ὠφελέεσθαι καὶ ὑπὸ τῶν χρόνων καὶ ὑπὸ τῆς τέχνης. μάλιστα δὲ αἱ νεώταταί τε καὶ ἐν τοῖσι νεωτάτοισι τῶν σωμάτων. τῶν δὲ χωρίων, μάλιστα μὲν αἱ ὄψιες βλάπτονται ἑλκούμεναι. ἔπειτα τὸ ὑπεράνω τῶν ὀφρύων. ἔπειτα δὲ καὶ ὅ, τι ἂν ἄγχιστα ᾖ τούτων τῶν τόπων. αἱ δὲ κόραι γλαυκούμεναι, ἢ ἀργυροειδέες γινόμεναι, ἢ κυάνεαι, οὐδὲν χρηστόν. τουτέων δέ, ὀλίγαι ἀμείνους. ὁκόσαι ἢ σμικρότεραι φαίνονται, ἢ εὐρύτεραι, ἢ γωνίας ἔχουσαι, εἴτ' ἐκ προφασίων τοιαῦται γινοίατο, εἴτ' αὐτόμαται. ἀχλύες, καὶ νεφέλαι, καὶ αἰγίδες ἐκλεαίνονταί τε καὶ ἀφανίζονται, ἢν μὴ τρῶμά τι ἐπιγένηται ἐν τούτῳ τῷ χωρίῳ. ἢ πρόσθεν τύχῃ οὐλὴν ἔχων ἐν τῷ χωρίῳ τούτῳ, ἢ πτερύγιον. ἢν δὲ παράληψις γένηται ἀπολευκάνῃ τοῦ μέλανος μόριόν τι, εἰ πουλὺν χρόνον παραμένῃ, καὶ τρηχείη τε καὶ παχείη, καὶ μνημόσυνον ὑποκαταλιπεῖν. αἱ δὲ κρίσιες ὡς ἐν τοῖσι πυρετοῖσιν ἔγραψα, οὕτω καὶ ἐνθάδε ἔχουσιν. ἀλλὰ χρὴ τὰ σημεῖα ἐκμαθόντα προλέγειν. τὰς μὲν διαφορὰς τῶν ὀφθαλμιῶν, ὅταν τὰ κάκιστα τῶν σημείων ἐπιγένηται, τὰς δὲ πολυχρονίους τῶν ὀφθαλμιῶν, ὡς διαγέγραπται ἐφ' ἑκάστῃσι. τὰς δὲ ὀλιγοχρονίους, ὅταν τὰ σημεῖα προφαίνηται τὰ ἄριστα, τότε προλέγειν ἑβδομαίας παύσασθαι, ἢ ἐγγὺς τουτέων, καὶ ἄλλως ἀσφαλῶς νομίζειν ἔχειν. τὰς δὲ ὑποστροφὰς προσδέχεσθαι, οἷσιν ἂν ῥᾳστῶναι γίνωνται, μήτ' ἐν ἡμέρῃσι κρισίμοισι, μήτε σημείων ἀγαθῶν ἐπιφανέντων. πάντων δὲ χρὴ μάλιστα τὴν κατάστασιν τοῦ οὔρου, ἐν τοῖσι περὶ τοὺς ὀφθαλμοὺς ἐνθυμεῖσθαι. οἱ γὰρ καιροὶ ὀξέες.

Αἱ δὲ δυσεντερίαι ξὺν πυρετῷ μὲν ἢν ἐπίωσιν, ἢ ποικίλοισί τε διαχωρήμασιν, ἢ ξὺν φλεγμονῇ ἥπατος, ἢ ὑποχονδρίου, ἢ γαστρός, ἢ ὅσαι ἐπώδυνοι, ἢ ὅσαι τῶν σιτίων ἀπολαμβάνουσιν, δίψαν τε παρέχουσιν, αὗται μὲν πᾶσαι πονηραί. καὶ ὃς ἂν πλεῖστα ἔχῃ τούτων τῶν κακῶν, τάχιστα ἀπόλλυται. ᾧ δ' ἂν ἐλάχιστα τῶν τοιούτων προσῇ, πλεῖσται αὐτῷ ἐλπίδες. ἀποθνήσκουσι δὲ ὑπὸ ταύτης τῆς νόσου μάλιστα παιδία, τὰ πενταετέα, καὶ γεραίτερα ἔς τε τὰ δεκαετέα. αἱ δ' ἄλλαι ἡλικίαι ἧσσον. ὅσαι δὲ τῶν δυσεντεριῶν λυσιτελέες, τὰ μὲν κακὰ ταῦτα οὐκ ἐμποιέουσιν. αἷμα δὲ καὶ ξύσματα διαχωρήσαντα, ἐπαύσαντο ἑβδομαῖα, ἢ τεσσαρεσκαιδεκαταῖα, ἢ εἰκοσταῖα, ἢ τεσσαρακονθήμερα, ἢ ἐντὸς τούτων τῶν χρόνων. τὰ τοιαῦτα γὰρ διαχωρήματα καὶ ὑπάρχοντα πρόσθεν ἐν τοῖσι σώμασι, νοσήματα ὑγιάζει. τὰ μὲν παλαιότερα, ἢν πλείονι χρόνῳ. τὰ δὲ νεώτερα, δύναται καὶ ἐν ὀλίγῃσιν ἡμέρῃσιν ἀπαλλάσσειν. ἐπεὶ καὶ ἐν γαστρὶ ἔχουσαι καὶ αὗται περιγίνονται, μᾶλλον δὲ τοὺς τόκους τε καὶ ἐκ τῶν τόκων, καὶ τὰ ἔμβρυα διασώζουσιν, αἵματός τε καὶ ξύσματος διαχωρεόντων, καὶ πολλοὺς μῆνας, ἢν μήτις ὀδύνη αὐτῇσι προσῇ, ἢ ἄλλο τι τῶν πονηρῶν ὧν ἔγραψα σημείων ἐὸν ἐν τῇσι δυσεντερίῃσι, ἐπιγένοιτο. εἰ δέ τι κείνων ἐπιφαίνοιτο, τῷ τε ἐμβρύῳ ὄλεθρον σημαίνει. καὶ τῇ ἐχούσῃ κίνδυνον, ἢν μὴ μετὰ τοῦ ἐμβρύου τὴν ἀπόφυξιν, καὶ τοῦ ὑστέρου τὴν ἀπόλυσιν, ἡ δυσεντερίη παύσηται αὐθημερόν, ἢ μετ' ὀλίγον χρόνον.

Αἱ δὲ λειεντερίαι, ξυνεχέες μὲν καὶ πολυχρόνιοι, καὶ πᾶσαν ὥρην ξὺν ψόφοισί τε καὶ ἄνευ ψόφων ἐκταρασσόμεναι. καὶ ὁμοίως νυκτός τε καὶ ἡμέρης ἐπικείμεναι. καὶ τοῦ διαχωρήματος ὑπιόντος, ἢ ὠμοῦ ἰσχυρῶς, ἢ μέλανός τε καὶ λείου, καὶ δυσώδεος. αὗται μὲν πᾶσαι πονηραί. καὶ γὰρ δίψαν παρέχουσι. καὶ τὸ ποτὸν οὐκ ἐπὶ τὴν κύστιν τρέπουσιν, ὥς τε διουρέεσθαι. καὶ τὸ στόμα ἐξελκοῦσι. καὶ ἐρύθημα ἐξηρμένον ἐπὶ τῷ προσώπῳ ποιέουσι. καὶ ἐφηλίδας παντοῖα χρώματα ἐχούσας. ἅμα δὲ καὶ τὰς γαστέρας, ἀποζύμους τε καὶ ῥυπαρὰς ἀποδεικνύουσι, καὶ ῥυτιδώδεας. ἐκ δὲ τῶν τοιούτων, ἐσθίειν τε ἀδύνατοι γίνονται οἱ ἄνθρωποι, καὶ τῇσι προσόδοισι χρῆσθαι, καὶ τὰ ἄλλα τὰ πρασσόμενα ποιέειν. τὸ δὲ νούσημα τοῦτο, δεινότατον μὲν τοῖσι

πρεσβυτέροισιν

πρεσβυτέροισιν. ἰσχυρὸν δὲ γίνεται, καὶ τοῖσιν ἀνδράσιν. τῇσι δὲ ἄλλῃσιν ἡλικίῃσι, πολλῷ ἧσσον. ὅς τις δὲ μήτε ἐν τῇσιν ἡλικίῃσιν ἐστὶ ταύτῃσιν ἧσι φημὶ, ὑπὸ τοῦ νοσήματος τούτου κακῶς περιέπεσθαι, ἐλάχιστά τε τῶν σημείων ἔχει τῶν πονηρῶν ἃ ἔγραψα ἐοῦν, ἀσφαλέστατα διάκειται οὗτος. θεραπείης δὲ προσδέεται ἡ νοῦσος αὕτη, ἐς ἂν τό, τε οὖρον χωρέηται τοῦ πινομένου κατὰ λόγον, καὶ τὸ σῶμα τῶν σιτίων ἐσιόντων αὔξηται, καὶ τῆς χροιῆς τῶν πονηρῶν ἀπαλλαχθῇ.

Αἱ δὲ ἄλλαι διάρροιαι ὅσαι ἄνευ πυρετῶν, καὶ ὀλιγοχρόνιοί τε καὶ εὐηθέες. ἢ γὰρ καταυιφθεῖσαι πεπαύονται, ἢ ἀπὸ τοῦ αὐτομάτου. προσαγορεύειν δὲ χρὴ παύεσθαι τὴν ὑπέξοδον, ὅταν τῇ τε χειρὶ ψαύοντι τῆς γαστρὸς, μηδεμία κίνησις ὑπῇ. καὶ φῦσα διέλθοι ἐπὶ τέλει τῇ τοῦ διαχωρήματος.

Ἕδραι δὲ ἐκτρέπονται, ἀνδράσι μὲν, οὓς ἂν διάρροια λάβῃ ἔχοντας αἱμορροΐδας. παιδίοισι δὲ λιθιῶσί τε καὶ ἐν τῇσι δυσεντερίῃσι τῇσι μακρῇσι τε καὶ ἀκρήτοισι. πρεσβυτάτοισι δὲ, οἷς ἂν πρόσπήγματα μύξης ἐνῇ.

Τῶν δὲ γυναικῶν ὅσαι μᾶλλον καὶ ἧσσον ἐν γαστρὶ λαμβάνειν πεφύκασιν ὧδε ὑποσκέπτεσθαι. πρῶτον μὲν τὰ εἴδεα, σμικραί τε γὰρ μειζόνων ἀμείνονες ξυλλαμβάνειν. λεπταὶ παχειῶν. λευκαὶ ἐρυθρῶν, μέλαιναι πελιδνῶν. φλέβας ὅσαι ἐμφανέας ἔχουσιν, ἀμείνονες, ἢ ὅσῃσι μὴ καταφαίνονται. σάρκα δὲ ἐπιθρεπτὸν ἔχειν πρεσβυτικῇ πονηρόν. μαζοὺς δὲ ὀγκηρούς τε καὶ μεγάλους, ἀγαθόν. ταῦτα μὲν πρὸς τῇ ὄψει δῆλά ἐστι. πυνθάνεσθαι χρὴ καὶ περὶ τῶν καταμηνίων. ἢν πάντας μῆνας φαίνωνται. καὶ ἢν πλῆθος ἱκανόν. καὶ ἢν εὔχροά τε καὶ ἴσα ἐν ἑκάστοισι τῶν χρόνων, καὶ ἐν τῇσιν αὐτῇσιν ἡμέρῃσι τῶν μηνῶν. οὕτω γὰρ ταῦτα γίνεσθαι ἄριστον. τὸ δὲ χωρίον ἐν ᾧ ἡ σύλληψίς ἐστιν, ὃ δὴ μήτρην ὀνομάζομεν, ὑγιές τε χρὴ εἶναι, καὶ ξηρὸν, καὶ μαλθακὸν, καὶ μήτε ἀνεσπασμένον ἔστω, μήτε προπετὲς, μήτε τὸ στόμα αὐτοῦ ἀπεστράφθω, μήτε ξυμμεμυκέτω, μήτε ἐκπεπλήχθω. ἀμήχανον γὰρ ὅτι ἂν ἢ τῶν τοιούτων κωλυμάτων σύλληψιν γενέσθαι. ὁκόσαι μὲν οὖν τῶν γυναικῶν, μὴ δύνανται ἐν γαστρὶ λαμβάνειν, φαίνονται δὲ χλωραὶ, μήτε πυρετοῦ, μήτε τῶν σπλάγχνων αἰτίων ἐόντων, αὗται φήσουσι κεφαλὴν ἀλγέειν. καὶ τὰ καταμήνια πονηρῶς τε σφίσι καὶ ἀκρήτως γίνεσθαι. καὶ ὀλίγως δὲ καὶ πολὺν χρόνον ἐν τῇσιν οὕτω διακειμένῃσιν ἀφανέα. ἢ αἱ μῆτραι καθάρσιος ταύτῃσι προσχρῄζουσιν. ὁκόσαι τε εὔχροι εἰσὶ. καὶ σάρκα πολλήν τε καὶ πίειραν ἔχουσι. καὶ φλέβια κεκρυμμένα, ἀνώδυνοί τέ εἰσι, καὶ τὰ καταμήνια ταύτῃσιν ἢ παντάπασιν οὐ φαίνεται, ἢ ὀλίγα τε καὶ ἀκρήτως γίνεται. τῶν τρόπων οὗτος ἐν τοῖσι χαλεπωτάτοισιν ἐστὶ καταναγκάσαι ὡς ἐν γαστρὶ λαμβάνειν. ἢν δὲ ἐπὶ φαινομένων τῶν καταμηνίων ἀπροφασίστως, τό τε σῶμα ὧδε διάκειται ἡ γυνὴ, κἂν μὴ συλλαμβάνῃ, τὸ χωρίον ἐν ᾧ ἡ μήτρη, αἴτιον, ὥς τε μὴ δύνασθαι γίνεσθαι ἔκγονα. ἢ γὰρ ἀνεσπασμένον ἐστὶν, ἢ ἐκπεπληγμένον. τὰ γὰρ ἄλλα καταγινόμενα ἐνταῦθα ξὺν ὀδύνῃσί τε γίνεται, καὶ ἀχρονίῃσί τε καὶ τήξει.

Ἧσι δ' ἂν ἕλκος γένηται ἐν τῇσι μήτρῃσιν, εἴτε ἐκ τόκου, εἴτε ἐκ φύματος, εἴτε ἐξ ἄλλου τινὸς προφάσιος, πυρετός τε καὶ βουβῶνας ταύτῃσιν ἀνάγκη ἐπιγίνεσθαι. καὶ ὀδύνας ἐν τοῖσι χωρίοισι τουτέοισιν. εἰ δὲ καὶ τὰ λοχεῖα συναπολειφθείη, ταῦτα ὑπάρχοντα κακὰ πάντῃ ἀκρητότερά τε καὶ χρονιώτερα. καὶ πρὸς τούτοισιν ὑποχονδρίων τε καὶ κεφαλῆς ὀδύναι. ἕλκεος δὲ γινομένου, καὶ ἐξυγιασθέντος, τὸ χωρίον τοῦτο ἀνάγκη λειότερον καὶ σκληρότερον γίνεσθαι, καὶ ἧσσον δύνασθαι ἐν γαστρὶ λαμβάνειν. εἰ δὲ μοῦνον ἐν τοῖσιν ἐπ' ἀριστερὰ γένοιτο ἕλκος, ἡ δὲ γυνὴ ἐν γαστρὶ λάβοι, εἴτε τὸ ἕλκος ἔτι ἔχουσα, εἴτε λοιπὸν ἤδη ὑγιὴς ἐοῦσα, ἄρσεν μᾶλλον τεκεῖν αὐτὴν ἐλπίς ἐστιν. εἰ δὲ ἐν τοῖσι ἐπὶ δεξιὰ τὸ ἕλκος γένοιτο, ἡ δὲ γυνὴ ἐν γαστρὶ ἔχοι, θῆλυ μᾶλλον τὸ ἔκγονον χρὴ δοκέειν ἔσεσθαι. ἢν δὲ πυρετοὶ γένωνται, τῇ δυναμένῃ ἐν γαστρὶ λαβεῖν, καὶ λεπτῆς ἐούσης, πυνθάνεσθαι χρὴ, μή τι αἱ μῆτραι ἕλκος ἔχουσιν, ἢ ἄλλό τι τῶν πονηρῶν ὧν ἔγραψα. εἰ γοῦν ἐν τῷ χωρίῳ τούτῳ μηδὲν ὕποιον κακὸν φαίνοιτο αἴτιον τῆς λεπτύνσιός τε καὶ τοῦ μὴ συλλαμβάνειν δύνασθαι, αἷμα ἐμέσαι τὴν γυναῖκα προσδόκιμον. τὰ δὲ καταμήνια τῇ τοιαύτῃ ἠφανίσθαι ἀνάγκη. ἢν δὲ ὁ πυρετὸς λυθῇ ὑπὸ τῆς ῥήξιος τοῦ αἵματος, καὶ τά τε καταμήνια φανῇ, ἐν γαστρὶ λήψεται. ἢν δὲ τὰ τῆς γαστρὸς πρὶν ἢ τὸ αἷμα ἀναρραγῆναι, ὑγρὰ γένηται πονηρὸν τρόπον, κίνδυνος ἀπολέσθαι τὴν γυναῖκα ἔμπροσθεν, ἢ τὸ αἷμα ἐμέσαι.

Ὁκόσαι δὲ ἐν γαστρὶ δοκέουσιν ἔχειν, οὐκ ἔχουσαι, καὶ πολλοὺς μῆνας ἐξαπατῶνται τῶν καταμηνίων οὐ φαινομένων, καὶ τὰς γαστέρας ὁρῶσιν αὐξανομένας τε καὶ κινεομένας, αὗται κεφαλήν τε ἀλγέουσι, καὶ τράχηλον, καὶ ὑποχόνδρια. καὶ ἐν τοῖσι τιτθοῖσι

γάλα οὐκ ἐγγίνεται σφίσιν, εἰ μὴ ὀλίγον τι καὶ ὑδαρές. ἐπὴν δὲ τὸ κύρτωμα τὸ τῆς γαστρὸς ἀπολυθῇ, καὶ λαπαραὶ γίνωνται, αὗται ἐν γαστρὶ λήψονται, ἤν μή τι ἄλλο κώλυμα γίνηται σφίσιν. ἐπεὶ τὸ πάθος γε τοῦτο ἀγαθόν ἐστι, μεταβολὴν ποιῆσαι ἐν τῇ ὑστέρῃ, ὥστε μετὰ τοῦτον τὸν χρόνον ἐν γαστρὶ λαμβάνειν. τῇσι δ᾽ ἐχούσῃσιν ἐν γαστρὶ τὰ ἀλγήματα ταῦτα οὐ γίνεται, ἢν μὴ ξυνήθεα ἔωσι, ταύτῃσιν αἱ κεφαλαλγίαι, καὶ γάλα ἐν τοῖσι τιτθοῖσιν ἐγγίνεται.

Τὰς δὲ ὑπὸ τῶν ῥόων τῶν πολυχρονίων ἐχομένας, ἐρωτᾷν, εἰ κεφαλὴν ἀλγέουσι, καὶ ὀσφῦν, καὶ τὸ κάτω τῆς γαστρός. ἐρέσθαι δὲ καὶ περὶ αἱμωδίας, καὶ ἀμβλυωσμοῦ, καὶ ἤχων. ὁκόσαι δὲ νήστιες ἐοῦσαι, ὑπόχολα ἐμέουσι πολλὰς ἡμέρας, μήτε ἐν γαστρὶ ἔχουσαι, μήτε πυρεταίνουσαι, πυνθάνεσθαι ἕλμινθας στρογγύλας εἰ ξυνεμέουσιν. ἢν γὰρ μὴ ὁμολογέουσι, προλέγειν αὐτῇσι τοῦτο ἔσεσθαι. γίνεται δὲ μάλιστα μὲν, τῇσι γυναιξὶ τὸ νόσημα τοῦτο. ἔπειτα δὲ καὶ παρθένοις. τοῖσι δ᾽ ἄλλοισι ἀνθρώποισιν ἧσσον.

Ὅσοις δὲ ἄνευ πυρετῶν ὀδύναι γίνονται, θανάτους μὲν οὐκ ἐξεργάζονται. πολυχρόνιοι δὲ αἱ πλείους εἰσὶ καὶ πολλὰς μεταστάσιας ἔχουσαι καὶ ὑποστροφάς. οἱ δὲ τρόποι πρῶτον μὲν, τῶν περὶ τὴν κεφαλὴν ἀλγημάτων. τὰ μὲν εὐήθεα, τὰ δὲ, χαλεπώτερα πολλῷ. χρὴ δὲ ὑποσκέπτεσθαι ἑκάτερα αὐτῶν, ὧδε. ὁκόσοι δὲ αὐτῶν ἀμβλυώσσουσι καὶ ἐρευθός τι ἔχουσιν, ὑπὸ τῶν ὀφθαλμῶν αὐτοῖσι γίνεται, καὶ κνησμὸς ἔχει τὸ μέτωπον, τούτοισιν ἀῤῥήγει, αἷμα ῥυὲν ἀπὸ τοῦ αὐτομάτου. καὶ ἐξ ἀνάγκης ἁπλοῦς οὗτος ὁ τρόπος. οἷσι δὲ ὀδύναι περὶ τὴν κεφαλὴν καὶ τὸ μέτωπον, ἔκ τε τῶν ἀνέμων τῶν μεγάλων γίνονται καὶ ἐκ τῶν ψυχέων ὅταν θαλφθῶσιν ἰσχυρῶς, τούτους δὲ κόρυζαι μὲν τελέως μάλιστα ἀπαλλάσσουσιν. ὠφελέουσί τε καὶ πταρμοί, καὶ βλένναι ἐν τῇσι ῥισὶ γινόμεναι, μᾶλλον μὲν ἀπὸ τοῦ αὐτομάτου. εἰ δὲ μὴ, ἐξ ἀνάγκης. κόρυζαι γίνονται τελέως, ὥστε καὶ βῆχας ἐπιγίνεσθαι. οἵ τε πταρμοὶ ἐπιγινόμενοι, τὰς ὀδύνας ἢν μὴ παύωσι, φύματα ἀνάγκη ἐπιγίνεσθαι καὶ ἀχροίας τούτοισιν. ὁκόσοισι δὲ ὀδύναι ἄνευ προφασίων τε γίνονται, καὶ πολυχρόνιοι, καὶ ἐν πάσῃ τῇ κεφαλῇ ἰσχνοῖσί τε ἐοῦσι καὶ ἀμθρίωοῖσι προορᾶσθαι, τούτοισιν τὸ νόσημα, πολλῷ χαλεπώτερον τοῦ πρόσθεν. ἢν δὲ καὶ ἐς τὸν τράχηλόν τε καὶ ἐς τὸν νῶτον ἡ ὀδύνη καταβαίνῃ τὴν κεφαλὴν ἀπολιποῦσα, καὶ αὖθις πάλιν, παλινδρομέει ἐς τὴν κεφαλὴν, καὶ ἔτι χαλεπώτερον γίνεται. τούτων δὲ πάντων δεινότατον, εἰ ξυντείνοι ἐκ τῆς κεφαλῆς ἐς τὸν τράχηλόν τε καὶ τὸν νῶτον. τὰς δὲ ὠφελείας τουτέοισι, προσδέχεσθαι ἐξ ἀποστασίων ἔσεσθαι. ἢ πύον βήξασιν. ἢ αἱμοῤῥοΐδας ἔχουσιν. ἢ ἐξανθήματα ἐν τοῖς σώμασι. λυσιτελέει δὲ καὶ πιτυρωθεῖσα ἡ κεφαλή.

Νάρκαι δὲ καὶ κνιδώσιες οἷσι διὰ τῆς κεφαλῆς διαΐσσουσι, τότε μὲν διὰ πάσης, τότε δὲ διὰ μέρεος τινὸς, πολλάκις δὲ καὶ ψυχρόν τι δοκέει αὐτοῖσιν, εἰ διαχωρέει διὰ τῆς κεφαλῆς, τούτους ἐπανερέσθαι, εἰ καὶ ἐς τὴν γλῶσσαν ἄκρην ἀφικνεῖται ἡ κνίδωσις. εἰ γὰρ τοῦτο ποιέοι, τέλεον τὸ νόσημα γίνεται, καὶ χαλεπώτερον ἀπαλλάξαι. εὐπετὲς δὲ ἄνευ τούτου. οἱ δὲ τρόποι τῶν ὠφελειῶν. ἐξ ἀποστασίων οἷς πὲρ προγέγραπται. ἧσσον μέν τοι ἐπιγίνονται ἀποστάσιες ὑπὸ τούτοισιν ἢ ἐκείνοισιν.

Ὁκόσους δὲ ξὺν τῇσιν ὀδύνῃσιν σκοτόδινοι λαμβάνουσι, δυσαπάλλακτον καὶ μανικόν. γέρουσι δὲ ὁ τρόπος οὗτος μάλιστα γίνεται. αἱ δὲ ἄλλαι νοῦσοι αἱ ἀμφὶ κεφαλὰς ἀνδράσι τε καὶ γυναιξὶν, ἀσφαλῶς ἰσχυρόταται, καὶ πολυχρονιώτεραι. γίνονται δὲ καὶ νεανίσκοισί τε καὶ παρθένοισι, τῇσιν ἐν ἡλικίῃ, καὶ μάλιστα τῶν καταμηνίων ἐς τὴν πρόοδον. τῇσι δὲ γυναιξὶν, ἐν τῇσι κεφαλαλγίῃσι, τὰ μὲν ἄλλα πάντα γίνεται, ἃ καὶ τοῖσιν ἀνδράσιν. αἱ κνιδώσιες δὲ καὶ τὰ μελαγχολικὰ, ταύτῃσιν ἧσσον, ἢ τοῖσιν ἀνδράσιν, ἢν μὴ τὰ καταμήνια τελέως ἠφανισμένα ᾖ.

Οἷσι δὲ τὰ χρώματα νέοις ἐοῦσι πονηρά ἐστι πολὺν χρόνον, ξυνεχέως δὲ μὴ ἰκτεριώδεα τρόπον, οὗτοι καὶ τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν, κεφαλὴν ἀλγέουσι. καὶ λίθους τε καὶ γῆν τρώγουσι. καὶ αἱμοῤῥοΐδας ἔχουσι. τὰ δὲ χλωρὰ χρώματα, ὅσα χρόνια εἰσὶ, καὶ μὴ ἰσχυροὶ ἴκτεροί εἰσι, τὰ μὲν ἄλλα τὰ αὐτὰ ποιέειν αὐτοῖσι ξυμβαίνει. ἀντὶ δὲ τῶν λίθων τούτους καὶ τῆς γῆς τρῶξιος τὰ ὑποχόνδρια λυπέει μᾶλλον ἢ τοὺς ἑτέρους. ὁκόσοι δὲ πολὺν χρόνον ὠχροὶ φαίνονται, καὶ τὰ πρόσωπα ἐπηρμένα ἔχοντες, εἰδέναι χρὴ τούτους τὴν κεφαλὴν ὀδυνωμένους, ἢ περὶ τὰ σπλάγχνα ἀλγήματα ἔχοντας, ἢ ἐν τῇ ἕδρῃ κακόν τι ἐν ἑωυτοῖσι. τοῖσι δὲ πλείστοισι τῶν τοιούτων φαινομένων, οὐκ ἔνι τούτων τῶν κακῶν φαίνεται, ἀλλ᾽ ἔστιν ὅτε πολλὰ, ἢ καὶ πάντα.

Οἱ δὲ τῆς νυκτὸς ὁρῶντες, οὓς δὴ νυκτάλωπας

καλέομεν

καλέομεν, οὔτι ἁλίσκονται ὑπὸ τοῦ νοσήματος νέοι, ἢ παῖδες, ἢ καὶ νεανίσκοι. καὶ ἀπαλλάσσονται ὑπὸ τοῦ αὐτομάτου. οἱ μὲν, τεσσαρακονθήμεροι. οἱ δὲ, ἑπτάμηνοι. τισὶ δὲ καὶ ἐνιαυτὸν ὅλον παρέμεινε. σημαίνεσθαι χρὴ περὶ τοῦ χρόνου, ἔς τε τὴν ἰσχὺν τοῦ νοσήματος ὁρῶντα, ἔς τε τὴν ἡλικίην τοῦ νοσέοντος. αἱ δὲ ἀποστάσιες, ὠφελέουσι μὲν τούτους ἐπιφαινόμεναι τε καὶ δὴ τὰ κάτω ῥεόμεναι. ἐπιγίνονται δὲ οὐ κάρτα, διὰ τὴν νεότητα. αἱ δὲ γυναῖκες οὐχ ἁλίσκονται ὑπὸ τοῦ νοσήματος τούτου. οὐδὲ παρθένοι ἦσι τὰ ἐπιμήνια φαίνονται. οἷσι δὲ ῥεύματα δακρύων πολυχρόνια ἢ, νυκτάλωπες γίνονται, τούτους ἐπανερωτᾶν, ἢν τὴν κεφαλήν τι προηλγηκότες ἔωσι, πρὸ τῶν ἀποκηρυγμάτων τουτέων. Ὁκόσοι δὲ μήτε πυρετήναντες, μήτε ἄχροοι ἐόντες, ἀλγέουσι πολλάκις τήν τε κορυφὴν καὶ τοὺς κροτάφους. ἢν μὴ τὴν ἄλλην φαύλην ἔχωσιν ἀπόστασιν ἐν τῷ προσώπῳ, ἢ βαρὺ φθέγγωνται, ἢ ὀδόντας ἀλγέωσι, τούτοισιν αἷμα ῥαγῆναι διὰ τῶν ῥινῶν προσδέχεσθαι. οἷσι δὲ ἐκ τῶν ῥινῶν αἷμα ῥεῖ, δοκέουσιν οἵδ' ὑγιαίνειν τ' ἄλλα. τούτους δὲ ἢ σπλῆνα εὑρήσεις ἐπηρμένον ἔχοντας, ἢ τὴν κεφαλὴν ἀλγέοντάς τε καὶ μαρμαρυγώδεές τι πρὸ τῶν ὀφθαλμῶν φαινόμενον σφίσιν. τοῖσι δὲ πλείστοισι τῶν τοιούτων ἅμα καὶ τὰ ἀπὸ τῆς κεφαλῆς οὕτως ἔχοντα φαίνεται, καὶ τὰ ἀπὸ τοῦ σπληνός.

Οὖλα δὲ πονηρὰ καὶ στόματα δυσώδεα, οἷσι σπλῆνες μεγάλοι. ὁκόσοι δὲ ἔχουσι σπλῆνας μεγάλους, μήτε αἱμορραγίαι γίνονται, μήτε στόμα δυσῶδες, τουτέων αἱ κνῆμαι ἕλκεα πονηρὰ ἴσχουσι. καὶ οὐλὰς μελαίνας. ἢν δ' ἄλλην φαύλην ἔχωσιν ἀπόστασιν ἐν τῷ προσώπῳ. ἢ βαρὺ φθέγγωνται, ἢ ὀδόντας ἀλγέωσι, τουτέοισιν αἱμορραγίην διὰ ῥινῶν προσδέχεσθαι. οἷσι δὲ τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς ἐπαίρεται ἰσχυρῶς, τούτους σπλῆνας μεγάλους εὑρήσεις ἔχοντας. εἰ δὲ καὶ ἐν τοῖσι ποσὶν οἰδήματα προσγίνονται, καὶ ὕδερον φανήσονται ἔχοντες, ἀλλὰ καὶ τὴν γαστέρα καὶ τὴν ὀσφῦν ἐπικατιδεῖν. τὰ δὲ ἐν τοῖσι προσώποισι παραστρέμματα ἢν μηδενὶ ἄλλῳ τοῦ σώματος ἐπικοινωνέῃ, ταχέως παύεται, καὶ αὐτόματα καὶ πρὸς ἀνάγκας. οἱ δ' ἄλλοι ἀπόπληκτοι. οἷσι μὲν τῷ μὴ δύνασθαι κινέειν, λεπτύνεται τὸ νενοσηκὸς τοῦ σώματος, οὗτοι ἀδύνατοι ἐς τοῦτο καθίστασθαι. οἷσι δὲ ξυντήξιες μὴ ἐπιγένωνται, οὗτοι δὴ ἔσονται ὑγιέες. περὶ δὲ τοῦ χρόνου ὁπότε ἔσονται, προλέγειν ἔς τε τὴν ἰσχὺν τοῦ νοσήματος ὁρῶντα, καὶ ἐς τὸν χρόνον, καὶ δὴ τὴν ἡλικίην τοῦ ἀνθρώπου, καὶ εἰς τὴν ὥρην, εἰδὼς ὅτι τὰ παλαιότατα τῶν νοσημάτων, καὶ τὰ κάκιστα καὶ κυλινδεύμενα, βαρύτατα ὑπακούει. καὶ τὰ ἐν τοῖσι γεραιτάτοισι τῶν σωμάτων. ἔστι δὲ καὶ τὸ φθινόπωρον τε καὶ ὁ χειμὼν τοῦ ἦρος τε καὶ τοῦ θέρεος, ἀνεπιτηδειότερος ταῦτα τὰ νοσήματα ἀφιέναι. Αἱ δὲ ἐν τοῖσιν ὤμοισι γινόμεναι ὀδύναι, ὁκόσαι μὲν δὴ τὰς χεῖρας ἐπικαταβαίνουσαι, νάρκας τε καὶ ὀδύνας παρέχουσιν, ταύτῃσιν ἀποστάσιες μὲν οὐκ ἐπιγίνονται. ὑγιάζονται δὲ, μελαίνας χολὰς ἐμέοντες. ὁκόσαι δὲ αὐτοῦ μένουσιν ἐν τοῖσιν ὤμοισιν, ἢ καὶ ἐς τὸν νῶτον ἀφικνέονται, ταύτας πύον ἐμέσαντες, ἐκφυγγάνουσιν, ἢ μέλαιναν χολήν. καταμανθάνειν δὲ περὶ τουτέων, ὧδε. ἢν μὲν γὰρ δύσπνοοι ἔωσι καὶ ἰσχνοί, μέλαιναν χολὴν αὐτοὺς μᾶλλον ἐλπὶς ἐμέσαι. εἰ δ' ἂν δυσπνοώτεροι, καὶ ἤδη τοῦ προσώπου ἐπιτρέχει τι αὐτοῖσι χρῶμα, ὃ πρόσθεν οὐκ ἐπεγίνετο, ὑπέρυθρον, εἴτε μέλαν, τούτους πύον ἐλπὶς μᾶλλον πτύσειν. σκέπτεσθαι δὲ πρὸς τούτοισι, καὶ εἰ ἐν τοῖσι ποσὶν οἰδήματα ἔνεστι. καὶ γὰρ τοῦτο τὸ σημεῖον, τούτοισιν ὁμολογέον ἐστί. τὸ δὲ νόσημα τοῦτο, τοῖσιν ἀνδράσι προσγίνεται ἰσχυρότατον, τοῖσιν ἀπὸ τεσσαράκοντα ἐτέων, ἐς τὰ ἑξήκοντα. τῇ ἡλικίῃ δὲ ταύτῃ μάλιστα ἰσχιάδες βιάζονται. Σκέπτεσθαι δὲ δεῖ ὧδε περὶ ἰσχιάδων. ὁκόσοισι γὰρ τῶν γεραιτέρων αἵ τε νάρκαι ἰσχυρόταται καὶ καταψύξιες τῆς ὀσφύος τε καὶ τῶν σκελέων, καὶ τὸ αἰδοῖον ἐπαίρειν ἀδυνατέουσι, καὶ ἡ γαστὴρ οὐ διαχωρέει, εἰ μὴ πρὸς ἀνάγκην, καὶ κοπρώδης μύξα πολλὴ διεξέρχεται, τουτέοισι χρονιώτατον τὸ νούσημα ἔσται. καὶ προλέγειν ἐνιαυτὸν τὸ ἐλάχιστον, ἀφ' οὗ χρόνου ἤρξατο τὸ νούσημα γίνεσθαι. καὶ τὰς ὠφελείας ἐς τὸ ἔαρ τε καὶ τὸ θέρος προσδέχεσθαι. τοῖσι δὲ νεανίσκοισιν, ἐπώδυνοι μὲν οὐκ ἧσσον αἱ ἰσχιάδες. βραχύτεραι δέ. καὶ γὰρ τεσσαρακονθήμεροι ἀπαλλάσσονται. ἀλλ' οὐδὲ αἱ νάρκαι ἐπιγίνονται ἰσχυραί. οὔτε αἱ καταψύξιες τῶν σκελέων τε καὶ τῆς ὀσφύος. οἷσι δὲ τὸ νούσημα τοῦτο ἐστὶ μὲν ἐν τῇ ὀσφύϊ καὶ τῷ σκέλει, βιάζεται δὲ οὐχ οὕτως ὥστε κατακέεσθαι, ξυστρέμματα σκέπτεσθαι μὲν ἤπου ἐν τῷ ἰσχίῳ. καὶ ἐπανέρεσθαι, εἰ εἰς τὸν βουβῶνα ἡ ὀδύνη ἀφικνεῖται. ἢν γὰρ ταῦτ' ἔχῃ ἄμφω, χρόνιον τὸ νούσημα γίνεται. ἐπανέρεσθαι δὲ καὶ εἰ ἐν τῷ μηρῷ νάρκαι ἐγγίνονται, καὶ ἐς τὴν ἰγνύην ἀφικνοῦνται.

καὶ ἢν φῇ αὖθις ὀρέγεσθαι, καὶ ἢν διὰ τῆς κνήμης, ἐπὶ τὸν ταρσὸν τοῦ ποδός. ὁπόσοι δ' αὖ τουτέων τὰ πλεῖστα ὁμολογέωσι, ἐπειδὴ αὐτοῖσι, ὅτι τὸ σκέλος σφιν τότε μὲν θερμὸν γίνεται, τὸ δὲ ψυχρόν. ἡ δὲ νοῦσος αὕτη, ὁκόσοισι μὲν ἀνὰ τὴν ὀσφὺν ἐκλείπουσα ἐς τὰ κάτω τρέπεται, θαρσύνει. ὁκόσοισι δὲ τά τε ἰσχία καὶ τὴν ὀσφὺν, μὴ ἐκλείπουσα εἰς τὰ ἄνω τρέπεται, προλέγειν δεινὰ ἐστίν. οἷσι δὲ περὶ τὰ ἄρθρα, ὀδύναι τε γίνονται καὶ ἐπάρσιες καὶ καταπαύονται, οὐκ ἐν τῷ ποδαγρικῷ τρόπῳ, εὑρήσεις τά τε σπλάγχνα μεγάλα. καὶ ἐν τῷ οὔρῳ λευκὴν ὑπόστασιν. καὶ τοὺς κροτάφους ἢν ἐπαίρῃ, φήσει πολλάκις ἀλγέειν. φήσει δὲ καὶ ἱδρῶτας αὐτῷ γίνεσθαι νυκτερινούς. ἢν δὲ μήτε ὑπὸ τῷ οὔρῳ ὑφίσταται ἡ ὑπόστασις αὕτη, μήτε οἱ ἱδρῶτες γίνονται, κίνδυνος ἢ χωλωθῆναι τὰ ἄρθρα, ἢ ὃ δὴ μελικηρίδα καλέουσι γίνεσθαι ἐπ' αὐτοῖσι. γίνεται δὲ τὸ νούσημα τοῦτο, οἷσιν ἐν τῇ παιδίῃ τε καὶ νεότητι ξυνήθες ἐὸν, αἷμα ῥεῖν ἐκ τῶν ῥινῶν, πέπαυται. ἐπανερέσθαι οὖν περὶ τῆς τοῦ αἵματος ῥήξιος, εἰ ἐγένετο ἐν τῇ νεότητι. καὶ αἱ κνηδώσιες ἔν τε τῷ στήθει καὶ τῷ μεταφρένῳ, εἰ ἔνεισι. καὶ ὁκόσοις αἱ κοιλίαι ἰσχυρὰς ὀδύνας παρέχουσιν ἄνευ ἐκταραξίων. καὶ ὁκόσοισιν αἱμοῤῥοΐδες γίνονται. αὕτη γὰρ ἡ ἀρχὴ τῶν νουσημάτων τούτων. ἢν δὲ κακόχροοι οἱ ἄνθρωποι οὗτοι φαίνωνται, ἐπανερέσθαι καὶ κεφαλὴν εἰ ὀδυνῶνται. φήσουσι γάρ. τούτων δὲ ὁκόσοισιν αἱ κοιλίαι ἐπώδυνοι, ἔν τε τοῖς δεξιοῖς εἰσι, τὰ ἀλγήματα ἰσχυρότερα γίνεται. καὶ μάλιστα ὅταν πρὸς τῷ ὑποχονδρίῳ κατὰ τὸ ἧπαρ τὸ ὑπόλειμμα τῆς ὀδύνης ᾖ. ὠφελέει δὲ ταύτας τὰς ὀδύνας, τὸ παραυτίκα ψόφος ἐν τῇ γαστρὶ γενόμενος. ὁκόταν δὲ ἡ ὀδύνη παύσηται, τὸ οὖρον παχὺ καὶ χλωρὸν οὐρέουσιν. ἔστι δὲ θανατώδης μὲν οὐδαμῶς ὁ τρόπος οὗτος. χρόνιος δὲ κάρτα. ὁκόταν δὲ παλαιὸν ἤδη ᾖ τὸ νούσημα, ἀμβλυώσσουσιν οἱ ἄνθρωποι ὑπ' αὐτοῦ. ἀλλ' ἐπανερέσθαι περὶ τοῦ αἵματος, εἰ νέῳ ἐόντι ἔῤῥει, καὶ περὶ τοῦ ἀμβλυωσμοῦ, καὶ περὶ τοῦ οὔρου τῆς κενώσιος χλωρότητος. καὶ ἀμφὶ τῶν ψόφων εἰ ἐγγίνονταί τε καὶ ὠφελέουσιν ἐπιγινόμενοι. φήσουσι γὰρ πάντα ταῦτα, εἴτε ἐρυθρόν τε εἴτε μέλαν, τουτέοισι πύον ἐλπίζειν μᾶλλον ἢ πτύειν. σκέπτεσθαι δὲ τουτέοισι καὶ ἐν τοῖσι ποσὶν οἰδήματα. τοῦτο τὸ σημεῖον τουτέοισιν ὁμόλογόν ἐστιν. Λειχῆνες δὲ καὶ λέπραι καὶ λεῦκαι, οἷσι μὲν νέοισιν, ἢ παισὶν ἐοῦσιν ἐγένετό τι τούτων, ἢ κατὰ μακρὸν φανὲν, αὔξεται ἐν πολλῷ χρόνῳ, τούτοισι μὲν οὐ χρὴ ἀπόστασιν νομίζειν τὸ ἐξάνθημα, ἀλλὰ νόσημα. οἷσι δὲ ἐγένετο τούτων τι πολύ τε καὶ ἐξαπίνης, τοῦτο ἂν εἴη ἀπόστασις. γίνονται δὲ λεῦκαι μὲν, ἐκ τῶν θανατωδεστάτων νοσημάτων. οἷον καὶ ἡ νοῦσος ἡ φθινικὴ καλεομένη. αἱ δὲ λέπραι καὶ οἱ λειχῆνες, ἐκ τῶν μελαγχολικῶν. ἰᾶσθαι δὲ τουτέων εὐπετέστερά ἐστιν, ὅσα νεωτάτοισί τε γίνεται, καὶ νεώτατά ἐστι, καὶ τοῦ σώματος ἐν τοῖσι μαλθακωτάτοισι, καὶ σαρκωδεστάτοισι φύεται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΚΩΑΚΑΙ ΠΡΟΓΝΩΣΕΙΣ.

Οἱ ἐκ ῥίγεος περιψυχόμενοι, κεφαλαλγέες, τράχηλον ὀδυνώδεες, ἄφωνοι, ἐφιδρεῦντες, ἐπανενέγκαντες, θνήσκουσιν. αἱ μετὰ καταψύξιος δυσφορίαι, κάκισται. Κατάψυξις μετὰ σκληρυσμοῦ, ὀλέθριον. Ἐν καταψύξει φόβος καὶ ἀθυμίη ἄλογος, ἐς σπασμὸν ἀποτελευτᾷ. αἱ ἐκ καταψύξιος οὔρων ἀπολήψιες, κάκιστον. Μετὰ ῥίγους ἄγνοια κακόν. κακὸν δὲ καὶ λήθη. Τὰ κωματώδεα ῥίγεα ὑπολέθρια. ἔτι τὸ φλογῶδες ἐν προσώπῳ μεθ' ἱδρῶτος ἐν τούτοισι κακόηθες. ὑπὸ τουτέοισι ψύξις τῶν ὄπισθεν, σπασμὸν ὑποκαλέεται. καὶ ὅλως δὲ ψύξις τῶν ὄπισθεν, σπασμῶδες. αἱ ἐκ νώτου φρίκαι πυκναὶ, καὶ ὀξέως μεταπίπτουσαι, δύσφοροι, οὔρου γὰρ ἀπόληψιν καὶ ἐπώδυνον σημαίνουσι. τὸ ἐφιδροῦν τουτέοισι κάκιστον. Ῥῖγος ἐν συνεχείᾳ τοῦ σώματος ἀσθενέος ἤδη ἐόντος, θανάσιμον. οἱ πυκνὰ ἐφιδροῦντες καὶ ὑπεῤῥιγέοντες, ὀλέθριον. καὶ ὑπὸ τῇσι τελευτῇσιν ἀναφαίνονται ἐμπύημα ἔχοντες καὶ κοιλίας ταραχώδεας. τὰ ἐκ νώτου ῥίγεα δυσφορώτερα. ὃς δ' ἂν ἑπτακαιδεκάτῃ ῥιγώσας, τετάρτῃ καὶ εἰκοστῇ ἐπιῤῥιγοῖ, δύσκολον. Οἱ φρικώδεες κεφαλαλγικοὶ ἐφιδροῦντες κακοήθεες. οἱ φρικώδεες ἐφιδροῦντες πολλῷ, δύσκολοι. τὰ πολλὰ νωθρώδεα ῥίγεα, κακοήθεα. οἷσιν ἐκ τοιούτοισι ῥίγεα γίνεται, δύσκριτον. ὁκόσοισι φρίκαι πυκναὶ ὑγιαίνουσιν, οὗτοι ἐξ αἵματος ῥύσιος ἐκπυΐσκονται. τὸ φρικῶδες καὶ τὸ δυσύπνουν ἐν τοῖσι πόνοισι,

σημεῖα φθινώδεα. Ἐξ ἐμπυήσιος πλεύμονος καὶ περὶ κοιλίην ἐνίοτε ἀλγήματα καὶ κλισίδια, καὶ τὸ ὑποῤῥεγχεῖν ἀσώδεα, σημαίνει περὶ τὸ ἔλκος πλῆθος ἐν τῷ πλεύμονι. Οἱ φρικώδεες ἀσώδεες. κοπιώδεες. ὀσφυαλγέες, κοιλίας καθυγραίνονται. Τὰ ἐπιῤῥιγέοντα ἐς νύκτα μᾶλλον τι παροξυνόμενα ἄγρυπνα, φλεγματώδεα. Ἐν τοῖσι ὕπνοισιν ἔστιν ὅτε οὖρον ὑπὸ ἑωυτῶν χαλῶντα φλεβοδονώδεα ἐς σπασμὸν ἀποτελευτᾶ. Τὰ ξυνεχέα ῥίγεα ἐν ὀξέσι, πονηρόν. αἱ ἐκ ῥίγεος μετὰ κεφαλαλγίης ἐκλύσιες ὀλέθριον. τὰ αἱματώδεα οὖρα ἐν τύποισι πονηρόν. Ῥῖγος ὀπισθοτονῶδες κτείνει. Τὰ φρικώσαντα καὶ ἀνιδρώσαντα κρισίμως, ἔπειτα δὲ τὴν αὔριον φρίξαντα παραλόγως μὴ ἀγρυπνεῦντα, μήτε πεπαινόμενον, αἱμοῤῥαγήσειν οἴομαι. Τὰ μετὰ ῥίγεος ἐπιγινόμενα οὖρα, πονηρὰ καὶ σπασμώδεα, ἄλλως τε καὶ προκαρωθέντι. ἐλπὶς δὲ περὶ τούτοισι, καὶ τὰ παρὰ τὰ ὦτα τριταιοφυέα ῥίγεα, ἢν ἐν μέσῳ παροξυνόμενα πυρετῷ ἀτάκτῳ πάνυ κακοήθεα. τἀναντία δὲ παροξυνόμενα τῶν προσιόντων, τῶν μετὰ ῥίγεος καὶ πυρετοῦ ὀλέθριον. αἱ ἐκ ῥίγεος ἀφωνίαι, τρόμῳ λύονται. καὶ τοὺς ἐπιῤῥιγέοντας τρομώδεα γινόμενα κρίνει. Οἱ ἐκ ῥίγεος μετὰ κεφαλαλγίης ἐκλυόμενοι, σφαλμοί.

Τὸ αἱματῶδες οὖρον τουτέοισι κακόν. Οἷσι ῥῖγος, οὔρου ἐπίστασις. Σπασμὸς ἐν πυρετῷ, χειρῶν καὶ ποδῶν πόνοι, κακόηθες. κακόηθες δὲ καὶ ἐκ λήρου ὁρμὴ ἀλγήματος. ἀλλ' οὐδὲ γουνάτων πόνος, κρήγυον. ἀτὰρ καὶ γαστροκνημιῶν πόνοι, κακοήθεες· καὶ γνώμης παραφορή. ἄλλως τε καὶ οὖρον ἢν ἐξερευγῆ. Οἱ δὲ ὑποχονδρίων ἀλγήματος πυρετοί, κακοήθεες. τὸ καρῶδες δὲ τούτοισιν κάκιστον. Οἱ μὴ διαλείποντες ἐφιδροῦντες πυκνὰ μετὰ ὑποχονδρίου ἐντάσεως ὡς ἐπὶ τὸ πολὺ κακοήθεες. καὶ τὰ ἐς ἀκρώμιον καὶ κληῖδα στηρίζοντα ἀλγήματα ἐν τούτοισι πονηρά. Οἱ τριταιοφυέες ἀσώδεες πυρετοὶ κακοήθεες.

αἱ ἐν πυρετῷ ἀναυδίαι, κακόν. Κοπιώδεες, ἀχλυώδεες, ἄγρυπνοι, κωματώδεες, ἐφιδροῦντες ἀναθερμαινόμενοι, κακόν. Οἱ κοπιώδεες μετὰ φρίκης ἐφιδρώσαντες, χρησίμως ἀναθερμανθέντες ἐν ὀξεῖ, κακόν. ἄλλως τε καὶ ἢν ταῦτα ἐπιστάζωσι, περὶ ταῦτα ἰκτερώδεες κατακορέες, θνήσκουσι, λευκὸν διαχώρημα τουτέοισι προσδέχεται. Οἱ τριταιοφυέες πλανώδεες ἐν ἀρτίαις μεταπεσόντες δύσκολοι. Οἱ ἐν κρισίμοισιν ἀλυσμὸν ἀνιδροῦντες περιψυχόμενοι, καὶ ἅπαντες δὲ οἱ ἄνευ ἱδρῶτος περιψυχόμενοι ἀκρίτως, κακόν.

Καὶ οἱ ἐπιῤῥιγώσαντες ἐκ τούτων ἐμέσαντες ἄκρητα, ἀσώδεες, τρομώδεες ἐν πυρετῷ, κακόν. καὶ φωνὴ δὲ ἐκ ῥίγεος. Τὰ δὲ ἐκ ῥινῶν μικροῖσιν ἱδρῶσι περιψύχοντα, κακόν. οἱ ἐφιδροῦντες ἄγρυπνοι ἀναθερμαινόμενοι, κακόν. οἱ ἐφιδροῦντες ἐν πυρετῷ κακοήθεες, οἷσι χολώδεος διαχωρήσιος ἐούσης, περὶ στῆθος δῆξις καὶ πικρότης, κακόν. Ἐν πυρετοῖσι κοιλίης ἐμφυσωμένης, πνεῦμα μὴ διεκπίπτον, κακόν. Κοπιώδεες, λυγγώδεες, κάτοχοι, κακοί. Ἐκ νώτου πυκινῇσι καὶ λεπτῇσι φρίκῃσιν ἐφιδροῦντες, δύσφοροι. οὔρου ἀπόληψις ἐπώδυνον σημαίνει. τὸ ἐφιδροῦν τούτοισι κακόν. Τὸ παρὰ τὸ ἔθος ποιέειν τι, οἷον προθυμέεσθαί τι πρότερον μὴ εἰθισμένον, ἢ τοὐναντίον, πονηρόν, καὶ πλησίον παρακοπῆς.

τὰ ἐν πονηροῖσι σημείοισι κουφίζοντα, καὶ τὰ ἐν χρηστοῖσι μὴ ἐνδιδόντα, δύσκολα. οἱ ἐφιδροῦντες καὶ μάλιστα κεφαλὴν ἐν ὀξέσι ὑποδύσφοροι, κακόν. ἄλλως τε καὶ ἐπ' οὔροισι μέλασι. καὶ τὸ θολερὸν περὶ τούτοισι πνεῦμα, κακόν. ἄκρεα ταχὺ ἐπ' ἀμφότερα μεταπίπτοντα, καὶ δίψα δὲ τοιαύτη, πονηρόν. Ἐκ κοσμίου θρασεῖα ἀπόκρισις φωνὴ ὀξεῖα, κακόν. ὑποχόνδρια τουτέοισιν ἔσω εἰρύαται. τὰ ἐκ καταψύξιος ἱδρώδεος ταχὺ ἀναθερμαινόμενα, κακόν. οἱ ἐν ὀξέσι ἐφιδροῦντες ὑποδύσφοροι, κακόν. οἱ παραλόγως κενεαγγέης μὴ ἐούσης ἀδύνατοι, κακόν. Ἐν πυρετῷ ἕλξις οἷον ἀπὸ ἐμέτου ἐς ἀνάχρεμψιν τελευτῶσα, κακόν. Νάρκη ἐς ἀμφότερα ταχὺ μεταπίπτουσα, κακόν. Στάξιες αἱ ἐλάχισται, κακαί.

κακὸν δὲ πάντως ἐν ὀξεῖ δίψα παραλόγως λυθεῖσα κακόν. οἱ πρὸς χεῖρα ἀναΐσσοντες, κακοί. οἷσιν ἅμα πυρετῷ καυσώδει, οἰδήματα ὑπνώδεα νενωθρευμένα, ἐς πλευρὸν ὀδύνη ἐπελθοῦσα παραπληκτικῶς κτείνει. Πνιγμὸς ἐν ὀξέσιν ἐλθοῦσι ἰσχνοῖσιν, ὀλέθριον. Ἐπὶ τοῖσιν ἤδη ὀλεθρίοισι τὰ σμικρὰ τρομώδεα, καὶ ἰώδης ἔμετος οἷον τοῖσι ποδοῖσιν ὑποψοφέοντες καὶ ὑποβορβορύζοντες ξηροῖσι. καὶ οἱ χαλεπῶς καταβροχθίζοντες πνεύματι βηχώδει, ὀλέθριοι ἐν ὀξέσι κατεψυγμένοισι. τὰ ἐν χερσὶ καὶ ποσὶν ἐρυθήματα, ὀλέθρια. οἱ ἐκφυσῶντες καὶ ἀνακεκλασμένοι ἐν τοῖσιν ὕπνοισιν ὑποβλέποντες, ἰκτερώδεες κατακορέες θνήσκουσι, λευκὸν

λευκὸν διαχώρημα τούτοισι προέρχεται. αἱ ἐν πυρετοῖσιν ἐκστάσιες σιγῶσαι μὴ ἄφωνοι, ὀλέθριαι. τὰ πελιδνὰ γινόμενα ἐν πυρετῷ, σύντομον θάνατον σημαίνει. Οἷσιν ἐν πυρετῷ ἀλγήματος πλευροῦ γενομένου κοιλίης ὑδατόχολα πολλὰ διαδιδούσης, ῥίζει. ἀσιτίαι δὲ παρακολουθοῦσι καὶ ἱδρῶτες μετὰ προσώπου εὐχροίης καὶ κοιλίης ὑγρῆς, καί τι καὶ καρδιαλγίης, οὗτοι μακροτέρως νοσήσαντες, περιπλευμονικῶς τελευτῶσι. Πυρέσσοντι ἐν ἀρχῇ, μέλανα χολὴ ἄνω ἢ κάτω διελθοῦσα, θανάσιμον. οἱ μετὰ καταψυξίων οὐκ ἀπύρων ἐφιδρῶντες ἄνω, δυσφόροι, φρενιτικοί τε καὶ ὀλέθριοι ἐν ὀξεῖ. τὰ ἐπ' ὀλίγον ὀξέα ἀλγήματα ἐς κληΐδα, καὶ τὰ ἄνω πίπτοντα, ὀλέθρια. Ἐν μακροῖσι ὀλεθρίοισιν ἕδρης ἄλγημα, θανάσιμον. τοῖσιν ἀσθενέως ἤδη διακειμένοισι, μὴ βλέπειν, ἢ μὴ ἀκούειν, ἢ διαστρέφεσθαι χεῖλος, ἢ ὀφθαλμὸν, ἢ ῥῖνα, θανάσιμον. Ἐν πυρετοῖσι βουβῶνος ἄλγημα, νοῦσον χρονίην σημαίνει. αἱ ἐν πυρετοῖσιν ἀκρασίαι, χρόνους μὲν ἐμποιέουσιν, ἀτὰρ οὐχὶ ὀλέθριαι. Οἱ δὲ ἀλγημάτων ἰσχυρῶν πυρετοὶ πολυχρόνιοι. αἱ τρομώδεες, ψηλαφώδεες παρακρούσιες, φρενιτικαί. καὶ οἱ κατὰ γαστροκνημίην πόνοι ἐν τούτοισι, γνώμης παράφοροι. ὅσοι ἐν ξυνεχεῖ ἄφωνοι κείμενοι μύοντες σκαρδαμύσσουσιν, ἢν αἵματος ῥυέντος ἐκ ῥινῶν ἐμέσαντες φθέγξωνται, παρ' αὐτοῖσι γίνωνται, σώζονται. μὴ γινομένων δὲ τούτων δύσπνοοι γινόμενοι, θνήσκουσι συντόμως. οἱ λαβόντες δὲ τὴν αὔριον παροξυνθέντες, κακόν. τρίτην ἐπισχόντες τετάρτην παροξυνθέντες, κακόν. ἆρά γε καὶ φρενιτικοὶ οἱ τοιοῦτοι παροξυσμοί. ὁκόσοισιν ἐκλείπουσιν οἱ πυρετοὶ μὴ κατὰ κρισίμους, ὑποστροφικόν. οἱ ἐν ἀρχῇ λεπτοὶ μετὰ κεφαλῆς σφυγμοῦ καὶ οὔρου λεπτοῦ πρὸς κρίσιν, παροξύνονται, θαῦμα δὲ οὐδὲν εἰ καὶ παρακοπὴ καὶ ἔτ' ἀγρυπνίη γένοιτο. Ἐν ὀξέσι. κίνησις. ῥιπτασμός. ὕπνος ταραχώδης, σπασμὸν ἐνίοισι σημαίνει. αἱ ταραχώδεες θρασύτητι ἐγέρσιες παράφοροι, πονηρὸν, καὶ σπασμώδεες, ἄλλως τε ἢν μεθ' ἱδρώτων. σπασμώδεες δὲ καὶ τραχήλου καὶ μεταφρένου δοκέουσι ψύξιες, ἀτὰρ καὶ ὅλου τοῦ σώματος. ἐν τούτοισιν ὑμενώδεες οὐρήσιες. αἱ ἐν καύματι παρακρούσιες, σπασμώδεες. αἱ ἐπ' ὀλίγον θρασεῖαι παρακρούσιες, θηριώδεες. καὶ σπασμὸν δὲ προσημαίνουσιν. Ἐν τοῖσι μακροῖσι κοιλίης ἄλογοι ἐπάρσιες, σπασμώδεες. τὰ εὐθὺ ταραχώδεα, ἄγρυπνα, ἐπιστάζοντα ἐκ ῥινῶν ἕκταια κουφισθέντα νύκτα, πονήσαντα δὲ ἐς τὴν αὔριον, ἐφιδρώσαντα, κατενεχθέντα, παρακρούσαντα, αἱμοῤῥοεῖ λάβρως, καὶ λύει τὰ πάθεα. τὸ ὑδατῶδες οὖρον, τοιαῦτα σημαίνει. Μετὰ τῶν εἰρημένων τῶν ἐξισταμένων μελαγχολικῶς. οἱ τρομώδεες γινόμενοι κακοήθεες. Παραφροσύνη ἐμπυήματι καὶ ἱδρῶτι θανατώδης. Θανατώδης δὲ καὶ ἐμπυήματι καὶ λυγμῷ. Ἐνύπνια τὰ ἐν φρενίτιδι ἐναργῆ, ἀγαθόν. Ἐν φρενίτιδι διαχωρήσιες λευκαὶ, καὶ νωθρότης, κακόν. ῥῖγος τουτέοισι, κάκιστον. Ἐν τοῖσι φρενιτικοῖσιν ἐν ἀρχῇσι τὰ ἐπιεικῶς ἔχοντα, πυκνά τε μεταπίπτοντα, κακόν. τῶν δὲ ἐξισταμένων μελαγχολικῶς οἷς τρόμοι ἐπιγίνονται κακόν. Οἱ δὲ ἐξιστάμενοι μελαγχολικῶς τρομώδεες γινόμενοι καὶ πτυαλίζοντες, ἆρά γε φρενιτικοί; οἱ ἐκστάντες ὀξέως ἐπιπυρέξαντες, φρενιτικοὶ γίνονται. οἱ φρενιτικοὶ βραχύ ποτε ψόφου καθαπτόμενοι, τρομώδεες ἢ σπασμώδεες. τὰ ἐν φρενιτικοῖσι νεανικῶς τρομώδεα, θανάσιμα. αἱ περὶ ἀναγκαῖα παραφροσύναι, κάκισται. αἱ ἐκ τούτων παροξυνόμεναι ὀλέθριοι. αἱ παρακρούσιες, φωνῇ κλαγγώδεες, γλώσσῃ σπασμώδεες. καὶ αὐτοὶ τρομώδεες γινόμενοι ἐξίστανται. σκληρυσμὸς ταύτῃσιν, ὀλέθριον. αἱ προεξαδυνατησάντων παραφροσύναι, κάκισται. τὰ ἐν φρενιτικοῖσι πυκνὰ μεταπίπτοντα σπασμώδεα, πονηρά. οἱ ἐν φρενιτικοῖσι μετὰ καταψύξιος πτυαλίζοντες, μέλανα ἔμετον δηλοῦσι. τοῖσι ποικίλως διανοσέουσι καὶ παρακρούουσι πυκνὰ κωματώδεσι, προσδέχεσθαι λέγε, μέλανα ἔμετον. τὰ παροξυνόμενα τρόπον σπασμώδεα κάτοχα. τὰ παρ' οὖς ἐπάρματα ἐν μακροῖσι μακρὰ, αἱμοῤῥώδεα καὶ σκοτώδεα ἐπιφαινόμενα, ὀλέθρια. οἱ ἰλιγγώδεες πυρετοὶ καὶ ἄνευ ἱδρώων, καὶ μετὰ ἱδρώων ὀλέθριοι. τοῖσι πνευματίοισιν ἐοῦσι πυρετὸς ὕστερον, ὀξύς. Μετὰ ὑποχονδρίου ξυντόνου καταψυχθεῖσι, παρ' οὖς μέγα ἔπαρμα. οἷσιν ἂν ἐν πυρετῷ ὀδύναι γινόμεναι, περὶ ὀσφῦν, καὶ τὰ κάτω χωρία, φρενῶν ἅπτονται. Ἐκλείπουσαι τὰ κάτω, ὀλέθρια, ἄλλως τε κἢν ἄλλο τι σημεῖον προσγένηται πονηρόν. ἢν δὲ τ' ἄλλα σημεῖα μὴ πονηρὰ γίνηται, ἔμπυον γενήσεσθαι ἐλπίς. παιδίοισιν ὀξὺς πυρετὸς καὶ κοιλίης ὑπόστασις μετὰ ἀγρυπνίης, καὶ τὸ ἐκλακτίζειν, καὶ

τὸ χρῶμα

τὸ χρῶμα μεταβάλλειν, καὶ ἴσχειν ἔρευθος, σπασμῶδες. Τὰ δ' εὐθὺ παραχώδεα ἄγρυπνα μέλανα δὲ τὰ σύνθετα, αἱμορροεῖ ἔνια. Τὰ ἀγρυπνήσαντα ἐξαίφνης ἀλυσμῷ, αἱμορροεῖ. ἄλλως τε καὶ ἤν τι προρρυήκῃ. ἆρά γε καὶ μεταφρίξαντες οἱ ἐπ' ὀλίγον περιψύχοντες; περὶ δὲ τοὺς παροξυσμοὺς βήσσοντες καὶ ἐφιδροῦντες μικρὸν, κακοήθεες. Ἐς πλευρὸν ὀδύνης καὶ πνιγμοῦ προσγενομένου, οὗτοι ἐμπυοῦνται. Οἷσιν ἐν συνεχέσι φλυζάκια κατὰ πᾶν τὸ σῶμα ἐκφύει, θανάσιμον, μὴ γινομένου πυώδεος ἀποστήματος. μάλιστα δὲ ἔθισται τούτοισι γίνεσθαι παρ' οὖς. Ἐν ὀξεῖ τὰ μὲν ἔξωθεν περιψύχεσθαι, τὰ δὲ ἔσωθεν καίεσθαι, καὶ δίψαν, κακόν. Οἱ συνεχέες διὰ τρίτης ἐπιτείνοντες, ἐπικίνδυνοι. Οἷσιν ἂν ποτὲ πυρετὸς διαλίπῃ, ἀκίνδυνον. Ἐν μακροῖς πυρετοῖσιν, ἢ φύματα, ἢ ἐς ἄρθρα πόνοι ἐγγίνονται, καὶ ἢν γένωνται, οὐκ ἄχρηστα. Κεφαλαλγίην ἐν ὀξεῖ, ὑποχόνδριον ἀνεσπασμένον, μὴ ξυνόντος αἵματος ἐκ ῥινέων, ἐς φρενιτικὸν περιΐσταται. Τὰ λειπυρικὰ μὴ χολέρας ἐπιγενομένης οὐ λύεται. Ἴκτερος πρὸ μὲν τῆς ἑβδόμης ἡμέρης ἐπιγινόμενος κακόν. ἑβδόμῃ δὲ καὶ ἐνάτῃ καὶ ἑνδεκάτῃ καὶ τεσσαρεσκαιδεκάτῃ, κρίσιμον μὴ σκληρῶν ὑποχονδρίων. ἢν δὲ μὴ, ἐνδοιαστόν.

Αἱ πυκναὶ διὰ τῶν αὐτῶν ὑποστροφαὶ, περὶ κρίσιν αἱματώδεες, μελάνων ἔμετον ποιέουσι. γίνονται δὲ καὶ τρομώδεες. Τὰ ἐν τριταίοισι πυρετοῖσι ἀλγήματα παροξυνόμενα τριταιογενῆ ποιέεται. καὶ θρομβώδεα αἵματα διαχωρέει. Ἐν πυρετοῖσι κατὰ φλέβα τὴν ἐν τῷ τραχήλῳ σφυγμὸς καὶ πόνος, ἐς δυσεντερίην ἀποτελευτᾷ. Τὸ μεταβάλλον πολλάκις χρῶμα καὶ θερμασίην, χρήσιμον. Τοῖσι χολώδεσι πνεῦμα μέγα καὶ πυρετὸς ὀξὺς μετὰ ὑποχονδρίου ἐντάσιος παρ' οὖς ἀφίστησιν. Οἱ ἐκ μακρῶν ἀναλαμβάνοντες σιτεῦνται, μηδὲν ἐπιδιδόντες ἐπιστρέφουσι κακοήθεας. Οἷσιν ἐν πυρετοῖσι φλέβες αἱ ἐν κροτάφοισι σφυγματώδεες, καὶ πρόσωπον ἐρρωμένον καὶ ὑποχόνδριον μὴ λαπαρὸν, χρόνιον. καὶ οὐ παύονται χωρὶς αἵματος ῥύσιος ἐκ ῥινῶν πολλῆς, ἢ λυγμὸς, ἢ σπασμοῦ, ἢ ὀδύνης ἰσχίων. Ἐν καύσῳ κοιλίη καταρραγεῖσα, θανάσιμον. Ἐκ κοιλίης ἀλγήματος ἐπὶ πόνου πυρετὸς καυσώδης, ὀλέθριον. Ἐν τοῖσι καυσώδεσιν ἤχων προσγενομένων μετὰ ἀμβλυωσμοῦ, καὶ κατὰ ῥῖνας βάρεος, ἐξίστανται μελαγχολικῶς μὴ αἱμορραγήσαντες. Τοὺς ἐν καύσοισι τρόμους, παρακοπὴ λύει.

Ἐν καύσῳ ῥύσις ἐκ μυκτήρων τεταρταίῳ, κακὸν, ἢν μή τι ἄλλο ἀγαθὸν ξυμπέσῃ. πεμπταίῳ δὲ ἧσσον κινδυνῶδες. οἱ ἐν τοῖσι καυσώδεσιν ὑποπεριψύχουσι διαχωρήμασιν ὑδατοχόλοισι συχνοῖσιν ὀφθαλμοῖσι κακὸν, ἄλλως τε κἢν κάτοχοι γίνωνται. Καῦσος ῥίγεος ἐπιγενομένου λύεται. Καῦσοι ὑποτροπιάζειν εἰώθασι. καὶ ἡμέρας τέσσαρας ἐπισημήναντες, ἔπειτα ἐφιδροῦσι. εἰ δὲ μὴ τῇ ἑβδόμῃ καὶ δεκάτῃ. τοὺς καυσώδεας διακρίνουσιν αἱ τεσσαρεσκαίδεκα ἡμέραι, κουφίζουσαι ἢ ἀναιροῦσαι. Ἐκ καύσου μὴ γενομένης πυώδεος παρ' οὖς ἀποστήματος, οὐ πάνυ σώζονται. οἱ ληθαργικοὶ τρομώδεες ἀπὸ χειρῶν. ὑπνώδεες. δύσχρωτες. οἰδηματώδεες, σφυγμοῖσι νωθροῖσι, καὶ μετάρσια τὰ ὑποφθάλμια, καὶ ἱδρῶτες ἐπιγίνονται. καὶ κοιλίας ὑποιδέουσι χολώδεας, καὶ ἀκρατέας. Ἣν καταξηροὺς ἴσχωσιν οὖρα καὶ διαχωρήματα προΐοντα λαθραίως, τὸ οὖρον ὑποζυγίου, πιεῖν τε οὐκ αἰτέουσιν, οὐδὲ θάτερον οὐδέν. ἔμφρονες δὲ γενόμενοι, τράχηλον ἐπώδυνον φασὶν ἔχειν. καὶ διὰ τῶν ὤτων ἤχους διαΐσσειν. ὁκόσοι δὲ σώζονται τῶν ληθαργικῶν, ἔμπυοι ὡς ἐπὶ τὸ πολὺ γίνονται. ὁκόσοισι ἐν πυρετοῖσιν ἀκρίτως τὰ τρομώδεα παύεται, τουτέοισι χρόνῳ ἐς ἄρθρα ἀπόστασις ὀδυνώδης ἐκπύουσα, καὶ κύστις ἐπώδυνος. Τῶν πυρεσσόντων οἷσι μὲν ἐρυθήματα ἐπὶ προσώπων, καὶ πόνος κεφαλῆς ἰσχυρὸς, καὶ σφυγμὸς φλεβῶν, αἵματος ῥύσις τὰ πολλὰ γίνεται. οἷσι δὲ ἆσαι, καὶ καρδιωγμοὶ, καὶ πτυαλισμοὶ, ἔμετος. οἷσι δὲ ἐρυγμοὶ, φῦσαι, ψόφοι κοιλίης καὶ ἐπάρσιες. καὶ ἐκτάραξις κοιλίης, τοῖσι χρονίζουσιν ἀσφαλέως. Ἐν πυρετῷ ξυνεχεῖ χωρὶς πόνου, ἢ φλεγμονῆς, ἢ ἄλλης προφάσιος, ἀπόστασιν προσδέχεσθαι. πόνου καὶ οἰδήματος καὶ μᾶλλον ἐς τὰ κάτω χωρία. προσδέχεσθαι δὲ δεῖ τὰς ἀποστάσιας, τοῖσιν ὑπὲρ τριήκοντα ἔτεα μᾶλλον. ὑποσκέπτεσθαι δὲ τουτέοισι τὰς ἀποστάσιας, ἢν τὰς εἴκοσιν ἡμέρας πυρετὸς ὑπερβάλλῃ. τοῖσι δὲ πρεσβυτέροισιν ἧσσον γίνονται, καὶ πολλῷ χρόνῳ γενομένων τῶν πυρετῶν. οἱ δὲ διαλείποντες καὶ λαμβάνοντες πεπλανημένως, φθινοπώρου μάλιστα ἐς τεταρταῖον ἐπιεικέως μεθίστανται, καὶ μᾶλλον τοῖσιν ὑπὲρ τὰ τριήκοντα ἔτεα γεγονόσιν. αἱ δὲ ἀποστάσιες τοῦ χειμῶνος γίνονταί τε μᾶλλον, καὶ παύονται βραδύτερον, καὶ ἧσσον παλινδρομέουσι.

Τοῖσι δὲ πολλάκις ὑποστροπιασθεῖσιν ἢν ἑξάμηνον ὑπερβάλλωσιν, ἰσχιαδικὴ φθίσις ἐπιεικέως γίνεται. Ὁκόσα πυρετῷ ἀντιδίδοται, καὶ μὴ ἀκριτηματώδεα σημεῖα, κακοήθεα.

Τῶν πυρετῶν οἱ μήτε ἐν ἡμέρῃσι κρισίμῃσι, μήτε μετὰ σημείων λυτηρίων ἀφιέντες, ὑποτροπιάζουσι. Τὰ ὀξέα τῶν νοσημάτων, ἐν ἡμέρῃσι κρίνεται τεσσαρεσκαίδεκα. Τεταρταῖος ἀκριβὴς, ἐν πέντε, ἢ ἐν ἑπτὰ περιόδοισιν, ἢ τὸ μακρότατον ἐν ἐννέα κρίνεται. Οἷσιν ἀρχομένοισι πυρέσσειν αἵματος στάξιες ἐκ ῥινῶν πταρμοῦ γινομένου, λευκὴν ὑπόστασιν τὸ οὖρον ἴσχει ἐν τῇ τετάρτῃ, λύσιν ἐν τῇ ἑβδόμῃ σημαίνει. Τὰ δὲ ὀξέα κρίνεται αἵματος ἐκ ῥινῶν ῥυέντος, ἐν κρισίμῳ. καὶ ἱδρῶτος πολλοῦ γινομένου. καὶ οὔρου πυώδεος καὶ ὑαλώδεος γινομένου, ὑπόστασιν χρηστὴν ἔχοντος. καὶ ἀθρόου γινομένου. καὶ ἀποστήματος ἀξιολόγου. καὶ κοιλίης μυξώδεος καὶ αἱματώδεος. καὶ ἐξαπίνης καταῤῥαγείσης, καὶ ἐμέτων οὐ μοχθηρῶν κατὰ κρίσιν. ὕπνοι βαθέες μὴ ταραχώδεες, βεβαίαν κρίσιν σημαίνουσιν. οἱ δὲ ταραχώδεες μετὰ ἀλγήματος σώματος, ἀβέβαιοι. ἑβδομαίοισιν, ἢ ἐναταίοισιν, ἢ τεσσαρεσκαιδεκαταίοισι, ῥύσιες ἐκ ῥινῶν, λύουσιν ὡς ἐπὶ τὸ πουλὺ τοὺς πυρετούς. ὁμοίως δὲ καὶ κοιλίης ῥύσις, χολώδης, καὶ δυσεντεριώδης. καὶ πόνος γουνάτων, ἢ ἰσχίων. καὶ οὖρον πεπανθὲν, πρὸς τὴν κρίσιν. ἐν γυναιξὶ δὲ καὶ ἐπιμηνίων ῥύσις. Οἱ ἐν πυρετοῖσιν αἱμοῤῥαγήσαντες ἱκανῶς, ὁκόθεν οὖν, ἐν τῇσιν ἀναλήψεσι κοιλίας καθυγραίνονται. Οἱ ἐν πυρετοῖσιν ἐφιδρώοντες κεφαλαλγέες, κοιλίην ἀπολελαμμένοι, σπασμώδεες. Αἱ ἐπ᾽ ὀλίγον θρασέως παρακρούσιες, καὶ θηριώδη καὶ σπασμὸν σημαίνουσι. Σπασμὸς ἐν πυρετῷ γινόμενος, καὶ παυόμενος αὐθημερὸν, ἀγαθόν.

Σπασμὸς ἐν πυρετῷ γινόμενος, παύει τὸν πυρετὸν αὐθημερὸν, ἢ τῇ ὑστεραίῃ, ἢ τῇ τρίτῃ. ὑπερβάλλων δὲ τὴν ὥρην ἐν ᾗ ἤρξατο καὶ μὴ παυόμενος, κακόν. Οἱ διαλείποντες, ἀνωμάλως δὲ κλινόμενοι, κοιλίης ἐμφυσωμένης μικρὰ διαδιδούσης. ὀσφυαλγέουσι μετὰ κρίσιν, τουτέοισι κοιλίαι καταῤῥήγνυνται. οἱ δὲ περικαέες πρὸς χεῖρα νωθροί. διψώδεες. ἀσώδεες. κοιλίης ἀπειλημμένης βαρυνόμενοι ἐκλύονται. ἔστι δ᾽ ὅτε καὶ τὰ ἐξέρυθρα ἐν ποσὶ κατακαύματα, τὰ αὐτὰ σημαίνει. Οἱ χειμερινοὶ τεταρταῖοι πυρετοὶ, ἐπιεικέως μεθίστανται ἐς τὰς ὀξείας νόσους. Κεφαλῆς πόνος σύντονος μετ᾽ ὀξέος πυρετοῦ, καὶ ἄλλου σημείου τῶν δυσκόλων, θανάσιμον. ἄνευ δὲ σημείου φαύλου, ὑπερβάλλων τὰς εἴκοσιν ἡμέρας, αἵματος ῥύσιν. ἢ πύον ἐκ ῥινός. ἢ ἀποστάσιας ἐς τὰ κάτω σημαίνει μάλιστα μὲν νεωτέροισι τῶν τριηκονταπέντε, τὰς ῥύσιας. τοῖσι δὲ πρεσβυτέροισι, τὰς ἀποστάσιας προσδέχεσθαι. Περὶ μέτωπον δὲ καὶ κροτάφους ὄντος τοῦ πόνου, καὶ συντόμου, ῥύσιας. Οἷσι κεφαλαλγίαι. καὶ ἄχροι ἀπυρέτοισι, καὶ σκοτοδίνη. καὶ φωνῆς βραδυτής. καὶ νάρκη χειρῶν. ἢ ἀποπλήκτους, ἢ ἐπιληπτικοὺς προσδέχου τούτους ἔσεσθαι, ἢ καὶ ἐπιλήσμονας. Οἱ κεφαλαλγέες κατόχως παρακρούοντες, κοιλίης ἀπολειφθείσης. ὄμμα θρασυνθέντες. ἄνθηροι, ὀπισθοτονώδεες γίνονται. Τὰ ὑποσείοντα κεφαλῆς ὄμματα ἐξέρυθρα παρακρούοντα σαφῶς, ὀλέθρια. οὐ ξυναποθνήσκει τὸ δὲ, ἀλλὰ παρ᾽ οὓς οἴδημα ποιέει. Κεφαλαλγίαι μεθ᾽ ἕδρης, καὶ αἰδοίων ἀλγήματος, καὶ νωθρότητα καὶ ἀκρησίην παρέχει, καὶ φωνὴν παραλύει, ταῦτα οὐ χαλεπά, ὑπνώδεες δὲ καὶ λυγγώδεες γίνονται ἐνάτῳ μηνὶ ἐκ τουτέων. φωνῆς λυθείσης ἐς τὸ αὐτὸ καθίστανται. Ἀσκαριδώδεες δὲ γινόμενοι ἐν κεφαλαλγίῃ, κώφωσις καὶ κῶμα παρακολουθοῦντα, τὰ παρ᾽ οὓς ἐπαίρει. Οἱ κεφαλαλγέες κατόχως ὀδυνώδεες. ὄμμα ἐξέρυθρον αἱμοῤῥοεῖ τὰ σείοντα. κεφαλὴν τὰ ἠχώδεα αἱμοῤῥοεῖ. ἢ γυναικὶ τὰ γυναικεῖα καταβιβάζει, ἄλλως τε καὶ ἢν κατὰ ῥάχιν καῦμα παρακολουθέῃ. ἴσως δὲ καὶ δυσεντερικά. Οἱ καρηβαρικοὶ κατὰ βρέγμα ὀδυνώδεες ἄγρυπνοι αἱμοῤῥαγέουσιν, ἄλλως τε καὶ ἤν τις ἐς τράχηλον συντείνει. Τὰ ἐν κεφαλαλγίῃσιν ἰώδεα ἐμέσματα μετὰ κωφώσιος ἀγρύπνοισι ταχὺ ἐκμαίνει. Οἷσι κεφαλῆς καὶ τραχήλου πόνος, καὶ ὅλου δέ τις ἀκρατίη τρομώδης, αἱμοῤῥαγίη λύει. ἀτὰρ καὶ οὕτω χρόνῳ λύονται. αἱ δὲ κύστιες ἐν τουτέῳ ἀπολαμβάνονται.

Ἐν τῇσιν ὀξείῃσι κεφαλαλγίῃσι. καὶ τῇσιν ναρκώδεσι μετὰ βάρεος, ἐθέλει σπασμώδεα γίνεσθαι. Κεφαλαλγίην λύει, πύον διὰ ῥινῶν, ἢ πτύελα πάχεα καὶ ἄνοσμα. Λύει δὲ καὶ ἑλκέων ἔκθυσις, ποτὲ δὲ καὶ ὕπνος, καὶ κοιλίης ῥύσις. Κεφαλῆς ἄλγημα μετρίον μετὰ δίψης νηδιούσης, ἢ μετὰ ἱδρῶτος μὴ λύοντος τὸν πυρετὸν, ἀποστασίας ἐν οὔλοισιν ἢ παρ᾽ οὓς σημαίνει, μὴ κοιλίης ἐκταραχθείσης. Κεφαλαλγίη καρώδης μετὰ βάρεος, ποιέει τι σπα

σμῶδες

σμώδεες. Οἱ κεφαλαλγικοὶ διψώδεες, ὑπάγρυπνοι, ἀσαφέες, ἀδυνάτοι. ἦσι κοιλίη ὑγρὴ καὶ πυώδεες. ἆρά γε ἐξανίστανται κεφαλαλγέες. ὑπόκωφοι. χεῖρας τρομώδεες. τράχηλον ὀδυνώδεες. οὐρέοντος μέλανα δεδιασμένα. ἐμέοντες μέλανα, ὀλέθριοι; Οἱ κεφαλαλγέες, ἐφιδροῦντες, κοιλίην ἀπειλημμένοι, σπασμώδεες. Τὸ καρῶδες πανταχοῦ κακόν. Οἱ κωματώδεες ἐν ἀρχῇσι γενόμενοι, μετὰ κεφαλῆς, ὀσφύος, τραχήλου, ὑποχονδρίου ὀδύνης, ἀγρυπνέοντες, ἆρά γε φρενιτικοί; μυκτὴρ ἐν τουτέοισιν ἀποστάζων, ὀλέθριον. ἄλλως τε καὶ τεταρταίοις ἐοῦσι ἢ ἀρχομένοισι. Κακὸν δὲ καὶ κοιλίης περίπλυσις ἐξέρυθρος. Οἱ κωματώδεες ἐξ ἀρχῆς ἐφιδρώσαντες, οὔροισι πέποσι καυστικοὶ, ἀκρίτως δὲ περιψύχοντες, διὰ ταχέων περικαέες, νωθροὶ κωματώδεες σπασμώδεες, ὀλέθριοι. Οἱ κωματώδεες ὕπνοι, καὶ αἱ καταψύξιες, ὀλέθριον. Κωματώδεες κοπιώδεες κεκωφωμένης κοιλίης καταῤῥωγυίης, ἐρυθρὰ διελθόντα περὶ κρίσιν ὠφελεῖ. Κωματώδεες, ἀσώδεες, ὑποχόνδριον ὀδυνώδεες, σμικρὰ ἐμετώδεες τὰ παρ' οὖς ἴσχουσι. πρόσθεν δὲ περὶ τὸ πρόσωπον ἐπάρματα μετὰ κώματος.

Τὰ ἐξαίφνης παρακρούσαντα ἀλογισμῷ αἱμοῤῥαγικά. Τὰ κωματώδεα ἀσώδεα ὀδυνώδεα ὑποχόνδρια, θαμινὰ σμικρὰ πτύοντα τὰ παρ' οὖς ἐπάρματα κωματώδεες. ἆρά τι ἔχει σπασμώδες; κωματώδεα μεμωρωμένα κάτοχα ποικίλλοντα. Ὑποχόνδρια καὶ κοιλίην ἐπηρμένοι, ἀπόσιτοι. Ἀπολελαμμένοι ἐφιδροῦντες, ἆρα τουτέοισι τὸ θολερὸν πνεῦμα καὶ τὸ γονοειδὲς διελθὸν, λύγγα σημαίνει; κοιλίη δὲ ἆρα χολώδης προσδιέρχεται; τὸ λαμπῶδες ἐν τουτέοισιν οὖρον ἐπελθὸν ὠφελεῖ. καὶ κοιλίαι δὲ τουτέοισιν ἐπιταράσσονται. Ἐγκεφάλου σφακελίσαντος, οἱ μὲν ἐν τῇσι τρίτῃσιν ἡμέρῃσιν, οἱ δὲ ἐν τῇσιν ἑβδόμῃσι, τελευτῶσι, ταύτας δὲ διαφεύγοντες, σώζονται. οἷσι δὲ ἀνατμηθεῖσι, τῶν τοιουτέων διεστηκὸς εὑρεθῇ τὸ ὀστέον, ἀπόλλυνται. Τοῖσι κεφαλαλγικοῖσιν ὀστέα ῥαγεῖσιν ἐκ τῶν ὄπισθεν ῥύσις ἐκ μυκτῆρος λαῦρος παχεῖα, κακόν. ὀφθαλμὸν περιαλγήσαντες οὗτοι, ῥιγέουσιν. ἆρα αἱ κατὰ κρόταφον ὀστέων διαῤῥαγαὶ σπασμώδεες; Ὠτὸς πόνος σύντονος, μετὰ πυρετοῦ ὀξέος, καὶ ἄλλου τοῦ σημείου τῶν ὑποδυσκόλων, τοὺς μὲν νέους, ἑβδομαίους κτείνει καὶ συντομώτερον παραφρονήσαντας. μὴ ῥυέντος πολλοῦ πύου ἐκ τοῦ ὠτὸς, ἢ ἐκ ῥινῶν αἵματος, μὴ δὲ ἄλλου τοῦ σημείου χρηστοῦ γενομένου. τοὺς δὲ πρεσβυτέρους, βραδύτερον καὶ ἧσσον ἀναιρεῖ, τά τε γὰρ ὦτα, φθάνει ἐκπυέειν, καὶ παραφρονέουσιν ἧσσον. ὑποστρέφουσι δὲ οἱ πολλοὶ τουτέων, καὶ οὕτως ἀπόλλυνται. Κώφωσις ἐν ὀξέσι καὶ ταραχώδεσι παρακολουθοῦσα, κακόν. κακὸν δὲ καὶ ἐν τοῖσι μακροῖσιν. ἄγει δὲ τουτέοισι καὶ ἐς ἰσχία πόνους. Ἐν πυρετοῖσι κώφωσις, κοιλίην ἐφίστησιν.

Ὦτα ψυχρὰ καὶ διαφανέα καὶ συνεσταλμένα, ὀλέθριον. Βόμβος ἐν ὀξέσι, καὶ ἦχος ἐν ὠσὶ, θανάσιμον. Ἦχοι μετὰ ἀμβλυωσμοῦ, καὶ κατὰ ῥῖνας βάρεος, παρακρουστικὸν, καὶ αἱμοῤῥαγέει. Οἷσι κώφωσις μετὰ καρηβαρίης, καὶ ὑποχονδρίου ἐντάσιος, καὶ πρὸς αὐγὰς ἐνοχλεῖν, αἱμοῤῥοεῖ. Ἐν ὀξεῖ πυρετῷ ὦτα κωφωθῇ, μανικόν. Οἱ δύσκωφοι ἐν τῷ λαμβάνειν τρομώδεες, γλῶσσαν παραλελυμένοι, νωθροὶ, κακόν. Προσηκούσης ἀῤῥωστίης κώφωσις κατ' οὖρον ὑπέρυθρον ἀκατάστατον ἐναιωρεύμενον, παρακρουστικόν. Τὸ ἰκτερῶσθαι ἐν τούτοισι κακόν. κακὸν δὲ καὶ ἐπὶ ἰκτέρου μώρωσις. τούτους ἀφώνους αἰσθανομένους, ξυμβαίνει πνίγεσθαι. τάχα δὲ καὶ κοιλίη πονηρεύεται τούτοισι. Τὰ δὲ ὀδυνηρῶς παρ' οὖς ἀνιστάμενα, ὀλέθρια. Τὰ παρ' οὖς ἐκ τοῦ ἔμπροσθεν ἀλγήματος ἐρυθήματα ἐν πυρετοῖσι γενόμενα, σημεῖον μὲν ἐρυσιπέλατος ἐπὶ προσώπου ἐσομένου. ἀτὰρ καὶ σπασμοὶ ἐκ τῶν τοιουτέων γίνονται μετὰ ἀφωνίης καὶ ἐκλύσιος. Τὰ παρ' οὖς ἐπὶ πλείστοισι λυσώδεσι πυρετῷ ὀξεῖ, ὑποχονδρίῳ συντόνῳ χρονιωτέρως ἀρθέντα, κτείνει. Τὰ παρ' οὖς, φαῦλα τοῖσι παραπληκτικοῖς. Τὰ παρ' οὖς ἐν μακροῖσι μὴ ἐκπυοῦντα, θανάσιμον. κοιλίαι δὲ τοῖσι τουτέοισι τάχα φέρονται. ἆρά γε οἷσι τὰ παρ' ὦτα κεφαλαλγικοῖσιν, ἆρά τι ἐφιδροῦσι τὰ ἄνω, ἆρά τι καὶ ἐπιῤῥιγέουσιν. ἆρά γε αἱ κοιλίαι καταῤῥήγνυνται, καί τι καὶ κωματώδεες. ἆρα καὶ τὸ ὑδατῶδες οὖρον ἐναιωρεύμενον λευκοῖσι, καὶ τὰ ὑποποίκιλα ἔκλευκα δυσώδεα. Τὰ παρ' οὖς λαπάσσει βηχία μετὰ πτυαλισμῶν ἰόντα, οὖρα τοῖσι παρ' ὦτα ταχὺ καὶ ἐπ' ὀλίγον πεπαινόμενα φλαῦρα. καὶ τὸ καταψύχεσθαι ὧδε πονηρόν. Τὰ παρ' οὖς ἐν τοῖσι χρονίοισιν ἐκπυεύμενα μὴ λευκῶς, σφόδρα καὶ ἀνόδμως κτείνει. καὶ μάλιστα γυναῖκας.

Τὰ παρ' οὖς μάλιστα ἐκ τῶν ὀξέων ἐν τοῖσιν καυσώδεσι γίνεται. ἢν μὴ κρίσιν ποιήσῃ,

καὶ ἐκπεπαίνεται, ἢ ἐκ ῥινῶν αἷμα ῥυῇ, ἢ οὖρα ὑπόστασιν παχεῖαν λάβῃ, ἀπόλλυνται. τὰ πολλὰ δὲ τῶν τοιούτων οἰδημάτων παραποκαθίστανται. Προσεπιθεωρέειν δὲ καὶ τοὺς πυρετοὺς, ἤν τε ἐπιτείνωσιν, ἤν τε ἀνιῶσι, καὶ οὕτως ἀποφαίνεσθαι. Ἐπὶ κωφώσει καὶ νωθείῃ ἐκ ῥινῶν ὑποστάζειν ἔχει τι δύσκολον. ἔμετος τουτέοισιν ἁρμόσει, καὶ κοιλίης ταραχή. Ἐκ κωφώσιος ἐπιδήξεως τὰ παρ' ὦτα, ἄλλως τε καὶ ἢν ἀσώδεές τι γίνηται. ἀτὰρ καὶ τοῖσι κωματώδεσιν ἐπὶ τουτέοισι, ἔστι μᾶλλόν τι τὰ παρ' ὦτα. Κώφωσιν ἐκ πυρετῶν, ῥύσις ἡ ῥινῶν λύει καὶ κοιλίης ταραχή. πρόσωπον ἐκ μετεώρου ταπεινούμενον. καὶ φωνὴ λειοτέρη καὶ ἀσθενεστέρη γινομένη. καὶ πνεῦμα μανώτερον, καὶ λειότερον, ἄνεσιν εὖ τὴν ἐπιοῦσαν σημαίνει. Προσώπου διαφθορὴ, θανάσιμον. ἢ ὅσον δ' εἰ δι' ἀγρυπνίην ἢ λιμὸν, ἢ κοιλίης ἐκτάραξιν γένηται. καθίσταται δὲ ἐν ἡμέρῃ καὶ νυκτὶ, τὸ διὰ ταῦτα διαφθαρέν. γένοιτο δ' ἂν τοιοῦτον· ὀφθαλμοὶ κοῖλοι. ῥὶς ὀξεῖα. κρόταφοι συμπεπτωκότες. ὦτα ψυχρὰ ἐστὶ συνεσταλμένα. δέρμα σκληρόν. χρῶμα ὠχρὸν ἢ μέλαν. πελιαινόμενον δὲ ἐπὶ τουτέοισι βλέφαρον, ἢ χεῖλος, ἢ ῥὶς, συντόμως θανάσιμον. Προσώπου εὔχροια, καὶ σκυθρωπότης ἐν ὀξεῖ, κακόν. μετώπου ξυναγωγὴ ἐπὶ τουτέοισι, φρενιτικόν.

Περὶ πρόσωπον εὔχροια, καὶ ἱδρῶτες ἀπυρέτοισι, κόπρανα παλαιὰ ὑπεόντα οἱ σημαίνει, ἢ διαίτης ἀταξίην. Τὰ κατὰ ῥῖνας ἐρυθήματα, κοιλίης ὑγραινομένης σημεῖα. Τοῖσι κατὰ τὰ ὑποχόνδρια ἢ τὸν πλεύμονα πόνοισιν ἐμπυομένοισι, κακόν. Ὀφθαλμῶν καθαρότης καὶ τὰ λευκὰ αὐτέων ἐκ μελάνων ἢ πελίων καθαρὰ γίνεσθαι, χρήσιμον. ταχέως μὲν οὖν καθαιρομένων, ταχεῖαν σημαίνει κρίσιν. βραδέως δὲ βραδυτέραν. Τὸ ἀχλυῶδες τῶν ὀφθαλμῶν, ἢ τὸ λευκὸν ἐρυθραινόμενον, ἢ πελιαινόμενον, ἢ φλεβῶν μελάνων πληρούμενον, οὐκ ἀστεῖον. φλαῦρον δὲ καὶ τὸ τὴν αὐγὴν φεύγειν, ἢ δακρύειν, ἢ διαστρέφεσθαι. καὶ τὸν ἕτερον ἐλάσσω γίνεσθαι πονηρόν. καὶ τὸ τὰς ὄψιας πυκνὰ διαῤῥιπτέειν. ἢ λημία μακρὰ περὶ αὐτὰς, ἢ αἰγίδα λεπτὴν ἴσχειν. ἢ τὸ λευκὸν, μέζω γίνεσθαι. τὸ δὲ μέλαν, ἐλάσσω. ἢ κρύπτεσθαι τὸ μέλαν, ὑπὸ τὸ ἄνω βλέφαρον. πονηρὸν δὲ ἐστὶ κοιλότης ὀμμάτων. καὶ ἔκθλιψις ἔξω σφοδρὰ, καὶ λαμπηδόνος ἔκθλιψις, ὥστε μὴ δύνασθαι τὴν κόρην ἐκτείνεσθαι. καὶ βλεφαρίδων καμπυλότης. καὶ πῆξις ὀμμάτων. συνεχέως τε μύειν, καὶ χρώματα μεταβάλλειν, καὶ βλέφαρα μὴ συμβάλλειν ἐν τῷ καθεύδειν ὀλέθριον. κακὸν δὲ καὶ ἰλλαίνων ὀφθαλμός. Ὀφθαλμῶν ἔρευθος ἐν πυρετῷ γενόμενος, κοιλίης πονηρὴν χρονίην σημαίνει. Αἱ παρ' ὀφθαλμῶν ἐπαναστάσιες ἐν τῇσιν ἀνακομιδῇσι, κοιλίην καταῤῥηγνύουσιν. Ἐπὶ ὀμμάτων διαστροφῇ, κοπιώδει, πυρετώδει, ῥῖγος ὀλέθριον, ἐστὶ οἱ κωματώδεες ἐν τουτέοισι, κακόν. Ὀφθαλμιῶντι ἀνδρὶ, πυρετοῦ ἐπιγενομένου, λύσις. εἰ δὲ μὴ, κίνδυνος τυφλωθῆναι, ἢ ἀπολέσθαι, ἢ ἀμφότερα. Οἷσιν ὀφθαλμιῶσι κεφαλαλγίη προσγίνεται, καὶ παρακολουθεῖ χρόνον πολὺν, κίνδυνος τυφλωθῆναι. Ὀφθαλμιῶντι διάῤῥοια ἀπὸ ταὐτομάτου, χρήσιμον. Ὀμμάτων ἀμαύρωσις καὶ τὸ πεπηγὸς ἀχνῶδες, κακόν. Ὀμμάτων ἀμαύρωσις ἅμα ἀψυχίῃ, σπασμῶδες συντόμως.

Ὀμμάτων ὀρθότης ἐν ὀξεῖ, καὶ κίνησις ὀξείη, καὶ ὕπνος ταραχώδης, ἀγρυπνίη. ποτὲ δὲ ἐστὶ στάσεις ἐκ ῥινῶν, πρὸς τὴν ἀφὴν μὴ περικαέες, φρενιτικοὶ γίνονται. καὶ μᾶλλον ἢν αἷμα ῥυῇ.

Γλῶσσα δὲ κατ' ἀρχὰς μὲν πεφεικυῖα. τῷ δὲ χρώματι διαμένουσα, προϊόντος δὲ τοῦ χρόνου, τραχυνομένη καὶ πελιαινομένη, καὶ ῥηγνυμένη, θανάσιμον. σφόδρα δὲ μελαινομένη ἐν τεσσαρεσκαιδεκάτῃ, κρίσιν γενέσθαι δηλοῖ. χαλεπωτάτη δέ ἐστιν, ἡ μέλαινα καὶ χλωρή.

Γλώσσης παρὰ τὸ ἄκρον, ὥσπερ σιάλῳ λευκῷ καταλείφεσθαι, σημεῖον ἀνέσεως. Πυρετοῦ παχέος, μένοντος τοῦ ἐπιγενήματος αὐθημερὸν, λεπτοτέρου δὲ εὖ τὴν ὑστεραίην, ἔτι λεπτοτέρου τριταίην, τὰ δ' αὐτὰ σημαίνει καὶ ἐπ' ἄκρην τὴν γλῶσσαν γινόμενα ἧσσον δέ. Γλῶσσα τρομώδης μετὰ ἐρυθήματος κατὰ ῥῖνας, καὶ κοιλίης ὑγρῆς τὰ δὲ ἄλλα ἀσήμως ἔχοντα κατὰ πλεύμονα, πονηρά. καὶ ὀξείας καθάρσιας ὀλεθρίους σημαίνει.

Γλῶσσα παρὰ λόγον ἀπαλυνομένη, καὶ ἀσώδης μεθ' ἱδρῶτος ψυχροῦ ἐπὶ κοιλίῃ ὑγρῇ, μελάνων ἐμέτων ἐστὶ σημεῖον. τὸ κοπιῶδες ἐν τουτέοισι κακόν. Αἱ τρομώδεες γλῶσσαι τισὶ καὶ κοιλίην ὑγρὴν ποτὲ ποιέουσι. μελανθεῖσαι δὲ ἐν τουτέοισι, ταχὺν θάνατον σημαίνουσι. ἦρά γε τρομώδης γλῶσσα σημαίνει οὐχ ἱδρυμένην γνώμην; Αἱ δασεῖαι κατάξηροι φρενιτικαί. Ὀδόντας συνερείζειν ἢ πρίειν, ᾧ μὴ σύνηθες ἐκ παιδὸς μανικὸν ἐστὶ θανάσιμον. ἤδη δὲ παραφρονέων ἢν ποιέῃ τοῦτο, παντελῶς ὀλέθριον. ὀλέθριον δὲ ἐστὶ ξηραίνεσθαι τοὺς ὀδόντας.

Ὀδόντος σφακελισμὸς, ἀπόστημα παρὰ οὖλον γινόμενον, λύει. Ἐπὶ ὀδόντος σφακελισμῷ πυρετὸς ἐπιγινόμενος σφοδρὸς, καὶ παραφροσύνη, θανάσιμον. ἢν δὲ σώζωνται, ἕλκεα ἐκπυήσει, καὶ ὀστέα ἀφίσταται. Οἷσι περὶ τὴν ὑπερῴην ὑγροῦ σύστασις γίνηται, ὡς τὰ πολλὰ πυοῦται. Τὰ περὶ γνάθους ἀλγήματα σφόδρα, κίνδυνος εἰς ὀστέον ἀνάπλυσιν ἐλθεῖν.

Χεῖλος συσπώμενον σημαίνει κοιλίης χολώδεος κατάρρηξιν. Τὰ ἀπὸ οὔλων αἵματα ἐπὶ κοιλίῃ ὑγρῇ, ὀλέθρια. Πτυάλου ἀναχρέμψιες ἐν πυρετῷ, πελιδναὶ, μέλαιναι, χολώδεες, ἐπιστᾶσαι μὲν κακόν. ἀποχωρέουσαι δὲ κατὰ λόγον, χρήσιμοι. Οἷσιν ἁλμώδεα πτύελα καὶ βὴξ ὑφίσταται, τουτέοισι χρῶς ἐρυθραίνεται, οἷον ἐξανθίσματα. πρὸ δὲ τῆς τελευτῆς, τραχύνεται. Ἀνάχρεμψις πυκνὴ ἤν δή τι καὶ ἄλλο σημεῖον προσῇ, φρενιτικόν. Αἱ μετ' ἐκλύσιος ἀφωνίαι κάκισται. Αἱ ἐπ' ὀλίγον θρασέων παρακρούσιων, πονηρὸν καὶ θηριωδέων. Οἷσι φωνὴ ἅμα πυρετῷ ἐκλίπῃ μετὰ ἀκρισίας, τρομωδέων θνήσκουσιν. Αἱ ἐν πυρετῷ ἀφωνίαι, σπασμώδεα τρόπον ἐκστᾶσαι σιγῇ ὀλέθριον. Αἱ ἐκ πόνου ἀφωνίαι, δυσθάνατοι. Αἱ μετ' ἐκλύσεως κατόχως ἀφωνίαι, ὀλέθριοι. Αἱ καταπλώμεναι φωναὶ μετὰ φαρμακείην ἆρα πονηρόν; τουτέων οἱ πλεῖστοι ἐφιδροῦσι, καὶ κοιλίας καθυγραίνονται. Ἐν ἀφωνίῃ πνεῦμα οἷον τοῖσι πνιγομένοισι, πρόχειρον πονηρόν. ἆρά γε καὶ παρακρουστικόν; Αἱ ἐκ κεφαλαλγίης ἀφωνίαι ἅμα ἱδρῶτι πυρετωδέων. χαλῶντα ἐπ' αὐτοὺς ἀνιέντα χρονιώτερα ἐπιρριγοῦντα τουτέοισιν, οὐ πονηρόν. Αἱ μετὰ ἀφωνίης ἐκστάσιων, ὀλέθριαι. Αἱ τοῖσιν ἐπιρριγέουσιν ἀφωνίαι, θανάσιμον. εἰσὶ δὲ κεφαλαλγέων οἱ τοιοῦτοι ἐπιεικέως. Αἱ μετ' ἐκλύσεως ἀφωνίαι ἐν πυρετῷ ὀξεῖ ἀνιδρῶτι, εἰσὶ μὲν θανάσιμοι. ἧσσον δὲ τῷ ἐφιδρῶντι. χρόνον δὲ σημαίνει. ἴσως δὲ καὶ οἱ ἐξ ὑποστροφῆς παθόντες τι τοιοῦτον, ἀσφαλέστατοι. ὀλεθριώτατοι δὲ τῶν τοιούτων οἷσι τὰ ἐκ ῥινέων, καὶ οἷσι κοιλίαι καθυγραίνονται. Ἡ ὀξυφωνίη κλαυθμώδης, καὶ ὀμμάτων ἀμαύρωσις, σπασμῶδες, οἷς ἂν τὰ κάτω πόνοι, τουτέοισιν εὔφορον. Ἅμα φωνῇ τρομώδει, λύσις κοιλίης παράλογος ἐν τουτέοισι διεστηκόσι χρονίοισιν, ὀλέθριον. Αἱ πυκναὶ ὑποκαρώδεων ἀφωνίαι ξυστᾶσαι, φθινώδεα προσημαίνουσι. Πνεῦμα πυκνὸν μὲν καὶ σμικρὸν ἐὸν, φλεγμονὴν καὶ πόνον, ἐν τοῖσι καιρίοισι τόποισι σημαίνει. μέγα δὲ καὶ διὰ πολλοῦ, παραφροσύνην ἢ σπασμόν. ψυχρὸν μὲν θανάσιμον. θανάσιμον δὲ καὶ πυρετωδέων καὶ λιγνυωδέων πνεῦμα. ἧσσον δὲ τοῦ ψυχροῦ. καὶ τὸ μέγα ἔξω πνεόμενον. σμικρὸν δὲ εἴσω. καὶ τὸ μικρὸν ἔξω, μέγα δὲ εἴσω. κάκιστον δὴ καὶ πλησίον θανάτου. καὶ τὸ ἐκτεῖνον καὶ κατεπεῖγον, δι' ἀμαυρόν. καὶ διπλῆ ἔσω ἐπανάκλησις ὁποῖον ἐπεισπνέουσιν. εὔπνοια δὲ ἐν πᾶσιν, ὁκόσα ἐν πυρετῷ ὀξεῖ, κἢν ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται, μεγάλην ἔχει ῥοπὴν ἐς σωτηρίην. Τράχηλος σκληρὸς καὶ ἐπώδυνος, καὶ γονύων σύνδεσις, καὶ φλεβῶν σφαγιτίδων παλμὸς, ἰσχυρὸς. καὶ τενόντων ξυντάσις, ὀλέθριον. Τὰ ἐν φάρυγγι ἰσχνῷ ἀλγήματα πνιγώδεα ἀπὸ κεφαλῆς ἀλγηδόνος ὁρμώμενα, σπασμώδεα. Αἱ τραχήλου καὶ μεταφρένου ψύξιες δοκέουσαι, καὶ ὅλου δὲ τοῦ σώματος σπασμωδέων, ἐν τουτέοισι κειμνωδέων οὐρήσιες. Οἷς κατὰ φάρυγγα βρεθισμοὶ, ἐπιεικέως τὰ περὶ οὖς ἐπάρματα. Φάρυγξ ἐπώδυνος ἰσχνὴ μετὰ δυσφορίης, ὀλέθριον ὀξέως. Οἷσιν πνεῦμα ἀνέλκεται, καὶ φωνὴ πνιγμώδης σπόνδυλος ἐγκάθηται τουτέοισιν, ἐπὶ τῇσι τελευτῇσιν, οἷον συσπῶντός τινος τὸ πνεῦμα γίνεται. Φάρυγξ τρηχυνθεῖσα ἐπ' ὀλίγον καὶ κοιλίῃ κενεῇσιν ἀναστάσεσι, μετώπῳ ἀλγήματα, ψηλαφώδεες, ὀδυνώδεες, τὰ ἐκ τουτέων αὐξανόμενα δύσκολα. Τὰ κατὰ φάρυγγα ἰσχυρὰ ἀλγήματα, τὸ περὶ οὖς ἔπαρμα, καὶ σπασμοὺς ἐργάζεται. καὶ τραχήλου καὶ νώτου ἀλγήματα. Μετὰ πυρετοῦ ὀξέος, σπασμοὶ ὀλέθριον. Τραχήλου καὶ πήχεων ἀλγήματα, σπασμώδεα. ἀπὸ προσώπου δὲ ταῦτα καὶ κατὰ φάρυγγα. Ὠχροὶ. ἰσχνοὶ. πτυαλίζοντες, ἐν τουτέοισιν ἐν ὕπνοισιν ἱδρῶτες ἀγαθοί. ἆρά γε καὶ τῷ ἱδρῶτι κουφίζεται; τοῖσι πλείστοισιν οὐ πονηρόν. οἷς ἂν τὰ κάτω πόνοι τουτέοισιν εὔφοροι. Ἐν ἀλγήματι νώτου καὶ στήθεος αἱματώδης οὔρησις ἐπιστᾶσα, ὀλέθριος ἐπιπόνως. Τραχήλου πόνος, κακὸν μὲν ἐπὶ πυρετῷ παντὶ, κάκιστον δὲ ἐν οἷσι καὶ ἐκμανῆναι ἐλπίς. Ἐπὶ στήθεος ἀλγήματι πυρετώδει καὶ κοιλίῃ ταραχώδης, ναρκώδης, σημεῖα μελάνων ὑποχωρησίων. Τὰ ἐν ὀξέσι κατὰ φάρυγγα ἰσχνὴν μικρὰ ὀδυνώδεα, ὅτε χάνοι μὴ ῥηϊδίως συνάγοντι ἰσχνῷ, παρακρουστικά. ἐκ τουτέων φρενιτικοὶ, ὀλέθριον. Φάρυγξ ἑλκουμένη ἐν πυρετῷ μετ' ἄλλου σημείου τῶν δυσκόλων, κινδυνῶδες.

Ἐν πυρετοῖσιν ἐξαπίνης πνίγεσθαι, καὶ καταπίνειν μὴ δύνασθαι χωρὶς οἰδήματος κακόν.

τράχηλον

Τράχηλον ὑποστραφῆναι μὴ δύνασθαι, μὴ δὲ καταπίνειν, θανάσιμον ὡς τὰ πολλά. Ὑποχόνδριον δὲ χρὴ μαλθακὸν εἶναι, καὶ ἄπονον καὶ ὁμαλές. φλεγμαῖνον δὲ ἢ ἀνωμάλως ἔχον, ἢ ἀλγούμενον, σημεῖον ἀῤῥωστίης ἐστὶν οὐκ εὐήθεος. Οἴδημα δὲ ἐν ὑποχονδρίοισι σκληρόν τε ἐὸν καὶ ἐπώδυνον, κάκιστον μὲν εἰ παρὰ πάντων εἴη τῶν μερέων. τῶν δὲ ἐκ τοῦ ἑνὸς μέρεος, ἀκινδυνότερον τὸ ἐκ τῶν ἀριστερῶν. σημαίνει δὲ ἐν ἀρχῇ μὲν τὰ τοιαῦτα, θάνατον σύντομον. ὑπερβάλλοντα δὲ τὰς εἴκοσι τοῦ πυρετοῦ μένοντος, ἐμπύησιν. γίνεται δὲ τούτοισιν ἐν τῇ πρώτῃ περιόδῳ. Ῥῆξις αἵματος διὰ ῥινῶν πάρτα ὠφελέει. τὰ γὰρ πολλά, κεφαλὴν οὗτοι πονέουσιν, καὶ ὄψις ἀμαυροῦται. καὶ μᾶλλον ἐς τὰ αὐτὰ προσγίνεσθαι προσδέχου τὴν ῥῆξιν. ἡλικίῃσι δὲ λε᾽ ἐτέων. τοῖσι δὲ πρεσβυτέροισιν, ἧσσον. Τὰ μαλθακὰ δὲ καὶ ἀνώδυνα τῶν οἰδημάτων. χρονιώτερα δὲ τὰς κρίσιας ποιέεται καὶ ἧσσον ἐστὶν ἐπικίνδυνα. τὰς δὲ ἑξήκοντα καὶ ταύτας ὑπερβάλλοντα, τοῦ πυρετοῦ μένοντος, ἐμπυοῦται. παραπλήσια δὲ σημαίνει, τοῖσι ἐν ὑποχονδρίοισι, καὶ τὰ περὶ κοιλίην. πλὴν ἧσσον ἐκπυοῦται ταῦτα ἐκείνων. ἥκιστα δὲ ὑπὸ ὀμφαλόν. καὶ γίνεται δὲ ταῦτα μὲν ἐν χιτῶνι. τὰ δ᾽ ἄνω κεχυμένα. θανάσιμα δ᾽ ἐστὶν αὐτῶν, ὅσα ἂν ἔσω ῥαγῇ. τῶν δὲ λοιπῶν ἐμπυημάτων τὰ μὲν ἔξω ῥηγνύμενα, βέλτιστον μὲν ὡς εἰ ἐλάχιστον καὶ ὀξύτατον συλλέγεσθαι. τὰ δὲ ἔσω, μήτε ὄγκῳ, μήτε πόνῳ, μήτε χρώματι διάδηλον ἔξω ποιέει. τὸ δὲ ἐναντίον κάκιστον. τίνα δὲ ἐστὶ τῶν διὰ πάχος πύον οὐ διασημαίνει. τὰ δὲ πρόσφατα τῶν ἐν τοῖσιν ὑποχονδρίοισι ἐπαρμάτων ἢν μὴ σὺν φλεγμονῇ ᾖ, καὶ τοὺς ἀπ᾽ αὐτῶν πόνους λύει βορβορυγμὸς γενόμενος ἐν ὑποχονδρίῳ, καὶ μάλιστα μὲν διεκπεσὼν δι᾽ οὔρων καὶ διαχωρημάτων. εἰ δὲ μὴ καὶ αὐτὸς διαπερεωθείς. ὠφελέει δὲ καὶ ὑποκαταβὰς ἐς τὰ κάτω χωρία. Σφυγμὸς ἐν ὑποχονδρίῳ μετὰ θορύβου, παρακρουστικόν, καὶ μᾶλλον ἢν ὄψιες πυκνὰ κινέωνται. Καρδίης πόνος καὶ σφυγμὸς ὑποχονδρίων, πυρετοῦ περιψυχθέντος, κακόν, ἄλλως τε καὶ ἢν ἐφιδρῶσιν. Ἐς ὑποχόνδριον ἐμπίπτοντα ἀλγήματα, ἄλλως τε πονηρόν, καὶ ἢν κοιλίας καθυγραίνῃ. κακίω δὲ ἐν ὀλίγῳ γινόμενα. καὶ τὰ παρ᾽ οὖς τε ἀνιστάμενα ἐκ τουτέων κακοήθεα, καὶ τὰ ἄλλα ἐκπυήματα. Καρδιαλγικὰ καὶ μετὰ στρόφου, κοιλίης θηρία, καταῤῥήγνυνται. Καρδίης ἄλγημα πλεῦν πρεσβυτέρῳ πυκνὰ ἐπιφοιτέον, θάνατον ἐξαπίνεον σημαίνει. Οἷσιν ὑποχόνδρια μετεωρίζεται, κοιλίης ὑπόστασις κακόν. μάλιστα δὲ ἐν φθινώδεσι τῶν μακρῶν. καὶ οἷς κοιλίαι ὑγραίνονται ἐν ὑποχονδρίῳ φλεγμονὴ ἐκπυητικὴ ἐστὶν, οἷς πρὸ τῶν θανάτων μέλαινα διαχωρέει. Ὑποχονδρίων σύντασιν μετὰ καύματος ἀσώδεος, κεφαλαλγικῶ, τὰ παρ᾽ οὖς ἐπαίρει. Μετὰ ὑποχονδρίων ἔπαρσιν, τοῖσι χολώδεσιν πνεῦμα μέγα καὶ πυρετὸς ὀξύς, τὰ παρ᾽ οὖς ἐπαίρει ἐν ὑποχονδρίων ἀλγήματι. Ὑποβορβορύζοντι ὀσφύος ἄλγημα ἐπιγενόμενον ἐν πυρετοῖς κοιλίας ἐπὶ τὸ πολὺ καθυγραίνει, ἢν μὴ φῦσα καταῤῥαγῇ ἢ οὔρου πλῆθος ἔλθοι. Ἐπὶ ὑποχονδρίῳ χρονίῳ. καὶ κοιλίη δυσώδει, παρ᾽ οὖς ἀπόστημα, κτείνει. Τοῖσιν ἐκ ὑποχονδρίων ἀλγήμασιν κοιλίη ἐπὶ μακρὸν ὑπόγλισχρα διαδιδοῦσα βραχέα κοπρώδεα ἐκχλοιοι, ἆρα καὶ αἱμοῤῥαγεῖ; Οἷσιν ἐξαίφνης ἀπυρέτοισιν ἐοῦσιν ὑποχονδρίου καὶ καρδίης πόνος, καὶ περὶ σκέλεα καὶ τὰ κάτω μέρεα, καὶ κοιλίη ἐπῆρται, λύει φλεβοτομίη, καὶ κοιλίης ῥύσις. πυρέξαι βλαβερὸν τούτοισι. μακροὶ γὰρ οἱ πυρετοὶ καὶ ἰσχυροὶ γίνονται. καὶ βῆχες. καὶ πνεύματα καὶ λυγμοὶ γίνονται. λύεσθαι δὲ μελλόντων τούτων, πόνος ἰσχυρὸς ἰσχίων. ἢ σκελέων. ἢ πύου πτύσις ἢ ὀφθαλμῶν στέρησις ἐπιγίνεται. Οἷσι πόνοι ὑποχονδρίων, καρδίης, ἥπατος, τῶν περὶ ὀμφαλὸν μερῶν, αἵματος διαχωρήσαντος, σώζονται. μὴ διαχωρήσαντος δὲ θνήσκουσιν. Οἷσιν ὑποχόνδρια λαπαρά, πρόσωπον ἐῤῥωμένον, οὐ λύονται χωρὶς αἵματος ῥύσιος ἐκ ῥινῶν πολλοῦ. ἢ σπασμοῦ. ἢ ὀδύνης ἰσχίων. Αἱ πρὸς ὑποχόνδρια ἐν πυρετῷ ὀδύναι ἄναυδοι, ἀνιδρῶντι λυόμεναι, κακόν, τούτοισιν δὲ ἰσχία ἀλγήματα. Οἱ κατὰ κοιλίην ἐν πυρετῷ παλμοὶ ἐκστάσιας ποιέουσιν. αἱμοῤῥοίη δὲ φρικώδης. Αἱ δὲ ὑποχόνδρια ἐν πυρετῷ ὀδύναι ἀναΐσσουσαι ἀνιδρῶτι λυόμεναι, κακοήθεες. τούτοισιν δὲ ἰσχία ἀλγήματα, ἅμα πυρετῷ καυσώδει, κοιλίη καταῤῥαγεῖσα, ὀλέθριον. Οἱ περὶ ὀμφαλὸν πόνοι παλμώδεες, ἔχουσι μέν τι καὶ γνώμης παράφορον. περὶ κρίσιν δ᾽ οὖν τούτοισι φλέγμα ἀλὲν συχνὸν σὺν πόνῳ διέρχεται. Μετὰ κοιλίης ὑπόστασιν ὑποχόνδρια μετέωρα, κακόν. μάλιστα δὲ τοῖσι φθινώδεσι τῶν μακρῶν, καὶ οἷσι κοιλίαι ὑγραίνονται. Τοῖσιν ἀλυσμώδεσιν ἐν ὑποχονδρίῳ τὰ παρ᾽ οὖς ἐπαρθέντα, κτείνει. Τὰ κατὰ κοιλίην σκληρύσματα, μετὰ πόνου, πυ-

νου, πυρετοῖσι φρικώδεσιν, ἀκρίτοισι, σμικρὰ ἐφυγραινομένης, κάθαρσιν οὐ διδόντα, ἐς ἐμπύησιν ἥκει. Ὑπὲρ ὀμφαλὸν πόνος, καὶ ὀσφύος ἄλγημα, φαρμακείῃ μὴ λυόμενα, ἐς ὑδρωπιῶδες ξηρὸν ἀποτελευτᾷ. Τὰ δὲ ἐξ ὀσφύος ἀλγήματα χρονιώτερα, πυρετῷ παροξυνόμενα τριταιοφυῶς, ποιεῖ τὰ θρομβώδεα αἵματα διαχωρέειν. Τὰ ἐν ὀσφύϊ ἀλγήματα, αἱμοῤῥοϊκά. Αἱ ἐξ ὀσφύος ἀλγήματος, αἱμόῤῥοιαι λαῦραι. Οἷσι ἐξ ὀσφύος ἀλγήματος, ἀναδρομὴ ἐς κεφαλὴν, καὶ χεῖρες ναρκώδεες, καὶ καρδιαλγικὰ, καὶ ἠχώδεα, αἱμοῤῥοϊκὰ λάβρως. καὶ κοιλίαι καταῤῥήγνυνται τούτοισι. καὶ γνῶμαι ταραχώδεες ἐπὶ πολύ. Αἱ ἐκ νώτου ἀλγήματος ἀῤῥωστίης ἀρχαὶ, δύσκολοι. Ἐν ὀσφύος ἀλγήματι συντόνῳ, καὶ ὑποφορῇ πλέονι, ἀπ' ἐλλεβόρου ἐμέσαι ἀφρώδεα συχνὰ, ὠφελεῖ. Ῥάχιος διαστροφὴν καὶ δύσπνοιαν, αἵματος ῥύσις λύει. Ἐν ὀσφύϊ ἐπωδύνῳ καρδιαλγικὰ προσελθόντα σημεῖα, αἱμοῤῥοώδεα ἢ καὶ προγεγενημένα. Τὰ ἐξ ὀσφύος ἐς τράχηλον καὶ κεφαλὴν ἀναδιδόντα παραλύοντα παραπληκτικὸν τρόπον, σπασμώδεα, παρακρουστικὰ, ἆρα καὶ λύεται τὰ τοιαῦτα σπασμοῖσιν; ἢ τῶν τοιούτων κοιλίαι νοσέουσιν διὰ τῶν αὐτῶν ἰόντων; Ἐξ ὀσφύος ἀναδρομὴ πόνου, ὀφθαλμῶν ἴλλωσις, κακόν. Πόνος ἐς στῆθος ἱδρυθεὶς νωθρότητι, κακὸν ἐπὶ πυρετῷ. οὗτοι ὀξέως ἀπόλλυνται. Ἐξ ὀσφύος ἀλγήματος ἀναδρομαὶ ἐς καρδίην πυρετώδεες, φρικώδεες, ἀνεμέοντες λεπτὰ ὑδατώδεα, παρενεχθέντες ἄφωνοι, ἐμέσαντες μέλανα, τελευτῶσιν.

τὰ κατ' ὀσφῦν καὶ τὸ λεπτὸν, χρόνια ἀλγήματα, καὶ πρὸς ὑποχόνδρια πόνοι, ἀπόσιτοι ἅμα πυρετῷ τούτοισι ἐς κεφαλὴν ἄλγημα σύντονον ἐλθὸν, κτείνει ὀξέως τρόπον σπασμώδεα.

Οἷσιν ὀσφύος ἄλγημα, οὗτοι κακοὶ, ἆρα τούτοισι τρομώδεα γίνεται καὶ φωΐδες ἐν ῥίγει; ἆρα τοῖς ὀσφυαλγέσιν ἀσώδεσιν, ἀνεμέτοισιν, ὀλίγα θρασέως παρακρούσασιν, ἐλπὶς μέλανα διελθεῖν; Ὀσφύος πόνος καρδιαλγικὸς μετὰ ἀναχρέμψιος βιαίης, ἔχει τι σπασμῶδες ὑπὸ ἄφωνον ἅμα κρίσει ῥῖγος. Ὀσφύος ἄλγημα, ἄνευ προφάσιος, πυκνὰ ἐπιφοιτέον, κακόηθεος ἀῤῥωστίης σημεῖον. Ὀσφύος ἄλγημα μετὰ καύματος ἀσώδεος, πονηρόν. Ὀσφύος σύντασις ἐκ γυναικείων πλήθεος, ἐκπυητικόν. καὶ τὰ ποικίλως ἰόντα γλίσχρα δυσώδεα, πνιγώδη ἐπὶ τοῖσι προειρημένοισιν, ἐκπυητικόν. οἶμαι δὲ καὶ παρακρούειν τι τὰς τοιαύτας. Οἷσιν ὀσφύος ἄλγημα καὶ πλευροῦ ἄνευ προφάσιος, ἰκτεριώδεες γίνονται. Αἱ ἐν κρισίμοισιν ἐκ τῶν αἱμοῤῥαγιῶν περιψύξιες νεανικαὶ κάκισται. τὸ ἀνάπαλιν αἱμοῤῥαγέειν, πονηρόν, οἷον ἐπὶ σπληνὶ μεγάλῳ ἐκ τῶν δεξιῶν, καὶ ὑποχόνδρια ὡσαύτως. τὰ αἱμοῤῥαγεῦντα ὑπεῤῥιγοῦντα πρώματα, κακοήθεα, διαλεγόμενοι λαθραίως τελευτῶσι. τὰ πεμπταῖα αἱμοῤῥαγοῦντα λάβρως, ἕκτῃ ἐπιῤῥιγώσαντα, ἑβδόμῃ περιψυχθέντα, ἀναθερμανθέντα ὀξέως, τούτοισι κοιλίαι πονηρεύονται. Μεθ' αἱμοῤῥαγίην μελάνων διαχώρησις, κακόν. πονηρὸν δὲ καὶ τὰ ἐξέρυθρα ἰώδεα. τεταρταίοισιν αἱ τοιαῦται αἱμοῤῥαγίαι, κωματώδεες. ἐκ τούτων σπασθέντες θνήσκουσι μελάνων προδιελθόντων καὶ κοιλίης ἐπαρθείσης. Μεθ' αἱμοῤῥοίας καὶ μελάνων διαχωρήσιας ἐν ὀξεῖ κώφωσις, κακόν. αἵματος διαχώρησις τούτοισιν, ὀλέθριον. κώφωσις δὲ λύει. Οἷσιν αἱμοῤῥαγίαι πλείους προϊόντος χρόνου κοιλίαι πονηρεύονται, ἢν μὴ οὖρον πέπον ἔλθῃ, ἆρά γε τὸ ὑδατῶδες οὖρον τοιοῦτόν τι σημαίνει; Οἷσιν ἐπὶ αἱμοῤῥαγίῃ λάβρῳ πυκνῇ, μετὰ μελάνων συχνὴ διαχώρησις. ἐπίστασις δὲ αἱμόῤῥοοι. οὗτοι κοιλίας ὀδυνώδεες. ἅμα δὲ τῇσι φύσησιν εὔφοροι, ἆρα οἱ τοιοῦτοι ἐφιδροῦσι πολλοῖσι ψυχροῖσι; τὸ ἀνατεταραγμένον οὖρον, ἐν τούτοισιν, οὐ πονηρὸν οὐδὲ τὸ ἐφιστάμενον γονοειδές. ἐπὶ πολὺ δὲ οὗτοι, ὑδατώδεα οὐρέουσιν. Οἷσιν ἐκ ῥινῶν ἐπὶ κωφώσει, καὶ νωθρότητι μικρὰ ἀποστάζει ἔχει τι δύσκολον. ἔμετος τούτοισι συμφέρει, καὶ κοιλίης ταραχή. Αἱ ἐν ἀρχῇσι μεγάλαι αἱμοῤῥαγίαι περὶ ἀνακομιδὴν κοιλίας καθυγραίνουσι. τὰ ἐκ ῥινῶν λάβρα βίῃ ἀποληφθέντα ἔστιν ὅτε σπασμὸν ἐπικαλεῖται, φλεβοτομίη λύει. Αἱ ἑνδεκαταῖαι στάξιες δύσκολοι, ἄλλως τε κἢν δὶς ἐπιστάξῃ, καὶ ἢν ἐπιστάξῃ. Ἐπὶ αἵματος ῥύσει πολλῇ ἢ λυγμὸς, ἢ σπασμὸς, κακόν. τοῖσιν ἕως ἐτῶν ἑβδόμων δύναμιν μετὰ ἀχροίης καὶ πνεῦμα ἀλιζόμενον ἐν τῇσι ὁδοῖσι καὶ γῆς ἐπιθυμίην, αἵματος φθορὴν καὶ ἔκλυσιν σημαίνει. Ἐν τοῖσι μακροῖσι τὰ μακρὰ ἐπιφαινόμενα, αἱμοῤῥοώδεα ὀλέθρια. τὰ σκοτώδεα ἐξ ἀρχῆς αἱμοῤῥοίη ῥινὸς λύει. τὰ ἐκ ῥινῶν σμικροῖς ἱδρῶσι περιψυχόμενα, κακοήθεα. Αἵματος ἀφαίρεσις ἐν καταψύξει νενωθρευμένῃ κακόν. ὅσοι κοιλίης ἐπιστάσιος αἱμοῤῥοέουσι, καὶ ἐπιῤῥιγοῦσιν ἅμα τῷ αἱμοῤῥοεῖν, τούτοισι κοιλίην λειεντεριώ-

δεα ποιεῖ. καὶ ἐπίσκληρον. καὶ ἀσπαείδας. ἢ ἀμφότερα. Τὰ δὲ τεταγμένοισι χρονίοισιν αἱμοῤῥοώδεα διψώδεα, μὴ αἱμοῤῥαγήσαντα, ἐπιληπτικῶς θνήσκει. Ἐξ αἱμοῤῥοΐδων ὅδον ἐπιφανείσης, σκοτώδεα ἐλθόντα παραπληγικὸν μικρὸν καὶ ἐπ᾽ ὀλίγον σημαίνει, λύει φλεβοτομίη. καὶ πᾶν τὸ οὕτως ἐπιφαινόμενον κακόν τι σημαίνει. Οἱ παλμώδεες δι᾽ ὅλου ἆρα καὶ ἄφωνοι τελευτῶσι; Τὰ τρομώδεα σπασμώδεα γινόμενα ἐφιδροῦσι, φιλυπόστροφα, τούτοισι κρίσις ἐπερριγώσασιν. ἐπερριγοῦσι δ᾽ οὗτοι ἤδη κοιλίην καύματι προκληθέντες. ὕπνος πολὺς ἐν τούτοισι σπασμώδης καὶ τὰ περὶ μέτωπον βαρέα καὶ οὔρησις δυσκολαίνουσα. Οἱ ἐν ὑστερικοῖσιν ἄπειροι σπασμοί, εὐχερεῖς. Τὰ σπασμώδεα ἀνιδρῶντι πτύελα παραῤῥέοντα πυρετώδεϊ ἐόντι εὐήθεα. τούτοισι ἐπεὶ κοιλίαι τι καθυγραίνονται, τάχα δ᾽ ἔτι καὶ τὰ ἄρθρα ἀκρεήσονται.

Οἷσιν ἐν σπασμώδεσιν, ὀφθαλμοὶ ἐκλαμπάνουσιν ἀτενέες, οὔτε παρ᾽ ἑωυτοῖσιν εἰσί, διανοέουσί τε μακροτέρως. Τὰ σπασμώδεα τρόπον παροξυνόμενα, κατόχως, τὰ περὶ οὓς ἐπαίρει.

Τρομώδεσιν ἀσώδεσι μακρὰ τὰ περὶ οὓς ἐπάρματα σπασμὸν σημαίνει κοιλίης πονηρευομένης. Τὰ σπασμώδεα, καὶ τετανώδεα πυρετὸς ἐπιγινόμενος λύει. Σπασμὸς ἤδη τρώματι, θανάσιμον. Σπασμὸς ἤδη πυρετῷ γινόμενος ὀλέθριον. ἥκιστα δὲ παιδίοισι. Οἱ πρεσβύτεροι ἑπτὰ ἐτέων ἐν πυρετῷ οὐχ ἁλίσκονται ὑπὸ σπασμοῦ. εἰ δὲ μή, ὀλέθριον. Σπασμοῦ λυτικόν, πυρετὸς ἐπιγινόμενος ὀξὺς μὴ πρότερον γεγονώς. εἰ δὲ εἴη ἢ πρότερον γεγονώς, παροξυνθεὶς δὲ ὠφελέει καὶ οὔρου διέξοδος ὑαλοειδὴς πολλὴ καὶ ῥύσις κοιλίης καὶ ὕπνοι. Τῶν δὲ ἐξαπίνης σπασμῶν λυτικόν, πυρετὸς κοιλίης ῥύσις ἐν τοῖσι σπασμοῖσιν. Ἀναυδίη ἤδη πολύ, κακόν. τὸ δὲ ἤδη μικρὸν ἤτοι γλώσσης ἀποπληξίην. ἢ βραχίονος καὶ τῶν ἐπὶ δεξιὰ σημαίνει. λύεται δὲ οὔροισιν ἐξαπίνης ἐλθοῦσι πολλοῖσιν ἀθρόοισιν. Ἱδρῶτες δὲ οἱ μὲν κατὰ μικρὸν ὠφελέουσιν. οἱ δὲ ἄθροοι καὶ αἱ τῶν αἱμάτων ἀφαιρέσιες αἱ ἀθρόοι, βλάπτουσιν. Ἐν τοῖσι τετάνοισι καὶ ὀπισθοτόνοισι γένυες λυόμεναι, θανάσιμον. θανάσιμον δὲ καὶ ἱδροῦν ἐν ὀπισθοτόνῳ καὶ τὸ σῶμα διαλύεσθαι. καὶ ἀνεμεῖν ὀπισθοτόνῳ διὰ ῥινῶν. ἢ ἐξ ἀρχῆς ἄφωνον ἐόντα βοᾶν ἢ φλυηρεῖν. ἐς γὰρ τὴν ὑστεραίην, θάνατον σημαίνει. Πυρετώδεα ὀπισθοτονώδεα, γενόμενα οὐρήσιες λύουσι. τὰ κυναγχικὰ τὰ μήτε ἐν τῷ τραχήλῳ, μήτε ἐν τῇ φάρυγγι, μηδὲν ἔνδηλον ποιέοντα. πνιγμὸν δὲ νεανικὸν καὶ δύσπνοιαν παρέχοντα, αὐθημερὸν, καὶ τριταίους κτείνει. τὰ δὲ ἐπάρματα καὶ ἐρύθος ἐν τῷ τραχήλῳ λαμβάνοντα, τὰ μὲν λοιπὰ παραπλήσια, χρονιώτερα δέ. Οἷσι δὲ συνεξερυθαίνει ἥ τε φάρυγξ καὶ ὁ αὐχὴν καὶ τὸ στῆθος χρονιώτερα καὶ μάλιστα ἐξ αὐτῶν σώζονται ἢν μὴ παλινδρομέῃ τὰ ἐρυθήματα. ἢν δὲ ἀφανίζηται, μήτε φύματος συστραφέντος ἔξω, μήτε πύου ἀναχρεμπτομένου ῥηϊδίως καὶ ἀπόνως, μήτε ἐν ἡμέρῃσι κρισίμῃσιν, ὀλέθρια γίνεται. ἆρά γε ἔμπυοι γίνονται; ἀσφαλέστατον δὲ τὸ ἐρύθημα καὶ τὰς ἀποστάσιας ὅτι μάλιστα ἔξω τρέπεσθαι. Ἐρυσίπελας δὲ ἔξωθεν μὲν ἐπιγίνεσθαι, χρήσιμον. ἔσω δὲ τρέπεσθαι θανάσιμον. τρέπεται δὲ ὅταν ἀφανιζομένου τοῦ ἐρυθήματος βαρύνεται τὸ στῆθος καὶ δυσπνοώτερος γίνεται. Οἷς δὲ κυνάγχη ἐς τὸν πλεύμονα τρέπεται οἱ μὲν ἐν ἑπτὰ ἡμέρῃσιν ἀπόλλυνται. οἱ δὲ διαφυγόντες ἔμπυοι γίνονται. μὴ γινομένης αὐτῆς ἀναγωγῆς φλεγματώδεος. Οἷσι διὰ σφοδρότητος σφυγμοῦ κόπριον ἐξαπίνης διαχωρέει θανάσιμον. Ἐν τοῖσι κυναγχικοῖσι τὰ ὑπόξηρα πτύσματα ἰσχνῶν κακόν.

τὰ κυναγχικὰ ἐν γλώσσαις οἰδήματα ἀσήμως ἀφανιζόμενα ὀλέθρια. καὶ τὰ ἀλγήματα ἀφανιζόμενα χωρὶς προφάσιος, ὀλέθρια. Ἐν τοῖσι κυναγχικοῖσιν οἱ μὴ ταχὺ ἀναπτύοντες πέπονα, ὀλέθριοι. Ἐν κυνάγχῃ ἀσήμως εἰς κεφαλὴν ἀλγήματα μετὰ πυρετοῦ, ὀλέθρια. Ἐν κυνάγχῃ ἀσήμως ἐς σκέλη ἀλγήματα μετὰ πυρετοῦ, ὀλέθρια. Ἐκ κυναγχικῶν ἀκρίτως ὑποχονδρίου ἄλγημα, μετὰ ἀκρασίης καὶ νωθρότητος γινόμενον, κτείνει λαθρέως, εἰ καὶ πάνυ δοκοῖεν ἐπιεικῶς ἔχειν. Ἐκ κυναγχικῶν ἀσήμως ἰσχνανθέντων ἐς στῆθος ἄλγημα καὶ ἐς κοιλίην ἐλθὸν σύντονον ποιέει πυώδεα διαχωρέειν, ἄλλως δὲ λυομένου τοῦ τοιούτου. ἐκ κυναγχικῶν πάντα ὀλέθρια ὅσα μὴ ἔκδηλον ἐποίησεν ἄλγημα. ἀτὰρ καὶ ἐς σκέλεα ἀλγήματα χρόνια φοιτᾷ καὶ ἐκπυοῦται δυσκόλως. τὰ ἐκ κυνάγχης πτύαλα γλίσχρα. παχέα. ἔκλευκα. βιαίως ἀναγόμενα, κακόν. καὶ πᾶς ὁ τοιοῦτος πεπασμός, κακόν. κάθαρσις πολλὴ κάτω τοὺς τοιούτους παραπληκτικῶς ἀπόλλυσιν. ἐκ κυνάγχης ὑπόξηρα πυκνὰ πτύελα βηχώδεα, πλευροῦ ὀδυνώδεα ὀλέθρια. καὶ τὰ ἐν τοῖσι ποτοῖσιν ὑποβήσσοντα, καὶ κατά

ποσις

ποσις βιαία πονηρόν. Τῶν πλευριτικῶν οἷσιν ἐν ἀρχῇ πάμπυοι αἱ πτύσιες, τριταῖοι θνήσκουσιν. ἢ πεμπταῖοι. φυγόντες δὲ ταύτας, μὴ πολὺ ῥᾷον ἔχοντες ζ΄. ἢ θ΄. ἢ ια΄, ἄρχονται ἐμπυεῖσθαι. Οἷσι δὲ ἄνω ὠτὸς θόρυβος, τῶν πλευριτικῶν καὶ ὁμοίως θερμαίνονται, καὶ κοιλίη ταράσσεται χολώδεα καὶ δυσώδεα, εἰκοσταῖοι, καὶ τεσσαρακοσταῖοι, κινδυνεύουσι. φυγόντες δὲ ταύτας σώζονται. Αἱ ξηραὶ τῶν πλευριτίδων καὶ ἄπτυστοι, χαλεπώταται. φοβεραὶ δὲ ἐν οἷσιν ἄνω τὰ ἀλγήματα. Αἱ ἄνευ σπασμάτων πλευρίτιδες χαλεπώτεραι τῶν μετὰ σπασμάτων. Τῶν πλευριτικῶν οἷσιν ἐν ἀρχῇ γλῶσσα χολώδης γίνεται, ἑβδομαῖοι κρίνονται. οἷσι δὲ γ΄ ἢ δ΄ περὶ τὴν θ΄. Πομφόλυγος δὲ ὑποπελίου γινομένης ἐπὶ τῆς γλώσσης ἐν ἀρχῇ, οἵη σιδήρου βαφέντος ἐν ἔλαιον, χαλεπωτέρη ἡ ἀπόλυσις γίνεται. καὶ ἡ μὲν κρίσις ἐν τὴν ιδ΄ ἀφικνεῖται. αἷμα δὲ ὡς ἐπὶ τὸ πολὺ πτύουσι. Πτύαλον δ᾽ ἐν τῇσι πλευρίτισι. τὸ μὲν ἀρχόμενον πεπαίνεσθαι καὶ πτύεσθαι, θάσσους ποιέει τὰς ἀπολύσιας. ὕστερον δὲ βραδυτέρας. Τὰ δὲ ἀλγήματα τοῖσι πλευριτικοῖσι, χρήσιμον κοιλίην μαλάσσεσθαι. πτύαλα χρωματίζεσθαι. ψόφους ἐν τῷ στήθει μὴ γίνεσθαι. τὸ οὖρον εὐοδεῖν. τὰ δὲ τούτων ἐναντία δυσχερέα. καὶ πτύαλον γλυκαινόμενον. Αἱ δὲ χολώδεες ἅμα καὶ αἱματώδεες πλευρίτιδες, ὡς ἐπὶ τὸ πολὺ κρίνονται ἐναταῖαι ἢ ἑνδεκαταῖαι. καὶ μάλιστα ὑγιάζονται. Οἷσι δὲ τῶν πλευριτικῶν ἐν ἀρχῇ μὲν οἱ πόνοι μαλθακοί. ε΄ δὲ ἢ ς΄ παροξύνονται, μᾶλλον πρὸς τὰς ιβ΄ ἀφικνέονται, καὶ οὐ πάνυ σώζονται. κινδυνεύουσι δὲ μάλιστα ἑβδομαῖοι. καὶ δωδεκαταῖοι. τὰς δὲ δὶς ἑπτὰ φυγόντες, σώζονται. Οἷσι τῶν πλευριτικῶν ψόφος τοῦ πτυάλου πολὺς ἐν τῷ στήθει. τὸ πρόσωπον κατηφές. καὶ ὀφθαλμὸς ἰκτεριώδης καὶ ἀχλυώδης, ἀπόλλυνται. Οἱ ἐκ πλευριτικοῦ ἔμπυοι γινόμενοι, ἐν τῇσι μ΄ ἡμέρῃσιν ἀναπτύουσιν ἀπὸ τῆς ῥήξιος. Πτύαλον δὲ χρὴ πᾶσι τοῖσι πλευριτικοῖσι, καὶ περιπλευμονικοῖσι εὐπετέως τε καὶ ταχέως ἀναπτύεσθαι. μεμῖχθαι τε τὸ ξανθὸν τῷ πτυάλῳ. τὸ δ᾽ ὕστερον πολλῷ τῆς ὀδύνης ἀναγόμενον ξανθὸν ἢ μὴ μεμιγμένον καὶ πολλὴν βῆχα παρέχον, πονηρόν. πονηρὸν δὲ πάντως καὶ τὸ ξανθὸν ἄκρητον. καὶ τὸ γλίσχρον καὶ λευκόν. καὶ τὸ στρογγύλον καὶ τὸ χλωρὸν σφόδρα. καὶ τὸ ἀφρῶδες. καὶ τὸ πελιῶδες καὶ ἰῶδες. χεῖρον δέ τι τὸ οὕτως ἄκρητον ὥστε μέλαν φαίνεσθαι. αἵματι δὲ μὴ πολλῷ συμμεμιγμένον. τὸ ξανθὸν ἐν ἀρχῇ μὲν σωτήριον. ἑβδομαίῳ δ᾽ ἢ παλαιοτέρῳ, ἧσσον ἀσφαλές. αἱματώδες δὲ λίην, ἢ πελιὸν εὐθέως ἐν ἀρχῇ κινδυνῶδες. πονηρὰ δὲ καὶ τὰ ἀφρώδεα καὶ τὰ ξανθὰ καὶ μέλανα. καὶ ἰώδεα. καὶ ἰξώδεα. καὶ ὅσα ταχέως χρωματίζεται. τὰ δὲ μυξώδεα καὶ λιγνυώδεα καὶ χρωματίζεται ταχέως, καὶ ἐστὶν ἀσφαλέστερα. τὰ δ᾽ ἐκ τῆς πέμπτης ἐς πέψιν χρωματιζόμενα, βελτίω. Πᾶν δὲ πτύαλον μὴ λῦον τὴν ὀδύνην πονηρόν, λῦον δὲ χρήσιμον. Ὅσοι δὲ μετὰ τοῦ χολώδεος πυώδες ἀνάγουσιν. ἢ χωρίς. ἢ μεμιγμένον ὡς ἐπὶ τὸ πολὺ τεσσαρεσκαιδεκαταῖοι θνήσκουσιν, ἢν μήτι κακὸν ἢ ἀγαθὸν ἐπιγένηται τῶν προγεγραμμένων. εἰ δὲ μὴ κατὰ λόγον, μάλιστα δὲ οἷσιν ἑβδομαίοισιν, ἄρχεται τὸ τοιοῦτον πτύαλον. Ἐστὶ δὲ ἀγαθὸν μὲν καὶ τούτοισι καὶ πᾶσι τοῖσι περιπλευμονικοῖσι φέρειν ῥηϊδίως τὸ νόσημα. τῆς ὀδύνης ἀπηλλάχθαι. τὸ πτύαλον εὐπετέως ἀνάγειν. εὔπνοον εἶναι. καὶ ἄδιψον. τὸ σῶμα ἅπαν ὁμαλῶς θερμαίνεσθαι. τὸ μαλθακὸν εἶναι καὶ πρὸς τοῖσιν ὕπνους. ἱδρῶτας. οὔρων διαχώρησιν χρηστὴν γίνεσθαι. κακὰ δὲ τἀναντία τούτων. εἰ μὲν οὖν πάντα προσγίνοιτο τῷ πτύσματι τούτῳ τὰ χρήσιμα, σώζοιτ᾽ ἄν. εἰ δὲ τὰ μὲν, τὰ δὲ μή. πλείους τῶν ιδ΄ βιώσας. τῶν δ᾽ ἐναντίων σημείων ἐπιγινομένων συντομώτερον.

Ὅσα δὲ τῶν ἀλγημάτων ἐν τοῖσι τόποισι τούτοισι μὴ παύσηται. μήτε πρὸς τὰς ἀναπτύσιας. μήτε πρὸς τὰς φλεβοτομίας τε καὶ διαίτας, ἐμπυοῦται. Οἷσι δὲ ἐκ περιπλευμονίης ἀποστάσιες παρ᾽ οὖς ἢ ἐς τὰ κάτω γίνεται. καὶ ἐκπυοῦσιν τε. καὶ ἐκσυριγγοῦνται. περιγίνονται δὲ οἷσιν ἂν ὅ, τε πυρετὸς καὶ ὁ πόνος παρακολουθῇ, καὶ τὸ πτύαλον χωρέῃ κατὰ λόγον. μὴ δὲ χολώδεες αἱ διαχωρήσιες εὔλυτοί τε καὶ ἄκρητοι γίνονται. μὴ δὲ οὖρον παχύ τε σφόδρα, καὶ πολλὴν ὑπόστασιν ἔχον. τά τε ἄλλα σωτηρίως ἔχοιεν. γίνονται δὲ αἱ μὲν ἐς τὰ κάτω οἷσιν ἂν περὶ ὑποχόνδρια φλεγμονὴ γίνεται. αἱ δὲ ἐς τὰ ἄνω, οἷσιν ἂν τὸ μὲν ὑποχόνδριον λαπαρόν τε καὶ ἀνώδυνον ᾖ. δύσπνοοι δέ τινα χρόνον γενόμενοι, παύσωνται χωρὶς προφάσιος. Αἱ δὲ ἐς τὰ σκέλεα τῶν προφασίων, ἐν τῇσιν ἐπικινδύνοισι περιπλευμονίῃσι, λυσιτελέες μὲν πᾶσαι. βέλτισται δὲ αἱ τοῦ πτυέλου πυώδεος ἀντὶ ξανθοῦ γινομένου. μὴ χωρέοντος δὲ τοῦ πτυέλου κατὰ λόγον, μὴ δὲ οὔρου χρηστὴν ὑπόστασιν ἔχοντος, κίνδυνος χωλωθῆναι τὸν ἄνθρωπον. ἢ

καὶ πολλὰ πρήγματα παρέχειν. Ην δὲ παλινδρομέωσιν αἱ ἀποστάσιες πυρετοῦ παρακολουθοῦντος καὶ τοῦ πτυάλου μὴ χωρέοντος, κίνδυνος θανεῖν καὶ παραφρονῆσαι. ὅσοι δὲ τῶν περιπλευμονικῶν μὴ ἀνεκαθάρθησαν ἐν τῇσι κυρίῃσιν ἡμέρῃσιν, ἀλλὰ παρακόψαντες διέφυγον τὰς τεσσαρεσκαίδεκα, κίνδυνος ἔμπυος γενέσθαι. Τῶν περιπλευμονιῶν αἱ ἐκ πλευριτικοῦ μεταστᾶσαι, τῶν ἐξ ἀρχῆς γινομένων, ἀσφαλέστεραι. Τῶν δὲ σωμάτων τὰ γεγυμνασμένα καὶ πυκνὰ θᾶσσον ὑπὸ τῶν πλευριτικῶν καὶ περιπλευμονικῶν ἀπόλλυται τῶν ἀγυμνάστων. Κόρυζας καὶ πταρμοὺς τοῖσι περὶ πλεύμονα καὶ προγίνεσθαι καὶ ἐπιγενέσθαι, πονηρόν. τοῖσι δὲ λοιποῖσι, πταρμὸς οὐκ ἀλυσιτελής. Τοῖσι περιπλευμονικοῖσιν οἷσι γλῶσσα πᾶσα λευκὴ καὶ τρηχεῖα γίνεται, ἀμφότερα φλεγμαίνει τὰ μέρεα τοῦ πλεύμονος. οἷσι δὲ τὸ ἥμισυ, ἐν καθ' ὃ φαίνεται. καὶ οἷσι μὲν πρὸς τὴν κλεῖδα ὁ πόνος γίνεται, ἡ ἄνω πτέρυξ τοῦ πλεύμονος, ἡ μία νοσέει. οἷσι δὲ πρὸς ἄμφω τὰς κληῗδας ὁ πόνος γίνεται, αἱ ἄνω πτέρυγες τοῦ πλεύμονος ἄμφω νοσέουσιν. οἷσι κατὰ μέσην τὴν πλευρὴν, ἡ μέση. οἷσι δὲ πρὸς τὴν διάστασιν ἡ κάτω. οἷσι δὲ πᾶν τὸ ἐν μέρος πονέουσι, πάντα τὰ κατὰ τοῦτο μέρος νοσέει. Ην μὲν οὖν σφόδρα φλεγμαίνουσιν αἱ ἀορταὶ, ὥστε προσκαθῆσθαι πρὸς τὸ πλευρὸν, παραλύονται τὸ κατὰ τοῦτο τὸ μέρος τοῦ σώματος, καὶ πελιώματα περὶ τὴν πλευρὴν ἔξω γίνεται. τούτους δὲ ἐκάλεον οἱ ἀρχαῖοι βλητούς. ἢν δὲ μὴ σφόδρα φλεγμαίνουσιν, ὥστε μὴ προσκαθῆσαι, ἀλγηδὼν μὲν γίνεται παρ' ὅλον, οὐ μὴν παραλύονταί γε, οὐδὲ πελιώματα ἴσχουσιν. Οἷσι δ' ἅπας ὁ πλεύμων φλεγμήνῃ μετὰ τῆς καρδίης ὥστε καὶ προσπεσεῖν πρὸς τὴν πλευρὴν, παραλύεται πᾶς ὁ νοσέων καὶ κεῖται ψυχρὸς ὁ νοσέων ἀναίσθητος. θνήσκει δὲ δευτεραῖος, ἢ τριταῖος. ἢν δὲ καὶ χωρὶς τῆς καρδίης συμβῇ, καὶ ἦσσον πλείονα χρόνον ζῶσιν. ἔνιοι δὲ καὶ διασώζονται. Τοῖς ἐμπύοις γινομένοισι, μάλιστα δὲ ἐκ πλευριτικοῦ καὶ περιπλευμονικοῦ, θέρμαι παρακολουθέουσι. τὴν μὲν ἡμέρην λεπταί. τὴν δὲ νύκτα, συντονώτεραι. καὶ πτύουσιν οὐδὲν ἄξιον λόγου. ἱδροῦσί τε περὶ τράχηλον καὶ κληῗδα. καὶ τοὺς μὲν ὀφθαλμοὺς κοιλαίνονται. τὰς δὲ γνάθους ἐρεύθονται. χεῖρον δὲ θερμαίνονται μὲν δακτύλους ἄκρους καὶ τραχύνονται. γρυποῦνται δὲ ὄνυχας καὶ καταψύχονται. περί τε τοὺς πόδας ἐπάρματα ἴσχουσι καὶ κατὰ τὸ σῶμα φλυκταινίδια, σιτίων τε ἀφίστανται. τὰ μὲν οὖν χρονίζοντα τῶν οἰδημάτων ἴσχει τὰ σημεῖα. ταῦτα δὲ συντόμως ῥηγνύμενα σημιοῦσθαι. τούτων τε τοῖσι ἐπιγινομένοισι. καὶ τοῖσι ἐν ἀρχῇ πόνοισι. ἅμα δὲ καὶ ἤν τι δυσπνοώτερος γίνηται. ῥήγνυται δὲ τὰ πλεῖστα τῶν ἐμπυημάτων. τὰ μὲν εἰκοσταῖα. τὰ δὲ τεσσαρακοσταῖα. τὰ δὲ πρὸς τὰ ἑξήκοντα. οἷσι μὲν οὖν ὁ πόνος ἐν ἀρχῇ ἔγκειται σύντονος καὶ δύσπνοια. καὶ βὴξ μετὰ πτυαλισμοῦ, πρὸς τὰς εἴκοσι ἢ συντομώτερον προσδέχου τὴν ῥῆξιν. οἷσι δὲ ἐλαφρότερα ταῦτα ἐστὶν, κατὰ λόγον. λογίζεσθαι δὲ τὸν χρόνον ἀφ' οὗ πρῶτον ἤλγησεν. ἢ ἐβαρύνθη. ἢ ἐπύρεξεν. ἢ εἴ ποτε ῥῖγος ἔλαβεν. προγίνεσθαι δὲ ἀνάγκη, καὶ πόνον. καὶ δύσπνοιαν. καὶ πτυαλισμὸν, πρὸ τῆς ῥήξιος. οἷσι μὲν οὖν ὅ, τε πυρετὸς εὐθέως ἀπογίνεται μετὰ τὴν ῥῆξιν. καὶ σιτίων ἐπιθυμέουσιν. καὶ τὸ πύον ἀνάγεται ῥηϊδίως λευκὸν ἐόν. καὶ ἄνοσμον. καὶ λεῖον. καὶ ὁμόχροον. καὶ ἀφλέγμαντον, κοιλίη τε μικρὰ συνεστηκότα ὑποχωρέει, ὡς ἐπὶ τὸ πουλὺ σώζονται συντόμως. οἷσι δὲ πυρετοί τε παρακολουθοῦσι καὶ δίψα καὶ ἀποσιτίη καὶ τὸ πύον πελιὸν, ἢ χλωρὸν, ἢ φλεγματῶδες, ἢ ἀφρῶδες. κοιλίη τε ἐφυγραίνεται, τελευτῶσι. οἷσι δὲ τὰ μὲν ἐπιγίνεται ἐκ τῶν προειρημένων. τὰ δὲ μὴ, τούτων οἱ μὲν ἀποθνήσκουσιν, οἱ δὲ πολλῷ χρόνῳ σώζονται. Οἱ δὲ μέλλοντες ἔμπυοι γίνεσθαι, πτύουσιν, τὸ μὲν πρῶτον ἁλμυρόν. εἶτα, γλυκύτερον. Οἷσι δ' ἐν πλεύμονι φύματα γίνεται, τὸ πύον ἀνάγουσιν, ἐν μ̄ ἡμέρας μετὰ τὴν ῥῆξιν. ταύτας δὲ ὑπερβάλλοντες ὡς τὰ πολλὰ, φθισικοὶ γίνονται. Επὶ πλευροῦ ἀλγήματι, στάξις ἀπὸ ῥινῶν αἵματος κακόν. Οἷσιν ἐμπύησιν ἐπιεικέστερον ἔχουσιν, δυσωδίαι τῶν πτυσμάτων παρακολουθοῦσιν, τούτους ὑποτροπὴ κτείνει. Οἱ ἐν πλευριτικοῖσιν ἀναπτύοντες πυώδεα. ὑπόχολα. στρογγύλα. ἢ πυώδεα ὕφαιμα, προεληλυθότος χρόνου ὀλέθριοι. ὀλέθριοι δὲ καὶ οἱ τὰ μέλανα λιγνυώδεα πτύοντες. ἢ οἷσιν ἀπὸ οἴνου μέλανος γίνεται πτύσματα. Οσοι αἷμα ἀφρῶδες πτύουσιν, πονέοντες ὑποχόνδριον δεξιὸν, ἀπὸ τοῦ ἥπατος πτύουσιν, καὶ οἱ πολλοὶ ἀπόλλυνται. οἷσι σειομένοισι τὸ πύον βορβορῶδες ἔρχεται καὶ δυσῶδες, ἀπόλλυνται ὡς τὰ πολλά. οἷσιν ἀπὸ τοῦ πύου, ἡ μήλη χρωματίζεται καθάπερ ἀπὸ πυρὸς, ἀπόλλυνται ὡς τὰ πολλά. Μετὰ

πλευροῦ ἀλγήματος. μὴ πλευριτικοῦ δὲ καὶ ταραχωδέων λεπτῶν ὑπόσκων, οὗτοι φρενιτικοὶ ἀποβαίνουσιν. Ἐν τοῖσι κατὰ πλεύμονα αἱ λίαν ἐξέρυθροι ἀποστάξιες, πονηρόν.

Μετὰ βράγχου πτύελα γλίσχρα ἁλμυρώδεα, κακόν. ἢν δέ τι καὶ ἐπαίρηται κατὰ στῆθος, ἐπὶ τούτοισι κακόν. τὰ ἐς τράχηλον ἀλγήματα τούτων ἰσχνανθέντων, ὀλέθριον. Βράγχος μετὰ βηχὸς καὶ κοιλίης ὑγρῆς πῦον ἀναγάγει. Οἷσιν ἐν περιπλευμονίῃ οὖρα παχέα ἐν ἀρχῇ, εἶτα πρὸ τῆς τετράδος λεπτύνεται, θανάσιμον. Οἱ ἐν ξηροῖσι περιπλευμονικοῖσιν ὀλίγα ὑπέπονα ἀνάγοντες, φοβεροί. Τὰ ἐν τοῖσι στήθεσιν ἐρυθήματα ὑπόπλατεα γίνεται, τοῖς τοιούτοισιν ὀλέθρια. Πλευροῦ ἐν πτύσει χολώδει ἀλόγως ἀφανισθὲν ἐξίστανται. Οἱ δ' ἐμπύησιν πυρετοὶ διαλείποντες, ἐφιδροῦντες οἱ πολλοί εἰσι. Τοῖσιν ἐμπύοισι κώφωσις γινομένη, αἱματώδεα διαχώρησιν σημαίνει. τούτοισι πρὸς τὴν τελευτὴν μέλανα διαχωρεῖ. Πλευροῦ ἄλγημα* μετὰ πυρετοῦ χρονίου σημαίνει πῦον ἀνάξειν.

Οἱ φρικώδεες πυκνὰ ἐς ἐμποίησιν ἔρχονται, ἀτὰρ καὶ πυρετὸς τὸν τοιοῦτον ἄγει ἐς ἐμπύησιν. Οἷσιν ἐκ πλευροῦ ἀλγήματος ἀσιτίαι παρακολουθοῦσιν ὑπό τι καρδιαλγικοὶ ἱδρώδεες. Ἔχοντος δὲ προσώπου ἄνθη καὶ κοιλίης ὑγροτέρης, ἐκπυήματα περὶ πλεύμονα ἴσχουσι. Τὰ ὀρθοπνοϊκὰ ποιεῖ, ὑδρωπιώδεα σκληρά. Τὰ σπάσματα μὲν πάντα ὀχληρὰ γίνεται καὶ πόνους τε ἐν ἀρχῇ συντόνους παρέχοι, καὶ ἐξυστέρου ἐνίους ὑπομιμνήσκει. δυσκολώτατα δὲ τὰ περὶ θώρηκα. μάλιστα δὲ κινδυνεύουσιν. Οἷς ἔμετος αἵματος, πυρετὸς πολλύς. καὶ πόνος, περὶ μαζὸν καὶ θώρηκα καὶ μετάφρενον. οἷσι γὰρ γίνεται πάντα ταῦτα, συντόμως θνήσκουσιν. οἷσι δὲ μὴ πάντα μὴ δὲ σφόδρα, βραδύτερον. φλεγμαίνει δὲ τὸ μακρότατον ἡμέρας τεσσαρεσκαίδεκα. Τοῖσιν αἷμα πτύουσιν ἀπυρέτοις εἶναι συμφέρει, καὶ βήσσειν. καὶ πονέειν ἐλαφρῶς. καὶ τὸ πτύαλον λεπτύνεσθαι πρὸς τὰς δὶς ἑπτά. πυρέσσειν δὲ καὶ βήσσειν καὶ πονέειν συντόνως. καὶ αἷμα πρόσφατον αἰεὶ πτύειν, ἀσύμφορον. Ὅσοισι τὸ πλευρὸν μετέωρον ἢ θερμότερον ὅταν ἐγκεκλιμένοισιν ἐπὶ θάτερον, βάρος ἐξηρτῆσθαι δοκέει, τούτοισι τὸ πῦον ἐκ τοῦ ἑνὸς μέρεος ἐστίν. Τοῖσιν ἐμπύοισιν τοῦ πλεύμονα περὶ κοιλίην πῦον ὑποχωρέειν, θανάσιμον. Ὅσοι τρωθέντες ἐς τὸν θώρακα τὸ μὲν ἐκτὸς τοῦ τρώματος ὑγιάσθησαν. τὸ δ' ἐντὸς μή, κινδυνεύουσιν ἔμπυοι γενέσθαι. ὅσοις δ' αὖ ἀσθενὴς ἔνδοθεν ἡ οὐλὴ γένηται, ῥηιδίως ἀναρρήγνυται. Ἀπόλλυνται δὲ ἐκ μὲν τῶν περιπλευμονικῶν ἐμπυημάτων, οἱ γεραίτεροι μᾶλλον. ἐκ δὲ τῶν λοιπῶν, οἱ νεώτεροι. Τῶν ἐμπύων ὅσοι σειομένοισιν ἀπὸ τῶν ὤμων πολλὺς γίνεται ψόφος, ἔλασσον ἔχουσι πῦον ἢ ὅσοισιν ὀλίγον δυσπνοωτέροισι ἐοῦσιν καὶ εὐχροωτέροισιν. ὅσοι δὲ ψόφος μὲν μὴ δὲ εἷς ἐγγίνεται, δύσπνοια δὲ ἰσχυρὴ καὶ ὄνυχες πελιοί, πλήρεες οὗτοι εἰσὶν πύου καὶ ὀλέθριοι. Ὅσοι ἀφρώδες αἷμα ἐμέουσι πόνου μὴ ἐόντος κάτω τοῦ διαφράγματος, ἀπὸ τοῦ πλεύμονος ἐμέουσι.

Καὶ οἷσι μὲν ἡ μεγάλη φλὲψ ἐν αὐτῷ ῥήγνυται, πολύ τε ἐμέουσι καὶ εἰσὶν ἐπικίνδυνοι. οἷσι δὲ ἡ ἐλάσσων, ἔλασσόν τε ἀνάγουσιν καὶ εἰσὶν ἀσφαλέστεροι. Τῶν φθισικῶν οἷσιν ἐπὶ τοῦ πυρὸς ὄζει τὸ πτύαλον κνίσσῃ βαρὺ καὶ αἱ τρίχες ἐκ τῆς κεφαλῆς ῥέουσιν, ἀπόλλυνται.

Τῶν φθισικῶν οἷσιν ἐπὶ θαλάσσαν πτύουσιν ἐς τὸν πυθμένα βαδίζει τὸ πῦον, ὀλέθριον συντόμως. ἔστω δὲ ἐν χαλκῷ ἡ θάλασσα. Ὅσοισι τῶν φθισικῶν αἱ τρίχες ἐκ τῆς κεφαλῆς ῥέουσιν ὑπὸ διαῤῥοίης, ἀπόλλυνται. Καὶ ὅσοισι φθισικοῖσιν ἐπιγίνονται διαῤῥοίαι, θνήσκουσιν.

Αἱ ἐν φθινώδεσιν ἐπισχέσιες πτυάλων ἐξιστᾶσι ληρωδέως, αἱμοῤῥοίδα τούτοισιν ἐλπὶς ἐπιφανῆναι. Φθίσιες ἐπικινδυνώταται, αἵ τε ἀπὸ ῥήξιος φλεβῶν τῶν παχέων. καὶ ἀπὸ κατάῤῥου τοῦ ἀπὸ κεφαλῆς. Τῶν δὲ ἡλικιῶν ἐπικινδυνώταται πρὸς φθίσιν ἀπὸ ιη ἐτέων, μέχρι ε καὶ λ. Τὰ κνησμώδεα σώματα μετὰ κοιλίης στάσιν ἐν φθισικοῖσι, κακόν. Ἐπὶ τῇσι φθινώδεσιν ἕξεσι μετὰ πυρετοῦ ἐς οὖλα καὶ ὀδόντας ῥεύματα ἐπιφαινόμενα, κακόν. Ἐπὶ πᾶσιν ὑποχόνδρια μετέωρα, κακόν. κάκιστον δὲ ἐπὶ τοῖσι φθισικοῖσι. * Τῶν μακρῶν ἐπὶ τοῖσι τετηκόσιν ὀλεθρίοισιν ἔνιοι πρὸ τῆς τελευτῆς ἐπιῤῥιγοῦσι. Τὰ ἀμυχώδεα ἐξανθήσματα, φθίσιν ἕξιος σημαίνει. Οἱ δύσπνοοι ξηρώσει πολλὰ ἄπεπτα ἀνάγοντες ἐν φθίσει, ὀλέθριοι. Οἷσιν ἡπατικοῖσι πολὺ πτύαλον αἱματῶδες. εἴτε ἐνυπόσαπρον. εἴτε χολῶδες ἄκρητον, ὀλέθριον εὐθέως. Ἐφ' ἡπατικοῦ τῆξις αἷμα βράγχῳ, κακόν, ἄλλως τε ἢν ὑποβήσσῃ.

Οἱ καθ' ἧπαρ ὀδυνώδεες. καρδιαλγικοί. καρώδεες. ῥιγώδεες. κοιλίαι ταραχώδεες. λε-

πλοι ἀπόσιτοι. ἐφιδροῦντες πολλῷ, πυώδεα κατὰ κοιλίην περιέχονται. Τοῖσιν ἧπαρ ἐξαπίνης περιοδυνοῦσι, πυρετὸς ἐπιγινόμενος λύει. Ὅσοι δὲ ἀφρῶδες αἷμα πτύουσι πονέοντες ὑποχόνδριον δεξιὸν, ἀπὸ τοῦ ἥπατος πτύουσιν, καὶ θνήσκουσιν. Οἷσιν ἧπαρ καυθεῖσιν οἷον ἀμόργης ἔρχεται, θανάσιμον. Οἱ δὲ ὕδρωπες, οἱ ἐκ τῶν ὀξέων νοσημάτων ἐπίπονοι γίνονται καὶ ὀλέθριοι. ἄρχονται δὲ οἱ πλεῖστοι μὲν ἀπὸ τῶν κενεώνων. οἱ δὲ καὶ ἀπὸ τοῦ ἥπατος. τοῖσι μὲν οὖν ἀπὸ τῶν κενεώνων ἀρχομένοισιν οἱ πόδες οἰδέουσι καὶ διάρροιαι πολυχρόνιοι παρακολουθοῦσιν οὐ λαπάσσουσαι κοιλίην. οὐδὲ τὰς ὀδύνας λύουσαι τὰς ἐξ ὀσφύος καὶ κενεώνων. ὅσοι δὲ ἀπὸ τοῦ ἥπατος, βὴξ ἔτι ἐτύμως ἐγγίνεται. καὶ οἱ πόδες οἰδέουσι. καὶ ἡ κοιλίη σκληρὰ διαδιδῶσι. καὶ πρὸς ἀνάγκην οἰδήματά τε περὶ αὐτὴν γίνεται. τὰ μὲν ἐπὶ δεξιά. τὰ δ᾽ ἐπ᾽ ἀριστερά. καὶ πάλιν καταπαύεται. Ἐπὶ τοῖσι ξηροῖσιν ὑδρωπιώδεσι τὰ στραγγουρικὰ, μοχθηρόν. φλαῦρα δὲ καὶ τὰ μικρὰς ὑποστάσιας ἔχοντα. Τοῖσιν ὑδρωπιώδεσιν ἐπιλαμπτικὰ ἐπιγινόμενα, ὀλέθριον, ἄλλων τε σημείων μοχθηρῶν καὶ κοιλίας ἐξυγραίνουσιν. Ἐν τοῖσι χολώδεσι κοιλίη ταραχώδης διαδιδοῦσα σμικρὰ γονώδεα, μυξώδεα, καὶ πόνον περὶ ἦτρον ἐμποιέοντα, καὶ οὖρα οὐκ εὐλύτως ἰόντα εἰς ὕδρωπα ἀποτελευτᾷ ἐκ τῶν τοιούτων. Ὑδεριῶντι πυρετώδει, οὖρον μακρὸν καὶ τεταραγμένον ὀλέθριον. Ἐπὶ δὲ ὕδρωπι ἀρχομένῳ διάρροια γινομένη ὑδατώδης χωρὶς ἀπεψίης, λύει τὸ νόσημα. Τοῖσι ξηροῖσιν ὑδρωπιώδεσι προσημαίνουσι στρόφοι περὶ τὸ λεπτὸν ἐμπίπτοντες, κακόν. Τὰ δὲ ὑδρωπικῶν ἐπιλημπτικὰ, ὀλέθρια. Ὕδερος πρὸς θεραπείην ἐνδιδοὺς παλινδρομέων, ἀνέλπιστον. Τοῖσιν ὑδρωπιώδεσι κατὰ φλέβας εἰς κοιλίην ῥαγέντος τοῦ ὕδατος λύσις. Δυσεντερίη ἀκαίρως ἐπιστᾶσα, ἀπόστασιν, ἐν πλευροῖσιν. ἢ σπλάγχνοισιν. ἢ ἐν ἄρθροισιν ποιέει. ἆρα, ἡ μὲν χολώδης ἐν ἄρθροισιν, ἡ δὲ αἱματώδης, ἐν πλευροῖσιν. ἢ σπλάγχνοισιν;

Δυσεντερικοῖσιν ἔμετος χολώδης ἐν ἀρχῇ, κακόν. Οἷσιν ἐκ δυσεντερίης ὀξείης τὰ πυώδεα ἥκει τὸ ὑγρὸν τὸ δ᾽ ἐφίσταται ἔκλευκον ἔσται καὶ πολύ. Τὰ δυσεντεριώδεα. ὑπέρυθρα. ἰλυώδεα. λάβρα διαχωρήματα ἐπὶ φλογώδεσιν, ἐξερύθροισι χρώμασι λυόμενα, ἐλπὶς ἐκμανῆναι. Δυσεντερίη σπληνώδεσι μὴ μακρῆσι, χρήσιμον. μακρὴ δὲ πονηρόν, ληγούσης γὰρ εἰ ὕδρωπες ἢ λειεντερίαι γίνονται, θανάσιμον. Ἐν λειεντερικοῖσι μετὰ θηρίων ὀδύναι στρόφῳ λυόμεναι, τὰ περὶ ἄρθρα μετεωρίζουσιν. ἐκ τοιούτων λέπια ὑπέρυθρα φλυκταινούμενα. ἐφιδρώσαντες οὗτοι διαφοινίσσονται οἷα μάστιξιν. Οἱ ἐν λειεντεριώδεσι μακροῖσι ἅμα θηρίοισι στροφώδεσιν, ὀδυνώδεσιν, λυομένων ἐπιπονέουσι, τὸ ἐπιρριγοῦν τούτοισι κακόν. Λειεντερικὰ μετὰ δυσπνοίης καὶ πλευροῦ τῇ κινήσει εἰς φθίσιν ἀποτελευτᾷ. Εἰλεώδεσιν ἔμετος, καὶ κώφωσις κακόν. Κύστιες δὲ σκληραί τε καὶ ἐπώδυνοι πάντων μὲν κακὸν, κάκιστον δὲ πυρετῷ συνεχεῖ. καὶ γὰρ οἱ ἀπ᾽ αὐτέων πόνοι, ἱκανοὶ ἀνελεῖν. καὶ κοιλίαι τουτέοισιν, οὐ πάνυ διαχωρέουσιν. λύει δὲ τούτους οὖρον πυῶδες ἐλθὸν, λευκὴν καὶ λείην ἔχον ὑπόστασιν. μὴ λυομένων δὲ τούτων, μὴ δὲ τῆς κύστιος λαπασσομένης ἐν τῇσι πρώτῃσι περιόδοισι ἐλπὶς ἀπολέσθαι τὸν νοσέοντα. μάλιστα δὲ γίνεται τοῦτο, τοῖσιν ἀπὸ ἑπτὰ ἐτέων μέχρι πεντεκαίδεκα. Οἱ λιθιῶντες σχηματισθέντες, ὥστε τὸν λίθον μὴ προσπίπτειν πρὸς τὸν οὐρητῆρα, ῥηιδίως οὐρέουσιν. Οἷσι δὲ φῦμα περὶ τὴν κύστιν ἐστὶ τὸ περιέχον τὴν συνουσίην, παντοίως σχηματισθέντες, ὀχλέονται. λύσις δὲ τούτου γίνεται, πύου ῥαγέντος. Οἷσι λανθάνει τὸ οὖρον προσπίπτον καὶ τὸ αἰδοῖον, ἕλκονται ἀνέλπιστοι. Ἐπὶ στραγγουρίῃ εἰλεὸς ἐπιγινόμενος, ἑβδομαίους ἀπόλλυσιν, ἢν μὴ πυρετοῦ ἐπιγινομένου, ἀθρόον οὖρον ἔλθῃ. Νάρκαι καὶ ἀναισθησίαι γινόμεναι παρὰ τὸ ἔθος, ἀποπληκτικῶν συμβησομένων σημεῖον. Ὅσοι ἐκ τρώματος ἀκρατέες γίνονται τοῦ σώματος, πυρετοῦ μὲν ἐπιγινομένου χωρὶς ῥίγεος ὑγιάζονται, μὴ γινομένου δὲ ἀποπληκτικοὶ γίνονται τὰ δεξιὰ, ἢ τὰ ἀριστερά. Ἀποπληκτικοῖσιν αἱμορροΐδες ἐπιγινόμεναι, χρήσιμαι. ψύξιες δὲ καὶ ναρκώσιες, πονηρόν.

Ἐν τοῖσιν ἀποπληκτικοῖσιν ἐπὶ τῇ δυσφορίῃ τοῦ πνεύματος ἱδρὼς ἐπιγινόμενος, θανάσιμος. ἐν αὐτοῖσι δὲ πάλιν τούτοισιν ἢν πυρετὸς ἐπιγένηται λύσις. Τὰ ἐξαίφνης ἀποπληκτικὰ λελυμένως ἐπιπυρετήναντα χρόνῳ ὀλέθρια. Οἷσιν ἔκλυτος ἀρρωστίης εἰς ὕστερον περιίσταται, τούτοισι κοιλίαι ξηραὶ σπυραθώδεες ἔρχονται μετὰ περιτήξιος μυξώδεος καὶ οὖρα οὐ καλά. Διεστάσιες τε περὶ ὑποχόνδρια καὶ πόνοι. καὶ ἐπάρματα περὶ κοιλίην. καὶ πόνοι περὶ κενεῶνας. καὶ περὶ τοὺς ῥαχιαίους μύας προσπίπτουσι, πυρετοί τε καὶ δίψαι καὶ βῆχες ξηραὶ παρακολουθοῦσιν. καὶ

δύσπνοια

Ἀλυσάνοια περὶ τὰς κινήσιας. καὶ σκελέων βαρύτης. σιτίων τε ἀφεστᾶσι. καὶ προσεντεταμένοι μακρὰ πληροῦνται. Τοὺς λευκοφλεγματοῦντας, διάρροια παύει. αἱ μετὰ σιγῆς ἀθυμίαι, καὶ ἀπανθρωπίαι ἐπιεικῶς αὐτοῦ κατεργαστικαί. Οἷσι φόβος μετὰ καταψύξιος δυσίστανται πυρετοὶ μεθ᾽ ἱδρώτων καὶ ὕπνοι οἱ πάναυδει ταῦτα λύουσιν. Ἐκ μανίης δὲ βράγχον μετὰ βηχὸς ἀπόστασις.

Ἐν τοῖσι μανικώδεσι σπασμὸς προσγινόμενος, ἀμαύρωσιν ἴσχει. αἱ σιγῶσαι ἐκστάσιες οὐχ ἡσυχάζουσαι, ὄμμασι περιβλέπουσαι, πνεῦμα ἔξω ἀναφέρουσαι, ὀλέθριαι ποιοῦσαι δὲ παραπληκτικὰ χρόνια, ἀτὰρ καὶ ἐκμαίνονται οὗτοι. Οἷσι δὲ ὑπὸ ταραχῇ κοιλίης οὕτω παροξύνονται, περὶ κρίσιν μέλανα διέρχεται. Οἷσιν ὑγιαίνουσι χειμῶνος ἐόντος περὶ τὴν ὀσφὺν ψυχρότης καὶ βάρος ἀπὸ βραχείης προφάσιος καὶ κοιλίης ἐπίστασις τῆς ἄνω καλῶς ὑπηρετούσης, ἰσχίας ἢ νεφρῶν πόνος ἢ στραγγουρίης τάχα ἂν συμβαίη. Οἷσι τὰ κάτω κακοῦνται κινησμῶν ἐγγινομένων ἔμπροσθεν ἰσχυρῶν, τούτοισιν ἀμμώδες οὖρον γίνεται καὶ ἐφίσταται. τοῖσι δὲ ὀλεθρίοισιν αὐτῶν ἡ διάνοια ἀποναρκοῦται. Οἱ τὰ ἄρθρα φλυκταινούμενοι ὑπέρυθροι, σὺν ἐπιπολαίοις ἐπιρριγώσαντες, οὗτοι κοιλίας καὶ βουβῶνας διαφοινίσσονται οἷα πληγῆσιν ἐπωδύνοισι καὶ ἀποθνήσκουσιν. Τὰ ἰκτερώδεα οὐ πάνυ τι ἐπιπαθαινόμενα. οἷσι λύγγες. κοιλίαι καταρρήγνυνται. ἴσως δὲ καὶ ἐπίστασις, οὗτοι ἐκχλοιοῦνται. Τὰ κατὰ πλευρὸν ἀλγήματα ἐν πυρετοῖσιν ἰσχνῶς ἑστηκότα ἄσημα, φλεβοτομίη βλάπτοι κ᾽ ἢν ἀπόσιτος ἦ. κ᾽ ἢν ὑποχόνδριον μετέωρον καὶ ἐν καταψύξει. οὐκ ἀπύρους νενωθρευμένους αἵματος ἀφαίρεσις βλάπτει. καὶ δοκέοντας δὲ ἐπιεικέστερον ἔχειν, οὗτοι θνήσκουσιν. Κεφαλὴν καὶ πόδας καὶ χεῖρας κατεψύχθαι, κοιλίης καὶ πλευρῶν θερμῶν ἐόντων, κακόν. βέλτιστον δὲ πᾶν ὁμοίως τὸ σῶμα θερμόν τε εἶναι καὶ μαλθακόν. Στρέφεσθαι δὲ ῥηιδίως χρὴ τὸν νοσέοντα καὶ ἐν τοῖσι μετεωρισμοῖσιν ἐλαφρὸν εἶναι. Βαρύτης δὲ ὅλου τοῦ σώματος καὶ χειρῶν καὶ ποδῶν, πονηρόν. εἰ δὲ καὶ πρὸς τῷ βάρει πελιοὶ γίγνονται οἱ δάκτυλοι καὶ οἱ ὄνυχες, πλησίον ὁ θάνατος. μελαινόμενα δὲ παντελῶς, ἧσσον ὀλέθρια τῶν πελιῶν, ἀλλὰ τὰ λοιπὰ θεωρεῖν. ἢν γὰρ εὐπετέως φέρει τὸ νόσημα καὶ ἄλλο τι τῶν χρησίμων ὑποδεικνύει, τὸ νόσημα ἐς ἀπόστασιν τρέπεται. καὶ τὰ μελανθέντα τοῦ σώματος ἀποπίπτει. Ὄρχιες καὶ αἰδοῖον ἀνεσπασμένα, πονηρὸν σημαίνει. Φῦσαν δὲ ἄνευ ψόφου πορδήσιος διεξιέναι βέλτιστον. κρέσσον δὲ καὶ σὺν ψόφῳ διελθεῖν ἢ αὐτοῦ ἀνειλέεσθαι. καί τοι τὸν τοιοῦτον τρόπον διελθοῦσα, σημαίνει πονηρὸν καὶ παραφροσύνην, ἢν μὴ ἑκὼν οὕτω ποιέηται τὴν ἄφεσιν τῆς φύσης. Ἕλκος πελιὸν καὶ ξηρὸν ἢ χλωρὸν γινόμενον, θανάσιμον. ἀνάκλισις βελτίστη μέν, ὡς εἴθισταί τις ὑγιαίνων. ὕπτιον δὲ κεῖσθαι, τὰ σκέλεα ἐκτεταμένον, οὐκ ἀστεῖον. εἰ δὲ καὶ καταρρέοι προπετὴς ἐπὶ πόδας, χεῖρον. θανάσιμον δὲ καὶ κεχηνέναι καὶ καθεύδειν ἀεί. καὶ τὰ σκέλεα ὕπτιος κείμενος συγκεκαμμένα τε εἶναι ἰσχυρῶς καὶ διαπεπλεγμένα. τὸ δ᾽ ἐπὶ γαστέρα κεῖσθαι οἷσι μὴ σύνηθες, παραφροσύνην σημαίνει, καὶ πόνους περὶ κοιλίην. Πόδας δὲ γυμνοὺς ἔχειν καὶ χεῖρας μὴ θερμὸν ἐόντα ἰσχυρῶς, καὶ τὰ σκέλεα διερρίφθαι, κακόν. ἀλυσμὸν γὰρ σημαίνει. ἀνακαθίζειν δὲ βούλεσθαι, κακὸν ἐν τοῖσιν ὀξέσι. κάκιστον δὲ ἐν περιπλευμονικοῖσι καὶ πλευριτικοῖσι. Καθεύδειν δὲ χρὴ τὴν νύκτα. τῆς δὲ ἡμέρης ἐγρηγορέναι. τὸ δ᾽ ἐναντίον, πονηρόν. ἥκιστα δ᾽ ἂν βλάπτοι τὸ πρωὶ κοιμώμενος ἕως τοῦ τρίτου τῆς ἡμέρης. οἱ δὲ μετὰ ταῦτα ὕπνοι, πονηροί. κάκιστον δὲ μὴ καθεύδειν, μήτε ἡμέρης μήτε νυκτός. ἢ γὰρ ὑπὸ ὀδύνης τε καὶ πόνου ἀγρυπνοίη ἄν, ἢ παραφρονήσει ἀπὸ τούτου τοῦ σημείου. Ὁκόσοισι κρόταφος τάμνεται, σπασμὸς ἐκ τοῦ ἐναντίου τῆς τομῆς ἐπιγίνεται. Ὁκόσοισιν ἂν ὁ ἐγκέφαλος σεισθῇ καὶ πονέσει πληγεῖσιν, ἢ ἄλλως πίπτουσιν, παραχρῆμα ἄφωνοι γίνονται. καὶ οὔτε ὁρῶσιν. οὔτε ἀκούουσιν. καὶ τὰ πολλὰ θνήσκουσιν. Οἷς ὁ ἐγκέφαλος τιτρώσκεται. πυρετὸς ὡς ἐπὶ τὸ πολὺ καὶ χολῆς ἔμετος ἐπιγίνεται καὶ ἀποπληξίη σώματος καὶ ὀλέθριοι οἱ τοιοῦτοι. Τῶν ῥηγνυμένων κεφαλῆς ὀστέων χαλεπώτατον γνῶναι τὰ κατὰ τὰς ῥαφὰς ῥηγνύμενα. ῥήγνυνται δὲ ὑπὸ τῶν βαρέων καὶ στρογγύλων βελέων μάλιστα. καὶ ἐκ τῶν ἐξ ὑπεναντίου φερομένων καὶ μὴ ἐξ ἰσοπέδου. τὰ δ᾽ ἀπορεύμενα πότερον ἔρρωγεν ἢ οὔ, κρίνειν δεῖ, διαμασᾶσθαι διδόντα ἐφ᾽ ἑκατέρην τὴν σιαγόνα, ἀνθέρικον ἢ νάρθηκα. καὶ προσέχειν κελεύειν εἴ τι ψοφεῖν αὐτῷ δοκέει τὸ ὀστέον. τὰ γὰρ κατεηγότα δοκέει ψοφεῖν. προϊόντος δὲ τοῦ χρόνου τὰ ἐρρωγότα μετὰ ζ. τὰ δὲ ιδ. τὰ δὲ καὶ ἄλλως διασημαίνει. τῆς τε γὰρ σαρκὸς ἀπόστασις ἀπὸ τοῦ ὀστέου γίνεται. καὶ τὸ ὀστέον πελιὸν καὶ πόνοι, ἰχῶρος ὑπορρεόντος. γίνεται δὲ ταῦτα ἤδη δυσβοήθητα. Ὁκόσοισιν ἐπίπλοον ἐκπίπτει, ἀνάγκη ἀποσαπῆναι. Ἢν ἔντερον δια-

κοινωνῇ τῶν λεπτῶν, οὐ συμφύεται. Νεῦρον διακοπὲν ἢ γνάθου τὸ λεπτὸν, ἢ ἀκροποσθίη, οὐ συμφύεται. Ὅτι ἂν ἐν τῷ σώματι ὀστέον ἀποκοπῇ, ἢ χόνδρος, οὐκ αὔξεται. Ἐπὶ τρώματι σπασμὸς ἐπιγενόμενος, κακόν. Ἐπὶ τρώματι χολῆς ἔμετος ἐπιγενόμενος, κακόν. καὶ μάλιστα ἐπὶ τοῖσι κεφαλικοῖσι. Νεῦρα ὅσα παχέα τιτρώσκεται, ὡς ἐπὶ τὸ πολὺ χωλοῦνται. καὶ λοξὰ τιτρωσκόμενα. μάλιστα καὶ τῶν μυῶν αἱ κεφαλαὶ, μάλιστα τῶν ἐν μηροῖσιν. Ἀποθνήσκουσι δὲ μάλιστα ἐκ τῶν τρωμάτων ἤν τις ἐγκέφαλον τρωθῇ, ἢ ῥαχίτην μυελὸν, ἢ ἧπαρ, ἢ φρένας, ἢ καρδίην, ἢ κύστιν, ἢ φλέβα τῶν παχειῶν. θνήσκει δὲ κἂν ἢν τὸ ἀρτηρίην καὶ πλεύμονα μεγάλαι σφόδρα αἱ πληγαὶ γίνωνται ὥς τε τοῦ πλεύμονος πληγῆς ἔλασσον προσερχόμενον πνεῦμα κατὰ στόμα γίνεσθαι ἢ τὸ ἐκπῖπτον ἐκ τοῦ τρώματος. θνήσκουσι δὲ καὶ οἱ τὸ τὰ ἐντὸς νεῦρα, ἤν τέ τι τῶν λεπτῶν τιτρωθῶσιν, ἤν τε τῶν παχέων ἢν ἐπίκαρσις ἡ πληγὴ γένηται καὶ μεγάλη. εἰ δὲ μικρὴ καὶ εὐθεῖα, περιγίνονται ἔνιοι. ἥκιστα δὲ θνήσκουσιν οἱ τιτρωσκόμενοι ἐν οἷσι ταῦτα μὴ ἔνι τῶν τοῦ σώματος μερῶν ἢ τούτων προσωτάτω. Τὴν δὲ ὄψιν ἀμαυροῦνται ἐν τοῖσι τρώμασιν τοῖσιν τὸ παρὰ τὴν ὀφρύν. καὶ μικρὸν ἐπάνω. ὅσῳ δ' ἂν τὸ τρῶμα νεώτερον ᾖ, μᾶλλον βλέπουσιν. χρονιζομένης δὲ τῆς οὐλῆς, ἀμαυροῦσθαι μᾶλλον συμπίπτει. αἱ σύριγγες χαλεπώταταί εἰσιν ὅσαι ἐν τοῖσι χονδρώδεσιν τε καὶ ἀσάρκοισι τόποισι πεφύκασιν. εἰσί τε κοῖλαι μολοῦνται καὶ ἰχωρορροοῦσιν αἰεί, σαρκίον τε ἐπὶ τῷ στόματι ἔπεστιν αὐταῖς. εὐθεραπευτότεραι δὲ ὅσαι ἐν τοῖσι μαλθακοῖσι τόποισι καὶ σαρκώδεσι τε καὶ ἀνεύροισι πεφύκασι. τὰ δὲ πρὸ ἥβης οὐ γίνεται νοσήματα περιπλευμονικά. περιπλευριτικά, ποδαγρικά. νεφρῖτις. κιρσοὶ περὶ κνήμην. ῥοῦς αἱματηρός. καρκῖνος μὴ σύμφυτος. λεῦκαι μὴ συγγενής. καταῤῥοῦς νωτιαῖος. αἱμοῤῥοῒς μὴ σύμφυτος. χορδαψός. τούτων τῶν νοσημάτων πρὸ ἥβης οὐχὶ προσδέχεσθαι, γεννησομένων οὐδέν. ἀπὸ ιδ΄ μέχρι β΄ καὶ μ΄ ἐτέων πάμφορος ἡ φύσις νοσημάτων ἤδη τοῦ σώματος γίνεται. πάλιν δὲ ἀπὸ ταύτης τῆς ἡλικίης μέχρι ξγ΄ ἐτέων οὐ γίνονται χοιράδες οὐδὲ λίθος ἐν κύστει ἢν μὴ τύχῃ πρότερον ὑπάρχων. οὐδὲ καταῤῥοῦς νωτιαῖος. οὐδὲ νεφρῖτις. ἢν μὴ προκατειλήφωσιν ἐξ ἄλλης ἡλικίης. οὐδὲ αἱμοῤῥοΐδες. οὐδὲ ῥοῦς αἱματηρὸς, ἢν μὴ πρότερον τύχῃ γεγενημένος. ταῦτα μέχρι γήρως ἀπέχεται νοσήματα. Ἐν γυναικείοισι τὰ πρὸ τῶν τόκων ἰόντα ὑδατώδεα, κακόν. στόματα ἀφθώδεα, τῇσιν ὑποφόροισιν οὐ χρηστόν. ἆρα καὶ κοιλίαι καθυγραίνονται; Ἐκ κενεώνων μεθιστάμενα ἀλγήματα ἐς τὸ λεπτὸν, ἐν μακροῖσιν ἐκ διαφθορῆς καὶ μὴ λίην καθαρθείσης, ὀλέθριον. τὰ ἐκ τόκου καὶ διαφθορῆς πολλὰ ὀξέως ὁρμήσαντα, ἐπιστάντα, δύσκολα. ῥῖγος ταύτῃσι πολέμιον καὶ κοιλίης ταραχή. ἄλλως τε καὶ ὑποχόνδριον ὀδυνώδεες τῇσι ὑποφόροισι. Κεφαλαλγικὰ καρώδεα μετὰ βάρεος γινόμενα καὶ σπασμοῦ, φλαῦρα ὡς ἐπὶ τὸ πολύ. Ἧσιν ἐκ γυναικείων περὶ τὸ ἄνω καὶ τὸ λεπτὸν πόνοι σώζονται κοιλίας καθυγραίνουσιν, ὑπασώδεες ταύτῃσι περὶ κρίσιν καταφοραὶ καὶ ἀδυνάζει κενεαλγικῶς ἐφιδροῦσι καὶ περιψύχουσιν. αἱ τοιαῦται ὑποστροφαὶ, τῇσι πλείστῃσι γενόμεναι μετὰ τὴν ἄφεσιν ταχέως κτείνουσι. τὰ μετὰ μυχθισμοῦ ἔξω ἀναφερόμενα πνεύματα καὶ τῆξις παράλογος τῇσιν ἐπιφόροισιν, ἐκτιτρώσκει. Ὀδύνη κοιλίης μετὰ τόκον ἐπὶ ταύτῃσι, πυώδεα καθαίρει. αἱ ναρκώδεες καὶ μάλιστα ἐν τῇσι κινήσεσι μετὰ ἀδυναμίης κατακεκλασμέναι. περὶ κρίσιν ἐνοχληθεῖσαι. ἀσώδεες. ἐφιδροῦσι πολλῷ. κοιλίαι καθυγρανθεῖσαι ταύτῃσι κακόν. τὰ δὲ γυναικεῖα μὴ ἐπιστάντα, χρήσιμον ἐπιληπτικὰ ἐκ τῶν τοιούτων, οἶμαι. ἐνίῃσι δὲ ὑποφοραὶ μακραί. ἐνίῃσι δὲ, αἱμοῤῥοΐδες. τῇσι ἐπιφόροισιν ὑποχονδρίου ἄλγημα κακόν. καὶ κοιλίαι ταύτῃσι φερόμεναι, κακόν. καὶ τὸ ἐπιῤῥιγοῦν ταύτῃσι κακόν. ὀδύνη κοιλίης ἐν τῇσι διαίτῃσιν ἧσσον κακὸν, ἢν ἰλυώδεα καθαίρῃ. Ἧσι ῥηϊδίως τῶν τοιούτων τίκτεται, μετὰ τόκον δύσφορα σφόδρα. τῇσι κυούσῃσι φθινώδεσιν ἧσιν ἔρευθος ἐπὶ προσώπου γίνεται αἱ ἀπὸ ῥινῶν ἀποστάξιες τῶν ἀποτρέπουσι γινόμεναι. Ἧσιν ἐκ τόκου λευκὰ, ἐπιστάντων δὲ ἅμα πυρετῷ κώφωσις καὶ ἐς πλευρὸν ὀδύνη ὀξεῖα προσίστανται, ὀλέθριοι. τὰ ἐν τῇσιν ἐπιφόροισι ἁλμυρώδεα, σημαίνει μετὰ τόκου δύσκολα λευκοῖσιν δακνώδεσιν, αἱ τοιαῦται καθάρσιες ἀποσκληρύνουσιν. λύγξ ἐπὶ τούτοισι φλαῦρον. καὶ * πλῆσις ὑστερῶν καὶ συντείνει. Ἐς πόδας καὶ τὸ ὀσφὺν συντάσιες ἐκ γυναικείων ἐκπυητικόν. καὶ τὰ ἀπὸ κοιλίης γλίσχρα δυσώδεα ἐπιπόνως ἰόντα, πνιγμοὶ ἐπὶ τοῖσι προγεγραμμένοισιν, ἐκπυητικόν. τὰ ὑστερικὰ ἐν κοιλίῃσι σκληρύσματα ἐπώδυνα, ὀξέως ὀλέθριον. τῇσιν ἐπιφόρῃσιν ἤδη ἀφθώδεα ῥεύματα ἐπώδυνα, πονηρόν. αἱμοῤῥοῒς ταύτῃσι κάκιστον. Ἧσι κοιλίης ἐπαρθείσης ἐς αἰδοῖον ἔρευθος ἦλθεν, γυναικείων λευκῶν ὑγρῶν

κατελθόντων

κατελθόντων ἐξαπίνης, ἐν μακροῖσι πυρετοῖσι τελευτῶσι. Σπασμῶν, γυναικείων ἐν ἀρχῇσι φανέντων, πυρετοῦ μὴ ἐπιγενομένου, λύσις. Οὖρα λεπτὰ ὑπονέφελα ἐν μέσῳ ὀρθούμενα, ῥῖγος σημαίνει. Ἢν ἀπὸ τῆς τετράδος αἵματος ῥύσις γένηται, χρόνια σημαίνει, καὶ κοιλίη καταρρήγνυται καὶ σκελέων οἰδήματα. Τῇσιν ἐπιφόροισι κεφαλαλγικὰ καρώδεα μετὰ βάρεος γινόμενα, φλαῦρα. ἴσως δὲ ταύτῃσι καὶ ἅμα σπασμῶδές τι ὠφελέει. αἱ προαλγήσασαι τρόπον χολερώδεα πρὸ τῶν τόκων, τίκτουσι μὲν ῥηιδίως. πυρέξασαι δὲ κακοήθεες. ἄλλως τε κἢν τι κατὰ φάρυγγα ὀχλῇ, ἤ τι τῶν ἐν πυρετῷ κακοήθεων ἐπιφανῇ σημεῖον. Τὰ πρὸ τῶν τόκων ῥηγνύμενα ὑδατώδεα φλαῦρα. τῇσιν ἐπιφόροισι κατὰ φάρυγγα ἁλμυρώδεες ῥύσιες, πονηρόν. Τὸ πρὸ τοῦ τόκου ἐπιρριγοῦν καὶ τὰ ἀνωδύνως τικτόμενα, κινδυνώδεα. τῇσιν ἐπιφόροισι τὰ ἀφθώδεα ῥεύματα, πονηρόν, σπασθεῖσαι, ἐκλυθεῖσαι, μετὰ καταψυχθεῖσαι, ἐκθερμαίνονται ὀξέως. ἢ μέντοι καὶ δύσκολα ἀποβαίνει τῇσιν ἐπιφόροισι τὰ περὶ τὸ λεπτὸν οἰδήματα. οἷα τὰ περὶ τὰς ὀσχίας γίνεται ἀπολαμβανόμενα ὀρθοπνοίησιν, ἆρα τὰ τοιαῦτα οἰδήματα διδυμοτοκεῖ; ἆρα καὶ σπασμῶδες τὰ τοιαῦτα οἰδήματα ποιέει; τὰ μυχθώδεα ἐξαναφέροντα πνεῦμα, ἐν πυρετοῖσιν ἐκτιτρώσκονται φρικώδεσιν. κοπιώδεσι. καρηβαρικοῖσι. γυναικεῖα καταρρήγνυται. αἱ πρὸς χεῖρα νωθραί. κατάξηροι. ἄδιψοι. γυναικεῖα πολλὰ χαλῶσαι, ἐκπυητικαί. τὰ ἐξαίφνης λευκὰ κατατρέχοντα ὠδὶ τρωσμῷ ἤν τι ῥήγνῃ καὶ ἐς μηρὸν ὁρμαί. τρόμος δύσκολον. τὰ ἀφθώδεα στόματα τῇσιν ἐπιφόροισι κοιλίας καθυγραίνει. ἦσι δὲ τῶν κυουσέων προνοσεῦσαι πρὸ τῶν τόκων ἐπιρριγοῦσι. αἱ ναρκώδεες ἐκλύσιες δύσκολοι μὲν ἐκ τῶν τόκων ἀποβαίνουσι καὶ παρακρουστικαί, οὐ μέντοι ὀλέθριοι. ἀτὰρ καὶ πλῆθος γυναικείων προσημαίνουσιν. αἱ ἐν τόκῳ καρδίην προαλγήσασαι ὀλίγῳ ὕστερον ἀποβάλλουσι. τὰ φρικώδεα. κοπιώδεα. καρηβαρικά. τραχήλου ὀδυνώδεα, γυναικεῖα καταρρήγνυσι. περὶ κρίσιν τὸ τοιοῦτον γινόμενον μετὰ βηχίου ἐπιρριγεῖ. Ἦσι κόρησιν ὀρθοπνοίη καὶ συμβαίνει ἐν τῇσιν ἐπιφόροισι, τιτθοὺς ἐκπυοῦνται, γυναικεῖα ἐπιφαίνεσθαι ἐν ἀρχῇ, καλόν. τὰ μανικὰ πυρετοῦ ὀξέος ταραχώδεας ἀχόλῳ καρδιαλγικῷ λύουσιν. τῇσιν ἀτόκοισιν αἵματος ἔμετος πρὸς τὸ συλλαβεῖν ὠφελεῖ. τὰ ἀχλυώδεα γυναικείων συχνῶν ἐπιφανέντων λύεται. Ὅσῃσι γυναιξὶν ἐκ πυρετῶν ἄλγημα τιτθῶν γίγνεται, πτύσις αἱμάλωπος οὐ τρυγώδης γενομένη λύει τοὺς πόνους. Οἱ ἐν ὑστερικῇσιν ἀπύροισι σπασμοὶ εὐχερέες, οἷον καὶ Δορκάδι. Ἧσιν ἐκ ῥίγεος πυρετὸς κοπιώδης, γυναικεῖα καταρρέχει. τράχηλος ἐν τούτοις ὀδυνώδης αἱμορραγικόν. Ἔμετος δὲ ἀλυπότατος φλέγματος καὶ χολῆς συμμεμιγμένος, μὴ πολὺς δὲ κάρτα ἐμείσθω. τὰ δὲ ἀκρητέστερα τῶν ἐμουμένων κακίω. πρασοειδὴς δὲ ἔμετος καὶ μέλας καὶ πελιός, πονηρόν. εἰ δὲ καὶ πάντα τὰ χρώματα ὁ αὐτὸς ἐμέοι, ὀλέθριον. τάχιστον δὲ θάνατον σημαίνει ὁ πελιὸς καὶ κακώδης. ἔστιν δὲ θανάσιμος ὁ ἐρυθρὸς ἔμετος, καὶ μάλιστα εἰ μετὰ ἀνάγκης ἐμέοιτο ἐπωδύνου. οἱ ἀσώδεες ἀνημέτως παροξυνόμενοι, κακόν. καὶ οἱ σπαρασσόμενοι ἀνημέτως. τὰ μακρὰ ἐμέσματα, χολώδεα, ἄλλως τε κἢν ἀγρυπνέωσιν. Ἐπὶ μελάνων ἐμέτων κώφωσις οὐ βλάπτει. Οἱ κατὰ μικρὰ ταχέες, χολώδεες, ἄκρητοι ἔμετοι, κακόν, ἐν ὑποφθορῇ πλείονι καὶ ὀσφύος ἀλγήματι συντόνῳ. τὰ ἐξ ἐμέτων ἀσώδεα κλαγγώδεα ὄμματα. ἐπίχνουν ἴσχοντα, μανικά. ὀξέως μανέντες θνήσκουσιν ἄφωνοι. Ἐν ἐμέτῳ διψώδεα ἐόντα ἄδιψον γενέσθαι, κακόν. Ἐν ἀσώδεσιν ἀγρύπνοις τὰ παρ' οὖς μάλιστα τοῖς ἀσώδεσι, κοιλίης ταραχώδης ἐπίστασις διὰ ταχέων ἐξανθεῖ, οἷα κωνώπων κεντήματα, καὶ ἐς ὄμματα δακρυώδης ἀπόστασις ἔρχεται. Ἐπὶ ἀκρήτοις ἐμέτοις λυγμός, κακόν. κακὸν δὲ καὶ σπασμός. Ὁμοίως δὲ καὶ ἐν τοῖσιν ὑπερκαθάρσεσι τῇσιν ἐκ τῶν φαρμακέων οἱ μέλλοντες ἐμεῖν πτυαλίζουσι ἔμπροσθεν. Ἐπὶ ἐλλεβόρῳ σπασμὸς ὀλέθριον. Ἐπὶ πάσῃ καθάρσει πλεοναζούσῃ ψύξις μεθ' ἱδρῶτος, ὀλέθριον. καὶ οἱ ἐπανεμέοντες διψώδεες ἐν τούτοισι κακόν. οἱ δὲ ἀσώδεες ὀσφυαλγέες κοιλίην καθυγραίνονται. αἱ ἐξ ἐρυθρῶν μελάνων ὑπὸ ἐλλεβόρου καθάρσιες, πονηραί. καὶ ἔκλυσις δὲ μετὰ τοιούτων, κακόν. ἀπὸ ἐλλεβόρου ἐμέσαι ἐρυθρὰ ἀφρώδεα ὀλίγα, ὠφελέει. ποιέει μέντοι σκληρύσματα. καὶ ἐμπυήσιας μεγάλας ἀφίστησιν. εἰσὶ δὲ οἱ τοιαῦτα ἐμέοντες ἄλλως τε καὶ στῆθος ἐπώδυνοι, καὶ ἐν τοῖς ῥίγεσιν ἐφιδροῦντες, καὶ ὄρχιας ἐπαίρονται, τούτου προσγενομένου ἐπιρριγοῦσι καὶ ἰσχναίνονται. αἱ πυκναὶ διὰ τῶν αὐτῶν ὑποστροφαὶ ἐμετώδεες περὶ κρίσιν μέλανα ἔμετον.

ἔμετον ποιέουσι. γίνονται δὲ καὶ τρομώδεες. Ἱδρὼς ἄριστος μὲν, ὁ λύων τὸν πυρετὸν ἐν ἡμέρῃ κρισίμῳ. χρήσιμος δὲ καὶ ὁ κουφίζων. ὁ δὲ ψυχρὸς καὶ μοῦνον περὶ κεφαλὴν καὶ τράχηλον γινόμενος, φλαῦρος. καὶ γὰρ χρόνον καὶ κίνδυνον σημαίνει. ἱδρὼς δὲ ψυχρὸς ἐν ὀξεῖ μὲν πυρετῷ, θανάσιμος, ἐν πρηυτέρῳ δὲ, χρόνον σημαίνει. ἱδρὼς ἅμα πυρετῷ γινόμενος ἐν ὀξεῖ φλαῦρον. Οὖρον ἐν πυρετῷ λευκὴν ἔχον καὶ λείην ὑπόστασιν ἱδρυμένην, ταχεῖαν ἄφεσιν σημαίνει, ταχεῖαν δὲ καὶ τὸ διὰ ἀκρείτου λίπος ἴσχοντι ἐξυδατούμενον. τὸ δ' ὑπέρυθρον καὶ τὴν ὑπόστασιν ἔχον ὑπέρυθρόν τε καὶ λείην πρὸ μὲν τῆς ἑβδόμης γινόμενον, ἑβδομαῖον ἀπολύει. μετὰ δὲ τὴν ἑβδόμην, χρονιώτερον ἢ πάντως χρόνιον. τό, τε ἐν τετάρτῃ λαβὸν ἐπινέφελον ὑπέρυθρον, ἑβδομαῖον ἀπολύει, τῶν λοιπῶν κατὰ λόγον ἐχόντων. τὸ δὲ λεπτὸν καὶ χολῶδες καὶ τὸ μόλις γλίσχρον, ἔχον ὑπόστασιν. καὶ τὸ μεταβάλλον ὅτε τὸ βέλτιον καὶ χεῖρον, χρόνιον. ὅτε πλεῖον δὲ τούτων ἐπακολουθοῦν, ἢ περὶ κρίσιν χρόνων γινομένων, οὐκ ἀκίνδυνον. ὑδατῶδες δὲ καὶ λευκὸν διατελέως ἐν χρονίοισι δύσκριτον γίνεται καὶ οὐκ ἀσφαλές. Νεφέλαι δὲ ἐν οὔροισι λευκαὶ μὲν καὶ κάτω, λυσιτελέες. ἐρυθραὶ δὲ καὶ μέλαιναι καὶ πελιαὶ, δύσκολοι. Κινδυνῶδες τῶν οὔρων ἐστὶ τὸ χολῶδες μὴ ὑπέρυθρον ἐν τοῖσιν ὀξέσι. καὶ τὸ κριμνῶδες λευκὰς ἔχον ὑποστάσιας. καὶ τὸ ποικίλον χροιῇ καὶ ὑποστάσει καὶ μάλιστα τοῖσιν ἀπὸ τῆς κεφαλῆς ῥευματισμοῖσι. κινδυνῶδες δὲ καὶ τὸ ἐκ μέλανος μεθιστάμενον ἐς λεπτὸν χολῶδες. καὶ τὸ διὰ ὑποστάσιος διασπώμενον. καὶ τὸ ἐκ τροφιώδεος ὑπόστασιν ἴσχον ὑποπέλιον ἰλυώδεα. ἆρα ἐκ τοιούτων ὑποχόνδριον ὀδυνῶνται; δοκέω δεξιόν, ἢ καὶ χολώδεες γίνονται, καὶ τὰ παρ' οὖς ὀδυνώδεες. τούτοισιν ὅτε βραχὺ κοιλίη καταῤῥαγεῖσα. ὀλέθριον. Οὖρα ἐξαίφνης παραλόγως ἐπ' ὀλίγον πεπαινόμενα, φλαῦρα. καὶ ὅλως τὸ παραλόγως πέπον ἐν ὀξεῖ φλαῦρον, φλαῦρον δὲ καὶ τὸ ἐξέρυθρον ἐκ τούτων ἐπάνθισμα ἰῶδες κατεχόμενον. λευκὸν δὲ καὶ καταχεόμενον, διαφανὲς οὖρον, πονηρὸν, μάλιστα ἐν φρενιτικοῖσιν ἐπιφαίνεται. πονηρὸν δὲ καὶ τὸ μετὰ ποτὸν ταχέως διουρούμενον, καὶ μάλιστα πλευριτικοῖσι καὶ περιπλευμονικοῖσι. πόνηρον δὲ καὶ τὸ πρὸ ῥίγους ἐλαιῶδες οὐρούμενον. πονηρὸν δ' ἐν τοῖσιν ὀξέσι καὶ τὰ χλοιώδεα μὴ ὅτε χροιῇ ἐόντα. Ὀλέθριον δὲ ἐστὶ τῶν οὔρων τό, τε μέλαιναν τὴν ὑπόστασιν ἔχον, καὶ τὸ μέλαν. μᾶλλον δ' ἐν τοῖσι παισὶ τὸ λεπτὸν τοῦ παχέος. τοῖσι δὲ λεπτοῖσι τὸ ἀνάπαλιν οἷσι συνεστραμμένοις. καὶ τὸ χαλαζῶδες γονοειδὲς διαχεόμενον τὸ δ' αὐτὸ καὶ ἐπίπονον. ὀλέθριον δ' ἐστὶ καὶ πᾶν τὸ λάβρως οὐρούμενον. περιπλευμονικοῖσι δ' ἐστὶν ὀλέθριον καὶ τὸ ἐν ἀρχῇ μὲν πέπον. μετὰ δὲ τὴν τετράδα, λεπτυνόμενον. πλευριτικοῖσιν οὖρον αἱματῶδες. ζοφῶδες. μεθ' ὑποστάσιος ποικίλης ἀδιακρίτου, θανάσιμον ἐν δ' καὶ ι' ἡμέρῃσιν ὡς ἐπὶ τὸ πολύ. θανάσιμον δὲ καὶ ἐν τοῖσι πλευριτικοῖσι συντόμως καὶ τὸ πρασοειδὲς μέλαιναν ἔχον ὑπόστασιν, ἢ πιτυρώδεα. καυσώδεσιν δὲ κατόχως, κάκιστον οὖρον ἐστὶ τὸ ἔκλευκον. Οὖρον δὲ ὠμὸν πλεῖον χρόνον γινόμενον, τῶν ἄλλων σωτηρίων ἐόντων, ἀπόστασιν καὶ πόνον σημαίνει. καὶ μᾶλλον ἐν τοῖσι ὑπὸ φρένα. ἀλγημάτων δὲ ἐν ὀσφύϊ πλανωμένων ἐς ἰσχίον καὶ ἐν πυρετῷ καὶ ἄνευ πυρετοῦ. τὸ δὲ ἐκπεμπόμενον λίπος ἰσχνὸν οὖρον ὑπόστασιν σημαίνει πυρετόν. τὸ δὲ αἱματῶδες ἐν ἀρχῇ οὐρηθὲν χρόνιον. τὸ δ' ἀνατεταραγμένον μεθ' ἱδρῶτος, ὑποστροφήν. τὸ δὲ λευκὸν οἷον τῶν ὑποζυγίων, κεφαλαλγίην. τὸ δ' ὑμενῶδες, σπασμόν. τὸ δὲ πτυαλῶδες, ἔχον ὑποστάσιας οὖρον, ἢ ἰλυώδεις, ῥίγεος δηλωτικόν. τὸ δὲ ἀραχνιῶδες, συντήξιος. τὰ δ' ἐν πλανώδεσι πυρετοῖσι μέλανα νεφέλια, τεταρταίου. τὰ δ' ἄχροα μέλασιν ἐναιωρεύμενα μετὰ ἀγρυπνίης καὶ ταραχῆς, φρενιτικά. τὰ δὲ κονιώδεα μετὰ δυσπνοίης, ὑδατώδεα. οὖρον ὑδατῶδες ἢ τεταραγμένον ψαφαρῇ τρηχύτητι, κοιλίην ὑγρὴν ἐσομένην σημαίνει. τὸ δὲ ἐκ λεπτοῦ οὖρον δασυνόμενον, ἆρα ἱδρῶτα μέλλοντα δηλοῖ; γεγονημένου δὲ, τὸ ἀφρῶδες ἐφ' αὐτοῦ ἐφιστάμενον. τὰ δ' ἐν τριταίοισι μετὰ φρίκης, οἷα νεφέλια μέλανα, φρίκης ἀκαταστάτου δηλωτικά. καὶ ὑμενώδεες οὐρήσιες καὶ αἱ μετὰ φρίκης ὑφιστάμενα, σπασμώδεες. Οὖρον χρηστὴν ἔχον ὑπόστασιν ἐξαπίνης μὴ ἔχον, πόνον καὶ μεταβολὴν σημαίνει. τὸ δὲ ὑπόστασιν ἔχον ἐπιταραχθὲν καθιστάμενον, ῥίγος περὶ κρίσιν. τάχα δὲ καὶ ἐς τριταῖον ἢ τεταρταῖον μετάστασιν. Ἐν πλευριτικοῖς οὖρον ὑπέρυθρον ἔχον λείην ὑπόστασιν, ἀσφαλέα κρίσιν σημαίνει. τὸ δ' ὑπόχλωρον εὐανθὲς λευκὴν ἔχον ὑπόστασιν καὶ παχεῖαν. τὸ δὲ ἐρυθρὸν σφόδρα καὶ εὐανθὲς ὑπόστασιν χλωρὴν ἔχον λείην εἰλικρινέα, πολυχρόνιον. σφόδρα ταραχώδεα

νοῦσον

νοῦσον μεταβάλλουσαν ἐς ἄλλην οὐ μὴν ὀλέθριον. τὸ δὲ λευκὸν ὑδατῶδες κριμνώδεα πυρρὴν ἔχον ὑπόστασιν, πόνον καὶ κίνδυνον σημαίνει. καὶ τὸ χλωρὸν πυρρὴν ἔχον ὑπόστασιν κριμνώδεα, χρόνον καὶ κίνδυνον σημαίνει. Οὖρα τοῖσι παρ' ὦτα ταχὺ καὶ ἐπ' ὀλίγον πεπαινόμενα, φλαῦρον. καὶ τὸ κατεψύχθαι ὧδε πονηρόν. Κύστις ἀπεληφθεῖσα ἄλλως τε καὶ μετὰ κεφαλαλγίης ἔχει τι σπασμῶδες. τὰ ναρκώδεα ἐν τοιούτοισιν ἐκλυόμενα δύσκολα ὀλέθρια. ἆρα τι καὶ παρακρούουσιν; Νεφρῶν ἐξαπιναῖον ἄλγημα μετὰ οὔρου ἐπισχέσιος, λιθιδίων οὔρησιν, ἢ παχέων οὔρων σημαίνει. τρομώδεα πρεσβυτέροισιν ἐν πυρετῷ καὶ οὕτως ἐπιφαινόμενα λιθίδια που διουρέει. Οὔρου ἀπόληψις καὶ βάρος ἐν νειαίρῃ σημαίνει ὡς τὰ πολλὰ στραγγουρίην ἐσομένην. εἰ δὲ μὴ ἄλλην ἀρρωστίην ἣν εἰώθει ἀρρωστεῖν. Ἐν χολώδεσιν οὔρου ἀπόληψις κτείνει συντόμως. Οὖρον ἐν πυρετῷ δασὺ ἔχον διασπώμενον, ὑποστροφικὸν ἢ ἱδρῶδες. Ἐν μακροῖσι πυρετοῖσι λεπτοῖσι πλανώδεσι λεπτῶν οὔρων οὐρήσιες, σπληνώδεες. Ἐν πυρετῷ ἄλλοτε ἀλλοίων οὐρήσιες, μηκύνουσι τὰ οὐρούμενα ὑπομνησάντων. ἄλλως δὲ ὀλέθρια. ἆρα τούτοισιν οὐρεῖται, οἷον εἰ τὴν ὑπόστασιν ταράξειας; Οἷσιν οὖρα ὀλίγα θρομβώδεα οὐκ ἀπυρέτοις, πλῆθος ἐκ τούτων ἐλθὸν λεπτὸν, ὠφελεῖ. ἔρχεται δὲ τοιούτοις ἐξ ἀρχῆς. ἢ διὰ ταχέων ὑπόστασιν ἴσχει. Οἷσιν οὖρα ταχέως ὑπόστασιν ἴσχει, ταχέως οὗτοι κρίνονται. Ἐπιληπτικοῖς οὖρα λεπτὰ καὶ ἄπεπτα παρὰ τὸ ἔθος ἄνευ πλησμονῆς, ἐπίληψιν σημαίνει, ἄλλως τε κἢν τις ἐς ἀκρώμιον. ἢ τράχηλον. ἢ μετάφρενον πόνος, ἢ σπασμὸς ἐμπεπτώκῃ. ἢ νάρκη περιγίνηται τοῦ σώματος. ἢ ταραχῶδες ἐνύπνιον ἑωράκῃ. τὸ μακρὰ ἐπιφαίνεσθαι οἷον στάξιας. καὶ οὖρον. καὶ ἔμετον. Ἐπὶ διαχωρήματα κακὸν μὲν πάντως. κάκιστον δὲ ἐγγὺς ἀλλήλων ἰόντα. Διαχώρημα κοιλίης βέλτιστον, μαλθακὸν συνεστηκός. ὑπόπυρρον μὴ σφόδρα δυσῶδες. διαχωρέειν τὴν ἐθισμένην ὥρην. πλῆθος δὲ πρὸς λόγον τῶν εἰσιόντων. παχύνεσθαι δὲ πρὸς τὴν κρίσιν. χρήσιμον δὲ καὶ ἕλμινθας στρογγύλας διεξιέναι πρὸς κρίσιν προσάγον. Ἐν ὀξέσι τὸ ἀφρῶδες περίχολον διαχώρημα, κακόν. κακὸν δὲ καὶ τὸ ἔκλευκον. ἔτι δὲ καὶ κάκιον τὸ ἀλητοειδές. κοπριῶδες. καρος ἐπὶ τούτοισι κακόν. καὶ αἱματώδης διαχώρησις καὶ κενεαγγίη παραλόγως. Κοιλίης ἀπόληψις μακρὴ μέλανα σπυραθώδεα πρὸς ἀνάγκην χαλῶσα, μυκτὴρ τούτοισι ῥηγνύμενος, κακόν. Γλίσχρον ἄκρητον ἢ λευκὸν διαχώρημα φλαῦρον. φλαῦρον δὲ καὶ τὸ ἅλες ἐζυμωμένον ὑποφλεγματῶδες. πονηρὸν δὲ καὶ ἐκ τροφιωδέων ὑπόστασις ὑποπέλιος πυώδης μετὰ χολώδεος. αἷμα λαμπρὸν διαχωρέειν κακὸν, ἄλλως τε κἢν τις ὀδύνη παρῇ. Τὸ ἀφρῶδες περίχολον διαχώρημα φλαῦρον. καὶ ἰκτεριοῦνται δὲ ἐκ τοιούτων. Ἐπὶ τοῖσι χολώδεσι τὸ ἀφρῶδες ἐπάνθισμα, κακόν. μάλιστα δὲ ὀσφὺν πεπονηκότι, καὶ παρενεχθέντι. ἆρα δὲ τούτοισι τὰ ἀλγήματα; Λεπτὸν ἔπαφρον διαχώρημα, ὑδατόχλοον ἴσχον ὑπόστασιν, πονηρόν. πονηρὸν δὲ καὶ τὸ πυῶδες. καὶ τὸ μέλαν αἱματῶδες πονηρὸν σὺν πυρετῷ καὶ ἄλλως. καὶ τὸ ποικίλον κατακορὲς διαχώρημα φλαῦρον. καὶ χεῖρον ὅσῳ φοβερώτερον τῇ χροιῇ, πλὴν ἐν φαρμακείῃσι. ἐν δὲ ταύτῃσιν ἀκίνδυνον μὴ πλήθει ὑπερβάλλον. καὶ τὸ ψαφαρὸν μαλθακὸν ἐν πυρετῷ διαχώρημα φλαῦρον. φλαῦρον δὲ ἐπὶ τὸ ξηρόν. ψαθαρόν. ἄχλοον. καὶ ἄλλως καὶ ἢν κοιλίην καθυγραίνῃ. μελάνων δὲ προδιελθόντων, κτείνει. Ὑγρὸν διαχώρημα καὶ ἀθρόον κατὰ μικρὸν. κακόν. τὸ μὲν γὰρ κακόν. καὶ ἀγρυπνίην. τὸ δὲ ἔκλυσιν τάχ' ἂν ποιήσῃ. Ἔνυγρον ὑποψάφαρον διαχώρημα περιψυχόμενον μὴ ἀπύρῳ, φλαῦρον. τὰ ἐπὶ τούτοισι ῥίγεα κύστιν, κοιλίην ἐπιλαμβάνει. ὑδατῶδες δὲ σφόδρα διαχώρημα μὴ παυόμενον ἐν ὀξέσι, κακὸν καὶ μᾶλλον ἢ καὶ ἀδιψήσει. Ἐξέρυθρον ἐν περιπλύσει, διαχώρημα φλαῦρον. φλαῦρον δὲ καὶ τὸ σφόδρα χλωρόν. ἢ λευκόν. ἢ ἀφρῶδες. ἢ ὑδαρές. καὶ τὸ μικρόν τε καὶ γλίσχρον καὶ λεῖον καὶ ὑπόχλωρον, κακόν. καὶ τὸ κωματώδεσιν νενωθρευμένοισιν ὑγρὸν διαχώρημα, κάκιστον. θανατώδεες δὲ καὶ αἱμοῤῥοεῖν αἱματῶδες πολὺ θρομβῶδες λευκόν τε καὶ ὑγρὸν μετὰ κοιλίης μετεώρου. Διαχώρημα μέλαν οἷον αἷμα καὶ σὺν πυρετῷ καὶ ἄνευ πυρετοῦ, πονηρόν. πονηρὸν δὲ καὶ πάντα τὰ ποικίλα. ἐπὶ τὰ κατακορέα πονηρά. Τὰ δὲ ἀφρώδεα ἄκρητα τελευτῶντα διαχωρήματα, παροξυντικὰ μὲν πᾶσι. τοῖσι δὲ σπασμώδεσι καὶ πάνυ ἐκ τοιούτων τὰ παρ' οὖς ἀνίσταται. τὰ δὲ ἐξυγραινόμενα καὶ πάλιν συνιστάμενα κρητὰ κοπρώδεα, μῆκος νόσου σημαίνει. τὸ δὲ ἐξέρυθρον ἐν πυρετῷ παρακοπτικόν. τὸ δὲ λευκὸν

κοπρώδεες, ἰκτερώδεες δύσκολον. τὸ δὲ ὑγρὸν ἐν ὕδατι τεθεῖναι λαῦρον ἀφρῶδες. αἱμοῤῥαγέσι γλίσχρον διαχώρημα μέλασι διαποίκιλον κακόηθες μάλιστα δ' ἐκλυτικοῖς. Ἐκλυτικὸν διαχώρημα ἐν πυρετῷ οὐκ εὐκρινές. Κοιλίη ταραχώδης σμικρῇσι πυκνῇσιν ἀναστάσεσι σιηγόνας ἐντείνει, λύει δὲ καὶ ἐπὶ προσώπου γινόμενα ἐρυθήματα. Κοπρώδης μετὰ τόνου διαχώρησις, κοιλίης πονηρίην σημαίνει. φλεγματώδης δὲ ὀξέως μετὰ καρδιωγμοῦ, δυσεντερίην, τάχα δὲ καὶ ὀσφυαλγίην. τοῖσι τοιούτοισι κοιλίης περίστασις πρὸς ἀνάγκην ὑγρὰ χαλῶσα τάχιον κυλλουμένη, ἔχει τι σπασμῶδες. τὸ ἐπεῤῥιγοῦν τούτοισι ὀλέθριον. Οἷσι μέλανα διαχωρέει, ἐφιδροῦσι ψυχροῖς. οἷσι κοιλίη κατ' ἀρχὰς ταράσσεται. τὰ δὲ οὖρα μακρὰ προαγόντων κοιλίη μὲν ξηραίνεται. τὸ δ' οὖρον πληθύει λεπτόν. τούτοισιν ἀποστάσιες ἐς ἄρθρα. αἱ ἐπὶ μακρὰ ἀναστάσιες, ῥιγώδεες καὶ οἷς φλαῦρον διαχώρημα, δυσκολώτατον τεταρταίοισιν ἀρχόμενον. αἱ πυκναὶ ἐπὶ μακρὰ ἀναστάσιες ὑπόγλισχροι ἔχουσαι μακρὰ κοπρώδεα μεθ' ὑποχονδρίου καὶ πλευροῦ ἀλγήματος, ἰκτερώδεες ἆρα ἐπιστάντων οὗτοι ἐκχλοιοῦνται; οἶμαι δὲ καὶ αἱμοῤῥοεῖν τούτους. τὰ δ' ἐς ὀσφῦν ἀλγήματα, ἐν τούτοισιν αἱμοῤῥοοῖσιν αἷμα διαχωρέει λαμπρόν, μετὰ καρου καὶ κεφαλαλγίης τὸ ἐπιχλιαίνεσθαι ὀλέθριον. τὰ γλίσχρα, χολώδεα μᾶλλόν τι τὰς ἀποστάσιας παρ' οὓς ποιέει. Ὅσα κοιλίης καθυγραινομένης οἰδήματα μετεωρίζεται, μετὰ ἀλγημάτων, κακόν. κοιλίης δ' ἐπιστάσης. ἄλλου δέ τινος μὴ νεωτερισθέντος, ταχέως καταῤῥήγνυται καὶ κακοηθέστερον. τὰ ἐμούμενα ἐπὶ τούτοισι πονηρὰ καὶ θηριώδεα. οἷσιν ἐπὶ φλογώδεσι καὶ ἐξερύθροις λυομένοις δυσώδες. λάβρον. ὑπέρυθρον, ἐλπὶς ἐκμανῆναι. ὁ αὐχμώδης χρὼς σημαίνει κοιλίην πονηρευομένην, ἐπὶ τούτοισιν ἐξέρυθρα σαρκώδεα μάλιστα δίεισιν. Ἐπὶ κοιλίην χολώδη μαλθακὴν κοπρώδη καύματα ἐπιφανέντα παρ' οὓς ἔπαρμα ποιέει. Χολώδεα διαχωρήματα κώφωσις παύει. κώφωσιν δὲ παύει χολῶδες διαχώρημα. Τὰ ἐρπυστικὰ ὑπεράνω βουβῶνος πρὸς κενεῶνα ἢ ἥβην γινόμενα, σημαίνει κοιλίην πονηρευομένην. Ἔκλυσις ὀδύνην λύουσα κοιλίην μάλα καθυγραίνει. τὰ καθ' ἕδρην ὀδυνώδεα ἐκπυήματα κοιλίην ἐπιταράσσει. Θανατώδεά ἐστιν τῶν διαχωρημάτων. τὸ λιπαρὸν καὶ τὸ μέλαν καὶ τὸ πελιὸν μετὰ δυσωδίης καὶ τὸ χολῶδες ἔχον ἐν ἑωυτῷ, φακῶν ἢ ἐρεβίνθων ἐρίγμασι παραπλήσια, ἢ οἷον θρόμβους αἵματος εὐανθέας. ἐπὶ τὴν ὀδμὴν ὅμοιον τῷ τῶν νηπίων. καὶ τὸ ποικίλον. τὸ δ' αὐτὸ καὶ χρόνιον. γίνοιτο δ' ἂν τοιοῦτον αἱματῶδες. ξυσματῶδες. χολῶδες. μέλαν. πρασοειδὲς καὶ ὁμοῦ καὶ ἐναλλάξ. θανατῶδες δὲ καὶ πᾶν ἐστι τὸ ἀναισθήτως διεξιόν. ποτὸν χαλεπῶς καταβρογχίζοντι πνεύματι βηχώδει, ἐρυγμὸς ὑποσπώμενος ἔσω κατειλούμενος σημαίνει πόνον κοιλίης. πονηρὸν δὲ καὶ ἐξέρυθρα ἰώδεα τεταρταίοισι, καὶ αἱ τοιαῦται αἱμόῤῥοιαι κωματώδεες. ἐκ τούτων σπασμῷ τελευτῶσι μελάνων προδιελθόντων. Οἷσι μέλανα διαχωρέει ἐφιδροῦσι ψυχροῖς. αἱ ἐξαίφνης παράλογοι ἐκλύσιες κοιλίης ἐν τοῖσι πεπηκόσι χρόνοισιν ἅμα ἀφωνίῃ τρομώδεις ὀλέθριοι. αἱ λεπταὶ μελάνων διαχωρήσιες αἱ φρικώδεες, βελτίους τοῖσι τοιούτοισιν. αἱ τοιαῦται ὠφελοῦσι μάλιστα ἐπὶ τὴν ἡλικίην ἢ προακμάζουσι. πᾶσι τὰ κυνησμώδεα μελάνων διαχώρησιν σημαίνει. καὶ ἔμετον θρομβώδεα καὶ τρομώδεα, σὺν δηγμῷ μετὰ κεφαλαλγίης, τὰ μέλανα διαχωρήματα πρὸ τῶν τοιούτων ἔμετος διέρχεται καὶ ἐμέουσι, συχνὰ τοιαῦτα προσκατασπᾶται. Οἷσι δὲ ἐπὶ ταραχῆς κοιλίης παροξύνεται περὶ κρίσιν, κάτω μέλανα διέρχεται. Ἐπὶ κοιλίῃ μακρῇ ἐμετώδεσι, χολώδεσιν ἀκρίτοις ἱδρὼς πολὺς μετὰ ἀδυναμίης ἐξαπίνης, κτείνει. ἐν φαρμακείῃσιν ἐν περιῤῥόῳ λεπτὸν συχνῶς αἷμα ἐκτηκόμενον. ἔπειτα δὲ φλαῦρον τὰ ἐπὶ κοιλίην σκληρύσματα μετὰ πόνου. πυρετοῖσιν ἅμα φρικώδεσιν ἀκρίτοις σμικρὰ ἐφυγραινομένης ἐς κάθαρσιν κοιλίης οὐ τὰ ἐς ἐμπύησιν. ἅμα πυρετῷ κοιλίη ταραχώδης τρόπον ἁλμυρώδεα κωματώδεσι νωθροῖς οὐ πάνυ πρέπεται. Ἐπὶ κοιλίῃ ὑγρῇ, κοπιώδει. κεφαλαλγικῷ. διψώδει ἀγρύπνοι. ἐξερύθρῳ χρώματι λυομένους, ἐλπὶς ἐκμανῆναι. ἢν δύσπνοοι ἔωσι πρὸς τὸ ἐκχλοιοῦσθαι εὔπνοον σινόν τε κοιλίης ἐπεισελθούσης. Τὰ κωματώδεα διαχωρήματα τόνον ἴσχοντα, κοιλίην πονηρευομένην σημαίνει. τοῖσι χολώδεσι κοιλίη ταραχώδης μικρὰ πυκνὰ διαδιδοῦσα τονώδεα μικροῖσι, μυξώδεσι, πόνον περὶ τὸ λεπτὸν ποιέουσι. καὶ οὖρον οὐκ εὐλύτως ἰόν, ἐς ὕδρωπα ἐκ τούτων ἀποτελευτᾷ. αἱ τρομώδεες γλῶσσαι σημεῖον ἐνίοισι κοιλίης καταῤῥαγησομένης.

Οἷσι

οἷσι καῦμα γίνεται. ἐφιδροῦσι δὲ ἐλθόντων, πυρετὸς παροξύνεται. Ἐπὶ κοιλίῃσιν ὑγρῇσιν κατάψυξις μεθ' ἱδρῶτος, φλαῦρον. Ἐπὶ κοιλίῃσιν ὑγρῇσι, τὰ ἀπ' οὔλων αἱμάτια ὑπερρυέντα, θανατώδες. Διαχώρημα καθαρὸν ὑπογενόμενον, λύει πυρετὸν ὀξὺν μεθ' ἱδρῶτος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΤΩΝ ΕΝ ΚΕΦΑΛΗ ΤΡΩΜΑΤΩΝ.

Τ

Ων ἀνθρώπων αἱ κεφαλαὶ οὐδὲν ὁμοίως σφίσιν αὐταῖς, οὐδὲ αἱ ῥαφαὶ τῆς κεφαλῆς πάντων κατὰ ταὐτὰ πεφύκασιν, ἀλλ' ὅστις μὲν ἔχει ἐκ τοῦ ἔμπροσθεν τῆς κεφαλῆς προβολήν. ἡ δὲ προβολή ἐστι, τὸ τοῦ ὀστέου ἐξέχον στρογγύλον παρὰ τὸ ἄλλο, τούτου εἰσὶν αἱ ῥαφαὶ πεφυκυῖαι ἐν τῇ κεφαλῇ, ὡς γράμμα τὸ ταῦ. Τ, γράφεται. τὴν μὲν γὰρ βραχυτέρην γραμμὴν ἔχει πρὸ τῆς προβολῆς ὑποκαρσίην πεφυκυῖαν. τὴν δ' ἑτέρην γραμμὴν, ἔχει διὰ μέσης τῆς κεφαλῆς κατὰ μῆκος ἐς τὸν τράχηλον αἰεί. ὅστις δ' ὄπισθεν τῆς κεφαλῆς τὴν προβολὴν ἔχει, αἱ ῥαφαὶ τούτου πεφύκασιν τἀναντία ἢ περὶ προτέρῳ. ἡ μὲν γὰρ βραχυτέρη γραμμὴ, πρὸ τῆς προβολῆς πέφυκεν ἐπικαρσίη. ἡ δὲ μακροτέρη, διὰ μέσης τῆς κεφαλῆς πέφυκεν κατὰ μῆκος ἐς τὸ μέτωπον αἰεί. ὅστις δὲ καὶ ἀμφοτέρωθεν τῆς κεφαλῆς προβολὴν ἔχει, ἔκ τε τοῦ ἔμπροσθεν καὶ τοῦ ὄπισθεν, τούτῳ αἱ ῥαφαὶ εἰσὶν ὁμοίως πεφυκυῖαι ὡς γράμμα τὸ ἦτα. Η. γράφεται. πεφύκασι δὲ τῶν γραμμῶν. αἱ μὲν μακραὶ, πρὸς τῆς προβολῆς ἑκατέρης ἐπικάρσιοι πεφυκυῖαι. ἡ δὲ βραχείη, διὰ μέσης τῆς κεφαλῆς κατὰ μῆκος πρὸς ἑκατέρην τελευτῶσαι τὴν μακρὴν γραμμήν. ὅστις μηδ' ἑτέρωθι μηδεμίαν προβολὴν ἔχει, οὗτος ἔχει τὰς ῥαφὰς τῆς κεφαλῆς, ὡς γράμμα τὸ χῖ. Χ. γράφεται. πεφύκασι δὲ αἱ γραμμαί. ἡ μὲν ἑτέρη, ἐπικαρσίη πρὸς τὸν κρόταφον ἀφικνοῦσα. ἡ δὲ ἑτέρη, κατὰ μῆκος διὰ μέσης τῆς κεφαλῆς. διπλόον δ' ἐστὶ τὸ ὀστέον κατὰ μέσην τὴν κεφαλήν. σκληρότατον δὲ καὶ πυκνότατον αὐτοῦ πέφυκεν, τὸ ἀνώτατον, ἡ ὁμοχροίη τοῦ ὀστέου ὑπὸ τῇ σαρκί. καὶ τὸ κατώτατον τὸ πρὸς τῇ μήνιγγι, ἡ ὁμοχροίη τοῦ ὀστέου ἡ κάτω. ἀεὶ χωρέον δὲ ἀπὸ τοῦ ἀνωτάτου ὀστέου καὶ τοῦ κατωτάτου. ἀπὸ τῶν σκληροτάτων καὶ πυκνοτάτων, ἐστὶ τὸ μαλθακώτερον καὶ ἧσσον πυκνὸν καὶ ἐπικοινώτερον ἐς τὴν διπλόην. ἡ δὲ διπλόη κοιλότατον καὶ μαλθακώτατον, καὶ μάλιστα σηραγγῶδες ἐστίν. ἔστι δὲ καὶ πᾶν τὸ ὀστέον τῆς κεφαλῆς, πλὴν κάρτα ὀλίγου τοῦ τε ἀνωτάτου καὶ κατωτάτου, σπόγγῳ ὅμοιον. καὶ ἔχει τὸ ὀστέον ἐν ἑωυτῷ ὅμοια σαρκία πολλὰ καὶ ὑγρά, καὶ εἴτις αὐτὰ διατρίβοι τοῖσι δακτύλοισιν, αἷμα ἂν διαγίνοιτο ἐξ αὐτῶν. ἔνι δ' ἐν τῷ ὀστέῳ καὶ φλεβία λεπτότερα καὶ κοιλότερα, αἵματος πλέα. σκληρότητι μὲν νῦν καὶ μαλθακότητι καὶ κοιλότητι, ὧδε ἔχει. παχύτητι δὲ καὶ λεπτότητι οὕτως. συμπάσης τῆς κεφαλῆς τὸ ὀστέον λεπτότατόν ἐστιν καὶ ἀσθενέστατον τὸ κατὰ βρέγμα, καὶ σάρκα ὀλιγίστην καὶ λεπτοτάτην ἔχει ἐφ' ἑωυτῷ ταύτῃ τῆς κεφαλῆς τὸ ὀστέον. καὶ ὁ ἐγκέφαλος κατὰ τοῦτο τῆς κεφαλῆς πλεῖστος ὕπεστι. καὶ διότι οὕτω ταῦτα ἔχει τῶν τε τρωσίων καὶ τῶν βελέων ἴσων τε ἐόντων κατὰ μέγεθος καὶ ἐλασσόνων, καὶ ὁμοίως τε τρωθεὶς καὶ ἧσσον, τὸ ὀστέον ταύτῃ τῆς κεφαλῆς φλᾶται τε μᾶλλον καὶ ῥήγνυται καὶ ἔσω ἐσφλᾶται. καὶ θανασιμώτερά ἐστιν καὶ χαλεπώτερα ἰητρεύεσθαί τε καὶ ἐκφυγγάνειν τὸν θάνατον ταύτῃ ἤπου ἄλλοθι τῆς κεφαλῆς. ἐξ ἴσων τε ἐόντων τῶν τρωμάτων. καὶ ὁμοίως τε τρωθεὶς καὶ ἧσσον, ἀποθνήσκει ἄνθρωπος, ὅταν καὶ ἄλλως μέλλῃ ἀποθανεῖσθαι ἐκ τοῦ τρώματος, ἐν ἐλάσσονι χρόνῳ ὁ ταύτῃ ἔχων τὸ τρῶμα τῆς κεφαλῆς, ἤπου ἄλλοθι. ὁ γὰρ ἐγκέφαλος τάχιστά τε καὶ μάλιστα κατὰ τὸ βρέγμα αἰσθάνεται τῶν κακῶν τῶν γινομένων ἔν τε τῇ σαρκὶ καὶ τῷ ὀστέῳ. ὑπὸ λεπτοτάτῳ γὰρ ὀστέῳ ἐστὶ ταύτῃ ὁ ἐγκέφαλος καὶ ὀλίγῃ σαρκί. καὶ ὁ πλεῖστος ἐγκέφαλος ὑπὸ τῷ βρέγματι κεῖται. τῶν δὲ ἄλλων τὸ κατὰ τοὺς κροτάφους ἀσθενέστατόν ἐστιν. συμβολή τε γὰρ τῆς κάτω γνάθου πρὸς τὸ κρανίον. καὶ κίνησίς ἐστιν ἐν τῷ κροτάφῳ ἄνω καὶ κάτω ὥσπερ ἄρθρου. καὶ ἡ ἀκοὴ πλησίον γίνεται αὐτέου. καὶ φλὲψ διὰ τοῦ κροτάφου τέταται κοίλη τε καὶ ἰσχυρή. ἰσχυρότερον δ' ἐστὶ τῆς κεφαλῆς τοῦ ὀστέου παντὸς τὸ ὀστέον τῆς κορυφῆς καὶ τῶν οὐάτων ἢ πᾶν τὸ πρόσθεν. καὶ σάρκα πλείονα καὶ βαθυτέρην ἐφ' ἑωυτῷ ἔχει τοῦτο τὸ ὀστέον. καὶ δὴ τούτων οὕτως ἐχόντων, ὑπό τε τῶν τρωσίων καὶ τῶν βελέων ἴσων ἁπάντων καὶ ὁμοίων, καὶ μειζόνων καὶ μειόνων ὁμοίως τιτρωσκόμενος, καὶ μᾶλλον ταύτῃ τῆς κεφαλῆς τὸ ὀστέον ἧσσον ῥήγνυται καὶ φλᾶται. καὶ ἢν μέλλῃ ἄνθρωπος ἀποθνήσκειν καὶ ἄλλως ἐκ τοῦ τρώματος, ἐν τῷ

ὄπισθεν τῆς κεφαλῆς ἔχων τὸ τρῶμα, ἐν πλέονι χρόνῳ ἀποθανεῖται. ἐν πλέονι γὰρ χρόνῳ τὸ ὀστέον ἐμπυΐσκεταί τε καὶ διαπυΐσκεται κάτω ἐπὶ τὸν ἐγκέφαλον, διὰ τὴν παχύτητα τοῦ ὀστέου. καὶ ἐλάσσων ταύτῃ τῆς κεφαλῆς ὁ ἐγκέφαλος ὕπεστι. καὶ πλέονες δὲ ἐκφυγγάνουσι τὸν θάνατον τῶν ὄπισθεν τιτρωσκομένων τῆς κεφαλῆς ὡς ἐπὶ τὸ πολὺ, ἢ τῶν ἔμπροσθεν. καὶ ἐν χειμῶνι πλέονα χρόνον ζῇ ἄνθρωπος ἢ ἐν θέρει, ὅστις καὶ ἄλλως μέλλει ἀποθανεῖσθαι ἐκ τοῦ τρώματος, ὅπου ἂν τῆς κεφαλῆς ἔχων τὸ τρῶμα. αἱ δὲ ἕδραι τῶν βελέων τῶν ὀξέων καὶ κουφοτέρων, * αὗται ἐπὶ σφῶν αὐτῶν γινόμεναι ἐν τῷ ὀστέῳ τὰ νοῦρα, ἀγμῆς τε καὶ φλάσιος, καὶ ἔσω ἐσφλάσιος. αὗται δὲ γίνονται ὁμοίως ἔν τε τῷ ἔμπροσθεν τῆς κεφαλῆς καὶ ἐν τῷ ὄπισθεν. ἐκ τουτέων θάνατος οὐ γίνεται κατά γε δίκην, οὐδ' ἢν γένηται. ῥαφὴ δὲ ἐν ἕλκει φανεῖσα ὀστέου ψιλωθέντος, πανταχοῦ τῆς κεφαλῆς τοῦ ἕλκεος γενομένου, ἀσθενέστατον γίνεται τῇ τρώσει καὶ τῷ βέλει ἀντέχειν, εἰ τύχῃ τὸ βέλος ἐς αὐτὴν τὴν ῥαφὴν στηριχθέν. πάντων δὲ μάλιστα ἢν τὸ βέλος ἐν τῷ βρέγματι γενόμενον κατὰ τὸ ἀσθενέστατον τῆς κεφαλῆς, καὶ αἱ ῥαφαὶ εἰ τύχοιεν οὖσαι περὶ τὸ ἕλκος, καὶ τὸ βέλος αὐτέων τύχοι τῶν ῥαφῶν. τιτρώσκεται δὲ ὀστέον τὸ ἐν κεφαλῇ, τοσούσδε τρόπους. τῶν δὲ τρόπων ἑκάστου πλέονες ἰδέαι γίνονται τοῦ κατήγματος ἐν τῇ τρώσει.

Ὀστέον ῥήγνυται τιτρωσκόμενον, καὶ τῷ περιέχοντι ὀστέῳ τὴν ῥωγμὴν ἀνάγκη φλάσιν προσγενέσθαι, ἤνπερ ῥαγῇ. τῶν γὰρ βελέων ὅτι περ ῥήγνυσι τὸ ὀστέον, τὸ αὐτὸ τοῦτο καὶ φλᾷ τὸ ὀστέον ἢ μᾶλλον ἢ ἧσσον. αὐτό τε ἐν ᾧπερ καὶ ῥήγνυσι τὴν ῥωγμήν. εἷς οὗτος τρόπος. ἰδέαι δὲ ῥωγμέων παντοῖαι γίνονται. καὶ γὰρ λεπτότεραί τε καὶ λεπταὶ πάνυ ὀστέου καταφανέες γίνονται. ἔστι δ' αἴτιον ῥωγμέων, ὅτε αὐτίκα μετὰ τὴν τρῶσιν, οὔτ' ἐν τῇσιν ἡμέρῃσιν ἐν ᾗσιν ἂν καὶ πόνων ὄφελος γένοιτο τοῦ θανάτου τῷ ἀνθρώπῳ. αἱ δ' αὖ, παχύτεραί τε καὶ εὐρύτεραι γίνονται τῶν ῥωγμέων. ἔνιαι δὲ, καὶ πάνυ εὐρέαι. καὶ αἱ μὲν, ἐπὶ μακρότερον ῥήγνυνται. αἱ δὲ, ἐπὶ βραχύτερον. καὶ αἱ μὲν, ἰθύτεραι. αἱ δὲ, ἰθεῖαι τε καὶ πάνυ. αἱ δὲ, καμπυλώτεραί τε καὶ καμπύλαι καὶ βαθύτεραι. αἱ δὲ, ἐς τὸ κάτω καὶ διὰ παντὸς τοῦ ὀστέου.

Φλασθείη δ' ἂν τὸ ὀστέον ἐν τῇ ἑωυτοῦ φύσει, καὶ ῥωγμὴ τῇ φλάσει οὐκ ἂν προσγένοιτο τῷ ὀστέῳ οὐδεμία. δεύτερος οὗτος. ἰδέαι δὲ τῆς φλάσιος, πλείους γίνονται. καὶ γὰρ μᾶλλόν τε καὶ ἧσσον φλᾶται καὶ ἐς βαθύτερόν τε καὶ διὰ παντὸς τοῦ ὀστέου, καὶ ἧσσον ἐς βαθὺ, καὶ διὰ παντὸς τοῦ ὀστέου, καὶ ἐπὶ πλέον τε καὶ ἔλασσον, μήκεός τε καὶ πλατύτητος. ἀλλὰ τουτέων τῶν ἰδεῶν, οὐδεμία ἐστὶν ἰδόντι τοῖσιν ὀφθαλμοῖσι γνῶναι, ὁποίη τίς ἐστι τὴν ἰδέην, καὶ ὁπόση τὸ μέγεθος. οὐδὲ γὰρ εἰ πέφλασται, ἐόντων πεφλασμένων καὶ τοῦ κακοῦ γεγενημένου, γίνεται τοῖσιν ὀφθαλμοῖσι καταφανὲς ἰδεῖν αὐτίκα μετὰ τὴν τρῶσιν. ὥσπερ οὐδὲ τῶν ῥωγμέων ἔνιαι ἑκὰς ἐοῦσαι καὶ ἐρρωγότος τοῦ ὀστέου.

Ἐσφλᾶται τὸ ὀστέον ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ ἔσω σὺν ῥωγμῇσιν. ἄλλως γὰρ οὐκ ἂν ἐσφλασθείη. τὸ γὰρ ἐσφλώμενον, ἀπορρηγνύμενόν τε καὶ καταγνύμενον, ἐσφλᾶται ἔσω ἀπὸ τοῦ ἄλλου ὀστέου μένοντος ἐν τῇ φύσει τῇ ἑωυτοῦ. καὶ δὴ οὕτω ῥωγμὴ ἂν προσείη τῇ ἐσφλάσει. τρίτος οὗτος τρόπος. ἐσφλᾶται δὲ τὸ ὀστέον πολλὰς ἰδέας. καὶ γὰρ ἐπὶ πλέον τοῦ ὀστέου καὶ ἐπ' ἔλασσον. καὶ μᾶλλόν τε καὶ ἐς βαθύτερον κάτω. καὶ ἧσσόν τε καὶ ἐπιπολαιότερον.

Καὶ ἕδρης γενομένης ἐν τῷ ὀστέῳ βέλεος προσγένοιτο ἂν ῥωγμὴ τῇ ἕδρῃ, τῇ τε ῥωγμῇ καὶ φλάσιν προσγενέσθαι ἀναγκαῖόν ἐστιν ἢ μᾶλλον ἢ ἧσσον, ἤνπερ καὶ ῥωγμὴ προσγένηται ἔνθαπερ καὶ ἕδρη ἐγένετο. καὶ ἡ ῥωγμὴ ἐν τῷ ὀστέῳ τῷ περιέχοντι τήν τε ἕδρην καὶ τὴν φλάσιν. τέταρτος οὗτος τρόπος. καὶ ἕδρη δὲ τοῦ βέλεος γίνεται ἐν τῷ ὀστέῳ. ἕδρη δὲ καλέεται, ὅταν μένον τὸ ὀστέον ἐν τῇ ἑωυτοῦ φύσει τὸ βέλος στηρίξαν ἐς τὸ ὀστέον δῆλον ποιήσῃ ὅπῃ ἐστηρίχθη. ἐν δὲ τῷ τρόπῳ ἑκάστῳ πλέονες ἰδέαι γίνονται. καὶ περὶ μὲν φλάσιος καὶ ῥωγμῆς, ἢν ἄμφω ταῦτα προσγίνηται τῇ ἕδρῃ, καὶ ἢν φλάσις μούνη γένηται, ἤδη πέφρασται, ὅτι πολλαὶ ἰδέαι γίνονται καὶ τῆς φλάσιος καὶ τῆς ῥωγμῆς. ἡ δὲ ἕδρη αὐτὴ, ἐφ' ἑωυτῆς γίνεται μακροτέρη καὶ βραχυτέρη ἐοῦσα, καὶ καμπυλωτέρη, καὶ ἰθυτέρη, καὶ κυκλωτερὴς, καὶ πολλαὶ ἄλλαι ἰδέαι τοῦ τοιούτου τρόπου, ὁποῖον ἄν τι καὶ τὸ σχῆμα τοῦ βέλεος ᾖ. καὶ δ' αὐταὶ καὶ βαθύτεραί τε κάτω καὶ μᾶλλον καὶ ἧσσον. καὶ στενότεραι, καὶ εὐρύτεραι, καὶ πάνυ εὐρέαι. ἢ διακεκόφαται, διακοπὴ δ' ὁπόση τις ἂν γινομένη μήκεός τε καὶ εὐρύτητος ἐν τῷ ὀστέῳ ἕδρην ἐστίν. ἢν τ' ἄλλ' ὀστέα, τὰ περιέχοντα τὴν διακοπὴν μένῃ ἐν τῇ φύσει τῇ ἑωυτῶν, καὶ μὴ συνεσφλᾶται τῇ διακοπῇ ἔσω ἐκ τῆς φύσιος τῆς ἑωυτῶν. οὕτω

δ' ἔσφλασις

δ' ἔσφλασις ἂν εἴη καὶ οὐκ ἔτι ἕδρη ὀστέου τιτρώσκεται, ἀλλ' ἢ τῆς κεφαλῆς ᾗ τὸ ἕλκος ἔχει ἄνθρωπος καὶ τὸ ὀστέον ἐψιλώθη τῆς σαρκός. πέμπτος οὗτος τρόπος. καὶ ταύτην τὴν ξυμφορὴν ὅταν γένηται, οὐκ ἂν ἔχοις ὠφελῆσαι οὐδέν. οὐδὲ γὰρ εἰ πέπονθε τὸ κακὸν τοῦτο οὐκ ἔστιν ὅπως χρὴ αὐτὸν ἐξελέγξαντα εἰδέναι εἰ πέπονθεν τὸ κακὸν τοῦτο ἄνθρωπος, οὐδ' ὅπη τῆς κεφαλῆς. τούτων τῶν τρόπων τῆς κατήξιος ἐς πρίσιν ἀφήκει. ἥτε φλάσις ἡ ἀφανὴς ἰδεῖν. καὶ ἢν πως τύχῃ φανερὴ γενομένη. καὶ ῥωγμὴ ἢν ἀφανὴς ἰδεῖν. καὶ ἢν φανερὴ ἦν. καὶ ἢν ἕδρης γενομένης τοῦ βέλεος ἐν τῷ ὀστέῳ προσγένηται ῥωγμὴ καὶ φλάσις τῇ ἕδρῃ. καὶ ἢν φλάσις μοῦνον προσγένηται ἄνευ ῥωγμῆς τῇ ἕδρῃ, καὶ αὕτη ἐς πρίσιν ἀφήκει. τὸ δ' ἔσω ἐσφλώμενον ὀστέον ἐκ τῆς φύσιος, τῆς ἑωυτοῦ, ὀλίγα τῶν πολλῶν πρίσιος προσδέεται. καὶ τὰ μάλιστα ἐσφλασθέντα καὶ μάλιστα καταῤῥαγέντα, ταῦτα πρίσιος ἥκιστα κέχρηται. οὐδὲ ἕδρη αὐτὴ ἐφ' ἑωυτῆς γενομένη ἄτερ ῥωγμῆς καὶ φλάσιος, οὐδὲ αὐτὴ πρίσιος δέεται. οὐδ' ἡ διακοπὴ ἢν μεγάλη καὶ εὐρέη, οὐδ' αὕτη. διακοπὴ γὰρ καὶ ἕδρη ταὐτό ἐστιν. πρῶτον δὲ χρὴ τὸν τρωματίην σκοπεῖσθαι, ὅπῃ ἔχει τὸ τρῶμα τῆς κεφαλῆς, εἴτ' ἐν τοῖσιν ἀσθενεστέροισιν. καὶ τὰς τρίχας καταμανθάνειν τὰς περὶ τὸ ἕλκος, εἰ διακεκόφαται ὑπὸ τοῦ βέλεος, καὶ εἰ ἔσω ἔησαν ἐς τὸ τρῶμα, κινδυνεύειν τὸ ὀστέον ψιλὸν εἶναι τῆς σαρκός. καὶ ἢν τοῦτο ᾖ, φάναι ἔχειν τι σίνος τὸ ὀστέον ὑπὸ τοῦ βέλεος. ταῦτα μὲν οὖν χρὴ ἀποπρόσωθεν σκεψάμενον λέξαι, μὴ ἁπτόμενον τοῦ ἀνθρώπου. ἁπτόμενον δ' ἤδη πειρᾶσθαι εἰδέναι σάφα, εἰ ἔστι ψιλὸν τὸ ὀστέον τῆς σαρκὸς ἢ οὔ. καὶ ἢν μὲν καταφανὲς ᾖ τοῖσιν ὀφθαλμοῖσι τὸ ὀστέον ψιλόν. εἰ δὲ μὴ, τῇ μήλῃ σκέπτεσθαι. καὶ ἢν μὲν εὕρῃς ψιλὸν ἐὸν τὸ ὀστέον τῆς σαρκὸς, καὶ μὴ ὑγιὲς ἀπὸ τοῦ τρώματος, χρὴ τοῦ ἐν τῷ ὀστέῳ ἐόντος τὴν διάγνωσιν πρῶτα ποιέεσθαι, ὁρῶντα ὅσον τέ ἐστι τὸ κακὸν, καὶ τίνος δέεται ἔργου. χρὴ δὲ καὶ ἐρωτᾶν τὸν τετρωμένον ὅπως ἔπαθε καὶ τίνα τρόπον. ἢν δὲ μὴ καταφανὲς ᾖ τὸ ὀστέον, εἰ ἔχει τι κακὸν ἢ μὴ ἔχει, πολλῷ ἔτι χρὴ μᾶλλον τὴν ἐρώτησιν ποιέεσθαι, ψιλοῦ τε ἐόντος τοῦ ὀστέου τὸ τρῶμα ὅπως ἐγένετο, καὶ ὃν τινα τρόπον. τὰς γὰρ φλάσιας, καὶ τὰς ῥωγμὰς τὰς οὐ φαινομένας ἐν τῷ ὀστέῳ, ἐνεούσας δὲ ἐκ τῆς ὑποκρίσιος τοῦ τετρωμένου πρῶτον διαγινώσκειν πειρᾶσθαι εἴτι πέπονθε τοῦτο τὸ ὀστέον ἢ οὐ πέπονθεν. ἔπειτα δὲ καὶ λόγῳ καὶ ἔργῳ ἐξελέγχοντα πλὴν μηλώσιος. μήλωσις γὰρ οὐκ ἐξελέγχει εἰ πέπονθε τοῦτο τῶν κακῶν τὸ ὀστέον, καὶ εἴτι ἔχει ἐν αὐτῷ, ἢ οὐ πέπονθεν, ἀλλ' ἕδρην τε τοῦ βέλεος ἐξελέγχει μήλωσις. καὶ ἢν ἐμφλασθῇ τὸ ὀστέον ἔσω ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ. καὶ ἢν ἰσχυρῶς ῥαγῇ τὸ ὀστέον, ἅπερ καὶ τοῖσιν ὀφθαλμοῖσι καταφανέα ἐστὶν ὁρῶντα γινώσκειν. ῥήγνυται δὲ τὸ ὀστέον τάς τε ἀφανέας ῥωγμὰς καὶ τὰς φανεράς. καὶ φλᾶται τὰς ἀφανέας φλάσιας καὶ ἐσφλᾶται ἔσω ἐκ τῆς φύσεως τῆς ἑωυτοῦ μάλιστα. ὅταν ἕτερος ὑφ' ἑτέρου τιτρωσκόμενος ἐπίτηδες τρῶσαι βουλόμενος. ἢ ὅταν ἐξ ὑψηλοτέρης γίνηται ἡ βολὴ ἢ ἡ πληγὴ, ὁποτέρη ἂν ᾖ μᾶλλον. ἢ ὅτ' ἂν ἐξ ἰσοπέδου τοῦ χωρίου. καὶ ἢν περικρατέῃ τῇ χειρὶ τὸ βέλος, ἤν τε βάλλῃ, ἤν τε τύπτῃ. καὶ ἰσχυρότερος ἐὼν ἀσθενεστέρους τιτρώσκει. ὅσοι δὲ πίπτοντες τιτρώσκονται, πρός τε τὸ ὀστέον. καὶ αὐτὸ τὸ ὀστέον. ὁ ἀπὸ ὑψηλοτάτου πίπτων καὶ ἐπὶ σκληρότατον καὶ ἀμβλύτατον, τούτῳ κίνδυνος τὸ ὀστέον ῥαγῆναί τε καὶ φλασθῆναι, καὶ ἔσω ἐσφλασθῆναι ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ. τῷ δ' ἐξ ἰσοπέδου μᾶλλον χωρίου πίπτοντι καὶ ἐπὶ μαλθακώτερον, ἧσσον ταῦτα πάσχει τὸ ὀστέον, ἢ οὐκ ἂν πάθοι. ὅσα δὲ ἐσπίπτοντα ἐς τὴν κεφαλὴν βέλεα τιτρώσκει πρὸς τὸ ὀστέον, τὸ ἀπὸ ὑψηλοτάτου ἐμπεσὸν καὶ ἥκιστα ἐξ ἰσοπέδου. καὶ σκληρότατόν τε καὶ ἀμβλύτατον. καὶ βαρύτατον, καὶ ἥκιστα κοῦφον. καὶ ἥκιστά τε καὶ ὀξὺ καὶ μαλθακὸν, τοῦτο ἂν ῥήξειε τὸ ὀστέον καὶ φλάσειε. καὶ μάλιστά γε ταῦτα πάσχειν τὸ ὀστέον κίνδυνος, ὅταν ταῦτα τε γίνηται, καὶ ἐς ἰθὺ τρωθῆναι κατ' ἀντίον γένηται τὸ ὀστέον τοῦ βέλεος. ἤν τε πληγῇ ἐκ χειρός. ἤν τε βληθῇ. ἤν τέ τι ἐμπέσῃ αὐτέῳ. καὶ ἢν αὐτὸς καταπεσὼν τρωθῇ. καὶ ὁπωσοῦν τρωθεὶς κατ' ἀντίον γένοιτο τοῦ ὀστέου τῷ βέλει. τὰ δὲ πλάγιον τοῦ ὀστέου παρασύραντα βέλεα, ἧσσον καὶ ῥήγνυσι τὸ ὀστέον, καὶ φλάσει εἴσω ἐς κεφαλὴν, κἂν ψιλωθῇ τὸ ὀστέον τῆς σαρκός. ἔνια γὰρ τῶν τρωμάτων τῶν οὕτω τρωθέντων οὐδὲ ψιλοῦται τὸ ὀστέον τῆς σαρκός. τῶν δὴ βελέων ῥήγνυσι μάλιστα τὸ ὀστέον, τάς τε φανερὰς ῥωγμὰς καὶ τὰς ἀφανέας καὶ φλᾶται καὶ ἐσφλᾶ ἔσω ἐκ τῆς φύσιος τῆς ἑωυτοῦ τὸ ὀστέον τὰ στρογγύλα τε καὶ περιφερέα. καὶ ἀρτίστομα, ἀμβλέα τε ὄντα καὶ βαρέα, καὶ σκληρά. καὶ τὴν σάρκα ταῦτα φλᾶται, καὶ πέπειρον ποιέει, καὶ κόπτει. καὶ τὰ ἕλκεα γίνεται ὑπὸ τῶν τοιούτων βελέων

τῶν βελέων εἰσὶ τὸ πλάγιον. καὶ ἐν κύκλῳ ὑπόκοιλα καὶ διάπυά τε μᾶλλον γίνεται καὶ ὑγρὰ ἔστι καὶ ἐπὶ πλέονα χρόνον καθαίρεται. ἀνάγκη γὰρ τὰς σάρκας τὰς φλασθείσας καὶ κοπείσας πύον γενομένας ἐκτακῆναι. τὰ δὲ βέλεα καὶ περιμήκεα ἐπὶ πολὺ λεπτὰ ἐόντα καὶ ὀξέα καὶ κοῦφα, τήν τε σάρκα διατάμνει μᾶλλον ἢ φλᾷ. καὶ ὀστέον ὡσαύτως. καὶ ἕδρην μὲν ἐμποιέει αὐτῷ καὶ διακόψαν. διακοπὴ γὰρ καὶ ἕδρη τωυτόν ἐστι. φλᾷ δὲ οὐ μάλα τὸ ὀστέον τὰ τοιαῦτα βέλεα. οὐδὲ ῥήγνυσιν, οὐδ᾽ ἐκ τῆς φύσιος ἔσω ἐσφλᾷ. ἀλλὰ χρὴ πρὸς τῇ ὄψει τῇ ἑωυτοῦ ὅ, τι ἄν σοι φαίνηται ἐν τῷ ὀστέῳ καὶ ἐρώτησιν ποιέεσθαι πάντων τούτων. τοῦ γὰρ μᾶλλον τε καὶ ἧσσον τρωθέντος ταῦτ᾽ ἐστὶ σημεῖα. καὶ ἢν ὁ τρωθεὶς καρωθῇ. καὶ σκότος περιχυθῇ. καὶ δῖνος. ἢ καὶ πέσῃ. ὅτ᾽ ἂν δὲ τύχῃ ψιλωθὲν τὸ ὀστέον τῆς σαρκὸς ὑπὸ τοῦ βέλεος καὶ τύχῃ κατ᾽ αὐτὰς τὰς ῥαφὰς γενόμενον τὸ ἕλκος, χαλεπὸν γίνεται καὶ τὴν ἕδρην τοῦ βέλεος φράσασθαι τὴν ἐν τῷ ἄλλῳ ὀστέῳ φανερὴν γινομένην. εἴτ᾽ ἔνεστιν ἐν τῷ ὀστέῳ. εἴ τε μὴ ἔνεστιν. ἤν τε τύχῃ γινομένη ἡ ἕδρη ἐν αὐτῇσι τῇσι ῥαφῇσι. συμβλέπει γὰρ αὐτὴ ἡ ῥαφὴ τρηχυτέρη ἐοῦσα τοῦ ἄλλου ὀστέου. καὶ οὐ διάδηλον ὅτι τε αὐτῆς ῥαφή ἐστιν, καὶ ὅτι τοῦ βέλεος ἕδρη, ἢν μὴ κάρτα μεγάλη γένηται ἡ ἕδρη. προσγίνεται δὲ καὶ ῥῆξις τῇ ἕδρῃ ὡς ἐπὶ τὸ πουλὺ αὕτη ἐν τῇσι ῥαφῇσι γινομένη, καὶ γίνεται καὶ αὐτὴ ἡ ῥῆξις χαλεπωτέρη φράσασθαι ἐῤῥωγότος τοῦ ὀστέου, διὰ τοῦτο, ὅτι κατ᾽ αὐτὴν τὴν ῥαφὴν ἡ ῥῆξις γίνεται, ἢν ῥηγνύηται ὡς ἐπὶ τὸ πουλύ. ἕτοιμον γὰρ ταύτῃ ῥήγνυσθαι τὸ ὀστέον, καὶ διαχαλᾶν διὰ τὴν ἀσθένειαν τῆς φύσιος τοῦ ὀστέου ταύτῃ, καὶ ἀραιότητα, καὶ διά τε τῆς ῥαφῆς ἑτοίμης ἐούσης ῥήγνυσθαι, καὶ διαχαλᾶν τὰ ἄλλα τὰ ὀστέα τὰ περιέχοντα τὴν ῥαφὴν μὲν εἰ ἄῤῥαγέα, ὅτι ἰσχυρότερά ἐστι τῆς ῥαφῆς. ἡ δὲ ῥῆξις ἡ κατὰ τὴν ῥαφὴν γινομένη καὶ διαχάλασίς ἐστιν τῆς ῥαφῆς, καὶ φράσασθαι οὐκ εὐμαρής ἢ, οὔτε ὑπὸ ἕδρης τοῦ βέλεος γενομένης ἐν τῇ ῥαφῇ, ἐπειδὰν ῥαγῇ καὶ διαχαλάσῃ, ἀλλ᾽ ἔστι χαλεπώτερον φράσασθαι τὴν ἀπὸ τῆς φλάσιος ῥωγμήν. συγκλέπτουσι γὰρ τὴν γνώμην καὶ τὴν ὄψιν τοῦ ἰητροῦ αὗται αἱ ῥαφαὶ ῥωγμοειδέες φαινόμεναι, καὶ τρηχύτεραι ἐοῦσαι τοῦ ἄλλου ὀστέου. ὅτι μὴ ἰσχυρῶς διεκόπη, καὶ διεχάλασε. διακοπὴ δὲ καὶ ἕδρη τωυτόν ἐστιν. ἀλλὰ χρὴ εἰ κατὰ τὰς ῥαφὰς τὸ τρῶμα γένοιτο καὶ πρός γε τὸ ὀστέον στηρίξειε τὸ βέλος, προσέχοντα τὸν νόον ἐνθυμεῖσθαι ὅ, τι πέπονθεν τὸ ὀστέον. ἀπὸ γὰρ ἴσων βελέων τὸ μέγεθος καὶ ὁμοίων. καὶ πολλόν τε ἐλασσόνων καὶ ὁμοίως τρωθεὶς καὶ πολὺ ἧσσον, πολλῷ μεῖζον ἐκτήσατο τὸ κακὸν ἐν τῷ ὀστέῳ εἰς τὰς ῥαφὰς δεξάμενος τὸ βέλος, ἢ ὁ μὴ εἰς τὰς ῥαφὰς δεξάμενος. καὶ τούτων τὰ πολλὰ πρίεσθαι δεῖ. ἀλλ᾽ οὐ χρὴ αὐτὰς τὰς ῥαφὰς πρίειν, ἀλλ᾽ ἀποχωρήσαντα ἐν τῷ πλησίον ὀστέῳ τὴν πρίσιν ποιέεσθαι, ἢν πρίῃς. περὶ δὲ ἰήσιος τρώσιος τῶν ἐν τῇ κεφαλῇ, καὶ ὡς χρὴ ἐξελέγχειν τὰς πάθας τὰς ἐν τῷ ὀστέῳ γινομένας τὰς μὴ φανερὰς, ὧδέ μοι δοκέει. ἕλκος ἐν τῇ κεφαλῇ οὐ χρὴ τέγγειν οὐδενὶ, οὐδὲ οἴνῳ, ἀλλ᾽ ὡς ἥκιστα. οὐδὲ καταπλάσσειν οὐδὲ μοτῷ τὴν ἴησιν ποιέεσθαι. οὐδὲ πιέζειν χρὴ ἕλκος ἐν κεφαλῇ, ἢν μὴ ἐν τῷ μετώπῳ ᾖ τὸ ἕλκος, ἢ ἐν τῷ ψιλῷ τῶν τριχῶν, ἢ περὶ τὴν ὀφρὺν καὶ τὸν ὀφθαλμόν. ἐνταῦθα δὲ γινόμενα τὰ ἕλκεα, καταπλάσιος καὶ ἐπιδέσιος μᾶλλον κεχρῆται ἢ πού ἄλλοθι τῆς κεφαλῆς τῆς ἄλλης. περιέχει γὰρ ἡ κεφαλὴ ἡ ἄλλη τὸ μέτωπον πᾶν. ἐκ δὲ τῶν περιεχόντων τὰ ἕλκεα, καὶ ἐν ὅτῳ ἂν ᾖ τὰ ἕλκεα φλεγμαίνει καὶ ἐπανοιδίσκεται δι᾽ αἵματος ἐπιῤῥοήν. χρὴ δὲ οὐδὲ τὰ ἐν τῷ μετώπῳ διὰ παντὸς τοῦ χρόνου καταπλάσσειν καὶ ἐπιδεῖν, ἀλλ᾽ ἐπειδὰν παύσηται φλεγμαίνοντα, καὶ τὸ οἴδημα κατασῇ, παύσασθαι καταπλάσσοντα καὶ ἐπιδέοντα. ἐν δὲ τῇ ἄλλῃ κεφαλῇ ἕλκος οὔτε μοτοῦν χρὴ, οὔτε καταπλάσσειν, οὔτ᾽ ἐπιδεῖν, εἰ μὴ καὶ τομῆς δέοιτο. τάμνειν δὲ χρὴ τῶν ἑλκέων τῶν ἐν τῇ κεφαλῇ γινομένων καὶ ἐν μετώπῳ ὅπη ἂν τὸ μὲν ὀστέον ψιλὸν ᾖ τῆς σαρκὸς, καὶ δοκέῃ τι σίνος ἔχειν ὑπὸ τοῦ βέλεος. τὰ δὲ ἕλκεα μὴ ἱκανὰ τὸ μέγεθος τοῦ μήκεος καὶ τῆς εὐρύτητος, εἰς τὴν σκέψιν τοῦ ὀστέου εἴ τι πέπονθεν ὑπὸ τοῦ βέλεος κακὸν, καὶ ὁποῖόν τι πέπονθεν, καὶ ὅσον ἡ μὲν σὰρξ πέφλασται, καὶ τὸ ὀστέον ἔχει τὸ σίνος. καὶ δ᾽ αὖτε εἰ ἀσινές τέ ἐστιν τὸ ὀστέον ὑπὸ τοῦ βέλεος, καὶ μηδὲν πέπονθε κακόν. καὶ εἰς τὴν ἴησιν, οἵης δέεται τινός τό τε ἕλκος. ἥ τε σὰρξ. καὶ ἡ πάθη τοῦ ὀστέου. τὰ δὴ τοιαῦτα τῶν ἑλκέων, τομῆς δέεται. αὖ καὶ τὸ μὲν ὀστέον ψιλωθῇ τῆς σαρκὸς, ὑπόκοιλα δὲ ᾖ εἰς πλάγιον ἐπὶ πολὺ ἐπανατάμνειν τὸ κοῖλον, ὅκου μὴ εὐχερὲς τῷ φαρμάκῳ ἀφικέσθαι, ὁκοίῳ ἂν τινι χρῇ καὶ τὰ κυκλοτερέα τῶν ἑλκέων, καὶ ὑπόκοιλα ἐπὶ πολὺ, καὶ τὰ τοιαῦτα ἐπανατάμνων τὸν κύκλον δίχα

κα

κατὰ μῆκος, ὡς πέφυκεν ἄνθρωπος, μακρὸν ποιέειν τὸ ἕλκος. τάμνοντι δὲ κεφαλὴν, τὰ μὲν ἄλλα τῆς κεφαλῆς, ἀσφαλέην ἔχει τεμνόμενα. ὁ δὲ κρόταφος, καὶ ἄνωθεν ἔτι τοῦ κροτάφου κατὰ τὴν φλέβα, τὴν διὰ τοῦ κροτάφου φερομένην, τοῦτο δὲ τὸ χωρίον μὴ τάμνειν, σπασμὸς γὰρ ἐπιλαμβάνει τὸν τμηθέντα. καὶ ἢν μὲν ἐπ᾽ ἀριστερὰ τμηθῇ κροτάφου, τὰ ἐπὶ δεξιὰ ὁ σπασμὸς ἐπιλαμβάνει. ἢν δ᾽ αὖ ἐπὶ τὰ δεξιὰ τμηθῇ κροτάφου, τὰ ἐπ᾽ ἀριστερὰ ὁ σπασμὸς ἐπιλαμβάνει. ὅταν οὖν τάμνῃς ἕλκος ἐν κεφαλῇ, ὀστέων εἵνεκα τῆς σαρκὸς ἐψιλωμένων, θέλων εἰδέναι εἴ τι ἔχει τὸ ὀστέον κακὸν ὑπὸ τοῦ βέλεος ἢ καὶ οὐκ ἔχει, τάμνειν χρὴ τὸ μέγεθος τὴν ὠτειλὴν, ὅσον ἂν δοκέῃ ἄνω χρῆναι. τάμνοντα δὲ χρὴ ἀναστεῖλαι τὴν σάρκα ἀπὸ τοῦ ὀστέου, ἣ πρὸς τῇ μήνιγγι καὶ πρὸς τῷ ὀστέῳ πέφυκεν. ἔπειτα διαμοτῶσαι τὸ ἕλκος πᾶν μοτῷ, ὅς τις ἂν εὐρύτατον τὸ ἕλκος παρέξει ἐς τὴν ὑστεραίην ξὺν ἐλαχίστῳ πόνῳ. μοτώσαντα δὲ καταπλάσματι χρῆσθαι ὅσον ἂν χρόνον καὶ τῷ μοτῷ, μάζην ἐκ λεπτῶν ἀλφίτων, ἐν ὄξει διαμάσσειν ἢ ἕψειν καὶ γλίσχρην ποιέειν ὡς μάλιστα. τῇ δ᾽ ὑστεραίῃ ἡμέρῃ ἐπειδὰν ἐξέλῃς τὸν μοτὸν, κατιδὼν τὸ ὀστέον ὅτι πέπονθεν, ἐὰν μήπω καταφανὴς ᾖ ἡ τρῶσις, ὁποίη τίς ἐστιν ἐν τῷ ὀστέῳ. μὴ δὲ διαγινώσκῃς εἴ τέ τι ἔχει τὸ ὀστέον κακὸν ἐν ἑωυτῷ, ἢ καὶ οὐκ ἔχει. τὸ δὲ βέλος δοκέῃ ἀφικέσθαι ἐς τὸ ὀστέον καὶ σινᾶσθαι. ἐπιξύειν χρὴ τῷ ξυστῆρι κατὰ βάθος καὶ κατὰ μῆκος τοῦ ἀνθρώπου ὡς πέφυκεν, καὶ αὖθις εἰ ἦν κάρσιον τὸ ὀστέον τῶν ῥήξιων εἵνεκα τῶν ἀφανέων ἰδεῖν. καὶ τῆς φλάσιος εἵνεκα τῆς ἀφανέος τῆς οὐκ ἐσφλωμένης εἴσω ἐκ τῆς φύσιος τῆς κεφαλῆς τοῦ ἄλλου ὀστέου. ἐξελέγχει γὰρ ἡ ξύσις μᾶλλον, ἢν μὴ καὶ ἄλλως καταφανέες ἔωσιν αὗται αἱ πάθαι οὖσαι ἐν τῷ ὀστέῳ τοῦ βέλεος. καὶ ἢν ἕδρην ἴδῃς ἐν τῷ ὀστέῳ τοῦ βέλεος, ἐπιξύειν χρὴ αὐτήν τε τὴν ἕδρην τοῦ βέλεος, καὶ τὰ περιέχοντα αὐτὴν ὀστέα, μὴ πολλάκις τῇ ἕδρῃ προσγένηται ῥῆξις, καὶ φλάσις. ἢ μούνη φλάσις. ἔπειτα λανθάνῃ οὐ καταφανέα ἐόντα. ἐπειδὰν δὲ ξύσῃς τὸ ὀστέον τῷ ξυστῆρι, ἢν μὲν δοκέῃ ἐς πρίσιν ἀφικνεῖν ἡ τρῶσις τοῦ ὀστέου, πρίειν χρὴ καὶ τὰς τρεῖς ἡμέρας μὴ ὑπερβάλλειν ἀπρίωτον, ἀλλ᾽ ἐν ταύτῃσι πρίειν, ἄλλως τε καὶ τῆς θερμῆς ὥρης ἢν ἐξ ἀρχῆς λαμβάνῃς τὸ ἴημα. ἢν δὲ ὑποπτεύσῃς μὲν τὸ ὀστέον ἐῤῥωγέναι, ἢ πεφλάσθαι, ἢ ἀμφότερα ταῦτα, τεκμαιρόμενος ὅτι ἰσχυρῶς τέτρωται ἐκ τῶν λόγων τοῦ τρωματίου. καὶ ὅτι ὑπὸ ἰσχυροῦ τοῦ τρώσαντος, ἢν ἕτερος ὑφ᾽ ἑτέρου τρωθῇ. καὶ τὸ βέλος ὅτῳ ἐτρώθη, ὅτι τῶν κακούργων βελέων ἦν. ἔπειτα τὸν ἄνθρωπον, ὅτι δῖνός τε ἔλαβεν καὶ σκότος καὶ ἐκαρώθη καὶ κατέπεσεν. τούτων δὲ οὕτω γινομένων. ἢν μὴ διαγινώσκῃς, εἰ ἔῤῥωγε τὸ ὀστέον. ἢ πέφλασται. ἢ καὶ ἀμφότερα ταῦτα. μήτε ἄλλως ὁρῶν. δεῖ δὴ ἐπὶ τὸ ὀστέον τήκων τὸ μελάντατον δεύσας τι τῷ μέλανι φαρμάκῳ τῷ τηκομένῳ. τὸ ἕλκος ὑποτείνας ὀθόνιον. ἐλαίῳ τέγξας. εἶτα καταπλάσας τῇ μάζῃ ἐπιδῆσαι. τῇ δ᾽ ὑστεραίῃ, ἀπολύσας καὶ ἐκκαθήρας τὸ ἕλκος ἐπιξῦσαι. καὶ ἢν μὴ ᾖ ὑγιὲς, ἀλλ᾽ ἐῤῥώγῃ καὶ πεφλασμένον ᾖ. τὸ μὲν ἄλλο ἔσται ὀστέον, λευκὸν ξυόμενον. ἡ δὲ ῥωγμὴ καὶ ἡ φλάσις, καταταγέντος τοῦ φαρμάκου δεξαμένη τὸ φάρμακον ἐς ἑωυτὴν μέλαν ἐὸν ἔσται μέλαν ἐν λευκῷ τῷ ὀστέῳ τῷ ἄλλῳ. ἀλλὰ χρὴ αὖθις τὴν ῥωγμὴν ταύτην φανεῖσαν, ἐπιξύειν κατὰ βάθος. καὶ ἢν μὲν ἐπιξύων τὴν ῥωγμὴν ταύτην φανεῖσαν μέλαιναν ἐξέλῃς καὶ ἀφανέα ποιήσῃς. φλάσις μὲν γεγένηται τοῦ ὀστέου ἢ μᾶλλον ἢ ἧσσον, ἥ τις περ ἔῤῥηξε καὶ τὴν ῥωγμὴν τὴν ἀφανισθεῖσαν ὑπὸ τοῦ ξυστῆρος. ἧσσον δὲ φοβερὸν καὶ ἧσσον ἂν πρῆγμα ἀπ᾽ αὐτῆς γένοιτο ἀφανισθείσης τῆς ῥωγμῆς. ἢν δὲ κατὰ βάθος ᾖ καὶ μὴ ἐθέλῃ ἐξιέναι ἐπιξυομένη, ἀφικνέεται ἐς πρίσιν ἡ τοιαύτη ξυμφορή. ἀλλὰ χρὴ πρίσαντα τὰ λοιπὰ ἰητρεύειν τὸ ἕλκος. φυλάσσεσθαι δὲ χρὴ ὅπως μή τι κακὸν ἀπολαύσῃ τὸ ὀστέον ἀπὸ τῆς σαρκὸς, ἢν κακῶς ἰητρεύηται. ὀστέῳ γὰρ καὶ πεπρισμένῳ, καὶ ἄλλως ἐψιλωμένῳ, ὑγιεῖ δὲ ἐόντι, καὶ ἔχοντι τί σίνος ὑπὸ τοῦ βέλεος, δοκέοντι δὲ ὑγιεῖ εἶναι, κίνδυνός ἐστι μᾶλλον ὑπόπυον γενέσθαι ἢν καὶ ἄλλως μὴ μέλλῃ, ἢν καὶ ἡ σὰρξ ἡ περιέχουσα τὸ ὀστέον κακῶς θεραπεύηται καὶ φλεγμαίνηται καὶ περισφίγγηται. πυρετῶδες γὰρ γίνεται, καὶ πολλοῦ φλογμοῦ πλέων. καὶ δὴ τὸ ὀστέον ἐκ τῶν περιεχουσῶν σαρκέων ἐς ἑωυτὸ θέρμην τε καὶ φλογμὸν καὶ ἄραδον ἐμποιέει καὶ σφυγμὸν, καὶ ὅσα περ ἡ σὰρξ ἔχει κακὰ ἐν ἑωυτῇ, καὶ ἐκ τουτέων ὧδε ὑπόπυον γίνεται. κακὸν δὲ καὶ ὑγρήν τε εἶναι τὴν σάρκα ἐν τῷ ἕλκει. καὶ μυδῶσαν. καὶ ἐπὶ πολλὸν χρόνον καθαίρεσθαι. ἀλλὰ χρὴ διάπυον μὲν ποιῆσαι τὸ ἕλκος ὡς τάχιστα, οὕτω γὰρ ἂν ἥκιστα φλεγμαίνοι τὰ περιέχοντα τὸ ἕλκος, καὶ τάχιστα καθαρὸν εἴη. *

ἀνάγκη γὰρ ἔχει τὰς σάρκας τὰς κοπείσας, καὶ φλασθείσας ὑπὸ τοῦ βέλεος ὑποπύους γινομένας, ἐκτακῆναι. ἐπειδὰν δὲ καθαρθῇ, ξηρότερον χρὴ γίγνεσθαι τὸ ἕλκος. οὕτω γὰρ ἂν τάχιστα ὑγιὲς γένοιτο ξηρῆς σαρκὸς βλαστούσης καὶ μὴ ὑγρῆς. καὶ οὕτως οὐκ ἂν ὑπερσαρκήσει τὸ ἕλκος. ὁ δ' αὐτὸς λόγος καὶ ὑπὲρ τῆς μήνιγγος τῆς περὶ τὸν ἐγκέφαλον. ἢν γὰρ αὐτίκα ἐκ πρίσας τὸ ὀστέον καὶ ἀφελὼν ἀπὸ τῆς μήνιγγος ψιλώσας, αὐτὴν καθαρὴν χρὴ ποιῆσαι ὡς τάχιστα καὶ ξηρήν. ὡς μὴ ἐπὶ πουλὺν χρόνον ἐοῦσα μυδήσῃ τε καὶ ἐξαίρηται. τούτων γὰρ οὕτω γινομένων, σαπῆναι αὐτὴν κίνδυνος. ὀστέον δὲ ὅτι δεῖ ἀποστῆναι διότι ἄλλου ὀστέου ἕλκεος ἐν κεφαλῇ γενομένου, ἕδρης τε ἐούσης τοῦ βέλεος ἐν τῷ ὀστέῳ, ἢ ἄλλως ἐπὶ πουλὺ ψιλωθέντος τοῦ ὀστέου, ἀφίσταται ἐπὶ πουλὺ ἔξαιμον γινόμενον. ἀναξηραίνεται γὰρ τὸ αἷμα ἐκ τοῦ ὀστέου ὑπό τε τοῦ χρόνου καὶ ὑπὸ φαρμάκων τῶν πλείστων. τάχιστα δ' ἂν ἀποσταίη, εἴ τις τὸ ἕλκος ὡς τάχιστα καθήρας ξηραίνοιτο λοιπὸν τότε ἕλκος καὶ τὸ ὀστέον. καὶ τὸ μεῖζον καὶ τὸ ἧσσον. τὸ γὰρ τάχιστα ἀποξηρανθὲν καὶ ἀποστρακωθὲν, ἐν τούτῳ μάλιστα ἀφίσταται ἀπὸ τοῦ ἄλλου ὀστέου τοῦ ἐναίμου τε καὶ ζῶντος αὐτέου, ἔξαιμόν τε γενόμενον καὶ ξηρὸν τῷ ἐναίμῳ καὶ ζῶντι μάλα ἀφίσταται. ὅσα δὲ τῶν ὀστέων ἐσφλᾶται ἔσω, ἐκ τῆς φύσιος τῆς ἑωυτῶν καταῤῥαγέντα ἢ καὶ διακοπέντα πάνυ εὐρέα, ἀκινδυνότερα τὰ τοιαῦτα γίνεται. ἐπὴν ἡ μῆνιγξ ὑγιὴς ᾖ. καὶ τὰ πλέοσι ῥωγμῇσιν ἐσκαταῤῥαγέντα καὶ εὐρυτέρῃσιν, ἔτι ἀκινδυνότερα καὶ εὐμαρέστερα τὴν ἀφαίρεσιν γίνεται. καὶ οὐ χρὴ πρίειν τῶν τοιούτων οὐδέν. οὐδὲ κινδυνεύειν τὰ ὀστέα πειρώμενον ἀφαιρέειν πρὶν ἢ αὐτόματα ἐπανίῃ εἰκὸς πρῶτον χαλάσαντος. ἐπανέρχεται δὲ τῆς σαρκὸς ὑποφυομένης. ὑποφύεται δὲ ἐκ τῆς διπλόης τοῦ ὀστέου καὶ ἐκ τοῦ ὑγιέος, ἢν ἡ ἄνωθεν μοῖρα τοῦ ὀστέου μούνη σφακελίσῃ. οὕτω δ' ἂν τάχιστα ἥ τε σὰρξ ὑποφύοιτο καὶ βλαστάνοι, καὶ τὰ ὀστέα ἐπανίοι, εἴ τις τὸ ἕλκος ὡς τάχιστα διαπύον ποιήσας καθαρὸν ποιήσαιτο. καὶ ἢν διὰ παντὸς τοῦ ὀστέου ἄμφω αἱ μοῖραι ἐσφλασθῶσιν ἔσω ἐς τὴν μήνιγγα, ἥ τε ἄνω μοίρη τοῦ ὀστέου καὶ ἡ κάτω, ἰητρεύοντι ὡσαύτως τὸ ἕλκος ὑγιὲς τάχιστα ἔσται. καὶ τὰ ὀστέα τάχιστα ἐπάνεισιν τὰ εὐφλασθέντα ἔσω. τῶν δὲ παιδίων τὰ ὀστέα καὶ λεπτότερά ἐστι καὶ μαλθακώτερα διὰ τόδε, ὅτι ἐναιμότερά ἐστι καὶ κοῖλα. καὶ ὅτι σηραγγώδεα. καὶ οὔτε πυκνά, οὔτε στερεά, καὶ ὑπὸ τῶν βελέων ἴσων τε ἐόντων καὶ ἀσθενεστέρων καὶ τρωθέντων ὁμοίως τε καὶ ἧσσον τὸ τοῦ νεωτέρου παιδίου, καὶ μᾶλλον καὶ θᾶσσον ὑποπυΐσκεται, ἢ τὸ τοῦ πρεσβυτέρου καὶ ἐν ἐλάσσονι χρόνῳ. καὶ ὅσα ἂν ἄλλως μέλλῃ ἀποθανεῖσθαι ἐκ τοῦ τρώματος ὁ νεώτερος τοῦ πρεσβυτέρου θᾶσσον ἀπόλλυται. ἀλλὰ χρὴ ἢν ψιλωθῇ τῆς σαρκὸς τὸ ὀστέον προσέχοντα τὸν νόον πειρᾶσθαι διαγινώσκειν ὅτι μὴ ἐστι τοῖσιν ὀφθαλμοῖσιν ἰδεῖν καὶ γνῶναι εἰ ἔῤῥωγε τὸ ὀστέον, καὶ εἰ πέφλασται ἢ μοῦνον πέφλασται. καὶ εἰ ἕδρης γενομένης τοῦ βέλεος πρόσεστι φλάσις ἢ ῥωγμὴ ἢ ἄμφω ταῦτα. καὶ ἤν τι τούτων πεπόνθῃ τὸ ὀστέον, ἀφεῖναι τοῦ αἵματος τρυπῶντα τὸ ὀστέον σμικρῷ τρυπάνῳ φυλασσόμενον ἐπ' ὀλίγον. λεπτότερον γὰρ τὸ ὀστέον. καὶ ἐπιπολαιότερον τῶν νέων ἢ τῶν πρεσβυτέρων. ὅς τις δὲ μέλλει ἐκ τρωμάτων ἐν κεφαλῇ ἀποθνήσκειν, καὶ μὴ δύναται αὐτὸν ὑγιᾶ γενέσθαι, μηδὲ σωθῆναι, ἐκ τῶνδε τῶν σημείων χρὴ τὴν διάγνωσιν ποιέεσθαι τοῦ μέλλοντος ἀποθνήσκειν, καὶ προλέγειν τὸ μέλλον ἔσεσθαι. πάσχει γὰρ τάδε. ὁπόταν τις ὀστέον κατεηγὸς, ἢ ἐῤῥωγὸς, ἢ πεφλασμένον, ἢ ὅτῳ γοῦν τρόπῳ κατεηγὸς ἐννοήσας ἁμάρτῃ. καὶ μήτε ξύσῃ, μήτε πρίσῃ, μήτε δεόμενον, μήτε δὲ ὡς ὑγιέος ὄντος τοῦ ὀστέου, πρὸ τῶν τεσσαρεσκαίδεκα ἡμερέων πυρετὸς ἐπιλήψεται ὡς ἐπὶ πολὺ ἐν χειμῶνι. ἐν δὲ τῷ θέρει μετὰ τὰς ἑπτὰ ἡμέρας ὁ πυρετὸς ἐπιλαμβάνει. καὶ ἐπειδὰν τοῦτο γένηται, τὸ ἕλκος ἄχροον γίνεται, καὶ ἐξ αὐτοῦ ἰχὼρ ῥέει σμικρὸς. καὶ τὸ φλεγμαῖνον ἐκτέθνηκεν ἐξ αὐτοῦ καὶ γλισχρῶδες γίνεται. καὶ φαίνεται, ὥσπερ τάριχος, χροιὴν πυῤῥὸν, ὑπόπελιον. καὶ τὸ ὀστέον σφακελίζειν τηνικαῦτα ἄρχεται. καὶ γίνεται πόρκνον, λεῖον ὄν. τελευταῖον δὲ ἔπωχρον γενόμενον ἢ ἔκλευκον. ὅτ' ἂν δ' ἤδη ὑπόπυον, ἢ ἐπὶ τῇ γλώσσῃ φλυκταῖναι γίνονται. καὶ παραφρονέων τελευτᾷ. καὶ σπασμὸς ἐπιλαμβάνει τοὺς πλείστους τὰ ἐπὶ θάτερα τοῦ σώματος. ἢν μὲν ἐν τῷ ἐπ' ἀριστερὰ τῆς κεφαλῆς ἔχῃ τὸ ἕλκος, τὰ ἐπὶ δεξιὰ τοῦ σώματος ὁ σπασμὸς λαμβάνει. ἢν δ' ἐν τῷ ἐπὶ δεξιὰ τῆς κεφαλῆς ἔχῃ τὸ ἕλκος, τὰ ἐπ' ἀριστερὰ τοῦ σώματος ὁ σπασμὸς ἐπιλαμβάνει. εἰσὶ δ' οἳ καὶ ἀπόπληκτοι γίνονται, καὶ οὕτως ἀπόλλυνται πρὸ ἑπτὰ ἡμερέων ἐν θέρει, ἢ τεσσάρων

καὶ δέκα

καὶ δεκάτῃ ἐν χειμῶνι. ὁμοίως δὲ τὰ σημεῖα ταῦτα σημαίνει, καὶ ἐν πρεσβυτέρῳ ἐόντι τῷ τρώματι, ἢ καὶ ἐν νεωτέρῳ. ἀλλὰ χρὴ εἰ ἐννοίῃς τὸν πυρετὸν ἐπιλαμβάνοντα, καὶ τῶν ἄλλων τι σημείων τούτῳ προσγιγνόμενον, μὴ διατρίβειν, ἀλλὰ πρίσαντα τὸ ὀστέον πρὸς τὴν μήνιγγα, ἢ καταξύσαντα τῷ ξυστῆρι. εὔπριστον δὲ γίνεται καὶ εὔξυστον. ἔπειτα τὰ λοιπὰ οὕτως ἰητρεύειν ὅπως ἂν δοκέῃ ξυμφέρειν πρὸς τὸ γινόμενον ὁρῶν. ὅταν δ' ἐπὶ τρώματι ἐν κεφαλῇ ἀνθρώπῳ ἢ τετρημένου ἢ ἀπρίστου, ἐψιλωμένου δὲ τοῦ ὀστέου, οἴδημα ἐπιγένηται ἐρυθρὸν καὶ ἐρυσιπελατῶδες ἐν τῷ προσώπῳ, καὶ ἐν τοῖσιν ὀφθαλμοῖσιν ἀμφοτέροισιν, ἢ τῷ ἑτέρῳ. καὶ εἴ τις ἅπτοιτο τοῦ οἰδήματος ὀδυνῶδες. καὶ πυρετὸς ἐπιλαμβάνει καὶ ῥῖγος. τὸ δὲ ἕλκος αὐτό τε ἀπὸ τῆς σαρκὸς καλῶς ἔχοι ἰδέσθαι καὶ τὸ ἀπὸ τοῦ ὀστέου, καὶ τὰ περιέχοντα τὸ ἕλκος ἔχῃ καλῶς, πλὴν τοῦ οἰδήματος τοῦ ἐν τῷ προσώπῳ. καὶ ἄλλην ἁμαρτάδα μὴ δὲ μίαν ἔχοι τὸ οἴδημα τῆς ἄλλης διαίτης, τούτου χρὴ τὴν κάτω κοιλίην ὑποκαθῆραι φαρμάκῳ, ὅ, τι χολὴν ἄγει. καὶ οὕτω καθαρθέντος, ὅ, τε πυρετὸς ἄφεσιν. καὶ τὸ οἴδημα καθίσταται. καὶ ὑγιὴς γίνεται. τὸ δὲ φάρμακον χρὴ διδόναι πρὸς τὴν δύναμιν τοῦ ἀνθρώπου ὁρῶν, ὡς ἂν ἔχῃ ἰσχύος. περὶ δὲ πρίσιος, ὅταν καταλάβῃ ἀνάγκη πρίσαι ἄνθρωπον, ὧδε γινώσκειν. ἢν ἐξ ἀρχῆς λαβὼν τὸ ἴημα πρίῃς, οὐ χρὴ ἐκπρίειν τὸ ὀστέον πρὸς τὴν μήνιγγα αὐτίκα. οὐ γὰρ συμφέρει τὴν μήνιγγα ψιλὴν εἶναι τοῦ ὀστέου ἐπὶ πολὺν χρόνον κακοπαθοῦσαν, ἀλλὰ τελευταῖον σάπη καὶ διεμύδησεν. ἔστι δὲ καὶ ἕτερος κίνδυνος ἢν αὐτίκα ἀφαιρέῃς πρὸς τὴν μήνιγγα ἐκπρίσας, τὸ ὀστέον τρῶσαι ἐν τῷ ἔργῳ τῷ πρίονι τὴν μήνιγγα. ἀλλὰ χρὴ πρίοντα, ἐπειδὰν ὀλίγου πάνυ δέῃ διαπεπρίσθαι, καὶ ἤδη κινέηται τὸ ὀστέον, παύσασθαι πρίοντα. καὶ ἐᾶν ὑπὸ τὸ αὐτόματον ἀποστῆναι τὸ ὀστέον. ἐν γὰρ τῷ διαπεπρισμένῳ ὀστέῳ καὶ ὑπολελειμμένῳ τῆς πρίσιος, οὐκ ἂν ἐπιγένοιτο κακὸν οὐδέν. λεπτὸν γὰρ τὸ λειπόμενον ἤδη γίνεται. τὰ δὲ λοιπὰ ἰῆσθαι χρὴ ὡς ἂν δοκέῃ ξυμφέρειν τῷ ἕλκει. πρίοντα δὲ χρὴ πυκινὰ ἐξαιρέειν τὸν πρίονα τῆς θερμασίης εἵνεκα τοῦ ὀστέου, καὶ ὕδατι ψυχρῷ ἐναποβάπτειν. θερμαινόμενος γὰρ ὑπὸ τῆς περιόδου πρίων, καὶ τὸ ὀστέον ἐκθερμαίνων καὶ ἀναξηραίνων, κατακαίει. καὶ μεῖζον ποιέει ἀφίστασθαι τὸ ὀστέον τὸ περιέχον τὴν πρίσιν ἢ ὅσον μέλλει ἀφίστασθαι. καὶ ἢν αὐτίκα βούλῃ ἐκπρίσαι πρὸς τὴν μήνιγγα, ἔπειτα ἀφελέειν τὸ ὀστέον, ὡσαύτως χρὴ πυκινά τε ἐξαιρέειν τὸν πρίονα καὶ ἐναποβάπτειν τῷ ὕδατι τῷ ψυχρῷ. ἢν δὲ μὴ ἐξ ἀρχῆς λαμβάνῃς τὸ ἴημα, ἀλλὰ παρ' ἄλλου παραδέχῃ ὑστερίζων τῆς ἰήσιος, πρίονι χρὴ χαρακτῷ ἐκπρίειν μὲν αὐτίκα τὸ ὀστέον πρὸς τὴν μήνιγγα. θαμινὰ δὲ ἐξαιρεῦντα τὸν πρίονα σκοπεῖσθαι καὶ ἄλλως καὶ τῇ μήλῃ περὶξ κατὰ τὴν ὁδὸν τοῦ πρίονος. καὶ γὰρ πολὺ θᾶσσον διαπρίεται τὸ ὀστέον, ἢν ὑπόπυόν τε ἐὸν ἤδη καὶ διάπυον πρίῃς. καὶ πολλάκις τυγχάνει ἐπιπόλαιον ἐὸν τὸ ὀστέον, ἄλλως τε καὶ ἢν ταύτῃ τῆς κεφαλῆς ᾖ τὸ τρῶμα, ᾗ τυγχάνει λεπτότερον ἐὸν τὸ ὀστέον ἢ παχύτερον. ἀλλὰ φυλάσσεσθαι χρὴ ὡς μὴ λάθῃς προσβαλὼν τὸν πρίονα, ἀλλ' ὅπῃ δοκέῃ παχύτατον εἶναι τὸ ὀστέον, ἐς τοῦτο αἰεὶ ἐνστηρίζειν τὸν πρίονα, θαμινὰ σκοπούμενος. καὶ πειρᾶσθαι ἀνακινέων τὸ ὀστέον ἀναβάλλειν. ἀφελὼν δὲ τὰ λοιπὰ, ἰητρεύειν ὡς ἂν δοκέῃ ξυμφέρειν τῷ ἕλκει.

Ταῦτα προσγεγράφθαι τῷδε τῷ βιβλίῳ, Γαληνός φησι.

Ὅτι τὸ παχύτατον καὶ χολωδέστατον αὐτέου μένει καὶ συστρέφεται. τὰ μὲν πλεῖστα οὕτω λιθιᾷ. γίνεται δὲ παισὶν καὶ ἀπὸ τοῦ γάλακτος. ἢν μὴ ὑγιηρὸν ᾖ. ἀλλὰ θερμόν τε λίην καὶ χολῶδες. τὴν γὰρ κοιλίην διαθερμαίνει καὶ τὴν κύστιν, ὥστε τὸ οὖρον ξυγκαιόμενον ταῦτα πάσχειν. καὶ φημὶ ἄμεινον εἶναι τοῖς παιδίοισιν τὸν οἶνον ὡς ὑδαρέστατον διδόναι. ἧσσον γὰρ τὰς φλέβας ξυγκαίει καὶ συναυαίνει. τοῖσι δὲ θήλεσιν αἰδοίοις γίνεται οὐχ ὁμοίως. ὁ γὰρ οὐρητὴρ βραχύς ἐστιν ὁ τῆς κύστιος καὶ εὐρὺς, ὥστε βιάζεται τὸ οὖρον ῥηϊδίως. οὔτε γὰρ τῇ χειρὶ τρίβει τὸ αἰδοῖον, ὥσπερ τὸ ἄρσεν. οὔτε ἅπτεται τοῦ οὐρητῆρος. ἐς γὰρ τὰ αἰδοῖα ξυντέτρηνται. καὶ διότι οἱ οὐρητῆρες εἰσὶν εὐρέες, καὶ πίνουσι πλεῖον, ἢ οἱ παῖδες. περὶ μὲν οὖν τουτέων ὧδε ἔχει. ἢ ὅτι τουτέων ἐγγύτατα. Περὶ δὲ τῶν ἐτέων, ὧδε ἄν τις ἐνθυμεύμενος διαγινώσκῃ, ὁκοῖόν τι μέλλει ἔσεσθαι τὸ ἔτος, εἴτε νοσερὸν, εἴτε ὑγιηρόν. ἢν μὲν γὰρ κατὰ λόγον γίνηται τὰ σημεῖα ἐπὶ τοῖς ἄστροισι, δύνουσί τε καὶ ἐπιτέλλουσιν, ἔν τε τῷ μετοπώρῳ ὕδατα γένηται. καὶ ὁ χειμὼν μέτριος. καὶ μήτε λίην εὔδιος, μήτε ὑπερβάλλων τὸν καιρὸν τῷ ψύχει, ἔν τε τῷ ἦρι ὕδατα γένηται ὡραῖα,

καὶ ἐν τῷ θέρει. οὕτω γὰρ ἔτος ὑγιεινότατον εἰκὸς εἶν. ἢν δὲ ὁ μὲν χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δὲ ἦρ ἔπομβρον καὶ νότιον, ἀνάγκη τὸ θέρος πυρετώδεα γίνεσθαι, καὶ ὀφθαλμίας ἐμποιεῖν. ὁκόταν γὰρ τὸ πνῖγος ἐπιγένηται ἐξαίφνης, τῆς τε γῆς ὑγρῆς ἐούσης ὑπὸ τῶν ὄμβρων τῶν ἐαρινῶν, καὶ ὑπὸ τοῦ νότου, ἀνάγκη διπλόον τὸ καῦμα εἶν, ἀπό τε τῆς γῆς διαβρόχου ἐούσης καὶ θερμῆς, καὶ ὑπὸ τοῦ ἡλίου καίοντος. τῶν τε κοιλιῶν μὴ ξυνεστηκυιῶν τοῖς ἀνθρώποις. μήτε τοῦ ἐγκεφάλου ἀνεξηρασμένου. οὐ γὰρ οἷόν τε τοῦ ἦρος τοιουτέου ὄντος, μὴ οὐ πλαδᾶν τὸ σῶμα καὶ τὴν σάρκα, ὥστε τοὺς πυρετοὺς ἐπιπίπτειν ὀξυτάτους ἅπασιν. μάλιστα δὲ τοῖσι φλεγματίῃσι. τὰς δυσεντερίας εἰκός ἐστιν γίγνεσθαι καὶ τῇσι γυναιξὶν καὶ τοῖς εἴδεσιν τοῖς ὑγροτάτοισι. καὶ ἢν μὲν ἐπὶ κυνὸς ἐπιτολῇ ὕδωρ ἐπιγένηται καὶ χειμὼν, καὶ οἱ ἐτησίαι πνεύσωσιν, ἐλπὶς παύσασθαι, καὶ τὸ μετόπωρον ὑγιηρὸν γενέσθαι. ἢν δὲ μὴ, κίνδυνος θανάτους τε γενέσθαι τοῖσι παιδίοισι καὶ τῇσι γυναιξίν. τοῖσι δὲ πρεσβύτῃσιν ἥκιστα. τούς τε περιγενομένους ἐς τεταρταίους ἀποτελευτᾶν. καὶ ἐκ τῶν τεταρταίων ἐς ὕδρωπας. ἢν δ᾽ ὁ μὲν χειμὼν νότιος γένηται, καὶ ἔπομβρος, καὶ εὔδιος. τὸ δὲ ἦρ βόρειόν τε καὶ αὐχμηρὸν καὶ χειμέριον. πρῶτον μὲν τὰς γυναῖκας ὁκόσαι ἂν τύχωσιν ἐν γαστρὶ ἔχουσαι, καὶ ὁ τόκος αὐτῇσιν ᾖ, πρὸς τὸ ἦρ ἐκτιτρώσκεσθαι. ὁκόσαι δ᾽ ἂν καὶ τέκωσιν, ἀκρατέα τὰ παιδία τίκτειν καὶ νοσώδη. ὥστε ἢ αὐτίκα ἀπόλλυσθαι. ἢ ζῶσι λεπτά τε ἐόντα καὶ ἀσθενέα καὶ νοσώδεα. ταῦτα μὲν τῇσι γυναιξίν. τοῖς δὲ λοιποῖσι δυσεντερίας, καὶ ὀφθαλμίας ξηράς. καὶ ἐνίοισι καταῤῥόους ἀπὸ τῆς κεφαλῆς ἐπὶ τὸν πνεύμονα. τοῖσι μὲν οὖν φλεγματίῃσι τὰς δυσεντερίας εἰκὸς γίγνεσθαι. καὶ τῇσι γυναιξὶν, φλέγματος ἐπικαταῤῥυέντος ἀπὸ τοῦ ἐγκεφάλου διὰ τὴν ὑγρότητα τῆς φύσιος. τοῖσι δὲ χολώδεσιν, ὀφθαλμίαι ξηραὶ διὰ τὴν θερμότητα καὶ ξηρότητα τῆς σαρκός. τοῖσι δὲ πρεσβύτῃσι, καταῤῥόους διὰ τὴν ἀραιότητα καὶ τὴν ἔκτασιν τῶν φλεβῶν. ὥστε ἐξαίφνης τοὺς μὲν ὑπὸ φρενίτιδος ἀπόλλυσθαι. τοὺς δὲ παραπλήκτους γίνεσθαι τὰ δεξιά. ὁκόταν γὰρ τοῦ χειμῶνος ἐόντος νοτίου καὶ θερμοῦ τοῦ σώματος μὴ ξυνίσηται, μηδὲ φλέβες, τοῦ ἦρος ἐπιγενομένου βορείου καὶ αὐχμηροῦ καὶ ψυχροῦ ὁ ἐγκέφαλος ὁπηνίκα αὐτὸν ἔδει ἅμα τῷ ἦρι διαλύεσθαι καὶ καθαίρεσθαι ὑπό τε κορύζης καὶ βράγχων, τηνικαῦτα πήγνυταί τε καὶ συνίσταται, ὥστε ἐξαίφνης τοῦ θέρεος ἐπιγενομένου καὶ τοῦ καύματος καὶ τῆς μεταβολῆς ἐπιγινομένης, ταῦτα τὰ νοσήματα ἐπιπίπτειν. Καὶ ὁκόσαι μὲν τῶν πόλεων κέονταί γε καλῶς τοῦ ἡλίου καὶ τῶν πνευμάτων, ὕδασί τε χρῶνται ἀγαθοῖσιν. αὗται μὲν ἧσσον αἰσθάνονται τῶν τοιούτων μεταβολέων. ὁκόσαι δὲ ὕδασί τε ἑλείοισι χρέονται καὶ λιμνώδεσιν, κέονταί τε μὴ καλῶς τῶν πνευμάτων καὶ τοῦ ἡλίου, αὗται δὲ μᾶλλον. κἢν μὲν τὸ θέρος αὐχμηρὸν γένηται, θᾶσσον παύονται αἱ νοῦσοι. ἢν δὲ ἔπομβρον, πολυχρόνιοι γίνονται. καὶ φαγεδαίνας κίνδυνος ἐγγίνεσθαι ἀπὸ πάσης προφάσιος ἢν ἕλκος ἐγγένηται. τοῦ δὲ χειμῶνος ψυχροῦ, τούς τε ἀνθρώπους τὰς κεφαλὰς ὑγρὰς ἔχειν καὶ φλεγματώδεας, τάς τε κοιλίας αὐτέων πυκνὰ ἐκταράσσεσθαι ἀπὸ τῆς κεφαλῆς τοῦ φλέγματος ἐπικαταῤῥέοντος. τά τε εἴδεα ἐπὶ τὸ πλῆθος αὐτέων ἀτονώτερα εἶναι. ἐσθίειν δ᾽ οὐκ ἀγαθοὺς εἶναι οὐδὲ πίνειν. ὁκόσοι μὲν γὰρ κεφαλὰς ἀσθενέας ἔχουσιν, οὐκ ἂν εἶησαν ἀγαθοὶ πίνειν. ἡ γὰρ κραιπάλη μᾶλλον πιέζει. νοσήματά τε τάδε ἐπιχώρια εἶναι. πρῶτον μὲν τὰς γυναῖκας νοσερὰς καὶ ῥοώδεας εἶναι. ἔπειτα πολλὰς ἀτόκους ὑπὸ νόσου καὶ οὐ φύσει ἐκτιτρώσκεσθαί τε πυκνά. τοῖσί τε παιδίοισιν, ἐπιπίπτειν σπασμοὺς καὶ ἄσθματα ἃ νομίζουσιν τὸ παιδίον ποιέειν, καὶ ἱερὴν νοῦσον εἶναι. τοῖσι δὲ ἀνδράσιν, δυσεντερίας, καὶ διαῤῥοίας, καὶ ἠπιάλους, καὶ πυρετοὺς πολυχρονίους χειμερινοὺς, καὶ ἐπινυκτίδας πολλὰς, καὶ αἱμοῤῥοΐδας ἐν τῇ ἕδρῃ. πλευρίτιδες δὲ καὶ περιπνευμονίαι καὶ καῦσοι, καὶ ὁκόσα ὀξέα νοσήματα νομίζονται, οὐκ ἐγγίνονται πολλά. οὐ γὰρ οἷόν τε, ὅκου ἂν κοιλίαι ὑγραὶ ἔωσι, τὰς νούσους ταύτας ἰσχύειν. ὀφθαλμίαι τε ἐγγίνονται ὑγραὶ καὶ οὐ χαλεπαὶ, ὀλιγοχρόνιοι. ἢν μή τι κατάσχῃ νόσημα πάγκοινον ἐκ μεταβολῆς. καὶ ὁκόταν τὰ πεντήκοντα ἔτεα ὑπερβάλλωσι, κατάῤῥοοι ἐπιγινόμενοι ἐκ τοῦ ἐγκεφάλου παραπληκτικοὺς ποιέουσι τοὺς ἀνθρώπους, ὁκόταν ἐξαίφνης ἡλιωθέωσι τὴν κεφαλὴν ἢ ῥιγώσωσι. ταῦτα μὲν τὰ νοσήματα αὐτέοισιν ἐπιχώριά ἐστιν. χωρὶς δὲ ἤν τι πάγκοινον κατάσχῃ νόσημα ἐκ μεταβολῆς τῶν ὡρέων, καὶ τούτου μετέχουσιν. ὁκόσαι δ᾽ ἀντικέονται

τουτέων

τουτέων πρὸς τὰ πνεύματα τὰ ψυχρὰ μεταξὺ τῶν δυσμέων τῶν θερινῶν τοῦ ἡλίου καὶ τῆς ἀνατολῆς τῆς θερινῆς. καὶ αὐτῆσι ταῦτα τὰ πνεύματα ἐπιχώριά ἐστιν. τοῦ δὲ νότου καὶ τῶν θερινῶν πνευμάτων σκέπη ὧδε ἔχει περὶ τῶν πόλεων τουτέων. πρῶτον μὲν τὰ ὕδατα τά σκληρά τε καὶ ψυχρὰ ὡς ἐπὶ τὸ πλῆθος γλυκαίνεται. τοὺς δὲ ἀνθρώπους εὐτόνους τε καὶ σκελιφροὺς ἀνάγκη εἶναι. τούς τε πλείους τὰς κοιλίας ἀτεράμνους ἔχειν καὶ σκληρὰς τὰς κάτω. τὰς δὲ ἄνω εὐροωτέρας. χολώδεάς τε μᾶλλον ἢ φλεγματίας εἶναι. τὰς δὲ κεφαλὰς ὑγιηρὰς ἔχουσι καὶ σκληράς. ῥηγματίαι τε εἰσὶν ἐπὶ τὸ πλῆθος. νοσεύματα δὲ αὐτέοισιν ἐπιδημεῖ τὰ πλευρίτιδές τε πολλαί. αἵτε ὀξεῖαι νομιζόμεναι νοῦσοι. ἀνάγκη δὲ ὧδε ἔχειν. ὁκόταν κοιλίαι σκληραὶ ἔωσιν, ἔμπυοί τε πολλοὶ γίνονται ἀπὸ πάσης προφάσιος. τουτέου δὲ αἴτιόν ἐστι τοῦ σώματος ἡ ἔντασις καὶ ἡ σκληρότης τῆς κοιλίης. ἡ γὰρ ξηρότης ῥηγματίας ποιέει εἶναι, καὶ τοῦ ὕδατος ἡ ψυχρότης. ἐδωδοὺς δὲ ἀνάγκη τὰς τοιαύτας φύσιας εἶναι καὶ οὐ πολυπότας. οὐ γὰρ οἷόν τε ἅμα πολυβόρους τε εἶναι καὶ πολυπότας. ὀφθαλμίας τε γίνεσθαι μὲν διαχρονίους. γίνεσθαι δὲ σκληρὰς καὶ ἰσχυράς. καὶ εὐθέως ῥήγνυσθαι τὰ ὄμματα. αἱμοῤῥοίας δὲ ἐκ τῶν ῥινέων τοῖσι νεωτέροισι τριήκοντα ἐτέων γίνεσθαι ἰσχυρὰς τοῦ θέρεος. τάτε ἱερὰ νοσεύματα καλεύμενα, ὀλίγα μὲν ταῦτα. ἰσχυρὰ δέ. μακροβίους δὲ τοὺς ἀνθρώπους τούτους μᾶλλον εἰκὸς εἶναι ἑτέρων. τάτε ἕλκεα οὐ φλεγματώδεα ἐγγίνεσθαι, οὐδὲ ἀγριοῦσθαι. τάτε ἤθεα, ἀγριώτερα ἢ ἡμερώτερα. τοῖσι μὲν ἀνδράσιν τὰ νοσήματα ἐπιχώριά ἐστιν. καὶ χωρὶς ἤν τι πάγκοινον κατάσχῃ ἐκ μεταβολῆς τῶν ὡρέων. τῆσι δὲ γυναιξὶν πρῶτον μὲν στρυφναὶ πολλαὶ γίγνονται διὰ τὰ ὕδατα ὄντα σκληρά τε καὶ ἀτέραμνα, καὶ ψυχρά. αἱ γὰρ καθάρσιες οὐκ ἐπιγίνονται τῶν ἐπιμηνίων ἐπιτήδειαι, ἀλλὰ ὀλίγαι καὶ πονηραί. ἔπειτα τίκτουσι χαλεπῶς. ἐκτιτρώσκουσί τε οὐ σφόδρα. ὁκόταν δὲ τέκωσιν, τὰ παιδία ἀδύνατοι τρέφειν εἰσί. τὸ γὰρ γάλα ἀποσβέννυται ἀπὸ τῶν ὑδάτων τῆς σκληρότητος καὶ ἀτεραμνίης. φθίσιές τε γίνονται συχναὶ ἀπὸ τῶν τοκετῶν. ὑπὸ γὰρ βίης ῥήγματα ἴσχουσιν καὶ σπάσματα. τοῖς δὲ παιδίοισιν ὕδρωπες ἐγγίνονται ἐν τοῖσιν ὄρχεσιν ἕως μικρὰ ᾖ. ἔπειτα προϊούσης τῆς ἡλικίης ἀφανίζονται. ἡβῶσι τε ὀψὲ ἐν ταύτῃ τῇ πόλει. περὶ μὲν οὖν τῶν θερμῶν πνευμάτων καὶ τῶν ψυχρῶν καὶ τῶν πόλεων τουτέων, ὧδε ἔχει ὡς προείρηται. ὁκόσαι δὲ κέονται πρὸς τὰ πνεύματα μεταξὺ τῶν θερινῶν ἀνατολέων τοῦ ἡλίου, καὶ τῶν χειμερινῶν, καὶ ὁκόσαι τὸ ἐναντίον τουτέων, ὧδε ἔχει περὶ αὐτέων. ὁκόσαι μὲν πρὸς τὰς ἀνατολὰς τοῦ ἡλίου κέονται, ταύτας εἰκὸς εἶναι ὑγιεινοτέρας τῶν πρὸς τὰς ἄρκτους ἐστραμμένων, καὶ τῶν πρὸς τὰ θερμά, ἢν καὶ στάδιον τὸ μεταξὺ ᾖ. πρότερον μὲν γὰρ μετριώτερον ἔχει τὸ θερμὸν καὶ τὸ ψυχρόν. ἔπειτα τὰ ὕδατα ὁκόσα πρὸς τὰς τοῦ ἡλίου ἀνατολάς ἐστιν, πάντα λαμπρά τε εἶναι ἀνάγκη. καὶ εὐώδεα. καὶ μαλακά. καὶ δρατεινὰ ἐγγίνεσθαι ἐν ταύτῃ τῇ πόλει. ὁ γὰρ ἥλιος κωλύει ἀνίσχων καὶ καταλάμπων. τὸ γὰρ ἑωθινὸν ἑκάστοτε αὐτὸς ὁ ἠὴρ ἐπέχει ὡς ἐπὶ τὸ πολύ. τά τε εἴδεα τῶν ἀνθρώπων, εὔχροά τε καὶ ἀνθηρά ἐστι μᾶλλον, ἢν μή τις νοῦσος ἄλλη κωλύῃ. λαμπρόφωνοί τε οἱ ἄνθρωποι. ὀργήν τε καὶ ξύνεσιν βελτίους εἰσὶν τῶν πρὸς βορέην. ἧπερ καὶ τὰ ἄλλα τὰ ἐμφυόμενα ἀμείνω ἐστίν. ἔοικέ τε μάλιστα ἡ οὕτω κειμένη πόλις, ἦρι κατὰ τὴν μετριότητα τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ. τά τε νοσεύματα ἐλάσσω μὲν γίνεται καὶ ἀσθενέστερα. ἔοικε δὲ τοῖς ἐν ταῖς πόλεσιν γινομένοις νοσεύμασιν, ταῖς πρὸς τὰ θερμὰ τὰ πνεύματα ἐστραμμένῃσιν. αἵτε γυναῖκες αὐτόθι, ἐναρικύμονές εἰσι σφόδρα, καὶ τίκτουσι ῥηϊδίως. περὶ μὲν τουτέων ὧδε ἔχει. ὁκόσαι δὲ πρὸς τὰς δύσιας κέονται, καὶ αὐτέῃσιν ἐστι σκέπη τῶν πνευμάτων τῶν ἀπὸ τῆς ἠοῦς πνεόντων, τά τε θερμὰ πνεύματα παραῤῥεῖ καὶ τὰ ψυχρὰ ἀπὸ τῶν ἄρκτων, ἀνάγκη ταύτας τὰς πόλιας θέσιν κέεσθαι νοσερωτάτην. πρῶτον μὲν γὰρ τὰ ὕδατα, οὐ λαμπρά. αἴτιον δὲ ὅτι ὁ ἠὴρ τὸ ἑωθινὸν κατέχει, ὡς ἐπὶ τὸ πολύ, ὅστις τῷ ὕδατι ἐγκαταμιγνύμενος τὸ λαμπρὸν ἀφανίζει. ὁ γὰρ ἥλιος πρὶν ἄνω ἀρθῆναι οὐκ ἐπιλάμπει. τοῦ δὲ θέρεος ἕωθεν μὲν αὖραι ψυχραὶ πνέουσι, καὶ δρόσοι πίπτουσιν. τὸ δὲ λοιπὸν ἥλιος ἐγκαταδύων, ὥστε μάλιστα διέψει τοὺς ἀνθρώπους, διὸ καὶ ἀχρόους τε εἰκὸς εἶναι καὶ ἀῤῥώστους. τῶν τε νοσευμάτων πάντων μετέχειν μέρος τῶν προειρημένων οὐδὲν αὐτέοις ἀποκέκριται. βαρυφώνους τε εἰκὸς εἶναι καὶ βραγχώδεας διὰ τὸν ἠέρα ὅτι ἀκάθαρτος ὡς ἐπὶ τὸ πουλὺ αὐτόθι γίγνεται, καὶ νοσώδης. οὔτε γὰρ ὑπὸ τῶν βορέων ἐκκρίνεται

σφόδρα

σφόδρα. οὐ γὰρ προσέχουσι τὰ πνεύματα ἅτε προσέχουσιν αὐτέοισιν καὶ προσκεῖνται, ὑδατεινότατά ἐστιν. ἐπεὶ τὰ περὶ τῆς ἑσπέρης πνεύματα ἔοικεν ἅτε μετοπώρῳ μάλιστα ἡ θέσις ἡ τοιαύτη τῆς πόλιος κατὰ τάς τε ἡμέρης μεταβολάς, ὅτι πολὺ τὸ μέσον γίγνεται τοῦ τε ἑωθινοῦ καὶ τοῦ πρὸς τὴν δείλην. περὶ μὲν πνευμάτων, ἅτε ἐστὶν ἐπιτήδεια καὶ ἀνεπιτήδεια ὧδε ἔχει. Περὶ δὲ τῶν λοιπῶν ὑδάτων βούλομαι διηγήσασθαι. ἅτε ἐστὶ νοσώδεα. καὶ ἃ ὑγιεινότατα. καὶ ὁκόσα ἀφ' ὕδατος κακὰ εἰκὸς γίνεσθαι. καὶ ὅσα ἀγαθά. πλεῖστον γὰρ μέρος ξυμβάλλεται ἐς τὴν ὑγιείην. ὁκόσα μὲν οὖν ἐστιν ἑλώδεα, καὶ στάσιμα, καὶ λιμναῖα, ταῦτα ἀνάγκη τοῦ μὲν θέρεος εἶναι θερμὰ καὶ παχέα καὶ ὀδμὴν ἔχοντα, ἅτε οὐκ ἀπόρρυτα ἐόντα, ἀλλὰ τοῦ τε ὀμβρίου ὕδατος ἐπιτρεφομένου αἰεὶ νέου τοῦ τε ἡλίου καίοντος, ἀνάγκη ἄχροά τε εἶναι καὶ πονηρὰ καὶ χολώδεα. τοῦ δὲ χειμῶνος, παγετώδεά τε καὶ ψυχρὰ καὶ τεθολωμένα, ὑπό τε χιόνος καὶ παγετῶν, ὥστε φλεγματωδέστατα εἶναι καὶ βραγχωδέστατα. τοῖσι δὲ πίνουσι, σπλῆνας μὲν αἰεὶ μεγάλους εἶναι καὶ μεμυωμένους. καὶ τὰς γαστέρας, σκληράς τε καὶ λεπτὰς καὶ θερμάς. τοὺς δὲ ὤμους καὶ τὰς κληῗδας καὶ τὸ πρόσωπον καταλελεπτύνθαι. ἐς γὰρ τὸν σπλῆνα αἱ σάρκες ξυντήκονται, διότι ἰσχνοί εἰσιν. ἐδωδούς τε εἶναι τοὺς τοιουτέους καὶ διψηρούς. τάς τε κοιλίας ξηροτάτας τε καὶ τὰς ἄνω καὶ τὰς κάτω ἔχειν, ὥστε τῶν φαρμάκων ἰσχυροτέρων δεῖσθαι. τοῦτο μὲν τὸ νόσημα αὐτέοισιν ξύντροφόν ἐστιν καὶ θέρεος καὶ χειμῶνος. πρὸς δὲ τουτέοισιν οἱ ὕδρωπές τε καὶ πλεῖστοι γίνονται καὶ θανατωδέστατοι. τοῦ γὰρ θέρεος δυσεντερίαι τε πολλαὶ ἐμπίπτουσι, καὶ διάρροιαι, καὶ πυρετοί τε τεταρταῖοι πολυχρόνιοι. ταῦτα δὲ τὰ νοσεύματα μηκυνθέντα, τὰς τοιαύτας φύσιας ἐς ὕδρωπας καθίστησι, καὶ ἀποκτείνει. ταῦτα μὲν αὐτέοισι τοῦ θέρεος γίγνεται. τοῦ δὲ χειμῶνος, τοῖσι νεωτέροισι μὲν περιπνευμονίαι τε καὶ μανιώδεα νοσεύματα. τοῖσι δὲ πρεσβυτέροισι, καῦσοι, διὰ τὴν τῆς κοιλίης σκληρότητα. τῇσι δὲ γυναιξὶν, οἰδήματα ἐγγίνεται. καὶ φλέγμα λευκόν. καὶ ἐν γαστρὶ ἴσχουσι μόλις. καὶ τίκτουσι χαλεπῶς. μεγάλα τε τὰ ἔμβρυα καὶ οἰδέοντα. ἔπειτα ἐν τῇσι τροφῇσι φθινώδεά τε καὶ πονηρὰ γίγνεται. ἥτε κάθαρσις τῇσι γυναιξὶν οὐκ ἐπιγίνεται χρηστὴ μετὰ τὸν τόκον. τοῖσι δὲ παιδίοισιν, κῆλαι ἐπιγίγνονται. μάλιστα καὶ τοῖσιν ἀνδράσιν κιρσοὶ καὶ ἕλκεα ἐν τῇσι κνήμῃσιν, ὥστε τὰς τοιαύτας φύσιας, οὐχ οἷόν τε μακροβίους εἶναι, ἀλλὰ προγηράσκειν τοῦ χρόνου τοῦ ἱκνευμένου. ἔτι δὲ αἱ γυναῖκες δοκέουσιν ἔχειν ἐν γαστρί. καὶ ὁκόταν ὁ τόκος ᾖ, ἀφανίζεται τὸ πλήρωμα τῆς γαστρός. τοῦτο δὲ γίγνεται ὑπὸ ὕδερου ὁκόταν ὑδρωπιήσωσιν αἱ ὑστέραι. τὰ μὲν τοιαῦτα ὕδατα νομίζω μοχθηρὰ εἶναι πρὸς ἅπαν χρῆμα. δεύτερα δὲ ὅσων εἰσὶν αἱ πηγαὶ ἐκ πετρέων. σκληρὰ γὰρ ἀνάγκη εἶναι. ἢ ἔτι ὁκοῦ θερμὰ ὕδατά ἐστιν. ἢ σίδηρος γίγνεται. ἢ χαλκός. ἢ ἄργυρος, ἢ χρυσός, ἢ θεῖον. ἢ στυπτηρίη. ἢ ἄσφαλτον. ἢ νίτρον. ταῦτα γὰρ πάντα ὑπὸ βίης γίνονται τοῦ θερμοῦ. οὐ τοίνυν ἐκ τοιαύτης γῆς ὕδατα ἀγαθὰ γίνεται, ἀλλὰ σκληρά τε καὶ καυσώδεα. διουρέεται χαλεπά. καὶ πρὸς τὴν διαχώρησιν ἐναντία εἶναι. ἄριστα δὲ ὁκόσα ἐκ μετεώρων χωρίων ῥεῖ καὶ λόφων γεηρῶν. αὐτά τε γάρ ἐστι γλυκέα καὶ λευκά. καὶ τὸν οἶνον φέρειν ὀλίγον οἷά τέ ἐστι. τοῦ δὲ χειμῶνος θερμὰ γίνεται. τοῦ δὲ θέρεος, ψυχρά. οὕτω γὰρ ἂν εἴη ἐκ βαθυτάτων πηγέων. μάλιστα δὲ ἐπαινέω, ὧν τὰ ῥεύματα πρὸς τὰς ἀνατολὰς τοῦ ἡλίου ἐῤῥώγασι καὶ μᾶλλον πρὸς τὰς θερινάς. ἀνάγκη γὰρ λαμπρότερα εἶναι καὶ εὐώδεα καὶ κοῦφα. ὁκόσα δέ ἐστιν ἁλυκὰ καὶ ἀτέραμνα καὶ σκληρά. ταῦτα μὲν πάντα πίνειν οὐκ ἀγαθά. εἰσὶ δ' ἔνιαι φύσιες καὶ νοσεύματα ἐς ἃ ἐπιτήδειά ἐστιν τὰ τοιαῦτα ὕδατα πινόμενα, περὶ ὧν φράσω αὐτίκα. ἔχει δὲ καὶ περὶ τουτέων ὧδε. ὁκόσων μὲν αἱ πηγαὶ πρὸς τὰς ἀνατολὰς ἔχουσιν, ταῦτα μὲν ἄριστα αὐτὰ ἑωυτέων ἐστίν. δεύτερα δὲ τῶν τὰ μεταξὺ τῶν θερινῶν ἀνατολέων ἐστὶ τοῦ ἡλίου καὶ δύσεων. καὶ μᾶλλον τὰ πρὸς τὰς ἀνατολάς. τρίτα δὲ τὰ μεταξὺ τῶν δυσμέων τῶν θερινῶν καὶ τῶν χειμερινῶν. φαυλότατα δὲ τὰ πρὸς τὸν νότον καὶ τὰ μεταξὺ θερινῆς ἀνατολῆς καὶ δύσιος. καὶ ταῦτα τοῖσι μὲν νοτίοισιν πάνυ πονηρά. τοῖσι δὲ βορέοισιν ἀμείνω. τουτέοισι δὲ πρέπει ὧδε χρέεσθαι. ὅστις μὲν ὑγιαίνει τε καὶ ἔῤῥωται μηδὲν διακρίνειν, ἀλλὰ πίνειν αἰεὶ τὸ παρεόν. ὅστις δὲ νούσου εἵνεκα βούλεται, τὸ ἐπιτηδειότατον πίνειν, ὧδε ἂν ποιέων μάλιστα τυγχάνοι τῆς ὑγιείης. ὁκόσων μὲν αἱ κοιλίαι σκληραί εἰσιν καὶ ξυγκαίειν ἀγαθαὶ εἶναι, τουτέοισι μὲν τὰ γλυκύτατα ξυμφέρει καὶ κουφότατα καὶ λαμπρότατα. ὁκόσων δὲ μαλθακαὶ αἱ νηδύες καὶ ὑγραί εἰσι καὶ φλεγματώδεες, τούτοισι δὲ

τὰ σκλη-

τὰ σκληρότατα καὶ ἀτεραμνότατα καὶ τὰ ὑφαλικὰ, οὕτω γὰρ ἂν ξηραίνοιτο μάλιστα. ὁκόσα γὰρ ὕδατα ἐστὶν ἕψειν ἄριστα, καὶ τακερώτατα, ταῦτα καὶ τὴν κοιλίην διαλύειν εἰκὸς μάλιστα καὶ διατήκειν. ὁκόσα δὲ ἐστὶν ἀτέραμνα καὶ σκληρὰ καὶ ἥκιστα ἕψειν ἀγαθὰ, ταῦτά δὲ ξυνιστᾶσι μᾶλλον τὰς κοιλίας καὶ ξηραίνει. ἀλλὰ γὰρ ψευσάμενοι εἰσὶν οἱ ἄνθρωποι τῶν ἁλμυρῶν ὑδάτων πέρι δι' ἀπειρίην, καὶ ὅτι νομίζεται διαχωρητικά. τὰ δὲ ἐναντιώτατά ἐστιν πρὸς τὴν διαχώρησιν. ἀτέραμνα γὰρ καὶ ἀνέψανα, ὥστε καὶ τὴν κοιλίην ὑπ' αὐτῶν στύφεσθαι μᾶλλον ἢ τήκεσθαι. καὶ περὶ μὲν τῶν πηγέων ὑδάτων ὧδε ἔχει. περὶ δὲ τῶν ὀμβρίων, καὶ ὁκόσα ἀπὸ χιόνος φράσω ὅκως ἔχει. τὰ μὲν οὖν ὄμβρια κουφότατα καὶ γλυκύτατά ἐστιν καὶ λεπτότατα καὶ λαμπρότατα. τήν τε γὰρ ἀρχὴν ὁ ἥλιος ἀνάγει καὶ ἀναρπάζει τοῦ ὕδατος τό τε λεπτότατον καὶ κουφότατον. δῆλον δὲ αἱ ἅλες ποιέουσιν. τὸ μὲν γὰρ ἁλμυρὸν λείπεται αὐτέου ὑπὸ πάχεος καὶ βάρεος, καὶ γίγνεται ἅλες. τὸ δὲ λεπτότατον ὁ ἥλιος ἀναρπάζει ὑπὸ κουφότητος. ἀνάγει δὲ τὸ τοιοῦτο οὐκ ἀπὸ τῶν ὑδάτων μόνον τῶν λιμναίων, ἀλλὰ καὶ ἀπὸ τῆς θαλάσσης. καὶ ἐξ ἁπάντων ἐν ὁκόσοισιν ὑγρόν τί ἐστιν. ἔνεστι δὲ ἐν παντὶ χρήματι. καὶ ἐξ αὐτέων τῶν ἀνθρώπων ἄγει τὸ λεπτότατον τῆς ἰκμάδος, καὶ κουφότατον. τεκμήριον δὲ μέγιστον ὅταν ἄνθρωπος ἐν ἡλίῳ βαδίζῃ, ἢ καθίζῃ ἱμάτιον ἔχων. ὁκόσα μὲν τοῦ χρωτὸς ὁ ἥλιος ἐφορᾷ, οὐχ ἱδρώῃ ἄν. ὁ γὰρ ἥλιος ἀναρπάζει τὸ προφαινόμενον τοῦ ἱδρῶτος. ὁκόσα δὲ ὑπὸ τοῦ ἱματίου ἐσκέπασται, ἢ ὑπ' ἄλλου του, ἱδροῖ. ἐξάγεται μὲν γὰρ ὑπὸ τοῦ ἡλίου καὶ βιάζεται. σώζεται δὲ ὑπὸ τῆς σκέπης, ὥστε μὴ ἀφανίζεσθαι ὑπὸ τοῦ ἡλίου. ὁκόταν δὲ εἰς σκιὴν ἀφίκηται, ἅπαν τὸ σῶμα ὁμοίως διΐει. οὐ γὰρ ἔτι ὁ ἥλιος ἐπιλάμπει. διὰ ταῦτα δὲ καὶ σήπεται τῶν ὑδάτων τάχιστα ταῦτα, καὶ ὀδμὴν ἴσχει πονηρὴν τὸ ὄμβριον, ὅτι ἀπὸ πλείστων ξυνῆκται καὶ συμμέμικται, ὥστε σήπεσθαι τάχιστα. ἔτι δὲ πρὸς τουτέοισιν ἐπειδὰν ἁρπασθῇ καὶ μετεωρισθῇ περιφερόμενον καὶ καταμεμιγμένον ἐς τὸν ἠέρα. τὸ μὲν θολερὸν αὐτέου καὶ νυκτοειδὲς, ἐκκρίνεται καὶ ἐξίσταται καὶ γίγνεται ἠὴρ καὶ ὀμίχλη. τὸ δὲ λεπτότατον καὶ κουφότατον αὐτέου, λείπεται καὶ γλυκαίνεται ὑπὸ τοῦ ἡλίου καιόμενόν τε καὶ ἑψόμενον. γίγνεται δὲ καὶ τἄλλα πάντα τὰ ἑψόμενα αἰεὶ γλυκέα. ἕως μὲν οὖν διεσκεδασμένον ᾖ καὶ μήπω ξυνεστήκῃ, φέρεται μετέωρον. ὁκόταν δέ κου ἀθροισθῇ καὶ ξυστραφῇ ἐς τὸ αὐτὸ ὑπὸ ἀνέμων ἀλλήλοισιν ἐναντιωθέντων ἐξαίφνης, τότε καταῤῥήγνυται ᾗ ἂν τύχῃ πλεῖστον ξυστραφέν. τότε γὰρ ἐοικὸς τοῦτο μᾶλλον γίνεσθαι. ὁκόταν τὰ νέφεα μὴ ὑπὸ ἀνέμου στάσιν ἔχοντος, ὡρμημένα ἐόντα, καὶ χωρέοντα ἐξαίφνης ἀντικόψῃ πνεῦμα ἐναντίον καὶ ἕτερα νέφεα, ἐνταῦθα μὲν πρῶτον αὐτέου ξυστρέφεται. τὰ δὲ ὄπισθεν, ἐπιφέρεταί τε, καὶ οὕτω παχύνεται καὶ μελαίνεται καὶ ξυστρέφεται ἐς τὸ αὐτὸ, καὶ ὑπὸ βάρεος καταῤῥήγνυται, καὶ ὄμβροι γίνονται. ταῦτα μέν ἐστιν ἄριστα κατὰ τὸ εἰκός. δεῖται δὲ ἀφέψεσθαι καὶ ἀποσήπεσθαι. εἰ δὲ μὴ ὀδμὴν ἴσχει πονηρὴν, καὶ βράγχος καὶ βαρυφωνίη τοῖς πίνουσι προσίσταται. τὰ δὲ ἀπὸ χιόνος καὶ κρυστάλλων, πονηρὰ πάντα. ὁκόταν γὰρ ἅπαξ παγῇ, οὐκ ἔτι ἐς τὴν ἀρχαίην φύσιν καθίσταται, ἀλλὰ τὸ μὲν αὐτέου λαμπρὸν καὶ κοῦφον καὶ γλυκὺ ἐκκρίνεται καὶ ἀφανίζεται. τὸ δὲ θολωδέστατον καὶ σταθμωδέστατον, λείπεται. γνοίης δ' ἂν ὧδε. εἰ γὰρ βούλει ὅταν οἱ χειμῶνες, ἐς ἀγγεῖον μέτρῳ ἐγχέας ὕδωρ, θεῖναι ἐς τὴν αἰθρίην ἵνα πήξεται μάλιστα. ἔπειτα τῇ ὑστεραίῃ εἰσενεγκὼν ἐς ἀλέαν, ὅκου χαλάσει μάλιστα ὁ παγετός. ὁκόταν δὲ λυθῇ ἀναμετρεῖν τὸ ὕδωρ, εὑρήσεις ἔλασσον συχνῷ. τοῦτο τεκμήριον ὅτι ὑπὸ τῆς πήξιος, ἀφανίζεται καὶ ἀναξηραίνεται τὸ κουφότατον καὶ λεπτότατον, οὐ τὸ βαρύτατον καὶ παχύτατον, οὐ γὰρ ἂν δύναιτο. ταύτῃ οὖν νομίζω πονηρότατα ταῦτα τὰ ὕδατα εἶναι τὰ ἀπὸ χιόνος καὶ κρυστάλλου, καὶ τὰ τουτέοισιν ἑπόμενα πρὸς ἅπαντα χρήματα. περὶ μὲν οὖν ὀμβρίων ὑδάτων, καὶ τῶν ἀπὸ χιόνος καὶ κρυστάλλων, οὕτως ἔχει. λιθιῶσι δὲ μάλιστα ἄνθρωποι. καὶ ὑπὸ νεφριτίδων καὶ στραγγουρίης ἁλίσκονται καὶ ἰσχιάδων, καὶ κῆλαι γίνονται, ὅκου ὕδατα πίνουσι παντοδαπώτατα, καὶ ἀπὸ ποταμῶν μεγάλων εἰς οὓς ποταμοὺς ἕτεροι ἐμβάλλουσιν. καὶ ἀπὸ λίμνης, εἰς ἣν ῥεύματα πολλὰ καὶ παντοδαπὰ ἀφικνεῦνται. καὶ ὁκόσοι ὕδασιν ἐπακτοῖσιν χρέονται διὰ μακροῦ ἀγομένοισι, καὶ μὴ ἐκ βραχέος. οὐ γὰρ οἷόν τε ἕτερον ἑτέρῳ ἐοικέναι ὕδωρ. ἀλλὰ τὰ μὲν γλυκέα εἶναι. τὰ δὲ ἁλυκά τε, καὶ στυπτηριώδεα. τὰ δὲ ἀπὸ θερμῶν ῥέειν. ξυμμισγόμενα δὲ ταῦτα ἐς ταυτὸν ἀλλήλοισιν στασιάζει, καὶ κρατέει αἰεὶ τὸ ἰσχυρότατον. ἰσχύει δὲ οὐκ αἰεὶ τωυτὸ, ἀλλ' ἄλλοτε ἄλλο. καὶ τὰ

πνεύματα

πινόμενα. ὑπὸ μὲν γὰρ βορέης τὴν ἰσχὺν παρέχεται. ὑπὸ δὲ ὁ νότος. καὶ τῶν λοιπῶν πέρι ὡυτὸς λόγος. ὑφίστασθαι οὖν τοῖσι τοιουτέοισιν ἀνάγκη ἐν τοῖς ἀγγείοις ἰλὺν καὶ ψάμμον. καὶ ἀπὸ τούτων πινομένων τὰ νοσήματα γίνεται τὰ προειρημένα. ὅτι δὲ οὐχ ἅπασιν ἑξῆς, φράσω. ὁκόσων μὲν ἥτε κοιλίη, εὔροός τε καὶ ὑγιηρής ἐστιν. καὶ ἡ κύστις μὴ πυρετώδης. μὴ δὲ ὁ στόμαχος τῆς κύστιος ξυμπέφρακται λίην, οὗτοι μὲν διουρέουσι ῥηιδίως. καὶ ἐν τῇ κύστει οὐδὲν ξυστρέφεται. ὁκόσων δὲ ἂν ἡ κοιλίη πυρετώδης ἦ ἀνάγκη καὶ τὴν κύστιν τωυτὸ πάσχειν. ὁκόταν γὰρ θερμανθῇ μᾶλλον τῆς φύσιος ἐφλέγμηνεν αὐτῆς ὁ στόμαχος. ὁκόταν δὲ ταῦτα πάθῃ, τὸ οὖρον οὐκ ἀφίησιν, ἀλλ᾽ ἐν ἑωυτέῳ ξυνέψει καὶ συγκαίει. καὶ τὸ μὲν λεπτότατον αὐτέου, ἀποκρίνεται. καὶ τὸ καθαρώτατον, διιεῖ καὶ ἐξουρέεται. τὸ δὲ παχύτατον καὶ θολωδέστατον, ξυστρέφεται καὶ συμπήγνυται. τὸ μὲν πρῶτον μικρόν. ἔπειτα μεῖζον γίνεται. κυλινδεύμενον γὰρ ὑπὸ τοῦ οὔρου, ὅτι ἂν ξυνίστηται παχὺ, ξυναρμόζει πρὸς ἑωυτό. καὶ οὕτως αὔξεταί τε καὶ πωροῦται. καὶ ὁκόταν οὐρέῃ, πρὸς τὸν στόμαχον τῆς κύστιος προσπίπτει ὑπὸ τοῦ οὔρου βιαζόμενον, καὶ κωλύει οὐρέειν, καὶ ὀδύνην παρέχει ἰσχυρήν. ὥστε τὰ αἰδοῖα τρίβουσι καὶ ἕλκουσιν τὰ παιδία τὰ λιθιῶντα. δοκέει γὰρ αὐτέοις τὸ αἴτιον ἐνταῦθα εἶναι τῆς οὐρήσιος. τεκμήριον δὲ ὅτι οὕτως ἔχει. τὸ γὰρ οὖρον λαμπρότατον οὐρέουσιν οἱ λιθιῶντες πρὸς τὸν γινόμενον ὀῤῥόν.

Καὶ τάδε τὰ τελευταῖα ὑπό τινος προσγεγράφθαι δῆλόν ἐστιν.

Καὶ ἢν ἐξ ἀρχῆς λαβὼν τὸ ἴημα αὐτίκα βούλῃ ἐκπρίσας τὸ ὀστέον ἀφελεῖν ἀπὸ τῆς μήνιγγος, ὡσαύτως χρὴ πυκινά τε σκοπέεσθαι τῇ μήλῃ καὶ περίοδον τοῦ πρίονος. καὶ ἐν τὸ παχύτατον ἀεὶ τοῦ ὀστέου τὸν πρίονα ἐνστηρίζειν. καὶ ἀνακινέειν. βούλεσθαι ἀφελέειν τὸ ὀστέον. ἢν δὲ τρυπάνῳ χρῇ. πρὸς δὲ τὴν μήνιγγα μὴ ἀφικνέεσθαι. ἢν ἐξ ἀρχῆς λαμβάνων τὸ ἴημα τρυπᾷς, ἀλλ᾽ ὑπολιπεῖν τοῦ ὀστέου λεπτόν. ὥσπερ καὶ ἐν τῇ πρίσει γέγραπται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΑΓΜΩΝ.

Χρὴ τὸν ἰητρὸν τῶν ἐκπτωσίων τε καὶ καταγμάτων ὡς ἰθύτατα τὰς κατατάσιας ποιέεσθαι. αὕτη γὰρ ἡ δικαιοτάτη φύσις. ἢν δέ τι ἐγκλίνῃ ἢ τῇ ἢ τῇ, ἐπὶ τὸ πρηνὲς ῥέπειν. ἐλάσσων γὰρ ἡ ἁμαρτὰς ἢ ἐπὶ τὸ ὕπτιον. οἱ μὲν οὖν μηδὲν προβουλεύσαντες οὐδὲν ἐξαμαρτάνουσιν ὡς ἐπὶ τὸ πουλύ. αὐτὸς γὰρ ὁ ἐπιδεόμενος τὴν χεῖρα ἀπορέγει, οὕτως ὑπὸ τῆς δικαίης φύσεως ἀναγκαζόμενος. οἱ δὲ ἰητροὶ σοφιζόμενοι δῆθεν ἐστὶν οἱ ἁμαρτάνουσιν. σπουδὴ μὲν οὖν οὐ πολλὴ χεῖρα κατεαγυῖαν χειρίσαι, καὶ παντὸς δὲ ἰητροῦ, ὡς ἔπος εἰπεῖν. ἀναγκάζομαι δὲ πλέω γράφειν περὶ αὐτέου, ὅτι οἶδα ἰητροὺς σοφοὺς δόξαντας εἶναι ἀπὸ σχημάτων χειρὸς ἐν ἐπιδέσει, ἀφ᾽ ὧν ἀμαθέας αὐτοὺς ἐχρῆν δοκέειν εἶναι. ἀλλὰ γὰρ πολλὰ οὕτω ταύτης τῆς τέχνης κρίνεται. τὸ γὰρ ξενοπρεπὲς οὔπω ξυνιέντες εἰ χρηστὸν, μᾶλλον ἐπαινέουσιν ἢ τὸ ξύνηθες, ὃ ἤδη οἴδασιν ὅτι χρηστὸν, καὶ τὸ ἀλλόκοτον ἢ τὸ εὔδηλον. ῥητέον οὖν ὁκόσας ἐθέλω τῶν ἁμαρτάδων τῶν ἰητρῶν, τὰς μὲν ἀποδιδάξαι, τὰς δὲ διδάξαι περὶ τῆς φύσιος τῆς χειρός. καὶ γὰρ ἄλλων ὀστέων τῶν κατὰ τὸ σῶμα δίδαγμα ὅδε ὁ λόγος ἐστίν. τὴν μὲν οὖν χεῖρα, περὶ οὗ ὁ λόγος, ἔδωκέ τις καταδῆσαι καταπρηνέα ποιήσας. ὁ δ᾽ ἠνάγκαζεν οὕτως ἔχειν, ὥσπερ οἱ τοξεύοντες, ἐπὴν τὸν ὦμον ἐμβάλλωσιν, καὶ οὕτως ἔχουσαν ἐπέδει, νομίζων ἑωυτῷ εἶναι τοῦτο αὐτέῃ τὸ κατὰ φύσιν. καὶ μαρτύριον ἐπήγετο τά τε ὀστέα ἅπαντα τὰ ἐν τῷ πήχει, ὅτι ἰθυωρίην κατάλληλα ἔχει, τάν τε ὁμοχροίην, ὅτι αὐτὴ καθ᾽ ἑωυτὴν τὴν ἰθυωρίην ἔχει. οὕτω καὶ ἐκ τοῦ ἔξωθεν μέρεος καὶ ἐκ τοῦ ἔσωθεν. οὕτω δὲ ἔφη καὶ τὰς σάρκας καὶ τὰ νεῦρα πεφυκέναι. καὶ τὴν τοξικὴν ἐπήγετο μαρτύριον. ταῦτα λέγων καὶ ταῦτα ποιέων σοφὸς ἐδόκεεν εἶναι. τῶν δὲ ἄλλων τεχνέων ἐπελελήθει. καὶ ὁκόσα ἰσχύϊ ἐργάζονται καὶ ὁκόσα τεχνήμασιν, οὐκ εἰδὼς ὅτι ἄλλο ἐν ἄλλῳ, τὸ κατὰ φύσιν σχῆμα ἐστίν, καὶ ἐν τῷ αὐτέῳ ἔργῳ ἕτερα τῆς δεξιῆς χειρὸς σχήματα κατὰ φύσιν ἐστίν, καὶ ἕτερα τῆς ἀριστερῆς, ἢν οὕτω τύχῃ. ἄλλο μὲν γὰρ σχῆμα ἐν ἀκοντισμῷ κατὰ φύσιν, ἄλλο δὲ ἐν σφενδονήσει, ἄλλο δὲ ἐν λιθοβολίῃσιν, ἄλλο ἐν πυγμῇ, ἄλλο ἐν τῷ ἐλινύειν. ὁκόσας δ᾽ ἄν τις τέχνας εὕροι ἐν ᾗσιν οὐ τὸ αὐτὸ σχῆμα τῶν χειρέων κατὰ φύσιν ἐστίν. καὶ ἐν ἑκάστῃ τῶν τεχνέων, ἀλλὰ πρὸς τὸ ἄρμενον ὃ ἂν ἔχῃ ἕκαστος, καὶ πρὸς τὸ ἔργον ὃ ἂν ἐπιτελέσασθαι θέλῃ σχηματίζονται αἱ χεῖρες. τοξικὴν δὲ ἀσκέοντι, εἰκὸς τοῦτο τὸ σχῆμα κράτιστον εἶναι τῆς ἑτέρης χειρός. τοῦ γὰρ βραχίονος τὸ γιγγλυμοειδὲς ἐν τῇ τοῦ πήχεος

βαθμίδι, ἐν τούτῳ τῷ σχήματι βραδὺν, ἰθυωρίην ποιεῖ τοῖσιν ὀστέοισιν τοῦ πήχεος, καὶ τοῦ βραχίονος, ὡς ἐνὶ τὸ πᾶν. καὶ ἡ ἀνάκλασις τοῦ ἄρθρου κέκλασται, ἐν τούτῳ τῷ σχήματι. εἰκὸς οὖν οὕτως ἀκαμπτότατόν τε καὶ τετανώτατον εἶναι τὸ χωρίον, καὶ μὴ ἡσσᾶσθαι, μὴ δὲ ξυνδιδόναι ἑλκομένης τῆς νεύρης ὑπὸ τῆς δεξιῆς χειρός. καὶ οὕτως ἐπὶ πλεῖστον μὲν τὴν νευρὴν ἑλκύσει. ἀφήσει δὲ ἀπὸ στερεωτάτου, καὶ ἀθροωτάτου. ἀπὸ τῶν τοιούτων γὰρ ἀφεσίων τῶν τοξευμάτων, ταχεῖαι καὶ αἱ ἰσχύες καὶ τὰ μήκεα γίνονται. ἐπιδέσει δὲ καὶ τοξικῇ οὐδὲν κοινόν. τοῦτο μὲν γὰρ εἰ ἐπιδήσας ἔχειν τὴν χεῖρα οὕτω ἔμελλεν, πόνους ἂν ἄλλους πολλοὺς προσετίθει μέζονας τοῦ τρώματος. τοῦτο δ' εἰ συγκάμψαι ἐκέλευεν, οὔτε τὰ ὀστέα οὔτε τὰ νεῦρα οὔτε αἱ σάρκες ἔτι ἐν τῷ αὐτέῳ ἐγίνοντο, ἀλλὰ ἄλλῃ μετεκοσμέετο, κρατέοντα τὴν ἐπίδεσιν. καὶ τί ὄφελος ἦν τοξικοῦ σχήματος. καὶ ταῦτα ἴσως οὐκ ἂν ἐξημάρτανε σοφιζόμενος, εἰ ἔα τὸν τετρωμένον αὐτὸν τὴν χεῖρα παρασχέσθαι. ἄλλος δ' αὖθις τῶν ἰητρῶν ὑπτίην τὴν χεῖρα δοὺς οὕτω κατατείνειν ἐκέλευεν, καὶ οὕτως ἔχουσαν ἐπέδει, τοῦτο νομίζων τὸ κατὰ φύσιν εἶναι, τῷ τε χρωτὶ σημαινόμενος, καὶ τὰ ὀστέα νομίζων κατὰ φύσιν εἶναι οὕτως, ὅτι φαίνεται τὸ ἐξέχον ὀστέον τὸ παρὰ τὸν καρπὸν ᾗ ὁ σμικρὸς δάκτυλος κατ' ἰθυωρίην εἶναι τοῦ ὀστέου. ἀφ' ὁκοίου τε τὸν πῆχυν οἱ ἄνθρωποι μετρέουσιν, ταῦτα τὰ μαρτύρια ἐπήγετο ὅτι κατὰ φύσιν οὕτως ἔχει. καὶ ἐδόκεεν εὖ λέγειν. ἀλλὰ τοῦτο μὲν εἰ ὑπτίη ἡ χεὶρ κατατείνοιτο ἰσχυρῶς πονοίη ἄν. γνοίη δ' ἄν τις τὴν ἑωυτοῦ χεῖρα κατατείνας, ὡς ἐπώδυνον τὸ σχῆμα. ἐπεὶ καὶ ἀνὴρ ἥσσων κρέσσονα διαλαβὼν οὕτως ἐν τῇσιν ἑωυτοῦ χερσὶν ὡς κλᾶται ὁ ἀγκὼν ὕπτιος, ἄγοι ἂν ὅπῃ ἐθέλοι. οὔτε γὰρ εἰ ξίφος ἐν ταύτῃ τῇ χειρὶ ἔχοι, ἔχοι ἂν ὅτι χρήσαιτο τῷ ξίφει, οὕτω βίαιον τοῦτο τὸ σχῆμά ἐστιν. τοῦτο δὲ εἰ ἐπιδήσας τις ἐν τούτῳ τῷ σχήματι ἐῴη, μέζων μὲν πόνος, εἰ περιίοι, μέγας δὲ καὶ εἰ κατακέοιτο. τοῦτο δὲ εἰ συγκάμψαι τὴν χεῖρα ἀνάγκη συνάγειν τοὺς μύας, καὶ τὰ ὀστέα ἄλλο σχῆμα ἔχειν. ἠγνόει δὲ καὶ τάδε τὰ ἐν τῷ σχήματι χωρὶς τῆς ἄλλης λύμης. τὸ γὰρ ὀστέον τὸ παρὰ τὸν καρπὸν ἐξέχον, τὸ κατὰ τὸν σμικρὸν δάκτυλον, τοῦτο μὲν τοῦ πήχεός ἐστι. τὸ δ' ἐν τῇ συγκάμψει ἐὸν ἀπὸ τοῦ τὸν πῆχυν οἱ ἄνθρωποι μετρέουσιν, τοῦτο δὲ τοῦ βραχίονος ἡ κεφαλή ἐστιν. ὁ δὲ ᾤετο τωὐτὸ ὀστέον εἶναι τοῦτό τε κἀκεῖνο. πολλοὶ δὲ καὶ ἄλλοι. ἔστι δὲ ἐκείνῳ τῷ ὀστέῳ τωὐτὸ, ὁ ἀγκὼν καλεόμενος, ᾧ ποτὶ στηριζόμεθα. οὕτως οὖν ὑπτίην ἔχοντι τὴν χεῖρα. τοῦτο μὲν τὸ ὀστέον διεστραμμένον φαίνεται. τοῦτο δὲ τὰ νεῦρα ἀπὸ τοῦ καρποῦ τείνοντα ἐκ τοῦ ἔσω μέρεος, καὶ ἀπὸ τῶν δακτύλων, ταῦτα ὑπτίην ἔχοντι τὴν χεῖρα διεστραμμένα γίνεται. τείνει τε γὰρ ταῦτα τὰ νεῦρα πρὸς τὸ τοῦ βραχίονος ὀστέον, ὅθεν ὁ πῆχυς μετρέεται. αὗται τοσαῦται καὶ τοιαῦται αἱ ἁμαρτάδες καὶ ἄγνοιαι τῆς φύσιος τῆς χειρός. εἰ δ' ὡς ἐγὼ κελεύω χεῖρα κατεηγυῖαν κατατείνοι τις, ἐπιστρέψει μὲν τὸ ὀστέον τὸ ἰθὺ τὸ κατὰ τὸν σμικρὸν δάκτυλον τὸ ἐς τὸν ἀγκῶνα τεῖνον. ἰθυωρίην δὲ ἕξει τὰ νεῦρα τὰ ἀπὸ τοῦ καρποῦ πρὸς τοῦ βραχίονος τὰ ἄκρα τείνοντα. ἀναλαμβανομένη δὲ ἡ χεὶρ, ἐν παραπλησίῳ σχήματι ἔσται, ἐν ὧπερ καὶ ἐπιδεομένη. ἄπονος μὲν ὁδοιπορέοντι. ἄπονος δὲ κατακειμένῳ καὶ ἀκάματος. καθίννυσθαι δὲ χρὴ τὸν ἄνθρωπον οὕτως ὅκως ἂν τὸ ἐξέχον τοῦ ὀστέου πρὸς τὴν λαμπροτάτην τῶν παρεουσέων αὐγέων, ὡς μὴ λάθῃ τὸν χειρίζοντα ἐν τῇ κατατάσει εἰ ἱκανῶς ἐξιθύνται. τοῦ γε μὴν ἐμπείρου, οὐδ' ἂν τὴν χεῖρα λάθοι ἐπαγομένην τὸ ἐξέχον ψαυόμενον. Τῶν δὲ ὀστέων τοῦ πήχεος, ὧν μὴ ἀμφότερα κατέηγεν, ῥάων ἡ ἴησις, ἢν τὸ ἄνω ὀστέον τετρωμένον ᾖ. καίπερ παχύτερον ἐόν. ἅμα μὲν ὅτι τὸ ὑγιὲς ὑποτεταμένον γίνεται ἀντὶ θεμελίου. ἅμα δ' ὅτι εὐκρυπτότερον γίνεται, πλὴν εἰ τὸ ἐγγὺς τοῦ καρποῦ. παχέη γὰρ ἡ τῆς σαρκὸς ἐπίφυσις ἡ ἐπὶ τὸ ἄνω. τὸ δὲ κάτω ὀστέον ἄσαρκον, καὶ οὐκ εὐξυγκρυπτὸν, καὶ κατατάσιος ἰσχυροτέρης δέεται. ἢν δὲ τοῦτο μὴ ξυντριβῇ, ἀλλὰ τὸ ἕτερον, φαυλοτέρη ἡ κατάτασις ἀρκέει. ἢν δ' ἀμφότερα κατεηγῇ, ἰσχυροτάτης κατατάσιος δέεται. παιδίου μὲν γὰρ ἤδη εἶδον κατατεθέντα μᾶλλον, ἢ ὡς ἔδει. οἱ δὲ πλεῖστοι ἧσσον τείνονται, ἢ ὡς δεῖ. χρὴ δ' ἐπὴν τείνωσιν, τὰ θέναρα προσβάλλοντα διορθοῦν. ἔπειτα χρίσαντα κηρωτῇ μὴ πάνυ πολλῇ, ὡς μὴ περιπλέη τὰ ἐπιδέσματα. οὕτως ἐπιδεῖν, ὅπως μὴ κατωτέρω ἄκρην τὴν χεῖρα ἕξει τοῦ ἀγκῶνος. ἀλλὰ σμικρῷ καὶ ἀνωτέρω, ὡς μὴ τὸ αἷμα ἐς ἄκρον ἐπιρρέῃ, ἀλλὰ ἀπολαμβάνηται. ἔπειτα ἐπιδεῖν τῷ ὀθονίῳ τὴν ἀρχὴν βαλλόμενος κατὰ τὸ κάτηγμα. ἐρείδων μὲν οὖν, μὴ πιέζων δὲ κάρτα. ἐπὴν δὲ περιβάλλῃ κατὰ τωὐτὸ δὶς ἢ τρὶς, ἐπὶ τὸ ἄνω νεμέσθω ἐπιδέων, ἵνα αἱ ἐπιρροαὶ τοῦ αἵματος ἀπολαμβάνωνται, καὶ τελευτησάτω κεῖθι. χρὴ δὲ μὴ μα-

ξηρὰ εἶναι τὰ πρῶτα ὀθόνια. τῶν δὲ δευτέρων ὀθονίων, τὴν μὲν ἀρχὴν βάλλεσθαι ἐπὶ τὸ κάτηγμα. περιβαλὼν δὲ ἅπαξ ἐς τὸ αὐτό, ἔπειτα νεμέσθω ἐς τὸ κάτω καὶ ἐπὶ ἧσσον πιέζων, καὶ ἐπὶ μεῖζον διαβιβάσκων, ὡς ἂν αὐτέῳ ἱκανὸν γένηται τὸ ὀθόνιον ἀναπαλινδρομῆσαι κεῖθι, ἵναπερ τὸ ἕτερον ἐτελεύτησεν. ἐνταῦθα μὲν οὖν τὰ ὀθόνια ἐπ' ἀριστερὰ ἢ ἐπὶ δεξιὰ ἐπιδεῖσθω. ἢ ἐπὶ ὁκότερα ἂν ξυμφέρῃ πρὸς τὸ σχῆμα τοῦ κατεηγότος, καὶ ἐφ' ὁκότερα ἂν περιῤῥέπειν ξυμφέρῃ. μετὰ δὲ ταῦτα σπλῆνας κατατείνειν χρὴ κεχρισμένους κηρωτῇ ὀλίγῃ, καὶ γὰρ προσηνέστερον καὶ εὐθετώτερον. ἔπειτα οὕτως ἐπιδεῖν τοῖσιν ὀθονίοισιν ὡς ἐναλλάξ. ὅτε μὲν ἐπὶ δεξιά. ὅτε δὲ ἐπ' ἀριστερά. καὶ τὰ μὲν πλείω κάτωθεν ἀρχόμενος, ἐς τὸ ἄνω ἄγειν. ἔστι δ' ὅτε καὶ ἄνωθεν ἐς τὸ κάτω. τὰ δὲ ὑπόξηρα ἀκέεσθαι τοῖσιν σπλήνεσι κυκλεῦντας. τὸ δὲ πλῆθος τῶν περιβολέων μὴ πᾶν ἀθρόον ξυνδιορθοῦντα, ἀλλὰ κατὰ μέρος. προσπεριβάλλειν δὲ χρὴ χαλαρὰ καὶ περὶ τὸν καρπὸν τῆς χειρός, ἄλλοτε καὶ ἄλλοτε. πλῆθος δὲ τῶν ὀθονίων ἱκανὸν τὸ πρῶτον, αἱ δύο μοῖραι. σημεῖα δὲ τοῦ καλῶς ἰητρευμένου ταῦτα, καὶ ὀρθῶς ἐπιδεομένου, εἰ ἐρωτῴης αὐτὸν εἰ πεπίεκται. καὶ ἢν φαίη μὲν πεπιέχθαι, ἡσύχως δὲ καὶ μάλιστα εἰ κατὰ τὸ κάτηγμα φαίη. τοιαῦτα τοίνυν φάναι χρὴ πεπρηγμένα διὰ τέλεος τὸν ὀρθῶς ἐπιδεόμενον. σημεῖα δὲ ταῦτα τῆς μετριότητος, τὴν μὲν ἡμέρην ἣν ἂν ἐπιδεθῇ καὶ τὴν νύκτα δοκέτω αὐτὸς ἑωυτῷ μὴ ἐπὶ ἧσσον πεπιέχθαι, ἀλλ' ἐπὶ μᾶλλον. τῇ δ' ὑστεραίῃ οἰδημάτιον ἐλθεῖν ἐς χεῖρα ἄκρην μαλθακόν. μετριότητος γὰρ σημεῖον τῆς πιέξιος τοῦτο. τελευτώσης δὲ τῆς ἡμέρης, ἐπὶ ἧσσον δοκέτω πεπιέχθαι. τῇ δὲ τρίτῃ χαλαρά οἱ δοκέτω εἶναι τὰ ἐπιδέσματα. καὶ ἢν μέν τι τούτων τῶν εἰρημένων ἐλλίπῃ, γινώσκειν χρὴ ὅτι χαλαρωτέρη ἐστὶν ἐπίδεσις τοῦ μετρίου. ἢν δέ τι τῶν εἰρημένων πλεονάζῃ, χρὴ γινώσκειν ὅτι μᾶλλον ἐπιέχθη τοῦ μετρίου. καὶ τουτέοισι σημαινόμενος τὸ ὕστερον ἐπιδέων, ἢ χαλᾶν μᾶλλον, ἢ πιέζειν. ἀπολύσαντα δὲ χρὴ τριταῖον ἐόντα, κατατεινάμενον καὶ διορθωσάμενον, καὶ ἢν μετρίως τὸ πρῶτον κατατύχῃς ἐπιδήσας, ταύτην τὴν ἐπίδεσιν χρὴ ὀλίγῳ μᾶλλον ἢ ἐκείνην πιέσαι. βάλλεσθαι δὲ χρὴ τὰς ἀρχὰς κατὰ τὸ κάτηγμα, ὥσπερ καὶ τὸ πρότερον. ἢν μὲν γὰρ πρότερον ἐπιδέῃς, ἐξαρέεται ἐκ τούτου οἱ ἰχῶρες ἐς τὰς ἐσχατιὰς ἔνθα καὶ ἔνθα. ἢν δέ τι ἄλλο πρότερον πιέζῃς, ἐς γὰρ ἐξαρέεται ἐκ τοῦ πιεχθέντος. ἐς πολλὰ δ' εὔχρηστον τὸ ξυνιέναι. οὕτως οὖν ἄρχεσθαι μὲν αἰεὶ χρὴ τὴν ἐπίδεσιν καὶ τὴν πίεξιν ἐκ τουτέου τοῦ χωρίου. τὰ δ' ἄλλα κατὰ λόγον. ὡς ἂν προσωτέρω ἀπὸ τοῦ κατήγματος ἀγάγῃς ἐπὶ ἧσσον τὴν πίεξιν ποιέεσθαι. χαλαρὰ δὲ παντάπασιν μηδέ ποτε περιβάλλειν, ἀλλὰ προσπεπτωκότα. ἔπειτα δὲ πλέοσιν ὀθονίοισιν χρὴ ἐπιδεῖν ἑκάστην τῶν ἐπιδεσίων. ἐρωτώμενος δὲ φάτω ὀλίγῳ μᾶλλον οἱ πεπιέχθαι, ἢ τὸ πρότερον, καὶ μάλιστα φάτω κατὰ τὸ κάτηγμα. καὶ τὰ ἄλλα δὲ κατὰ λόγον, καὶ ἀμφὶ τῷ οἰδήματι, καὶ ἀμφὶ τῷ πονέειν, καὶ ἀμφὶ τῷ ῥηΐζειν, κατὰ λόγον τῆς προτέρης ἐπιδέσιος γινέσθω. ἐπὴν δὲ τριταῖος ᾖ, χαλαρώτερά οἱ δοκέτω εἶναι τὰ ἐπιδέσματα. ἔπειτα ἀπολύσαντα χρὴ αὖθις ἐπιδῆσαι ὀλίγῳ μᾶλλον πιέζοντα, καὶ ἐν πᾶσι τοῖσιν ὀθονίοισιν οἷσιπερ ἤμελλεν ἐπιδεῖσθαι. καὶ ἔπειτα αὐτὸν πάντα ταῦτα καταλαβέτω, ἅπερ καὶ ἐν τῇσι περιόδοισιν τῶν ἐπιδεσίων. ἐπὴν δὲ τριταῖος γένηται, ἑβδομαῖος δὲ ἀπὸ τῆς πρώτης ἐπιδέσιος. ἢν ὀρθῶς ἐπιδέηται, τὸ μὲν οἴδημα ἐν ἄκρῃ τῇ χειρὶ ἔσται, οὐ δὲ γὰρ λίην μέγα. τὸ δ' ἐπιδεόμενον χωρίον ἐν πάσῃσι τῇσιν ἐπιδέσεσιν ἐπὶ τὸ λεπτότερον καὶ ἰσχνότερον εὑρεθήσεται. ἐν δὲ τῇ ἑβδόμῃ, καὶ πάνυ λεπτόν, καὶ τὰ ὀστέα τὰ κατεηγότα ἐπὶ μᾶλλον κινεύμενα καὶ εὐπαράγωγα ἐς κατόρθωσιν. καὶ ἢν ᾖ ταῦτα τοιαῦτα, κατορθωσάμενον χρὴ ἐπιδῆσαι ὡς ἐς νάρθηκας, ὀλίγῳ μᾶλλον πιέσαντα, ἢ τὸ πρότερον, ἢν μὴ πόνος τις πλείων ᾖ ἀπὸ τοῦ οἰδήματος τοῦ ἐν ἄκρῃ τῇ χειρί. ἐπὴν δ' ἐπιδήσῃς τοῖσιν ὀθονίοισιν, τοὺς νάρθηκας περιθεῖναι χρὴ καὶ περιλαβεῖν ἐν τοῖσι δεσμοῖσιν, ὡς χαλαρωτάτοισιν ὁκόσον ἠρεμέειν, ὥστε μηδὲν ξυμβάλλεσθαι ἐς τὴν πίεξιν τῆς χειρὸς τὴν τῶν ναρθήκων πρόσθεσιν. μετὰ δὲ ταῦτα ὅ, τε πόνος, αἵ τε ῥαστῶναι αἱ αὐταὶ γινέσθωσαν, αἵπερ καὶ ἐν τῇσι πρώτῃσι περιόδοισιν τῶν ἐπιδεσίων. ἐπὴν δὲ τριταῖος ἐὼν φῇ χαλαρὸν εἶναι, τότ' ἔπειτα χρὴ τοὺς νάρθηκας ἐρείδεσθαι, μάλιστα μὲν κατὰ τὸ κάτηγμα, ἀτὰρ καὶ τἄλλα κατὰ λόγον, εἴπερ καὶ ἡ ἐπίδεσις ἐχάλα μᾶλλον ἢ ἐπίεζε. παχύτατον δὲ χρὴ εἶναι τὸν νάρθηκα, ᾗ ἐξέστη τὸ κάτηγμα μὴ μὴν πολλῷ. ἐπιτηδεύειν δὲ χρή. μάλιστα μὲν κατ' ἰθυωρίην τοῦ μεγάλου δακτύλου ὡς μὴ κέσεται ὁ νάρθηξ, ἀλλὰ τῇ ἢ τῇ. μὴ δὲ κατὰ τὴν τοῦ σμικροῦ δακτύλου ἰθυωρίην, ᾗ τὸ ὀστέον ὑπερέχει ἐν τῷ καρπῷ, ἀλλὰ τῇ ἢ τῇ. ἢν δὲ ἄρα πρὸς

τὸ κάτηγμα

τὸ κάτηγμα ξυμφέρει κεῖσθαι κατὰ ταῦτα, τινὰς τῶν ναρθήκων βραχυτέρους αὐτοὺς χρὴ τῶν ἄλλων ποιέειν, ὡς μὴ ἐξικνέωνται πρὸς τὰ ὀστέα τὰ ὑπερέχοντα παρὰ τὸν καρπόν. κίνδυνος γὰρ ἑλκώσιος, καὶ νεύρων ψιλώσιος. χρὴ δὲ διὰ τρίτης ἐρείδειν τοῖσι νάρθηξιν πάνυ ἡσυχῇ, οὕτω τῇ γνώμῃ ἔχοντας ὡς οἱ νάρθηκες φυλακῆς εἵνεκα τῆς ἐπιδέσιος προσκέωνται, ἀλλ' οὐ τῆς πιέξιος εἵνεκεν ἐπιδέωνται.

Ἢν μὲν οὖν εὖ εἰδῇς ὅτι ἱκανῶς τὰ ὀστέα ἀπιθύνωται ἐν τῇσι προτέρῃσιν ἐπιδέσεσιν, καὶ μήτε κνησμοί τινες λυπέωσι, μήτε τις ἕλκωσις μηδεμία ὑποπτεύηται εἶναι, ἐᾶν χρὴ ἐπιδεδέσθαι ἐν τοῖσιν νάρθηξιν ἔστ' ἂν ὑπὲρ εἴκοσιν ἡμέρας γένηται. ἐν τριήκοντα δὲ μάλιστα τῇσι ξυμπάσῃσι κρατύνεται ὀστέα τὰ ἐν τῷ πήχει τὸ ἐπίπαν. ἀτρεκὲς δὲ οὐδέν. μάλα γάρ τι καὶ φύσις φύσιος καὶ ἡλικίη ἡλικίης διαφέρει. ἐπὴν δὲ λύσῃς, ὕδωρ θερμὸν καταχέαι χρὴ καὶ μετεπιδῆσαι, ἧσσον μὲν ὀλίγῳ πιέσαντα, ἢ τὸ πρόσθεν, ἐλάσσοσι δὲ τοῖσιν ὀθονίοισιν, ἢ τὸ πρότερον. καὶ ἔπειτα διὰ τρίτης ἡμέρης λύσαντα ἐπιδέειν, ἐπὶ μὲν ἧσσον πιέζοντα, ἐπὶ δὲ ἐλάσσοσι τοῖσιν ὀθονίοισιν. ἐπὴν δὲ ὅταν τοῖσι νάρθηξι δεθῇ ὑποπτεύῃς τὰ ὀστέα μὴ ὀρθῶς κεῖσθαι, ἢ ἄλλο τι ὀχλέῃ τὸν τετρωμένον, λῦσαι ἐν τῷ ἡμίσει τοῦ χρόνου, ἢ ὀλίγῳ πρόσθεν καὶ αὖθις μετεπιδῆσαι.

Δίαιτα δὲ τουτέοισιν οἷσιν ἂν μὴ ἕλκεα ἐξ ἀρχῆς γένηται, ἢ ὀστέα ἔξω ἐξίσχει, ἀρκέει ὑποφαύλη, ἐνδεεστέρην δὲ χρὴ διαιτᾷν ἄχρι ἡμερέων δέκα, ἅτε ἤδη καὶ ἐλινύοντας. καὶ ὄψοισιν ἁπαλοῖσιν χρῆσθαι ὁκόσα τῇ διεξόδῳ μετριότητα παρέχουσι. οἴνου δὲ καὶ κρεηφαγίης ἀπέχεσθαι. ἔπειτα μέντοι ἐκ προσαγωγῆς ἀνακομίζεσθαι. οὗτος ὁ λόγος ὥσπερ νόμος κεῖται δίκαιος περὶ καταγμάτων ἰήσιος. ὥστε χειρίζειν χρὴ ὥστε ἀποβαίνειν ἀπὸ τῆς δικαίης χειρίξιος. ὅτι δ' ἂν μὴ οὕτως ἀποβαίνῃ, εἰδέναι χρὴ ὅτι ἐν τῇ χειρίξει τι ἐνδεὲς πεποίηται, ἢ πεπλεόνασται. ἔτι δὲ τάδε χρὴ προσξυνιέναι ἐν τούτῳ τῷ ἁπλῷ τρόπῳ, ἃ οὐ κάρτα ἐπιμελέονται οἱ ἰητροί, καίτοι πᾶσαν μελέτην, καὶ πᾶσαν ἐπίδεσιν οἷά τε διαφθείρειν ἐστὶ μὴ ὀρθῶς ποιεύμενα. ἢν γὰρ τὰ μὲν ὀστέα ἄμφω καταγῇ, ἢ τὸ κάτω μοῦνον, ὁ δὲ ἐπιδεδεμένος ἐν ταινίῃ τινὶ τὴν χεῖρα ἔχει ἀναλελαμμένος, τυγχάνει δὲ ἡ ταινίη κατὰ τὸ κάτηγμα πλείστη ἐοῦσα, ἔνθεν δὲ καὶ ἔνθεν ἡ χεὶρ ἀπαιωρέηται, τοῦτον ἀνάγκη τὸ ὀστέον εὑρεθῆναι διεστραμμένον ἔχοντα πρὸς τὸ ἄνω μέρος. ἢν δὲ κατεηγότων τῶν ὀστέων οὕτως ἄκρην τε τὴν χεῖρα ἐν τῇ ταινίῃ ἔχῃ, καὶ παρὰ τὸν ἀγκῶνα, ὁ δὲ ἄλλος πῆχυς μὴ μετέωρος ᾖ, οὗτος εὑρεθήσεται τὸ ὀστέον ἐς τὸ κάτω μέρος διεστραμμένον ἔχων. χρὴ οὖν ἐν ταινίῃ πλάτος ἐχούσῃ μαλθακῇ τὸ πλεῖστον τοῦ πήχεος καὶ τὸν καρπὸν τῆς χειρὸς ὁμαλῶς αἰωρέεσθαι.

Ἢν δὲ ὁ βραχίων καταγῇ. ἢν μέν τις ἀποτανύσας τὴν χεῖρα ἐν τουτέῳ τῷ σχήματι διατείνῃ, ὁ μῦς τοῦ βραχίονος κατατεταμένος ἐπιδεθήσεται. ἐπὴν δ' ἐπιδεθεὶς ξυγκάμψῃ τὸν ἀγκῶνα, ὁ μῦς τοῦ βραχίονος ἄλλο σχῆμα σχήσει. δικαιοτάτη οὖν βραχίονος κατάτασις ἥδε. ξύλον πηχυαῖον ἢ ὀλίγῳ βραχύτερον ὁκοῖοι οἱ στύλαιοι εἰσὶ τῶν σκαφίων κρεμάσαι χρὴ ἔνθεν καὶ ἔνθεν σειρῇ δήσαντα. καθίσαντα δὲ τὸν ἄνθρωπον ἀπὸ ὑψηλοῦ τινὸς τὴν χεῖρα ὑπερκεῖσθαι ὡς ὑπὸ τῇ μασχάλῃ γένηται ὁ στύλαιος, ἔχων ξυμμέτρως, ὥστε μόλις δύνασθαι καθικνεῖσθαι τὸν ἄνθρωπον, σμικροῦ δέοντα μετέωρον εἶναι. ἔπειτα θέντα τι ἄλλο ἕφεδρον καὶ ὑποθέντα σκύτινον ὑποκεφάλαιον ἢ ἓν ἢ πλείω, ὅκως ξυμμέτρως σχοίη ὕψος τοῦ πήχεος πλαγίου πρὸς ὀρθὴν γωνίην. ἄριστον μὲν σκῦτος πλατὺ καὶ μαλθακὸν ἢ ταινίην πλατείην ἀμφιβάλλοντα, τῶν μεγάλων τι σταθμίων ἐξαρτῆσαι, ὅ, τι μετρίως ἕξει κατατείνειν. εἰ δὲ μή, τῶν ἀνδρῶν ὅστις ἐρρωμένος ἐν τούτῳ τῷ σχήματι τοῦ πήχεος παρὰ τὸν ἀγκῶνα καταναγκαζέτω ἐς τὸ κάτω. ὁ δὲ ἰητρὸς ὀρθὸς μὲν ἐὼν χειριζέτω, τὸν ἕτερον πόδα ἐπὶ ὑψηλοτέρου τινὸς ἔχων, κατορθώσας δὲ τοῖσιν θέναρσι τὸ ὀστέον. ῥηϊδίως δὲ κατορθώσεται. ἀγαθὴ γὰρ ἡ κατάτασις ἤν τις καλῶς παρασκευάσηται. ἔπειτα ἐπιδείτω τάς τε ἀρχὰς βαλλόμενος ἐπὶ τὸ κάτηγμα, καὶ τἄλλα πάντα ὥσπερ πρότερον παρῃνέθη, χειριζέτω. καὶ ἐρωτήματα ταῦτα ἐρωτάτω. καὶ σημείοισι χρήσθω τοῖσιν αὐτέοισιν. ἢν μετρίως ἔχῃ ἢ οὔ. καὶ διὰ τρίτης ἐπιδείτω. καὶ ἐπὶ μᾶλλον πιεζέτω. καὶ ἑβδομαῖον ἢ ἐναταῖον ἐν νάρθηξι δησάτω. καὶ ἢν ὑποπτεύσῃ μὴ καλῶς κεῖσθαι τὸ ὀστέον, μεσηγὺ τουτέου τοῦ χρόνου λυσάτω, καὶ εὐθετησάμενος μετεπιδησάτω. κρατύνεται δὲ μάλιστα βραχίονος ὀστέον ἐν τεσσαράκοντα ἡμέρῃσιν. ἐπὴν δὲ ταύτας ὑπερβάλῃ, λύειν χρὴ, καὶ ἐπὶ ἧσσον πιέζειν τοῖσιν ὀθονίοισιν. καὶ ἐπὶ ἐλάσσοσιν ἐπιδέειν. δίαιταν δὲ ἀκριβεστέρην τινὰ ἢ τὸ πρότερον διαιτᾷν, καὶ

πλείω χρόνου. τεκμαίρεσθαι δὲ πρὸς τὸ οἴδημα τὸ ἐν ἄκρῃ τῇ χειρὶ τὴν ῥώμην ὁρῶν. προσξυμμιγνύναι δὲ χρὴ καὶ τάδε. ὅτι βραχίων κυρτὸς πέφυκεν ἐς τὸ ἔξω μέρος, καὶ διαστρέφεσθαι φιλεῖ, ἐπὴν μὴ καλῶς ἰητρεύηται. ἀτὰρ καὶ τἄλλα πάντα ὀστέα εἰς ὅπερ πέφυκε διεστραμμένα ἐς τοῦτο καὶ ἰητρευόμενα φιλεῖ διαστρέφεσθαι ἐπὴν κατεαγῇ. χρὴ τοίνυν ἐπὴν τοιοῦτό τι ὑποπτεύηται, ταινίῃ πλατείῃ προσεπιλαμβάνειν τὸν βραχίονα κύκλῳ περὶ τὸ στῆθος περιδέοντα. καὶ ἐπὴν ἀναπαύεσθαι μέλλῃ, μεσηγὺ τοῦ ἀγκῶνος καὶ τῶν πλευρέων σπλῆνά τινα πολύπτυχον πτύξαντα ὑποτιθέναι, ἢ ἄλλό τι ὃ τουτέῳ ἔοικεν. οὕτω γὰρ ἂν ἰθὺ τὸ κύρτωμα τοῦ ὀστέου γένοιτο. φυλάσσεσθαι μέντοι χρὴ, ὅπως μὴ ἄγαν ἐς τὸ ἔσω μέρος.

Πούς δὲ ἀνθρώπου ἐκ πολλῶν καὶ μικρῶν ὀστέων ξύγκειται, ὥσπερ χεὶρ ἄκρη. κατάγνυται μὲν οὐ πάνυ τι ταῦτα τὰ ὀστέα, ἢν μὴ ξὺν τῷ χρωτὶ τιτρωσκομένῳ ὑπὸ ὀξέος τινὸς ἢ βαρέος. τὰ μὲν οὖν τιτρωσκόμενα, ἐν ἑλκωσίων μέρει εἰρήσεται ὡς χρὴ ἰητρεύειν. ἢν δέ τι κινηθῇ ἐκ τῆς χώρης, ἢ τῶν δακτύλων ἄρθρον, ἢ ἄλλό τι τῶν ὀστέων τοῦ ταρσοῦ καλεομένου, ἀναγκάζειν μὲν χρὴ ἐς τὴν ἑωυτοῦ χώρην ἕκαστον, ὥσπερ καὶ τὰ ἐν τῇ χειρὶ εἴρηται. καὶ ἰητρεύειν δὲ κηρωτῇ καὶ σπλήνεσιν καὶ ὀθονίοισιν, ὥσπερ καὶ τὰ κατήγματα, πλὴν τῶν ναρθήκων. τὸν μὲν αὐτὸν τρόπον πιέζοντα, διὰ τρίτης δὲ ἐπιδέοντα. ὑποκρινέσθω δὲ ὁ ἐπιδεόμενος παραπλήσια, οἷα περ καὶ ἐν τοῖσι κατήγμασι, καὶ περὶ τοῦ πεπιέχθαι καὶ περὶ τοῦ χαλαρὰ εἶναι. ὑγιέα δὲ γίνεται ἐν εἴκοσιν ἡμέρῃσιν τελέως ἅπαντα, πλὴν ὁκόσα κοινωνεῖ τοῖσι τῆς κνήμης ὀστέοισι, καὶ αὐτέῃ τῇ ἴξει. ξυμφέρει δὲ κατακεῖσθαι τοῦτον τὸν χρόνον. ἀλλὰ γὰρ οὐ τολμέουσιν ὑπερορῶντες τὸ νόσημα, ἀλλὰ περιέρχονται πρὶν ὑγιέες γενέσθαι. διὰ τοῦτο καὶ οἱ πλεῖστοι οὐκ ἐξυγιαίνουσι τελέως, ἀλλὰ πολλάκις αὐτοὺς ὁ πόνος ὑπομιμνήσκει εἰκότως. ὅλον γὰρ τὸ ἄχθος τοῦ σώματος οἱ πόδες ὀχέουσιν. ὁκόταν οὖν μήπω ὑγιέες ἐόντες ὁδοιπορέουσιν, φλαύρως ξυναλθάσσεται τὰ ἄρθρα τὰ κινηθέντα. διὰ τοῦτο ἄλλοτε καὶ ἄλλοτε ὀδυνῶνται τὰ πρὸς τῇ κνήμῃ. τὰ δὲ κοινωνέοντα τοῖς τῆς κνήμης ὀστέοισιν, μέζω τε τῶν ἑτέρων ἐστὶν, καὶ κινηθέντων τούτων πουλυχρονιωτέρα ἡ ἄλθαξις. ἴησις μὲν οὖν ἡ αὐτή. ὀθονίοισι δὲ πλείοσι χρέεσθαι, καὶ σπλήνεσιν. καὶ ἐπὶ πᾶν ἔνθεν καὶ ἔνθεν ἐπιδέειν. πιέζειν δὲ ὥσπερ καὶ τἄλλα πάντα, ταύτῃ μάλιστα ᾗ ἐκινήθη, καὶ τὰς πρώτας περιβολὰς τῶν ὀθονίων, κατὰ ταῦτα ποιέεσθαι. ἐν δὲ ἑκάστῃ τῶν ἀπολυσίων ὕδατι πολλῷ θερμῷ χρέεσθαι. ἐν πᾶσι δὲ πολλὸν ὕδωρ θερμὸν καταχέειν τοῖσι κατ' ἄρθρα σίνεσιν. αἱ δὲ πιέξιες καὶ αἱ χαλάσιες, ἐν τοῖσιν αὐτέοισιν χρόνοισι τὰ αὐτὰ σημεῖα δεικνυόντων, ἅπερ ἐπὶ τοῖσιν πρόσθεν. καὶ τὰς μεταπιδέσιας, ὡσαύτως χρὴ ποιέεσθαι. ὑγιέες δὲ τελέως οὗτοι γίνονται ἐν τεσσαράκοντα ἡμέρῃσι μάλιστα, ἢν τολμέωσι κατακεῖσθαι. ἢν δὲ μὴ, πάσχουσι ταῦτα ἃ καὶ πρότερον, καὶ ἔτι μᾶλλον.

Ὅσοι δὲ πηδήσαντες ἀφ' ὑψηλοῦ τινος ἐστηρίξαντο τῇ πτέρνῃ ἰσχυρῶς, τουτέοισι διΐστανται μὲν τὰ ὀστέα. φλέβια δ' ἐκχυμοῦνται ἀμφιθλασθείσης τῆς σαρκὸς ἀμφὶ τὸ ὀστέον. οἴδημα δὲ ἐπιγίνεται καὶ πόνος πουλύς. τὸ γὰρ ὀστέον τοῦτο, οὐ σμικρόν ἐστιν, καὶ ὑπερέχει μὲν ὑπὸ τὴν ἰθυωρίην τῆς κνήμης, κοινωνεῖ δὲ φλεψὶ καὶ νεύροις ἐπικαίροισιν. ὁ τένων δὲ ὁ ὄπισθεν τούτῳ προσήρτηται τῷ ὀστέῳ. τούτους χρὴ ἰητρεύειν μὲν κηρωτῇ καὶ σπλήνεσι καὶ ὀθονίοισιν. ὕδατι δὲ θερμῷ, πλείστῳ τουτέοισι χρῆσθαι, καὶ ὀθονίοισι πλείοσιν. ἐπιδεῖ τουτέοισι δεῖ καὶ ἄλλως ὡς βελτίστων, καὶ προσηνεστάτων. καὶ ἢν μὲν τύχῃ ἁπαλὸν τὸ δέρμα φύσει ἔχον τὸ ἀμφὶ τὴν πτέρνην, ἐᾶν οὕτως. ἢν δὲ παχὺ καὶ σκληρόν οἷα μετεξέτεροι ἴσχουσιν, κατατέμνειν χρὴ ὁμαλῶς καὶ διαλεπτύνειν μὴ διατιτρώσκοντα. ἐπιδεῖν δὲ ἀγαθῶς, οὐ παντὸς ἀνδρός ἐστι τὰ τοιαῦτα. ἢν γάρ τις ἐπιδέῃ ὥσπερ καὶ τὰ ἄλλα τὰ κατὰ τὰ σφυρὰ ἐπιδεῖται, ὁτὲ μὲν περὶ τὸν πόδα περιβαλλόμενος, ὁτὲ δὲ περὶ τοὺς τένοντας, αἱ ἀποσφίγξιες αὗται χωρίζουσι τὴν πτέρνην, ᾗ τὸ θλάσμα ἐγένετο. καὶ οὕτω κίνδυνος σφακελίσαι τὸ ὀστέον τὸ τῆς πτέρνης. καίτοι ἢν σφακελίσῃ τὸν αἰῶνα πάντα ἱκανὸν ἀντισχεῖν τὸ νόσημα. καὶ γὰρ τἄλλα ὅσα μὴ ἐκ τοιούτου τρόπου σφακελίζει, ἀλλ' ἐν κατακλίσει μελανθείσης τῆς πτέρνης ὑπὸ ἀμελείης τοῦ σχήματος, ἢ ἐν κνήμῃ τρώματος γινομένου, ἐπικαίρου καὶ χρονίου, καὶ κοινοῦ τῇ πτέρνῃ, ἢ ἐν μηρῷ, ἢ ἐπὶ ἄλλῳ νοσήματι ὑπτιασμοῦ χρονίου γενομένου. ὅμως καὶ τοῖσι τοιούτοισι χρόνια καὶ ὀχλώδεα, καὶ πολλάκις ἀναρρηγνύμενα, ἢν μὴ χρηστῇ μὲν μελέτῃ θεραπευθῇ, πολλῇ δ' ἡσυχίῃ. ὡς τά γ' ἐκ τοῦ τοιούτου τρόπου σφακελίζοντα κινδύνους μεγάλους τῷ σώματι παρέχει πρὸς

τῇ ἄλλῃ

τῇ ἄλλῃ λύμῃ. καὶ γὰρ πυρετοὶ ὑπεροξέες, ξυνεχέες, τρομώδεες, λυγγώδεες, γνώμης ἁπτόμενοι, καὶ ὀλιγήμεροι, κτείνοντές τε. γένοιτο δ' ἂν καὶ φλεβῶν αἱμοῤῥόων πελιώσιες, ναυσιώσιες, καὶ γαγγραινώσιες ὑπὸ τῆς πιέξιος. γένοιτο δ' ἂν ταῦτα ἔξω τοῦ ἄλλου σφακελισμοῦ. ταῦτα μὲν οὖν εἴρηται, οἷα τὰ ἰσχυρότατα θλάσματα γίνεται. τὰ μέντοι πλεῖστα ἡσυχαίως ἀμφιθλᾶται, καὶ οὐδεμίη πολλὴ σπουδὴ τῆς μελέτης, ἀλλ' ὅμως ὀρθῶς γε χρὴ χειρίζειν. ἐπὴν μέντοι ἰσχυρὸν δόξῃ εἶναι τὸ θλάσμα, τά τε εἰρημένα ποιέειν χρή. καὶ τὴν ἐπίδεσιν τὴν πλείστην ποιέεσθαι ἀμφὶ τὴν πτέρναν περιβάλλοντα. ἄλλοτε πρὸς τὰ ἄκρα τοῦ ποδὸς ἀντιπεριβάλλοντα. ἄλλοτε πρὸς τὰ μέσα. ἄλλοτε πρὸς τὰ περὶ τὴν κνήμην. προσεπιδεῖν δὲ καὶ τὰ πλησίον πάντα καὶ ἔνθεν καὶ ἔνθεν, ὥσπερ καὶ πρόσθεν εἴρηται. καὶ ἰσχυρὴν μὲν μὴ ποιέεσθαι τὴν πίεξιν, πολλοῖσι δὲ τοῖς ὀθονίοισιν. ἄμεινον δὲ καὶ ἐλλέβορον πιπίσκειν αὐθημερὸν ἢ τῇ ὑστεραίῃ. ἀπολῦσαι δὲ τριταῖον καὶ αὖθις μετεπιδῆσαι. σημεῖα δὲ τάδε ἢν παλιγκοταίνῃ, ἢ οὔ. ἐπὴν μὲν τὰ ἐκχυμώματα τῶν φλεβῶν, καὶ τὰ μελάσματα, καὶ τὰ ἐγγὺς ἐκείνων ὑπέρυθρα γίνεται καὶ ὑπόσκληρα, κίνδυνος παλιγκοτῆσαι. ἀλλ' ἢν μὲν ἀπύρετος ᾖ, φαρμακεύειν ἄνω χρὴ ὥσπερ εἴρηται. καὶ ὅσα μὴ ξυνεχῆ πυρεταίνηται. ἢν δὲ ξυνεχῆ πυρεταίνηται, μὴ φαρμακεύειν. ἀπέχειν δὲ σιτίων καὶ ῥοφημάτων. ποτῷ δὲ χρῆσθαι ὕδατι καὶ μὴ οἴνῳ, ἀλλὰ ὀξυγλυκεῖ. ἢν δὲ μὴ μέλλῃ παλιγκοταίνειν τὰ ἐκχυμώματα καὶ τὰ μελάσματα, καὶ τὰ περιέχοντα ὑπόχλωρα γίνεται καὶ μὴ σκληρά. ἀγαθὸν τοῦτο τὸ μαρτύριον ἐν πᾶσιν ἐκχυμώμασιν, τοῖσι μὴ μέλλουσι παλιγκοταίνειν. ὅσα δὲ σὺν σκληρύσμασιν πελιοῦται, κίνδυνος μὲν μελανθῆναι. τὸν δὲ πόδα ἐπιτηδεύειν χρὴ, ὅκως ἀνωτέρω τοῦ ἄλλου σώματος ἔσται τὰ πλεῖστα ὀλίγον. ὑγιὴς δ' ἂν γένοιτο ἐν ἑξήκοντα ἡμέρῃσιν, εἰ ἀτρεμέοι.

Ἡ δὲ κνήμη δύο ὀστέα ἐστί. τῇ μὲν συχνῷ λεπτότερον τὸ ἕτερον τοῦ ἑτέρου. τῇ δὲ οὐ πολλῷ λεπτότερον. ξυνέχεται δὲ ἀλλήλοισι τὰ πρὸς τοῦ ποδὸς, καὶ ἐπίφυσιν κοινὴν ἔχει. ἐν ἰθυωρίῃ δὲ τῆς κνήμης οὐ ξυνέχεται. τὰ δὲ πρὸς τοῦ μηροῦ ξυνέχεται, καὶ ἐπίφυσιν ἔχει. καὶ ἡ ἐπίφυσις διάφυσιν. μακρότερον δὲ τὸ ἕτερον ὀστέον σμικρῷ, τὸ κατὰ τὸν σμικρὸν δάκτυλον. ἡ μὲν φύσις τοιαύτη τῶν ὀστέων τῶν ἐν τῇ κνήμῃ. ὀλισθάνει δὲ ἔστιν ὅτε τὰ πρὸς τοῦ ποδός. ὅτε μὲν ξὺν τῇ ἐπιφύσει ἀμφότερα τὰ ὀστέα. ὅτε δὲ ἡ ἐπίφυσις ἐκινήθη. ὅτε δὲ τὸ ἕτερον ὀστέον. ταῦτα δὲ ὀχλώδεα μὲν ἧσσον, ἢ τὰ ἐν τῷ καρπῷ τῶν χειρέων, εἰ τολμῷεν ἀτρεμέειν οἱ ἄνθρωποι. ἴησις δὲ παραπλησίη, οἵηπερ ἐκείνων. τήν τε γὰρ ἐμβολὴν χρὴ ποιέεσθαι ἐκ κατατάσιος ὥσπερ ἐκείνων. ἰσχυροτέρης δὲ δεῖται τῆς κατατάσιος, ὅσῳ ἰσχυρότερον τὸ σῶμα ταύτῃ. ὡς τὰ πλεῖστα μὲν γὰρ ἀρκέουσιν ἄνδρες δύο, ὁ μὲν ἔνθεν, ὁ δὲ ἔνθεν τείνοντες. ἢν δὲ μὴ ἰσχύωσιν, ἰσχυροτέρην ῥηΐδιόν ἐστι ποιέειν τὴν κατάτασιν. ἢ γὰρ πλήμνην κατορύξαντα χρὴ, ἢ ἄλλό τι ὅτι τούτῳ ἔοικεν, μαλθακόν τι περὶ τὸν πόδα περιβάλλειν. ἔπειτα πλατέσι βοείοισιν ἱμᾶσι περιδήσαντα τὸν πόδα τὰς ἀρχὰς τῶν ἱμάντων, ἢ πρὸς ὕπερον, ἢ πρὸς ἕτερον ξύλον προσδήσαντας, τὸ ξύλον πρὸς τὴν πλήμνην ἄκρον ἐνθέντα ἀνακλᾶν. τοὺς δὲ ἀντιτείνειν, ἄνωθεν τε τῶν ὤμων ἐχομένους καὶ τῆς ἰγνύης. ἔστι δὲ καὶ τὸ ἄνω τοῦ σώματος ἀνάγκῃ προσλαβεῖν. τοῦτο μὲν ἢν βούλῃ, ξύλον στρογγύλον λεῖον κατορύξας βαθέως, μέρος τι αὐτοῦ ὑπερέχον τοῦ ξύλου μεσηγὺ τῶν σκελέων ποιήσασθαι παρὰ τὸν περίνεον, ὡς κωλύῃ ἀκολουθέειν τὸ σῶμα τοῖσι πρὸς ποδῶν τείνουσιν. ἔπειτα πρὸς τὸ τεινόμενον σκέλος μὴ ῥέπειν. τὸν δέ τινα πλάγιον παρακαθήμενον ἀπωθέειν τὸν γλουτὸν ὡς μὴ περιέλκηται τὸ σῶμα. τοῦτο δὲ καὶ ἢν περὶ τὰς μασχάλας ἔνθεν καὶ ἔνθεν τὰ ξύλα παραπεπήγῃ. αἱ δὲ χεῖρες παρατεταμέναι φυλάσσονται. προσεπιλαμβανέτω δέ τις κατὰ γόνυ, καὶ οὕτως ἀντιτείνοιτο. τοῦτο δ' ἢν παρὰ τὸ γόνυ βούληται ἄλλους ἱμάντας περιδήσας ἢ περὶ τὸν μηρὸν, πλήμνην ἄλλην ὑπὲρ κεφαλῆς κατορύξας, ἐξαρτήσας τε τοὺς ἱμάντας ἔκ τινος ξύλου, τὸ ξύλον στηρίζων ἐν τῇ πλήμνῃ, τἀναντία τῶν πρὸς ποδῶν ἕλκειν. τοῦτο δ' ἢν βούλῃ ἀντὶ τῶν πλημνέων δοκίδα ὑποτείνας ὑπὸ τὴν κλίνην μετρίην. ἔπειτα πρὸς τῆς δοκίδος, ἔνθεν καὶ ἔνθεν τὴν κεφαλὴν στηρίζων, καὶ ἀνακλῶν τὰ ξύλα κατατείνειν τοὺς ἱμάντας. ἢν δὲ θέλῃς, ὀνίσκους καταστήσας ἔνθεν καὶ ἔνθεν, ἐπ' ἐκείνων τὴν κατάτασιν ποιέεσθαι. πολλοὶ δὲ καὶ ἄλλοι τρόποι κατατασίων. ἄριστον δὲ ὅστις ἐν πόλει μεγάλῃ ἰητρεύει, κεκτῆσθαι σκευασμένον ξύλον ἐν ᾧ πᾶσαι ἀνάγκαι ἔσονται, πάντων μὲν καταγμάτων, πάντων δὲ ἄρθρων ἐμβολῆς ἐκ κατατάσιος καὶ μοχλεύ-

στιος, ἀρκέει δὲ τὸ ξύλον ἢν ᾖ τοιοῦτον, οἷον οἱ τετράγωνοι στῦλοι οἷοι δρύϊνοι γίνονται μῆκος καὶ πλάτος καὶ πάχος. ἐπὴν δὲ ἱκανῶς κατατανύσῃς, ῥηΐδιον ἤδη τὸ ἄρθρον ἐμβαλεῖν. ὑπεραιωρέεται γὰρ ἐς ἰθυωρίην ὑπὲρ τῆς ἀρχαίης ἕδρης. κατορθώσαντα οὖν χρὴ τοῖσι θέναρσι τῶν χειρῶν, τοῖσι μὲν ἐς τὸ ἐξεστηκὸς ἐρείδοντα, τοῖσι δὲ ἐπὶ θάτερα κατωτέρω τοῦ σφυροῦ ἀντερείδοντα. ἐπὴν δ' ἐμβάλῃς, ἢν μὲν οἷόν τε ᾖ κατατεταμένα ἐπιδεῖν, χρή. ἢν δὲ κωλύηται ὑπὸ τῶν ἱμάντων, ἐκείνους λύσαντα ἀντικατατείνειν ἐς τὴν ἐπίδεσιν. ἐπιδεῖν δὲ τὸν αὐτὸν τρόπον καὶ τὰς ἀρχὰς ὡσαύτως βαλλόμενον ἐπὶ τὸ ἐξεστηκός, καὶ τὰς περιβολὰς τὰς πρώτας πλείστας ἐπὶ τοῦτο ποιέεσθαι. καὶ τοὺς σπλῆνας πλείστους ἐπὶ τοῦτο. καὶ τὴν πίεξιν μάλιστα ἐπὶ τοῦτο. προσεπιδεῖν δὲ καὶ ἔνθεν καὶ ἔνθεν ἐπὶ συχνόν. μᾶλλον δέ τι τοῦτο τὸ ἄρθρον πεπιέχθαι χρὴ ἐν τῇ πρώτῃ ἐπιδέσει ἢ τὸ ἐν τῇ χειρί. ἐπὴν δὲ ἐπιδήσῃς, ἀνωτέρω μὲν τοῦ ἄλλου σώματος ἐχέτω τὸ ἐπιδεθέν. τὴν δὲ θέσιν δεῖ ποιήσασθαι οὕτως, ὅκως ἥκιστα ἀπαιωρηθήσεται ὁ πούς. τὸν δὲ ἰσχνασμὸν τοῦ σώματος οὕτως ποιέεσθαι, ὁκοίην τινὰ δύναμιν ἔχει καὶ τὸ ὀλίσθημα. τὰ μὲν γὰρ σμικρόν, τὰ δὲ μέγα ὀλισθάνει. τὸ ἐπίπαν δεῖ ἰσχναίνειν μᾶλλον καὶ ἐπὶ πλείω χρόνον χρὴ ἐν τοῖσι κατὰ σκέλεα τρώμασιν, ἢ ἐν τοῖσι κατὰ χεῖρας. καὶ γὰρ μέζω καὶ παχύτερα ταῦτα ἐκείνων. καὶ δὴ καὶ ἀναγκαῖον ἐλιννύειν τὸ σῶμα καὶ κατακεῖσθαι. μετεπιδῆσαι δὲ τὸ ἄρθρον, οὔτε τι κωλύει τριταῖον, οὔτε κατεπείγει. καὶ τὰ ἄλλα πάντα παραπλησίως χρὴ ἰητρεύειν, ὥσπερ καὶ τὰ παροιχόμενα. καὶ ἢν μὲν ἀτρέμα κατακεῖσθαι, ἱκαναὶ τεσσαράκοντα ἡμέραι, ἢν μοῦνον ἐς τὴν ἑωυτῶν χώρην τὰ ὀστέα αὖθις καθίζηται. ἢν δὲ μὴ θέλῃ ἀτρεμέειν, χρῆσθαι μὲν ἂν οὐ ῥαδίως τῷ σκέλει, ἐπιδεῖσθαι δὲ ἀναγκάζοιτ' ἂν πολὺν χρόνον. ὁκόσα μέντοι τῶν ὀστέων μὴ τελέως ἵζει ἐς τὴν ἑωυτῶν χώρην, ἀλλά τι ἐπιλίπει, τῷ χρόνῳ λεπτύνεται ἰσχίον καὶ μηρὸς καὶ κνήμη. καὶ ἢν μὲν εἴσω ὀλισθῇ, τὸ ἔξω μέρος λεπτύνεται. ἢν δὲ ἔξω, τὸ εἴσω. τὰ πλεῖστα δὲ ἐς τὸ εἴσω ὀλισθάνει. ἐπὴν δὲ κνήμης ὀστέα ἀμφότερα καταγῇ ἄνευ ἑλκώσιος, κατατάσιος ἰσχυροτέρης δεῖται. τείνειν δὲ τουτέων τῶν τρόπων ἐνίοισι τῶν προειρημένων τισί, ἢν μεγάλαι αἱ παραλλάξιες ἔωσιν, ἱκαναὶ δὲ καὶ ἀπὸ τῶν ἀνδρῶν κατατάσιες. τὰ πλεῖστα γὰρ ἀρκέοιεν ἂν δύο ἄνδρες ἐρρωμένοι, ὁ μὲν ἔνθεν, ὁ δ' ἔνθεν ἀντιτείνοντες. τείνειν δὲ ἐς τὸ ἰθὺ χρὴ κατὰ φύσιν, καὶ κατὰ τὴν ἰθυωρίην τῆς κνήμης καὶ τοῦ μηροῦ. καὶ ἢν κνήμης ὀστέα κατεηγότα κατατείνῃς, καὶ ἢν μηροῦ. καὶ ἐπιδεῖν δὲ οὕτως ἐκτεταμένων ἀμφοτέρων ὁκότερον ἂν τουτέων ἐπιδέῃς. οὐ γὰρ ταὐτὰ ξυμφέρει σκέλει τε καὶ χειρί. πῆχυς μὲν γὰρ καὶ βραχίων ἐπὴν ἐπιδεθῶσιν ὀστέα κατεηγότα, ἀναλαμβάνεται ἡ χείρ. καὶ ἢν ἐκτεταμένα ἐπιδέῃς, τὰ σχήματα τῶν σαρκῶν ἑτεροιοῦται ἐν τῇ ξυγκάμψει τοῦ ἀγκῶνος. ἀδύνατος γὰρ ὁ ἀγκὼν ἐκτετάσθαι πολὺν χρόνον, οὐ γὰρ πολλάκις ἐν τοιούτῳ εἴθισται, ἀλλ' ἐν τῷ ξυγκεκάμφθαι. καὶ δὴ καὶ ἅτε δυνάμενοι οἱ ἄνθρωποι περιϊέναι, ἐπὴν κατὰ χεῖρα τρωθῶσι, ξυγκεκάμφθαι κατὰ τὸν ἀγκῶνα δέονται. σκέλος δὲ ἔν τε τῇσιν ὁδοιπορίῃσιν, καὶ ἐν τῷ ἑστάναι εἴθισται, ὅτε μὲν ἐκτετάσθαι, ὅτε δὲ μικροῦ δεῖν ἐκτετάσθαι ἐς τὸ κάτω κατὰ φύσιν. καὶ δὴ καὶ πρὸς τὸ ὀχέειν τὸ ἄλλο σῶμα, διὰ τοῦτο εὔφορον αὐτῷ ἐστὶν τὸ ἐκτετάσθαι, ὅταν ἀνάγκη ἔχῃ, καὶ δὴ καὶ ἐν τῇσι κοίτῃσι πολλάκις ἐν τῷ σχήματι τουτέῳ ἐστὶν ἐν τῷ ἐκτετάσθαι. ἐπὴν δὲ δὴ τρωθῇ, ἀναγκαίη καταδουλοῦται τὴν γνώμην ὅτι ἀδύνατοι μετεωρίζεσθαι γίνονται. ὥστε οὐδὲ μέμνηνται περὶ τοῦ συγκαμφθῆναι, καὶ ἀναστῆναι, ἀλλὰ ἀτρεμέουσιν ἐν τουτέῳ τῷ σχήματι κείμενοι. διὰ οὖν ταύτας τὰς προφάσιας χειρὸς καὶ σκέλεος, οὔτε ἡ κατάτασις οὔτε ἡ ἐπίδεσις τοῦ σχήματος ξυμφέρει ἡ αὐτή. ἢν μὲν οὖν ἱκανὴ ἡ κατάτασις ἡ ἀπὸ τῶν ἀνδρῶν ᾖ, οὐθ' ἐν δεῖ μάτην ποιέεσθαι. καὶ γὰρ σολοικότερον μηχανοποιέειν μηθὲν δέον. ἢν δὲ μὴ ἱκανὴ ἡ κατάτασις ἡ ἀπὸ τῶν ἀνδρῶν, καὶ τῶν ἄλλων τινὰ τῶν ἀναγκαίων προσφέρειν, ἥν τινά γε προσχωρέῃ. ὅταν δὲ δὴ ἱκανῶς κατατανθῇ, ῥηΐδιον ἤδη κατορθοῦσθαι τὰ ὀστέα καὶ ἐς τὴν φύσιν ἀγαγεῖν, τοῖσι θέναρσι τῶν χειρῶν ἀπευθύνοντα καὶ διεξευκρινέοντα. ἐπὴν δὲ κατορθώσῃς, ἐπιδεῖν τοῖσιν ὀθονίοισιν κατατεταμένα. ἤντ' ἐπὶ δεξιά, ἤντ' ἐπ' ἀριστερὰ περιφέρειν ξυμφέρῃ αὐτέοισιν τὰ πρῶτα ὀθόνια. βαλλέσθω δὲ τὴν ἀρχὴν ἐπὶ τὸ κάτηγμα. καὶ περιβαλλέσθω ἐπὶ τοῦτο τὰς πρώτας περιβολάς. κἄπειτα νεμέσθω ἐπὶ τὴν ἄνω κνήμην ἐπιδέων, ὥσπερ ἐπὶ τοῖσιν ἄλλοισι κατήγμασιν εἴρηται. τὰ δὲ ὀθόνια πλατύτερα χρὴ εἶναι καὶ μακρότερα καὶ πλέω πολὺ αὐτὰ κατὰ τὸ σκέλος τῶν ἐν τῇ χειρί. ἐπὴν δ' ἐπιδέῃς, καταθεῖναι ἐφ' ὁμαλοῦ τινος καὶ μαλθακοῦ, ὥστε μὴ διαστρέφεσθαι,

ἢ τῇ, ἢ τῇ, μήτε λορδὸν, μήτε κυφὸν εἶναι. μάλιστα δὲ ξυμφέρει προσκεφάλαιον, ἢ λίνεον, ἢ ὀθόνεον, μὴ σκληρὸν, λαπαρὸν, μέσον κατὰ μῆκος ποιήσαντα, ὑποθεῖναι, ἢ ἄλλο τι, ὃ τούτῳ ἔοικεν. περὶ γὰρ τῶν σωλήνων τῶν ὑποτιθεμένων ὑπὸ τὰ σκέλεα τὰ κατεηγότα ἀπορέω ὅ, τι ξυμβουλεύσω, ἢ ὑποτιθέναι χρὴ ἢ οὔ. ὠφελέουσι μὲν γὰρ, οὐχ ὅσον δὲ οἱ ὑποτιθέντες οἴονται. οὐ γὰρ ἀναγκάζουσιν οἱ σωλῆνες ἀτρεμέειν, ὡς οἴονται. οὔτε γὰρ τῷ ἄλλῳ σώματι στρεφομένῳ, ἢ ἔνθα, ἢ ἔνθα, ἐπαναγκάζει ὁ σωλὴν μὴ ἐπακολουθέειν τὸ σκέλος, ἢν μὴ ἐπιμελεῖται αὐτὸς ὁ ἄνθρωπος. οὔτε αὖ τὸ σκέλος ἄνευ τοῦ σώματος κωλύει ὁ σωλὴν κινηθῆναι, ἢ τῇ ἢ τῇ. ἀλλὰ μὴν ἀτερπέστερόν τε ξύλον ὑποτετάσθαι, ἢν μὴ ὁμῶς ἄν τις μαλθακόν τι ἐς αὐτὸ ἐντεθῇ. ἀχρηστότατον δὲ ἐστὶν ἐν τῇσι μεθυποστρώσεσιν, καὶ ἐν τῇσιν ἐς ἄφοδον προχωρήσεσιν. ἔστιν οὖν σὺν σωλῆνι καὶ ἄνευ σωλῆνος καὶ καλῶς καὶ αἰσχρῶς κατασκευάσασθαι. πιθανώτερον δὲ τοῖσι δημότῃσιν ἐστὶν, καὶ τὸν ἰατρὸν ἀναμαρτητότερον εἶναι, ἢν σωλὴν ὑποκέηται. καίτοι ἀτεχνέστερόν γε ἐστίν. δεῖ μὲν γὰρ ἐφ' ὁμαλοῦ καὶ μαλθακοῦ κεῖσθαι πάντῃ πάντως ἐς ἰθύ. ἐπείγε ἀνάγκη κρατηθῆναι τὴν ἐπίδεσιν ὑπὸ τῆς διαστροφῆς τῆς ἐν τῇ διαθέσει, ὅποι ἂν ῥέπῃ, καὶ ὁκόσα ἂν ῥέποι. ὑποκρινέσθω δὲ ὁ ὑποδεδεγμένος ταῦτα, ἅπερ καὶ πρότερον εἴρηται. καὶ γὰρ τὴν ἐπίδεσιν χρὴ τοιαύτην εἶναι, καὶ τὸ οἴδημα οὕτως ἐξαείρεσθαι ἐς τὰ ἄκρεα, καὶ τὰς χαλάσιας οὕτως, καὶ τὰς μετεπιδέσιας διὰ τρίτης, καὶ εὑρίσκεσθαι ἰσχνότερον τὸ ἐπιδεόμενον, καὶ τὰς ἐπιδέσιας ἐπὶ μᾶλλον ποιέεσθαι, καὶ πλέοσι τοῖσιν ὀθονίοισιν. περιλαμβάνειν τε καὶ τὸν πόδα χαλαρῶς, ἢν μὴ ἄγαν ἐγγὺς ᾖ τοῦ γόνατος τὸ τρῶμα. κατατείνειν δὲ μετρίως καὶ ἐπικατορθοῦν ἐφ' ἑκάστῃ ἐπιδέσει χρὴ τὰ ὀστέα. ἢν γὰρ ὀρθῶς μὲν ἰητρεύηται, κατὰ λόγον δὲ τὸ οἴδημα χωρέῃ, ἔτι μὲν λεπτότερον καὶ ἰσχνότερον τὸ ἐπιδεόμενον χωρίον ἔσται, ἔτι δὲ αὖ παραγωγότερα ὀστέα, ἐνακούοντα δὲ τῆς κατατάσιος μᾶλλον. ἐπὴν δὲ ἑβδομαῖος ἢ ἐναταῖος ἢ ἐνδεκαταῖος γένηται, τοὺς νάρθηκας προστιθέναι, ὥσπερ καὶ ἐπὶ τοῖς ἄλλοισι κατήγμασιν εἴρηται. τῶν δὲ ναρθήκων τὰς ἕδρας χρὴ φυλάττεσθαι κατά τε τῶν σφυρῶν τὴν ἴξιν, καὶ κατὰ τένοντα τὸν ἐν τῇ κνήμῃ τοῦ ποδός. ὀστέα δὲ κνήμης κρατύνεται ἐν τεσσαράκοντα ἡμέρῃσιν, ἢν ὀρθῶς ἰητρεύηται. ἢν δὲ ὑποπτεύῃς τῶν ὀστέων τι δεῖσθαι τινὸς διορθώσιος, ἢ καί τινα ἕλκωσιν ὀρρωδέεις ἐν τῷ μεσηγὺ χρόνῳ, χρὴ λύσαντα καὶ εὐθετισάμενον μετεπιδῆσαι. ἢν δὲ τὸ ἕτερον ὀστέον κατεαγῇ ἐν κνήμῃ, κατατάσιος μὲν ἀσθενεστέρης δεῖται, οὐ μὴν ἐπιλείπειν χρὴ, οὐδὲ βλακεύειν ἐν τῇ κατατάσει. μάλιστα μὲν ἐν τῇ πρώτῃ ἐπιδέσει κατατείνεσθαι ὅσον ἐφικνέεται αἰεί ποτε πάντα τὰ κατήγματα, εἰ δὲ μὴ, ὡς τάχιστα. ὅτι γὰρ ἂν μὴ κατὰ τρόπον εὐθετισμένων τῶν ὀστέων ἐπιδέων τις πιέζῃ, ὀδυνηρότερον τὸ χωρίον γίνεται. ἡ δὲ ἄλλη ἰητρείη ἡ αὐτή. τῶν δὲ ὀστέων τὸ μὲν ἔσω τοῦ ἀντικνημίου καλεόμενον ὀχλωδέστερον ἐν τῇ ἰητρείῃ ἐστὶν, καὶ κατατάσιος μᾶλλον δεόμενον, καὶ ἢν μὴ ὀρθῶς τὰ ὀστέα τεθῇ, ἀδύνατον κρύψαι. φανερὸν γὰρ καὶ ἄσαρκον πᾶν ἐστὶν, καὶ ἐπιβαίνειν ἐπὶ τὸ σκέλος πολλῷ βραδύτερον δύναται, τούτου κατεηγότος. ἢν δὲ τὸ ἔξω ὀστέον κατεαγῇ, πουλὺ μὲν εὐφορώτερον φέρουσι, πουλὺ δὲ εὐκρυπτότερον, καὶ ἢν μὴ καλῶς ξυντεθῇ, ἐπίσαρκον γάρ ἐστιν, ἐπὶ πόδας τε ταχέως ἵστανται. τὸ πλεῖστον γὰρ τοῦ ἄχθεος ὀχέει τὸ ἔσωθεν τοῦ ἀντικνημίου ὀστέον. ἅμα μὲν γὰρ αὐτῷ σκέλει καὶ τῇ ἰθυωρίῃ τοῦ ἄχθεος, τοῦ κατὰ τὸ σκέλος, τὸ πλεῖον ἔχει τοῦ πόνου τὸ ἔσω ὀστέον. τοῦ γὰρ μηροῦ ἡ κεφαλὴ ὑπεροχέει τὸ ὑπερθεν τοῦ σώματος, αὕτη δὲ ἔσωθεν πέφυκε τοῦ σκέλεος, καὶ οὐκ ἔξωθεν, ἀλλὰ κατὰ τὴν τοῦ ἀντικνημίου ἴξιν. ἅμα δὲ τὸ ἄλλο ἥμισυ τοῦ σώματος γειτονεύεται ταύτῃ μᾶλλον τῇ ἴξει, ἀλλ' οὐχὶ τῇ ἔσωθεν, ἅμα δὲ ὅτι παχύτερον τὸ ἔσω τοῦ ἔξωθεν. ὥσπερ καὶ τὸ ἐν τῷ πήχει τὸ κατὰ τὴν τοῦ μικροῦ δακτύλου ἴξιν λεπτότερον καὶ μακρότερον. ἐν μέντοι τῷ ἄρθρῳ τῷ κάτω οὐχ ὁμοίη ἡ ὑπόστασις τοῦ ὀστέου τοῦ μακροτέρου. ἀνομοίως γὰρ ὁ ἀγκών τε καὶ ἡ ἰγνύη κάμπτεται. διὰ οὖν ταύτας τὰς προφάσιας τοῦ μὲν ἔξωθεν ὀστέου κατεαγέντος, ταχεῖαι αἱ ἐπιβάσιες. τοῦ δὲ ἔσωθεν κατεαγέντος, βραδεῖαι αἱ ἐπιβάσιες.

Ἢν δὲ τὸ τοῦ μηροῦ ὀστέον κατεαγῇ, τὴν κατάτασιν χρὴ ποιέεσθαι περὶ παντὸς, ὅκως μὴ ἐνδεεστέρως σχήσει. πλεονασθεῖσα μὲν γὰρ οὐδὲν ἂν σίνοιτο. οὐδὲ γὰρ εἰ διεστεῶτα τὰ ὀστέα ὑπὸ τῆς ἰσχύος τῆς κατατάσιος ἐπιδέοι τις, οὐκ ἂν δύναιτο κρατέειν ἡ ἐπίδεσις, ὥστε διεστάναι, ἀλλὰ συνέλθοι ἂν πρὸς ἄλληλα τὰ ὀστέα ὅτι τάχιστα ἂν ἀφιῶσιν οἱ τείνοντες. παχεῖαι γὰρ καὶ ἰσχυραὶ αἱ σάρκες ἐοῦσαι, κρατήσουσι τῆς ἐπιδέσιος, ἀλλ' οὐ κρατηθήσονται. περὶ οὗ οὖν ὁ λόγος, διατείνειν εὖ καὶ ἀδιαστρέπτως χρὴ, μηδὲν ἐπιλείποντα. μεγάλη γὰρ ἡ αἰσχύνη καὶ βλάβη βραχύτερον τὸν μηρὸν

ἀποδεῖξαι. χεὶρ μὲν γὰρ βραχυτέρη γινομένη καὶ ξυγκρυφθείη ἄν, καὶ οὐ μέγα τὸ σφάλμα. σκέλος δὲ βραχύτερον γενόμενον χωλὸν ἀποδείξει τὸν ἄνθρωπον. τὸ γὰρ ὑγιὲς ἐλέγχει μακρότερον ἐόν. ὥστε λυσιτελεῖ τὸν μέλλοντα κακῶς ἰητρεύεσθαι ἀμφότερα καταγῆναι τὰ σκέλεα μᾶλλον ἢ τὸ ἕτερον. ἰσόῤῥοπος γοῦν ἂν εἴη αὐτὸς ἑωυτῷ. ἐπὴν μέν τοι ἱκανῶς κατατανύσῃς, κατορθωσάμενον χρὴ τοῖσι θέναρσι τῶν χειρῶν ἐπιδεῖν τὸν αὐτὸν τρόπον, ὥσπερ καὶ πρόσθεν γέγραπται. καὶ τὰς ἀρχὰς βαλλόμενον, ὥσπερ εἴρηται. καὶ νεμόμενον ἐς τὸ ἄνω τῇ ἐπιδέσει, καὶ ὑποκρινέσθω ταῦτα ὥσπερ καὶ πρόσθεν. καὶ πονείτω κατ' αὐτά, καὶ ῥηϊζέτω, καὶ μετεπιδείσθω ὡσαύτως. καὶ ναρθήκων πρόσθεσις ἡ αὐτή. κρατύνεται δὲ ὁ μηρὸς ἐν τεσσαράκοντα ἡμέρῃσιν. προσξυνιέναι δὲ χρὴ καὶ τόδε. ὅτι μηρὸς γαῦσος ἔστιν ἐς τὸ ἔξω μέρος, ἢ ἐς τὸ ἔσω. καὶ ἐς τὸ ἔμπροσθεν μᾶλλον, ἢ ἐς τοὔπισθεν. ἐς ταῦτα τοίνυν τὰ μέρεα καὶ διαστρέφεται, ἐπὴν μὴ καλῶς ἰητρεύηται. καὶ δὴ καὶ ἐπὶ ταῦτα ἀσαρκότερος αὐτὸς ἑωυτοῦ ἐστιν. ὥστε οὐδὲ ξυγκρύπτειν δύναται ἐν τῇ διαστροφῇ. ἢν οὖν τι τοιοῦτον ὑποπτεύῃς, μηχανοποιέεσθαι χρὴ οἷά περ ἐν τῷ βραχίονι τῷ διαστρεφομένῳ παρῄνηται. προσπεριβάλλειν δὲ χρὴ ὀλίγα τῶν ὀθονίων κύκλῳ ἀμφὶ τὸ ἰσχίον, καὶ τὰς ἰξύας, ὅκως ἂν οἱ βουβῶνές τε καὶ τὸ ἄρθρον τὸ κατὰ τὴν πληχάδα καλεομένην προσεπιδέηται. καὶ γὰρ ἄλλως ξυμφέρει, καὶ ὅκως μὴ τὰ ἄκρεα τῶν ναρθήκων σίνηται πρὸς τὰ ἀνεπίδετα προσβαλλόμενα. ἀπολείπειν δὲ χρὴ ἀπὸ τοῦ γυμνοῦ αἰεὶ τοὺς νάρθηκας, καὶ ἔνθεν καὶ ἔνθεν ἱκανόν. καὶ τὴν θέσιν αἰεὶ τῶν ναρθήκων προμυθέεσθαι χρή, ὅκως μήτε κατὰ τὸ ὀστέον τῶν ἐξεχόντων παρὰ τὰ ἄρθρα φύσει πεφυκότων, μήτε κατὰ τὸ ἄρθρον νεῦρον ἔσται. τὰ δὲ οἰδήματα κατ' ἰγνύην, ἢ ἐπὶ πόδα, ἢ κατά τι ἄλλο ἐξαειρόμενα ὑπὸ τῆς πιέξιος, εἰρίοισι πολλοῖσι, ῥυπαροῖσιν, εὖ κατειργασμένοις, οἴνῳ καὶ ἐλαίῳ ῥήνας, κηρωτῇ ὑποχρίων καταδεῖν. καὶ ἢν πιέζωσιν οἱ νάρθηκες χαλᾶν θᾶσσον. ἰσχναίνειν δ' ἄν, εἰ ἐπάνω ἐς τοὺς νάρθηκας ὀθονίοισιν ἰσχνοῖσιν ἐπιδέοις, τὰ οἰδήματα, ἀρξάμενος ἀπὸ τοῦ κατωτάτω ἐπὶ τὸ ἄνω νεμόμενος. οὕτω γὰρ ἂν τάχιστα ἰσχνὸν τὸ οἴδημα γένοιτο. καὶ ὑπερβαίη ὑπὲρ τὰ ἀρχαῖα ἐπιδέσματα. ἀλλ' οὐ χρὴ τούτῳ τῷ τρόπῳ χρῆσθαι τῆς ἐπιδέσιος, ἢν μὴ κίνδυνος ᾖ ἐν τῷ οἰδήματι φλυκταινώσιος ἢ μελασμοῦ. γίνεται δὲ οὐδὲν τοιοῦτο, ἢν μὴ ἄγαν τις πιέζῃ τὸ κάτηγμα, ἢ κατακεκραμμένον ἔχῃ. ἢ κινῆται τῇ χειρί, ἢ ἄλλο τι προσπίπτῃ ἐρεθιστικὸν πρὸς τὸν χρῶτα. σωλῆνα δέ, εἰ μέν τις ὑπ' αὐτὸν τὸν μηρὸν ὑποθείη, μὴ ὑπερβάλλοντα τὴν ἰγνύην, βλάπτοι ἂν μᾶλλον ἢ ὠφελέοι. οὔτε γὰρ ἂν τὸ σῶμα κωλύοι, οὔτε τὴν κνήμην ἄνευ τοῦ μηροῦ κινεῖσθαι. ἀστηρὸν γὰρ εἴη πρὸς τὴν ἰγνύην προσβαλλόμενον, καὶ ὃ ἥκιστα δεῖ τοῦτ' ἂν ἐποτρύνοι ποιέειν. ἥκιστα γὰρ δεῖ ἐπὶ τὸ γόνυ κάμπτειν. πᾶσαν γὰρ ἂν τύρβην παρέχοι τῇσιν ἐπιδέσεσιν, καὶ μηροῦ ἐπιδεδεμένου καὶ κνήμης ὅστις ἐπὶ τὸ γόνυ κάμπτοι, ἀνάγκη ἂν εἴη τούτῳ τοὺς μύας ἄλλοτε καὶ ἄλλοτε ἄλλο σχῆμα ἴσχειν. ἀνάγκη δ' ἂν εἴη καὶ τὰ ὀστέα τὰ κατεηγότα κίνησιν ἔχειν. περὶ παντὸς οὖν ποιητέον τὴν ἰγνύην ἐντετάσθαι. δοκεῖ ἂν οὖν ὁμοίως ὁ σωλὴν ὁ περιέχων πρὸς τὸν πόδα ἀπὸ τοῦ ἰσχίου ὠφελέειν ὑποτιθέμενος. καὶ ἅμα κατ' ἰγνύην ταινίην χαλαρῶς περιβάλλειν ξὺν τῷ σωλῆνι, ὥσπερ τὰ παιδία ἐν τῇσι κοίτῃσι σπαργανοῦται. εἶτα ἐπὴν ὁ μηρὸς ἐς τὸ ἄνω διαστρέφοιτο, ἢ ἐς τὸ πλάγιον, εὐκατασχετώτερον εἴη ἂν ξὺν τῷ σωλῆνι οὕτως. ἢν οὖν διαμπερὲς εἴη ποιητέος ὁ σωλὴν ἢ οὐ ποιητέος. πτέρνης δὲ ἄκρης κάρτα χρὴ ἐπιμελέεσθαι ὡς εὐθέτως ἔχοι, καὶ ἐν τοῖσι κατὰ κνήμην, καὶ ἐν τοῖσι κατὰ μηρὸν κατήγμασιν. ἢν μὲν γὰρ ἀπαιωρῆται ὁ ποὺς τῆς ἄλλης κνήμης ἡρματισμένης, ἀνάγκη κατὰ τὸ ἀντικνήμιον τὰ ὀστέα κυρτὰ φαίνεσθαι. ἢν δὲ ἡ μὲν πτέρνη ὑψηλοτέρη ᾖ τοῦ μετρίου ἡρτισμένη. ἡ δὲ ἄλλη κνήμη ὑπομετέωρος ᾖ, ἀνάγκη τῷ ὀστέῳ τούτῳ ἐπὶ τὸ ἀντικνήμιον τοῦτο κοιλότερον φανῆναι τοῦ μετρίου, προσέτι καὶ ἢν ἡ πτέρνη τυγχάνῃ ἐοῦσα τοῦ ἀνθρώπου φύσει μεγάλη. ἀτὰρ καὶ κρατύνεται πάντα τὰ ὀστέα βραδύτερον, ἢν μὴ κατὰ φύσιν κείμενα ᾖ. καὶ τὰ μὴ ἀτρεμέοντα ἐν τῷ αὐτέῳ σχήματι. καὶ αἱ πωρώσιες ἀσθενέστεραι. ταῦτα μὲν δὴ ὅσοισι τὰ μὲν ὀστέα κατέηγεν, ἐξέχει δὲ μή, μηδὲ ἄλλως ἕλκος ἐγένετο. οἷσι δὲ τὰ ὀστέα κατέηγεν ἁπλῷ τρόπῳ, καὶ μὴ πουλυσχιδέα, αὐθήμερα ἐμβληθέντα ἢ τῇ ὑστεραίῃ κατὰ χώρην ἱζόμενα, καὶ μὴ ἐπίδοξος ἡ ἀπόστασις παρασχίδων ὀστέων ἀπιέναι. ἢ καὶ οἷσιν ἕλκος μὲν ἐγένετο, τὰ δὲ ὀστέα κατεηγότα οὐκ ἐξίσχει, οὐδ' ὁ τρόπος τῆς κατήξιος τοιοῦτος, οἷος παρασχίδας ὀστέων ἐούσας ἐπιδόξους εἶναι, ἀναπλῶσαι τοὺς τοιούτους. οἱ μὲν μήτε μέγα ἀ-

γαθὴ

γαθὸν μήτε μέγα κακὸν ποιέοντες, ἰητρεύουσι τὰ μὲν ἕλκεα καθαρτικῷ τινὶ ἢ πισσηρῇ ἐπιθέντες, ἢ ἐναίμῳ, ἢ ἄλλο τι ὧν εἰώθασι ποιέειν. ἐπαινέω δὲ τοὺς οἰνηροὺς σπλῆνας ἢ εἴρια ῥυπαρὰ ὁκόσοι ἐπιδέουσιν, ἢ ἄλλο τι τοιοῦτον. ἐπὴν δὲ τὰ ἕλκεα καθαρὰ γένηται, καὶ ἤδη ξυμφύηται, τότε τοῖς ὀθονίοισι συχνοῖσι πειρῶνται ἐπιδέειν καὶ νάρθηξι κατορθοῦν. αὕτη μὲν ἡ ἴησις ἀγαθὸν τι ποιεῖ, κακὸν δὲ οὐ μέγα. τὰ μέντοι ὀστέα οὐχ ὁμοίως δύναται ἱδρύεσθαι ἐς τὴν ἑωυτῶν χώρην, ἀλλά τινι ὀγκηρότερα τὰ σώματα τοῦ καιροῦ ταύτῃ γίνεται. γένοιτο δ' ἂν καὶ βραχύτερα ὧν ἀμφότερα τὰ ὀστέα κατέηγεν ἢ πήχεος, ἢ κνήμης. ἄλλοι δ' αὖ τινές εἰσιν οἳ ὀθονίοισι τὰ τοιαῦτα ἰητρεύουσιν εὐθέως. καὶ ἔνθεν μὲν καὶ ἔνθεν ἐπιδέουσι τοῖς ὀθονίοισιν. κατὰ δὲ τὸ ἕλκος αὐτὸ διαλείπουσι, καὶ ἐῶσιν ἀναψύχεσθαι. ἔπειτα ἐπιτιθέασιν ἐπὶ τὸ ἕλκος τῶν καθαρτικῶν τι, καὶ σπλήνεσιν οἰνηροῖσιν, ἢ εἰρίοισιν ῥυπαροῖσι θεραπεύουσιν. αὕτη ἡ ἴησις κακή, καὶ εἰκὸς τοὺς οὕτως ἰητρεύοντας τὰ μέγιστα ἀσυνετέειν, καὶ ἐν τοῖσιν ἄλλοισι κατήγμασιν, καὶ ἐν τοῖσι τοιούτοισι. μέγιστον γάρ ἐστι τὸ γινώσκειν καθ' ὁποῖον τρόπον χρὴ τὴν ἀρχὴν βάλλεσθαι τοῦ ὀθονίου, καὶ καθ' ὁποῖον μάλιστα πεπιέχθαι. καὶ οἷά τε ὠφελέονται, ἢν ὀρθῶς τις βάλληται τὴν ἀρχὴν καὶ πιέζῃ ᾗ μάλιστα χρή. καὶ οἷα βλάπτονται, ἢν μὴ ὀρθῶς τις βάλληται μηδὲ πιέζῃ ᾗ μάλιστα χρή, ἀλλὰ ἔνθεν καὶ ἔνθεν. εἴρηται μὲν οὖν καὶ ἐν τοῖσι πρόσθεν γεγραμμένοισιν ὁποῖα ἐφ' ἑκατέρων ἀποβαίνει. μαρτυρεῖ δὲ καὶ αὕτη ἡ ἰητρική. ἀνάγκη γὰρ τοῦ οὕτως ἐπιδεομένου τὸ οἴδημα ἐξαείρεσθαι ἐς αὐτὸ τὸ ἕλκος. καὶ γὰρ εἰ ὑγιὴς χρὼς ἔνθεν καὶ ἔνθεν ἐπιδεθείη, ἐν μέσῳ δὲ διαλειφθείη, μάλιστα κατὰ τὴν διάληψιν οἰδήσειεν ἂν, καὶ ἀχροιήσειεν. πῶς οὖν οὐχὶ ἕλκος γε ταῦτα ἂν πάθοι; ἀναγκαίως οὖν ἔχει ἄχροον μὲν καὶ ἐκπεπιεγμένον τὸ ἕλκος εἶναι, δακρυῶδες δὲ καὶ ἀνεκπύητον εἶναι. ὀστέα δὲ καὶ μὴ μέλλοντα ἀποστῆναι ἀποστατικὰ γίνεσθαι. σφυγμῶδές τε καὶ πυρετῶδες τὸ ἕλκος ἂν εἴη. ἀναγκάζονται δὲ διὰ τὸ οἴδημα ἐπικαταπλάσσειν. ἀσύμφορον δὲ καὶ τοῦτο τοῖσιν ἔνθεν καὶ ἔνθεν ἐπιδεομένοισιν. ἄχθος γὰρ ἀνωφελὲς πρὸς τῷ ἄλλῳ σφυγμῷ ἐπιγίνεται. τελευτῶντες δὲ ἀπολύουσι τὰ ἐπιδέσματα, ὁπότ' ἂν σφιν παλιγκοτέῃ. καὶ ἰητρεύουσι τὸ λοιπὸν ἄνευ ἐπιδέσιος. οὐδὲν δ' ἧσσον, καὶ ἤν τι ἄλλο τρῶμα τοιοῦτο λάβωσι, τῷ αὐτῷ τρόπῳ ἰητρεύουσιν. οὐ γὰρ οἴονται τὴν ἐπίδεσιν τὴν ἔνθεν καὶ ἔνθεν, καὶ τὴν ἀνάψυξιν τοῦ ἕλκεος αἰτίην, ἀλλ' ἄλλην τινὰ ἀτυχίην. οὐ μέντοι γε ἂν ἔγραφον περὶ τούτου τοσαῦτα, εἰ μὴ εὖ μὲν ᾔδειν ἀσύμφορον ἐοῦσαν τὴν ἐπίδεσιν, συχνοὺς δὲ οὕτως ἰητρεύοντας, ἐπίκαιρον δὲ τὸ ἀπομάθημα. μαρτύριον δὲ τοῦ ὀρθῶς γεγράφθαι τὰ πρόσθεν γεγραμμένα, εἴτε μάλιστα πιεστέα τὰ κατήγματα, εἴτε ἥκιστα. χρὴ δὲ ὡς ἐν κεφαλαίῳ εἰρῆσθαι. οἷσιν ἂν μὴ ἐπίδοξος ᾖ ἡ τῶν ὀστέων ἀπόστασις ἔσεσθαι, τῇ αὐτῇ ἰητρείῃ ἰητρεύειν ὥσπερ ἂν οἷσιν ὀστέα μὲν κατεηγότα εἴη, ἕλκος δὲ μὴ ἔχοντα. τάς τε γὰρ κατατάσιας καὶ κατορθώσιας τῶν ὀστέων τὸν αὐτὸν τρόπον ποιέεσθαι, τήν τε ἐπίδεσιν παραπλησίην. ἐπὶ μὲν γὰρ αὐτὸ τὸ ἕλκος πισσηρὴν κηρωτὴν χρίσαντα, σπλῆνα λεπτὸν διπλόον ἐπιδεθῆναι. τὰ δὲ πέριξ κηρωτῇ λεπτῇ χρίειν. τὰ δὲ ὀθόνια καὶ τὰ ἄλλα πλατύτερα τινὶ ἐσχισμένα ἔστω, ἢ εἰ μὴ ἕλκος εἶχεν. καὶ ᾧ ἂν πρώτῳ ἐπιδέηται συχνῷ ἔστω τοῦ ἕλκεος πλατύτερον. τὰ γὰρ στενώτερα τοῦ ἕλκεος ζώσαντα ἔχει τὸ ἕλκος. τὸ δ' οὐ χρή. ἀλλ' ἡ πρώτη περιβολὴ ὅλον κατεχέτω τὸ ἕλκος, καὶ ὑπερεχέτω τὸ ὀθόνιον ἔνθεν τε καὶ ἔνθεν. βάλλεσθαι μὲν οὖν χρὴ τὸ ὀθόνιον κατ' αὐτὴν τὴν ἴξιν τοῦ ἕλκεος. πιέζειν δὲ ὀλίγῳ ἧσσον ἢ εἰ μὴ ἕλκος εἶχε, ἐπινέμεσθαι δὲ τῇ ἐπιδέσει ὥσπερ καὶ πρόσθεν εἴρηται. τὰ δὲ ὀθόνια αἰεὶ μὲν τοῦ τρόπου τοῦ μαλθακοῦ ἔστωσαν. μᾶλλον δέ τι δεῖ ἐν τοῖσι τοιούτοισιν ἢ εἰ μὴ ἕλκος εἶχεν. πλῆθος δὲ τῶν ὀθονίων μὴ ἔλασσον ἔστω τῶν πρότερον εἰρημένων, ἀλλά τινι καὶ πλέω. ἢν δ' ἐπιδεθῇ, δοκείτω τῷ ἐπιδεδεμένῳ ἡρμόσθαι μὲν, πεπιέχθαι δὲ μή. φάτω δὲ κατὰ τὸ ἕλκος μάλιστα ἡρμόσθαι. τοὺς δὲ χρόνους τοὺς αὐτοὺς μὲν χρὴ εἶναι ἐπὶ τὸ μᾶλλον δοκέειν ἡρμόσθαι. τοὺς αὐτοὺς δὲ ἐπὶ τὸ μᾶλλον δοκέειν χαλᾶν, ὥσπερ καὶ ἐν τοῖσιν πρόσθεν εἴρηται. μετεπιδέειν δὲ διὰ τρίτης πάντα μεταποιέοντα ἐς τοὺς τρόπους τοὺς παραπλησίους, ὥσπερ καὶ πρόσθεν εἴρηται, πλὴν ἐς τὸ σύμπαν ἧσσον τινὶ πιέζειν ταῦτα ἢ ἐκεῖνα. καὶ ἢν κατὰ λόγον τὰ εἰκότα γίνηται, ἰσχνότερον μὲν αἰεὶ εὑρεθήσεται τὸ κατὰ τὸ ἕλκος. ἰσχνὸν δὲ, καὶ τὸ ἄλλο πᾶν τὸ ὑπὸ τῆς ἐπιδέσιος κατεχόμενον. καὶ αἵ τε ἐκπυήσιες ἔσονται θάσσους ἢ τῶν ἄλλων ἰητρευομένων ἑλκέων. ὅσα τε σαρκία ἐν τῷ τρώματι ἐμελάνθη, καὶ ἔθανεν, θᾶσσον περιρρήγνυται, καὶ ἐκπίπτει ἐπὶ ταύτῃ τῇ ἰητρείῃ, ἢ ἐν τῇσιν ἄλλῃσιν. ἐς ἀτελὲς

τι θᾶσσον

τε θᾶσσον ὁρμᾶται τὸ ἕλκος οὕτως ἢ ἄλλως ἰητρευόμενον. πάντων δὲ τούτων αἴτιον ὅτι ἰσχνὸν μὲν τὸ κατὰ τὸ ἕλκος χωρίον γίνεται. ἰσχνὰ δὲ τὰ περιέχοντα. τὰ μὲν οὖν ἄλλα πάντα, παραπλησίως χρὴ ἰητρεύειν, ὥς τε ἄνευ ἑλκωσίων ὀστέα κατηγνύμενα. τοὺς δὲ νάρθηκας οὐ χρὴ προστιθέναι. διὰ τοῦτο γὰρ καὶ τὰ ὀθόνια χρὴ τούτοισιν πλέω εἶναι ἢ τοῖσιν ἑτέροισιν, ὅτι ἧσσον πιέζεται, ὅτι τε οἱ νάρθηκες, βραδύτεροι προστίθενται. ἢν μέν τοι τοὺς νάρθηκας προστιθῇς, μὴ κατὰ τὴν ἴξιν τοῦ ἕλκεος προστεθῆναι, ἀλλ' ὥς τε καὶ χαλαρῶς προστιθέναι, προθυμουμένοις ὅκως μηδεμία σφίγξις μεγάλη ἔσται ἀπὸ τῶν ναρθήκων. εἴρηται δὲ τοῦτο καὶ ἐν τοῖσι πρότερον γεγραμμένοισιν. τὴν μέν τοι δίαιταν ἀκριβεστέρην καὶ πλείω χρόνον χρὴ ποιέεσθαι, οἷσιν δὴ ἀρχῆς ἕλκεα γίνεται, καὶ οἷσιν ὀστέα ἐξίσχει. καὶ τὸ ξύμπαν δὲ εἰρῆσθαι, ἤδη τοῖσιν ἰσχυροτάτοισιν τρώμασιν ἀκριβεστέρην, καὶ πουλυχρονιωτέρην εἶναι χρὴ τὴν δίαιταν. ἡ αὐτὴ δὲ ἰητρείη τῶν ἑλκέων, καὶ οἷσιν ὀστέα μὲν κατέηγεν, ἕλκος δὲ ἐξ ἀρχῆς μηδὲν ἦν. ἢν δὲ ἐν τῇ ἰητρείῃ ἕλκος γένηται, ἢ τοῖσιν ὀθονίοισιν μᾶλλον πιεχθέντος, ἢ ὑπὸ νάρθηκος ἐνεδρίης, ἢ ὑπὸ ἄλλης τινὸς προφάσιος. γινώσκεται μὲν οὖν τὰ τοιαῦτα ἢν ἕλκος ὑπῇ, τῇ τε ὀδύνῃ καὶ τοῖσι σφυγμοῖσιν. καὶ τὸ οἴδημα τὸ ἐν τοῖσιν ἄκροισιν σκληρὸν γίνεται τῶν τοιουτέων. καὶ εἰ τὸν δάκτυλον ἐπαγάγοις ἐξαείρεται, ἀτὰρ καὶ αὖθις ὑποτρέχει ταχέως. ἢν οὖν τι τοιοῦτον ὑποπτεύῃς, λύσαντα χρή. ἢ μὲν ἡ κνησμὸς κατὰ τὰς ὑποδεσμίδας, ἢ ἐπὶ τὸ ἄλλο τὸ ἐπιδεδεμένον, πισσηρῇ κηρωτῇ ἀντὶ τῆς ἑτέρης χρῆσθαι. ἢν δὲ τούτων μὲν μηδὲν ᾖ. αὐτὸ δὲ τὸ ἕλκος ἠρεθισμένον, εὑρίσκεται μέλαν ἤδη πουλὺ ἢ ἀκάθαρτον. καὶ τῶν μὲν σαρκῶν ἐκπυησομένων, τῶν δὲ νεύρων προσεκπεσουμένων. τουτέους οὐδὲν δεῖ ἀναψύχειν παντάπασιν, οὐδέ τι φοβεῖσθαι τὰς ἐκπυήσιας ταύτας. ἀλλ' ἰητρεύειν. τὰ μὲν ἄλλα παραπλήσιον τρόπον, ὥσπερ καὶ οἷσιν ἐξ ἀρχῆς ἕλκος ἐγένετο. τοῖσι δὲ ὀθονίοισιν ἄρχεσθαι χρὴ ἐπιδέοντα ἀπὸ τοῦ οἰδήματος, τοῦ ἐν τοῖς ἀκραίοις πάνυ, χαλαροῖσιν. καὶ ἔπειτα ἐπινέμεσθαι τῇ ἐπιδέσει, αἰεὶ ἐς τὸ ἄνω, καὶ πεπιέχθαι μὲν μηδαμῇ. ἡρμόσθαι δὲ μάλιστα κατὰ τὸ ἕλκος. τὰ δὲ ἄλλα ἤδη ἧσσον. τὰ δὲ ὀθόνια, τὰ πρῶτα, ταῦτα μὲν καθαρὰ ἔστω καὶ μὴ στενά. τὸ δὲ πλῆθος τῶν ὀθονίων ἔστω, ὅσονπερ καὶ ἐν τῇσι νάρθηξιν εἰ ἐπιδέοιτο, ἢ ὀλίγῳ ἔλασσον. ἤδη δὲ αὐτὸ τὸ ἕλκος ἱκανὸν σπλήνιον τῇ λευκῇ κηρωτῇ κεχρισμένον. ἤν τε γὰρ σὰρξ, ἤν τε νεῦρον μελανθῇ προσεκπεσεῖται. τὰ γὰρ τοιαῦτα οὐ χρὴ δριμέσιν ἰητρεύειν, ἀλλὰ μαλθακοῖσιν, ὥσπερ τὰ πυρίκαυτα. μετεπιδεῖν δὲ διὰ τρίτης. νάρθηκας δὲ μὴ προστιθέναι. ἀτρεμέειν δὲ ἤδη μᾶλλον, ἢ τὸ πρόσθεν, καὶ ὀλιγοσιτέειν. εἰδέναι δὲ χρή, εἴτε σὰρξ, εἴτε νεῦρον τὸ ἐκπεσούμενον ἐστὶν, ὅτι οὕτω πολλῷ μὲν ἧσσον νέμεται ἐπὶ πλεῖον. πολλῷ δὲ θᾶσσον ἐκπεσεῖται. πολλῷ δὲ ἰσχνότερα τὰ περιέχοντα ἔσται, ἢ εἴτις ἀπολύσας τὰ ὀθόνια ἐπιθείη τι τῶν καθαρτικῶν φαρμάκων ἐπὶ τὸ ἕλκος. καί τοι καὶ ἢν ἐκπέσῃ τὸ ἐκπυησόμενον θᾶσσον τε σαρκοῦται ἐκείνως ἢ ἑτέρως ἰητρευόμενον. καὶ θᾶσσον ὠτειλοῦται. πάντα μὴν ἐστὶν ταῦτα ὀρθῶς ἐπιδεῖν καὶ μετρίως ἐπίστασθαι. προσυμβάλλεται δὲ καὶ τὰ σχήματα ἢν οἷα χρὴ εἶναι, καὶ ἡ ἄλλη δίαιτα, καὶ τῶν ὀθονίων ἡ ἐπιτηδειότης. ἢν δ' ἄρα ἐξαπατηθῇς ἐν τοῖς νεοτρώτοισι μὴ οἰόμενος ὀστέων ἀπόστασιν ἔσεσθαι, τὰ δ' ἐπίδοξα ᾖ ἀναπλῶσαι, οὐ χρὴ ὀρρωδέειν τὸν τρόπον τῆς ἰητρείης. οὐδὲν γὰρ ἂν μέγα φλαῦρον γένοιτο. ἢν μοῦνον οἷος ἐστι τῇ χειρὶ τὰς ἐπιδέσιας ἀγαθὰς καὶ ἀσινέας ποιέεσθαι. σημεῖον δὲ τόδε, ἢν μέλλῃ ὀστέων ἀπόστασις ἔσεσθαι ἐν τῷ τρόπῳ τούτῳ τῆς ἰητρείης. πύον γὰρ συχνὸν ῥεῖ ἐκ τοῦ ἕλκεος, καὶ ὀργῶν φαίνεται. πυκνότερον οὖν μετεπιδέεσθαι διὰ τὸν πλάδον, ἐπεὶ ἄλλως τε καὶ πυρετοὶ γίνονται. καὶ ἢν μὲν κάρτα πιέζωνται ὑπὸ τῆς ἐπιδέσιος καὶ τὸ ἕλκος καὶ τὰ περιέχοντα ἰσχνά. ὅσα μὲν οὖν λεπτῶν πάνυ ὀστέων ἀποστάσιες οὐδεμιῆς μεγάλης μεταβολῆς δέονται, ἀλλ' ἢ χαλαρωτέρως ἐπιδεῖν, ὡς μὴ ἀπολαμβάνηται τὸ πύον, ἀλλ' εὐαπόρρυτον ᾖ. καὶ πυκνότερον μετεπιδεῖν ἐς ἂν ἀποστῇ τὸ ὀστέον. καὶ νάρθηκας μὴ προστεθῆναι. ὁκόσοισι δὲ μέζονος ὀστέου ἀπόστασις ἐπίδοξος γένηται, ἤν τε ἐξ ἀρχῆς προγνῷς, ἤν τε καὶ ἔπειτα μεταγνῷς, οὐκ ἔτι τῆς αὐτῆς ἰητρείης δεῖται, ἀλλὰ τὰς μὲν κατατάσιας, καὶ τὰς διορθώσιας οὕτω ποιέεσθαι, ὥσπερ εἴρηται. σπλήνας δὲ χρὴ διπλοῦς. πλάτος μὲν ἡμισπιθαμιαίους μὴ ἐλάσσους. ὁκοῖον δὲ ἄν τι καὶ τρῶμα ᾖ πρὸς τοῦτο τεκμαίρεσθαι. μῆκος δὲ βραχυτέρους μὲν ὀλίγῳ, ἢ ὥς τε δὶς περιικνέεσθαι περὶ τὸ σῶμα τὸ τετρωμένον. μακροτέρους δὲ συχνῷ, ἢ ὥς τε ἅπαξ περιικνέεσθαι. πλῆθος δέ, ὁκόσους ἂν ξυμφέρῃ ποιησάμενον, τούτους ἐν οἴνῳ μέλανι αὐστηρῷ βρέχοντα, χρὴ

ἐκ μέσου ἀρχόμενον, ὡς ἀπὸ δύο ἀρχῶν ὑπόδεσμος ἐπιδέεται, περιελίσσειν. κἄπειτα σκεπαρνηδὸν παραλλάσσοντα τὰς ἀρχὰς ἀφιέναι. ταῦτα κατά τε αὐτὸ τὸ ἕλκος ποιέειν, καὶ ἐπὶ τὸ ἔνθεν καὶ ἔνθεν τοῦ ἕλκεος. καὶ πιέχθω μὲν μή, ἀλλ' ὅσον ἑρμασμοῦ ἕνεκεν τοῦ ἕλκεος προσκείσθω. ἐπὶ δὲ αὐτὸ τὸ ἕλκος ἐπιτιθέναι χρὴ πισσηρήν, ἤ τι τῶν ἐναίμων, ἤ τι τῶν ἄλλων φαρμάκων ὅτι ξυντροφόν ἐστι ἐπιτέγξει. καὶ ἢν μὲν ἡ ὥρη θερινὴ ᾖ, ἐπιτέγγειν τῷ οἴνῳ τοὺς σπλῆνας πυκνά, ἢν δὲ χειμερινὴ ἡ ὥρη ᾖ, εἰρία πολλὰ ῥυπαρὰ νενοτισμένα οἴνῳ καὶ ἐλαίῳ ἐπικείσθω. ἰξάλην δὲ αἰγὸς χρὴ ὑποτετάσθαι, καὶ εὐαπόρρυτα ποιέειν, φυλάσσοντα τοὺς ὑπορρόους, μεμνημένον ὅτι οἱ τόποι οὗτοι ἐν τοῖσιν αὐτοῖσι σχήμασιν πολλὸν χρόνον κείμενοι, ἐκτρίμματα δυσάκεστα ποιέουσιν. ὅσους δὲ μὴ οἷόν τε ἐπιδέσει ἰῆσθαι διά τινα τούτων τῶν εἰρημένων τρόπων, ἢ τῶν εἰρησομένων, τούτους περὶ πλείονος χρὴ ποιέεσθαι, ὅκως εὐθέτως σχήσωσιν τὸ κατηγὸς τοῦ σώματος κατ' ἰθυωρίην προσέχοντα τὸν νόον. καὶ τῷ ἀνωτέρω δὲ μᾶλλον ἢ κατωτέρω. εἰ δέ τις μέλλοι καλῶς καὶ εὐχερῶς ἐργάζεσθαι, ἄξιον καὶ μηχανοποιήσασθαι, ὅκως κατάτασιν δικαίην, καὶ μὴ βιαίην σχῇ τὸ κατηγὸς τοῦ σώματος, μάλιστα δὲ ἐν κνήμῃ ἐνδέχεται μηχανοποιέειν. εἰσὶ μὲν οὖν τινὲς οἳ ἐπὶ πᾶσι τοῖς τῆς κνήμης κατήγμασιν, καὶ τοῖσιν ἐπιδεομένοισι καὶ τοῖσι μὴ ἐπιδεομένοισι, τὸν πόδα ἄκρον προσδέουσιν πρὸς τὴν κλίνην, ἢ πρὸς ἄλλό τι ξύλον παρὰ τὴν κλίνην κατορύξαντες. οὗτοι μὲν οὖν πάντα κακὰ ποιέουσιν, ἀγαθὸν δὲ οὐδέν. οὔτε γὰρ τοῦ κατατείνεσθαι ἄκος ἐστὶ τὸ προσδεδέσθαι τὸν πόδα. οὐδέν τε ἧσσον τὸ ἄλλο σῶμα προσχωρήσει πρὸς τὸν πόδα. καὶ οὕτως οὐκ ἂν ἔτι τείνοιτο. οὔτ' αὖ ἐς τὴν ἰθυωρίην οὐδὲν ὠφελέει, ἀλλὰ καὶ βλάπτει. στρεφομένου γὰρ τοῦ ἄλλου σώματος ἢ τῇ ἢ τῇ οὐδὲν κωλύσει ὁ δεσμὸς τὸν πόδα, καὶ τὰ ὀστέα τὰ τῷ ποδὶ προσηρτημένα ἐπακολουθέειν τῷ ἄλλῳ σώματι. εἰ δὲ μὴ προσεδέδετο ἧσσον ἂν διεστρέφετο. ἧσσον γὰρ ἂν ἐγκατελείπετο ἐν τῇ κινήσει τοῦ ἄλλου σώματος. εἰ δέ τις σφαίρας δύο ῥάψαιτο ἐκ σκύτεος αἰγυπτίου τοιαύτας οἵας φορέουσιν οἱ ἐν τῇσι μεγάλῃσι πέδῃσιν πολλὸν χρόνον πεπεδημένοι. αἱ δὲ σφαῖραι ἔχοιεν ἔνθεν καὶ ἔνθεν χιτῶνας. τοὺς μὲν πρὸς τοῦ τρώματος, βαθυτέρους. τοὺς δὲ πρὸς τῶν ἄρθρων, βραχυτέρους. εἶεν δὲ ὀγκηραὶ μὲν καὶ μαλθακαί. ἁρμόζουσαι δέ, ἡ μὲν ἄνωθεν τῶν σφυρῶν. ἡ δὲ κάτωθεν τοῦ γόνατος. ἐκ δὲ πλαγίης ἑκατέρης διπλᾶ ἑκατέρωθεν ἔχοι προσηρτισμένα ἢ ἁπλοῦ ἱμάντος ἢ διπλόου, βραχύτερα ὥσπερ ἀγκύλας. τὰ μέν τι τοῦ σφυροῦ ἑκατέρωθεν, τὰ δέ τι τοῦ γούνατος. καὶ ἡ ἄνωθεν σφαῖρα ἕτερα τοιαῦτα ἔχοι κατὰ τὴν ἰθυωρίην τὴν αὐτήν. κἄπειτα κρανείνας ῥάβδους λαβὼν ἴσον τὸ μέγεθος ἀλλήλῃσιν ἐχούσας, πάχος μὲν ὡς δακτυλιαίας, μῆκος δὲ ὡς κεκαμμέναι ἐναρμόζωσιν ἐς τὰ ἀπαιωρήματα, ἐπιμελόμενος ὅκως τὰ ἄκρα τῶν ῥάβδων μὴ ἐς τὸν χρῶτα, ἀλλ' ἐς τὰ ἄκρα τῶν σφαιρέων ἐγκέλσῃ. εἶεν δὲ χρὴ ζεύγεα τρία τῶν ῥάβδων. καὶ πλέω, καὶ τινὶ μακροτέρας τὰς ἑτέρας τῶν ἑτέρων. καὶ τινὶ καὶ βραχυτέρας, καὶ μακροτέρας ὡς καὶ μᾶλλον διατείνειν ἢν βούληται. ἔστωσαν δὲ αἱ ῥάβδοι ἑκάτεραι ἔνθεν καὶ ἔνθεν τῶν σφυρῶν. ταῦτα τοίνυν εἰ καλῶς μηχανοποιηθείη, τήν τε κατάτασιν δικαίην παρέχοι καὶ ὁμαλὴν κατὰ τὴν ἰθυωρίην, καὶ τῷ τρώματι πόνος οὐδεὶς ἂν εἴη. τὰ γὰρ ἀποπιέσματα, εἴ τι καὶ ἀποπιέζοιτο. τὰ μὲν ἂν, ἐς τὸν πόδα ἀπάγοιτο. τὰ δέ, ἐς τὸν μηρόν. αἵ τε ῥάβδοι εὐθετώτεραι. αἱ μέν, ἔνθεν, αἱ δέ, ἔνθεν τῶν σφυρῶν. ὥς τε μὴ κωλύεσθαι τὴν θέσιν τῆς κνήμης. τό τε τρῶμα εὐκατάσκεπτον καὶ εὐβάστακτον. οὐδὲ γὰρ ἐμποδὼν εἴ τις ἐθέλοι τὰς δύο τῶν ῥάβδων τὰς ἀνωτέρω αὐτὰς πρὸς ἀλλήλας ζεῦξαι. καὶ ἤν τις κούφως βούλοιτο ἐπιβάλλειν, ὥς τε τὸ ἐπιβαλλόμενον μετέωρον ἀπὸ τοῦ τρώματος εἶναι. εἰ μὲν οὖν αἵ τε σφαῖραι προσηνέες. καὶ καλαί. καὶ μαλθακαί. καὶ καιναὶ ῥαφεῖεν. καὶ ἡ ἔντασις τῶν ῥάβδων χρηστῶς ἐνταθείη, ὥσπερ ἤδη εἴρηται, εὔχρηστον τὸ μηχάνημα. εἰ δέ τι τουτέων μὴ καλῶς ἕξει, βλάπτοι ἂν μᾶλλον ἢ ὠφελέοι. χρὴ δὲ καὶ τὰς ἄλλας μηχανάς, ἢ καλῶς μηχανᾶσθαι, ἢ μὴ μηχανᾶσθαι. αἰσχρὸν γὰρ καὶ ἄτεχνον μηχανοποιέοντα ἀμηχανοποιέεσθαι. τοῦτο δὲ οἱ πλεῖστοι τῶν ἰητρῶν τὰ κατήγματα, καὶ τὰ ξὺν ἕλκεσιν, καὶ τὰ ἄνευ ἑλκέων τὰς πρώτας τῶν ἡμερέων ἰητρεύουσιν εἰρίοισιν ῥυπαροῖσιν, καὶ οὐδέν τι ἄτεχνον δοκέει τοῦτο εἶναι. ὅσοι μὲν ἀναγκάζονται ὑπὸ τῶν αὐτίκα νεοτρώτων ἐόντων μὴ ἔχοντες ὀθόνια, εἰρίοισι παρασκευάσασθαι, τουτέοισι πλείστη συγγνώμη. οὐ γὰρ ἄν τις ἔχοι ἄνευ ὀθονίων ἄλλό τι πολλῷ βέλτιον εἰρίων ἐπιδῆσαι ἐπὶ τὰ τοιαῦτα. εἶναι δὲ χρὴ πάμπολλα, καὶ

πάνυ

πάνυ καλῶς εἰργασμένα, καὶ μὴ τρηχέα. τῶν γὰρ ὀλίγων καὶ φλαύρων ὀλίγη καὶ ἡ δύναμις. ὅσοι δὲ ἐπὶ μίαν ἢ δύο ἡμέρας, ἔπειτα ἐπιδέειν δικαιέουσι, τρίτῃ δὲ καὶ τετάρτῃ ὀθονίοισιν ἐπιδέοντες πιέζουσι καὶ κατατείνουσιν, τότε μάλιστα οὗτοι πουλύ τι ἰητρικῆς καὶ κάρτα ἐπὶ καιρὸν ἀσυνετέουσιν. ἥκιστα γὰρ χρὴ τῇ τρίτῃ καὶ τετάρτῃ συνφελίζειν πάντα τὰ τρώματα. ὡς ἐν κεφαλαίῳ δὲ εἰρῆσθαι, καὶ μηλώσιας δὲ πάσας φυλάσσεσθαι χρὴ, ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν. καὶ ὁκόσοισιν ἄλλοισι τρώμασιν ἠρέθισται. τὸ ἐπίπαν γὰρ ἡ τρίτη καὶ ἡ τετάρτη ἡμέρη ἐπὶ τοῖσι πλείστοισιν τῶν τρωμάτων τίκτει τὰς παλιγκοτήσιας, καὶ ὅσα ἐς φλεγμονὴν καὶ ἀκαθαρσίην ὁρμᾷ, καὶ ὅσα αὖ ἐς πυρετοὺς ἴει. καὶ μάλα πολλοῦ ἄξιον τοῦτο μάθημα, εἴπερ τι καὶ ἄλλο. τινὶ γὰρ οὐκ ἐπικοινωνέει τῶν ἐπικαιροτάτων ἐν ἰητρικῇ, οὐ κατὰ τὰ ἕλκεα μόνον, ἀλλὰ καὶ κατὰ ἄλλα πολλὰ νουσήματα. εἰ μή τις φήσειε καὶ τἄλλα νοσήματα ἕλκεα εἶναι. ἔχει γάρ τινα καὶ οὗτος ὁ λόγος ἐπιείκειαν. πολλαχῇ δὲ ἠδέλφισται τὰ ἕτερα τοῖσιν ἑτέροισιν. ὁκόσοι μέντοι δικαιεῦσιν εἰρίοισιν χρῆσθαι, ἐς ἂν ἑπτὰ ἡμέραι παρέλθωσιν, ἔπειτα κατατείνειν τε καὶ κατορθοῦν, καὶ ὀθονίοισιν ἐπιδεῖν, οὗτοι οὐκ ἂν ἀσύνετοι ὁμοίως φανοῖεν. καὶ γὰρ τῆς φλεγμονῆς τὸ ἐπικαιρότατον παρελήλυθεν, καὶ τὰ ὀστέα χαλαρὰ καὶ εὔθετα μετὰ ταύτας τὰς ἡμέρας ἂν εἴη. πολλῷ μέντοι ἥσσαται καὶ αὕτη ἡ μελέτη τῆς ἐξ ἀρχῆς τοῖσιν ὀθονίοισιν ἐπιδέσιος. κεῖνος μὲν γὰρ ὁ τρόπος ἑβδομαίους ἐόντας ἀποδείκνυσιν καὶ παρασκευάζει νάρθηξιν τελέως ἐπιδεῖν. οὗτος δὲ ὁ τρόπος πολὺ ὑστεροῖ. βλάβας δέ τινας καὶ ἄλλας ἔχει, ἀλλὰ μακρὸν ἂν εἴη πάντα γράφειν. ὁκόσοισι δὲ τὰ ὀστέα κατεηγότα καὶ ἐξίσχοντα μὴ δύνηται ἐς τὴν ἑωυτῶν χώρην καθιδρύεσθαι, ἤδη ἡ κατάτασις. σιδήρια χρὴ ποιέεσθαι, ἐς τοῦτον τὸν τρόπον ὅνπερ οἱ μοχλοὶ ἔχουσιν, οἷς οἱ λατύποι χρέονται. τὸ μέν τι πλατύτερον. τὸ δέ τι, στενώτερον. εἶναι δὲ χρὴ καὶ τρία καὶ ἔτι πλείω ὡς τοῖς μάλιστα ἁρμόζουσιν τις χρήσαιτο. ἔπειτα τουτέοισι χρὴ ἅμα τῇ κατατάσει μοχλεύειν ὑποβάλλοντα. πρὸς μὲν τὸ κατώτερον τοῦ ὀστέου, ἐρείδοντα. πρὸς δὲ τὸ ἀνώτερον, κατὰ ἀνωτέρω τοῦ σιδηρείου. ἁπλῷ δὲ λόγῳ, ὥσπερ εἰ λίθον τις ἢ ξύλον μοχλεύοι ἰσχυρῶς. ἔστω δὲ σθεναρὰ τὰ σιδήρια ὡς οἷόν τε, ὡς μὴ κάμπτηται. αὕτη μεγάλη τιμωρείη, ἤν τε τὰ σιδήρια ἐπιτήδεια ᾖ καὶ μοχλεύηταί τις ὡς χρή. ὁκόσα γὰρ ἀνθρώποις ἄρμενα μεμηχάνηται, πάντων ἰσχυρότατά ἐστι τρία ταῦτα, ὄνου τε περιαγωγὴ, καὶ μόχλευσις, καὶ σφήνωσις. ἄνευ δὲ τούτων ἢ ἑνός δή τινος ἢ πάντων οὐδὲν τῶν ἔργων τῶν ἰσχυροτάτων οἱ ἄνθρωποι ἐπιτελέουσιν. οὔκουν ἀτιμαστέη αὕτη ἡ μόχλευσις. ἢ γὰρ οὕτως ἐμπεσεῖται τὰ ὀστέα, ἢ οὐκ ἄλλως. ἢν δ' ἄρα τοῦ ὀστέου τὸ ἄνω παρηλλαγμένον μὴ ἐπιτήδειον ἔχῃ ἐνέδρην τῷ μοχλῷ, ἀλλὰ παροξὺ ὂν παραφέρῃ, παραγλύψαντα χρὴ τοῦ ὀστέου ἐνέδρην τῷ μοχλῷ ἀσφαλέα ποιῆσαι. μοχλεύειν δὲ χρὴ καὶ τείνειν αὐθημερὰ, ἢ δευτεραῖα. τριταῖα δὲ μή. τεταρταῖα δὲ, ὡς ἥκιστα, καὶ πεμπταῖα. καὶ γὰρ μὴ ἐμβάλλοντι, ὀχλήσαντι δὲ, ἐν ταύτῃσιν τῇσιν ἡμέρῃσιν φλεγμονὴν ἂν ποιήσειε, καὶ ἐμβάλλοντι οὐδὲν ἧσσον. σπασμὸν μέντοι ἐμβάλλοντι, πουλὺ ἂν μᾶλλον ποιήσειεν ἢ ἀπορήσαντι ἐμβαλεῖν. ταῦτα εὖ χρὴ εἰδέναι. καὶ γὰρ εἰ ἐπιγένοιτο σπασμὸς ἐμβάλλοντι, ἐλπίδες μὲν οὐ πολλαὶ σωτηρίης. λυσιτελέει δὲ ὀπίσω ἐμβάλλειν τὸ ὀστέον εἰ οἷόν τε εἴη ἀόχλως. οὐ γὰρ ἐπὶ τοῖσιν χαλαρωτέροισι τοῦ καιροῦ σπασμοὶ, καὶ τέτανοι ἐπιγίνονται, ἀλλ' ἐπὶ τοῖσιν ἐντεταμένοισι μᾶλλον, περὶ οὗ νῦν ὁ λόγος. οὐ χρὴ οὖν ἐνοχλέειν ἐν τῇσι προειρημένῃσιν ἡμέρῃσιν ταύτῃσιν, ἀλλὰ μελετᾶν ὅκως ἥκιστα φλεγμαίνῃ τὸ ἕλκος καὶ μάλιστα ἐκπυήσῃ. ἐπὴν δὲ ἑπτὰ ἡμέραι παρέλθωσιν, ἢ ὀλίγῳ πλείους, ἢν ἀπύρετος ᾖ, καὶ μὴ φλεγμαίνῃ τὸ ἕλκος, τότε ἧσσον κωλύει πειρῆσθαι ἐμβάλλειν ἢν ἐλπίζῃς κρατήσειν, ἢν δὲ μὴ, οὐδὲν δεῖ μάτην ὀχλέειν καὶ ὀχλέεσθαι. ἢν μὲν οὖν ἐμβάλῃς τὰ ὀστέα ἐς τὴν ἑωυτῶν χώρην, γεγράφανται ἤδη οἱ τρόποι τοῦ ὡς χρὴ ἰητρεύειν, ἤν τε ἐλπίζῃς ὀστέα ἀποστήσεσθαι, ἤν τε μή. χρὴ δὲ καὶ ἢν μὲν ἐλπίζῃς ὀστέα ἀποστήσεσθαι ὡς ἔφην κατὰ τρόπω τῶν ὀθονίων ἐπὶ πᾶσι τοῖσι τοιουτέοισι τὴν ἐπίδεσιν ποιέεσθαι ἐκ μέσου τοῦ ὀθονίου ἀρχόμενον, ὡς ἐπὶ τὸ πουλὺ, ὡς ἐπὶ δύο ἀρχέων ὑποδεσμὶς ὑποδεῖται. τεκμαίρεσθαι δὲ χρὴ πρὸς τὴν μορφὴν τοῦ ἕλκεος, ὅκως ἥκιστα σεσηρὸς, καὶ ἐκπεπληγμένον ἔσται παρὰ τὴν ἐπίδεσιν. τοῖσι μὲν γὰρ ἐπὶ δεξιὰ ἐπιδεῖν ξυμφόρως ἔχει. τοῖσι δὲ ἐπ' ἀριστερά. τοῖσι δὲ ἀπὸ δύο ἀρχέων. ὁκόσα δὲ κατηπορήθη ὀστέα ἐμπεσεῖν ταῦτα αὐτὰ εἰδέναι χρὴ ὅτι ἀποστήσεται, καὶ ὅσα τελέως ἐψιλώθη τῶν σαρκῶν. ψιλοῦται δὲ, ἐνίων μὲν, τὸ ἄνω μέρος, μετεξετέρων δὲ κύκλωθεν ἀμφιθνήσκουσιν

σήπουσιν αἱ σάρκες. καὶ τῶν μὲν ἀπὸ τοῦ ἀρχαίου τρώματος ἀποπρίεται ἔνια τῶν ὀστέων, τῶν δ' οὔ. καὶ τῶν μὲν μᾶλλον, τῶν δ' ἧσσον. καὶ τὰ μὲν σμικρά. τὰ δὲ μεγάλα. διὰ οὖν ταῦτα τὰ εἰρημένα οὐκ ἔστιν ἑνὶ ὀνόματι εἰπεῖν ὁπότε τὰ ὀστέα ἀποστήσεται. τὰ μὲν γὰρ διὰ μικρότητα. τὰ δὲ, διὰ τὸ ἐπ' ἄκρου ἔχεσθαι θᾶσσον ἀφίσταται. τὰ δὲ, διὰ τὸ μὴ ἀφίστασθαι, ἀλλὰ λεπιδοῦσθαι καταξηρανθέντα, καὶ σαπρὰ γινόμενα. πρὸς δὲ τούτοις, διαφέρει τι καὶ ἰητρείη ἰητρείης. ὡς μὲν οὖν τὸ ἐπίπαν τάχιστα τουτέων ὀστέα ἀφίσταται, ὧν τάχισται μὲν αἱ ἐκπυήσιες. τάχισται δὲ καὶ κάλλισται αἱ σαρκοφυΐαι. καὶ γὰρ αἱ ὑποφυόμεναι σάρκες κατὰ τὸ σιναρὸν αὗται μετεωρίζουσιν τὰ ὀστέα ὡς ἐπὶ τὸ πουλύ. ὅλος μὲν ὁ κύκλος τοῦ ὀστέου, ἢν ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀποστῇ, καλῶς ἀποστήσεται. ἔνια γὰρ ἐς ἑξήκοντα ἡμέρας ἀφικνεῖται. τὰ μὲν γὰρ ἀραιότερα τῶν ὀστέων, θᾶσσον ἀφίσταται. τὰ δὲ στερεώτερα, βραδύτερον. τὰ δ' ἄλλα τὰ μείω, πολλὸν ἐνδοτέρω. ἄλλα δ' ἄλλως. ἀποπρίειν δ' ὀστέον ὑπερέχον ὑπὸ τῶνδε τῶν προφασίων χρή, ἢν μὴ δύνηται ἐμβάλλειν, μικροῦ δέ τινος αὐτῷ δοκέει δεῖν παρελθεῖν, καὶ οἷόν τε ᾖ παρελθεῖν. ἤν τε ἀσηρὸν ᾖ καὶ θραῦον τι τῶν σαρκίων, καὶ δυσαισθησίην παρέχῃ, ψιλὸν δὲ τυγχάνει ἐόν. καὶ τὸ τοιοῦτον ἀφαιρέειν χρή. τὰ δ' ἄλλα οὐδὲν μέγα διαφέρει, οὔτε ἀποπρίσαι, οὔτε μὴ ἀποπρίσαι. σαφέως γὰρ εἰδέναι χρὴ ὅτι ὀστέα ὅσα τελέως στέρεται τῶν σαρκῶν καὶ ὑποξηραίνεται, ὅτι πάντα τελέως ἀποστήσεται. ὅσα δὲ ἀπολεπιδοῦσθαι μέλλει, ταῦτα οὐ χρὴ ἀποπρίειν. τεκμαίρεσθαι δὲ χρὴ ἀπὸ τῶν τεταγμένων σημείων τὰ τελέως ἀποστησόμενα. ἰητρεύειν δὲ τοὺς τοιούτους σπλήνεσι καὶ τῇ οἰνηρῇ ἰητρείῃ, ὥσπερ καὶ πρόσθεν γέγραπται τῶν ἀποστησομένων ὀστέων. φυλάσσεσθαι δὲ χρὴ μὴ καταψύχοισι τέγγειν τὸν πρῶτον χρόνον. ῥιγέων γὰρ πυρετωδέων κίνδυνος. κίνδυνος δὲ καὶ σπασμῶν. προκαλέεται γὰρ ἀεὶ σπασμὸν τὰ ψυχρά. ποτὲ δὲ καὶ ἕλκεα. εἰδέναι δὲ χρὴ ὅτι περ ἀνάγκη βραχύτερα τὰ σώματα ταύτῃ γίνεσθαι, ὧν ἀμφότερα τὰ ὀστέα κατεηγότα καὶ παρηλλαγμένα ἰητρεύηται, καὶ οἷς ὅλος καὶ ὁ κύκλος τοῦ ὀστέου ἀπέστη. Ὅσοις δὲ μηροῦ ὀστέον ἢ βραχίονος ἐξέχει, οὗτοι οὐ μάλα περιγίνονται. τὰ γὰρ ὀστέα μεγάλα καὶ πολυμύελα, καὶ πολλὰ καὶ ἐπίκαιρα τὰ συντιτρωσκόμενα νεῦρα, ἢ μύες καὶ φλέβες. καὶ ἢν μὲν ἐμβάλλοις σπασμοὶ φιλέουσιν ἐπιγίνεσθαι. μὴ ἐμβληθεῖσι δὲ πυρετοὶ ὀξέες καὶ ἐπίχολοι καὶ λυγγώδεες, καὶ ἐπιμελαίνονται. περιγίνονται δὲ οὐχ ἧσσον οἷσι μὴ ἐμβληθῇ μηδὲ πειρηθῇ ἐμβάλλεσθαι. ἔτι δὲ μᾶλλον περιγίνονται οἷσι τὸ κάτω μέρος τοῦ ὀστέου ἐξέχει, ἢ οἷσι τὸ ἄνω. περιγίνονται δ' ἂν καὶ οἷσιν ἐμβληθείη, σπανίως γε μήν. μελέται γὰρ μελετέων μέγα διαφέρουσιν, καὶ φύσιες φυσίων τῶν σωμάτων ἐς εὐφορίην. διαφέρει δὲ μέγα καὶ ἢν ἔσω τοῦ βραχίονος καὶ τοῦ μηροῦ τὰ ὀστέα ὑπερέχῃ. πολλαὶ γὰρ καὶ ἐπίκαιροι κατατάσιες φλεβῶν ἐν τῷ ἔσω μέρει, ὧν ἔνιαι τιτρωσκόμεναι σφάγιαί εἰσιν. εἰσὶ δὲ καὶ ἐν τῷ ἔξω μέρει, ἧσσον δέ. ἐν τοῖσιν οὖν τοιούτοισι τρώμασι τοὺς μὲν κινδύνους οὐ χρὴ λήθειν, ὁκοῖοί τινές εἰσιν, καὶ προλέγειν χρὴ πρὸς τοὺς καιρούς. εἰ δὲ ἀναγκάζοι μὲν ἐμβαλεῖν, ἐλπίζοις δὲ ἐμβάλλειν καὶ μὴ πολλὴ ἡ παράλλαξις ἢ τοῦ ὀστέου, καὶ μὴ ξυνδεδραμήκοιεν οἱ μύες, φιλέουσι γὰρ ξυνδεῖν, ἡ μόχλευσις καὶ τούτοισι μετὰ τῆς κατατάσιος εὖ ἂν ξυλλαμβάνοιτο. ἐμβάλλοντα δὲ ἐλλέβορον μαλθακὸν πιπίσαι χρὴ αὐθημερόν, ἢν αὐθημερὸν ἐμβληθῇ, εἰ δὲ μὴ οὐδ' ἐγχειρέειν χρή. τὸ δὲ ἕλκος ἰητρεύειν χρὴ οἷσιπερ κεφαλῆς ὀστέα κατεηγότος, καὶ ψυχρὸν μηδὲν προσφέρειν. σιτίων δὲ στερῆσαι τελέως. καὶ ἢν μὲν πικρόχολος φύσει ᾖ, ὀξύγλυκυ εὐῶδες ὀλίγον ὕδωρ ἐπιστάζοντα τούτῳ διαιτᾶν. ἢν δὲ μὴ πικρόχολος ᾖ, ὕδατι πόματι χρῆσθαι. καὶ ἢν μὲν πυρεταίνῃ ξυνεχῶς, τεσσαρεσκαίδεκα ἡμέρας τὸ ἐλάχιστον οὕτω διαιτᾶν. ἢν δὲ ἀπύρετος ᾖ, ἑπτὰ ἡμέρῃσιν. ἔπειτα ἐκ προσαγωγῆς κατὰ λόγον, φαύλην δίαιταν ἄγειν. καὶ οἷσιν ἂν μὴ βληθῇ τὰ ὀστέα καὶ τὴν φαρμακείην χρὴ τοιαύτην ποιέεσθαι, καὶ τῶν ἑλκέων τὴν μελέτην, καὶ τὴν δίαιταν ὡσαύτως. καὶ τὸ ἀπεωρεύμενον τοῦ σώματος μὴ κατατείνειν, ἀλλὰ καὶ προσάγειν μᾶλλον, ὥστε χαλαρώτερον εἶναι τὸ περὶ τὸ ἕλκος. τῶν δὲ ὀστέων ἀπόστασις χρονίη, ὥσπερ καὶ πρόσθεν εἴρηται. μάλιστα δὲ χρὴ τὰ τοιαῦτα διαφυγεῖν. ἀλλ' ἤν τις καλὴν ἔχῃ τὴν ἀποφυγήν, αἵ τε γὰρ ἐλπίδες ὀλίγαι, καὶ οἱ κίνδυνοι πολλοί. καὶ μὴ ἐμβάλλων ἄτεχνος ἂν δοκέοι εἶναι, καὶ ἐμβάλλων ἂν ἐγγυτέρω τοῦ θανάτου ἀγάγοι, ἢ σωτηρίης. τὰ δὲ ὀλισθήματα τὰ κατὰ γούνατα, καὶ τὰ διακινήματα τῶν ὀστέων εὐηθέστερα πουλὺ τῶν κατ' ἀγκῶνα κινημάτων καὶ ὀλισθημάτων. τό, τε γὰρ ἄρθρον τοῦ μηροῦ

δυσαλγέστερον ὡς ἐπὶ μεγέθει, ἢ τὸ τοῦ βραχίονος, καὶ δικαίην φύσιν μούνην ἔχειν, καὶ ταύτην περιφερέα. τὸ δὲ τοῦ βραχίονος ἄρθρον μέγα καὶ βαθμίδας πλέονας ἔχον. πρὸς δὲ τούτοις. τὰ μὲν κνήμης ὀστέα παραπλήσια μῆκός ἐστι, καὶ σμικρόν τι οὐκ ἄξιον λόγου τὸ ἔξω ὀστέον ὑπερέχει οὐδενὸς μεγάλου κώλυμα ἐὸν, ἀφ' οὗ πέφυκεν ὁ ἔξω τένων ὁ παρὰ τὴν ἰγνύην. τὰ δὲ τοῦ πήχεος ὀστέα, ἄνισά ἐστιν. καὶ τὸ βραχύτερον παχύτερον συχνῷ. τὸ δὲ λεπτότερον, πολλῷ ὑπερβάλλει καὶ ὑπερέχει τὸ ἄρθρον. ἐξήρτηται μέν τοι καὶ τούτων τῶν νεύρων κατὰ τὴν κοινὴν ξύμφυσιν τῶν ὀστέων. πλεῖον δὲ μέρος ἔχει τῆς ἐξαρτήσεως τῶν νεύρων ἐν τῷ βραχίονι τὸ λεπτὸν ὀστέον, ἤπερ τὸ παχύ. ἡ μὲν οὖν φύσις τοιουτότροπος τῶν ἄρθρων τούτων καὶ τῶν ὀστέων τοῦ ἀγκῶνος. καὶ διὰ τὸν τρόπον τῆς φύσιος τὰ κατὰ γόνυ ὀστέα. πολλάκις μὲν ὀλισθάνει. ῥηϊδίως δὲ ἐμπίπτει. φλεγμονὴ δὲ οὐ μεγάλη προσγίνεται, οὐδὲ δεσμὸς τοῦ ἄρθρου. ὀλισθάνει δὲ τὰ πλεῖστα ἐς τὸ ἔσω μέρος, ἔστι δ' ὅτε καὶ ἐς τὸ ἔξω. ποτὲ δὲ καὶ ἐς τὴν ἰγνύην. τούτων ἁπάντων αἱ ἐμβολαὶ οὐ χαλεπαὶ, ἀλλὰ τὰ μὲν ἔξω καὶ τὰ ἔσω ὀλισθαίνοντα, καθῆσθαι μὲν χρὴ τὸν ἄνθρωπον ἐπὶ χαμαιζήλου τινός. τὸ δὲ σκέλος ἀνωτέρω ἔχειν μὴ μὴν πολλῷ. κατάτασις δὲ ὡς ἐπὶ τὸ πουλὺ μετρίη ἀρκέει. τῇ μὲν κατατείνειν τὴν κνήμην. τῇ δὲ ἀντιτείνειν τὸν μηρόν.

Τὰ δὲ κατὰ τὸν ἀγκῶνα ὀχλωδέστερά ἐστιν τῶν κατὰ τὸ γόνυ καὶ δυσεμβολώτερα, καὶ διὰ τὴν φλεγμονὴν, ἢν μή τις αὐτίκα ἐμβάλοι. ὀλισθάνει μὲν γὰρ ἧσσον, ἢ ἐκεῖνα, δυσεμβολώτερα δὲ καὶ δυσαλθεστώτερα, καὶ ἐπιφλεγμαίνει μᾶλλον καὶ ἐπιπωροῦται. ἔστι δὲ καὶ τούτων τὰ μὲν πλεῖστα, σμικραὶ ἐγκλίσιες. ἄλλοτε ἐς τὸ πρὸς τῶν πλευρέων μέρος. ἄλλοτε ἐς τὸ ἔξω. οὐ πᾶν δὲ τὸ ἄρθρον μεταβεβηκὸς, ἀλλὰ μένον τι κατὰ τὸ κοῖλον ὀστέον τοῦ ὀστέου τοῦ βραχίονος, ἢ τὸ τοῦ πήχεος ὀστέον τὸ ὑπερέχον ἔχει. τὰ μὲν οὖν τοιαῦτα, κἂν τῇ ἢ τῇ ὀλισθῇ, ῥηΐδιον ἐμβάλλειν, καὶ ἀπόχρη ἡ κατάτασις ἡ ἐς τὸ ἰθὺ γινομένη κατ' ἰθυωρίην τοῦ βραχίονος, τὸν μὲν κατὰ τὸν καρπὸν τῆς χειρὸς τείνειν. τὸν δὲ κατὰ τὴν μασχάλην περιβάλλοντα. τὸν δὲ τῇ ἑτέρῃ πρὸς τὸ ἐξεστεὸς ἄρθρον τὸ θέναρ προσβάλλοντα ὠθέειν. τῇ δ' ἑτέρῃ ἀντωθέειν προσβάλλοντα ἐγγὺς τοῦ ἄρθρου. ἐνακούει δὲ οὐ βραδέως ἐμβαλλόμενα, τὰ τοιαῦτα ὀλισθήματα, ἢν πρὶν φλεγμῆναι ἐμβάλλῃ τις. ὀλισθάνει δὲ, ὡς ἐπὶ τὸ πουλὺ μᾶλλον ἐς τὸ ἔσω μέρος, ὀλισθάνει δὲ καὶ ἐς τὸ ἔξω. δῆλα δὲ τῷ σχήματι, καὶ πολλάκις ἐμπίπτει τὰ τοιαῦτα, καὶ ἄνευ ἰσχυρῆς κατατάσιος. χρὴ δὲ τῶν ἔσω ὀλισθανόντων. τὸ μὲν ἄρθρον ἀπωθέειν ἐς τὴν φύσιν. τὸν δὲ πῆχυν ἐς τὸ καταπρηνὲς μᾶλλον ῥέποντα περιάγειν. τὰ μὲν πλεῖστα ἀγκῶνος τοιαῦτα ὀλισθήματα. ἢν δὲ ὑπερβῇ τὸ ἄρθρον ἢ ἔνθα ἢ ἔνθα ὑπὲρ τὸ ὀστέον τοῦ πήχεος τὸ ἐξέχον ἐς τὸ κοῖλον τοῦ βραχίονος. γίνεται μὲν οὖν ὀλιγάκις τοῦτο. ἢν δὲ γένηται οὐκ ἔτι ὁμοίως ἡ κατάτασις, ἡ ἐς τὴν ἰθυωρίην γινομένη ἐπιτηδείη τῶν τοιουτέων ὀλισθημάτων. κωλύει γὰρ ἐν τῇ τοιαύτῃ κατατάσει τὸ ἀπὸ τοῦ πήχεος ὑπερέχον ὀστέον τὴν ὑπέρβασιν τοῦ βραχίονος. χρὴ τοίνυν τοῖσιν οὕτως ἐκβεβληκόσι τὴν κατάτασιν ποιέεσθαι τοιαύτην, οἵηπερ πρόσθεν γέγραπται, ἐπὴν τις ὀστέα βραχίονος κατεηγότα ἐπιδέῃ. ἀπὸ μὲν τῆς μασχάλης, ἐς τὸ ἄνω τείνεσθαι. ἀπὸ δὲ τοῦ ἀγκῶνος αὐτοῦ ἐς τὸ κάτω ἀναγκάζειν, οὕτω γὰρ ἂν μάλιστα ὁ βραχίων ὑπερεωρηθείη ὑπὲρ τῆς ἑωυτοῦ βαθμίδος. ἢν δὲ ὑπερεωρηθῇ, ῥηϊδίη ἡ κατάτασις τοῖσι θέναρσιν τῶν χειρῶν. τὸ μὲν ἐξεστεὸς τοῦ βραχίονος ἐμβάλλοντα ὠθέειν. τὸ δὲ ἐς τὸ τοῦ πήχεος ὀστέον τὸ παρὰ τὸ ἄρθρον ἐμβάλλοντα ἀντωθέειν. τὸν αὐτὸν τρόπον ἄμφω. ἧσσον μέν τοι ἡ τοιαύτη κατάτασις τοῦ τοιούτου ὀλισθήματος δικαιοτάτη. ἐμβληθείη δὲ καὶ ἀπὸ τῆς ἐς ἰθὺ κατατάσιος. ἧσσον δὲ ἡ οὕτω. ἢν δὲ ἐς τοὔμπροσθεν ὀλισθῇ ὁ βραχίων. ἐλαχιστάκις μὲν τοῦτο γίνεται. ἀλλὰ τί ἂν ἐξαπίνης ἐκπάλησις οὐκ ἐκβάλλοι. πολλὰ γὰρ καὶ παρὰ τὴν οἰκείαν φύσιν ἐμπίπτει. κἢν μέγα τι ᾖ τὸ κωλῦον. ταύτῃ δὲ τῇ ἐκπαλήσει μέγα τι τὸ ὑπερβαινόμενον τὸ ὑπὲρ τὸ παχύτερον τῶν ὀστέων καὶ τῶν νεύρων συχνὴ κατάτασις. ὅμως δὲ δή τισιν ἐξεπάλησεν. σημεῖον δὲ τοῖς οὕτως ἐκπαλήσασιν. οὐδὲν γὰρ χρῆμα τοῦ ἀγκῶνος κάμψαι δύνανται. ἔνδηλον δὲ καὶ τὸ ἄρθρον ψαυόμενον. ἢν μὲν οὖν μὴ αὐτίκα ἐμβληθῇ, ἰσχυραὶ καὶ βίαιοι φλεγμοναὶ καὶ πυρετώδεες γίνονται. ἢν δὲ δὴ αὐτίκα τις παρατύχῃ, εὐέμβολον. χρὴ δὲ ὀθόνιον σκληρὸν εἱλιγμένον ἀρκέσει μὴ μέγα ἐνθέντα πλάγιον ἐς τὴν καμπὴν τοῦ ἀγκῶνος ἐξαπίνης ξυγκάμψαι τὸν ἀγκῶνα, καὶ προσαγαγεῖν ὡς μάλιστα τὴν χεῖρα πρὸς τὸν ὦμον. ἱκανὴ μὲν οὖν αὕτη ἡ ἐμβολὴ τοῖσιν οὕτω ἐκπαλήσασιν. ἀτὰρ καὶ ἐς τὸ ἰθὺ κατάτασις, δύναται εὐθετίζειν τοῦτον τὸν

τρόπον

τρόπον τῆς ἐμβολῆς. τοῖσι μὲν τοι θέναρσι τῆς χειρὸς χρὴ, τὸν μὲν ἐμβάλλοντα ἐν τῷ τοῦ βραχίονος ἐξέχον τὸ παρὰ τὴν καμπὴν ὀπίσω ἀπωθέειν. τοῦ δέ τινα κάτωθεν ἐν τῷ τοῦ ἀγκῶνος ὀξὺ ἐμβάλλοντα αὐτωθέειν ἐν τὴν ἰθυωρίην τοῦ πήχεος ῥέποντα. δύναται δὲ ἐν τουτέῳ τῷ τρόπῳ τοῦ ὀλισθήσιος κἀκείνη ἡ κατάτασις ἡ πρόσθεν γεγραμμένη ὡς χρὴ κατατείνειν τὰ ὀστέα τοῦ βραχίονος κατεηγότα, ὅταν μέλλωσιν ἐπιδέεσθαι. ὅταν δὲ κατασταθῇ, οὕτω χρὴ τοῖσι θέναρσι τὰς προσβολὰς ποιέεσθαι, ὥσπερ καὶ πρόσθεν γέγραπται. ἢν δὲ ἐς τοὐπίσω βραχίων ἐκπέσῃ, ὀλιγάκις ● τοῦτο γίνεται, ἐπωδυνώτατον δὲ τοῦτο πάντων καὶ πυρετωδέστατον ξυνεχέων πυρετῶν καὶ ἀκρητοχόλων θανατωδέων καὶ ὀλιγημερέων. οἱ τοιοῦτοι ἐκτανύειν οὐ δύνανται. ἢν μὲν οὖν αὐτίκα παρατύχῃς, βιάσασθαι χρὴ ἐκτανύσαντα τὸν ἀγκῶνα, καὶ αὐτόματον ἐμπίπτει. ἢν δέ γε φθάσῃ πυρετήνας, οὐκ ἔτι χρὴ ἐμβάλλειν. κατατείνεται γὰρ ἂν ἡ ὀδύνη ἀναγκαζομένου. ὡς δὲ ἐν κεφαλαίῳ εἰρῆσθαι, οὐδ' ἄλλο χρὴ ἄρθρον πυρεταίνοντι ἐμβάλλειν. ἥκιστα δὲ ἀγκῶνα. ἔστι δὲ καὶ ἄλλα σίνεα κατ' ἀγκῶνα καὶ ὀχλώδεα. τοῦτο μὲν γὰρ τὸ παχύτερον ὀστέον ἔστιν ὅτε ἐκινήθη ἀπὸ τοῦ ἑτέρου καὶ οὔτε ξυγκάμπτειν, οὔτε κατατανύειν ὁμοίως δύναται. δῆλον δὲ γίνεται ψαυόμενον κατὰ τὴν σύγκαμψιν τοῦ ἀγκῶνος περὶ τὴν διαχίδα τῆς φλεβὸς τὴν ἄνωθεν τοῦ μυὸς τείνουσαν. οἷσι δὲ τὸ τοιοῦτον οὐκ ἔτι ῥηΐδιον ἐν τὴν ἑωυτοῦ φύσιν ἀγαγεῖν. οὐδὲ γὰρ ἄλλην οὐδὲ μίην ῥηΐδιον ξυμφύαδα κοινὴν δύο ὀστέων κινηθεῖσαν ἐν τὴν ἀρχαίην φύσιν ἱδρυνθῆναι, ἀλλ' ἀνάγκη ὄγκον ἴσχειν τὴν διάστασιν. ὡς δ' ἐπιδέειν χρὴ ἐν ἄρθρῳ ἐν τῇ περὶ σφυρὸν ἐπιδέσει εἴρηται. ἔστι δ' οἷσι κατάγνυται τοῦ πήχεος τὸ ὀστέον τὸ ὑποτεταγμένον τῷ βραχίονι. ὅτε μὲν τὸ χονδρῶδες αὐτοῦ ἀφ' οὗ πέφυκεν ὁ τένων ὄπισθεν τοῦ βραχίονος, καὶ ὅταν τοῦτο κινηθῇ, πυρετώδεες καὶ κακοήθεες γίνεται, τὸ μέντοι ἄρθρον μένει ἐν τῇ ἑωυτοῦ χώρῃ. ἴσως γὰρ ἡ βάσις αὐτέου ταύτῃ ὑπερέχει. ὅταν δὲ ἀπαγῇ ταύτῃ ἡ ὑπερέχουσα κεφαλὴ τοῦ βραχίονος πλανωδέστερον τὸ ἄρθρον γίνεται, ἢν παντάπασιν ἀποκαυλισθῇ. ἀσινέστερα δὲ ὡς κεφαλαίῳ εἰρῆσθαι πάντα τὰ κατηγνύμενα τῶν ὀστέων ἐστίν, ἢ οἷσι τὰ μὲν ὀστέα οὐ κατάγνυται, φλέβες δὲ καὶ νεῦρα ἐπίκαιρα ἀμφιφλᾶται, ἐν τούτοισι τοῖσι χωρίοισιν. ἐγγυτέρω γὰρ θανάτου πελάζει ταῦτα ἢ ἐκεῖνα, ἢν ἐκπυρωθῇ ξυνεχεῖ πυρετῷ. ὀλίγα γε μὲν τὰ τοιαῦτα κατήγματα γίνεται. ἔστι δ' ὅτε αὕτη ἡ κεφαλὴ τοῦ βραχίονος κατὰ τὴν ἐπίφυσιν κατάγνυται. οὕτω δὲ δοκέῳ κακοσινώτερον εἶναι πολλῷ, πολλῷ τινὶ εὐηθέστερον τῶν κατ' ἀγκῶνα σινέων ἐστίν. ὡς μὲν οὖν ἕκαστα τῶν ὀλισθημάτων ἁρμόσει ἐμβάλλειν καὶ μάλιστα ἰητρεύειν γέγραπται. καὶ ὅτι παραχρῆμα ἐμβάλλειν μάλιστα ἄρθρον ξυμφέρει διὰ τὸ τάχος τῆς φλεγμονῆς τῶν νεύρων. καὶ γὰρ ἢν ἐκπεσόντα αὐτίκα ἐμπέσῃ, ὁμοίως φιλέει τὰ νεῦρα ξύντασιν ποιέεσθαι, καὶ κωλύειν ἐπὶ πόσον χρόνον τήν τε ἔκτασιν ὅσην περ φιλέει ποιέεσθαι, τήν τε ξύγκαμψιν. ἰητρεύειν δὲ πάντα παραπλησίως ταῦτα ξυμφέρει, καὶ ὁκόσα ἄγνυται, καὶ ὁκόσα διΐσταται, καὶ ὁκόσα ὀλισθάνει. πάντα γὰρ χρὴ ὀθονίοισι πολλοῖσι καὶ σπλήνεσι καὶ κηρωτῇ ἰητρεύειν, ὥσπερ καὶ τἆλλα κατήγματα. τὸ δὲ σχῆμα τοῦ ἀγκῶνος ἐν τούτοισι παντάπασι δεῖ τοιοῦτον ποιέεσθαι, οἷόν περ οἷσιν βραχίων ἐπεδεῖτο κατεαγὲς καὶ πῆχυς. κοινότατον μὲν γὰρ πᾶσι τοῖσιν ὀλισθήμασιν, καὶ τοῖσι κινήμασιν, καὶ τοῖσι κατάγμασιν τοῦτο τὸ σχῆμα ἐστίν. κοινότατον δὲ πρὸς τὴν ἔπειτα διάτασιν, καὶ τὸ ἐκτανύειν ἑκάστα, καὶ ξυγκάμπτειν. ἐν τούτῳ γὰρ οὐδεὶς ἐν ἀμφότερα παραπλήσιοι. εὐοχώτατον δὲ καὶ εὐανάληπτον αὐτῷ τῷ κάμνοντι τοῦτο τὸ σχῆμα. ἔτι δὲ πρὸς τούτοις εἰ ἄρα κρατηθείη ὑπὸ τοῦ πωρώματος. εἰ μὲν ἐκτεταμένη ἡ χεὶρ κρατηθείη, κρέσσων ἂν εἴη μὴ προσεοῦσα. πολλῷ μὲν γὰρ κώλυμα εἴη, ὠφελείη δὲ ὀλίγον. εἰ δ' αὖ ξυγκεκαμμένη, μᾶλλον εὔχρηστος ἂν εἴη. πολλῷ δὲ εὐχρηστοτέρη εἰ τὸ διὰ μέσου σχῆμα ἔχουσα πωρωθείη κρέσσων. τὰ μὲν περὶ τοῦ σχήματος τοιαῦτα. ἐπιδέειν δὲ χρὴ τήν τε ἀρχὴν τοῦ πρώτου ὀθονίου βαλλόμενον κατὰ τὸ βλαφθὲν ἤν τε κάταγμα, ἤν τε ἔκστημα, ἤν τε διάστημα. καὶ τὰς περιβολὰς τὰς πρώτας κατὰ τοῦτο ποιέεσθαι, καὶ ἐρηρείσθω μάλιστα ταύτῃ. ἔνθεν δὲ καὶ ἔνθεν ἐπὶ ἧσσον. τὴν δὲ ἐπίδεσιν κοινὴν ποιέεσθαι χρὴ τοῦ τε πήχεος καὶ τοῦ βραχίονος, καὶ ἐπὶ πουλὺ πλέον ἑκάτερον ἢ ὡς οἱ πλεῖστοι ποιέουσιν, ὅκως ἐξαείρηται ὡς μάλιστα ἀπὸ τοῦ σίνεος τὸ οἴδημα ἔνθεν καὶ ἔνθεν. προσπεριβαλλέσθω δὲ καὶ τὸ ὀξὺ τοῦ πήχεος ἤν τε τὸ σίνος κατὰ τοῦτο ᾖ, ἤν τε μὴ, ἵνα τὸ οἴδημα ἐν τούτῳ περὶ αὐτὸ ξυλλέγηται. περιφυλάσσειν δὲ χρὴ ἐν τῇ ἐπιδέσει, ὅκως μὴ κατὰ τὴν καμπὴν πολλῷ τοῦ ὀθο-

νίου ἠθροισμένον ἔσται ἐκ τῶν διωμάτων. περιέχθαι δὲ ἐπὶ τὸ σιμὸν ὡς μάλιστα, καὶ τὰ ἄλλα καταλαβέτω αὐτὸν περὶ τῆς πιέξιος καὶ τῆς χαλάσιος ταῦτα. καὶ κατὰ τοὺς αὐτοὺς χρόνους ἕκαστα ὥσπερ τῶν ὀστέων τῶν κατεηγότων ἐν τῇ ἰητρείῃ πρόσθεν γέγραπται. καὶ αἱ μετεπιδέσιες διὰ τρίτης ἔστωσαν. χαλᾶν δὲ δοκέετω τῇ τρίτῃ ὥσπερ καὶ τότε καὶ νάρθηκας προσπεριβάλλειν ἐν τῷ ἱκνευμένῳ χρόνῳ. οὐδὲν γὰρ ἀπὸ τρόπου. καὶ τοῖσι τὰ ὀστέα κατεηγόσι, καὶ τοῖσι μή, ἢν μὴ πυρεταίνῃ. ὡς χαλαρωτάτους δὲ τοὺς μὲν, ἀπὸ τοῦ βραχίονος κατατεταγμένους. τοὺς δὲ, ἀπὸ τοῦ πήχεος κειμένους. ἔστωσαν δὲ μὴ παχέες οἱ νάρθηκες. ἀναγκαῖον δὲ καὶ ἀνίσους αὐτοὺς εἶναι ἀλλήλοισιν. παραλλάσσειν δὲ παρ᾽ ἀλλήλους, ᾗ ἂν ξυμφέρῃ τεκμαιρόμενον πρὸς τὴν ξύγκαμψιν. ἀτὰρ καὶ τῶν σπληνῶν τὴν πρόσθεσιν τοιαύτην χρὴ ποιέεσθαι, ὥσπερ καὶ τῶν ναρθήκων εἴρηται. ὀγκηροτέρους δὲ ὀλίγῳ ἐπὶ τὸ σιμὸν προστιθέναι. τοὺς δὲ χρόνους τοὺς ἀπὸ τῆς φλεγμονῆς τεκμαίρεσθαι, καὶ ἀπὸ τῶν πρόσθεν γεγραμμένων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΑΡΘΡΩΝ.

Ὤμου δὲ ἄρθρον ἕνα τρόπον οἶδα ὀλισθάνον τὴν ἐς τὴν μασχάλην. ἄνω δὲ, οὐδέποτε εἶδον, οὐδὲ ἐς τὸ ἔξω. οὐ μέντοι διισχυρίζομαί γε, εἰ ὀλισθάνοι ἂν, ἢ οὔ, καίπερ ἔχων περὶ αὐτοῦ, ὅ,τι λέγω. ἀτὰρ οὐδὲ ἐς τὸ ἔμπροσθεν οὐδέπω ὄπωπα οὐδὲ τοῦτο ὅτι ἔδοξέ μοι ὠλισθηκέναι. τοῖσι μέντοι ἰητροῖσι δοκέει κάρτα ἐς τοὔμπροσθεν ὀλισθάνειν, καὶ μάλιστα ἐξαπατῶνται ἐν τούτοισιν, ὧν ἂν φθίσις καταλάβῃ τὰς σάρκας τὰς περὶ τὸ ἄρθρον τε καὶ τὸν βραχίονα. φαίνεται γὰρ ἐν τοῖσι τοιούτοισι πάντάπασιν ἡ κεφαλὴ τοῦ βραχίονος, ἐξέχουσα ἐς τοὔμπροσθεν. ἐγὼ δὲ ποτὲ τὸ τοιοῦτον οὐ φὰς ἐκπεπτωκέναι ἤκουσα φλαύρως ὑπό τε τῶν ἰητρῶν, ὑπό τε τῶν δημοτέων διὰ τοῦτο τὸ πρῆγμα. ἐδόκεον γὰρ αὐτοῖσι ἠγνοηκέναι, μοῦνος, οἱ δὲ ἄλλοι πάντες ἐγνωκέναι, καὶ οὐκ ἠδυνάμην αὐτοὺς ἀναγνῶσαι, εἰ μὴ μόλις ὅτι τὸ δ᾽ ἐστὶ τοιόνδε. εἴ τις τοῦ βραχίονος ψιλώσειε μὲν τῶν σαρκέων τὴν ἐπωμίδα, ψιλώσειε δὲ, ᾗ ὁ μῦς ἀνατείνει. ψιλώσειε δὲ, τὸν τένοντα, τὸν ἐπὶ τὴν μασχάλην καὶ τὴν κληΐδα πρὸς τὸ στῆθος ἔχοντα, φαίνοιτο ἂν ἡ κεφαλὴ τοῦ βραχίονος ἐς τοὔμπροσθεν ἐξέχουσα ἰσχυρῶς, καίπερ οὐκ ἐκπεπτωκυῖα. πέφυκε γὰρ ἐς τοὔμπροσθεν, προπετὴς ἡ κεφαλὴ τοῦ βραχίονος. τὸ δ᾽ ἄλλο ὀστέον τοῦ βραχίονος, ἐς τὸ ἔξω καμπύλον. ὁμιλέει δὲ ὁ βραχίων τῷ κοίλῳ τῆς ὠμοπλάτης πλάγιος, ὅταν παρὰ τὰς πλευρὰς παρατεταμένος ἔῃ. ὅταν μέντοι ἐς τοὔμπροσθεν ἐκτανυσθῇ ἡ ξύμπασα χεὶρ, τότε ἡ κεφαλὴ τοῦ βραχίονος, κατ᾽ ἶξιν τῆς ὠμοπλάτης τῷ κοίλῳ γίνεται. καὶ οὐκέτι ἐξέχειν ἐς τοὔμπροσθεν φαίνεται. περὶ οὗ νῦν ὁ λόγος, οὐδέ ποτε εἶδον, οὐδὲ ἐς τοὔμπροσθεν ἐκπεσὸν, οὐ μὴν ἰσχυριέω γε οὐδὲ περὶ τούτου, εἰ μὴ ἐκπέσοι ἂν οὕτως, ἢ οὔ. ὅταν οὖν ἐκπέσῃ ὁ βραχίων ἐς τὴν μασχάλην, ἅτε πολλοῖσιν ἐκπίπτοντος, πολλοὶ ἐπίστανται ἐμβάλλειν. εὐπαίδευτον δέ ἐστι τὸ εἰδέναι πάντας τοὺς τρόπους οἷσιν οἱ ἰητροὶ ἐμβάλλουσι. καὶ ὡς ἄν τις αὐτοῖσι τοῖσι τρόποισι τούτοισι κάλλιστα χρῷτο. χρέεσθαι δὲ χρὴ τῷ κρατίστῳ τῶν τρόπων ἢν τὴν ἰσχυροτάτην ἀνάγκην ὁρᾷς. κράτιστος δὲ ὁ ὕστατος γεγραψόμενος. ὁκόσοισι μὲν οὖν πυκινὰ ἐκπίπτει ὁ ὦμος, ἱκανοὶ ὡς ἐπὶ τὸ πλεῖστον αὐτοὶ σφίσιν αὐτοῖσιν ἐμβάλλειν εἰσίν. ἐνθέντες γὰρ τῆς ἑτέρης χειρὸς τοὺς κονδύλους ἐς τὴν μασχάλην, ἀναγκάζουσιν ἄνω τὸ ἄρθρον, τὸν δὲ ἀγκῶνα παράγουσιν ἐπὶ τὸ στῆθος. τὸν αὐτὸν δὲ τρόπον τοῦτον καὶ ὁ ἰατρὸς ἂν ἐμβάλλοι, εἰ αὐτὸς μὲν ὑπὸ τὴν μασχάλην, ἐσωτέρω τοῦ ἄρθρου ἐκπεπτωκότος, ὑποτείνας τοὺς δακτύλους ἐπαναγκάζοι ἀπὸ τῶν πλευρέων ἐμβάλλων τὴν ἑωυτοῦ κεφαλὴν ἐς τὸ ἀκρώμιον, ἀντερείσιος ἕνεκα, τοῖσι δὲ γούνασι παρὰ τὸν ἀγκῶνα ἐς τὸν βραχίονα ἐμβαλὼν ἀντωθέῃ πρὸς τὰς πλευράς. ξυμφέρει δὲ καρτερὰς τὰς χεῖρας ἔχειν τὸν ἐμβάλλοντα. ἢ, αὐτὸς μὲν τῇσι χερσὶ καὶ τῇ κεφαλῇ οὕτω ποιοίη. ἄλλος δέ τις τὸν ἀγκῶνα παράγοι παρὰ τὸ στῆθος. ἔστι δὲ ἐμβολὴ ὤμου, καὶ ἐς τοὐπίσω ὑπερβάλλοντα τὸν πῆχυν ἐπὶ τὴν ῥάχιν, ἔπειτα τῇ μὲν ἑτέρῃ χειρὶ ἀνακλᾶν ἐς τὸ ἄνω τοῦ ἀγκῶνος ἐχόμενον, τῇ δὲ ἑτέρῃ παρὰ τὸ ἄρθρον ὄπισθεν ἐνερείδειν. αὕτη ἡ ἐμβολὴ, καὶ ἡ πρόσθεν εἰρημένη, οὐ κατὰ φύσιν ἐοῦσαι, ὅμως ἀμφιβάλλουσαι τὸ ἄρθρον, ἀναγκάζουσιν ἐμπίπτειν. οἱ δὲ τῇ πτέρνῃ πειρώμενοι ἐμβάλλειν, ἐγγύς τι τοῦ κατὰ φύσιν ἀναγκάζουσι. χρὴ δὲ τὸν μὲν ἄνθρωπον, χαμαὶ

καὶ κατακλῖναι ὕπτιον, τὸν δὲ ἐμβάλλοντα χαμαὶ ἵζεσθαι ἐφ' ὁκότερα ἂν τὸ ἄρθρον ἐκπεπτώκῃ. ἔπειτα λαβόμενον τῇσι χερσὶ τῇσιν ἑωυτοῦ, τῆς χειρὸς τῆς σιναρῆς, κατατείνειν αὐτήν, τὴν δὲ πτέρνην ἐς τὴν μασχάλην ἐμβάλλοντα ἀντωθέειν, τῇ μὲν δεξιῇ, ἐς τὴν δεξιήν, τῇ δὲ ἀριστερῇ, ἐς τὴν ἀριστερήν. δεῖ δὲ ἐς τὸ κοῖλον τῆς μασχάλης ἐνθεῖναι στρογγύλον τι ἐναρμόττον. ἐπιτηδειόταται δὲ αἱ πάνυ σμικραὶ σφαῖραι καὶ σκληραί, οἷαι πολλαὶ ἐκ τῶν σκυτέων ῥάπτονται. ἢν γὰρ μή τι τοιοῦτον ἐγκέηται, οὐ δύναται ἡ πτέρνη ἐξικνέεσθαι πρὸς τὴν κεφαλὴν τοῦ βραχίονος. κατατεινομένης γὰρ τῆς χειρὸς κοιλαίνεται ἡ μασχάλη, οἱ γὰρ τένοντες οἱ ἔνθεν καὶ ἔνθεν τῆς μασχάλης ἀντισφίγγοντες ἐναντίοι εἰσί. χρὴ δέ τινα ἐπὶ θάτερα τοῦ κατατεινομένου καθήμενον κατέχειν κατὰ τὸν ὑγιέα ὦμον, ὡς μὴ περιέλκηται τὸ σῶμα τῆς χειρὸς τῆς σιναρῆς ἐπὶ θάτερα τεινομένης. ἔπειτα ἱμάντος μαλθακοῦ πλάτος ἔχοντος ἱκανόν, ὁπόταν ἡ σφαῖρα ἐντεθῇ ἐς τὴν μασχάλην, περὶ τὴν σφαῖραν περιβεβλημένου τοῦ ἱμάντος, καὶ κατέχοντος λαβόμενον ἀμφοτέρων τῶν ἀρχῶν τοῦ ἱμάντος, ἀντικατατείνειν τινὰ ὑπὲρ κεφαλῆς τοῦ κατατεινομένου καθήμενον, τῷ ποδὶ προσβάντα πρὸς τοῦ ἀκρωμίου τὸ ὀστέον. ἡ δὲ σφαῖρα ὡς ἐσωτάτω καὶ ὡς μάλιστα πρὸς τῶν πλευρέων κείσθω, καὶ μὴ ἐπὶ τῇ κεφαλῇ τοῦ βραχίονος.

Ἔστι δὲ καὶ ἄλλη ἐμβολή, ὡς κατωμίζουσιν ὀρθόν. μέζω μέν τοι εἶναι χρὴ τὸν κατωμίζοντα, διαλαβόντα δὲ τὴν χεῖρα, ὑποθεῖναι τὸν ὦμον τὸν ἑωυτοῦ ὑπὸ τὴν μασχάλην ὀξύν. κἄπειτα ὑποστρέψαι, ὡς ἂν ἐνίζηται ἕδρῃ, οὕτω στοχασάμενον ὅκως ἀμφὶ τὸν ὦμον τὸν ἑωυτοῦ κρεμάσαι τὸν ἄνθρωπον κατὰ τὴν μασχάλην. αὐτὸς δὲ ἑωυτὸν ὑψηλότερον ἐπὶ τοῦτον τὸν ὦμον ποιεέτω, ἢ ἐπὶ τὸν ἕτερον. τοῦ δὲ κρεμαμένου τὸν βραχίονα πρὸς τὸ ἑωυτοῦ στῆθος προσαναγκαζέτω ὡς τάχιστα. ἐν τούτῳ δὲ τῷ σχήματι προσανασειέτω, ὁπόταν μετεωρήσῃ τὸν ἄνθρωπον ὡς ἀντιρρέποι τὸ ἄλλο σῶμα αὐτῷ, ἀντίον τοῦ βραχίονος τοῦ κατεχομένου. ἢν δὲ ἄγαν κοῦφος ἔῃ ὁ ἄνθρωπος, προσεπικρεμασθήτω τούτου ὄπισθεν τὶς κοῦφος παῖς. αὗται δὲ αἱ ἐμβολαὶ πᾶσαι κατὰ παλαίστρην εὔχρηστοί εἰσιν, ὅτι οὐδὲν ἀλλοίων ἀρμένων δέονται ἐπεισενεχθῆναι. χρήσαιτο δ' ἄν τις καὶ ἄλλοθι. ἀτὰρ καὶ οἱ περὶ τὸ ὕπερον ἀναγκάζοντες, ἐγγύς τι τοῦ κατὰ φύσιν ἐμβάλλουσι. χρὴ δὲ τὸ μὲν ὕπερον κατειλῆχθαι ταινίῃ τινὶ μαλθακῇ, ἧσσον γὰρ ἂν ὑπολισθάνοι, ὑπηναγκάσθαι δὲ μεσηγὺ τῶν πλευρέων καὶ τῆς κεφαλῆς τοῦ βραχίονος. καὶ ἢν μὲν βραχὺ ἔῃ τὸ ὕπερον, καθῆσθαι χρὴ τὸν ἄνθρωπον ἐπί τινος, ὡς μόλις τὸν βραχίονα περιβάλλειν δύνηται περὶ τὸ ὕπερον. μάλιστα δὲ ἔστω μακρότερον τὸ ὕπερον, ὡς ἂν ἑστὼς ὁ ἄνθρωπος, κρέμασθαι μακροῦ δέῃ ἀμφὶ τῷ ξύλῳ. κἄπειτα ὁ μὲν βραχίων καὶ ὁ πῆχυς παρατεταμένος περὶ τὸ ὕπερον ἔστω. τὸ δὲ ἐπὶ θάτερα τοῦ σώματος, καταναγκαζέτω τὶς ὑπερβάλλων κατὰ τὸν αὐχένα παρὰ τὴν κληῖδα τὰς χεῖρας. αὕτη ἡ ἐμβολὴ κατὰ φύσιν ἐπιεικέως ἐστίν. καὶ ἐμβάλλειν δύναται, ἢν χρηστῶς σκευάσωνται αὐτήν. ἀτὰρ καὶ ἡ διὰ τοῦ κλιμακίου ἑτέρη τις τοιαύτη, καὶ ἔτι βελτίων, ὅτι ἀσφαλεστέρως ἂν τὸ σῶμα τὸ μὲν τῇ, τὸ δὲ τῇ, ἀντισηκωθείη μετεωρισθέν. περὶ γὰρ τὸ ὑπεροειδὲς ὁ ὦμος εἰ καὶ καταπεπήγει περισφάλλεσθαι τὸ σῶμα κίνδυνος, ἢ τῇ, ἢ τῇ. χρὴ μέν τοι καὶ ἐπὶ τῷ κλιμακτῆρι ἐπιδεδέσθαι τι ἄνωθεν στρογγύλον ἐναρμόσσον ἐς τὸ κοῖλον τῆς μασχάλης, ὃ προσαναγκάσει τὴν κεφαλὴν τοῦ βραχίονος ἐς τὴν φύσιν ἀπιέναι. κρατίστη μέν τοι πασέων ἐμβολέων, ἡ τοιήδε. ξύλον χρὴ εἶναι πλάτος μὲν ὡς πεντεδάκτυλον, ἢ τετραδάκτυλον τὸ ἐπίπαν. πάχος δέ, ὡς διδάκτυλον, ἢ καὶ λεπτότερον. μῆκος δέ, δίπηχυ, ἢ ὀλίγῳ ἔλασσον. ἔστω δὲ ἐπὶ θάτερα τὸ ἄκρον περιφερὲς καὶ στενότατον ταύτῃ καὶ λεπτότατον. ἄμβην δὲ ἐχέτω, μικρὸν ὑπερέχουσαν ἐπὶ τῷ ὑστάτῳ τοῦ περιφερέος ἐν τῷ μέρει, ἀλλὰ μὴ τῷ πρὸς τὰς πλευράς, ἀλλὰ τῷ πρὸς τὴν κεφαλὴν τοῦ βραχίονος ἔχοντι, ὡς ὑφαρμόσσειεν τῇ μασχάλῃ παρὰ τὰς πλευρὰς ὑπὸ τὴν κεφαλὴν τοῦ βραχίονος ὑποτιθέμενος. ὀθονίῳ δέ, ἢ ταινίῃ μαλθακῇ, κατακεκολλήσθω ἄκρην τὸ ξύλον, ὅκως προσηνέστερον ἔῃ. ἔπειτα χρὴ ὑπώσαντα τὴν κεφαλὴν τοῦ ξύλου, ὑπὸ τὴν μασχάλην ὡς ἐσωτάτω, μεσηγὺ τῶν πλευρέων καὶ τῆς κεφαλῆς τοῦ βραχίονος, τὴν δὲ ὅλην χεῖρα πρὸς τὸ ξύλον κατατείνοντα προσκαταδῆσαι κατά τε τὸν βραχίονα, κατά τε τὸν πῆχυν, κατά τε τὸν καρπὸν τῆς χειρός, ὡς ἂν ἀτρεμέῃ ὅτι μάλιστα. περὶ παντὸς δὲ χρὴ ποιέεσθαι, ὅκως τὸ ἄκρον τοῦ ξύλου, ὡς ἐσωτάτω τῆς μασχάλης ἔσται, ὑπερβεβηκὸς τὴν κεφαλὴν τοῦ βραχίονος. ἔπειτα χρὴ μεσηγὺ δύο ξύλων στρωτῆρα πλάγιον εὖ προσδῆσαι, ἔπειτα ὑπερενεγκεῖν

τὴν χεῖρα ξὺν τῷ ξύλῳ ὑπὲρ τοῦ στρωτῆρος, ὅκως ἡ μὲν χεὶρ, ἐπὶ θάτερα ἔῃ, ἐπὶ θάτερα δὲ, τὸ σῶμα. κατὰ δὲ τὴν μασχάλην, ὁ στρωτήρ. κἄπειτα ἐπὶ μὲν θάτερα τὴν χεῖρα καταναγκάζειν ξὺν τῷ ξύλῳ περὶ τὸν στρωτῆρα. ἐπὶ θάτερα δὲ, τὸ ἄλλο σῶμα. ὕψος δὲ ἔχων ὁ στρωτὴρ προσδεδέσθω, ὡς τε μετέωρον τὸ ἄλλο σῶμα εἶναι, ἐπ᾽ ἄκρων τῶν ποδῶν. οὗτος ὁ τρόπος παραπολὺ κράτιστος ἐμβολῆς ὤμου, δικαιότατα μὲν γὰρ μοχλεύει, ἢν καὶ μόνον ἐσωτέρω ἔῃ τὸ ξύλον τῆς κεφαλῆς τοῦ βραχίονος. δικαιόταται δὲ αἱ ἀντιῤῥοπαί, ἀσφαλέες δὲ τῷ ὀστῷ τοῦ βραχίονος. τὰ μὲν οὖν νεαρὰ ἐμπίπτει θᾶσσον, ἢ ὡς ἄν τις οἴοιτο πρὶν ἢ καὶ κατατετάσθαι δοκέειν. ἀτὰρ καὶ τὰ παλαιὰ μούνη αὕτη τῶν ἐμβολέων οἵη τε ἐμβιβάσαι. ἢν μὴ ἤδη ὑπὸ χρόνου σὰρξ μὲν ἐπεληλύθη ἐπὶ τὴν κοτύλην, ἡ δὲ κεφαλὴ τοῦ βραχίονος ἤδη τρίβον ἑωυτῇ πεποιημένη ἔῃ ἐν τῷ χωρίῳ ἵνα ἐξεκλίθη, οὐ μὴν ἀλλ᾽ ἐμβάλλειν γοῦν μοι δοκέει, καὶ οὕτω πεπαλαιωμένον ἔκπτωμα τοῦ βραχίονος. τί γὰρ ἂν δικαίη μόχλευσις οὐχὶ κινήσειεν; μένειν μέν τοι οὐκ ἄν μοι δοκέοι κατὰ χώρην, ἀλλ᾽ ὀλισθαίνειν ἂν ὡς τὸ ἔθος. τὸ αὐτὸ δὲ ποιέει καὶ περὶ κλιμακτῆρα καταναγκάζειν, τοῦτον τὸν τρόπον σκευάσαντα. πάνυ μὴν ἱκανῶς ἔχει, καὶ περὶ μέγα ἕδος θεσσαλικὸν ἀναγκάζειν ἢν νεαρὸν ἔῃ τὸ ὀλίσθημα, ἐσκευάσθαι μέν τοι χρὴ τὸ ξύλον, ὥσπερ εἴρηται. ἀτὰρ τὸν ἄνθρωπον καθίσαι πλάγιον ἐπὶ τῷ δίφρῳ. κἄπειτα τὸν βραχίονα ξὺν τῷ ξύλῳ ὑπερβάλλειν ὑπὲρ τοῦ ἀνακλισμοῦ, καὶ τῇ μὲν θάτερα τὸ σῶμα καταναγκάζειν. τῇ δὲ θάτερα, τὸν βραχίονα σὺν τῷ ξύλῳ. τὸ αὐτὸ δὲ ποιέειν ἀναγκάζειν, καὶ ὑπὲρ δικλείδος θύρης. χρέεσθαι δὲ τούτοισιν, ἃ ἂν τύχῃ παρεόντα. εἰδέναι μὲν οὖν χρὴ, ὅτι φύσιες φυσίων μέγα διαφέρουσιν, ἐς τὸ ῥηϊδίως ἐμπίπτειν τὰ ἐκπίπτοντα. διενέγκοι μὲν γὰρ ἄν τι, καὶ κοτύλη κοτύλης. ἡ μὲν, εὐυπέρβατος ἐοῦσα. ἡ δὲ, ἧσσον. πλεῖστον δὲ διαφέρει καὶ τῶν νεύρων ὁ σύνδεσμος, τοῖσι μὲν, ἐπιδόσιας ἔχων, τοῖσι δὲ, ξυντεταμένος ἐών. καὶ γὰρ ἡ ὑγρότης τοῖσιν ἀνθρώποισι γίνεται ἡ ἐκ τῶν ἄρθρων διὰ τῶν νεύρων τὴν ἀπάρτησιν. ἢν χαλαρά τε ἔῃ φύσει, καὶ τὰς ἐπιτάσιας εὐφόρως φέρει. συχνοὺς γὰρ ἄν τις ἴδοι οἳ οὕτως ὑγροί εἰσιν, ὥς τε ὁπόταν ἐθέλωσιν, τότε αὐτοῖσι τὰ ἄρθρα ἐξίστανται ἀνωδύνως, καὶ καθίστανται ἀνωδύνως. διαφέρει μέν τοι καὶ ἕξις τις σώματος. τοῖσι μὲν γὰρ εὖ ἔχουσι τὸ γυῖον καὶ σεσαρκωμένοισιν ἐκπίπτει τε ἧσσον, ἐμπίπτει τε χαλεπώτερον. ὅταν δὲ αὐτοὶ σφῶν αὐτῶν λεπτότεροι καὶ ἀσαρκότεροι ἔωσι, τότε ἐκπίπτει τε μᾶλλον, ἐμπίπτει τε ῥᾷον. σημεῖον δὲ ὅτι ταῦτα οὕτως ἔχοι, τόδε. τοῖσι γὰρ βουσί, τότε ἐκπίπτουσι μᾶλλον οἱ μηροὶ ἐκ τῆς κοτύλης, ἡνίκα ἂν αὐτοὶ σφῶν αὐτῶν λεπτότατοι ἔωσι. γίνονται δὲ καὶ βόες λεπτότατοι, τοῦ χειμῶνος τελευτῶντος. τότε οὖν καὶ ἐξαρθρέουσι μάλιστα. εἰ δή τι καὶ τοιοῦτο δεῖ ἐν ἰητρικῇ γράψαι, δεῖ δέ. καλῶς γὰρ Ὅμηρος καταμεμαθήκει ὅτι πάντων τῶν προβάτων βόες ὅτι μάλιστα πονέουσι ταύτην τὴν ὥρην, καὶ βοῶν οἱ ἀρόται, ὅτι κατὰ τὸν χειμῶνα ἐργάζονται. τούτοισι τοίνυν ἐκπίπτει μάλιστα. οὗτοι γὰρ μάλιστα λεπτύνονται. τὰ μὲν γὰρ ἄλλα βοσκήματα δύναται βραχεῖαν τὴν πόην βόσκεσθαι. βοῦς δὲ οὐ μάλα πρὶν βαθεῖα γένηται. τοῖσι μὲν γὰρ ἄλλοισιν ἐστὶ λεπτὴ ἡ προβολὴ τοῦ χείλεος, λεπτὴ δὲ ἡ ἄνω γνάθος. βοῒ δὲ παχεῖα μὲν ἡ προβολὴ τοῦ χείλεος. παχεῖα δὲ καὶ ἀμβλεῖα ἡ ἄνω γνάθος. διὰ ταῦτα ὑποβάλλειν ὑπὸ τὰς βραχείας πόας οὐ δύνανται. τά τε ἀμώνυχα τῶν ζώων, ἅτε ἀμφόδοντα ἐόντα, δύναται μὲν σαρκάζειν, δύναται δὲ ὑπὸ τὴν βραχεῖαν πόην ὑποβάλλειν τοὺς ὀδόντας. καὶ ἥδεται τῇ οὕτως ἐχούσῃ πόῃ μᾶλλον, ἢ τῇ βαθείῃ. καὶ γὰρ τὸ ἐπίπαν ἀμείνων, καὶ στερεωτέρη ἡ βραχεῖα πόη τῆς βαθείης, ὅτι καὶ πρὶν ἐκκαρπεῖν τὴν βαθεῖαν. διὰ τοῦτο οὖν ἐποίησεν ὧδε τάδε τὰ ἔπη. ὡς δ᾽ ὁπότ᾽ ἀσπάσιον ἔαρ ἤλυθε βουσὶν ἕλιξιν. ὅτι ἀσμενωτάτη τοῖσιν αὐτοῖσιν ἡ βαθεῖα ποίη φαίνεται. ἀτὰρ καὶ ἄλλως ὁ βοῦς χαλαρὸν φύσει τὸ ἄρθρον τοῦτο ἔχει μᾶλλον τῶν ἄλλων. διὰ τοῦτο καὶ εἰλίπους ἐστὶ μᾶλλον τῶν ἄλλων ζώων. καὶ μάλιστα ὅταν λεπτὸν καὶ γηραλέον ἔῃ. διὰ ταῦτα πάντα καὶ ἐκπίπτει βοῒ μάλιστα. πλείω δὲ γέγραπται περὶ αὐτοῦ, ὅτι πάντων τῶν προειρημένων ταῦτα μαρτύριά ἐστι. περὶ οὗ οὖν ὁ λόγος, τοῖσιν ἀσάρκοισι μᾶλλον ἐκπίπτει, ὡς θᾶσσον ἐμπίπτει, ἢ τοῖς εὖ σεσαρκωμένοισι. καὶ ἧσσον ἐπιφλεγμαίνουσι, τοῖσιν ὑγροῖσιν καὶ τοῖσιν ἀσάρκοισιν, ἢ τοῖσι σκελιφροῖσι, καὶ σεσαρκωμένοις, καὶ ἧσσον γε δέδεται ἐς τὸν ἔπειτα χρόνον. ἀτὰρ καὶ ἡ μύξα πλείων ὑπείη τοῦ μετρίου μὴ ξὺν φλεγμονῇ. καὶ οὕτως ἂν ὀλισθηρὸν εἴη. μυξωδέστερα γὰρ τὰ ἐπίπαν τὰ ἄρθρα ἐστὶν ἀσάρκοισιν, ἢ τοῖσι σεσαρκωμένοισιν ἐστίν. καὶ γὰρ αὗται αἱ σάρκες,

τῶν μὴ

τῶν μὴ ὑπὸ τέχνης ὀρθῶς λελιμαγχημένων. αἱ τῶν λεπτῶν, μυξωδέστεραί εἰσιν, ἢ αἱ τῶν παχέων. ὅσοισι μέντοι ξὺν φλεγμονῇ μύξα ὑπογίνεται, ἡ φλεγμονὴ δήσασα ἔχει τὸ ἄρθρον. διὰ τοῦτο οὐ μάλα ἐκπίπτει τὰ ὑπόμυξα, ἐκπίπτοντα ἂν εἰ μή τι ἢ πλέον ἢ ἔλασσον φλεγμονῆς ὑπεγγύετο. οἷσι μὲν οὖν ὅταν ἐμπέσῃ τὸ ἄρθρον, καὶ μὴ ὑπεφλεγμήνῃ τὰ περιέχοντα, χρῆσθαί τε ἀνωδύνως αὐτίκα τῷ ὤμῳ δύνανται, οὗτοι μὲν οὐδὲν νομίζουσι δεῖν ἑωυτῶν ἐπιμελεῖσθαι. ἰητροῦ μέντοι ἐστὶ καταμαντεύσασθαι τῶν τοιούτων. τοῖσι γὰρ τοιούτοισιν ἐκπίπτει, καὶ αὖθις μᾶλλον. καὶ οἷσιν ἂν ὑπεφλεγμήνῃ τὰ νεῦρα. τοῦτο κατὰ πάντα γὰρ ἀνθρώπῳ οὕτως ἔχει. καὶ μάλιστα κατ' ὦμον καὶ κατὰ γόνυ. μάλιστα γὰρ οὖν καὶ ὀλισθαίνει ταῦτα. οἷσι δ' ἂν ὑπεφλεγμήνῃ τὰ νεῦρα, οὐ δύνανται χρέεσθαι τῷ ὤμῳ. κωλύει γὰρ ἡ ὀδύνη καὶ ἡ ξύντασις τῆς φλεγμονῆς. τοὺς οὖν τοιούτους ἰῆσθαι χρὴ κηρωτῇ καὶ σπλήνεσι καὶ ὀθονίοισι πολλοῖσιν ὑποδέοντα. ὑποτιθέναι δὲ ἐς τὴν μασχάλην εἴριον μαλθακὸν καθαρὸν ξυνελίξαντα, ἐκπλήρωμα τοῦ κοίλου ποιέοντα, ἵνα ἀντιστήριγμα μὲν τῇ ἐπιδέσει ἔῃ, ἀνακωχέῃ δὲ τὸ ἄρθρον. τὸν δὲ βραχίονα ἐς τὸ ἄνω ῥέποντα, ἴσχειν χρὴ τὰ πλεῖστα. οὕτω γὰρ ἂν οἴῃ ἑκαστάτω εἴη τοῦ χωρίου ἐς ὃ ὤλισθεν ἡ κεφαλὴ τοῦ ὤμου. χρὴ δὲ ὅταν ἐπιδήσῃς τὸν ὦμον, ἔπειτα προσκαταδεῖν τὸν βραχίονα πρὸς τὰς πλευρὰς ταινίῃ τινὶ κύκλῳ περὶ τὸ σῶμα περιβάλλοντα. χρὴ δὲ καὶ ἀνατρίβειν τὸν ὦμον ἡσυχέως καὶ λιπαρῶς. πολλῶν δὲ ἔμπειρον δεῖ εἶναι τὸν ἰητρόν, ἀτὰρ δὴ καὶ ἀνατρίψιος. ἀπὸ γὰρ τοῦ αὐτοῦ ὀνόματος οὐ τὰ αὐτὰ ἀποβαίνει. καὶ γὰρ ἂν δήσειεν ἄρθρον ἀνάτριψις, χαλαρώτερον τοῦ καιροῦ ἐόν, καὶ λύσειεν ἄρθρον, σκληρότερον τοῦ καιροῦ ἐόν. ἀλλὰ διοριεῖται ἡμῖν περὶ ἀνατρίψιος ἐν ἄλλῳ λόγῳ. τὸν γοῦν τοιοῦτον ὦμον μαλθακῇσι χρὴ χερσὶν ἀνατρίβειν, συμφέρει γὰρ καὶ ἄλλως πρηέως. τὸ δὲ ἄρθρον διακινέειν μὴ βίῃ, ἀλλὰ τοσοῦτον, ὅσον ἀνωδύνως κινήσεται. καθίσταται δὲ πάντα, τὰ μὲν ἐν πλείονι χρόνῳ, τὰ δ' ἐν ἐλάσσονι. γινώσκειν δὲ εἰ ἐκπέπτωκεν ὁ βραχίων τοῖσδε χρὴ τοῖσι σημείοισι. τοῦτο μὲν ἐπειδὴ δίκαιον ἔχουσι τὸ σῶμα οἱ ἄνθρωποι, καὶ τὰς χεῖρας, καὶ τὰ σκέλεα, παραδείγματι χρέεσθαι δεῖ τῷ ὑγιεῖ πρὸς τὸ μὴ ὑγιὲς καὶ τῷ μὴ ὑγιεῖ πρὸς τὸ ὑγιές. μὴ τὰ ἀλλότρια ἄρθρα καθορῶντα. ἄλλοι γὰρ ἄλλων μᾶλλον ἔξαρθροι πεφύκασιν. ἀλλὰ τὰ αὐτὰ τοῦ κάμνοντος, ἢν ἀνόμοιον ᾖ τὸ ὑγιὲς τῷ κάμνοντι. καὶ τοῦτο εἴρηται μὲν ὀρθῶς. παραξύνεσιν δὲ ἔχει πάνυ πολλὴν διὰ τὰ τοιαῦτα. καὶ οὐκ ἀρκέει μοῦνον λόγῳ εἰδέναι τὴν τέχνην ταύτην, καὶ ὁμιλίῃ ὁμιλέειν. πολλοὶ γὰρ ὑπὸ ὀδύνης, ἢ ὑπὸ ἄλλης προφάσιος οὐκ ἐξεστεώτων αὐτέοισι τῶν ἄρθρων, ὅμως οὐ δύνανται ἐς τὰ ὅμοια σχήματα καθιστάναι, ἐς οἷά περ τὸ ὑγιαῖνον σῶμα σχηματίζεται. προσξυνιέναι δὲ δεῖ οὖν, καὶ ἐννοεῖν καὶ τὸ τοιόνδε σχῆμα χρή, ἀτὰρ καὶ ἐν τῇ μασχάλῃ ἡ κεφαλὴ τοῦ βραχίονος φαίνεται ἐγκειμένη, πολλῷ μᾶλλον τοῦ ἐκπεπτωκότος ἢ τοῦ ὑγιέος. τοῦτο δὲ ἄνωθεν κατὰ τὴν ἐπωμίδα κοῖλον φαίνεται τὸ χωρίον. καὶ τὸ τοῦ ἀκρωμίου ὀστέον ἐξέχον φαίνεται. ἅτε ὑποδεδυκότος τοῦ ἄρθρου ἐς τὸ κάτω τοῦ χωρίου. παραξύνεσιν μὲν καὶ ἐν τούτῳ ἔχει τινά, ἀλλ' ὕστερον περὶ αὐτοῦ γεγράψεται, ἄξιον γὰρ γραφῆς ἐστι. τοῦτο δὲ τοῦ ἐκπεπτωκότος ὁ ἀγκὼν φαίνεται ἀφεστεὼς μᾶλλον ἀπὸ τῶν πλευρέων, ἢ τοῦ ἑτέρου. εἰ μέντοι τις προσαναγκάζοι, προσάγεται μὲν ἐπιπόνως δέ. τοῦτο δὲ ἄνω τὴν χεῖρα ἆραι εὐθεῖαν παρὰ τὸ οὖς ἐκτεταμένου τοῦ ἀγκῶνος οὐ μάλα δύνανται, ὥσπερ τὴν ὑγιέα, οὐδὲ παράγειν ἔνθα καὶ ἔνθα ὁμοίως. τά τε οὖν σημεῖα ταῦτά ἐστιν ὤμου ἐκπεπτωκότος. αἵ τε ἐμβολαί, αἱ γεγραμμέναι, αἵ τε ἰητρεῖαι αὗται. Ἐπάξιον δὲ τὸ μάθημα ὡς χρὴ ἰητρεύειν, τοὺς πυκνὰ ἐκπίπτοντας ὤμους. πολλοὶ μὲν γὰρ ἤδη ἀγωνίης ἐκωλύθησαν διὰ ταύτην τὴν ξυμφορήν, τἄλλα πάντα ἀξιόχρεοι ὄντες. πολλοὶ δὲ ἐν πολεμικοῖσιν ἀχρήϊοι ἐγένοντο, καὶ διεφθάρησαν διὰ ταύτην τὴν ξυμφορήν. ἅμα τε ἐπάξιον καὶ διὰ τοῦτο, ὅτι οὐδένα οἶδα ὀρθῶς ἰητρεύοντα, ἀλλὰ τοὺς μὲν μηδὲ ἐγχειρέοντας. τοὺς δὲ τἀναντία τοῦ ξυμφέροντος φρονέοντάς τε καὶ ποιέοντας. συχνοὶ γὰρ ἤδη ἰητροὶ ἔκαυσαν ὤμους ἐκπίπτοντας, κατά τε τὴν ἐπωμίδα, κατά τε τὸ ἔμπροσθεν, ᾗ ἡ κεφαλὴ τοῦ βραχίονος ἐξογκέει, κατά τε τὸ ὄπισθεν ὀλίγον τῆς ἐπωμίδος. αὗται οὖν αἱ καύσιες εἰ μὲν ἐς τὸ ἄνω ἐξέπιπτεν ὁ βραχίων, ἢ ἐς τοὔμπροσθεν, ἢ ἐς τοὔπισθεν, ὀρθῶς ἂν ἔκαιον. νῦν δὲ δὴ ὅτε ἐς τὸ κάτω ἐκπίπτει, ἐκβάλλουσιν αὗται αἱ καύσιες μᾶλλον, ἢ κωλύουσιν. ἀποκλείουσι γὰρ τῆς ἄνω εὐρυχωρίης, τὴν κεφαλὴν τοῦ βραχίονος. χρὴ δὲ ὧδε καίειν ταῦτα. ἀπολαβόντα τοῖσι δακτύλοισι κατὰ τὴν μασχάλην, τὸ δέρμα ἀφελκῦσαι κατ' αὐτὴν τὴν ἶξιν μάλιστα, καθ' ἣν ἡ κεφαλὴ τοῦ βραχίονος ἐκ-

πίπτῃ. ἔπειτα δὲ οὕτως ἀφελκυσμένον τὸ δέρμα, διακαῦσαι ἂν τὸ πορθμόν. σιδηρείοισι δὲ χρὴ τὰ τοιαῦτα καίειν, μὴ παχέσι, μὴ δὲ λίην φαλακροῖσιν, ἀλλὰ προμήκεσι. ταχυπορώτερα γὰρ καὶ τῇ χειρὶ ἐπερείδειν. χρὴ δὲ διαφανέσι καίειν, ὡς ὅτι τάχιστα περαιωθῇ κατὰ δύναμιν. τὰ γὰρ παχέα βραδέως περαιούμενα, πλατυτέρας τὰς ἐκπτώσιας τῶν ἐσχαρῶν ποιέεται. καὶ κίνδυνος ἂν εἴη ξυῤῥαγῆναι τὰς ὠτειλάς. ἢ κάκιον μὲν οὐδὲν ἂν εἴη. αἴσχιον δὲ καὶ ἀτεχνότερον. ὅταν δὲ διακαύσῃς τὸ πορθμὸν, τῶν μὲν πλείστων ἱκανῶς ἂν ἔχοι τῷ κάτω μέρει τὰς ἐσχάρας ταύτας μόνας θεῖναι. ἢν δὲ μὴ κίνδυνος φαίνηται εἶναι ξυῤῥαγῆναι τὰς ὠτειλὰς, ἀλλὰ πολὺ τὸ διὰ μέσου ἔῃ, ὑπαλειπτῆρα χρὴ λεπτὸν διεῖρσαι διὰ τῶν καυμάτων, ἔτι ἀναλελαμμένου τοῦ δέρματος. οὐ γὰρ ἂν ἄλλως δύναιο διεῖρσαι. ἐπὴν δὲ διεῖρσῃς, ἀφεῖναι τὸ δέρμα. ἔπειτα μεσηγὺ τῶν ἐσχαρῶν, ἄλλην ἐσχάρην ἐμβάλλειν λεπτῷ σιδηρείῳ καὶ διακαῦσαι, ἄχρις ἂν τῷ ὑπαλειπτῆρι ἐγκύρσῃ. ὁκόσον δέ τι χρὴ τὸ δέρμα τὸ ἀπὸ τῆς μασχάλης ἀπολαμβάνειν, τοῖσι δὲ χρὴ τεκμαίρεσθαι. ἀδένες ὕπεισιν ὑπὸ τῇ μασχάλῃ. πολλαχῇ δὲ καὶ ἄλλῃ τοῦ σώματος. ἀλλὰ ἐν ἄλλῳ λόγῳ περὶ ἀδένων οὐλομελίης γεγράψεται, ὅτι τέ εἰσι καὶ οἷα ἐν οἵοισι σημαίνουσί τε καὶ δύνανται. τοὺς μὲν οὖν ἀδένας οὐ χρὴ προσεπιλαμβάνειν. οὐδ' ὅσα ἐνωτέρω τῶν ἀδένων. μέγας γὰρ ὁ κίνδυνος. τοῖσι γὰρ ἐπικαιροτάτοισι τόνοισι γειτονεύονται. ὅσον δὲ ἐξωτέρω τῶν ἀδένων ἐπὶ πλεῖστον ἀπολαμβάνειν. ἀσινέα γάρ. γινώσκειν δὲ χρὴ, ὅτι εἰ μὲν ἰσχυρῶς τὸν βραχίονα ἀνατείνοις, οὐ δυνήσῃ τοῦ δέρματος ἀπολαβεῖν οὐδὲν τοῦ ὑπὸ τῇ μασχάλῃ, ὅ τι καὶ ἄξιον λόγου κατατεῖναι. σιμοῦται γὰρ ἐν τῇ ἀνατάσει. οὐδ' αὖ τόνους οὐδὲ μιῇ μηχανῇ δεῖ τιτρώσκειν. οὗτοι γὰρ πρόχειροι γίνονται καὶ κατατετάμενοι ἐν τούτῳ τῷ σχήματι. εἰ δὲ μικρὸν ἐπάρῃς τὸν βραχίονα, πολὺ μὲν τοῦ δέρματος ἀπολήψῃ. οἱ δὲ τόνοι ὧν δεῖ προμηθέεσθαι ἔσω καὶ πρόσω τοῦ χειρίσματος γίνονται. ἆρ' οὖν οὐκ ἐν πάσῃ τῇ τέχνῃ περὶ παντὸς χρὴ ποιέεσθαι τὰ δίκαια σχήματα ἐξευρίσκειν ἐφ' ἑκάστοισι; ταῦτα μὲν κατὰ τὴν μασχάλην, καὶ ἱκαναὶ αὗται αἱ καταλήψιες, ἢν ὀρθῶς τεθῶσιν αἱ ἐσχάραι. ἔκτοσθεν δὲ τῆς μασχάλης, δισσὰ μόνα ἐστὶ χωρία ἵνα ἄν τις ἐσχάρας θείη, τιμωρεούσας τῷ παθήματι. μίαν μὲν ἐν τῷ ἔμπροσθεν μεσηγὺ τῆς κεφαλῆς τοῦ βραχίονος καὶ τοῦ τένοντος τοῦ κατὰ τὴν μασχάλην. καὶ ταύτῃ τὸ μὲν δέρμα τελέως διακαίειν χρή. βαθύτερον δὲ οὐ χρή. φλέψ γὰρ παχείη πλησίη καὶ νεῦρα, ὧν οὐδέτερα θερμαντέα. ὄπισθεν δ' αὖ ἄλλην ἐσχάρην ἐνδέχεται ἐνθεῖναι ἀνωτέρω μὲν συχνῷ τοῦ τένοντος τοῦ κατὰ τὴν μασχάλην, κατωτέρω δὲ ὀλίγῳ τῆς κεφαλῆς τοῦ βραχίονος. καὶ τὸ μὲν δέρμα τελέως χρὴ διακαίειν. βαθεῖαν δὲ μὴ δὲ κάρτα ταύτην ποιέειν. πολέμιον γὰρ τὸ πῦρ νεύροισιν. ἰητρεύειν μὲν οὖν χρὴ διὰ πάσης τῆς ἰητρείης τὰ ἕλκεα, μηδέ ποτε ἰσχυρῶς ἀνατείναντα τὸν βραχίονα, ἀλλὰ μετρίως ὅσον τῶν ἑλκέων ἐπιμελείης εἵνεκα. ἧσσον μὲν γὰρ ἂν διαψύχοιτο. ξυμφέρει γὰρ πάντα τὰ καύματα σκέπειν, ὡς καὶ ἐπιεικῶς ἰητρεύεσθαι. ἧσσον δ' ἂν ἐκπλήσσοιτο. ἧσσον δ' ἂν αἱμοῤῥαγοίη. ἧσσον δ' ἂν σπασμὸς ἐπιγένοιτο. ὅταν δὲ δὴ καθαρὰ γένηται τὰ ἕλκεα, ἐν ὠτειλάς τε ἴῃ, τότε δὴ καὶ παντάπασι χρὴ αἰεὶ τὸν βραχίονα πρὸς τῇσι πλευρῇσι προσδεδέσθαι, καὶ νύκτα καὶ ἡμέρην. ἀτὰρ καὶ ὅταν ὑγιέα γένηται τὰ ἕλκεα ὁμοίως ἐπὶ πολὺν χρόνον χρὴ προσδεῖν τὸν βραχίονα πρὸς τὰς πλευράς. οὕτω γὰρ ἂν μάλιστα ἐπουλωθείη καὶ ἀπολειφθείη ἡ εὐρυχωρίη καθ' ἣν μάλιστα ὀλισθάνει ὁ βραχίων. ὁκόσοισι δ' ἂν ὦμος καταπορηθῇ ἐμβληθῆναι, ἢν μὲν ἔτι ἐν αὐξήσει ἐοῦσιν, οὐκ ἐθέλει συναύξεσθαι τὸ ὀστέον τοῦ βραχίονος ὁμοίως τῷ ὑγιεῖ. ἀλλὰ αὔξεται μὲν ἐπί τι, βραχύτερον δὲ τοῦ ἑτέρου γίνεται. καὶ οἱ καλεόμενοι δὲ ἐκ γενεῆς γαλιάγκωνες, διὰ δισσὰς ξυμφορὰς ταύτας γίνονται. ἤν γε τι τοιοῦτον αὐτοὺς ἐξάρθρημα καταλάβῃ ἐν γαστρὶ ἐόντας. διά τε ἄλλην συμφορὴν, περὶ ἧς ὕστερόν ποτε γεγράψεται. ἀτὰρ καὶ οἷσιν ἔτι νηπίοισιν ἐοῦσι κατὰ τὴν κεφαλὴν τοῦ βραχίονος βαθεῖαι καὶ ὑποβρύχιοι ἐκπυήσιες γίνονται, καὶ οὗτοι πάντες γαλιάγκωνες γίνονται, καὶ ἤν τε τμηθῶσιν, ἤν τε καυθῶσιν, ἤν τε αὐτόματόν σφιν ἐκραγῇ, εὖ εἰδέναι χρὴ, ὅτι ταῦτα οὕτως ἔχει. χρέεσθαι μέντοι τῇ χειρὶ δυνατώτατοί εἰσιν, οἱ ἐκ γενεῆς γαλιάγκωνες, οὐ μὴν οὐδὲ ἐκεῖνοι γε ἀνατεῖναι παρὰ τὸ οὖς τὸν βραχίονα ἐκτανύσαντες τὸν ἀγκῶνα δύνανται. ἀλλὰ πολὺ ἐνδεεστέρως, ἢ τὴν ὑγιέα χεῖρα. οἷσι δ' ἂν ἤδη ἀνδράσιν ἐοῦσιν ἐκπέσῃ ὁ ὦμος, καὶ μὴ ἐμβληθῇ, ἡ ἐπωμὶς ἀσαρκωτέρη γίνεται, καὶ ἡ ἕξις λεπτὴ ἡ κατὰ τοῦτο. ὅταν μέντοι ὀδυνώμενοι παύσωνται, ὁκόσα μὲν δεῖ ἐργάζεσθαι ἐπάραντας τὸν ἀγκῶνα ἀπὸ τῶν πλευρέων ἐς τὸ πλάγιον, ταῦτα μὲν οὐ δύνανται

ἅπαντα

ἅπαντα ὁμοίως ἐργάζεσθαι. ὁκόσα δὲ δεῖ ἐργάζεσθαι, παραφέροντας τὸν βραχίονα παρὰ τὰς πλευρὰς, ἢ ἐς τοὐπίσω ἢ ἐς τοὔμπροσθεν, ταῦτα δὲ δύνανται ἐργάζεσθαι. καὶ γὰρ ἂν ἀξίνα ἑλκύσαιεν, καὶ πρίονα. καὶ πελεκήσαιεν ἂν, καὶ σκάψαιεν ἂν, μὴ κάρτα ἄνω αἴροντες τὸν ἀγκῶνα, καὶ τἆλλα ὅσα τῶν τοιούτων σχημάτων ἐργάζονται. ὁκόσοισι δ' ἂν τὸ ἀκρώμιον ἀποσπασθῇ, τουτέοισι φαίνεται ἐξέχον τὸ ὀστέον τὸ ἀπεσπασμένον. ἔστι δὲ τοῦτο ὁ σύνδεσμος τῆς κληῗδος καὶ τῆς ὠμοπλάτης. ἑτέροίη γὰρ φύσις ἀνθρώπου ταύτῃ, ἢ τῶν ἄλλων ζώων. οἱ οὖν ἰητροὶ μάλιστα ἐξαπατέονται ἐν τούτῳ τῷ τρώματι. ἅτε γὰρ ἀνασχόντος τοῦ ὀστέου τοῦ ἀποσπασθέντος, ἡ ἐπωμὶς φαίνεται χαμαιζήλη καὶ κοίλη, ὥστε καὶ προμηθέεσθαι τῶν ὤμων τῶν ἐκπεπτωκότων. πολλοὺς οὖν οἶδα ἰητροὺς, τἆλλα οὐ φλαύρους ἐόντας, οἳ πολλὰ ἤδη ἐλυμήναντο, ἐμβάλλειν πειρώμενοι τοὺς τοιούτους ὤμους, οὕτως οἰόμενοι ἐκπεπτωκέναι, καὶ οὐ πρόσθεν παύονται πρὶν ἢ ἀπογνῶναι ἢ ἀπορῆσαι δοκέοντας, αὐτοὶ σφᾶς αὐτοὺς ἐμβαλέειν τὸν ὦμον. τούτοισι ἰητρείη μὲν ἥπερ καὶ τοῖσιν ἄλλοισιν τοῖσι τοιούτοισι κηρωτὴ καὶ σπλῆνες καὶ ὀθόνια. καὶ ἐπίδεσις τοιαύτη. καταναγκάζειν μέντοι τὸ ὑπερέχον χρὴ καὶ τοὺς σπλῆνας κατὰ τοῦτο τιθέναι πλείστους. καὶ πιέζειν ταύτῃ μάλιστα. καὶ τὸν βραχίονα πρὸς τῇσι πλευρῇσι προσηρτημένον ἐς τὸ ἄνω μέρος ἔχειν, οὕτω γὰρ ἂν μάλιστα πλησιάζοι τὸ ἀπεσπασμένον. τάδε μὴν εὖ εἰδέναι χρὴ, καὶ προλέγειν ὡς ἀσφαλέα εἰ ἄλλως ἐθέλοις ὅτι βλάβη μὲν οὐδεμίη, οὔτε μικρὴ, οὔτε μεγάλη τῷ ὤμῳ γίνεται ἀπὸ τούτου τοῦ τρώματος. αἴσχιον δὲ τὸ χωρίον. οὐδὲ γὰρ τοῦτο τὸ ὀστέον ἐς τὴν ἀρχαίην ἕδρην ὁμοίως ἂν ἱδρυνθείη, ὥσπερ ἐπεφύκει, ἀλλ' ἀνάγκη πλέον ἢ ἔλασσον ὀγκηρότερον εἶναι ἐς τὸ ἄνω. οὐδὲ γὰρ ἄλλο ὀστέον, οὐδὲν ἐς τὸ αὐτὸ καθίσταται ὅτι ἂν κοινωνέον ἐστὶν ἑτέρῳ ὀστέῳ καὶ προσπεφυκὸς ἀποσπασθῇ ἀπὸ τῆς ἀρχαίης φύσιος. ἀνώδυνον δὲ τὸ ἀκρώμιον ἐν ὀλίγῃσιν ἡμέρῃσιν γίνεται, ἢν χρηστῶς ἐπιδέηται. Κληῒς δὲ κατεαγεῖσα, ἢν μὲν ἀτρεκέως ἀποκαυλισθῇ, εὐιητοτέρη ἐστί. ἢν δὲ παραμηκέως, δυσιητοτέρη. τἀναντία δὲ τούτοις ἐστὶν ἢ ὡς ἄν τις οἴοιτο. τὴν μὲν γὰρ ἀτρεκέως ἀποκαυλισθεῖσαν προσαναγκάσειεν ἄν τις μᾶλλον ἐς τὴν φύσιν ἐλθεῖν. καὶ εἰ πάνυ προμηθηθείη τὸ ἀνωτέρω, κατωτέρω ἂν ποιήσειε, σχήμασί τε ἐπιτηδείοισι καὶ ἐπιδέσει ἁρμοζούσῃ. εἰ δὲ μὴ τελέως ἱδρυνθείη, ἀλλ' οὖν τὸ ὑπερέχον γε τοῦ ὀστέου οὐ κάρτα ὀξὺ γίνεται. ὧν δ' ἂν παραμήκης τὸ ὀστέον κατεαγῇ, ἰκέλη ἡ ξυμφορὴ γίνεται τοῖσιν ὀστέοισιν τοῖσιν ἀπεσπασμένοισιν. περὶ ὧν πρόσθεν γέγραπται. οὔτε γὰρ ἱδρυνθῆναι αὐτὸ πρὸς ἑωυτὸ κάρτα ἐθέλει, ἥ τε ὑπερέχουσα ἀκὶς τοῦ ὀστέου ὀξεῖα γίνεται κάρτα. τὸ μὲν οὖν σύμπαν εἰδέναι χρὴ ὅτι βλάβη οὐδεμίη τῷ ὤμῳ οὐδὲ τῷ ἄλλῳ σώματι γίνεται διὰ τὴν κάτηξιν τῆς κληῗδος, ἢν μὴ ἐπισφακελίσῃ. ὀλιγάκις δὲ τοῦτο γίνεται. αἶσχος γε μὴν προσγίνεται περὶ τὴν κάτηξιν κληῗδος, καὶ τούτοισι τὸ πρῶτον αἴσχιστον. ἔπειτα μὴν ἐπὶ ἧσσον γίνεται. συμφύεται δὲ ταχέως κληῒς, καὶ τἆλλα πάντα ὅσα χαῦνα ὀστέα. ταχεῖαν γὰρ τὴν ἐπιπώρωσιν ποιέεται τὰ τοιαῦτα. ὅταν μὲν οὖν νεωστὶ κατεαγῇ, οἱ τετρωμένοι σπουδάζουσιν οἰόμενοι μέζον τὸ κακὸν εἶναι, ἢ ὅσον ἐστίν. οἵ τε ἰητροὶ προθυμέονται δῆθεν ὀρθῶς ἰῆσθαι. προϊόντος δὲ τοῦ χρόνου οἱ τετρωμένοι, ἅτε οὐκ ὀδυνώμενοι, οὔτε κωλυόμενοι, οὔτε ὁδοιπορίης, οὔτε ἐδωδῆς καταμελέουσιν. οἵ τε αὖ ἰητροὶ ἅτε οὐ δυνάμενοι καλὰ τὰ χωρία ἀποδεικνύναι, ἀποδιδράσκουσι, καὶ οὐκ ἄχθονται τῇ ἀμελείῃ τῶν τρωμένων. ἐν τούτῳ δὲ ἡ ἐπιπώρωσις συνταχύνεται. ἐπιδέσιος μὲν οὖν τρόπος καθέστηκε παραπλήσιος τοῖσι πλείστοισι, κηρωτῇ καὶ σπλήνεσι καὶ ὀθονίοισι μαλθακοῖσιν ἰητρεύειν. καὶ τάδε δεῖ προσιητρεύειν, καὶ τάδε δεῖ προσξυνιέναι, καὶ μάλιστα ἐν τούτῳ τῷ χειρίσματι. ὅτι τούς τε σπλῆνας πλείστους κατὰ τὸ ἐξέχον χρὴ τιθέναι. καὶ τοῖσι ἐπιδέσμοισι πλείστοισι, καὶ μάλιστα κατὰ τοῦτο χρὴ πιέζειν. εἰσὶ δὲ δή τινες οἳ ἐπετεχνήσαντο ἤδη μολίβδιον βαρὺ προσεπικαταδέειν, ὡς καταναγκάζειν τὸ ὑπερέχον. ξυνιᾶσι μὲν οὖν ἴσως, οὐδὲ οἱ ἁπλῶς ἐπιδέοντες, ἀτὰρ δὴ οὐδ' οὗτος ὁ τρόπος κληῗδος κατήξιος ἐστίν. οὐ γὰρ δυνατὸν τὸ ὑπερέχον καταναγκάζεσθαι, οὐδὲν ὅ, τι καὶ ἄξιον λόγου. ἄλλοι δ' αὖ τινες εἰσὶν οἵ τινες καταμαθόντες τοῦτο, ὅτι αὗται αἱ ἐπιδέσιες παράφοροί εἰσι καὶ οὐ κατὰ φύσιν καταναγκάζουσι τὰ ὑπερέχοντα. ἐπιδέουσι μὲν οὖν αὐτοὺς σπλήνεσι καὶ ὀθονίοισι χρώμενοι, ὥσπερ καὶ οἱ ἄλλοι. ζώσαντες δὲ τὸν ἄνθρωπον ταινίῃ τινὶ ᾗ εὐζωστότατος αὐτὸς ἑωυτοῦ ἐστὶν, ὅταν ἐπιθῶσι τοὺς σπλῆνας ἐπὶ τὰ ὑπερέχοντα τοῦ κατήγματος, ἐξαγκώσαντες ἐπὶ τὰ ἐξέχοντα, τὴν ἀρχὴν τοῦ ὀθονίου προσέδησαν πρὸς τὸ ζῶσμα ἐκ τοῦ ἔμπροσθεν, καὶ οὕτως ἐπιδέουσιν ἐπὶ τὴν ἶξιν τῆς

κληῗδος

κληῗδος ὑποτανύοντες ἐς τοὐπίσω ἄγοντες. κἄπειτα περιβαλόντες περὶ τὸ ζῶσμα, ἐς τοὐπίσω ἄγουσι. καὶ αὖθις ἐς τοὐπίσω. οἱ δέ τινες οὐχὶ περὶ τὸ ζῶσμα περιβάλλουσι τὸ ὀθόνιον, ἀλλὰ περὶ τὸ περίνεόν τε καὶ παρ' αὐτὴν τὴν ἕδρην, καὶ παρὰ τὴν ἄκανθαν μηκύνοντες τὸ ὀθόνιον, οὕτω πιέζουσι τὸ κάταγμα. ταῦτα γοῦν ἀπείρῳ μὲν ἀκοῦσαι, φαίνεται ἐγγὺς τοῦ κατὰ φύσιν εἶναι. χρεομένῳ δὲ, ἄχρηστα. οὔτε γὰρ μόνιμα οὐδένα χρόνον, οὐδ' εἰ κατακέοιτό τις, καίτοι ἐγγύτατα ἂν οὕτως, ἀλλ' ὅμως εἰ κατακείμενος, ἢ τὸ σκέλος συγκάμψειεν, ἢ αὐτὸς καμφθείη, πάντα ἂν τὰ ἐπιδέσματα κινέοιτο. ἄλλως τε ἀσηρὴ ἡ ἐπίδεσις. ἥ τε γὰρ ἕδρη ἀπολαμβάνεται, ἀθρόα τε τὰ ὀθόνια ἐν ταύτῃ τῇ στενοχωρίῃ γίνεται. τά τε αὖ περὶ τὴν ζώνην περιβαλλόμενα, οὐχ οὕτως ἰσχυρῶς ἔζωσαι, ὡς οὐκ ἀναγκάσαι ἐς τὸ ἄνω τὴν ζώνην ἐπανιστάναι, καὶ οὕτως ἀνάγκη ἂν εἴη πάντα χαλᾷν τὰ ἐπιδέσματα. ἄγχιστα δ' ἄν τις δοκέοι ποιέειν, καίπερ οὐ μεγάλα ποιέων, εἰ τοῖσι μέν τισι τῶν ὀθονίων περὶ τὴν ζώνην περιβάλλοι. τοῖσι δὲ πλείστοισι τῶν ὀθονίων, τὴν ἀρχαίην ἐπίδεσιν ἐπιδέοι, οὕτω γὰρ ἂν μάλιστα τὰ ἐπιδέσματα μόνιμά τε εἴη καὶ ἀλλήλοισι τιμωρέοι. τὰ μὲν οὖν πλεῖστα εἴρηται, ὅσα καταλαμβάνει τοὺς τὴν κληῗδα κατεαγνυμένους. προσξυνιέναι δὲ καὶ τόδε χρὴ, ὅτι κληῒς ὡς ἐπὶ τὸ πολὺ κατάγνυται, ὥστε τὸ μὲν ἀπὸ τοῦ στήθεος πεφυκὸς ὀστέον, ἐς τὸ ἄνω μέρος ὑπερέχειν, τὸ δὲ ἀπὸ τῆς ἀκρωμίης πεφυκὸς ὀστέον ἐν τῷ κάτω μέρει εἶναι. αἰτία δὲ τούτων τάδε. ὅτι τὸ μὲν στῆθος οὔτε κατωτέρω ἂν πολὺ, οὔτε ἀνωτέρω χωρήσειεν. μικρὸς γὰρ ὁ κιγκλισμὸς τοῦ ἄρθρου τοῦ ἐν τῷ στήθει. αὐτὸ γὰρ ἑωυτῷ συνεχές ἐστι τὸ στῆθος, καὶ τῇ ῥάχει. ἄγχιστα μὲν ἡ κληῒς πρὸς τὸ τοῦ ὤμου ἄρθρον πλαδῶδης ἐστίν. ἠνάγκασται γὰρ πυκινοκίνητος εἶναι, διὰ τὴν τῆς ἀκρωμίης σύζευξιν. ἄλλως τε, ὅταν κατεαγῇ, φεύγει ἐς τὸ ἄνω μέρος τὸ πρὸς τῷ στήθει προσεχόμενον. καὶ οὐ μάλα ἐς τὸ κάτω μέρος ἀναγκάζεσθαι ἐθέλει. καὶ γὰρ πέφυκε κοῦφον, καὶ ἡ εὐρυχωρίη αὐτῷ ἄνω πλείων, ἢ κάτω. ὁ δὲ ὦμος καὶ ὁ βραχίων καὶ τὰ προσηρτημένα τούτοισιν εὐαπόλυτά εἰσιν ἀπὸ τῶν πλευρέων καὶ τοῦ στήθεος. καὶ διὰ τοῦτο δύναται καὶ ἀνωτέρω πολὺ ἀνάγεσθαι καὶ κατωτέρω. ὅταν γοῦν καταγῇ κληῒς, τὸ πρὸς τῷ ὤμῳ ὀστέον ἐς τὸ κατωτέρω ὑπερρέπει. ἐς τοῦτο γὰρ ἐπιτροχώτερον αὐτὸ ἅμα τῷ ὤμῳ καὶ τῷ βραχίονι κάτω ῥέψαι μᾶλλον, ἢ ἐς τὸ ἄνω. Ὁπότε οὖν ταῦτα τοιαῦτά ἐστιν, ἀξυνετέουσιν ὅσοι τὸ ὑπερέχον τοῦ ὀστέου ἐς τὸ κάτω καταναγκάσαι οἴονται εἶναι. ἀλλὰ δῆλον ὅτι τὸ κάτω πρὸς τῷ ἄνω προσακτέον ἐστί. τοῦτο γὰρ ἔχει κίνησιν, τοῦτο γάρ ἐστι καὶ τὸ ἀποστὰν ἀπὸ τῆς φύσιος. δῆλον οὖν ὅτι ἄλλως μὲν οὐδαμῶς ἐστιν ἀναγκάσαι τοῦτο. αἵ τε γὰρ ἐπιδέσιες οὐδέν τι μᾶλλον προσαναγκάζουσιν ἢ ἀπαναγκάζουσιν. εἰ δέ τις τὸν βραχίονα πρὸς τῇσι πλευρῇσιν ὡς μάλιστα ἐόντα ἀναγκάζοι ἄνω ὡς ὅτι ὀξύτατος ὁ ὦμος φαίνεται εἶναι, δῆλον ὅτι οὕτως ἂν ἁρμοσθείη πρὸς τὸ ὀστέον τὸ ἀπὸ τοῦ στήθεος πεφυκὸς ὅθεν ἀπεσπάσθη. εἰ οὖν τις τῇ μὲν ἐπιδέσει χρῷτο τῇ νομίμῃ τοῦ ταχέως συναλθεσθῆναι εἵνεκα, ἡγήσαιτο δὲ τἄλλα πάντα μάτην εἶναι παρὰ τὸ σχῆμα τὸ εἰρημένον, ὀρθῶς τε ἂν ξυνιείη, ἰητρεύοι τ' ἂν τάχιστα καὶ κάλλιστα. κατακέεσθαι μέντοι τὸν ἄνθρωπον μέγα τὸ διάφορόν ἐστι, καὶ ἡμέραι ἱκαναὶ τεσσαρεσκαίδεκα εἰ ἀτρεμέοι, εἴκοσι δὲ παμπολλαί. εἰ μέντοι τινὶ ἐπὶ τἀναντία ἡ κληῒς καταγείη, ὃ οὐ μάλιστα γίνεται. ὥστε τὸ μὲν ἀπὸ τοῦ στήθεος ὀστέον ὑποδεδυκέναι. τὸ δὲ ἀπὸ τῆς ἀκρωμίης ὀστέον ὑπερέχειν καὶ ὑποχέεσθαι ἐπὶ τοῦ ἑτέρου, οὐ δὲ μάλα μεγάλης ἰητρείης ταῦτα γ' ἂν δέοιτο. αὐτὸς γὰρ ὁ ὦμος ἀφιέμενος καὶ ὁ βραχίων, ἱδρύοι ἂν τὰ ὀστέα πρὸς ἄλληλα. καὶ φαύλη ἄν τις ἐπίδεσις ἀρκέοι, καὶ ὀλίγαι ἡμέραι τῆς πωρώσιος γίνοιντ' ἄν. εἰ δὲ μὴ καταγείη μὲν οὕτω, παρολισθάνοι δὲ ἐς τὸ πλάγιον ἢ τῇ ἢ τῇ, ἐς τὴν φύσιν μὲν ἀπαγαγεῖν ἂν δέοι ἀναγαγόντα τὸν ὦμον σὺν τῷ βραχίονι, ὥσπερ καὶ πρόσθεν εἴρηται. ὅταν δὲ ἵζηται εἰς τὴν ἀρχαίην φύσιν, ταχείη ἂν ἡ ἄλλη ἰητρείη εἴη. τὰ μὲν οὖν πλεῖστα τῶν παραλλαγμάτων καθιστοῖ ἂν αὐτὸς ὁ βραχίων ἀναγκαζόμενος πρὸς τὰ ἄνω. ὅσα δὲ τῶν ἄνωθεν παρολισθαίνοντα ἐς τὸ πλάγιον ἔλθῃ, ἢ ἐς τὸ κατωτέρω, συμπορσύνοι ἂν τὴν κατόρθωσιν. εἰ ὁ μὲν ἄνθρωπος ὕπτιος κέοιτο. κατὰ δὲ τὸ μεσηγὺ τῶν ὠμοπλατέων ὑψηλότερόν τι ὀλίγον ὑποκέοιτο ὡς περιρρηδὲς εἴη τὸ στῆθος ὡς μάλιστα καὶ τὸν βραχίονα εἰ ἀνάγοι τις παρὰ τὰς πλευρὰς παρατεταμένον. ὁ δὲ ἰητρὸς τῇ μὲν ἑτέρῃ χειρὶ ἐς τὴν κεφαλὴν τοῦ βραχίονος ἐμβαλὼν τὸ θέναρ τῆς χειρὸς ἀπωθέοι. τῇ δὲ ἑτέρῃ τὰ ὀστέα τὰ κατεαγότα εὐθετίζοι, οὕτως ἂν μάλιστα ἐς τὴν φύσιν ἄγοι. ἀτὰρ ὅπερ ἤδη εἴρηται εὖ μάλα τὸ ἄνωθεν ὀστέον, ἐς τὸ κάτω φιλέει ὑποδύειν. τοῖσι μὲν οὖν πλείστοισιν ὅταν

ἐπιδεθῶσι

ἐπιδέωσι τὸ σχῆμα ἀρήγει, παρ' αὐτὰς τὰς πλευρὰς τὸν ἀγκῶνα ἔχοντα, οὕτως ἐς τὸ ἄνω τὸν ὦμον ἀναγκάζεσθαι. ἔστι δ' οἷσι μὲν τὸν ὦμον ἀναγκάζειν δεῖ ἐς τὸ ἄνω ὡς εἴρηται. τὸν δὲ ἀγκῶνα πρὸς τὸ στῆθος παράγειν. ἄκρην δὲ τὴν χεῖρα παρὰ τὸ ἀκρώμιον τοῦ ὑγιέος ὤμου ἴσχειν. ἢν μὲν οὖν κατακέεσθαι βούληται, ἀντιστήριγμά τι προσθεῖναι χρὴ, ὡς ἂν ὁ ὦμος ἀνωτάτω ἔῃ. ἢν δὲ περιίῃ, σφενδόνην χρὴ ἐκ ταινίης περὶ τὸ ὀξὺ τοῦ ἀγκῶνος ποιήσαντα, ἀναλαμβάνειν περὶ τὸν αὐχένα. Ἀγκῶνος δὲ ἄρθρον παραλλάξαν μὲν, ἢ παραθρῆσαν πρὸς πλευρὴν ἢ ἔξω μένοντος τοῦ ὀξέος τοῦ ἐν τῷ κοίλῳ τοῦ βραχίονος ἐς ἰθὺ κατατείναντα τὸ ἐξέχον, ἀπωθεῖν ὀπίσω καὶ ἐς τὸ πλάγιον. τὰ δὲ τελέως ἐκβάντα ἢ ἔνθα, ἢ ἔνθα. κατάστασις μὲν ἐν ᾗ ὁ βραχίων κατεαγεὶς ἐπιδέεται. οὕτω γὰρ ἂν τὸ καμπύλον τοῦ ἀγκῶνος οὐ κωλύσει. ἐκπίπτει δὲ μάλιστα ἐς τὸ πρὸς πλευρὰς μέρος. τὰς δὲ καταρθώσιας ἀπάγοντα ὅτι πλεῖστον ὡς μὴ ψαύῃ τῆς κορώνης ἡ κεφαλὴ μετέωρον περιάγειν καὶ περικάμπτειν, καὶ μὴ ἐς ἰθὺ βιάζεσθαι. ἅμα δὲ ὠθεῖν τἀναντία, ἐφ' ἑκάτερα. καὶ παρωθεῖν ἐς χώραν. συνωφελοίη δ' ἂν καὶ ἐπίστρεψις ἀγκῶνος ἐν τουτέοις. ἐν τῷ μὲν ἐς τὸ ὕπτιον. ἐν τῷ δὲ ἐς τὸ πρηνές. ἴησις δὲ σχήματος μὲν, ὀλίγον ἀνωτέρω ἄκρην τὴν χεῖρα τοῦ ἀγκῶνος ἔχειν. βραχίονα δὲ παρὰ πλευράς. οὕτω δὲ καὶ ἀνάληψις. καὶ θέσις. καὶ εὔφορον. καὶ φύσις καὶ χρῆσις ἐν κοινῷ. ἢν ἄρα μὴ κακῶς πωρωθῇ. πωροῦται δὲ ταχέως. ἴησις δὲ ὀθονίοισι κατὰ τὸν νόμον τὸν ἀρθρητικὸν καὶ τὸ ὀξὺ προσεπιδεῖν. παλιγκοτώτατον δὲ ὁ ἀγκὼν πυρετοῖσιν ὀδύνῃσι, ἀσώδεϊ ἀκρητοχόλῳ. ἀγκῶνος δὲ μάλιστα τὸ ὀπίσω διὰ τὸ ναρκῶδες. δεύτερον δὲ τὸ ἔμπροσθεν. ἴησις δὲ ἡ αὐτή. ἐμβολαὶ δὲ τοῦ μὲν ὀπίσω, ἐκτείναντα κατατεῖναι. σημεῖον δὲ οὐ γὰρ δύνανται ἐκτείνειν. τοῦ δὲ ἔμπροσθεν, οὐ δύνανται ξυγκάμπτειν. τουτέῳ δὲ ἐνθέντα τι συνειλιγμένον σκληρὸν, περὶ τοῦτο ξυγκάμψαι ἐξ ἐκτάσιος ἐξαίφνης. Διαστάσιος δὲ ὀστέων, σημεῖον κατὰ τὴν φλέβα τὴν κατὰ βραχίονα σχιζομένην διαψαύοντι. ταῦτα δὲ ταχέως διαπωροῦται. ἐκ γενεῆς δὲ βραχύτερα τὰ κάτω τοῦ σίνεος ὀστέα. πλεῖστα τὰ ἐγγύτατα τοῦ πήχεος. δεύτερα, χειρός. τρίτα, δακτύλων. βραχίων δὲ καὶ ὦμος, ἐγκρατέστερα διὰ τὴν τροφήν. ἡ δὲ ἑτέρη χεὶρ διὰ τὰ ἔργα ἔτι πλείω ἐγκρατεστέρη. μινύθησις δὲ σαρκῶν, εἰ μὲν ἔξω ἐξέπεσεν, ἔσωθεν. εἰ δὲ μὴ, ἐς τοὐναντίον, ἢ ἐξέπεσεν. ἀγκὼν δὲ ἢν εἴσω ἢ ἔξω ἐκβαίη κατάστασις μὲν ἐν σχήματι κοινῷ τῷ πήχει πρὸς βραχίονα. τὴν μὲν γὰρ μασχάλην ἀναλαμβάνοντα ταινίῃ ἀνακρεμάσαι. ἀγκῶνι δὲ ἄκρῳ ὑποθέντα τι παρὰ τὸ ἄρθρον βάρος, ἐκκρεμάσαι. ἢ χερσὶ καταναγκάζειν. ὑπεραιωρηθέντος δὲ τοῦ ἄρθρου, αἱ παραγωγαὶ τοῖς θέναρσιν. ὡς τὰ ἐν χερσὶν ἐπίδεσις ἐν τούτῳ τῷ σχήματι. καὶ ἀνάληψις. καὶ θέσις. τὰ δὲ ὄπισθεν ἐξαίφνης ἐκτείναντα, διορθοῦν τοῖσι θέναρσιν. ἅμα δὲ δεῖ ἐν τῇ διορθώσει καὶ ἐν τοῖσιν ἑτέροισιν. ἢν δὲ ἔμπροσθεν, ἀμφὶ ὀθόνιον συνειλημμένον εὔογκον συγκάμπτοντα ἅμα διορθοῦν. ἢν δὲ ἑτεροκλινὲς ᾖ, ἐν τῇ διορθώσει ἀμφότερα ἅμα χρὴ ποιέειν. τῆς δὲ μελέτης τῆς θεραπείης, κοινὸν τὸ σχῆμα καὶ ἡ ἐπίδεσις. δύναται καὶ ἐκ τῆς διατάσιος κοινῆς συμπίπτειν ἅπαντα. τῶν δὲ ἐμβολέων. αἱ μὲν ἐξ ὑπεραιωρήσιος ἐμβάλλονται. αἱ δὲ ἐκ κατατάσιος. αἱ δὲ ἐκ περισφάλσιος. αὗται δὲ ἐκ τῶν ὑπερβολέων τῶν σχημάτων, ἢ τῇ, ἢ τῇ σὺν τῷ τάχει. Χειρὸς δὲ ἄρθρον ὀλισθάνει ἢ ἔσω, ἢ ἔξω. ἔσω δὲ τὰ πλεῖστα. σημήϊα δὲ εὔσημα. ἢν μὲν ἔσω συγκάμπτειν τοὺς δακτύλους οὐ δύνανται. ἢν δὲ ἔξω, ἐκτείνειν. ἐμβολὴ δὲ ὑπὲρ τραπέζης τοὺς δακτύλους ἔχων. τοὺς μὲν τείνειν. τοὺς δὲ ἀντιτείνειν. τὸ δὲ ἐξέχον, ἢ θέναρι, ἢ πτέρνῃ ἅμα ἀπωθέειν, καὶ ὠθέειν πρόσω κάτω. κάτωθεν δὲ κατὰ τὸ ἕτερον ὀστέον ὄγκον μαλθακὸν ὑποθεὶς, ἢν μὲν ἄνω, καταστρέψας τὴν χεῖρα. ἢν δὲ κάτω, ὑπτίην. ἴησις δὲ ὀθονίοισιν. ὅλη δὲ ἡ χεὶρ ὀλισθάνει, ἢ ἔσω, ἢ ἔξω, ἢ ἔνθα, ἢ ἔνθα. μάλιστα δὲ ἔσω. ἔστιν δ' ὅτε καὶ ἡ ἐπίφυσις ἐκινήθη. ἔστι δ' ὅτε τὸ ἕτερον τῶν ὀστέων διέστη. τούτοισι κατάτασις ἰσχυρὴ ποιητέη. καὶ τὸ μὲν ἐξέχον ἀπωθέειν. τὸ δὲ ἕτερον ἀντωθέειν δύο εἴδεα ἅμα ἐς τοὐπίσω καὶ ἐς τὸ πλάγιον. ἢ χερσὶν ἐπὶ τραπέζης, ἢ πτέρνῃ. παλίγκοτα δὲ καὶ ἀσχήμονα, τῷ μὲν χρόνῳ, κρατύνεται ἐς χρῆσιν ἴησις. ἡ ἴησις, ὀθονίοισι σὺν τῇ χειρὶ καὶ τῷ πήχει. καὶ νάρθηκας μέχρι δακτύλων τιθέναι. ἐν νάρθηξι δὲ δεθέντα ταῦτα πυκνότερον λύειν ἢ τὰ κατάγματα. καὶ καταχύσει πλείονι χρέεσθαι. ἐκ γενεῆς δὲ βραχυτέρη ἡ χεὶρ γίνεται. καὶ μινύθησις σαρκῶν μάλιστα τἀναντία ἢ ᾗ τὸ ἔκπτωμα. ηὐξημένῳ δὲ τὰ ὀστέα μένει. Δακτύλου δὲ ἄρθρον ὀλισθὸν μὲν εὔσημον. ἐμβολὴ δὲ κατατείναντα ἐς ἰθὺ, τὸ μὲν ἐξέχον ἀπωθέειν. τὸ δὲ ἐναντίον, ἀντωθέειν. ἴησις δὲ ταινίοισιν ὀθονίοισι. μὴ ἐμπεσὸν δὲ ἐπιπωροῦται ἔξωθεν.

ἐκ γενεῆς

ἐκ γενεῆς δὲ, ἢ ἐν αὐξήσει ἐξαρθρήσαντα τὰ ὀστέα βραχύνεται κάτω τοῦ ὀλισθήματος, καὶ σάρκες μινύθουσι τἀναντία μάλιστα ἢ ὡς τὸ ἔκπτωμα, ηὐξημένῳ δὲ τὰ ὀστέα μένει.

Γνάθος δὲ ὀλίγοισιν ἤδη τελέως ἐξήρθρησεν. ὀστέον τε γὰρ τὸ ἀπὸ τῆς ἄνω γνάθου πεφυκὸς ὑπεζύγωται πρὸς τῷ ὑπὸ τὸ οὖς ὀστέῳ προσπεφυκότι. ὅπερ ἀποκλείει τὰς κεφαλὰς τῆς κάτω γνάθου. τῆς μὲν ἀνωτέρω ἐόν, τῆς δὲ κατωτέρω τῶν κεφαλαίων. τά τε ἄκρεα τῆς κάτω γνάθου, τὸ μὲν διὰ τὸ μῆκος, οὐκ εὐπαρείσδυτον. τὸ δ᾽ αὖ τὸ κόρωνόν τε καὶ ὑπερέχον ὑπὲρ τοῦ ζυγώματος. ἅμα τε ἀμφοτέρων τῶν ἀκρέων τούτων νευρώδεες τένοντες πεφύκασιν. ἐξ ὧν ἐξήρτηνται οἱ μύες, οἱ κροταφῖται καὶ μασητῆρες καλεόμενοι. διὰ τοῦτο δὲ καλέονται, καὶ διὰ τοῦτο κινέονται, ὅτι ἐντεῦθεν ἐξήρτηνται. ἐν γὰρ τῇ ἐδωδῇ, καὶ ἐν τῇ διαλέκτῳ, καὶ ἐν τῇ ἄλλῃ χρήσει τοῦ στόματος, ἡ μὲν ἄνω γνάθος ἀτρεμέει. συνήρτηται γὰρ τῇ κεφαλῇ, καὶ οὐ διήρθρωται. ἡ δὲ κάτω γνάθος κινέεται. ἀπήρθρωται γὰρ ἀπὸ τῆς ἄνω γνάθου, καὶ ἀπὸ τῆς κεφαλῆς. διότι μὲν οὖν ἐν σπασμοῖσι καὶ τετάνοισι, τοῦτο πρῶτον τὸ ἄρθρον ἐπισημαίνει συντεταμένον. καὶ διότι πληγαὶ καίριοι καὶ καροῦσαι αἱ κροταφίτιδες γίνονται, καὶ ἐν ἄλλῳ λόγῳ εἰρήσεται. περὶ δὲ τοῦ μὴ κάρτα ἐξαρθρέειν, τάδε τὰ αἴτια. αἴτιον δὲ καὶ τόδε, ὅτι οὐ μάλα καταλαμβάνουσι τοιαῦται ἀνάγκαι βρωμάτων. ὥστε τὸν ἄνθρωπον χανέειν μεῖζον ἢ ὅσον δύναται. ἐκπέσοι δ᾽ ἂν ἀπ᾽ οὐδενὸς ἄλλου σχήματος, ἢ ἀπὸ τοῦ μεγάλα χανέοντα, παραγαγεῖν τὴν γένυν ἐπὶ θάτερα. προσσυμβάλλεται μέντοι καὶ τόδε πρὸς τὸ ἐκπίπτειν. ὁκόσα γὰρ νεῦρα καὶ ὁκόσοι μύες παρὰ τὰ ἄρθρα εἰσίν, ἢ ἀπὸ ἄρθρων ἀφ᾽ ὧν ξυνδέδενται, τούτων ὅσα ἐν τῇ χρήσει πλειστάκις διακινέεται, ταῦτα καὶ εὖ τὰς κατατάσιας δυνατώτατα ἐπιδιδόναι. ὥσπερ καὶ τὰ δέρματα τὰ εὐδεψητότατα πλείστην ἐπίδοσιν ἔχει. περὶ οὗ οὖν ὁ λόγος, ἐκπίπτει μὲν γνάθος ὀλιγάκις. χάται μέντοι, πολλάκις ἐν χάσμασιν. ὥσπερ καὶ ἄλλαι μυῶν παραλλαγαὶ καὶ νεύρων τοῦτο ποιέουσι. δῆλον δὲ τοῖσιν δὲ μάλιστα ἐστὶν ὅταν ἐκπεπτώκει. προίσχει γὰρ ἡ κάτω γνάθος, ἐς τοὔμπροσθεν. καὶ παρῆκται τἀναντία τοῦ ὀλισθήματος. καὶ τοῦ ὀστέου τὸ κόρωνον ὀγκηρότερον φαίνεται παρὰ τὴν ἄνω γνάθον. καὶ χαλεπῶς ξυμβάλλουσι τὰς κάτω γνάθους. τούτοισι δὲ ἐμβολὴ πρόδηλος, ἥτις γίνοιτ᾽ ἂν ἁρμόζουσα. χρὴ γὰρ τὸν μέν τινα κατέχειν τὴν κεφαλὴν τοῦ τετρωμένου. τὸν δὲ περιλαβόντα τὴν κάτω γνάθον, καὶ ἔσωθεν καὶ ἔξωθεν τοῖσι δακτύλοισι κατὰ τὸ γένειον, χάσκοντος τοῦ ἀνθρώπου ὅσον μετρίως δύναται, πρῶτον μὲν διακινέειν τὴν γνάθον χρόνον τινὰ, τῇ καὶ τῇ παράγοντα τῇ χειρί. καὶ αὐτὸν τὸν ἄνθρωπον κελεύειν χαλαρὴν τὴν γνάθον ἔχειν, καὶ συμπαράγειν καὶ συνδιδόναι ὡς μάλιστα. ἔπειτα ἐξαπίνης σχάσαι τρισὶ σχήμασιν ὁμοῦ προσέχοντα τὸν νόον. δεῖ μὲν γὰρ παράγεσθαι ἐκ τῆς διαστροφῆς ἐς τὴν φύσιν. δεῖ δὲ ἐς τοὐπίσω ἀπωσθῆναι τὴν γνάθον τὴν κάτω. δεῖ δὲ ἑπόμενον τουτοισι συμβάλλειν τὰς γνάθους καὶ μὴ χάσκειν. ἐμβολὴ μὲν οὖν αὕτη. καὶ οὐκ ἂν γένοιτο ἀπ᾽ ἄλλων σχημάτων. ἰητρείη δὲ βραχεῖα ἀρκέει. σπλῆνα προστιθέντα κεκηρωμένον χαλαρῷ ἐπιδέσμῳ ἐπιδεῖν. ἀσφαλέστερον δὲ χειρίζειν ἐστὶν ὕπτιον κατακλίναντα τὸν ἄνθρωπον, ἐρείσαντα τὴν κεφαλὴν αὐτοῦ ἐπὶ σκυτίνου ὑποκεφαλαίου ὡς πληρεστάτου, ἵνα ὡς ἥκιστα ὑπείκῃ. προσκατέχειν δέ τινα χρὴ τὴν κεφαλὴν τοῦ τετρωμένου. ἢν δ᾽ ἀμφότεραι αἱ γνάθοι ἐξαρθρήσωσιν, ἡ μὲν ἴησις, ἡ αὐτή. συμβάλλειν δέ τι ἧσσον οὗτοι τὸ στόμα δύνανται. καὶ γὰρ προπετέστεραι αἱ γένυες τούτοισιν. ἀστραβέες δέ. τὸ δὲ ἀστραβὲς, μάλιστ᾽ ἂν γνοίης, τοῖσιν ὀρθοῖσι τῶν ὀδόντων τῶν τε ἄνω καὶ τῶν κάτω κατ᾽ ἴξιν. τούτοισι ξυμφέρει ἐμβαλέειν ὡς τάχιστα. ἐμβολῆς δὲ τρόπος πρόσθεν εἴρηται. ἢν δὲ μὴ ἐμπέσῃ, κίνδυνος περὶ τῆς ψυχῆς ὑπὸ πυρετῶν ξυνεχέων καὶ νωθρῆς καρώσιος. καρώδεες γὰρ οἱ μύες οὗτοι, καὶ ἀλλοιούμενοι, καὶ ἐντεινόμενοι παρὰ φύσιν. φιλέει δὲ καὶ ἡ γαστὴρ ὑποχωρέειν τούτοισι χολώδεα ἄκρητα ὀλίγα. καὶ ἢν ἐμέωσιν, ἄκρητα ἐμέουσιν. οὗτοι οὖν καὶ θνήσκουσι δεκαταῖοι μάλιστα. ἢν δὲ καταγῇ ἡ κάτω γνάθος. ἢν μὲν μὴ ἀποκαυλισθῇ παντάπασιν, ἀλλὰ ξυνέχηται τὸ ὀστέον, ἐγκεκλιμένον δὲ ᾖ, κατορθῶσαι μὲν χρὴ τὸ ὀστέον παράγοντα τὴν γλῶσσαν πλαγίην ὑπείραντα τοὺς δακτύλους. τὸ δὲ ἔξωθεν ἀντερείδειν, ὡς ἂν ξυμφέρῃ. κἂν διεστραμμένοι ἔωσιν οἱ ὀδόντες οἱ κατὰ τὸ τρῶμα κεκινημένοι, ὁκόταν τὸ ὀστέον κατορθωθῇ, ζεῦξαι τοὺς ὀδόντας χρὴ πρὸς ἀλλήλους, μὴ μόνον τοὺς δύο, ἀλλὰ καὶ πλέονας, μάλιστα δὲ διὰ χρυσίου, ἐς ἂν κρατηθῇ τὸ ὀστέον. εἰ δὲ μὴ, ἐν λίνῳ. ἔπειτα ἐπιδεῖν κηρωτῇ καὶ σπλήνεσιν ὀλίγοισιν. καὶ ὀθονίοισιν ὀλίγοισιν, μὴ ἄγαν ἐρείδοντα, ἀλλὰ χαλαροῖσιν. εὖ γὰρ εἰδέναι χρὴ, ὅτι ἐπίδεσις

ὀθονίων

ὀθονίῳ γνάθου καταγείσῃ, μικρὰ μὲν ἂν ὠφελέοι, εἰ χρηστῶς ἐπιδέοιτο. μεγάλα δ᾽ ἂν βλάπτοι, εἰ κακῶς ἐπιδέοιτο. πυκνὰ δὲ περὶ τὴν γλῶσσαν ἐμμάττεσθαι χρὴ, καὶ πολὺν χρόνον ἀντέχειν τοῖσι δακτύλοισι κατορθοῦντα τοῦ ὀστέου τὸ ἐγκλιθέν. ἄριστον δὲ εἰ ἀεὶ δύναιτο, ἀλλ᾽ οὐχ οἷόν τε. ἢν δὲ ἀποκαυλιαθῇ παντάπασι τὸ ὀστέον, ὀλιγάκις δὲ τοῦτο γίνεται, κατορθοῦν μὲν χρὴ τὸ ὀστέον οὕτως, καθάπερ εἴρηται. ὅταν δὲ κατορθώσῃς, τοὺς ὀδόντας χρὴ ζευγνύναι, ὡς ἔμπροσθεν εἴρηται. μέγα γὰρ ἂν συλλαμβάνοι ἐς τὴν ἀτρεμίην. πρόσετι καὶ εἴ τις ὀρθῶς ζεύξῃ ὥσπερ χρὴ τὰς ῥαφὰς ῥάψας. ἀλλὰ γὰρ οὐ ῥηΐδιον ἐν γραφῇ χειρουργίην πᾶσαν ἀτρεκέως ἡγέεσθαι, ἀλλ᾽ ὑποτυπέεσθαι χρὴ ἀπὸ τῶν γεγραμμένων. Ἔπειτα χρὴ δέρματος καρχηδονίου ἢν μὲν νεώτερος ᾖ ὁ τρωθεὶς, ἀρκέει τῷ λοπῷ χρέεσθαι. ἢν δὲ τελειότερος ᾖ, αὐτῷ τῷ δέρματι, τάμνοντα χρὴ εὖρος ὡς τριδάκτυλον ἢ ὅπως ἂν ἁρμόζῃ, ὑπαλείψαντα κόμμι τὴν γνάθον. εὐμενέστερον γὰρ κόλλῃ προσκολλῆσαι τὴν δορὴν ἄκρον πρὸς τὸ ἀποκεκαυλισμένον τῆς γνάθου, ὡς δάκτυλον ἀπὸ τοῦ τρώματος ἢ ὀλίγῳ πλέον. τοῦτο μὲν ἐς τὸ κάτω μέρος. ἐχέτω δὲ ἐντομὴν κατὰ τὴν ἴξιν τοῦ γενείου ὁ ἱμὰς ὡς ἀμφιβεβήκει ἀμφὶ τὸ ὀξὺ τοῦ γενείου. ἕτερον δὲ ἱμάντα τοιοῦτον ἢ ὀλίγῳ πλατύτερον προσκολλῆσαι χρὴ πρὸς τὸ ἄνω μέρος τῆς γνάθου. ἀπολιπόντα καὶ τοῦτον ἀπὸ τοῦ τρώματος, ὅσονπερ ὁ ἕτερος ἀπέλιπεν. ἐσχίσθω δὲ καὶ οὗτος ὁ ἱμὰς τὴν ἀμφὶ τὸ οὖς περίβασιν, ἀποξέες δὲ ἔστωσαν οἱ ἱμάντες, ἀμφὶ τὴν ξυναφὴν, ἔνθα συνάπτεσθαί τε καὶ συνδέεσθαι ἐς τὰ πέρατα τῶν ἱμάντων. ἐν δὲ τῇ κολλήσει ἡ σὰρξ τοῦ σκύτεος πρὸς τοῦ χρωτὸς ἔσω, ἐγκολλότερον γὰρ οὕτως. ἔπειτα κατατείναντα χρὴ καὶ τοῦτον τὸν ἱμάντα, μᾶλλον δὲ καὶ τὸν περὶ τὸ γένειον, ὡς ὅτι μάλιστα ἀπομυλαίνει ἡ γνάθος ξυνάψαι τοὺς ἱμάντας κατὰ τὴν κορυφήν. κἄπειτα περὶ τὸ μέτωπον, ὀθονίῳ καταδῆσαι. καὶ κατάβλημα χρὴ εἶναι, ὥσπερ νομίζεται, ὡς ἀτρεμέῃ τὰ δεσμά. τὴν δὲ κατάκλισιν ποιέεσθω ἐπὶ τὴν ὑγιέα γνάθον, μὴ τῇ γνάθῳ ἐρηρεισμένος, ἀλλὰ τῇ κεφαλῇ. ἰσχναίνειν δὲ χρὴ τὸ σῶμα ἄχρι ἡμερέων δέκα. ἔπειτα ἀνατρέφειν μὴ βραδέως. ἢν γὰρ οὖν τῇσι πρώτῃσιν ἡμέρῃσι μὴ φλεγμήνῃ, ἐν εἴκοσιν ἡμέρῃσιν ἡ γνάθος κρατύνεται. τελέως γὰρ ἐπιπωροῦται, ὥσπερ καὶ τἄλλα τὰ ἀραιὰ ὀστέα, ἢν μὴ ἐπισφακελίσῃ. ἀλλὰ γὰρ περὶ σφακελισμῶν τῶν συμπάντων ὀστέων, ἄλλος μακρὸς λόγος λείπεται. αὕτη ἡ διάστασις ἡ ἀπὸ τῶν κολλημάτων εὐμενὴς καὶ εὐταμίευτος καὶ ἐς πολλὰ καὶ πολλαχοῦ διορθώματα εὔχρηστος. τῶν δὲ ἰητρῶν οἱ μὴ σὺν νόῳ εὔχειρες καὶ ἐν ἄλλοισι τρώμασι τοιοῦτοί εἰσι καὶ ἐν γνάθων κατήξεσιν. ἐπιδέουσι γὰρ τὴν γνάθον κατεαγεῖσαν ποικίλως καὶ καλῶς καὶ κακῶς. πᾶσα γὰρ ἐπίδεσις γνάθου οὕτω καταγείσης, ἐκκλίνει τὰ ὀστέα τὰ ἐς τὸ κάτηγμα ῥέποντα μᾶλλον, ἢ ἐς τὴν φύσιν ἄγει. ἢν δὲ ἡ κάτω γνάθος κατὰ τὴν σύμφυσιν τὴν κατὰ τὸ γένειον διασπασθῇ. μόνη δὲ αὕτη ξύμφυσις ἐν τῇ κάτω γνάθῳ ἐστίν. ἐν δὲ τῇ ἄνω, πολλαί. ἀλλ᾽ οὐ βούλομαι ἀποπλανᾶν τὸν λόγον. ἐν ἄλλοισι γὰρ εἴδεσι νουσημάτων περὶ τούτων λεκτέον. ἢν οὖν διαστῇ ἡ κατὰ τὸ γένειον σύμφυσις. κατορθῶσαι μὲν παντὸς ἀνδρός ἐστι. τὸ μὲν γὰρ ἐξεστεὸς ἐσωθέειν χρὴ ἐς τὸ ἔσω μέρος, προσβαλλόντα τοὺς δακτύλους. τὸ δὲ ἔσω ῥέπον, ἀνάγειν ἐς τὸ ἔξω μέρος, ἐνερείσαντα τοὺς δακτύλους. ἐς διάστασιν μέντοι διατεινάμενοι ταῦτα χρὴ ποιέειν. ῥᾷον γὰρ οὕτως ἐς τὴν φύσιν ἥξει, ἢ εἰ ἐγχρίπτων τις ἐς ἄλληλα τὰ ὀστέα παραναγκάζειν πειρᾶται. τοῦτο παρὰ πάντα τὰ ὑπομνήματα χρεὼν εἰδέναι. ὁκόταν δὲ κατορθώσῃ. ζεῦξαι μὲν χρὴ τοὺς ὀδόντας τοὺς ἔνθεν καὶ ἔνθεν πρὸς ἀλλήλους, ὥσπερ καὶ πρόσθεν εἴρηται. ἰῆσθαι δὲ χρὴ κηρωτῇ καὶ σπλήνεσιν ὀλίγοισι καὶ ὀθονίοισιν. ἐπίδεσιν δὲ βραχείην ἢ ποικίλην μάλιστα τοῦτο τὸ χωρίον ἐπιδέχεται, ἐγγὺς γάρ τι τοῦ ἰσορρόπου ἐστὶν, ὡς δὴ μὴ ἰσόρροπον ἐόν. τοῦ δὲ ὀθονίου τὴν περιβολὴν ποιέεσθαι χρή. ἢν μὲν ἡ δεξιὴ γνάθος ἐξεστήκῃ, ἐπὶ δεξιά. ἐπὶ δεξιὰ δὲ νομίζεται εἶναι, ἢν ἡ δεξιὰ χεὶρ ἡγέηται τῆς ἐπιδέσιος. ἢν δὲ ἡ ἑτέρη γνάθος ἐξεστήκῃ, ὡς ἑτέρως χρὴ τὴν ἐπίδεσιν ἄγειν. κἢν μὲν ὀρθῶς τις κατορθώσηται καὶ ἐπατρεμήσῃ ὡς χρή, ταχεῖα μὲν ἡ ἄλθεξις, οἱ δὲ ὀδόντες ἀσινέες γίνονται. ἢν δὲ μή, χρονιωτέρη μὲν ἡ ἄλθεξις, διαστροφὴν δὲ ἴσχουσι. οἱ ὀδόντες δὲ καὶ σιναροὶ καὶ ἀχρήιοι γίνονται. Ἢν δὲ ἡ ῥὶς καταγῇ, τρόπος μὲν οὐχ εἷς ἐστι κατήξιος. ἀτὰρ πολλὰ μὲν δὴ καὶ ἄλλα λωβέονται οἱ χαίροντες τῇσι καλῇσιν ἐπιδέσεσιν, ἄνευ νόου, ἐν δὲ τοῖσι περὶ τὴν ῥῖνα, καὶ μάλιστα. ἐπιδεσίων γάρ ἐστιν αὕτη ἡ ποικιλωτάτη. καὶ πλείστους μὲν σκεπάρνους ἔχουσα. διαρρώγας δὲ καὶ διαλήψιας, ποικιλωτάτας τοῦ χρωτὸς ῥομβοειδέας. ὡς οὖν εἴρηται οἱ τὴν ἀνόητον ἐγχειρίην ἐπιτηδεύοντες ἄσμενοι ῥινὸς κατα-

γέης ἐπιτυγχάνουσιν ὡς ἐπιδήσωσι. μίαν μὲν οὖν ἡμέρην, ἢ δύο, ἀγάλλεται μὲν ὁ ἰητρὸς, χαίρει δὲ καὶ ὁ ἐπιδεδεμένος· ἔπειτα ταχέως μὲν ὁ ἐπιδεδεμένος κορέσκεται. ἄσηρον γὰρ τὸ φόρημα. ἀρκέει δὲ περὶ ἰητρῷ ἐπειδὴ ἐπέδειξεν, ὅτι ἐπίσταται ποικίλως ῥῖνα ἐπιδέειν. ποιέει δὲ ἡ ἐπίδεσις ἡ τοιαύτη πάντα τἀναντία τοῦ δέοντος. τῶν μὲν γὰρ ὁκόσοι σιμοῦνται διὰ τὴν κάτηξιν, δηλονότι εἰ ἄνωθέν τις μᾶλλον πιέζοι, σιμότεροι ἂν εἶεν. τῶν δὲ ὅσοισι παραστρέφεται ἢ ἔνθα ἢ ἔνθα ἡ ῥὶς, ἢ κατὰ τὸν χόνδρον, ἢ ἀνωτέρω, δῆλον ὅτι οὐδὲν αὐτοὺς ἡ ἄνωθεν ἐπίδεσις ὠφελήσει, ἀλλὰ καὶ βλάψει μᾶλλον. οὐχ οὕτω γὰρ συναρμόσει τὰ πλάγια τὸ ἐπὶ θάτερον τῆς ῥινὸς, καίτοι οὐδὲ τοῦτο ποιέουσιν οἱ ἐπιδέοντες. ἄγχιστα δ' ἡ ἐπίδεσίς μοι δοκέει ἀντιποιέειν, εἰ κατὰ μέσην τὴν ῥῖνα κατὰ τὸ ὀξὺ ἀμφιφλασθείη ἡ σὰρξ κατὰ τὸ ὀστέον, εἰ καὶ τὸ ὀστέον μικρόν τισιν εἴη καὶ μὴ μέγα. τοῖσι γὰρ τούτοισιν ἐπίπωρωμα ἴσχει ἡ ῥὶς, καὶ ὀκριοειδεστέρη τινὶ γίνεται. ἀλλ' ὅμως οὐδὲ τούτοισι δή που πολλοῦ ὄχλου δέεται ἡ ἐπίδεσις, εἰ δή τι καὶ δεῖ ἐπιδέειν. ἀρκέει δὲ ἐπὶ μὲν τὸ φλάσμα σπληνίον ἐπιτείναντα κεκηρωμένον, ἔπειτα ὡς ἀπὸ δύο ἀρχέων ἐπιδέεται, οὕτως ὀθονίῳ ἐς ἅπαξ περιβαλέειν. ἀρίστη μέντοι ἰητρείη, περὶ ἀλήτῳ περὶ σητανίῳ, περὶ πλυτῷ, γλίσχρῳ, πεφυρημένῳ, ὀλίγῳ, καταπλάσσειν τὰ τοιαῦτα. χρὴ δὲ ἢν μὲν ᾖ ἐξ ἀγαθῶν ἢ τῶν πυρῶν τὸ ἄλητον καὶ εὐόλκιμον, τούτῳ χρέεσθαι ἐς πάντα τὰ τοιαῦτα. ἢν δὲ μὴ πάνυ ὁλκιμον ᾖ, ἐς ὀλίγην μάνναν ὕδατι ὡς λειοτάτην δεύοντα, τούτῳ φυρᾷν τὸ ἄλητον, ἢ κόμμι πάνυ ὀλίγον ὡσαύτως μίσγειν. ὁκόσοισι μὲν οὖν ῥὶς ἐς τὸ κάτω καὶ ἐς τὸ σιμὸν ῥέπουσα κατεαγῇ, ἢν μὲν ἐκ τοῦ ἔμπροσθεν μέρεος κατὰ τὸν χόνδρον ἵζηται, οἷόν τε ἐστὶ καὶ ἐντιθέναι διόρθωμα ἐς τοὺς μυκτῆρας. ἢν δὲ μὴ, ἀνορθοῦν μὲν χρὴ πάντα τὰ τοιαῦτα, τοὺς δακτύλους ἐς τοὺς μυκτῆρας ἐντιθέντα, ἢν ἐνδέχηται. ἢν δὲ μὴ, παχὺ ὑπαλειπτήριον μὴ ἐς τὸ ἔμπροσθεν τῆς ῥινὸς ἀπάγοντα τοῖσι δακτύλοισιν, ἀλλ' ᾗ ἵδρυται. ἔξωθεν δὲ τῆς ῥινὸς ἔνθεν καὶ ἔνθεν ἀμφιλαμβάνοντα τοῖσι δακτύλοισι, συναναγκάζειν τε ἅμα καὶ ἀναφέρειν ἐς τὸ ἄνω. καὶ ἢν μὲν πάνυ ἐς τὸ ἔμπροσθεν τὸ κάτηγμα ᾖ, οἷόν τέ τι καὶ εἴσω τῶν μυκτήρων ἐντιθέναι, ὥσπερ ἤδη εἴρηται. ἄχνην τὴν ἀφ' ἱματυβίου, ἢ ἄλλο τι τοιοῦτον ἐν ὀθονίῳ εἱλίσσοντα. μᾶλλον δὲ ἐν καρχηδονίῳ δέρματι ἐρράψαντα, σχηματίσαντα τὸ ἁρμόσσον σχῆμα περὶ χωρίῳ ἵνα ἐγκείσεται. ἢν μέντοι προσωτέρω ᾖ τὸ κάτηγμα, οὐδὲν οἷόν τε εἴσω ἐντιθέναι. καὶ γὰρ εἰ ἐν περὶ ἔμπροσθεν ἄσηρον τὸ φόρημα, πῶς γε δὴ οὐκ ἐν περὶ ἐσωτέρω; τὸ μὲν οὖν πρῶτον καὶ ἔσωθεν ἀναπλάσσεσθαι καὶ ἔξωθεν ἀφεδήσαντα χρὴ ἀνάγειν ἐς τὴν ἀρχαίην φύσιν καὶ διαρθρώσασθαι. κάρτα γὰρ οἵ γε ῥῖνες κατεαγεῖσαι ἀναπλάσσονται. μάλιστα μὲν αὐθήμερον. ἢν δὲ μὴ ὀλίγῳ ὕστερον. ἀλλὰ καταβλακεύουσιν οἱ ἰητροὶ καὶ ἁπαλωτέρως τὸ πρῶτον ἅπτονται ἢ ὡς χρή. παραβάλλοντα γὰρ τοὺς δακτύλους χρὴ ἔνθεν καὶ ἔνθεν κατὰ τὴν φύσιν τῆς ῥινὸς ὡς κατωτάτω κάτωθεν συναναγκάζειν, καὶ οὕτω μάλιστα ἀνορθοῦνται σὺν τῇ ἔσωθεν διορθώσει διορθοῦντα. ἔπειτα δὲ ἐς ταῦτα ἰητρὸς οὐδεὶς ἄλλος τοιοῦτός ἐστιν, εἰ ἐθέλοι μελετᾷν καὶ τολμᾷν, ὡς οἱ αὐτοῦ δάκτυλοι οἱ λιχανοί. οὗτοι γὰρ κατὰ φύσιν μάλιστά εἰσιν. παραβάλλοντα γὰρ χρὴ τῶν δακτύλων ἑκάτερον παρὰ πᾶσαν τὴν ῥῖνα ἐρείδοντα, ἡσύχως οὕτως ἔχειν. μάλιστα μὲν εἰ οἷόν τε εἴη αἰεὶ, ἔστ' ἂν κρατυνθῇ. εἰ δὲ μὴ, ὡς πλεῖστον χρόνον, ὡς εἴρηται. εἰ δὲ μὴ, ἢ παῖδα ἢ γυναῖκά τινα, μαλθακὰς γὰρ τὰς χεῖρας δεῖ εἶναι. οὕτως, ὡς ἂν κάλλιστα ἰητρευθείη ἡ ῥὶς, ὅτῳ μὴ ἐς τὸ σκολιὸν, ἀλλ' ἐς τὸ κάτω ἱδρυμένη εἴη ἰσόρροπος. ἐγὼ μὲν οὖν οὐδεμίαν πω ῥῖνα εἶδον, ἥ τις οὕτω κατεαγεῖσα οὐχ οἵη τε διαρθρωθῆναι αὐτίκα πρὶν πωρωθῆναι συναγκαζομένη ἐγγύς, εἴ τις ὀρθῶς ἐθέλοι ἰητρεύειν. ἀλλ' οἱ ἄνθρωποι αἰσχροὶ μὲν εἶναι πολλοῦ ἀντιμῶσι. μελετᾷν δὲ ἅμα μὲν οὐκ ἐπίστανται, ἅμα δὲ οὐ τολμέουσιν, ἢν μὴ ὀδυνῶνται, ἢ θάνατον δεδοίκασι. καίτοι ὀλιγοχρόνιος ἡ πώρωσις τῆς ῥινός, ἐν γὰρ δέκα ἡμέρῃσι κρατύνεται, ἢν μὴ ὑποσφακελίσῃ. ὁκόσοισι δὲ τὸ ὀστέον ἐς τὸ πλάγιον καταγνυται, ἡ μὲν ἴησις αὕτη. τὴν δὲ διόρθωσιν δηλονότι χρὴ ποιέεσθαι, οὐχ ἰσόρροπον ἀμφοτέρωθεν, ἀλλὰ τότε ἐγκεκλιμένον ὠθέειν ἐς τὴν φύσιν ἔκτοσθεν ἀναγκάζοντα. καὶ ἐσματηδιόρθρον ἐς τοὺς μυκτῆρας καὶ τὰ ἔσω ῥοδίσαντα διορθοῦν ἀόκνως ἔστ' ἂν κατορθώσῃ, εὖ εἰδότα, ὅτι ἢν μὴ αὐτίκα κατορθώσηται, οὐχ οἷόν τε μὴ καὶ διεστράφθαι τὴν ῥῖνα. ὅταν δὲ ἀγάγῃς ἐς τὴν φύσιν, προσβάλλοντα χρὴ ἐς τὸ χωρίον, ἢ τοὺς δακτύλους, ἢ τὸν ἕνα δάκτυλον ἢ ἐξέχειν ἀνακωχέειν, ἢ αὐτὸν, ἢ ἄλλον τινὰ, ἔστ' ἂν κρατυνθῇ τὸ τρῶμα. ἀτὰρ καὶ ἐς τὸν μυκτῆρα τὸν μικρὸν δάκτυλον ἀπωθέοντα, ἄλλοτε καὶ ἄλλοτε, διορθοῦν χρὴ τὰ ἐκκριθέντα, ὅτι δ' ἂν φλεγμο-

νῆς ὑπο

νὸς ὑπογίνεται τούτοισι, χρὴ τῷ σπαιτὶ χρέεσθαι. τοῖσι μέντοι δακτύλοισι προσέχειν χρὴ ὁμοίως, καὶ τοῦ σπαιτὸς ἐπικειμένου. ἢν δέ που κατὰ τὸν χόνδρον ἐν τὰ πλάγια καταγῇ, ἀνάγκη τὴν ῥῖνα ἄκρην μετεστράφθαι. χρὴ οὖν τοῖσι τοιούτοισι ἐν τὸν μυκτῆρα ἄκρον διόρθωμά τι τῶν εἰρημένων, ἢ ὅτι τούτοισιν ἔοικεν ἐντιθέναι. πολλὰ δ' ἄν τις εὕροι τὰ ἐπιτήδεια, ὅσα μήτε ὀσμὴν ἔχει μήτε ἄλλως προσηνέα ἐστίν. ἐγὼ δέ ποτε πνεύμονος προβατίου ἀπότμημα ἐνέθηκα, τοῦτο γάρ πως παρέτυχεν. οἱ γὰρ σπόγγοι ἐντιθέμενοι ὑγράσματα δέχονται. ἔπειτα χρὴ, καρχηδονίου λωπὸν πλάτος ὡς τοῦ μεγάλου δακτύλου τετμημένον, ἢ ὅκως ἂν ξυμφέρῃ, προσκολλῆσαι ἐν τὸ ἔκτοσθεν πρὸς τὸν μυκτῆρα τὸν ἐγκεκλιμένον. κἄπειτα κατατεῖναι τὸν ἱμάντα ὅκως ἂν ξυμφέρῃ. μᾶλλον δὲ ὀλίγον τείνειν χρὴ, ὥστε ὀρθὴν καὶ ἀπαρτὶ τὴν ῥῖνα εἶναι. ἔπειτα, μακρὸς γὰρ ἔστω ὁ ἱμὰς, κάτωθεν τοῦ ὠτὸς ἀγαγόντα αὐτὸν, ἀναγαγεῖν περὶ τὴν κεφαλήν· καὶ ἔξεστι μὲν κατὰ τὸ μέτωπον προσκολλῆσαι τὴν τελευτὴν τοῦ ἱμάντος. ἔξεστι δὲ μακρότερον ἄγειν. ἔπειτα περιελίσσοντα περὶ τὴν κεφαλὴν καταδεῖν. τοῦτο ἅμα μὲν δικαίην τὴν διόρθωσιν ἔχει. ἅμα δὲ εὐταμίευτον, καὶ μᾶλλον ἢν ἐθέλῃ καὶ ἧσσον τὴν ἀντιρροπίην ποιῆσαι τῆς ῥινός. ἀτὰρ καὶ ὁκόσοισιν ἐν τὸ πλάγιον ἡ ῥὶς κατάγνυται, τὰ μὲν ἄλλα ἰητρεύειν χρὴ, ὡς προείρηται. προσδέεται δὲ τοῖσι πλείστοισι καὶ τοῦ ἱμάντος πρὸς ἄκρην τὴν ῥῖνα προσκολλῆσαι τῆς ἀντιρροπίης εἵνεκα. ὅσοισι δὲ σὺν τῇ κατήξει καὶ ἕλκεα προσγίνεται, οὐδὲν δεῖ ταράσσεσθαι διὰ τοῦτο, ἀλλ' ἐπὶ μὲν τὰ ἕλκεα ἐπιτιθέναι πισσηρὴν, ἢ τῶν ἐναίμων τι, εὐαλθέα γὰρ τὰ τοιαῦτα. ὁμοίως κἢν ὀστέα μέλλῃ ἀπιέναι, τήν τε διόρθωσιν τὴν πρώτην, ἀόκνως χρὴ ποιέεσθαι μηδὲν ἐπιλείποντα, καὶ τὰς διορθώσιας τοῖσι δακτύλοισιν ἐν τῷ ἔπειτα χρόνῳ. χαλαρωτέροισι μὲν γὰρ χρεόμενον. χρεόμενον δέ. εὐπλαστότατον γάρ τι παντὸς τοῦ σώματος ἡ ῥίς ἐστι. τῶν δὲ ἱμάντων τῇ κολλήσει καὶ τῇ ἀντιρροπίῃ παντάπασιν οὐδὲν κωλύει χρῆσθαι. οὔτ' ἢν ἑλκώσῃ, οὔτ' ἢν ἐπιφλεγμήνῃ. ἀλύπητοι γάρ εἰσιν.

Ἢν δὲ οὖς καταγῇ, ἐπιδέσιες πᾶσαι πολέμιαι. οὐ γὰρ οὕτω τις χαλαρὸν περιβάλλοι. ἢν δὲ μᾶλλον πιέζῃ, πλέον κακὸν ἐργάζεται. ἐπεὶ καὶ ὑγιὲς οὖς ἐπιδέσει πιεχθὲν ὀδυνηρὸν, καὶ σφυγματῶδες, καὶ πυρετῶδες γίνεται. ἀτὰρ καὶ τὰ ἐπιπλάσματα κάκιστα μὲν τὰ βαρύτατα ἐπίπαν. ἀτὰρ καὶ τὰ πλεῖστα, φλαῦρα καὶ ἀποστατικὰ, καὶ μύξαν τε ὑποποιεῖ πλείω. κἄπειτα ἐκπυήσιας ἀσηρὰς, τούτων δὲ οὖς ἥκιστα κατεαγὲν προσδέεται. ἄγχιστα μὲν εἴπερ χρὴ τὸ γλίσχρον ἄλητον. χρὴ δὲ μηδὲ τοῦτο βάρος ἔχειν. ψαύειν δὲ ὡς ἥκιστα ξυμφέρει. ἀγαθὸν γὰρ ἐνίοτε φαρμακὸν, καὶ τὸ μηδὲν φέρειν φάρμακον καὶ πρὸς οὖς, καὶ πρὸς ἄλλα πολλά. χρὴ δὲ καὶ τὴν ἐπικοίμησιν φυλάττεσθαι. τὸ δὲ σῶμα ἰσχναίνειν, καὶ μᾶλλον, ᾧ ἂν κίνδυνος ᾖ, ἔμπυον τὸ οὖς γενέσθαι. ἄμεινον δὲ καὶ μαλθάξαι τὴν κοιλίην. ἢν δὲ καὶ εὐήμετος ᾖ, ἐμέειν ἀπὸ συρμαισμοῦ. ἢν δὲ ἐν ἐκπύησιν ἔλθῃ, ταχέως μὲν οὐ χρὴ στομοῦν. πολλὰ γὰρ καὶ τῶν δοκεόντων ἐκπυέεσθαι ἀναπίνεταί ποτε, κἢν μηδέν τις καταπλάσσῃ. ἢν δὲ ἀναγκασθῇ στομῶσαι τάχιστα μὲν ὑγιὲς γίνεται, ἤν τις πέρην διακαύσῃ. εἰδέναι μέντοι χρὴ σαφῶς, ὅτι κυλλὸν ἔσται τὸ οὖς καὶ μεῖον τοῦ ἑτέρου, ἢν πέρην διακαυθῇ. ἢν δὲ μὴ πέρην καίηται, τάμνειν χρὴ τὸ μετέωρον, μὴ πάνυ σμικρὴν τομήν. διὰ παχυτέρου μὴν καὶ τὸ πύον εὑρίσκεται, ἢ ὡς ἄν τις δοκέοι. ὡς δ' ἐν κεφαλαίῳ εἰπεῖν, καὶ πάντα τἆλλα τὰ μυξώδεα καὶ μυξοποιὰ, ἅτε γλίσχρα ἐόντα ὑποθιγγανόμενα διολισθαίνει ταχέως ὑπὸ τοὺς δακτύλους καὶ ἔνθα καὶ ἔνθα. διὰ τοῦτο διὰ παχυτέρου εὑρίσκουσι τὰ τοιαῦτα οἱ ἰητροὶ, ἢ ὡς οἴονται. ἐπεὶ καὶ τῶν γαγγλιωδέων ἔνια ὅσα ἂν πλαδαρὰ ᾖ, καὶ μυξώδεα σάρκα ἔχῃ, πολλοὶ στομοῦσιν οἰόμενοι ῥεύματα ἀνευρήσειν ἐν τὰ τοιαῦτα. ἡ μὲν οὖν γνώμη τοῦ ἰητροῦ ἐξαπατᾶται. τῷ δὲ πρήγματι, τῷ τοιούτῳ οὐδεμία βλάβη στομωθέντι. ὅσα δὲ ὑδατώδεα χωρία ἐστὶν, ἢ μύξης πεπληρωμένα, καὶ ἐν οἵοισι χωρίοισιν ἕκαστα θάνατον φέρει στομούμενα, ἢ κατὰ ἀλλοίας βλάβας, περὶ τούτων ἐν ἄλλῳ λόγῳ γεγράψεται. ὅταν οὖν τάμῃ τις τὸ οὖς, πάντων μὲν καταπλασμάτων, πάσης τε μοτώσιος ἀπέχεσθαι χρή. ἰητρεύειν δὲ ἢ ἐναίμοις, ἢ ἄλλῳ τῳ, ὅ, τι μήτε βάρος, μήτε πόνον παρέχει. ἢν γὰρ ὁ χόνδρος ἄρξηται ψιλοῦσθαι καὶ ὑποστάσιας ἴσχῃ πυρώδεας, ἢ χαλώδεας, ὀχληρόν. γίγνεται δὲ καὶ τοῦτο δι' ἐκείνας τὰς ἰήσιας. πάντων δὲ τῶν παλιγκοτησάντων ἡ πέρην διάκαυσις αὐταρκέστατον.

Σπόνδυλοι δὲ οἱ κατὰ ῥάχιν ὅσοισι μὲν ὑπὸ νοσημάτων ἕλκονται ἐς τὸ κῦφον, τὰ μὲν πλεῖστα ἀδύνατα λύεσθαι. πρὸς δὲ καὶ ὅσα ἀνωτέρω τῶν φρενῶν τῆς προσφύσιος κυφοῦται. τῶν δὲ κατωτέρω, μεθεξέτερα λύου

σι κιρσοὶ γινόμενοι ἐν τοῖσι σκέλεσι. μᾶλλον δέ τι ἐγγινόμενοι κιρσοὶ ἐν τῇ κατ' ἰγνύην φλεβίοισι δ' ἄν τι κύφωμα ἢ, λύουσιν. ἐγγίνονται δὲ καὶ ἐν τῇ κατὰ βουβῶνα. ἤδη δέ τισιν ἔλυσε καὶ ἡ δυσεντερίη πολυχρόνιος γινομένη. καὶ οἷσι μὲν κυφοῦται ῥάχις παισὶν ἐοῦσιν, πρὶν ἢ τὸ σῶμα τελειωθῆναι ἐς αὔξησιν, τούτοισι μὲν οὐδὲ συναύξεσθαι ἐθέλει κατὰ τὴν ῥάχιν τὸ σῶμα. ἀλλὰ σκέλεα μὲν καὶ χεῖρες τελειοῦνται, ταῦτα δὲ ἐνδεέστερα γίνονται. καὶ ὅσοισι ἂν ἢ ἀνωτέρω τῶν φρενῶν τὸ κῦφος, τούτοισι μὲν αἵ τε πλευραὶ οὐκ ἐθέλουσιν ἐς τὸ εὐρὺ αὔξεσθαι, ἀλλ' ἐς τοὔμπροσθεν. τό, τε στῆθος ὀξὺ γίνεται, ἀλλ' οὐ πλατύ. αὐτοί τε δύσπνοοι γίνονται, καὶ κερχνώδεες. ἧσσον γὰρ εὐρυχωρίην ἔχουσιν αἱ κοιλίαι αἱ τὸ πνεῦμα δεχόμεναι καὶ προπέμπουσαι. καὶ μέντοι καὶ ἀναγκάζονται κατὰ τὸν μέγαν σπόνδυλον λορδὸν τὸν αὐχένα ἔχειν, ὡς μὴ προπετὴς εἴη αὐτοῖσιν ἡ κεφαλή. στενοχωρίην μὲν οὖν πολλὴν τῇ φάρυγγι παρέχει καὶ τοῦτο ἐς τὸ εἴσω ῥέπον. καὶ γὰρ τοῖσιν ὀρθοῖσι φύσει δύσπνοιαν παρέχει τοῦτο τὸ ὀστέον, ἢν ἔσω ῥέψῃ, ἔστ' ἂν ἀναπιεχθῇ. δι' οὖν τὸ τοιοῦτον σχῆμα ἐξεχέβρογχοι οἱ τοιοῦτοι τῶν ἀνθρώπων μᾶλλον φαίνονται, ἢ ὑγιέες. φυματίαι τε ὡς ἐπὶ τὸ πολὺ κατὰ τὸν πνεύμονα εἰσὶν οἱ τοιοῦτοι σκληρῶν φυμάτων καὶ ἀπέπτων. καὶ γὰρ ἡ πρόφασις τοῦ κυφώματος, καὶ ἡ ξύντασις τοῖσι πλείστοισι, διὰ τοιαύτας συστροφὰς γίνεται, ᾗσιν ἂν κοινωνήσωσιν οἱ τόνοι οἱ σύνεγγυς. ὅσοισι δὲ κατωτέρω τῶν φρενῶν τὸ κύφωμά ἐστι, τούτοισιν νοσήματα μὲν ἐνίοισι προσγίνεται νεφριτικὰ, καὶ κατὰ κύστιν. ἀτὰρ καὶ ἀποστάσιες ἐς ἐμπύημά τι, καὶ κατὰ κενεῶνας, καὶ κατὰ βουβῶνας χρόνιαι, καὶ δυσαλθέες. καὶ τουτέων οὐδ' ἑτέρη λύει τὰ κυφώματα. ἰσχία δὲ τοῖσι τουτέοισιν ἔτι ἀσαρκότερα γίνεται, ἢ τοῖσιν ἄνωθεν κυφοῖσιν. ἡ μέντοι σύμπασα ῥάχις, μακροτέρη τούτοισιν, ἢ τοῖσιν ἄνωθεν κυφοῖσιν. ἥβη δὲ καὶ γένειον βραχύτερα καὶ ἀτελέστερα. καὶ ἀγονώτεροι οὗτοι, τῶν ἄνωθεν κυφῶν. εἰσὶ δ' ἂν ηὐξημένοισι ἤδη τὸ σῶμα γένηται κύφωσις τούτοισιν ἀπαντικρὺ μὲν τῆς νόσου τῆς τότε παρεούσης κρίσιν ποιέει ἡ κύφωσις. ἀνὰ χρόνον μέντοι ἐπισημαίνει τι τῶν αὐτέων, ὥσπερ καὶ τοῖσιν ἑτέροισιν, ἢ πλέον, ἢ ἔλασσον. ἧσσον δὲ κακοήθως ὡς τὸ ἐπίπαν μὲν τοιαῦτά ἐστι. πολλοὶ μέντοι ἤδη καὶ εὐφόρως ἤνεγκαν καὶ ὑγιεινῶς τὴν κύφωσιν ἄχρι γήρως. μάλιστα δὲ οὗτοι, οἷσιν ἂν ἐς τὸ εὔσαρκον καὶ πιμελῶδες προτράπηται τὸ σῶμα. ὀλίγοι μὲν ἤδη καὶ τῶν τοιούτων ὑπὲρ ἑξήκοντα ἔτη ἐβίωσαν. οἱ δὲ πλεῖστοι βραχυβιώτεροί εἰσιν. ἔστι δ' οἷσι καὶ ἐς τὸ πλάγιον σκολιοῦνται σπόνδυλοι, ἢ τῇ, ἢ τῇ. πάντα μὲν ἢ τὰ πλεῖστα τὰ τοιαῦτα γίνεται διὰ συστροφὰς τὰς ἔσωθεν ῥάχιος. προσξυμβάλλεται δὲ ἐνίοισι σὺν τῇ νούσῳ καὶ τὰ σχήματα, ἐφ' ὁκοῖα ἂν ἐθισθέωσι κεκλίσθαι. ἀλλὰ περὶ μὲν τούτων ἐν τοῖσι χρονίοισι κατὰ πνεύμονα νοσήμασιν εἰρήσεται. ἐκεῖ γάρ εἰσιν αὐτῶν χαριέσταται προγνώσιες περὶ τῶν μελλόντων ἔσεσθαι. ὅσοισι δὲ ἐκ καταπτώσιος ῥάχις κυφοῦται, ὀλίγα δὴ τούτων ἐκρατήθη, ὥστε ἐξιθυνθῆναι. τοῦτο μὲν γὰρ αἱ ἐν τῇ κλίμακι κατατάσιες, οὐδένα ἐξίθυναν, ὧν γε ἐγὼ οἶδα. χρέονται γὰρ οἱ ἰητροὶ μάλιστα αὐτῇ οὗτοι οἱ ἐπιθυμέοντες ἐκχαυνοῦν τὸν πολὺν ὄχλον. τοῖσι γὰρ τοιούτοισι ταῦτα θαυμάσιά ἐστιν, ἢν ἢ κρεμάμενον ἴδωσιν, ἢ ῥιπτούμενον, ἢ ὅσα τοῖσι τοιούτοισιν ἔοικε, καὶ ταῦτα κληΐζουσιν ἀεὶ καὶ οὐκέτι αὐτοῖσι μέλει, ὁκοῖόν τι ἀπέβη ἀπὸ τοῦ χειρίσματος, εἴτε κακὸν, εἴτε ἀγαθόν. οἱ μέντοι ἰητροὶ οἱ τὰ τοιαῦτα ἐπιτηδεύοντες, σκαιοί εἰσιν, οὓς ἔγωγε ἔγνων. τὸ μὲν γὰρ ἐπινόημα ἀρχαῖον. καὶ ἐπαινέω ἔγωγε σφόδρα τὸν πρῶτον ἐπινοήσαντα καὶ τοῦτο καὶ ἄλλο πᾶν ὅ, τι μηχάνημα κατὰ φύσιν ἐπενοήθη. οὐδὲν γάρ μοι ἄελπτον, εἴ τις καλῶς σκευάσας κατασείσειε κἂν ἐξιθυνθῆναι ἔνια. αὐτὸς μέντοι κατῃσχύνθην πάντα τὰ τοιουτότροπα ἰητρεύειν οὕτω, διὰ τοῦτο ὅτι πρὸς ἀπατεώνων μᾶλλον οἱ τοιοῦτοι τρόποι. ὅσοισι μὲν οὖν ἐγγὺς τοῦ αὐχένος ἡ κύφωσις γένηται, ἧσσον εἰκὸς ὠφελέειν τὰς κατατάσιας ταύτας, τὰς ἐπὶ κεφαλήν. μακρὸν γὰρ τὸ βάρος ἡ κεφαλή. καὶ τὰ ἀκρώμια καταρρέποντα. ἀλλὰ τούς γε τοιούτους εἰκὸς ἐπὶ τοὺς πόδας κατασεισθέντας μᾶλλον ἐξιθυνθῆναι, μέζων γὰρ οὕτως ἡ καταρροπίη ἐπὶ τὰ τοιαῦτα. ὅσοισι δὲ κατωτέρω τὸ ὕβωμα, τούτοισιν εἰκὸς μᾶλλον ἐπὶ κεφαλὴν κατασείεσθαι. εἰ οὖν τις ἐθέλει κατασείειν, ὀρθῶς ἂν ὧδε σκευάζοι. τὴν κλίμακα χρὴ σκυτίνοισιν ἐν ὑποκεφαλαίοισιν πλαγίοισιν, ἢ ἐρινεοῖσι καταστορέσαι εὖ προσδεδεμένοισιν ὀλίγῳ πλέον καὶ ἐπὶ μῆκος, καὶ ἔνθεν καὶ ἔνθεν, ἢ ὅσον ἂν τὸ σῶμα τοῦ ἀνθρώπου κατάσχοι. ἔπειτα τὸν ἄνθρωπον ὕπτιον κατακλῖναι ἐπὶ τὴν κλίμακα χρή. κἄπειτα προσδῆσαι μὲν τοὺς πόδας παρὰ τὰ σφυ-

ρὰ πρὸς

ρὰ πρὸς τὴν κλίμακα μὴ διαβεβῶτα, ἐν δεσμῷ εὐόχῳ μὲν μαλθακῷ δέ. προσδῆσαι δὲ κατωτέρω ἑκατέρου τῶν γουνάτων, καὶ ἀνωτέρω. προσδῆσαι δὲ καὶ κατὰ τὰ ἰσχία. κατὰ δὲ τοὺς κενεῶνας καὶ κατὰ τὸ στῆθος χαλαρῇσι ταινίῃσι περιβαλέειν οὕτως ὅκως μὴ κωλύωσι τὴν κατάσεισιν. τὰς δὲ χεῖρας παρὰ τὰς πλευρὰς περιτείναντα προσκαταβαλεῖν πρὸς αὐτὸ τὸ σῶμα, καὶ μὴ πρὸς τὴν κλίμακα. ὅταν δὲ ταῦτα κατασκευάσῃς οὕτως, ἀνέλκειν τὴν κλίμακα ἢ πρὸς τύρσιν τινὰ ὑψηλὴν, ἢ πρὸς ἀέτωμα οἴκου. τὸ δὲ χωρίον ἵνα ὅκου κατασείεις, ἀντίτυπον ἔστω. τοὺς δὲ ἀνατείνοντας εὐπαιδεύτους χρὴ εἶναι, ὅκως ὁμαλῶς, καὶ καλῶς καὶ ἰσορρόπως, καὶ ἐξαπιναίως ἀφήσωσι, καὶ μήτε ἡ κλίμαξ ἑτερόρροπος ἐς γῆν ἀφίξεται, μήτε αὐτοὶ προπετέες ἔσονται. ἀπὸ μέντοι τύρσιος ἀφιεὶς ἢ ἀπὸ ἱστοῦ καταπεπηγότος καρχήσιον ἔχοντος, ἔτι κάλλιον ἄν τις σκευάσαιτο, ὥστε ἀπὸ τροχιλίης τὰ χαλώμενα εἶναι ὅπλα ἢ ἀπὸ ὄνου. ἀηδὲς μὴν καὶ μακρηγορεῖν περὶ τούτων. ὅμως δὲ ἐκ τουτέων ἂν τῶν κατασκευῶν, μάλιστα ἄν τις κατασεισθείη. εἰ μέν τι κάρτα ἄνω εἴη τὸ ὕβωμα, δέοι δὲ κατασείειν πάντως ἤδη, ποδίας λυσιτελεῖ, ὥσπερ ἤδη εἴρηται. πλέον γὰρ οὕτω γίνεται ἡ καταρροπίη ἤδη ταῦτα. ἑρμῆσαι μὲν οὖν κατὰ μὲν τὸ στῆθος πρὸς τὴν κλίμακα προσδήσαντα ἰσχυρῶς. κατὰ δὲ τὸν αὐχένα, ὡς χαλαρωτάτῃ ταινίῃ ὅσον τοῦ κατορθοῦσθαι εἵνεκα· καὶ αὐτὴν τὴν κεφαλὴν κατὰ τὸ μέτωπον προσδῆσαι πρὸς τὴν κλίμακα. τὰς δὲ χεῖρας παρατανύσαντα πρὸς τὸ σῶμα προσδῆσαι, μὴ πρὸς τὴν κλίμακα. τὸ μέντοι ἄλλο σῶμα, ἄδετον εἶναι χρὴ, πλὴν ὅσον τοῦ κατορθοῦσθαι εἵνεκα, ἄλλῃ καὶ ἄλλῃ ταινίῃ χαλαρῇ περιβεβλῆσθαι. ὅκως δὲ μὴ κωλύωσιν οὗτοι οἱ δεσμοὶ τὴν κατάσεισιν, σκοπέειν. τὰ δὲ σκέλεα πρὸς μὲν τὴν κλίμακα μὴ προσδεδέσθω. πρὸς ἄλληλα δὲ ὡς κατὰ τὴν ῥάχιν, ἰθύρροπα ἔῃ. ταῦτα μέντοι τοιουτοτρόπως ποιητέα, εἰ πάντως δέοι, ἐν κλίμακι κασεισθῆναι. αἰσχρὸν μέντοι καὶ ἐν πάσῃ τέχνῃ, καὶ οὐχ ἥκιστα ἐν ἰητρικῇ πολὺν ὄχλον, καὶ πολλὴν ὄψιν, καὶ πολὺν λόγον παρασχόντα, ἔπειτα μηδὲν ὠφελῆσαι. χρὴ δὲ πρῶτον μὲν γινώσκειν τὴν φύσιν τῆς ῥάχιος οἵη τίς ἐστιν. ἐν πολλοῖς γὰρ νοσήμασι, προσδέοι ἂν αὐτῆς. τὸ μὲν γὰρ πρὸς τὴν κοιλίην ῥέπον οἱ σπόνδυλοι ἐν τοῖς ἀρτίοι εἰσὶν ἀλλήλοισι. καὶ δέδενται πρὸς ἀλλήλους δεσμῷ μυξώδει καὶ νευρώδει ἀπὸ χονδρίων ἀποπεφυκότι ἄχρι πρὸς τὸν νωτιαῖον. ἄλλοι δέ τινες τόνοι νευρώδεες διανταῖοι πρόσφυτοι παρατέτανται ἔνθεν καὶ ἔνθεν αὐτῶν. αἱ δὲ φλεβῶν καὶ ἀρτηριῶν κοινωνίαι, ἐν ἑτέρῳ λόγῳ δεδηλώσονται. ὅσαι τε καὶ οἷαι καὶ ὅθεν ὡρμημέναι. καὶ ἐν οἵοισιν οἷα δύνανται. αὐτὸς δὲ ὁ νωτιαῖος οἵοισιν ἐλλύτρωται ἐλλύτροισι, καὶ ὅθεν ὡρμημένοισι, καὶ ὅπῃ κραίνουσι, καὶ οἷσι κοινωνέουσι, καὶ οἷα δυναμένοισιν. ἐν δὲ τῷ ἐπέκεινα ἐν ἄρθροισι γιγγλύμωνται πρὸς ἀλλήλους οἱ σπόνδυλοι. τόνοι δὲ κοινοὶ παρὰ πάντας, καὶ ἐν τοῖσιν ἔξω μέρεσι, καὶ ἐν τοῖσιν ἔσω παρατέτανται. ἀπόφυσίς τε ἐστὶν ὀστέου ἐκ τοῦ ἔξω μέρεος ἀπὸ πάντων τῶν σπονδύλων μία ἀφ' ἑνὸς ἑκάστου, ἀπό τε τῶν μειζόνων, ἀπό τε τῶν ἐλασσόνων. ἐπὶ δὲ τῇσιν ἀποφύσεσιν ταύτῃσι χονδρίων ἐπιφύσιες. καὶ ἀπ' ἐκείνων νεύρων ἀποβλάστησις ἠδελφισμένη τοῖσιν ἐξωτάτω τόνοισι. πλευραὶ προσπεφύκασιν ἐκ τοῦ ἔσω μέρεος τὰς κεφαλὰς ῥέπουσαι μᾶλλον, ἢ ἐκ τοῦ ἔξω. καθ' ἕνα δὲ ἕκαστον τῶν σπονδύλων προσήρθρωνται. καμπυλώταται δὲ πλευραὶ ἀνθρώπου εἰσὶ, ῥαιβοειδέα τρόπον. τὸ δὲ μεσηγὺ τῶν πλευρέων καὶ τῶν ὀστέων τῶν ἀποπεφυκότων ἀπὸ τῶν σπονδύλων, ἀποπληρέουσιν ἑκατέρωθεν οἱ μύες ἀπὸ τοῦ αὐχένος ἀρξάμενοι, ἄχρι τῶν φρενῶν τῆς προσφύσιος. αὐτὴ δὲ ἡ ῥάχις κατὰ μῆκος ἰθυσκολιός ἐστι. ἀπὸ μὲν τοῦ ἱεροῦ ὀστέου ἄχρι τοῦ μεγάλου σπονδύλου παρ' ὃν προσήρτηται τῶν σκελέων ἡ πρόσφυσις, ἄχρι μὲν τούτου κυφή. κύστις τε γὰρ καὶ γοναὶ, καὶ ἀρχοῦ τὸ χαλαρὸν ἐν τουτέῳ ἔκτισται. ἀπὸ δὲ τούτου ἄχρι φρενῶν προσαρτήσιος, ἰθυλορδή. καὶ παραφύσιας ἔχει μυῶν, τοῦτο μοῦνον τὸ χωρίον ἐκ τῶν ἔσωθεν, ἃς δὴ καλέουσι ψόας. ἀπὸ δὲ τούτου ἄχρι τοῦ μεγάλου σπονδύλου, τοῦ ὑπὲρ τῶν ἐπωμίδων ἰθυκυφή. ἔτι δὲ μᾶλλον δοκεῖ ἢ ἐστίν. ἡ γὰρ ἄκανθα κατὰ μέσον ὑψηλοτάτας τὰς ἐκφύσιας τῶν ὀστέων ἔχει, ἔνθεν δὲ καὶ ἔνθεν ἐλάσσους. αὐτὸ δὲ τὸ ἄρθρον τοῦ αὐχένος λορδόν ἐστιν. ὁκόσοισι μὲν οὖν κυφώματα γίνεται κατὰ τοὺς σπονδύλους, ἔξωσις μὲν μεγάλη ἀπορραγεῖσα ἀπὸ τῆς συμφύσιος, ἢ ἑνὸς σπονδύλου, ἢ καὶ πλειόνων, οὐ μάλα πολλοῖσι γίνεται, ἀλλ' ὀλίγοισιν. οὐδὲ γὰρ τὰ τρώματα τὰ τοιαῦτα ῥηΐδιον γίνεσθαι, οὔτε γὰρ ἐκ τοῦ ἔξω ἐξωσθῆναι ῥηΐδιόν ἐστιν, εἰ μὴ ἐκ τοῦ ἔμπροσθεν ἰσχυρῷ τινὶ τρωθείη διὰ τῆς κοιλίης. οὕτω δ' ἂν ἀπόλλοιτο, ἢ εἴ τις ἀφ' ὑψηλοῦ τοῦ χωρίου πεσὼν, ἐρείσειε τοῖσιν ἰσχίοισιν, ἢ τοῖσιν

ὤμοισιν. ἀλλὰ καὶ οὗτος ἂν ἀποθάνοι, παραχρῆμα δὲ οὐκ ἂν ἀποθάνοι. ἐκ δὲ τοῦ ὄπισθεν οὐ ῥηΐδιον τοιαύτην ἔξαλσιν γενέσθαι ἐς τὸ ἔσω, εἰ μὴ ὑπερβαρύ τι ἄχθος ἐμπέσοι. τῶν τε γὰρ ὀστέων τῶν ἐκπεφυκότων ἔξωθεν ἕκαστον τοιοῦτόν ἐστιν, ὥστε πρόσθεν ἂν αὐτὸ καταγείη, πρὶν ἢ μεγάλην ῥοπὴν ἔσω ποιῆσαι, τούς τε συνδέσμους βιασάμενον, καὶ τὰ ἄρθρα τὰ ἐνηλλαγμένα. ὅ, τε ἂν νωτιαῖος πονοίη ἄν, εἰ ἐξ ὀλίγου χωρίου τὴν περικαμπὴν ἔχοι τοιαύτην ἔξαλσιν ἐξαλλομένου σπονδύλου, ὅ, τ' ἐκπηδήσας σπόνδυλος πιέζοι ἂν τὸν νωτιαῖον, εἰ μὴ καὶ ἀπορρήξειε. πιεχθεὶς δ' ἂν καὶ ἀπολελαμμένος πολλῶν ἂν καὶ μεγάλων καὶ ἐπικαίρων ἀπονάρκωσιν ποιήσειεν. ὥστε οὐκ ἂν μέλοι περὶ ἰητρῷ, ὅκως χρὴ τὸν σπόνδυλον κατορθῶσαι, πολλῶν καὶ βιαίων ἄλλων κακῶν παρεόντων. ὥστε δὴ οὐδ' ἐμβαλεῖν οἷόν τε οὔτε κατασείσαι, οὔτ' ἄλλῳ τρόπῳ τινί, πρόδηλον τὸ τοιοῦτον, εἰ μή τις διαταμὼν τὸν ἄνθρωπον, ἔπειτα ἐμβασάμενος ἐς τὴν κοιλίην, ἐκ τοῦ ἔσωθεν τῇ χειρὶ ἐς τὸ ἔξω ἀντωθέοι. καὶ ταῦτα νεκρῷ μὲν οἷόν τε ποιέειν, ζῶντι δὲ οὐ πάνυ. διὰ τί οὖν ταῦτα γράφω; ὅτι οἴονταί τινες ἰητρευκέναι ἀνθρώπους, οἷσιν ἔσωθεν ἔπεσον σπόνδυλοι τελέως ὑπερβάλλοντες τὰ ἄρθρα, καίτοιγε ῥηΐστην ἐς τὸ περιγενέσθαι τῶν διαστροφέων ταύτην ἔνιοι νομίζουσι, καὶ οὐδὲν δεῖσθαι ἐμβολῆς, ἀλλ' αὐτόματα ὑγιέα γίνεσθαι τὰ τοιαῦτα. ἀγνοέουσι δὲ πολλοί, καὶ κερδαίνουσιν ὅτι ἀγνοέουσιν. πείθουσι γὰρ τοὺς πέλας. ἐξαπατῶνται δὲ διὰ τόδε. οἴονται τὴν ἄκανθαν τὴν ἐξέχουσαν κατὰ τὴν ῥάχιν ταύτην τοὺς σπονδύλους αὐτοὺς εἶναι, ὅτι στρογγύλον αὐτῶν ἕκαστον φαίνεται ψαυόμενον, ἀγνοοῦντες ὅτι τὰ ὀστέα ταῦτά ἐστι τὰ ἀπὸ τῶν σπονδύλων πεφυκότα, περὶ ὧν ὁ λόγος ὀλίγῳ πρόσθεν εἴρηται. οἱ δὲ σπόνδυλοι, πολὺ προσωτέρω ἄπεισι. στενοτάτην γὰρ πάντων ζώων ἄνθρωπος κοιλίην ἔχει ὡς ἐπὶ μεγέθει ἀπὸ τοῦ ὄπισθεν ἐς τὸ ἔμπροσθεν. ποτὶ καὶ κατὰ τὸ στῆθος. ὅταν οὖν τι τούτων τῶν ὀστέων τῶν ὑπερεχόντων ἰσχυρῶς καταγῇ, ἤν τε ἕν, ἤν τε πλείω, ταύτῃ ταπεινότερον τὸ χωρίον γίνεται, ἢ τὸ ἔνθεν καὶ ἔνθεν. διὰ τοῦτο ἐξαπατῶνται οἰόμενοι τοὺς σπονδύλους ἔσω οἴχεσθαι. προσεξαπατᾷ δὲ ἔτι αὐτοὺς καὶ τὰ σχήματα τῶν τετρωμένων. ἢν μὲν γὰρ πειρῶνται καμπύλεσθαι, ὀδυνῶνται, περιτενέος γινομένου ταύτῃ τοῦ δέρματος, ᾗ τέτρωνται, καὶ ἅμα τὰ ὀστέα τὰ κατεηγότα ἐνθράσσει οὕτω μᾶλλον τὸν χρῶτα. ἢν δὲ λορδαίνουσι ῥάους εἰσί. χαλαρώτερον γὰρ τὸ δέρμα κατὰ τὸ τρῶμα ταύτῃ γίνεται, καὶ τὰ ὀστέα ἧσσον ἐνθράσσει. ἀτὰρ καὶ ἤν τις ψαύῃ αὐτῶν, κατὰ τοῦτο ὑπείκουσι λορδοῦντες, καὶ τὸ χωρίον κενεὸν καὶ μαλθακὸν ψαυόμενον ταύτῃ φαίνεται. ταῦτα πάντα τὰ εἰρημένα προσεξαπατᾷ τοὺς ἰητρούς. ὑγιέες δὲ ταχέως καὶ ἀσινέες αὐτόματοι οἱ τοιοῦτοι γίνονται. ταχέως γὰρ πάντα τὰ τοιαῦτα ὀστέα ἐπιπωροῦται ὅσα χαῦνά ἐστι. σκολιαίνεται μὲν οὖν ῥάχις, καὶ ὑγιαίνουσι, κατὰ πολλοὺς τρόπους. καὶ γὰρ ἐν τῇ φύσει καὶ ἐν τῇ χρήσει, οὕτως ἔχει, ἀτὰρ καὶ ὑπὸ γήραος, καὶ ὑπὸ ὀδυνημάτων ἐπεὶ ξυνδετική ἐστιν. αἱ δὲ δὴ κυφώσιες, αἱ ἐν τοῖσι πτώμασιν ὡς ἐπὶ τὸ πολὺ γίνονται, ἢν ἢ τοῖσιν ἰσχίοισιν ἐρείσῃ, ἢ ἐπὶ τοὺς ὤμους πέσῃ. ἀνάγκη γὰρ ἔξω φαίνεσθαι ἐν τῷ κυφώματι ἕνα μέν τινα ὑψηλότατον τῶν σπονδύλων. τοὺς δὲ ἔνθεν καὶ ἔνθεν, ἐπὶ ἧσσον. οὐχ οὕτως ὡς ἐπὶ πολὺ ἀποπεπηδηκὼς ἀπὸ τῶν ἄλλων ἐστίν, ἀλλὰ μικρὸν ἦν ἕκαστος συνδιδοῖ, ἀθρόως πολύ. διὰ οὖν τοῦτο καὶ ὁ νωτιαῖος μυελὸς εὐφόρως φέρει τὰς τοιαύτας διαστροφάς, ὅτι κυκλώδης αὐτῷ ἡ διαστροφὴ γίνεται, ἀλλ' οὐ γωνιώδης. χρὴ δὲ τὴν κατασκευὴν τοῦ διαναγκασμοῦ τοιήνδε κατασκευάσαι. ἔξεστι μὲν ξύλον ἰσχυρὸν καὶ πλατύ, ἐντομὴν παραμήκεα ἔχον κατορύξαι. ἔξεστι δὲ καὶ ἀντὶ τοῦ ξύλου ἐν τοίχῳ ἐντομὴν παραμήκεα ἐνταμεῖν, ἢ πήχει ἀνωτέρω τοῦ ἐδάφεος, ἢ ὅκως ἂν μετρίως ἔχῃ. ἔπειτα οἷον στύλον δρυΐνον, τετράγωνον, πλάγιον, παραβάλλειν, ἀπολείποντα ἀπὸ τοῦ τείχου ὅσον παρελθεῖν τινὰ ἢν δέῃ. καὶ ἐπὶ μὲν τὸν στύλον ἐπιστορέσαι, ἢ χιτῶνας, ἢ ἄλλο τι ὃ μαλθακὸν μὲν ἔσται, ὑπείξει δὲ μὴ μέγα. τὸν δὲ ἄνθρωπον πυριῆσαι. ἢν δὲ δέχηται πολλῷ καὶ θερμῷ λούσας, κἄπειτα πρηνέα κατακλῖναι κατατεταμένον. καὶ τὰς μὲν χεῖρας αὐτοῦ παρατέναντα κατὰ φύσιν προσδῆσαι πρὸς τὸ σῶμα. ἱμάντι δὲ μαλθακῷ ἱκανῷ πλατεῖ τε καὶ μακρῷ ἐκ δύο διαντέων ξυμβεβλημένῳ μέσῳ, κατὰ μέσον τὸ στῆθος δὶς περιβεβλῆσθαι χρή, ὡς ἐγγυτάτω τῶν μασχαλέων. ἔπειτα τὸ περισσεῦον τῶν ἱμάντων κατὰ τὴν μασχάλην ἑκάτερον περὶ τοὺς ὤμους περιβεβλήσθω. ἔπειτα αἱ ἀρχαὶ πρὸς ξύλον ὑπεροειδές τι προσδεδέσθωσαν, ἁρμόζουσαι κατὰ μῆκος τῷ ξύλῳ τῷ ὑποτεταμένῳ πρὸς ὅ, τι προσβάλλον τὸ ὑπεροειδὲς ἀντιστηρίζοντα κατατείνειν. τοιούτῳ δέ τινι ἑτέρῳ δεσμῷ χρὴ ἄνωθεν τῶν γουνάτων διὰ

ζαντα

ἐόντα καὶ ἄνωθεν τῶν πτερνέων, τὰς ἀρχὰς τῶν ἱμάντων πρὸς τοιοῦτό τι ξύλον προσδῆσαι. ἄλλῳ δὲ ἱμάντι πλατεῖ καὶ μαλθακῷ καὶ δυνατῷ ταινιοειδεῖ, πλάτος ἔχοντι καὶ μῆκος ἱκανὸν, ἰσχυρῶς περὶ τὰς ἰξύας κύκλῳ περιδεδέσθαι ὡς ἐγγύτατα τῶν ἰσχίων. ἔπειτα τὸ περισσεῦον τοῦ ταινιοειδέος ἅμα ἀμφοτέρας τὰς ἀρχὰς τῶν ἱμάντων, πρὸς τὸ ξύλον προσδῆσαι πρὸς τῶν ποδῶν. κἄπειτα κατατείνειν ἐν τούτῳ τῷ σχήματι καὶ ἔνθεν καὶ ἔνθεν, ἅμα μὲν ἰσοῤῥόπως, ἅμα δὲ, ἐς ἰθύ. οὐδὲν γὰρ ἂν μέγα κακὸν ἡ τοιαύτη κατάτασις ποιήσῃ εἰ χρηστῶς σκευασθείη. εἰ μὴ ἄρα διὰ ἐπίτηδες τις βούλοιτο τείνεσθαι. τὸν δὲ ἰητρὸν χρὴ, ἢ ἄλλον ὅς τις ἰσχυρὸς, καὶ μὴ ἀμαθὴς, ἐπιθέντα τὸ θέναρ τῆς χειρὸς ἐπὶ τὸ ὕβωμα, καὶ τὴν ἑτέραν χεῖρα προσεπιθέντα ἐπὶ τὴν ἑτέραν, καταναγκάζειν προσξυνιέντα. ἤν τε ἐς ἰθὺ ἐς τὸ κάτω πεφύκῃ καταναγκάζεσθαι. ἤν τε πρὸς τῆς κεφαλῆς. ἤν τε πρὸς τῶν ἰσχίων. καὶ ἀσινεστάτη μὲν αὕτη ἡ ἀνάγκη. ἀσινὲς δὲ καὶ ἐπικαθίζεσθαί τινα ἐπὶ τὸ κύφωμα τοῦ ἅμα κατατεινομένου ἐνσεῖσαι μετεωρισθέντα. ἀτὰρ καὶ ἐπιβῆναι τῷ ποδὶ, καὶ ὀχηθῆναι ἐπὶ τὸ κύφωμα. ἡσύχως τε ἐπενσεῖσαι, οὐδὲν κωλύει. τὸ τοιοῦτο δὲ ποιῆσαι μετρίως ἐπιτήδειος ἂν τις εἴη τῶν ἀμφὶ παλαίστρην εἰθισμένων. δυνατωτάτη μέν τοι τῶν ἀναγκέων ἐστὶν, εἰ ὁ μὲν τοῖχος ἐντετμημένος εἴη. τὸ δὲ ξύλον τὸ κατορωρυγμένον, ἢ ἐντέτμηται, κατωτέρω εἴη τῆς ῥάχιος τοῦ ἀνθρώπου, ὁκόσῳ ἂν δοκέῃ μετρίως ἔχειν. σανὶς δὲ φιλυρίνη μὴ λεπτὴ ἐνείη, ἢ καὶ ἄλλου τινὸς ξύλου. ἔπειτα ἐπὶ τὸ ὕβωμα ἐπιτεθείη, ἢ τρύχιόν τι πολύπτυχον, ἢ μικρόν τι σκύτινον ὑποκεφάλαιον, ὡς ἐλάχιστα μὴν ὑποκεῖσθαι ξυμφέρει, μόνον προμηθεόμενον, ὡς μὴ ἡ σανὶς ὑπὸ σκληρότητος ὀδύνην παρὰ καιρὸν προσπαρέχῃ. κατὰ ἴξιν δὲ ἔστω ὡς μάλιστα τῇ ἐντομῇ τῇ ἐς τὸν τοῖχον, τὸ ὕβωμα. ὡς ἂν ἡ σανὶς, ᾗ μάλιστα διέστηκεν, ταύτῃ μάλιστα πιέζῃ ἐπιτεθεῖσα. ὅταν δὲ ἐπιτεθῇ, τὸν μέν τινα καταναγκάζειν χρὴ τὸ ἄκρον τῆς σανίδος, ἤν τε ἕνα δέῃ, ἤν τε δύο. τοὺς δὲ κατατείνειν τὸ σῶμα κατὰ μῆκος, ὡς πρόσθεν εἴρηται. τοὺς μὲν, τῇ. τοὺς δὲ, τῇ. ἔξεστι δὲ καὶ ὀνίσκοισι τὴν κατάτασιν ποιέεσθαι, ἢ παρακατορύξαντα παρὰ τὸ ξύλον, ἢ ἐν αὐτῷ τῷ ξύλῳ τὰς φλιὰς τῶν ὀνίσκων ἐντεκτηνάμενον, ἤν τε ὀρθὰς ἐθέλῃς ἑκατέρωθεν μικρὸν ὑπερεχούσας. ἤν τε κατὰ κορυφὴν τοῦ ξύλου ἔνθεν καὶ ἔνθεν. αὗται αἱ ἀνάγκαι, εὐταμίευτοί εἰσιν, καὶ ἐς τὸ ἰσχυρότερον. καὶ ἐς τὸ ἧσσον. καὶ ἰσχὺν ἔχουσι τοιαύτην, ὥστε καὶ εἴ τις ἐπὶ λύμῃ βούλοιτο, ἀλλὰ μὴ ἐπὶ ἰητρείῃ, ἐς τοιαύτας ἀνάγκας ἀγαγεῖν, κἂν τούτῳ ἰσχυρῶς δύνασθαι. καὶ γὰρ ἂν κατατείνων κατὰ μῆκος μοῦνον ἔνθεν καὶ ἔνθεν οὕτω καὶ ἄλλην ἀνάγκην οὐδεμίην προσθεὶς ὅμως κατατείνειεν ἄν τις. ἀλλὰ μὴν καὶ ἢν μὴ κατατείνων, αὐτῇ δὲ μούνῃ τῇ σανίδι οὕτως εἰ ποιέοι τις, καὶ οὕτως ἱκανῶς καταναγκάσειε. καλαὶ οὖν αἱ τοιαῦται ἰσχύες εἰσὶν ᾗσιν ἔξεστιν καὶ ἀσθενεστέρῃσι, καὶ ἰσχυροτέρῃσι χρέεσθαι αὐτὸν ταμιεύοντα. καὶ μὲν δὴ καὶ κατὰ φύσιν γε ἀναγκάζουσι. τὰ μὲν γὰρ διεστεῶτα ἐς τὴν χώρην ἀναγκάζει καὶ ἡ ἵππωσις ἰέναι. τὰ δὲ ξυνελθόντα κατὰ φύσιν, κατατείνουσιν αἱ κατὰ φύσιν κατατάσιες. οὔκουν ἐγὼ ἔχω τουτέων ἀνάγκας καλλίους, οὐδὲ δικαιοτέρας. ἡ γὰρ κατ᾽ αὐτὴν τὴν ἄκανθαν ἰθυωρίη τῆς κατατάσιος κάτωθέν τε καὶ κατὰ τὸ ἱερὸν ὀστέον καλεόμενον, οὐκ ἔχει ἐπιλαβὴν οὐδεμίην. ἄνωθεν δὲ κατὰ τὸν αὐχένα καὶ κατὰ τὴν κεφαλὴν, ἐπιλαβὴν μὲν ἔχει, ἀλλ᾽ ἐς ἰδέην γε, ἀπρεπής. ταύτῃ τοι γινομένη ἡ κατάτασις καὶ ἄλλας βλάβας ἂν προσπαρέχοι πλεονασθεῖσα. ἐπειρήθην δὲ δή ποτε ὕπτιον τὸν ἄνθρωπον κατατείνας, ἀσκὸν ἀφύσητον ὑποθεῖναι ὑπὸ τὸ ὕβωμα. κἄπειτα αὐλὸν ἐκ χαλκέως ἐς τὸν ἀσκὸν τὸν ὑποκείμενον ἐνιέντα, φυσᾶν. ἀλλά μοι οὐκ εὐπορεῖτο. ὅτε μὲν γὰρ εὖ κατατείνοιμι τὸν ἄνθρωπον ἡσσᾶτο ὁ ἀσκὸς καὶ οὐκ ἠδύνατο ἡ φῦσα ἐπαναγκάζεσθαι. καὶ ἄλλως ἑτοῖμον περιολισθάνειν ἦν, ἅτε ἐς τὸ αὐτὸ ἀναγκαζόμενον τό, τε τοῦ ἀνθρώπου ὕβωμα, καὶ τὸ τοῦ ἀσκοῦ πληρουμένου κύρτωμα. ὅτε δ᾽ αὖ μὴ κάρτα κατατείνοιμι τὸν ἄνθρωπον, ὁ μὲν ἀσκὸς ὑπὸ τῆς φύσης ἐκυρτοῦτο. ὁ δὲ ἄνθρωπος, πάντῃ μᾶλλον ἐλορδαίνετο ἢ συνέφερεν. ἔγραψα δὲ ἐπίτηδες τοῦτο. καλὰ γὰρ καὶ ταῦτα μαθήματά ἐστι, ἃ πειρηθέντα, ἀπορηθέντα ἐφάνη, καὶ δι᾽ ἅσσα ἠπορήθη. Ὅσοισι δὲ οὖν τὸ ἔσω σκολιαίνονται οἱ σπόνδυλοι ὑπὸ πτώματος, ἢ καὶ ἐμπεσόντος τινὸς βαρέος, εἷς μὲν οὐδεὶς τῶν σπονδύλων μέγα ἐξίσταται κάρτα ὡς ἐπὶ τὸ πολὺ ἐκ τῶν ἄλλων. ἢν δὲ ἐκστῇ μέγα, ἢ εἷς, ἢ πλέονες, θάνατον φέρουσιν, ὥσπερ δὴ καὶ πρόσθεν εἴρηται, κυκλώδης καὶ αὕτη, καὶ οὐ γωνιώδης γίνεται ἡ παραλλαγή. οὖρα μὲν οὖν τοῖσι τοιούτοισι καὶ ἀπόπατος μᾶλλον ἴσχεται, ἢ τοῖς ἔξω κυφοῖσι. καὶ

πόδες καὶ ὅλα τὰ σκέλεα ψύχεται μᾶλλον. καὶ θανατηφόρα ταῦτα μᾶλλον, ὧν ἔφην. καὶ ἢν περιγίνωνται δέ, ῥυώδεες τὰ οὖρα μᾶλλον οὗτοι. καὶ τῶν σκελέων ἀκρατέστεροι καὶ ναρκωδέστεροι. ἢν δὲ καὶ ἐν τῷ ἄνω μέρει, μᾶλλον τὸ λόρδωμα γένηται, παντὸς τοῦ σώματος ἀκρατέες καὶ νεναρκωμένοι γίνονται. μηχανὴν δὲ οὐκ ἔχω οὐδεμίην ἔγωγε ὅκως χρὴ τὸν τοιοῦτον ἐς τὸ αὐτὸ καταστῆσαι, καὶ εἰ μή τινα ἡ κατὰ τῆς κλίμακος κατάσεισις, ὠφελέειν οἵη τε εἴη. ἢ καὶ ἄλλη τις τοιαύτη ἴησις, ἢ κατάσεισις, οἵηπερ ὀλίγῳ πρόσθεν εἴρηται. κατανάγκασιν δὲ σὺν τῇ κατασείσει οὐδεμίην ἔχω, ἥ τις ἂν γίνοιτο, ὥσπερ τῷ κυφώματι τὴν κατανάγκασιν ἡ σανὶς ἐποιέετο. πῶς γὰρ ἄν τις ἐκ τοῦ ἔμπροσθεν διὰ τῆς κοιλίης ἀναγκάσαι δύναιτο; οὐ γὰρ οἷόν τε, ἀλλὰ μὴν, οὔτε βῆχες, οὔτε πταρμοὶ οὐδεμίην δύναμιν ἔχουσιν ὥστε τῇ κατατάσει συντιμωρέειν. οὐ μὴν οὐδ᾽ ἔνεσις φύσης ἐνιεμένης ἐς τὴν κοιλίην, οὐδὲν ἂν δυνηθῇ. καὶ μὴν αἱ μεγάλαι σικύαι προσβαλλόμεναι ἀνασπάσιος εἵνεκα δῆθεν τῶν εἴσω ῥεπόντων σπονδύλων μεγάλη ἁμαρτὰς γνώμης ἐστίν. ἀπωθέουσι γὰρ μᾶλλον ἢ ἀνασπῶσι καὶ οὐδ᾽ αὐτὸ τοῦτο γινώσκουσιν οἱ προσβάλλοντες. ὅσῳ γὰρ ἄν τις μείζω προσβάλλῃ, τοσούτῳ μᾶλλον λορδοῦνται οἱ προσβληθέντες συναναγκαζομένου ἄνω τοῦ δέρματος. τρόπους δὲ ἄλλους κατασεισίων ἢ οἷοι πρόσθεν εἴρηνται ἔχοιμι ἂν εἰπεῖν, ἁρμόσαι οὓς ἄν τις δοκέῃ τῷ παθήματι μᾶλλον, ἀλλ᾽ οὐ κάρτα πιστεύω αὐτοῖς. διὰ τοῦτο οὐ γράφω. ἀθρέον δὴ ξυνιέναι χρὴ περὶ τούτων ὧν ἐν κεφαλαίῳ εἴρηται. ὅτι τὰ μὲν εἰς τὸ λορδὸν ῥεύσαντα ὀλέθριά ἐστι καὶ σινόμωρα. τὰ δὲ ἐς τὸ κῦφον ἀσινέα θανάτου, καὶ οὔρων σχεσίων καὶ ἀποναρκωσίων τὸ ἐπίπαν. οὐ γὰρ ἐκτείνει τοὺς ὀχετοὺς τοὺς κατὰ τὴν κοιλίην, οὐδὲ κωλύει διαρρόους εἶναι, ἡ ἐς τὸ ἔξω κύφωσις. ἡ δὲ λόρδωσις ταῦτα ἀμφότερα ποιέει, καὶ ἐς τὰ ἄλλα πολλὰ προσγίνεται. ἐπεί τοι πολὺ πλείονες σκελέων τε καὶ χειρῶν ἀκρατέες γίνονται καὶ καταναρκοῦνται τὸ σῶμα, καὶ οὖρα τούτοισιν ἴσχεται, οἷσι δὲ ἂν μὴ ἐξστῇ μὲν τὸ ὕβωμα μήτε ἔξω, μήτε ἔσω. σεισθέωσι δὲ ἰσχυρῶς ἐς τὴν ἰθυωρίην τῆς ῥάχιος. οἷσι δὲ ἂν ἐξστῇ μὲν τὸ ὕβωμα, ἧσσον τοιαῦτα πάσχουσιν. πολλὰ δὲ καὶ ἄλλα ἐν ἰητρικῇ ἄν τις θεήσαιτο, ὧν τὰ μὲν ἰσχυρὰ ἀσινέα ἐστὶ καθ᾽ ἑωυτὰ τὴν κρίσιν ὅλην λαμβάνοντα τοῦ νοσήματος. τὰ δὲ ἀσθενέστερα σινόμωρα καὶ ἀποτόκους νοσημάτων χρονίους ποιέοντα, καὶ κοινωνέοντα καὶ τῷ ἄλλῳ σώματι ἐπὶ πλέον. ἐπεὶ καὶ πλευρέων κάτηξις, τοιοῦτόν τι πέπονθεν. οἷσι μὲν γὰρ ἂν καταγῇ πλευρὴ μία ἢ πλέονες ὡς τοῖσι πλείστοισι κατάγνυνται, μὴ διασχόντα τὰ ὀστέα ἐς τὸ εἴσω μέρος, μὴ δὲ ψιλωθέντα, ὀλίγοι μὲν ἤδη ἐπυρέτηναν. ἀτὰρ οὐδὲ αἷμα πολλοὶ ἤδη ἔπτυσαν, οὐδὲ ἔμπυοι πολλοὶ γίνονται, οὐδὲ ἔμμοτοι, οὐδὲ ἐπισφακελίσιες τῶν ὀστέων, δίαιτά τε φαύλη ἀρκέει. ἢν γὰρ μὴ πυρετὸς ξυνεχὴς ἐπιλαμβάνῃ αὐτούς, καὶ κενεαγγέειν κάκιον τοῖς τοιούτοισιν, ἢ μὴ κενεαγγέειν, καὶ ἐπωδυνέστερον, καὶ πυρετωδέστερον, καὶ βηχωδέστερον. τὸ γὰρ πλήρωμα τὸ μέτριον τῆς κοιλίης, διόρθωμα τῶν πλευρέων γίνεται. ἡ δὲ κένωσις κρεμασμὸν μὲν τῇσι πλευρῇσι ποιέει. ὁ δὲ κρεμασμός, ὀδύνην. ἔξωθεν δέ, φαύλη ἐπίδεσις τοῖσι τοιούτοισιν ἀρκέει κηρωτῇ καὶ σπλήνεσι καὶ ὀθονίοισιν ἡσύχως ἐρείδοντα, ὁμαλὴν τὴν ἐπίδεσιν ποιέεσθαι, ἢ καὶ ἔριον δέ τι προσεπιθέντα. κρατύνεται δὲ πλευρὴ ἐν εἴκοσιν ἡμέρῃσι. ταχεῖαι γὰρ αἱ ἐπιπωρώσιες τούτων τῶν ὀστέων. ἀμφιθλασθείσης δὲ τῆς σαρκός, ἀμφὶ τῇσι πλευρῇσιν, ἢ ὑπὸ πληγῆς, ἢ ὑπὸ πτώματος, ἢ ὑπὸ ἀντερείσιος, ἢ ἄλλου τινὸς τοιουτοτρόπου, πολλοὶ ἤδη πολὺ αἷμα ἔπτυσαν. οἱ γὰρ ὀχετοὶ οἱ κατὰ τὸ λαπαρὸν τῆς πλευρῆς ἑκάστης παρατεταμένοι, καὶ οἱ τόνοι ἀπὸ τῶν ἐπικαιροτάτων τῶν ἐν τῷ σώματι, τὰς ἀφορμὰς ἔχουσι. πολλοὶ γοῦν ἤδη βηχώδεες, καὶ φυματίαι, καὶ ἔμπυοι ἐγένοντο, καὶ ἔμμοτοι, καὶ ἡ πλευρὴ ἐπεσφακέλισεν αὐτοῖσιν. ἀτὰρ καὶ οἷσι μηδὲν τοιοῦτον προσεγένετο, ἀμφιφλασθείσης τῆς σαρκὸς ἀμφὶ τῇσι πλευρῇσιν, ὅμως δὲ βραδύτερον ὀδυνώμενοι παύονται οὗτοι, ἢ οἷσιν ἂν ἡ πλευρὴ καταγῇ. καὶ ὑποστροφὰς μᾶλλον ἴσχει ὀδυνημάτων τὸ χωρίον, ἐν τοῖσι τοιούτοισι τρώμασι. μάλα μὲν οὖν μεθεξέτεροι καταμελέουσι τῶν τοιούτων σινέων, μᾶλλον ἢν πλευρὴ κατεαγῇ αὐτοῖσιν. ἀτὰρ καὶ ἰήσιος σκεθροτέρης οἱ τοιοῦτοι δέονται εἰ σωφρονοῖεν. τῇ τε γὰρ διαίτῃ ξυμφέρει ξυνεστάλθαι. ἀτρεμέειν δὲ τῷ σώματι ὡς μάλιστα. ἀφροδισίων τε ἀπέχεσθαι. βρωμάτων τε λιπαρῶν, καὶ κερχνωδέων, καὶ ἰσχυρῶν πάντων. φλέβα τε κατ᾽ ἀγκῶνα τέμνεσθαι. σιγᾶν τε ὡς μάλιστα. ἐπιδέεσθαι δὲ εἰς τὸ χωρίον τὸ φλασθὲν σπλήνεσι μὴ πολυπτύχεσι, συχνοῖσι δὲ καὶ πολὺ πλατυτέροισι πάντη

τῷ

τοῦ φλάσματος. κηρωτῇ τε ὑποχρίειν. ὀθονίοισί τε πλατέσι, σὺν ταινίῃσι πλατείῃσι καὶ μαλθακῇσι ἐπιδέειν. ἐρείδειν τε μετρίως, ὥς τε μὴ κάρτα πεπιέχθαι φάναι τὸν ἐπιδεδεσμένον, μὴ δ᾽ αὖ χαλαρόν. ἄρχεσθαι δὲ τὸν ἐπιδέοντα κατὰ τὸ φλάσμα καὶ ἐρηρεῖσθαι ταύτῃ μάλιστα. τὴν δὲ ἐπίδεσιν ποιέεσθαι ὡς ἀπὸ δύο ἀρχέων, ἐπιδέειν τε, ἵνα μὴ περιρρεπὲς τὸ δέρμα τὸ περὶ τὰς πλευρὰς ᾖ, ἀλλ᾽ ἰσόρροπον. ἐπιδέειν δέ, ἢ καθ᾽ ἑκάστην ἡμέρην, ἢ παρ᾽ ἑτέρην. ἄμεινον δὲ καὶ τὴν κοιλίην μαλθάξαι κούφῳ τινὶ ὅσον κενώσιος εἵνεκεν τοῦ σίτου. καὶ ἐπὶ μὲν δέκα ἡμέρας ἰσχναίνειν. ἔπειτα ἀναθρέψαι τὸ σῶμα καὶ ἁπαλῦναι. τῇ δὲ ἐπιδέσει ἔστ᾽ ἂν μὲν ἰσχναίνῃς ἐρηρεισμένῃ μᾶλλον χρέεσθαι. ὁκόταν δὲ ἐς τὸν ἀπαλυσμὸν ἄγῃς, ἐπιχαλαρωτέρῃ. καὶ ἢν μὲν αἷμα ἀποπτύσῃ κατ᾽ ἀρχάς, τεσσαρακονθήμερον τὴν μελέτην καὶ τὴν ἐπίδεσιν ποιέεσθαι χρή. ἢν δὲ μὴ πτύσῃ τὸ αἷμα, ἀρκέει εἴκοσιν ἡμερέων ἡ μελέτη, ὡς ἐπὶ τὸ πολύ. τῇ ἰσχύϊ δὲ τοῦ τρώματος τοὺς χρόνους προσεκμαίρεσθαι χρή. ὅσοι δ᾽ ἂν ἀμελήσωσι τῶν τοιουτέων ἀμφιφλασμάτων, ἢν καὶ ἄλλο μηδὲν αὐτέοισι φλαῦρον μεῖζον γένηται, ὅμως τό γε χωρίον ἀμφιφλασθὲν μυξωδεστέρην τὴν σάρκα ἴσχει, ἢ πρόσθεν εἶχεν. ὅκου δέ τι τοιοῦτον ἐγκαταλείπεται, καὶ μὴ εὖ ἐξιποῦται τῇ γε ἀλθέξει, φαυλότερον μέν, ἢν παρ᾽ αὐτὸ τὸ ὀστέον ἐγκαταλειφθῇ τὸ μυξῶδες. οὔτε γὰρ ἔτι ἡ σὰρξ ὁμοίως ἅπτεται τοῦ ὀστέου. τότε ὀστέον νοσηλότερον γίνεται. σφακελισμοί τε χρόνιοι ὀστέου πολλοῖσιν ἤδη ἀπὸ τοιουτέων προφασίων ἐγένοντο. ἀτὰρ καὶ ἢν μὴ παρὰ τὸ ὀστέον, ἀλλ᾽ αὐτὴ ἡ σὰρξ μυξώδης ᾖ, ὅμως γοῦν ὑποστροφαὶ γίνονται καὶ ὀδύναι, ἄλλοτε καὶ ἄλλοτε, ἤν τις τῷ σώματι τύχῃ πονήσας. διὰ τοῦτο τῇ ἐπιδέσει δέεσθαι χρή, ἅμα μὲν, ἀγαθῇ. ἅμα δὲ, πολὺ προσηκούσῃ, ἕως ἂν ξηρανθῇ μὲν καὶ ἀναποθῇ τουτὶ τὸ ἐκχύμωμα τὸ ἐν τῇ φλάσει γενόμενον. αὐξηθῇ δὲ σαρκὶ ὑγιέϊ τὸ χωρίον. αὔξηται δὲ τοῦ ὀστέου ἡ σάρξ. οἷσι δ᾽ ἂν ἀμεληθεῖσι χρονιωθῇ, καὶ ὀδυνῶδες τὸ χωρίον γένηται, καὶ ἡ σὰρξ ὑπόμυξος ᾖ, τούτοισι καῦσις ἴησις ἀρίστη. καὶ ἢν μὲν αὐτὴ ἡ σὰρξ μυξώδης ᾖ, ἄχρι τοῦ ὀστέου καίειν χρή, μὴ μὴν διαθερμανθῆναι τὸ ὀστέον. ἢν δὲ μεσηγὺ τῶν πλευρέων ᾖ, ἐπιπολῆς μὲν οὐδ᾽ οὕτως χρὴ καίειν. φυλάσσεσθαι μέντοι μὴ διακαύσῃς πέρην. ἢν δὲ πρὸς τῷ ὀστέῳ δοκέῃ εἶναι τὸ φλάσμα, καὶ ἔτι νεαρὸν ᾖ, καὶ μήπω σφακελίσῃ τὸ ὀστέον, ἢν μὲν κάρτα ὀλίγον ᾖ, οὕτω καίειν χρὴ ὥσπερ εἴρηται. ἢν μέν τοι παραμήκης ᾖ ὁ μετεωρισμὸς ὁ κατὰ τὸ ὀστέον, πλείονας ἐσχάρας ἐμβάλλειν χρή. περὶ δὲ σφακελισμοῦ πλευρῆς, ἅμα τῇ τῶν ἐμμότων ἰητρείῃ, εἰρήσεται.

Ἢν δὲ μηροῦ ἄρθρον ἐξ ἰσχίου ἐκπέσῃ. ἐκπίπτει δὲ κατὰ τέσσαρας τρόπους. ἐς μὲν τὸ εἴσω, πλειστάκις. εἰς δὲ τὸ ἔξω, τῶν ἄλλων πλειστάκις. ἐς δὲ τὸ ὄπισθεν καὶ τὸ ἔμπροσθεν, ἐκπίπτει μὲν, ὀλιγάκις δέ. οἷσι μὲν οὖν ἂν ἐκβῇ εἰς τὸ εἴσω, μακρότερον τὸ σκέλος φαίνεται, παραβαλλόμενον πρὸς τὸ ἕτερον, διὰ δισσὰς προφάσιας εἰκότως. ἐπί τε γὰρ τὸ ἀπὸ τοῦ ἰσχίου πεφυκὸς ὀστέον, τὸ ἄνω φερόμενον, πρὸς τὸν κτένα, ἐπὶ τούτου ἡ ἐπίβασις τῆς κεφαλῆς τοῦ μηροῦ γίνεται. καὶ ὁ αὐχὴν τοῦ ἄρθρου, ἐπὶ τῆς κοτύλης ὀχέεται. ἔξωθέν τε αὖ, ὁ γλουτὸς, κοῖλος φαίνεται, ἅτε εἴσω ῥυσάσης τῆς κεφαλῆς τοῦ μηροῦ. τό, τε αὖ κατὰ τὸ γόνυ τοῦ μηροῦ ἄκρον ἀναγκάζεται ἔξω ῥέπειν, καὶ ἡ κνήμη καὶ ὁ πούς ὡσαύτως. ἅτε οὖν ἔξω ῥέποντος τοῦ ποδός, οἱ ἰητροὶ δι᾽ ἀπειρίην, τὸν ὑγιέα πόδα πρὸς τοῦτον προσίσχουσιν, ἀλλ᾽ οὐ τοῦτον πρὸς τὸν ὑγιέα. διὰ τοῦτο πολὺ μακρότερον φαίνεται τὸ σιναρὸν τοῦ ὑγιέος. πολλαχῇ δὲ καὶ ἄλλῃ τὰ τοιαῦτα παρασύνεσιν ἔχει. οὐ δὲ μὴν οὐδὲ ξυγκάμπτειν δύναται κατὰ τὸν βουβῶνα ὁμοίως τῷ ὑγιεῖ. ἀτὰρ καὶ ψαυομένη ἡ κεφαλὴ τοῦ μηροῦ κατὰ τὸν περίνεον ὑπερογκέουσα εὔδηλός ἐστι. τὰ μὲν οὖν σημήϊα ταῦτά ἐστιν οἷσιν ἂν εἴσω ἐκπεπτώκει ὁ μηρός. οἷσι μὲν ἂν οὖν ἐκπεσὼν μὴ ἐμπέσῃ, ἀλλὰ καταπορηθῇ καὶ ἀμεληθῇ, ἥ τε ὁδοιπορίη περιφοράδην τοῦ σκέλεος ὥσπερ τοῖσι βουσὶ γίνεται, καὶ ὄχλησις πλείστη αὐτοῖσιν ἐπὶ τοῦ ὑγιέος σκέλεός ἐστι. καὶ ἀναγκάζονται κατὰ τὸν κενεῶνα ἢ κατὰ τὸ ἄρθρον τὸ ἐκπεπτωκὸς, κυλλοὶ καὶ σκολιοὶ εἶναι. κατὰ δὲ τὸ ὑγιὲς ἐς τὸ ἔξω ὁ γλουτὸς ἀναγκάζεται περιφερὴς εἶναι. εἰ γάρ τις ἔξω τῷ ποδὶ τοῦ ὑγιέος σκέλεος βαίνει, ἀπωθοίη ἂν τὸ σῶμα τὸ ἄλλο ἐπὶ τὸ σιναρὸν σκέλος τὴν ὄχησιν ποιέεσθαι. τὸ δὲ σιναρὸν οὐκ ἂν δύναιτο ὀχέειν. πῶς γάρ; ἀναγκάζεται οὖν οὕτω κατὰ τοῦ ὑγιέος σκέλεος τῷ ποδὶ εἴσω βαίνειν, ἀλλὰ μὴ ἔξω. οὕτω γὰρ ὀχέει μάλιστα τὸ σκέλος τὸ ὑγιὲς, καὶ τὸ ἑωυτοῦ μέρος τοῦ σώματος, καὶ τὸ τοῦ σιναροῦ σκέλεος μέρος. κοιλαινόμενοι δὲ κατὰ τὸν κενεῶνα καὶ κατὰ τὰ ἄρθρα, μικροὶ φαίνονται, καὶ τῷ ξύλῳ

ἀναγκάζονται

ἀναγκάζονται αὐτοὶ ἐρείδεσθαι πλάγιοι κατὰ τὸ ὑγιὲς σκέλος, δέονται γὰρ ἀντικοντώσιος ταύτῃ. ἐπὶ ταῦτα γὰρ οἱ γλουτοὶ ῥέπουσι, καὶ τὸ ἄχθος τοῦ σώματος ὀχέεται ἐπὶ ταῦτα. ἀναγκάζονται δὲ καὶ ἐπικύπτειν. τὴν γὰρ χεῖρα τὴν κατὰ τὸ σκέλος τὸ σιναρὸν ἀναγκάζονται κατὰ πλάγιον τὸν μηρὸν ἐρείδειν. οὐ γὰρ δύναται τὸ σιναρὸν σκέλος ὀχέειν τὸ σῶμα ἐν τῇ μεταλλαγῇ τῶν σκελέων, ἢν μὴ κατέχηται πρὸς τὴν γῆν πιεζόμενον. ἐν τούτοισι γοῦν τοῖσι σχήμασι ἀναγκάζονται ἐσχηματίσθαι, οἷσιν ἂν ἔσω ἐκβὰν τὸ ἄρθρον μὴ ἐμπέσῃ, οὐ προβουλεύσαντος τοῦ ἀνθρώπου ὅπως ἂν ῥήϊστα ἐσχηματισμένον εἴη. ἀλλ' αὐτὴ ἡ ξυμφορὴ διδάσκει ἐκ τῶν παρεόντων τὰ ῥήϊστα αἱρέεσθαι. ἐπεὶ καὶ ὁκόσοι ἕλκος ἔχοντες ἐν ποδὶ ἢ κνήμῃ, οὐ κάρτα δύνανται ἐπιβαίνειν τῷ σκέλει, πάντες, καὶ οἱ νήπιοι οὕτως ὁδοιπορέουσιν, ἔξω γὰρ βαίνουσι τῷ σιναρῷ σκέλει. καὶ δισσὰ κερδαίνουσι. δισσῶν γὰρ δέονται. τό, τε γὰρ σῶμα οὐκ ὀχέεται ὁμοίως ἐπὶ τοῦ ἔξω ἀποβαινομένου, ὥσπερ ἐπὶ τοῦ ἔσω. οὐ δὲ γὰρ κατ' ἰθυωρίην αὐτῷ γίνεται τὸ ἄχθος, ἀλλὰ πολλῷ μᾶλλον ἐπὶ τοῦ ὑποβαινομένου. κατ' ἰθυωρίην γὰρ αὐτῷ γίνεται τὸ ἄχθος, ἔν τε αὐτῇ τῇ ὁδοιπορίῃ, καὶ τῇ μεταλλαγῇ τῶν σκελέων. ἐν τούτῳ τῷ σχήματι τάχιστ' ἂν δύναιτο ὑποτιθέναι τὸ ὑγιὲς σκέλος, ἢν τῷ μὲν σιναρῷ, ἐξωτέρω βαίνοι, τῷ δὲ ὑγιεῖ, ἐσωτέρω. περὶ οὗ νῦν ὁ λόγος. ἀγαθὸν εὑρίσκεσθαι αὐτὸ ἑωυτῷ τὸ σῶμα ἐς τὰ ῥήϊστα τῶν σχημάτων. ὅσοισι μὲν οὖν μήπω τελειουμένοισιν ἐς αὔξησιν, ἐκπεσὼν μὴ ἐμπέσῃ, γυιοῦται ὁ μηρός, καὶ ἡ κνήμη, καὶ ὁ πούς. οὔτε γὰρ τὰ ὀστέα ἐς τὸ μῆκος ὁμοίως αὔξεται, ἀλλὰ βραχύτερα γίνεται. μάλιστα δὲ τὰ τοῦ μηροῦ. ἄσαρκόν τε ἅπαν τὸ σκέλος καὶ ἄμυον, καὶ ἐκτεθηλυσμένον, καὶ λεπτότερον γίνεται. ἅμα μὲν, διὰ τὴν στέρησιν τῆς χώρης τοῦ ἄρθρου. ἅμα δὲ, ὅτι ἀδύνατον χρέεσθαι ἐστὶν, ὅτι οὐ κατὰ φύσιν κέεται. χρῆσις γάρ μετεξετέρη ῥύεται τῆς ἄγαν ἐκθηλύνσιος. ῥύεται δέ τι καὶ τῆς ἐπὶ μῆκος ἀναυξήσιος. κακοῦνται μὲν οὖν μάλιστα, οἷσιν ἂν ἐν γαστρὶ ἐοῦσιν ἐξαρθρήσῃ τοῦτο τὸ ἄρθρον. δεύτερον δὲ οἷσιν ἂν ὡς νηπιωτάτοισιν ἐοῦσιν. ἥκιστα δέ, τοῖσι τετελειωμένοισιν. τοῖσι μὲν οὖν τετελειωμένοισιν εἴρηται οἵη τις ὁδοιπορίη γίνεται. οἷσι δ' ἂν νηπίοισιν ἐοῦσιν ἡ ξυμφορὴ αὕτη φαίνεται, οἱ μὲν πλεῖστοι καταβλακεύουσι τὴν διόρθωσιν τοῦ σώματος, ἀλλὰ κακῶς εἰλέονται ἐπὶ τὸ ὑγιὲς σκέλος, τῇ χειρὶ πρὸς τὴν γῆν ἀπερειδόμενοι τῇ κατὰ τὸ ὑγιὲς σκέλος. καταβλακεύουσι δὲ ἔνιοι τὴν ἐς τὸ ὀρθὸν ὁδοιπορίην. καὶ οἷσιν ἂν τετελειωμένοισιν αὕτη ἡ ξυμφορὴ γένηται. ὁκόσοι δ' ἂν νήπιοι ὄντες ταύτῃ τῇ ξυμφορῇ χρησάμενοι ὀρθῶς παιδαγωγηθῶσι, τῷ μὲν ὑγιεῖ σκέλει χρέονται ἐς ὀρθόν. ὑπὸ δὲ τὴν μασχάλην τὴν κατὰ τὸ ὑγιὲς σκέλος σκίπωνα περιφέρουσι. μετεξέτεροι δὲ, καὶ ὑπ' ἀμφοτέρας τὰς χεῖρας. τὸ δὲ σιναρὸν σκέλος μετέωρον ἔχουσι. καὶ τοσούτῳ ῥήους εἰσίν, ὅσῳ ἂν αὐτοῖσιν ἔλασσον τὸ σκέλος τὸ σιναρὸν ᾖ. τὸ δὲ ὑγιὲς, ἰσχὺν αὐτέοισιν οὐδὲν ἧσσον, ἢ εἰ καὶ ἀμφότερα ὑγιέα ἦν. θηλύνονται δὲ πᾶσι τοῖσι τοιούτοισιν αἱ σάρκες τοῦ σκέλεος, μᾶλλον δ' ἔτι θηλύνονται αἱ ἐκ τοῦ ἔξω μέρεος, ἢ αἱ ἐκ τοῦ ἔσω ὡς ἐπὶ τὸ πολύ. μυθολογοῦσι δέ τινες, ὅτι αἱ ἀμαζονίδες τὸ ἄρσεν γένος τὸ ἑωυτῶν, αὐτίκα νήπιον ἐόν, ἐξαρθρέουσιν. αἱ μὲν, κατὰ τὰ γούνατα. αἱ δὲ, κατὰ τὰ ἰσχία, ὡς δῆθεν χωλὰ γίνοιτο, καὶ μὴ ἐπιβουλεύοι τὸ ἄρσεν γένος τῷ θήλει. χειρώναξιν ἄρα τούτοισι χρέονται, ὁκόσα ἢ σκυτίης ἔργα, ἢ χαλκείης, ἢ ἄλλο τι ἑδραῖον ἔργον. εἰ μὲν οὖν ἀληθέα ταῦτά ἐστιν, ἐγὼ μὲν οὐκ οἶδα, ὅτι δὲ γίνοιτο ἂν τοιαῦτα οἶδα. εἴ τις ἐξαρθρέοι αὐτίκα νήπια ἐόντα. κατὰ μὲν οὖν τὰ ἰσχία, μέζον τὸ διάφορόν ἐστιν, ἐς τὸ ἔσω, ἢ ἐς τὸ ἔξω ἐξαρθρῆσαι. καὶ τὰ γούνατα δὲ, διαφέρει μέν τι. ἔλασσον δέ τι διαφέρει. τρόπος δὲ ἑκατέρου τοῦ χωλώματος ἴδιός ἐστι. γυιοῦνται γὰρ μᾶλλον, οἷσιν ἂν ἐς τὸ ἔξω ἐξαρθρήσῃ. ὀρθοὶ δὲ ἧσσον ἵστανται, οἷσιν ἂν ἐς τὸ ἔσω ἐξαρθρήσῃ. ὡσαύτως δὲ καὶ εἰ παρὰ τὸ σφυρὸν ἐξαρθρήσῃ, ἢν μὲν ἐς τὸ ἔξω μέρος, κυλλοὶ μὲν γίνονται. ἑστάναι δὲ δύνανται. ἢν δὲ ἐς τὸ ἔσω μέρος, βλαισοὶ μὲν γίνονται. ἧσσον δὲ ἑστάναι δύνανται. ἡ γε μὴν ξυναύξησις τῶν ὀστέων, τοιήδε γίνεται. οἷσιν μὲν οὖν κατὰ τὸ σφυρὸν ὀστέον τὸ τῆς κνήμης ἐκστῇ, τούτοισι μὲν τὰ τοῦ ποδὸς ὀστέα ἥκιστα ξυναύξεται. ταῦτα γὰρ ἐγγυτάτω τοῦ τρώματός εἰσι. τὰ δὲ τῆς κνήμης ὀστέα, αὔξεται μὲν, οὐ πολὺ δὲ ἐνδεεστέρως. αἱ μέντοι σάρκες μινύθουσιν. οἷσι δ' ἂν κατὰ μὲν τὸ σφυρὸν μένῃ τὸ ἄρθρον κατὰ φύσιν, κατὰ δὲ τὸ γόνυ ἐξεστήκῃ, τούτοισι τὸ τῆς κνήμης ὀστέον οὐκ ἐθέλει ξυναύξεσθαι ὁμοίως, ἀλλὰ βραχύτατον γίνεται. τοῦτο γὰρ ἐγγυτάτω τοῦ τρώματός ἐστιν. τοῦ μέντοι ποδὸς τὰ ὀστέα, μινύθει μὲν, ἀτὰρ οὐχ ὁμοίως, ὥσπερ ὀλίγον τι πρόσθεν εἴρηται, ὅτι τὸ ἄρθρον τὸ παρὰ

τὸν πόδα

τὸν πόδα σῶον ἐστίν. εἰ δὲ οἱ χρέεσθαι ἠδύνατο, ὥσπερ καὶ τῷ κυλλῷ, ἔτι ἂν ἧσσον ἐμινύθη τὰ τοῦ ποδὸς ὀστέα τούτοισιν. οἷσι δ' ἂν κατὰ τὸ ἰσχίον ἐξάρθρησις γένηται, τούτοισι τοῦ μηροῦ τὸ ὀστέον οὐκ ἐθέλει ξυναύξεσθαι ὁμοίως. τοῦτο γὰρ ἐγγυτάτω τοῦ τρώματός ἐστιν, ἀλλὰ βραχύτερον τοῦ ὑγιέος γίνεται. τὰ μέν τοι τῆς κνήμης ὀστέα, οὐχ ὁμοίως τούτοισιν ἀναύξεα γίνεται, οὐδὲ τὰ τοῦ ποδός. διὰ τοῦτο δὲ, ὅτι τὸ τοῦ μηροῦ ἄρθρον τὸ παρὰ τὴν κνήμην, ἐν τῇ ἑωυτοῦ φύσει μένει, καὶ τὸ τῆς κνήμης, τὸ παρὰ τὸν πόδα. σάρκες μέν τοι μινύθουσι παντὸς τοῦ σκέλεος, τούτοισιν. εἰ μέν τοι χρέεσθαι τῷ σκέλει ἐδύναντο, ἔτι ἂν μᾶλλον τὰ ὀστέα ξυνηύξανε, ὡς καὶ πρόσθεν εἴρηται, πλὴν τοῦ μηροῦ, ἦν ἧσσον ἄσαρκα ἔῃ. ἀσαρκότερα δὲ πολλῷ ἢ ὑγιέα εἴη. σημεῖον δὲ ὅτι τοιαῦτα ἐστίν. ὁκόσοισι γὰρ τοῦ βραχίονος ἐκπεσόντος, γαλιάγκωνες ἐγένοντο ἐκ γενεῆς ἢ καὶ ἐν αὐξήσει πρὶν τελειωθῆναι, οὗτοι τὸ μὲν ὀστέον τοῦ βραχίονος βραχὺ ἴσχουσι. τὸν δὲ πῆχυν καὶ ἄκρην τὴν χεῖρα ὀλίγῳ ἐνδεεστέρην τοῦ ὑγιέος. διὰ ταύτας τὰς προφάσιας τὰς εἰρημένας, ὅτι ὁ μὲν βραχίων ἐγγυτάτω τοῦ ἄρθρου τοῦ τρώματός ἐστιν, ὥστε διὰ τοῦτο βραχύτερος γέγονεν. ὁ δ' αὖ πῆχυς διὰ τοῦτο οὐχ ὁμοίως ἐπακούει τῆς ξυμφορῆς, ὅτι τὸ τοῦ βραχίονος ἄρθρον τὸ πρὸς τοῦ πήχεος ἐν τῇ ἀρχαίῃ φύσει μένει. ἥ τε αὖ χεὶρ ἔτι τηλωτέρω ἄπεστιν, ἢ ὁ πῆχυς ἀπὸ τῆς ξυμφορῆς. διὰ ταύτας οὖν τὰς εἰρημένας προφάσιας τῶν ὀστέων τά τε μὴ συναυξόμενα οὐ συναύξεται. τό τε ξυναυξόμενον, ξυναύξεται. ἐς δὲ τὸ εὔσαρκον τῇ χειρὶ καὶ τῷ βραχίονι ἡ ταλαιπωρίη τῆς χειρὸς μέγα προσωφελήσει. ὅσα γὰρ χειρῶν ἔργα ἐστὶ, τὰ πλεῖστα προθυμέονται οἱ γαλιάγκωνες ἐργάζεσθαι τῇ χειρὶ ταύτῃ, ὅσα καὶ τῇ ἑτέρῃ δύνανται, οὐδὲν ἐνδεεστέρως τῆς ἀσινέος. οὐ γὰρ δεῖ ὀχέεσθαι τὸ σῶμα ἐπὶ τῶν χειρῶν, ὡς ἐπὶ τῶν σκελέων, ἀλλὰ κοῦφα αὐτοῖσι τὰ ἔργα ἐστί. διὰ δὲ τὴν χρῆσιν οὐ μινύθουσιν αἱ σάρκες αἱ κατὰ τὴν χεῖρα καὶ κατὰ τὸν πῆχυν τοῖσι γαλιάγκωσιν, ἀλλὰ καὶ ὁ βραχίων τι προσωφελέεται ἐς εὐσαρκίην διὰ ταῦτα. ὅταν δὲ ἰσχίον ἐκπαλὲς γένηται ἐς τὸ εἴσω μέρος ἐκ γενεῆς, ἢ καὶ ἔτι νηπίῳ ἐόντι, μινύθουσιν αἱ σάρκες, διὰ τοῦτο μᾶλλον ἢ τῆς χειρὸς, ὅτι οὐ δύνανται χρέεσθαι τῷ σκέλει. μαρτύριον δέ τι ἐν ἔσται ἐν τοῖσιν ὀλίγον ὕστερον εἰρησομένοισιν, ὅτι ταῦτα τοιαῦτα ἐστίν. ὁκόσοισι δ' ἂν ἐς τὸ ἔξω ἡ τοῦ μηροῦ κεφαλὴ ἐκβῇ, τούτοισι βραχύτερον μὲν τὸ σκέλος φαίνεται παρατεινόμενον παρὰ τὸ ἕτερον εἰκότως. οὐ γὰρ ἐπ' ὀστέον ἡ ἐπίβασις τῆς κεφαλῆς τοῦ μηροῦ ἐστιν, ὡς ὅτε εἴσω ἐξεπεπτώκει, ἀλλὰ παρ' ὀστέον παρεγκεκλιμένην τὴν φύσιν ἔχον. ἐν σαρκὶ δὲ στηρίζεται ὑγρῇ καὶ ὑπεικούσῃ, διὰ τοῦτο μὲν βραχύτερον φαίνεται. ἔσωθεν δὲ ὁ μηρὸς παρὰ τὴν πλιχάδα καλεομένην κυλλότερος καὶ ἀσαρκότερος γίνεται. ἔξωθεν δὲ ὁ γλουτὸς κυρτότερος. ἅτε ἐς τὸ ἔξω τῆς κεφαλῆς τοῦ μηροῦ ὠλισθηκυίας. ἀτὰρ καὶ ἀνωτέρω φαίνεται ὁ γλουτὸς ἅτε ὑπεξάσης τῆς σαρκὸς τῆς ἐνταῦθα, τῇ τοῦ μηροῦ κεφαλῇ. τὸ δὲ παρὰ τὸ γόνυ τοῦ μηροῦ ἄκρον, εἴσω ῥέπον φαίνεται, καὶ ἡ κνήμη, καὶ ὁ πούς. ἀτὰρ οὐδὲ ξυγκάμπτειν ὥσπερ τὸ ὑγιὲς σκέλος δύνανται. τὰ μὲν οὖν σημεῖα ταῦτα, τοῦ ἔξω ἐκπεπτωκότος μηροῦ εἰσιν. οἷσι μὲν οὖν τετελειωμένοισιν ἤδη ἐκπεσὸν τὸ ἄρθρον μὴ ἐμπέσῃ, τούτοισι βραχύτερον μὲν φαίνεται τὸ σύμπαν σκέλος. ἐν δὲ τῇ ὁδοιπορίῃ τῇ μὲν πτέρνῃ, οὐ δύνανται καθικνέεσθαι ἐπὶ τῆς γῆς. τῷ δὲ στήθει τοῦ ποδὸς, βαίνουσι ἐπὶ τὴν γῆν. ὀλίγον δὲ εἰς τὸ ἔσω μέρος ῥέπουσι τοῖσι δακτύλοισιν ἄκροισιν. ὀχέειν δὲ δύναται τὸ σῶμα, τὸ σιναρὸν σκέλος τούτοισι πολλῷ μᾶλλον, ἢ οἷσιν ἂν ἐς τὸ ἔσω μέρος ἐκπεπτώκῃ. ἅμα μὲν ὅτι ἡ κεφαλὴ τοῦ μηροῦ καὶ ὁ αὐχὴν τοῦ ἄρθρου πλάγιος φύσει πεφυκὼς ὑπὸ συχνῷ μέρει τοῦ ἰσχίου τὴν ὑπόστασιν πεποίηται. ἅμα δὲ ὅτι ἄκρος ὁ πούς, οὐκ ἐς τὸ ἔξω μέρος ἀναγκάζεται ἐγκεκλεῖσθαι, ἀλλ' ἐγγύς ἐστι τῆς ἰθυωρίης τῆς κατὰ τὸ σῶμα, καὶ τείνει καὶ ἐσωτέρω. Ὅταν μὲν οὖν τρίβον λάβῃ τὸ ἄρθρον ἐν τῇ σαρκὶ εἰς ἣν ἐξεκλείσθη, ἡ δὲ σὰρξ γλισχρανθῇ, ἀνώδυνον τῷ χρόνῳ γίνεται. ὅταν δὲ ἀνώδυνον γένηται, δύνανται μὲν ὁδοιπορέειν ἄνευ ξύλου, ἢν ἄλλως βούλωνται. δύνανται δὲ ὀχέειν τὸ σῶμα, ἐπὶ τὸ σιναρὸν σκέλος. διὰ οὖν τὴν χρῆσιν ἧσσον τοῖσι τοιούτοισιν ἐκθηλύνονται αἱ σάρκες, ἢ οἷσιν ὀλίγον πρόσθεν εἴρηται. ἐκθηλύνονται δὲ ἢ πλεῖον ἢ ἔλασσον. μᾶλλον δ' ἔτι ἐκθηλύνονται κατὰ τὸ εἴσω μέρος, ἢ κατὰ τὸ ἔξω ὡς ἐπὶ τὸ πολύ. τὸ μέν τοι ὑπόδημα μετεξέτεροι τούτων ὑποδέεσθαι οὐ δύνανται διὰ τὴν ἀκαμπίην τοῦ σκέλεος. οἱ δέ τινες καὶ δύνανται. οἷσι δὲ ἂν ἐν γαστρὶ ἐοῦσιν ἐξαρθρήσῃ τοῦτο τὸ ἄρθρον, ἢ ἔτι ἐν αὐξήσει ἐοῦσι βίῃ ἐκπεσὸν ἤδη μὴ ἐμπέσῃ, ἢ καὶ ὑπὸ νούσου ἐξαρθρήσῃ τοῦτο τὸ ἄρθρον, καὶ ἐκπαλήσῃ, πολλὰ γὰρ

τοιαῦτα

τοιαῦτα γίνεται. καὶ ἐνίων μὲν τῶν τοιούτων ἢν ἐπισφακελίσῃ ὁ μηρὸς ἐμπυήματα χρόνια καὶ ἔμμοτα γίνεται. καὶ ὀστέων ψιλώσιες ἐνίοισιν. ὁμοίως δὲ καὶ οἷσιν ἐπισφακελίζει, καὶ οἷσι μὴ ἐπισφακελίζει τοῦ μηροῦ τὸ ὀστέον, πολλῷ βραχύτερον γίνεται, καὶ οὐκ ἐθέλει ξυναύξεσθαι, ὥσπερ τὸ ὑγιέος. τὰ μέν τοι τῆς κνήμης βραχύτερα μὲν γίνεται, ἢ τὰ τῆς ἑτέρης. ὀλίγῳ δὲ διὰ τὰς αὐτὰς προφάσιας, αἳ καὶ πρόσθεν εἴρηνται. ὁδοιπορέειν τε δύνανται οἱ τοιοῦτοι. οἱ μέν τινες αὐτῶν, τὸν αὐτὸν τρόπον, ὥσπερ οἷσι τετελειωμένοισιν ἐξέπεσε καὶ μὴ ἐνέπεσεν. οἱ δὲ, καὶ βαίνουσι μὲν παντὶ τῷ ποδί. διαῤῥέπουσι δὲ ἐν τῇσιν ὁδοιπορίῃσιν, ἀναγκαζόμενοι διὰ τὴν βραχύτητα τοῦ σκέλεος. ταῦτα δὲ τοιαῦτα γίνεται, ἢν ἐπιμελῶς μὲν παιδαγωγηθῶσιν ἐν τοῖσι σχήμασι, καὶ ὀρθῶς ἐν οἷσι δεῖ, πρὶν κρατυνθῆναι ἐς τὴν ὁδοιπορίην. ἐπιμελέως δὲ καὶ ὀρθῶς, ἐπὴν κρατυνθῶσιν. πλείστης δὲ ἐπιμελείης δέονται οἷσιν ἂν νηπιωτάτοισιν ἐοῦσιν, αὕτη ἡ ξυμφορὴ γένηται. ἢν γὰρ ἀμεληθῶσι νήπιοι ἐόντες, ἀχρήιον παντάπασιν καὶ ἀναυξὲς ὅλον τὸ σκέλος γίνεται. αἵ τε σάρκες τοῦ σύμπαντος σκέλεος μινύθουσι μᾶλλον, ἢ τοῦ ὑγιέος. πάνυ μὴν πολλῷ ἧσσον τούτοισι μινύθουσιν, ἢ οἷσιν ἂν ἔσω ἐκπεπτώκῃ διὰ τὴν χρῆσιν καὶ τὴν ταλαιπωρίην. οἷον εὐθέως δύνασθαι χρέεσθαι τῷ σκέλει, ὡς καὶ πρόσθεν ὀλίγον ἀμφὶ τῶν γαλιαγκώνων εἴρηται. εἰσὶ δέ τινες, ὧν τοῖσι μὲν ἐκ γενεῆς αὐτίκα. τοῖσι δὲ, καὶ ὑπὸ νούσου ἀμφοτέρων τῶν σκελέων ἐξέστη τὰ ἄρθρα ἐς τὸ ἔξω μέρος. τούτοισιν οὖν τὰ μὲν ὀστέα, ταῦτα τὰ παθήματα πάσχει. αἱ μέν τοι σάρκες, ἥκιστα ἐκθηλιώονται. εὔσαρκα δὲ, καὶ τὰ σκέλεα γίνονται. πλὴν εἴ τι ἄρα κατὰ τὸ ἔσω μέρος ἐλλείποι ὀλίγον. διὰ τοῦτο δὲ εὔσαρκά ἐστιν, ὅτι ἀμφοτέροισι τοῖσι σκέλεσιν ὁμοίως ἡ χρῆσις γίνεται. ὁμοίως γὰρ σαλεύουσιν ἐν τῇ ὁδοιπορίῃ ἔνθα καὶ ἔνθα. ἐξέχεγλουτοι δὲ οὗτοι ἰσχυρῶς φαίνονται, διὰ τὴν ἔκστασιν τῶν ἄρθρων. ἢν δὲ μὴ ἐπισφακελίσῃ αὐτοῖσι τὰ ὀστέα, μὴ δὲ κυφοὶ ἀνωτέρω τῶν ἰσχίων γένωνται. ἐνίους γὰρ καὶ τὰ τοιαῦτα καταλαμβάνει. ἢν οὖν μὴ τοιοῦτόν τι γένηται ἱκανῶς ὑγιηροὶ τ' ἄλλα διαφέρονται. ἀναυξέστεροι μέν τοι τὸ πᾶν σῶμα οὗτοι γίνονται, πλὴν τῆς κεφαλῆς. οἷσι δ' ἂν εἰς τοὔπισθεν ἡ κεφαλὴ τοῦ μηροῦ ἐκπέσοι, ὀλίγοισι δὲ ἐκπίπτει, οὗτοι ἐκτανύειν οὐ δύνανται τὸ σκέλος. οὔτε κατὰ τὸ ἄρθρον τὸ ἐκπεσὸν, οὔτε τι κάρτα κατὰ τὴν ἰγνύην. ἀλλ' ἥκιστα τῶν ἐκπαλαιῶν, οὗτοι μᾶλλον ἐκτανύουσιν καὶ τὸ κατὰ τὸν βουβῶνα, καὶ τὸ κατὰ τὴν ἰγνύην ἄρθρον. προσξυνιέναι μὲν οὖν καὶ τόδε χρή. εὔχρηστον γὰρ καὶ πολλοῦ ἄξιόν ἐστιν, καὶ τοὺς πλείστους λήθει, ὅτι οὔτε ὑγιαίνοντες δύνανται κατὰ τὴν ἰγνύην ἐκτανύειν τὸ ἄρθρον, ἢν μὴ ξυνεκτανύουσι καὶ τὸ κατὰ τὸν βουβῶνα ἄρθρον, πλὴν ἢν μὴ πάνυ ἄνω ἀείρωσι τὸν πόδα. οὕτω δ' ἂν δύναιντο. οὐ τοίνυν οὐδὲ ξυγκάμπτειν δύνανται τὸ κατὰ τὴν ἰγνύην ἄρθρον ὁμοίως, ἀλλὰ πολὺ χαλεπώτερον, ἢν μὴ συγκάμψωσι καὶ τὸ κατὰ τὸν βουβῶνα ἄρθρον. πολλὰ δὲ καὶ ἄλλα κατὰ τὸ σῶμα τοιαύτας ἀδελφίξιας ἔχει, καὶ κατὰ νεύρων ξυντάσιας, καὶ κατὰ μυῶν σχήματα καὶ πλεῖστά τε καὶ πλείστου ἄξια γινώσκεσθαι, ἢ ὥς τις οἴεται, καὶ κατὰ τὴν τοῦ ἐντέρου φύσιν, καὶ τὴν τῆς ξυμπάσης κοιλίης, καὶ κατὰ τὰς τῶν ὑστερέων πλάνας καὶ ξυντάσιας. ἀλλὰ περὶ μὲν τούτων ἑτέρωθι λόγος ἔσται, ἠδελφισμένος τοῖσιν νῦν λεγομένοισι. περὶ οὗ δὲ ὁ λόγος ἐστὶν, οὔτε ἐκτανύειν δύναται, ὥσπερ ἤδη εἴρηται, βραχύτερόν τε τὸ σκέλος φαίνεται διὰ δισσὰς προφάσιας, ὅτι τε οὐκ ἐκτανύεται, ὅτι τε πρὸς τὴν σάρκα ὤλισθηκε τὴν τοῦ πυγαίου. ἡ γὰρ φύσις τοῦ ἰσχίου τοῦ ὀστέου ταύτῃ, ᾗ καὶ ἡ κεφαλὴ καὶ ὁ αὐχὴν τοῦ μηροῦ γίνεται. ὅταν δὲ ἐξαρθρήσῃ καταφερής τε πέφυκεν ἐπὶ τοῦ πυγαίου τὸ ἔξω μέρος. ξυγκάμπτειν μέν τοι δύνανται, ὅταν μὴ ὀδύνη κωλύοι. καὶ ἡ κνήμη τε καὶ ὁ ποῦς, ὀρθὰ ἐπιεικέως φαίνονται. καὶ οὔτε τῇ οὔτε τῇ πολὺ ἐγκεκλιμένα. κατὰ δὲ τὸν βουβῶνα δοκέει τι ἡ σὰρξ λαπαρωτέρη εἶναι ποτὶ καὶ ψαυομένη. ἅτε τοῦ ἄρθρου, εἰς τὰ ἐπὶ θάτερα μέρη ὠλισθηκότος. κατὰ δὲ τὸ αὐτὸ πυγαῖον διαψαυομένη ἡ κεφαλὴ τοῦ μηροῦ, δοκέει τι ἐξογκέειν καὶ μᾶλλον. τὰ μὲν οὖν σημήια ταῦτα, ὧν ἂν ἐς τὸ ὄπισθεν ἐκπεπτώκῃ ὁ μηρός. ὅτῳ μὲν οὖν τετελειωμένῳ ἤδη ἐκπεσὼν μὴ ἐμπέσῃ, ὁδοιπορέειν μὲν δύναται, ὅταν ὁ χρόνος ἐγγένηται, καὶ ἡ ὀδύνη παύσηται, καὶ ἐθισθῇ τὸ ἄρθρον ἐν τῇ σαρκὶ ἐνστροφᾶσθαι. ἀναγκάζεται μέν τοι ἰσχυρῶς ξυγκάμπτειν κατὰ τοὺς βουβῶνας ὁδοιπορέων, διὰ δισσὰς προφάσιας. ἅμα μὲν ὅτι πολλῷ βραχύτερον τὸ σκέλος γίνεται, διὰ τὰ προειρημένα, καὶ τῇ μὲν πτέρνῃ καὶ πάνυ πολλῷ δέεται ψαύειν τῆς γῆς. ἢν γὰρ πειρᾶται καὶ ἐπ' ὀλίγον τοῦ ποδὸς ὀχηθῆναι μηδενὶ ἄλλῳ ἀντιστηριζόμενος, ἐς τὸ ὀπίσω ἂν πέσοι.

ἡ γὰρ

ἡ γὰρ ῥοπὴ πολλὴ ἂν εἴη τῶν ἰσχίων ἐπὶ πολὺ ἐς τοὐπίσω ὑπερεχόντων ὑπὲρ τοῦ ποδὸς τῆς βάσιος, καὶ τῆς ῥάχιος ἐς τὰ ἰσχία ῥεπούσης. μόλις δὲ περὶ στήθει τοῦ ποδὸς καθικνέεται, καὶ οὐδὲ οὕτως ἢν μὴ κάμψῃ αὐτὸς ἑωυτὸν κατὰ τοὺς βουβῶνας, καὶ περὶ ἑτέρῳ σκέλει κατὰ τὴν ἰγνύην ἐπιξυγκάμψῃ, ἐπειδὴ τούτοισιν ἀναγκάζεται ὥστε τῇ χειρὶ, τῇ κατὰ τὸ σιναρὸν σκέλος ἐρείδεσθαι ἐς τὸ ἄνω τοῦ μηροῦ ἐφ' ἑκάστῃ ξυμβάσει. ἀναγκάζει οὖν τι τοῦτο αὐτὸ ὥστε κάμπτεσθαι κατὰ τοὺς βουβῶνας. ἐν γὰρ τῇ μεταλλαγῇ τῶν σκελέων ἐν τῇ ὁδοιπορίῃ, οὐ δύναται τὸ σῶμα ὀχέεσθαι ἐπὶ τοῦ σιναροῦ σκέλεος, εἰ μὴ προσκατερείδεται τὸ σιναρὸν πρὸς τὴν γῆν ὑπὸ τῆς χειρὸς, ἅτε οὐχ ὑφεστεῶτος τοῦ ἄρθρου ὑπὸ τῷ σώματι, ἀλλ' ἐς τὸ ὄπισθεν ἐξεστεῶτος κατὰ τὸ ἰσχίον. ἄνευ μέντοι τοῦ ξύλου δύνανται ὁδοιπορέειν οἱ τοιοῦτοι, ἢν ἄλλως ἐθισθῶσιν, διὰ τοῦτο ὅτι ἡ βάσις τοῦ ποδὸς κατὰ τὴν ἀρχαίην ἰθυωρίην ἐστὶν, ἀλλ' οὐκ ἐς τὸ ἔξω ἐγκεκλιμένη. διὰ τοῦτο οὖν οὐδὲν δέονται τῆς ἀντικοντώσιος. ὅσοι μέντοι βούλονται ἀντὶ τοῦ μηροῦ ἐπιλαβῆς ὑπὸ τὴν μασχάλην τὴν κατὰ τὸ σιναρὸν σκέλος ὑποτιθέμενοι σκίπωνα ἀντερείδειν, κεῖνοι ἢν μὲν μακρότερον τὸν σκίπωνα ὑποτιθέοιντο, ὀρθότεροι μὲν ὁδοιπορήσουσι, τῷ δὲ ποδὶ πρὸς τὴν γῆν οὐκ ἐρείδονται. εἰ δ' αὖ βούλονται ἐρείδεσθαι τῷ ποδὶ, βραχύτερον μὲν τὸ ξύλον ποιητέον, κατὰ δὲ τοὺς βουβῶνας ἐπιξυγκάμπτεσθαι ἂν δέοι αὐτούς. τῶν δὲ σαρκῶν αἱ μινυθήσιες κατὰ λόγον γίνονται καὶ τούτοισιν, ὥσπερ καὶ πρόσθεν εἴρηται. τοῖσι μὲν γὰρ μετέωρον ἔχουσι τὸ σκέλος καὶ μηδὲν ταλαιπωρέουσιν, τούτοισι καὶ μάλιστα μινύθει. εἰ δ' αὖ πλεῖστα χρέονται τῇ ἐπὶ βάσει, τούτοισιν ἥκιστα μινύθουσι. τὸ μέντοι ὑγιὲς σκέλος οὐκ ὠφελέεται, ἀλλὰ μᾶλλον καὶ ἀσχημονέστερον γίνεται, ἢν χρέωνται τῷ σιναρῷ σκέλει ἐπὶ τὴν γῆν. συνυπουργέον γὰρ ἐκείνῳ ἐξισχίον τε ἀπαναγκάζεται εἶναι καὶ κατὰ τὴν ἰγνύην ξυγκάμπτειν. ἢν δὲ μὴ προσχρέηται τῷ σιναρῷ ἐπὶ τὴν γῆν, ἀλλὰ μετέωρον ἔχων, σκίπωνι ἀντερείδηται, οὕτω δὲ κάρτερον γίνεται τὸ ὑγιὲς σκέλος. ἔν τε γὰρ τῇ φύσει διαιτᾶται καὶ τὰ γυμνάσια προσκρατύνει αὐτό. φαίη μὲν οὖν ἄν τις ἔξω ἰητρικῆς τὰ τοιαῦτα εἶναι. τί γὰρ δῆθεν δεῖ περὶ τῶν ἤδη ἀνηκέστων γεγονότων ἔτι προσξυνιέναι; πολλοῦ δὲ δεῖ οὕτως ἔχειν. τῆς γὰρ αὐτῆς γνώμης καὶ ταῦτα ξυνιέναι. οὐ γὰρ οἷόν τε ἀπαλλοτριωθῆναι ἀπ' ἀλλήλων. δεῖ μὲν γὰρ τὰ ἀκεστὰ μηχανᾶσθαι ὅπως μὴ ἀνήκεστα ἔσται, ξυνιέντα ὅπη ἂν μάλιστα κωλυτέα ἐς τὸ ἀνήκεστον ἐλθεῖν. δεῖ δὲ τὰ ἀνήκεστα ξυνιέναι, ὡς μὴ μάλιστα λυμαίνηται. τὰ δὲ προῤῥήματα λαμπρὰ καὶ ἀγωνιστικὰ ἀπὸ τοῦ διαγινώσκειν, ὅπῃ ἕκαστον, καὶ οἷως, καὶ ὁπότε τελευτήσει. ἤν τε ἐς τὸ ἀκεστὸν τράπηται, ἤν τε ἐς τὸ ἀνήκεστον. ὁκόσοισι δ' ἂν ἐκ γενεῆς, ἢ καὶ ἄλλως ἐν αὐξήσει ἐοῦσιν, οὕτως ὀλισθῇ τὸ ἄρθρον ὀπίσω καὶ μὴ ἐμπέσῃ, ἤν τε βίῃ ὀλισθῇ, ἤν τε καὶ ὑπὸ νόσου. πολλὰ γὰρ τοιαῦτα ἐξαρθρήματα γίνεται ἐν νούσοισιν. οἷαι δέ τινες εἰσὶν αἱ νοῦσοι, ἐν ᾗσιν ἐξαρθρέεται τὰ τοιαῦτα ὕστερον γεγράψεται. ἢν γοῦν ἐκστὰν μὴ ἐμπέσῃ, τοῦ μὲν μηροῦ τὸ ὀστέον βραχὺ γίνεται. κακοῦται δὲ πᾶν τὸ σκέλος καὶ ἀναυξέστερον γίνεται καὶ ἀσαρκότερον πολλῷ, διὰ τὸ μηδὲν προσχρέεσθαι αὐτῷ. κακοῦται γὰρ τούτοισι καὶ τὸ κατὰ τὴν ἰγνύην ἄρθρον. τὰ γὰρ νεῦρα ἐντεταμένα γίνεται διὰ τὰ πρόσθεν εἰρημένα. διὸ οὐ δύνανται τὸ κατὰ τὴν ἰγνύην ἄρθρον ἐκτανύειν οἷσιν ἂν οὕτως ἰσχίον ἐκπέσῃ. ὡς γὰρ ἐν κεφαλαίῳ εἰπεῖν, πάντα τὰ ἐν τῷ σώματι ὁκόσα ἐπὶ χρήσει γέγονε, χρεομένοισι μὲν μέτρια καὶ γυμναζομένοισιν ἐν τῇσι ταλαιπωρίῃσιν ἐν ᾗσιν ἕκαστα εἴθισται, οὕτω μὲν ὑγιεινὰ, καὶ αὔξημα, καὶ εὔγηρα γίνεται. μὴ χρεομένοισι δὲ ἀλλ' ἐλιννύουσι νοσηρότερα γίνεται, καὶ ἀναυξέα, καὶ ταχύγηρα. ἐν δὲ τούτοισιν οὐχ ἥκιστα τὰ ἄρθρα τοῦτο πέπονθεν καὶ τὰ νεῦρα, ἢν μή τις αὐτοῖσι χρέηται. κακοῦται οὖν διὰ ταύτας τὰς προφάσιας μᾶλλόν τι ἐν τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος ἢ ἐν τοῖσιν ἄλλοισιν. ὅλον γὰρ τὸ σκέλος ἀναυξὲς γίνεται, καὶ τῇ ἀπὸ τῶν ὀστέων φύσει, καὶ τῇ ἀπὸ τῶν σαρκῶν. οἱ οὖν τοιοῦτοι ὁκόταν ἀνδρωθῶσι μετέωρον καὶ συγκεκλιμένον τὸ σκέλος ἴσχουσιν. ἐπὶ δὲ τοῦ ἑτέρου ὀχέονται καὶ τῷ ξύλῳ ἀντιστηριζόμενοι, οἱ μὲν, ἑνί, οἱ δὲ, δυσίν. οἷσι δ' ἂν ἐς τοὔμπροσθεν ἡ κεφαλὴ μηροῦ ἐκπέσῃ, ὀλίγοισι δὲ τοῦτο γίνεται. οὗτοι ἐκτανύειν μὲν τὸ σκέλος δύνανται τελέως. ξυγκάμπτειν δὲ ἥκιστα οὗτοι δύνανται τὰ κατὰ τὸν βουβῶνα. πονέουσι δὲ καὶ ἢν κατὰ τὴν ἰγνύην ἀναγκάζωνται ξυγκάμπτειν. μῆκος δὲ τοῦ σκέλεος παραπλήσιον φαίνεται κατὰ μὲν τὴν πτέρναν καὶ πάνυ. ἄκρος δὲ ὁ ποῦς ἧσσόν τι προκύπτειν ἐθέλοι ἐς τοὔμπροσθεν. ὅλον δὲ τὸ σκέλος ἔχει τὴν ἰθυωρίην κατὰ τὴν φύσιν, καὶ οὔτε τῇ, οὔτε τῇ ῥέπει. ὀδυνῶνται

δὲ αὐτίκα οὗτοι μάλιστα, καὶ οὖρον ἴσχεται τὸ πρῶτον μᾶλλόν τι ἢ τοῖσιν ἄλλοισιν ἐξαρθρήμασι. ἐγκέεται γὰρ ἡ κεφαλὴ τοῦ μηροῦ ἐγγυτάτω τούτοισι τῶν τόνων τῶν ἐπικαίρων. καὶ κατὰ μὲν τὸν βουβῶνα ἐξογκέονται, καὶ κατατεταμένον τὸ χωρίον φαίνεται. κατὰ δὲ τὸ πυγαῖον, στολιδωδέστερον, καὶ ἀσαρκότατον. ταῦτα μὲν οὖν σημεῖα ἐστὶ τὰ εἰρημένα, ὧν ἂν οὕτως ἐκπεπτώκῃ ὁ μηρός. ὁκόσοισι μὲν οὖν ἂν ἤδη ἠνδρωμένοισιν ἐκπεσὸν τὸ ἄρθρον μὴ ἐμπέσῃ, οὗτοι ὁκόταν αὐτοῖσιν ἡ ὀδύνη παύσηται, καὶ τὸ ἄρθρον ἐθισθείη ἐν τῇ χώρῃ τούτῃ στροφᾶσθαι ἵνα ἐξέπεσεν, οὗτοι δύνανται σχεδὸν εὐθὺς ὀρθοὶ ὁδοιπορέειν ἄνευ ξύλου, καὶ πάνυ μέντοι εὐθέες. ἐπὶ δὲ τὸ σιναρὸν ἅτε οὔτε κατὰ τὸν βουβῶνα εὔκαμπτοι ἐόντες, οὔτε κατὰ τὴν ἰγνύην. διὰ γοῦν τοῦ βουβῶνος τὴν ἀκαμπίην εὐθυτέρῳ ὅλῳ τῷ σκέλει ἐν τῇ ὁδοιπορίῃ χρέονται ἢ ὅτε ὑγίαινον. καὶ σύρουσι δὲ ἐνίοτε πρὸς τὴν γῆν τὸν πόδα, ἅτε οὐ ῥηιδίως ἐξεγκάμπτοντες τὰ ἄνω ἄρθρα, καὶ ἅτε παντὶ βαίνοντες τῷ ποδί. οὐδὲν γὰρ ἧσσον τῇ πτέρνῃ οὗτοι βαίνουσι, ἢ τῷ ἔμπροσθεν. εἰ δέ γε ἠδύναντο μέγα προβαίνειν, κἂν πάνυ πτερνοβάται ἦσαν. καὶ γὰρ οἱ ὑγιαίνοντες ὅσῳ ἂν μεῖζον προβαίνοντες ὁδοιπορέωσι, τοσούτῳ μᾶλλον πτερνοβάται εἰσίν. τιθέντες τὸν πόδα. αἴροντες δὲ, τὸ ἐναντίον. ὁκόσοισι δὲ δὴ οὕτως ἐκπέπτωκε καὶ ἔτι μᾶλλον, τῇ πτέρνῃ προσεγχρίπτουσιν, ἢ τὸ ἔμπροσθεν. τὸ γὰρ ἔμπροσθεν τοῦ ποδὸς, ὅταν ἐκτεταμένον ᾖ, τὸ ἄλλο σκέλος οὐχ ὁμοίως δύναται ἐς τὸ πρόσω καμπυλέεσθαι. ὥσπερ ὅταν ξυγκεκαμμένον εἴη τὸ σκέλος. οὔτ᾽ αὖ σιμοῦσθαι δύναται ὁ πούς ξυγκεκλισμένου τοῦ σκέλεος, ἕως ὅταν ἐκτεταμένον ᾖ τὸ σκέλος. ὑγιαίνουσά τε οὖν ἡ φύσις οὕτω πέφυκεν, ὥσπερ εἴρηται. ὅταν δὲ ἐκπεσὸν μὴ ἐμπέσῃ τὸ ἄρθρον, οὕτως ὁδοιπορέουσιν ὡς εἴρηται, διὰ τὰς προφάσιας ταύτας τὰς εἰρημένας. ἀσαρκότερον μέντοι τὸ σκέλος τοῦ ἑτέρου γίνεται, κατά τε τὸ πυγαῖον, κατά τε τὴν γαστροκνημίην, καὶ κατὰ τὴν ὄπισθεν ἴξιν. οἷσι δ᾽ ἂν νηπίοισιν ἔτι ἐοῦσι τὸ ἄρθρον οὕτως ὀλισθάνον μὴ ἐμπέσῃ, ἢ καὶ ἐκ γενεῆς οὕτω γένηται, καὶ τούτοισι τὸ τοῦ μηροῦ ὀστέον μᾶλλόν τι μινύθει, ἢ τὰ τῆς κνήμης, καὶ τὰ τοῦ ποδός. ἥκιστα μὲν ἐν τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος ὁ μηρὸς μειοῦται. μινύθουσι μέντοι αἱ σάρκες πάντη. μάλιστα δὲ κατὰ τὴν ὄπισθεν ἴξιν, ὥσπερ ἤδη καὶ πρόσθεν εἴρηται. ὅσοι μὲν οὖν ἂν τιθηνηθῶσιν ὀρθῶς, οὗτοι μὲν δύνανται προσχρέεσθαι τῷ σκέλει αὐξανόμενοι. βραχυτέρῳ μέν τινι τοῦ ἑτέρου ἐόντι. ὅμως δὲ ἐρειδόμενοι ξύλῳ ἐπὶ ταῦτα ᾗ τὸ σιναρὸν σκέλος. οὐ γὰρ κάρτα δύνανται ἄνευ τῆς πτέρνης, τῷ στήθει τοῦ ποδὸς χρέεσθαι, ἐπικαθιέντος ὥσπερ ἐν ἑτέροις χωλώμασιν ἔνιοι δύνανται. αἴτιον δὲ τοῦ μὴ δύνασθαι τὸ ὀλίγῳ πρόσθεν εἰρημένον. διὰ οὖν τοῦτο προσδέονται ξύλου. ὅσοι δ᾽ ἂν καταμεληθῶσι καὶ μηδὲν χρέονται ἐπὶ τὴν γῆν τῷ σκέλει, ἀλλὰ μετέωρον ἔχωσι, τούτοισι μινύθουσι μὲν τὰ ὀστέα ἐς αὔξησιν μᾶλλον, ἢ τοῖσι χρεομένοισι. μινύθουσι δὲ καὶ αἱ σάρκες πολὺ μᾶλλον ἢ τοῖσι χρεομένοισι. κατὰ δὲ τὰ ἄρθρα ἐς τὸ εὐθὺ πηροῦται τούτοισι τὸ σκέλος μᾶλλόν τι, ἢ οἷσιν ἂν ἄλλως ἐκπεπτώκῃ. ὡς μὲν οὖν ἐν κεφαλαίῳ εἰρέεσθαι, τὰ ἄρθρα τὰ ἐκπίπτοντα καὶ τὰ ὀλισθάνοντα ἀνίσως αὐτὰ ἑωυτοῖσιν ἐκπίπτει καὶ ὀλισθάνει. ἄλλοτε μὲν πολὺ πλέονα. ἄλλοτε δὲ πολὺ ἐλάσσονα. καὶ οἷσι ἂν μὲν πολὺ πλεῖον ὀλισθῇ ἢ ἐκπέσῃ, χαλεπώτερα ἐμβάλλειν τὸ ἐπίπαν ἐστί. καὶ ἢν μὴ ἐμβιβασθῇ μείζους καὶ ἐπιδηλοτέρας τὰς πηρώσιας καὶ κακώσιας ἴσχει τὰ τοιαῦτα, καὶ ὀστέων, καὶ σαρκῶν, καὶ σχημάτων. ὅταν δὲ μεῖον ἐκπέσῃ καὶ ὀλισθῇ, ῥηΐδιον μὲν ἐμβάλλειν τὰ τοιαῦτα τῶν ὀστέων γίνεται. ἢν δὲ καταπορηθῇ ἢ ἀμεληθῇ ἐμπεσεῖν, μείους καὶ ἀσινέστεραι αἱ πηρώσιες γίνονται τούτοισιν, ἢ οἷσιν ὀλίγῳ πρόσθεν εἴρηται. τὰ μὲν οὖν ἄλλα ἄρθρα καὶ πάνυ πολὺ διαφέρει ἐς τὸ ὅτε μὲν μεῖον, ὅτε δὲ μεῖζον τὸ ὀλίσθημα ποιέεσθαι. μηροῦ δὲ καὶ βραχίονος κεφαλαὶ παραπλησιώτατα ὀλισθάνουσιν αὐτὴ ἑωυτῇ ἑκατέρη. ἅτε γὰρ στρογγύλαι μὲν αἱ κεφαλαὶ ἐοῦσαι ἄπλην τὴν στρογγύλωσιν καὶ φαλακρὴν ἔχουσι. κυκλοτερέες δὲ αἱ κοιλίαι ἐοῦσαι, αἱ δεχόμεναι τὰς κεφαλάς. ἁρμόζουσαι δὲ, τῇσι κεφαλῇσι. διὰ τοῦτο οὐκ ἔστιν αὐτῇσι τὸ ἥμισυ ἐκστῆναι τοῦ ἄρθρου. ὀλισθάνοι γὰρ ἂν διὰ τὴν περιφερίην ἢ ἐς τὸ ἔξω, ἢ ἐς τὸ εἴσω, περὶ οὗ νῦν ὁ λόγος ἐστίν. ἐκπίπτουσι τελέως ἤδη, ἐπεὶ ἄλλως γε οὐκ ἐκπίπτουσιν. ὅμως δὲ καὶ ταῦτα ὅτε μὲν, πλείω ἀποπηδᾷ ἀπὸ τῆς φύσιος. ὅτε δὲ, ἔλασσον. μᾶλλον δέ τι μηρὸς τοῦ βραχίονος πέπονθεν.

Ἐπεὶ ἔνια καὶ τῶν ἐκ γενεῆς γινομένων ὀλισθημάτων ἢν μακρὸν ὀλισθῇ, οἷά τε ἐς τὴν φύσιν ἄγεσθαι καὶ μάλιστα παρὰ τὰ τοῦ ποδὸς ἄρθρα. ὁκόσοι ἐκ γενεῆς κυλλοὶ γίνονται, τὰ πλεῖ

στα τούτων

τὰ τούτων ἰήσιμα ἐστίν, ἢν μὴ πάνυ μεγάλη ἡ ἔκκλισις ᾖ, ἢ καὶ προαυξέων γεγονότων ἤδη παιδίων ξυμβῇ. ἄριστον μὲν οὖν ὡς τάχιστα ἰητρεύειν τὰ τοιαῦτα, πρὶν πάνυ μεγάλην τὴν ἔνδειαν τῶν ὀστέων τῶν ἐν τῷ ποδὶ γενέσθαι, πρίν τε πάνυ μεγάλην τὴν ἔνδειαν τῶν σαρκῶν, τῶν κατὰ τὴν κνήμην εἶναι. τρόπος μὲν οὖν κυλλώσιος οὐχ εἷς, ἀλλὰ πλείονες. τὰ πλεῖστα μὲν οὐκ ἐξηρθρηκότα παντάπασιν, ἀλλὰ δι' ἔθος σχήματος ἔν τινι ἀποκλίσει τοῦ ποδὸς κεκυλλωμένα. προσέχειν δὲ τῇ ἰητρείῃ τοισίδε χρή. ἀπωθεῖν μὲν καὶ κατορθοῦν τῆς κνήμης τὸ κατὰ τὸ σφυρὸν ὀστέον, τὸ ἔξωθεν ἐς τὸ εἴσω μέρος, ἀντωθεῖν δὲ ἐς τὸ ἔξω μέρος τὸ τῆς πτέρνης τὸ κατ' αὐτὴν τὴν ἴξιν, ὅπως ἀλλήλοις ἀπαντήσῃ τὰ ὀστέα τὰ ἐξίσχοντα. κατὰ μέσον δὲ καὶ πλάγιον τὸν πόδα. τοὺς δ' αὖ δακτύλους ἀθρόους ξὺν τῷ μεγάλῳ δακτύλῳ ἐς τὸ εἴσω μέρος ἐγκλίνειν, καὶ περιαναγκάζειν οὕτως. ἐπιδεῖν δὲ κηρωτῇ ἐρρητινωμένῃ εὖ, καὶ σπλήνεσι, καὶ ὀθονίοισι μαλθακοῖσι μὴ ὀλίγοισι, μὴ δὲ ἄγαν πιέζοντα. οὕτω δὲ τὰς περιαγωγὰς ποιέεσθαι τῆς ἐπιδέσιος, ὥσπερ καὶ τῇσι χερσὶν ἡ κατόρθωσις ἦν τοῦ ποδός, ὅπως ὁ ποὺς ὀλίγον μᾶλλον ἐς τὸ βλαισὸν ῥέπον φαίνηται. ἴχνος δέ τι ποιέεσθαι, ἢ δέρματος μὴ ἄγαν σκληροῦ, ἢ μολυβδίνου. προσεπιδεῖν δὲ, μὴ πρὸς τὸν χρῶτα τιθέντα, ἀλλ' ὅταν ἤδη τοῖσιν ὑστάτοισι ὀθονίοισι μέλλῃς ἐπιδέειν. ὅταν δὲ ἤδη ἐπιδεδεμένος ᾖ, ἑνός τινος τῶν ὀθονίων χρὴ, οἷσιν ἐπιδέεται, τὴν ἀρχὴν προσράψαι πρὸς τὰ κάτω τοῦ ποδὸς ἐπιδέσματα κατὰ τὴν ἴξιν τοῦ μικροῦ δακτύλου. ἔπειτα ἐς τὸ ἄνω τείνοντα, ὅπως ἂν δοκέῃ μετρίως ἔχειν, περιβάλλειν ἄνωθεν τῆς γαστροκνημίης, ὡς μόνιμον ᾖ κατατεταγμένον οὕτως. ἁπλῷ δὲ λόγῳ, ὥσπερ κηροπλαστέοντα χρὴ ἐς τὴν φύσιν τὴν δικαίην ἄγειν, καὶ τὰ ἐκκεκλιμένα καὶ τὰ συντεταμένα παρὰ τὴν φύσιν, καὶ τῇσι χερσὶν οὕτω διορθοῦντα, καὶ τῇ ἐπιδέσει ὡσαύτως. προσάγειν δὲ οὐ βιαίως, ἀλλὰ παρηγορικῶς. προσράπτειν δὲ τὰ ὀθόνια ὅπως ἂν ξυμφέρῃ τὰς ἀναλήψιας ποιέεσθαι. ἄλλα γὰρ ἄλλης τῶν χωλωμάτων δέεται ἀναλήψιος. ὑποδημάτιον δὲ ποιέεσθαι μολύβδινον, ἔξωθεν τῆς ἐπιδέσιος ἐπιδεδεμένον, οἷον αἱ Χῖαι κρηπῖδες ῥυθμὸν εἶχον. ἀλλ' οὐδὲν αὐτοῦ δεῖ, ἤν τις ὀρθῶς μὲν τῇσι χερσὶ διορθώσῃ, ὀρθῶς δὲ τοῖσιν ὀθονίοισιν ἐπιδέῃ, ὀρθῶς δὲ καὶ τὰς ἀναλήψιας ποιοῖτο. ἡ μὲν οὖν ἴησις αὕτη, καὶ οὔτε τομῆς, οὔτε καύσιος, οὐδὲν δεῖ, οὔτ' ἄλλης ποικιλίης. θᾶσσον γὰρ ἐνακούει τὰ τοιαῦτα τῆς ἰητρείης, ἢ ὡς ἄν τις οἴοιτο. προσνικᾶν μέντοι χρὴ τῷ χρόνῳ, ἕως ἂν αὐξηθῇ τὸ σῶμα ἐν τοῖσι δικαίοισι σχήμασιν. ὅταν δὲ ἐς ὑποδήματος λόγον ἥκῃ, ἀρβύλαι ἐπιτηδειόταται αἱ πηλοπατίδες καλεόμεναι. τοῦτο γὰρ ὑποδημάτων ἥκιστα κρατέεται ὑπὸ τοῦ ποδὸς, ἀλλὰ κρατέει μᾶλλον. ἐπιτήδειος δὲ καὶ ὁ κρητικὸς τρόπος τῶν ὑποδημάτων.

Ὁκόσοισι δ' ἂν κνήμης ὀστέα ἐξαρθρήσαντα, καὶ ἕλκος ποιήσαντα, τελέως ἐξίσχῃ τὰ παρὰ τὸν πόδα ἄρθρα, εἴτε εἴσω ῥέψαντα, εἴτε μέντοι καὶ ἔξω, τὰ τοιαῦτα μὴ ἐμβάλλειν, ἀλλ' ἐᾶν τὸν βουλόμενον τῶν ἰητρῶν ἐμβαλεῖν. σαφέως γὰρ εἰδέναι χρὴ ὅτι ἀποθανεῖται, ἐὰν ἐμβληθέντα ἐμμένῃ. καὶ ἡ ζωὴ δὲ ὀλιγήμερος τούτοις γενήσεται. ὀλίγοι γὰρ αὐτῶν τὰς ἑπτὰ ἡμέρας ὑπερβάλλοιεν. σπασμὸς γὰρ ὁ κτείνων ἐστίν. ἀτὰρ καὶ γαγγραινοῦσθαι ἱκνέεται κνήμην καὶ τὸν πόδα. ταῦτα βεβαίως εἰδέναι χρὴ οὕτως ἐσόμενα. καὶ οὐκ ἄν μοι δοκέῃ οὐδ' ἐλλέβορος ὠφελῆσαι, αὐθήμερόν τε δοθεὶς, καὶ αὖθις πινόμενος. ἄγχιστα δὲ εἴπερ τι τοιοῦτον, οὐ μέντοι οὐδὲ τοῦτο δοκέω. ἢν δὲ μὴ ἐμβληθῇ, μὴ δὲ ἀπ' ἀρχῆς μηδὲ ἐπιπειρηθῇ ἐμβάλλειν, περιγίνονται οἱ πλεῖστοι αὐτῶν. χρὴ δὲ ἡρμόσθαι μὲν τὴν κνήμην καὶ τὸν πόδα οὕτως, ὡς αὐτὸς ἐθέλει. μοῦνον δὲ, μὴ ἀπαιωρεύμενα, μὴ δὲ κεκινδυνευμένα ἔστω. καὶ ἰητρεύειν δὲ πισσηρῇ καὶ σπλήνεσιν οἰνηροῖσιν, ὀλίγοισι, μὴ ἄγαν ψυχροῖσιν. ψῦχος γὰρ ἐν τοῖσι τοιούτοισι σπασμὸν ἐπικαλέεται. ἐπιτήδεια δὲ καὶ φύλλα τεύτλων, ἢ βηχίου, ἢ ἄλλου τινὸς τῶν τοιούτων ἐν οἴνῳ μέλανι αὐστηρῷ ἡμιεφθα ἐπιτεθέντα, ἰητρεύειν ἐπί τε τὸ ἕλκος, ἐπί τε τὰ περιέχοντα. κηρωτῇ δὲ χλιαρῇ ἐπιχρίειν αὐτὸ τὸ ἕλκος. ἢν δὲ ἡ ὥρη χειμερινὴ ᾖ, καὶ ἔρια ῥυπαρὰ ἐν οἴνῳ καὶ ἐλαίῳ καταρραίνοντα χλιεροῖσι ἄνωθεν ἐπιτέγγειν. καταδεῖν δὲ μηδὲν μηδενὶ, μὴ δὲ περιπλάσσειν. εὖ γὰρ εἰδέναι χρὴ, ὅτι πίεξις καὶ ἀχθοφορίη πᾶν κακὸν τοῖσι τοιούτοισι ἐστίν. ἐπιτήδεια δὲ πρὸς τὰ τοιαῦτα καὶ τῶν ἐναίμων μετεξέτερα, ὅσοισιν αὐτῶν ξυμφέρει. ἔρια δὲ ἐπιτιθέντα οἴνῳ ἐπιτέγγοντα πολὺν χρόνον ἐᾶν. τὰ δὲ ὀλιγημερώτατα τῶν ἐναίμων, καὶ ὅσα ῥητίνῃ προσκαταλαμβάνεται, οὐχ ὁμοίως ἐπιτήδεια ἐκείνοισιν ἐστί. χρονίη γὰρ ἡ κάθαρσις τῶν ἑλκέων γίνεται τούτων. πολὺν γὰρ χρόνον πλαδαρὴ γίνεται. τινὰς δὲ τούτων ἀγαθὸν ἐπιδέειν. εἰδέναι μὲν

ναι μὲν δή που σάφα χρὴ, ὅτι ἀνάγκη τὸν ἄνθρωπον χωλὸν αἰσχρῶς γίγνεσθαι. καὶ γὰρ ὁ ποὺς ἐπὶ τὸ ἄνω ἀνέσπασται τῶν τοιούτων. καὶ τὰ ὀστέα τὰ διολισθήσαντα, ἔξω ἐξέχοντα φαίνεται. οὔτε γὰρ ψιλοῦνται τῶν τοιούτων ὀστέων οὐδὲν, ὡς ἐπὶ τὸ πολὺ, εἰ μὴ κατὰ βραχύ τι, οὔτε ἀφίσταται, ἀλλὰ περιωτειλοῦνται λεπτῇσιν ὠτειλῇσι καὶ ἀσθενέσι. καὶ ταῦτα ἢν ἀτρεμίζωσι πουλὺν χρόνον. ἢν δὲ μὴ, ἑλκύδριον ἐγκαταλειφθῆναι κίνδυνος ἀναλθές. ὅμως δὲ περὶ οὗ ὁ λόγος, οὕτω μὲν οἱ ἰητρευόμενοι σώζονται. ἐμβληθέντος δὲ τοῦ ἄρθρου καὶ ἐμμείναντος, ἀποθνήσκουσιν. ὁ αὐτὸς δὲ λόγος οὗτος ἢν καὶ τὰ τοῦ πήχεος ὀστέα τὰ παρὰ τὴν καρπὸν τῆς χειρὸς ἕλκος ποιήσαντα ἐξίσχῃ, ἤν τε ἐς τὸ ἔσω μέρος τῆς χειρὸς, ἤν τε ἐς τὸ ἔξω. σάφα γὰρ ἐπίστασθαι χρὴ, ὅτι ἀποθανεῖται ἐν ὀλίγῃσιν ἡμέρῃσι, τοιούτῳ θανάτῳ, οἵῳπερ καὶ πρόσθεν εἴρηται, ὅτῳ ἂν ἐμβληθέντα τὰ ὀστέα ἐμμένῃ. οἷσι δ᾽ ἂν μὴ ἐμβληθῇ, μὴ δὲ πειρηθῇ ἐμβαλέσθαι, οὗτοι πολὺ πλέονες περιγίνονται. ἰητρείη δὲ τοιαύτη τοῖσι τοιούτοισιν ἐπιτηδείη, οἵηπερ εἴρηται. τὸ δὲ σχῆμα αἰσχρὸν τοῦ χωλώματος ἀνάγκη εἶναι, καὶ τοὺς δακτύλους τῆς χειρὸς ἀσθενέας καὶ ἀχρηΐους. ἢν μὲν γὰρ ἐς τὸ ἔσω μέρος ὀλισθῇ τὰ ὀστέα, ξυγκάμπτειν οὐ δύναται τοὺς δακτύλους. ἢν δὲ ἐς τὸ ἔξω μέρος, ἐκτανύειν οὐ δύναται. ὅσοισι δ᾽ ἂν κνήμης ὀστέον ἕλκος ποιησάμενον παρὰ τὸ γόνυ, ἐξίσχῃ, ἤν τε ἐς τὸ ἔξω μέρος, ἤν τε ἐς τὸ ἔσω, τούτοισιν ἢν μέν τις ἐμβάλῃ, ἔτι ἑτοιμότερος ὁ θάνατος ἐστὶν, ἤπερ τοῖσιν ἑτέροισι, καί περ κἀκείνοισιν ἑτοιμος ἐών. ἢν δὲ μὴ ἐμβαλὼν ἰητρεύῃς, ἐλπίδες μὲν σωτηρίης οὕτω μόνως εἰσίν. κινδυνωδέστερα δὲ ταῦτα τῶν ὀστέων γίνεται, ὅσῳ ἂν ἀνωτέρω, καὶ ὅσῳ ἂν ἰσχυρότερα ἔῃ. καὶ ἀπὸ ἰσχυροτέρων ὀλισθήσῃ. ἢν δὲ τὸ ὀστέον τὸ τοῦ μηροῦ τὸ πρὸς τοῦ γόνατος ἕλκος ποιησάμενον ἐξολισθῇ. ἐμβληθὲν μὲν καὶ ἐμμεῖναν, ἔτι βιαιότερον θᾶσσον τὸν θάνατον ποιήσει τῶν πρόσθεν εἰρημένων. μὴ ἐμβληθὲν δὲ, πολὺ ἀκινδυνωδέστερον, ἢ τὰ πρόσθεν. ὅμως δὲ μούνη ἐλπὶς αὕτη σωτηρίης. ὁ αὐτὸς δὲ λόγος καὶ περὶ τῶν κατὰ τὸν ἀγκῶνα ἄρθρων, καὶ περὶ τῶν τοῦ πήχεος καὶ τοῦ βραχίονος. ἃ γὰρ ἂν τούτων ἐξαρθρήσαντα ἐξίσχῃ, ἕλκος ποιησάμενα πάντα, ἢν ἐμβληθῇ, θάνατον φέρει. μὴ ἐμβληθέντα δὲ, ἐλπίδα σωτηρίης. χώλωσις δὲ τοῖσι περιγινομένοισι. θανατωδέστερα δὲ τοῖσιν ἐμβαλλομένοισιν ἐστὶν, τὰ ἀνωτέρω τῶν ἄρθρων. ἀτὰρ καὶ τοῖσιν ἐμβαλλομένοισι, κινδυνέστερα αὐτὰ ταῦτα. εἰ δέ τινι τὰ ἀνωτέρω ἄρθρα ἐξαρθρήσαντα ἕλκος ποιήσαντα ἐξίσχοι. ταῦτα δέ τι καὶ ἐμβαλλόμενα, ταχυθανατώτατα ἔη, καὶ μὴ ἐμβαλλόμενα, κινδυνωδέστερα. ἰητρείη δὲ ἤδη εἴρηται οἵη τις ἐμοὶ δοκέει ἐπιτηδειοτάτη εἶναι. ὅσοισι δὲ ἄρθρα δακτύλων, ἢ ποδὸς, ἢ χειρὸς ἐξαρθρήσαντα ἕλκος ποιήσαντα ἐξέσχεν, μὴ κατεηγότος τοῦ ὀστέου, ἀλλὰ κατ᾽ αὐτὴν τὴν ξύμφυσιν ἀποσπασθέντος, τούτοισιν εἰ ἐμβληθέντα ἐμμείνῃ, ἔνι μέν τοι κίνδυνος σπασμοῦ, ἢν μὴ χρηστῶς ἰητρεύωνται. ὅμως δέ τι ἄξιον ἐμβάλλειν, προειπόντα ὅτι φυλακῆς πολλῆς καὶ μελέτης δέεται. ἐμβάλλειν μέν τοι ῥήϊστον καὶ δυνατώτατον καὶ τεχνικώτατόν ἐστι τῷ μοχλίσκῳ, ὥσπερ καὶ πρόσθεν εἴρηται ἐν τοῖσι κατεαγνυμένοισι καὶ ἐξίσχουσιν ὀστέοισιν. ἔπειτα ἀτρεμέειν ὡς μάλιστα χρὴ, καὶ κατακεῖσθαι καὶ ὀλιγοσιτέειν. ἄμεινον δὲ καὶ φαρμακεῦσαι ἄνω, κούφῳ τινὶ φαρμάκῳ. τὸ δὲ ἕλκος ἰητρεύειν, ἢ ἐναίμοισι τοῖσιν ἐπιτέγκτοισιν, ἢ πολυοφθάλμοισιν, ἢ οἷσιν ἐν κεφαλῇ ὀστέα κατεηγότα ἰητρεύεται. κατάψυχρον δὲ κάρτα μηδὲν προσφέρειν. ἥκιστα μὲν οὖν τὰ πρῶτα ἄρθρα, κινδυνώδεά ἐστι. τὰ δὲ ἔτι ἄνω κινδυνωδέστερα. ἐμβάλλειν δὲ χρὴ αὐθημερὸν ἢ τῇ ὑστεραίῃ. τριταίῳ δὲ, ἢ τεταρταίῳ ἥκιστα. τεταρταῖα γὰρ ἐόντα ἐπισημαίνει τοῖσι παλιγκοτίῃσι μάλιστα. οἷσιν ἂν οὖν μὴ αὐτίκα γένηται ἐμβάλλειν, ὑπερβαίνειν χρὴ ταύτας τὰς εἰρημένας ἡμέρας. ὅτι γὰρ ἂν εἴσω δέκα ἡμερέων ἐμβάλλῃ, σπᾶν καταληπτόν. ἢν δ᾽ ἄρα ἐμβεβλημένῳ σπασμὸς ἐπιγένηται, ἐμβάλλειν τὸ ἄρθρον δεῖ ταχύ. καὶ θερμῷ τέγγειν ὡς πλειστάκις. καὶ τὸ ὅλον σῶμα θερμῶς καὶ λιπαρῶς καὶ μαλθακῶς ἔχειν, καὶ μάλιστα κατὰ τὰ ἄρθρα. κεκάμφθαι δὲ μᾶλλον ἢ ἐκτετάσθαι πᾶν τὸ σῶμα χρή. προσδέχεσθαι μέν τοι κατὰ τοὺς δακτύλους τὰ ἄρθρα τὰ ἐμβαλλόμενα ἀποστατικὰ ἔσεσθαι. τὰ γὰρ πλεῖστα οὕτω γίνεται, ἢν καὶ ὁποιοῦν φλεγμονῆς ὑπογένηται. ὡς εἰ μὴ δι᾽ ἀμαθίην τῶν δημοτέων ἐν αἰτίῃ ἔμελλεν ὁ ἰητρὸς ἔσεσθαι, οὐδὲν ἂν πάντως οὐδ᾽ ἐμβάλλειν ἔδει. τὰ μὲν οὖν κατὰ τὰ ἄρθρα ὀστέα ἐξίσχοντα, ἐμβαλλόμενα οὕτω κινδυνώδεά ἐστιν, ὡς εἴρηται. Ὅσα δὲ κατὰ τὰ ἄρθρα τὰ κατὰ τοὺς δακτύλους ἀποκόπτεται τελέως, ταῦτα ἀσινέα τὰ πλεῖστά ἐστιν, ἢν μή τις ἐν αὐτῇ τῇ τρώσει λειποθυμήσας

βλαβῇ

βλαβέειν. καὶ ἰητρείη φαύλη ἀρκέσει τῶν τοιούτων ἑλκέων. ἀτὰρ καὶ ὅσα μὴ κατὰ τὰ ἄρθρα, ἀλλὰ κατ' ἄλλην τινὰ ἴξιν τῶν ὀστέων ἀποκόπτεται, καὶ ταῦτα ἀσινέα ἐστί. καὶ ἔτι εὐαλθέστερα τῶν ἑτέρων. καὶ ὅσα κατὰ τοὺς δακτύλους ὀστέα κατεαγότα ἐξίσχει μὴ κατὰ τὸ ἄρθρον, καὶ ταῦτα ἀσινέα ἐστὶν ἐμβαλλόμενα. ἀποκόψιες δὲ τέλειαι ὀστέων καὶ κατὰ τὰ ἄρθρα καὶ ἐν ποδὶ καὶ ἐν χειρί. καὶ ἐν κνήμῃ, τοῖσι παρὰ τὰ σφυρά. καὶ ἐν πήχει, τοῖσι κατὰ τοὺς καρπούς. τοῖσι πλείστοισιν ἀποκοπτομένοισιν, ἀσινέα γίνεται. ὅσα ἂν μὴ αὐτίκα λειποθυμίη ἀνατρέψῃ. ἢ τεταρταίοισιν ἐοῦσι, πυρετὸς ξυνεχὴς ἐπιγένηται. ἀποσφακελίσιες μέντοι σαρκῶν, καὶ ἐν τρώμασιν αἱμοῤῥόοισι γενομένοισιν ἢ ἀποσφίγξεσιν ἰσχυραῖς. καὶ ἐν ὀστέων κατήγμασι γενομένοισι, πιεχθεῖσι μᾶλλον τοῦ καιροῦ. καὶ ἐν ἄλλοισι δεσμοῖσι βιαίοισι ἀποληφθέντα, ἀποπίπτει πολλοῖσι. καὶ οἱ πολλοὶ περιγίνονται τῶν τοιούτων. καὶ οἷσι μηροῦ μέρος τι ἀποπίπτει καὶ τῶν σαρκῶν καὶ τοῦ ὀστέου. καὶ οἷσι βραχίονος. ἧσσον δὲ πήχεός τε καὶ κνήμης ἀποπεσούσης, καὶ ἔτι εὐφόρως περιγίνονται. οἷσι μὲν οὖν κατεαγέντων ὀστέων ἀποσφακελίσιες αὐτίκα ἐγένοντο, καὶ μελασμοί, τούτοισι μὲν, ταχεῖαι περιῤῥήξιες γίνονται τοῦ σώματος, καὶ τὰ ἀποπίπτοντα ταχέως ἀποπίπτει ἤδη τῶν ὀστέων προενδεδωκότων. οἷσι δὲ ὑγιέων ἐόντων τῶν ὀστέων οἱ μελασμοὶ γίνονται. αἱ μὲν σάρκες, ταχέως θνήσκουσι καὶ τούτοισι. τὰ δὲ ὀστέα, βραδέως ἀφίστανται, ᾗ ἂν τὰ ὅρια τοῦ μελασμοῦ γένηται, καὶ ἡ ψίλωσις τοῦ ὀστέου. χρὴ δὲ ὅσα ἂν κατωτέρω τοῦ σώματος τῶν ὁρίων τοῦ μελασμοῦ ἔῃ, ταῦτα ὅταν ἤδη πάμπαν τεθνήκῃ καὶ ἀνάλγεα ᾖ, ἀφαιρέειν κατὰ τὸ ἄρθρον, προμυθεόμενον ὅκως μὴ τιτρώσκῃς. ἢν γὰρ ὀδυνηθῇ ἀποταμνόμενος, καὶ μήπω κυρήσῃ τὸ σῶμα τεθνεὸς ταύτῃ, ᾗ ἀποτέμνεται, κάρτα κίνδυνος ὑπὸ τῆς ὀδύνης λειποθυμῆσαι. αἱ δὲ τοιαῦται λειποθυμίαι πολλοὺς παραχρῆμα ἤδη ἀπώλεσαν. μηροῦ μὲν οὖν ὀστέον ψιλωθὲν ἐκ τοιούτου τρόπου, ὀγδοηκοσταῖον εἶδον ἀποστάν. ἡ μέντοι κνήμη τούτῳ τῷ ἀνθρώπῳ κατὰ τὸ γόνυ ἀφῃρέθη εἰκοσταίη. ἐδόκεε δέ μοι καὶ ἐγγυτέρω. οὐ γὰρ ἅμα, ἀλλ' ἐπὶ τὸ προμηθέστερον ἔδοξέ μοι τι ποιέειν. κνήμης δὲ ὀστέα ἐκ τοιούτου μελασμοῦ, μάλα κατὰ μέσην τὴν κνήμην ἐόντα, ἑξηκοσταῖά μοι ἀπέπεσεν, ὅσα ἐψιλώθη αὐτῶν. διενέγκοι μὲν γὰρ ἄν τι καὶ ἰητρείη ἰητρείης ἐς τὸ θᾶσσόν τε καὶ βραδύτερον τὰ ὀστέα ψιλούμενα ἀποπίπτειν. διενέγκοι δ' ἄν τι καὶ πίεξις πιέξιος, ἐπὶ τὸ ἰσχυρότερόν τε καὶ ἀσθενέστερον. καὶ ἐς τὸ θᾶσσόν τε καὶ βραδύτερον ἀπομελανθέντα ἀποθανεῖν τὰ νεῦρα, καὶ τὰς σάρκας, καὶ τὰς ἀρτηρίας, καὶ τὰς φλέβας. ἐπεὶ ὅσα μὴ ἰσχυρῶς ἀποληφθέντα θνήσκει, ἔνια τῶν τοιουτέων οὐκ ἀφικνέεται ἐς ὀστέον ψιλώματα, ἀλλ' ἐπιπολαιότερα ἐκπίπτει. ἔνια δὲ, οὐδὲ εἰς νεῦρον ψιλώματα ἀφικνεῖται, ἀλλὰ ἐπιπολαιότερα ἐκπίπτει. διὰ οὖν ταύτας τὰς προφάσιας οὐκ ἔστιν ἓν οὔνομα ἀριθμοῦ τοῦ χρόνου θέσθαι ἐν ὁκόσῳ ἕκαστα τούτων κρίνεται. προσδέχεσθαι δὲ μάλα χρὴ τοιαῦτα ἰήματα. ἐπιδέειν γὰρ φοβερώτερά ἐστιν ἢ τινι ἰητρεύειν. καὶ ἰητρείη πραείη ἀρκέει πᾶσι τοιούτοισι. αὐτὰ γὰρ ἑωυτὰ κρίνει μόνον. τῆς τε διαίτης ἐπιμελέεσθαι χρή, ὡς κατὰ δύναμιν ἀπύρετος ἔῃ. καὶ ἐν σχήμασι δικαίοισιν εὐθετίζειν τὸ σῶμα. δίκαια δὲ καὶ ταῦτα, μηδὲ μετέωρα ποιέειν, μηδὲ ἐς τὸ κάτω ῥέπειν, ἀλλὰ μᾶλλον ἐς τὸ ἄνω ποτί, καὶ ἐς ἂν τελέως περιῤῥαγῇ. αἱμοῤῥαγιέων γὰρ ἐν τούτῳ τῷ χρόνῳ κίνδυνος. διὰ τοῦτο γοῦν οὐ χρὴ καταῤῥοπα ποιέειν τὰ τρώματα, ἀλλὰ τἀναντία. ἐπεὶ ὅταν γε ὁ χρόνος ἐγγένηται πλείων, καὶ καθαρὰ τὰ ἕλκεα γένηται, οὐκ ἔτι ταῦτα τὰ σχήματα ἐπιτήδεια ἐστίν, ἀλλ' ἡ εὐθεῖα θέσις. καὶ ἐνίοτε ἐπὶ τὸ καταῤῥοπον ῥέποντα, ἀνὰ χρόνον γὰρ ἐνίοισι τούτων ἀποστάσιες ὀστέου γίνονται, καὶ ὑποδεσμίδων δέονται. προσδέχεσθαι δὲ χρὴ τοὺς τοιούτους ἀνὰ χρόνον ὑπὸ δυσεντερίης πιέζεσθαι. ἐπὶ γὰρ τοῖς μελαινομένοισι τοῖσι πλείστοισιν ἐπιγίνεται δυσεντερίη, καὶ ἐπὶ τῇσιν αἱμοῤῥαγίῃσιν ἐξ ἑλκέων. ἐπιγίνεται δὲ ὡς ἐπὶ τὸ πολὺ κεκριμένων ἤδη καὶ τῶν μελασμῶν καὶ τῆς αἱμοῤῥαγίης. καὶ ὁρμᾶται μὲν λάβρως καὶ ἰσχυρῶς, ἀτὰρ οὔτε πολυήμερος γίνεται, οὔτε θανατώδης. οὔτε γὰρ μάλα ἀπόσιτοι γίνονται οἱ τοιοῦτοι, οὔτε ἄλλως ξυμφέρει κενεαγγέειν.

μηροῦ δὲ ὀλίσθημα κατ' ἰσχίον, ὧδε χρὴ ἐμβάλλειν, ἢν ἐς τὸ εἴσω μέρος ὀλισθήκῃ. ἀγαθὴ μὲν ἥδε καὶ δικαίη καὶ κατὰ φύσιν ἡ ἐμβολή, καὶ δή τι καὶ ἀγωνιστικὸν ἔχουσα. ὅστις γε τοῖσι τοιούτοισιν ἥδεται κομψευόμενος, κρεμάσαι χρὴ τὸν ἄνθρωπον, τῶν ποδῶν πρὸς μεσόδμην δεσμῷ δυνατῷ, μαλθακῷ δὲ καὶ πλάτος ἔχοντι. τοὺς δὲ πόδας διέχειν χρή, ὅσον τέσσαρας δακτύλους ἀπ' ἀλλήλων ἢ καὶ ἔλασσον. χρὴ δὲ καὶ ἐπάνωθεν τῶν ἐπιγουνίδων προσπεριβεβλῆ

δῆσαι πλατεῖ ἱμάντι καὶ μαλθακῷ ἀνατείνοντι ἐς τὴν μεσόδμην. τὸ δὲ σκέλος τὸ σιναρὸν τετάσθαι χρή, ὡς δύο δακτύλοισι μᾶλλον τοῦ ἑτέρου. ἀπὸ δὲ τῆς γῆς τὴν κεφαλὴν ἀπεχέτω, ὡς δύο πήχεας, ἢ ὀλίγῳ πλέον, ἢ ἔλασσον. τὰς δὲ χεῖρας παρατεταμένας παρὰ τὰς πλευρὰς προσδεδεμένος ἔστω μαλθακῷ τινι. πάντα δὲ ταῦτα ὑπτίῳ κατακειμένῳ κατασκευασθήτω, ὡς ὅτι ἐλάχιστον χρόνον κρέμηται. ὅταν δὲ κρεμασθῇ, ἄνδρα χρὴ εὐπαίδευτον καὶ μὴ ἀσθενέα ἐνείραντα τὸν πῆχυν μεσηγὺ τῶν μηρῶν, εἶτα θέσθαι τὸν πῆχυν μεσηγὺ τοῦ περινέου καὶ τῆς κεφαλῆς τοῦ μηροῦ τῆς ἐξεστηκυίης. ἔπειτα συνάψαντα τὴν ἑτέρην χεῖρα πρὸς τὴν διηρμένην, παραστάντα ὀρθὸν παρὰ τὸ σῶμα τοῦ κρεμαμένου ἐξαπίνης ἐκκρεμασθέντα, μετέωρον αἰωρηθῆναι, ὡς ἰσορροπώτατον. αὕτη δὲ ἡ ἐμβολὴ παρέχεται πάντα ὅσα χρὴ κατὰ φύσιν. αὐτό τε γὰρ τὸ σῶμα κρεμάμενον, ὑπὸ ἑωυτοῦ βάρει κατάτασιν ποιέεται. ὅ, τε ἐκκρεμασθεὶς ἅμα μὲν τῇ κατατάσει ἀναγκάζει ὑπεραιωρεῖσθαι τὴν κεφαλὴν τοῦ μηροῦ ὑπὲρ τῆς κοτύλης. ἅμα δὲ τῷ ὀστέῳ τοῦ πήχεος ἀπομοχλεύειν καὶ ἀναγκάζειν ἐς τὴν ἀρχαίην φύσιν ὀλισθάνειν. χρὴ δὲ παγκάλως μὲν, τοῖσιν δεσμοῖσιν ἐσκευάσθαι. φρονέοντα δὲ ὡς ἰσχυρότατον τὸν ἐξαιωρούμενον εἶναι. ὡς μὲν οὖν καὶ πρόσθεν εἴρηται, μέγα τὸ διάφορον ἐστὶ τῶν φυσίων τοῖσιν ἀνθρώποισιν ἐς τὸ εὐέμβλητα εἶναι, καὶ δυσέμβλητα. καὶ διότι μέγα διαφέρει, εἴρηται πρόσθεν ἐν τοῖς περὶ ὤμου. ἐνίοισι γὰρ ὁ μηρὸς ἐμπίπτει ἀπ' οὐδεμιῆς παρασκευῆς, ἀλλ' ὀλίγης μὲν κατατάσιος, ὅσον τῇσι χερσὶ κατιθῦναι. βραχέης δὲ, κιγκλισμοῦ. πολλοῖσι δὲ συγκάμψασι τὸ σκέλος κατὰ τὸ ἄρθρον, ἐνέπεσεν ἤδη ἀμφίσφαλσιν ποιησάμενον. ἀλλὰ γὰρ τὰ πολὺ πλείω οὐκ ἐνακούει τῆς τυχούσης παρασκευῆς, διὰ τοῦτο ἐπίστασθαι μὲν χρή, τὰ κράτιστα περὶ ἑκάστου ἐν πάσῃ τῇ τέχνῃ. χρέεσθαι δὲ οἷσιν ἂν δοκῇ ἑκάστοτε. εἴρηνται μὲν οὖν τρόποι κατατασίων καὶ ἐν τοῖσιν ἔμπροσθεν γεγραμμένοισιν, ὥστε χρέεσθαι τούτων ὅστις ἂν παρατύχῃ. δεῖ γὰρ ἀντικατατετάσθαι ἰσχυρῶς. ἐπὶ θάτερα μὲν, τοῦ σκέλεος· ἐπὶ θάτερα δὲ, τοῦ σώματος. ἢν γὰρ εὖ κατατανθῇ, ὑπεραιωρηθήσεται ἡ κεφαλὴ τοῦ μηροῦ, ὑπὲρ τῆς ἀρχαίης ἕδρης. καὶ ἢν μὲν ὑπεραιωρηθῇ οὕτως, οὐδὲ κωλῦσαι ἔτι ῥηΐδιον ἵζεσθαι αὐτὴν ἐς τὴν ἑωυτῆς ἕδρην, ὥστε ἤδη πᾶσα ἀρκέει μόχλευσίς τε καὶ κατόρθωσις. ἀλλὰ γὰρ ἐλλείπουσιν ἐν τῇ κατατάσει. διὰ τοῦτο ὄχλον πλείω παρέχει ἡ ἐμβολή. χρὴ οὖν οὐ μόνον παρὰ τὸν πόδα τὰ δεσμὰ ἐξηρτῆσθαι, ἀλλὰ καὶ ἄνωθεν τοῦ γούνατος, ὅκως μὴ κατὰ τὸ τοῦ γούνατος ἄρθρον ἐν τῇ τανύσει ἡ ἐπίδοσις ἔῃ μᾶλλον, ἢ κατὰ τὸ τοῦ ἰσχίου ἄρθρον. οὕτω μὲν οὖν χρὴ τὴν κατάτασιν, τὴν πρὸς τὸ τοῦ ποδὸς μέρεος, ἐσκευάσθαι. ἀτὰρ καὶ τὴν ἐπὶ θάτερα κατάτασιν, μὴ μόνον ἐκ τῆς περὶ τὸ στῆθος καὶ τὰς μασχάλας περιβολῆς ἀντιτείνεσθαι, ἀλλὰ καὶ ἱμάντι μακρῷ, διπτύχῳ, ἰσχυρῷ, προσηνεῖ, παρὰ τὸν περίνεον βεβλημένῳ, παρατεταμένῳ. ἐπὶ μὲν τὰ ὄπισθεν, παρὰ τὴν ῥάχιν. ἐπὶ δὲ τὰ ἔμπροσθεν, παρὰ τὴν κληΐδα προσηρτημένῳ, πρὸς τὴν ἀρχὴν τὴν ἀντικατατείνουσαν οὕτω διαναγκάζεσθαι. τοῖσι μὲν, ἔνθα διατεινομένοισιν. τοῖσι δὲ ἔνθα. ὅκως δὲ ὁ ἱμὰς ὁ παρὰ τὸν περίνεον μὴ ἐπὶ τῇ κεφαλῇ τοῦ μηροῦ παρατεταμένος ἔσται, ἀλλὰ μεσηγὺ τῆς κεφαλῆς ἐπὶ τοῦ περινέου. ἐν δὲ τῇ κατατάσει κατὰ μὲν τὴν κεφαλὴν τοῦ μηροῦ ἐρείσας τὴν πυγμὴν, ἐς τὸ ἔξω ὠθεέτω. ἢν δὲ μετεωρίζεται ἑλκόμενος, διέρσας τὴν χεῖρα, καὶ ἐπισυνάξας τῇ ἑτέρῃ χειρὶ, ἅμα μὲν συγκατατεινέτω, ἅμα δὲ ἐς τὸ ἔξω συναναγκαζέτω. ἄλλος δέ τις τὸ παρὰ τὸ γόνυ τοῦ μηροῦ ἡσύχως ἐς τὸ εἴσω μέρος κατορθούτω. εἴρηται δὲ καὶ πρόσθεν ὅτι ἐπάξιον ὅστις ἐν πόλει πολυανθρώπῳ ἰητρεύει, ξύλον κεκτῆσθαι τετράγωνον, ὡς ἑξάπηχυ, ἢ ὀλίγῳ μεῖζον. εὖρος δὲ, ὡς δίπηχυ. πάχος δὲ, ἀρκέει σπιθαμιαῖον. ἔπειτα κατὰ μῆκος μὲν ἔνθεν, καὶ ἔνθεν τομὴν ἔχειν χρή, ὡς μὴ ὑψηλοτέρη τοῦ καιροῦ ἡ μηχάνησις εἴη. ἔπειτα φλιὰς βραχείας, ἰσχυρὰς, ἐνηρμοσμένας, ὀνίσκον ἔχειν ἑκατέρωθεν. ἔπειτα ἀρκέει μὲν ἐν τῷ ἡμίσει τοῦ ξύλου. οὐδὲν δὲ κωλύει καὶ διὰ παντὸς ἐντετμῆσθαι ὡς καπέτους μακρὰς πέντε ἢ ἕξ, διαλειπούσας ἀπ' ἀλλήλων τέσσαρας δακτύλους, αὐτὰς δὲ ἀρκέει εὖρος τριδακτύλους εἶναι, καὶ βάθος οὕτως. ἔχειν δὲ κατὰ μέσον τὸ ξύλον καὶ καταγλυφὴν χρὴ βαθυτέρην ἐπὶ τετράγωνον ὡς τριῶν δακτύλων. καὶ ἐς μὲν τὴν καταγλυφὴν ταύτην, ὅταν δοκέῃ προσδεῖν ξύλον ἐμπηγνύναι ἐναρμόζον τῇ καταγλυφῇ. τὸ δὲ ἄνω στρογγύλον. ἐμπηγνύναι δὲ ἐπήν ποτε δοκέῃ ξυμφέρειν, μεσηγὺ τοῦ περινέου καὶ τῆς κεφαλῆς τοῦ μηροῦ. τοῦτο τὸ ξύλον ἑστὼς κωλύει τὴν ἐπίδοσιν ἐπιδιδόναι τὸ σῶμα, τοῖσι πρὸς ποδῶν ἕλκουσιν. ἐνίοτε γὰρ ἀρκέει αὐτὸ

τὸ ξύλον

τὸ ξύλον τοῦτο, ἀντὶ τῆς ἄνωθεν ἀντικατατάσιος. ἐνίοτε δὲ καὶ κατατεινομένου τοῦ σκέλεος ἔνθεν καὶ ἔνθεν, αὐτὸ τὸ ξύλον τοῦτο χαλαρὸν ἐγκείμενον ᾗ τῇ, ᾗ τῇ, ἐκμοχλεύειν ἐπιτήδειον ἂν εἴη τὴν κεφαλὴν τοῦ μηροῦ ἐπὶ τὸ ἔξω μέρος. διὰ τοῦτο γὰρ καὶ αἱ κάπετοι ἐντέτμηνται, ὡς καθ' ὁκοίην ἂν αὐτέων ἁρμόσῃ ἐμβαλλόμενος ξύλινος μοχλὸς μοχλεύοι. ἢ παρὰ τὰς κεφαλὰς τῶν ἄρθρων, ἢ κατὰ τὰς κεφαλὰς τελέως ἐρειδόμενος ἅμα τῇ κατατάσει, ἤντε ἐπὶ τὸ ἔξω μέρος συμφέρει ἐκμοχλεύεσθαι, ἤντε ἐπὶ τὸ εἴσω. καὶ ἤντε στρογγύλον τὸν μοχλὸν ξυμφέρει εἶναι, ἤντε πλάτος ἔχοντα. ἄλλος γὰρ ἄλλῳ τῶν ἄρθρων ἁρμόζει. εὔχρηστος δέ ἐστιν ἐπὶ πάντων τῶν ἄρθρων ἐμβολῆς τῶν κατὰ τὰ σκέλεα, αὕτη ἡ μόχλευσις σὺν κατασείσει. περὶ οὗ νῦν ὁ λόγος ἐστί. στρογγύλος ἁρμόζει ὁ μοχλὸς εἶναι, ἀλλ' ἐπὶ τουτέων τῶν μηχανέων. ἔτι ἀναγκαῖον οὐδὲν ἄρθρον μοι δοκέει οἷόν τε εἶναι, ἀκρηθῆναι τοῦ ἐμπεσεῖν. εὕροι δ' ἂν τις καὶ ἄλλους τρόπους τούτου τοῦ ἄρθρου ἐμβολῆς. εἰ γὰρ τὸ ξύλον τοῦτο τὸ μέγα ἔχει κατὰ μέσον καὶ ἐκ πλαγίων φλιὰς δύο ποδιαίας, ὕψος δὲ ὅκως δοκέει ξυμφέρειν, τὴν μὲν ἔνθεν, τὴν δὲ ἔνθεν. ἔπειτα ξύλον πλάγιον ἐνείη ἐν τῇσι φλιῇσιν, ὡς κλιμακτήρ. ἔπειτα διεῖρσαι τὸ ὑγιὲς σκέλος μεσηγὺ τῶν φλιέων. τὸ δὲ σιναρὸν ἄνωθεν τοῦ κλιμακτῆρος ἔχοι ἐναρμόζον. ἀτάρ τι πρὸς τὸ ὕψος καὶ πρὸς τὸ ἄρθρον ᾗ ἐκπέπτωκε, ῥηΐδιον χρὴ ἁρμόζειν. τὸν γὰρ κλιμακτῆρα, ὑψηλότερον χρὴ ποιέειν τοῦ μετρίου. καὶ ἱμάτιον πολύπτυχον ὡς ἂν ἁρμόσῃ, ὑποτείνειν ὑπὸ τὸ σῶμα. ἔπειτα χρὴ ξύλον ἔχον τὸ πλάτος μέτριον καὶ μῆκος, ἄχρι τοῦ σφυροῦ ὑποτεταμένον ὑπὸ τὸ σκέλος εἶναι ἱκνεόμενον ἐπέκεινα τῆς κεφαλῆς τοῦ μηροῦ, ὡς οἷόν τε. προσκαταδεδέσθαι δὲ χρὴ πρὸς τὸ σκέλος ὁκοσαχῶς ἂν μετρίως ἔχῃ. κἄπειτα κατατεινομένου τοῦ σκέλεος, εἴτε ξύλῳ ὑπεροειδεῖ, εἴτε τουτέων τινὶ τῶν κατατασίων ὁμοῦ χρὴ καταναγκάζεσθαι τὸ σκέλος περὶ τὸν κλιμακτῆρα ἐπὶ τὸ κάτω μέρος ξὺν τῷ ξύλῳ τῷ προσδεδεμένῳ. τὸν δέ τινα κατέχειν τὸν ἄνθρωπον ἀνωτέρω τοῦ ἄρθρου κατὰ τὸ ἰσχίον. καὶ γὰρ οὕτως ἅμα μὲν ἡ κατάτασις ὑπεξαίροιτο τὴν κεφαλὴν τοῦ μηροῦ ὑπὲρ τῆς κοτύλης. ἅμα δὲ ἡ μόχλευσις ἀπωθέοι τὴν κεφαλὴν τοῦ μηροῦ εἰς τὴν ἀρχαίην φύσιν. αὗται πᾶσαι αἱ εἰρημέναι ἀνάγκαι ἰσχυραί, καὶ πᾶσαι κρείσσους τῆς ξυμφορῆς, ἤν τις ὀρθῶς καὶ καλῶς σκευάζοι. ὥσπερ δὲ καὶ πρόσθεν εἴρηται, πουλύ τι ἀπὸ ἀσθενεστέρων κατατασίων καὶ φαυλοτέρης κατασκευῆς τοῖσι πλείοσιν ἐμπίπτει. ἢν δὲ ἐπὶ τὸ ἔξω κεφαλὴ μηροῦ ὀλισθῇ, τὰς μὲν κατατάσιας ἔνθα καὶ ἔνθα χρὴ ποιέεσθαι, ὥσπερ εἴρηται τοιουτοτρόπως. τὴν δὲ μόχλευσιν, πλάτος ἔχοντι μοχλῷ, μοχλεύειν χρή, ἅμα τῇ κατατάσει, ἐκ τοῦ ἔξω μέρεος, ἐπὶ τὸ εἴσω ἀναγκάζοντα. κατά τε αὐτὸν ἤδη τὸν γλουτὸν, τιθέμενον τὸν μοχλὸν, καὶ ὀλίγῳ ἀνωτέρω. ἐπὶ δὲ τὸ ὑγιὲς ἰσχίον, κατὰ τὸν γλουτὸν ἀντιστηριζέτω τις τῇσι χερσὶν ὡς μὴ ὑπείκῃ τὸ σῶμα, ἢ ἑτέρῳ τινὶ τοιούτῳ μοχλῷ ὑπερβάλλων. καὶ ἐρείσας ἐκ τῶν κάπετων, τὴν ἁρμόζουσαν ἀντικαταχέτω. τοῦ δὲ μηροῦ τοῦ ἐξηρθρηκότος τὸ παρὰ τὸ γόνυ ἔσωθεν ἔξω, παραγέτω ἡσύχως. ἡ δὲ κρέμασις οὐχ ἁρμόσει τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήσιος τοῦ ἄρθρου. ὁ γὰρ πῆχυς τοῦ ἐκκρεμαμένου, ἀπωθέοι ἂν τὴν κεφαλὴν τοῦ μηροῦ ἀπὸ τῆς κοτύλης. τὴν μέντοι ξὺν τῷ ὑποκειμένῳ ξύλῳ μόχλευσιν μηχανήσαιτ' ἄν τις ὥστε ἁρμόζειν καὶ τούτῳ τῷ τρόπῳ τοῦ ὀλισθήματος ἔξωθεν προσαρτέων. ἀλλὰ τί ἔτι δεῖ πλείω λέγειν; ἢν γὰρ ὀρθῶς μὲν καὶ εὖ κατατείνηται, ὀρθῶς δὲ μοχλεύηται, τί οὐκ ἂν ἐμπέσοι ἄρθρον, οὕτως ἐκπεπτωκός; ἢν δὲ ἐπὶ τοὔπισθεν μέρος ἐκπεπτώκῃ ὁ μηρός, τὰς μὲν κατατάσιας καὶ ἀντιτάσιας, οὕτω δεῖ ποιέεσθαι, καθάπερ εἴρηται. ἐπιστορέσαντα δὲ ἐπὶ τὸ ξύλον ἱμάτιον πολύπτυχον ὡς μαλακώτατον ἔῃ, πρηνέα κατακλίναντα τὸν ἄνθρωπον, οὕτω κατατείνειν. ἅμα δὲ τῇ κατατάσει, χρὴ τῇ σανίδι καταναγκάζειν τὸν αὐτὸν τρόπον, ὡς τὰ ὑβώματα, κατ' ἴξιν τοῦ πυγαίου ποιησάμενον καὶ σανίδα, τὴν μᾶλλον ἐπὶ τὸ κάτω μέρος, ἢ ἐπὶ τὸ ἄνω τῶν ἰσχίων. καὶ ἡ ἐντομὴ ἐν τῷ τοίχῳ τῇ σανίδι μὴ εὐθεῖα ἔστω, ἀλλ' ὀλίγον καταφερής, πρὸς τὸ τῶν ποδῶν μέρος. αὕτη ἡ ἐμβολὴ κατὰ φύσιν μάλιστα τῷ τρόπῳ τούτῳ τοῦ ὀλισθήματός ἐστι, καὶ ἅμα ἰσχυροτάτη. ἀρκέσειε δ' ἂν ἴσως ἀντὶ τῆς σανίδος καὶ ἐφεζόμενόν τινα ἢ τῇσι χερσὶν ἐρεισάμενον, ἢ ἐπιβάντα ἐξαπίνης ὁμοίως ἐπαιωρηθῆναι ἅμα τῇ κατατάσει. ἄλλη δὲ οὐδεμίη ἐμβολὴ τῶν προειρημένων κατὰ φύσιν ἐστὶ τῷ τρόπῳ τούτῳ τοῦ ὀλισθήματος. ἢν δὲ ἐπὶ τὸ ἔμπροσθεν ὀλισθῇ, τῶν μὲν κατατασίων ὁ αὐτὸς τρόπος ποιητέος, ἄνδρα δὲ χρὴ ὡς ἰσχυρότατον ἀπὸ χειρῶν, καὶ ὡς εὐπαιδευτότατον ἐνερείσαντα τὸ θέναρ τῆς χειρὸς τῆς ἑτέρης παρὰ τὸν βουβῶνα καὶ τῇ ἑτέρῃ χειρὶ τὴν ἑωυτοῦ χεῖρα προσκαταλαβόντα,

ἅμα μὲν γὰρ τὸ κάτω ὠθέειν τὸ ὀλίσθημα. ἅμα δὲ γὰρ τὸ ἔμπροσθεν τοῦ γούνατος μέρος. οὗτος γὰρ ὁ τρόπος τῆς ἐμβολῆς μάλιστα κατὰ φύσιν τούτῳ τῷ ὀλισθήματι ἐστίν. ἀτὰρ καὶ ὁ κρεμασμὸς, ἐγγύς τι τοῦ κατὰ φύσιν. δεῖ μέντοι τὸν ἐκκρεμάμενον ἔμπειρον εἶναι, ὡς μὴ ἐκμοχλεύοι τῷ πήχεϊ τὸ ἄρθρον, ἀλλὰ περὶ μέσον τὸν περίνεον καὶ κατὰ τὸ ἱερὸν ὀστέον τὴν ἐκκρέμασιν ποιέεται, εὐδοκιμεῖ δὲ καὶ ὁ παραβεὶς ἀσκὸν ὥστε τὸ ἄρθρον ἐμβαλέεσθαι. καὶ ἤδη μέν τινας εἶδον, οἳ τινὲς ὑπὸ φαυλότητος, καὶ τὰ ἔξω ἐγκεκλιμένα καὶ τὰ ὄπισθεν, ἀσκῷ ἐπειρῶντο ἐμβαλεῖν, οὐ γινώσκοντες ὅτι ἐξέβαλλον αὐτὸ μᾶλλον, ἢ ἐνέβαλλον. ὁ μέντοι πρῶτος ἐπινοήσας, δῆλον, ὅτι πρὸς τὰ εἴσω ὠλισθηκότα, ἀσκῷ ἐμβάλλειν ἐπειρήσατο. ἐπίστασθαι μὲν οὖν χρὴ ὡς χρηστέον ἀσκῷ εἰ δέοι χρέεσθαι. διαγινώσκειν δὲ χρὴ, ὅτι ἕτερα πολλὰ ἀσκοῦ κρείσσω ἐστί. χρὴ δὲ τὸν μὲν ἀσκὸν, καταστιθέναι ἐς τοὺς μηροὺς, ἀφύσητον ἐόντα, ὡς ἂν δύναιτο ἀνωτάτω πρὸς τὸν περίνεον ἀνάγοντα. ἀπὸ δὲ τῶν ἐπιγουνίδων ἀρξάμενον, ταινίῃ πρὸς ἀλλήλους τοὺς μηροὺς καταδῆσαι, ἄχρι τοῦ ἡμίσεος τῶν μηρῶν. ἔπειτα ἐς ἕνα τῶν ποδῶν, τὸν λελυμένον ἐνθέντα αὐλὸν ἐκ χαλκείου, φυσᾶν. καὶ ἐσαναγκάζειν ἐς τὸν ἀσκόν. τὸν δὲ ἄνθρωπον πλάγιον κατακέεσθαι τὸ σιναρὸν σκέλος ἐπιπολῆς ἔχοντα. ἡ μὲν οὖν παρασκευὴ αὕτη ἐστί. σκευάζονται δὲ κάκιον οἱ πλεῖστοι, ἢ ὡς ἐγὼ εἴρηκα. οὐ γὰρ καταδέουσι τοὺς μηροὺς, ἐπὶ συχνὸν, ἀλλὰ μοῦνον τὰ γόνατα, καὶ οὐ προσκατατείνουσι. χρὴ δὲ καὶ προσκατατείνειν. ὅμως δὲ ἤδη τινὲς ἐνέβαλον, ῥηϊδίου πρήγματος ἐπιτυχόντες. εὐφόρως δὲ οὐ πάνυ ἔχει διαναγκάζεσθαι οὕτως. ὅ, τε γὰρ ἀσκὸς ἐμφυσώμενος, οὐ τὰ ὀγκηρότατα αὐτοῦ ἔχει πρὸς τῷ ἄρθρῳ τῆς κεφαλῆς, ἣν δεῖ μάλιστα ἐκμοχλεύεσθαι. ἀλλὰ κατὰ τὸν ἑωυτὸν, αὐτὸς μέσος καὶ τῶν μηρῶν ἴσως, ἢ κατὰ τὸ μέσον, ἢ ἔτι κατωτέρω. οἵ, τε αὖ μηροὶ φύσει γαυσοὶ πεφύκασιν. ἄνωθεν γὰρ σαρκώδεές τε καὶ ξύμμηροι. ἐς δὲ τὸ κάτω ὑπόξηροι. ὥστε καὶ ἡ τῶν μηρῶν φύσις ἐπαναγκάζοι τὸν ἀσκὸν, ἀπὸ τοῦ ἐπικαιροτάτου χωρίου. εἴτε οὖν τι σμικρὸν ἐνθήσει τὸν ἀσκὸν μικρὴ ἡ ἰσχὺς ἐοῦσα, ἀδύνατόν ἐστιν ἀναγκάζειν τὸ ἄρθρον. εἰ δὲ δεῖ ἀσκῷ χρέεσθαι ἐπὶ πολὺ οἱ μηροὶ ξυνδετέοι πρὸς ἀλλήλους. καὶ ἅμα τῇ κατατάσει τοῦ σώματος, ὁ ἀσκὸς φυσητέος. τὰ δὲ σκέλεα ἀμφότερα ὁμοῦ καταδεῖν ἐν τούτῳ τῷ τρόπῳ τῆς ἐμβολῆς ἐπὶ τὴν τελευτήν. χρὴ δὲ περὶ πλείστου μὲν ποιέεσθαι ἐν πάσῃ τῇ τέχνῃ, ὅκως ὑγιὲς μὲν ποιήσῃς τὸ νοσέον. εἰ δὲ πολλοῖσι τρόποισιν οἷόν τε εἴη ὑγιέας ποιέειν, τὸν ἀοχλότατον χρὴ αἱρέεσθαι. καὶ γὰρ ἀνδραγαθικώτερον τοῦτο καὶ τεχνικώτερον, ὅστις μὴ ἐπιθυμέει δημοειδέος κιβδηλίης, περὶ οὗ νῦν ὁ λόγος ἐστίν. τοιαίδε τ' ἂν τινὲς κατοικίδιοι κατατάσιες εἶεν τοῦ σώματος, ὥστε ἐκ τῶν παρεόντων τὸ εὔπορον εὑρίσκειν. τοῦτο μὲν ἢν τὰ δεσμὰ τὰ ἱμάντινα μὴ παρέῃ τὰ μαλθακὰ καὶ προσηνέα, ἀλλ' ἢ σιδήρεα, ἢ ὅπλα, ἢ σχοινία ταινίῃσι χρὴ ἢ ῥάκεσι τρυχίων ἐρινεῶν περιελίσσειν ταύτῃ μάλιστα, εἰ μέλλοι τὰ δεσμὰ καθέξειν καὶ ἔτι ἐπὶ πλέον. ἔπειτα οὕτω δεῖν τοῖσι δεσμοῖσι. τοῦτο δὲ ἐπὶ κλίνης χρὴ, ἥ τις ἰσχυροτάτη ἐστὶ μεγίστη τῶν παρεουσέων, κατατετάσθαι καλῶς τὸν ἄνθρωπον. τῆς δὲ κλίνης τοὺς πόδας ἢ τοὺς πρὸς κεφαλῆς ἢ τοὺς πρὸς ποδῶν ἐρηρεῖσθαι πρὸς τὸν οὐδὸν, εἴτε ἔξωθεν ξυμφέρει, εἴτε ἔσωθεν. παρὰ δὲ τοὺς ἑτέρους πόδας παρεμβεβλῆσθαι ξύλον τετράγωνον, πλάγιον, διῆκον ἀπὸ τοῦ ποδὸς πρὸς τὸν πόδα. καὶ ἢν μὲν λεπτὸν ἐῇ τὸ ξύλον, προσδεδέσθω πρὸς τοὺς πόδας τῆς κλίνης, ἢν δὲ παχὺ ἐῇ, μηδέν. ἔπειτα τὰς ἀρχὰς χρὴ τῶν δεσμῶν καὶ τῶν πρὸς τῆς κεφαλῆς καὶ τῶν πρὸς τῶν ποδῶν, προσδῆσαι ἑκατέρας, πρὸς ὕπερον, ἢ πρὸς ἄλλο τι τοιοῦτον ξύλον. ὁ δὲ δεσμὸς ἐχέτω ἰθυωρίην κατὰ τὸ σῶμα, ἢ καὶ ὀλίγον ἀνωτέρω. ξυμμέτρως δὲ ἐκτετάσθω πρὸς τὰ ὕπερα ὡς ὀρθὰ ἑστεῶτα, τὸ μὲν παρὰ τὸν οὐδὸν ἐρείδηται, τὸ δὲ παρὰ τὸ ξύλον τὸ παραβεβλημένον. κἄπειτα οὕτω τὰ ὕπερα ἀνακλῶντα χρὴ τὴν κατάτασιν ποιέειν. ἀρκέει δὲ κλίμαξ ἰσχυροὺς ἔχουσα τοὺς κλιμακτῆρας ὑποτεταμένη ὑπὸ τὴν κλίνην, ἀντὶ τοῦ οὐδοῦ τε καὶ τοῦ ξύλου τοῦ παρατεταμένου, ὡς τὰ ὕπερα πρὸς τῶν κλιμακτήρων τοὺς ἁρμόζοντας ἔνθεν καὶ ἔνθεν προσερηρεισμένα, οὕτω τὴν κατάτασιν ποιέεσθαι τῶν δεσμῶν. ἐμβάλλεται δὲ μηροῦ ἄρθρον καὶ τόνδε τὸν τρόπον, ἢν ἐς τὸ εἴσω ὀλισθῇ καὶ ἐς τὸ ἔμπροσθεν. κλίμακα χρὴ κατορύξαντα, ἐπικαθῆσαι τὸν ἄνθρωπον. ἔπειτα τὸ μὲν ὑγιὲς σκέλος ἡσύχως κατατείναντα προσδῆσαι ὅκως ἂν ἁρμόσῃ. ἐκ δὲ τοῦ σιναροῦ, ἐς κεράμιον ὕδωρ ἐγχέαντας ἐκκρεμάσαι, ἢ ἐς σφυρίδα λίθους ἐμβάλλοντας. Ἕτερος τρόπος ἐμβολῆς.

Ἢν ἐς τὸ εἴσω ὀλισθῇ, σπωτῆρα χρὴ διαδῆσαι, μεταξὺ δύο στύλων, ὕψος ἔχοντα συμμέτρως. προσεχέτω δὲ τὸ

δὲ τοῦ στρωτῆρος κατὰ τὸ ἐν μέσῳ ὁ νοσέων, ὁκόσον τὸ πυγαῖον. περιδήσας δὲ περὶ τὸ στῆθος τοῦ ἀνθρώπου ἱματίον, ὑποκαθῆσαι τὸν ἄνθρωπον εὖ τὸ προσεχὲς τοῦ στρωτῆρος. εἶτα προσλαβεῖν τὸ στῆθος πρὸς τὸν ξύλον πλατεῖ τινί. ἔπειτα τὸ μὲν ὑγιὲς σκέλος κατεχέτω τις, ὡς μὴ περισφάλληται. ἐκ δὲ τοῦ σιναροῦ ἐκκρεμάσαι βάρος ὅσον ἁρμόζει, ὡς καὶ πρόσθεν εἴρηται. πρῶτον μὲν οὖν δεῖ εἰδέναι, ὅτι πάντων τῶν ὀστέων αἱ ξυμβολαί εἰσιν ὡς ἐπὶ πολὺ ἡ κεφαλὴ καὶ ἡ κοτύλη. ἐφ' ὧν δὲ καὶ ἡ χώρα κοτυλοειδὴς καὶ ἐπίμακρος. ἔνιαι δὲ τῶν χωρέων γληνοειδέες εἰσίν. ἀεὶ δὲ ἐμβάλλειν δεῖ, πάντα τὰ ἐκπίπτοντα ἄρθρα. μάλιστα μὲν εὐθὺς παραχρῆμα ἔτι θερμῶν ἐόντων. εἰ δὲ μὴ, ὡς τάχιστα. καὶ γὰρ τῷ ἐμβάλλοντι ῥηΐτερον καὶ θᾶσσόν ἐστιν ἐμβαλεῖν. καὶ τῷ πάσχοντι πολὺ ἀπονώτερη ἡ ἐμβολὴ, ἢ πρὶν ἐνοιδεῖν ἐστί. δεῖ δὲ ἀεὶ πάντα τὰ ἄρθρα ὁκόταν μέλλῃς ἐμβάλλειν, προαναμαλάξαι καὶ διακιγκλίσαι. ῥᾷον γὰρ ἐθέλει ἐμβάλλεσθαι. παρὰ δὲ πάσας τὰς τῶν ἄρθρων ἐμβολὰς, ἰσχναίνειν δεῖ τὸν ἄνθρωπον, μάλιστα μὲν περὶ τὰ μέγιστα ἄρθρα καὶ χαλεπώτατα ἐμβάλλεσθαι. ἥκιστα δὲ περὶ τὰ ἐλάχιστα, καὶ ῥήϊστα. δακτύλων δὲ ἢν ἐκπέσῃ ἄρθρον, ἤν τε τὸ πρῶτον τῆς χειρός, ἤν τε τὸ δεύτερον, ἤν τε τὸ τρίτον, ὁ αὐτὸς καὶ ἴσος τρόπος τῆς ἐμβολῆς. χαλεπώτερα μὲν ἀεὶ τὰ μέγιστα τῶν ἄρθρων ἐμβάλλειν. ἐκπίπτει δὲ κατὰ τέσσαρας τρόπους, ἢ ἄνω, ἢ κάτω, ἢ ἐς τὸ πλάγιον ἑκατέρωθεν. μάλιστα μὲν ἐς τὸ ἄνω. ἥκιστα δὲ ἐς τὰ πλάγια, ἐν τῷ σφόδρα κινέεσθαι. ἑκατέρωθεν δὲ τῆς χώρης οὗ ἐκβέβηκεν, ὥσπερ ἄμβη ἐστίν. ἢν μὲν οὖν ἐς τὸ ἄνω ἐκπέσῃ ἢ ἐς τὸ κάτω, διὰ τὸ λειοτέρην εἶναι ταύτην τὴν χώρην, ἢ ἐκ τῶν πλαγίων. καὶ ἅμα μικρῆς ἐούσης τῆς ὑπερβάσιος, ἢν μεταστῇ τὸ ἄρθρον, ῥηΐδιόν ἐστιν ἐμβάλλειν.

Τρόπος δὲ τῆς ἐμβολῆς ὅδε. περιελίξας τὸν δάκτυλον ἄκρον, ἢ ἐπιδέσματί τινι, ἢ ἄλλῳ τρόπῳ τοιούτῳ τινὶ, ὅκως ὁκόταν κατατείνῃς ἄκρου λαβόμενος, μὴ ἀπολισθάνῃ. ὅταν δὲ περιελίξῃς, τὸν μέν τινα διαλαβέσθαι ἄνωθεν τοῦ καρποῦ τῆς χειρός. τὸν δὲ τοῦ κατειλημμένου. ἔπειτα κατατείνειν πρὸς ἑωυτὸν ἀμφοτέρους εὖ μάλα, καὶ ἅμα ἀπῶσαι τὸ ἐξεστηκὸς ἄρθρον ἐς τὴν χώρην. ἢν δὲ ἐς τὰ πλάγια ἐκπέσῃ, τῆς μὲν κατατάσιος ὁ αὐτὸς τρόπος. ὅταν δὲ δὴ δοκέῃ σοι ὑπερβεβηκέναι τὴν γραμμὴν, ἅμα χρὴ κατατείναντας ἀπῶσαι ἐς τὴν χώρην εὐθύς. ἕτερον δέ τινα ἐκ τοῦ ἑτέρου μέρεος τοῦ δακτύλου, φυλάσσειν καὶ ἀνωθέειν, ὅκως μὴ πάλιν ἐκεῖθεν ἀπολισθῇ. ἐμβάλλουσι δὲ ἐπιεικέως καὶ αἱ σαῦραι αἱ ἐκ τῶν φοινίκων πλεκόμεναι, ἢν κατατείνῃς ἔνθεν καὶ ἔνθεν τὸν δάκτυλον λαβόμενος, τῇ μὲν ἑτέρῃ τῆς σαύρης, τῇ δὲ ἑτέρῃ τοῦ καρποῦ τῆς χειρός. ὁκόταν δὲ ἐμβάλλῃς, ἐπιδεῖν δεῖ ὀθονίοισιν ὡς τάχιστα λεπτοτάτοισι, κεκηρωμένοισι κηρωτῇ, μήτε λίην μαλακῇ, μήτε λίην σκληρῇ, ἀλλὰ μετρίως ἐχούσῃ. ἡ μὲν γὰρ σκληρὴ, ἀφέστηκεν ἀπὸ τοῦ δακτύλου. ἡ δὲ ἁπαλὴ καὶ ὑγρὴ διατήκεται καὶ ἀπόλλυται, θερμαινομένου τοῦ δακτύλου. λύειν δὲ ἄρθρον δακτύλου, τριταῖον ἢ τεταρταῖον. τὸ δὲ ὅλον. ἢν μὲν φλεγμήνῃ, πυκνότερον λύειν. ἢν δὲ μὴ, ἀραιότερον. κατὰ πάντων δὲ τῶν ἄρθρων, ταῦτα λέγω. καθίσταται δὲ τοῦ δακτύλου τὸ ἄρθρον, τεσσαρεσκαιδεκαταῖον. ὁ αὐτὸς δέ ἐστι θεραπείης τρόπος, δακτύλων χειρός τε καὶ ποδός. παρὰ πάσας δὲ τὰς τῶν ἄρθρων ἐμβολὰς, δεῖ ἰσχναίνειν, καὶ λιμαγχονέειν ἄχρι ἑβδόμης. καὶ εἰ μὲν φλεγμαίνει, πυκνότερον λύειν. ἢν δὲ μὴ, ἀραιότερον. ἡσυχίην δὲ δεῖ ἔχειν ἀεὶ τὸ πονέον ἄρθρον, καὶ ὡς κάλλιστα ἐσχηματισμένον κεῖσθαι.

Γόνυ δὲ εὐηθέστερον ἀγκῶνος, διὰ τὴν εὐσταλίην καὶ τὴν εὐφυΐην, διὸ καὶ ἐκπίπτει ῥᾷον. ἐκπίπτει δὲ πλειστάκις ἔσω. ἀτὰρ καὶ ἔξω καὶ ὄπισθεν. ἐμβολαὶ δὲ ἐκ τοῦ συγκεκάμφθαι, ἢ ἐκλακτίσαι ὀξέως, ἢ σπειρελίξας ταινίης ὄγκον ἐν τῇ ἰγνύϊ, καὶ θεὶς ἀμφὶ τοῦτον ἐξαίφνης, ἐς ὄκλασιν ἀφιέναι τὸ σῶμα. δύναται δὲ καὶ κατατεινόμενον μετρίως, ὥσπερ ἀγκὼν ἐμπίπτειν τὰ ὄπισθεν. τὰ δὲ ἔνθα καὶ ἔνθα, ἐκ τοῦ συγκεκάμφθαι, ἢ ἐκλακτίσαι. ἀτὰρ ἐκ κατατάσιος μετρίης, ἡ διόρθωσις ἅπασι κοινή. ἢν δὲ μὴ ἐμπέσῃ, τοῖσι μὲν ὄπισθεν ξυγκάμπτειν οὐ δύνανται, ἀτὰρ οὐδὲ τοῖσι ἄλλοισι. πάνυ μινύθει δὲ μηροῦ καὶ κνήμης τοὔμπροσθεν. ἢν δὲ ἐς τὸ ἔσω, βλαισότεροι. μινύθει δὲ τὰ ἔξω. ἢν δὲ ἐς τὸ ἔξω, γαυσότεροι. χωλοὶ δὲ ἧσσον. κατὰ δὲ τὸ παχύτερον ὀστέον ὀχέει, μινύθει δὲ τὰ ἔσω. ἐκ γενεῆς δὲ καὶ ἐν αὐξήσει κατὰ λόγον τὸν πρόσθεν.

Τὰ δὲ κατὰ τὰ σφυρὰ, κατατάσιος ἰσχυρῆς δέεται, ἢ τῇσι χερσὶν, ἢ ἄλλοισι τοιούτοισι. κατόρθωσις δὲ ἅμα ἀμφότερα ποιεούσης. κοινὸν δὲ τοῦτο ἅπασι. τὰ δὲ ἐν ποδὶ, ὡς καὶ τὰ ἐν τῇ χειρὶ ὑγιέες. τὰ δὲ τῆς κνήμης ξυγκοινωνέοντα καὶ ἐκπεσόντα ἐκ γενεῆς, ἢ καὶ ἐν αὐξήσει ἐξαρθρήσαντα, ταὐτὰ ἃ καὶ ἐν χειρί. ὁκόσοι δὲ

περιδήσαντες

πιέσαντες ἄνωθεν ἐς ὑπεῖξαν τὸ τῇ πτέρνῃ, ὥστε διαστῆναι τὰ ὀστέα καὶ φλέβας ἐχχυμωθῆναι, καὶ νεῦρα ἀμφιφλασθῆναι, ὁκόταν γένηται οἷα τὰ δεινὰ, κίνδυνος μὲν σφακελίσαντα τὸν αἰῶνα πρήγματα παρασχεῖν. ἐοικὼς δὴ μὲν γὰρ τὰ ὀστέα. τὰ δὲ νεῦρα ἀλλήλοισι κοινωνέοντα. ἔπειτα καὶ οἷσιν ἂν μάλιστα κατηγεῖσιν, ἢ ὑπὸ τρώματος, ἢ ἐν κνήμῃ, ἢ ἐν μηρῷ, ἢ νεύρων ἀπολυθέντων, ἃ κοινωνεῖ τούτων, ἢ ἐκ κατακλίσιος ἀμελέος ἐμελάνθη πτέρνη. καὶ τούτοισι τὰ παλιγκοτέοντα δὲ ἐκ τῶν τοιούτων ἐστὶν, ὅτε καὶ πρὸς τῷ σφακελισμῷ γίνονται πυρετοὶ ὀξέες. λυγμώδεες. γνώμης ἀπτόμενοι. ταχυθάνατοι. καὶ ἔτι φλεβῶν αἱμοῤῥοΐδων πελιώσιες. σημεῖα δὲ τῶν παλιγκοτησάντων, ἢν τὰ ἐχχυμώματα, καὶ τὰ μελάσματα, καὶ τὰ περὶ ταῦτα ὑπόσκληρα, καὶ ὑπέρυθρα, ἤν τε ξὺν σκληρείσμασι πελιδνωθῇ, κίνδυνος μελανθῆναι. ἢν δὲ ὑπόπελια ᾖ ἢ καὶ πέλια μάλα καὶ ἐκκεχυμωμένα, ἢ ὑπόχλωρα καὶ μαλακὰ, ταῦτα ἐπὶ πᾶσι τοῖσι τοιούτοισιν ἀγαθά. ἡ ἴησις, ἢν μὲν ἀπύρετος ᾖ, ἐλλέβορον. ἢν δὲ μὴ, μή. ἀλλὰ ποτὸν ὀξύγλυκυ εἰ δέοι. ἐπίδεσις δὲ ἄρθρων. ἐπὶ δὲ πάντα μᾶλλον, τοῖσι φλάσμασι ὀθονίοισι πλείοσι καὶ μαλθακωτέροισι. πίεξις ἧσσον. περιεβάλλειν δὲ τὰ πλεῖστα τῇ πτέρνῃ. τὸ σχῆμα, ὅπερ ἡ ἐπίδεσις, ὡς μὴ ἐν τῇ πτέρνῃ ἀποπιέζηται. νάρθηξι δὲ μὴ χρέεσθαι. ἦσι δ' ἂν ἐκβῇ ὁ πους ἢ αὐτὸς, ἢ ξὺν τῇ ἐπιφύσει, ἐκπίπτει μὲν μᾶλλον ἐς τὸ εἴσω. ἢν δὲ μὴ ἐμπέσῃ, λεπτύνεται ἀνὰ χρόνον, τό, τε ἰσχίον καὶ ὁ μηρὸς, καὶ κνήμης τὸ ἀντίον τοῦ ὀλισθήματος. ἐμβολὴ δὲ καὶ ἄλλη ὥσπερ καρποῦ. κατάτασις δὲ ἰσχυρή. ἴησις δὲ νόμος ἄρθρων παλιγκοτεῖ. ἧσσον δὲ καρποῦ, ἢν ἡσυχάσωσι. δίαιτα μείων ἐλινύουσι. τὰ δὲ ἐκ γενεῆς ἢ ἐν αὐξήσει, κατὰ λόγον τὸν πρότερον.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΚΑΤ ΙΗΤΡΕΙΟΝ.

Ὅμοια, ἢ ἀνόμοια ἐξ ἀρχῆς ἀπὸ τῶν μεγίστων, ἀπὸ τῶν ῥηΐστων, ἀπὸ τῶν πάντη πάντως γιγνωσκομένων. ἃ καὶ ἰδεῖν, καὶ θιγεῖν, καὶ ἀκοῦσαι ἐστί. ἃ καὶ τῇ ὄψει. καὶ τῇ ἁφῇ. καὶ τῇ ἀκοῇ. καὶ τῇ ῥινί. καὶ τῇ γλώσσῃ. καὶ τῇ γνώμῃ ἔστιν αἰσθέσθαι. ἃ καὶ οἷς γιγνωσκόμενα, πᾶσιν ἐστὶ γνῶναι. τὰ δ' ἐς χειρουργίην κατ' ἰητρεῖον. ὁ ἀσθενέων. ὁ δρῶν. οἱ ὑπηρέται, τὰ ὄργανα. τὸ φῶς. ὅκου. ὅκως. ὅσα. ὅκως. ὅκοτε. τὸ σῶμα. τὰ ἄρμενα. ὁ χρόνος. ὁ τρόπος. ὁ τόπος. ὁ δρῶν ἢ καθήμενος. ἢ ἑστεώς. ξυμμέτρως πρὸς ἑωυτόν, πρὸς τὸ χειριζόμενον, πρὸς τὴν αὐγήν. αὐγῆς μὲν οὖν δύο εἴδεα. τὸ μὲν κοινόν. τὸ δὲ τεχνητόν. τὸ μὲν οὖν κοινὸν οὐκ ἐφ' ἡμῖν. τὸ δὲ τεχνητόν, καὶ ἐφ' ἡμῖν. ὧν ἑκατέρου διοσαὶ χρήσιες, ἢ πρὸς αὐγήν, ἢ ὑπ' αὐγήν. ὑπ' αὐγὴν μὲν οὖν ὀλίγη τε ἡ χρῆσις, καταφανής τε ἡ μετριότης. τὰ δὲ πρὸς αὐγὴν ἐκ τῶν παρεουσέων, ἐκ τῶν ξυμφερουσέων αὐγέων, πρὸς τὴν λαμπρότητα τρέπειν τὸ χειριζόμενον. πλὴν ὁκόσα ἢ λαθεῖν δεῖ ἢ ὁρῆν αἰσχρόν. οὕτως δὲ τὸ μὲν χειριζόμενον, ἐναντίον τῇ αὐγῇ, τὸν δὲ χειρίζοντα, ἐναντίον τοῦ χειριζομένου. πλὴν ὥστε μὴ ἐπισκοτάζειν. οὕτω γὰρ ἂν ὁ μὲν δρῶν, ὁρῴη. τὸ δὲ χειριζόμενον, οὐχ ὁρῷτο. πρὸς ἑωυτὸν δὲ καθημένῳ πόδες ἐς τὴν ἄνω ἴξιν κατ' ἰθὺ γούνασι. διάστασιν δὲ ὀλίγον συμβεβῶτες. γούνατα δὲ ἀνωτέρω βουβώνων σμικρὸν διάστασιν ἀγκῶσιν θέσει καὶ παραθέσει. ἱμάτιον εὐσταλέως. εὐκρινέως. ἴσως. ὁμοίως. ἀγκῶσιν. ὤμοισι. πρὸς δὲ τὸ χειριζόμενον, τοῦ μὲν πρόσω. καὶ ἐγγὺς. καὶ ἄνω. καὶ κάτω. καὶ ἔνθα, ἢ ἔνθα, ἢ μέσον. τοῦ μὲν πρόσω καὶ ἐγγὺς, ὅριον ἀγκῶνες. ἐς μὲν τὸ πρόσθεν, γούνατα μὴ ἀμείβειν. ἐς δὲ τὸ ὄπισθεν, πλευράς. τοῦ δὲ ἄνω, μὴ ἀνωτέρω μαζῶν ἄκρας χεῖρας ἔχειν. τοῦ δὲ κάτω, μὴ κατωτέρω, ἢ ὡς τὸ στῆθος ἐπὶ γούνασιν ἔχειν ἄκρας χεῖρας ἐγγωνίους πρὸς βραχίονας. τὰ μὲν κατὰ μέσον οὕτως. τὰ δὲ ἔνθα, ἢ ἔνθα μὴ ἔξω τῆς ἕδρης. κατὰ λόγον δὲ τῆς ἐπιστροφῆς προβαλλόμενον τὸ σῶμα καὶ τοῦ σώματος τὸ ἐργαζόμενον. ἑστεῶτα δὲ δεῖ καὶ ἐπ' ἀμφοτέρων βεβῶτα ἐξ ἴσου τῶν ποδῶν ἄλις. δρῆν δὲ τῷ ἑτέρῳ ἐπιβεβαῶτα, μὴ τῷ κατὰ τὴν δρῶσαν χεῖρα. ὕψος γούνατι πρὸς βουβῶνα, ὡς ἐν ἕδρῃ. καὶ τὰ ἄλλα ὅρια τὰ αὐτά. ὁ δὲ χειριζόμενος τῷ χειρίζοντι τῷ ἄλλῳ τοῦ σώματος μέρει ὑπηρετείτω. ἢ ἑστεώς. ἢ καθήμενος. ἢ κείμενος, ὅκως ἂν ῥήϊστα, ὧδε ὡς σχῆμα ἔχων διατελέῃ. φυλάσσων ὑπόῤῥυσιν. ὑπόστασιν. ἔκτρεψιν. κατάντιαν, ὡς ὃ δεῖ σώζεται καὶ σχῆμα καὶ εἶδος τοῦ χειριζομένου ἐν παρέξει. ἐν χειρισμῷ ἐν τῇ ἔπειτα ἕξει. Ὄνυχας μήτε ὑπερέχειν, μήτε ἐλλείπειν. δακτύλων κορυφὰς ἐς χρῆσιν ἀσκέειν. δακτύλοισι μὲν ἄκροις, τὰ πλεῖστα λιχανῷ πρὸς μέγαν. ὅλῃ δὲ καταπρηνεῖ. ἀμφοτέρῃσι δὲ ἐναντίῃσι. δάκτυλον ἐκφυῆναι μέγα τὸ ἐν μέσῳ τῶν δα-

τῶν δακτύλων, καὶ ἀπεναντίον τὸν μέγαν τῷ λιχανῷ. νοῦσος δὲ δι' ἣν καὶ βλάπτονται οἷσιν ἐν γενετῇσι ἐν τροφαῖς ἔθισται ὁ μέγας ὑπὸ τῶν ἄλλων δακτύλων κατέχεσθαι δῆλον. τὰ ἔργα πάντα ἀσκέειν ἑκατέρῃσι δρῶντα, καὶ ἀμφοτέρῃσιν ἅμα. ὅμοια γάρ εἰσιν ἀμφοτέρῃσι, στοχαζόμενον ἀγαθῶς. καλῶς. ταχέως. ἀπόνως. εὐρύθμως. εὐπόρως. ὄργανα μὲν καὶ ὅτε καὶ οἵως εἰρήσεται. ὅκου δεῖ μὴ ἐμποδὼν τὸ ἔργον. μὴ δὲ ἐμποδὼν τῇ ἀναιρέσει. παρὰ τὸ ἐργαζόμενον δὲ τοῦ σώματός ἐστι. ἄλλως δὲ ἢν δίδῳ ἑτοίμως ὀλίγῳ πρότερον ἔσω. ποιείτω δὲ ὅταν κελεύῃς. οἱ δὲ περὶ τὸν ἀσθενέοντα τὸ μὲν χειριζόμενον παρεχόντων ὡς ἂν δοκῇ. τὸ δὲ ἄλλο σῶμα κατεχόντων, ὡς ὅλον ἂν ἀτρεμέῃ, σιγῶντες. ἀκούοντες τοῦ ἐφεστῶτος.

Ἐπιδέσιος δύο εἴδεα, ἐργασομένου, καὶ ἐργαζόμενον. ἐργαζόμενον μὲν ταχέως. ἀπόνως. εὐπόρως. εὐρύθμως. ταχέως μὲν ἀνύειν τὰ ἔργα. ἀπόνως δὲ ῥηϊδίως δρῶν. εὐπορίῃ δὲ ἐς πᾶν ἑτοίμη. εὐρυθμίῃ δὲ ὁρῆσθαι ἡδέως. ἀφ' ὧν δὲ ταῦτα ἀσκημάτων, εἴρηται. ἐργασόμενον δὲ ἀγαθῶς. καλῶς. καλῶς μὲν ἁπλῶς. εὐκρινέως. ἢ ὅμοια. ἢ ἴσα. ἴσως καὶ ὁμοίως. ἢ ἄνισα καὶ ἀνόμοια. ἀνίσως καὶ ἀνομοίως. τὰ δὲ εἴδεα. ἁπλοῦν. ἔγκυκλον. σκέπαρνον. σιμόν. ὀφθαλμός. ῥόμβος καὶ ἡμίτομον. ἁρμόζον τὸ εἶδος περὶ εἴδει καὶ περὶ πάθει τοῦ ἐπιδεομένου. ἀγαθὰ δὲ δύο ἰδέα τοῦ ἐπιδεομένου. ἰσχὺς μὲν ἢ πίεξει ἢ πλήθει ὀθονίων. τὸ μὲν οὖν αὐτὴ ἡ ἐπίδεσις ἰῆται. τὸ δὲ τοῖς ἰωμένοισιν ὑπηρετέει. ἐς μὲν ὦν ταῦτα νόμος. ἐν δὲ τουτέοισι μέγιστα ἐπιδέσιος. πίεξις μὲν ὥστε τὰ ἐπικείμενα μὴ ἀφεστάναι, μὴ δὲ ἀπηρεῖσθαι. ἀλλὰ ἡρμόσθαι μέν. προσηνάγκασθαι δὲ μὴ ἧσσον μὲν τὰ ἔσχατα. ἥκιστα δὲ τὰ μέσα. ἄμμα καὶ ῥάμμα, νεμόμενον μὴ κάτω, ἀλλ' ἄνω, ἐν παρέξει, καὶ σχέσει, καὶ ἐπιδέσει. καὶ πιέξει. ἀρχὰς βάλλεσθαι μὴ ἐπὶ τὸ ἕλκος, ἀλλ' ἔνθεν ἢ ἔνθεν τὸ ἄμμα. τὸ δὲ ἄμμα, μήτε ἐν τρίβῳ. μήτε ἐν ἔργῳ. μήτε ἐκεῖσε, ὅκου κενεόν. ὡς μὴ ἐς κενεὸν κείσεται. ἄμμα δὲ καὶ ῥάμμα μαλθακόν, οὐ μέγα. εὖ γε μὴν γνῶναι. ὅτι ἐς τὰ κατάντη, καὶ ἀπόξυ φεύγει πᾶς ἐπίδεσμος. οἷον κεφαλῆς μὲν τὸ ἄνω. κνήμης δὲ τὸ κάτω. ἐπιδεῖν δεξιὰ, ἐπ' ἀριστερὰ, καὶ ἀριστερὰ, ἐπὶ δεξιὰ, πλὴν κεφαλῆς. ταύτην δὲ κατ' ἴξιν. τὰ δ' ὑπεναντία, ἀπὸ δύο ἀρχέων. ἢν δὲ ἀπὸ μιῆς, ἐφ' ὅπερ ὅμοιον ἐς τὸ μόνιμον. οἷον τὸ μέσον τῆς κεφαλῆς. καὶ εἴ τι ἄλλο τοιοῦτον. τὰ δὲ κινεύμενα, οἷον ἄρθρα ὅπῃ μὲν συγκάμπτεται, ὡς ἥκιστα, καὶ εὐσταλέστατα περιβάλλειν. οἷον ἰγνύην. εἰ δὲ περιτείνεται, ἁπλᾶ τε καὶ πλατέα, οἷον ἡ μύλη. προσπεριβάλλειν δὲ κατάληψιος μὲν τῶν περὶ ταῦτα εἵνεκα. ἀναλήψιος δὲ τοῦ σύμπαντος ἐπιδέσμου, ἐν τοῖσιν ἀτρεμέουσιν, καὶ λαπαρωτέροισι τοῦ σώματος. οἷον τὸ ἄνω. καὶ τὸ κάτω τοῦ γούνατος. ὁμολογέει δὲ ὤμου μὲν ἡ περὶ τὴν ἑτέραν μασχάλην περιβολή. βουβῶνος δὲ ἡ περὶ τὸν ἕτερον κενεῶνα. καὶ κνήμης, ἡ ὑπὲρ γαστροκνημίης. ὁκόσοισι μὲν ἄνω ἡ φυγή, κάτωθεν ἡ ἀντίληψις. οἷσι δὲ κάτω, τοὐναντίον. οἷσι δὲ μὴ ἔστι οἷον ἡ κεφαλή, τουτέων ἐν τῷ ὁμαλωτάτῳ τὰς καταλήψιας ποιέεσθαι, καὶ ἥκιστα λοξῷ τῷ ἐπιδέσμῳ χρέεσθαι, ὡς τὸ μονιμώτατον ὕστατον περιβληθέντα πλανωδέστατα κατέχει. ὁκόσοισι δὲ μὴ εὐκαταλήπτως τοῖς ὀθονίοισι, μὴ δὲ εὐαναλήπτως ἔχει, ῥάμμασι τὰς ἀναλήψιας ποιέεσθαι ἐκ καταβολῆς ἢ ξυρραφῆς. ἐπιδέσματα καθαρά. κοῦφα. μαλθακά. λεπτά. ἑλίσσειν ἀμφοτέροισιν ἅμα, καὶ ἑκατέροισιν χωρὶς ἀσκέειν. τῇ πρεπούσῃ δὲ ἐς τὰ πλάτη καὶ τὰ πάχη τῶν ὀθονίων τεκμαιρόμενον χρέεσθαι. ἑλίξιος κεφαλαὶ σκληραί. ὁμαλαί. εὐκρινέες. τὰ δὲ δὴ μέλλοντα ἀποπίπτειν κάκιω ταχέως ἀποπεσόντων. τὰ δὲ ὡς μήτε πιέζειν. μήτε ἀποπίπτειν. ὧν δὲ ἔχεται ἐπίδεσις. ἢ ὑπόθεσις. ἢ ἀμφότερα. ὑπόθεσις μὲν αἰτίη ὥστε ἢ ἀφεστῶτα, προσεῖλαι. ἢ ἐκπεπταμένα, συστεῖλαι. ἢ ξυνεσταλμένα, διαστεῖλαι. ἢ διεστραμμένα, διορθῶσαι. ἢ τἀναντία. παρασκευάζειν δὲ ὀθόνια κοῦφα. λεπτά. μαλθακά. καθαρά. πλατέα. μὴ ἔχοντα συρραφάς, μὴ δ' ἐξεστίας. καὶ ὑγιέα ὥστε τανύειν φέρειν καὶ ὀλίγῳ κρέσσω. μὴ ξηρά, ἀλλ' ἔγχυμα χυμῷ ᾧ ἕκαστα συντροφά. ἀφεστῶτα μὲν ὥστε τὰ μετέωρα τῆς ἕδρης ψαύειν μὲν πιέζειν δὲ μή. ἄρχεσθαι δὲ ἐκ τοῦ ὑγιέος, τελευτᾶν πρὸς τὸ ἕλκος. ὡς τὸ μὲν ὑπεὸν, ἐξαθέλγηται. ἕτερον δὲ μὴ ἐπιξυλλέγηται. ἐπιδεῖν τὰ μὲν ὀρθά, ἐς ὀρθόν. τὰ δὲ λοξά, λοξῶς. ἐν σχήματι ἀπόνῳ, ἐν ᾧ μήτε ἀπόσφιγξις, μήτε ἀπόστασις ἔσται. ἐξ οὗ ὅταν μεταλλάσσῃ ἐς ἀνάληψιν ἢ θέσιν, οὐ μεταλλάξουσιν, ἀλλ' ὅμοια ταῦτα ἕξουσι μύας. φλέβας. νεῦρα. ὀστέα. ἀναλελάμφθαι δὲ ἢ κέεσθαι ἐν σχήματι ἀπόνῳ τῷ κατὰ φύσιν. ὧν δὲ ἂν ἀποστῇ τἀναντία. ὧν δ' ἂν ἐκπεπταμένα συστεῖλαι. τὰ μὲν ἄλλα τὰ αὐτά. ἐκ πολλοῦ δὲ [illegible] δεῖ τὴν συναγωγὴν καὶ ἐκ προσαγωγῆς τὴν πίεξιν τὸ πρῶτον ἥκιστα. ἔπειτα ἐπὶ μᾶλλον ὅριον τοῦ μάλιστα τὸ συμψαύειν.

ὧν δὲ

ὧν δὲ συνεσταλμένα διαστεῖλαι. σὺν μὲν φλεγμονῇ τἀναντία. ἄνευ δὲ ταύτης, παρασκευῇ μὲν τοιαύτῃ. ἐπιδέσει δὲ ἐναντίῃ. Διεστραμμένα δὲ διορθῶσαι. τὰ μὲν ἄλλα κατὰ τὰ αὐτά. δεῖ δὲ τὰ μὲν ἀπελελυθότα, ἐπαγαγεῖν, ὑποδέσει. παρακολλήσει. ἀναλήψει. τὰ δὲ ἐναντία, ἐναντίως. σπληνῶν μήκεα. πλάτεα. πάχεα. πλήθεα. μῆκος ὅση ἡ ἐπίδεσις. πλάτος τριῶν, ἢ τεσσάρων δακτύλων. πάχος τριπτύχους ἢ τετραπτύχους. πλῆθος, κυκλοῦντας μὴ ὑπερβάλλειν, μὴ δὲ ἐλλείπειν, οἷσι δὲ ἐς διόρθωσιν μῆκος κυκλοῦντας πλάτος καὶ πάχος τῇ ἐνδείῃ τεκμαίρεσθαι, μὴ δὲ ἀθρόα πληροῦντας. τῶν δὲ ὀθονίων ὑποδεσμίδες εἰσὶ δύο. τῇ πρώτῃ ἐκ τοῦ σίνεος εἰς τὰ ἄνω τελευτῶσα. τῇ δὲ δευτέρῃ, ἐκ τοῦ σίνεος εἰς τὰ κάτω. κατὰ τὸ σίνος πιέζειν μάλιστα, ἥκιστα τὰ ἄκρα. τὰ δὲ ἄλλα κατὰ λόγον. ἡ δὲ ἐπίδεσις πουλὺ τοῦ ὑγιέος προσλαμβανέτω. ἐπιδέσμων δὲ πλῆθος, μῆκος, πλάτος. πλῆθος μὲν, μὴ ἡσσᾶσθαι τοῦ σίνεος. μηδὲ νάρθηξιν ἐνερείσιν εἶναι. μηδὲ ἄχθος. μηδὲ περίρρεψιν. μηδὲ ἐκθήλωσιν. μῆκος δὲ καὶ πλάτος. τριῶν ἢ τεττάρων, ἢ πέντε, ἢ ἕξ. πήχεων μὲν μῆκος. δακτύλων δὲ πλάτος. καὶ παρέρματος προσβολαὶ τοσαῦται, ὥστε μὴ πιέζειν. μαλθακὰ δὲ μὴ παχέα. ταῦτα πάντα ὡς ἐπὶ μήκει καὶ πλάτει καὶ πάχει τοῦ παθόντος. νάρθηκες δὲ λεῖοι. ὁμαλοί. σιμοί. κατ' ἄκρα σμικρῷ μείους ἔνθεν καὶ ἔνθεν τῆς ἐπιδέσεως. παχύτατοι δὲ ᾗ ἐξέρριπε τὸ κάτηγμα. ὁκόσα δὲ κυρτὰ καὶ ἄσαρκα φύσει φυλασσομένων τῶν ὑπερεχόντων. οἷον κατὰ δακτύλους ἢ σφυρὰ τῇ θέσει ἢ τῇ βραχύτητι. παρέρμασι δὲ ἐρμάζειν μὴ πιέζειν τὸ πρῶτον. κηρωτῇ μαλθακῇ καὶ λείῃ καὶ καθαρῇ. ὕδατος θερμότης. πλῆθος. θερμότης μὲν κατὰ τῆς ἑωυτοῦ χειρὸς καταχεῖν. πλῆθος δὲ χαλάσαι μὲν καὶ ἰσχνῶσαι τὸ πλεῖστον, ἄριστον. σαρκῶσαι δὲ καὶ ἁπαλῦναι, τὸ μέτριον. μέτριον δὲ ἐν τῇ καταχύσει ἔτι μετεωριζομένου, δεῖ πρὶν συμπίπτειν παύεσθαι. τὸ μὲν γὰρ πρῶτον, αἴρεται. ἔπειτα δὲ ἰσχναίνεται. θέσις δὲ μαλθακή. ὁμαλή. ἀνάρροπος τοῖσιν ἐξέχουσι τοῦ σώματος. οἷον πτέρνῃ καὶ ἰσχίῳ. ὡς μήτε ἀνακλᾶται μήτε ἐκτρέπεται. σωλῆνα παντὶ τῷ σκέλει ἢ ἡμίσει. ἐς τὸ πάθος δὲ βλέπειν καὶ τ' ἄλλα ὅσα βλάπτει δῆλα. πάρεξις δέ, καὶ διάτασις, καὶ ἀνάπλασις, καὶ τὰ ἄλλα κατὰ φύσιν. φύσις δὲ ἐν μὲν ἔργοις τοῦ ἔργου τῇ πρήξει ὃ βούλεται τεκμαρτέον. ἐς δὲ ταῦτα ἐκ τοῦ ἐλιννύοντος. ἐκ τοῦ κοινοῦ. ἐκ τοῦ ἔθεος. ἐκ μὲν τοῦ ἐλιννύοντος καὶ ἀφειμένου, τὰς ἰθυωρίας σκέπτεσθαι, οἷον τὸ τῆς χειρός. ἐκ δὲ τοῦ κοινοῦ, ἔκτασιν, σύγκαμψιν, οἷον τὸ ἐγγὺς τοῦ ἐγγωνίου πήχεος πρὸς βραχίονα. ἐκ δὲ τοῦ ἔθεος, ὅτι οὐκ ἄλλα σχήματα φέρειν δυνατώτερον, οἷον σκέλεα ἔκτασιν. ἀπὸ τουτέου γὰρ ῥᾷστα πλεῖστον χρόνον ἔχοι ἂν μὴ μεταλλάσσοντα. ἐν δὲ τῇ μεταλλαγῇ ἐκ διατάσιος ὅμοια ταῦτα ἔχουσιν, εἰς ἕξιν, ἢ θέσιν. μύες. φλέβες. νεῦρα. ὀστέα. ἢ μάλιστα εὔθετα. καὶ εὔσχετα. διάτασις μάλιστα, τὰ μέγιστα, καὶ πάχιστα, καὶ ὁμαλά, καὶ ὅκου ἀμφότερα. δεύτερα, ὧν τὸ ὑποτεταγμένον. ἥκιστα, ὧν τὸ ἄνω. μᾶλλον δὲ τοῦ μετρίου βλάβη, πλὴν παιδίων ἔχειν ἀνάντη σμικρῶν. διορθώσιος παράδειγμα τὸ ὁμώνυμον. τὸ ὁμόζυγον. τὸ ὅμοιον. τὸ ὑγιές. ἀνάτριψις δύναται λῦσαι. δῆσαι. σαρκῶσαι. μινυθῆσαι. ἡ σκληρὴ, δῆσαι. ἡ μαλακὴ, λῦσαι. ἡ πολλὴ, μινυθῆσαι. ἡ μετρίη, παχῦναι. ἐπιδεῖν δὲ τὸ πρῶτον ὁ μὲν ἐπιδεδεμένος μάλιστα φάτω πεπιέχθαι κατὰ τὸ σίνος. ἥκιστα τὰ ἄκρα. ἡρμόσθαι δὲ μὴ πεπιέχθαι ὑπὸ πλήθει μὴ ἰσχύϊ. τὴν δὲ ἡμέρην ταύτην καὶ νύκτα ὀλίγῳ μᾶλλον. τὴν δ' ὑστέρην, ἧσσον. τρίτῃ, χαλαρά. εὑρεθήτω δὲ τῇ μὲν ὑστεραίῃ ἐν ἄκροις οἴδημα μαλθακόν. τῇ τρίτῃ δὲ τὸ ἐπιδεθὲν λυθὲν ἰσχνότερον παρὰ πάσας τὰς ἐπιδέσιας τοῦτο. τῇ δ' ὑστεραίῃ, ἐπιδέσει, ἣν δικαίως ἐπιδεδεμένον φανῇ, μαθεῖν δεῖ. ἐντεῦθεν δὲ μᾶλλον καὶ ἐπὶ πλέοσιν πιεχθήτω. τῇ δὲ τρίτῃ ἐπὶ μᾶλλον καὶ ἐπὶ πλέοσιν. τῇ δὲ ἑβδόμῃ, ἀπὸ τῆς πρώτης ἐπιδέσιος λυθέντα, εὑρεθήτω ἰσχνά, χαλαρὰ τὰ ὀστέα. ἐς δὲ νάρθηκας θέντα ἢν ἰσχνὰ καὶ ἄκνησμα καὶ ἀνέλκεα ᾖ, ἐᾶν μέχρις εἴκοσιν ἡμερέων ἀπὸ τοῦ σίνεος. ἢν δέ τι ὑποπτεύηται, λῦσαι ἐν μέσῳ. νάρθηκας διὰ τρίτης ἐρείδειν. ἡ ἀνάληψις, ἡ αἰώρησις, ἡ ἐπίδεσις, ὡς ἐν ὑπὸ αὐτῷ ᾗ διαφυλάσσειν. κεφάλαια. σχημάτων ἔθη. φύσεις ἑκάστου τῶν μελέων. τὰ εἴδεα ἐκ τοῦ τρέχειν. ὁδοιπορεῖν. ἑστάναι. κατακεῖσθαι. ἐκ τοῦ ἔργου. ἐκ τοῦ ἀφεῖσθαι. ὅτι χρῆσις, κρατύνει. ἀργίη δὲ τήκει. ἢ πιέξει. ἢ πλήθει. ὁκόσα δὲ ἐγχυμώματα. ἢ φλάσματα. ἢ σπάσματα. ἢ οἰδήματα ἀφλέγμαντα ἐξεργάζεται ἐκ τοῦ σώματος ἐς μὲν τὸ ἄνω τοῦ σώματος τὸ πλεῖστον, βραχὺ δὲ ᾖ καὶ ἐς τὸ κάτω. μὴ καταντὴ τὴν χεῖρα ἔχοντα. ἢ τὸ σκέλος. τιθέμενον τὴν ἀρχὴν κατὰ τὸ τρῶμα, καὶ μάλιστα ἐρείδοντα. ἥκιστα τὰ ἄκρα. μέσως τὰ διὰ μέσου. τὸ ἔσχατον πρὸς τὰ ἄνω τοῦ σώματος νεμόμενον ἐπιδέσει,

πιέξει

περιέχει. ἀτὰρ καὶ ταῦτα πλῆθει μᾶλλον, ἢ ἰσχύϊ. μάλιστα δὲ τουτέοισιν ὀθόνια λεπτὰ, κοῦφα, μαλθακὰ, καθαρὰ, πλατέα, ὑγιέα, ὡς ἂν ἄνευ ναρθήκων, καὶ καταχύσει χρῆσθαι πλέονι. τὰ δὲ ἐκπτώματα, ἢ στρέμματα, ἢ διαστήματα, ἢ ἀποσπάσματα, ἢ ἀποκλάσματα, ἢ διαστρέμματα. οἷα τὰ κυλλὰ, τὰ ἑτερόρροπα ἔνθεν μὲν ἐξέστη συνδιδόντα. ὅπη δὲ συντείνοντα, ὡς ἂν τἀναντία ῥέπῃ ἐπιδεθέντα, ἢ πρὶν ἐπιδεθῆναι. σμικρῷ μᾶλλον, ἢ ὥστε ἐξ ἴσου εἶναι. καὶ τοῖσιν ἐπιδέσμοισι. καὶ τοῖσι σπλήνεσι. καὶ τοῖσιν ἀναλήμμασι. καὶ τοῖσι σχήμασι. κατατάσει. ἀνατρίψει. διορθώσει. ταῦτα καὶ καταχύσει πλείονι. τὰ δὲ μινυθήματα, πολὺ προσλαμβάνοντα τοῦ ὑγιέος ἐπιδεῖν ὡς ἂν ἐπιδρομῆς τὰ συντακέντα πλέονα ἢ αὐτόματα ἐμινύθη. ἢ ἄλλῃ ἢ τῇ ἐξ ἐπιδέσει παραλλάξαντα ἐκκλίνει ἐς τὴν αὔξησιν καὶ ἀνάπλασιν τῶν σαρκῶν ποιήσεται. βέλτιον δὲ καὶ τὸ ἄνωθεν οἷον κνήμης καὶ τῶν μηρῶν. καὶ τὸ ἕτερον σκέλος τὸ ὑγιὲς συνεπιδεῖν. ὡς ὁμοιότερον ἢ καὶ ὁμοίως ἐλιννύῃ. καὶ ὁμοίως τῆς τροφῆς ἀποκλείηται καὶ δέχηται. ὀθονίων πλήθει μὴ πιέζει. ἀνιέντα πρῶτον τὸ μάλιστα δεόμενον. καὶ ἀνατρίψει χρώμενον σαρκούσῃ. καὶ καταχύσει ἄνευ ναρθήκων. τὰ δὲ ἐρμάσματα καὶ ἀπερείσματα οἷον στήθει. πλευρῇσι. κεφαλῇ. καὶ τοῖσιν ἄλλοισιν ὅσα τοιαῦτα. τὰ μὲν σφυγμῶν εἵνεκεν, ὡς μὴ ἐνσείηται. τὰ δὲ καὶ τῶν διαστάσεων τῶν κατὰ τὰς ἁρμονίας, ἐν τοῖσι κατὰ τὴν κεφαλὴν ὀστέοισιν ἐρεισμάτων χάριν. ἐπί τε βηχέων. ἢ πταρμέων. ἢ ἄλλης κινήσεως. οἷα τὰ κατὰ τὸν θώρηκα καὶ κεφαλὴν ἀπερείσματα γίγνεται, τουτέων ἁπάντων αἱ αὐταὶ ξυμμετρίαι τῆς ἐπιδέσεος. ᾗ μὲν γὰρ τὰ σίνη μάλιστα πιέζει, ὑποτιθέναι δεῖ εἴριον, μαλθακόν τι ἁρμόζον τοῖσι πάθεσι. ἐπιδεῖν δὲ μὴ μᾶλλον πιέζοντα ἢ ὥστε τοὺς σφυγμοὺς μὴ ἐνσείεσθαι, τὰς τε διαστάσιας τῶν ἁρμονιῶν ψαύειν τὰ ἔχατα ἀλλήλων. μήτε ἀμφὶ τοῖσι πταρμοῖσι καὶ βηξίν. ἀλλ' ὥστε ἀπέρεισμα εἶναι καὶ μήτε διαναγκάζηται μήτε ἐνσείηται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΜΟΧΛΙΚΟΝ.

ο Στέων φύσις, δακτύλων μὲν ἁπλᾶ καὶ ὀστέα καὶ ἄρθρα. χειρὸς δὲ καὶ ποδὸς, πολλὰ ἄλλα, ἀλλοίως συνηρθρωμένα. μέγιστα δὲ τὰ ἀνωτάτω. πτέρνης δὲ ἓν οἷον ἔξω φαίνεται. πρὸς δὲ αὐτὴν, οἱ ὀπίσθιοι τένοντες τείνουσι. κνήμης δὲ δύο ἄνωθεν καὶ κάτωθεν ξυνεχόμενα, κατὰ μέσον δὲ διέχοντα. σμικρὸν τὸ ἔξωθεν, κατὰ τὸν σμικρὸν δάκτυλον λεπτότερον βραχὺ, πλεῖστον δὲ ταύτῃ διεχούσῃ καὶ σμικροτέρῃ ῥοπῇ, κατὰ γόνυ. καὶ ὁ τένων ἐξ αὐτοῦ πέφυκεν, ὁ παρὰ τὴν ἰγνύην ἔξω. ἔχουσι δὲ κάτωθεν κοινὴν ἐπίφυσιν πρὸς ἣν ὁ ποὺς κινέεται. ἄλλην δὲ ἄνωθεν ἔχουσιν ἐπίφυσιν ἐν ᾗ τὸ τοῦ μηροῦ ἄρθρον κινέεται, ἁπλόον καὶ εὐσταλέως ὡς μήκει. εἶδος κονδυλῶδες, ἔχον ἐπιμυλίδα. αὐτὸς δὲ ἔγκυρτος ἔξω καὶ ἔμπροσθεν. ἡ δὲ κεφαλὴ ἐπίφυσίς ἐστι στρογγύλη, ἐξ ἧς τὸ νεῦρον τὸ ἐν τῇ κοτύλῃ τοῦ ἰσχίου πέφυκεν. ὑποπλάγιον δὲ καὶ οὗτος προσήρτηται. ἧσσον δὲ βραχίονος. τὸ δὲ ἰσχίον προσίσχεται, πρὸς τῷ μεγάλῳ σπονδύλῳ τὸ παρὰ τὸ ἱερὸν ὀστέον, χονδρονευρώδει δεσμῷ. ῥάχις δὲ ἀπὸ μὲν τοῦ ἱεροῦ ὀστέου μέχρι τοῦ μεγάλου σπονδύλου, κυφή. κύστις τε καὶ γονὴ καὶ ἀρχοῦ τὸ ἐγκεκλιμένον ἐν τούτῳ. ἀπὸ δὲ τούτου ἄχρι φρενῶν, ἰθεῖα ἢ ἰθύλορδος, καὶ αἱ ψόαι κατὰ τοῦτο. ἐντεῦθεν δὲ ἄχρι τοῦ μεγάλου σπονδύλου τοῦ ὑπὲρ τῶν ἐπωμίδων, ἰθυκυφής. ἔτι δὲ μᾶλλον δοκέει, ἢ ἔστιν. αἱ γὰρ ὄπισθεν τῶν σπονδύλων ἀποφύσιες ταύτῃ ὑψηλόταται. τὸ δὲ τοῦ αὐχένος ἄρθρον, λορδόν. σπόνδυλοι δὲ ἔσωθεν ἄρτιοι πρὸς ἀλλήλους. ἀπὸ δὲ τῶν ἔξωθεν χόνδρων καὶ νεύρων συνεχόμενοι. ἡ δὲ ξυνάρθρωσις αὐτῶν, ἐν τῷ ὄπισθεν τοῦ νωτιαίου. ὄπισθεν δὲ ἔχουσιν ἔκφυσιν ὀξεῖαν, ἔχουσαν ἐπίφυσιν χονδρώδεα, ἔνθεν νεύρων ἀπόφυσις καταφερής. ὥσπερ καὶ οἱ μύες παραπεφύκασιν ἀπὸ αὐχένος ἐς ὀσφῦν. πληρεῦντες δὲ πλευρέων. καὶ ἀκάνθης τὸ μέσον. πλευραὶ δὲ κατὰ τὰς διαφύσιας τῶν σπονδύλων νευρείῳ προσπεφύκασιν, ἀπ' αὐχένος ἐς ὀσφῦν ἔσωθεν. ἐπίπροσθεν δὲ κατὰ τὸ στῆθος. χαῦνον καὶ μαλθακὸν τὸ ἄκρον ἔχουσαι εἶδος ῥαιβοειδέστατον τῶν ζώων. στενότατος γὰρ ταύτῃ ὁ ἄνθρωπος ἐπ' ὄγκον. ᾗ δὲ μὴ πλευραί εἰσιν, ἔκφυσις πλαγίη, βραχείη, καὶ πλατείη, ἐφ' ἑκάστῳ σπονδύλῳ νευρείῳ προσπεφύκασι. στῆθος δὲ ξυνεχὲς αὐτὸ ἑωυτῷ, διαφύσιας ἔχον πλαγίας, ᾗ πλευραὶ προσήρτηνται. χαῦνον δὲ καὶ χονδρῶδες. κληῗδες δὲ περιφερέες ἐς τὸ ἔμπροσθεν, ἔχουσαι πρὸς μὲν τὸ στῆθος, βραχείας κινήσιας. πρὸς δὲ τὸ ἀκρώμιον, συχνοτέρας.

ἀκρώμιον δὲ ἐξ ὠμοπλατέων πέφυκεν, ἀνομοίως τοῖσι πλείστοισιν. ὠμοπλάτη δὲ χονδρώδης τὸ πρὸς ῥάχιν. χρὴ δ' ἄλλα χαύνη, τὸ ἀνώμαλον ἔξω ἔχουσα. αὐχένα δὲ καὶ κοτύλην ἔχουσα χονδρώδεα, ἐξ ἧς αἱ πλευραὶ κίνησιν ἔχουσιν. εὐαπόλυτος ἐοῦσα ὀστέων, πλὴν βραχίονος. τοῦ δὲ ἐκ τῆς κοτύλης νευρείῃ ἡ κεφαλὴ ἐξήρτηται, χόνδρου χαύνου περιφορὴν ἐπίφυσιν ἔχουσα. αὐτὸς δ' ἔγκυρτος ἔξω, καὶ ἔμπροσθεν πλάγιος, οὐκ ὀρθὸς πρὸς κοτύλην. τὸ δὲ πρὸς ἀγκῶνα αὐτοῦ, πλατὺ καὶ κονδυλῶδες. καὶ βαλβιδῶδες. καὶ στερεόν. ἔγκυλον ὄπισθεν. ἐν ᾧ ἡ κορώνη ἐκ τοῦ πήχεος. ὅταν ἐκταθῇ ἡ χεὶρ ἔνεστιν ἐν τούτῳ, καὶ τὸ ναρκῶδες νεῦρον ὃ ἐκ τῆς διαφύσιος τῶν τοῦ πήχεος ὀστέων, ἐκ μέσων ἐκπέφυκε καὶ περαίνεται.

Ῥὶς δὲ κατεαγεῖσα, ἀναπλάσσεσθαι αὐτίκα εὐθορόν. ἢν μὲν οὖν ὁ χόνδρος ἐντίθεται, ἄχνην ὀθονίου ἐναποδέοντα λοπῷ καρχηδονίῳ ἢ ἐν ἄλλῳ ᾧ μὴ ἐρεθιεῖ. χρὴ λοπῷ δὲ τὰς παραλλαξίας παρακολλᾶν, καὶ ἀναλαμβάνειν. ταῦτα δὲ ἐπιδέσιος καταποιεῖ. ἴησις ἄλλη. ἅμα δὲ χρὴ ξυμβαλεῖν ἢ θείῳ ξὺν κηρωτῇ αὐτίκα ἀναπλάσσειν, ἔπειτα ἀνακογχύζειν τοῖσι δακτύλοισι ἐμπαλυνόμενον καὶ παραστρέφοντα. καὶ τὸ καρχηδόνιον ἀφαιροῖτο ἄν. καὶ ἢν ἕλκος ἐνῇ, καὶ ἢν ὀστέα ἀπιέναι μέλλῃ, ὁ γὰρ παλιγκοτώτατα οὕτω ποιητέα.

Οὖς κατεαγὲν, μὴ ἐπιδεῖν, μὴ δὲ καταπλάσσειν. ἢν δέ τι δέῃ, ὡς κουφότατον ἢ κηρωτὴ, καὶ θείῳ κατακολλᾶν. ὧν δὲ ἔμπυα τὰ ὦτα διὰ * παχέος εὑρίσκεται, πάντα δὲ τὰ ὑπόμυξα καὶ τῇ ὑγρῇ σαρκὶ πλήρεα ἐξαπατοῦσι μὴ βλάβη γένηται στομωθὲν τὸ τοιοῦτον. ἔστι γὰρ ἄσαρκα καὶ ὑδατώδεα, μύξης πλέα. ὅπου δὲ καὶ οἷα ἐόντα θανατώδεά ἐστι παρεθέντα. τούτων καῦσις πέρην, τάχιστα ὑγιάζει. κυλλὸν δὲ καὶ μεῖον γίνεται τὸ οὖς, ἢν πέρην καυθῇ. ἢν δὲ στομωθῇ, κούφῳ ἐναίμῳ δεήσει χρῆσθαι.

Γνάθοι δὲ κατασπῶνται μὲν πολλάκις καὶ καθίστανται. ἐκπίπτουσι δὲ ὀλιγάκις, μάλιστα μὲν χασμωμένοισιν, οὐ γὰρ ἐκπίπτει, ἢν μή τις χανὼν μέγα παραγάγοι. ἐκπίπτει δὲ μᾶλλον, ὅτι τὰ νεῦρα ἐν πλαγίῳ, καὶ λελυγισμένα συνδίδει. σημεῖα παρέχει ἡ κάτω γνάθος. καὶ παρέστραπται τἀναντία τοῦ ἐκπτώματος ξυμβάλλειν οὐ δύνανται. ἢν δ' ἀμφότεραι προέχωσι, μᾶλλον συμβάλλουσιν ἧσσον ἀστραβέες. δηλοῖ δὲ τὰ ὄρθια τῶν ὀδόντων τὰ ἄνω τοῖσι κάτω κατ' ἴξιν. ἢν οὖν ἀμφότεραι ἐκπεσοῦσαι μὴ αὐτίκα ἐμπέσωσι, θνήσκουσι δεκαταῖοι οὗτοι μάλιστα πυρετῷ συνεχεῖ, νωθρῇ τε καρώσει. οἱ γὰρ μύες οὗτοι, τοιοῦτοι. γαστὴρ ἐπιταράσσεται ὀλίγα ἄκρητα. καὶ ἢν ἐμέωσι, τὰ τοιαῦτα ἐμέουσιν. ἡ δ' ἑτέρη ἀσινεστέρη. ἐμβολὴ δὲ ἡ αὐτὴ ἀμφοτέρων. κατακειμένου ἢ καθημένου τοῦ ἀνθρώπου τῆς κεφαλῆς ἐχόμενον περιλαβόντα τὰς γνάθους ἀμφοτέρας ἀμφοτέρῃσι χερσὶν ἔσωθεν καὶ ἔξωθεν, τρία ἅμα ποιῆσαι, ὦσαι δὲ ἐς ὀρθὸν καὶ ἐς τοὔπισω. καὶ συγχεῖν τὸ σῶμα. ἴησις, μαλάγμασι καὶ σχήμασι. καὶ ἀνάληψις γενείου ποιοῦσι ταῦτα τῇ ἐμβολῇ.

Ὦμος δὲ ἐκπίπτει κάτω. ἄλλῃ δὲ οὔπω ἤκουσα. δοκεῖ μὲν γὰρ ἐς τοὔμπροσθεν ἐκπίπτειν, ὧν αἱ σάρκες αἱ περὶ τὸ ἄρθρον μεμινυθήκασι διὰ τὴν φύσιν. οἷον καὶ τοῖσι βουσὶ χειμῶνος φαίνεται διὰ λεπτότητα, καὶ ἐκπίπτει μᾶλλον. τοῖσι δὲ λεπτοῖσιν, ἢ ἰσχνοῖσι, ἢ ξηροῖσι καὶ τοῖσι ὑγράσματα περὶ τὰ ἄρθρα ἔχουσιν ἄνευ φλεγμονῆς, αὕτη γὰρ συνδεῖ. καὶ βουσὶν ἐμβάλλοντες καὶ ἀποπρονδῦντες, ἐξαμαρτάνουσι. καὶ ὅτι διὰ τὴν χρῆσιν ὡς χρῆται βοῦς σκέλει, λήθει. καὶ ὅτι κοινὸν καὶ ἀνθρώπῳ οὕτως ἔχοντι, τὸ σχῆμα τοῦτο. τό, τε ὁμήρειον. καὶ διότι λεπτότατοι βόες τηνικαῦτα. ὅσα τε τὸν πῆχυν πλάγιον ἀπὸ πλευρέων ἄραντες δρῶσιν, οὐ πάνυ δύνανται δρᾶν, οἷσιν ἂν μὴ ἐμπέσῃ. οἷσι μὲν οὖν ἐκπίπτει, μάλιστα καὶ ὡς ἔχουσιν εἴρηται. οἷσι δὲ ἐκ γενεῆς, τὰ ἐγγύτατα μᾶλλον βραχύνεται ὀστέα, οἷον ἐν τούτῳ οἱ γαλιάγκωνες. πῆχυς δὲ ἧσσον, χεὶρ δὲ ἔτι ἧσσον. τὰ δ' ἄνωθεν, οὐδέν. καὶ ἀσαρκότατα ἐγγύς. μινύθει δὲ μάλιστα τὰ ἐναντία τῶν ὀλισθημάτων, καὶ τὰ ἐν αὐξήσει. ἧσσον δὲ κείνων τῶν ἐκ γενεῆς. καὶ τὰ παραποιήματα, τὰ κατ' ἄρθρον, βαθέα νεογενέσι μάλιστα παρ' ὦμον γίνεται. καὶ τουτέοισιν ὥσπερ τὰ ἐξαρθρήσαντα ποιεῖ. ἢν δὲ ηὐξημένοισι. τὰ μὲν ὀστέα οὐ μειοῦται, οὐδὲ γὰρ ἔχει οἱ ἄλλα οὐ ξυναύξεται ὁμοίως. αἱ δὲ μινυθήσιες τῶν σαρκῶν, τοῦτο γὰρ καθ' ἡμέρην καὶ αὔξεται καὶ μειοῦται, καὶ καθ' ἡλικίας καὶ ἃ δύναται σχήματα, καὶ αὖ σημεῖον τὸ παρὰ τὸ ἀκρώμιον κατεσπασμένον καὶ κοῖλον. διότι ὅταν τὸ ἀκρώμιον ἀποσπασθῇ, καὶ κοῖλον ᾖ, οἴονται τὸν βραχίονα ἐκπεπτωκέναι. κεφαλὴ δὲ τοῦ βραχίονος ἐν τῇ μασχάλῃ φαίνεται. αἴρειν γὰρ οὐ δύνανται, οὐδὲ παράγειν ἔνθα ἢ ἔνθα. ὁμοίως ὁ ἕτερος ὦμος μηνύει. ἐμβολαὶ δὲ αὐτὸς μὲν τὴν πυγμὴν ὑπὸ μασχάλην ὑποθεὶς, τὴν κεφαλὴν ἀνωθεῖν. τὴν δὲ χεῖρα ἐπὶ παράγειν ἐπὶ τὸ στῆθος. ἀλλ' ἢ

ἐς τοὔπισω

ἐς τοὐπίσω περιαναγκάσαι ὡς ἀμφισφαλῆ. ἀλλ' ἢ κεφαλῇ μὲν πρὸς τὸ ἀκρώμιον, χερσὶ δὲ ὑπὸ μασχάλην, κεφαλὴν ὑπάγειν βραχίονος. γούνασι δὲ ἀγκῶνα ἀπωθέειν. ἢ ἀντὶ τῶν γουνάτων τὸν ἀγκῶνα τῇ ἑτέρῃ παράγειν ὡς τὸ πρότερον. ἢ κατ' ὤμου ἵζεσθαι, ὑποθεὶς τῇ μασχάλῃ τὸν ὦμον, ἢ τῇ πτέρνῃ. ἐνθεῖν τὰ ἐκπληρώματα τῇ μασχάλῃ τῇ δεξιῇ, δεξιόν. ἢ περὶ ὕπερον. ἢ περὶ κλιμακτῆρα. ἢ περιόδῳ ξὺν τῷ ξύλῳ τῷ ὑπὸ χεῖρα τεινομένῳ. ἴησις, τὸ σχῆμα πρὸς πλευρῇσι, βραχίων. χεὶρ ἄκρη. ἄνω ὦμος. ἄνω οὕτως ἐπίδεσις. ἀνάληψις. ἢν δὲ μὴ ἐμπέσῃ, ἀκρώμιον προσλεπτύνεται. ἀκρώμιον ἀποσπασθέν, τὸ μὲν εἶδος φαίνεται, οἷον περ ὤμου ἐκπεσόντος. στερίσκεται δ' οὐδενός. ἐν δὲ τὸ αὐτὸ οὐ καθίσταται σχῆμα, τὸ αὐτό. ὡ καὶ ἐκπεσόντι ἐν ἐπιδέσει καὶ ἀναλήψει ὑποδέσιος καὶ ὡς ὁ νόμος.

Ἀγκῶνος ἄρθρον παραλλάξαν μὲν ἢ πρὸς πλευρὴν ἢ ἔξω, μένοντος τοῦ ὀξέος, τοῦ ἐν τῷ κοίλῳ τοῦ βραχίονος, ἐς ἰθὺ κατατείνοντα τὰ ἐξέχοντα ἀνωθέειν ὀπίσω καὶ ἐς τὸ πλάγιον. τὰ δὲ τελείως ἐκβάντα ἢ ἔνθα ἢ ἔνθα, κατάτασις μὲν ἐν ᾗ ὁ βραχίων ἐπιδεῖται. οὕτω γὰρ τὸ καμπύλον τοῦ ἀγκῶνος οὐ κωλύσει. ἐκπίπτει δὲ μάλιστα ἐς τὸ πρὸς πλευρὰ μέρος. τὰς δὲ κατορθώσιας ἀπάγοντα ὅτι πλεῖστον, ὡς μὴ ψαύσῃ τῆς κορώνης ἡ κεφαλή. μετέωρον δὲ περιάγειν, καὶ περικάμψαι, καὶ μὴ ἐς ἰθὺ βιάζεσθαι. ἅμα δὲ ὠθέειν τἀναντία ἐφ' ἑκάτερα καὶ προωθέειν ἐς χώρην. συνωφελέοι δ' ἂν καὶ ἐπίστρεψις ἀγκῶνος ἐν τούτοισιν, ἐν τῷ μὲν ἐς τὸ ὕπτιον, ἐν τῷ δὲ ἐς τὸ πρηνές. ἐμβολῆς δὲ σχήματος μὲν ὀλίγον ἀνωτέρω ἄκρην χεῖρα ἀγκῶνος ἔχειν, βραχίονα δὲ κατὰ τὰς πλευράς. οὕτω δὲ καὶ ἀνάληψις, καὶ εὔφορον. καὶ φύσις καὶ χρῆσις ἐν τῷ κοινῷ. ἢν ἄρα μὴ κακῶς πωρωθῇ. πωροῦται δὲ ταχέως. ἴησις, ὀθονίοισι κατὰ τὸν νόμον τὸν ἀρθρητικόν, καὶ τὸ ὀξὺ προσεπιδεῖν. παλιγκοτώτατον δὲ ἀγκὼν πυρετοῖσιν ὀδύνῃσιν ἀσώδεσιν ἀκρητοχόλοισιν. ἀγκῶνος δὲ μάλιστα ὀπίσω διὰ τὸ ναρκῶδες δεύτερον τὸ ἔμπροσθεν. ἴησις ἡ αὐτή. ἐμβολαὶ δὲ τοῦ μὲν ὀπίσω ἐκτείνοντα κατατεῖναι. σημεῖον δὲ οὐ γὰρ δύνανται ἐκτείνειν. τοῦ δὲ ἔμπροσθεν, οὐ δύνανται ξυγκάμπτειν. τούτῳ δὲ ἐνθέντα τι σκληρὸν συνειλιγμένον περὶ τοῦτο ξυγκάμψαι ἐξ ἐκτάσιος ἐξαίφνης. διαστάσιος δὲ ὀστέων σημεῖον, κατὰ τὴν φλέβα, τὴν κατὰ τὸν βραχίονα σχιζομένην, διαψαύοντι. ταῦτα δὲ ταχέως διαπωροῦται. ἐκ γενεῆς δὲ βραχύτερα τὰ κάτω ὀστέα τοῦ σίνεος πλεῖστον. τὰ δ' ἐγγύτατα πῆχυς. δεύτερον χειρός. τρίτον δακτύλων. βραχίων δὲ καὶ ὦμος ἐγκρατέστερα διὰ τὴν τροφήν. ἡ δ' ἑτέρη χεὶρ διὰ τὰ ἔργα, πλείω ἔτι ἐγκρατεστέρη. μινύθησις δὲ σαρκῶν. εἰ μὲν ἔξω ἐξέπεσεν, ἔσω. εἰ δὲ μή, ἐς τοὐναντίον ᾗ ἐξέπεσεν.

Ἀγκὼν δὲ ἢν μὲν ἔξω ἢ ἔσω ἐκβῇ, κατάστασις μὲν ἐν σχήματι ἐγγωνίῳ, τῷ πήχει κοινῷ, πρὸς βραχίονα. τὴν γὰρ μασχάλην ἀναλαβὼν ταινίῃ ἀνακρεμάσαι. ἀγκῶνι δὲ ἄκρῳ ὑποθεὶς κ παρὰ τὸ ἄρθρον βάρος ἐκκρεμάσαι ἢ χερσὶ καταναγκάσαι. ὑπεραιωρηθέντος δὲ τοῦ ἄρθρου αἱ παραγωγαὶ τοῖσι θέναρσιν, ὡς τὰ ἐν χερσίν. ἐπίδεσις ἐν τούτῳ τῷ σχήματι καὶ ἀνάληψις καὶ θέσις. τὰ δ' ὄπισθεν ἐξαίφνης ἐκτείνοντα διορθοῦν τοῖσι θέναρσιν. ἅμα δὲ δεῖ ἐν τῇ διορθώσει, καὶ τοῖσιν ἑτέροισιν. ἢν δὲ πρόσθεν ἀμφὶ ὀθόνιον συνειλιγμένον εὔογκον ξυγκάμπτοντα ἅμα διορθοῦσθαι. ἢν δ' ἑτεροκλινὲς ᾖ ἐν τῇ διορθώσει, ἀμφότερα ἅμα χρὴ ποιέειν. τῆς δὲ μελέτης, κοινὸν τὸ σχῆμα καὶ ἡ ἐπίδεσις. δύναται γὰρ ἐκ τῆς διαστάσιος κοινῇ ξυμπίπτειν πάντα. τῶν δὲ ἐμβολέων αἱ μὲν ἐξ ὑπεραιωρήσιος ἐμβάλλονται. αἱ δὲ ἐκ κατατάσιος. αἱ δὲ ἐκ περισφάλσιος. αὗται δὲ ἐκ τῶν ὑπερβολέων τῶν σχημάτων, ἢ τῇ ἢ τῇ, σὺν τῷ τάχει.

Χειρὸς δὲ ἄρθρον ὀλισθάνει, ἢ ἔσω, ἢ ἔξω. ἔσω δὲ τὰ πλεῖστα. σημεῖα δ' εὔσημα ἢν μὲν ἔσω, ξυγκάμπτειν ὅλως σφέων τοὺς δακτύλους οὐ δύνανται. ἢν δ' ἔξω, ἐκτείνειν. ἐμβολὴ δὲ ὑπὲρ τραπέζης τοὺς δακτύλους ἔχων, τοὺς μὲν τείνειν, τοὺς δ' ἀντιτείνειν. τὸ δὲ ἐξέχον, ἢ θέναρι ἢ πτέρνῃ, ἅμα ἀπωθέειν πρόσω καὶ κάτωθεν κατὰ τὸ ἕτερον ὀστέον. ὄγκον τε μαλθακὸν ὑποθείς, ἢν μὲν ἄνω καταστρέψας τὴν χεῖρα. ἢν δὲ κάτω, ὑπτίην. ἴησις ὀθονίοισιν. ὅλη δὲ ἡ χεὶρ ὀλισθάνει ἢ ἔσω ἢ ἔξω. μάλιστα δὲ ἔσω. ἢ ἔνθα ἢ ἔνθα. ἔστι δ' ὅτε ἡ ἐπίφυσις ἐκινήθη. ἔστι δ' ὅτε, τὸ ἕτερον τῶν ὀστέων διέστη. τουτέοισι κατάτασις ἰσχυρὴ ποιητέη. καὶ τὸ μὲν ἐξέχον ἀπωθέειν. τὸ δ' ἕτερον ἀντωθέειν. δύο εἴδεα ἅμα καὶ ἐς τὸ πίσω καὶ ἐς τὸ πλάγιον. ἢ χερσὶν ἐπὶ τραπέζης, ἢ πτέρνῃ. παλίγκοτα δὲ καὶ ἀσχήμονα, τῷ δὲ χρόνῳ κρατύνεται ἐς χρῆσιν. ἴησις ὀθονίοισι ξὺν τῇ χειρὶ καὶ τῷ πήχει. καὶ νάρθηκας μέχρι δακτύλων τιθέναι. ἐν νάρθηξι δὲ δεθέντα ταῦτα, πυκνότερον λύειν ἢ τὰ κατήγματα. καὶ καταχύσει πλέονι χρῆσθαι. ἐκ γενεῆς δὲ βραχυτέρη ἡ χεὶρ γίνεται, καὶ ἡ μινύθησις σαρκῶν μάλιστα

τἀναντία, ἢ ὡς τὸ ἔκπτωμα. ηὐξημένων δὲ ὀστέα μείω. δακτύλου δὲ ἄρθρου ὀλισθὸν μὲν δύσημον οὐ δεῖ γράφειν. ἐμβολὴ δὲ αὐτοῦ, ἥδε. κατατείναντα ἐς ἰθὺ, τὸ μὲν ἐξέχον ἀπωθέειν. τὸ δὲ ἐναντίον ἀντωθέειν. ἴησις δὲ ἡ προσήκουσα τοῖς ὀθονίοισιν ἐπίδεσις. μὴ ἐμπεσὼν γὰρ ἐπιπωροῦται ἔξωθεν. ἐκ γενεῆς δὲ ἢ ἐν αὐξήσει ἐξαρθρήσαντα τὰ ὀστέα, βραχύνεται κάτω τοῦ ὀλισθήματος. καὶ σάρκες μινύθουσι τἀναντία μάλιστα, ἢ ὡς τὸ ἔκπτωμα. ηὐξημένων δὲ τὰ ὀστέα μείω.

Μηροῦ ἄρθρον ἐκπίπτει, κατὰ τρόπους τέσσαρας. ἔσω πλεῖστα. ἔξω δ' εὐτερον. τὰ δ' ἄλλα ὁμοίως. σημεῖα. κοινὸν μὲν τὸ ἕτερον σκέλος. ἴδιον δὲ τοῦ μὲν εἴσω, παρὰ τὸν περίνεον ψαύεται ἡ κεφαλή. ξυγκάμπτουσιν οὐχ ὁμοίως. δοκέει δὲ μακρότερον, τὸ σκέλος, καὶ πολὺ, ἢν μὴ ἐς μέσον ἀμφότερα ἄγων παρατείνῃς. καὶ γὰρ οὖν ἔξω ὁ πούς καὶ τὸ γόνυ ῥέπει. ἢν μὲν οὖν ἐκ γενεῆς ἢ ἐν αὐξήσει ἐκπέσῃ, βραχύτερος ὁ μηρός. ἧσσον δὲ κνήμη. κατὰ λόγον δὲ τἄλλα. μινύθουσι δὲ σάρκες, μάλιστα δὲ ἔξω. οὗτοι κατοκνέουσιν ὀρθοῦσθαι, καὶ εἱλέονται ἐπὶ τὸ ὑγιές. ἢν δ' ἀναγκάζωνται σκίπωνι ἑνὶ ἢ δυσὶν ὁδοιπορέουσι. τὸ δὲ σκέλος αἴρουσιν. ὅσῳ γὰρ μεῖον, τόσῳ ῥᾷον. ἢν δ' ηὐξημένοισι τὰ μὲν ὀστέα μείω, αἱ δὲ σάρκες μινύθουσιν ὡς προείρηται. ὁδοιπορέουσι δὲ περιστροφάδην ὡς βόες. ἐν δὲ τῷ κενεῶνι καμπύλοι ἐπὶ τὸ ὑγιὲς ἐξίσχιοι ἐόντες. τῷ μὲν γὰρ ἀνάγκη ὑποβαίνειν ὡς ὀχέῃ, τῷ δ' ἀναβαίνειν. οὐ γὰρ δύναται ὀχέειν, ὥσπερ οἱ ἐν ποδὶ ἕλκος ἔχοντες. ἐπὶ δὲ τὸ ὑγιὲς, πλάγιον ξύλῳ τῷ σώματι ἀντικοτέουσι. τὸ δὲ σιναρὸν τῇ χειρὶ ὑπὲρ τοῦ γόνατος καταναγκάζουσι ὡς ὀχέειν ἐν τῇ μεταβάσει τὸ σῶμα, ἰσχίῳ κάτωθεν εἰ χρῆται, κάτωθεν ἧσσον μινύθει καὶ ὀστέα. μᾶλλον δὲ σάρκες. τοῖσι δὲ ἔξω τἀναντία. καὶ τὰ σημεῖα, καὶ αἱ στάσιες, καὶ τὸ γόνυ. καὶ ὁ πούς, ἔσω ῥέπει βραχύ. τοῖσι δὲ ἐν αὐξήσει ἢ ἐκ γενεῆς παθοῦσιν, οὐχ ὁμοίως ξυναύξεται κατὰ τὸν αὐτὸν λόγον ἰσχίον ἀνωτέρω τινὶ οὐχ ὁμοίως. οἷσι δὲ πυκνὰ ἐκπίπτει ἐς τὸ ἔξω ἄνευ φλεγμονῆς, ὑγροτέρῳ τῷ σκέλει χρῶνται. ὥσπερ ὁ μέγας τῆς χειρὸς δάκτυλος. μάλιστα γὰρ οὗτος ἐκπίπτει φύσει, οἷς μὲν ἐκπίπτει μᾶλλον ἢ ἧσσον. καὶ οἷς μὲν ἐκπίπτει χαλεπώτερον ἢ ῥᾷον. καὶ οἷσιν ἐλπὶς θᾶσσον ἐμπεσεῖν. καὶ οἷσιν οὐκ ἀκὴ τούτου. καὶ οἷσι πολλάκις ἐκπίπτει, ἢν οἷς τούτου. ἐκ γενεῆς δὲ ἢ ἐπ' αὐξήσει, ἢ ἐν νόσῳ, μάλιστα γὰρ ἐκ νόσου. ἔστι μὲν οὖν, οἷσιν ἐπισφακελίζει τὸ ὀστέον. ἀτὰρ καὶ οἷσι μὲν μὴ πάσχῃ ταῦτα, ἧσσον δὲ ἢ τὸ ἔσω, ἢν χρηστῶς ἐπιμεληθῶσιν. ὥστε καὶ ὅλῳ βαίνοντας τῷ ποδὶ, διαρρίπτειν διὰ μελέτης πλείστης. τοῖσιν νηπιωτάτοισιν ἐαθέντα, κακοῦται. ἐπιμεληθέντα δὲ ὠφελέεται τοῖσι ὅλοισιν. ἧσσον δέ τι μινύθουσιν. οἷσιν δ' αὖ ἀμφότερα οὕτως ἐκπέσῃ τῶν ὀστέων, ταῦτα παθήματα, δύσαρκοι μὲν πλὴν ἔσωθεν, ἐξέχει γλουτοί. ῥοικοὶ μηροὶ ἢν μὴ ἐπισφακελίσῃ. εἰ κύφοι τὰ ἄνωθεν ἰσχίον γένοιντο, ὑγιηροὶ μὲν ἀναυξέες δὲ τὸ σῶμα, πλὴν κεφαλῆς. οἷσι δὲ ὄπισθεν σημεῖα, ἔμπροσθεν λαπαρώτερον. ὄπισθεν ἐξέχον. πούς ὀρθὸς, συγκάμπτειν οὐ δύνανται, εἰ μὴ μετ' ὀδύνης. ἐκτείνειν ἥκιστα. τούτοις, σκέλος βραχύτερον. ἀτὰρ οὐδ' ἐκτανύειν δύνανται κατ' ἰγνύην, ἢ κατὰ βουβῶνα, ἢν μὴ πάνυ αἴρῃ. οὐδὲ ξυγκάμπτειν. ἡγεῖται ἐν τοῖσι πλείστοισι τὸ ἄνω ἄρθρον, τὸ πρῶτον. κοινὸν τοῦτο ἄρθροισι. νεύροισι. μυσὶν, ἐντέροισιν. ὑστέραις. ἄλλησι ταύτας τοῦ ἰσχίου τὸ ὀστέον καταφέρεσθαι ἐς τὸν γλουτόν. διὰ τοῦτο βραχὺ καὶ ὅ,τι ἐκτείνειν οὐ δύνανται σάρκες παντὸς τοῦ σκέλεος ἐν πᾶσι μινύθουσιν. ἐφ' οἷσι δὲ μάλιστα, καὶ οἳ εἴρηται. τὰ ἔργα τὰ ἑωυτοῦ ἕκαστον τοῦ σώματος ἐργαζόμενον μὲν ἰσχύει, ἀργέον δὲ κακοῦται, πλὴν κόπου, πυρετοῦ. φλεγμονῆς. καὶ τὸ ἔξω, ὅτι ἐς σάρκα ὑπέκυσαν, βραχύτερον, τὸ δὲ ἔσω, ὅτι ἐπ' ὀστέον προέχον, μακρότερον. ἢν μὲν οὖν ηὐξημένοισι μὴ ἐμπέσῃ, ἐπὶ βουβῶσι καμπύλοι ὁδοιπορέουσι, καὶ ἡ ἑτέρη ἰγνύη κάμπτεται. στῆθος μόλις κινεῖται, χειρὶ τὸ σκέλος καταλαμβάνει ἄνευ ξύλου ἢν ἐθέλωσιν. ἢν μὲν γὰρ μακρότερον ᾖ, οὐ βάσεται. ἢν δὲ βαίνῃ, βραχύ. μινύθησις δὲ σαρκῶν, οἷσι πόνοι καὶ ἧξις ἔμπροσθεν. καὶ τὰ ἐπὶ ὑγιεῖ κατὰ λόγον. οἷσι δὲ ἐκ γενεῆς, ἢ αὐξομένοισιν, ἢ ὑπὸ νόσου, ἐνόσησε καὶ ἔξαρθρα ἐγένετο. ἐν οἷς εἴρηται, οὗτοι μάλιστα κακοῦνται, διὰ τὴν τῶν νεύρων καὶ ἄρθρων ἀργίην. καὶ τὸ γόνυ διὰ τὰ εἰρημένα συγκακοῦνται, συγκεκαμμένον οὕτως ἔχοντες, ὁδοιπορέουσιν ἐπὶ ξύλου ἑνὸς ἢ δύο. τὸ δὲ ὑγιὲς, δύσαρκον διὰ χρῆσιν. οἷσι δὲ ἐς τοὔμπροσθεν, σημεῖα τἀναντία. ὄπισθεν, λαπαρόν. ἔμπροσθεν, ἐξέχον. ἥκιστα ξυγκάμπτουσιν οὗτοι τὸ σκέλος. μάλιστα δὲ ἐκτείνουσιν. ὀρθὸς πούς. σκέλος ἴσον. πτέρνα βραχεῖ ἄκρως ἀνέσταλται. ἢ πονέουσι μάλιστα οὗτοι αὐτίκα. καὶ οὖρον ἴσχεται μάλιστα ἐν τούτοισι τοῖσι ἐξαρθρήμασιν. ἐν γὰρ τόνοισι ἔγκειται τοῖσιν ἐπικαίροισι. τὰ ἔμπροσθεν κατατέταται, ἀναύξεα. νοσώδεα. ταχύγηρα. τὰ ὄπισθεν στολιδώδεα. οἷσιν ηὐξημένοισιν

νοῖσιν ὁδοιπορέουσιν, ὀρθὴ ἡ πτέρνη, μᾶλλον βαινόντων. οἱ δὲ ἢν δύνωνται μέγα προβαίνειν κατὰ πᾶν. σύρουσι δὲ, μινύθει δὲ ἥκιστα. τούτοισι δὲ ἡ χρῆσις αἰτία. μάλιστα δὲ ὄπισθεν διὰ παντὸς τοῦ σκέλεος ὀρθότεροι, τοῦ μετρίου ξύλου δέονται κατὰ τὸ σιναρόν. οἷσι δὲ ἐκ γενεῆς αὐξανομένοισι, χρηστῶς μὲν ὑπομεληθεῖσιν, ἡ χρῆσις ὥσπερ τοῖσιν ηὐξημένοισιν. ἀμεληθεῖσι δὲ βραχὺ ἐκτεταμένον. πωροῦται γὰρ τούτοισι. μάλιστα δὲ κατ' ἰθὺ τὰ ἄρθρα. αἱ δὲ τῶν ὀστέων μειώσιες καὶ αἱ τῶν σαρκῶν μινυθήσιες κατὰ λόγον. μηροῦ δὲ κατάτασις μὲν ἰσχυρή. καὶ ἡ διόρθωσις κοινὴ, ἢ χερσὶν, ἢ σανίδι, ἢ μοχλῷ, τὰ μὲν ἔσω, στρογγύλῳ. τὰ δὲ ἔξω, πλατεῖ. μάλιστα δὲ τὰ ἔξω. καὶ τὰ μὲν ἔσω, ἀσκοῖσι ἀκεσάμενον κατὰ τὸ ὑπόξηρον τοῦ μηροῦ. κατάτασις δὲ καὶ σύνδεσις σκελέων, κρεμάσαι διαλείποντα σμικρὸν τοὺς πόδας. ἔπειτα πλέξαντα ἐκκρεμασθῆναι ἵνα ἐν τῇ διορθώσει, ἀμφότερα ἅμα ποιεῦντα. καὶ τὸ ἔμπροσθεν τούτων ἱκανόν. καὶ τοῖσιν ἑτέροις. ἥκιστα δὲ τῶν ἔξω. ἡ τοῦ ξύλου ὑπόστασις ὥσπερ ὤμου ὑπὸ τὴν χεῖρα οἷς ἔσω. τοῖσι γὰρ ἄλλοισιν ἧσσον. καταναγκάσεις δὲ μετὰ διατάσιος, μάλιστα τοῦ ἔμπροσθεν ἢ ὄπισθεν, ἢ ποδὶ ἢ χειρὶ ἐρείδεσθαι, ἢ σανίδι.

Γόνυ δὲ εὐηθέστερον ἀγκῶνος, διὰ τὴν εὐστάλειαν καὶ εὐφυΐην. διὸ καὶ ἐκπίπτει καὶ ἐμπίπτει ῥᾷον. ἐκπίπτει δὲ πλειστάκις ἔσω, ἀτὰρ καὶ ἔξω. καὶ ὄπισθεν. ἐμβολαὶ δὲ ἢ ἐκ τοῦ ξυγκεκάμφθαι, ἢ ἐκ λακτίσαι ὀξέως. ἢ ξυνελίξας ταινίης ὄγκον ἐν ἰγνύῃ θεὶς ἀμφὶ τοῦτον ἐξαίφνης ἐς ὄκλασιν ἀφεῖναι τὸ σῶμα μάλιστα αὐτῇ τῶν ὄπισθεν. δύναται δὲ καὶ κατατεινόμενα μετρίως, ὥσπερ ἀγκὼν ἐμπίπτειν τὰ ὄπισθεν. τὰ δὲ ἔνθα, ἢ ἔνθα, ἐκ τοῦ συγκεκάμφθαι ἢ ἐν κατατάσει. μάλιστα δὲ αὐτὴ τὸ ὄπισθεν. ἀτὰρ καὶ ἐκ κατατάσιος μετρίης, ἡ διόρθωσις ἅπασι κοινή. ἢν δὲ μὴ ἐμπέσῃ, τοῖσι μὲν ὄπισθεν ξυγκάμπτειν οὐ δύνανται, ἀτὰρ οὐδὲ τοῖσιν ἄλλοισι, πάνυ τι. μινύθει δὲ μηροῦ καὶ κνήμης ὀστέον τὸ ἔμπροσθεν. ἢν δὲ κατὰ τὸ ἔσω, βλαισότεροι. μινύθει δὲ τὰ ἔξω. ἢν δὲ κατὰ τὰ ἔξω, γαυσότεροι, χωλοὶ δὲ ἧσσον. κατὰ γὰρ τὸ παχύτερον ὀστέον ὀχεῖ. μινύθει δὲ τὰ ἔσω. ἐκ γενεῆς δὲ ἢ ἐν αὐξήσει, κατὰ λόγον τὸν πρόσθεν. τὰ δὲ κατὰ τὰ σφυρὰ, κατάτασιος ἰσχυρῆς δεῖται, ἢ τῇσι χερσὶ, κατορθώσιος δὲ ἅμα ἀμφότερα ποιεύσης. κοινὸν δὲ πᾶσι. τὰ δὲ ἐν ποδὶ, ὡς τὰ ἐν χειρὶ ὑγιῶς.

Τὰ δὲ ἐν τῇ κνήμῃ συγκοινωνέοντα, καὶ μὴ ἐκπεσόντα ἐκ γενεῆς, καὶ ἐν αὐξήσει ἐξαρθρήσαντα, ταῦτα ἃ καὶ ἐν χειρί. ὅσοι δὲ πηδήσαντες ἄνωθεν ἐστηρίξαντο τῇ πτέρνῃ, ὥστε διαστῆναι τὰ ὀστέα καὶ φλέβας ἐγχυμωθῆναι καὶ νεῦρα ἀμφιφλασθῆναι ὅταν γένηται, οἷα τὰ δεινότατα. κίνδυνος μὲν σφακελίσαντα τὸν αἰῶνα πρήγματα παρασχεῖν. καὶ ῥοικώδη μὲν τὰ ὀστέα, τὰ δὲ νεῦρα ἀλλήλοισι κοινωνέοντα. ἔπειτα καὶ οἷσιν ἂν καταγεῖσιν ἢ ὑπὸ τρώματος οἷα ἐν κνήμῃ, ἢ μηρῷ, νεύρων ἀπολυθέντων ἃ κοινωνεῖ τουτέοισιν. ἢ ἐξ ἄλλης κατακλίσιος ἀμελέως ἐμελάνθη ἡ πτέρνη. καὶ τουτέοισι παλιγκοτώτατα ἐκ τουτέων, ἔστιν ὅτε πρὸς σφακελισμῷ γίνονται πυρετοὶ ὑπεροξέες. λυγγώδεες. τρομώδεες. γνώμης ἁπτόμενοι. ταχυθάνατοι. καὶ ἐπὶ φλεβῶν αἱμορρόων πελιώσιες. καὶ γαγγραινώσιες. σημεῖα τῶν παλιγκοτησάντων, ἢν τὰ ἐχυμώματα, καὶ τὰ μελάσματα, καὶ τὰ περὶ ταῦτα ὑπόσκληρα ἢ ὑπέρυθρα ᾖ. ἢν γὰρ ξὺν σκληρύσματι πελιωθῇ, κίνδυνος μελανθῆναι. ἢν δ' ὑποπέλια ᾖ καὶ πέλια μάλα, καὶ κεχυμένα, ἢ ὑπόχλωρα καὶ μαλθακὰ, ταῦτ' ἐν πᾶσι τοῖσι τοιούτοισιν ἀγαθά. ἴησις δὲ, ἢν μὲν ἀπύρετοι ἔωσιν, ἐλλεβορίζειν. ἢν δὲ μὴ, μή. ἀλλὰ ποτὸν διδόναι ὀξύγλυκυ εἰ δέοι. ἐπίδεσις δὲ, ἡ ἄρθρων σύνθεσις. ἐπὶ δὲ ταῦτα μᾶλλον, τοῖσι φλάσμασι καὶ ὀθονίοισι πλέοσι καὶ μαλθακωτέροισι χρῆσθαι. πίεξις, ἧσσον. ὕδωρ πλέον προσπεριβάλλειν τὰ πλεῖστα τῇ πτέρνῃ. τὸ σχῆμα, ὅπερ ἡ ἐπίδεσις, ὡς μὴ κατὰ τὴν πτέρνην ἀποπιέζηται. ἀνωτέρω γούνατος, ἔσω σύνθεσις. νάρθηξι μὴ χρῆσθαι. ὅταν δὲ ἐκστῇ ὁ πούς, ἢ μοῦνος, ἢ ξὺν τῇ ἐπιφύσει, ἐκπίπτει μᾶλλον κατὰ τὸ ἔσω. εἰ δὲ μὴ ἐμπέσῃ, λεπτύνεται ἀνὰ χρόνον ἰσχίον καὶ μηροῦ καὶ κνήμης τὸ ἀντίον τοῦ ὀλισθήματος. ἐμβολὴ ὡς ἡ καρποῦ. κατάτασις δὲ ἰσχυροτέρη. ἴησις, νόμος ἄρθρων. παλιγκοτεῖ ἧσσον. καρποῦ ἢν ἡσυχάσῃ, δίαιτα μείων. ἐλινύουσι γάρ. τὰ δὲ ἐκ γενεῆς μὲν ἢ ἐν αὐξήσει, κατὰ λόγον τῶν πρότερον. ἔπειτα σμικρὸν ὀλισθηκότα ἐκ γενεῆς ἔνια, οἷά τε διορθοῦσθαι. μάλιστα δὲ ποδὸς κύλλωσις. κυλλώσιος γὰρ, οὐχ εἷς ὁ τρόπος. ἡ δὲ ἴησις τουτέου κηροπλαστεῖν, κηρωτῇ ῥητινώδει. ὀθόνια συχνὰ, ἢ πέλματα, ἢ μολύβδιον προσεπιδεῖν. μὴ χρωτί. ἀνάληψις, τά τε σχήματα ὁμολογέτω. ἢν δὲ ἐξαρθρήσαντα ἕλκος ποιησάμενα ἐξίσχῃ, ἐώμενα ἀμείνω, ὥστε δὴ μὴ ἀπαιωρέεσθαι, μὴ δ' ἀπαναγκάζεσθαι. ἴησις δὲ πισσηρή. ἢ σπλήνεσιν οἰνηροῖσι θερμοῖσιν. ἅπασι γὰρ τουτέοισι, τὸ ψυχρὸν κακόν. καὶ φύλλοισι. χειμῶνος δὲ, ἐρίοισι ῥυπωμένοισι

τῆς σκέπης εἵνεκα μὴ καταπλάσσειν, μηδὲ ἐπιδεῖν. δίαιτα λεπτή. ψῦχος. ἄχθος πολύ. πίεξις ἀνάγκη. σχήματος τάξις. εἰδέναι μὲν οὖν ταῦτα πάντα, ὀλέθρια. μετρίως δὲ θεραπευόμενοι χωλοὶ αἰσχρῶς. ἢν γὰρ παρὰ πόδας γένηται πούς, ἀνασπᾶται. καὶ ἢν πῃ ἄλλῃ κατὰ λόγον, ὀστέα οὐ μάλα ἀφίστανται. μικρὰ γάρ, ψιλοῦται, περιωτειλοῦται λεπτῶς. τουτέων τὰ μέγιστα κινδυνωδέστατα, καὶ τὰ ἀνωτάτω. ἐλπὶς δὲ μόνη σωτηρίης, ἐὰν μὴ ἐμβάλλῃ, πλὴν τὰ κατὰ δακτύλους καὶ χεῖρα ἄκρην. ταῦτα δὲ προειπεῖν περὶ τοὺς κινδύνους ἐγχειρέειν ἐμβάλλειν, ἢ τῇ πρώτῃ, ἢ τῇ δευτέρῃ. ἢν δὲ μὴ, πρὸς τὰς δέκα ἥκιστα τεταρταῖα. ἐμβολὴ δὲ οἱ μοχλίσκοι. ἴησις δὲ ὡς κεφαλῆς ὀστέων καὶ θέρμη. ἐλλεβόρῳ δὲ καὶ αὐτίκα. ἔπειτα τοῖσιν ἐμβαλλομένοισι βέλτιον χρῆσθαι, τάδ' ἄλλα εὖ εἰδέναι. διότι ἐμβαλλομένων, θάνατοι τὰ μέγιστα καὶ τὰ ἀνωτάτω μάλιστα καὶ τάχιστα.

Ποὺς δὲ ἐκβάς, σπασμός. γάγγραινα. καὶ ἢν ἐμβληθέντι ἐπιγένηταί τι τουτέων, ἐκβάλλοντι ἐλπίς, εἴ τις ἄρα ἐλπίς. οὐ γὰρ ἀπὸ τῶν χαλώντων οἱ σπασμοί, ἀλλ' ἀπὸ τῶν ἐντεινόντων. αἱ δ' ἀποκοπαὶ ἢ ἐν ἄρθρῳ, ἢ κατὰ τὰ ὀστέα. μὴ ἄνω, ἀλλ' ἢ παρὰ τὸν πόδα. ἢ παρὰ τὴν χεῖρα ἐγγὺς περιγίνονται, ἢν μὴ αὐτίκα μάλα λιποθυμίῃ ἀπόλλωνται. ἴησις, ὡς κεφαλῆς θέρμης. ἀποσφακελίσιος μέντοι σαρκῶν καὶ ἐν τρώμασιν αἱμοῤῥόοις ἀποσφιγχθεῖσι, καὶ ἐν ὀστέων κατήγμασι πιεχθεῖσι, καὶ ἐν δεσμοῖς ἀπομελανθεῖσι, καὶ οἷσι μηροῦ μέρος ἀποπίπτει καὶ βραχίονος, ὀστέα τε καὶ σάρκες ἀποπίπτουσι, πολλοὶ περιγίνονται, ὡς τάγε ἄλλα εὐφορώτερα. οἷσι μὲν οὖν καταγνυμένων ὀστέων, αἱ μὲν περιῤῥήξιες ταχεῖαι, αἱ δὲ τῶν ὀστέων ἀποστάσιες ἢ ἂν τὰ ὅρια τῆς ψιλώσιος ᾖ, ταύτῃ ἀποπίπτουσι. βραδύτερον δέ, δεῖ δὲ τὰ κατωτέρω τοῦ τρώματος περιαφαιρέειν, καὶ τοῦ σώματος τοῦ ὑγιέος. προθνήσκει γὰρ φυλασσομένου, ὀδύνῃ. ἅμα γὰρ λιποθυμίῃ, θνήσκουσι. μηροῦ ὀστέον, ἀπελύθη ἐκ τοιούτου, ὀγδοηκοσταῖον. ἡ δὲ κνήμη ἀφῃρέθη, εἰκοσταίη. κνήμης δὲ ὀστέα κατὰ μέσην, ἑξηκοσταῖα ἀπελύθη. ἐκ τουτέων ταχὺ καὶ βραδέως αἱ πιέξιες αἱ ἰητρικαί. τὰ δ' ἄλλα ὅσα ἡσυχαίως. τὰ μὲν ὀστέα οὐκ ἀποπίπτει, οὐδὲ σαρκῶν ψιλοῦται. ἀλλ' ἐπιπολαιότερον προσδέχεσθαι ταῦτα χρή. τὰ γὰρ πλεῖστα, φοβερώτερα ἢ κακίω. ἡ ἴησις πραεῖα. θέρμη. δίαιτη ἀκριβεῖ. κίνδυνος αἱμοῤῥαγιῶν, ψῦχος. σχήματα δὲ ὡς μὴ ἀνάῤῥοπα. ἔπειτα ὑποστάσιος πύου εἵνεκεν ἐξ ἴσου ἢ ὅσα ξυμφέρει. ὡδὶ τοῖσι τοιουτέοισι, καὶ ὡδὶ τοῖσι μελασμοῖσιν. αἱμοῤῥαγίαι. δυσεντερίαι. περὶ κρίσιν λάβροι μὲν ὀλιγήμεροι δέ. οὐκ ἀπόσιτοι δὲ πάνυ πυρετώδεες, οὐδέ τι κενεαγγητέον. ὕβωσις, ἡ μὲν ἔσω ἐπιθάνατος. οὔρων σχέσιος, ἀποναρκώσιος. τὰ δὲ ἔξω τουτέων, ἀσινέα τὰ πλεῖστα πολὺ μᾶλλον, ἢ ὅσα σεισθέντα, μὴ ἐξέστη. αὐτὰ ἐν ἑωυτοῖσι κρίσιν ποιησάμενα. κεῖνα δὲ ὡδὶ πλέον περὶ σώματι ἐπιδιδόντα, καὶ ἐν ἐπικαίροις ἐόντα. οἷον πλευραὶ καταγεῖσαι μὲν ὀλίγαι πυρετώδεες. καὶ αἵματος πτύσιος, καὶ σφακελισμοῦ. ἤν τε μία, ἤν τε πλείους. μὴ καταγεῖσαι δὲ ἡ ἴησις φαύλη, μὴ κενεαγγοῦντα. ἢν ἀπύρετος ᾖ. ἐπίδεσις, ὡς νόμος. ἡ δὲ πώρωσις, ἐν εἴκοσιν ἡμέρῃσι. χαῦνον γάρ. ἢν δ' ἀμφιφλασθῇ, φυματίαι. καὶ βηχώδεες. καὶ ἔμμοτοι, καὶ πλευρὰς ὑποσφακελίζειν. παρὰ γὰρ πλευρὴν ἑκάστην, ἀπὸ πάντων τόνοι εἰσί. τὰ δ' ἀπὸ κατασπάσιος, ἥσσον δύνανται ἐξιθύνεσθαι. χαλεπώτερα δὲ τὰ ἄνω φρενῶν ἐξιθύνεσθαι. οἷσι δὲ παισὶν οὐ συναύξεται, ἀλλ' ἢ σκέλη καὶ χεῖρες, καὶ κεφαλή, ηὐξημένοισιν ὕβωσις. παραχρῆμα μὲν τὴν νοῦσον ῥύεται, ἀνὰ χρόνον δ' ἐπισημαίνεται, δι' ὧν πέρ καὶ τοῖσι νεωτέροισιν. ἥσσον δὲ κακοήθως. εἰσὶ δὲ οἳ εὐφόρως ἤνεγκαν οἷσιν εὔσαρκον καὶ πιμελῶδες τράπηται. ὀλίγοι δὲ τουτέων, περὶ ἑξήκοντα ἔτεα ἐβίωσαν. ἀτὰρ καὶ εὖ τὰ πλάγια διαστρέμματα γίνεται. συναίτια δὲ καὶ τὰ σχήματα ἐν οἷσιν ἂν κατακέωνται. καὶ ἔχει προγνώσιας. πολλοὶ δὲ τὸ αἷμα ἔπτυσαν, καὶ ἔμπυοι ἐγένοντο. ἡ δὲ μελέτη, ἴησις. ἐπίδεσις ὡς νόμος. δίαιτης τὰ πρῶτα ἀτρεκέως. ἔπειτα ἀπαλύνειν ἡσυχίη. σιγῇ. σχήματα. κοιλίη. ἀφροδίσια. ἀτὰρ οἷς ἂν αἷμα, ἀνωδυνώτερα τῶν καταγνυμένων. καὶ πολυποστροφώτερα χρόνοισιν. οἷσι δὲ καταλείπεται μυξῶδες ὑπομιμνήσκει. ἐν πόνοισιν, ἴησις, καῦσις, τοῖσι μὲν ἀπ' ὀστέου μέχρις ὀστέου, μὴ αὐτόδε. ἢν δὲ μεταξὺ, μὴ πέρην. μὴ δὲ ἐπιπολῆς σφακελισμός. καὶ τὰ ἔμμοτα πειρᾶσθαι. εὑρήσεται ἅπαντα τὰ ἐπισιόντα ὁρατά. λόγοις δ' οὐ. μὴ βρώματα. πόματα. θάλπος. ψῦχος. σχῆμα. ὅτι καὶ φάρμακα. τὰ μὲν ξηρά, τὰ δὲ ὑγρά. τὰ δὲ πυῤῥά. τὰ δὲ μέλανα. τὰ δὲ λευκά. τὰ δὲ στρυφνά. ὡδὶ ἕλκει οὕτω καὶ δίαιται. νόμος ἐμβολῆς καὶ διορθώσιος. νόμος μοχλός. σφηνίσκος ὑπόσσονος μὲν ἀνάγειν. μοχλὸς δὲ παράγειν. τὰ δ' ἐμβλητέα ἢ διορθωτέα διαναγκάσαι διεκτείνοντα, ἐν ᾧ ἂν ἕκαστα

σχήματι

σχήματι μέλλῃ ὑπεραιωρηθήσεσθαι. τὸ δ᾽ ἐκβὰν ὑπὲρ τούτου ὅθεν ἐξέβη. ὑπὲρ δὲ ἢ χερσὶν, ἢ κρεμασμῷ, ἢ ὄνοισι ἢ περίτι. χερσὶ μὲν οὖν ὀρθῶς κατὰ μέρεα. καρπὸν δὲ καὶ ἀγκῶνα, ἀπόχρη διαναγκάζειν. καρπὸν μὲν ἐς ἰθὺ ἀγκῶνος. ἀγκῶνα δὲ ἐγγώνιον πρὸς βραχίονα ἔχοντα. οἷον παρὰ τῷ βραχίονι τὸ ὑπὸ τὴν χεῖρα ὑποτεινόμενον. ἐν οἷσι δὲ δακτύλους ποδὸς. χειρός. καρποῦ. ὑβώματος, τὸ ἔξω διαναγκάσαι δεῖ καὶ καταναγκάσαι. τὰ μὲν ἄλλα ὑπὸ χειρῶν αἱ διαναγκάσεις ἱκαναί. καταναγκάσαι δὲ τὰ ὑπερέχοντα ἐν ἕδρῃ. πτέρνῃ ἢ θέναρι ἐπί τινος. ὥς τε κατὰ μὲν τὸ ἐξέχον, ὑποκέεσθαι ὄγκον σύμμετρον μαλθακόν. κατὰ δὲ τὸ ἕτερον. μήτως δ᾽ ἂν χρὴ ὠθέειν ὀπίσω καὶ κάτω, ἤν τε ἔσω, ἤν τε ἔξω ἐκπεπτώκῃ. τὰ δ᾽ ἐκ πλαγίων, τὰ μὲν ἀπωθέειν, τὰ δὲ ἀντωθέειν ὀπίσω ἀμφότερα. καὶ τὸ ἕτερον. τὰ δὲ ὑβώματα τὰ μὲν ἔσω, οὔτε πταρμῷ, οὔτε βηχὶ, οὔτε φύσης ἐνέσει. οὔτε σικύῃ. δεῖ δέ τι ἡ κατάστασις. ἡ δὲ ἀπάτη ὅτι οἷόν τε ποτὲ καταγέντων τῶν σπονδύλων, καὶ τὰ λορδώματα διὰ τὴν ὀδύνην δοκέειν ἔσω ὀλισθηκέναι. ταῦτα δὲ ταχύφυα καὶ ῥᾴδια. τὰ δὲ ἔξω κατάτασις, τὰ μὲν ἄνω ἐπὶ πόδας, τὰ δὲ κάτω, τἀναντία. καταναγκασις δὲ συγκατατάσει, ἢ ἕδρῃ, ἢ ποδὶ, ἢ σανίδι. τὰ δ᾽ ἔνθα ἢ ἔνθα, εἴ τις κατάτασις, καὶ ἔτι τὰ σχήματα ἐν τῇ διαίτῃ. τὰ ἄρμενα πάντα εἶναι, πλατέα. προσηνέα. ἰσχυρὰ εἰ δέῃ. μὴ δεῖ ῥάκεσι προκατειλίχθαι. ἐσκευάσθαι πρὶν ἢ ἐν τῇσιν ἀνάγκῃσι. πάντα συμμεμετρημένως, τὰ μήκεα καὶ ὕψεα. καὶ εὔρεα. διάτασις οἷον μηροῦ τὸ περὶ σφυρὸν δεδέσθαι καὶ ἄνω τοῦ γούνατος. ταῦτα μὲν ἐς τὸ αὐτὸ τείνοντα. παρὰ δ᾽ ἰξύϊ ἐπὶ περὶ μασχάλας καὶ κατὰ περίνεον καὶ μηρὸν τὰ μεταξὺ τῆς ἀρχῆς. τὸ μὲν ἐπὶ τὸ στῆθος, τὸ δ᾽ ἐπὶ νῶτον τείνοντα. ταῦτα δ᾽ ἐς τὸ ὑπὸ ἅπαντα τεινόντων προσδεδεμένα. ἢ πρὸς ὑπεροειδέα, ἢ πρὸς ὄνον. ἐπὶ μὲν οὖν κλίνης ποιέοντι, ὑπὲρ μὲν τῶν ποδίων πρὸς οὐδὸν χρὴ ἐρεῖσαι. πρὸς δὲ τὸ ἕτερον, ξύλον ἰσχυρὸν πλάγιον παραβεβλῆσθαι. τὰ δὲ ὕπερθεν ὑπεροειδέα πρὸς ταῦτα ἀντιστηρίζοντα διατείνειν. ἢ πλήμνας κατορύξας, ἢ κλίμακα διαθέντα, ἀμφοτέρωθεν ὠθέειν.

Τὸ δὲ κοινόν. σανὶς ἑξάπηχυς. εὖρος, δίπηχυς. πάχος, σπιθαμῆς ἔχουσα. ὄνους δύο ταπεινοὺς, ἔνθεν καὶ ἔνθεν, ἔχουσα δὲ καὶ κατὰ μέσον, στυλίσκους ξυμμέτρους. ἐξ ὧν ὡς κλιμακτῆρες ἔσται ἐς τὴν ὑπόστασιν τῷ ξύλῳ, ὥσπερ τῷ κατ᾽ ὤμῳ. καταγλύφους δὲ, ὥσπερ ληνοὺς λείας ἔχειν. τετραδακτύλους εὖρος καὶ βάθος. καὶ διαλιπεῖν τοσοῦτον, ὅσον αὐτῇ τῇ μοχλεύσει ἐς διόρθωσιν. ἐν μέσῳ δὲ τετράγωνον κατὰ γλυφήν. ὥς τε στυλίσκον ἐνεῖναι, ὃς παρὰ περίνεον ἐὼν, περιῤῥέπειν τε κωλύσει ἐν, ὅτε ὑποχαλαρὸς ὑπομοχλεύσει. χρὴ δὲ τῆς σανίδος ἢ ἐν τῷ τοίχῳ τὸ ἄκρον καταγεγλυμμένον τι ἐχούσης τοῦ ξύλου, ὦσαι τὸ ἄκρον. ἐπὶ δὲ θάτερα καταναγκάζειν. ὑποτιθέντα μαλθακά τινος σύμμετρα. οἷσιν ὀστέον ἀπὸ ὑπερῴης ἀπῆλθε μέση ἵζει ἡ ῥὶς τουτέοισιν. οἱ δὲ φλώμενοι κεφαλὰς ἄνευ ἕλκεος. ἢ πεσόντος ἢ κατάξαντος, ἢ πιέσαντος τουτέων ἐνίοισι, τὰ δριμέα ἔρχεται ἀπὸ κεφαλῆς κατὰ τὰς φάρυγγας. καὶ ἀπὸ τρώματος ἐν τῇ κεφαλῇ, καὶ ἐς τὸ ἧπαρ, καὶ ἐς τὸν μηρὸν, σημεῖα παραλλαγμάτων καὶ ἐκπτωμάτων καὶ ᾗ καὶ ὅπως, καὶ ὅσον διαφέρει ταῦτα πρὸς ἄλληλα. καὶ οἷσιν ἡ κοτύλη παρέαγε, καὶ οἷσι νευρίον ἀπεσπάσθη, καὶ οἷσιν ἐπίφυσις ἀπέαγε. καὶ οἷσι, καὶ ὡς καὶ ἐν ᾗ δύο ὧν δύο ἐστὶν ἐπὶ τουτέοισι κίνδυνοι. ἐλπίδες. οἷσι κακὸν, καὶ ὅτε κακώσιες θανάτου, ὑγιείας ἀσφαλείας, καὶ ἃ ἐμβλητέα, ἢ χειριστέα. καὶ ὅτε καὶ ἃ οὔ, ἢ ὅτε οὔ. ἐπὶ τουτέοισιν ἐλπίδες κίνδυνοι οἷα καὶ ὅτε χειριστέα. καὶ τὰ ἐκ γενεῆς, ἔξαρθρα, τὰ αὐξανόμενα, τὰ ηὐξημένα καὶ ὅ,τι θᾶσσον καὶ ὅ,τι βραδύτερον, καὶ ὅ,τι χωλὸν. καὶ ὡς, καὶ ὅπῃ. καὶ διότι καὶ ὅτι μινυθείσῃ, καὶ ᾗ, καὶ ὡς, καὶ οἷσιν ἧσσον. καὶ ὅτι τὰ καταγέντα θᾶσσον καὶ βραδύτερον φυόμενα. ἢ αἱ διαστροφαὶ καὶ ἐπιπωρώσιες γίνονται, καὶ ἄκη τουτέων οἷσιν ἕλκεα αὐτίκα ἢ ὕστερον γίνονται. οἷσι καὶ ὀστέα καταγῆσι, μείω. οἷσιν οὔ. οἷσι καταγέντα ἐξέσχεν, καὶ ἢ ἐξέσχε μᾶλλον, οἷσιν ἐκβάντα. ἢ ἄρθρα ἐξίσχια παγῶνται. καὶ δι᾽ ἃ ἐν οἷσιν ὁρῶσιν, ἐν οἷσι διανοεῦνται. ἀμφὶ τὰ παθήματα ἀμφὶ τὰ θεραπεύματα, νόμοισι τοῖσι νομίμοισι. περὶ ἐπιδέσιος, παρασκευή. πάρεξις, κατάτασις. διόρθωσις. ἀνάτριψις. ἐπίδεσις. ἀνάληψις. θέσις. σχῆμα. χρόνοι. δίαιται. τὰ χαυνότατα τάχιστα φύεται. τὰ δ᾽ ἐναντία ἐναντίως. διαστροφαί. οἱ κυρτοί. ἄσαρκοι, ἄνευροι, τὸ ἐμπεσὸν ὡς προσωτάτω ἢ τὸ ἐκπεσὸν, ἔσται. τοῦ χωρίου οὗ ἐξέπεσε. νεύρων, τὰ μὲν ἐν κινήσει. καὶ ἐν πλάδῳ ἐπιδοτικά. τὰ δὲ μὴ ἧσσον. ἄριστον ἢ ἂν ἐκπέσῃ, ἢ ἐμπέσῃ τάχιστα. πυρεταίνοντι μὴ ἐμβάλλειν, μηδὲ τεταρταῖα. πεμπταῖα ἥκιστα ἀγκῶνα.

καὶ τὰ ναρκώδεα πάντα, ὡς τάχιστα ἄριστα. τὴν φλεγμονὴν παρέχοντα τὰ ἀπεστώματα ἢ νεῦρα, ἢ χόνδρια, ἢ ἐπιφύσιες, ἢ διϊστάμενα κατὰ συμφύσιας. ἀδύνατα ὁμοιωθῆναι. διαπωροῦνται ταχέως τοῖσι πλείστοισιν. ἡ δὲ χρῆσις σώζεται ἐκβάντων τὰ ἔσχατα. ῥᾷον τὰ ῥᾶστα ἐκπεσόντα ἥκιστα φλεγμαίνει. τὰ δὲ ἥκιστα θερμαίνοντα. καὶ μὴ ἐπιθεραπευθέντα μάλιστα αὖθις ἐκπίπτει. κατατείνειν ἐν σχήματι τοιουτέῳ, ἐν ᾧ μάλιστα ὑπεραιωρηθήσεται, σκεπτόμενον ἐς τὴν φύσιν καὶ τὸν τόπον. ἡ δ' ἐξ ἕδρης διόρθωσις ὀπίσω ἐς ὀρθὸν καὶ ἐν πλάγιον. παρωθέντα δὲ ταχέως ἀντισπάσαντα, ἀντισπᾶσαι ταχέως ἢ διὰ ἐκπεριαγωγῆς. τὰ πλειστάκις ἐκπίπτοντα, ῥᾷον ἐμπίπτει. αἴτιον νεῦσις, ἢ νεύρων, ἢ ὀστέων. νεύρων μὲν, μῆκος, ἢ ἐπίδοσις. ὀστέων δὲ, κοτύλης ὁμαλότης. κεφαλῆς φαλακρότης. τὸ ἔθος, τρίβον ποιέει. αἰτίη, καὶ σχέσις καὶ ἕξις. ἡ ἡλικίη. τὸ ὑπόμυξον ἀφλέγμαντον. οἷσιν ἕλκεα ἐγένετο, ἢ αὐτίκα, ἢ ὀστέων ἀπεξιόντων, ἢ ἔπειτα, ἢ κνησμῶν, ἢ τρηχυσμῶν. ταῦτα μὲν ἦν αἰεὶ εὐθέως λύσας προσηνέα ἄνθι τὸ ἕλκος ἐπιθεὶς, ἐπιδεῖν ὡς ὧν τὸ ἕλκος πρὸ τὸν τὴν ἀρχὴν βαλλόμενος. καὶ τ' ἄλλα ὡς οὐ ταύτῃ τοῦ σίνεος ἐόντος. οὕτω γὰρ αὐτό τε ἰσχνότατον, καὶ ἐκπέσῃ τάχιστα καὶ περιρρήξεται, καὶ καθαρθέντα τάχιστα φύσεται. νάρθηκες δὲ μήτε κατ' αὐτὸ τὸ ἕλκος προσάγειν, μήτε πιέζειν. καὶ ὧν ὀστέα μὴ μεγάλα ἄπεισιν. ὧν δὲ μεγάλα, οὕτω ποιεῖν. πολλὴ γὰρ ἐμπύησις. καὶ ταῦτα οὐκ ἔτι οὕτως, ἀλλ' ἀνέψυκται τῶν ὑποστασίων εἵνεκα. Τὰ δὲ τοιαῦτα ὁπόσα ἐξέχει καὶ ἔτε ἐμβληθῇ ἔτε μὴ, ἐπίδεσις μὲν, οὐκ ἐπιτήδειον. διάτασις δὲ, σφαῖραι ποιηθεῖσαι, οἷα πέδαι. ἡ μὲν παρὰ σφυρὸν, ἡ δὲ παρὰ γόνυ ἐς κνήμην. πλατεῖαι. προσηνέες. ἰσχυραί. κρίκους ἔχουσαι. ῥάβδοι τε σύμμετροι κρανίης, καὶ μῆκος καὶ πάχος, ὥς τε διατείνειν. ἱμάντια δὲ ἐξ ἄκρων ἀμφοτέρωθεν ἔχοντα ἐς τοὺς κρίκους ἐνδεδέσθαι. ὡς τὰ ἄκρα ἐς τὰς σφαίρας ἐνστηριζόμενα διαναγκάζῃ. ἴησις δὲ προσηνὴς θερμή. σχήματα καὶ ποδὸς θέσις. καὶ ἰσχίου δίαιτα, ἀτρεκής. ἐμβάλλειν τὰ ὀστέα τὰ ὑπερέχοντα αὐθημερὰ, ἢ δευτεραῖα. τεταρταῖα δὲ ἢ πεμπταῖα, μὴ, ἀλλ' ἐπὴν ἰσχνὰ ἦ. ἡ δ' ἐμβολὴ τοῖσι μοχλικοῖσιν, ἢ τὸ ἐμβαλλόμενον τοῦ ὀστέου ἢν μὴ ἔχῃ ἀπόστηριξιν, ἀποπρίσαι τῶν κωλυόντων. ἀτὰρ καὶ ὡς τὰ ψιλωθέντα ἀπέσῃ τε καὶ βραχύτερα τὰ μέλεα. τὰ δὲ ἄρθρα, τὰ μὲν πλέον τὰ δὲ μεῖον ὀλισθάνει. καὶ τὰ μὲν μεῖον, ἐμβαλεῖν ῥᾷδιον. τὰ δὲ μέζους ποιεῖ τὰς κακώσιας. καὶ ὀστέων, καὶ νεύρων, καὶ ἄρθρων, καὶ σαρκῶν, καὶ σχημάτων. μηρὸς δὲ καὶ βραχίων, ὁμοιότατα ἐκπίπτουσιν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΕΛΚΩΝ.

Ἕλκεα ξύμπαντα, οὐ χρὴ τέγγειν, πλὴν οἴνῳ. ἢν μὴ ἐν ἄρθρῳ ἔῃ τὸ ἕλκος. τὸ γὰρ ξηρὸν τοῦ ὑγιέος ἐγγυτέρω ἐστὶ, καὶ τὸ ὑγρὸν τοῦ μὴ ὑγιέος. τὸ γὰρ ἕλκος, ὑγρόν E ἐστι. τὸ δὲ ὑγιὲς, ξηρόν. ἀνεπίδετον δὲ ἐᾶν, ἄμεινόν ἐστιν, ὅτι γε μὴ καταπλάσσεται. οὐδὲ καταπλάσσειν ἐνδεχόμενόν ἐστιν ἔνια τῶν ἑλκέων. μᾶλλον δὲ τὰ νεότρωτα τῶν παλαιοτέρων καὶ τὰ ἐν τοῖσιν ἄρθροισιν. ὀλιγοσιτέειν τε ὡς μάλιστα καὶ ὕδωρ ξυμφέρει πᾶσι τοῖσι ἕλκεσι. μᾶλλον δὲ τοῖσι νεωτέροισι τῶν παλαιοτέρων. καὶ ὅ, τι ἄλλο φλεγμαίνει ἕλκος, ἢ μέλλει. καὶ ὅτι σφακελίσαι κίνδυνος. καὶ τοῖσιν ἕλκεσι καὶ φλέγμασι, τοῖσιν ἐν τοῖσιν ἄρθροισι. καὶ ὅκου σπασμὸς γενέσθαι κίνδυνος. καὶ τοῖσιν ἐν κοιλίῃ τρώμασι. πάντων δὲ μάλιστα, τοῖσιν ἐν κεφαλῇ καὶ μηρῷ κατεαγεῖσι, καὶ ἄλλῳ ὅ κάτηξις γένηται. ἑστάναι δὲ ἐν τῷ ἕλκει ἥκιστα ξυμφέρει. καὶ μᾶλλον ἢν ἐν τῷ σκέλεϊ ἔχῃ τὸ ἕλκος. ἀλλ' οὐδὲ καθῆσθαι οὐδὲ περιϊέναι. ἡσυχίη δὲ καὶ ἀτρεμίη, ξυμφέρει μάλιστα. τὰ δὲ νεότρωτα ἕλκεα πάντα, ἥκιστ' ἂν φλεγμαίνοιεν αὐτά τε καὶ τὰ περιέχοντα. εἴ τις διαπυήσει ὡς τάχιστα. καὶ τὸ πῦον μὴ ἀπολαμβανόμενον ἀπὸ τοῦ ἕλκεος τοῦ στόματος ἴσχοιτο. εἴ τις ἀποτρέποι ὅκως μὴ δὲ μελλήσει διαπυῆσαι, πλὴν τοῦ ἀναγκαίου πύου ὀλιγίστου. ἀλλὰ ξηρὸν εἴη ὡς μάλιστα φαρμάκῳ μὴ περισκελεῖ. πυρῶδες γὰρ γίνεται, ἐπὴν φρίκη ἐγγένηται καὶ σφυγμός. φλεγμαίνει γὰρ τὰ ἕλκεα τότε, ὁκόταν διαπυῆσαι μέλλῃ. διαπυεῖ δὲ, ἀλλοιουμένου τοῦ αἵματος καὶ θερμανθέντος, ἕως σαπὲν πῦον γένηται τῶν τοιούτων ἑλκέων. ὅταν δοκέῃς δέεσθαι καταπλάσματος, οὐ χρὴ αὐτὸ τὸ ἕλκος καταπλάσσειν. ἀλλὰ τὰ περιέχοντα. ὅκως τὸ πῦον ἀποχωρέῃ, καὶ τὰ σκληρυνόμενα μαλαχθῇ. τῶν δὲ ἑλκέων, ὅσον μὲν ἂν ὀξεῖ βέλει διατμηθῇ ἢ διακοπῇ, ἐνδέχεται ἔναιμον φάρμακον. καὶ τὸ κωλῦον διαπυεῖν ἀναξηραίνοντι. ἤ τις

ὑπὸ τοῦ

ὑπὸ τοῦ βέλεος ἐφλάσθη καὶ ἐκόπη ἡ σάρξ. ταύτην δὲ ἰητρεύειν, ὅκως διάπυος ὡς τάχιστα γένηται. ἧσσόν τε γὰρ φλεγμαίνει, καὶ ἀνάγκη τὰς σάρκας τὰς φλασθείσας καὶ κοπείσας καὶ σαπείσας καὶ πῦον γενομένας, ἐκτακῆναι. ἔπειτα βλαστάνειν νέας σάρκας. ἕλκεϊ νεοτρώτῳ παντὶ, πλὴν ἐν κοιλίῃ ξυμφέρει, αἷμα ποιέειν, ἀπορρέειν πυκνὰ, ὅκως ἂν δοκέῃ καιρὸς εἶναι. καὶ ἀπ' αὐτῶν τῶν ἑλκέων τῶν περιεχόντων τὸ ἕλκος. ἄλλως τε καὶ ἢν ἐν κνήμῃ ᾖ τὸ ἕλκος, ἢ ἐν δακτύλῳ ποδὸς ἢ χειρὸς. μᾶλλον ἤπου ἄλλοθι τοῦ σώματος. γίνεται γὰρ ἀπορρέοντος τοῦ αἵματος, ξηρότερα καὶ μείονα ἰσχναινόμενα. κωλύει μὲν γὰρ μάλιστα τὰ τοιαῦτα ἕλκεα ὑγραίνεσθαι. ἔπειτα δὲ καὶ τὰ σύμπαντα αἵματος σηπεδὼν, καὶ ἐξ αἵματος μετάστασις γίνηται. ξυμφορὴ δὲ μετὰ τὴν τοῦ αἵματος ἀπόρροιαν, ἐπὶ τῶν τοιούτων ἑλκέων καὶ σπόγγον ἐπιδεῖν, πυκνὸν καὶ μαλθακὸν τετμημένον, ξηρότερον ἢ ὑγρότερον. ἢ ἐπὶ τοῦ σπόγγου ἄνωθεν φύλλα ἰσχνὰ τίθεσθαι. ἔλαιον δὲ καὶ ὅσα μαλθακώδεα, ἢ ἐλαιώδεά ἐστι φάρμακα, οὐ ξυμφέρει τοῖσι τοιούτοισιν ἕλκεσιν, ἢν μὴ πάνυ ἤδη πρὸς ὑγιείην τείνῃ. οὐδὲ τοῖσι νεοτρώτοισιν ἕλκεσι ξυμφέρει ἔλαιον, οὐδὲ μαλθακώδεα, οὐδὲ στεατώδεα φάρμακα. ἄλλως τε καὶ ὅτι ἂν δέηται ἕλκος πλείονος καθάρσιος. τὸ δὲ ξύμπαν εἰπεῖν, ἐλαίῳ τὴν χρίσιν ποιέεσθαι, καὶ ἐν θέρει καὶ ἐν χειμῶνι, πρὸς ἃ τῶν τοιούτων φαρμάκων δεόμεθα.

Ὑποκάθαρσις τῆς κάτω κοιλίης ξυμφέρει τοῖσι πλείστοισι τῶν ἑλκέων καὶ ἐν τρώμασιν ἐν κεφαλῇ ἐοῦσι, καὶ ἐν κοιλίῃ, καὶ ἐν ἄρθροισι, καὶ ὅσα σφακελίσαι κίνδυνος. καὶ ὅσα ῥαπτὰ, καὶ τοῖσιν ἐσθιομένοισι καὶ ἑρπυστικοῖσι. καὶ τοῖσιν ἄλλως πεπαλαιωμένοισιν ἕλκεσι. καὶ ὅταν ἂν μέλλῃς ἐπιδεῖν, οὐ χρὴ. οὐ δὲ ἐμπλάσσειν τὰ φάρμακα, πρὶν ἂν πάνυ ξηρὸν ποιήσῃς τὸ ἕλκος. τότε δὲ δεῖ προστιθέναι, ἀνασπογγίζειν δὲ τὸ ἕλκος πολλάκις σπόγγῳ. καὶ αὖθις ὀθόνιον ξηρὸν καὶ καθαρὸν προσίσχων πολλάκις. οὕτω δὲ ἐπιθεὶς τὸ φάρμακον ὅ τι δοκέει ξυμφέρειν, ἐπιδεῖν, ἢ μὴ ἐπιδεῖν. ἕλκεσι τοῖσι πλείστοισιν, ὥρη ἡ θερμοτέρη, ξυμφερωτέρη τοῦ χειμῶνος, πλὴν τοῖσιν ἐν κεφαλῇ καὶ κοιλίῃ. μᾶλλον δὲ ἡ ἰσημερινή. τὰ ἕλκεα ὁκόσα ἂν καθαρθέντα, καλῶς τε καὶ ἐς τὸ δέον αἰεὶ, ἐπὶ τὸ ξηρότερον ποιῆται τὴν βλάστησιν. ταῦτα δὲ οὐχ ὑπερσαρκέει ὡς ἐπὶ τὸ πολὺ, ἢν ὁκόθεν οὖν ὀστέον ἀφιστῆται, ἢ καυθὲν, ἢ πρισθὲν, ἢ ἄλλῳ τῳ τρόπῳ, τῶν ἑλκέων τούτων αἱ οὐλαὶ κοιλότεραι γίνονται. ἕλκεα οὐ κεκαθαρμένα, οὐκ ἐθέλει ξυνιέναι, ξυναγόμενα, οὐδ' αὐτόματα ξυνέρχεται. ὧν τὰ περιέχοντα φλεγμαίνει τοῦ ἕλκεος, ἔστ' ἂν μὴ παύσηται τῆς φλεγμασίης, οὐκ ἐθέλει ξυνιέναι. οὐδὲ ὧν τὰ περιέχοντα τοῦ ἕλκεος μελανθῇ, καὶ αἵματος σηπεδόνι ἢ καὶ κιρσοῦ παρέχοντος τὴν ἐπιρροὴν τοῦ αἵματος. οὐδὲ ταῦτα ἐθέλει ξυνιέναι, ἢν μὴ τὰ περιέχοντα τοῦ ἕλκεος, ὑγιέα ποιήσῃς.

Τῶν ἑλκέων τὰ κυκλοτερέα, ἢν ὑπόκοιλα ᾖ, ἐν κύκλῳ πάντῃ ἐπιτάμνειν χρὴ, τὰ ἀφεστεῶτα, ἢ πάντα ἢ τὰ ἡμίσεα τοῦ κύκλου, κατὰ μῆκος τῆς φύσιος τοῦ ἀνθρώπου. ἐπὶ παντὶ ἕλκει ἐρυσιπέλατος ἐπιγινομένου, κάθαρσιν δεῖ ποιέεσθαι τοῦ σώματος. ἐφ' ὁκότερα ἂν ξυμφέρει τῷ ἕλκει, εἴτε ἄνω εἴτε κάτω, ὅτῳ ἂν οἴδημα γίνηται παρὰ τὸ ἕλκος. ἀφλεγμάντου ἐόντος τοῦ ἕλκεος, χρόνῳ ὕστερον, πύου ὑπόστασιν ἴσχει τὸ οἴδημα. καὶ ὅτι ἂν τῇ φλεγμασίῃ, οἰδήσαν μὴ καθίστηται, τῶν ἄλλων καθισταμένων, ὅσα ἅμα ἤρξατο φλεγμαίνειν καὶ οἰδίσκεσθαι, καὶ τούτῳ κίνδυνος, μὴ δ' ἅμα ξυνιέναι. ὅσα δὲ πιπτόντων, ἢ ἄλλῳ τῳ τρόπῳ διακόπτεται. καὶ θλᾶται καὶ ἀνοιδίσκεται, τὰ περιέχοντα τὸ ἕλκος, καὶ διαπυήσαντα πύον ἀπὸ τῶν οἰδημάτων, ἀποχωρέει κατὰ τὸ ἕλκος τῶν τοιούτων ὅτι ἂν δοκέῃ δεῖσθαι καταπλάσιος, οὐ χρὴ αὐτὸ τὸ ἕλκος καταπλάσσειν. ἀλλὰ τὰ περιέχοντα, ὅκως τὸ πύον ἀποχωρέῃ, καὶ τὰ σκληρυνόμενα λαπαχθῇ. ἐπειδὰν δὲ λαπαχθῇ καὶ ἡ φλεγμασίη παύσηται, ἔπειτα ἀφεστηκότα σπόγγους ἐπιδέων προσιστάναι. ἀρχόμενος ἀπὸ τοῦ ὑγιέος ὀλίγον προσχωρέων. ἐπὶ δὲ τῷ σπόγγῳ ἄνωθεν, φύλλα ἐπέστω συχνά. ὅτι δ' ἂν μὴ δύνηται προσῆναι ἡ σὰρξ ὑγρὴ ἐοῦσα, αἰτίη ἐστὶ ταύτην ἐκβάλλειν. ἢν ὑπὸ βαθέῃ σαρκὶ τὸ ἕλκος ᾖ κατ' ἄμφω, κἀκ τῆς ἐπιδέσιος, κἀκ τοῦ προσπιέσοντος ὑποκυρσοῦται. τὸ δὲ τοιοῦτον, αὖτις τάμνειν πρὸς μάλιστα ἢν ἐνδέχηται εὔροον, ἀπὸ τοῦ στόματος τὸ ἕλκος ἀνατάμνειν, ὅπῃ ἂν δοκέῃ καιρὸς εἶναι. καὶ οὕτως ἰητρείην προσφέρειν, ὁκοίης δ' ἂν δοκέῃ προσδέεσθαι. ὡς δὲ τὰ πολλὰ ἐπὶ παντὶ ἕλκει ὅτι ἂν κοιλίην ἔχῃ, πρὸς τὸ ἰθὺ καταφανέα ἰδεῖν οἰδήματος μὴ προσεόντος. ἢν μὲν ᾖ ἐν αὐτῷ σηπεδὼν, ἢ ἡ σὰρξ ὑπῇ μυδῶσα καὶ σαπρὴ. ἔσται, τοῦτο τὸ ἕλκος καὶ τὰ περιέχοντα τὸ ἕλκος, ἰδεῖν μέλαινα ὑπόπελια. καὶ τῶν ἐσθιομένων ἑλκέων, ὅπῃ ἂν φαγέδαινα ἐνῇ.

ἰσχυρότατα

χυρότατά τε νέμεται καὶ ἐσθίει. καὶ ταύτῃ τοῦ ἕλκεος τὸ περιέχον, χοίλω ἕξει μέλαιναν ὑποπέλιον. καταπλάσματα οἰδημάτων καὶ φλεγμασίης τῆς ἐν τοῖς περιέχουσιν. ἡ ἑφθὴ φλόμος, καὶ τοῦ τριφύλλου τὰ φύλλα ὠμά. καὶ τοῦ ἐπιπέτρου τὰ φύλλα ἑφθά, καὶ τὸ πόλιον. ἢν δὲ καὶ καθαίρεσθαι δέῃ τὸ ἕλκος, πάντα μὲν καὶ ταῦτα καθαίρει. ἀτὰρ καὶ τῆς συκῆς τὰ φύλλα καὶ τῆς ἐλαίης, καὶ τὸ πράσιον. ἕψειν δὲ ταῦτα πάντα, μάλιστα δὲ τούτων ἕψειν, τὸν ἄγνον, καὶ τὴν συκῆν καὶ τὴν ἐλαίην, καὶ τῆς σίδης τὰ φύλλα ὡσαύτως ἕψειν, ὠμοῖσι δὲ τοῖσι δεῖ χρέεσθαι. τῆς μαλάχης τὰ φύλλα, τρίβων ξὺν οἴνῳ. καὶ τοῦ πηγάνου τὰ φύλλα. καὶ τῆς ὀριγάνου χλωρῆς. πᾶσι τούτοισι χρὴ τοῦ λίνου τὸν καρπὸν φρύξαντα καὶ κόψαντα ὡς λειότατον, μιγνύναι. ὅκου δὲ ἐρυσιπέλας κίνδυνος ἐφ' ἕλκεσι γενέσθαι, τῆς ἰσάτιδος τὰ φύλλα τρίβων, ὠμὰ καταπλάσσειν σὺν τῷ λίνῳ, ἢ τὸ λίνον δεύων στρύχνου χυλῷ, ἢ ἰσάτιδος καταπλάσσειν. Ὅταν δὲ τὸ ἕλκος καθαρὸν μὲν ᾖ, φλεγμαίνῃ δὲ τό τε ἕλκος, καὶ τὰ περιέχοντα τοῦ ἕλκεος, φακὸν ἐν οἴνῳ ἑψήσας καὶ τρίψας λεῖον, ἐλαίῳ ὀλίγῳ φυρήσας καταπλάσσας ἐπιδεῖν. καὶ τοῦ κυνοσβάτου ἑψήσας τὰ φύλλα ἐν ὕδατι τρίψας λεῖα καταπλάσσειν. ὀθόνιον ὑποτείνας λεπτὸν καθαρόν, οἴνῳ καὶ ἐλαίῳ τέγξας. καὶ ὅταν ξυνάγειν βούλῃ, τοῦ κυνοσβάτου τὰ φύλλα, ὥσπερ τὸν φακὸν σκευάζειν. σαυείδιον. οἶνος καὶ λίνου καρπὸς παραμίγνυται λεπτός, καὶ τόδε ὁ τοῦ λίνου καρπός, καὶ ἄγνος ὠμός, καὶ μηλέα στυπτηρίη, ὀξεῖ ταῦτα δευθέντα. Ὄμφακα λευκήν, ἐς χαλκεῖον θλίψας ἐρυθρόν, δι' ἠθμοῦ πρὸς ἥλιον τιθέναι τὰς ἡμέρας. τὰς δὲ νύκτας αἴρειν, ὅκως μὴ δροσίζηται. ἀνατρίβειν δὲ τῆς ἡμέρης ἀπαύστως, ὡς ὁμαλῶς ξηραίνηται. καὶ ἀπὸ τοῦ χαλκείου ὡς ὅτι πλεῖστον ἀναλαμβάνηται. τιθέναι δὲ ἐν τῷ ἡλίῳ τοσοῦτον χρόνον, ἐς ἂν παχὺ γένηται ὥσπερ μέλι. ἔπειτα ἐν χύτρῃ χαλκῇ ἐγχέας, καὶ μέλι ὡς κάλλιστον, καὶ οἶνον γλυκύν, ἐναφεψήσας πρότερον ῥητίνην τερμινθίνην, ἕψειν δὲ τὴν ῥητίνην ἐν τῷ οἴνῳ, ἕως ἂν σκληρὴ γένηται ὥσπερ μέλι ἑφθόν. ἔπειτα τὴν μὲν ῥητίνην ἐξελεῖν. τὸν δὲ οἶνον ξυγχέαι. ἔστω δὲ πλεῖστος μὲν ὁ χυλὸς τῆς ὄμφακος. δεύτερος δὲ ὁ οἶνος. τρίτον δὲ τὸ μέλι. καὶ σμύρναν, τὴν στακτήν, καὶ ἄλλως ὡς βελτίστην τρίψας λείην, καὶ δίεσθαι τοῦ οἴνου τοῦ αὐτοῦ παρεγχέοντα κατ' ὀλίγον. ἔπειτα ἕψειν αὐτὴν ἐφ' ἑαυτῆς τὴν σμύρναν ξὺν τῷ οἴνῳ ἀνακινέοντα. ὅταν δὲ δοκέῃ ἤδη καλῶς ἔχειν τὸ πάχος, ξυγχέαι ἐς τὸν χυλὸν τῆς ὄμφακος. καὶ νίτρον ὡς ἄριστον φρύξας, ἡσύχως μιγνύναι ἐς τὸ φάρμακον. καὶ ἄνθος χαλκοῦ, ἔλασσον τοῦ νίτρου. ταῦτα δὲ ἐπειδὰν μίξῃς, ἕψειν, μὴ ἔλασσον τριῶν ἡμερέων, ξύλοισι συκίνοισιν ὡς ὀλίγον ὑποκαίοντα, ἢ ἄνθραξιν ὡς μὴ φρύγηται. καὶ ἐμβαλλόμενα πάντα, ἄνυδρα ἔστω. καὶ τὰ ἑλκέα μὴ τεγγέσθω, ὅτε ἂν ἐπαλείφηται ὑπὸ τὸ φάρμακον. χρῆσθαι δὲ τούτῳ τῷ φαρμάκῳ πρὸς τὰ ἐπαλαιωμένα ἕλκεα. καὶ πρὸς τὰ νεότρωτα. καὶ ἐς πόσθιον, καὶ τὰ κεφαλῆς ἕλκεα καὶ ὠτός. Φάρμακον ἕτερον τῶν αὐτέων ἑλκέων. Χολὴ βοὸς ξηρή. μέλι ὡς κάλλιστον. οἶνος λευκός. ἐναφεψῆσαι δὲ ἐν αὐτῷ λωτοῦ τορνεύματα. λιβανωτός. σμύρνη. ἴση. κρόκος ἴσος. ἄνθος τε χαλκοῦ. ὁμοίως δὲ ὑγρῶν, οἶνος πλεῖστος. μέλι δεύτερον. ὀλίγιστον ἡ χολή. Ἕτερον. Οἶνος. μέλι κέδρινον, ὀλίγον. τὰ δὲ ξηρά, ἄνθος χαλκοῦ. σμύρνα. σίδιον αὖον. Ἕτερον. ἄνθος χαλκοῦ. ὀπτὸν ἡμιμοίριον. σμύρνης, δύο ἡμιμοίρια. κρόκου τρεῖς μοῖραι. μέλι ὀλίγον σὺν οἴνῳ ὀπτώμενα. Ἕτερον. Λιβανωτοῦ μοῖρα. κηκίδος μοῖρα. κρόκου τρεῖς. τούτων ἕκαστον ξηρὸν τρίψαι ὡς λειότατον. ἔπειτα μίξας, τρίβειν ἐφ' ἡλίῳ ὡς θερμοτάτῳ, παραχέων χυλὸν ὄμφακος, ἕως ἂν ἰξώδες γένηται, ἐν τρεῖς ἡμέρας. ἔπειτα ἐν οἴνῳ αὐστηρῷ μέλανι εὐώδεϊ παραχέειν κατ' ὀλίγον δίεσθαι. Ἕτερον. Ἐν οἴνῳ γλυκεῖ ἕψειν λευκῷ, κρίνου ῥίζας. ἐπειδὰν δὲ δοκέῃ καλῶς ἔχειν, ἀποχέας τοῦ οἴνου δύο μοίρας, ποιῆσαι τόδε. καὶ ἀμόργης ἐλαίου ὡς ἀνυδροτάτου μοῖραν μίαν. ἔπειτα ἕψειν, ἀνακινέων ὡς μὴ φρυγῇ, μαλθακῷ πυρὶ ἕως ἂν δοκέῃ τοῦ πάχεος καλῶς ἔχειν. Ἕτερον. Τὰ μὲν ἄλλα, τὰ αὐτά. ἀντὶ δὲ τοῦ οἴνου, ὄξος ὀξύτατον ἔστω λευκόν. ἐμβάψαι δὲ ἐς αὐτό, ἔρια ὡς οἰσυπώδεα. κἄπειτα δεύσας τῇ ἀμόργῃ, ἕψειν. καὶ ὀπὸν ἐρινεοῦ ξυγχέαι. καὶ στυπτηρίην μηλείην, καὶ νίτρον. καὶ ἄνθος χαλκοῦ, μίξαι ὀπτὰ ἀμφότερα. ὑπὸ μᾶλλον τοῦ προτέρου καθαίρει τὰ ἕλκεα. ξηραίνει δὲ τὸ πρότερον οὐχ ἧσσον. Ἕτερον. Τὰ ἔρια βάψαι ὡς ἐν ὀλιγίστῳ ὕδατι. ἔπειτα οἶνον ξυγχέας μέρος τρίτον, ἕψειν ἕως ἂν καλῶς ἔχῃ τὸ πάχος, ἀπὸ τῶνδε διαπυΐσκεσθαι δέξεται τὰ νεότρωτα τάχιστα. Ἄλλο. Ἄρον ξηρὸν ἐπιπάσσειν, καὶ στέλλειν.

κράδης

κράδας ἐν ὀπῷ φλοιὸν χλωρὸν τρίβων ἐν οἴνῳ, ἐνστέλλειν, καὶ ἄνωθεν οἴνου αὐτὸν καὶ ξὺν μέλιτι. Ἕτερον. Ὄξος ἀφεψῶν, λωτοῦ τορνεύματα. ἔστω δὲ λευκὸν τὸ ὄξος. κἄπειτα μῖξαι ἀμόργην ἐλαίων, καὶ ὀῤῥὸν πίσσης ὠμόν. καὶ ἐπαλείφειν καὶ καταστάζειν. καὶ ἐπιδεσμεῖν. ξηρὰ ἀντρέπει τὰ νεότρωτα διαπυΐσκεσθαι. ἢ ὄξει ἀποκνίψας, οἴνῳ ἀποσπογγίσας. ἄλλο. Τὸν μόλιβδον τὸν λεῖον ξὺν τῇ σποδῷ τῇ κυπρίῃ λεανθέντα ἐπιπάσσειν. καὶ τοῦ λωτοῦ τὰ ἰχθυήματα ἐπιπάσσειν. καὶ τὴν λεπίδα τοῦ χαλκοῦ. καὶ τὴν στυπτηρίην καὶ τὴν χαλκῖτιν μετὰ τοῦ χαλκοῦ. καὶ μούνην. καὶ μετὰ τῶν τοῦ λωτοῦ ἰχθυημάτων. καὶ ἄλλως, ὅταν δέηται ξηροῖσι τοῖσι τοιούτοισι χρέεσθαι. καὶ τῇ σποδῷ τῇ ἰλλυριώτιδι λείῃ μετὰ τῶν ἰχθυημάτων. καὶ αὐτοῖσι μούνοισιν ἰχθυήμασι. καὶ ἄνθη ἀργύρου μούνῃ, ὡς λειοτάτῃ. καὶ τὴν ἀείζολοχίην, ξύων τε καὶ τρίβων λείην ἐπιπάσσειν. Ἕτερον ἔναιμον. Σμύρνα. λιβανωτός. κηκίς. ἰός. ἄνθος χαλκοῦ ὀπτόν. στυπτηρίη αἰγυπτίη ὀπτή. οἰνάνθη. οἰσυπίδες. μολύβδαινα. τούτων ἴσον ἑκάστου ἡ δίεσις σὺν οἴνῳ ὥσπερ τὸ πρότερον. καὶ ἄλλη ἐργασίη κατὰ τὰ αὐτά. ὄξος ὡς ὀξύτατον λευκόν. μέλι. στυπτηρίην αἰγυπτίην. νίτρον ὡς ἄριστον. ἡσύχως φρύξας, χολῆς ὀλίγον συνέψει. τοῦτο τὰ ὑπερσαρκέοντα καθαίρει καὶ κοιλαίνει, καὶ οὐ δάκνει. ἄλλο. Ποίη ἡ μακρόφυλλος ᾗ ὄνομα παρθένιον τὸ μακρόφυλλον, ἢ τὰ θύμια τὰ ἀπὸ τοῦ ποσθίου ἀφαιρεῖ. καὶ στυπτηρίη ἡ χαλκῖτις, καὶ μηλιάδος ὠμῆς, ἐλατήριον λεπτὸν ξηρὸν προσεῖναι καὶ τὸ σίδιον λεπτὸν ξηρὸν ὡσαύτως. πληροῖ δὲ μάλιστα τὰ κοῖλα τὰ καθαρά, ποίη, ᾗ λαγώπυρος οὔνομα. ἔστι δὲ πιτύροισιν ὁμοίη ὅταν αὐαίνηται. μικρὸν τὸ φύλλον, ὥσπερ καὶ τὸ τῆς ἐλαίης, καὶ μακρότερον. καὶ πρασίου τὸ φύλλον, σὺν ἐλαίῳ. Ἕτερον. Ἰσχάδος τὸ ἔσω, τὸ πῖαρ, τὸ μελιτοειδές, ὡς ξηροτάτης, ὕδατος δύο μοίρας. καὶ λίνου καρπὸν φρύξας μὴ σφόδρα, ὡς λεπτοτάτου μοῖραν μίαν. ἄλλο. Τῆς ἰσχάδος. καὶ ἄνθος χαλκοῦ ὀλίγον λεπτόν. καὶ συκῆς ὀπόν. τὸ δ᾽ ἐκ τῆς ἰσχάδος, χαμαιλέων μέλας. χολὴ βοὸς ξηρή. τὰ μὲν ἄλλα τὰ αὐτά. τὰ δὲ ξηρά. κάρδαμον λεπτόν. ὠμόν. ἐρύσιμον. ἑκατέρου ἴσον. τῆς δὲ ἰσχάδος δύο μέρη, λίνου καρποῦ, δύο μοίρας. ὀπὸν συκῆς. ὅταν τούτων τινὶ χρέῃ τῶν φαρμάκων σπλήνας ἄνωθεν ὀξηροὺς ἐπιθεὶς, σπόγγον ἄνωθεν τῶν σπληνῶν ἐπίθες, καὶ ἐπίδει. καὶ προσπιέσαι ὀλίγῳ μᾶλλον. τὰ δὲ περιέχοντα ἢν φλεγμαίνῃ, ὅ,τι ἂν δοκέῃ ξυμφέρειν, περιπλάσσειν. ἢν βούλῃ ὑγρῷ χρέεσθαι, καὶ τὸ καρικὸν φάρμακον ἐπαλείφειν. ἐπιδεῖν δὲ ὥσπερ τὰ πρότερα γέγραπται, καὶ τὰ τὸν αὐτὸν λόγον. ἔστι δὲ ἐκ τῶνδε τὸ φάρμακον ποιεύμενον. ἐλλεβόρου μέλανος. σανδαράχης λεπίδος. μολίβδου πεπλυμένου, σὺν πολλῷ, θείου ἀῤῥενικοῦ, κανθαρίδος. τούτῳ ὁποίῳ δοκέει συντεθέντι χρῆσθαι. ἡ δὲ δίεσις, κεδρίνῳ ἐλαίῳ· ἐπειδὰν δὲ ἅλις ἔχῃ ἐπαλείφοντι ἐκβάλλειν τὸ φάρμακον. ἐπιπλάσσων ἄρον ἑφθὸν, λεῖον. ἢ τρίβων ξηρὸν, μετὰ μέλιτι δεύων, καὶ ἢν ξηρῷ χρῇ μετὰ καρικοῦ, τούτων χρὴ ἀφιστάναι τὸ φάρμακον ἐπιπλάσσων. ποιέει δὲ τὸ ξηρὸν ἀπὸ τοῦ ἐλλεβόρου μόνον καὶ τῆς σανδαράχης. Ἕτερον ὑγρόν. Ποίη, ἧς τὸ φύλλον ὅμοιον ἄρῳ τὴν φύσιν. λευκὸν δέ. χνοῶδες κατὰ κισσοῦ φύλλον τὸ μέγεθος. αὕτη ἡ ποίη, σὺν οἴνῳ ἐπιπλάσσεται. ἢ τοῦ πρίνου τὸ περὶ τὸ στέλεχος τρίψας σὺν οἴνῳ, ἐπιπλάσσαι. Ἕτερον. Ὀμφακοῦ χυλός. ὄξος ὡς ὀξύτατον. ἄνθος χαλκοῦ. νίτρον. ὀπὸς ἐρινεοῦ. ἐς ὄμφακος χυλὸν στυπτηρίην τε ἐμβάλλειν, ὡς λειοτάτην καὶ θεῖναι ἐν χαλκῷ ἐρυθρῷ ὑπὸ ἥλιον καὶ ἀνακινέειν. καὶ ἀνελεῖν ὅταν δοκέῃ καλῶς ἔχειν τὸ πάχος. Ἔναιμα ξηρὰ τάδε. Ἐλλέβορος μέλας. ὡς λειότατος ἐπιπάσσεται, ἕως ἄν τι τοῦ ὑγροῦ ἐνέῃ, καὶ νεμομένου. ἐπίδεσις δὲ ἡ αὐτὴ ἥπερ ἐπὶ τοῖσιν ἐμπλάστροισιν. Ἕτερον ὁμοίως. Ἁλὸς χόνδρους ὡς ξηροτάτους, ἐς χυτρίδιον χάλκεον ἢ κεραμεοῦν καινὸν ἐμβάλλειν, ἴσους ὡς μάλιστα τὸ μέγεθος, μὴ ἀδρούς. καὶ μέλι ὡς κάλλιστον διπλάσιον τῶν ἁλῶν εἰκάσας ἐπιχέαι ἐπὶ τοὺς ἅλας. ἔπειτα ἐπιθεῖναι ἐπὶ τοὺς ἄνθρακας τὸ χυτρίδιον, καὶ ἐᾶν ἕως ἂν κατακαυθῇ πᾶν. ἔπειτα ἀναποσπογγίσας τὸ ἕλκος καὶ ἐκκαθήρας, ἐπιδῆσαι ὥσπερ τὸ πρότερον. καὶ πιέσαι ὀλίγῳ μᾶλλον. τῇ δ᾽ ὑστεραίῃ, ὅπῃ ἂν μὴ λάβηται τὸ φάρμακον ἐπιπάσας, προσπιέζειν καὶ ἐπιδεῖν. ὅταν δὲ βούλῃ ἀφιστάναι τὸ φάρμακον, ὄξος θερμὸν ἐπιχέειν, ἕως ἂν ἀποστῇ. καὶ αὖθις τὰ αὐτὰ ποιέειν, ἢν δέηται ἀναποσπογγίσας. ἄλλο ξηρὸν δάκνον. Μύσιος ὡς λειότατα ἐπιπάσσειν, ἐπὶ τὰ ὑγρὰ καὶ σαπρὰ, καὶ ἄνθος λεπτὸν, μὴ παντελῶς λεῖον. ἄλλο ξηρὸν ὁμοίως δάκνον. ἀναποσπογγίσας ὡς οἰσυπωδέστατα ἔρια, ἐπ᾽ ὀστράκου κατακαῦσαι λαιδίως,

προσίσχων

προσίσχων ἕως ἂν πάντα κατακαύσῃς. τὸ δὲ λεῖον τρίβων καὶ ἐπιπάσσων, τὴν αὐτὴν ἐπιδεῖν ἐπίδεσιν. Ἕτερον ξηρὸν ἐπὶ τῶν αὐτῶν ἑλκέων. Χαμαιλέων μέλας. συντήκειν ἢ περὶ ὀπῷ τῆς συκῆς δεδευμένην. δεύειν δὲ ὀπῷ, καὶ ἄγχουσαν μίσγειν. ἀναγαλλὶς καὶ συντήκειν αὐτὴν ὀπτὴν, ἐπίπαστον ὀρχομένον ἐπιπάσσειν. πρὸς δὲ τὰς νομὰς συντήκειν. ἥτε αἰγυπτίη ὀπτὴ καὶ ἡ μηλείη. πρότερον δὲ ἀπονιτρῶσαι ὀπτῇ καὶ ἀνασπογγίσαι. καὶ ἡ χαλκῖτις συντήκειν ὀπτή. ὀπτᾶν δὲ ἕως ἂν φλογοειδὴς γένηται. Τῶν παλαιῶν ἑλκέων τῶν ἐν τοῖσι ἀντικνημίοισι γινομένων. αἱματώδεα δέ τοι γίνεται καὶ μέλανα. Μελιλώτου ἄνθος τρίψας, μέλιτι φυρῶν, ἐπιπλάστῳ χρῆσθαι. ἐπὶ νεῦρα δὲ διατμηθέντα, ἐπιδεῖν, μυῤῥίνης ἀγρίης ῥίζας κόψας καὶ διαττήσας, καὶ φυρήσας ἐλαίῳ. καὶ τὴν ποίην τὴν πενταφύλλου. λευκὴ δέ ἐστι καὶ χλοώδης, καὶ ὑψηλοτέρα ἀπὸ τῆς γῆς ἢ τὸ μέλαν πεντάφυλλον. ταύτην τρίψας ἐν ἐλαίῳ ἐπιδεῖν. ἀπολύειν δὲ τριταῖον μαλθακώδεα. τοῖσι δὲ χρὴ τοῖσι φαρμάκοισι χρῆσθαι ἐν χειμῶνι μᾶλλον, ἢ ἐν θέρει. Φάρμακα μαλθακώδεα, ἃ καὶ οὐλὰς καλὰς ποιέει. Σκίλλης τὸ ἔσω τὸ μυξώδες τρίψας, ἢ πεύκην σὺν συείῳ στέατι νέῳ, ὀλίγον ἔλαιον καὶ ῥητίνης ὀλίγον, καὶ ψιμύθιον. καὶ στέαρ χηνὸς, καὶ συὸς νέον, καὶ σκίλλαν, καὶ ἔλαιον ὀλίγον. κηρὸς ὡς λευκότατος, στέαρ πρόσφατον καθαρόν. ἢ σκίλλαν καὶ ἔλαιον λευκὸν, ῥητίνης ὀλίγον. κηρὸν, στέαρ συὸς παλαιὸν καὶ νέον, καὶ ἔλαιον, καὶ ἰὸς καὶ σκίλλα, καὶ ῥητίνη. ἔστω δὲ δύο μοῖραι τοῦ παλαιοῦ στέατος πρὸς τὸ νέον. τῶν δὲ ἄλλων ὁκόσον δοκέει καιρὸς εἶναι. στέαρ συντήξας πρόσφατον ἀποχέας εἰς ἕτερον χυτρίδιον. καὶ τῆς μολυβδαίνης τρίψας ὡς λειότατον διαττήσας, συμμίξας, ἕψειν, καὶ κυκᾶν τὸ πρῶτον. ἕψειν δὲ, ἕως ἂν ἐπισταχθὲν ἐπὶ γῆς πήγνυται. ἔπειτα καθελὼν ἀποχέαι τὸ ἄλλο, πλὴν τῆς λίθου τῆς ὑποστάσιος. καὶ ἐμβάλλειν ῥητίνην καὶ ἀνακινέειν. καὶ κέδρινον ἔλαιον ὀλίγον ξυμμίξας τὸ ἀφῃρημένον, πᾶσι χρὴ τοῖσι μαλθακοῖσιν ὅκου ἂν ῥητίνην ξυμμιγνύῃς, ἐπειδὰν ἀφέλῃς ἀπὸ τοῦ πυρὸς τὸ φάρμακον, ἐς θερμὸν ἔτι ἐὸν καθεὶς τὴν ῥητίνην κυκᾶν. Ἕτερον. Στέαρ συὸς παλαιὸν, καὶ κηρὸς, καὶ ἔλαιον. τὰ δὲ ξηρὰ ἰχθυήματα τοῦ λωτοῦ. λιβανωτός. μολύβδαινα. ἤγουν τοῦ μὲν μοῖρα, καὶ τῆς δὲ μοῖρα, καὶ τοῦ ἰχθυήματος μοῖρα. ἔστω δὲ τοῦ παλαιοῦ στέατος, δύο μοῖραι, κηροῦ δὲ μία. καὶ νέου στέατος μία. Ἕτερον. Ἢ στέαρ μόνον παλαιὸν ὕειον. σὺν τῷδε, στέαρ αἰγὸς πρόσφατον. ὡς ἥκιστα ξὺν τῷ ὑμένι κατακαθήρας μικρὰ, τρίψας ἢ κατακόψας λεῖα, ἔλαιον παραχέειν, καὶ παραπάσσειν τὴν μόλιβδον, ξὺν τῇ σποδῷ. καὶ λωτοῦ ἰχθυημάτων τὸ ἥμισυ. Ἕτερον. Στέαρ αἰγός. σποδός. χαλκῖτις. κυανέη. ἔλαιον. Περὶ πυρικαύστου. Ἕψειν χρὴ πρίνου ῥίζας ἁπαλὰς, ὧν ὁ φλοιός ἐστι παχύτατος καὶ χλωρότατος, κατατεμὼν μικρὰ, οἶνον λευκὸν ἐπιχέας, μαλθακῷ πυρὶ καθέψειν, ἕως ἂν δοκέῃ καλῶς ἔχειν τὸ πάχος, ὡς ὑπάλειπτρον, καὶ ἐν ὕδατι τὸν αὐτὸν τρόπον. Ἕτερον μὴ δάκνον. Ὑὸς στέαρ μόνον παλαιὸν ὑπαλείφειν, τήξας αὐτὸ ἄνωθεν διὰ τῆς σκίλλης, τὴν ῥίζαν διαιρῶν καὶ προστιθεὶς καταδεῖν. τῇ δὲ ἑξῆς ἐπαιονᾶν τήξας, στέαρ τε ὑὸς παλαιὸν, καὶ κηρὸν καὶ ἔλαιον συμμίξας, καὶ λιβανωτὸν, καὶ λωτοῦ ἰχθυήματα, καὶ μίλτον τούτῳ ὑπαλείψας. ἄρου φύλλα ἐν οἴνῳ καὶ ἐλαίῳ ἑψήσας, προστιθεὶς καταδεῖν.

Ἕτερον. Ἐπειδὰν περὶ συείῳ στέατι ὑπαλείψῃς περὶ παλαιῷ, καταλείφειν ἀσφοδέλου ῥίζας ἐν οἴνῳ τρίψας καὶ λειώσας. Ἕτερον. Τήξας στέαρ συὸς παλαιὸν, συμμίξας ῥητίνῃ καὶ ἀσφάλτῳ, καὶ αὐτὸ ἐπαλείψας ἐς ὀθόνιον, θερμήνας πρὸς πῦρ, ἐπιθεὶς ἐπιδεῖν. Ὅταν ἐν περὶ νώτῳ ὑπὸ πληγέων ἢ ἄλλως ἕλκος γένηται, τῇ σκίλλῃ δεέφθω, τρίψας καὶ ἐπ' ὀθόνιον ἀλείψας ἐπιδεῖν. ὕστερον δὲ στέαρ αἰγός. καὶ συὸς νέον, καὶ σποδόν. καὶ ἔλαιον, καὶ λιβανωτὸν ἐπαλείφειν. Οἰδήματα ἐν τοῖσι ποσὶ γινόμενα, αὐτόματα καὶ μὴ αὐτόματα, οὐδὲν ὑπὸ τῶν καταπλασμάτων καθιστάμενα, τάτε οἰδήματα, καὶ ἡ φλεγμασίη. καὶ ἢν σπόγγους ἐπιδέῃ τις ἢ εἴρια, ἤ τι ἄλλο ἐπὶ τὸ ὑγιὲς, ἔπειτα ἀνοιδίσκηται αὐτόματον καὶ ἀναφλεγμαίνῃ κατὰ φλέβας, ἐπιῤῥοῦς αἴτιόν ἐστιν αἵματος. ᾧ τινι μὴ φλάσμα αἴτιόν ἐστι. καὶ ἤν που ἄλλοθι τοῦ σώματος τοιοῦτόν τι γίνηται, ὁ αὐτὸς λόγος. ἀλλὰ τοῦ αἵματος χρὴ ἀφιέναι. μάλιστα μὲν κατὰ φλέβας τὰς ἐπιῤῥεούσας, ἢν καταφανέες ἔωσιν. ἢν δὲ μὴ, κατακρούειν τὰ οἰδήματα βαθύτερα καὶ πυκνότερα. καὶ ἄλλο πᾶν ὅ, τι ἂν κατακρούῃς, οὕτω χρὴ ποιέειν. καὶ ὡς ὀξυτάτοισι σιδηρείοισι, καὶ λεπτοτάτοισι. καὶ ὅταν ἀφαιρῇς τὸ αἷμα τῇ μήλῃ, μὴ κάρτα πιέζειν, ὡς μὴ φλάσις προσγίνηται. ὄξει δὲ κατανίζειν, καὶ θρόμβον αἵματος ἐν τοῖσι χάσμοισι μὴ ἐᾶν ἐγκαταλεί-

πεσθαι

τίθεσθαι, καταχρίσας περὶ ἐναίμῳ φαρμάκῳ, εἴρια οἰσυπῶντα, κατεξασμένα, μαλθακὰ ἐπιδῆσαι, ῥαίνας οἴνῳ καὶ ἐλαίῳ. καὶ ἐχέτω τὸ χάθεν ὅκως ἀνάῤῥους εἴη τοῦ αἵματος, καὶ μὴ κατάῤῥους. καὶ μὴ τεγγέτω ὅλως. καὶ ὀλιγοσιτείτω. καὶ πινέτω ὕδωρ. ἢν δὲ ἀπολύων, εὑρίσκῃς τὰ χάσματα φλεγμαίνοντα, καταπλάσσειν τῷ ἐκ τοῦ ἄγνου καὶ λίνου καρποῦ καταπλάσματι. ἢν δὲ ἑλκωθῇ τὰ χάσματα καὶ συῤῥαγῇ, πρόσχημα ὀρέων, ἔπειτα προσφέρων ὃ ἂν δέῃ, τὰ λοιπὰ ἰητρεύειν. ὅκου δὲ κιρσὸς ἔνεστιν ἐπ' ἀντικνημίῳ, ἢ περιφανὴς, ἢ κατὰ τῆς σαρκὸς, καὶ ἔστι μέλαν τὸ ἀντικνήμιον, καὶ δοκέῃ δεῖσθαι αἵματος ἀπ' αὐτοῦ ἀποῤῥυέντος, οὐ χρὴ τὰ τοιαῦτα κατακρούειν οὐδαμῶς. ὡς γὰρ ἐπὶ τὸ πολὺ ἕλκεα μεγάλα γίνεται ἐκ τῶν χασμάτων διὰ τοῦ κιρσοῦ τὴν ἐπίῤῥοην. ἀλλὰ χρὴ αὐτὸν τὸν κιρσὸν ἀποκεντέειν ἄλλοτε καὶ ἄλλοτε, ὅπη ἂν δοκέῃ καιρὸς εἶναι. ὅταν δὲ φλέβα τάμνῃς, ἐπειδὰν τοῦ αἵματος ἀφῇς καὶ λύσῃς τὴν ταινίην, καὶ μὴ ἵστηται τὰ ἀντία ὅκως ἂν ὁ ῥοῦς γίνηται. καὶ αἵματος ἐχέτω, ἤν τε χεὶρ ἤν τε σκέλος ᾖ, ὥστε χέοντος τοῦ αἵματος ὀπίσω. καὶ οὕτως ὑπομείνας χρόνον πλείω ἢ ἐλάσσω κατακείμενος. ἔπειτα ἐπιδῆσαι αὐτὸν οὕτως ἔχοντα, μὴ ἐνεόντος τινος θρόμβου ἐν τῇ τομῇ. ἔπειτα σπλήνιον διπλόον προσθεὶς, τέγξας οἴνῳ καὶ ἄνωθεν εἴριον ἐλαιώσας καθαρόν. καὶ ἢν γὰρ ἐπίῤῥυσις τοῦ αἵματος ᾖ βιαίη, σχέσις γίνεται ἐπιῤῥέοντος. καὶ ἢν θρόμβου ἐπὶ τῇ τομῇ γινομένου οὕτω φλεγμήνῃ, διαπυΐσκεται. ἑστηκότα δὲ χρὴ πλέον ἢ ἔλαττον, καὶ πεπωκότα φλεβοτομέειν καὶ ὑποτεθωρμασμένον. καὶ ἡμέρης θερμοτέρης ἢ ψυχροτέρης. σικύην δὲ προσβάλλοντα χρὴ, ἢν ἐπιῤῥέῃ τὸ αἷμα ἀφῃρημένης τῆς σικύης καὶ ἢν πολὺ ῥέῃ, ἢ ἰχὼρ ῥέῃ αὐτοῖσι ταχέως πρὶν ἢ πληθῇ, αὖθις προσβάλλων, ἐπεξέλκειν τὸ λειπόμενον. ἢν δὲ μὴ θρόμβοι ἐνεχόμενοι ἐν τοῖσι χάσμασιν, ἔπειτα ἀναφλεγμήναντα ἕλκεα γίνεται ἐξ αὐτῶν. ὄξει δὲ χρὴ τὰ αὐτὰ τὰ τοιαῦτα καταννίζειν, καὶ ὕστερον μὴ τέγγειν, μὴ δὲ κατακέεσθαι ἐπὶ τὰ χάσματα. τῶν δὲ ἐναίμων τινὶ φαρμάκων καταχρίσαι τὰ χάσματα. καὶ ὅταν κάτωθεν τοῦ γόνατος δέῃ προσβάλλειν ἢ πρὸς τὸ γόνυ, ἑστηκότι ὀρθῷ, ἢν δύνηται ἑστάναι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΣΥΡΙΓΓΩΝ.

Σύριγγες, γίνονται μὲν ὑπὸ φλασμάτων καὶ φυμάτων. γίνονται δὲ καὶ ὑπὸ ἐρεσίης, καὶ ἱππασίης, ὅταν ἀθροισθῇ ἐν περὶ γλουτῷ αἷμα πλησίον τῆς ἕδρης. σηπόμενον γὰρ νέμεται εἰς τὰ μαλθακὰ, ἅτε ὑγροῦ ἐόντος τοῦ τε ἀρχοῦ, καὶ τῆς σαρκὸς μαλθακῆς ἐν ᾗ νέμεται, ἐς ἂν τὸ φῦμα ῥήξῃ, καὶ κάτω διὰ τὸν ἀρχὸν διασήψῃ. ἔπειτα ἢν δὲ τοῦτο γίνηται, συριγγοῦται καὶ ἰχωρέει. καὶ κόπρος ῥέει δι' ἑωυτῆς. καὶ φῦσα. καὶ βδελυγμίη πολλή. ὑπὸ μὲν οὖν τῶν φλασμάτων γίνεται, ὁκόταν τι τῶν περὶ τὸν ἀρχὸν χωρίων, φλασθῇ ὑπὸ πληγῆς. ἢ ὑπὸ πτώματος. ἢ ὑπὸ ῥώματος. ἢ ἱππασίης. ἢ ἐρεσίης, ἢ ὅσα τοιουτότροπά ἐστι. ξυνίσταται γὰρ αἷμα. σηπόμενον δὲ ἐκπυΐσκεται. ὑπὸ δὲ τοῦ ἐκπυϊσκομένου πάσχει ἅπερ ἤδη ἐπὶ τῶν φυμάτων εἴρηται. πρῶτον μὲν οὖν ὅταν τι τοιοῦτον αἴσθῃ φυόμενον φῦμα, τάμνειν ὡς τάχιστα ὠμὸν πρὶν ἢ διαπυῆσαι ἐς τὸν ἀρχόν. ἢν δὲ νοσέοντα ἤδη τὴν σύριγγα παραλάβῃς, λαβὼν σκορόδου φύσιγγα νεαρὴν, ἀνακλίνας τὸν ἄνθρωπον ὕπτιον, τὰ σκέλεα διαγαγὼν, τὸ μὲν ἔνθα, τὸ δὲ ἔνθα τὴν φύσιγγα καθιέναι ἐς ἂν προσκόψῃ, μετρῆσαί τε τὸ βάθος τῆς σύριγγος τῇ φύσιγγι. καὶ σεσέλεος δὲ ῥίζαν κόψας ὡς λεπτοτάτην, ὕδωρ ἐπιχέας, βρέχειν τέσσαρας ἡμέρας. καὶ προνηστεύσας πινέτω, μέλιτι παραμίσγων τὸ ὕδωρ, κατὰ τρεῖς κυάθους. ἐν τούτῳ κάθαιρε καὶ τὰς ἀσκαρίδας. ὁκόσοι δ' ἂν καταληφθῶσιν ἀθεράπευτοι, θνήσκουσιν. ἔπειτα ὀθόνιον βύσσινον τιθυμάλλου ὀπῷ τοῦ μεγάλου δεύσας, καταπάσσων ἄνθος χαλκοῦ, ὀπτὸν τετριμμένον. στροβίλην ποιήσας ἴσην τῇ σύριγγι τὸ μῆκος. ῥάμμα δεὶς δι' ἄκρας τῆς στροβίλης. καὶ αὖθις διὰ τῆς φύσιγγος ὕπτιον κατακλίνας τὸν ἄνθρωπον, κατοπτῆρι κατιδὼν τὸ διαβεβρωμένον τοῦ ἀρχοῦ, ταύτῃ τὴν φύσιγγα διεῖναι. καὶ ὁκόταν παρακύψῃ ἐς τὸν ἀρχὸν, ἐπιλαμβανόμενος ἕλκειν, ἄχρις οὗ ἡ στροβίλη διωσθῇ, καὶ ἰσωθῇ περί τε ἄνω, καὶ περὶ κάτω. ἔπειτα ἢν δὲ ἐσωσθῇ, βάλανον ἐνθεὶς κερατίνην διὰ τὸν ἀρχὸν, γῇ διαχρίσας σμηκτρίδι τὸν ἀρχὸν ἐᾶν. ἔπειτα ἢν δὲ ἀποπατέῃ, ἐξαιρέειν, καὶ αὖθις προστιθέναι, ἕως ἂν πεμπταίη γένηται. ἕκτῃ δὲ ἡμέρῃ ἐξαιρέειν, ἕλκων τὴν στροβίλην ἔξω τῆς σαρκός. καὶ τρίψαι στυπτηρίην μετὰ ταῦτα. καὶ πλήσας τὴν βάλανον καὶ ἐς τὸν ἀρχὸν ἐμβαλὼν, ἐᾶν

ἄχρις οὗ ἡ συμπηγείη ὑγρὴ γένηται. τὴν δὲ ἀρχὴν, σμύρνῃ ἀλείφειν, ἄχρις οὗ ἂν δοκέῃ ξυμπεφωνηκέναι. Ἑτέρη θεραπείη. ὠμόλινον λαβὼν ὡς λεπτότατον, συμβάλλειν ὅσον πιθαμιαῖον πεντάπλοον. καὶ ξυμπεριλαβεῖν, ἱππείῃ τριχί. ἔπειτα ποιησάμενος μήλην κασσιτερίνην ἐπ' ἄκρου τετρημένην ἐνείρας ἐς τὴν μήλην τὴν ἀρχὴν τοῦ ὠμολίνου συμβεβλημένου, καθιέναι τὴν μήλην ἐς τὴν σύριγγα. καὶ ἅμα τῆς ἀριστερῆς χειρὸς τὸν δάκτυλον τὸν λιχανὸν καθιέναι ἐς τὴν ἕδρην. ἐπὴν δὲ ψαύσῃ ἡ μήλη τοῦ δακτύλου, ἄγειν ἔξω τῷ δακτύλῳ, ἀνακάμψας τῆς μήλης τὸ ἄκρον, καὶ τὴν ἀρχὴν τὴν ἐν τῇ μήλῃ. καὶ τὴν μὲν μήλην πάλιν ἐξαιρέειν, τοῦ δὲ ὠμολίνου τὰς ἀρχὰς ἀφάψαι δὶς ἢ τρίς. καὶ τὸ λοιπὸν τοῦ ὠμολίνου ἐπιστρέψας, ἐπιδῆσαι πρὸς τὸ ἅμμα. ἔπειτα κελεύειν ἀπελθόντα, διαπρήσσεσθαι τὰ ἑωυτοῦ. Ἄλλη θεραπείη. Ὁκόσον δ' ἂν σηπομένης τῆς σύριγγος χαλᾶται τοῦ ὠμολίνου, τοῦτο ἐπιτείνειν καὶ ἐπιστρέφειν αἰεὶ καθ' ἑκάστην ἡμέρην. ἢν δέ σοι τὸ ὠμόλινον διασαπῇ πρόσθεν, ἢ τὴν σύριγγα διαβρωθῆναι, πρὸς τὴν τρίχα προσάψας ἕτερον ὠμόλινον διεῖναι καὶ ἀφάψαι. ἡ γὰρ θρὶξ διὰ τοῦτο παραβάλλεται τῷ ὠμολίνῳ, ὅτι ἄσηπτός ἐστιν. ἐπὴν δὲ διασαπῇ ἡ σύριγξ, τάμνεσθαι χρὴ σπόγγον μαλακὸν ὡς λεπτότατον προστεθέντα. ἔπειτα ἐς μὲν τὴν σύριγγα, ἄνθος χαλκοῦ ὀπτὸν συχνὸν, τῇ μήλῃ ἐνθεῖναι. τὸν δὲ σπόγγον ἀλεῖψαι μέλιτι. καὶ ὑποβαλὼν μέσῳ τῷ λιχανῷ δακτύλῳ, τῆς ἀριστερῆς χειρὸς, ὦσαι πρόσω. καὶ προσθεὶς ἕτερον σπόγγον ἀναδῆσαι, τὸν αὐτὸν τρόπον, ὅνπερ καὶ ἐπὶ τῇσιν αἱμορροΐσιν. τῇ δὲ ὑστεραίῃ λύσας, περιθεῖναι ὕδατι θερμῷ. καὶ σπόγγῳ τῷ δακτύλῳ τῆς ἀριστερῆς χειρὸς, πειρᾶν διακαθαίρειν τὴν σύριγγα. καὶ αὖθις πάλιν τὸ ἄνθος ἐπιδῆσαι. ταῦτα ποιέειν ἑπτὰ ἡμέρας, ἐν ταύτῃσι γὰρ μάλιστα ὁ χιτὼν τῆς σύριγγος σήπεται. τὸ δὲ λοιπὸν ἐς ἂν ὑγιανθῇ τέως ἐπιδέειν. κατὰ γὰρ τοῦτον τὸν τρόπον, ὑπὸ τοῦ σπόγγου διαναγκαζομένη καὶ ἀναπτυσσομένη ἡ σύριγξ, οὔτε πάλιν ξυμπέσοι ἂν, οὔτε τὸ μὲν αὐτῆς ὑγιανθείη ἂν, τὸ δὲ πάλιν ξυμπληρωθείη. ἀλλ' ἐν ἑωυτῇ πᾶσα ὑγιὴς ἔσται. ἐν τῇ θεραπείῃ δὲ προσαιονᾶν ὕδατι πολλῷ θερμῷ, καὶ λιμοκτονέειν. ἢν δὲ μὴ διαβεβρώκῃ ἡ σύριγξ προμηλώσας μήλῃ, τέμνε ἕως ἂν διέλθῃ, καὶ ἐπίπασσε ἄνθος χαλκοῦ. καὶ ἐᾶν ἐπὶ πέντε ἡμέρας. κατάχεε δὲ ὕδωρ θερμόν. καὶ ἔπειτα ὕδατι φυρῶν, ἄλφιτον κατάπασσε. καὶ φύλλα τεύτλων ἐπίδεε. ἐπὴν δὲ ἐκπέσῃ τὸ ἄνθος τοῦ χαλκοῦ, καὶ καθαρὸν ᾖ τὸ ἕλκος τῆς σύριγγος, ἰῶ ὥσπερ τὴν ἔμπροσθεν. ἢν δὲ ἐν χωρίῳ ᾖ, ὃ μὴ οἷόν τε, βαθείη δὲ καὶ ἡ σύριγξ, ἄνθει χαλκῷ, καὶ σμύρνῃ, καὶ λίτρῳ ὕδωρ διεὶς, κλύζειν. καὶ ἐς τὸ στόμα τῆς σύριγγος, μολύβδιον ἐντιθέναι, ὅπως μὴ ξυμφύηται. κλύζειν δὲ πτερῷ σύριγγα, προσδήσας πρὸς κύστιν. καὶ καθεὶς ἐς τὴν σύριγγα, πρὸς τοῦτο διάγειν κλύζων. ὑγιὴς δὲ οὐ γίνεται, ἢν μὴ τμηθῇ. Ἢν ὁ ἀρχὸς φλεγμήνῃ, καὶ ὀδύνην ἔχῃ καὶ πυρετός. καὶ ἐς ἄφοδον θαμινὰ καθίζῃ. καὶ μηδὲν ὑποχωρέῃ. καὶ ὑπὸ τοῦ φλέγματος δοκέῃ ἐξιέναι ἡ ἕδρη. καὶ ἐνίοτε στραγγουρίη ἐπιλαμβάνῃ, τοῦτο τὸ νόσημα γίνεται, ὅταν φλέγμα ἐς τὸν ἀρχὸν καταστηρίξῃ ἐκ τοῦ σώματος. ξυμφέρει δὲ τὰ θερμὰ, δύναται γὰρ τάδε προσφερόμενα, λεπτύνειν καὶ ἐκτήκειν τὸ φλέγμα, καὶ ἅμα τῷ δριμεῖ, τὸ ἁλμυρὸν ἐξυδατοῦν. ὥστε μὴ εἶναι τὸ καῦμα, μηδὲ δῆξιν τινὰ ἐν τῷ ἐντέρῳ. θεραπεύειν οὖν χρὴ, ὧδε. καθίζειν ἐς ὕδωρ θερμόν. καὶ τρίψαντα τοῦ κόκκου τοῦ κνιδίου ἑξήκοντα κόκκους, διεῖναι ἐν οἴνου κοτύλῃ, καὶ ἐλαίου ἡμικοτυλίῳ χλιήνας, κλύσον. ἄγει δὲ ταῦτα, φλέγμα καὶ κόπρον. ὅταν δὲ μὴ ἐν τῷ ὕδατι καθίζῃ, ὠὰ ἑψήσας ἐν οἴνῳ μέλανι εὐώδει, προστιθέναι πρὸς τὴν ἕδρην. ὑποπετάσας τι κάτωθεν θερμόν. ἢ κύστιν ὕδατος θερμοῦ πλήσας. ἢ λίνου σπέρμα πεφωσμένον ἀλέσας, τρίψας καὶ μίξας ἴσον ἄλητον ἐν οἴνῳ μέλανι καὶ εὐώδει, καὶ ἐλαίῳ, καταπλάσσειν ὡς θερμοτάτῳ. ἢ κειβὰς μίξας, ἢ στυπτηρίην αἰγυπτίην τετριμμένην. ἔπειτα πλάσαι βάλανον μακρήν. καὶ χλιαίνων πρὸς πυρὸς, καταπλάσσειν τε καὶ πυρίην. καὶ τοῖσι δακτύλοισι περιπλάσσειν. ἔπειτα ἀκρόχλιαρον ποιέων, ἐντιθέναι ἐς τὴν ἕδρην. τὰ ἔξωθεν δὲ κηρωτῇ περιαλεῖψαι. καὶ καταπλάσσειν σκορόδοισιν ἑφθοῖσιν, ἐν οἴνῳ μέλανι κεκρημένῳ. ἐπὴν δὲ ἐξαιρέῃς ἐς ὕδωρ θερμὸν ἐφίζειν. καὶ συμμίξας χυλὸν στρύχνου, καὶ χηνὸς καὶ ὑὸς στέαρ, καὶ χρυσόκολλαν, καὶ ῥητίνην, καὶ κηρὸν λευκόν. ἔπειτα διατήξας ἐν τῷ αὐτῷ, καὶ ξυμμίξας, τούτοισιν ἐγχρίειν. καὶ ἕως ἂν φλεγμαίνῃ, καταπλάσσειν τοῖσι σκορόδοισι θερμοῖσι. καὶ ἢν μὲν πρὸς ταῦτα ἀπαλλάσσηται τῆς ὀδύνης, ἀρκέετω. ἢν δὲ μὴ, πίσαι τὸ μηκώνιον τὸ λευκόν. ἢν δὲ μὴ, ἄλλο ὅ, τι φλέγμα

καθαίρειν. διαιτᾶν δὲ ἕως ἂν φλεγμαίνῃ, ῥοφήμασι κούφοισιν. Ἡ δὲ στραγγουρίη ἐπιπίπτει ἐκ τῶνδε. θερμαινομένη ἡ κύστις ἐκ τοῦ ἀρχοῦ, προσάγεται τῇ θερμότητι φλέγμα. ὑπὸ δὲ τοῦ φλέγματος, στραγγουρίη γίνεται. ἢν μὲν οὖν ἅμα τῇ νούσῳ παύηται, φιλέει γὰρ ὡς τὰ πολλὰ οὕτως γίνεσθαι. ἢν δὲ μή, δίδου τῶν φαρμάκων τῶν στραγγουρικῶν. ἢν δὲ ὁ ἀρχὸς ἐκπίπτῃ, ἀνώσας σπόγγῳ μαλθακῷ. καὶ καταχρίσας κογχλίῃ, τῶν χειρῶν δήσας, ἐκκρέμασον ὀλίγον χρόνον, καὶ εἴσεισιν. ἢν δὲ μεῖζον ἐκπέσῃ, καὶ μένῃ ἔνδον, διαζώσας ἐν τῇσι λαγόσι. καὶ ὑφεὶς ὄπισθεν ταινίῃ, ὥστε ἔσω τὸν ἀρχὸν, προσθεῖναι σπόγγον μαλθακὸν βρέξας ὕδατι θερμῷ, ἐνεψήσας λωτοῦ πρίσματα. καταχέαι δὲ καὶ κατὰ τοῦ ἀρχοῦ ἀπ' αὐτοῦ τοῦ ὕδατος, τὸν δὲ σπόγγον ἐκπιέσαι. ἔπειτα ὑποτείνας τὴν ταινίην διὰ μέσων τῶν σκελέων ἀναδῆσαι περὶ τὸν ὀμφαλόν. ὅταν δὲ θέλῃ ἀφοδεύειν, ἐπὶ σανίσιν ὡς στενοτάτοισιν ἀφοδευέτω. ἢν δὲ παιδίον ᾖ, ἐπὶ γυναικὸς τῶν ποδῶν πρὸς τὰ γούνατα προσκλιθείς. ὅταν δὲ ἀφοδεύῃ, τὰ σκέλεα ἐκτεινάτω, οὕτω γὰρ ἂν ἥκιστα ἐκπίπτοι ἡ ἕδρη. ἢν δὲ ὑγραίνηται ὁ ἀρχὸς, καὶ ἰχὼρ ἀπορρέῃ, περινίψαι τρυγὶ κεκαυμένῃ καὶ ὕδατι, ἀπὸ μυρσίνης. καὶ ἀδίαντον ξηράνας καὶ κόψας, διασήσας, κατάπασσε. ἢν δὲ αἱμορροῇ, περινίψας τοῖσιν αὐτοῖσι χαλκῖτιν καὶ πρίσμα κυπαρίσσου, ἢ κέδρου, ἢ πίτυος, ἢ τερμίνθου τρίψας, συμμίξας τῇ χαλκίτιδι ἴσον, καταπλάσσειν. τὰ ἔξωθεν δὲ κηρωτῇ παχείῃ περιαλείφειν. Ὁκόταν ἀρχὸς ἐκπίπτῃ, καὶ μὴ θέλῃ κατὰ χώρην μένειν, σίλφιον ὅτι ἄριστον καὶ πυκνότατον, ξύσας λεπτὸν καταπλάσσειν. καὶ τοῦ πταρμικοῦ φαρμάκου πρὸς τὴν ῥῖνα προσιθέναι, καὶ παροξύνειν τὸν ἄνθρωπον. ἢ ὕδατι θερμῷ περιπλύνας σίδια, καὶ στυπτηρίην τρίψας ἐν οἴνῳ λευκῷ, καταχέαι τοῦ ἀρχοῦ. ἔπειτα ῥάκεα ἐμβαλεῖν, καὶ τοὺς μηροὺς ξυνδῆσαι ἡμέρας τρεῖς. καὶ νηστευέτω. οἶνον δὲ πινέτω γλυκύν. ἢν δὲ μηδὲ οὕτω διαχωρέῃ, μίλτον μίξας ὁμοῦ μέλιτι διαχριέτω. Ἀρχὸς ἢν ἐκπίπτῃ καὶ αἱμορροῇ. Ἄρου ῥίζης περιελὼν τὸν φλοιὸν, ἑψεῖν ἐν ὕδατι. ἔπειτα τρίβειν ἄλητον ξυμμίσγων, καὶ καταπλάσσειν θερμόν. ἄλλο. Τῆς ἀμπέλου τῆς ἀγρίης, ἣν ἔνιοι καλοῦσι ψιλώθειον, τουτέης τὰς ῥίζας τὰς ἁπαλωτάτας περιξέσαντα, ἑψῆσαι ἐν οἴνῳ μέλανι ἀκρήτῳ αὐστηρῷ. ἔπειτα τρίψαντα, καταπλάσσειν χλιηρόν. ξυμμίσγειν δὲ καὶ ἄλευρα. καὶ φυρῆν ἐν οἴνῳ λευκῷ, καὶ ἐλαίῳ χλιηρῷ. ἄλλο. Κωνείου καρπὸν τρίβοντα, παραστάζειν οἶνον λευκὸν εὐώδεα. ἔπειτα καταπλάσσειν χλιηρόν. Ἢν δὲ φλεγμαίνῃ, κισσοῦ ῥίζαν ἑψήσας ἐν ὕδατι τρίψας λεῖον, ἄλευρον ξυμμίσγων ὡς κάλλιστον ἐν οἴνῳ λευκῷ φυρήσας, καταπλάσσειν, καὶ ἄλειφα πρὸς τούτοις ξυμμίξας. ἄλλο. Μανδραγόρου ῥίζαν μάλιστα μὲν χλωρήν. εἰ δὲ μή, ξηρήν. τὴν μὲν οὖν χλωρὴν ἀποπλύναντα καὶ ταμόντα, ἑψῆσαι ἐν οἴνῳ κεκρημένῳ, καὶ καταπλάσσειν. τὴν δέ γε ξηρὴν τρίψαντα, καταπλάσσειν ὁμοίως. Ἄλλο. Σικύου πέπονος τὸ ἔνδον τρίψας λεῖον καταπλάσσειν. ἢν δὲ γίνηται ὀδύνη καὶ μὴ φλεγμαίνῃ, λίτρον ὀπτήσας ἐρυθρὸν, καὶ τρίψας λεῖον, καὶ στυπτηρίην, καὶ ἅλας φώξας, καὶ τρίψας λείους, συμμίξαι ἴσον ἑκάστου. εἶτα πίσσῃ συμμίξας ὡς βελτίστῃ ἐς ῥάκος ἐναλείψας, ἐντιθέναι καὶ καταδεῖν. ἄλλο. Καππάρεως φύλλα χλωρὰ τρίψας ἐς μαρσίππιον ἐμβαλὼν προσκαταδεῖν. καὶ ἐπὴν καίειν δοκέῃς, ἀφαιρέειν καὶ αὖθις προστιθέναι. ἢν δὲ μὴ ᾖ φύλλα καππάρεως, τὸν φλοιὸν τῆς ῥίζης κόψας, φυρήσας ἐν οἴνῳ μέλανι τὸν αὐτὸν τρόπον καταδεῖν. ἔστι καὶ πρὸς σπληνῶν ὀδύνην, ἀγαθόν. τούτων τῶν καταπλασμάτων, τὰ μὲν ψύχοντα, κωλύει ῥεῖν. τὰ δὲ μαλθάσσοντα καὶ θερμαίνοντα, διαχεῖν. τὰ δὲ εἰς ἑωυτὰ ἕλκοντα, ξηραίνειν καὶ ἰσχναίνειν.

Τοῦτο δὲ τὸ νούσημα γίνεται, ὅταν χολὴ καὶ φλέγμα ἐς τοὺς τόπους
καταστηρίξῃ. ἀρχοῦ δὲ φλεγμήναντος διαχρίειν τοῖσι φαρμάκοις,
ὅπῃ ἡ ῥητίνη καὶ τὸ ἔλαιον, καὶ ὁ κηρὸς, καὶ ἡ μολύ-
βδαινα, καὶ τὸ στέαρ ὡς θερμότατον, διερ-
ρήθησαν καταπλάττεσθαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΑΙΜΟΡΡΟΙΔΩΝ.

Ἱμοῤῥοΐδων τὸ μὲν νόσημα, ὧδε γίνεται. ἐπὴν χολὴ ἢ φλέγμα ἐς τὰς φλέβας, τὰς ἐν τῷ ἀρχῷ καταστηρίξῃ, θερμαίνει τὸ αἷμα, τὸ ἐν τῇσι φλεβίοισι. θερ A μαινόμενα δὲ τὰ φλέβια ἐπισπᾶται ἐκ τῶν ἔγγιστα φλεβίων τὸ αἷμα. καὶ πληρεύμενα, ἐξοιδέει τὸ ἐντὸς τοῦ ἀρχοῦ, καὶ ὑπερίσχουσιν αἱ κεφαλαὶ τῶν φλεβίων. καὶ ἅμα μὲν ὑπὸ τῆς κόπρου διϊούσης φλώμεναι, ἅμα δὲ ὑπὸ τοῦ αἵματος ἀθροιζομένου βιαζόμεναι, ἐξακοντίζουσιν αἷμα. μάλιστα μὲν ξὺν τῷ ἀποπάτῳ. ἐνίοτε δὲ, χωρὶς τοῦ ἀποπάτου. θεραπεύειν δὲ δεῖ, ὧδε. Πρῶτον μὲν ὑπαρχέτω εἰδέναι ἐν οἵῳ χωρίῳ γίνονται. ἀρχὸν γὰρ καὶ τάμνων, καὶ ἐκτάμνων, καὶ ἀναῤῥάπτων, καὶ δέων, καὶ ἐπισήπων, ταῦτα γὰρ δοκέει δεινότατα εἶναι, οὐδὲν ἂν σίνοιο. παρασκευάσασθαι δὲ κελεύω ἑπτὰ, ἢ ὀκτὼ σιδήρεια, σπιθαμιαῖα τὸ μέγεθος. πάχος δὲ ὡσεὶ μήλης παχείης. ἐξ ἄκρου δὲ κατακάμψαι. καὶ ἐπὶ τῷ ἄκρῳ, πλατὺ ἔστω, ὡς ἐπὶ ὀβολοῦ μικροῦ. προκαθήρας δὴ φαρμάκῳ τῇ προτέρῃ. αὐτῇ δὲ ἢ ἂν ἐπιχειρέῃς καῦσαι, ἀνακλίνας τὸν ἄνθρωπον ὕπτιον. καὶ προσκεφάλαιον ὑπὸ τὴν ὀσφῦν ὑποθεὶς, ἐξαναγκάζειν ὡς μάλιστα τοῖσι δακτύλοισι τὴν ἕδρην ἔξω. ποιέειν δὲ καὶ διαφανέα τὰ σιδήρεια. καὶ καίειν ἕως ἂν ἀποξηράνῃς, καὶ ὅκως μὴ ὑπαλείψῃς. καίειν δὲ καὶ μηδεμίην ἐᾶσαι ἄκαυστον τῶν αἱμοῤῥοΐδων, ἀλλὰ πάσας ἀποκαύσεις. γνώσει δὲ οὐ χαλεπῶς τὰς αἱμοῤῥοΐδας. ὑπερέχουσι γὰρ ἐν τῷ ἐντὸς τοῦ ἀρχοῦ, οἷον ῥᾶγες πελιδναὶ, καὶ ἅμα ἐξαναγκαζομένου τοῦ ἀρχοῦ, ἐξακοντίζουσιν αἷμα. κατεχόντων δὲ αὐτὸν ὅταν καίηται, τῆς κεφαλῆς, καὶ τὰς χεῖρας ὡς μὴ κινέηται, βοάτω καιόμενος. ὁ γὰρ ἀρχὸς μᾶλλον ἐξίσχει. ἐπὴν δὲ καύσῃς, φακοὺς καὶ ὀρόβους ἑψήσας, ἐν ὕδατι τρίψας λείους, καταπλασσέτω πέντε ἢ ἓξ ἡμέρας, τῇ δὲ ἑβδόμῃ σπόγγον μαλθακὸν τάμνειν ὡς λεπτότατον. πλάτος δὲ εἶναι τοῦ σπόγγου, ὅσον ἓξ δακτύλων πάντῃ. ἔπειτα ἐπιθεῖναι ἐπὶ τὸν σπόγγον, ὀθόνιον ἴσον τῷ σπόγγῳ λεπτὸν, καὶ λεῖον, ἀλείψας μέλιτι. ἔπειτα ὑποβαλὼν τῷ δακτύλῳ τῷ λιχανῷ τῆς ἀριστερῆς χειρὸς, μέσον τὸν σπόγγον ὦσαι κάτω τῆς ἕδρης ὡς προσωτάτω. ἔπειτα ἐπὶ τὸν σπόγγον προσθεῖναι εἴριον, ὡς ἂν ἐν τῇ ἕδρῃ ἀτρεμίζῃ. διαζώσας δὲ ἐν τῇσι λαγόσι καὶ ὑφεὶς ταινίην, ἐκ τοῦ ὄπισθεν ἀναλαβὼν ἐκ τῶν σκελέων τὸν ἐπίδεσμον, ἀναδῆσαι ἐς τὸ διάζωσμα παρὰ τὸν ὀμφαλόν. τὸ δὲ φάρμακον ὃ εἶπον ἐπιδεῖτο πυκνὴν τὴν σάρκα ποιέειν, καὶ ἰσχυρὴν φῦσαι. ταῦτα δὲ δεῖ ἐπιδεῖν, μὴ ἔλασσον ἡμερῶν εἴκοσι. ῥοφέειν δὲ ἅπαξ τῆς ἡμέρης ἄλευρον, ἢ κέγχρον, ἢ τὸ ἀπὸ τῶν πιτύρων. καὶ πίνειν ὕδωρ. ἢν δὲ ἐς ἄφοδον ἵζηται, ὕδατι θερμῷ διανίζειν. λούεσθαι δὲ διὰ τρίτης ἡμέρης. Ἑτέρα θεραπεία. Ἐκβαλὼν τὴν ἕδρην ὡς μάλιστα αἰονᾶν ὕδατι θερμῷ. ἔπειτα ἀποτάμνειν τῶν αἱμοῤῥοΐδων, τὰ ἄκρα. φάρμακον δὲ προσκατασκευασθῆναι πρὸς τὴν τομὴν, τόδε. οὐρήσας ἐν χαλκείῳ ἐπίπασσον ἐπὶ τὸ οὖρον, χαλκοῦ ἄνθος ὀπτοῦ, καὶ τετριμμένου λείου. ἔπειτα διεὶς καὶ κινήσας τὸ χαλκεῖον, ξήρανον ἐν τῷ ἡλίῳ. ὅταν δὲ ξηρὸν γένηται συγξύσας τρίψον λεῖον. καὶ προσίθει τῷ δακτύλῳ. καὶ σπληνία ἐλαιώσας προσίθει. καὶ σπόγγον ἐπάνω ἐπίδει. Ἕτερος τρόπος. Προσφύεται πρὸς τῇ αἱματίτιδι τῇ κονδυλώδει, οἷον συκαμίνου καρπός. καὶ εἰ μὲν ἔξω σφόδρα ἢ ἡ κονδύλωσις, περιπέφυκεν αὐτῇ καλυπτὴρ ὁ τῆς σαρκός. καθίσας οὖν τὸν ἄνθρωπον ὀκλὰξ ἐπὶ ὅλμων δύο, σκόπει. εὑρήσεις γὰρ πεφυσημένα τὰ μεσηγὺ τῶν γλουτῶν παρὰ τὴν ἕδρην. τὸ δὲ αἷμα ἐκχωρέει ἔνδοθεν. ἢν γοῦν ἐνδιδοῖ ὑπὸ τῷ καλυπτῆρι, ἢ τὸ κονδύλωμα τῷ δακτύλῳ ἀφελεῖν, οὐδὲν γὰρ χαλεπώτερον, ἢ πρόβατον δειρομένου τὸν δάκτυλον μεταξὺ τοῦ δέρματος καὶ τῆς σαρκὸς περαίνειν. καὶ ταῦτα διαλεγόμενος, ἅμα λάνθανε ποιέων. ἐπὴν δὲ ἀφέλῃς τὸ κονδύλωμα, ἀνάγκη ῥέεσθαι δρόμους αἵματος ἀπὸ πάσης τῆς ἀφαιρέσιος. τάχα χρὴ ἀποπλῦναι, οἴνῳ αὐστηρῷ κηκίδας ἐναποβρέξας. καὶ ἥτε αἱματῖτις οἰχήσεται σὺν τῷ κονδυλώματι, καὶ τὸ κάλυμμα καταστήσεται. καὶ ὅσῳ ἂν παλαιότερον ἢ, ῥηϊδίως ἔσται ἡ ἴησις. Ἢν δὲ ἀνώτερος ἢ ἡ κονδύλωσις, τῷ κατοπτῆρι σκέπτεσθαι. καὶ μὴ ἐξαπατᾶσθαι ὑπὸ τοῦ κατοπτῆρος. διηγούμενος γὰρ ὁμαλύνει τὴν κονδύλωσιν. ξυναγόμενος δὲ πάλιν, δείκνυσιν ὀρθῶς. ἀφαιρέειν δὲ χρὴ, ἐλλεβόρῳ μέλανι ὑπαλείφοντα τὸν δάκτυλον. ἔπειτα τριταίῳ οἴνῳ κλύζειν αὐστηρῷ. τὸ δὲ αἷμα ὅταν ἀφέλῃς, τὴν κονδύλωσιν ὅτι οὐ ῥέει μὴ θαυμάζειν. οὐδὲ γὰρ ἢν ἐν τοῖσιν ἄρθροισι

διατάμῃς

διατάμῃς τὰς χεῖρας ἢ τὰ σκέλεα, οὐ ῥεύσεται αἷμα. ἢν δ' ἄνωθεν ἢ κάτωθεν τάμῃς τῶν ἄρθρων, εὑρήσεις κοίλας φλέβας καὶ αἱμόῤῥους. καὶ χαλεπῶς ἂν ἴσχοις εὐπόρως. οὕτω καὶ τὴν ἐν τῇ ἕδρῃ αἱμοῤῥοΐδα, ἢν μὲν ἄνωθεν ἢ κάτωθεν τάμῃς, τῆς ἀφαιρέσιος τοῦ κονδυλώματος, αἷμα ῥεύσεται. ἢν δὲ αὐτὴν ἀφέλῃς τὴν κονδύλωσιν ἐν τῇ προσφύσει, οὐ ῥεύσεται. ἢν μὲν οὖν οὕτω καθίσταται, καλῶς ἂν ἔχοι. ἢν δὲ μὴ, καῦσαι, φυλασσόμενος ὡς μὴ ἅψῃ τῷ σιδήρῳ, ἀλλ' ἐγγὺς προσφέρων τὰ σιδήρια ἀποξηραίνειν, καὶ προστιθέναι τὸ τοῦ χαλκοῦ ἄνθος τὸ ἐν τῷ οὔρῳ. Ἕτερος τρόπος ἴησιος αἱμοῤῥοΐδων. Καυστῆρα χρὴ ποιήσασθαι, οἷον καλαμίσκον φαρμακίτην. σιδήρεον δὲ ἐναρμόσαι καλῶς ἁρμόζον. ἔπειτα τὸν αὐλίσκον ἐνθεὶς ἐς τὴν ἕδρην, διαφαῖνον τὸ σιδήρεον καθιέναι. καὶ πυκνὰ ἐξαιρέειν, ἵνα μᾶλλον ἀνέχηται θερμαινόμενος. καὶ οὔτε ἕλκος ἕξει ὑπὸ τῆς θερμασίης, ὑγιέα τε ξηρανθέντα τὰ φλέβια. ἢν δὲ βούλῃ μήτε καίειν, μήτε ἀποτάμνειν, προκαταιονήσας ὕδατι πολλῷ θερμῷ, καὶ ἐκτρέψας τὴν ἕδρην, σμύρναν τρίψας λείην, καὶ κηκίδα, καὶ στυπτηρίην αἰγυπτίην, κατακαύσας ἓν καὶ ἥμισυ πρὸς τ' ἄλλα, καὶ μελαντηρίοισιν ἄλλο τοσοῦτον, τουτέοισι ξηροῖς χρῆσθαι. ἡ δὲ αἱμοῤῥοῒς τουτέοισι τοῖσι φαρμάκοισιν ἀποστήσεται, ὥσπερ σκύτος κατακεκαυμένον. ταῦτα ποιέειν μέχρις ἂν πάσας ἀφανίσῃς. καὶ χαλκίτιδος ἥμισυ κεκαυμένον τωὐτὸ ἀπεργάζεται. ἢν δὲ βούλῃ βαλάνοισιν ἰῆσθαι. σηπίης ὄστρακον. μολυβδαίνης τρίτον μέρος. ἄσφαλτον. στυπτηρίην. ἄνθος ὀλίγον. κηκίδα. χαλκοῦ ἰὸν ὀλίγον. τουτέων μέλι ἑφθὸν καταχέας, βάλανον ποιήσας μακροτέρην, προστίθει, μέχρις ἂν ἀφανίσῃς. Γυναικείην αἱμοῤῥοΐδα, ὧδε θεραπεύειν. πολλῷ ὕδατι θερμῷ αἰονήσας, συνέψε δὲ ἐν τῷ θερμῷ τῶν εὐωδέων τρίψας μυρσίνην, λιθάργυρον ὀπτὴν, καὶ κηκίδα, οἶνον λευκὸν παράχεε, καὶ ἔλαιον, καὶ χηνὸς στέαρ, τρίψας ὁμοῦ πάντα. διδόναι ὁκόταν αἰονηθῇ, διαχρίεσθαι. αἰονᾶν δὲ καὶ τὴν ἕδρην ἐξώσας ὡς μάλιστα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΟΨΙΟΣ.

Ὄψιες αἱ διεφθαρμέναι, αὐτόματοι μὲν κυανίτιδες γιγνόμεναι, ἐξαπίνης γίνονται. καὶ ἐπειδὰν γένωνται, οὐκ ἔστιν ἴησις τοιαύτη. αἱ δὲ θαλασσοειδέες A γιγνόμεναι κατὰ μακρὸν, ἐν πολλῷ χρόνῳ διαφθείρονται. καὶ πολλάκις ὁ ἕτερος ὀφθαλμὸς, ἐν πολλῷ χρόνῳ ὕστερον διεφθάρη. τουτέου δὲ χρὴ καθαίρειν τὴν κεφαλὴν, καὶ καίειν τὰς φλέβας. κἢν ἀρχόμενος θεραπευθῇ ταῦτα, ἵσταται τὸ κακὸν, καὶ οὐ χωρέει ἐπὶ τὸ φαυλότερον. αἱ δὲ μεταξὺ τῆς τε κυανίτιδος καὶ τῆς θαλασσοειδέος, ἢν μὲν νέῳ ἐόντι γένωνται, πρεσβυτέρῳ γενομένῳ καθίστανται. ἢν δὲ πρεσβυτέρῳ ἐόντι γίγνωνται ἐτέων ἑπτὰ, βέλτιον ὁρῇ. τὰ μεγάλα δὲ πάνυ καὶ λαμπρὰ, καὶ ἀπὸ πρόσθεν ὁρῇ μὲν, σαφῶς δὲ οὔ. καὶ ὅ, τι ἂν πάνυ πρὸς ἑωυτὸν τὸν ὀφθαλμὸν προσθῇ, καὶ τοῦτο, ἄλλο δὲ οὐδέν. ξυμφέρει δὲ τουτέῳ κάθαρσίς τε καὶ καῦσις τῆς κεφαλῆς. αἷμα δὲ τουτέοισιν, οὐ ξυμφέρει ἀφιέναι, οὔτε τῇ κυανίτιδι, οὔτε τῇ θαλασσοειδεῖ. καὶ τὸ ὄμμα ἐν τοῖσιν ὀφθαλμοῖσι, τῆς ὄψιος ὑγιέος οὔσης τῶν νεωτέρων ἀνθρώπων, ἤν τε θήλεια ἢ ἤν τ' ἄρσην, οὐκ ἂν ὠφελέοις ποιέων οὐδὲν, ἕως ἂν αὔξηται τὸ σῶμα ἔτι. ὅταν δὲ μηκέτι αὐξάνηται, αὐτέῳ τῷ ὀφθαλμῷ σκεψάμενος τὰ βλέφαρα λεπτύνειν, ξύων, ἢν δοκέῃ προσδέεσθαι καὶ ἐπικαίων ἔνδοθεν μὴ διαφανέσιν. ἔπειτα ἀναδήσας τὰ σκέλεα ἐκτείνας, δίφρον ὑποθεὶς ἀφ' οὗ στηρίζεται τῇσι χερσί. μέσον δέ τις ἐχέτω. ἔπειτα διασημήνασθαι τὰς νωτιαίας φλέβας, σκοπεῖν δὲ ὄπισθεν. ἔπειτα καίειν παχέσι σιδήροισι. καὶ ἡσυχίῃ διαθερμαίνειν, ὅκως ἂν μὴ ῥαγῇ αἷμα καίοντι. προαφιέναι δὲ τοῦ αἵματος ἢν δοκέῃ καιρὸς εἶναι. καίειν δὲ πρὸς τὸ ὀστέον ὄπισθεν, ἔπειτα ἐνθεὶς σπόγγον ἠλαιωμένον ἐγκατακαίειν, πλὴν τοῦ πάνυ πρὸς αὐτῷ τῷ ὀστέῳ. ἢν δὲ προσδέχηται τῷ καυστηρίῳ τὸν σπόγγον, ἕτερον λιπαρώτερον ἐνθεὶς, ἐγκατακαίειν. ἔπειτα τοῦ ἄρου ἐν μέλιτι δεύων, ἐντιθέναι τῇσιν ἐσχάρῃσιν. ὅταν δὲ φλέβα παρακαύσῃς, ἢ διακαύσῃς, ἐπειδὰν ἐκπέσῃ ἡ ἐσχάρη, ὁμοίως τέταται ἡ φλὲψ, καὶ πεφύσηται. καὶ πλήρης φαίνεται. καὶ σφύζει ὅτε κάτωθεν τὸ ἐπιῤῥέον. ἢν δὲ διακεκαυμένος ᾖ ὁ κάτωθεν, ταῦτα πάντα ἧσσον πάσχει. διακαίειν δὲ χρὴ αὖθις, ἢν μὴ τὸ πρότερον διακαύσῃς. τά τε σπόγγια χρὴ ἰσχυρῶς ἐγκατακαίειν, πρὸς τῆς ῥεούσης φλεβὸς μᾶλλον. αἱ ἐσχάραι αἱ μᾶλλον ὀπτηθεῖσαι, τάχε ἐκπί-

πίπτουσιν. αἱ καιόμεναι οὐλαὶ πρὸς τὸ ὀστέον καλλίονες γίνονται. ἐπειδὰν δὲ τὰ ἕλκεα ὑγιέα γίνωνται, αὖθις ἀναφυσῶνται καὶ ἐπαίρονται. καὶ ἐρυθραί εἰσι παρὰ τὸ ἄλλο. καὶ ὥσπερ ἀναιρεθησόμεναι φαίνονται, ἕως ἂν χρόνος ἐπιγένηται. καὶ κεφαλῆς καυθείσης καὶ στήθεος. ὁμοίως δὲ καὶ παντὶ τῷ σώματι ὅκου ἂν καυθῇ. ὅταν δὲ ξύῃς βλέφαρα ὀφθαλμοῦ, ξύειν ἐρίῳ μηλησίῳ, οὔλῳ, καθαρῷ, περὶ ἄτρακτον περιειλῶν αὐτὴν τὴν στεφάνην τοῦ ὀφθαλμοῦ φυλασσόμενος, μὴ διακαύσῃς πρὸς τὸν χόνδρον. σημεῖον δὲ ὅταν ἀπόχρῃ τῆς ξύσιος, οὐκ ἔτι λαμπρὸν αἷμα ἐξέρχεται, ἀλλὰ ἰχὼρ αἱματώδης, ἢ ὑδατώδης. τότε δὲ χρὴ τινὶ τῶν ὑγρῶν φαρμάκων, ὅκου ἄνθος ἔνι χαλκοῦ, τούτῳ ἀνατρῖψαι. ὕστερον δὲ τὸ τῆς ξύσιος, καὶ τὸ τῆς καύσιος, ὅταν αἱ ἐσχάραι ἐκπέσωσι, καὶ κεκαθαρμένα ᾖ τὰ ἕλκεα καὶ βλαστάνῃ, τάμνειν τομὴν διὰ τοῦ βρέγματος. ὅταν δὲ τὸ αἷμα ἀποῤῥυῇ, χρὴ διαχρίειν τῷ ἐναίμῳ φαρμάκῳ. ὕστερον δὲ τούτου ἔργον καὶ πάντων τὴν κεφαλὴν καθῆραι. τὰ βλέφαρα τὰ παχύτερα τῆς φύσιος τὸ κάτω ἐκταμὼν, τὴν σάρκα ὁκόσην δυνατὸν μάλιστα, διὰ ταῦτα ὕστερον δὲ τὸ βλέφαρον ἐπικαῦσαι, μὴ διαφανέσι, φυλασσόμενος τὴν φύσιν τῶν τριχῶν, ἢ τῷ ἄνθει ὀπτῷ λεπτῷ προσεῖλαι. ὅταν δὲ ἀποπέσῃ ἡ ἐσχάρα, ἰητρεύειν τὰ λοιπά. ὁκόταν δὲ βλέφαρα ψωριᾷ, καὶ κνησμὸς ἔχῃ, ἄνθος χαλκοῦ βάλλιον πρὸς ἀκόνην τρίψας, ἔπειτα τὸ βλέφαρον ἀποτρίψας αὐτέου, καὶ τότε τὰ φολίδια τοῦ χαλκοῦ τρίβειν ὡς λεπτότατα. ἔπειτα χυλὸν ὄμφακος διηθημένον παραχέας καὶ τρίψας λεῖον. τὸ δὲ λοιπὸν ἐν χαλκῷ ἐρυθρῷ παραχέων, κατ' ὀλίγον ἀνατρίβειν, ἕως ἂν πάχος γένηται ὡς μυλωτός. ἔπειτα ἐπειδὰν ξηρανθῇ τρίψας λεῖον, χρῆσθαι. νυκτάλωπος φάρμακον πινέτω ἐλατήριον. καὶ τὴν κεφαλὴν καθαιρέσθω. καὶ κατάξας τὸν αὐχένα ὡς μάλιστα, πιέσας πλεῖστον χρόνον. ἐπανιεὶς δὲ διδόναι ἐν μέλιτι βάπτων ἧπαρ βοὸς ὠμὸν καταπιεῖν μέγιστον ὡς ἂν δύνηται, ἐν ἢ δύο. ἢν τινι οἱ ὀφθαλμοὶ ὑγιέες ἐόντες διαφθείροιεν τὴν ὄψιν, τούτεῳ χρὴ ταμόντα κατὰ τὸ βρέγμα ἐπαναδείραντα, ἐκπρίσαντα τὸ ὀστέον, ἀφελόντα τὸν ὕδρωπα, ἰῆσθαι. καὶ οὕτως ὑγιέες γίνονται. ὀφθαλμίης τῆς ἐπετείου καὶ ἐπιδημίου, ξυμφέρει κάθαρσις κεφαλῆς, καὶ τῆς κάτω κοιλίης. καὶ εἰ ἔχοι τὸ σῶμα, αἵματος ἀφαίρεσις ξυμφέρει πρὸς ἔνια τῶν τοιούτων ἀλγημάτων. καὶ σικύαι κατὰ τὰς φλέβας. σῖτος ὀλίγος ἄρτος, καὶ ὕδατος πόσις. κατακεῖσθαι δὲ ἐν σκότῳ, ἀπό τε καπνοῦ, καὶ πυρὸς, καὶ τῶν ἄλλων λαμπρῶν, πλαγίων. ἄλλοτε μὲν τὰ δεξιὰ, ἄλλοτε ἐπ' ἀριστερά. μὴ τέγγειν τὴν κεφαλὴν ἐπειδὴ οὐ ξυμφέρει. κατάπλασμα ὀδύνης μὴ ἐνιούσης, ἀλλ' ὡς ῥεύματος ἐπέχοντος οὐ συμφέρει. οἱ δηγμάτων ἀνωδύνων, καὶ μετὰ τὰ δριμέα φάρμακα τῆς ὀδύνης ἐπαλειφόμενα, ἐπειδὰν ἤτε ὀδύνη παύσηται, καὶ διαχωρισθῇ μετὰ τὴν ἐπάλειψιν τοῦ φαρμάκου, τότε σύμφερει καταπλάσσειν τῶν καταπλασμάτων ὅ, τι ἄν σοι δοκέῃ ξυμφέρειν. οὐδὲ διαβλέπειν ξυμφέρει πουλὺν χρόνον. δάκρυον γὰρ προκαλέεται οὐ δυνάμενος ὁ ὀφθαλμὸς πονέειν πρὸς τὰ λαμπρὰ, ἀλλ' οὐδὲ ξυμμύειν πουλὺν χρόνον, ἢν ἔχῃ ῥεῦμα θερμὸν μάλιστα. θερμαίνει γὰρ τὸ δάκρυον ἰσχόμενον. ῥεύματος δὲ μὴ ἔχοντος μετά γε τοῦ ξηροῦ, τὴν ἐπάλειψιν ξυμφέρει ποιέεσθαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΕΠΙΣΤΟΛΑΙ

Βασιλεὺς βασιλέων μέγας Ἀρταξέρξης Παίτῳ χαίρειν.

Νοῦσος προσπέλασεν, ἡ καλουμένη λοιμικὴ τοῖς στρατεύμασιν ἡμῶν. καὶ πολλὰ πολλάκις ποιησάντων ἡμέων, ἐνδόσιν οὐκ ἔδωκεν. ὅθεν ἀξιῶ παντοίως, καὶ

N πάσαις ταῖς παρ' ἐμοῦ διδομέναις δωρεαῖς, ἤτι τῶν ἐκ φύσιός σου ἐπινοημάτων, ἤτι τῶν ἐκ τέχνης πρήξεων, ἤ τινος ἑτέρου ἀνδρὸς ἑρμηνείην δυναμένου ἰήσασθαι, πέμπε τάχος μάσιξεν ἀξιῶ τὸ πάθος. ἄλωκε γὰρ κατὰ τὸν ὄχλον, ὃ πολὺς ἄλυς, πνεῦμα μέγα καὶ πυκνὸν ἔχων. οὐ πολεμοῦντες, πολεμούμεθα, ἐχθρὸν ἔχοντες τὸν θῆρα, λημαινόμενον τὰ ποίμνια. τέτρωκε πολλούς. δυσιάτους ἐποίησε. πικρὰ βέλη βελῶν καταπέμπει. οὐ φέρω γνώμην. οὐκ ἔτι ἔχω μετ' ἀνδρῶν γονίμων βουλεύσασθαι. λῦε ταῦτα πάντα, μὴ διαλείψας ἀγαθῇ συνηθείῃ. ἔῤῥωσο.

Παῖτος Βασιλεῖ Βασιλέων τῷ μεγάλῳ Ἀρταξέρξῃ χαίρειν.

Τὰ φυσικὰ βοηθήματα, οὐ λύει τὴν ἐπιδημίαν λοιμικοῦ πάθους. ἃ δὲ ἐκ φύσεως γίγνεται νοσήματα, αὕτη ἡ φύσις ἰᾶται κρίνουσα. ὅσα δὲ ἐξ ἐπιδημίας, τέχνη, τεχνικῶς κρίνουσα τὴν τροπὴν τῶν σωμάτων. Ἱπποκράτης δὲ ἰητρὸς, ἰῆται τοῦτο τὸ πάθος. τὸ γένος μὲν οὖν ἐστι Δωριεύς. πόλεως δὲ Κῶ. πατρὸς δὲ Ἡρακλείδα τοῦ Ἱπποκράτους, τοῦ Γνωσιδίκου. τοῦ Νέβρου. τοῦ Σωστράτου. τοῦ Θεοδώρου. τοῦ Κλεομυττάδα. τοῦ Κρισάμιδος. οὗτος θείᾳ φύσει κέχρηται. καὶ ἐκ μικρῶν καὶ ἰδιωτικῶν, εἰς μεγάλα καὶ τεχνικὰ προήγαγε τὴν ἰητρικήν. γίνεται μὲν οὖν ὁ θεῖος Ἱπποκράτης. ἔνατος μὲν ἀπὸ Κρισάμιδος τοῦ βασιλέως. ὀκτωκαιδέκατος δὲ ἀπὸ Ἀσκληπιοῦ. εἰκοστὸς δὲ ἀπὸ Διός. μητρὸς δὲ Πραξιθέας, τῆς Φαιναρέτης, ἐκ τῆς οἰκίας τῶν Ἡρακλειδῶν. ὥστε κατ' ἀμφότερα τὰ σπέρματα, θεῶν ἀπόγονός ἐστιν ὁ θεῖος Ἱπποκράτης. πρὸς μὲν πατρὸς, Ἀσκληπιάδης ὤν. πρὸς δὲ μητρὸς, Ἡρακλείδης. ἔμαθε δὲ τὴν τέχνην, παρά τε τῷ πατρὶ Ἡρακλείδῃ, καὶ παρὰ τῷ πάππῳ Ἱπποκράτει. ἀλλὰ παρὰ μὲν τούτοις, ὡς εἰκὸς, τὰ πρῶτα ἐμυήθη τῆς ἰητρικῆς, ὅσα πίθανον ἦν καὶ τούτους εἰδέναι. τὴν δὲ σύμπασαν τέχνην, αὐτὸς ἑαυτὸν ἐδίδαξεν. θείᾳ φύσει κεχρημένος. καὶ τοσοῦτον ὑπερβεβηκὼς τῇ τῆς ψυχῆς εὐφυΐᾳ τοὺς προγόνους, ὅσον διενήνοχεν αὐτῶν, καὶ τῇ τῆς τέχνης ἀρετῇ. καθαίρει δὲ οὐ θηρίων μὲν γένος. θηριωδῶν δὲ νοσημάτων καὶ ἀγρίων πολλὴν γῆν καὶ θάλατταν, διασπείρων πανταχόθεν, ὥσπερ ὁ Τριπτόλεμος τὰ τῆς Δήμητρος σπέρματα, τὰ τοῦ Ἀσκληπιοῦ βοηθήματα. τοιγαροῦν ἐνδικώτατα καὶ αὐτὸς ἀνιδρῶται πολλαχοῦ τῆς γῆς. ἠξίωταί τε τῶν αὐτῶν Ἡρακλεῖ τε καὶ Ἀσκληπιῷ ὑπὸ Ἀθηναίων δωρεῶν. αὐτὸν μεταπέμψαι κέλευσον, ἀργύριον καὶ χρυσίον ὅσον ἂν βούληται δώσειν αὐτῷ. οὗτος γὰρ ἐπίσταται οὐχ ἕνα τρόπον τῆς ἰήσιος τοῦ πάθους. οὗτος πατὴρ ὑγείας. οὗτος σωτήρ. οὗτος ἀκεσωδύνος. οὗτος ἁπλῶς ἡγεμὼν τῆς θεοπρεποῦς ἐπιστήμης. ἔρρωσο.

Βασιλεὺς Βασιλέων μέγας Ἀρταξέρξης Ὑστάνει Ἑλλησπόντου ὑπάρχῳ.

Ἱπποκράτους ἰητροῦ κλέος, ἀπὸ Ἀσκληπιοῦ γεγονότος, καὶ ἐς ἐμὲ κλέος ἀφῖκται τῆς τέχνης. δὸς οὖν αὐτῷ χρυσὸν ὁκόσον ἂν βούληται. καὶ τὰ ἄλλα χύδην ὧν σπανίζει. καὶ πέμπε ἐς ἡμέας. ἔσται γὰρ ἰσότιμος Περσέων τοῖς ἀρίστοις. καὶ εἴ τις ἐστὶν ἄλλος ἀνὴρ κατ' Εὐρώπην ἀγαθὸς, φίλον οἴκῳ βασιλέως τίθεσο, μὴ φειδόμενος ὄλβου. ἄνδρας γὰρ εὑρεῖν δυναμένους τι κατὰ συμβουλίην, οὐ ῥηΐδιον. ἔρρωσο.

Ὑστάνης ὕπαρχος Ἑλλησπόντου Ἱπποκράτει Ἀσκληπιαδῶν ὄντι ἀπογόνῳ χαίρειν.

Βασιλεὺς μέγας Ἀρταξέρξης σοῦ χρήζων, ἔπεμψε πρὸς ἡμέας ὑπάρχους. κελεύων σοι ἀργύριον καὶ χρυσὸν, καὶ τὰ ἄλλα χύδην, ὧν σπανίζεις, καὶ ὅσα βούλει διδόναι. καὶ πέμπειν πρὸς ἑωυτὸν ἐν τάχει. ἔσεσθαι γὰρ Περσέων τοῖς ἀρίστοις ἰσότιμον. σὺ οὖν παραγίνου ξυντόμως. ἔρρωσο.

Ἱπποκράτης ἰητρὸς Ὑστάνει Ἑλλησπόντου ὑπάρχῳ χαίρειν.

Πρὸς τὴν ἐπιστολὴν ἣν ἔπεμψας φάμενος παρὰ βασιλέως ἀφῖχθαι, πέμπε βασιλεῖ ἃ λέγω, γράφων ὅτι τάχος. ὅτι καὶ τροφῇ, καὶ ἐσθῆτι, καὶ οἰκήσει, καὶ πάσῃ τῇ ἐς βίον ἀρκεούσῃ οὐσίῃ χρεόμεθα. Περσέων δὲ ὄλβου, οὔ μοι θέμις ἐπαύρασθαι. οὐδὲ βαρβάρους ἄνδρας, νούσων παύειν, ἐχθροὺς ὑπάρχοντας Ἑλλήνων. ἔρρωσο.

Ἱπποκράτης Δημητρίῳ ὑγιαίνειν.

Βασιλεὺς Περσέων ἡμέας μεταπέμπεται, οὐκ εἰδὼς ὅτι λόγος ἐμοὶ σοφίης χρυσοῦ πλέον δύναται. ἔρρωσο.

Βασιλεῖ Βασιλέων τῷ ἐμῷ μεγάλῳ δεσπότῃ Ἀρταξέρξῃ Ὑστάνης Ἑλλησπόντου ὕπαρχος χαίρειν.

Ἣν ἔπεμψας ἐπιστολὴν, λέγων πέμψαι Ἱπποκράτει Κῴῳ, ἀπὸ Ἀσκληπιαδῶν γεγονότι, ἔπεμψα. καὶ παρ' αὐτοῦ δὲ ἐκομισάμην ἀπόκρισιν, ἣν γράψας ἔδωκε, καὶ ἐκέλευσεν εἰς τὸν οἶκον πέμπειν. φρόντιζε οὖν ἀπέσταλκα σοι φάναι γυμνάσθεν διευτύχει. ἔρρωσο.

Βασιλεὺς βασιλέων μέγας Ἀρταξέρξης Κῴοις τάδε λέγει.

Ὅτι ἐμοῖς ἀγγέλοις Ἱπποκράτην ἰητρὸν ἱκανοὺς τρόπους ἔχοντα, καὶ ἐς ἐμὲ καὶ ἐς
Δ Πέρσας ἀσελγαίνοντα, εἰ δὲ μὴ, γνώσεσθε ὅτι τῆς πρώτης ἁμαρτίας τιμωρίαν τίσοντες. διαιώσας γὰρ τὴν ὑμετέρην πόλιν, καὶ νῆσον καταποντώσας, ἐς πέλαγος ποιήσω, μηδὲ ἐς τὸν ἐπίλοιπον χρόνον γνῶναι, εἰ ἦν ἐπὶ τούτῳ τῷ τόπῳ νῆσος, ἢ ἡ πόλις Κῶ.

Ἀπόκρισις Κῴων.

Δόξε τῷ δήμῳ, ἀρνεῖσθαι τοῖς παρὰ Ἀρταξέρξου ἀγγέλοις, ὅτι Κῷοι οὐδὲν ἀνά-
E ξιον πράξουσιν, οὔτε Μέροπος, οὔτε Ἡρακλέους, οὔτε Ἀσκληπιοῦ, ὧν εἵνεκεν πάντες οἱ πολῖται, οὔτε διώσουσιν Ἱπποκράτεα, οὐδὲ εἰ μέλλοιεν ὀλέθρῳ τῷ κακίστῳ ἀπόλλυσθαι. καὶ γὰρ Δαρείου καὶ Ξέρξου τῶν πατέρων ὑποβολὰς γραψάντων γαῖαν καὶ ὕδωρ αἰτεόντων, οὐκ ἔδωκεν ὁ δῆμος, ὁρέων αὐτοὺς ὁμοίως τοῖς ἄλλοις ἀνθρώποις θνητοὺς ἐόντας, ἐπ' αὐτοὺς ἰόντας. καὶ νῦν ταὐτὰν αὐτὰν ἀπόκρισιν δίδοι ἀπὸ Κῴων, ἀναχωρέετε, ὅτι Ἱπποκράτην οὐ δίδοντι ἔκδοτον. ἀπαγγέλλετε οὖν αὐτῷ οἱ ἄγγελοι, ὅτι οὐδ' οἱ θεοὶ ἀμελήσουσιν ἁμέων.

Ἀβδηριτῶν ἡ βουλὴ καὶ ὁ δῆμος Ἱππο-
κράτει χαίρειν.

Ἰνδυνεύεται τὰ μέγιστα τῇ πόλει νῦν Ἱπποκράτης ἀνὴρ ἡμετέρων, ὃς καὶ τῷ παρόν-
K τι χρόνῳ καὶ τῷ μέλλοντι ἀεὶ κλέος ἤλπιζεν τῇ πόλει. μὴ δὲ νῦν δέ, ὦ πάντες θεοὶ φθονηθείη. οὕτως ὑπὸ πολλῆς τῆς κατεχούσης αὐτὸν σοφίης νενόσηκεν, ὥστε φόβος οὐχ ὁ τυχὼν ἂν φθαρῇ τὸν λογισμὸν Δημόκριτος, ὄντως δὴ τὴν πόλιν ἡμῶν Ἀβδηριτῶν καταλειφθήσεσθαι. ἐκλαθόμενος γὰρ ἁπάντων, καὶ ἑωυτοῦ πρότερον ἐγρηγορὼς, καὶ νύκτα καὶ ἡμέρην γελῶν ἕκαστα μικρὰ καὶ μεγάλα, καὶ μηδὲν οἰόμενος εἶναι τὸν βίον ὅλον διατελεῖ. γαμεῖ τις, ὁ δὲ ἐμπορεύεται. ὁ δὲ δημογορεῖ. ἄλλος ἀρχεῖ. πρεσβεύει. χειροτονεῖται, ἀποχειροτονεῖται. νοσεῖ. τιτρώσκεται. τέθνηκεν. ὁ δὲ γελᾷ πάντα. τοὺς μὲν κατηφέας τε καὶ σκυθρωπούς, τοὺς δὲ χαίροντας ὁρῶν. ζητεῖ δὲ ὁ ἀνὴρ, καὶ περὶ τῶν ἐν ᾅδου. καὶ γράφει ταῦτα. καὶ εἰδώλων φησὶ πλήρη τὸν ἠέρα εἶναι. καὶ ὀρνέων φωνὰς ὑπακούειν. καὶ πολλάκις νύκτωρ ἐξαναστὰς, μόνος ἡσυχῇ ᾠδὰς ᾄδοντι ἔοικε. καὶ ἀποδημεῖν ἐνίοτε λέγει, ἐς τὴν ἀπειρίην, καὶ Δημοκρίτους εἶναι ὁμοίως ἑωυτῷ ἀναριθμήτους. καὶ συνδιεφθορὼς τῇ γνώμῃ, τὸ χρῶμα ζῇ. ταῦτα φοβούμεθα Ἱππόκρατες. ταῦτα ταραττόμεθα. ἀλλὰ σῶζε. καὶ ταχὺς ἐλθὼν νουθετήσων τὴν πατρίδα μὴ δὲ ἡμᾶς ἀποβάλῃς, καὶ γὰρ οὐδὲ ἀπόβλητοί ἐσμεν, καὶ ἐν ἡμῖν μαρτυρία κεῖται. οὐκ ἂν ἁμάρτοις, οὔτε δόξης τῆς ἐπ' αὐτῷ προσωφεληθέντι, οὔτε χρημάτων, οὔτε παιδείας. καίτοι τὰ παιδείης, πολλῷ σοι βελτίω τῶν τῆς τύχης. ἀλλ' οὖν καὶ ταῦτα συχνὰ παρ' ἡμῶν, καὶ ἄφθονα γενήσεται. τῆς γὰρ Δημοκρίτου ψυχῆς, ἀλλ' οὐδ' εἰ χρυσὸς ἦν ἡ πόλις, ἀντάξια βουλήσιος. οὐδ' ὁτιοῦν ἀφυστερήσαντα τοὺς νόμους ἡμῶν δοκοῦμεν νοσεῖν Ἱππόκρατες τοὺς νόμους παρακόπτειν. ἴθι θεραπεύσων ἄνδρα φέριστε, ἄνδρα ἀείσημον. οὐκ ἰατρὸς, ἀλλὰ κτίστης ἐὼν ὅλης τῆς Ἰωνίης. περιβαλλῶν ἡμῖν ἱερώτερον τεῖχος. πόλιν, οὐκ ἄνδρα θεραπεύσεις. βουλὴν δὲ νοσοῦσαν καὶ κινδυνεύουσαν ἀποκλεισθῆναι, μέλλοις ἀνοιγνῦναι αὐτὸς νομοθέτης. αὐτὸς δικαστής. αὐτὸς ἄρχων. αὐτὸς σωτήρ. καὶ τούτων τεχνίτης ἀφίξῃ. ταῦτά σε προσδεχόμεθα Ἱππόκρατες ταῦτα καὶ γένοιο ἐλθών. μία πόλεως οὐκ ἄσημος μᾶλλον δὲ ἡ Ἑλλὰς ὅλη, δεῖταί σου φυλάξαι σῶμα σοφίης. αὐτὴν δὲ δόκει παιδείαν πρεσβεύειν πρὸς σὲ τῆς παρακοπῆς ταύτης ἀπαλλαγῆναι δεομένην. ξυγγενὲς μὲν οὖν ὡς ἔοικε πᾶσιν σοφία. τοῖς δ' ἐγγυτέρω κεχωρηκόσιν αὐτῆς ὥσπερ ἡμῖν, καὶ μάλα πλέον εὖ ἴσθι χρεῖα. καὶ τῷ μέλλοντι αἰῶνι μὴ περικλιπὼν Δημόκριτον ἧς ἐλπίζει προτερήσειν ἀληθείης. σὺ γὰρ Ἀσκληπιῷ προσπέπλεξαι γένος καὶ τέχνην. ὁ δὲ Ἡρακλέους ἐστὶν ἀδελφιδοῦς. ἀφ' οὗ Ἄβδηρος, ὥσπερ πυθάνῃ πάντως, ὧ ἐπώνυμος ἡ πόλις. ὥστε κἀκείνῳ χάρις, ἡ Δημοκρίτου γένοιτ' ἂν ἴησις. ὁρῶν οὖν ὦ Ἱππόκρατες ἐς ἀναισθησίαν ἀπορρέοντα καὶ δῆμον καὶ ἄνδρα ἀείσημον, σπεῦδε πρὸς ἡμέας δεόμεθα. φεῦ ὡς καὶ τὰ ἀγαθὰ περιπλεονάζοντα, νόσοι τυγχάνουσιν. ὁ Δημόκριτος γὰρ ὅσον ὑπερώδηπρὸς ἄκρα σοφίης, ἴσα κινδυνεύει νῦν, ἀποπληξία διανοίας, καὶ ἠλιθιότητι κεκακῶσθαι. οἱ δ' ἄλλοι ὅσοι πολλοὶ δ' εἰσὶν Ἀβδηριτῶν

μένοντες

μεῖναντες ἐν ἀπολελυσίῃ, τὸν γε κοινὸν κατέχουσι νοῦν. ἀλλὰ νῦν γε φρονιμώτεροι νόσον σφῶ κεῖνευ, οἱ πρὶν ἄφρονες. ἴθι οὖν μετὰ Ἀσκληπιοῦ πατρός. ἴθι μετὰ Ἡρακλέους, θυγατρὸς Ἠπιόνης. ἴθι μετὰ παίδων τῶν ἐπὶ Ἴλιον στρατευσαμένων. ἴθι νῦν παιώνια νόσου φέρων ἄκη. εὐκαρπίσει δὲ γῆ ῥίζας καὶ βοτάνας ἀλεξιφάρμακα μανίης ἄνθη. σχεδὸν οὖν οὐδέποτε γονιμώτερον εὐφορήσουσιν, οὔτε γῆ, οὔτε ὀρῶν ἀκρώρειαι, ἢ νῦν Δημοκρίτου τὰ πρὸς ὑγείαν. ἔρρωσο.

Ἱπποκράτης Ἀβδηριτέων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν.

Πολίτης ὑμέων Ἀμελησαγόρης ἦλθεν εἰς Κῶ, καὶ ἔτυχε τότ' ἐοῦσα τῆς ῥάβδου ἡ ἀνάληψις ἐν ἐκείνῃ τῇ ἡμέρῃ, καὶ ἐτήσιος ἑορτή. ὡς ἴστε πανήγυρις ἡμῖν. καὶ πομπὴ πολυτελής, ἣν κυπαρίσσον ἦν ἔθος ἀνάγειν δὶς τῷ θεῷ προσήκουσιν. ἐπεὶ δὲ σπουδάζειν ἐῴκει, καὶ ἐκ τῶν λόγων καὶ ἐκ τοῦ προσώπου ὁ Ἀμελησαγόρας, πειθεὶς ὅπερ ἦν ἐπείγειν τὸ πρῆγμα, ἀνέγνων τε ὑμέων τὴν ἐπιστολήν, καὶ ἐθαύμασα ὅτι περὶ ἑνὸς ἀνθρώπου ὡς εἷς ἄνθρωπος ἡ πόλις θορυβεῖσθε. καὶ μακάριοί γε δῆμοι ὁκόσοι ἴσασι τοὺς ἀγαθοὺς ἄνδρας, ἐρύματα ἑωυτῶν, καὶ οὐ τοὺς πύργους, οὐδὲ τὰ τείχεα, ἀλλὰ σοφῶν ἀνδρῶν σοφὰς γνώμας. ἐγὼ δὲ πειθόμενος τέχνας μὲν εἶναι θεῶν χάριτας, ἀνθρώπους δὲ ἔργα φύσιος, καὶ μὴ νεμεσήσητε ἄνδρες Ἀβδηρῖται. οὐχ ὑμᾶς δοκέω, ἀλλὰ φύσιν αὐτέην καλέειν με, ἀνασώσασθαι ποίημα ἑωυτῆς, κινδυνεῦον ὑπὸ νόσου διαπεσεῖν. ὥστε πρὸς ὑμέων ἐγὼ νῦν φύσει καὶ θεοῖς ὑπακούων σπεύδω νοσέοντα Δημόκριτον ἰήσασθαι. εἴπερ δὴ καὶ τοῦτο νόσος ἐστίν, ἀλλὰ μὴ ἀπάτη συσκιάζεσθε, ὅπερ εὔχομαι. καὶ γίνοιτο πλέον τῆς ἐν ἡμῖν εὐνοίας τεκμήριον, καὶ περὶ ὑπόνοιαν ταραχθῆναι. ἀργύριον δέ μοι ἐρχομένῳ, οὔτ' ἂν φύσις οὔτ' ἂν θεὸς ὑπόσχοιτο. ὥστε μὴ δ' ὑμεῖς ἄνδρες Ἀβδηρῖται βιάζεσθε, ἀλλ' ἐᾶτε ἐλευθέρας τέχνας, ἐλεύθερα καὶ τὰ ἔργα. οἱ δὲ μισθαρνεῦντες, δουλεύειν ἀναγκάζουσι τὰς ἐπιστήμας. ὥσπερ ἐξανδραποδίζοντες αὐτὰς, ἐκ τῆς πρότερης παρρησίης. εἶθ' ὡς εἰκὸς καὶ ψεύσαιντο ἄν, ὡς περὶ μεγάλης νόσου, καὶ ἀρνηθεῖεν ἂν ὡς περὶ μικρῆς. καὶ οὐκ ἂν ἔλθοιεν ὑπισχόμενοι. καὶ πάλιν ἔλθοιεν μὴ κληθέντες. οἰκτρός γε ὁ τῶν ἀνθρώπων βίος, ὅτι δι' ὅλου αὐτοῦ, ὡς πνεῦμα χειμέριον, ἡ ἀφόρητος φιλαργυρίη διαδέδυκεν. ἐφ' ἣν εἴθε μᾶλλον ἅπαντες ἰητροὶ ξυνήεσαν ἐλθόντες ἐκθεραπεῦσαι χαλεπωτέρην μανίης νόσον. ὅτι καὶ μακαρίζεται νοῦσος ἐοῦσα, καὶ κακοῦσα. οἶμαι δὲ ἔγωγε καὶ τὰ ψυχῆς νοσήματα πάντα, μανίας εἶναι σφοδρὰς, ἐμποιούσας δόξας τινάς, καὶ φαντασίας τῷ λογισμῷ. ὧν ὁ δι' ἀρετῆς ἀποκαθαρθεὶς, ὑγιάζεται. ἐγὼ δὲ εἰ πλουτέειν ἐξ ἅπαντος ἐβουλόμην ὦ ἄνδρες Ἀβδηρῖται, οὐκ ἂν εἵνεκα δέκα ταλάντων διέβαινον πρὸς ὑμέας, ἀλλ' ἐπὶ τὸν μέγαν ἠρχόμην Περσέων βασιλέα, ἔνθα πόλιες ὅλαι προσίεσαν τῆς ἐξ ἀνθρώπων εὐδαιμονίης γεγεμισμέναι. ἰώμην δ' ἂν τὸν ἐκεῖσε λοιμὸν αὐτῶν. ἀλλ' ἀπηρνησάμην ἐχθρὴν Ἑλλάδι χώρην, ἐλευθερῶσαι κακῆς νόσου. κἀγὼ τό γε ἐπ' ἐμοί, κατεναυμάχουν τοὺς βαρβάρους. εἶχον δ' ἂν αἰσχύνην, τὸν παρὰ βασιλέως πλοῦτον, καὶ πατρίδος ἐχθρὴν περιουσίην. περιεκείμην δ' ἂν αὐτὰ, ὡς ἑλέπολις τῆς Ἑλλάδος ὑπάρχων. οὐκ ἔστι πλοῦτος, τὸ πανταχόθεν χρηματίζεσθαι. μεγάλα γὰρ ἱερὰ τῆς ἀρετῆς ἐστὶν ὑπὸ δικαιοσύνης οὐ κρυπτόμενα, ἀλλ' ἐμφανέα ὄντα. ἢ οὐκ οἴεσθε ἴσον ἁμάρτημα εἶναι σώζειν πολεμίους, καὶ φίλους ἰᾶσθαι μισθοῦ. ἀλλ' οὐχ ὧδε ἔχει τὰ ἡμέτερα ὦ δῆμε. οὐ καρποῦμαι δὲ νούσους. οὐδὲ δὴ εὐχῆς ἤκουσα τὴν Δημοκρίτου παράκρουσιν. ὃς εἴτε ὑγιαίνει φίλος ἔσται, εἴτε νοσέει θεραπευθείς, πλέον ὑπάρξει. πυνθάνομαι δὲ αὐτὸν, ἐμβριθέα καὶ στερρὸν τὰ ἤθεα, καὶ τῆς ὑμετέρης πόλιος ἐόντα κόσμον. ἔρρωσθε.

Ἱπποκράτης Φιλοποίμενι χαίρειν.

Τὴν τῆς πόλιος ἐπιστολὴν ἀναδόντες μοι πρέσβεις, καὶ τὴν ἀπέδοσαν. ἤδη δέ με κάρτα, καὶ ξενίην ὑπισχνεομένου σεο, καὶ τὴν ἑτέρην δίαιταν. ἔλθοιμεν δ' ἂν αὔριον τύχῃ. καὶ ἀφιξόμεθα ὡς ὑπολαμβάνομεν, χρηστοτέρῃσιν ἐλπίσιν ὡς ἐν τῇ γραφῇ προδεδήλωται. οὐ μανίην, ἀλλὰ ψυχῆς τινα ῥῶσιν ὑπερβάλλουσαν διασαφηνέοντος τοῦ ἀνδρὸς, μήτε παίδων, μήτε γυναικὸς, μήτε ξυγγενέων, μήτε οὐσίης, μήτε τινος ὅλως ἐν φροντίδι ἐόντος. ἡμέρην τε καὶ εὐφρόνην πρὸς ἑωυτῷ καθεστεῶτος, καὶ ἰδιάζοντος. τὰ μὲν πολλὰ ἐν ἄντροισι καὶ ἐρημίῃσιν ἢ ὑποσκιάσεσι δενδρέων. ἢ ἐν μαλθακοῖσι ποίῃσιν, ἢ παρὰ σύχνοισιν ὑδάτων ῥείθροις. συμβαίνει μὲν οὖν τὰ πολλὰ τοῖς μελαγχολικοῖς τὰ τοιαῦτα. σιγηροί τε γὰρ ἐνίοτε εἰσί, καὶ μονήρεες, καὶ φιλέρημοι τυγχάνουσιν. ἀπανθρωπέονταί τε ξύμφυλον ὄψιν, ἀλλοτρίην νομίζοντες

νομίζοντες. οὐκ ἀπεοικὸς δὲ καὶ τοῖσι περὶ παιδείην ἐσπουδακόσι, τὰς ἄλλας φροντίδας ὑπὸ μιῆς τῆς ἐν σοφίῃ διαθέσεως σεσοβῆσθαι. ὥσπερ γὰρ λιμοὶ τε καὶ λιμοειδέες ἐν τῇσιν οἰκίῃσι θορυβέοντες καὶ στασιάζοντες, ὁκόταν ἐξαπιναίως αὐτοῖς ἡ δέσποινα ἰδῇ τε ἐπιφανεῖσα ἐπιστρέψωσι ἀφησυχάζουσι. παραπλησίως καὶ αἱ λοιπαὶ κατὰ ψυχὴν ἐπιθυμίαι ἀνθρώποις, κακῶν ὑπηρέτιδες. ἐπ' ἢν δὲ σοφίης ὄψις ἑωυτὴν ἐπιστήσῃ, ὡς δοῦλα τὰ λοιπὰ πάθεα ἐκκεχώρηκεν. πυθέσθωσιν ἄντρα, καὶ ἡσυχίην οὐ πάντες οἱ μαινόμενοι, ἀλλὰ καὶ οἱ τῶν ἀνθρωπίνων πρηγμάτων ὑπερφρονήσαντες, ἀταραξίης ἐπιθυμίῃ. ὁκόταν γὰρ ὁ νοῦς ὑπὸ τῶν ἔξω φροντίδων κοπτόμενος, ἀναπαύσασθαι θελήσῃ τὸ σῶμα, τότε ταχέως εἰς ἡσυχίην μετήλλαξε. εἶτα ἀναστὰς ὄρθιος, ἐν ἑωυτῷ περιεσκόπει κύκλῳ, χωρίον ἀληθέως. ἐν ᾧ οὐ πατὴρ. οὐ μήτηρ. οὐ γυνή. οὐ τέκνα. οὐ κασίγνητος. οὐ συγγενέες. οὐ δμῶες. οὐ τύχη. οὐχ ὅλως οὐδὲν τὸν θόρυβον ἐμποιησάντων. πάντα δ' ἀποκεκλεισμένα τὰ ταράξοντα, ἔστηκεν ὑπὸ φόβου. οὐδὲ πλησιάσαι τολμέοντα, ὑπὸ εὐλαβείης τῶν αὐτόθι ἐνοικεόντων. οἰκέουσι δὲ τὸ χωρίον ἐκεῖνο, καὶ τέχναι, καὶ ἀρεταὶ πανσοφίαι, καὶ θεοὶ, καὶ δαίμονες, καὶ βουλαὶ, καὶ γνῶμαι. καὶ ὁ μέγας πόλος ἐν ἐκείνῳ περὶ χωρίῳ τοὺς πολυκινήτους ἀστέρας κατέστησε. εἰς ὃ ταχὰ καὶ Δημόκριτος ὑπὸ σοφίης μετῴκισται. εἶθ' οὐκ ἔτι ὁρέων τοὺς ἐν τῇ πόλει ἅτε τηλοῦ ἐκδεδημηκὼς, δοξάζεται μανίης νοῦσον, διὰ τὸ φιλέρημον. ἀπολύουσι δὲ Ἀβδηρῖται, ἀργυρεῖν ἐξελεγχθῆναι, ὅτι οὐ ξυνιᾶσι Δημόκριτον. ἀλλὰ σύγε ἡμῖν κατάρτυε τὴν ξενίην ὦ ἑταῖρε Φιλοποίμην. οὐ γὰρ ἐθέλω τεταραγμένῃ τῇ πόλει παρασχεῖν ὄχλησιν ἐκ παλαιοῦ ἴδιον ἔχων ξένον σε ὡς οἶδα. ἔρρωσο.

Ἱπποκράτης Διονυσίῳ χαίρειν.

Η Περιμένοντά με ἐν Ἀλικαρνασσῷ, ἢ φθάσον αὐτὸς ἐλθεῖν ὦ ἑταῖρε. κατὰ πᾶσαν γὰρ ἀνάγκην ἀπιτέον εἰς Ἄβδηρα, ἀμοί Δημοκρίτῳ χάριν. ἐφ' ὃν νοσέοντα, μετεπέμψατό με ἡ πόλις. ἀλλ' ἔκτοπός τις ἡ συμπαθείη τῶν ἀνθρώπων Διονύσιε, ὡς μιᾷ ψυχῇ ξυννοσέει περὶ πολίτην. ὥστε μοι δοκέουσι καὶ αὐτοὶ θεραπείης δέεσθαι. ἐγὼ δὲ οἶμαι οὐδὲ νόσον αὐτὴν εἶν, ἀλλ' ἀμετρίην παιδείης, οὐκ οὖσαν γε περὶ ὄντι ἀμετρίην, ἀλλὰ νομιζομένην τοῖσιν ἰδιώτῃσιν. ἐπεὶ οὐδέ ποτε βλαβερὸν, τὸ ἀρετῆς ἄμετρον. δόξα δὲ νοῦσον γίνεται τὸ ὑπερβάλλον διὰ τὴν τῶν κρινόντων ἀπαιδευσίην. δοκιμάζει δὲ ἕκαστος, ἐξ ὧν αὐτὸς οὐκ ἔχει, τὸ ἐν ἄλλῳ πλεονάζον προσδιασύρειν. ὥς που καὶ ὁ δειλὸς, ἀμετρίην τὴν ἀνδρείην ὑπείληφε. καὶ ὁ φιλάργυρος τὴν μεγαλοψυχίην. καὶ πᾶσα ἔλλειψις ὑπερβάλλειν δοκέει, τὸ ἀρετῆς ξύμμετρον. ἐκεῖνον μὲν εὖ αὐτὸν εἰδότες μετὰ τῆς ἐνθένδε προγνώσιος, καὶ ἀκούσαντες τῶν λόγων αὐτοῦ, ἄμεινον εἰσόμεθα. σὺ δὲ ἔπεξον ὦ Διονύσιε αὐτὸς παραγενέσθαι. βούλομαι γὰρ ἐν διατρίψαι σε τῇ πατρίδι μου, μέχρις ἂν ἐπανέλθω. ὅκως τῶν τε ἡμετέρων φροντίσῃς, καὶ προσέχῃς ἡμέων τῆς πόλιος. ἐπειδὴ οὐκ οἶδ' ὅκως ἐκ συντυχίης ὑγιεινὸν τὸ ἔτος ἐστὶ, καὶ τὴν ἀρχαίην φύσιν ἔχον. ὥστε οὐδὲ πολλαὶ παρενοχλέουσι νοῦσοι, πλὴν ὅμως, πάρεσθι. οἰκήσεις δὲ τὴν ἐμὴν οἰκίην ὑπερδυκομιέουσαν, ἅτε καὶ τοῦ γυναίου μένοντος πρὸς τοὺς γονέας, διὰ τὴν ἐμὴν ἐκδημίην. ἐπισκόπει δὲ ὅμως καὶ τὰ ἐκείνης. ὅκως διάγῃ σωφρόνως καὶ μὴ τῇ ἀνδρὸς ἀπουσίῃ, ἄλλους ἄνδρας νομίσῃ. κόσμιον μὲν γὰρ ἐξ ἀρχῆς ἦν. καὶ γονέους ἀστείας εἶχεν. τὸν δὲ πατέρα ἐκτόπως ἀνδρικόν τε καὶ μάλα μισοπόνηρον ὑπέρφυως γέροντιον. ἀλλ' ὅμως ἀεὶ χρῄζει γυνὴ σωφρονίζοντος. ἔχει γὰρ φύσει τὸ ἀκόλαστον ἐν ἑωυτῇ. ὅπερ εἰ μὴ καθ' ἡμέραν ἐπικόπτοιτο, ὡς τὰ δένδρα καθυλομανέει. ἐγὼ δὲ φίλον οἴομαι ἀκριβέστερον γονέων, εἰς φυλακὴν γυναικός. οὐ γὰρ ὡς ἐκείνοις καὶ τουτέῳ ξυνοικέει πάθος εὐνοίης, δι' οὗ πολλάκις ἐπισκιάζονται τὴν νουθεσίην. φρονιμώτερον δὲ ἐν παντὶ τὸ ἀπαθέστερον, ἅτε μὴ ἐπικλώμενον ἐπ' εὐνοίης. ἔρρωσο.

Ἱπποκράτης Δαμαγήτῳ χαίρειν.

Ο Ἶδα παρὰ σοὶ γενόμενος ἐν Ῥόδῳ Δαμάγητε τὴν ναῦν ἐκείνην, ἅλιος ἐπιγραφὴν ἦν αὐτῇ, πάγκαλόν τινα καὶ εὔπρυμνον, ἱκανῶς τε τετροπισμένην. καὶ διάβασιν εἶχε πολλήν. ἐπῄνεις δὲ καὶ τὸ ναυτικὸν αὐτῆς, ὡς ὀξὺ, καὶ ἀσφαλὲς, καὶ εὔτεχνον ὑπουργῆσαι. καὶ τοῦ πλοῦ τὴν εὐδρομίην. ταύτην ἔκπεμψον ἡμῖν. ἀλλ' εἰ οἷόν τε, μὴ κώπαις, ἀλλὰ πτεροῖς ἐρετμώσας αὐτὴν, ἐπείγει γὰρ τὸ πρῆγμα καὶ φιλότης, μάλα εἰς Ἄβδηρα διαπλεῦσαι πάνυ ταχέως. βούλομαι γὰρ νοσέουσαν ἰήσασθαι πόλιν, „ διὰ νοσέοντα ἕνα Δημόκριτον.

ἀκούεις

ἀκούεις ποτ' ἀνδρὸς τὸ κλέος, ἔτι περ ἡ πατρὶς ἠπείγετο μανίῃ κεκακῶσθαι. ἐγὼ δὲ βούλομαι μᾶλλον δὲ εὔχομαι, μὴ ὄντως αὐτὸν παρακόπτειν, ἀλλ' ἐκείνοισι δόξαι εἶναι. γελᾷ φασὶν ἀεί, καὶ οὐ παύεται γελῶν ἐπὶ παντὶ πρήγματι. καὶ σημεῖον αὐτοῖσι μανίης τοῦτο δοκέει. ὅθεν λέγε τοῖσιν ἐν Ῥόδῳ φίλοισι μετριάζειν ἀεί, καὶ μὴ πολλὰ γελᾶν, μὴ δὲ πολλὰ σκυθρωπάζειν. ἀλλὰ τουτέων ἀμφοῖν τὸ μέτριον κτήσασθαι. ἵνα τοῖς μὲν χαριέστατος εἶναι δόξειας. τοῖς δὲ φροντιστὴς περὶ ἀρετῆς μορμυρίζων. ἔνι μέντοι τι Δαμάγητε κακὸν, παρ' ἕκαστον αὐτοῦ γελῶντος. εἰ γὰρ ἡ ἀμετρίη φλαῦρον, τὸ διὰ παντὸς φλαυρότερον. καὶ εἴποιμι ἂν αὐτῷ Δημόκριτε. καὶ νοσέοντος. καὶ κτεινομένου, καὶ τεθνεῶτος. καὶ πολιορκουμένου. καὶ παντὸς ἐμπίπτοντος κακοῦ, ἑκάστου τῶν πρησσομένων, ὕλη σοι γέλωτος ὑπόκειται. οὐ θεομαχέεις δὲ εἰ δύο ἐόντων ἐν κόσμῳ, χαρᾶς καὶ λύπης, σὺ θάτερον αὐτῶν ἐκβέβληκας. μακάριος τ' ἂν ἦς, ἀλλ' ἀδύνατον, εἰ μήτε μήτηρ σοι νενόσηκεν, μήτε πατὴρ, μήτε τὰ ὕστερον τέκνα. ἡ γυνὴ ἢ φίλος, ἀλλὰ διὰ τὸν σὸν γέλωτα ἵνα διασώζηται εὐτυχέες πάντα. ἀλλὰ νοσεόντων γελᾷς. ἀποθνησκόντων χαίρεις. εἴ τι που πύθοιο κακὸν, εὐφραίνῃ. ὡς πονηρότατος εἶ ὦ Δημόκριτε. καὶ πόρρω γε σοφίης. ἢν νομίζεις αὐτὰ μὴ δὲ κακὰ εἶναι. μελαγχολᾷς οὖν Δημόκριτε. κινδυνεύων καὶ αὐτὸς Ἀβδηρίτης εἶναι. φρονιμωτέρη δὲ ἡ πόλις. ἀλλὰ περὶ μὲν δὴ τουτέων, ἀκριβέστερον ἐκεῖ λεξόμεθα, Δαμάγητε. ἡ δὲ ναῦς καὶ τὸν χρόνον ὃν ἐπιτέλλω σοι χρονίζει. ἔρρωσο.

Ἱπποκράτης Φιλοποίμενι χαίρειν.

Ὕπνους καὶ πεφροντικὼς, ὑπὲρ Δημοκρίτου, αὐτέην ἐκείνην τῇ νυκτὶ καταδαρθὼν,
Σ πρὸς ἀρχομένην τὴν ἕω, ὄναρ ἐφαντάσθην. ἐξ οὗ νομίζω κάρτα μηδὲν ἐπισφαλὲς γενήσεσθαι. ἐκπάγλως γὰρ διηγέρθην. ἐδόκεον γὰρ αὐτὸν τὸν Ἀσκληπιὸν ὁρῆν φαίνεσθαι αὐτέου πλησίον. ἤδη δὲ πρὸς ταῖς τῶν Ἀβδηριτῶν πύλαις ἐτυγχάνομεν. ὁ δὲ Ἀσκληπιὸς, οὐχ ὡς εἰώθεσαν αὐτέου αἱ εἰκόνες, μειλιχόν τε καὶ πρᾶον ἰδέσθαι κατεφαίνετο. ἀλλὰ διεγηγερμένος τῇ σχέσει, καὶ εἰδέσθαι φοβερώτερος. εἵποντο δὲ αὐτῷ δράκοντες, χρῆμά τι ἑρπετῶν ὑπερφυές. ἐπειγόμενοι δὲ καὶ αὐτοὶ μακρῷ τῷ ἐπισύρματι, καί τι φρικῶδες ὡς ἐν ἐρημίῃσι καὶ νάπῃσι κοίλῃσιν ὑποσυρίζοντες. οἱ δὲ κατόπιν ἑταῖροι κίστας φαρμάκων εὖ μάλα περιεσφηκωμένας ἔχοντες, ἤεσαν. ἔπειτα ὤρεξέ μοι τὴν χεῖρα ὁ θεός. κἀγὼ λαβόμενος ἀσμένως, ἐλιπάρεον ξυνεφέρχεσθαι. καὶ μὴ καθυστερεῖν μου τῆς θεραπείης. ὁ δὲ οὐδέν τι ἔφη ἐν τῷ παρεόντι ἐμοῦ χρήζεις, ἀλλά σε αὕτη τὰ νῦν ξεναγήσει θεός, κοινὴ ἀθανάτων τε καὶ θνητῶν. ἐγὼ δὲ ἐπιστραφεὶς, ὁρέω γυναῖκα, καλήν τε καὶ μεγάλην, ἀφελέως πεπλοκισμένην, λαμπρείμονα. διέλαμπον δ' αὐτέης, οἱ τῶν ὀμμάτων κύκλοι, καθαρόν τι φῶς, οἷον ἀστέρων μαρμαρυγὰς δοκέειν. καὶ ὁ μὲν δαίμων ἐχωρίσθη. κείνη δὲ ἡ γυνὴ πιέσασά με τοῦ καρποῦ μαλθακῇ τινι εὐτονίῃ, διὰ τοῦ ἄστεος ἦγε φιλοφρονεομένη. ὡς δὲ πλησίον τῆς οἰκίης ἦμεν, ἵνα τὴν ξενίην ἐδόκεον εὐτρεπεῖσθαι, ἀπῄει ὡς φάσμα οἷον εἰποῦσα. αὔριόν σε παρὰ Δημοκρίτῳ καταλήψομαι. ἤδη δὲ αὐτῆς μεταστρεφομένης, δέομαι φημὶ ἀρίστη τίς εἶ. καὶ τίνα σε καλέομεν. ἡ δὲ ἀλήθεια ἔφη. αὕτη δὲ ἣν προσιοῦσαν ὁρῇς, καὶ ἐξαίφνης ἑτέρη τις κατεφαίνετό μοι, οὐ κακὴ μὲν οὐδ' αὕτη, θρασυτέρη δὲ ἰδέσθαι καὶ σεσοβημένη, δόξα ἔφη καλέεται. κατοικέει δὲ παρὰ τοῖσιν Ἀβδηρίτῃσιν. ἐγὼ μὲν οὖν ἀναστὰς, ὑπεκρινάμην ἐμαυτῷ τὸ ὄναρ, ὅτι οὐ δέοιτο ἰητροῦ Δημόκριτος. ὅπου γε αὐτὸς ὁ θεραπεύων θεὸς ἀπέστη, ὡς οὐκ ἔχων ὕλην θεραπείης. ἀλλὰ ἡ μὲν ἀλήθεια, τὸ ὑγιαίνειν παρὰ Δημοκρίτῳ μένει. ἡ δὲ τοῦ νοσέειν αὐτὸν δόξα, παρὰ Ἀβδηρίτας ὄντως κατῴκηκε. ταῦτα πιστεύω ἀληθέα εἶναι Φιλοποίμην, καὶ ἔστιν. καὶ οὐκ ἀπογινώσκω τὰ ὀνείρατα. μάλιστα δὲ ὁκόταν καὶ τάξιν διαφυλάττῃ. ἰητρικὴ δὲ καὶ μαντικὴ καὶ πάνυ ξυγγενέες εἰσίν. ἐπειδὴ καὶ τῶν δύο τεχνέων πατὴρ εἷς Ἀπόλλων, ὁ καὶ πρόγονος ἡμέων, ἐούσας καὶ ἐσομένας νούσους προαγορεύων, καὶ νοσέοντας, καὶ νοσήσαντας ἰώμενος. ἔρρωσο.

Ἱπποκράτης Κρατεύᾳ χαίρειν.

Γίνεο μάλιστα ῥιζοτόμον ἄριστον ὦ ἑταῖρε, καὶ διὰ τὴν ἄσκησιν, καὶ διὰ προγόνων κλέος. ὡς
E μηδὲν ἀπολείπειν σε δυνάμεως τοῦ προπάτορος Κρατεύα. νῦν οὖν εἰ καί ποτε ἄλλοτε, βοτανολόγησον, ὁκόσα τε καὶ ὁκοῖα δύνασαι. ἀναγκαίη γὰρ ἐπείγει. καὶ διάπεμψαί μοι ταῦτα, ἐπ' ἄνδρα, ὅλῃ πόλει ἰσοστάσιον ἀβδηρίτην μὲν, ἀλλὰ Δημόκριτον. νοσέειν γάρ φασιν αὐτόν. καὶ καθαρσίου μάλα χρῄζειν, ἐν τοῖς μανίης ἐόντα. μὴ χρησαίμεθα μὲν οὖν τοῖς φαρμάκοις

ὥσπερ καὶ πέπεισμαι, ἀλλ' ὅμως εὐτρεπέεσθαι χρὴ πανταχόθεν. τὸ δὲ χρῆμα τῶν βοτανέων, πάρα σοὶ πολλάκις ἐθαύμασα. ὡς καὶ τὴν τῶν ὅλων γε φύσιν τε καὶ διάταξιν. καὶ τὸ ἱερώτατον γῆς ἵδρυμα, ἐξ ἧς ζῶα. καὶ φυτά. καὶ τροφαί. καὶ φάρμακα. καὶ τύχη. καὶ ὁ πλοῦτος αὐτὸς ἀναφύεται. οὐδὲ γὰρ ἂν εἶχεν οἱ πλεῖστοι, ἡ φιλαργυρείη. οὐ δ' ἂν Ἀβδηρεῖταί με νῦν δέκα ταλάντοις ἐδελέαζον, ἀντὶ ἰητροῦ μισθωτὸν ἐλέγχοντες. εἰ δ' ἐδυνάσω Κρατεύα τῆς φιλαργυρείης τὴν πικρὰν ῥίζαν ἐκκόψαι, ὡς μηδὲν λείψανον αὐτῆς ἀφεῖναι, εὖ ἴσθι ὡς ἐκαθήραμεν ἂν τῶν ἀνθρώπων, μετὰ τῶν σωμάτων καὶ τὰς ψυχὰς νοσεούσας. ἀλλὰ ταῦτα μὲν εὐχαί. σὺ δ' ἡμῖν τὸ παρεὸν, μάλιστα τὰς ὀρεινὰς καὶ ὑψηλόφους βοτάνας, ῥιζοτόμει, στερεώτεραι γὰρ τῶν ὑδρηλοτέρων εἰσίν. καὶ δριμύτεραι μᾶλλον, διὰ τὴν τῆς γῆς πυκνότητα καὶ τὴν λεπτότητα τοῦ ἠέρος. ὅτι γὰρ ἕλκουσιν ἐμψυχότερόν ἐστι. πειρήθητι δ' ὅμως καὶ τὰς παρὰ λίμναις ἐλίους πεφυκυίας ἀνθολογῆσαι. καὶ τὰς ποταμίους ἢ κρηνίτιδας ἢ πιδακίτιδας παρ' ἡμῖν καλεομένας, ἃς δὴ ἀσθενέας καὶ ἀτόνους, καὶ γλυκυχύλους εἶναι πέπεισμαι. πάντα δὲ ὁκόσα χυλοί τε καὶ ὀποὶ ῥέοντες ἐν ὑαλινοῖσιν ἀγγείοισιν φερέσθωσαν. ὁκόσα δ' αὖ φύλλα ἢ ἄνθεα, ἢ ῥίζαι ἐν κώθωσι καινοῖσι περιεσφηνωμένοις. ὅκως μὴ διαυγαζόμενα τῇσι πνοῇσι ἐκλείπῃ, τὸν τόνον τῆς φαρμακείης, ὥσπερ λειποψυχήσαντα, ἀλλ' εὐθὺς ἡμῖν ταῦτα πέμψον. καὶ γὰρ ἡ ὥρη τοῦ ἔτεος ἁρμόδιος. καὶ ἡ ἀνάγκη τῆς λεγομένης μανίης, ἐπείγει. τέχνης μὲν γὰρ πάσης ἀλλότριον, ἀναβολή. ἰητρικῆς δὲ καὶ πάνυ ἐν ᾗ ψυχῆς κίνδυνος ἡ ὑπέρθεσις. ψυχαὶ δὲ τῶν θεραπειῶν οἱ καιροί. ὧν ἡ παραφυλακὴ τὸ τέλος. ἔλπομαι μὲν οὖν, ὑγιέα εἶναι τὸν Δημόκριτον καὶ δίχα ἰήσιος. εἰ δ' ἄρα τι σφάλμα φύσεως, ἢ καιροῦ, ἢ ἄλλης τινὸς αἰτίης, γένοιτο. πολλὰ γὰρ ἡμέας θνητοὺς ἐόντας λάθοι, ἅτε μὴ πάγχυ δι' ἀτρεκίης εὐτονέοντας, ἐπὶ τὸ ἄδηλον πᾶσαν χρέος δύναμιν ἠθροῖσθαι. οὐ γὰρ ἀρκέεται ὁ κινδυνεύων, οἷς δυνάμεθα. ἀλλ' ἐπιθυμεῖ καὶ ἃ μὴ δυνάμεθα. καὶ σχεδὸν πρὸς δύο στρατευόμεθα τέλεα. τὸ μὲν ἀνθρώπου. τὸ δὲ τέχνης, ὧν τὸ μὲν ἄδηλον, τὸ δὲ τῇ ἐπιστήμῃ ὥρισται. δεῖ δὲ ἐν ἀμφοτέροισιν τουτέοισι καὶ τύχης. τὸ γὰρ ἀτέκμαρτον ἐν ταῖς καθάρσεσι δι' εὐλαβείης ἰόντων. καὶ γὰρ καὶ στομάχου κάκωσιν ὑφορώμεθα. καὶ ξυμμετρίην φαρμακείης, πρὸς ἀγνοουμένην φύσιν στοχαζόμεθα. οὐ γὰρ ἡ αὐτὴ καὶ μία φύσις ἁπάντων. ἑτέρην δ' αἰεὶ καὶ πρὸς ἑωυτὴν ὁρίζουσα οἰκίην. ἐνίοτε δὲ τὸ πᾶν ἀπώλεσε καὶ ταῖς βοτάναις πολλὰ τῶν ἑρπετῶν ἐνιοβόλησε, καὶ περιχανόντα τῇ ἐντὸς ἄβρῃ, κάκωσιν ἀντ' ἀλεξήσιος αὐτοῖς προσέπνευσεν. καὶ τούτου ἄγνοια ἔσται, εἰ μή τις ἄρα κηλὶς ἢ σπίλος, ἢ ὀδμὴ θηριώδης καὶ ἀπηνὴς, τοῦ γενομένου ξύμβολον φανείη. εἶθ' ἡ τέχνη διὰ τὸ ξύμπτωμα τῆς τύχης, τῆς κατορθώσιος ἀφήμαρτε. βεβαιότεραι δ' αὖ αἰεὶ αἱ δι' ἐλλεβόρων καθάρσιες εἰσὶ αἷς καὶ Μελάμπους ἐπὶ τῶν Προίτου θυγατέρων, καὶ Ἀντικυρεὺς ἐφ' Ἡρακλέους, ἱστορέονται κεχρῆσθαι. μὴ χρησαίμεθα δὲ ἡμεῖς ἐπὶ Δημοκρίτῳ μηδενὶ τούτων. ἀλλὰ γένοιτο ἐκείνῳ τῶν δραστικωτάτων καὶ ἰητρικωτάτων φαρμάκων σοφίη τέλος. ἔρρωσο.

Ἱπποκράτους Δαμαγήτῳ χαίρειν.

Τοῦτ' ἐκεῖνο Δαμάγητε ὅπερ εἰκάζομεν, οὐ παρεκόπτε Δημόκριτος, ἀλλὰ πάντα ὑπερεφρόνεε. καὶ ἡμᾶς ἐσωφρόνιζε, καὶ δι' ἡμέων πάντας ἀνθρώπους. ἐξέπεμψα δέ σοι φιλότης ὡς ἀληθέως, τὴν Ἀσκληπιάδα νῆα. ἣ πρόσθεν μετὰ τοῦ ἄλλου ἐπίσημον καὶ ὑγιείην. ἐπεὶ κατὰ δαίμονα γὰρ ὄντι ἱστιοδρόμηκε. καὶ ἐκείνῃ τῇ ἡμέρῃ κατέπλευσεν εἰς Ἄβδηρα, ἧπερ αὐτέοις ἐπεστάλκειν ἀφίξεσθαι. πάντας οὖν ἀολλέας πρὸ τῶν πυλέων εὕρομεν ὡς εἰκὸς, ἡμέας περιμένοντας, οὐκ ἄνδρας μόνους ἀλλὰ καὶ γυναῖκας, ἔτι δὲ καὶ πρεσβύτας καὶ παιδία, νὴ θεοὺς κατηφέα καὶ τὰ νήπια. οὗτοι μὲν τοι ὧδε εἶχον, ὡς ἐπὶ μαινομένῳ γὰρ Δημοκρίτῳ. ὁ δὲ μετ' ἀκριβείης τότε ὑπερεφιλοσόφεεν. ἐπεὶ δέ με εἶδον ἔδοξάν που σμικρὸν ἐφ' ἑωυτῶν γεγονέναι. καὶ χρηστὰς ἐλπίδας ἐποιεῦντο. ὁ δὲ Φιλοποίμην, ἄγειν ἐπὶ τὴν ξενίην με ὥρμητο. κἀκείνοις ξυνεδόκεε τοῦτο. ἐγὼ δὲ ὦ ἄνδρες ἔφην Ἀβδηρῖται, οὐδέν ἐστι μοι προὔργου, ἢ Δημόκριτον θεήσασθαι. οἱ δ' ἐπήνουν ἀκούσαντες, καὶ ἥδησαν, ἦγόν τε με ξυντόμως διὰ τῆς ἀγορῆς, οἱ μὲν ἑπόμενοι. οἱ δὲ προθέοντες, ἑτέρωθεν ἕτεροι. σῶζε λέγοντες, βοήθει, θεράπευσον. κἀγὼ παρῄνεον θαῤῥεῖν. ὡς τάχα μὲν οὐδενὸς ἐόντος κακοῦ, πίσυνος ἐτησίαις ὥραις. εἰ δ' ἄρα καί τινος βραχέος ἐπιδιορθωτέου. καὶ ἅμα ταῦτα λέγων, ἤειν, οὐ δὲ γὰρ πόῤῥω ἦν ἡ οἰκίη, μᾶλλον δ' οὐδ' ἡ

πόλις

πόλις ὅλη. προκείμενον οὖν, πλησίον γὰρ τοῦ τείχους ἐτύγχανεν. καὶ ἀνάγουσί με ἡσυχῆ. ἔπειτα κατόπιν τοῦ πύργου, βουνός ἦν τις ὑψηλός. μακρῇσι καὶ δασείῃσιν αἰγείροισιν ἐπίσκιος. ἔνθεν τε ἐθεωρεῖτο, τὰ τοῦ Δημοκρίτου καταγώγια. καὶ αὐτὸς ὁ Δημόκριτος καθῆστο ὑπό τινι ἀμφιλαφεῖ καὶ χθαμαλωτάτῃ πλατανίστῳ, ἐν ἐξωμίδι παχέῃ, μοῦνος ἀνήνυτος ἐπὶ λιθίνῳ θώκῳ, ὠχρηρὸς πάνυ καὶ λιπόσαρκος. κουριῶν τὰ γένεια. παρ' αὐτὸν δ' ἐπὶ δεξιῆς, λεπτόῤῥυτον ὕδωρ κατὰ πρηνοῦς τοῦ λόφου θέον ἠρεμέως ἐκελάρυζεν. ἦν δέ τι τέμενος ὑπὲρ ἐκεῖνον τὸν λόφον, ὡς ἐν ὑπονοίῃ κατεικάζοντι, νυμφέων ἱδρυμένον, αὐτοφύτοις ἐπηρεφὲς ἀμπέλοις. ὁ δ' εἶχεν ἐν εὐκοσμίῃ πολλῇ ἐπὶ τοῖν γούνατοιν βιβλίον. καὶ ἕτερα δέ τινα, ἐξ ἀμφοῖν τοῖν μεροῖν αὐτέῳ παρεβέβλητο. σεσώρευντο δὲ καὶ ζῶα συχνά, ἀνατετμημένα δι' ὅλων. ὁ δὲ ὅτε μὲν ξυντόνως ἔγραφεν ἐγκείμενος. ὅτε δὲ ἠρέμει πάμπολύ τι ἐπέχων, καὶ ἐν ἑωυτῷ μεριμνείζων. εἶτα μετ' οὐ πολὺ τουτέων ἐρδομένων, ἐξαναστὰς περιεπάτει. καὶ τὰ σπλάγχνα τῶν ζώων ἐπεσκόπει. καὶ καταθεὶς αὐτὰ μετελθὼν, πάλιν ἐκαθέζετο. οἱ δὲ Ἀβδηρῖται περιεστῶτες με κατηφέες, καὶ οὐ πόῤῥω τὰς ὄψεις δακρυόντων ἔχοντες, φασίν, ὁρῇς μέντοι τὸν Δημοκρίτου βίον ὦ Ἱππόκρατες, ὡς μέμηνεν, καὶ οὔτε ὅτι θέλει οἶδεν, οὔτε ὅτι ἔρδει; καί τις αὐτέων ἔτι μᾶλλον ἐνδείξασθαι βουλόμενος τὴν μανίην αὐτοῦ, ὀξὺ ἀνεκώκυσεν, εἴκελον γυναικὶ ἐπὶ θανάτῳ τέκνου ὀδυρομένῃ. εἶτ' ἀνώμωξεν πάλιν ὑποκρινόμενος παροδίτην ἀπολέσαντά τι ὧν διεκόμιζεν. καὶ ὁ Δημόκριτος ὑπακούων, τὰ μὲν ἐμειδία, τὰ δὲ ἐξεγέλα. καὶ οὐκ ἔτι οὐδὲν ἔγραφεν. τὴν δὲ κεφαλὴν θαμινὰ ἐπέσεισεν. ἐγὼ δὲ ὑμεῖς μὲν ἔφην ὦ Ἀβδηρῖται, αὐτόθι μίμνετε, ἐγγυτέρω δ' αὐτὸς καὶ λόγων καὶ σώματος τοῦ ἀνδρὸς γενηθεὶς, ἰδών τε καὶ ἀκούσας, εἴσομαι τοῦ πάθεος τὴν ἀλήθειαν. καὶ ταῦτ' εἰπὼν, κατέβαινον ἡσυχῆ. ἦν δὲ ὀξὺ καὶ ἐπίφορον ἐκεῖνο τὸ χωρίον. μόλις δ' οὖν διαστηριζόμενος διῆλθον. ἐπεὶ δὲ ἐπλησίαζον, ἔτυχεν ὅτε ἐπῆλθον αὐτέῳ, ὅτι δή ποτε γράφων ἐνθουσιωδῶς καὶ μεθ' ὁρμῆς. εἱστήκειν οὖν αὐτόθι περιμένων αὐτέου τὸν καιρὸν τῆς ἀναπαύσιος. ὁ δὲ μετὰ μικρὸν τῆς φορῆς λήξας τοῦ γράφειν, ἀνέβλεψέ τε εἰς ἐμὲ προσιόντα, καὶ φησί. χαῖρε ξένε. κἀγώ. πολλά γε καὶ σὺ Δημόκριτε ἀνδρῶν σοφώτατε. ὁ δὲ αἰδεσθεὶς οἶμαι, ὅτι οὐκ ὀνόμασι προσεῖπε με, σὺ δὲ ἔφη τί καλέομεν. ἄγνοια γὰρ τοῦ σοῦ ὀνόματος, ἦν πρόφασις τῆς τοῦ ξένου προσηγορίας. Ἱπποκράτης ἔφην ἔμοιγε τοὔνομα ὁ ἰητρός. ὁ δὲ εἶπεν. ἡ τῶν Ἀσκληπιαδῶν εὐγένεια πολύ τε σου τὸ κλέος τῆς ἐν ἰητρικῇ σοφίης πεφοίτηκεν, καὶ εἰς ἡμέας ἀφίκται. τί δὲ χρέος ἑταῖρε δεῦρό σε ἤγαγε. μᾶλλον δὲ πρὸ πάντων, κάθησο. ὁρῇς δὲ ὡς ἐστὶν οὗτος οὐκ ἀηδὴς φύλλων θῶκος, ἔτι χλωρὸς καὶ μαλθακὸς ἐγκαθίσαι προσηνέστερος τῶν τῆς τύχης ἐπιφθόνων θώκων. καθίσαντος δέ μου, πάλιν φησίν. ἴδιον οὖν ἢ ἐπιδήμιον πρᾶγμα διζήμενος δεῦρο ἀφίξαι. φράζεο σαφῶς. καὶ γὰρ ἡμεῖς ὅτι δυνάμεθα, συνεργοίημεν ἄν. κἀγὼ, τὸ μὲν καθ' ἀλήθειαν ἔφην αἴτιον, δεῦρο σέο χάριν ἥκω, ξυντυχεῖν σοφῷ ἀνδρί. ἔχει δὲ πρόφασιν ἡ πατρὶς, ἧς πρεσβείην τελῶ. ὁ δὲ ξενίῃ τοίνυν φησὶ τὰ πρῶτα κέχρησο ἡμετέρῃ. πευθόμενος δὲ κἀγὼ περὶ πάντα τοῦ ἀνδρὸς, καίπερ ἤδη μοι καταδήλου μὴ παρακόπτειν ἐόντος, Φιλοποίμενα οἶσθα ἔφην πολίτην ἐόντα ὑμέτερον; ὁ δὲ καὶ μάλα εἶπεν, τὸν Δαίμωνος λέγεις υἱόν. τὸν οἰκοῦντα παρὰ τὴν Ἑρμαΐδα κρήνην. τοῦτον εἶπον. οὗ καὶ τυγχάνω ἐκ πατέρων ἴδιος ξένος. ἀλλὰ σὺ Δημόκριτε, τῇ κρείσσονί με ξενίῃ δέχου. καὶ πρῶτόν γε τί τοῦτο τυγχάνεις γράφων φράζε; ὁ δ' ἐπισχὼν ὀλίγον, περὶ μανίης ἔφη. κἀγὼ, ὦ Ζεῦ βασιλεῦ φημί. εὐκαίρως γε ἀντιγράφεις πρὸς τὴν πόλιν. ὁ δὲ ποίην φησὶ πόλιν Ἱππόκρατες. ἐγὼ δὲ οὐδὲν ἔφην ὦ Δημόκριτε. ἀλλ' οὐκ οἶδ' ὅπως προσέπεσεν. ἀλλὰ τί περὶ μανίης γράφεις; τί γὰρ εἶπεν ἄλλο, πλὴν ἥτις τε εἴη, ὅκως ἀνθρώποις ἐγγίνεται. καὶ τίνα τρόπον ἀπολωφέοιτο. τά τε γὰρ ζῶα ταῦτα ὁκόσα ἔφη ὁρῇς, τουτέου μέντοι γε ἀνατέμνω εἵνεκα, οὐ μισέων θεοῦ ἔργα. χολῆς δὲ διζήμενος φύσιν καὶ θέσιν. οἶδα γὰρ ἀνθρώπων παρακοπῆς, ὡς αἰτίη ἐπὶ τὸ πολὺ αὕτη πλεονάσασα, ἐπεὶ πᾶσι μὲν φύσει ἐνυπάρχει. ἀλλὰ παρ' οἷς μὲν ἔλαττον, παρ' οἷς δέ τι πλέον. ἡ δ' ἀμετρίη αὐτέης, νοῦσοι τυγχάνουσιν, ὡς ὕλης, ὅτε μὲν ἀγαθῆς, ὅτε δὲ φαύλης ὑποκειμένης. κἀγὼ νὴ Δία ἔφην ὦ Δημόκριτε, ἀληθέως γε καὶ φρονίμως λέγεις, ὅθεν εὐδαίμονά σε κρίνω, τοσαύτης ἀπολαύοντα ἡσυχίης. ἡμῖν δὲ μετέχειν ταύτης οὐκ ἐπιτέτραπται. ἐρεομένου δὲ διατί ὦ Ἱππόκρατες οὐκ ἐπιτέτραπται, ὅτι ἔφην, ἢ ἀγροὶ, ἢ οἰκίη, ἢ τέκνα, ἢ δάνεια, ἢ νοῦσοι, ἢ θάνατοι, ἢ δμῶες, ἢ γάμοι, ἢ τοιαῦτά τινα τὴν εὐκαιρίην ἡμῶν ὑποτέμνεται, ἐνταῦθα δὴ ὁ ἀνὴρ εἰς τὸ εἰωθὸς πάθος κατηνέχθη. καὶ μάλα

ἀθρόον ξυνεκάγχασε. καὶ ἐπετώθασε. καὶ τὸ λοιπὸν ἡσυχίην ἦγε. κἀγὼ, τί μὲν δὴ Δημόκριτε ἔφην γελᾷς; πότερον τὰ ἀγαθὰ ὧν εἶπον, ἢ τὰ κακά. ὁ δὲ ἔτι μᾶλλον ἐγέλα. καὶ ἄποθεν ὁρέοντες οἱ Ἀβδηρῖται, οἱ μὲν τὰς κεφαλὰς αὑτῶν ἔπαιον, οἱ δὲ τὰ μέτωπα. οἱ δὲ τὰς τρίχας ἔτιλλον. καὶ γὰρ ὡς ὕστερον ἔφασαν, πλεονάζοντι παρὰ τὸ εἰωθὸς περὶ γέλωτι ἐχρήσατο. ὑποτυχὼν δ' ἐγὼ, ἀλλὰ μὴν ἔφην σοφῶν ἄριστε Δημόκριτε, ποθέω γὰρ αἰτίην τοῦ περὶ σὲ πάθεος καταλαβέσθαι, τίνος ἄξιος ἐφάνην ἐγὼ γέλωτος, ἢ τὰ λεχθέντα, ὅκως μαθὼν παύσωμαι τῆς αἰτίης ἢ σὺ ἐλεγχθεὶς, διακρούσῃ τοὺς ἀκαίρους γέλωτας. ὁ δὲ ἡράκλεις ἔφη. εἰ γὰρ δυνήσῃ με ἐλέγξαι, θεραπείην θεραπεύσεις, οἵην οὐδένα οὐδεπώποτε ὦ Ἱππόκρατες. καὶ πῶς οὐκ ἐλεγχθήσῃ ἔφην ὦ ἄριστε. ἢ οὐκ οἴει ἄτοπος γε εἶν γελῶν ἀνθρώπου θάνατον. ἢ νοῦσον, ἢ παρακοπήν. ἢ μανίην. ἢ μελαγχολίην. ἢ σφαγὴν, ἢ ἄλλο τι χεῖρον. ἢ τοὔμπαλιν γάμους ἢ πανηγύρεις ἢ τεκνογονίην. ἢ μυστήρια. ἢ ἀρχὰς ἢ καὶ τιμὰς, ἢ ἄλλο τι ὅλως ἀγαθόν. καὶ γὰρ ἃ δέον οἰκτείρειν, γελᾷς. καὶ ἐφ' οἷς ἥδεσθαι χρὴ, καταγελᾷς τουτέων. ὥστε μήτε ἀγαθὸν, μήτε κακὸν παρὰ σοὶ διακεκρίσθαι. ὁ δὲ ταῦτα μὲν ἔφη εὖ λέγεις ὦ Ἱππόκρατες. ἀλλ' οὐκ οἶδάς πω τοῦ ἡμετέρου γέλωτος αἰτίην. μαθὼν δ' εὖ οἶδ' ὅτι κρέσσονα τὴν πρεσβείην ἀντιφορτισάμενος ἀφίξεαι θεραπείην τὸν ἐμὸν γέλωτα τῇ πατρίδι, καὶ ἑωυτῷ, καὶ τοὺς ἄλλους δυνήσῃ σωφρονίζειν. ἀνθ' ὧν ἴσως κἀμὲ διδάξεις ἰατρικὴν ἀμοιβαδόν. γνώσῃ ὅσῃ σπουδῇ περὶ τὰ ἀσπούδαστα φιλοτιμεύμενοι πρήσσειν τὰ μηδενὸς ἄξια πάντες ἄνθρωποι τὸν βίον ἀναλίσκουσι, γελώτων ἄξια διοικεῦντες. ἐγὼ δὲ φημι. λέγε πρὸς θεῶν, μήποτε γὰρ διαλανθάνῃ ἅπας ὁ κόσμος νοσέων. καὶ οὐκ ἔχῃ ὅκου διαπέμψηται πρεσβείην πρὸς θεραπείην. τί γὰρ ἂν εἴη ἔξω αὐτέου. ὁ δ' ὑπολαβὼν, πολλαί γε φησὶν ἄπειροι κόσμων εἰσὶν Ἱππόκρατες, καὶ μηδαμῶς ἑταῖρε κατὰ σμικρολογίην πλουσίην τὴν φύσιν ἐοῦσαν. ἀλλὰ ταῦτα ἔφην Δημόκριτε, διδάξεις ἐν ἰδίῳ καιρῷ. εὐλαβεῦμαι γὰρ μή πως καὶ τὴν ἀπειρίην διεξιὼν, γελᾷν ἄρξῃ. ἴδι δὲ νῦν περὶ τοῦ σέο γέλωτος περὶ βίου λόγον δώσων. ὁ δὲ μάλα φαιδρὸν ἀπιδών με, δύο φησὶ τοῦ ἐμοῦ γέλωτος αἰτίας δοκέεις, ἀγαθὰ καὶ φαῦλα. ἐγὼ δὲ ἕνα γελῶ τὸν ἄνθρωπον. ἀνοίης μὲν γέμοντα. κενεὸν δὲ πρηγμάτων ὀρθῶν πάσαις ταῖς βουλαῖς νηπιάζοντα. καὶ μηδεμιῆς εἵνεκεν ὠφελείας ἀλγέοντα τοὺς ἀνηνύτους μόχθους. πείρατα γῆς καὶ ἀορίστους μυχοὺς ἀμέτροισιν ἐπιθυμίῃσιν ὁδεύοντα. ἄργυρον κτίζοντα καὶ χρυσόν. καὶ μὴ παυόμενον τῆς κτήσεως ταύτης. αἰεὶ δὲ θορυβεύμενον περὶ τὸ πλέον ὅκως αὐτὸς ἐλάσσων μὴ γένηται. καὶ οὐδὲ αἰσχύνεται μὴ λεγόμενος εὐδαίμων. ὅτι χάσματα τῆς γῆς ὀρύσσει διζήμενος χερσὶν, ὧν οἱ μὲν ὑπὸ συμφορῆς τῶν πιπτούσης τῆς γῆς ἐφθάρησαν, οἱ δὲ πολυχρονίως ταύτην ἔχοντες τὴν ἀνάγκην ὡς ἐν πατρίδι τῇ κολάσει παραμένουσιν. ἀργύρεον καὶ χρυσίον, μαστεύοντες, ἴχνη κόνεως, καὶ ψήγματα ἐρευνῶντες. ψάμμον ἄλλην ἀλλαχόθεν ἐγείροντες, καὶ τῆς γῆς φλέβας ἐκτέμνοντες. εἰς περιουσίην αἰεὶ βωλοποιέοντες ἐκ γῆς τῆς μητρὸς πολεμίην γῆν καὶ τὴν αὐτὴν ἐοῦσαν, καὶ θαυμάζοντες πατέουσιν. οἷος γέλως τῶν μόχθων, καὶ κρυφίης γῆς ἐρῶσι, τὴν φανερὴν ὑβρίζοντες. κύνας ὠνεῦνται, οἱ δ' ἵππους. οἱ δὲ χώρην πολλὴν περιορίζοντες, ἰδίην ἐπιγράφουσιν. καὶ πολλῆς ἐθέλοντες δεσπόζειν, οὐδὲ αὐτέων δύνανται. γαμεῖν σπεύδουσιν, ἃς μετ' ὀλίγον ἐκβάλλουσιν. ἐρῶσιν, εἶτα μισοῦσι. μετ' ἐπιθυμίης γεννῶσιν. εἶτ' ἐκβάλλουσι τελείους. τίς ἡ κενὴ σπουδὴ καὶ ἀλόγιστος, μηδὲν μανίης διαφέρουσα. πολεμοῦσιν ἔμφυλον, ἠρεμίην οὐκ ἀρετίζοντες. ἀντεπιβουλεύουσι βασιλέας. ἀνδροφονοῦσι. γῆν ὀρύσσοντες, ἀργύρεον ζητοῦσιν. ἀργύρεον εὑρόντες, γῆν ἐθέλουσι πρίασθαι. ὠνησάμενοι γῆν, καρποὺς πιπράσκουσι. καρποὺς ἀποδόμενοι, πάλιν ἀργύρεον λαμβάνουσιν. ἐν ὅσαις μεταβολαῖς εἰσιν, ἐν ὅσῃ κακίῃ; οὐσίην μὴ ἔχοντες, οὐσίην ποθέουσιν, ἔχοντες, κρύπτουσιν, ἀφανίζουσιν. καταγελῶ, ἐφ' οἷς κακοπραγέουσιν. ἐπιτείνω τὸν γέλωτα, ἐφ' οἷς δυστυχέουσι. θεσμοὺς γὰρ ἀληθείας παραβεβήκασι. φιλονεικέοντες ἔχθρην πρὸς ἀλλήλους δῆριν ἔχουσι, μετὰ δὲ ἀδελφῶν καὶ τοκέων, καὶ πολιτῶν, καὶ ταῦτα ὑπὲρ τουτέων κτημάτων ὧν οὐδεὶς θανὼν δεσπότης ἐστὶν, ἀλληλοκτονεῦσιν. ἀθεουμόβια φρονεῦντες φίλων καὶ πατρίδων ἀρείην ὑπερορῶσι. πλουτίζουσι τὰ ἀνάξια καὶ τὰ ἄψυχα. ὅλης τῆς οὐσίης ἀνδριάντα ὠνέονται, ὅτι δοκέει λαλέειν τὸ ἄγαλμα. τοὺς δὲ ἀληθέως λαλέοντας, μισοῦσι. τῶν γὰρ μὴ ἐπ' ἰδίων ἐφίενται. καὶ γὰρ ἤπειρον οἰκεῦντες, θάλασσαν ποθέουσι. καὶ πάλιν ἐν νήσοις ἐόντες, ἤπειρον γλίχονται. καὶ πάντα διαστρέφουσιν ἐς ἰδίην ἐπιθυμίην. καὶ δοκέουσι μὲν ἐν πολέμῳ ἀνδρείην ἐπαινέεσθαι, νικῶνται δὲ καθ' ἡμέρην, ὑπὸ τῆς ἀσελγείης. ὑπὸ φιλαργυρίης.

ὑπὸ τῶν

ὑπὸ τῶν παθέων πάντων νοσέουσι. θερσῖται δ' εἰσὶ τοῦ βίου πάντες. τί δὲ τὸν ἐμὸν Ἱππόκρατες ἐμέμψω γέλωτα; οὐ γὰρ αὐτὸς τῆς ἰδίης ἀνοίης, ἀλλὰ ἄλλος ἄλλου καταγελῆται. οἱ μὲν τῶν μεθυόντων, ὅταν αὐτοὶ δοκέουσι νήφειν. οἱ δὲ τῶν ἐρώντων, χαλεπωτέρην νόσον νοσεῦντες αὐτοί. οἱ δὲ τῶν πλεόντων. ἄλλοι δὲ τῶν περὶ γεωργίην ἀσχοληθέντων. οὐ συμφωνέουσι γὰρ οὔτε ταῖς τέχναις, οὔτε τοῖς ἔργοις. ἐγὼ δὲ ταῦτα μὲν ἔφην ἱερήϊα Δημόκριτε. οὐδ' ἄλλος τις ἂν εἴη λόγος ἁρμοδιώτερος ἐξαγγέλλων ταλαιπωρίην θνητῶν. ἀλλ' αἱ πρήξιες νομοθετοῦσι τὴν ἀναγκαίην. οἰκονομίης τε εἵνεκα καὶ ναυπηγίης. καὶ τῆς ἑτέρης πολιτείης, ἐν ᾗ χρεὼν εἶναι τὸν ἄνθρωπον. οὐ γὰρ εἰς ἀργίην αὐτὸν ἡ φύσις ἐγέννα. ἐκ τουτέων δὲ πάλιν φιλοδοξίη χυθεῖσα, ἔσφηλε πολλῶν ὀρθογνώμονα ψυχήν. σπουδαζόντων μὲν ἅπαντα, ὡς ἤδη ἀδιαπτωσίῃ, μὴ κατευθυνόντων δὲ τὴν ἀδηλότητα προορῶσι. εἴποι γάρ τις ὦ Δημόκριτε γαμέων, ἢ χωρισμὸν, ἢ θάνατον προσεδόκησεν. τίς δ' ὁμοίως παιδοτροφέων ἀπώλειαν. ἀλλ' οὐδ' ἐν γεωργίῃ, καὶ πλοίῳ, καὶ βασιλείῃ, καὶ ἡγεμονίῃ, καὶ πάντ' ὅσ' ὑπάρχει κατὰ τὸν αἰῶνα. οὐδεὶς γὰρ προὔλαβεν πταῖσαι. ἀλλ' ἀγαθοῖσιν ἕκαστος τουτέων ἐλπίσι φέρβεται. τῶν δὲ χερειόνων οὐδὲ μέμνηται. μή ποτ' οὖν ὁ σὸς γέλως τουτέοις ἀνάρμοστος. ὁ δὲ Δημόκριτος, μάλα ἔφη νωθὴς τὸν νόον ὑπάρχεις καὶ μακράν γε τῆς ἐμῆς γνώμης ἀπόδημος Ἱππόκρατες, ἀταραξίης καὶ ταραχῆς μέτρα μὴ ἐπισκοπέων, δι' ἄγνοιαν. ταῦτα γὰρ αὐτὰ, διανοίῃ φρενήρει διοικέοντες, αὐτοί τε ῥηϊδίως ἀπήλλασσον, καὶ τὸν ἐμὸν ἐλώφεον γέλωτα. νῦν δ' ὡς ἐπ' ἀρηρόσι τοῖς ἐν τῷ βίῳ φρενοβλαβέες τετύφλωνται ἀσυλλογίστῳ διανοίῃ τῆς ἀτάκτου φορῆς δυσδίδακτοι. νουθεσίη γὰρ αὐτάρκης ὑπῆρχεν ἡ τῶν ξυμπάντων μεταβολή. ὀξείῃσι τροπῇσιν ἐμπίπτουσα. αἰφνίδιον τροχηλασίην παντοίην ἐννοέουσα. οἱ δ' ὡς ἐπ' ἀρηρυίῃ καὶ βεβαίῃ ἐκλελησμένοι παθέων κατὰ τὸ ξυνεχὲς ἐμπιπτόντων, ἄλλοτε ἄλλος ποθεῦντες τὰ λυπέοντα, διζήμενοι τὰ μὴ ξυμφέροντα, ἐγκαλινδεῦνται πολλῇσι ξυμφορῇσιν. εἰ δέ τις ἐμερμήριζεν κατὰ δύναμιν ἰδίην, τὰ ξύμπαντα ἔρδειν, ἀδιάπτωτον ἐφρούρεε ζωὴν, ἑωυτὸν ἐξεπιστάμενος. καὶ ξύγκρισιν ἰδίην σαφῶς κατανοήσας, καὶ μὴ τῆς ἐπιθυμίης τὴν σπουδὴν, ἀόριστον ἐκτείνων. τὴν δὲ πλουσίην φύσιν, καὶ πάντων τιθηνὸν, δι' αὐταρκείης ὁδοιπορέων. καθάπερ δὲ τῶν παθέων εὐεξίη κίνδυνος πρόδηλος, οὕτω τὸ μέγεθος τῶν εὐτυχημάτων σφαλερόν ἐστιν. ἀείσημοι δ' ἐν τῇσι κακοδαιμονίῃσι ξυνθεωρεῦνται. ἄλλοι δὲ τὰ τῶν παλαιῶν μὴ ἱστορέοντες ὑπὸ τῆς ἰδίης κακοπραγίης ἀπώλοντο. τὰ δῆλα καθάπερ ἄδηλα μὴ προθεωρεῦντες. ὑπόδειγμα τὸν μακρὸν βίον ἔχοντες, γινομένων καὶ μὴ γινομένων. ἐξ ὧν καὶ τὸ ἐσόμενον ἐχρῆν κατανοῆσαι. τοῦθ' ὁ ἐμὸς γέλως ἄφρονες ἄνθρωποι. πονηρίης δίκας ἐκτίνοντες. φιλαργυρίης. ἀπληστίης. ἔχθρης. ἐνεδρίης. ἐπιβουλίης. βασκανίης. ἀργαλέον ἐξειπεῖν πολυμηχανίην κακῶν. ἄπειρος γάρ τις ἐστὶ καὶ τουτέοις δολοπλοκίησιν. ἀνθομιλεῦντες σκολιόφρονες. ἀρετῆς δὲ παρ' αὐτέοις τρόπος ἐστὶ, τὸ χέρειον. φιλοψευδίην γὰρ ἀσκέουσι. φιληδονίην κοσμέουσι. νόμοις ἀπειθεῦντες. ὁ δὲ αὐτέων κατακρίνει τὴν ἀπροαιρεσίην. μήτε ὁρήσεως, μήτε ἀκοῆς μετέχοντας, μούνη δ' αἴσθησις ἀνθρώπου ἀτρεκέει διανοίῃ τηλαυγής, τότε ὂν καὶ τὸ ἐσόμενον προορεομένη. δυσαρεστεῦνται πᾶσι, καὶ πάλιν τοῖς αὐτέοις ἐμπελάζονται. ἀρνησάμενοι πλόον, πλέουσι. γεωργίην ἀπωσάμενοι, αὖθις γεωργοῦσιν. ἐκβάλλοντες γαμετὴν, ἑτέρην εἰσάγονται. γεννήσαντες, ἔθαψαν. θάψαντες, ἐγέννησαν. πάλιν τρέφουσι. γῆρας ηὔξαντο. ἐς αὐτὸ δ' ἀφικόμενοι στενάζουσιν. ἐν οὐδεμιῇ καταστάσει βέβαιον ἔχοντες τὴν γνώμην. ἡγεμόνες καὶ βασιλέες μακαρίζουσι τὸν ἰδιώτην. ὁ δὲ ἰδιώτης, ὀρέγεται βασιλείης. ὁ πολιτευόμενος, τὸν χειροτεχνεῦντα, ὡς ἀκίνδυνον. ὁ δὲ χειροτέχνης ἐκεῖνον, ὡς εὐτονεῦντα κατὰ πάντων. τὴν γὰρ ὀρθὴν κέλευθον τῆς ἀρετῆς οὐ θεωροῦσι καθαρὴν καὶ λείην, καὶ ἀπρόσπταιστον, εἰς ἣν οὐδεὶς τετόλμηκεν ἐμβαίνειν. φέρονται δὲ ἤδη τὴν ἀπειθῆ καὶ σκολιὴν τρηχυβατέοντες καταφερόμενοι. καὶ προσκόπτοντες. οἱ δὲ πλεῖστοι ἐκπίπτοντες. ἀσθμαίνοντες ὡς διωκόμενοι. ἐρίζοντες. ὑβρέοντες, προκυδεύμενοι. καὶ οὓς μὲν αὐτέων, ἔρωτες ἀτάσθαλοι ὑποπεπρήκασιν ἀλλοτρίης εὐνῆς φθορῇ, ἀναιδέης πιστώους. οὓς δὲ τήκει φιλαργυρίης νοῦσος, ἀόριστος. οἱ δ' ἀλλήλοις ἀντεπιτίθενται. οἱ δ' ὑπὸ φιλοδοξίης εἰς ὕψεα ἀνενεχθέντες, βάθει κακίης, εἰς βυθὸν ἀπωλείας καταφέρονται. καὶ κατασκάπτουσιν. εἶτα ἐποικοδομοῦσι. χαρίζονται. εἶτα μετανοοῦσιν καὶ ἀφαιρεῦνται τὰ φιλίης δίκαια. κακοπραγμοῦντες εἰς ἔχθρην τὰ ξυγγενείης πολεμοποιεῦντες. καὶ τουτέων πάντων

τῶν αἰτίη φιλαργυρίη. τί νηπίων ἀθυρόντων διαφέρουσι; παρ' οἷς ἄκριτος μὲν ἡ γνώμη, τὸ δὲ προσπεσὸν τερπνόν. ἐν δὲ τοῖς θυμοῖς, τί προσιὸν ζώοις ἀλόγοις παραλελοίπασιν; πλὴν ὅτι ἐν αὐταρκείῃ μένουσιν οἱ θῆρες. τίς γὰρ λέων ἐν γῇ κατέκρυψε χρυσόν; τίς ταῦρος πλεονεξίην ἐκορύξατο; τίς πάρδαλις ἀπληστίην κεχώρηκε; διψῇ μὲν ἄγριος σῦς, ὅσον ὕδατος ὀρεχθῇ. λύκος δὲ σπαράξας τὸ προσπεσὸν τῆς ἀναγκαίας τροφῆς, ἀναπέπαυται. ἡμέρῃσι δὲ καὶ νυξὶ ξυναπτομένῃσιν, οὐκ ἔχει θοίνης κόρον ἄνθρωπος. καὶ χρόνων μὲν ἐνιαυσίων τέξις ὀχείης, ἀλόγων τέρμα ἐστίν. ὁ δὲ τὸ διηνεκὲς, οἰστρομανίην ἔχει τῆς ἀσελγείης. Ἱπποκράτης. μὴ γελάσω τὸν κλαίοντα δι' ἔρωτα ὅτι ξυμφερόντως ἀποκέκλεισται, μάλιστα δ' ἢν ῥιψοκίνδυνος ἦ, καὶ φέρηται κατὰ κρημνῶν, ἢ βυθῶν πελάγους ἐπί τινος τὸν γέλωτα; μὴ γελάσω τὸν τὴν νῆα πολλοῖσι φορτίοισι βαπτίσαντα, εἶτα μεμφόμενον τῇ θαλάσσῃ ὅτι κατεβύθισεν αὐτὴν πλήρη; ἐγὼ μὲν οὐδαμῶς δοκέω γελῶν, ἐξευρεῖν δὲ κατ' αὐτέων ἤθελον τι λυπηρόν. ἀλλ' οὐδὲ ἰητρικὴν ὑπὲρ τουτέων ἔχειν εἶναι, μήτε τεχνωμένον παιώνια φάρμακα. ὁ σὸς πρόγονος Ἀσκληπιὸς νουθεσίη σοι γενέσθω. σώζων ἀνθρώπους, κεραυνοῖς ἠυχαρίστηται. οὐχ ὁρῇς ὅτι κἀγὼ τῆς κακίης μοῖρα εἰμὶ, μανίης διζήμενος αἰτίην, ζῶα κατακτείνω καὶ ἀνατέμνω, ἐχρῆν δὲ ἐξ ἀνθρώπου τὴν αἰτίην ἐρευνῆσαι. οὐχ ὁρῇς ὅτι καὶ ὁ κόσμος μισανθρωπίης πεπλήρωται; ἄπειρα κατ' αὐτέου πάθεα ξυνήθροικεν. ὅλος ἄνθρωπος ἐκ γενετῆς νοῦσος ἐστίν. τρεφόμενος ἄχρηστος ἱκέτης βοηθείης. αὐξανόμενος, ἀτάσθαλος, ἄφρων, ἐνδεὴς παιδαγωγίης. θρασὺς, ἀκμάζων. παρακμάζων, οἰκτρός. τοὺς ἰδίους πόνους ἀλογιστίῃ γεωργήσας. ἐκ μητρώων γὰρ λύθρων, ἐξέθορε τοιοῦτος. διὰ τοῦτο οἱ μὲν θυμικοὶ καὶ ὀργῆς ἀμέτρου γέμοντες, ἐν ξυμφορῇσι καὶ μάχῃσι, οἱ δ' ἐν φθορῇσι καὶ μοιχείῃσι διὰ παντός. οἱ δ' ἐν μέθῃσιν. οἱ δ' ἐν ἐπιθυμίῃσι τῶν ἀλλοτρίων. οἱ δ' ἐν ἀπωλείῃσι τῶν σφετέρων. ὄφελον δύναμις ὑπῆρχε τὰς ἁπάντων οἰκήσεις ἀνακαλύψαντα μηδὲν ἀφεῖναι τῶν ἐντὸς παρακάλυμμα. εἶθ' οὕτως ὁρῶν τὰ πρησσόμενα ἔνδον. εἴδομεν ἂν οὓς μὲν ἐσθίοντας. οὓς δὲ ἐμέοντας. ἑτέρους δ' αἰκίῃσι στρεβλέοντας. τοὺς δὲ φάρμακα κυκῶντας. τοὺς δὲ ξυννοέοντας ἐπιβουλήν. τοὺς δὲ ψηφίζοντας. ἄλλους χαίροντας. τοὺς δὲ κλαίοντας. τοὺς δὲ ἐπὶ κατηγορίην φίλων ξυγγράφοντας. τοὺς δὲ διὰ φιλοδοξίην ἔκφρονας. καί γε τινὲς βαθύτεραι πρήξιες, τῶν κατὰ ψυχὴν κευθομένων. καὶ τουτέων ὁκόσοι μὲν νέοι, ὁκόσοι δὲ πρεσβῦται, αἰτεῦντες. ἀρνεόμενοι. πενόμενοι. πλουσιάζοντες. λιμῷ θλιβόμενοι. οἱ δὲ ἀσωτίῃ βεβαρυμένοι. ῥυπῶντες. δέσμιοι. οἱ δὲ τρυφῇσι γαυριῶντες. τρέφοντες, ἄλλοι σφάζοντες. ἄλλοι θάπτοντες. ὑπερορέοντες ἃ ἔχουσι, πρὸς τὰς ἐλπιζομένας κτήσιας ὁρμώμενοι. οἱ μὲν ἀναίσχυντοι. οἱ δὲ φειδωλοὶ, οἱ δὲ ἄπληστοι. οἱ μὲν φονεύοντες, οἱ δὲ τυπτόμενοι. οἱ δὲ ὑπερηφανεύοντες. οἱ δὲ ἐπτοημένοι κενοδοξίῃ. καὶ οἱ μὲν ἵπποισι παρεστῶτες, οἱ δὲ ἀνδράσιν, οἱ δὲ κυσὶν, οἱ δὲ λίθοις ἢ ξύλοις, οἱ δὲ χαλκῷ. οἱ δὲ γραφῇσι. καὶ οἱ μὲν πρεσβείαις, οἱ δὲ στρατηγίαις, οἱ δὲ ἱερωσύνῃσιν. οἱ δὲ στεφανοφορέοντες. οἱ δὲ ἔνοπλοι. οἱ δ' ἀποκτεινόμενοι. φέρονται δὲ τουτέων ἕκαστοι, οἱ μὲν ἐπὶ ναυμαχίην, οἱ δὲ ἐπὶ στρατείην, οἱ δὲ ἐπ' ἀγροικίην. ἕτεροι δὲ ἐπὶ φορτίδας ναῦς. οἱ δὲ εἰς ἀγορήν. ἕτεροι δ' ἐπ' ἐκκλησίην. οἱ δὲ ἐπὶ θέητρον. οἱ δὲ ἐν φυγῇ. ἄλλοι δὲ ἀλλαχόσε. καὶ οἱ μὲν ἐς φιληδονίην καὶ ἡδυπαθείην καὶ ἀκρασίην. οἱ δὲ εἰς ἀργίην καὶ ῥαθυμίην. τὰς ἀναξίους οὖν καὶ δυστήνους ψυχὰς ὁρέοντες καὶ τοιαύτας, πῶς μὴ χλευάσωμεν τὸν τοιήνδε ἀκρασίην ἔχοντα βίον αὐτέων; κάρτα γὰρ ἔλπομαι μὴ δὲ τὴν σὴν ἰητρικὴν ἀνδάνειν αὐτέοισιν. δυσαρεστέονται γὰρ ὑπὸ ἀκρασίης ἅπασι. καὶ μανίην τὴν σοφίην νομίζουσιν. ἤπου γὰρ ὑπονοέω ὡς σαφῶς λωβᾶσθαί σου τὰ πολλὰ τῆς ἐπιστήμης, ἢ διὰ φθόνον, ἢ δι' ἀχαριστίην. οἵ τε γὰρ νοσέοντες ἅμα τῷ σώζεσθαι, τὴν αἰτίην θεοῖς ἢ τύχῃ προσνέμουσι. πολλοὶ δὲ τῇ ἰδίᾳ φύσει προσάψαντες, ἐχθαίρουσι τὸν εὐεργετήσαντα, μικροῦ δεῖν προσαγανακτεῦντες, εἰ νομίζονται χρεωφειλέται. οἵ τε πολλοὶ τὸ τῆς ἀτεχνίης ἐφ' ἑωυτέοις ἔχοντες, ἀΐδριες ἐόντες, καθαίρουσι τὸ κρέσσον. ἐν ἀναισθήτοις γάρ εἰσιν αἱ ψῆφοι, οὔτε δ' οἱ πάσχοντες συνώμιλοι εἶναι θέλουσιν, οὔτε οἱ ὁμοτεχνεῦντες μαρτυρεῖν. φθόνος γὰρ ἐνίσταται. οὐκ ἄπειρος σὺ τῶν τουτέων λεχυμάτων. σαφέως δὲ εἰδὼς ταῦτα ἐν ἀξιοπιστείῃσι σὲ πολλάκις γενηθέντα, καὶ οὐδὲ αἰτίην ἢ βασκανίην φιλοτωθάσσοντα. ἀτρεκίης γὰρ οὐδεμία οὔτε γνῶσις οὔτε μαρτυρίη. ἐπεμειδία δὲ λέγων ταῦτα. καί μοι Δαμάγητε, θεοειδής τις κατεφαίνετο, καὶ τὴν πρότερον αὐτέου μορφὴν ἐκλελησμένος. καὶ φημὶ ὦ Δημόκριτε μεγαλόδοξε, μεγάλας γε τῶν σῶν

ξενίων

ξενίων δωρεὰς εἰς Κῶ ἀφίξομαι. πολλοῦ γάρ με τῆς σοφίης θαυμασμοῦ πεπλήρωκας, ἀγνοσέω γάρ σου κῆρυξ ἀληθείης ἀνθρωπίνης φύσιν διιχνεύσαντος καὶ νοήσαντος. θεραπείην δὲ λαβὼν τῆς ἐμῆς διανοίης, παρὰ σεῦ ἀπαλλάσσομαι τῆς ὥρης ἤδη ἀπαιτούσης, καὶ τῆς τοῦ σώματος ἐπιμελείης. αὔριον δὲ καὶ κατὰ τὸ ἑξῆς, ἐν ταυτῷ γενησόμεθα. ἀνιστάμενος ταῦτα εἰπών. καὶ ὃς ἦν ἕτοιμος ἀκολουθεῖν. προσελθόντι δέ τινι οὐκ οἶδ' ὁκόθεν, ἀπεδίδου τὰ βιβλία. κἀγὼ ξυντονώτερον ἤπειξα, καὶ πρὸς τοὺς ὄντας Ἀβδηρίτας ἐπὶ τῇ σκοπιῇ ἀναμένοντάς με, ἄνδρες ἔφην, τῆς πρὸς ἐμὲ πρεσβείης, χάρις ὑμῖν πολλή. Δημόκριτον γὰρ εἶδον, ἄνδρα σοφώτατον, σωφρονίζειν ἀνθρώπους μοῦνον δυνατώτατον. ταῦτ' ἔχω σοι περὶ Δημοκρίτου Δαμάγητε φράζειν, γηθοσύνως πάνυ. ἔρρωσο.

Δημόκριτος Ἱπποκράτει εὖ πράττειν.

Ε πῆλθον ἡμῖν ὡς μεμηνόσιν ὦ Ἱππόκρατες, ἐλλέβορον δώσων, πεισθεὶς ἀνοήτοις ἀνδράσι, παρ' οἷς ὁ πόνος τῆς ἀρετῆς, μανίη κρίνεται. ἐτυγχάνομεν δὲ τότε, περὶ κόσμου διαθέσιος, καὶ πολογραφίης ἔτι δὲ ἄστρων οὐρανίων ξυγγράφοντες. γνώσας δὲ τὴν ἐπὶ τούτοις φύσιν, ὡς εὐκαίρως κάρτα εἴη ἐπιδεδημιουργημένα, καὶ ὡς τηλοῦ μανίης καὶ παραφροσύνης καθέστηκεν, ἐμοῖο μὲν φύσιν ἐπῄνεσας. ἄφρονας δὲ καὶ ἀπιστέας καὶ μεμηνότας κείνους ἐκείνας. ὁκόσα γὰρ ἰνδαλμοῖς διαλλάττοντα ἀνὰ τὸν ἠέρα πλάζει ἡμέας, ἃ δὴ κόσμος ξυνορᾶται καὶ ἀμείβοντα τέτευχε, ταῦτα νόος ἐμὸς φύσιν ἐρευνήσας ἀτρεκέως, εἰς φῶς ἤγαγεν. μάρτυρες δὲ τουτέων, βίβλοι ὑπ' ἐμοῖο γραφεῖσαι. χρὴ οὖν καὶ σὲ ὦ Ἱππόκρατες, μὴ τοιουτοτρόποισιν ἀνδράσιν ξυνέρχεσθαι, καὶ ξυνομιλέειν, ὧν νόος ἀκρόπλοος καὶ ἀβέβαιος καθέστηκεν. εἰ γάρ τοι πεισθεὶς ὡς μεμηνότα με ἐπότισας ἐν ἐλλεβόρῳ, ἡ πινυτὴ μανίη ἂν ἐγεγόνει. καὶ σέο τέχνην κατεμέμψαντο, ὥσπερ αἰτίην παρακοπῆς γεγενημένην. ἐλλέβορος γὰρ ὑγιαίνουσι μὲν δοθείς, ἐπισκοτεῖ διάνοιαν. μεμηνόσι δὲ κάρτα ὠφελεῖν εἴωθεν. ὤηθην γὰρ εἰ μὴ κατειλήφεις με γράφοντα, ἀνακείμενον ἢ ἢ σχεδὸν περιπατοῦντα καὶ προσομιλέοντα ἐμαυτῷ, ὅτε μὲν δυσχεραίνοντα, ὅτε δὲ μειδιῶντα ἐπὶ τοῖς ἐννοουμένοις ὑπ' ἐμοῖο. καὶ τοῖς προσομιλέουσι τῶν γνωρίμων, οὐ προσέχοντα. ἐφιστάντα δὲ τὴν διάνοιαν καὶ σκεπτόμενον ἐκπάγλως, ὠήθης ἂν Δημόκριτον, κατά γε ὄψιος κρίσιν ἐκ τῶν ὁρεομένων, μανίης εἰκόνι ἐοικέναι. χρὴ οὖν τὸν ἰητρόν, μὴ μόνον ὄψει τὰ πάθη κρίνειν, ἀλλὰ καὶ πρήγμασι. τούς τε ῥυθμοὺς ἀνακρίνειν ὡς ἐπὶ τὸ πλεῖστον. καὶ πότερον ἄρχοιτο τὸ πάθος. ἢ μεσάζοι. ἢ λήγοι. καὶ διαφορὴν καὶ ὥρην. καὶ ἡλικίην παρατηροῦντα ἰητρεύειν τὸ πάθος, οὐλομελίην τε τοῦ σκήνεος. ἐκ γὰρ τουτέων ἁπάντων, εὐχερῶς τὴν νοῦσον εὑρήσεις. ἀπέσταλκα δέ σοι τὸν περὶ μανίης λόγον. ἔρρωσο.

Ὁ περὶ μανίης λόγος.

Μ αινομένῳ δὲ ὡς ἔφην, ἐν τῷ περὶ ἱρῆς νούσου, ὑπὸ ὑγρότητος τοῦ ἐγκεφάλου. ἐν ᾧ εἰσὶ τὰ τῆς ψυχῆς ἔργα. ὅταν ὑγρότερος τῆς φύσιος ᾖ, ἀνάγκη κινέεσθαι. κινουμένου δὲ μήτε τὴν ὄψιν ἀτρεμίζειν, μήτε τὴν ἀκοήν. ἀλλὰ ἄλλοτε ἀλλοῖα ὁρᾶν τε καὶ ἀκούειν. τήν τε γλῶσσαν τοιαῦτα διαλέγεσθαι, οἷα ἂν βλέπῃ τε καὶ ἀκούῃ ἑκάστοτε. ὅσον δὲ ἂν ἀτρεμίσῃ ὁ ἐγκέφαλος, τοσοῦτον καὶ φρονεῖ χρόνον ὁ ἄνθρωπος. γίνεται δὲ ἡ διαφθορὰ τοῦ ἐγκεφάλου, ὑπὸ φλέγματος, καὶ χολῆς. γνώσῃ δὲ ἑκάτερα, ὧδε. οἱ μὲν γὰρ ὑπὸ φλέγματος μαινόμενοι, ἥσυχοί τε εἰσί, καὶ οὐ βοητοί, οὐδὲ θορυβώδεες. οἱ δὲ ὑπὸ χολῆς, πλῆκται καὶ κακοῦργοι καὶ οὐκ ἠρεμαῖοι. ἢν μὲν ξυνεχῶς μαίνωνται, αὗται αἱ προφάσιες εἰσίν. ἢν δὲ δείματα καὶ φόβοι, ὑπὸ μεταστάσιος γίνεται τοῦ ἐγκεφάλου θερμαινομένου ὑπὸ χολῆς ὁρμώσης ἐπ' αὐτὸν κατὰ φλέβας, τὰς αἱματίτιδας. ὅταν δὲ ἀπέλθῃ ἡ χολὴ πάλιν ἐς τὰς φλέβας, καὶ τὸ σῶμα πέπαυται. ἀνιῆται δὲ καὶ ἀσῆται καὶ ἐπιλήθεται παρὰ καιρόν, ψυχομένου τοῦ ἐγκεφάλου ὑπὸ φλέγματος καὶ ξυνισταμένου παρὰ τὸ ἔθος. ὅταν δὲ ἐξαπίνης ὁ ἐγκέφαλος διαθερμαίνηται ὑπὸ χολῆς κατὰ τὰς φλέβας τὰς εἰρημένας ἐπιζέσαντος τοῦ αἵματος ἐνύπνια ὁρῶσι φοβερά. καὶ ὡς ἐγρηγορότος τὸ πρόσωπον φλογιᾷ. καὶ οἱ ὀφθαλμοὶ ἐρυθραίνονται. καὶ ἡ γνώμη ἐπινοεῖ τι κακὸν ἐργάζεσθαι. τοσαῦτα καὶ ἐν τῷ ὕπνῳ πάσχει. ὅταν δὲ τὸ αἷμα σκεδασθῇ πάλιν ἐς τὰς φλέβας, πέπαυται. ἐν δὲ τῷ πέμπτῳ τῶν ἐπιδημιῶν ἱστορήσας, ὡς ἐγίνετο ἀφωνίη, ἄγνοια. παραληρήσεις συχναὶ καὶ ὑποστροφαί. ἡ δὲ γλῶσσα σκληρή. καὶ εἰ μὴ διακλύσαιτο, λαλεῖν οὐχ οἷόν τε ἦν καὶ σφόδρα πικρή, τὰ πολλὰ φλεβοτομίη ἔλυσεν. ὑδροποσίη μελι-

κρητον. ἐλλεβόρων πόσιος. οὗτος ὀλίγον ἐπιζήσας χρόνον, ἐτελεύτησεν. ἄλλος ἦν ὃς ὅτε εἰς ποτὸν ὁρμώη, φόβος τῆς αὐλητρίδος ἐλάμβανεν, εἰ ἀκούσειεν αὐλούσης. ἡμέρης δὲ ἀκούων οὐδὲν ἔπασχε.

Ἱπποκράτης Δημοκρίτῳ εὖ πράττειν.

Ἰητρικῆς τέχνης ὦ Δημόκριτε, κατορθώματα μὲν οἱ πολλοὶ τῶν ἀνθρώπων, οὐ παντάπασιν ἐπαινοῦσιν. θεοῖς δὲ πολλάκις, προσαρτῶσιν. ἢν δέ τι ἡ φύσις ἀντιπρήξασα ἀπολέσῃ τὸν θεραπευόμενον, ἰητροὺς καταμέμφονται, παρέντες τὸ θεῖον. καὶ ἔγωγε δοκέω πλείονα μεμψιμοιρίην, ἢ τιμὴν κεκληρῶσθαι τὴν τέχνην. ἐγὼ μὲν γὰρ ἰητρικῆς οὐ τέλος οὐκ ἀφῖγμαι. καίπερ ἤδη γηραλέος καθεστώς. οὐδὲ γὰρ ὁ ταύτης εὑρετὴς ἀσκληπιός. ἀλλὰ καὶ αὐτὸς ἐν πολλοῖς διεφώνησε. καθάπερ ἡμῖν αἱ τῶν ξυγγραφέων βίβλοι παραδεδώκασιν. ἡ μὲν οὖν ὑπὸ σέο ἐπισταλεῖσα ἡμῖν ἐπιστολὴ, κατεμέμφετο περὶ τῆς φαρμακείης τοῦ ἐλλεβόρου. εἰσήχθην μὲν οὖν ὦ Δημόκριτε ὡς μεμηνότα ἐλλεβορίζων. οὐ καταμαντευσάμενος ὅστις ποτ' εἴης. ὡς δ' ἐντυχὼν ἔγνων, οὐ μὰ Δία παραφροσύνης ἔργον, ἀλλὰ σχεδὸν ἀκροδιχῆς πάσης, κάρτα σὴν φύσιν ἐπήνεσα. ἄριστόν τε φύσεως ἑρμηνευτὴν καὶ κόσμου ἔκεινα. τοὺς δὲ εἰσαγαγόντας με, ἐμεμψάμην ὡς μεμηνότας. φαρμακείης γὰρ αὐτοὶ ἔχρηζον. ἐπειδὴ τοίνυν τὸ αὐτόματον ἡμέας ἐς τὸ αὐτὸ συνήγαγεν, ὀρθῶς ποιήσεις ἐπιστέλλων ἡμῖν πυκνότερον, καὶ μεταδιδοὺς τῶν ὑπὸ σέο γραφομένων ξυνταγμάτων. ἀπέσταλκα δέ σοι καὶ αὐτὸς τὸν περὶ τοῦ ἐλλεβορισμοῦ λόγον. ἔῤῥωσο.

Ἱπποκράτης Δημοκρίτῳ περὶ ἐλλεβορισμοῦ.

Τοῖς μὴ ῥηϊδίως ἄνω καθαιρομένοις πρὸ τῆς πόσιος προϋγραίνειν τὰ σώματα, πλείονι τροφῇ καὶ ἀναπαύσει. ἐπὴν δὲ πίῃ ἐλλέβορον πρὸς τὰς κινησίας τῶν σωμάτων μᾶλλον ἄγειν μὴ πρὸς ὕπνους. δηλοῖ δὲ ἡ ναυτιλίη. ὅτι κίνησις τὰ σώματα ταράσσει. ἐπὴν βούλῃ μᾶλλον ἄγειν ἐλλέβορον κινεῖ τὰ σώματα. ἐλλέβορος ἐπικίνδυνος τοῖς σάρκας ὑγιέας ἔχουσι. ὅσοι ἐν ταῖς φαρμακοποσίαις μὴ διψῶσι, καθαιρόμενοι οὐ παύονται, πρὶν ἢ διψήσωσι. σπασμὸς ἐξ ἐλλεβόρου, θανάσιμον. ἐπὶ ὑπερκαθάρσει σπασμὸς ἢ λυγμὸς ἐπιγενόμενος κακόν. ἐν ταῖς ταραχαῖς τῆς κοιλίης καὶ τοῖσιν ἐμέτοις τοῖς αὐτομάτοις γινομένοισιν, ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν. εἰ δὲ μὴ, τοὐναντίον. ὡς δὲ ἔφην ἐν τῷ προγνωστικῷ, κάθαρσις εὐθετεῖ ἡ ἄνω ἐφ' ἀπυρέτῳ. ἀσιτίη ἢ καρδιωγμὸς, ἢ σκοτόδινος, ἢ στόμα ἐπιπικρούμενον καθόλου ταῖς ὑπὲρ τῶν φρενῶν ὀδύναις. ἡ δὲ κάτω ὅπου χωρὶς πυρετοῦ στρόφος. ὀσφύος ὀδύνη. γουνάτων βάρος. καταμήνια δυσεργοῦντα. ὀδύναι ἐν τοῖς ὑπὸ τὸ διάφραγμα. φυλάσσεσθαι δὲ ἐν ταῖς φαρμακοποσίαις τοὺς ἀστείους τὰ σώματα. μάλιστα δὲ τοὺς μέλανας καὶ ὑγροσάρκους. καὶ τοὺς ὑποξήρους δὲ καὶ ψελλοὺς, καὶ τραυλούς. ὁκόσοι δὲ τὰ φλεγμαίνοντα ἐν ἀρχῇ τῆς νόσου, ὡς ἔφην, ἐν τῷ περὶ πτισάνης εὐθέως ἐπιχειροῦσιν λύειν φαρμακείῃ, τοῦ μὲν ξυντεταμένου καὶ φλεγμαίνοντος οὐδὲν ὠφελέουσιν. οὐδὲ γὰρ διαδίδωσιν ὠμὸν ἐὸν τὸ πάθος. τὰ δὲ ἀντέχοντα τῷ νοσήματι καὶ ὑγιεινὰ ξυντήκουσι. ἀσθενέως δὲ τοῦ σώματος γινομένου, τὸ νόσημα ἐπικρατεῖ καὶ ἀνιήτως ἔχουσι. ἐλλεβορίζειν δὲ χρὴ οἷς ἀπὸ κεφαλῆς φέρεται ῥεῦμα. μὴ διδόναι δὲ ἐπὶ ἐμπύων, μὴ φαρμακεύειν τοὺς ἀχρόους. τοὺς βραγχώδεας. τοὺς σπληνώδεας. τοὺς ἀφαίμους. τοὺς πνευματώδεας καὶ ξηρὰ βήσσοντας. διψώδεας. φυσώδεας. ἐντεταμένους ὑποχόνδρια καὶ πλευρὰς καὶ μετάφρενα. τοὺς ἀκρωναρκωμένους καὶ ἀμαυρὰ βλέποντας. καὶ οἷς ἦχοι τῶν ὤτων καὶ τῆς οὐρήθρας ἀκρατεῖς. μὴ δὲ τοὺς ἰκτερώδεας. ἢ κοιλίης ἀσθενέας. ἢ αἱμοῤῥώδεας. ἢ ἐν φύμασιν. ἢν δὲ φαρμακεῦσαι δοκεῖ, ἐλλεβόρῳ ἀσφαλὴς ἄνω κάθαιρε. κάτω δὲ μή. κράτιστον δὲ τούτοις διαιτῶν. ὡς δὲ ἔφην ἐν τῷ προῤῥητικῷ, μὴ φαρμακεύειν μηδὲ τοὺς ἐπανεμοῦντας μέλανα, ἀποσίτους, καὶ παραφόρους, καθεύδειν μικρὰ ὀδυνώδεας. ὄμμα θρασὺ κεκλιμένον ἔχοντας. ἀπιδοῦντας. σκοτώδεας. ἀχρόους, μὴ δὲ τοὺς ἐν πυρετῷ καυματώδεας κατακεκλασμένους. ὡς δὲ ἔφην περὶ πτισάνης σησαμοειδὲς ἄνω καθαίρει. ἡ πόσις ἥμισυ δραχμῆς ἐν ὀξυμέλιτι τετριμμένω. ξυμμίσγεται δὲ καὶ τοῖς ἐλλεβόροις τὸ τρίτον μέρος τῆς πόσιος καὶ ἧσσον πνίγει. καθαίρει δὲ καὶ τοὺς ἐν χρονίοις τεταρταίοις καὶ τοὺς ἐν λιπυριώδει πυρετῷ χρονίους. καὶ ὧν οὐκ ἔστι δίψος μὴ δὲ ἀπόκρισις. τούτους δὲ μὴ πρότερον τῶν τριῶν ἑβδομάδων. ποτὲ δὲ καὶ πλευριτικοὺς καὶ εἰλεώδεις. ὡς δὲ ἔφην ἐν τῷ περὶ γυναικείων, καθαίρειν καὶ ἢν αἱ μῆτραι καθάρσιος δέωνται.

Ἱπποκράτους πρὸς τὸν υἱὸν Θεσσαλόν.

Σπουδῆς δὲ μελέτω σοι ὦ παῖ γεωμετρικῆς καὶ ἀριθμήσιος. οὐ γὰρ μόνον σέο καὶ τὸν βίον εὐκλεᾶ καὶ ἐπὶ πολλὰ χρήσιμον ἐν ἀνθρωπίνῃ μοίρῃ ἐπιτελέσει. ἀλλὰ καὶ τὴν ψυχὴν ὀξυτέρην τε καὶ τηλαυγεστέρην κατὰ τὸ ἐν ἰητρικῇ ὀνῆσθαι πᾶν ὅτι χρήζει. καί τοι ἡ μὲν τῆς γεωμετρίης ἱστορίη ἐοῦσα πολύσχημός τε καὶ πολυειδὴς, καὶ πᾶν μετ' ἀποδείξεως περαινομένη ἔσται χρησίμη πρός τε τὰς τῶν ὀστέων θέσεις καὶ διαρθρήσεις. καὶ τὴν λοιπὴν τῶν μελέων τάξιν. εἰς τὴν γὰρ τούτων πολυτροπίην εὐεπιγνωστότερον. ἐμβολῇ τε ἄρθρων καὶ τῇ τῶν ὀστέων τῶν συντριβομένων ἀναπρίσει τε καὶ ἐκτρυπήσει, καὶ συνθέσει, καὶ ἐξαιρέσει, καὶ τῇ λοιπῇ θεραπείῃ χρῆσθαι, εἰδότι ὁκοῖόν τι χωρίον ἐστὶ καὶ τὸ ἐκ τούτου ἐξορυσσόμενον ὀστέον. ἡ δὲ τῆς ἀριθμήσιος τάξις, πρός τε τὰς περιόδους καὶ ἀλόγους τῶν πυρετῶν μεταστάσιας, καὶ τὰς κρίσιας τῶν νοσεόντων, καὶ τῆς ἐν νούσοις ἀσφαλείης ἀρκέουσα ἔσται. μάλα γὰρ σεμνὴν ὑπηρεσίαν ἔχει ἐν ἰητρικῇ τοιήνδε ἥτις σοι τὰ μέτρα τῆς ἐπιτάσιος καὶ τῆς ἀνέσιος ὅταν ἄνισα ὄντα τὴν μοῖραν εὔγνωστα παρέχεται, χωρὶς ἀμπλακίης. διό δὴ κάρτα ἐς δύναμιν ἀφικνέο τῆς τοιῆσδε ἐμπειρίης. ἔῤῥωσο.

Δημόκριτος Ἱπποκράτῃ περὶ φύσιος ἀνθρώπου.

Χρὴ πάντας ἀνθρώπους ἰητρικὴν τέχνην ἐπίστασθαι ὦ Ἱππόκρατες. καλὸν γὰρ ἅμα καὶ ξυμφέρον ἐς τὸν βίον. τουτέων δὲ μάλιστα, τοὺς παιδείας καὶ λόγων ἴδριας γεγενημένους. ἱστορίην σοφίης γὰρ δοκέω ἰητρικῆς ἀδελφὴν καὶ ξύνοικον. σοφίη μὲν γὰρ ψυχὴν ἀναρρύεται παθῶν. ἰητρικὴ δὲ, νόσους σωμάτων ἀφαιρέεται. αὔξεται δὲ νόος, παρεούσης ὑγείης. ἣν καλὸν προνοέειν τοὺς ἐσθλὰ φρονέοντας. ἕξεως δὲ σωματικῆς ἀλγεούσης, οὐδὲ προθυμίην ἄγει νόος, ἐς μελέτην ἀρετῆς. νοῦσος γὰρ παρεοῦσα, δεινῶς ψυχὴν ἀμαυροῖ, φρόνησιν εἰς συμπάθειαν ἄγουσα. φύσεως δὲ ἀνθρωπίνης ὑπογραφὴ, θεωρίην ἔχει τοιήνδε. ὁ μὲν ἐγκέφαλος, φρουρέει τὴν ἄκρην τοῦ σώματος. ἀσφάλειαν ἐμπεπιστευμένος. ὑμέσι νευρώδεσι συνοικέων. ὑπὲρ ὧν, ὀστέων διπλῶν φύσιες ἀναγκαῖαι ἀρηρυῖαι, δεσπότην φύλακα διανοίης, καλύπτουσιν ἐγκέφαλον. τριχῶν εὐκοσμία, χρῶτα κοσμῶσαι. τὸ δὲ τῶν ὀμμάτων ὁρητικὸν, ἐν πολυχίτωνι φυλασσόμενον ὑγροῦ, ἐν στασίαις ὑπὸ μετώπων, κολασίῃ συνίδρυται. θεωρίης δὲ αἴτιον. ἀκριβὴς δὲ κόρη, φύλακα ταρσὸν δυναμένης ὑπομένει. διπλοῖ δὲ ῥώθωνες ὀσφρήσιος ἐπιγνώμονες, διορίζουσιν ὀφθαλμῶν γειτνίην. μαλακὴ δὲ χειλέων ἀφὴ στόματι περιπτυσσομένη, ῥημάτων αἴσθησιν, ἀκριβῆ τε διάρθρωσιν παρέσχηκε κυβερνωμένη. γένειον δὲ, ἀκροτελὲς καὶ χελώνειον γόμφοις συνηρμοσμένον. ἐνδεχεῖα δὲ μύθων ὦτα, δημιουργὸς ἀνέῳγεν. οἷς ἐπεὼν ὁ θυμὸς, οὐκ ἀσφαλὴς διήκονος ἀλογιστίης γίνεται. λαλιῆς μήτηρ γλῶσσα, ψυχῆς ἄγγελος, πυλωροῦσα τὴν γεῦσιν, ὀχυροῖς ὀδόντων θριγκοῖσι πεφρούρηται. βρόγχος δὲ καὶ φάρυγξ, ἡρμοσμένοι ἀλλήλοις, γειτνιῶσιν. ὁ μὲν γὰρ εἰς κέλευθον πνεύματος. ὁ δὲ, εἰς βυθὸν κοιλίης, τροφὴν προπέμπει. λάβρον ὠθεύμενος. κωνοειδὴς δὲ, καρδίη βασιλὶς, ὀργῆς τιθηνὸς, πρὸς πᾶσαν ἐπιβουλὴν ἐνδέδυκε θώρακα. θαμινὰ δὲ πνευμάτων σήραγγες ἀέρι διοδευόμεναι, φωνῆς αἴτιον πνεῦμα τίκτουσι. τὸ δὲ χορηγὸν αἵματος, καὶ μεταβάλλον εἰς τροφὴν, σὺν λοβοῖς πολλάκις κοίλη περίπλοος ἔσται, ἧπαρ ἐπιθυμίης αἴτιον. χλωρὴ δὲ χολὴ πρὸς ἥπατι μένουσα καὶ διαφθορὴ σώματος ἀνθρωπηίου ὑπερβλύσασα γίνεται. βλαβερῶς δὲ σώματος ἀνθρωπίνου καὶ ἀνωφελὴς ἔνοικος, σπλὴν ἀπέναντι εὕδει πρᾶγμα μηδὲν αὐτόμενος. μέση δὲ τουτέων, χορηγεῖ πανδέκτειρα κοιλίη. κατεργάζεται διοικεῦσα τὴν πέψιν. ἔνοχα δὲ κοιλίης συνθέσεως δημιουργίῃ συνδεδεμένα, εἰλεῖται περὶ κοιλίην ἔντερα. λήψεως καὶ ἀποκρίσεως αἴτια. δίδυμοι δὲ νεφροὶ, ἰσχίοισιν ἐνιδρυσμένοι, καὶ ἠμφιεσμένοι δημῷ, οὔρων ἐκκρίσεως οὐκ ἀλλότριοι πεφύκασι. κύριος δὲ ἁπάσης κοιλίης, ὁ καλούμενος ἐπίπλους, γαστέρα πᾶσαν ἐμπεριείληφε, μόνου σπληνὸς ἄτερ. ἑξῆς νευρώδης κύστις ἰσχίῳ στόμα ἐνιδρυσμένη συμπεπλεγμένων ἀγγείων, οὔρων ἐκκρίσεως αἰτίη γίνεται. ἡ δὲ γειτνιῶσα ταύτῃ μήτηρ βρεφέων, ἡ δεινὸν ἄλγος τῶν ἐν γυναικὶ μόχθων μυρίων παραιτίη, μήτηρ πεφώλευκεν. ἡ πυλωρὸς μυχοῖς ἰσχίων βράσσουσα σὰρξ, σφίγγεται νεύροισιν. ἐκ δὲ πλήθους ἐκχέουσα γαστρὸς φύσιος, ἐκ τόκου προνοίης. ἐκ δὲ σώματος κρεμαστοὶ ἐκτὸς, οἰκίην νέμονται ἔκγονοι κτίσται ὄρχεις, πουλυχίτωνες ἐόντες. σύνεον ἥβη ἀπὸ φλεβέων τε καὶ νεύρων πλέγμα, οὔρων

ἔκχυσιν ποιούμενον, σὺν οὐσίας ὑπουργὸν φύσιος ὑποδεδημιούργηται. ὄρεξιν ἥβης πυκαζόμενον. σκέλη δὲ καὶ βραχίονες, καὶ τὰ προσηρτημένα τούτοις ἄκρα, διηκονίης πᾶσαν ἀρχὴν συνηθροισμένα ἔχοντα, νεύρων τε ἀσφαλῆ λειτουργίην τελέουσιν. ἡ δὲ ἀσώματος ἐν μυχοῖς φύσις, ἐξέτευξε παντάμορφα σπλάγχνων γένη. ἃ δὴ θάνατος ἐπιστάς, ὠκέως ἔπαυσε λειτουργίης.

Ἱπποκράτους ὑγιεινὸν πρὸς Δημήτριον βασιλέα.

ππoκράτης Κῷος βασιλεῖ Δημητρίῳ χαίρειν. ἡμεῖς καὶ πρότερον σπουδάζοντες ὦ
I βασιλεῦ περὶ τῆς ἀνθρωπίνης φύσεως ἐν κεφαλαίῳ θεωρῆσαι τὰ μέρη, ταῦτα συγγράψαντες καθάπερ ἠξίωσας, ἀπεστείλαμεν. νῦν δὲ περὶ ὧν δεῖ μάλιστα σπουδάζειν τοὺς ἔμφρονας, ἡμεῖς τὰ μὲν, καὶ παρὰ τῶν πρότερον παρειληφότες, τὰ δὲ, καὶ νῦν αὐτοὶ προσεξευρίσκοντες, γεγράφαμέν σοι. οἷς σὺ τῶν προτέρων ἀρρωστημάτων σημείοις γινομένοις ἐπακολουθῶν, καὶ χρώμενος πλειστάκις, ἄνουσος ἂν εἴης τὸν ἅπαντα χρόνον. ἔστι δὲ, δύο γένη ἀρρωστιῶν ἁπάντων ζώων. ἡ μὲν, κατὰ γένος. ἡ δὲ, κατὰ πάθος, ἀνόμοιαι. τὰς δὲ ἐπιθυμίας τὰς κατὰ τὴν τροφὴν, ἐκ τῶν ὑπεναντίων ὄψει. ξηραινομένων τε κενουμένων. τὰ δὲ πλήρη πληρούντων δὲ κενά. τὰς δὲ νούσους ἁπάσας, ἐξ ὑπεναντίων ὄψει καθεστηκυίας καὶ νούσους ὑπὸ νούσων γινομένας. ὑπὸ σπασμῶν πυρετὸς ἐπιγενόμενος, ἵστησι τὸ νόσημα. κεφαλῆς πολλῆς δὲ περιωδυνίας αἷμα κατὰ τὰ ὦτα ῥαγὲν, ἢ κατὰ τὰς ῥῖνας. σπασμοὶ πᾶσι τοῖς μελαγχολικοῖς ἐπιγιγνόμενοι, παύουσι τὰς μελαγχολίας. καὶ καθόλου μέν ἐστι καὶ ῥίζα τῶν ἀνθρωπίνων νοσημάτων, ἡ κεφαλὴ, καὶ τὰ ἀρρωστήματα τὰ μέγιστα, ἐκ ταύτης παραγίνεται. ἐπικειμένην γὰρ αὐτὴν τῷ σώματι, ὥσπερ σικύαν τῶν εἰσφερομένων ἁπάντων συμβαίνει αὐτὴν ἕλκειν περιττώματα. καὶ τοὺς λεπτομερεῖς χυμούς. δεῖ δὲ προσέχειν τὸν νοῦν, ἰδίως ζῆν αὐτὸν παρασκευάσαντα εἰς ταῦτα τὰ μέρη. ὅπως μηδεμίαν αὔξησιν λαμβάνοντα, τὰ προσπίπτοντα τῶν ἀρρωστημάτων, διά τε τῆς ἐπιμελείας καὶ τῆς εὐταξίης τῆς παρὰ σοὶ γινομένης. καὶ μήτε ταῖς τῶν ἀφροδισίων ἀκρασίαις, μήτε ταῖς τῶν διαφόρων ἐδεσμάτων, μήτε τοῖς ὕπνοις τοῖς ὑπερκολαστικοῖς ἀγυμνάστου ὄντος τοῦ σώματος χρώμενος, ἀλλ' ἐπακολουθοῦντα τοῖς σημείοις τοῖς γινομένοις ἐν τῷ σώματι, διατηρεῖν τὸν καιρὸν ἑκάστου σώματος. ὅπως ἂν φυλαξάμενος τὸ ἀρρώστημα τὸ μέλλον ἐπιφέρεσθαι, ταῖς θεραπείαις αἷς ἂν ἐγὼ γράφω χρώμενος, διατελῇς ἄνουσος ἐών.

Δόγμα ἀθηναίων.

Δοξε τῇ βουλῇ καὶ τῷ δήμῳ τῶν ἀθηναίων. ἐπειδὴ Ἱπποκράτης Κῷος ἰατρὸς ὑπάρ-
E χων καὶ γεγονὼς ἀπὸ ἀσκληπιοῦ, μεγάλην εὔνοιαν μετὰ σωτηρίας ἐνδέδεικται τοῖς ἕλλησι. ὅτε καὶ λοιμοῦ ἰόντος ἀπὸ τῆς βαρβάρων ἐπὶ τὴν ἑλλάδα, κατὰ τόπους ἀποστείλας τοὺς ἑαυτοῦ μαθητὰς παρήγγειλε τίσι χρὴ θεραπείαις χρωμένους ἀσφαλῶς διαφεύξασθαι τὸν ἐπιόντα λοιμόν. ὅπως τε ἰητρικὴ δοθεῖσα τοῖς ἕλλησι ἀσφαλῶς σώζει τοὺς κάμνοντας αὐτῶν. ἐξέδωκε δὲ καὶ συγγράψας ἀκριβῶς τὰ περὶ τῆς ἰητρικῆς τέχνης, πολλοὺς βουλόμενος τοὺς σώζοντας ὑπάρχειν ἰητρούς. τοῦ τε περσῶν βασιλέως μεταπεμπομένου αὐτὸν ἐπὶ τιμαῖς ταῖς κατ' αὐτὸν ἴσαις καὶ δώροις ἐφ' οἷς ἂν αὐτὸς Ἱπποκράτης αἱρῆται, ὑπερεῖδε τὰς ὑποσχέσεις τοῦ βαρβάρου, ὅτι πολέμιος καὶ κοινὸς ἐχθρὸς ὑπῆρχε τοῖς ἕλλησι. ὅπως οὖν ὁ δῆμος ἀθηναίων φαίνηται προαιρούμενος τὰ χρήσιμα διὰ παντὸς ὑπὲρ τῶν ἑλλήνων, καὶ ἵνα χάριν ἀποδῷ πρέπουσαν Ἱπποκράτει ὑπὲρ τῶν εὐεργετημάτων, δεδόκηται τῷ δήμῳ μυῆσαι αὐτὸν τὰ μυστήρια τὰ μεγάλα δημοσίᾳ καθάπερ ἡρακλέα τὸν διός. καὶ στεφανῶσαι αὐτὸν στεφάνῳ χρυσῷ ἀπὸ χρυσῶν χιλίων. ἀναγορεῦσαι τε τὸν στέφανον παναθηναίοις τοῖς μεγάλοις ἐν τῷ ἀγῶνι, τῷ γυμνικῷ. καὶ ἐξεῖναι πᾶσι κῴων παισὶν ἐφηβεύειν ἐν ἀθήναις καθάπερ παισὶν ἀθηναίων. ἐπειδήπερ ἡ πατρὶς αὐτῶν ἄνδρα τοιοῦτον ἐγέννησεν. εἶναι δὲ Ἱπποκράτει καὶ πολιτείαν καὶ σίτησιν ἐν πρυτανείῳ διὰ βίου.

Ἐπιβώμιος.

Πολλοὶ καὶ πολλῶν πολίων οἰκητοὶ ἐν ἀξίῃ μεγάλῃ γεγονότες. κοινὸν οὔνομα Θεσσα-
Ω λοὶ, πᾶσιν ἀνθρώποισι πικρὴ ἀνάγκη τὰ μεμοιραμένα φέρειν. καρτερεῖ γὰρ βιάζεσθαι ἃ βούληται. ἣ καὶ νῦν ἐγὼ ἔχων ξὺν ἐμῇ γενεᾷ θαλλοὺς στέψας, ἐπ' ἀθηναίης βωμοῦ ἱκέτης ἵδρυμαι, τίς ἐὼν χρὴ λέγειν τοῖς ἀγνοέουσιν. Ἱπποκράτης ὦ ἄνδρες ὁ ἰητρὸς

ὁμοίως

ὁμοίως οὐ διὰ σμικρῆς καὶ φαύλης αἰτίης, ἐμὲ ἑωυτὸν καὶ παῖδας, ὑμῖν ξυνίστημι. γινώσκεσθαι ὦ πλῆθος. καὶ γὰρ δὴ ὦ ἄνδρες οἰκεῖοι ἐν οἷς ὡς εἰπεῖν ἀληθὲς πολλοῖσιν ὑμέων καὶ πολίων ὑμετέρων γινώσκομαι ὡς τύπῳ εἰπεῖν. οὔνομα δ' ἴδιες καὶ προσωτέρω κεχώρηκε. δοκέει δὲ τοῦτο ἐκ τέχνης ἐμῆς ὑγιείης τε καὶ ζωῆς, αἴτιον ἀνθρώποισιν. οὐ μόνον τοῖσι τὴν ὑμετέρην οἰκέουσιν, ἀλλὰ καὶ πολλοῖσιν Ἑλλήνων, ἐγγὺς ὑμέων γινώσκομαι. ἤδη δὲ ὅτι ἐγὼ ὑπέμεινα τὸ τηλικοῦτον πρῆγμα, ἔργῳ πρᾶξαι ὁρέω. Ἀθηναῖοι ὦ ἄνδρες Θεσσαλοὶ κακῶς ἔξουσι χρεώμενοι μητρόπολιν ἡμετέρην Κῶ. ἐν δούλης μοίρει διατίθεται, τὰ ἐλεύθερα διὰ προγόνων κτήσιος, ἰδιόκτητα ποιεύμενοι. ὅτε ξυγγενείην αἰδεσθέντων ἣ ἐστὶν αὐτέοις ἀπ' Ἀπόλλωνός τε καὶ Ἡρακλέους, ἥτις ἐς ἄνιόν τε καὶ σουίμον τῶν κείνων παῖδας ἱκνέεται. οὔθ' Ἡρακλέους εὐεργεσιῶν εἵνεκεν πορίηος νόον βαλόμενοι, ἃς ὁ κοινὸς ὑμῖν τε καὶ ἡμῖν ὀρθῶς ποιέων θεὸς, ἐς ἐκείνους κατέθετο. ὑμεῖς τε ἀλλὰ πρὸς Διὸς ἱκεσίου καὶ θεῶν ὁμογνίων ἐξέλθετε. ἀμύνατε. ἐλευθερώσατε τῆς ἰδίης φιλοτιμίης μηδὲν ἐλλίποντες.

Πρεσβευτικὸς Θεσσαλοῦ Ἱπποκράτους υἱοῦ.

Π

Ροσήκειν ἡγέομαι ὦ ἄνδρες Ἀθηναῖοι, τὸν καθιστάμενον εἰς ὑμέας, καὶ μὴ γινωσκόμενον παντὶ τῷ πλήθει, πρῶτον δηλῶσαι μὲν, ὅς τις, καὶ ὅθεν ἐστί. μετὰ δὲ ταῦτα τῶν ἄλλων λόγων ἅπτεσθαι. ἐμοὶ μὲν πατὴρ, Ἱπποκράτης. ὃν ὑμεῖς γινώσκετε ἐν ἰητρικῇ ἡλίκην δύναμιν ἔχει. οὔνομα δὲ Θεσσαλός. γινώσκομαι δὲ κἀγὼ, οὐκ ἐν δευτέροις ὑμέων, οὐδ' ὀλίγοις. πατρὶς δέ μοι, Κῶς. ἣν ὅπως ὑμῖν οἰκείη ἐστὶν ἐξ ἀρχαίων, ἕτεροι ἐροῦσιν, οἵ τινες ἱστορίην ἐξηγήσασθαι δυνατώτεροι. ἦλθον δὲ πεμφθεὶς ὑπὸ τοῦ πατρός. τέσσαρας ἔχων εὐεργεσίας εἰπεῖν παρ' ἡμέων εἰς ὑμᾶς γεγενημένας. τὴν μέν τινα παλαιὰν ὑπὲρ τῶν προγόνων, κοινὴν ἐς ἅπαντας τοὺς Ἀμφικτύονας ὧν ὑμέες οὐκ ἐλαχίστη μοῖρα. τὴν δὲ ἑτέρην ἔτι μέζω ταύτης, καὶ διϊκνουμένην ἐς Ἑλλήνων τοὺς πλείστους. καὶ αὗται μὲν φαίνονται τῆς πόλιος καὶ τῶν προγόνων τῶν ἐμῶν ἐοῦσαι. ἡ δὲ τρίτη, τοῦ πατρὸς ἰδίη. καὶ τηλικαύτη, ὅσην εἷς ἀνὴρ οὐδεὶς ὑμῖν τε καὶ πολλοῖς Ἑλλήνων κατέθετο. ἡ δ' ὑστάτη τῶν τεσσάρων, κοινὴ τοῦ πατρὸς καὶ ἐμὴ, καὶ οὐκ ἔτι ἐς πλέονας, ἀλλ' ἐς ὑμᾶς αὐτοὺς διϊκνεομένη. ἣ πρὸς μὲν τὰς προτέρας εὐεργεσίας, μικρὴ ἂν φανείη. πρὸς δὲ ἑτέρων χάριτας μετρεομένη μεγάλη. αἱ μὲν δὴ εὐεργεσίαι τοιαῦται, οὕτως ἔχουσιν ἃς ἔφην εἶναι. ὡς συνελόντι εἰπεῖν. δεῖ δὲ μὴ μοῦνον φάναι, ἀλλὰ καὶ ἀποδεῖξαι ὡς εἰσὶν ἀληθέες. ἀρχὴν οὖν τῷ λόγῳ, τὴν ἀρχὴν τῶν ὑπουργιῶν ποιήσομαι. τὰ δὲ ἀρχαιότατα πρῶτα λέξω. ἐν οἷς τάχ' ἄν με καταλάβοιτε μακρότερα καὶ μυθωδέστερα εἰπεῖν, ποθεῖ δὲ πᾶς ἀρχαῖος λέγεσθαι. ἦν γὰρ ὁ χρόνος ὅτε τὸ Κρισαῖον ἔθνος. ἐώκεον μετὰ πεδίον τὸ Πυθικὸν ἱερόν. γῆν δ' εἶχον ἣ γε νῦν τῷ Ἀπόλλωνι καθιέρωται. καλέεται δὲ τὸ μὲν Κρισαῖον πεδίον ὃ Λοκροὶ παροικέουσι, καὶ ἣ Μέλαινα πρόσεισι. τὸ δὲ Κίρφιον ὄρος ὃ Φωκέες παράκειται. οὗτοι δὲ οἱ Κρισαῖοι γενόμενοι τότε πολλοὶ καὶ ἰσχυροὶ καὶ πλούσιοι, τουτέοις τοῖς ἀγαθοῖς, ὑπὲρ κακοῦ ἐχρήσαντο. ἐξυβρίσαντες γὰρ, πολλὰ δεινὰ καὶ παράνομα πράγματα ἐργάσαντο ἐς τὸν θεὸν ἀσεβοῦντες. Δελφοὺς καταδουλούμενοι. περιοίκους ληϊζόμενοι, γεωργοὺς συλέοντες. γυναῖκας δὲ καὶ παῖδας ἄγειν ἐόντες. καὶ ἐς τὰ σώματα ἐξυβρίζοντες, ἀνθ' ὧν Ἀμφικτύονες, ὀργισθέντες καὶ στράτευμα ἐς τὴν γῆν ἐμβαλόντες αὐτέων, καὶ μάχῃ νικήσαντες, τὴν χώρην ἐδῄουν, καὶ τὰς πόλιας ἐπόρθουν. ἔνθα πολλὰ καὶ ἀνόσια ποιήσαντες, σχετλίως ἀπήντησαν, καὶ οὐ μείω, ὧν ἔπραξαν τίνοντες. μακαριστοὶ δ' ἦσαν αὐτέων οἱ ἐν χερσὶ τελευτήσαντες, δεύτεροι δὲ οἱ αἰχμάλωτοι γενόμενοι, οἵ τε ἐς ἑτέρην χώρην καὶ πόλιας ἐπεραιώθησαν. τὰ γὰρ σφέτερα κακὰ, οὐκ εἶχον ἐν ὀφθαλμοῖς. οἱ δὲ αὐτοῦ μείναντες τῶν αἰχμαλώτων, ἀτυχέστατοι ἦσαν, ὅσοι οἰκίζοντο ἐν χώρῃ τῇ ἑωυτῶν, ξὺν γυναιξὶ καὶ τέκνοις, ἀγρούς τε καὶ ἄστεα πυρὶ παραδιδόμενα ἐθεώρουν. ἔτι δὲ τουτέων κάκιον διῆγον οἱ ἐν τοῖς τείχεσι διαρκέοντες, ὁπότε τῶν εἰρημένων κακῶν, ἃ μὲν ἔβλεπον. ἃ δ' ἐπυνθάνοντο, πλέον ἀκούοντες τῶν ἀληθέων. οὕτω γὰρ που ἔθος γίνεσθαι. καὶ δὴ κακὰς ἐλπίδας σωτηρίης εἶχον. ἦν δὲ σφι πόλις ἐγγὺς τούτου τοῦ τόπου μεγίστη, ὅκου νῦν ὁ ἱππικὸς ἀγὼν τίθεται. ἧς τὰ τείχη ἐπεσκευάζοντο, καὶ τοὺς ἐκ τῶν ἄλλων πόλεων διαφεύγοντας ἐδέχοντο. τὰ δὲ ἀχρεῖα ἐξέβαλον, καὶ τὰ ἀναγκαῖα εἰσεκομίζοντο. καὶ διενοοῦντο ὑπομένειν, ἐλπίσαντες

σαντες

σαντες μήτε ἐφ' ὧν μάχῃ τὴν πόλιν αἱρεθῆναι, μήτε κατὰ μῆκος χρόνου. οἱ δ' ἀμφικτύονες τά τε ἄλλα καθόλου, καὶ δὴ ταύτῃ τῇ πόλει φρούριον ποιησάμενοι, καὶ ἐς πολιορκίην σκευάσαντες τὸ ἄλλο στράτευμα, περὶ πόλιας ἀφῆκαν. προϊόντος δὲ τοῦ χρόνου, καὶ λιμοῦ ἐς τὸ στρατόπεδον ἐμπεσόντος, καὶ τῶν στρατιωτῶν νοσεόντων, τινῶν δὲ καὶ ἀποθνησκόντων, τῶν δὲ καὶ ἐκλιπόντων τὸ φρούριον διὰ τὴν νοῦσον, οἱ ἀμφικτύονες ἐταράσσοντο. καὶ ἄλλοι ἄλλα ἐβουλεύοντο. φιλεῖ δὲ τὰ κοινὰ οὕτω πως γίνεσθαι. τέλος δὲ ἀγανακτέοντες ἐπὶ πάθει, καὶ ἀπογνωσιμαχήσαντες, ἐπὶ θεῷ ἐπέτρεψαν. καὶ ἤροντο ὅτι χρὴ ποιεῖν. ὁ δ' ἐκέλευσε πολεμεῖν, καὶ ὑπεσχέετο κρατήσειν, ἢν ἐς Κῶ ἐλθόντες ἐλάφου παῖδα ἐς ἐπικουρίην ἀγάγωνται ξὺν χρυσῷ ἀπολύσαντες, ὡς μὴ πρότερον οἱ κρισαῖοι ἐν τῷ ἀδύτῳ τὸν τρίποδα συλήσωσιν. εἰ δὲ μὴ, τὴν πόλιν οὐχ ἁλώσεσθαι. οἱ δὲ ταῦτα ἀκούσαντες καὶ ἐλθόντες ἐς Κῶ, τὰ μαντευθέντα ἀπήγγελλον. ἀπορεύντων δὲ τῶν Κώων καὶ ἀγνοεύντων τὸ ἀρμάντευμα, ἀνέστη ἀνὴρ, γένος μὲν Ἀσκληπιάδης. πρόγονος δὲ ἡμέτερος. ἰητρὸς δὲ Ἑλλήνων κράτιστος ὁμολογούμενος, τῶν τότε. ὄνομα οἱ ἦν νεβρὸς, ὅς τις ὀνομάζειν ἔφη τὸ θέσφατον ἥκειν πρὸς ἑωυτόν. εἶπεν ὁ θεὸς οὕτως παρήνεσεν ὑμῖν, ἐλθόντας ἐς Κῶ, ἐλάφου παῖδα ἐς ἐπικουρίην ἀγαγεῖν. Κῷος μὲν γὰρ αὕτη. τὰ δὲ ἐλάφων ἔκγονα, νεβροὶ καλέονται. νεβρὸς δέ μοι ὄνομα. ἐπικουρίη δ' ἂν ἄλλη τίς προτέρα γένοιτο στρατοπέδῳ νοσέοντι, ἰητροῦ. καὶ μὴν τότε εὐθὺ ἐχόμενον οὐ δοκέω, ὅτι τοὺς τοσοῦτον ἑλλήνων ὄλβῳ ὑπερέχοντας ἐς Κῶ προελθόντας ἔταξεν ὁ θεὸς, νόμισμα χρυσοῦν αἰτεῖν. ἀλλὰ τοῦτο τὸ θέσφατον, ἐς τὴν ἐμὴν οἰκίην ἔρχεται. χρυσὸς γάρ μοι κεκλέαται ἀρρένων παίδων ὁ νεώτατος, ἔστι δὲ πάντη καὶ ἰδέῃ καὶ ἐς ψυχὴν, ἀρετῇ, ὥσπερ θεὸς λέγει, διὰ πάντων τῶν πολιτῶν. ἐγὼ μὲν οὖν εἰ μὴ ὑμῖν ἄλλο δοκέῃ αὐτός τε εἶμι, καὶ τὸν παῖδα ἄξω, πεντηκόντορον πληρώσας τοῖς ἐμοῖς τελέσμασιν, ὑπηρεσίας τε ἰητρικὰς καὶ πολεμικάς, ἵνα εἰς ἀμφότερα βοηθῶμεν. ὁ μὲν εἶπε, τοῖς δὲ ἔδοξεν. οἱ δὲ ἀπεστάλησαν. συνανέβησε δὲ ὁ νεβρὸς οὕτως, καὶ καλυδώνιον ἄνδρα, παρ' ἑωυτέῳ τρεφόμενον. ὑπὲρ οὗ τὸ αὐτίκα ὁ λόγος δηλώσει, ὅταν ἡ χρῆσις ἔλθῃ. ὅτε δ' οὖν ἀφίκοντο οὗτοι οἱ ἄνδρες οὗ τὸ στρατόπεδον ἐπετελεῖτο, ὁ θεὸς ἐχαίρεν. οἵ τε γὰρ θάνατοι τῶν στρατιωτῶν ἔληξαν. καὶ θείῃ τύχῃ ἵππου τοῦ εὐρυλόχου ὃς ἡγεῖτο τοῦ πολέμου, θεσσαλὸς ἐὼν καὶ ἄνωθεν ἐξ ἡρακλειδῶν, κρούσαντος τὸν σωλῆνα τῇ ὁπλῇ δι' οὗ τὸ ὕδωρ ἤγετο ἐς τὸ τεῖχος, ὁκότε διακονέεσθαι ἤθελεν, νεβρὸς φαρμάκοισιν ἔμιξε τὸ ὕδωρ. ἔνθεν αἱ κοιλίαι τῶν κρισαίων ἐφθάρησαν. καὶ μεγάλα δή τι ξυνεβάλετο, πρὸς τὸ ἁλῶναι τὴν πόλιν. καὶ ἐντεῦθεν αἱ γνῶμαι ἐπήρθησαν τῶν πολιορκεόντων, ὡς τοῦ θεοῦ ἐπικουρέοντος ἤδη σαφῶς. προσβολὰς δὲ ποιευμένων, καὶ ἆθλα προτιθέντων τοῖς πρώτοις ἤδη τὸ τεῖχος ἀναβήσασιν, ὁ ἀγὼν ἦν ὁ καρτερώτατος. καὶ ἡ πόλις ᾑρεῖτο. ἀνέβη γὰρ πρῶτος ἤδη τὸ τεῖχος χρύσος, καὶ κατέλαβε τὸν πύργον. ξυνείπετο δὲ αὐτέῳ ἐκποδὼς ξυνασπίζων, ὁ ἀνὴρ ὁ καλυδώνιος, περὶ οὗ προέλεξα. ὁ μὲν χρυσὸς δόρατι πληγεὶς, ἔπεσε, κατ' ἄκρα ἐκ τοῦ πύργου, ὑπὸ μερμοδέω, τοῦ λύκου δὲ ἀδελφεοῦ ὃς ἀπέθανεν λευσθεὶς ὅτε ἦλθεν εἰς τὸ ἄδυτον τὸν τρίποδα συλήσων. οἱ δ' οὖν πόλιν οὕτως ἧλον. ἥ, τε τοῦ νεβροῦ ἐπικουρίη, σὺν χρυσῷ ὀρθῶς ἀπήντησεν, καὶ περὶ τὰ ἰατρικὰ καὶ περὶ τὰ πολεμικά. ὅ, τε θεὸς ἠλήθευσε. καὶ ἃ ὑπέσχετο ἐποίησεν, ἐφ' οἷς οἱ ἀμφικτύονες, ἐπὶ μὲν ἀπόλλωνι νηὸν ἀνέθεσαν, τὸν νῦν ἐόντα ἐν δελφοῖς. ἀγῶνα τε γυμνικὸν καὶ ἱππικὸν πρότερον οὐ τιθέντες, νῦν τιθέασι. τήν τε τῶν κρισαίων χώρην ἅπασαν καθιερώσαντο, δῶντι ἃ δέδωκε διδόντες, καθ' ὅτι ἔχρησε. τόν τε τοῦ νεβροῦ παῖδα χρύσον ἔθαψαν ἐν τῷ ἱπποδρόμῳ. καὶ ξυνέταξαν δημοσίῃ δελφοὺς ἐναγίζειν. ἀσκληπιάδαις δὲ τοῖς ἐν Κῶ ἐδόθη νεβροῦ χάριτι, προμήθεια πρὸς μαντείην. καθάπερ τοῖσιν ἱερομνήμοσι. καλυδωνίοις δὲ ἀπ' ἐκείνου τοῦ ἀνδρὸς καὶ ἐκείνης τῆς ὑπουργίης, καὶ νῦν ἐν δελφοῖς προμαντεία, καὶ διαιτία δέδοται. ἀλλ' ἐπάνειμι ἤδη τὰ ἡμέτερα, ὅτι γε ἀληθέα λέγω τοῦ πατρὸς καὶ ἐμοῦ ἐπελθόντων ἀμφικτύονες ἀνενεώσαντο ταῦτα καὶ ἀπέδωσαν, καὶ ἐν στήλῃ ἀναγράψαντες ἐν δελφοῖς ἀνέθεσαν, καὶ τούτου μὲν μοι τοῦ λόγου τέλος. ἐνταῦθα καθαρῶς δείκνυσιν τοὺς ἡμετέρους προγόνους ὑμέων εὐεργέτας. τοῦτον δὲ καθέμενος, ἄλλον αἱρήσομαι περὶ τῶν αὐτῶν, οὐ τὸν αὐτόν. ὅτε γὰρ Βασιλεὺς ὁ μέγας ξὺν πέρσαισι καὶ τοῖς ἄλλοις Βαρβάροις ἐστράτευσεν ἤδη τοὺς μὴ διδόντας ὕδωρ καὶ γῆν ἑλλήνων, ἡ πατρὶς ἡ ἡμετέρη εἵλετο μᾶλλον πανδημεὶ ἀπολέσθαι, ὡς μὴ καθ' ὑμέων τε καὶ τῶν ταῦτα ὑμῖν γινωσκόντων ὅπλα πολέμια

λάβῃ καὶ

λάβῃ καὶ ἐν νήσοισι στρατείην ἀπέσειλη, ἀλλ' ἀνέγνωσε καλόν τι καὶ ἄξιον πατέρων μεγαλοφρονουμένη, οἳ λέγονται γηγενέες τε εἶναι, καὶ ἡρακλεῖδαι. ἔδοξεν οὖν σφιν τεσσάρων ἐόντων τειχέων ἐν τῇ νήσῳ, πάντ' ἐκλείπειν καὶ ἐς τὰ ὄρεα καταφυγοῦσιν ἀντέχεσθαι σωτηρίης. ὅθεν δὴ τί κακὸν οὐκ ἀπήντησε, χώρης λεηλατουμένης, καὶ σωμάτων ἐλευθέρων ἀνδραποδιζομένων, καὶ κτεινομένων ἐχθρῶν νόμῳ, τῆς τε πόλιος καὶ τῶν ἄλλων ἐρυμάτων καὶ ἱερῶν καταιθαλουμένων. ἔτι δὲ καὶ τῇ θυγατρὶ τοῦ Λυγδάμιος Ἀρτεμισίῃ κατὰ πατέρων νίκης δοθέντων ἐκβαγευνεῦσαι πάντα ὅσα λοιπὰ ἦν. ἀλλὰ γὰρ ὡς ἔοικε θεοῖς οὐκ ἠμελεύμεθα. χειμώνων δὲ γενομένων ἐξαισίων, αἵ τε νῆες τῆς ἀρτεμισίης ἐκινδύνευσαν ἅπασαι ἀπολέσθαι. πολλαὶ δὲ καὶ ἀπώλοντο. ἔς τε τὸ στράτευμα αὐτέης πολλοὶ κεραυνοὶ ἐνέπεσον, σπάνιόν τι τῆς νήσου κεραυνουμένης. λέγεται δὲ καὶ φάσματα ἡρώων τῇ γυναικὶ ὀφθῆναι. ἃ δὴ πάντα φοβηθεῖσα, ἀπέστη ἔργων ἀνηκέστων, ὁμολογίην πικρὴν ποιησαμένη. καὶ λίην πικρὴν λέγεσθαι. ὥστε ἀφείσθω. ἀποδώσω δὲ καὶ ἐνταῦθα προγόνοις τοῖς ἐμοῖς κυριώτατα οὐ ψευδέα, τὸ μήτ' ἐφ' ὑμέας, μήτ' ἐπὶ λακεδαιμονίους ἑτέρους ἄλλους ἑλλήνων, κώους ἑκούσια ὅπλα λαβεῖν. καίπερ πολλῶν τῶν ὁμοῦ νήσους τε καὶ ἀσίην οἰκεόντων συναψαμένων τοῖς βαρβάροις τοῦ πολέμου οὐ βίῃ. οἱ γὰρ προεστῶτες τότε τῆς πόλεως ἦσαν, κάδμος τε καὶ ἱππόλοχος. ἐπ' ἀληθεῖ δὲ κεῖται προγόνους ἐμοὺς εἶναι, τόν τε κάδμον καὶ τὸν ἱππόλοχον. ὁ μὲν γὰρ κάδμος ὃς καὶ τὴν βουλὴν αὐτὴν ἤρτυσεν, ἔστι τῆς ἐμῆς μητρός. ὁ δ' ἱππόλοχος ἐξ ἀσκληπιαδέων τέταρτος ἀπὸ νέβρου τοῦ κρισαίους συγκαθελόντος. ἡμεῖς δ' ἀσκληπιάδαι κατ' ἀνδρογένειαν. ὥστε καὶ τοῦτο τὸ καλὸν τῶν ἡμετέρων προγόνων προελέσθαι. ἐπάνειμι δ' ἐπὶ τὸν κάδμον. οὗτος γὰρ δὴ ὁ ἀνὴρ οὕτως ἐσπούδαζε τὰ τῶν ἑλλήνων καλά, ὥστε ὁκότε ἔληξεν ἡ χώρη πολιορκεομένη ὑπὸ ἀρτεμισίης, αὐτοῦ καταλιπὼν τὴν γυναῖκα καὶ γενεήν, ᾤχετο ξὺν τοῖς τὰ αὐτὰ αἱρεομένοις ἐπὶ σικελίης, ὅπως γέλωνα καὶ τοὺς ἀδελφοὺς κωλύσειε φιλίην ξυνθέσθαι κατὰ ἑλλήνων πρὸς τοὺς βαρβάρους. διεπρήξατο δὲ καὶ ἄλλα πολλὰ καλὰ ἔργα, ἃ μηκύνειν οὐ πρόσκαιρον. αἱ μὲν δὴ δημόσιαι καὶ ἡμέων προγόνων ὑπουργίαι ἐς ὑμέας καὶ ἐπὶ ἄλλους ἕλληνας, αὗται καὶ τοιαῦται. καὶ γὰρ ἐκλείπει ἡ δύναμις τοῦ λόγου. ἔρχομαι δ' ἤδη ἐν εἰδόσιν, εὐεργεσίην Ἱπποκράτους πατρὸς ἐμέο προσέχεσθαι. λέγων δ' ἂν ἀληθεύοιμι οὕτως. ὁκότε λοιμοῦ ῥέοντος διὰ τῆς βαρβάρου, ἣ ὑπέρκειται ἰλλυρίων καὶ παιόνων. ὁκότε δὲ ἐπὶ ταύτην τὴν χώρην ἧκεν τὸ κακόν, οἱ τούτων τῶν ἐθνέων βασιλέες, κατὰ δόξαν ἰητρικήν, ἣ ἀληθὴς ἐοῦσα, πανταχόθεν ἴσχυεν ἔρχεσθαι, καὶ κατὰ πατρὸς τοῦ ἐμέο, πέμπουσιν ἐπὶ θεσσαλίης. ἐκεῖ γὰρ δὴ ὁ ἐμὸς πατὴρ καὶ πρότερον καὶ νῦν οἴκησιν εἶχε, καλέοντες αὐτὸν ἐς ἐπικουρίην χρυσοῦ τε καὶ ἀργύρου καὶ ἄλλων κτεάνων, οὐ μόνον ἔφασαν πέμψειν ἔχειν, ἀλλὰ καὶ ἀποίσεσθαι ὁκόσα αὐτὸς ἐθέλει ἐπαμύναντα. ὁ δὲ ἐρώτησιν ποιησάμενος ὁκοῖαί τινες ἐν μέρει κινήσιες γίνονται, καὶ τάτε καύματα καὶ ἀνέμους, καὶ ἀχλύας, καὶ τ' ἄλλα ἃ πέφυκε τὰς ἕξιας κινεῖν παρὰ τὸ καθεστηκός. ὁκότε δὴ πάντων μαθήσιας ἀνείλετο, τοὺς μὲν χωρεῖν ἐκέλευσεν ὀπίσω, ἀποφηνάμενος μὴ οἷός τε εἶναι ἐς χώρην τὴν ἐκείνων ἰέναι. ὅκως δὲ εἶχε τάχεος, αὐτὸς μὲν θεσσαλοῖς ἤρξατο παραγγέλλειν, ὁκοίοις χρὴ τρόποις κακοῦ τοῦ προσιόντος εὐλαβείην ποιέεσθαι. καὶ ξυγγράφων θεραπείην διετίθει περὶ τὰς πόλιας. ἐμὲ δὲ ἐπὶ μακεδονίης ἐξαπέστειλε. βασιλεῦσι γὰρ ἡρακλειδέων, οἳ ἐκεῖ κατέχουσι, πατρικὴ ξενίη ὑπῆρχεν ἡμῖν. κἀγὼ μὲν ἤειν ἵνα με ὁ πατὴρ ἐκέλευσεν, ἀπὸ θεσσαλίας, ἀρήξων τοῖς ἐκεῖ. συνετέτακτο δέ μοι ξυμβαλεῖν ἐς πόλιν τὴν ὑμετέρην. ἀδελφεὸν δὲ τὸν ἐμὸν δράκοντα ἐκ παγασέων ὁρμηθέντα, πλοῦν ποιέεσθαι ἐφ' ἑλλησπόντου ἐκέλευσε. παραπλησίην δοὺς ὑποθήκην, ἣ αὐτὸς ἐπρήσσεν. οὐ γὰρ πάντες τόποι τὰ αὐτὰ φέρουσι βοηθήματα, διὰ τὸ μὴ πάντα τὰ περιέχοντα ἐξ ἀέρος, ὅμοια εἶναι. πολύβιον δὲ τὸν τὴν θυγατέρα ἔχοντα, ἐμὴν δὲ ἀδελφεήν, καὶ ἄλλους τῶν μαθητέων, διέπεμπεν ἐς ἑτέρας ἑτέρων καὶ πρὸς ἀγορὰς καὶ ὁδοὺς πορευσομένους, ὅπως ὅτι πλείστοις ἐπαρήξαι. ὡς δὲ δὴ τὰ κατὰ θεσσαλίην ἠνύσατο, ἐπορεύετο τοῖς ἐχομένοις ἔθνεσι βοηθέων. ἐπὶ πύλας δὲ ἐλθών, δωριεῦσι καὶ τοῖς ἄλλοις ὁμοῦ φωκέων ἐπήρκεσε. καὶ ὁκότε δὴ ἐς δελφοὺς ἀφίκετο, ὑπὲρ ἑλλήνων ἱκεσίην ἔθετο τῷ θεῷ. καὶ θύσας ἤνυε τὴν ἐπὶ Βοιωτῶν. τοῖς δ' ἐκεῖ ἐπαμύνας ἀναλόγως, ἐν τῇ ὑμετέρῃ ἧκε. καὶ ἱκανὰ ἃ νῦν ἐγὼ ἐπαγορεύω τὰ ὑμῖν σωτήρια ἐκθυμοῦ πάντως εἶπε. δοκέω δ' ὑμέων ὅτι ἀληθεύω, πολλοὺς γινώσκειν. ὁ γὰρ

πάλαι

πάλαι. ἀλλ' ἔτος δὴ τοῦτο ἔνατον, ἐξ οὗ διελήλυθα καὶ τὴν πελοπόννησον ἐστελλόμην. καὶ τοῖς ἐκείνῃ οἰκοῦσι βοηθήσων. πάντοθεν δ' ἡμῖν καὶ λόγῳ καὶ ἔργῳ ἀξίη τιμὴ ἀπήντα, ὥς τε μὴ μεταμέλεσθαι ὅτι οὐκ ἠλλαξάμεθα χρημάτων μισθὸν τὸν ἐξ ἰλλυριῶν καὶ παιόνων. παρὰ δὲ τὰς ἄλλας πόλιας τὰ παρ' ὑμέων δοθέντα μεγάλα ἦν. ἥ τε γὰρ πολιτείη ἡ ὑμετέρη ὑπερῆγε τὰς ἑτέρων· αἵ τε γὰρ ἀθῆναι ὑψηλότερόν τι τῶν ἄλλων πολέων ἐς δόξαν. καὶ ὁ ἐν τῷ ὑμετέρῳ θεάτρῳ χρύσεος στέφανος ἐπιτεθεὶς, [illegible] ἀλλὰ καὶ τοῦτο τὸ καλὸν ὑπερεβάλλεσθε, μυήσαντες τὰ δήμητρος καὶ [illegible] τῶν ὀργίων, καὶ τὸν πατέρα καὶ ἐμὲ δημοσίᾳ. τρεῖς μὲν αὗταί μοι οἷον αὐύοντι ἐξελκέειν τε [illegible] ξενίων προέχεσθαι, πόλιός τε καὶ προγόνων, καὶ πατρὸς τοῦ ἐμέο χάριτας ξὺν πολλοῖς ἑλλήνων. τετάρτην δ' ἀναλήψομαι λέγειν ὑπουργίην. ἣν ὡς ὑπεθέμην ἐς ὑμᾶς ἐγὼ καὶ ὁ πατὴρ ὁ ἐμὸς κατεθέμεθα. ὅτε γὰρ ἀλκιβιάδην ἐξεπέμπετε ἐπὶ σικελίης, πολλὴ μὲν δύναμις, οὐχ οὕτω δὲ πολλὴ ὡς θαυμαστὴ, εἰ γὰρ ὡς ἔργα λόγου, ἐν ἐκκλησίῃ ὑπὲρ ἰητροῦ προπεσόντος ὃν δέοι ἀκολουθεῖν τῷ στρατεύματι, προελθὼν ὁ πατὴρ ὑπέσχετο ἐμὲ ἐπὶ τὰ ὑμέτερα σώματα δώσειν τοῖς ἰδίοις δαπανήμασι κατεσκευασμένον. καὶ ἄτερ μισθῶν αἰτήσιος ἕως ἂν ὁ στόλος ἀποδημῇ. ἐν ἐλάσσονι τιθέμενος τὸ λυσιτελὲς ἀξιόχρεως ἐὼν, τῆς ὑμῶν χρείης ἐσομένης. ἐγὼ γὰρ οὐχ ὅπως ἂν τὰ ὑπάρχοντα κατεδαπάνων. ὃ ἐποίεον ὑμῖν ὑπουργέων. ἀλλὰ καὶ ἐν ἄλλοισι μεγάλοισιν ἔργοισιν ἐτετάγμην. τῶν τοῦτο ἐλάχιστον τῶν μελλόντων ῥηθήσεσθαι. προείλετο γὰρ μᾶλλον ὁ πατὴρ ἐν ἐμοὶ τῷ υἱεῖ καὶ ἐν γῇ ὀθνείῃ σαλεύειν καὶ κατὰ θάλασσαν καὶ κατὰ κινδύνους πολεμικοὺς, καὶ κατὰ ἀρρωστίας. αἳ τοῖς ἐν πλανώδεσι βίοις ἐθισμέναι εἰσὶ μᾶλλον προσκαθίζειν, ἢ τοῖς ἐν τεταγμένῃ ζωῇ. ἠπίστατο γὰρ χάριτα χάριτι μετρεῖσθαι. καὶ μὴ οἷον περί τι ὠνευμένοις, ἐκ χειρὸς εἰς χεῖρας συναλλάξας ἅπαξ ἀπιέναι. ὁ μὲν δὴ τοιούτων ὑπῆρξεν. ἐγὼ δὲ ἅτε παῖς ἐὼν ἐκείνου, οὐδὲν ἐλλείπων φιλοτιμίης καὶ τέχνης βοηθέων, καὶ κινδυνεύων σὺν ὑμῖν ὁπότε που καιρὸς εἴη. καὶ ἐς ταῦτα με ἀμφότερα οὔτε νοῦσος, οὔτε κακοπαθείη, οὔτε φόβος ἐν θαλάσσῃ καὶ ὁ ἐν χερσὶ πολεμίων εἶργε. μαρτυρίη δὲ οὐκ ἐν ἄλλοις τισὶν, ἐν δ' ὑμῖν αὐτοῖς κεῖται. ὥς τε εἴ τῳ ἀντιλεκτέον, ἀναστήτω μηδὲν ὀκνήσας. ἀλλ' οὐ δοκέω ψεύδεσθαι. ταῦτα δὲ πρήξας ἐπὶ τρία ἔτεα, στεφανωθείς τε χρυσέῳ στεφάνῳ. καὶ ἔτι κάλλιον εὐφημευμένος, ἐς τὴν ἰδίην ἀπῆλθον ἐπὶ γάμον. ὡς διαδόχους καταστήσαιμι τῆς τέχνης καὶ γενεῆς ἡμετέρης. ἃ μὲν δὴ παρὰ πόλιος προγόνων, πατρός τε καὶ ἐμέο ὑμῖν ὑπάρχει, ταῦτ' ἐστίν. ἔραται δὲ καὶ ὧν ἡμεῖς παρ' ὑμέων ἐπαυράμεθα. δοκέω δὲ πολλοὺς ὑμέων θαυμάζειν, ὅτεων χάριν ταῦτα ἀναμεμέτρηται. ὡς οὖν καὶ ὑμέες εἰδῆτε, καὶ ἐμοὶ γίνηται ἃ ἐγὼ ἐπιθυμέω, καιρὸς λέγειν. ὁ πατὴρ ὦ ἄνδρες ἀθηναῖοι καὶ ἐγὼ, αἰτεόμεθα ὑμέας, οὕτω γὰρ εἰπεῖν ἐλευθέρους καὶ φίλους παρὰ φίλων τυχεῖν ἐλευθέρων, ἐκ πατρίδος τῆς ἡμετέρης ὅπλα πολέμια μὴ ἄρασθαι. εἰ δὲ δεῖ ὥσπερ ἴσως δεῖ, τοὺς ὑπὲρ τῆς αὐτῶν προεληλυθότας, καὶ δεόμεθα μὴ ἡμέας ἐόντας ἀξιωμάτων μεγάλων καὶ τοιουτέων προϋπάρξαντας, ἐν δούλων μοίρῃ τιθήσεσθαι. ἔτι δὲ καὶ γὰρ οὕτως ἁρμόσει λέγειν, ἱκετεύομεν μὴ ποιήσεσθαι τὰ ἡμέτερα, ὑμῖν αὐτοῖς δυσείκτητα. πολὺ μειόνων ἂν ἐπάνω γενήσεσθαι. ἀλλ' ὑποδέεσθαι τῶν τοῦτο ὅτι ἑτέρως ἑτέρα ἡ τύχη ταχύνει. καὶ ποτὲ μακρῷ μεγάλοι προσεδεήθησαν. τῶν οἱ κρατεροὶ δι' ἀσθενέας σωτηρίης ἔτυχον. δοκέω δὲ συνδηλοῦν ὡς μὴ ἐνδηλότερον εἴπω ὅτι ἐφ' ἑνὶ ἀνδρὶ, οὐ πόλις, ἀλλὰ πολλὰ ἔθνεα ἤδη ποτὲ ὤφθη ὠφεληθέντα, ἐν πολεμικοῖς. καὶ ἔνθα τέχνη ἰσχύει, μὴ δὲ ἡμέας ἀποβάλησθε. καὶ γὰρ οὐδὲ ἀπόβλητοι. τοῦτο μὲν ὡς ἐν ὑμῖν μαρτυρίη κεῖται. ἀλλ' ἀρχὴν μὲν οἱ θεοὶ ἔνθεν γένος εὐχόμεθ' εἶναι ἀσκληπιὸς καὶ ἡρακλῆς ἐπ' ὠφελείῃ ἀνθρώπων ἐγένοντο. καὶ τούτους δι' ἀρετῆς τῆς ἐνταῦθα ἐν θεῶν χώρῃ ἔχουσι πάντες. πόλις δὲ ἐμὴ καὶ ἐγὼ ὁ λέγων, ἐς τοιούτους ἀναφερόμεθα, ὡς ἀνθρώπων λόγοι κατέχουσιν. ὅθεν δὴ καὶ ὑπὲρ ἑλλήνων φανεύμεθα ἀμφότεροι ταύτῃ προϊστάμενοι καὶ τῷ παντὶ καλλίστῳ. οὐ γὰρ μῦθος τὰ τρωϊκὰ ἀλλ' ἔργα ἐν οἷς ἡ Κῶς σὺν τοῖς ἑωυτοῖσιν νήσοισιν οὐ πολλοστὴ. μεγίστη δ' εὖ συμμαχίην ἐστίν. οὕτως δὲ καὶ ἀσκληπιοῦ παῖδες, οὐ τέχνῃ μόνον, ἀλλὰ καὶ ὅπλοις ἐπήρκεσαν ἕλλησι. μαχάων γέ τοι ψυχὴν κατέθετο ἐν τῇ τρωάδι. ὅτε ὡς οἱ ταῦτα γράφοντες λέγουσιν, ἐξ ἵππου εἰς πόλιν τὴν πριάμου εἰσῆλθε. μὴ δὴ μήτε καθότι ἔμφυλοι, μήτε καθότι ἐξ ἐπαρηγόντων, ἐπαρήγοντες γεγόναμεν ἕλλησιν, ἀδικήσητε ἡμέας. οὐ μαίνεω δὲ, οὐδὲ τὰ κεισαῖα αὖθις, οὔτε τὰ περσικὰ λέγων. ὁπότε καὶ ἀκηκόατέ τε καὶ ἐν χερσὶν μᾶλλον τῶν ἀρτίως εἰρημένων ἐστίν. ἐν θυμῷ δὲ λάβετε καὶ οὕτως εὐεργέτας μὴ ὅσιον ἀδικεῖν. ἡμέας δὲ

εὐεργέτας

εὐεργέτας ὡς τὰ ἔργα φησί. τίνες φανεῖσθε εἰ πατέρων γεγονότες, οἵων οἱ μυθολόγοι εἶπον, τὸ ἀδικεῖν ἀντὶ τοῦ χρηστοὶ εἶναι αἱρεῖσθε. οὐ γὰρ ἐθέλω πικρότερον λέγειν. κεῖνοι γὰρ ὦ ἄνδρες ἀθηναῖοι, ἡρακλείδαις μὲν ἔτινον χάριτας. ἑτέροις δὲ πολλοῖς εὐεργετηθέντες ἐπήρκεσαν. ὑπολείποι δ' ἄν με ἡ ἡμέρη μακρὰ λέγοντα, εἰ διεξίοιμι ὁκόσοις ὁκόσα ἀπ' ἐκείνων ἀγαθὰ οὐδὲν ἐν χρείῃ ὑμῖν ἐγγεγονόσι. περιβλέψατε δὲ ἑωυτούς. καὶ μὴ δὲ ἐμοῦ εἰπόντος, γνῶτε ὁκοῖα πρήσσετε. κακὸν ἕξουσιν ἦ ὦ ἄνδρες ἀθηναῖοι. οὐ γὰρ ἐπίσταται τὰ ἑωυτῆς, μέτρῳ ταμιεύεσθαι. ἀλλὰ δή τινας καὶ πόλιας καὶ ἔθνεα ἐλυμήνατο. ἐς ἑτέρους δὲ οἷον ἐν κάτοπτρον βλέψαντες, ἴδετε αὐτοὶ ἃ ποιέετε. καὶ ἐγὼ ἀληθέα λέγω. καὶ νέος δὲ νόμος, ὅς τις εὐτυχίῃ πεποιθὼς, μὴ καὶ ἐς τὰ δυσπετέα βλέπειν, οὐχ ὑμέτερον. πολλὰ γὰρ καὶ ὧδε δαίμονος περιέρχεσθε. οὐδὲν ὑμέας ἀδικέομεν. εἰ δὲ καὶ ἀδικέομεν, μὴ ὅπλοις, ἀλλὰ λόγῳ κριθῶμεν. παραιτέομαι δὲ ὑμέας καὶ τοῦτο, μὴ ποιῆσαι χάριν ἑτέροις ὀφλῆσαι, ἐπικουρήσασιν ἡμῖν. ἐπικουρήσουσι γοῦν ἢν ὀρθῶς ποιέωσιν. οἵ τε ἐν τοῖς θεσσαλίης. ἄργεος. λακεδαίμονος. μακεδονίης βασιλεῖς. εἰ καὶ ἕτεροι ἡρακλεῖδαι. ἢ ἡρακλειδέων συγγενέες οἰκέουσι. κρεῖσσον ἀτρεκέως τὰ δίκαια ποιέειν, ἢ βιασθέντας. οὐκ εἶπον δ' ἐπανάστασιν. τοῦτο δὲ φανερὸν ποιέω, ὅτι πολλοῖσι μελόμεθα ἢ μελησόμεθα. εἰ μὴ πανταχόθεν οἴχεται τὸ χρηστοὺς ἀνθρώπους ἔτι εἶναι. ἐγὼ μὲν οὖν μακρὴ γάρ μοι δύναμις λόγου, ἅτε περὶ ἑτέρων ἐπιμέλειαν ἡρμοσμένῳ, ἐνταῦθα καταπαύσω. ἀξιῶ δὲ περὶ ξενίους ἡμετέρους, καὶ τοὺς ἡμῖν συμβούλους εἰθισμένους εἶναι, καὶ θεῶν καὶ ἡρώων εἵνεκα καὶ χαρίτων, αἳ ἀνθρώποις παρ' ἀνθρώπων γίνονται, ἔχθρας μὲν ἔργειν τὰς ἡμῶν ἐς ὑμέας. ἐς δὲ φίλα προτρέπεσθαι. εἰ γὰρ μὴ ἐν τῇ ὑμετέρῃ πόλει τουτέων ἐπιτευξόμεθα, οὐκ οἶδ' ὅκου ἐλθόντες, ὧν ἱμειρόμεθα, ἐγκυρήσομεν.

περὶ ἑπταμήνου νόθον.

Περὶ δὲ ἑπταμήνων ὁ λόγος ὑπό τευ φησὶ γίνεσθαι. ἐγὼ μὲν οὐ περιτέτευχά πω τῷδε τῷ πράγματι ὀφθαλμοῖσιν. ἀκοῇσι δὲ μοῦνον. ὅκως δή μοι φαίνεται, δηλώσω. πολλαὶ φύσιος εἰσὶ παραβολαί, καὶ παραφοραὶ ἐν ζώοισί τε καὶ ἐν φυτοῖσι, καὶ ἐν τῷ ἀιδίῳ αἰῶνι. καὶ ἤδη που τὸ θῆλυ καὶ ἄρρεν ἐρρυσμώθη καὶ πολύχειρα, καὶ πολυόφθαλμα, καὶ πολύωτα. καὶ παντοίους ῥυσμοὺς παλιμπηγέας, ἔχοντας ὀστέα θαυμαστὴν παρατροπὴν φύσιος. πάντα γοῦν καὶ ἴδια ἐστὶ καιροῖς κραίνων καὶ σύγκρισις. κατὰ γοῦν τὴν ἀρχαίην γένεσιν ὁκότε ἐκτίσθη πάντα ζῶα ἐρρυσμοῦτο. καὶ νῦν γνῶθι διὰ ταῦτα κατὰ νόμους ῥυσμοῦσθαι. ἐμοὶ γοῦν δοκέει, ὡς κατὰ ἀνθρώπου ὀργανιζομένου περὶ τὰ ἑπτάμηνα τοῖσιν εἴδεσιν γίνεσθαι, καθάπερ κατὰ τὸ περιέχον, καὶ κατὰ τὴν γῆν προσκόρσους καρποὺς ῥυθμοῦσθαι, ὅκωσπερ ἐν αἰγύπτῳ πάντα πρόσκορσα γίνεται. πολλὰ δὲ καὶ διὰ παντὸς ὥρου διὰ τὸ πολυφιλίην τῆς γῆς. καὶ τῆς θέρμης τῆς περὶ ὀκωχώσιος. ὡσαύτως οὖν καὶ περὶ τὰ σκηνεά φιλέει γίνεσθαι τὰ ἑπτάμηνα. καὶ ὅταν ἡ ἔχουσα ἐς κύησιν εὖ ἥκῃ εἰς ὑποδοχὴν τὴν ὑπὸ τοῦ ἄρσενος, καὶ τὸ ἄρρεν ὠργημένον ᾖ καλῶς πρὸς τὸ καταβάλλειν γένεσιν ῥυθμόν. τὸ δὲ δὴ σκήνεος συγκρίνεται καὶ τελεόμενον γίνεται. συμφορὴ γὰρ ἀνάγκη κρατερῇ μιν κατέχεται τελεωθῆναι ὥσπερ τὸ τελεώτερον κατὰ τὸν ῥυθμόν. ἄλλως τε οὐκ ἀνυστόν. οὔτε γὰρ ἴσως τὸν ῥυσμὸν ὑπερβάλλοντα δεῖ εἶναι οὔτε ταῦτα πάλιν ἐλλιπέα. ἀλλ' ἐπεὶ μέτρον ῥυσμὸν ἐν πρήγματι μεγάλῳ. εἰ μὲν οὖν μέλλει ἐς ἀνθρώπους ῥυσμὸς ἐσαφίξεσθαί τις λεῖον παρεῖναι, διὰ καὶ ἀνθρώπων ἐπιτήδεια, καὶ περὶ ἡβῶσι καὶ περὶ γηρῶσι τινὲς ὅκως καὶ οἱ περιϋγιανθέντες κατὰ νόμον, οἷα ῥυσμὸς κατατήκει. καὶ ἐς τὰ ἐπιτήδεια ὀστέων τε καὶ ἰνέων. καὶ φλεβῶν. καὶ νεύρων. καὶ σπλάγχνων, καὶ νηδύος. καὶ τῶν λοιπῶν. καὶ ἐς συντέλειαν. ἀλλὰ ἴσως ἐρέουσί τινες διατί ὀκτάμηνα οὐ ζῇ, οὐ μὴν οὐδὲ τρίμηνα. φλεδόνες ἐόντες καὶ νήπιοι. ἄλλα γὰρ τὸν αἰῶνα οὕτω μεμοίρηται καὶ φιλέει κατὰ τὰ ὅμοια ῥυθμοῦσθαι καὶ συγκρίνεσθαι ὅκωσπερ καὶ τῶν ἐς οὖδας ἐσπειρομένων ἢ φυτευομένων, τὰ μὲν πλείοσιν ἡμέρῃσι. τὰ δὲ, ἐν ἐλαχίστοισιν, οὐ κατὰ χρόνον. χρόνος γοῦν ἔσεται κατὰ ἡλίου περίοδον, καὶ σελήνης ὁριζομένης. οὐδὲ μὴν γοῦν καὶ ἑνδεκάμηνον καὶ δωδεκάμηνον κατὰ τὸν τούτων λόγον. ἐς ἂν ἄδηλα παίοντες. οὔτ' ὑπὲρ τὸ ἱκνεύμενον γίγνεται καταμυθιζόμενα. ἀλλὰ ἑκάστου ῥυσμὸς ὁ κραίνων κατὰ νόμον. πάντα γὰρ ἡ μηχάνευσις, ὥσπερ τε τοὺς ὀφθαλμοὺς, ἢ τὰ ὦτα, ἢ τὴν ῥῖνα, ἢ τὸ στόμα ἐν τοῖσι ῥυσμοῖς συνεχομένη, ἢ κατὰ τὰς ἄλλας συγκρίσιας. ὅκωσπερ νῦν ἀείδρηες ἐόντες κατὰ πάντας γαδουνῶν περιλήψει. ταῦτα οὖν πρότερον ἐννοούμενος.

ΙΑΝΟΣ ΚΟΡΝΑΡΙΟΣ ΙΑΤΡΟΣ, ΤΟΙΣ ΦΙΛΙΠΠΟκρατέοις ὑγιαίνειν.

Καὶ τοῦτο τὸ βιβλίον μικρὸν μὲν, ἀλλὰ λυσιτελέστατον, ὑμῶν ἕνεκα οἵ τινές γε Φιλιπποκράτειοι ὄντες, τὸ θεῖον αὐτῷ συγγεγραμμένων δαίδαλμα ἐπευωνίζειν μέλλετε, ἐν προδίκης μορφῇ, ἐπιτίθεσθαι ἐντέτραμμαι. καὶ γὰρ τῶν γλωσσῶν ἄλλως δυσχερῶν, ἐνταῦθα πρὸς χεῖρα ἐόντων, ἐξηγουμένου τε ταύτας οὐ τοῦ τυχόντος, ἀλλὰ Γαληνοῦ, μεθ' ἕνα τὸν Ἱπποκράτην ἰατροῦ προφερεστάτου, ῥᾴδιον ἔσται δυσκολωτάτου γραφέως γνώμαις ἐκείνου παρακολουθεῖν, εἰ καὶ ὁ Γαληνὸς πλὴν τῶν γλωσσῶν μόνων, οὐ μάλα τι ἐν τούτῳ τῷ βιβλίῳ μεταχειρίζων ὁρᾶται. Ἀλλ' ἐπεὶ τοῦτο τὸ βιβλίον ἐν τοῖς γαληνικοῖς πάντως κεκακωμένον ἔχεται, ἐνταῦθα παλαιοῦ τινὸς ἀντιγράφου ἡμῶν προηγουμένου, πάντα σχεδὸν ἀνωρθώκαμεν. καίτοι οὐκ ὀλίγων καὶ ἐν ἐκείνῳ τῷ ἀντιγράφῳ διεφθαρμένων, τὴν τῆς ἀποκαταστάσεως χάριν, τῇ δεξιότητι ὑμῶν ὀφλῆσαι οὐκ, οἶμαι, μεταμελήσει, δι' ἣν τῶν γλωσσογραφέων τῶν ἐν Ἑλλάδι ἀρίστων, καὶ αὐτοῦ τοῦ Γαληνοῦ τῶν ὑπομνημάτων συμβαλλομένων, τὸ μέγα τούτων μέρος ἀποκατεστήκαμεν. Ἐῤῥώσατε. ἐκ τῆς νορθούσης, σκιῤῥοφοριῶνος μηνὸς κϛ. Ἔτους Ἰησοῦ Χριστοῦ. αφλϛ.

ΓΑΛΗΝΟΥ ΤΩΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΓΛΩΣΣΩΝ ΕΞΗΓΗΣΙΣ.

ΤΑΣ ΓΑΡ ΙΠΠΟΚΡΑΤΕΙ γλώσσας ὦ Τεῦθρα, βουληθέντι σοι διὰ βραχυτάτων ἡμᾶς ἐξηγήσασθαι, προθύμως ὑπήκουσα, τοῖς τοιούτοις ἐπιθυμήμασιν ὑπηρετεῖσθαι τὰ κάλλιστα, κάλλιστον εἶναι νομίζων. Ἔσται δὲ ὡς αὐτὸς ἐκέλευσας, ἡ τάξις τῷ λόγῳ κατὰ τὴν τῶν γραμμάτων τάξιν, ἀφ' ὧν αἱ γλῶτται τὴν ἀρχὴν ἔχουσι, πρότερόν γε διωρισαμένοις ἡμῖν, ὅτι διαφέρει τοῦ πᾶσαν ἐξηγήσασθαι τὴν Ἱπποκράτους λέξιν, τὸ τὰς γλώττας μόνον. Ὅσα τοίνυν τῶν ὀνομάτων ἐν μὲν τοῖς πάλαι χρόνοις ἦν συνήθη, νυνὶ δὲ οὐκέτι ἐστὶ, τὰ μὲν τοιαῦτα γλώττας καλοῦσι, καὶ ταύτας ἐξηγησόμενος ἔρχομαι. τὰ δὲ ἄλλα πάντα ὅσα ζητήσεως μὲν οὐχ ἧττον προσδεῖται, συνήθη δέ ἐστιν, εἰς τάσδε κατὰ τὰς τῶν συγγραμμάτων αὐτῶν ἐξηγήσεις ἄμεινον ἐπισκοπεῖσθαι. τί γὰρ ἡ κρίσις, καὶ τί τὸ θεῖον, καὶ τί τὸ ἀρτίως, καὶ τίς ἡ ἐπ' ἄκρον εὐεξία, καὶ πάνθ' ὅσα τοιαῦτα, λόγου μὲν παμμήκους εἰς ἐξήγησιν δεῖται, συνήθη δέ ἐστιν, οὐδὲν ἧττον ἢ βίος, καὶ βραχὺς, καὶ τέχνη, καὶ μακρὰ, καὶ καιρὸς, καὶ ὀξὺς, καίτοι καὶ τούτων ἔνια δεῖται τινὸς ἐξηγήσεως. ὅθεν ἔμοιγε καὶ θαυμάζειν ἐπῆλθε τῶν ἅπασαν ἐξηγεῖσθαι τὴν Ἱπποκράτους λέξιν ἐπαγγελλαμένων, εἰ μὴ συνίασιν ὅτι πλείω παραλείπουσιν ὧν διδάσκουσι. πολλὰ γοῦν βιβλία Διοσκουρίδης γράψας, οὐχ ὁ ἐπικληθεὶς φακᾶς ὁ Ἡροφίλειος, ἀλλ' ὁ νεώτερος ὁ κατὰ πατέρας ἡμῶν, οὐχ ὅπως τὸ ἥμισυ μέρος, ἀλλ' οὐδὲ τὸ τρίτον ἢ τέταρτον ἐξηγήσατο τῆς ὅλης λέξεως. τούτῳ μέν γε πρὸς τοῖς ἄλλοις καὶ δύο ταῦτα ἐξ ἐπιμέτρου καθ' ὅλον πεπλημμέληται τὸν λόγον, ὀνομάτων τε σαφεστάτων μνημονεύειν μὴ ὅτι πολλῆς, ἀλλὰ μηδὲ ἐλαχίστης ἐξηγήσεως δεομένων, καὶ τούτων αὐτῶν πλεονάκις. ταῦτά τε οὖν ἡμεῖς περιίδωμεν, καὶ πρὸς τούτοις ἔτι τὸ διηγεῖσθαι τὴν ἰδέαν ἑκάστου φυτοῦ, καὶ βοτάνης, καὶ τῶν μεταλλευομένων. ἤδη δὲ καὶ τῶν ἰχθύων, καὶ τῶν ζώων ὅλων ὅσων ἂν ἑκάστοτε τύχῃ μεμνημένος ὁ Ἱπποκράτης, ἅπερ ὁ Διοσκουρίδης οὐκ αἰδεῖται μεταγράφων ἐκ τῶν Νίγρου τε καὶ Παμφίλου, καὶ Διοσκουρίδου τοῦ ἀναζαρβέως, καὶ πρὸ τούτων Κρατεύα τε καὶ Θεοφράστου, καὶ Ἡρακλείδου τοῦ ταραντίνου καὶ ἄλλων μυρίων. οὕτως δὲ καὶ πόλεων ὀνόματα διηγεῖται γνωριμωτάτων, καὶ ἄστρων ὁμοίως ἐπιφανεστάτων, ἃ μηδὲ ἂν παῖς ἀγνοήσειεν. ταῦτα δὲ καὶ ἄλλοι πολλοὶ τῶν ἐξηγησαμένων ἁμαρτάνουσιν. Εἰ τοίνυν ταῦτά τις περιέλοι πάντα, τὰς γλώττας ἂν ἐξηγήσατο μόνας, ὥσπερ ὁ Ἡρόφιλος ἐποίησε, καὶ Βακχεῖος Ἀριστάρχου τοῦ γραμματικοῦ, τὸ πλῆθος αὐτῶν τῶν παραδειγμάτων ἀθροίσαντες ὥς φασιν. Ἡμεῖς δὲ ὡς οἴεσθε

πλείω

πλείω κἀκείνων ἐκλείψαντες ἐν ὑπομνήμασιν ἔχομεν, ἃ τάχα ἂν εἰ βουληθείης καὶ αὐτὰ διὰ μακροτέρας διεξόδου συνθείημεν σοι. Νυνὶ δὲ τὸ κεκριμένον καὶ δι' ἐκείνων τῶν μακρῶν ὑπομνημάτων ἀποδεδειγμένον ἀξιώσαντι σοι διὰ κεφαλαίων ἔχειν, ὁ λόγος ὅδε σύγκειται, περιέχων οὐ μόνον ὅσα τοῖς ἄλλοις παλαιοῖς ὑπάρχοντα συνήθη τῶν ὀνομάτων, οὐκ ἔτι ἐστὶν ἐν ἔθει νῦν, ἀλλὰ καὶ ὅσα κατά τινα τρόπον ἴδιον αὐτὸς ἐποίησεν ὁ Ἱπποκράτης, ἢ μετενέγκων ἀπὸ τοῦ συνήθους, ἢ σχῆμα περιθεὶς ἕτερον, ἢ τὸ σημαινόμενον ὑπαλλάξας. Ὅτι γὰρ ἐποίουν οἱ παλαιοὶ πολλὰ τῶν ὀνομάτων αὐτοῖς, δέδεικται μὲν ἱκανῶς καὶ πρὸς Ἐρατοσθένους, ἐν τοῖς περὶ ἀρχαίας κωμῳδίας. δείξαιμι δὲ ἂν σοι κἀγὼ νῦν διὰ βραχέων ὧδε παραδειγμάτων ὀλίγων ἐχόντων γινώσκειν ἐναργέστερον, οἷον μέν τι ἡ γλῶττά ἐστιν, οἷον δέ τι καὶ τὸ παραπλήσιον αὐτῇ, τὸ γεγονὸς ὑπό τινος τῶν παλαιῶν. νομίζω δέ σοι τὰ ὑπὸ Ἀριστοφάνους ἀρκέσειν, τὰ ἐκ τῶν Δαιταλέων ὧδέ πως ἔχοντα. πρὸς ταῦτα σὺ λέξον Ὁμήρου γλώττας, τί καλοῦσι κόρυμβα. Προβάλλει γὰρ ἐν ἐκείνῳ τῷ δράματι, ὁ ἐκ τοῦ δήμου τῶν Δαιταλέων πρεσβύτης τῷ ἀκολάστῳ υἱεῖ, πρῶτον μὲν τὰ κόρυμβα τί ποτ' ἐστὶν ἐξηγήσασθαι, μετὰ δὲ τοῦτο τί καλοῦσιν ἀμενηνὰ κάρηνα. κἀκεῖνος μέντοι ἀντιπροβάλλει τὴν ἐν τοῖς Σόλωνος ἄξοσι γλῶτταν εἰς δίκας διαφέρουσαν ὧδέ πως. Ὁ μὲν οὖν σός, ἐμὸς δὲ οὗτος ἀδελφός, φρασάτω τί καλοῦσιν ἰδοῦσι τε. Ἐφεξῆς προβάλλει, τί ποτέ ἐστι τὸ εὖ ποιεῖν. ἐξ ὧν δῆλον ὡς ἡ γλῶττα παλαιόν ἐστιν ὄνομα τῆς συνηθείας ἐκπεπτωκός. Ὅτι δὲ καὶ αὐτὸς ἕκαστος τῶν παραλόγως ἐχόντων ἔξει οὐ ποιεῖν ὀνόματα καινά, δηλοῖ μὲν καὶ Ἀντιφῶν ἱκανῶς, ὅσγε ὅπως αὐτὰ ποιητέον ἐκδιδάσκει. δηλοῖ δὲ καὶ αὐτὸς οὗτος ὁ Ἀριστοφάνης ἐν τούτῳ τῷ δράματι διὰ τῶνδε. ἄλις, ὀφέλη, καὶ μύρον, καὶ ταινίαι. εἶτα ὁ πρεσβύτης ἐπισκώπτων, ἤδυ σωρέλη. τοῦτο παρὰ Λυσιστράτου. πάλιν δὲ αὐτοῦ τοῦ ἀκολάστου υἱέος εἰπόντος, ἡμῶν ἴσως οὐ καταπληγήσει τῷ χρόνῳ, καὶ τοῦθ' υἱοῦ ὁ πρεσβύτης ἐπισκώπτων φησί, τὸ καταπληγήσει τοῦτο παρὰ τῶν ῥητόρων. εἶτ' αὖθις ἐκείνου φαντός, ἀποβήσεταί σοι ταῦτα ποῖ τὰ ῥήματα, πάλιν ὁ πρεσβύτης καὶ τοῦτο σκώπτει, παρ' Ἀλκιβιάδου τοῦτο ἀποβήσεται. καὶ μέν γε καὶ ὁ υἱὸς οὐδέπω παυόμενος οὐδὲ αἰδούμενος τὸν γέροντα φησί, τί ὑποτεκμαίρῃ καὶ κακοὺς ἄνδρας λέγοις καλοκἀγαθίαν ἀσκοῦντας. εἶτα ὁ πρεσβύτης, οἶμαι ὦ Θρασύμαχε τίς τούτων τῶν ξυνηγόρων τορύεται. Δῆλον οὖν ἐκ τούτων οἶμαί σοι γεγονέναι, ὡς εἶπον ἐστὶν τρόπον τῶν γλωττῶν, ἢ τοῦ κοινοῦ πᾶσιν ὀνόματος ἐκπεσόντος τῆς ἐπικρατούσης συνηθείας, ἢ τοῦ γιγνομένου πρός τινος τῶν παλαιῶν μὴ παραδεχθέντος ὅλως εἰς τὴν συνήθειαν. οὕτως οὖν καὶ Ἱπποκράτης τὰ μὲν ἐκ τῶν ὄντων οὐ συνήθων ὀνομάτων παραλαμβάνει, τὰ δὲ αὐτὸς ποιεῖ, τὰ δὲ καὶ τοῖς σημαινομένοις ὑπαλλάττει. καὶ δίκαιον ἕκαστον αὐτῶν ἡμᾶς ἐξηγεῖσθαι μετὰ τῶν γλωττῶν, ὅταν γε φαίνηται τοῦ νῦν ἔθους ἐκπεπτωκός. οὕτως οὖν εἰ καί τινος ὄνομα φυτοῦ, καὶ ζώου, καὶ πόλεως, ἀσαφὲς ἱκανῶς εἴη, καὶ τοῦτό σοι ἐν ταῖς γλώτταις ἐξηγησόμεθα, καὶ καθόλου στοχασόμεθα, ὡς μὴ σοὶ μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις τοῖς τὰ πρῶτα γράμματα μεμαθηκόσι χρήσιμον ἔσται τὸ βιβλίον. Εἰ δέ τις οὐκ οἶδε τί ποτ' ἐστὶν, ἀνερήσομεν, καὶ ἀπὸ πρόσσω, καὶ ἄμφω, καὶ ἀμφίεσμα, καὶ τὰ ἄλλα ὅσα τοιαῦτα, πρὸς Διοσκουρίδην τε καὶ τοὺς ὁμοίους ἀποπέμψομεν, ὡς ἂν οὐκ ἀξιοῦντες οὐδὲ ταῦτα ἐκδιδάσκειν. Διωρισμένου δὲ σαφῶς, τί μέν ἐστι γλῶττα, τί δὲ λέξις, εἰρημένου δὲ καὶ ὅτι χωρὶς ἀποδείξεως, αὐτὸ μόνον ἠξίωσας γραφῆναί σοι τὸ κεκριμένον τε καὶ ἀποδεδειγμένον ἡμῖν ἐν ἑτέροις, ὧδε τὴν ἐξήγησιν ἤδη τῶν γλωττῶν ἀφιξόμεθα, πάντων τῶν Ἱπποκράτους ἐπιγεγραμμένων βιβλίων ἐκλέγοντες αὐτάς, οὐκ ἐκ τῶν γνησίων μόνον. Ὅτι δὲ πολλαὶ τῶν Βακχείῳ παραλελειμμένων ἐνταῦθά εἰσι γεγραμμέναι, καὶ ὅτι μηδὲ μίαν ἡμεῖς γλῶτταν παρελίπομεν, αὐτὸ διδάξει τὸ βιβλίον, ὥσπερ καὶ ὅτι κατὰ τὴν χρείαν τοῦ λόγου, ποτὲ μὲν παραγράφομεν αὐτὴν τὴν ῥῆσιν ἐξ ἧς ἂν ἐξηγησόμεθα τὴν γλῶτταν, ἐν πλείοσι δὲ παραλείπομεν, ὅταν καὶ χωρὶς ἐκείνης ἐλπίζομεν ἔσεσθαι σαφῆ τὴν ἐξήγησιν.

ΑΡΧΗ ΓΛΩΣΣΩΝ ΑΠΟ ΓΡΑΜΜΑΤΟΣ ΑΛΦΑ.

Ἀγκυλίδωτον, ἀγκύλην ἔχον, εἴρηται δὲ περὶ ἅρματος.

ἀγκυρομήλη, ἄγκυστρον.

ἀγλιθὲς, τὰ μόρια τοῦ σκορόδου τῆς κεφαλῆς.

ἀγρία κολοκύνθη, ἡ κολοκυνθὶς, ὡς καὶ κρατεύας καὶ Διοσκουρίδης καὶ πάμφιλος.

ἄγροφον, ὀρεινόν.

ἄγυια, ἀθρόα.

ἀγχόμενος, πνιγόμενος.

ἀδάξασθαι, δάκνεσθαι κνησμωδῶς.

ἀδμήτως, ἀφροντίστως.

ἀέτωμα, τὸ εἰς ὕψος ἀνατεταμένον τῆς ὀροφῆς ὥσπερ τρίγωνον.

ἀθέλγεται, παρεῖται, διεκλύεται.

ἀθὴρ, τό, τε τῆς κριθῆς ὀξὺ, ὡς ἐν τῷ δευτέρῳ περὶ νούσων τῷ μακροτέρῳ, καὶ τὸ ἐν ἀκίδι πώγωνος τὸ ἄκρον, ὡς ἐν τῷ πέμπτῳ τῶν ἐπιδημιῶν.

ἀθώρηκτος, ὁ μὴ μεθύων.

αἰγλίη, ἡ ἐν τοῖς ὀφθαλμοῖς ὑπόλευκος οὐλὴ, καθάπερ ἐν τῷ μείζονι προῤῥητικῷ, καὶ οἱ λευκανθίζοντες ἐπίπαγοι, ὡς ἐν κωακαῖς προγνώσεσιν.

αἰγοκέρας, ὅπερ καὶ βουκέρας καὶ τῆλις.

αἰγύπτιον ἔλαιον, ὅπερ αὐτοὶ καλοῦσι κίκινον.

αἰγύπτιον ἔλαιον λευκὸν, τὸ ἀπὸ τῶν κρίνων σκευαζόμενον, ὅπερ καὶ κρίνινον καὶ σούσινον ἔλαιον ὠνόμασται.

αἰγύπτιον μύρον λευκὸν, ὅπερ ἐστὶ μενδήσιον ὠνόμασται, σκευαζόμενον διά τε κρίνων καὶ ἀρωμάτων, διὰ τοῦτο καὶ μύρον, οὐκ ἔλαιον προσαγορεύεται. τὸ δὲ αὐτὸ καὶ κρινόμυρον, ἐστὶ σούσινον μύρον ὠνόμασται.

αἰγύπτιον μύρον, τὸ διὰ τῆς αἰγυπτίας ἀκάνθης τοῦ ἄνθους μύρον, ὅπερ καὶ μετώπιον ὠνόμασται.

αἰγυπτίην συνήθειαν, ἣν δὴ καὶ χιτὴν, καὶ τριχιτὴν ὀνομάζομεν.

αἰεὶ, σημαίνει ποτὲ παρὰ τῷ ἱπποκράτει ἐστὶ τὸ ἕως, καὶ παρὰ πολλοῖς τῶν παλαιῶν.

αἰθάλη, ὅπερ καὶ λιγνύς.

αἰθιοπικὸν, ὑπακουστέον τὸ κύμινον.

αἰθύλικες, οἱ περὶ πολλῆς τοῦ δέρματος κύκλοι, ὅμοιοι τοῖς ἀπὸ πυρὸς συνισταμένοις ἐρυθροῖς κύκλοις, ἀπὸ τοῦ αἴθειν ὠνομασμένοι, καὶ αἰθυλικώδεα δηλονότι τὰ τούτοις ὅμοια, ἃ οἱ πολλοὶ προσαγορεύουσιν αἱμάλωπα.

αἱματοφλοισβοιστάσιες, οἱ περὶ τὸν Διοσκουρίδην γράφοντες, τὰς ἐπισχέσεις τοῦ ὑποῤῥοιδοῦντος αἵματος ἡγούμενοι δηλοῦσθαι, ὅτι καὶ ἀλλαχοῦ φησὶν, ἐν τῇσι φλεξούσῃσι αἱμοῤῥαγίῃσι σχῆμα εὑρετόν. οἱ πλείους μέντοι γράφουσιν αἱματοφλεβοιστάσιες, καὶ δηλοῦσθαι νομίζουσιν ἐκ τοῦ ὀνόματος, τὰς πλήρεις αἵματος κεκυρτωμένας φλέβας.

αἱμήνας, ἐκπιέξας, ἀμύξας.

αἱμόκερχνα, ὑπὸ αἵματος ἐκχύσει κέρχνον ἐμποιοῦντα. τοῦτο δέ ἐστι λέξις τις ὑποτραχὺς ἐρεθίζουσα κατὰ τὴν τραχεῖαν ἀρτηρίαν.

αἰνιάτης, ὁ ἀπὸ αἴνου τῆς ἐν θράκῃ πόλεως. τὸν δὲ αὐτὸν καὶ αἰνιοπικὸν ἔστιν ὅτε καλεῖ.

αἰόλασθαι, τὸ οἷον πλάζεσθαι καὶ πλανᾶσθαι.

αἰὼν, ὁ βίος.

ἀκαλήφη, ἥπερ καὶ κνίδη.

ἀκεστὰ, τὰ ἰατὰ, καὶ γὰρ ἄκη, τὰ ἰάματα.

ἀκήρατος, ἀδιάφθορος.

ἀκὶς, οὕτως ὀνομάζεται τὸ σίδηρον τοῦ βέλους.

ἀκόνην ἐν τοῖς προσκειμένοις τῷ περὶ διαίτης οὕτως ὠνόμασε τὴν θύιαν, ὡσαύτως δὲ αὐτῷ καὶ ὁ θεόφραστος ἐν τῷ περὶ φυτῶν ὀγδόῳ.

ἄκουσα πεπληρωμένη.

ἀκραλέα, ἄκρεα.

ἀκρέσπερον, ἄκρας ἑσπέρας, τουτέστι πρώτης καὶ ἀρχομένης.

ἄκρητον, τὸ ἄκρατον, οὕτω γὰρ ὀνομάζεται πᾶν τὸ ἀμιγὲς ἑτέρου, καὶ τὴν αὐτοῦ φύσιν διασωζόμενον εἰλικρινῆ.

ἀκρητοχόλους τοὺς ἄκρατον ἀθροίζοντας χολήν.

ἄκριτον πάγος, τὸ οἷον ἀδιάκριτον, εἴρηται δὲ ἐν τῷ περὶ ἑβδομάδος, ὑπὸ τοῦ κατὰ τὸν κόσμον ἤτοι ἀπύρου ἢ οἷον ἀδιατυπώτου κενοῦ.

ἀκρόπλοα, τὰ ἐπιπολαίως οἷον ἐπ' ἄκρου ἐμπλέοντα, οὕτως δὲ καὶ οἱ ἀκρόπλοοι.

ἀκρατὶς, γλῶσσα οὕτως εἴρηται ἐν τῷ ἑβδόμῳ τῶν ἐπιδημιῶν, ἡ οἷον ἄκρα ἑαυτῆς μὴ διατυποῦσα, τουτέστιν ἡ ἀδιάρθρωτος ὑπὸ δυσκινησίας.

ἀκροσαπὲς, τὸ ὑπὸ βραχὺ μεταβεβληκός.

ἀκρόψιλον, τὸ ἐπὶ τοῦ ἄκρου ψιλὸν, τουτέστι γυμνόν.

ἀλαΐα φθίσις, οὕτως ὠνόμασται ἐν τῷ περὶ τόπων τῶν κατ' ἄνθρωπον, ἡ οἷον τυφλὴ ἐστὶ

ἀόρατος

ἀόρατος.

ἀλάπτης, ὁ δὲ ἀλάπτωρ, χωρίον δέ ἐστι τῆς Θρᾴκης τὰ ἄλαπτα.

ἀλάστορες, αὐτοί τε οἱ ἄνθρωποι οἱ τὰ ἀλιτήρια ἐργασάμενοι, καὶ οἱ τιμωροὶ αὐτῶν δαίμονες.

ἀλγήματα, πολλάκις καὶ κατ' αὐτοῦ τοῦ νοσήματος ἐπιφέρει τοὔνομα, καὶ τὸ ἀλγεῖν ὁμοίως ἀντὶ τοῦ νοσεῖν τι καὶ πάσχειν, καὶ τὰ ἄλλα τὰ ἀπ' αὐτοῦ.

ἀλεάζειν, θερμαίνειν.

ἄλιον ὕδωρ, τὸ ἠθροισμένον ἐξ ὄμβρου ἀθρόου.

ἄλειφα, ἔλαιον ἢ στέαρ.

ἀλεξητήρια, βοηθήματα, καὶ γὰρ τὸ ἀλέξασθαι, βοηθεῖν ἐστιν.

ἀλάϊον, ἠθροισμένον, ἀθρόον.

ἀλέστητα, ἄθροισιν.

ἀλέουσιν, ἀθροίζουσι.

ἀλέως, ἀθρόως.

ἀληθέωσι, πλανῶσιν, εἴρηται δὲ καὶ περὶ τὴν ἄλην.

ἀλθεῖν, ὑγιάζειν.

ἄλθεξις, ἡ ἴασις.

ἀλθίσκειν, ὑγιάζειν.

ἄλκαρ, βοήθημα.

ἀλλογνοῶν, ὁ παραφρονῶν, ὁ οἷον ἄλλα γινώσκων παρὰ τὰ ὄντα, οὕτω δὲ καὶ τὸ ἀλλοφρονήσας εἴρηται πρὸς αὐτοῦ.

ἀλλοιοτροπεῖται, τρέπεται ποικίλως.

ἀλλόκοτον, ἀσαφὲς, ἄγνωστον.

ἀλλοφάσσοντες, παραπαίοντες, παραφρονοῦντες.

ἀλαοὶ, τυφλοὶ, ὅτι καὶ ἀλαὸς ὁ τυφλός.

ἁλυκὸν, ἁλμυρόν.

ἀκρητόχολον, οὕτως ὀνομάζει ὅνπερ καὶ ἀκρόχολον.

ἀλύζει, ὡσαύτως ἀπορεῖται, ῥιπτάζεται. οὕτως δὲ καὶ τὸ ἀλύξει, ἀντὶ μέλλοντος εἴρηται.

ἀλυσμὸν, ὅπερ καὶ ἄλυσίν τινα καὶ ἀπορίαν, ὃ δὴ καὶ ῥιπτασμὸν καλοῦσι, καὶ ἡ ἄλυξις ταυτὸν τούτῳ.

ἄλφιτα, οὐ μόνον τὰ ἀπὸ τῶν κριθῶν οὕτως καλεῖται, ἐν τε γὰρ τῷ πρώτῳ τῶν γυναικείων ἄλφιτα πύρινα εἴρηται, ἐν δὲ τῷ περὶ νόσων δευτέρῳ τῷ μείζονι καὶ φακῶν καὶ ὀρόβων πεφρυγμένων. ἄλφιτα τοίνυν παντὸς ἀληλεσμένου καρποῦ τὸ σύμμετρον τῷ μεγέθει θραῦμα ὀνομάζεται. τὰ μὲν γὰρ μείζω, κρίμνα. τὰ δὲ ἐλάττω, ἄλευρα.

ἀλφιτα περκώνια, τὰ περὶ τὸν τοῦ κώνου στάσεως, τουτέστι τὰ ἐκ τῶν νέων ἔτι καὶ ἁπαλῶν κριθῶν. κῶνος γάρ τις ἐν ταῖς ἅλωσιν ἐλάτινος ἵσταται, καὶ μάλιστα ἐν ταῖς ἐπόμβροις χώραις ξύλον ὀρθὸν, ἐφ' ᾧ συντίθενται οἱ καρποὶ κωνοειδῶς.

ἀμαλδύνεται, αὐτῷ σύνηθες τὸ οἷον ἀφανίζεται, καὶ τὸ οἷον ἀμαυροῦται, καθάπερ ἐν τῷ δευτέρῳ τῶν γυναικείων, ὄμματα ἀμαλδύνεται.

ἀμαλῶς, τό, τε ἁπαλῶς, ὅπερ ἴσον δύναται τῷ μετρίως, ὡς ἐν τῷ πρώτῳ περὶ ἐμπύων τούτων δὲ ἀμαλῶς ἐπαλλέουσι. καὶ τὸ ῥᾳδίως, ὥσπερ ἐν τῷ πρώτῳ περὶ νούσων τῷ μείζονι, καὶ τοῖσιν ὀφθαλμοῖσι οὐκ ἀμαλῶς ὁρᾷ, καὶ ἐν τῷ δευτέρῳ μείζονι, καὶ τὰ σιτία οὐκ ἀμαλῶς προσίεται.

ἀμαμηλίδας, εἶδός τι μεσπίλου πλεῖστον ἐν Ἰταλίᾳ γινόμενον, ὡς καὶ Διοσκουρίδης λέγει. τινὲς δὲ τὰς ἐπιμηλίδας φασὶν εἶναι μῆλα σμικρὰ ἄγρια.

ἄμβη, ὀφρυώδης ἐπανάστασις.

ἀμβλυωσμὸς, ἤτοι ἔκτρωσις, παρὰ τὸ ἀμβλύσκειν, ἀλλὰ καὶ ἀμβλυωπία, ὡς ἐν τῷ μείζονι προρρητικῷ.

ἀμβλυοπώτερα, τὰ ἀμβλύτερον ὁρώμενα, τουτέστιν ἀμυδρότερον.

ἀμέρων, ἀφαιρῶν, καὶ λαμβάνων.

ἀμενηνὸν, ἀσθενές.

ἄμη, κατά τινα τρόπον, ἔκ τινος μέρους, μετρίως.

ἀμοίη, οὕτως ἐν τῷ κατ' ἰητρεῖον Διοσκουρίδης γράφει, ἀμοίη ὅτι πιέξει παραλλάξαι ἐκκλίνοντες τὴν αὔξησιν καὶ ἀνάπλασιν τῆς σαρκῶν ποιήσεται. οἱ δὲ ἄλλοι γράφουσιν, ἀλλοίη, φησὶ δὲ Διοσκουρίδης τὸ ἀμοίη μετρίαν εἶναι, μαρτύριον δὲ οὐδὲν παρατίθεται.

ἀμυστὶ, ἀθρόως ἄνευ τοῦ μῦσαι τοῖς χείλεσι.

ἀμφιβραγχίων, τῶν περὶ τὰ παρίσθμια καλουμένων χωρίων.

ἀμφίδεον τὸ τοῦ στομίου τῆς μήτρας τὸ ἐν κύκλῳ ἄκρον, ὅπερ καὶ σικύας χείλεσιν ἔοικε, κατὰ μεταφορὰν ἀπὸ τῶν γυναικείων ψελλίων ὠνομασμένον, ἃ καὶ αὐτὰ ἀμφίδεα καλοῦνται, ἀπὸ τοῦ περιλαμβάνειν ἐν κύκλῳ, καὶ οἷον ἀμφιδεῖν.

ἀμφιδέξιος, ἡ οἷον ἀμφοτέρωθεν δεξιὰ, τουτέστιν ἡ ἀμφοτέραις ταῖς χερσὶν ὡς δεξιαῖς χρωμένη. τοιοῦτος γὰρ καὶ ὁ παρὰ τῷ ποιητῇ περιδέξιος. οὕτως δὲ ἐστὶ ὁ Ἱππῶναξ ἔλε-

γῶν, ἀμφιδέξιος γάρ εἰμι, καὶ οὐκ ἀμαρτάνω. τινὲς δὲ ἀμφιδέξιον ἀκούουσιν οὐ καλῶς τὴν ἐν τοῖς δεξιοῖς μέρεσι τῆς μήτρας κυουμένην.

ἀμφιμήτριον σημεῖον, οὕτως ὠνόμακεν ἐν τῷ β΄ τῶν ἐπιδημιῶν, τὸ δηλωτικὸν τῶν περὶ τὰς μήτρας διαθέσεων.

ἄμως, κατά τινα τρόπον, ἔκ τινος μέρους, μετρίως.

ἀναγνῶναι, μεταπεῖσαι, μεταδιδάξαι.

ἀνάκαρ, εἰς τὸ ἄνω μέρος, ὥσπερ ἐπίκαρ εἰς τὸ κάτω δηλονότι ὅρεων.

ἀνακικίουσιν, ἀναπηδῶσι.

ἀνακῶς, φυλακτικῶς.

ἀνακωχὴ, ἀνοχὴ, ἀναβάσταξις.

ἀναλδὲς, ἄτροφον, ἀναυξανές.

ἀναλμυροὶ, ἄναλοι, ἢ οὐχ ἁλμυροὶ, Διοσκουρίδης οὕτως, διαιροῦντες δὲ ἀναγινώσκουσιν οἱ πολλοί.

ἄναλτον, τό, τε χωρὶς ἁλῶν, καὶ οὐχ ἁλμυρόν.

ἀναπλάξεις, διαπλάξεις.

ἀναπρῆσαι, ἀνατρῆσαι, ἐκτρῆσαι.

ἀνάῤῥινον, τὸ διὰ τῶν ῥινῶν παλίσσυτον ἰόν, ἔνιοι δὲ διαιροῦσιν ἀνὰ ῥινὸν εἶναι ἀνὰ τὸ δέρμα.

ἄναυδος, διαλέγεσθαι ἀδύνατος.

ἄφωνος δὲ ὁ φωνεῖν μὴ δυνάμενος, ἐν τῷ τρίτῳ τῶν ἐπιδημιῶν ἐφεξῆς ἀλλήλων ἐπὶ Πυθίωνος εἴρηται. οὕτως ἔχει καὶ τὸ παρὰ τῷ ποιητῇ ἐπὶ τοῦ ἵππου, αὐδήεντα ἔθηκε θεὰ λευκώλενος ἥρη.

ἀναφέρειν, δηλοῖ ποτὲ καὶ τὸ ὑπολύζειν ἀναπνέοντα, ὡς ἐν τῷ πρώτῳ περὶ νόσων τῷ μικροτέρῳ, καὶ ἀναφέρειν ὥσπερ τὰ παιδία τὰ πεπαυμένα κλαίοντα, καὶ εἰς τὰς ῥῖνας ἀνέλκοντα τὸ πνεῦμα. ἔστι γὰρ τουτὸν εἰς τὸ πνεῦμα προπίπτον ἐν τῇ ἔξω φορᾷ, ἔμπαλιν τῇ διπλῇ εἴσω ἐπανακλήσει.

ἀναχαίνεται, ἀναξαίνεται.

ἀναχελίσσεται, ἀναξαίνεται.

ἀνδρογύνειαν, τὴν κατὰ ἄνδρας διαδοχὴν τοῦ γένους, ἡ μέντοι κατὰ τὰς γυναῖκας διαδοχὴ τοιοῦτον ἕτερον οὐδὲν ὄνομα κέκτηται ὅμοιον.

ἀνήξατο μετὰ βηχὸς ἀνέπτυσεν.

ἀνειλήματα, τοὺς στρόφους.

ἀνειλιχθῶσιν, εἰς τὸ ἄνω εἰλιχθεῖσαι συστραφῶσι.

ἀνειρυαθέωσιν, ἀναπαλθῶσι.

ἀνείσας, ἐν ὕψει ἀνωτάτω κρεμάσας, σύγκειται γὰρ ἐκ τοῦ ἄνω, καὶ τοῦ εἶσαι.

ἀνεμοῦται, ἐμπνευματοῦται.

ἀνηρίκτων, ἀδιασείστων.

ἀνεστραμμένα, ἀνατεταραγμένα, εἴρηται δὲ ἐπὶ οὔρων.

ἄνεως, ἄφωνος καὶ τὸν νοῦν ἐκπεπληγμένος.

ἀνήνιος, ἄλυπος καὶ ἀβλαβής.

ἀνηρίκτω, μὴ διηρημένω ἐς λεπτὰ, ἀλλ' ἐξ ἀκρων κρίμνων συγκειμένω.

ἄνθεα, οὐ μόνον ταῦτα τὰ εἰς στέφανον, ἀλλὰ καὶ τὰ ἄλλα πάντα οὕτως ὀνομάζει, καὶ τὰ σπέρματα δὲ ὡσαύτως ἐνίοτε καλεῖ, ὥσπερ καὶ ἐν τῷ δευτέρῳ γυναικείων, ἀλλὰ καὶ τὰ ἐρυθήματα, ὡς ἐν κωακαῖς, καὶ πελιώματα δὲ ἀνθηρά, τὰ ἐρυθρὰ καὶ ὕφαιμα λέγει ἐν τῷ ϛ. τῶν ἐπιδημιῶν.

ἀνθίνην οἶνον, ἤτοι τὸν κνιδισμένον ὀνομαζόμενον, ἢ τὸν ἐκ τῶν ἀνθῶν ἡδυσμένον, ὥσπερ καὶ κυκεῶνα ἀνθινὸν ὠνόμασεν ἐν τῷ δευτέρῳ περὶ νούσων τῷ μείζονι.

ἀνθινὸν ἔλαιον, τὸ κρίνινον καὶ λείρινον λέγεται, τὸ δὲ αὐτὸ καὶ σούσινον καλεῖται.

ἀνθινὸν μύρον, ὅπερ καὶ σούσινον μύρον καὶ κρίνινον μύρον. διαφέρει δὲ τοῦ ἀνθίνου ἐλαίου τοῦ προγεγραμμένου τῇ ποικιλίᾳ τῶν ἀρωμάτων.

ἀνίθυντο, ἤγουν εἰς τὸ ἄνω ἀπεύθυνε.

ἀνωργισμένον, τό, τε ἀναμεμαλαγμένον, ἐπειδὴ καὶ τὸ μαλάξαι ὀργάσαι, καὶ τὸ οἷον σπαργοῦν καὶ ὀργοῦν, ὡς ἐν τῷ δευτέρῳ περὶ νόσων τῷ μείζονι.

ἀντικοντώσιος, τῆς διὰ τοῦ κοντοῦ ἀντερείσεως, ὅπερ καὶ σκίμπων καλεῖται.

ἀντίῤῥινον, πόα τις ἣν καὶ βούκρανον καὶ λυχνίδα ἀγρίαν ὀνομάζουσι.

ἀορτρον, τὸ ἀπηρτημένον τοῦ πνεύμονος μέρος ἑκατέρωθεν, ὡς ἐν τῷ περὶ νούσων τῷ μείζονι, ἔτι δὲ καὶ ἀορτρὴν τὸ αὐτὸ τοῦτο ἐνίοτε καλεῖται, ὡς Διοσκουρίδης οἴεται, οὐ πάνυ δὲ σαφές ἐστι.

ἀπαρτίως, ἀπηρτισμένως καὶ ἀκριβῶς. Διοσκουρίδης δὲ ἔφη ὅτι καὶ πᾶν τὸ ἐναντίον δηλοῖ, ὡς ἐν τῷ περὶ διαίτης ὀξέων, ἐν οἷς φησί, καὶ ὡς ἐπὶ τὸ πολὺ ἀπαρτίως ἐν τοῖσι τοιούτοισι καιροῖσι μεταβάλλουσιν εἰς τὰ ῥοφήματα. ἐμοὶ δὲ καὶ ταύτῃ δοκεῖ τὸ ἀπηρτισμένως τε καὶ ἀκριβῶς δηλοῦν. τῷδε καὶ οἱ ἀττικοὶ τὸν αὐτὸν τρόπον χρῶνται τῷ ὀνόματι, μυρία δὲ παραδείγματα διὰ τῶν σμικρῶν ὑπομνημάτων ἔχεις.

ἀπεβράσσετο, ἐν τῷ πέμπτῳ τῶν ἐπιδημιῶν

κάδων οὕτως Διοσκουρίδης γράφει, καί φησιν αὐτὸς δηλοῦσθαι τῷ ἀπεβράσατο, τὸ ἀπεβήσατο, τῶν ἄλλων σχεδὸν ἁπάντων ἀπεβήσατο γραφόντων. ὁ γάρ τοι Διοσκουρίδης οὗτος, καὶ ὁ Ἀρτεμίδωρος δὲ ὁ ἐπικληθεὶς Καπίτων, ἐκ τοῦ συνήθους τοῖς ἄλλοις ὀνόματα πολλὰ μετεκόμισαν, οὐδὲν ἀλλοιότερον δηλοῦντα τῆς ἀρχαίας γραφῆς, ὧν ἀναγκὴν ἔχομεν καὶ ἡμεῖς μνημονεύειν.

ἀπιλλήθη, συνεκλείσθη, ἴλλειν γὰρ τὸ συγκλείειν.

ἀπορχθῆ, ἀποκλεισθῇ.

ἀπόγονα τὰ γόνιμα, ἔνιοι δὲ ἤκουσαν τὰ ἄγονα.

ἀποκεκαρπωκός, ἀποβεβλαστηκός.

ἀποκεκειμένῃσι, κεχωρισμέναις.

ἀποκηδέστερον, ἀφροντιστότερον.

ἀποκναίειν, μάλιστα μὲν τὸ ἀποξύειν, ἤδη δὲ καὶ τὸ καταφθείρειν, καὶ τὸ καταχναίειν.

ἀπομυλήνας, προβαλὼν τὰ χείλη συνηγμένως.

ἀπονενοημένως, ἀνεπιστρέπτως.

ἀποπαλλήσιος, ἀποπάλσεως, ἐντεῦθεν καὶ τὸ ἀποπαλώσεται, ποτὲ μὲν τὸ ἐνεργητικὸν τὸ ἀποπάλλειν σημαίνει, καθάπερ ἐν πρώτῳ τῶν γυναικείων, ἔστιν ὅτε καὶ τὸ παθητικὸν ἀποπαλλήσεται, ὡς ἐν τῷ περὶ φύσεως ἀνθρώπου.

ἀπορέγει, προτείνει.

ἀποσβαθεὶς, ἀποσβεσθείς.

ἀποσιτικὰ, ἀποσιτίας καὶ ἀνορεξίας ποιητικά.

ἀποσκήψεις, τὰς ἀποχάσεις, ἐν τῷ περὶ νόσων τῷ μείζονι.

ἀποσκληρύνει, σκελετεύει.

ἀποσπαρθάζουσι, σπαίρουσιν, ἢ σφύζουσιν ἐν τῷ β΄ περὶ νούσων.

ἀπόσφαγμα, τὸ τρυγῶδες παρέγχυμα, ὃ καὶ ὑπόσφαγμα.

ἀπτίστων ὁλοχερῶν, εἰς ὁλοχερῆ ἄλευρα διῃρημένων, ἐλλιπῶς κεκομμένων, μὴ ἀποβεβρασμένων τὸ πιτυρῶδες.

ἀπυρομήλῃ, τῇ πυρῆνα μὴ ἐχούσῃ, τουτέστι τῇ μηλωτρίδι.

ἀρακίδας, πυρῆνας ἀρακίσκους, ὄσπριον δὲ ἐστὶν ὁ ἄρακος.

ἀρβύλαι, ὑποδήματα τὰ βαθέα.

ἄργης, ὄφις τὶς οὕτως ὀνομαζόμενος.

ἄρδας ῥύπος τὶς καὶ ἀκαθαρσία. καὶ ἀρδαλῶσαι, τὸ ῥυπᾶναι.

ἀρθρικὸν, τὸ τοῖς ἄρθροις ἁρμόττοντι.

ἀρικύμων, ἡ ταχέως ἐγκύμων γινομένη.

ἀρὶς, οὐ μόνον τὸ ὄργανον, ἀλλὰ καὶ βοτάνη τὶς οὕτως ὀνομάζεται.

ἄρκιος, ὁ ἀπὸ τοῦ ἄρκτου πνέων, ἔνιοι δὲ ἀρκτῷον ἄντικρυς γράφουσι.

ἁρμῆς, τῆς ἐν τῇ κεφαλῇ ῥαφῆς.

ἁρμίῳ, πρᾶγμα χρῆμα, δώριος δὲ ἡ λέξις.

ἀρροίας, ἐποχῆς ἐμμήνων.

ἀρτίζωα, ὀλιγοχρόνια.

ἀρτίστομα, πανταχόθεν ὁμαλά.

ἀσκαρίδες, ἕλμινθες ἰσχναὶ καὶ μακραὶ ἐν τῷ ἀπευθυσμένῳ ἐντέρῳ γεννώμεναι.

ἀσκοὺς κεραμίους οὓς καὶ πυριατοὺς καὶ φακοὺς ὀνομάζουσι.

ἀσᾶται, τὸ, τε πυροῦται ὡς ἐν πρώτῳ γυναικείων, καὶ τὸ προσκέρως καὶ ἐπαχθῶς διατίθεται, ὡς ἐν τῷ δευτέρῳ περὶ νούσων τῷ μείζονι

ἀτέραμνα, τὰ δυσκατέργαστα καὶ σκληρά.

ἄτρακτον, οὐ μόνον τὸ εἰς τὸ ἐριουργὸν χρήσιμον, ἀλλὰ καὶ τὸ ξύλον τοῦ βέλους.

ἀττικὸν ἀγγεῖον, ἀττικὴν χύτραν, καὶ μήν ποτε τὸν καλούμενον ἐχῖνον.

αὐαντὴ, ἡ αὐανσή, τὶς ξηραντικὴ νόσος.

αὐτίτην, τὸν οἶνον αὐτοετίτην, τὸν ἐκ τοῦ ἐνεστῶτος ἔτους.

αὐτόδρομον, αὐτοκίνητον, ὡς ἐν τῷ περὶ ἑβδομάδων.

ἀφὰς, τὰ ἅμματα παρὰ τὸ ἅπτεσθαι.

ἀφασσόμενα, ψηλαφούμενα, καὶ ἀφησάμενη, ψηλαφήσασα.

ἀφράζει, ἀφραίνει, ἀσυνετεῖ.

ἀφροῦντα, ἀφρίζοντα, πομφολυγώδη.

ἀφύει, ἀπολευκαίνεται, καὶ ὥσπερ ἀφύες τὸ χρῶμα ἴσχει, οὕτως δὲ καὶ ἀφυῶδες καλεῖται τὸ ἀφυεῖ χρώματι ἐοικός.

ἀχιλληϊάδας κριθὰς, τὰς εὐτραφεῖς καὶ μεγάλας, ἀπό τινος Ἀχιλλέως ὠνομασμένας, ὥς φασι γεωργοῦ Βαβρωνίου.

ἀψίῤῥοον, εἰς τοὐπίσω ῥέον.

ἀψυχεῖ, λειποθυμεῖ. καὶ ἀψυχίη, ἡ λιποψυχία.

B

BΑκχάρις, λύδιόν τι μύρον.

Βαλβὶς, κοιλότης πραμμήκης.

Βαλεῖος, ὁ ἀπὸ Βαλείας πόλεως μακεδονικῆς.

Βδέλλαι, ἐν τῷ μείζονι προῤῥητικῷ καὶ δευ

τέρῳ πρός τινων ὑπογραφομένῳ, τὴν κιρσώδη φλέβα φασὶν οὕτως ὀνομάζεσθαι Διοσκουρίδης. ἐμοὶ δὲ δοκεῖ κυρίως εἰρῆσθαι τοὔνομα κατ' αὐτὸ τὸ ζῷον, καὶ γὰρ παρέτυχον ποτὲ τούτου κατὰ τὸ βιβλίον ἐκεῖνο λεγομένου, καὶ ἀγνοουμένου γε πολλῶν ὑπὸ τῶν γινομένων πρὸς ἔγνων ἐγὼ μόνος ἐκ τοῦ γράμματος ὁρμηθεὶς τἀληθές.

Βηκείοις, προβατίοις.

Βιοσακῇ, τῇ ἀπὸ Βιοσῶν ἐν θράκῃ.

Βλακεύειν, ὀλιγωρεῖν.

Βλαβεραί, ὑγραί, μυξώδεις.

Βληχρόν, ἀσθενέοντι.

Βοάνθεμον, τὸ βούφθαλμον, τὸ δὲ αὐτὸ καὶ χρυσάνθεμον ὀνομάζεται.

Βόλβιον οἷόν ἐστι αὐτὸς Ἱπποκράτης ἐν τῷ β΄ τῶν γυναικείων διδάσκει. κακῶς οὖν τινὲς τὸν νάρκισσον ἄνθην δηλοῦσθαι διὰ τοῦ βολβόν.

Βολβίτια, τὰ ὑπὸ τῶν πολλῶν βομβύλια προσαγορευόμενα, γένος δέ ἐστι τῶν μικρῶν πολυπόδων.

Βολιτόν, βόλβιτον.

Βομβύλιον ἔκπωμά τι στενὸν ἔχον τὸ στόμα, ἢ πῶμα, παρὰ τὸ βομβεῖν ὠνομασμένον.

Βοὸς θαλασσίου, σελαχώδης ἐστὶν ὁ ἰχθὺς οὗτος.

Βουβάλιος, σίκυς ἄγριος.

Βουκέρας, ἡ τῆλις, Μνησιθεὺς ἐν ταῖς ὀνομασίαις τῶν φαρμάκων, καὶ τὴν ἀναγαλλίδα οὕτως προσαγορεύεσθαί φησι.

Βούπρηστις, τότε ζῷον τὸ τῇ κανθαρίδι παραπλήσιον. ἔστι δὲ καὶ τι λάχανον ἄγριον, οὗ μέμνηται Διοσκουρίδης ἔν τε τῷ πρώτῳ ὑγιεινῶν, καὶ ἐν τῷ περὶ λαχάνων.

Βρῆγμα, τὸ μετὰ βηχὸς ἀναπτυόμενον, ἐν τῷ πρώτῳ τῶν νούσων τῷ μείζονι, καὶ τὸ βρήσσειν, τὸ μετὰ βηχὸς ἀναπτύειν, ἔνιοι ταῦτα χωρὶς τοῦ ρ̄ γράφουσι.

Βρόγχος, τῆς χονδρώδους ἀρτηρίας.

Βοτράχου, τοῦ βατράχου λέγει, τινὲς δὲ ἀντικρὺς βατράχου γράφουσι.

Βρυγμός, ὁ ἀπὸ τῶν ὀδόντων συγκρουομένων ψόφος, καὶ βρύχειν τὸ οὕτως ψοφεῖν.

Βύζην, ἀθρόως ἢ πυκνῶς.

Γ

Γαλιάγκωνες, οἱ σμικρὸν μὲν καὶ ἄτροφον ἔχοντες τὸν βραχίονα, τὰ δὲ κατὰ τὸν ἀγκῶνα ὀγκωδέστερα, ὥσπερ καὶ αἱ γαλαῖ. οἱ δὲ φάσκοντες γαλλόν τὸ κονδὸν ὀνομάζεσθαι, καὶ τοῦτό γε κεῖσθαι τῷ ὀνόματι, τάχα ἂν δόξειαν παρακούειν. οὐ γὰρ γαλιάγκωνας, ἀλλὰ γαλιοβραχίονας ἐχρῆν αὐτὸ ὀνομάζεσθαι.

Γαμψούς, καμπὰς ἔχοντάς τινας.

Γαυσός, κυρτὸς εἰς τὸ ἔσω.

Γιγγλύματα, ἀντεμβαίνουσιν εἰς ἀλλήλους ὥσπερ καὶ ἐν ταῖς θύραις οἱ γιγγλυσμοί.

Γῇ σμηκτίδι, τῇ κιμωλίᾳ.

Γῇ κεραμίτιδι, τῇ ἀργίλλῳ.

Γῇ χαλκίτιδι, οὐδὲν πλέον δηλοῖ τῆς χαλκίτεως.

Γήχυτον, τὸ ἔξωθεν μέρος τῆς γῆς τὸ μαλακὸν καὶ ἥκιστα λιθῶδες.

Γλαμυροί, γλημώδεις καὶ ὑγροί.

Γλοιάζειν, τὸ ἐπιμύοντας παραδίνειν τοὺς ὀφθαλμούς, καὶ τὸ γλοιώδως, ἀναλόγως ὡσεὶ καὶ νυστακτικῶς ἔλεγον.

Γλυκύμης βοτάνης, τῆς γλυκυῤῥίζης καλουμένης.

Γόγγρωνα, βρογχοκήλην, ἀπὸ τῶν ἐν τοῖς πρέμνοις τῶν δένδρων ὑπογινομένων στρογγύλων ἐξοχῶν, ὡς καὶ Θεόφραστος ἐν τῷ πρώτῳ περὶ φυτῶν ὧδε λέγων. ἔνια δὲ ἴσχει τοὺς καλουμένους ὑπό τινων γόγγρους, ἢ τὸ ἀνάλογον, οἷον ἡ ἐλαία.

Γογγύλιον, στρογγύλον. καὶ γογγυλίδα, τὰ σμικρὰ σφαιρία ὡσπερεὶ καταπότια.

Γριφώμενα, ἐπανιλούμενα, περὶ τὸν γρῖφον, τὸ ἁλιευτικὸν δίκτυον.

Δ

Δακτύλιος, κύκλος, τροχίσκος, ἐν τῷ περὶ ἀφόρων.

Δαιτίδων, μεγάλαι λαμπάδες καιόμεναί τε καλεῖται. καταχρωμένοις δέ ποτε σημαίνει καὶ τὴν τοῦ σκορόδου κεφαλήν, διὰ τὸ ἐκ πολλῶν ἀγλίθων συγκειμένην παραπλησίως συντεθεῖσθαι ταῖς λαμπάσι.

Δίεδρος, διαφανὴς ἐν τῷ δευτέρῳ περὶ νούσων τῷ μείζονι.

Διακνεῖ, ὅπερ καὶ ἀρκναίει, τὸ αὐτὸ καὶ διακναίει λέγεται.

Διαπεπληγμένα, τὰ ὑπὸ πολὺ κατὰ τὴν πληχάδα διεστῶτα. πληχὰς δὲ τὸ μεταξὺ τῶν σκελῶν τῆς ἐκφύσεως.

Διάστημα τὴν ὥσπερ ἐρίοις ἐοικυῖαν αὐτῶν τῶν σωμάτων σύνθεσιν.

Διασομωτρίδα μήλην, τὴν διασέλλουσαν.

διαφλύξιες

διαφλύξιας, ὑπερβλύσεις.
διαφλυχθεῖσα, διαχυθεῖσα, ὑγρανθεῖσα.
διαφλυχθὲν, ὑγρανθέν.
διαφλύοντα, ὑγραίνοντα.
διάφορος, ἀφείζων.
διὰ χωρὶς, ἀπὸ διαστήματος.
διδύμη, ῥίζα τῆς βοτάνης, ἥτις καὶ ὄρχις ὀνομάζεται.
διεβλήθησαν, ἐξηπατήθησαν.
δινῆσαι, διασεῖσαι, ἐν τῷ δευτέρῳ γυναικείων δηλοῖ δὲ τὸ δινηθῆσαι, καὶ τὸ δινεῖν.
δίεδρος, νοτηρὰ καὶ διιδροῦσα.
δίκλειδος, διμορφὴς ὡς δύνασθαι τοῦ κάτω μέρους κεκλεισμένου τὸ ὑπερκείμενον ἀνοῖξαι.
δίκροον, τὸ οἷον δίκρανον, ὅπερ καὶ διχιδὲς ὀνομάζουσι. τὸ δὲ αὐτὸ καὶ ἡ δίκρουν δηλοῖ.
δίοπτος, νεὼς ἐπιμελητὰς, παρὰ τὸ διοπτεύειν, ἢ διόπειν, τὰ ἐν αὐτῷ.
διορώσιος, τῆς εἰς τὸ ὀῤῥῶδες καὶ ὑδατῶδες μεταβολῆς.
δίπνοος, τρήματα τῶν εἰς τὰ κενὰ συντετρημένων, καὶ οἷον κατὰ δύο στόματα ἀναπνεόντων.
δόρπου, τοῦ δείπνου.
δραπτὰ, ἐσπαραγμένα.
δυσήνιος, ὁ μὴ εὐκόλως ἀνιώμενος, ἔστι δὲ καὶ ὁ δυσχαλίνωτος, ἢ ὁ δυσκολώτατος. Κριτίας ἐν τῷ περὶ φύσεως ἔρωτος καὶ ἀρετῶν οὕτως ἐξηγεῖται τοὔνομα.
δυσανίης δέ ἐστιν ὅστις ἐπὶ τοῖς σμικροῖς ἀνιᾶται καὶ ἐπὶ τοῖς μεγάλοις μᾶλλον ἢ οἱ ἄλλοι ἄνθρωποι, ἢ πλείω χρόνον.

E

ΕΒλημάθη, ἐμαλάχθη.
Ἐγγαστρίμυθοι, οἱ κεκλεισμένου τοῦ στόματος φθεγγόμενοι, διὰ τὸ δοκεῖν ἐκ τῆς γαστρὸς φθέγγεσθαι.
ἐγκὰς, ἐν βάθει.
ἐγγενὲς, συγγεγεννημένον, οἰκεῖον.
ἐγκάμψει, ἐνερείσει, καὶ ἐγκεκαμμένοι οἱ ἐνηρεικότες καὶ ἄγρυπνοι, εἴρηται δὲ ἐπὶ ὀνύχων.
ἐγχαλινοῦται, χαλινοῖς ἐμφερῶς περίκειται.
ἐγγεγλυκισμένος, ὁ ὑπόγειος, πεπαυμένος τοῦ γλυκέος εἶναι.
ἔγρησις, ἡ ἐγρήγορσις.
ἐέργαται, ἐναπολαμβάνονται.
ἔθρασεν, ἐνυπῆρεν, ἐπῆντε.

ἐκβρήσει, ἐκβάλλει, ἐκβράσει.
ἔκδεξιν, διαδοχήν.
ἐκκολύψας, ἀπολεπίσας.
ἐκλύεσθαι, σημαίνει ποτὲ καὶ τὸ προσκλύζεσθαι, ὡς ἐν τῷ περὶ ἀφόρων, καὶ τοῖς παρακειμένοις τοῖς περὶ τῶν ἐν κεφαλῇ τρωμάτων.
ἔκμαγμα, τό, τε συνεστραμμένον φύραμα, καὶ τὸ κηρόμαγμα, ὡς ἐν περὶ ἀφόρων.
ἐκμάξαι, καὶ τὸ ἀναπλάσαι, ἔστιν ὅτε δὲ ἀλλοιῶσαι, ὡς ἐν τῷ περὶ ἀφόρων, δακτύλῳ ἐκμάξαι, τουτέστιν ὡς τοῦ κυκλίσκου ἀναπλάσαι, ἀλλὰ καὶ τὸ ἐκθλίψαι ὡς ἐν τῷ περὶ νούσων τῷ πρώτῳ τῷ μείζονι, ἐπί τε σπόγγου δὲ λινοζωστίδος καὶ ἀκτῆς τῶν φύλλων.
ἐκματεῖσθαι, ἀναζητεῖν.
ἐκμίγνονται, ἀποκρίνει.
ἐκνεφίας ὄμβρος, ὁ μετὰ ἡλίου γινόμενος.
ἐκνεφίας πυρετὸς, ὁ ὑγρὸς ἅμα καὶ πυρώδης, ὥσπερ καὶ ὁ ἥλιος ἐκνεφίας.
ἔκνυξεν, ἐψόφει, ὠνοματοπεποίηται δὲ ἀπὸ ψόφου
ἐκνύπη, ἐξηπλωμένη.
ἐκπεπληγμένον, ἐκτετραμμένον.
ἔκρηγμα, ἀπόσχισμα ῥάκους.
ἐκσυριγγοῦται, ἀναστομοῦται.
ἐκτόμου, ἐλλεβόρου μέλανος.
ἔκτριψιν, τὴν δὲ τὰ σπλάγχνα οὖσαν παράλλαξιν
ἐκφλινδάνει, ἐξορμᾷ.
ἐκβράσει, οὕτω δὲ καὶ τὸ ἐκφλύει.
ἐκχύμωσις, χυμῶν ἔκχυσις.
ἔλαιον ῥόδινον, τὸ μὴ κεχρωματισμένον.
ἐλατήριον, οὐ μόνον τὸ ἀπὸ τοῦ ἀγρίου σικύου γινόμενον, ἀλλὰ καὶ πᾶν τὸ κάτω κοιλίαν (καθαῖρον.
ἔλεια, ἄγρια.
εἰλιθερὲς, τὸ ὡς ἀπὸ ἡλίου θερμόν.
εἰλιθερέεσθαι, ἡλιοῦσθαι.
ἐλιννύζειν, ἡσυχάζειν.
ἐλκυνδυστάμην, ἐπὶ πλεῖστον διελέχθην.
ἐλκυστῆρι, ἐμβρυουλκῷ.
ἔλυτρα, σκεπάσματα.
ἐμβάφιον, ὀξυβάφιον.
ἔμαι, ἔμετοι, ἀττικὸν τὸ ὄνομα.
ἔμπλην, πλησίον.
ἐμπύους μοτοὺς, τοὺς στρεπτοὺς ἢ τοὺς λημνίσκους.
ἐμυκώθη, Διοσκουρίδης μὲν φησι, τὸ συνέμυσεν, οἱ πλεῖστοι δὲ τὸ ἐπὶ φύσεις ἔσχε πλαδαρὰς, ὥσπερ καὶ οἱ μύκητες.

ἐμυλώθη

ἐμυλώθη, ἐσκληρύνθη.
ἐμυλώθη, κατεμαράνθη.
ἐνθλάσῃ, ἐνθρᾷ.
ἐνθράσῃ, ἐγκείμενον νύττῃ.
ἐξαλιπῆς, κονιάτης, χρίσις.
ἐξαλίζοιτο, ἐκκρίνοιτο.
ἐξαύτης, ὑγιής.
ἐξάραγμα, σύντριμμα.
ἐξαρύεται, ἐκκρίνουται ἐκθλίβεται, τινὲς δὲ τὸ ἐξόρμησιν, ἀπειλὴν ποιεῖται.
ἐξάρυσις, ἀπάντλησις.
ἐξαστίας, ἔνιοι μὲν τὰ ἐπανιστάμενα ἐξ ἄκρων τῶν χιτωνίων ὀθονίων λίνα, καὶ ἀπὸ τῶν ῥακῶν τὰς κρόκας, ἐμοὶ δὲ καὶ τὰ πρὶν χιτωνίσαι περιέχοντα τὸν αὐτὸν τρόπον ὀνομάζειν δοκεῖ.
ἐξητριασμένον, τὸ διὰ ἠτρίου ἠθημένον, λεπτὸν δέ τι ὕφασμα τὸ ἤτριον.
ἐξίνει, ἐκκρίνει.
ἔξορα εἰς στενὸν συνηγμένα, ἃ δὴ καὶ μύουρα ὀνομάζουσιν.
ἔπακρα, τὰ εἰς στενὸν τελευτῶντα, ἅπερ καὶ ἔξουρα.
ἐπαλήνων, ἐπιπάστων.
ἐπίκερας τῆλιν, ἔνιοι δὲ ἄλλην τινὰ βοτάνην οὕτως ὀνομαζομένην.
ἐπικτένιον, ἐπὶ μὲν τῶν γυναικῶν τὸ ἐπίσειον καλούμενον, ἐπειδὴ ὑπὲρ τὸν κτένα ἐστίν. ἐπὶ δὲ τοῦ στυππείου ἢ τοῦ λίνου, τὸν τῇ κτενὶ προσιζάνοντα χνοῦν ἐν τῇ ἐργασίᾳ.
ἐπιμηλίδα, Διοσκουρίδης μὲν ἐν τῷ πρώτῳ περὶ ὕλης, εἶδος μεσπίλου τὸ καὶ σητάνιον ὀνομαζόμενον, ἔνιοι δὲ τὰ μῆλα τὰ σμικρὰ τὰ ἄγρια, ἅπερ καὶ ἀμαμηλίδας ὀνομάζονται.
ἐπιμυλίδα, τὴν ἐπιγονατίδα, τὴν μύλην.
ἐπισκληροῖς, τοῖς κατεσκληκόσι.
ἐπίσημος, ἐπιστατικὴ, συνώνυς, ἐφεκτική.
ἐπίχνουν, ἐπίπαγον χνοώδη.
ἐπορηξάμεναι, ἐπεκταθεῖσαι.
ἐπόγιον, κλῆμα ἐξ οὗ πέφυκέ τι, ὥσπερ καὶ τῆς σικυώνης.
ἐπῶδες, δυσῶδες, τὸ οἷον ἐπόζον.
ἐπωκεσθρῇ, τῷ ὄξει πλέονι κεχρημένῃ.
ἐρβιγῆ, ἐρύγνιον, ἀπόβλημα.
ἐρικίδες, αἱ ἁδρομερῶς διῃρημέναι κέχραι, τινὲς δὲ τὰς δίχῃ διῃρημένας, καὶ γὰρ τὸν ἐρεγμὸν ἀπὸ τοῦ δίχῃ διῃρεῖσθαι φασὶν ὀνομάσθαι. ἐμοὶ δὲ παρὰ τὸ ἐρείκειν πάντα τὰ τοιαῦτα δοκεῖ γεγονέναι, ὅπερ οὐ τὸ δίχῃ διαιρεῖν ἐστίν, ἀλλὰ τὸ θραύειν ἁπλῶς, ὅθεν καὶ τὸ ἴτριον ἐρείκιον ὀνομάζεται, καὶ αὐτὸ διότι ἐνθραυστόν.
ἐρίξ, εἴρηται μὲν καὶ ἐπὶ τοῦ ἥπατος, γέγραπται δὲ ἐν τοῖς πλείστοις μὲν θρίξ, δηλοῖ δὲ τὸ μέρος τοῦ ἥπατος τὸ ἄνω καθ' ὃ ἀπ' ἀλλήλων σχίζονται οἱ λοβοί.
ἐρυγματώδης, ἡ ἐρυγῶν ἀπεργαστικὴ νόσος ἢ πνευματοῦσα.
ἐρυθροῦν στέαρ, τὸ ἔναιμον.
ἐσαφάσσας, εἰς τὸ ἔσω χαλάσας, ὥστε μασᾶσθαι ὅ ἐστι ζητῆσαι.
εὐφηκωμένα, συνδεδεμένα, συνεστραμμένα.
ἐς χεῖρα, δηλοῖ τὸ πλησίον.
ἔτνος, πᾶν τὸ ἀπὸ ὀσπρίου ἐρηρειγμένου ἕψημα.
εὐάνθεμον, ὅπερ καὶ ἄνθεμις λέγεται καὶ χαμαίμηλον.
εὐθεσίην, τὴν ἐγγινομένην τῷ σώματι ἕξιν. ὥσπερ καὶ ἐνιαυτὸς εὐθεσίης καλεῖται, ὁ εὐφορίας ἀπεργαστικός.
εὐκάρδιον, εὐστόμαχον.
εὐνή, οὐ μόνον δηλοῖ τὴν κοίτην, ἀλλὰ καὶ τὴν συνουσίαν, ὡς ἐν τῷ δευτέρῳ τῶν γυναικείων, καὶ ἄχθη τὰ σφοδρότατα εὐνήν.
εὐοργητοτέρα, εὐτροπωτέρα, ὀργαὶ γὰρ οἱ τρόποι.
ἐφλύδον, ἐχαλάσθησαν.
ἐχέτρωσις, ἡ λευκὴ βρυωνία.
ἕψημα ὅπερ καὶ σίραιον, ἑψητὸν δὲ εἶδος ἰχθύων.

Ζ

Ζέας, ὀλύρας.

Η

Ηγκίστρωνται, ἐγκαταπέπλεκται.
Ηγκυροβόληται, ἐγκαταπέφυκεν ἀγκύρᾳ ὁμοίως.
ἠ δέ, ἔτι δέ.
ἠδελφίσται, οἰκείωται.
ἡδυντὴν πίσσαν, τὴν ἠρωματισμένην, ἑψεῖται δὲ ὕδατι καὶ ἀρώματι.
ἡδυντὸν στέαρ, τὸ ἐν ὕδατι καὶ ἀρώματι ἑψηθέν, καὶ τὰ ἀρώματα καὶ ἡδύσματα.
ἡμιόπον, ἥμισυ.
ἡμιτύβιον, ὀθονίου παχέος μέρος.
ἦναι, κόψαι. καὶ ἠνίων τῶν κεκομμένων.
ἠοίας, τὰς πρωίας.

ἠραχνίωκε

ἠραχνίωκε, λεπτοῖς ἅμα καὶ πολλοῖς φλεβίοις, ὥσπερ ἀράχνης ὑφάσματα διαπέπλωκε.

ἠρμᾶσθαι, ἐρηρεῖσθαι ἢ ἡρμόσθαι.

ἤβας, ἡβήβας.

θ

Θολερὸν πνεῦμα, μέγα καὶ δεδιωγμένον.

θολερὸν, θερμὸν ὡς ἀπὸ ἡλίου. παρὰ τὸ θέρεσθαι γέγονε τοὔνομα.

θέρετρον, τόπος ἐν διατρίβειν θέρους ἐπιτήδειος. ἔνιοι δὲ θέντρον γράφουσι.

θημὼν, σωρός.

θηρίον, τήν τε ἕλμινθα, καὶ τὸ ἄγριον ἕλκος. ὡς ἐν τῷ περὶ τόπων τῶν κατ᾽ ἄνθρωπον. θηρίον ἤδη τὸ φῦμα ἐπέρχεται διὰ τόδε, καὶ ὁπόταν ἀφίκηται ὁ ἰχὼρ ἀπὸ ῥέων σήπει καὶ μετεωρίζει. ἐν μέντοι τῷ περὶ χυμῶν ὅθεν ἀθαίνεται προειπὼν, εἶτα ἐν τοῖς ἄλλοις καὶ τὸ θηρίον εἰπὼν, τὰ ἐν τοῖς ἐντέροις συνιστάμενα δηλοῖ, τὰς ἕλμινθας δηλονότι, καὶ τὰς ἀσκαρίδας, ὥσπερ καὶ ὅταν εἴπῃ φθινοπώρων τὸ θηριῶδες, ἀπό τινος τῶν εἰρημένων ὀνομάζει. δοκεῖ δὲ ἐνίοτε καὶ τὸ φθινόπωρον οὕτως προσηγορεύειν.

θλάσιν, τὴν ἐμβρυοθλαστὴν, ὅπερ καὶ πίεστρον καλεῖται. τοὔνομα ἐν πρώτῳ γυναικείων.

θλασπόσιος, ἀντὶ τῆς θλάσπεως τῆς οὕτως ὀνομαζομένης βοτάνης.

θράνον, τὸ ἀφοδευτικὸν θρόνον.

θράσσεται, νύσσεται, κεντᾶται.

γράφεται δὲ καὶ θρὶξ, τρίχας δὲ καλοῦσιν οἱ θύται, ἐπειδὰν φανῇ κατὰ τὰ σιμὰ τοῦ ἥπατος ἤδη τοῦ δεξιοῦ λοβοῦ φλέβιον στενὸν, εὐθὺ, μέλαν.

θύη, θυμιάματα, ἀρώματα.

θύματα, θυμιάματα.

θυμβραίαν, οὕτως ὀνομάζει τὴν θύμβραν.

θύμου, τοῦ ἀπὸ θύμων, ἔθνος δέ ἐστι τοῦτο θρακικόν.

θώρηξις, οἴνωσις ἤτοι ἡ μέθη.

ι

Ἰδνοῦται, λοξοῦται, συνιζάνει.

ἰθαγενὲς, γνήσιον, καθάπερ φησὶν ὁ σοφὸς, ἀλλά με ἴσον ἰθαγενέσιν ἐτίμα.

ἴκταρ, ἐγγὺς παρά γε τοῖς Ἀττικοῖς. παρὰ δὲ τῷ Ἱπποκράτει ἐν δευτέρῳ τῶν γυναικείων, τὸ τῆς γυναικὸς αἰδοῖον δὴ καλεῖται.

ἰλλαίνειν, διαστρέφειν τοὺς ὀφθαλμούς.

ἱμερωθεῖσαι, ἀνδρὶ μιγεῖσαι.

ἰνδικὰ, οἱ μὲν γράψαντες τὰς ὀνομασίας τῶν φαρμάκων, καθάπερ Μενεσθεύς τε καὶ Ἀνδρέας ὁ τοῦ χρύσαρος, καὶ Ξενοκράτης καὶ Διοσκουρίδης ὁ Ἀλεξανδρεὺς, ἰνδικὸν ὀνομάζουσι τὸ ζιγγίβερι, πλανηθέντων ἐκ τοῦ τινὰς οἴεσθαι ῥίζαν αὐτὸ τοῦ πεπέρεως ὑπάρχειν. ἀλλὰ Διοσκουρίδης ὁ ἀναζαρβεὺς διώρισέ τε καὶ ἀπεφήνατο περὶ ζιγγιβέρεως καὶ πεπέρεως. ὁ τοίνυν Διοσκουρίδης ὁ νεώτερος ὁ γλωττογράφος φυτὸν εἶναί φησιν ἐν ἰνδίᾳ παραπλήσιον τῷ τοῦ πεπέρεως, οὗ ὁ καρπὸς ὀνομάζεται μυρτιδανὸν, ὅτι μύρτῳ ἔοικε.

ἰνεῖ, κενοῖ, καὶ ἰνηθμὸς, κένωσις. καὶ ἰνεῖται, κενοῦται.

ἰξάλην, τελείου αἰγὸς δέρμα.

ἴξιαι, κιρσοί.

ἴξιν, εὐθυωρίαν, ἢ ἄφιξιν.

ἰξίον, φύλλων τοῦ λευκοῦ χαμαιλέοντος.

ἰξύας, τὸ μεταξὺ τῶν ἰσχίων καὶ τῆς ὀσφύος.

ἶπος, ἡ πόσις ἐν μοχλικῷ.

ἱπποφαέως, τὸ περ οὐ μόνον ἱπποφαὲς ὀνομάζεται, ἀλλὰ καὶ κνάφον καὶ στοίβον.

ἰσενύουσαι, ἰσάζουσαι, μεσήλικες οὖσαι.

ἰστάλλην, διφθέραν, δέρμα.

ἰχαλέαι, ἰχναὶ, καὶ ἰχαλέον τὸ ἰχνόν.

ἰχθυήματα, λεπίσματα φλοιῶν.

ἰχθύην, ῥίνης θαλαττίας δέρμα ξηρὸν, δύναται δὲ καὶ τὸν σιδηροῦν ὄνυχα δηλοῦν, ὥσπερ εἰς τὰς ἐμβρυουλκίας καὶ ἐμβρυοτομίας χρώμεθα, διὰ τὴν πρὸς τὰς λεπίδας τῶν ἰχθύων ὁμοιότητα.

κ

Καθαπλώμενοι, αἰσθανόμενοι σφοδρῶς.

καθετῆρι, τῷ στρεπτῷ μοτηρίῳ ἀπὸ τοῦ καθίεσθαι, ἐν δευτέρῳ γυναικείων, μοτῶν ὠμολίνων καθετῆρι.

κακαγγελίη, κακορρημοσύνη, κακολογία.

κακοήθεα, κακοήθη.

κακοσινώτατα, ἐπιβλαβέστατα.

καλλίφυλλον, ὅπερ καὶ καλλίτριχον καὶ ἀδίαντον ὀνομάζεται.

καλλιωνύμου, ἰχθύος τινὸς οὕτως ὀνομαζομένου.

κάμμορον, τό τε τῇ σμικρᾷ καρίδι ἐοικὸς ζῷον, καὶ ἀπὸ τῆς πρὸς τὸ περ τῶν ῥιζῶν ὁμοιότητος, τὸ ἀκόνιτον, ἀλλὰ οὐδέτερον αὐτῶν ἀκοῦσαι δυνατὸν, ἐν τῷ περὶ τόπων τῶν κατ᾽ ἄνθρωπον, καυσομένων παραλαμβανομένου τοῦ καμμόρου. ὅθεν Ἡρόφιλος οὐ

μόνον

μόνον αὐτὸ τὸ ζῶον κάμμορον, ἀλλὰ καὶ τὸ ἐοικέμενον αὐτῷ βρύον οὕτως ὀνομάζεσθαί φησι. ζηνὼν δὲ ὁ ἡροφίλειος τὸ κώνειον. ζεῦξις δὲ φάρμακον ψυκτικόν.

κανονίαι, ὀρθοὶ καὶ περιεσταλμένοι τὰς γαστέρας.

καρικὸν, καρικόν τι ἔδεσμα οὕτως ὀνομάζει, οὗ καὶ τὴν σκευασίαν ἐν τῷ περὶ ἑλκῶν γράφει.

καρυκοειδέα, ὕφαιμα.

καρύκκη, λύδιον ἔδεσμα ποικίλον ἐξ αἵματος σκευαζόμενον.

καρχήσιον, τὸ ἐπ' ἄκρῳ τῷ ἱστίῳ τῷ ἔχοντι βροχηλίαν. καὶ καρχήσιοι, ἐπ' αὐτοῦ κάλοι οἱ τεταμένοι.

καταβλύκασι, καταλιγωροῦσι.

κατάβλημα, περίβλημα ἐξ ἐπιμελήσεως ἕνεκα τοῦ συγχεῖν τὰ ὑποκείμενα.

καταγυῖοι, εἰς ἔσχατον ἀχρηστίας ἢ ἀσθενείας ἄγει.

κατακορέα, καλεῖ μὲν οὕτως καὶ τὰ ἄκρατα χολῆς διαχωρήματα, ὡς ἔστι καὶ κατακορέα, τὰ τοῦ τοιούτου χυμοῦ γεννητικά, τινὲς μέντοι, τὰ λάσια ἤκουσαν. ἀλλὰ καὶ κατακορέας ἀνθρώπους ὁμοίως ὀνομάζει. φάρμακον μέντοι κατακορὲς, ἢ διὰ τὸν κινούμενον ὑπ' αὐτοῦ χυμὸν, ἢ διὰ τὴν ἰδίαν χρόαν. ὀνομάζει δὲ καὶ δίψαν ποτὲ κατακορῆ, τὴν ἤτοι διὰ τὸν τοιοῦτον χυμὸν γεγονυῖαν σφόδραν, ἢ εἰς ἄκρον τεταμένην.

κατὰ κουρὴν, τοῦ ξυροῦ τὴν τομὴν, οὕτως ἄμεινον γράφειν ὁ Διοσκουρίδης φησὶν, οὐ κατὰ κορυφὴν, κουρὴν δὲ εἶναι τομὴν δηλονότι. καὶ τὸ κείρειν ἐντεῦθεν, καὶ παρὰ τῷ Θεοφράστῳ ἡ κουριζομένη ἐλάτη ἀντὶ τῆς τεμνομένης.

κατακρέειν, καταχρίειν.

καταλείφειν, καταχρίειν.

καταμῶσας, καθεὶς ἕνεκα τοῦ ζητῆσαι, γέγονε γὰρ ἡ λέξις παρὰ τὸ ματεύειν, ὥσπερ καὶ καταματευόμενος.

καταναισιμοῦται, καταναλίσκεται.

κατάστημα, τὸ οἷον κατάστειγμα καὶ ἀπόσκεμμα ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν, καὶ καταστῆσαι, τὸ ἀποσκέψαι.

καταφρονέοντα, τὸν αὐτέως αἰσθανόμενον, ἐν τῷ μείζονι προρρητικῷ.

κατάχλοα ἄγαν χλοώδη.

κατιλλόμεναι, συνδεδεμέναι.

κατηφιόει, σωφρονεῖ, αἰδεῖται.

κατεπλήκτος, ἐκπληκτώδης ἐγγύτερος.

κατηβολίσι, περιοδικαῖς ἀρχαῖς παροξυσμῶν.

κατήρτηκε, καθέστηκε, σωφρονεῖ.

κατ' ἰητρεῖον, τὰ περὶ τὴν χειρουργίαν.

κατωπτῆρι, τῷ καλουμένῳ ἑδροδιαστολεῖ, ὥσπερ γε καὶ διόπτρα ὁ γυναικῶν διαστολεύς.

κατωμησαδέω, ὑπακουστέον κώμης ὥσπερ κατωσωσιλέω.

καυλὸς ἡ μὲν ῥίζα τῆς πόας σίλφιον ὀνομάζεται, καυλὸς δὲ καὶ ὁ ὀπὸς, ὥσπερ καὶ τῶν ἄλλων, γράφει δ' οὖν αὐτὸς ἐν τῷ περὶ διαίτης ὀξέων, ἢ σίλφιον, ἢ ὁ ὀπὸς, ἢ καυλός.

καύσωμα, τὴν πύρωσιν ἐν τῷ πρώτῳ περὶ νούσων τῷ μικροτέρῳ.

καυτῆρα, χάλκεον καλαμίσκον τινὰ τετρημένον κατὰ τὸν πυθμένα, δι' οὗ καίειν δεῖ. καυτηρίδιον διαφανὲς καθιέν.

κάγχρυος ῥίζαν, τῆς λιβανωτίδος. ὅταν δὲ πληθυντικῶς εἴπῃ τὰς κάχρυς, τὰς πεφρυγμένας κριθὰς ἀκουστέον.

κέδματα, τὰς ἐκ ῥεύματος χρονίους διαθέσεις ἤτοι περὶ τὰ ἄρθρα σύμπαντα, ἢ διαφερόντως περὶ τὰ κατ' ἰσχίον. ἰδίᾳ δὲ ἐστι τοῦτο ἐξηγησάμεθα, ὥσπερ καὶ ἄλλας τινὰς λέξεις.

κεκωμῶσθαι, ἐν κώματι εἶναι.

κερχναλέον, κέρχνου ποιητικόν, οὕτως δὲ ἥ τε τραχύτης ὀνομάζεται τῆς φάρυγγος, καὶ ὁ ἐν τῷ πνεύμονι ψόφος, καὶ τὸ κέρχνον δὲ καὶ τὸ κερχνεῖται, καὶ οἱ κερχνασμοὶ, τὸ ἀνάλογον δηλοῦσι.

κεφαλοειδοῦς, κεφαλὴν ἐχούσης.

κιγκλισμὸς, βραχεῖα συνεχὴς κίνησις, ἀπὸ τοῦ κίγκλου τοῦ ζώου.

κιθαρὸν, θώρακα.

κιὼν, τὸ ἐκ τῶν θηλειῶν ἄθροισμα τῶν τὸν σῖτον διαβιβρωσκόντων, ὧν ἕκαστον κιὼν ὀνομάζεται. ἐπὶ τελευτῆς τοῦ δευτέρου γυναικείων τοὔνομα.

κλήιθρον ὁ περὶ τὴν κατάποσιν τόπος ὑπὸ τοῖς παρισθμίοις.

κλιμακέου, τοῦ πλαγίου ἐν τοῖς κλίμαξι ξύλου. ἔνιοι δὲ κλιμακίου γράφουσι χωρὶς τοῦ ε, καὶ ἡ διὰ τοῦ κλιμακίου ἑτέρα τις τοιαύτη.

κλισμὸν, κλίνην ἐν τῷ δευτέρῳ τῶν γυναικείων.

κνημαίης, τοῦ τῆς κνήμης.

κνήματι

κνήματα, ξύσματα. καὶ κνῆσαι τὸ ξῦσαι.
κνίσρον, ὅπερ καὶ κνέωρον.
κνήστρῳ, τῷ τυροκνήστι· ἔστι δὲ μαχαίριόν τι, ᾧ ξύεται ὁ τυρός.
κνιδώσιες, νύξεις τινὲς κνησμώδεις οἷαι καὶ ἀπὸ κνίδης γίνονται.
κνιπότητα, κνησμόν. ἔνιοι δὲ τὴν ξηροφθαλμίαν ἤκουσαν.
κνύμα, ὠνοματοπεποίηται μιμήσει τοῦ ψόφου, ἀλλὰ καὶ ὁ ἠρέμα στενάζων κνυζούμενος ἀπὸ τοῦ αὐτοῦ, καὶ ὁ ὑπὸ τῶν κυνῶν κνυζηθμός.
κόγχην κεραμίδα, οὐδὲν πλέον δηλοῖ ἢ κεραμίδας.
κόγχον, τὴν χημήν.
κόκκαλον οἱ μὲν πλεῖστοι τὸν πυρῆνα τοῦ στροβίλου. Διοσκουρίδης δὲ τὸν κνίδιον κόκκον ὑποκοριστικῶς.
κόκκωνα, κόκκον τὸν κοινῶς ὀνομαζόμενον, οὐ τὸν κνίδιον, ὃν καὶ αὐτὸν δεῖ κόκκον ἄνευ προσθήκης ὀνομάζειν.
κόλικας, τοὺς τροχίσκους καὶ τὰ μακρὰ ἀρτίδια, καὶ τὸ ἐν Ἀχαρνεῦσι, κολλικοφάγε Βοιώτιε, ὑπὸ τῶν σμικρῶν ἀρτίσκων εἴρηται.
κολοκύνθην ἀγρίαν, τὴν κολοκυνθίδα.
κοπρίων μελικηρῶν, οἱ δὲ πλεῖστοι γράφουσι κηρίων, δηλοῖ δὲ τῶν ἀποπιεσμάτων.
κορίαν, τὴν πόαν ἥτις καὶ ὑπερικὸν ὀνομάζεται, ἔχει δὲ τὸν καρπὸν κορίῳ ὅμοιον.
κορμοὺς, τὰς ἀπὸ τῶν κλάδων παραφύσεις, τὰ νέα βλαστήματα.
κορυφαίων, τῶν κορυφῶν τῆς πρὸς τῷ ὀμφαλῷ συναγωγῆς.
κοτίδι, τῷ ἰνίῳ, τῇ παρακεφαλίδι.
κότινον ἀγρίαν ἐλαίαν.
κοτυλίδα, τὴν κοτύλην τοῦ ἰσχίου ἔν τε τοῖς προσκειμένοις τῷ μοχλικῷ, κἀν τῷ δευτέρῳ περὶ νούσων τῷ μείζονι.
κοτυληδόνας δὲ τὰ στόματα τῶν εἰς τὰς μήτρας καθηκόντων ἀγγείων, ὡς κἀν τοῖς περὶ τῆς Ἱπποκράτους ἀνατομῆς ἀποδέδεικται.
κοχώνην, τὴν σύζευξιν τῶν ἐν τοῖς ἰσχίοις, τὴν πρὸς τὴν ἕδραν, δι' ἣν καὶ πᾶς ὁ περὶ τὴν ἕδραν τόπος οὕτως ὀνομάζεται.
κραδαί, συκῆς οἱ ἀκρέμονες.
κραίνουσι, λέγουσι.
κραμβίῳ, κράμβης ἀφεψήματι.

κρέκην, ὠνοματοπεποίηται, τὸν μιμητὸν ἦχον ἐν τῷ δευτέρῳ περὶ νούσων τῷ μείζονι.
κρήγυον, τὸ ἀγαθόν.
κρημνοὶ, τὰ χείλη τῶν ἑλκῶν, ὡς ἐν τῷ περὶ τόπων κατ' ἄνθρωπον, καὶ τὰ πτερυγώματα τοῦ γυναικώδους αἰδοίου.
κρησέρα, ἡ τοῦ ἀλεύρου πτίσις ὀνομαζομένη, μάρσιππος δὲ τις ἐστὶν αὕτη λίνους.
κρίμνα, τὰ ἁδρομερέστερα τῶν ἀλφίτων. ὅταν δ' εἴπῃ κρίμνα ἀλφίτων ἁδρὰ, τὰ μέγιστα τῶν ἀλφίτων δηλοῖ.
κρότωνας, τὰ ἐν τῷ πνεύμονι χονδρώδη βρόγχια, ἐν τῷ πρώτῳ περὶ νούσων.
κρότωνος ῥίζα, ἣν οἱ αἰγύπτιοι κίκι ὀνομάζουσι.
κυάμου καρπὸν, ὁ μὲν Διοσκουρίδης ὑοσκυάμου φησὶ λέγειν αὐτόν. οὕτως ἐν τῷ πρώτῳ γυναικείων. ἔνιοι δὲ τοῦ αἰγυπτίου ἀκούουσι.
κύαρ, τὸ τῆς βελόνης τρῆμα.
κύβιτον, τὸ ὀλέκρανον, ὅπερ καὶ ἀγκών. Διοσκουρίδης δὲ τὸν κόνδυλον τοῦ βραχίονος οὕτως ὠνομάσθαι φησί.
κύκλοι προσώπου, τὰ μῆλα, ἐν τῷ πρώτῳ περὶ νούσων τῷ μείζονι.
κυλιχνίδα, τὴν τε σμικρὰν κύλικα, καὶ τὴν ἰατρικὴν πιθάκνην.
κυρβασίην, πῖλον ὀξύν, ὅνπερ καὶ τιάραν.
κυρήβια, ἄχυρα, δηλοῖ δὲ καὶ τὰ πίτυρα καὶ τὰ τῶν κριθῶν ἀποβράσματα.
κυρίησιν ἡμέρησι ταῖς τὰ τοιαῦτα κρίνειν πεπιστευμέναις.
κύρσιον, πρωκτόν.
κύστιγγα, κύστιν σμικράν.
κώδιας, κώδεα.
κωλεὸς, τὸ κῶλον ἐν τῷ τρώματι καὶ βέλτιον ἐξαιρέσιος.
κῶμα, καταφορά. γέγραπται δὲ ὡς οἶδα περὶ τούτου βιβλίδιον.
κωνίαν, οἶνον τὸν ποσίτην. ἐσβάλλεται σὺν τῷ φλοιῷ τῆς πεύκης ἡμικοτύλιον εἰς τὸ κεράμιον, καὶ οἱ μὲν ἀπηθοῦσι μετὰ τὸ ζέσαι, οἱ δὲ καταλείπουσι.
κωφοὶ, οἱ ἀμαυροὶ καὶ ἀσθενεῖς. τὸ δὲ κατὰ τὴν τρίτην συζυγίαν ῥῆμα προσώπου τρίτου, τὸ κωφοῖ, ἀμαυροῖ καὶ ἀμβλύνει δηλοῖ.

Λ

ΛΑΒῆ, ἐπισημασία, μάλιστα δὲ ἡ ἐκ περιόδου.

λαγνεία, δηλοῖ ποτὲ καὶ αὐτὸ τὸ σπέρμα, ὡς ἐν τῷ περὶ παιδίων φύσεως, οὕτως δὲ ἐστὶ τὸ λάγνευμα.

λαγώπυρος ἡ λαγωνάτη καλουμένη βοτάνη.

λαμπτὴρ ὃν οἱ πολλοὶ φανὸν ὀνομάζουσιν, ἐν τῷ δευτέρῳ περὶ νούσων τῷ μείζονι. παρὰ μέντοι τοῖς ἄλλοις καὶ μάλιστα τοῖς ἀττικοῖς, ἐν ᾧ ξύλα τε κατακαίεται παρέξοντα φῶς. ἀλλὰ καὶ ὁ δαλὸς καὶ ὁ λύχνος ἔστιν ὅτε λαμπτὴρ ὀνομάζεται.

λαπαχθῆναι, κυρίως μὲν τὸ κενωθῆναι, διὰ τοῦτο δὲ καὶ τὸ μαλαχθῆναι.

λαμπηρὰ, τὰ ἀφρώδη, λάμπη γὰρ ὁ ἀφρός.

λάσιον, σινδόνην.

λεβηρίδα, τὸ τοῦ ὄφεως γῆρας, ἔνιοι δὲ κόγχην κενήν.

λέγνα, τὰ ἄκρεα τοῦ σαμίου τῆς ὑστέρας ἐκ μεταφορᾶς, οὕτως γὰρ τὰ περὶ τὰς ᾤας καλεῖται τῶν ἱματίων. ὀνομάζει δὲ ἀλλαχόθεν τὰ ἄκρεα ταῦτα καὶ ἀμφίδεα.

λέκυθον, φακῶν τὸ ἔνδον τοῦ λέπους.

λεπάδας, αἳ ταῖς πέτραις προσεχόμεναι κόγχαι.

λυπρὰ, ξηρὰ καὶ ψιλὰ χωρία.

λεπτὰ, οὕτως ἐνίοτε καλεῖ τὰ ἀραιὰ, ὡς ἐν τῷ περὶ τόπων τῶν κατ' ἄνθρωπον.

λευκὴν ῥίζαν, τὴν τοῦ δρακοντίου.

λευκοῖου καρπὸν, τὸ τοῦ ἴου λευκοῦ σπέρμα. φησὶν οὕτως εἰρῆσθαι ὁ Διοσκουρίδης.

λεῶς, παντελῶς ἅπαν.

λιβανωτοῦ καρπὸν, αὐτὸν ἴσως τὸν ὀνομαζόμενον οὕτως λιβανωτὸν, ἐπεὶ τόγε σπέρμα τοῦ φυτοῦ οὐ γινώσκομεν εἰς χρῆσιν ἀγόμενον.

λιβηρῷ, ὑγρῷ.

λίβος, ἐπίσταγμά τι τῶν ὀμμάτων ἐγχυματιζομένων. γέγονε δὲ ἀπὸ τοῦ λίβειν ὃ κυρίως δοκεῖ τὸ στάζειν δηλοῦν.

λιγνυώδης, ἡ μελαίνουσα, καὶ γὰρ ἡ λιγνὺς μέλαινα.

λίθον μέλανα, ὃν καὶ μυλίτην ὀνομάζουσι κόχλακα.

λιμακώδεες, οἱ ὑγροὶ καὶ βοτανώδεες.

λίπα, τὸ ἔλαιον, ἐν δευτέρῳ γυναικείων.

λίειρον, τὸ κρίνον. τὸ δ' ἔλαιον τὸ ἀπ' αὐτοῦ οἱ μὲν λίειρινον μετὰ τοῦ ν γράφουσιν, οἱ δὲ χωρὶς τοῦ ν λίειρον, καλεῖται δὲ οὐ μόνον κρίνινον, ἀλλὰ καὶ σούσινον καὶ ἄνθινον.

λοῦν, οὐ μόνον τὸ λούειν, ἀλλὰ καὶ τὸ αἰονᾶν. οὕτως δὲ καὶ τὸ λοῦσθαι δύο σημαίνει παρ' αὐτῷ, καὶ τὰ ἄλλα τὰ ὅμοια.

λύσιας, διαστάσεις καθ' ἃς ἀπολέλυται ἀλλήλων τὰ ἄρθρα.

λυσσώδες, παρακοπτικόν.

Μ

Μαγίδα, τότε οἷον μάγμα καὶ φύραμα, ἐστὶ τὴν χειροπληθῆ μαγδαλίαν.

μακρόπνους, ἤτοι μακρὸν ἀναπνέων, ἢ διὰ μακρῶν.

μαλακίοισιν, οὕτως καλεῖται ὅσα τῶν ἐνύδρων ἄκανθαν οὐκ ἔχει, καθάπερ πολύπους, καὶ τευθὶς, καὶ σηπία, καὶ ἀκαλήφη. ταῦτα δὲ καὶ ἄναιμα καὶ ἄσπλαγχνά ἐστι.

μαλθώδεα, μαλακτικὰ ἢ κηρώδη, μάλθη γὰρ ὁ κηρὸς, καὶ μάλιστα ὁ μεμαλαγμένος.

μαρίλη, ἣν οἱ πολλοὶ θερμοσποδιὰν ὀνομάζουσι.

μάσθλης, θέρμης.

μάσσειν, οὐ μόνον τὸ ἀναδεύειν ἢ φυρᾶν, ἀλλὰ καὶ ἐκθλίβειν, ὡς ἐν τῷ πρώτῳ περὶ νούσων τῷ μείζονι.

μάσσον, πλέον, ἐν τῷ μείζονι προῤῥητικῷ.

μάτος, ζήτησις. καὶ τὸ ζητεῖν ματεῦσαι.

μαχαιρίδι ὀξυβελεῖ, τῷ φλεβοτόμῳ.

μαχαιρίδι σπαθοειδεῖ, τῷ σμιλίῳ ἰατρικῷ γαστρώδει.

μέλαινα, λέγεταί τε καὶ ἡ νόσος οὕτως ἀπὸ μελαίνης χολῆς συνισταμένης.

μέλαιναν ῥίζαν, τὴν τοῦ ἀσπαλάθου τοῦ ἀρωματικοῦ καλουμένην.

μελαῖνις, περισπωμένως ὁ Διοσκουρίδης ἀναγινώσκειν ἀξιοῖ, μελαῖνις αἶξ, καὶ βοῦς μελαῖνις, καὶ δηλοῦσθαί φησι τὴν ἐκ μελαίνων, πόλις δὲ αὕτη ἐστὶ τὸ κερσαῖον πεδίον προκειμένη τοῦ κορφίω, νομὰς ἀγαθὰς ἔχουσα καὶ εὐγαλάκτους, ὥς φησιν ὁ Διοσκουρίδης.

μελάνεον, τὸ ἐν τῷ προγνωστικῷ, τινὲς μὲν ὑφ' ἓν ἀναγινώσκουσιν, ἵνα ᾖ τὸ μελανοῦν. ἔνιοι δὲ διαιροῦσι, χλωρὸν ἢ μέλαν ἐόν, ἀντὶ τοῦ ὄν.

μέλανι φαρμάκῳ, ὅπερ πῶς σκευάζεται ἐν τῷ περὶ ἑλκῶν αὐτὸς ἐδίδαξε

μέλαν τὸ κύπριον, τὴν κυπρίαν σποδὸν, ᾗ πρὸς τοὺς ὀφθαλμοὺς χρώμεθα.

μελεδαίνοντι, ἐπιμελουμένῳ, θεραπεύοντι. καὶ μελεδώνη, ἡ ἐπιμέλεια, οὐχ ὡς παρ' ὁμήρῳ ἡ λύπη.

μελιηδέα, οὐ μόνον τὸν ἡδὺν, ἀλλὰ καὶ τῷ μέλιτι μεμιγμένον, ὡς ἐν τῷ πρώτῳ περὶ νούσων τῷ μείζονι. ἐν δὲ τῷ αὐτῷ καὶ μελίχρουν ὀνομάζει τὸν τοιοῦτον οἶνον. μεμύρη-

μεμύρηκεν, συνείληκεν ἀπὸ τῶν μυειομένων θρίων.

μεμιασμένον, μεμολυσμένον ὡς καὶ παρὰ τῷ ποιητῇ.

μεμολυσμένους, ἔνιοι μὲν τοὺς κατεψυγμένους, ἔνιοι δὲ τοὺς συνεσκιῤῥωμένους καὶ λιθώδεις ὤκ θησαν

μεμωρωμένα, τὰ ἀναίσθητα.

μεσοδμὴ, ἡ καθ' ἕνα οἶκον εἰς δύο μεμερισμένον διορίζουσα τοῦ δόμου εἶρξις, οἷον μεσοδόμη τις οὖσα. τινὲς δὲ καὶ τὸ ὑπερκείμενον στέγος μεσόδμην καλοῦσι.

μεσόβλημα, ὡς εἰ καὶ μεσέντη ἔλεγεν.

μετακύρας, ἐν τῷ περὶ διαίτης ὀξέων τὸ γαλακτῶδες σύγκραμα

μηκώνιον, τὸν πέπλον καλούμενον, ὃν καὶ μηκωνίτην ὀνομάζει.

μήλην διαστομωτρίδα, τὸν διάστολον.

μήλην ἐξωτίδα, τὴν μηλωτίδα.

μήλην ἰσχυρὴν, τὴν τραυματικὴν μήλην

μήλη πλατεῖα, τῇ σπαθομήλῃ.

μήλης τῷ πλάτει, τῷ κυαθίσκῳ τῆς ὀφθαλμικῆς μήλης.

μῆλα, τὰ προβάτια.

μηλία, ἡ ἀπὸ μήλου τῆς νήσου.

μηλιάδος ὠμῆς, τῆς ἀπὸ μήλου χαλκίτεως ἢ στυπτηρίας

μηλιάδα, ἐν τῷ πρώτῳ περὶ νούσων τῶν σμικροτέρων, τῇ μηλιάδι λέγει τῇ ἀπὸ μήλου τῆς νήσου.

μίτρη, κάλυμμα καὶ οἷον ἔλιγμά τι ἡ ἐπιδιδυμὶς ὀνομαζομένη. ἔστι δὲ κιρσώδης τις ὄγκος, κατὰ τὴν κορυφὴν ἐπικείμενος τῶν διδύμων.

μλωίειν, μασᾶσθαι, ἐσθίειν.

μύκη, μύσις.

μυοχάνη, ἐπίθετον χασκούσης. εἰ δὲ μυειοχάνη γράφοιτο, ἡ ὑπὸ μυρίοις ἂν εἴη χαινομένη.

μύῤῥαν αἰολικὸν, τὴν σμύρναν. διτταὶ αἱ γραφαί.

μυρτίδανον, οἱ πλεῖστοι μὲν τὸ πέπερι. Διοσκουρίδης δὲ ὁ ἀναζαρβεὺς ἐν τῷ πρώτῳ περὶ ὕλης ἐπίφυσιν ἀνώμαλον καὶ ὀχθώδη περὶ τὸ τῆς μυρσίνης πρέμνον. ὅγε μὴν Ἱπποκράτης τὸν καρπὸν οὕτως ὀνομάζει ἐκ τοῦ φυτοῦ, ὅπερ αὐτός φησιν ὑπὸ ἑτέρων ὠνόμασται πέπερι.

μύτις, καλεῖται μὲν οὕτως καὶ τὸ ἐν τῷ σηπίας στόματι μέλαν, ἀλλὰ καὶ ἰχθύς τις ὑπὸ τοῦ Ἱπποκράτους δηλοῦται.

μυττωτὸν, ὑπότριμμα Διοσκουρίδης εἶναί φησι, σκορόδων ἢ κρομμύου.

μώλυζα, σκόροδον ἁπλῆν τὴν κεφαλὴν ἔχον, καὶ μὴ διαλυομένην εἰς ἄγλιθας. τινὲς δὲ τὸ μῶλυ.

μωλυόμενα, κατὰ βραχὺ ἀπομαραινόμενα.

N

Ναυσιώσιες, αἱ περιχύσεις τοῦ αἵματος, ἃς δὴ καὶ ἐκχυμώσεις ὀνομάζει. μετενήνεκται δὲ ἀπὸ τῶν ἐπὶ ταῖς ναυτίαις ἐμούντων αἷμα τοὔνομα.

νεῖον, τὸ νέον.

νεόμενον, τὸ νηχόμενον, παραγινόμενον ἀπὸ τοῦ νεῖσθαι, ἐν τῷ πρώτῳ τῶν γυναικείων ἄμφω. τὸ μὲν ἐπὶ τοῦ χορίου, τὸ δὲ ἐπὶ τοῦ ἐμβρύου.

νηπελεῖ, ἀδυνατεῖ.

νυκτάλωπες, οἱ τῆς νυκτὸς ἀλαοί.

Ξ

Ξηρῇ, σηπεδονώδει, ἤτοι τῇ γαγγραίνῃ, ἢ τινι ταύτης γλυκυτέρᾳ.

ξύμη, ὃ καλεῖται κνησμός.

O

Ὄα, τὰ πρὸς τῶν πολλῶν οὖα καλούμενα.

οἰναρίδων, ἀμπέλου κλημάτων.

οἴσπη αἰγὸς, ὁ παρὰ ταῖς θριξὶ τῆς αἰγὸς ἐγγινόμενος ἐν τῇ ἕδρᾳ ῥύπος.

οἰσυπίδας, προβάτου ῥύπον, ἤγουν ἔριον ῥυπαρόν.

οἰσοφάγος, ὁ τῆς γαστρὸς στόμαχος, οἷον οἰσοφάγος τις ὤν.

ὀκεῖς ἐξοχὴ περομήκης.

ὀλερὸν, δυσῶδες, ἢ μέλαν ἀπὸ τοῦ τῶν σηπιῶν ὄλου.

ὀλισθράζοντα, ὀλισθαίνοντα.

ὀλοκωνίτης, βοτάνη τις ἀγρία λαχανώδης.

ὄλον, τὸ μέλαν τῆς σηπίας.

ὀλώδεα, θολερὰ ἢ μέλανα.

ὀλοφλυκτίδες, φλύκταιναι

ὀνεύεσθαι, ἤγουν διὰ ὄνων περιστροφῆς τείνειν. ὄνοι δὲ καὶ ὀνίσκοι οἱ ἄξονες, οἱ αὐτοὶ καὶ κάλοι, ἀπὸ στυππείου ἢ λίνου ἢ καννάβεως. γράφεται δὲ κατονεύεσθαι.

ὀπὸς τοῦ σιλφίου κατ' ἐξοχὴν, ὥσπερ ὁ καυλὸς, καλεῖ δὲ σίλφιον τὴν ῥίζαν μόνην.

ὀποῦ καρπὸν, σιλφίου σπέρμα, ὅπερ καὶ φύλλον ἑνικῶς, καὶ μαγύδαρις ὑπό τινων καλεῖται.

ὀργάσασθαι, ἀναμῖξαι, συγκεράσαι.

ὀρθοπνείοισι, τῇ χοινικίδι.

ὀροκωνίτιδος, ἑτέρα γραφή, τῆς ὀλοκωνίτιδος, περὶ ἧς ἔμπροσθεν εἴρηται. φησὶ δὲ Διοσκουρίδης τὴν ἐν ὄρει γινομένην ὀροκωνίτιδα ὀνομάζεσθαι.

ὀῤῥωδέων, τῶν ἄχρι ὀῤῥοῦ ἐκτεινομένων.

ὀῤῥὸς δὲ τοῦ ἱεροῦ ὀστέου τὸ πέρας. ὅπερ καὶ ὀῤῥοπύγιον καλεῖται.

ὄρχεα, ὄρχεις.

ὀχίῳ, τῇ περὶ τὸ στόμα τῆς μήτρας ἑλικοειδεῖ ἐπαναστάσει.

ὄχος γὰρ καὶ μόχλος, τὰ κλήματα καὶ αἱ ἕλικες. τὸ δὲ αὐτὸ καὶ ἀμφίδιον ὀνομάζει, καὶ λέγεται.

ὀτίδος, τοῦ ὀρνέου ὃ Ἀριστοτέλης ὠτίδα διὰ τοῦ ω καλεῖ. Ξενοφῶν δὲ ἐν τῷ πρώτῳ Κύρου ἀναβάσεως ὀτίδα διὰ τοῦ ο.

Π

Παλίνορσα, τὰ ἀπὸ τοῦ ἡλίου ἀπεστραμμένα. Γαλαύαι, ὑποπίασαι.

παράλαμψις, ἡ ἐν τῷ μέλανι τῶν ὀφθαλμῶν ὑπολάμπουσα οὐλή, διὰ τὸ ἡσυχῇ παχυτέραν εἶναι τῆς αἰγίδος.

παράλιον, εἶδος τιθυμάλλου, καλεῖται δὲ καί τι κράμβιον παράλιον.

παραστάτας, τὰς ὑποδιδυμίδας, ἐν τῷ περὶ φλεβῶν ὃ πρόσκειται τῷ μοχλικῷ.

παραφάσαι, παράψασθαι μετὰ καθέσεως, ὥσπερ τὸ ἀναφάσαι, εἰσβάλλοντα τὴν χεῖρα ἅψασθαι. ἐντεῦθεν δὲ καὶ τοὺς κρυπτοὺς τόπους τοὺς περὶ τὸ γυναικεῖον παραφάσιας ὀνομάζουσι.

παραφάσσειν, παραφρονεῖν, ὡς ἐστὶ ἀλλοφάσσειν. ψιλῶς δὲ ἀναγνωστέον οὐχ ὥσπερ τὸ πρὸ αὐτοῦ παραφάσαι, ἔγκειται γὰρ ἐν ἐκείνῳ τὸ τῆς ἁφῆς ὄνομα.

παρθένιον, τὸ σμικρόφυλλον, καλεῖται δὲ παρθένιον ἐστὶ ἡ ἄνθεμις, καὶ ἡ ἑλξίνη, καὶ ἡ λινόζωστις, ἐστὶ τὸ ἀμάρακον. ἀλλὰ ἐστὶ Διοσκουρίδης μή ποτε φησὶν ἀκουστέον εἶναι ἤτοι τῆς ἑλξίνης, ἢ τῆς λινοζώστεως τὸ εἶδος τὸ σμικρόφυλλον.

πασσαλέτης, ὁ κεγχαλέτης, πάσσαλος γὰρ ὁ κέγχρος.

πασσαλίσκῳ, τῷ σμικρῷ πασσαλίῳ ὑποκορισικῶς.

παφλάζουσιν, ὠνοματοπεποίηκε τοὺς παίοντας καὶ ἐπαναλαμβάνοντας ἐν τῷ διαλέγεσθαι δηλῶσαι βουλόμενος.

πέζαι, ἐν τῷ β τῶν γυναικείων οὕτως γέγραπται, καὶ οἱ πόδες οἰδίσκοντες αἱ πέζαι μάλιστα. Ζηνόδοτος μὲν οὖν ἐν ταῖς ἐθνικαῖς λέξεσι πέζαν φησὶ τὸν πόδα καλεῖν Ἀρκάδας καὶ Δωριεῖς. ὁ δὲ Ἱπποκράτης ἔοικεν ἢ τὸ πεδίον καλούμενον τοῦ ποδὸς οὕτως ὠνομακέναι, ἢ τὰ σφυρά.

πέλλα, πελιά, ὑπόκιῤῥα. τὰ δὲ αὐτὰ καὶ πελιρὰ ὀνομάζει. Ζηνόδοτος δὲ ἐν ταῖς ἐθνικαῖς λέξεσι, Σικυωνίους φησὶ τὸ κιῤῥὸν πέλλον ὀνομάζειν.

πεμφιγώδεες, ἤτοι νοτίδος μεστοὶ ἐστὶ ὑγράπιτος, ἢ καὶ πνευματώδεες.

πέπλιον, ὅπερ καὶ πέπλις ἐστὶ ἀνδράχνη ἀγρία.

πέπλος, τὸ αὐτὸ ἐστὶ χαμαισύκη, καὶ μήκων ἀφρώδης, καὶ μηκώνιον.

περητηρίῳ, τρυπάνῳ τῷ εὐθεῖ καὶ ὀξεῖ. ἔστι γὰρ ἐστὶ ἕτερον ἡ χοινικίς.

περιεστέλλετο, τοῖς περιβολαίοις ἑαυτὸν ἐσκέπεν.

περικεκαμμένοι, περικεκαμμένοι, γρυποὶ ἐστὶ ὑποκαμπεῖς.

περινήματα, περικλύσματα.

περινήματος, περικλύσματος.

περινεῖ, περικλύζει, περινήχεται.

περινέῳ, περινέῳ, ἔστι δὲ ὁ τόπος ὁ μεταξὺ τοῦ ὄρχεος, καὶ τῆς ἕδρας, ἔνθα τῆς κύστεως ὁ τράχηλος.

περιξύσας, ἐν κύκλῳ περιαμύξας.

περιποδίην, τὴν ἐν κύκλῳ ὑπὸ πόδας οὖσαν καὶ κάτω.

περιῤῥῆγες, περικεκλασμένον ἐφ' ἑκάτερα.

περκναί, μελαίνουσαι, πελιδνοῦσαι.

περόνην, ποτὲ μὲν ὀστοῦν ὅλον κώλου, ποτὲ δὲ ἐπίφυσιν ὀστοῦ, ποτὲ δὲ τὴν φύσεως ἐπανάστασιν.

περσύας, ὁ περισυινὸς οἶνος, οἷον περίσυνος τις ὤν, ὡς καὶ αὐτίτην ὀνομάζει τὸν αὐτοετίτην.

πήρινα, τὸ περίνεον, ἐν δὲ τῷ περὶ αἱμοῤῥοΐδων καὶ συρίγγων, ἐστὶ τὴν ἕδραν λέγειν δοκεῖ.

πιέστρῳ, τῷ ἐμβρυοθλάστῃ καλουμένῳ.

πικέριον, βούτυρον.

πιτυΐδι, πιτυΐνῃ ῥητίνῃ.

πιτύλοις, ἐρεσίαις ἢ κώπαις.

πλαταμών, ἔφαλος πέτρα λεία ταπεινή, περὶ ἣν πλατύνεται τὰ κύματα.

πλεκτανέων, πλεγμάτων, ἀπαρτημάτων περιπλεκτικῶν.

πλεννεραί, μυξώδεις, ἐστὶ πλέννα ἡ μύξα.

πλευμοί, πλευμώδης γίνεται ἢ φθινώδης.

πλεῦμος, φθόη, ἢ τὸ πλευμῶδες πάθος.

πλήμνην, τροχοῦ χοινικίδα.

πλήστιγγας, νάρθηκας, παρὰ τὸ πλήσσειν.

πλυματώδης, ὅτι ἐμπεφυσημένος καὶ ὁ διύωνος. λέγει γὰρ πολλάκις καὶ αὐτὴν τὴν διάπνοιαν πνεῦμα.

ποίην, τὴν ἔχουσαν τὸ φύλλον ὅμοιον οἰνάρῳ τὴν φύσιν, ὡς τὸ τῆς λευκαμπέλου καλουμένης εἶδος.

πολυγράω, πολυφάγω. καὶ γόνος αὔξων ἐν γρασὶ κυδέμονα, Καλλίμαχος, ἀντὶ τοῦ κατέφαγε.

πολύκαρπον, τὸ κραταιόγονον ὀνομαζόμενον.

πομφοὶ, ἐπαναστάσεις τοῦ δέρματος, ὀχθώδεις τε ἅμα καὶ πλαδαραὶ, καὶ ἐνερευθεῖς.

πόσω, ὀλίγω.

ποτάνια τὰ πρόσφατα οἱ Δωριεῖς.

ποτὶ, πότε, πρὸς, πρόσδε.

πράμνιος οἶνος τις οὕτως ὀνομάζεται μέλας καὶ αὐστηρός.

πρηνὲς, τὸ πρὸς τὴν γῆν νενευκός.

πρῆσμα, ἐμφύσημα, καὶ πρήσιος, τῆς ἐμφυσήσεως, καὶ πρηστικώτατον, τὸ ἐμφυσητικώτατον.

προαυξέας, νόσους τινὰς οὕτως ὀνομάζει, τὰς τοῖς προβεβηκόσι κατὰ τὴν ἡλικίαν γινομένας, ὅτι καὶ αὐτοὺς οὕτως ἐνίοτε καλεῖ τοὺς προβεβηκότας.

πρόκα, ἐξαίφνης.

προκώνια, τὰ ἐκ νέων κριθῶν ἄλφιτα. τινὲς δὲ τὰ ἐκ τῶν ἀφρύκτων μόνα.

προκίδι, μαχαιριδίῳ τῷ φλεβοτόμῳ.

προμυλλαίνη, προπεπτώκει, προέχει εἰς τοὔμπροσθεν.

προμυλλήνας, προτείνας ἔξω τὰ χείλη.

προσέχει ἡ νόσος, ἀντὶ τοῦ παραμένει, ἐν τῷ δευτέρῳ περὶ νόσων τῷ μείζονι.

προτρέπεσθαι, μεταβάλλειν.

προσωδέστερον, δυσωδεστέρου, ἄνευ τοῦ ι. τὸ δὲ μετὰ τοῦ ι προσῳδέστερον, παρὰ τὸ οἴδημα γεγονὸς, τὸ ὀγκωδέστερον δηλοῖ, ὡς ἐν δευτέρῳ περὶ νόσων τῷ μείζονι.

προτιθέμενοι, προτείνοντες.

πρόφυσιν, βλάστημα.

πυθμενόθεν, οὐδ' ὅλως. γέγονε δὲ τοὔνομα παρὰ τὸν πυθμένα τῶν ἀγγείων, ὥσπερ καὶ ὁλοκλήρως ἔλεγον, ἢ τελέως, ἢ παντάπασιν, ἢ ἐξ ἀρχῆς, ἢ παντελῶς.

πύϊα, τὰ πρωτόγαλακτα τὰ ἐξ ἑαυτῶν πηγνύμενα.

πυρίας, τοὺς διαπύρους κόχλακας, ἢ θρύμματα διακαῆ ἀπὸ σκωρίας σιδήρου.

πυρήνας, τοὺς χόνδρους, εἴρηται δὲ ἐπὶ λιβανωτοῦ.

πυρὸς ἀγρίου, τοῦ ἐρυσιπέλατος.

Ρ

Ραγεῖσα, δηλοῖ ποτὲ καὶ τὸ ἀθρόως ὁρμήσασα, ὡς ἐν τῷ δευτέρῳ περὶ νούσων τῷ μείζονι, καὶ ἡ αἱμοῤῥαγία αὕτη παρὰ τοῦτο σύγκειται.

ῥαιβοειδέα, καμπύλον.

ῥᾷον, ἑτοιμότερον καὶ εὐχερέστερον, ἔνιοι μέντοι τὸ εὐφορώτερον ἤκουσαν.

ῥαφίῳ, τῷ κεντηρίῳ, ᾧ διακεντοῦντες οἱ τεχνῖται τῶν κιστῶν ἐπιτηδείους ὀπὰς τῇ τοῦ λίνου διείρσει παρασκευάζουσι.

ῥέγξιν καὶ ῥέγκος, ὠνοματοπεποίηται παρὰ τὸν γινόμενον ψόφον, ὥσπερ καὶ τὸ ῥέγκειν.

ῥεμβεῖ, πλανᾶται.

ῥεμβὴν, πλάνην, καὶ τινὰ ἄλλα, παρὰ τὸ ῥέμβεσθαι.

ῥηγμῆσι, σχίσμασι, ῥήγμασι.

ῥήνεσιν, ἄρνασι.

ῥήνοισιν, ἀρνίοισι.

ῥήνικας, ἀρνακίδας.

ῥηνὸς, ἀρνός.

ῥηχίησι, οἷον πλημμύρῃ, καὶ γὰρ καὶ ἡ ῥηχίη οἷον πλημμύρα τίς ἐστι.

ῥίζα, οὕτως καλεῖται βοτάνιόν τι ἄκαυλον καὶ ἀνανθὲς καὶ ἄκαρπον, ἔχον τρία φύλλα ἢ τὰ πάντα προμήκη, ἐπὶ τῆς γῆς κείμενα, δυοῖν δακτύλοιν τὸ μέγεθος, ἐοικότα τοῖς τῆς ἀγχούσης, ῥίζαν δὲ λεπτὴν ἀθερώδη καθαίρουσαν.

ῥίζαν λευκὴν, τὴν τοῦ δρακοντίου.

ῥικνὸν, ῥυσόν.

ῥοικὰ, καμπύλα.

ῥόμματος, ῥοφήματος ἢ ῥοφήσεως.

ῥόα, τὰ ἐκ τῆς συκαμίνου μόρα τὰ ἄωρα ξηρανθέντα καὶ κοπέντα τοῖς ὄψοις ἐπιπάττεται, καθάπερ καὶ ὁ κυρίως ὀνομαζόμενος ῥοῦς, ὡς καὶ ὁ Διοσκουρίδης ἐν τῷ πρώτῳ περὶ ὕλης λέγει.

ῥοπτῶν, ῥοφημάτων ἢ πάντων τῶν ὁπωσοῦν ῥοφουμένων.

ῥύματα, παρὰ τὸ ῥύεσθαι, τὰ βοηθήματα.

ῥωγματίας, ὁ ῥῆγμα τῶν ἐντὸς ἔχων, ὃν δὲ καὶ ῥηγματίαν ὀνομάζει.

Σ

Σαράπους, ὁ διεστηκότας καὶ διεστῶτας ἔχουσα τοὺς δακτύλους τῶν ποδῶν.

σαρκάζειν, κυρίως μὲν τὸ διὰ τῶν χειλῶν δήξεως χλευάζειν. ὁ δὲ Ἱπποκράτης καὶ τὸ ἄκροις τοῖς χείλεσι συνηγμένοις ἀρτίλλειν τι.

σατυρισμοί, οἱ περὶ τὰ ὦτα προμήκεις ὄγκοι τῶν ἀδένων. ἔνιοι δὲ τὰς τῶν αἰδοίων ἐντάσεις ἤκουσαν.

σαυρίδιον, ἡ καρδαμὶς βοτάνη ἀπὸ τοῦ κατὰ τὸ σχῆμα ὁμοιότητος. ἡ αὐτὴ καὶ κάρδαμον ὀνομάζεται.

σελάχεσιν, οὕτως καλεῖται ὅσα ἰχθύων λεπίδας οὐκ ἔχει καὶ ζωοτοκεῖ.

σεσηρός, τὸ ἐκτετραμμένον καὶ διεστηκὸς ὡς ἐπὶ πλεῖστον τοῖς χείλεσιν, ὅπερ ἐκπεπληγμένον ὀνομάζεται.

συριγγώδη, χαῦνα, ἀραιά, πολλοῖς τρήμασι διειλημμένα. ταῦτα δὲ τὰ τρήματα σύριγγές τε καὶ σήραγγες ὀνομάζονται, καὶ τὸ τοιοῦτον σῶμα συριγγῶδές τε καὶ σηραγγῶδες.

σησαμοῦς, τοῦ σησαμίδος καλουμένης.

σητανίῳ, τῷ ἐκ τοῦ ἐνεστηκότος ἔτους πυρῷ, τουτέστι τῷ κατὰ τὸ ἔαρ ἐσπαρμένῳ.

σητανώδη, ἤτοι ἐκ τῶν σητανίων πυρῶν, ἢ διασεσησμένων καὶ λεπτῶν ἀλεύρων, τουτέστι καθαρῶν.

σιάλον δαιδὸς, καὶ σιάλου αἰγὸς, τοῦ λιπαροῦ.

σιαλώδεα, λιπαρά, πίονα.

σιδοειδῆς, ὠχρὰς ὡς σίδιον.

σικύην ἄτμητον, κολοκυνθίδα ἀδιαίρετον.

σικυώνην, τέτταρα σημαίνει παρ' αὐτῷ, τὴν κολοκυνθίδα, τὴν ἀπιοειδῆ κολοκύνθην. τὴν ἰατρικὴν σικύαν. τὴν ἀπύθμενον καὶ κωνοειδῆ σικύαν.

σικυώνης σπόγγον, κολοκυνθίδος τὸ ἔνδον.

σικυίδα, πυξίδα. δηλοῖ δὲ ἄλλως τοὔνομα καὶ κεραμεοῦν τι σκεῦος εἰς ὃ ἄλφιτον ἐμβάλλεται.

σινόμωρα, τὰ κακοήθη.

σιραίῳ, τῷ γλυκεῖ ἑψήματι.

σικανός, πονήρευμα ἐνεδρευτικόν, ἄπιστον κεκρυμμένον.

σκαφίδα, Ἀττικοὶ μὲν τὴν ποιμενικὴν σκάφην, καθώς πού λέγουσι. γαυλοί τε σκαφίδες τε τετυγμένα τοῖσιν ἄμελγεν. Ἱπποκράτης δὲ τὴν θαλασσίαν κόγχην τὴν παραμηκεστέραν, ἣν οἱ πολλοὶ μύακα προσαγορεύουσι.

σκέθρῃ, ἀκριβεῖ.

σκελιφρός, ξηρός, προσεσταλμένος.

σκεπαρνηδὸν, ἐγκεκλασμένως· καὶ γὰρ ὁ σκέπαρνος αὐτὸς ἐπίδεσμος, ἀπὸ τῶν τεκτονικῶν ὠνομάσθαι σκεπάρνων δοκεῖ.

σκῆμψις, ἀπόσκημψις ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν.

σκιαυγεῖ, ἀμβλυωπεῖ.

σκιμπτέσθω, κατακλειέσθω.

σκίμφθη, δύο δηλοῖ παρ' αὐτῷ, τό, τε διηρέθη, καὶ τὸ ἐμπελάσθη.

σκίμψαι, τύψαι, κατασχάσαι, διελεῖν.

σκηλήματι, σκελετείᾳ, συμπτώσει.

σκληρά, κατεσκληκότα, καὶ τὰ ἀπ' αὐτοῦ πάντα κατὰ τὸν αὐτὸν λόγον.

σκληρυνεῖ, σκελετεύει, καὶ σκληρύνεται, σκελετεύεται.

σκορδινᾶσθαι, διατείνεσθαι καὶ μάλιστα μετὰ χάσμης.

σκῦρος, πῶρος. καὶ σκυρωθῶσι, πωρωθῶσι.

σκύτα,, τὰ κατὰ τὴν σκυταλίδα τοῦ αὐχένος.

σμηκτίδα γῆν, τὴν κιμωλίαν.

σμωδίκου, μωλωπικοῦ, τοῦ πρὸς τὰς σμώδικας, ὅπερ ἐστὶ μώλωπας ἁρμόζοντος.

σπάδων, σπάσμα, θηλυκὸν τοὔνομα.

σπαργᾷ, ὀργᾷ.

σπατίλη, τὸ ὑγρὸν διαχώρημα.

σπέρμα δηλοῖ καὶ τὸν καρπόν.

σπερχνή, ἐπείγουσα, συνεχής.

σπόγγοι οἱ κατὰ τὴν φάρυγγα ἀδένες, ὡς ἐν τῷ τετάρτῳ τῶν ἐπιδημιῶν.

σποδίτῃ ἄρτῳ, τῷ ἐγκρυφίᾳ καλουμένῳ.

σποράδες, διάφοροι οὐχ ὁμογενεῖς ἄλλαι ἄλλαις συμβαίνουσαι.

σταδιεὺς, Διοσκουρίδης φησὶ σταδίοις ἀναμετρῶν τὸν περίπατον.

σταλαγμοῦ, καταστάξεως ἀπὸ τῆς κεφαλῆς.

στέαρ ἡδυντὸν, τὸ ἐν ἀρώμασι καὶ ὕδατι ἑψηθέν.

στεῖλαι, ἐπικαλύψαι, ἐπιχρίσαι.

στενυγρῶσαι, στενῶσαι. τινὲς δὲ τὸ συναγαγεῖν τῶν ὑγρῶν τὰς διεξόδους καὶ ξηρᾶναι.

στηθοειδεῖ, μαχαιρίῳ τῷ σμιλίῳ.

στητῶδες, στεατῶδες.

στίον, ψηφίς, λίθος. στίαι γὰρ αἱ παρὰ τῇ θαλάσσῃ ψηφῖδες, καὶ στιώδες ἐντεῦθεν τὸ σκληρόν.

στιφραί, ξηραί, προσεσταλμέναι.

στοίβης καρπὸν, τὸ ἱππόφεως σπέρμα.

στολιδωδέστερον, ῥυσώτερον.

στομάργου, ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν ὁ Διοσκουρίδης οὕτως γράφει, καὶ δηλοῦσθαί φησι τοῦ λαλοῦντος μανικῶς, οἱ δὲ ἄλλοι στυμάργου γράφουσι, καὶ ὄνομα κύριον ἀκούουσι.

στόμβον, βαρύηχον, βαρύφθογγον.

στρεβλοί, οὓς καὶ στραβοὺς ὀνομάζουσι.
στρέφει, στρόφον παρέχει.
στρέφεται, τὸ οἷον ἐνοικεῖ, ἐν τῷ περὶ ἀέρων καὶ τόπων καὶ ὑδάτων.
στρογγύλην μήλην, τὴν σπαθομήλην.
στρογγύλου τοῦ μυρτιδάνου, αὐτὸς γοῦν οὕτως γράφει, καὶ τὸ ἰνδικόν, ὃ καλοῦσι πέρσαι πέπερι. ἐν τούτῳ δὲ δῆλον ὅτι τὸ στρογγύλον ὃ καλοῦσι μυρτίδανον.
στρυβλήν, στρεπτόν τι ἐν τῷ περὶ αἱμορροΐδων καὶ συρίγγων.
στρυμάργου, οἶδε καὶ ταύτην τὴν γραφὴν ὁ Διοσκουρίδης, οὐ μόνον τὴν στομάργου, ἀλλὰ καὶ τοῦτο οὐχ ὡς κύριον ὄνομα ἐξηγεῖται, ἀλλὰ τὸν μανικῶς ἐπτοημένον περὶ τὰ ἀφροδίσια δηλοῦσθαί φησιν. εἴρηται γὰρ παρὰ τῷ Ἱπποκράτει καὶ ἄλλα πολλὰ κατὰ τὸν αὐτὸν τρόπον ἐπίθετα, καθάπερ μυοχάνης, βαράπους, γρυπαλώπηξ, ἀλλὰ καὶ περὶ ὀρασιστράτῳ φησὶν ὁ ῥινοκόλουρος.
στυπτηρίη χαλκῖτις, ἣν οἱ πολλοὶ οὕτως ὀνομάζομεν χαλκῖτιν.
συγκομιστοί, ῥυπαροί, διὰ τὸ πάντα ἅμα τὰ ἄλευρα συγκομίζεσθαι καὶ μὴ διακρίνεσθαι.
σῦκα, ἐπαναστάσεις σαρκώδεις ἐν τοῖς τῶν βλεφάρων τόποις γινόμεναι.
σύκιον, τὸ τῶν ἰσχάδων ἀφέψημα.
συκῆς, ἐν πρώτῳ τῶν γυναικείων καὶ πυρίαν συκῆς ἀπὸ ῥίζης, ἐν ἴσῳ τῷ συκύας τουτέστι συκαμίνου, ὅπερ ἑτέρωθι ὥσπερ ἐξηγούμενός φησι μορέας ῥίζης.
συλλοχίας, ἀθροίσματα, ἡ μεταφορὰ ἀπὸ τῶν λόχων συνειλεγμένων.
σύναγμα, ἤτοι ἐπίπαγός τις, ἢ ἐναιώρημα, ἢ ὑπόστασις, ἢ πῦος, καὶ ἄμεινον ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν λέγει.
συναρθροῦται, συναρμόζεται.
σύνθεσις, δηλοῦται ποτὲ καὶ ἡ οἷον πυκνότης καὶ σφίγξις.
συνδιαίνεται, συνδιπλοῦται.
συνεκχυμοῦν, συμμιγνύειν καὶ κατακεραννύναι τοῖς ὑγιεινοῖς χυμοῖς.
συνέρξει, τὸ οἷον συγκλείσει.
συνηρεφὲς τὸ κεκαλυμμένον, συνεσκιασμένον.
συνηρεόμενα, συνηρμοσμένα, ὡς κἀν τῷ μοχλικῷ.
συνώνομα, τὰ συνόντα.
συρμαΐα, ἡ μετρίως γινομένη τῶν περὶ τὴν γαστέρα κάθαρσις.

σύσταθμον, ἰσόσταθμον.
συστροφάς, φύματα, σκληρίας.
σφαδάζει, δυσφορεῖ.
σφάκελος, φθορὰ πᾶσα καθ' ὃν ἂν γίγνηται τρόπον. οἶδα δὲ ὅτι καὶ περὶ τούτου διὰ πλειόνων ἡμῖν ἀποδέδεικται.
σφάκερος, ἐν τοῖς προσκειμένοις τοῖς περὶ τῶν ἐν κεφαλῇ τρωμάτων, κεφαλαλγὴς δὲ καὶ σφάκερος ἦν ἤ, κρόμμυα πολέμιον. ἐν δὲ τοῖς πλείστοις ἄντικρυς σφάλερος γράφεται.
σφενδόνην, ἐν μὲν τῷ περὶ παθῶν, τὸ ἀπὸ τῆς τοὺς λίθους βαλλούσης σφενδόνης ὠνομασμένον εἰς ἀνάληψιν κώλου χρήσιμον. ἐν δὲ τῷ περὶ ἀφόρων τὸν καλούμενον φύλακα. δηλοῖ δὲ καὶ τὸ γυναικεῖον περίσφυρον, ὥστε τοῦτο παραπλήσια.
σπυράδες, τὰ τῶν αἰγῶν καὶ προβάτων ἀποπατήματα.
σχάσαι, τρία σημαίνει, ἀμύξαι, ἐκκρῖναι, χαλάσαι.
σχεδιάδα, τὴν ἀγχοῦσαν, λέγεται γὰρ καὶ οὕτω.
σχέσει. τῇ συνοχῇ ἐν περισχέσει καὶ σχέσει καὶ ὑποδέσει καὶ πιέξει. ὅταν δὲ εἴπῃ, διαφέρει μέντοι καὶ σχέσει σώματος, τὴν οἷον ἕξιν δηλοῖ.
σχινδυλήσει, σχίσματι καλάμου, οὕτως δ' ἐδόκει καὶ ὁ σχινδαλμὸς εἰρῆσθαι παρὰ τὸ ἐσχίσθαι.
σχῖνον, οὐ μόνον τὸ θαμνῶδες φυτόν, ἀλλὰ καὶ εἶδός τι σκίλλης, εἰ μὴ ἄρα καὶ πάσης σκίλλης τὸν βολβόν.
σχοῖνον, εὔοσμον, τὴν ἀρωματικὴν σχοῖνον.

Τ

Τάμισον, πιτύαν.
Τέγγειν, διαβρέχειν.
τελεῖν, ἀναλίσκειν, ὡς ἐν τῷ περὶ παθῶν λέγει.
τέλσον, τέλος καὶ ἔσχατον.
τέρμινθοι, οἱ περὶ τοῦ τερμίνθου καρπῷ παραπλήσιοι, κατὰ τὸ δέρμα συνιστάμενοι παρὰ φύσιν ὄγκοι.
τόρθρον, κυρίως μὲν οὕτως ὀνομάζεται τὸ ἄκρον τῆς κεραίας, καὶ θόρθειοι οἱ κάλοι ἐντεῦθεν ὠθεῖ τὰ ἄκρα τοῦ ἱστίου προήκοντος. ὁ δὲ Ἱπποκράτης ἐν τῷ β τῶν γυναικείων, ἐπὴν ἐνθάδε φησὶ τὸ τόρθρον ἢ τοῦ πάθεος, ἐν ἴσῳ, τὸ ἄκρον καὶ ἀνώτατον καὶ ὑπομελείας μάλιστα δεόμενον.
τετάρβωνται, πεπλάτυνται. τάρβος γὰρ πᾶν τὸ πεπλατυσμένον.
τετράγωνα βέλη, τὰ τέσσαρας ἔχοντα γλωχῖνας.

τετραγώνῳ, τινὲς δὲ ταῖς ἐνεισκεκομμέναις κατὰ τὸ σιμόν.
τετραιμένη, τρέμει.
τετρομός, τρόμος ῥιγώδης
τέως, τὸ ἕως, καὶ τὸ τηνικαῦτα, καὶ τὸ πρότερον.
τηλέφιον, εἶδος βοτάνης, ὅπερ καὶ ἀείζωον ἄγριον, καὶ ἀνδράχνην ἀγρίαν ὀνομάζουσι, ῥωμαῖοι δὲ ἰλεκέβραν.
τὴν ἐν τῷ ἀλεύρῳ βοτάνην ῥοφέονται, τὴν λινόζωστιν ἔοικε λέγειν, ἐπειδὴ καὶ ἀλλαχοῦ ἔφη, ῥοφήσαντα δὲ λινόζωστιν.
τμεῖον καὶ τομεύς, καλεῖται σιδηροῦν ὀργαλεῖον δίχηλον, ᾧ οἱ χαλκεῖς πρὸς ἄλλα τέ τινα καὶ πρὸς τὸ ἀναβάλλειν καὶ μοχλεῦσαι ἥλους χρῶνται.
τοξεύματα, βέλη.
τορνεύματα, ξύσματα
τροφής, εὔτροφος, παχύς.
τροφαλίδες, ἔχον ἐμφερόμενά τινα περιπηγότα, παρὰ τὸ τρέφεσθαι ὅ ἐστι πήγνυσθαι.
τροχοί, δρόμοι.
τρυχνοῦν, καταπονεῖν, ἰσχναίνειν.
τρώειν, τιτρώσκειν, ἀμυχάζειν, ὡς ἐν τῷ δευτέρῳ τῶν γυναικείων.
τρωθῇ, βλαβῇ, κακωθῇ, καὶ τρῶμα ἡ βλάβη.
τρώσκεσθαι, ἐκτιτρώσκειν.
τρωκτοῖσι, ὠμοῖς ἐσθιομένοις.
τύρσιν, πύργον καὶ μάλιστα τὸν ἐν τοῖς τείχεσι.
τυφώδης, ἐνεὸς καθεζόμενος.
τυφωμανίη, μικτὸν ἐκ φρενίτιδος καὶ ληθάργου πάθημα.

Υ

Υβοί, κυρτοί, καὶ ὕβωμα, τὸ κύρτωμα.
Υδαταινούσῃσιν, ὑδερώδεσιν, ἢ ἐξυδατούσαις τὸ αἷμα, καὶ ὑδατώδη καθαιρομέναις.
ὑδατόχλοα, ὥσπερ καὶ ὑδατόχλωρα ἔλεγε.
ὑδατώδεας, ὑδρωπικάς.
ὕδριον, ἡ μικρὰ ὑδρία ὑποκοριστικῶς.
ὕδρωψ, Διοσκουρίδης ἐν τῷ β τῶν ἐπιδημιῶν ὀξύτονον ἀναγινώσκει, καὶ δηλοῦσθαί φησι τὸν ὑδρωποειδῆ.
ὑπαλειπτρον, ἐλασμάτιον ᾧ ἄν τις ὑπαλείψαιτο τοὺς ὀφθαλμούς.
ὑπαλειπτον, ἔγχριστον φάρμακον.
ὑπεζύγωται, ὑπέζευκται.
ὑπαλληλεύωσιν, ὑποσυγγραφῶσιν.
ὑπερινος, ὁ ὑπερκεκαθαρμένος ἄνθρωπος, καὶ αὕτη ὑπερίνησις. οὕτως γοῦν ἐξηγοῦνταί τινες, καὶ τὸ ὑπέρινος ἰσχναίνει. δοκεῖ δέ μοι καὶ μακρόπνους καὶ τὸ βραχύπνους διχῶς ὡσαύτως λέγεσθαι.
ὑπερτονεῖ, ὑπερτείνεται.
ὑπέρυδρον, ἄγαν πλήρη τοῦ παρακεχυμένου ὕδατος.
ὑπερχολήσει, πολλῆς πληρώσει χολῆς.
ὑπεψύχθη, ὑπανέθη τῆς πυρεκτικῆς θερμότητος.
ὑπνοῦσα, ὑπνωτικῶς ἔχουσα, ὕπνῳ κοιμωμένη.
ὑπολείβεται, ὑποστάζει, ὑπορρεῖ.
ὑπόμβρον, ὕφυγρον, ὕπικνον.
ὑπομύσαρα, μυσώδη καὶ ἄξια τοῦ μυσάττεσθαι.
ὑπονησαμένη, ὑποκολυμβήσασα, ὑπελθοῦσα
ὑπόξηρα, ὑπόκοιλα, ταπεινότερα.
ὑπόξηρος, γρυπὸς τὴν ῥῖνα, διὰ τὸ ταπεινότερα τὰ περὶ ξ ἐκ τοῦ ὑψώματος.
ὑποξήρους, ταπεινοτέρας, προσεσταλμένας, εἴρηται δὲ ἐπὶ γαστέρων, ἐν τῷ μείζονι προρρητικῷ.
ὑπόσφαγμα, ὅλον τὸ μέλαν τῆς σηπίας τὸ οἷον ὑπότρυγον.
ὑποτροπή, οὐ μόνον ἡ ὑποστροφή, ἀλλὰ καὶ ἡ ἐναλλὰξ μεταβολή, ὥσπερ ὅταν εἴπῃ, κωματώδει ἐν ὑποτροπῇ.
ὑπόψαφαρα, ζοφοειδῆ, ὑπομέλαινα.
ὑπόψαφαρα, τραχύτερα, τὸ γὰρ ψαφαρὸν ἔγκειται τῷ ὀνόματι.
ὑπωμίη, τὸ ὑποκείμενον ἂν οὕτω λέγοιτο ἤτοι τῇ ἐπωμίδι, ἢ καὶ τῷ ὤμῳ.
ὑφύδρους, τοὺς ὑδεριῶντας.

Φ

Φαγεδαίνη, ἕλκει ἀναβιβρωσκομένῳ.
φαίνηται, σημαίνει καὶ τὸ διαφανὲς ἐν τῷ πυρὶ γίνηται, ὡς ἐν τῷ δευτέρῳ τῶν γυναικείων
φαλακρά, τὰ στρογγύλα μετὰ λειότητος.
φαρκιδώδες, ῥυτιδώδες.
φαύστιγγες, κυρίως μὲν οἱ ἀπὸ τοῦ πυρὸς ἐν ταῖς κνήμαις ἐπανιστάμενοι κύκλοι ἐρυθροί. καταχρηστικῶς δὲ καὶ οἱ λοιποί.
φέρβεται βιβρώσκει, καταναλίσκει.
φήρεα, αἱ παραμήκεις ὑπὸ τὰ ὦτα ἀδενώδεις ἐξοχαί, οἵας καὶ οἱ σάτυροι ἔχουσιν. ἔνιοι δὲ καὶ φῆρας καὶ θῆρας καλοῦσιν, ἵνα ᾖ οἷον φήρεα ἀττικῶς εἰρημένον.
φθίνει, δηλοῖ συντήκεται, ἰσχναίνεται, μειοῦται, ἀτροφεῖ.

φθόεις

φθόεις, τροχίσκους.

φιαρὴν, λαμπρὸν ὑπὸ ὑγρότητος.

φιβάλεως, εἶδος συκῆς.

φιλεταίριος, εἶδος βοτάνης, ἣν καὶ ἀπαρίνην ὀνομάζουσι.

φιλίστιον, τὸ αὐτὸ ἐστὶ ὥσπερ ἔοικεν εἶναι τῇ ἀπαρίνῃ καὶ φιλεταιρίῳ.

φλάζουσιν, ἀσαφῶς καὶ ἀδιαρθρώτως φθέγγονται, πεποίηται τοὔνομα.

φλεβοτομίαν, οὐ μόνον τοῦ συνήθους ὥσπερ, ἀλλὰ καὶ τὴν ἄλλην ὁπωσοῦν διῃρημένην τῶν φλεβῶν κένωσιν τοῦ αἵματος, καὶ τὸ φλεβοτομηθῆναι ὡσαύτως.

φλέγμα, οὐ μόνον τὸν χυμὸν ὥσπερ τὸν λευκὸν ἐστὶ ψυχρὸν, ἀλλὰ καὶ τὴν φλόγωσιν δηλοῖ.

φλέγυρον, πυρῶδες, τὸ δυνάμενον φλέγειν.

φλεδονώδεα, φλύαρον, φλεδόνες γὰρ φλυαρίαι.

φλέως, φλογμῶδές τι ὂν ἐστὶ ὥσπερ καὶ παπυρῶδες φυτὸν, ὅπερ καὶ περιτίθεται τοῖς ἐλαιηροῖς κεραμίοις.

φληνύουσαι, φλυαροῦσαι

φληναφώδεις, φλύαροι.

φλιὰς, ξύλα ὀρθὰ καταντικρὺ πεπηγότα, καθάπερ καὶ αἱ τῶν θυρῶν φλιαί.

φλογεαὶ, ἐρυθραί.

φλογιᾷ, πυροῦται μετὰ ἐρυθήματος.

φλυδᾷ, ὑγραίνεται, μυδᾷ.

φλυδαρὴν, ὑγράν.

φλύεται, ὑγραίνεται.

φλυζούσῃσι, βλυούσαις.

φλυζάκια, ψυδράκια.

φλύσιος, ἐξανθήσεως τῆς ἐπὶ πλεονεξίᾳ γινομένης, τοῦ κατὰ τὸ σῶμα ὑγροῦ.

φοινίκιος, ἀπὸ τοῦ χρώματός πως οὕτως εἰρῆσθαι τὴν ἐλεφαντίασιν ὑπονοήσειεν ἄν τις.

φοινικίη νόσος, ἡ κατὰ φοινίκην, καὶ κατὰ τὰ ἄλλα ἀνατολικὰ μέρη πλεονάζουσα. δηλοῦσθαι δὲ κἀνταῦθα δοκεῖ ἡ ἐλεφαντίασις.

φολλικώδεα, τὸ οἷον θυλακώδεα καὶ σομφά.

φονᾷ, φονεῦσαι ἐπιθυμεῖ.

φορίνη, δέρμα.

φόρος, εὐσύλληπτος.

φορύξαντες, φυράσαντες.

φύλλα, τὰ κηπώδη καὶ βοτανώδη χλωρὰ ἡδύσματα.

φύλλα, ἡδύσματα κηπαῖα, ἃ τοῖς ὠνουμένοις τὰ λάχανα προσεπιτιθέασιν, οἷον κορίανον, ἡδύοσμον, πήγανον, σέλινον.

φύλλον, τὸ τοῦ σιλφίου σπέρμα, διὰ τὸ πλατὺ εἶναι ἐν τῷ δευτέρῳ τῶν γυναικείων. προστίθησι δὲ καὶ αὐτὸς ἐν τῷ λόγῳ, ποτὲ μὲν λιβυκὸν, ποτὲ δὲ αἰθιοπικόν.

φύσιγγα, τὸ καλούμενον ἐκκαύλημα, καὶ μάλιστα τὸ κοῖλον.

φυτάνη, ὁ τοῦ φυτεύειν καιρός.

φυτευτηρίων, τῶν εἰς τὴν γῆν φυτευομένων ξύλων.

φωίδες αἱ φαύσιγγες ὑπὲρ ὧν εἴρηται.

φωνὴ, περιπνευμονικὴ, ἡ κερχνώδης.

Χ

Χαλκῖτις συντηρείη, ἴσον τῷ χαλκίτιδι.

Χαραδραθέωσιν, δίκρουν ἔχωσι.

χαράκτωρι, ὠξυσμένῳ ὑπὸ τοῦ χαρακτῆρος.

χάσκων, περιασσῶν ὁ Διοσκουρίδης ἀναγινώσκει, καὶ φησὶν οὕτως εἰρῆσθαι τὰς μήτρας, διὰ τὸ ἀναστομοῦσθαι.

χειμίη, ψῦχος, ῥῖγος.

χειμιοῦσα, ψυχομένη, ῥιγοῦσα.

χελίσκιον, ξηρὸν, ὑποκοριστικῶς εἴρηται τὸ χελίσκιον τὸ βραχὺ βηχίον, ξηρὸν δέ ἐστιν, ὅταν μηδὲν ὑγρότητος ἀναχρεμπτομένης εἰς τὸ στόμα παραγίνεται.

χαραδέως, ἀθρόως, γέγονε δὲ ἀπὸ τῆς χαράδρας.

χῆς, καταχέας.

χήλην, μήλην δίκρουν κατὰ τὸ ἄκρον ἐντετμημένην ἐμφερῶς χήλῃ.

χήλωμα, τὴν διχιδῆ γλυφίδα τοῦ βέλους, ἣ προστιθέασιν ἐν τῷ τοξεύειν τῇ νευρᾷ τοῦ βέλους.

χήμην, χηραμίδα, τὴν κοιλοτέραν κόγχην καὶ μείζονα.

χλοροῖσι, λαχάνοις τοῖς κηπαίοις ἡδύσμασι.

χλοιοῦνται, ὡσεὶ καὶ χλωραίνονται ἔλεγε.

χλοῦς, χλωρότης.

χλοῶδες, χλωρόν.

χλώρασμα, χλωρότης λαμπρὸν διαυγουμένη, καὶ ἐπὶ τὸ ὑδρῶδες ῥέπουσα.

χολήϊον, χολῆς ἀγωγόν.

χυτλάζηται, ὡσεὶ καὶ κλύζηται ἔλεγε.

χυτριδέαν, χύτραν.

χυτρίδεον, χύτραν.

χύτρινον, χύτραν.

χωλεύσειεν, ἀνάπηρον κατά τι τῶν ἄρθρων ποιήσειεν.

Ψ

Ψαγδας, εἶδός τι μύρου.

ψαίρειν, ἐνηχεῖσθαι, προσψαύειν.

ψαιστὴν μάζαν, τὴν ἐν μέλιτι καὶ ἐλαίῳ πεφυραμένην, ὅτι ἐστὶ τὰ ψαιστὰ οὕτως δεύεται

ψαφερὸν, ψαθυρόν.
ψέφαρα, ζοφοειδῆ, μελανοειδέστατα, ψόφος γὰρ τὸ σκότος.
ψόφου καταπλόμενοι, ψόφῳ ῥαδίως αἰσθανόμενοι, καὶ μέντοι καὶ πλεόμενοι, ὥστε καὶ ψοφώδεις ἔλεγον.

Ω

Ω Δὲ, ὧδε τοῦ κακοῦ, Ἀρκεσιλάῳ δὲ καὶ κακὸν ὧδε, δηλονότι χωρὶς τοῦ ι γράφεται, οὐχ ὡς μετ' αὐτὸ σὺν τῷ ι.
ὠδεῖ, οἰδαίνει, δῆλον δ' ὡς σὺν τῷ ι ἐστὶ γράφεται, ὅτι καὶ τὸ οἰδεῖν.

ὠμήλυσιν, τὰ ἐκ τῶν ἀφρύκτων κριθῶν ἄλφιτά τε καὶ ἄλευρα, τὸ γὰρ οἷον ὠμὸν ἄλευρον κυρίως φασὶν ὠμήλυσιν ὀνομάζεσθαι. καταχρηστικώτερον δὲ καὶ τὸ ἄλλο πᾶν ἄλευρον.
ὠρεόντων, φροντιζόντων, ὅτι καὶ ἡ φροντὶς ὤρα.
ὦρος, ἐνιαυτῷ.
ὠρουσεν, ὥρμησεν.
ὠτειλὰς, οὐ μόνον τὰς οὐλὰς, ἀλλὰ καὶ τὰ ἕλκη.
ὀχετεύονται, ἐκρύσεις καὶ διεξόδους κέκτηνται.


Γαληνοῦ τῆς τῶν Ἱπποκράτους γλωσσῶν ἐξηγήσεως τέλος.

SERIES CHARTARVM

*αβγδεζηθικλμνξοπρστυφχψω. ΑΒΓΔΕΖΗ ΘΙΚΛΜΝΞΟΠΡΣΤΥΦΧΨ.

Ἐτυπώθη ἐν Βασιλείᾳ παρ' Ἱερωνύμῳ τῷ Φροβενίῳ καὶ Νικολάῳ τῷ Ἐπισκοπίῳ, ἔτει ἀπὸ θεογονίας ͵αφλη.




FRO
BEN